OPERUM
HIPPOCRATIS
COI,
ET
GALENI
PERGAMENI
ARCHIATRΩN
TOMUS IX.

Opera permixta continens.

RENATUS CHARTERIUS, *Vindocinensis, Doctor Medicus Paris. Regis Christianissimi Consiliarius Medicus, ac Professor, plurima interpretatus, universa emendavit, instauravit, notavit, auxit, secundùm distinctas Medicinæ partes in tredecim Tomos digessit, & conjunctim Græcè & Latinè primus edidit.*




LUTETIÆ PARISIORUM,

Apud ANDREAM PRALARD Bibliopolam, via Jacobæa, ad insigne Occasionis.

M. DC. LXXXIX.

Cum Privilegio Regis Christianissimi.



TOMO IX.

Τὰ ἐπίμικτα, permixta opera.

Ejusdem Tomi pars altera.





ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ
ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ,
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΣ ΑΥΤΟΝ
ΥΠΟΜΝΗΜΑΤΑ ΤΡΙΑ.

EPIDEMIORUM
LIBER PRIMUS,
ET GALENI IN EUM
COMMENTARII TRES.

ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Τὸ γνήσιον Ἱπποκράτους βιβλίον ἐν ᾧ τμήματι πρώτῳ κατάστασις νότιος, καὶ αὐχμηρὰ, ἐπινέφελος καταγράφεται.

COMMENTARIUS PRIMUS.

ARGUMENTUM LIBRI.

Liber Hippocratis legitimus, in cujus Sectione prima status austrinus, squallidus, ac nebulosus describitur.

Ad morborum epidemiorum intelligentiam, morborum communium ac dispersorum differentias & causas docet; ac morbos epidemios, endemios, ac sporadicos explicat Galenus.

A Εἰς τὴν τῶν νόσων ἐπιδημίων νόησιν, τὰς τῶν παγκοίνων καὶ σποράδων διαφορὰς, καὶ τὰς αἰτίας διδάσκει, καὶ τὰ ἐπιδήμια, καὶ ἐνδήμια, καὶ σποραδικὰ νοσήματα ὁ Γαληνὸς ἐξηγεῖται.

PRÆFATIO GALENI.

NON hoc quidem libro Hippocrates Cous de propriis cujusque regionis morbis agere instituit, sicuti sanè aliàs nonnunquam; quod universa ipsius oratio de morbis habeatur qui Epidemii, hoc est, populatim grassantes nominantur, qui

ΓΑΛΗΝΟΥ ΠΡΟΙΜΙΟΝ.



ΥΚ ἐν τούτῳ μὲν βιβλίῳ Ἱπποκράτης Κῷος περὶ τῶν νόσων ἑκάστῃ τῇ χώρᾳ οἰκείων ἄγειν καθέστηκε καθάπερ δὴ ἄλλοτέ ποτε· ὅτι ὁ καθόλου αὐτοῦ λόγος ἢ περὶ νόσων τῶν ἐπιδημίων καλουμένων, τουτέστι τῶν κατὰ δήμους κατασκηπτόντων, αἱ

ἀπὸ τῶν ἐνδημίων οὕτω διαφέρουσιν, ὅτι αἱ μὲν κατά τινα χρόνον, τινὰ χώραν διαβαίνουσιν· αἱ δὲ τοῖς οἰκήτορσιν ὥσπερ συγγενεῖς διὰ παντὸς ἕπονται. Ἐν τῷ γοῦν βιβλίῳ περὶ ἀέρων, καὶ τόπων, καὶ ὑδάτων ἔνδημα τὰ νοσήματα διδάσκει τὰ διὰ τῶν οἰκημάτων ἑκάστων προσγινόμενα. Ἐν τούτῳ δὲ τὰ νοσήματα ἐπιδήμια τὰ κατά τινα χρόνον πανδημεῖ τὰς πόλεις, ἢ τὰς γενετὰς ἁπάσας ἐπιχειροῦντα. Ταῦτα δὲ ἄμφω τῶν νοσημάτων γένη πάγκοινά τε καὶ πάνδημα ὀνομάζειν εἴωθεν· λοιπὰ δὲ πάντα σποραδικά, τὰ δή που μὴ κοινῇ πολλοῖς, ἀλλ' ἕκαστον ἰδίᾳ καταλαμβάνει. πολλάκις γὰρ οἱ Ἕλληνες τὸ σπείρειν ἀντὶ τοῦ διασπείρειν καὶ ἀπ' ἀλλήλων διαχωρίζειν ἔλαβον. καὶ κατὰ τοῦτον τὸν τρόπον Θουκυδίδης περὶ τῶν νεανίσκων· ἕτεροι δὲ ἄλλοι ἐν τῷ ἄλλῳ τῆς πόλεως μέρει σποραδικοὶ ἀπολώλασι. Τούτων δὲ νοσημάτων ὡς ἡ γένεσις, οὕτω καὶ αἰτία κοινή ἐστι. ὅταν δὲ τρεῖς ὦσιν αἰτίαι ἀφ' ὧν τὰ νοσήματα γίγνεται, μία μὲν τοῖς προσφερομένοις ἔνεστι, δευτέρα δὲ τοῖς πραττομένοις, τρίτη δὲ τοῖς ἔξωθεν ἐμπίπτουσι. ἀπὸ τῶν μὲν ἑκάστου κοινὰ τὰ νοσήματα γίνεσθαι εἴωθεν, καὶ μάλιστα ἀπὸ τοῦ ἀέρος ἡμᾶς περιέχοντος καταστάσεως. οὐ γὰρ τὰ πλεῖστα συμβαίνει ἐκ τῶν προσενεχθέντων σιτίων τὸ κοινὸν νόσημα τὴν πόλεα, ἢ χώραν, ἢ στρατὸν διαβαίνειν, ὥσπερ μήτ' ἐκ τῶν κοινῶν πραγμάτων τε καὶ πονημάτων περιεχόμενος ἡμᾶς ἀὴρ, εἰ ἀμετρότερον θερμαίνηται, ἢ καταψύχηται, ἢ ὑγραίνηται, ἢ ξηραίνηται τὴν σωμάτων συμμετρίαν τὴν οὖσαν ὑγείαν διαταράττει, καὶ στρέβλει, καὶ ἀναστρέπει. ταῖς γὰρ ἄλλαις αἰτίαις μήθ' ὁμοῦ πάντες ἀντιάζομεν, μήθ' ἡμέραν ὁλόκληρον ὑποκείμεθα, ἀλλὰ μόνος ἀὴρ ἅπαντας περιέχει, καὶ ἀπὸ πάντων εἰσπνεῖται. γίνεσθαι γὰρ ἀδύνατον ὅτι μὴ τὰς τῶν ζώων σωμάτων εὐκρασίας μετὰ τῆς αὐτοῦ μεταβολῆς διατίθεσθαι, καὶ μεταβάλλεσθαι. καὶ διὰ ταῦτα καθάπερ αὐτὸς διδάσκει ὁ Ἱπποκράτης. ἦρος μὲν τῆς ὥρας εὐκρατοτάτης οὔσης αἷμα τῶν χυμῶν εὐκρατότατος ὢν εὐπορεῖ καὶ αὐξάνεται. χειμῶνος δὲ, τῆς ψυχροτάτης ὥρας οὔσης, τὸ φλέγμα ψυχρότατος ὁ χυμὸς ὤν, ὥσπερ καὶ τοῦ θέρους τῆς ὥρας θερμοτάτης χυμὸς θερμότατος ἡ χολὴ ξανθή· τοῦ δὲ φθινοπώρου τῆς ὥρας ξηροτάτης μέλαινα χολὴ ἡ πλείστη τε καὶ ἰσχυροτάτη ἐστὶ, καθοπτηθέντων ἐν τῷ θέρει δυοῖν χυμοῖν τοῦ αἵματος καὶ τῆς χολῆς ξανθῆς καὶ τῆς ὠχρᾶς καλουμένης. οὕτω τὸ λοιπὸν καὶ τὰ νοσήματα κατὰ τὴν τῆς ἑκάστης ὥρας ἀναλογίαν προσγίνεται, ἃ μετὰ τῆς πλεονάζοντος χυμοῦ φύσεως τὴν ὁμοιότητα διαλαγχάνει. εἰ δὲ κατὰ τὰς εἰρημένων ὡρῶν προσηγορίας εἰρημένοι χυμοὶ γεννῶνται, μήποτε δήπου γίνονται ὡς ἀπὸ τῆς σφετέρας εὐκρασίας ποτὲ νοθευόμενοι τοὺς ἄλλους ἀπεργάζονται. διότι δὲ ἑκάστη ὥρα κατὰ λόγον τῆς σφετέρας εὐκρασίας, ἀλλὰ μὴ ὀνόματος ἕνεκα τοὺς προειρημένους χυμοὺς αὔξει, ὅταν ἡ περιέχοντος ἡμᾶς ἀέρος εὐκρασία μεταλαμβάνηται, τοὺς δὲ χυμοὺς μεταλαμβάνεσθαι ἐπάναγκές ἐστιν, ὥσπερ ἐν τοῖς ἀφορισμοῖς αὐτὸς ἔλεγεν. Ἐν
» τῇσιν ὥρῃσιν ὅταν τῆς αὐτῆς ἡμέρας ὁτὲ μὲν θάλπος, ὁτὲ
» δὲ ψῦχος γίγνηται, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή. Ὥσπερ οὖν καθ' ἑκάστας ὥρας ἰδίαν εὐκρασίαν φυλάττουσας κατὰ τὸν σφετέρων φύσεων λόγον ἐκτίζετο τὰ νοσήματα· οὕτως εἰ παρὰ φύσιν αὗται μεταλαμβάνωνται, εἰς τὸν καταστάσεως ζῆλον τὰ νοσήματα γεννήσεται. διότι γοῦν καθ' ἑκάστην ὥραν μὴ πάντες οὐχ ὑπὸ τῆς μιᾶς καὶ αὐτῆς νόσου ἐπιλαμβάνονται; διότι δὴ μὴ ὀλίγον διαφέρουσι καὶ ταῖς οἰκείαις φύσεσι καὶ ταῖς ἡλικίαις, καὶ τοῖς διαιτήμασι. Τοιγαροῦν ὁ μὲν ῥαδίως

A à vernaculis sic differunt, quòd illi quidem per aliquod tempus, quandam regionem pervadant; hi verò incolas tanquam cognati nullo non tempore comitentur. Itaque Libro de aëre, locis & aquis vernaculos morbos docet qui per singulas habitationes oboriantur. Hoc autem Libro morbos epidemios, qui per aliquod tempus passim vel civitates vel nationes universas adoriantur. Hæc autem duo morborum genera tum communia, tum passim grassantia nuncupare consuevit. Cætera verò omnia dispersa, quæ scilicet non communiter multos, sed seor-
B sum quemque prehendunt. Nam sæpius Græci σπείρειν pro dispergere & ab invicem separare usurparunt. Eoque modo Thucydides de juvenibus ait; verè autem alii in alia civitatis parte dispersi perierunt. Horum autem morborum ut generatio, ita & causa communis. Quum autem tres causæ sint à quibus oboriuntur morbi; una quidem iis quæ efferuntur; altera iis quæ fiunt; tertia iis quæ extrinsecus incidunt. A singulis sane communes morbi fieri consuevere, ac potissimum ab aëris nos ambientis statu. Non enim plerunque accidit per ingestos ci-
C bos morbum communem civitatem, aut regionem, aut exercitum pervadere; ut neque per communes tum occupationes, tum labores ambiens nos aër si immoderatius calefiat, aut frigeat, aut humescat, aut siccescat corporum symmetriam, quæ sanitas est, interturbat, depravat, evertit. Aliis enim causis neque simul omnes occurrimus, neque diem integrum subjicimur; sed aër solus foris omnes ambit, atque ab omnibus inspiratur. Fieri siquidem non potest quin corporum animantium temperamenta cum ejus
D permutatione afficiantur. Atque propterea, ut ipse docet Hippocrates. *Vere quidem temperatissimâ tempestate sanguis humorum temperatissimus abundat, augescitque; hyeme tempestate frigidissimâ, pituita humor frigidissimus; quemadmodum & æstate tempestate calidissimâ, calidissimus humor flava bilis; autumno denique sicca tempestate bilis atra quæ tum plurima, tum vehementissima est*, perustis per æstatem duobus humoribus sanguine & bile flavâ quæ & pallida nominatur. Sic demum etiam morbi pro ratione unius cujusque tempestatis oboriuntur, qui cum hu-
E moris exuberantis natura similitudinem sortiuntur. Ac si per dictarum tempestatum appellationes dicti humores procrearentur, nunquam utique fieret ut à sua temperie aliquando degenerantes alios producerent. Quia verò unaquæque tempestas pro sui temperamenti ratione, non autem propter nomen, prædictos humores auget, quum ambientis nos aëris temperies permutatur; humores quoque permutari necesse est, quemadmodum in Aphorismis ipse pronunciabat; *Quum per anni tempestates eodem die modò calor, modò frigus oboriatur, au-*
F *tumnales morbi expectandi sunt*. Quemadmodum autem singulis tempestatibus propriam temperaturam servantibus pro suarum naturarum ratione morbi creabantur; ita si præter naturam permutentur, ad constitutionis æmulationem morbi fient. Cur igitur in unaquaque tempestate non omnes uno & eodem morbo corripiuntur? Quoniam sanè non parùm dissident & per connatas naturas, & per ætates, necnon per vivendi formas. Quocirca hic quidem facile

cedet malitiæ temperaturæ præsentis tempesta tis; alius verò magnopere obluctabitur; alius autem nequaquam prorsus lædetur; alius denique pravâ vivendi ratione priusquam tempestatis sentiat læsionem, morbo occupabitur. Nam ut quum ab ambiente lædebatur, tali morbo capiebatur qui illius temperamento responderet: ita fiet ut pro delicti ratione ægrotet quod in vivendi forma committitur. Hæc igitur quicunque novit, non solùm qui in unoquoque cœli statu morbi oboriuntur eos prænoscet, verumetiam eos procreari (victum incommoderatis circunstantis nos aëris constitutionibus contrarium arte machinatus) prohibebit. Si nanque proba primorum corporum temperies sit sanitas, quod eam quidem ambientis intemperies labefactatura sit, servatura verò contraria vivendi ratio, patet omnibus. Quocirca Quintus malè tum hos, tum Aphorismorum Libros interpretatur, in quibus hoc modo scripsit Hippocrates; *Inter anni tempestates, si hyems sicca quidem & borealis fuerit, ver autem pluvium & austrinum, febres acutas, lippitudines, dysenterias ad æstatem oboriri necesse est*; nempe sola experientia id cognitum esse ait Quintus citra causæ rationem. Primùm quidem eo ipso peccat, quòd eorum scripserit, deinde quod utilem doctrinæ partem prætermiserit. Nam interpretum hæc duo sunt officia; alterum libri sensum tueri; alterum lecturos libri commentarios utilia docere. Munus utrunque Quintus labefactavit, dum exuberantes morbos cum ambientis nos aëris statu non conjungit, quum eos ipse Hippocrates conjungi velit, quum nos neque futuros morbos prævidere, neque oborientes prohibere, neque obortos curare valeamus, nisi affectionem corporibus nostris ab ambientis illatam intemperie cognoverimus. Ita nanque cæterorum omnium statuum prætermissorum facultates ipsi comperire valebimus. Quamobrem quicunque ex Epidemiorum lectionibus ad artem juvari vehementer desiderat, satius est ipsum tum Librum de hominis Natura, tum librum de Aëre, Locis & & Aquis prælegisse, illos etiamnum Aphorismorum Libros, in quibus de anni tempestatibus disserit, & frigidorum, calidorum, siccorum & humidorum statuum facultates docet. His proditis, addimus necessarium quoque esse ipsum opus prognostici evolvisse. Nam quæ in his quos protuli Libris docuit: ea in Epidemiis conscripta consequuntur. Primùm quidem quòd calidi, frigidi, sicci & humidi symmetria quædam primorum corporum sit sanitas. Secundum quòd ver temperatissimum sit ubi propriam temperaturam servaverit, ob idque in eo exuberat sanguis; quemadmodum & æstas quàm deceat calidior & siccior; & hyems humidior & frigidior; atque inæqualis temperamento autumnus in quo siccum & frigidum evincant. Quod etiam in ipsis singulis unus quidem humor abundat, ut paulò ante dixi. Ab his tum tertium, tum quartum illis in libris declarata sunt; in Libro quidem de hominis Natura, ambientem aërem morborum epidemiorum causam esse; in prognostico verò quæ sint singulorum signorum vires quibus prænotiones tum in qualitate, tum

τῆς τοῦ συστάσεως παρούσης ὥρας κακουργίᾳ ὑποχωρήσει· ὁ δὲ σφόδρα προσπαλαίσει· ἄλλος δὲ μηδαμῶς πάντῃ βλαφθήσεται· ἄλλος ὅλως πονηροῦ τοῦ διαιτήματος ἕνεκα πρότερον ἢ τῆς τῆς ὥρας βλάβης αἰσθάνηται ὑπὸ τῆς νόσου καταληφθήσεται. ὥσπερ γὰρ ὅτε μὲν ἀπὸ τοῦ περιέχοντος ἐβλάπτετο ὑπὸ τοιούτου νοσήματος διετίθετο ὃ τῇ ἐκείνου κράσει ἀνάλογον ἦν· οὕτω γενήσεται ὡς ἁμαρτήματος ἕνεκα νοσεῖ τοῦ ἐν τῇ διαιτητικῇ παρανομουμένου. Ταῦτα γοῦν πᾶς τις ἔγνων, μὴ μόνον προγνώσεται τὰς γινομένας νόσους ἑκάστῃ τῶν καταστάσεων, ἀλλὰ καὶ κωλύσει γενέσθαι τῇ τοῦ περιέχοντος ἡμᾶς ἀμέτροις καταστάσεσι τὴν ἐναντίαν ἐπιτεχνώμενος δίαιταν. εὔδηλον γὰρ ὡς εἴπερ εὐκρασία τῶν πρώτων ἐστὶν ἡ ὑγεία, διαφθαρήσεται μὲν ὑπὸ τῆς τοῦ περιέχοντος δυσκρασίας, φυλαχθήσεται δ' ὑπὸ τῆς κατὰ τὴν δίαιταν ἐναντιώσεως. κακῶς οὖν ὁ Κόϊντος ἐξηγεῖται καὶ ταῦτα τὰ βιβλία, καὶ τὰ τῶν ἀφορισμῶν, ἐν οἷς ὧδέ πως ἔγραψε. «περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρους, πυρετοὺς ὀξεῖς καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι.» τῇ πείρᾳ γὰρ μόνῃ τοῦτο ἐγνῶσθαί φησιν ὁ Κόϊντος ἄνευ τοῦ κατὰ τὴν αἰτίαν λογισμοῦ. πρῶτον μὲν αὐτὸ τοῦθ' ἁμαρτάνων, ὅτι τὰς αἰτίας ὧν εἶπε κατὰ τοὺς ἀφορισμοὺς τούτους ὁ Ἱπποκράτης, αὐτὸς αὖθις ἐν τῷ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων ἔγραψεν. εἶθ' ὅτι τὸ χρήσιμον μέρος τῆς διδασκαλίας ὑπερέβαινεν. ἀρεταὶ μὲν γάρ εἰσιν ἐξηγητῶν δύο αὗται, τό, τε τὴν γνώμην φυλάττειν τοῦ συγγράμματος, καὶ τὸ τὰ χρήσιμα διδάσκειν τοὺς ἀναγνωσομένους αὐτοῦ τὰ ὑπομνήματα, διέφθειρε δ' ἀμφοτέρας ὁ Κόϊντος, ἐν τῷ μὴ συνάπτειν τῇ καταστάσει τοῦ περιέχοντος ἡμᾶς ἀέρος τὰ πλεονάσαντα νοσήματα. συνάπτεσθαι μὲν αὐτὰ βουλομένου τοῦ Ἱπποκράτους αὐτοῦ, προγνῶναι δ' ἐσόμενα, καὶ κωλῦσαι συνιστάμενα, καὶ ἰᾶσθαι γενόμενα μὴ δυνησομένων ἡμῶν, ἄνευ τοῦ γνῶναι τὴν γενομένην ἐν τῷ σώματι ἡμῶν διάθεσιν ἐκ τῆς δυσκρασίας τοῦ περιέχοντος. οὕτως γὰρ καὶ τῶν ἄλλων ἁπασῶν καταστάσεων παραλελειμμένων τὰς δυνάμεις αὐτοὶ ἐξευρίσκειν δυνησόμεθα. ὅστις οὖν βούλεται μεγάλως εἰς τὴν τέχνην ἐκ τῆς ἀναγνώσεως τῶν ἐπιδημιῶν ὠφεληθῆναι, προαναγνῶναι τοῦτον βέλτιόν ἐστι τὸ περὶ φύσεως ἀνθρώπου, καὶ τὸ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων, ἔτι τῶν ἀφορισμῶν ἐκείνους, ἐν οἷς περὶ τῶν ὡρῶν διέρχεται, καὶ τὰς δυνάμεις διδάσκει τῶν ψυχρῶν, καὶ θερμῶν, καὶ ξηρῶν, καὶ ὑγρῶν καταστάσεων. ἀναγκαῖον δέ ἐστι πρὸς τοῖς εἰρημένοις, αὐτὸ τὸ προγνωστικὸν ἀνεγνωκέναι. οἷς γὰρ ἐδίδαξεν, ἐν οἷς εἴρηκα βιβλίοις, ἀκολουθεῖ τὰ κατὰ τῶν ἐπιδημιῶν γεγραμμένα. πρῶτον μὲν ὅτι θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, συμμετρία τίς ἐστι τῶν πρώτων σωμάτων ἡ ὑγεία. δεύτερον δέ, ὅτι τὸ μὲν ἔαρ εὐκρατώτατόν ἐστιν, ὅταν γε τὴν οἰκείαν κρᾶσιν φυλάττῃ, καὶ διὰ τοῦτ' ἐν αὐτῷ πλεονάζει τὸ αἷμα, καθάπερ γε καὶ τὸ θέρος θερμότερον καὶ ξηρότερον τοῦ προσήκοντος, ὁ χειμὼν ὑγρότερος καὶ ψυχρότερος. ἀνώμαλον δὲ τῇ κράσει τὸ φθινόπωρον, ἐπικρατούμενον ὑπὸ τοῦ ξηροῦ τε καὶ ψυχροῦ. καὶ ὅτι πλεονάζει καθ' ἕκαστον αὐτῶν εἷς τις χυμὸς ὡς ὀλίγον ἔμπροσθεν εἶπον. ἐπὶ τούτοις τρίτον τε καὶ τέταρτον ἐν ἐκείνοις τοῖς βιβλίοις ἐδιδάχθη, κατὰ μὲν τὸ περὶ φύσεως ἀνθρώπου, τῶν ἐπιδημίων νοσημάτων αἴτιον εἶναι τὸ περιέχον. ἐν δὲ τῷ προγνωστικῷ τῶν σημείων, δι' ὧν αἱ προγνώσεις γίνονται, ἥτις ἑκάστου δύναμίς ἐστι, κατά τε ποιότητα καὶ

μέγεθος. ἀξιῶ δέ σε τὸν ἀναγνωσόμενον τὴν προκειμένην πραγματείαν, ὧν διῆλθον ἁπάντων πρόχειρον ἔχειν τὴν μνήμην, ἵνα τοῖς ὑφ' ἡμῶν λεχθησομένοις, ἀκολουθῇς ἑτοιμότερον. Ἁπάντων δὲ μάλιστα τὸ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων ἀνεγνωκέναι σε βούλομαι, ὅπως ἴδῃς ἐν οἷς Ἱπποκράτης αὐτὸς ἔγραψε, καὶ πιστώσωμαι τὰ γένη τῶν νοσημάτων ὧν διῆλθον Ἱπποκράτει διῃρημένων οὕτως, αἴτιόν γε τὸν ἀέρα ἐπιδήμων νοσημάτων ἀποφαινομένῳ. κατὰ μὲν γὰρ
» τὸ, περὶ φύσιος ἀνθρώπου ταυτὶ γράφει. αἱ δὲ νοῦσοι γί-
» γνονται, αἱ μὲν ἀπὸ διαιτημάτων, αἱ δὲ ἀπὸ τοῦ πνεύμα-
» τος, ὃ ἐσαγόμενοι, ζῶμεν. τὴν δὲ διάγνωσιν ἑκατέ-
» ρων ὧδε χρὴ ποιέεσθαι. ὁκόταν μὲν ὑπὸ ἑνὸς νοσήματος
» πολλοὶ ἄνθρωποι ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰ-
» τίην χρὴ ἀνατιθέναι τουτέῳ, ὅ,τι ἂν κοινότατόν ἐστι, καὶ
» μάλιστα αὐτέῳ πάντες χρεόμεθα, ἔστι δὲ τοῦτο ὃ ἀνα-
» πνέομεν. φανερὸν γὰρ δὴ, ὅτι τὰ διαιτήματα ἑκάστου ἡ-
» μέων οὐκ αἴτιά ἐστιν ὧν τότε ἅπτεται ἡ νοῦσος πάντων
» ἑξῆς, καὶ τῶν νεωτέρων, καὶ τῶν πρεσβυτέρων, καὶ γυναι-
» κῶν, καὶ ἀνδρῶν ὁμοίως, καὶ τῶν θωρησσομένων, καὶ τῶν
» ὑδροποτεόντων, καὶ τῶν μᾶζαν ἐσθιόντων, καὶ τῶν ἄρτον σι-
» τεόντων, καὶ τῶν ὀλίγα ταλαιπωρεόντων, καὶ τῶν πολλὰ
» καμνόντων, οὐκ ἂν οὖν τὰ διαιτήματα αἴτια εἴη γε,
» ὁκόταν διαιτώμενοι παντοίους τρόπους οἱ ἄνθρωποι ἁλίσ-
» κωνται ὑπὸ τῆς αὐτέης νούσου. ὁκόταν δὲ αἱ νοῦσοι γίνονται
» παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δηλονότι τὰ διαιτήμα-
» τα, αἴτιά ἐστιν ἕκαστα ἑκάστοισιν. ἐν ταύτῃ τῇ ῥήσει
πάντων τῶν ἐπιδημιῶν εἶναί φησι τὴν κατάστασιν, ἀλλὰ οὐ τὴν δίαιταν αἰτίαν. δύναται δὲ ἄν ποτε καὶ ὕδατος μοχθηροῦ πόσις ἐργάσασθαι πάγκοινον νόσημα. καὶ ἱστόρηται καὶ τοῦτο γεγονὸς ἐπὶ στρατοπέδου, ὥσπερ γε καὶ διὰ τὴν τοῦ χωρίου φύσιν ἔνθα πάντες ἐν ἑνὶ χωρίῳ στρατοπεδευόμενοι διετέλεσαν. ἐνίοτε δὲ ἐκ βαράθρων τῶν καλουμένων χαρωνείων, πνευμάτων πλεοναζόντων. ταῦτα μὲν οὖν τῷ βλάπτειν τὸν ἀέρα, καὶ τὰς νόσους ἐργάζεται, καὶ εἴη ἂν ἐν τῷ προγεγραμμένῳ λόγῳ περιεχόμενα. τὰ δὲ ἀπὸ τῶν ἐδεσμάτων καὶ πομάτων ὀλίγα τέ ἐστι καὶ γνωσθῆναι ῥᾷστα. ἐν μὲν οὖν τῷ περὶ φύσεως ἀνθρώπου βιβλίῳ, τὸ αἴτιον τοῦ κοινοῦ πολλοῖς νοσήμασιν ὠνόμασε κοινότατον. ἐν δὲ τῷ περὶ ἀέρων, καὶ ὑδάτων, καὶ τόπων, τὰ οὕτω γινόμενα νοσήματα,
» πάγκοινα προσηγόρευσεν ὧδέ πως εἰπών. περὶ ἑκάστου
» δὲ χρόνου προϊόντος καὶ τοῦ ἐνιαυτοῦ, λέγοι ἂν ὁκόσα νοσή-
» ματα μέλλοι πάγκοινα τὴν πόλιν κατασχήσειν, ἢ θέρεος, ἢ
» χειμῶνος, καὶ πάλιν οὐ μετὰ πολλά. ταῦτα μὲν τὰ νοσήμα-
» τα ἐπιχώρια αὐτέοισίν ἐστι, καὶ ἤν τι πάγκοινον κατά-
» σχοι νόσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ τούτου μετέ-
» χουσιν, καὶ πάλιν μετ' ὀλίγα. τοῖσι μὲν ἀνδράσι ταῦτα
» τὰ νοσήματα ἐπιχώριά ἐστι, καὶ χωρὶς, ἤν τι πάγκοινον
» κατάσχοι ἐκ μεταβολῆς τῶν ὡρέων. καὶ κατωτέρω πά-
» λιν, τοῦτο μὲν τὸ νόσημα αὐτέοισι σύντροφόν ἐστι, καὶ
» θέρεος, καὶ χειμῶνος. ἀλλὰ μηδὲ τοῦτό σε παρέλθῃ ἐν ταῖς
» προγεγραμμέναις ῥήσεσιν εἰρημένον, ἐν ἄλλοις τέ τισι
τῶν Ἱπποκράτους. ὅσα πλεονάζει διὰ παντὸς ἔν τινι χώρᾳ, ἅπερ δὴ καὶ ἔνδημα προσαγορεύεται, τῶν κοινῶν πολλοῖς ὄντα καὶ αὐτὰ, καθάπερ καὶ ὁ λοιμός. ἔστι γὰρ καὶ οὗτος ἐκ τῶν κοινῶν νοσημάτων, ὡς αὐτὸς αὖ, καὶ περὶ τοῦδε σαφῶς ἐδήλωσεν ἐν τῷ περὶ διαίτης ὀξέων ὧδέ πως εἰπών·

A magnitudine fiunt. At te qui præsentem tractatum lecturus sis, promptam omnium quę disserui memoriam habere volo, ut faciliùs quæ à nobis dicentur, consequi valeas. Omnium verò maximè Librum de Aëre, Locis & Aquis te legisse velim, ut agnoscas in quibus ipse Hippocrates scripsit, & sum probaturus morborum genera quæ ab Hippocrate sic distincta percurri, qui morborum epidemiorum causam aërem esse pronunciat. Is siquidem Libro de hominis Natura hæc scribit; *Morbi autem oriuntur alii quidem à victu, alii verò à spiritu quem introducentes vivimus. At utrorumque dignotio ita effieienda est. Quum multi nomines uno morbo eodem tempore corripiuntur, in id quod communissimum est, & quod potissimum omnes utimur, accepta causa rejicienda est. Quod autem respiramus id existit. Constat siquidem victum cujusque nostrum causam non esse, quum serie omnes tum juvenes, tum senes, tum mulieres, tum viros, peræquè invadat,* tum juvenes, tum senes, vinipotores & aquæ bibacos, tam eos qui mazam esitant, quàm qui pane victitant: tam eos qui modicè laborant, quàm qui magnopere labores ferunt. Quum itaque homines omnibus modis viventes eodem morbo corripiantur, nequaquam causa fuerit victûs ratio. Quum verò eodem tempore diversi generis morbi oriuntur, sua sane cuique vivendi ratio causa est. Hoc textu cœli statum omnium epidemiorum morborum causam esse, sed non victûs rationem pronunciat. Potest interdum quoque pravæ aquæ potus morbum omnibus communem efficere, idque in castris evenisse memoriæ proditum est; quomodo & ob loci naturam ubi omnes loco eodem castrametati permanserunt. Interdum etiam ex barattecis Charoneorum appellatorum ex quibus abundè venti spirant. Hæc ergo quod aërem inficiant, propterea morbos procreant, atque à præscripto textu comprehenduntur. Qui verò ab eduliis & potionibus excitantur morbi, tum pauci, tum cognitu faciles existunt. Quare Libro de Natura humana causam ejus quod multis morbis est commune, communissimam appellavit. Libro verò de Aëre, Aquis & Locis qui sic generantur morbi pancœnos *universales* vocavit hisce verbis usus: *At uniuscujusque temporis procedentis, & anni statum & quoscunque morbos pancœnos tam æstate quam hyeme urbem invasuros prædicturus est.* Ac rursum non post multa; *Hi quidem morbi sunt ipsis vernaculi, & si quis universalis morbus prehenderit ex temporum anni mutatione, ii hujus etiam participes existunt.* Atque iterum post pauca; *At viris quidem hi morbi peculiares sunt & vernaculi*; item, *Seorsum si quis universalis ex tempestatum anni mutatione prehenderit.* Deinde paulò inferiùs; *Hic morbus ipsis connutritus est tum æstate tum hyeme.* Verùm hoc neque te latuerit dictum in præscriptis & aliis quibusdam Hippocratis textibus; quicunque morbi perpetuò aliqua in regione scaturiunt, quos & sane Endemios vocitant, eos censeri ex illorum genere qui multis communes existunt, veluti quoque pestis. Hæc enim ex communium morborum est numero. Ut ipse rursum de ea re Libro de acutorum victu his verbis ita dilucide declaravit;


Quum enim nullus communis pestilentis morbi modus sparsim grassatus fuerit; sed dispersi sporadicive morbi ac similes fuerint, ab his morbis plures quàm ab aliis omnibus intereunt. Constat itaque morbos qui & malignissimi sunt, & pestilentes vocantur, ex morborum epidemiorum esse genere; Epidemiorum verò tum ex popularium, tum universalium genere qui dispersis morbis è regione opponuntur; Hos quidem ita nominavit. Pestes autem homines universi & vocant & agnoscunt morbos esse perniciosos. Et verò ad deos multoties mittunt de eorum curatione consulturi. At non hîc solum verbum ἐπιδημήσῃ *passim grassari* scripsit; verùm etiam in prognostico, ubi pronunciavit; *Oportet autem & morborum perpetuò passim grassantium impetus celeriter animadvertere ac tempestatis statum non ignorare.* In iis autem epidemiorum libris interdum ipsum pronunciantem audire potes; & passim grassatæ sunt & dysenteriæ per æstatem multæ; interdum verò & aliæ febrium ideæ passim grassatæ sunt; aliis siquidem morbus erat epidemius. Porro hoc nomen ἐπιδήμιον quibusdam in exemplaribus quatuor syllabis scriptum est, postrema constante ex μ, ο, ρ, ν; in quibusdam vero quinque syllabis, penultima constante α ρ ι altera deinde ultima syllaba ο, ρ, ν. Horum autem ad ea quæ enunciari debent meminisse oportet, ac nosse nonnullos quidem morbos communiter multos invadere, qui scilicet communes dicuntur; nonnullos vero unumquemque privatim prehendere & sporadicos, appellari. Inter communes *morbos* alii endemii, alii epidemi, & epidemii tum quatuor; tum quinque syllabis (ut proditum est) & scripti & pronunciati. At horum perniciosissimi, pestilentes vocantur, iique causam ex ambientis aëris statu sortiuntur, quemadmodum morborum epidemiorum genus universum. Atque quosdam etiam pestilentes status descripsit, ut & eos de quibus in tertio epidemiorum agit, quamobrem pestis morbus sit epidemius. Atque hæc præstat definisse priusquam particularium decreta procedat explicatio. Postea vero jam ad illam me convertam, si hoc unum præmonuero, quod & in multis à me scriptis libris priùs dixi, eos qui artem medicam perdiscere volunt, ut in particularibus quæ sensu percipiuntur sese exerceant, cohortatus, ut quæ antea universaliter didicerunt, dignoscant. Hæc ipsa particularia universalis constitutionis principium esse Empirici profitentur & vera illa esse præcepta quæ ab experientia constitutionem consequuta sunt; Nobis autem non item. Sed præcepta multa ratione inventa esse videntur, quorum tamen veritas judicatur quum ab experimentis tum stabilitur, tum fidem accipit. Sic sanè & his quæ de solis & lunæ magnitudine & distantia demonstrata sunt, fidem non adhibentes, ubi à sensibilibus multis aliis quæ per Geometricas rationes reperiuntur, & ab ecclipsibus singularibus stabiliuntur, certiorem fidem habemus. Ubi itaque quæ per Geometriam demonstrata sunt, si à singulariter contingentibus majorem fidem accipiant, atque credibiliora reddita certiorem habeant veritatem; sanè multo magis quæ in medica disciplina universaliter

A ὅταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλ' σποράδες ὦσιν αἱ νοῦσοι, καὶ μὴ παραπλήσιαι αὐτέοισιν, ὑπὸ τούτων τῶν νοσημάτων οἱ πλείους ἀπόλλυνται, ἢ ὑπὸ τῶν ἄλλων τῶν συμπάντων. δῆλον οὖν ὡς ἐκ τοῦ γένους τῶν ἐπιδημίων νοσημάτων, ὅσα κακοηθέστατα γίνονται, καὶ λοιμώδη καλεῖται. τὸ δὲ τῶν ἐπιδημίων, ἐκ τοῦ τῶν πανδήμων τε καὶ παγκοίνων γένους ἐστίν, ὃ τοῖς σποράσι νόσοις ἀντιδιαιρεῖται, ταῦτα μὲν οὕτως αὐτὸς ὠνόμασε. τοὺς λοιμοὺς δὲ πάντες ἄνθρωποι καλοῦσί τε καὶ γινώσκουσιν ὄντας ὀλέθρια νοσήματα, καὶ πέμπουσι δὲ πολλάκις εἰς θεούς, περὶ τῆς ἰάσεως αὐτῶν πυνθανόμενοι. οὐ μόνον δ' ἐνταῦθα τὸ ἐπιδημήσῃ γέγραφεν, ἀλλὰ καὶ κατὰ τὸ προγνωστικόν, ἐν ᾧ φησι. χρὴ δὲ τὰς φορὰς τῶν νοσημάτων τῶν ἀεὶ ἐπιδημεόντων, ταχέως ἐνθυμέεσθαι, καὶ μὴ λανθάνειν τῆς τε ὥρης τὴν κατάστασιν. ἐν αὐτοῖς δὲ τοῖς τῶν ἐπιδημιῶν, ποτὲ μὲν ἔστιν ἀκοῦσαι λέγοντος αὐτοῦ, ἐπεδήμησαν δὲ δυσεντερίαι κατὰ θέρος πολλαί, ποτὲ δέ, καὶ ἄλλαι πυρετῶν ἐπεδήμησαν ἰδέαι, καὶ γὰρ ἄλλοις τὸ νόσημα ἐπιδήμιον ἦν. C γέγραπται δὲ τοῦτο τοὔνομα τὸ ἐπιδήμιον ἔν τισι μὲν τῶν ἀντιγράφων διὰ δ'. συλλαβῶν, τῆς τελευτῆς ἐκ τοῦ μ'. καὶ ο'. καὶ ν'. συνεστηκυίας. ἔν τισι δὲ διὰ ε'. διά τε τοῦ μ'. καὶ ι'. κἄπειτα καθ' ἑτέραν συλλαβὴν τὴν τελευτὴν τοῦ ο'. καὶ ν'. μεμνῆσθαι χρὴ τούτων εἰς τὰ μέλλοντα λέγεσθαι γινώσκειν, ὡς ἔνια μὲν τῶν νοσημάτων κοινῇ πολλοὺς καταλαμβάνει, ἃ δὴ λέγεται κοινά. ἔνια δ' ἕκαστον ἰδίᾳ τὰ σποραδικὰ προσαγορευόμενα. τῶν δὲ κοινῶν, τὰ μὲν ἔνδημά τέ εἰσι, τὰ δὲ ἐπιδημά τε, καὶ ἐπιδήμια, διὰ τῶν δ'. ἢ ε'. συλλαβῶν ὡς εἴρηται γραφόμενα καὶ λεγόμενα. D τούτων δὲ τὰ χαλεπώτατα, λοιμώδη καλεῖται, τὴν αἰτίαν ἐκ τῆς περὶ τὸν ἀέρα καταστάσεως ἔχοντα καὶ αὐτά, καθάπερ ὅλον τὸ γένος τῶν ἐπιδημίων νοσημάτων. γέγραφε δὲ καὶ λοιμώδεις τινὰς καταστάσεις, ὥσπερ καὶ τὰς ἐν τῷ γ', διότι καὶ τῷ γένει ὁ λοιμὸς ἐπιδήμιόν ἐστι νόσημα. ταῦτα μὲν οὖν ἄμεινόν ἐστι διωρίσθαι πρὸ τῆς μελλούσης ἔσεσθαι τῶν κατὰ μέρος ἐξηγήσεως. μετὰ ταῦτα δὲ εἰς ἐκείνην ἤδη τρέψομαι, τοσοῦτον ἔτι προειπών, ὅσπερ καὶ ἐν πολλοῖς τῶν ὑπ' ἐμοῦ γεγραμμένων βιβλίων εἰρῆσθαι φθάνει, προτρέποντός μου γυμνάζεσθαι E τοὺς ἐκμαθεῖν θέλοντας τὴν ἰατρικὴν τέχνην, ἐν τοῖς κατὰ μέρος αἰσθητοῖς, ὡς διαγινώσκειν αὐτοῖς, ἃ καθόλου προμεμαθήκασι. ταῦτα δ' αὐτὰ τὰ κατὰ μέρος ἀρχὴν τῆς καθόλου συστάσεως οἱ ἐμπειρικοί φασιν εἶναι, λέγοντες ἀληθῆ ἐκεῖνα τῶν θεωρημάτων, ὅσα τὴν σύστασιν ἐξ ἐμπειρίας ἔσχηκεν. ἡμῖν δ' οὐχ οὕτως, ἀλλὰ καὶ διὰ λόγου δοκεῖ πολλὰ τῶν θεωρημάτων εὑρῆσθαι, κρίνεσθαι μέν τοι καὶ τούτων τὴν ἀλήθειαν ὑπὸ τῆς πείρας βεβαιουμένην τε καὶ μαρτυρουμένην, οὕτως γοῦν καὶ τοῖς περὶ F μεγεθῶν, ἀποστήματος ἡλίου καὶ σελήνης, τοῖς ἀποδεδειγμένοις μὴ πιστεύοντες, ὅταν ὑπὸ αἰσθητῶν τε πολλῶν ἄλλων ὅσα κατὰ γεωμετρικοὺς λόγους εὑρίσκεται, καὶ τῶν κατὰ μέρος ἐκλείψεων μαρτυρεῖται, βεβαιοτέραν ἴσχομεν τὴν πίστιν. ὅπου τοίνυν τὰ διὰ γεωμετρίας ἀποδειχθέντα, πιστότερα γίνονται μαρτυρούμενα πρὸς τῶν κατὰ μέρος ἀποβαινόντων, καὶ πιστότερα γινόμενα βεβαιοτέραν ἔχει, πολλῷ δὴ μᾶλλον, ὅσα ἐπὶ τῆς ἰατρικῆς τὴν ἀλήθειαν,

ἐξηύρηνται βεβαιοῦσθαι δὲ ἀναγόμενα ὑπὸ τῶν κατὰ μέρος πίστιν. ταῦτ' οὖν ἡμεῖς ἐπιδειξόμεθα ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις γινόμενα.

dicta sunt, certiorem habebunt fidem, si particularibus exemplis stabiliantur. Hæc igitur nos in epidemiorum libris fieri ostendemus.





ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

ΚΑΤΑΣΤΑΣΙΣ ΠΡΩΤΗ.

Εἰς τὴν τῶν Ἐπιδημιῶν διδασκαλίαν ἡ τῆς Ἀστρολογίας, καὶ τῶν ὡρῶν καὶ χωρῶν, καὶ ἀνέμων γνῶσις τῷ ἰατρῷ ὠφέλιμον ἐστί. τί καὶ ποσαπλάσιος ἰσημερία τε καὶ ἡ τροπή. τί τὸ ἄστρον καὶ ὁ ἀστήρ· τί Ἀρκτοῦρος· τί πλειάδες· τί κύων· τί Σείριος. τίς ἑκάστων ἀνατολὴ καὶ δύσις· ἡ τοῦ ἐνιαυτοῦ καὶ τῶν ὡρῶν κατὰ τὰς ἰσημερίας καὶ τροπὰς διαίρεσις· κατὰ διάφορα τὰ μὲν ἔθνεα διαφόρους εἶναι μῆνας· ἡ τοῦ ἔτεος τε καὶ μηνῶν Ῥωμαίων καὶ Παλαιστινῶν διαγραφή· τί καὶ ὅθεν ἐμβολιμαῖος μήν· ἐκ τῆς τῶν χωρῶν καταστάσεως, καὶ τῆς τόπων θέσεως, καὶ φύσεως, καὶ διαθέσεως, καὶ κράσεως, τῶν πνευμάτων τὰς γενησομένας νόσους προγινώσκεσθαι. ἡ Θάσου καὶ Κρανῶνος ἀντίθεσις.

SECTIO PRIMA.

PRIMUS STATUS.

Ad Epidemiorum morborum Astrologiæ, anni tempestatum, regionum ac ventorum cognitionem medico utilem esse. Quid & quotuplex æquinoctium & solstitium. Quid astrum & stella. Quid arcturus, vergiliæ, canis, sirius, quis singulorum ortus & occasus. Anni & tempestatum divisio per æquinoctia ac solstitia. Pro diversis nationibus diversos esse menses. Anni ac mensium Romanorum & Palæstinorum descriptio. Quid & unde mensis intercalaris. Ex Regionum statu, locorum situ, natura, temperamento & ventis futuros morbos prænosci. Thasi & Cranonis situs contrariis affectibus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

ΕΝ Θάσῳ φθινοπώρου περὶ ἰσημερίην, καὶ ὑπὸ πλειάδος, ὕδατα πολλὰ ξυνεχέα, μαλθακά, ὡς ἐν νοτίοισι.

HIPPOCRATIS TEXTUS I.

IN Thaso autumno circiter Æquinoctium & sub vergilias pluviæ multæ, assiduæ, molles fuerunt, ut per Australes ventos.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν καὶ ἡ τοῦ χωρίου γνῶσις εἰς τὴν τῶν ἐπιδημίων νοσημάτων διδασκαλίαν ὠφέλιμός ἐστιν, ὕστερον λέξω. νυνὶ δὲ τὴν λέξιν αὐτὴν πρότερον ἐξηγήσομαι, τοῦ συγγραφέως εἰπόντος περὶ ἰσημερίην καὶ ὑπὸ πλειάδος. δυοῖν γὰρ οὐσῶν ἰσημεριῶν, καὶ δυοῖν πλειάδων ἐπισημασιῶν, οὗτος ἐδήλωσεν ὁποίαν αὐτῶν λέγει, προσθεὶς τῷ λόγῳ τὸ φθινόπωρον. κατὰ μὲν γὰρ τὸ ἔαρ ἡ ἑτέρα γίνεται, καὶ ἡ ἀρχὴ αὐτοῦ κατὰ τὴν ἡμετέραν οἴκησίν ἐστιν αὕτη, καθάπερ καὶ τελευτὴ πᾶσα ὑπὸ τὴν πλειάδων ἐπιτολήν. κατὰ δὲ τὸ φθινόπωρον, ἡ ὑπόλοιπος ἰσημερία γίνεται, καὶ ἡ τῶν πλειάδων δύσις. οὐδὲν δὲ διαφέρει λέγειν, ἤτοι κατὰ τὸν πληθυντικὸν ὀνομαζόμενον ἀριθμὸν τὰς πλειάδας, ἢ κατὰ τὸν ἑνικὸν τὴν πλειάδα. γίνεται δὲ ἡ τῆς πλειάδος δύσις, ὡς μετὰ πεντήκοντα ἡμέρας τῆς φθινοπωρινῆς ἰσημερίας, εἰδότων ἡμῶν τὰς μὲν ἰσημερίας, καὶ τροπὰς ἑνὶ καιρῷ γινομένας ἐν ἁπάσαις ταῖς οἰκήσεσιν· τὰς δὲ ἐπιτολάς, καὶ δύσεις τῶν ἀστέρων ὑπαλλαττομένας, ὡς καθ' ἑκάστην οἴκησιν ἰδίαν εἶναι. μόνοις γὰρ τοῖς ὑπὸ τὸν αὐτὸν οἰκοῦσι πόλον, κοιναὶ τῶν ἄστρων αἵ τ' ἐπιτολαὶ καὶ δύσεις γίνονται. καλοῦσι μὲν οἱ Ἕλληνες ὡς τὰ πολλὰ τὸ συγκείμενον ἐκ πολλῶν ἀστέρων, ἄστρον, οἷον τὸν ταῦρον ὅλον, ἤ τι μέρος αὐτοῦ, τὰς ὑάδας, ἢ τὰς πλειάδας, ὅμως μήν ἐστιν ὅτε καὶ τῶν ἀστέρων ἕκαστον ὀνομάζουσιν ἄστρον, οὐ μὴν τόν γε συγκείμενον ἐκ πολλῶν ἀστέρα καλοῦσιν, ἀλλ' ἄστρον ἀεὶ μόνως οὕτως. ἕνα δὲ ἕκαστον οὐκέτι ἀστέρα μόνον, ὡς εἶπον, ἀλλὰ καὶ ἄστρον, οἷον τὸν ἀρκτοῦρον, τὸν σείριον, τὸν ἑωσφόρον, τὸν

GALENI COMMENTARIUS.

COgnitionem loci, ad morborum quidem Epidemiorum doctrinam, utilem existere postea dicturus sum. Nunc verò ipsum authoris textum priùs explicabo pronunciantis, *circiter æquinoctium, & sub vergilias.* Quum enim duo sint æquinoctia, duæ quoque vergiliarum significationes, quodnam ex illis dicat adjecto orationi autumno, ipse prodidit. Verè siquidem fit alterum, principiumque ipsius in nostra habitatione ipsum est, veluti etiam finis omnis sub vergiliarum ortum. Reliquum æquinoctium autumno fit, atque vergiliarum occasus: Nihil autem inter erit vel numero plurali pleiadas nominare, vel singulari pleiada. Occasus autem fit vergiliarum ab autumnali æquinoctio diebus circiter quinquaginta, nobis scientibus æquinoctia & solstitia in plagis omnibus uno tempore fieri; siderum verò ortum & occasum ita variari, ut his singulis in regionibus proprii sint. Solis enim sub eodem polo habitantibus communes sunt astrorum; tum ortus, tum obitus. At vocant Græci plerunque sidus quod ex multis stellis constat, qualem taurum universum, vel aliquam ejus partem ut suculas & vergilias. Interdum tamen singulas stellas astrum sidusve appellitant, non tamen quòd ex multis constet stellam appellant, sed astrum perpetuò duntaxat hoc modo; unamquanque verò non stellam solùm, ut dixi, sed & sidus, ut arcturum, caniculam, luciferum, hesperum. Est autem

ad universum quod instat opus maximè necessarium singulis in regionibus, ubi medendi artem facturi sumus, singulorum astrorum tum ortus, tum occasus cognoscere: quandoquidem hi anni tempestates circumscribunt; exempli gratiâ, in Hellesponti parallelo veris principium quidem est quo tempore est æquinoctium; finis verò, vergiliarum ortus, qui & æstatis initium existit, quemadmodum etiam æstatis finis, autumni principium arcturi ortus; qui autumnale æquinoctium diebus quasi duodecim antecedit. Præterea vergiliarum occasus, hyemis principium & autumni finis est. Mirari verò arbitror oportet, ac causam quærere cur intermissus sit in oratione stellæ illustrissimæ ortus qui æstate fit, hæcque sirius vocatur. Ipsum autem nonnulli etiam canem nominant totius astri appellatione abusi; Canis siquidem astrum universum est. Sirius verò ipsius maxillæ insidet, quem rectè quispiam antecanem, non canem appellaverit, stellæque hujus exortus, partis anni quam oporam vocant, principium est. Atque qui annum in septem tempora dividunt, æstatem adusque canis exortum protendunt; hinc verò ad arcturum usque oporam. Iidem & hyemem in tres secant partes, & medium quidem hujus quod circa solstitium est, tempus constituunt; de extremis verò duobus prius sementem, posterius consitionem; nam ipsi ita nominant. Quinetiam libro de hebdomadis Hippocratis inscripto annus in septem partes divisus invenitur, insectis quidem autumno & vere manentibus; sectis verò hyeme quidem tres in partes, æstate verò in duas. Utilis itaque talis etiam est divisio, ut in præcedenti declarabit oratio. Utilis quoque in quatuor anni tempestates sectio, ut & id priùs ab ipso Hippocrate demonstratum est, ubi & humorum exuperantiam, & morborum species docet, & quæ ambo hæc præcedunt, aëris temperamenta quæ quatuor habent differentias. Etenim si quis quammaximè bifariàm tempus, vergiliarum ortus atque arcturi medium secuerit, nihilominus ipsum commune est omni ut commoderato siccius existat; quemadmodum etiam & hyemi ut & frigidior & humidior sit, etiamsi trifariàm dividatur. Magnæ igitur temperamenti differentiæ, quas & generales decenter quispiam dixerit, annum in quatuor tempora dividunt inter se, sive genere sive specie differentia, prout quisque appellare voluerit. At singulæ harum differentiarum in magis & minus factæ sectiones æstatem quidem in duas, hyemem verò in tres partes secant, Horum vero anni temporum divisio ex ipsorum tempore efficitur: Quod enim tempus vergilias, arcturumque interjacet, quatuor est mensium, plurium vero quàm quatuor vergiliarum occasus & verni æquinoctii medium existit. Veris autem tempus non integros quidem duos habet menses, quo factum est ut jure indivisum permanserit; propterea vero autumni tempus quàm veris majus fuit, quod in menses duos extenditur; hoc vero magnitudine ab hyemis æstatisque tempore multopere superatur. Hæc itaque semel quidem à me dicta sint; ad omnem verò sequentem orationem memoriâ teneantur, quo facilè ad sin-

A ἑσπέριον. ἀναγκαιότατον δέ ἐστιν εἰς ὅλην τὴν ἐνεστῶσαν πραγματείαν ἐπίστασθαι τὰς καθ' ἑκάστην χώραν, ἐν αἷς ἂν ἰατρεύειν μέλλωμεν, ἑκάστου τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσεις, ἐπειδὴ περιγράφουσιν αὗται τὰς ὥρας. αὐτίκα γέ τοι κατὰ τὸν τῆς Ἑλλησπόντου παράλληλον, ἀρχὴ μὲν τοῦ ἦρός ἐστιν, ἡ κατ' ἐκεῖνον τὸν καιρὸν ἰσημερία, τελευτὴ δὲ, τῶν πλειάδων ἡ ἐπιτολή· αὕτη δὲ καὶ θέρους ἐστὶν ἀρχή, καθάπερ γε καὶ τελευτὴ μὲν τοῦ θέρους, ἀρχὴ δὲ τοῦ φθινοπώρου, ἡ ἐπιτολὴ τοῦ ἀρκτούρου, προλαμβάνουσα τὴν

B φθινοπωρινὴν ἰσημερίαν, ἡμέραις ὡς δώδεκα. καὶ μέν γε καὶ ἡ δύσις τῆς πλειάδος, ἀρχὴ μὲν τοῦ χειμῶνός ἐστι, τελευτὴ δὲ τοῦ φθινοπώρου. θαυμάζειν δ' οἶμαι δεῖ, καὶ ζητεῖν τὴν αἰτίαν τοῦ παραλελεῖφθαι κατὰ τὸν λόγον ἐπιτολὴν ἀστέρος τοῦ ἐπισημοτάτου, γινομένην ἐν θέρει τοῦ καλουμένου σειρίου· ὀνομάζουσι δ' αὐτὸν ἔνιοι καὶ κύνα, καταχρώμενοι τῇ τοῦ παντὸς ἄστρου προσηγορίᾳ, κύων μὲν γὰρ τὸ σύμπαν ἄστρον. ὁ δ' ἐπὶ τῆς γένυος αὐτοῦ σείριος, ὃν ὀρθῶς ἄν τις ὀνομάζοι τὸν προκύνα, οὐ τὸν κύνα, καὶ ἀρχή γε τῆς καλουμένης ὀπώρας, ἡ ἐπιτολὴ τούτου τοῦ ἀστέρος ἐστί. καὶ ὅσοι

C τὸν ἐνιαυτὸν εἰς ζ. τέμνουσιν ὥρας, ἄχρι μὲν ἐπιτολῆς τοῦ κυνὸς ἐκτείνουσι τὸ θέρος, ἐντεῦθεν δὲ μέχρις ἀρκτούρου τὴν ὀπώραν. οἱ δ' αὐτοὶ καὶ τὸν χειμῶνα τριχῇ τέμνουσι, μέσον μὲν αὐτοῦ ποιοῦντες τὸν περὶ τὰς τροπὰς χρόνον· τοὺς δ' ἑκατέρωθεν τοῦδε, σπορητὸν μὲν πρόσθεν, φυταλιὰν δὲ τὸν ἕτερον, αὐτοὶ γὰρ οὕτως ὀνομάζουσι. καὶ μέν τοι κἂν τῷ περὶ ἑβδομάδων Ἱπποκράτους ἐπιγραφομένῳ βιβλίῳ, διῃρημένον ἐστὶν εὑρεῖν τὸν ἐνιαυτὸν εἰς ἑπτά, τοῦ μὲν φθινοπώρου, καὶ τοῦ ἦρος ἀτμήτων πεφυλαγμένων,

D τετμημένων δὲ, τοῦ μὲν χειμῶνος εἰς τρία μέρη, τοῦ δὲ θέρους εἰς δύο. χρησίμη μὲν οὖν ἐστι καὶ ἡ τοιαύτη διαίρεσις, ὡς προϊὼν ὁ λόγος δείξει· χρησίμη δὲ καὶ εἰς τέσσαρας ὥρας, ὡς καὶ τοῦτο δέδεικται πρότερον ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους, ἐν οἷς τάς τε τῶν χυμῶν ἐπικρατείας διδάσκει, καὶ τὰς τῶν νοσημάτων ἰδέας, καὶ τὰς ἀμφοτέρας τούτων ἡγουμένως κράσεις τοῦ περιέχοντος, τέτταρας ἐχούσας διαφοράς. Εἰ γὰρ καὶ ὅτι μάλιστα δίχα τις τέμνει τὸν μεταξὺ πλειάδων ἐπιτολῆς, καὶ ἀρκτούρου χρόνον, ἀλλά τοι κοινόν ἐστιν αὐτὸ παντὶ, τῷ ξηροτέρῳ τοῦ

E συμμέτρου εἶναι, καθάπερ γε καὶ τῷ χειμῶνι, τῷ ψυχροτέρῳ τε καὶ ὑγροτέρῳ, κἂν τριχῇ τέμνηται. αἱ μὲν οὖν μεγάλαι διαφοραὶ τῆς κράσεως, ἃς καὶ γενικὰς ἄν τις Εἴποι προσηκόντως, εἰς τέσσαρας διαιροῦσιν ὥρας τὸν ἐνιαυτὸν, ἤτοι γ' ἑτερογενεῖς, ἢ ἑτεροειδεῖς ἀλλήλων, ὡς ἂν ἐθέλῃ τις ὀνομάζειν. αἱ δὲ καθ' ἑκάστην τῶν διαφορῶν τούτων, εἰς τὸ μᾶλλόν τε καὶ ἧττον τομαὶ, τὸ θέρος μὲν εἰς δύο, τὸν χειμῶνα δ' εἰς τρεῖς μοίρας τέμνουσιν· ἡ δὲ τῶν ὡρῶν τούτων τομὴ, ἐκ τοῦ κατὰ ταύτας χρόνου, τεττάρων γὰρ μηνῶν ὁ μεταξὺ πλειάδος τε καὶ ἀρκτούρου χρόνος ἐστί.

F πλειόνων δὴ καὶ τεττάρων, ὁ μεταξὺ πλειάδος δύσεως, καὶ τῆς ἐαρινῆς ἰσημερίας. ὁ δὲ τοῦ ἦρος, οὐδ' ὅλων δύο μηνῶν, ὡς ἄτμητος εἰκότως ἐφυλάχθη. διὰ ταῦτα δὲ καὶ ὁ τοῦ φθινοπώρου μείζων μὲν ἦν, ἢ παρὰ τὸ ἔαρ· ἐκτείνεται γὰρ εἰς δύο μῆνας, ἀπολειπόμενος δὲ τῷ μεγέθει πάμπολυ κατὰ τὸ θέρος τε, καὶ τὸν χειμῶνα χρόνου. ταῦτα οὖν ὡς ἅπαξ μὲν Εἰρήσθω μοι νῦν. Εἰς δὲ τὸν ἑξῆς ἅπαντα λόγον, μνημονευέσθω πρὸς τὸ μεταγαγεῖν ῥᾳδίως εἰς τοὺς ἐν

ἑκάστῳ τῶν ἐθνῶν μῆνας, ἄλλους παρ' ἄλλοις ὄντας, ὡς εἰ πάντες εἶχον τοὺς αὐτοὺς, οὐκ ἂν ἀρκτούρου, καὶ πλειάδος, καὶ κυνὸς, ἰσημεριῶν τε καὶ τροπῶν ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἀλλ' ἤρκεσεν ἂν εἰπεῖν αὐτῷ κατὰ Μακεδόνας, εἰ οὕτως ἔτυχεν, ὀνομάζουσι τοῦ Δίου μηνὸς ἀρχομένου, τοιαύτην δέ τινα γενέσθαι κατάστασιν ἐν τῇ τοῦ περιέχοντος κράσει. νυνὶ δ' ἐπειδὴ ὁ Δῖον Μακεδόσι μὲν μόνοις σαφὴς, Ἀθηναίοις δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις οὐ σαφὴς· Ἱπποκράτης δὲ ἐβούλετο τοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν ὠφελεῖν, ἄμεινον ἦν αὐτῷ γράψαι μόνην τὴν ἰσημερίαν, ἄνευ τοῦ μνημονεῦσαι τινὸς μηνός. ἡ μὲν γὰρ ἰσημερία, κοσμικόν ἐστι πρᾶγμα, οἱ δὲ μῆνες ἐπιχώριοι, καθ' ἕκαστον ἔθνος. ὅστις γοῦν ἀστρονομίας ἀπείρως ἔχει, μάλιστα μὲν ἴστω μὴ πειθόμενος Ἱπποκράτους, προτρέποντος πρὸς αὐτὴν, ἕνεκα τῆς τῶν εἰρημένων χρήσεως. ἐπεὶ δὲ φιλάνθρωπον εἶναι δοκεῖ, καὶ τοὺς τοιούτους ὠφελεῖν, ἐγὼ πειράσομαι τὴν ἐνδεχομένην ὑπογράψαι βοήθειαν, ᾗ εἰ προσέχοιεν τὸν νοῦν, ἁπάντων ὧν Ἱπποκράτης λέγει καρπώσονται τὴν χρῆσιν. τεμνομένου δὴ τοῦ παντὸς ἔτους, ἐκ τεττάρων καιρῶν κατ' ἰσημερίαν τε, καὶ τροπὰς, ἅπαξ τις ἐρωτήσας ἀστρονομικὸν ἄνδρα, τὰ τέτταρα μέρη ταῦτα ἐν τίσι γίνονται μησὶν, εἶτα εἰδὼς αὐτὰ, δυνήσεται καὶ περὶ τῶν ἄλλων ἐπισημασιῶν τῶν καθ' ἕκαστον ἄστρων, ἀκούων ἕπεσθαι. οἷον εἰ οὕτως ἔτυχεν, ἐὰν προμάθῃ ὅτι κατὰ τὴν ἀρχὴν τοῦ Δίου μηνὸς, ἡ φθινοπώρου γίνεσθαι ἰσημερίαν, εἴσεται τὴν μὲν χειμερινὴν τροπὴν, ὡς μετὰ τρεῖς μῆνας ἐσομένην, ἐν ἀρχῇ τοῦ κατ' ἐνιαυτὸν πέρατος μηνός. τοῦτο γὰρ σημαίνει κατὰ Μακεδόνας, τὴν δὲ ἐαρινὴν ἰσημερίαν Ἀρτεμισίου, καθάπερ γε καὶ τὴν θερινὴν, τοῦ Λώου. κατὰ γὰρ τὰς ἀρχὰς τῶν εἰρημένων μηνῶν αἵ τ' ἰσημερίαι, καὶ αἱ τροπαὶ γίνονται κατὰ Μακεδόνας, ἀριθμούντων τε καὶ ὀνομαζόντων τοὺς μῆνας. ὁ τοίνυν ταῦτα μαθὼν, εἰ προσεπιμάθῃ, τὸν μὲν Ἀρκτοῦρον ἐπιτέλλοντα πρὸ ἡμερῶν ὡς ιβ'. τῆς φθινοπωρινῆς ἰσημερίας, πλειάδας δὲ δύνειν ὡς μετὰ ἡμέρας πεντήκοντα, γνώσεται πόσῃ τοῦ καθ' ἕκαστον αὐτῶν μηνὸς ἑκάτερον τῶν ἄστρων ἐπιτέλλει, παραφυλάξει τε βουλόμενος ἀκολουθεῖν Ἱπποκράτει τὴν μεταβολὴν τῆς περὶ τὸν ἀέρα κράσεως, ὁποία τις ἐγένετο. χρὴ δὲ δηλονότι τοὺς μῆνας, οὐ πρὸς σελήνην ἀριθμεῖσθαι, καθάπερ ἐν ταῖς πλείσταις νῦν τῶν ἑλληνίδων πόλεων, ἀλλὰ πρὸς ἥλιον, καὶ ἐν ἁπάσαις τε τῶν ἀρχαίων, καὶ ἐν πολλοῖς τῶν ἐθνῶν ἀριθμεῖται, καὶ παρὰ Ῥωμαίων ὁ σύμπας ἐνιαυτὸς, εἰς ιβ'. διαιρούμενος. ἑνὸς μὲν αὐτῶν ὀκτὼ καὶ εἴκοσιν ἡμερῶν ὄντος, ὃν δεύτερον λέγουσι μετὰ τὰς τροπὰς χειμερινάς. αὐτοῦ δὲ τοῦ πρώτου, μετὰ τὰς τροπὰς, ὃν καὶ πρῶτον ὅλου τοῦ ἔτους ἀριθμοῦσιν, μίαν ἐπὶ ταῖς λ'. προσειληφότος, ὥσπερ γε καὶ τοῦ γ'. μετὰ τὰς τροπὰς, καὶ γὰρ καὶ οὗτος αὐτὸς ἐστι μιᾶς καὶ λ'. ἡμερῶν, ὁ δὲ τέταρτος τριακονθήμερος, ὁ δὲ πέμπτος μίαν ἐπὶ ταῖς λ'. προσείληφεν· ὁ δ' ἕκτος τριακονθήμερος, μετὰ δὲ τὸν ἕκτον μῆνες δύο, μιᾶς καὶ τριάκοντα, ὁ δὲ μετὰ τούτους, τριάκονθ' ἡμερῶν, ὁ δ' ἐφεξῆς τῷδε, μιᾶς καὶ τριάκοντα, δέκατος ὢν τὸν ἀριθμὸν ὅλου τοῦ ἔτους. καὶ ὁ μὲν ια'. τριάκονθ' ἡμερῶν. ὁ δὲ ιβ'. μιᾶς ἐπὶ ταῖς λ. συναριθμοῦντι δέ σοι

A gularum nationum menſes aliis alios exiſtentes deducamur: Nam ſi omnes eoſdem haberent, non arcturi, vergiliarumque, & canis, & æquinoctiorum & ſolſtitiorum meminiſſet Hippocrates; ſed ipſi ſatis fuiſſet dicere, apud Macedonas verbi gratiâ, menſe incipiente quem Dios appellant, talem quendam ſtatum fuiſſe in ambientis nos æris temperamento. Nunc verò quoniam Dion ſolis quidem Macedonibus manifeſtum eſt, Athenienſibus verò aliiſque hominibus non manifeſtum, volebatque Hipocrates cunctis nationibus prodeſſe, ſatius ipſi fuit ſine nullo memorato
B menſe, ſolùm æquinoctium ſcribere. Æquinoctium ſiquidem univerſitatis mundi res eſt, menſes verò ſingulis nationibus ſui & peculiares. Qui ergo Aſtronomiæ imperitus eſt, ſciat potiſſimum Hippocrati ad eam ob dictorum uſum exhortanti non obſequi. Quia verò humanum eſſe videtur ejuſmodi imperitis opem ferre, tentabo ego, quatenus licebit, auxilium ſubſcribere, cui ſi mentem adhibeant, horum omnium quæ edicit
C Hippocrates, fructum ac emolumentum accepturi ſunt. Toto igitur anno in quatuor tempora per æquinoctia & ſolſtitia diviſo, ſi quis ſemel Aſtronomum virum rogaverit quibus menſibus quatuor hæ partes fiant; deinde iis perceptis, poterit & quum de cæteris ſingulorum aſtrorum ſignificationibus audierit, voti eſſe compos. Ut ſi, exempli gratiâ, anteà didicerit autumnale fieri æquinoctium in principio menſis Dii, ſciet hyemale ſolſtitium fieri quaſi poſt tres menſes in principio menſis qui anni finis eſt: Hoc enim apud Macedonas ſi-
D gnificat; vernum autem æquinoctium Artemiſii principio, quemadmodum & æſtivum ſolſtitium initio Loï. In principio nanque commemoratorum menſium tum æquinoctia, tum ſolſtitia apud Macedonas fiunt, qui menſes ita numerant & appellant. Qui igitur hæc perceperit, ac præterea Arcturum ante autumnale æquinoctium duodecim fere diebus exoriri didicerit; vergilias vero occidere poſt dies circiter quinquaginta, ſciet quoto menſis cujuſque anni die utrunque ſidus exoriatur; obſervabitque, ſi Hippocratem ſequi velit, eam quæ & qualis aëri oborta ſit temperamen-
E ti mutationem. Cæterum non ratione Lunæ, quemadmodum nunc in plurimis Græciæ, civitatibus ſupputandi ſunt; ſed ratione ſolis ut apud omnes priſcas urbes & pleraſque nationes numerantur. Atque apud Romanos univerſus annus in duodecim menſes dividitur, quorum unus octo & viginti diebus conſtat, quem à ſolſtitio brumali ſecundum vocitant. Primus verò à ſolſtitio, quem & totius anni primum numerant, unum ſupra triginta aſſumpſit; quemadmodum à ſolſtitio
F tertius: Etenim etiam is ipſe unius & triginta dierum eſt. Quartus eſt triginta dierum. Quintus unum & triginta ſortitur. Sextus triginta dies complectitur. Qui verò ſextum duo ſequuuntur ſeptimus & octavus, uno & triginta conſtant. Qui hos excipit nonus triginta dierum eſt. Huic ſuccedens unius & triginta, qui decimus totius anni exiſtit numero. Vndecimus triginta dierum eſt. Duodecimus unius ſupra triginta. Connumeranti verò tibi

conſcripti

conſcripti ſingulorum menſium dies, omnes trecenti ſexaginta & quinque oboriuntur. Atque quum ita quatuor annos numeraveris, anno quarto menſem tertium duorum & triginta dierum faciunt, ut anni ſinguli trecentorum ſexaginta quinque ſint dierum, ac præterea quadrantis unius diei: Ex Palæſtinorum verò ſupputatione duodecim menſes efficiunt dies trecentos quinquaginta & quatuor. Nam quia tempus à Lunæ cum ſole conjunctione aduſque omnem aliam conjunctionem præter novem & viginti dies, aliam etiamnum dimidiam aſſumit partem, propterea duos menſes qui novem & quinquaginta dies continent, in duas ſecant inæquales partes; alteram dierum triginta faciunt, alteram viginti novem. Qui ergo ita menſes inſtituunt, aliquem intercalarem ſtatuere coguntur, ubi primum ſuperiorum annorum reſiduum collectum ſit & unius menſis tempus fiat. Quo verò modo menſes intercalares inſerendi ſint, ab Aſtronomis tum aliis quibuſdam tum Hypparcho ſcriptum eſt. Quare, ut dixi, apud illos qui menſes ita numerant, definiri dies non poſſunt, in quibus tum æquinoctia, tum ſolſtitia, tum ſiderum illuſtrium exortus fiant. Apud eos verò qui pro ſolis ratione numerant, definiri poſſunt, ut dixi, apud Romanos, & Macedonas, & Aſiaticos noſtrates, & apud alias multas nationes. Itaque quum hæc ſequentium orationum omnium communia à me dicta ſunt, ad propoſitam me referam orationem, in qua ab aëris ſtatu qui in Thaſo fuit incipiens inquit; *Autumno circiter æquinoctium & ſub vergilias, pluviæ multæ.* Quum enim autumnus ad æquinoctium ſit, duoſque menſes ſortiatur, non quamprimum ab initio enunciatus ſtatus ſimul inuaſit, ſed circa æquinoctium exortus eſt, & aduſque vergiliarum occaſum dies circiter quinquaginta perſeverant. *In Thaſo autumnus.* Quinti ſententiâ neque ad morborum prænotionem aliquid regio demonſtrat; neque prorſus fieri poteſt ut futuri morbi prænoſcantur; ſed ſolum morbi quidam, corrupto eo qui anni tempeſtatibus ſecundum naturam inerat temperamento. Interdum autem & ipſorum ideas non ex rationali methodo, ſed ex ſola experientia notas eſſe profert. Et verò etiam intemperierum implicationes quas ſyndromas vel concurſus appellant Empirici Medici qui aphoriſmos explicant, experimentis inventas eſſe prædicabant quæ quorundam morborum cauſæ ſint. Exempli gratiâ; *Quum hyems ſicca quidem & aquilonia fuerit, ver autem pluvium & auſtrinum, æſtate erunt febres acutæ, & lippitudines & dyſenteriæ.* Ac rurſus. *Si hyems quidem pluvioſa & auſtrina fuerit, ver autem ſqualidum & hyemale, mulieres quibus vere partus inſtat, quacunque occaſione abortiunt,* & quæ cætera deinceps recenſuit, ubi duntaxat quatuor tempeſtatum differentias ſcripſit, etiamſi permultæ ſint, quod animadvertere Quintum oportebat, tum conſiderare, tum perquirere primum quidem anni tempeſtatum in ſtatum qui præter naturam ſit mutationes; deinde pluribus inventis numerum omnium indagare cur quatuor duntaxat meminerit Hippocrates, à quibus omnibus inventis aliquam methodum inveſtigare liceret,

A τὰς καθ' ἕκαστον τῶν μηνῶν γινομένας ἡμέρας αἱ πᾶσαι γίνονται ε΄. καὶ ξ΄. καὶ τ΄. καὶ τεσσάρων δ' οὕτως ἀριθμηθέντων τῶν ἐτῶν, ἐν δὲ τῷ δ΄. ἔτει τὸν τρίτον ἀπὸ τοῦ δ΄. ποιοῦσι δυοῖν καὶ λ΄. ἡμερῶν. ἵν' ἕκαστος τῶν ἐνιαυτῶν γίνηται τξε΄. ἡμερῶν, καὶ προσέτι τετάρτης, ἡμέρας μιᾶς. τοῖς δὲ κατὰ Παλαιστίνην ἀριθμοῦσιν, οἱ δώδεκα μῆνες, ἀριθμὸς ἡμερῶν γίνονται τνδ΄. ἐπεὶ γὰρ ὁ ἀπὸ συνόδου τῆς πρὸς ἥλιον αὐτῆς χρόνος, ἄχρι πάσης ἄλλης συνόδου, πρὸς τὰς θ΄. καὶ εἴκοσιν ἡμέρας, ἔτι καὶ ἄλλο B μέρος ἥμισυ προσλαμβάνει, διὰ τοῦτο τοὺς δύο μῆνας ἡμερῶν γινομένους θ΄. καὶ ν΄. τέμνουσιν εἰς ἄνισα μέρη, τὸν μὲν ἕτερον αὐτῶν λ΄. ἡμερῶν ἐργαζόμενοι, τὸν δ' ἕτερον θ΄. καὶ κ΄. ἀναγκάζονται τοιγαροῦν οἱ οὕτως ἄγοντες τοὺς μῆνας, ἐμβόλιμόν τινα ποιεῖν ὅταν πρῶτον ἀθροισθῇ, τὸ τῶν ἔμπροσθεν ἐνιαυτῶν ἔλλειμμα, καὶ γένηται χρόνος ἑνὸς μηνός. καὶ γέγραπταί γε τῶν ἀστρονόμων καὶ ἄλλοις τισὶ, καὶ Ἱππάρχῳ, ὁπηνίκα χρὴ τοὺς ἐμβολίμους μῆνας ἐμβάλλεσθαι. διὰ τοῦτο, ὡς ἔφην, οὕτως ἐπὶ τούτων ἀριθμούντων τοὺς μῆνας, οὐκ ἔστιν C ὁρίσαι τὰς ἡμέρας, ἐν αἷς αἱ ἰσημερίαι τε καὶ τροπαὶ, καὶ τῶν ἐπιφανῶν ἄστρων αἱ ἐπιτολαὶ γίνονται. κατὰ δὲ τοὺς ἥλιον ἄγοντας, ὁρίσαι δυνατὸν, ὥσπερ ἔφην, ὑπό τε Ῥωμαίων καὶ Μακεδόνων, Ἀσιανῶν τε τῶν ἡμετέρων, καὶ πολλῶν ἄλλων ἐθνῶν. ὁπότ' οὖν εἴρηταί μοι ταῦτα κοινὰ τῶν ἐφεξῆς λόγων ἁπάντων, πάλιν ἐπὶ τὴν προκειμένην, ἀνάξω ῥῆσιν, ἐν ᾗ τῆς γενομένης ἐν Θάσῳ καταστάσεως ἀρχόμενος ἔφη. Φθινοπώρου περὶ ἰσημερίην, καὶ ὑπὸ πλειάδος, πολλοὺς ὑετοὺς D γενέσθαι. ὄντος γὰρ τοῦ φθινοπώρου περὶ ἰσημερίην, καὶ δυοῖν μηνῶν, οὐκ εὐθέως ἀπ' ἀρχῆς συνεισέβαλεν ἡ εἰρημένη κατάστασις, ἀλλὰ περὶ τὴν ἰσημερίαν ἤρξατο, καὶ παρέτεινεν ἄχρι πλειάδος δύσεως ἡμέραις ὡς πεντήκοντα, ἐν Θάσῳ φθινοπώρου. κατὰ μὲν τὸν Κόϊντον, οὔθ' ἡ χώρα συνενδείκνυταί τι πρὸς τὴν τῶν νοσημάτων πρόγνωσιν, οὔθ' ὅλως δυνατόν ἐστι τὰ γενησόμενα προγνῶναι, μόνον δὲ τὸ γεγενῆσθαι τινὰ νοσήματα, διεφθαρμένης τῆς κατὰ φύσιν ἐν ταῖς ὥραις κράσεως. ἐνίοτε δὲ καὶ τὴν ἰδέαν αὐτῶν, οὐκ ἐκ μεθόδου λογικῆς, ἀλλ' E ἐκ πείρας μόνης φησὶν ἐγνῶσθαι. καὶ τάς τε τῶν δυσκρασιῶν ἐπιπλοκὰς, ἃς συνδρομὰς ὀνομάζουσιν οἱ ἐμπειρικοὶ τῶν ἰατρῶν, ἐξηγούμενοι τοὺς ἀφορισμοὺς, ἐκ πείρας ἔλεγον εὑρῆσθαι τῶνδέ τινων νοσημάτων αἰτίας γινομένας, οἷον ὅταν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, κατὰ τὸ θέρος ἔσονται πυρετοὶ ὀξεῖς, καὶ ὀφθαλμίαι, καὶ δυσεντερίαι. καὶ πάλιν· Ἢν μὲν ὁ χειμὼν ἔπομβρος καὶ νότιος « γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ χειμέριον, αἱ μὲν γυναῖ- « κες ἧσιν οἱ τόκοι πρὸς τὸ ἔαρ ἐκ πάσης προφάσιος « ἐκτιτρώσκουσι, καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς κατέλεξε, F τέσσαρας μόνας διαφορὰς καταστάσεων γράψας, καίτοι παμπόλλων οὐσῶν, ὅπερ ἐχρῆν ἐνθυμηθέντα τὸν Κόϊντον ἐπισκέψασθαί τε καὶ ζητῆσαι, πρῶτον μὲν αὐτὰς δὴ τὰς παρὰ φύσιν ἐκτρεπομένας τῶν ὡρῶν, εἶθ' εὑρόντα πλείους, ζητῆσαι τὸν ἀριθμὸν ἁπασῶν, εἶτα σκέψασθαι διὰ τί τῶν τεττάρων ἐμνημόνευσε μόνων ὁ Ἱπποκράτης, ἐφ' οἷς ἅπασιν εὑρεθεῖσι ζητῆσαί τινα μέθοδον, ᾗ χρώμενοι,

τὰς τῶν ἄλλων ἁπασῶν καταστάσεων γνωρισόμεθα δυνάμεις. μόνος γὰρ ἂν οὗτος ἱκανῶς προγινώσκειν γνώσεται, καὶ τὰς μελλούσας ἐπιδημήσειν νόσους, ἀλλὰ καὶ προφυλάττεσθαι καθ' ὅσον οἷόν τε πρὸς τὸ μηδ' ὅλως αὐταῖς περιπεσεῖν διὰ τῆς εἰρημένης ὁδοῦ προελθὼν, ἱκανὸς ἔσται μόνος, ἢ εἰ τοῦτ' ἀδύνατον εἴη, διὰ τὸ μέγεθος τῆς αἰτίας, ὡς μετριωτάταις γοῦν ταύταις ἁλῶναι. ὅτι δὲ τὴν θεραπείαν τῶν νοσημάτων ὁ γυμνασθεὶς τὸν λογισμὸν, οἷς εἶπον ἅπασιν ἄμεινον εὑρίσκει, τῶν μηδὲν προεσκεμμένων, οὐδὲ τοὺς ἐπιτυχόντας ἀγνοεῖν ἡγοῦμαι, μή τοι γε τοὺς νομίμως πεπαιδευμένους. ὅτι μὲν αὐτὸς ὁ Ἱπποκράτης οἶδε πλείους τῶν ἐν ἀφορισμοῖς γεγραμμένων τεττάρων καταστάσεων, ἐξ αὐτῶν τῶνδε τῶν βιβλίων, ἃ νῦν ἡμῖν ἐξηγεῖσθαι πρόκειται, γένοιτ' ἂν ἱκανῶς σαφές. ἐν μὲν γὰρ τῷ πρώτῳ τῶνδε, τὴν πρώτην ἔγραψε κατάστασιν, ἐφ' ἧς αὐτὸς εἶπεν ἐπὶ τῇ τελευτῇ· γενομένης δὲ τῆς " ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια, καὶ μετὰ αὐχμῶν. δευτέραν δὲ, " ἐν ᾗ πάλιν ἔφη· γενομένου δὲ τοῦ ἔτεος ὅλου ψυχροῦ, " καὶ ὑγροῦ, καὶ βορείου. τρίτην δὲ ἀνώμαλόν τε καὶ ποικίλην, " ἀρξαμένην μὲν ὀλίγου πρὸ Ἀρκτούρου, ψυχρὰν τε καὶ ὑγράν. ἐφεξῆς δὲ γενομένην ἀπὸ τῆς φθινοπωρινῆς ἰσημερίας ἄχρι πλειάδων δύσεως, ἅπασι νότιον ἅμα ἀμετρίαις ὑγρότησιν. εἶθ' ἐφεξῆς ψυχρὰν καὶ ξηρὰν ἅμα πνεύμασι βορείοις μεγίστοις, ὅλῳ σχεδόν τι τῷ χειμῶνι· κἄπειτα ψυχρὰν καὶ ξηρὰν ἄχρι κυνὸς ἐπιτολῆς, ἐντεῦθεν ἀθρόως καύματα μεγάλα μέχρις ἀρκτούρου, καθ' ὃν ὕδατα νότια, μέχρι τῆς ἰσημερίας. ταύτης οὖν τῆς καταστάσεως ἀνωμάλου γενομένης, ὅμως ἐπεκράτει τὸ ψυχρὸν καὶ ξηρόν. ἐν δὲ τῷ τρίτῳ τῶν βιβλίων τούτων ἔγραψε κατάστασιν, ἣν εἰς ἓν πάλιν ἀναγαγὼν κεφάλαιον ἔφησεν. " ἔτος νότιον ἔπομβρον, ἄπνοια διὰ τέλεος, ἄλλην δ' ἐν " τῷ δευτέρῳ κατάστασιν ἐν ἀρχῇ γράφων εἶπεν. ἄνθρακες ἐν Κρανῶνι θερινοὶ, ὗεν καύμασιν ὕδατι λάβρῳ δι' ὅλου, ἐγένοντο μᾶλλον νότῳ. ὥσπερ καὶ αὕτη θερμοτάτη ἐστὶ, καὶ μετρίως ὑγρὰ, ὡς κατὰ μίαν ὥραν γενομένη τὸ θέρος, ὥσπερ καὶ ἡ κατὰ τὸ τρίτον βιβλίον ἐν ὅλῳ τῷ ἔτει. γεγραμμέναι δ' εἰσὶ καὶ ἄλλαι καταστάσεις, ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ἃς οὐκ εἶπ' ἐν ἀφορισμοῖς. ἀλλ' ὡς συνεχέστερόν τε τῶν ἄλλων γινομένας τὰς τέσσαρας, ἀκούσας τε παράδειγμα γίγνεσθαι, μετὰ τὸ ἐν τῷ περὶ ὑδάτων καὶ ἀέρων, καὶ τόπων αἰτιολογίας, ἠξίωσε τοῖς ἀφορισμοῖς γράψαι. ἀλλὰ καὶ εἰ μὴ παραλέλειπτε τελέως τὴν αἰτιολογίαν, ἡμεῖς ἂν αὐτὴν εὕρομεν ἐκ τῶν ἐν τοῖς ἀφορισμοῖς ὑπ' αὐτοῦ γεγραμμένων, ἱκανῶν ὄντων ἀνδρὶ λογικῷ πρὸς τὴν τῶν εἰρημένων εὕρεσιν. ἐπίστασθαι γάρ σε χρὴ τοῦτο δεδειγμένον μὲν ὑφ' ἡμῶν ἤδη πολλάκις ἐν πολλοῖς αὐτάρκως, εἰρησόμενον δὲ καὶ νῦν εἰς ὅσον ἀναγκαῖόν ἐστιν αὐτοῦ μνημονεῦσαι, ὡς τὰς κατὰ μέρος ἐν ἁπάσαις τέχναις συμπλοκὰς τῶν ἁπλῶν φαρμάκων, ἀδύνατον εἶναι δι' ἐμπειρίας γνωσθῆναι, διὰ τὸ πλῆθος, ἀλλ' ἐπὶ πάσαις αὐταῖς ὁδὸς μία τῆς εὑρήσεώς ἐστιν, ἡ διὰ τῶν οἰκείων στοιχείων, ὥσπερ καὶ ἐπὶ γραμματικῇ. ἵνα τοίνυν οἰκεῖα στοιχεῖα τῶν καταστάσεών ἐστιν, ἴδωμεν ἀπὸ τοῦ πράγματος τῆς οὐσίας ὁρμηθέντες, ὡς ἐν τοῖς περὶ ἀποδείξεως ἐδιδάχθημεν· ἀναλαβὼν οὖν ἀπ' ἀρχῆς, τὸν λόγον, ἤδη σοι δίειμι ἅπαντα κατὰ τὸ συνεχές, μηδὲν παραλιπών. αἱ ὧραι

A quâ usi cæterorum omnium statuum facultates cognosceremus. Hic enim solus tum ad eos qui creantur, tum ad grassaturos in vulgus prænoscẽdos morbos erit idoneus; imò & quoad fieri possit, ad eos præcavendo arcendos, ne quis planè in eos incidat qui commemorata via procedit, aut si hoc propter causæ magnitudinem assequi nequeat, saltem his commoderatissimis afficiatur. Quod enim meliùs morborum curationem inventurus sit, quæ in his à me proditis omnibus mentem exercitaverit, quàm qui nihil antea sint perscrutati, neque plebeios B ignorare arbitror, nedum probè institutos. Quòd enim ipse Hippocrates plures quàm quatuor status in aphorismis descriptos noverit, ex his ipsis libris quos explicare proposuimus, satis patebit. In horum nanque primo primum statum descripsit, de quo ipse in calce pronunciavit; *Quum autem totus hic status ad austrum & cum squaloribus existeret.* Secundum autem, in quo rursum ait; *Quum verò totus annus frigidus, & humidus, & Aquilonius*; Tertium denique tum inæqualem, tum varium, qui paulò ante Arcturum cæpit, frigidum & humidum. C At deinceps factum ab autumnali æquinoctio ad pleiadum occasum usque, prorsus austrinum unà cum immoderatis humiditatibus. Deinde continuata serie frigidum & siccum cum ventis aquiloniis maximis per totam prope hyemem, postea frigidum & siccum adusque canis ortum. Hinc affatim magni æstus ad Arcturum usque, quo pluviæ austrinæ ad æquinoctium usque. Quanquam verò hic status erat inæqualis, frigidum tamen & siccum in eo vincebant. Statum prætcrea scripsit in horum librorum tertio quem rursus in unum ca- D put reduxit hisce verbis; *Annus austrinus, pluvius, assiduè ventorum expers.* In secundo verò alium statum per initia scribens inquit; *In Cranone æstivi carbunculi pluebāt per æstum largo imbre, oriebantur autem magis austro spirante.* Atque ut hic status calidissimus est & moderatè humidus, in una scilicet quâ obortus est anni tempestate: ita quoque qui in tertio libro per totum annum describitur. Sunt verò & alii status descripti in Epidemiorum Libris, quos in aphorismis subticuit. Verùm quatuor, quòd cæteris frequentiùs contingerent exem- E plis effici intellexit, cum astrologia quam Libro de aëre Locis & aquis scribere voluit. Enim vero si causarum declarationem omnino prætermisisset, nos certè ex his quæ ab ipso in aphorismis scripta sunt, invenire potuissemus, quæ viro Logico ad dictorum inventionem sufficiunt. Te nanque hoc scire oportet, quod jam à nobis multis in locis multoties abundè demonstratum est; atque nunc etiam dicendum, quoad ejus meminisse necesse sit, fieri non posse ut particulares in F artibus omnibus simplicium medicamentorum complexiones experimentis ob multitudinem cognoscantur: sed his in omnibus una inventionis via est per propria elementa, quemadmodum & in Grammatica procedimus. Quænam igitur propria statuum elementa sint à rei substantia concitati speculemur, ut in Libris de demonstratione didicimus. Quare repetita ab exordio oratione, jam tibi continua serie omnia, nullis prætermissis, percurram. Anni tem-

pestates humiditate, caliditate, frigiditate & siccitate differunt; hyems quidem humiditate & frigiditate præstat cæteris; æstas verò caliditate & siccitate; ver autem in ambarum medio planè existit. In neutra siquidem oppositione altera alteram superat, neque sicco humidum præstat, neque calido frigidum; sed quædam partium utriusque oppositionis æquabilitas, atque omnium horarum totius propè diei & noctis similitudo, nulla insigni facta in ipsis vel permutatione, vel exuperantiâ, quales per autumnum conspiciuntur; frigore quidem manè vigente, circa verò meridiem calore vehementi, qui rursus ad crepusculum vespertinum in frigus transit; dominatur tamen in eo siccum humido, & frigidum calido. Talis tempestatum anni temperatura, ut magna ex parte mutatio fiat, paulatim quidem ut toto tempore à nemine percipiatur; repente verò magis, non tamen universim, neque immoderate, in humidorum temporum & secundum naturam mutationibus. Exoriente igitur Arcturo, plerunque pluit cum frigidis ventis. Etiam hinc autumnus incipit, & finitur æstas. Deinde sequenti tempore sensim & sine sensu quum ad frigidius fit mutatio, vergiliarum occasus manifestum solstitium efficit. Atque hinc omnino similiter ad vernum æquinoctium pervenitur, similisque interdum ad usque vergiliarum exortum fit adjectio. Sæpe vero conspicua quædam circiter tempus æquinoctii, commoderata tamen. Quinetiam ab exortu vergiliarum ad usque canis exortum calidum & siccum augentur, tum commoderatè, tum pedetentim; qui quum appulit, austrina quidem pauca oborietur tempestas: mox autem pluviæ succedent peræquè ac Etesiæ venti ad Arcturi ortum usque. Nos itaque tum experientia tum ratio docuerunt quum ita anni tempestates procedunt ac in se invicem commutantur, nullam pestem, nullosque epidemios morbos grassari; sed solos morbos sporadas, hoc est, dispersos diætæ succedentes. Quia vero singulis anni tempestatibus proprius evincit humor, ut ipse docuit, hyeme quidem pituita, vere sanguis, æstate bilis, autumno denique bilis acida; propterea pravo usis victu non iidem omnibus anni tempestatibus scatent morbi; sed, ut ipse docuit, vere quidem melancholiæ, & maniæ, epilepsiæ, sanguinis eruptiones, & cæteri quos continuata serie recenset, morbi. Æstate autem alii similiter, atque alii autumno, item alii hyeme qui ex dietæ erroribus oboriuntur; sed formis pro anni tempestate, ætate, & natura permutantur. Nam quia pro naturis, & ætatibus tum corporum temperamenta alia evadunt, tum humorum victoriæ differunt, proindeque pro harum ratione morborum formæ permutantur. Itaque de ætatum differentiis ita scripsit; *In ætatibus autem contingunt, parvis quidem & nuper genitis pueris apthæ, vomitus*, & contra quæ deinceps secundùm ætatem scripta sunt. De naturis autem sic pronunciat. Naturarum aliæ quidem ad æstatem, aliæ verò ad hyemem bene aut male comparatæ sunt. Quo fit ut laborantis corpus parem cum aëre efficientis causæ rationem habeat. Ex utrisque autem concurrentibus ascititium efficitur tem-

A τοῦ ἔτους διαφέρουσιν ὑγρότητι καὶ θερμότητι, καὶ ψυχρότητι καὶ ξηρότητι, τοῦ μὲν χειμῶνος, ὑγρότητι καὶ ψυχρότητι τὰς ἄλλας ὑπερβάλλοντος, ὥσπερ γε τοῦ θέρους θερμότητι καὶ ξηρότητι, τοῦ δ' ἦρος ἀκριβῶς ἀμφοῖν ὄντος ἐν τῷ μεταξύ. κρατεῖ γὰρ οὐδέτερον ἐν αὐτῷ, καθ' οὐδετέραν ἀντίθεσιν, οὔτε τοῦ ξηροῦ τὸ ὑγρὸν, οὔτε τοῦ θερμοῦ τὸ ψυχρὸν, ἀλλ' οἷον ἰσομοιρία τις ἀμφοτέρων ἐστὶ τῶν ἀντιθέσεων, ὁμοιότης τε τῶν ὡρῶν ἁπασῶν ὅλης τῆς ἡμέρας, ὡς ἔγγιστα καὶ τῆς νυκτὸς, μηδεμιᾶς μεγάλης B μεταλλαγῆς, ἢ ὑπεροχῆς ἐν αὐταῖς γινομένης, ὁποία κατὰ φθινόπωρον ὁρᾶται, κρύους μὲν ἕωθεν ὄντος, ἀμφὶ δὲ τὸ μέσον τῆς ἡμέρας, θάλπους ἰσχυροῦ μεταπίπτοντος αὖ πάλιν εἰς κρύος καὶ τοῦδε, δείλης ὀψίας· ἐπικρατεῖ δ' ὅμως αὐτοῦ, τὸ μὲν ξηρὸν τοῦ ὑγροῦ, τὸ δὲ ψυχρὸν τοῦ θερμοῦ. τοιαύτη μὲν ἡ κρᾶσις ἐστὶ τῶν ὡρῶν τοῦ ἔτους, ὡς ἐπὶ τὸ πολὺ, μεταβολῆς γινομένης κατὰ βραχὺ μὲν, ὡς μηδ' αἰσθάνεσθαί τινα διὰ παντὸς τοῦ χρόνου, κατὰ μείζονα δὲ αἰσθητῶς, οὐ μὴν ἀθρόως γε, οὐδ' ἀμέτρως ἐν ταῖς τῶν ὑγρῶν ὡρῶν καὶ κατὰ φύσιν μεταβολαῖς. Ἀρκτούρου γοῦν ἐπιτέλλον- C τος, ὡς τὸ πολὺ, σὺν ἀνέμοις ψυχροῖς ὑετὸς γίνεται. κἀντεῦθεν ἤδη φθινόπωρον μὲν ἄρχεται, παύεται δὲ τὸ θέρος. εἶτ' ἐν τῷ μετὰ ταῦτα χρόνῳ κατὰ βραχὺ, καὶ ἀνεπαισθήτως γινομένης τῆς ἐπὶ τὸ ψυχρότερον μεταβολῆς, ἡ τῆς πλειάδος δύσις αἰσθητὴν ἐργάζεται τὴν τροπήν. ἐντεῦθέν τε πᾶσιν ὁμοίως ἐπὶ τὴν ἐαρινὴν ἰσημερίαν ἀφικνεῖται, καί ποτε μὲν ὁμοία προσθήκη μέχρι πλειάδος ἐπιτολῆς γίνεται. πολλάκις δ' αἰσθητὴ μέν τις ἐν τῷ περὶ τὴν ἰσημερίαν χρόνῳ, σύμμετρος δέ. καὶ μέντοι μετὰ τὴν τῆς πλειάδος ἐπιτολὴν, αὐξάνεται τὸ θερμὸν καὶ τὸ D ξηρὸν, ἄχρι κυνὸς ἐπιτολῆς, συμμέτρως καὶ κατὰ βραχὺ, ἥκοντος τε τούτου, γενήσεται νότιον μὲν ὀλίγον, ἐπ' αὐτοῖς δ' ὑετοὶ ἐπίσης τοῖς ἐτησίοις πνεύμασιν ἄχρι τῆς κατὰ τὸν ἀρκτοῦρον ἐπιτολῆς. καὶ τοίνυν ἥ γε πεῖρα καὶ ὁ λόγος ἡμᾶς ἐδίδαξεν, ὅταν οὕτως αἱ ὧραι τοῦ ἔτους περιέρχωνταί τε καὶ εἰς ἄλληλα μεταβάλλωσι, μήτε λοιμόν τινα, μηθ' ὅλως ἐπιδήμια νοσήματα γινόμενα, μόνας δὲ τὰς ὀνομαζομένας ὑπ' αὐτοῦ σποράδας νόσους, τὰς κατὰ τὴν δίαιταν ἑπομένας. ἐπεὶ καθ' ἑκάστην τῶν ὡρῶν ἴδιος μὲν ἐπικρατεῖ χυμὸς, ὡς αὐτὸς ἐδίδαξεν, τοῦ μὲν χειμῶνος τὸ φλέγμα, τοῦ δ' ἦρος τὸ αἷμα, τοῦ δὲ θέρους χολὴ, φθινοπώρου δ' ἡ ὀξεῖα· διὰ τοῦτο τοῖς κακῶς διαιτωμένοις, E οὐ τὰ αὐτὰ πλεονάζουσι νοσήματα κατὰ πάσας τὰς ὥρας, ἀλλὰ, ὡς αὐτὸς ἐδίδαξε, τοῦ μὲν ἦρος τὰ μελαγχολικὰ, καὶ τὰ μανικὰ, καὶ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς κατέλεξε. τοῦ δὲ θέρους ἕτερα, ὁμοίως καὶ τοῦ φθινοπώρου, χειμῶνος δ' ἄλλα, γινόμενα μὲν ἐκ τῶν κατὰ τὴν δίαιταν ἁμαρτημάτων, ὑπαλλαττόμενα δὲ τὰς ἰδέας, διά τε τὴν ὥραν τοῦ ἐνιαυτοῦ, καὶ τὴν ἡλικίαν τε, καὶ φύσιν. ἐπειδὴ γὰρ καὶ κατὰ τὰς φύσεις, καὶ κατὰ τὰς ἡλικίας, αἵ τε κράσεις τῶν σωμάτων ἕτεραι γίνονται, καὶ αἱ τῶν χυμῶν ἐπικράτειαι διαφέρουσι, διὰ τοῦτο καὶ κατὰ ταύτας νῦν F ὑπαλλάσσεται τῶν νοσημάτων ἡ ἰδέα. περὶ μὲν οὖν τῶν ἐν ταῖς ἡλικίαις διαφορῶν ὧδέ πως ἔγραψεν· ἐν δὲ τῇσιν ἡλικίῃσι συμβαίνει, τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι, ἔμετοι, καὶ τἄλλα τὰ τούτων ἐφεξῆς γεγραμμένα κατὰ πᾶσαν ἡλικίαν. περὶ δὲ τῶν φύσεων ὧδέ πως· τῶν φύσεων αἱ μὲν πρὸς θέρος, αἱ " δὲ πρὸς χειμῶνα εὖ καὶ κακῶς πεφύκασι. γίνεται τοίνυν, καὶ ἴσον " μὲν ἔχον λόγον τὸ σῶμα τοῦ κάμνοντος αἰτίου ποιητικὸν, πρὸς " τὸ περιέχον. ἐξ ἀμφοῖν δὲ συνελθόντων, ἡ ἐπίκτητος ἐπιτε-

μᾶλλον ἢ ταῖς vel μᾶλλον ἢ ἐν ταῖς τῶν θερμῶν vel ξηρῶν.

λεῖται κρᾶσις, ἐφ' ᾗ τῶν ἐπιδημησάντων νοσημάτων ἡ
γένεσις. ἐὰν οὖν ἴδωμεν, οἷόν τι πέφυκεν εἰς τὸ σῶμα
δρᾶν τῶν ἀνθρώπων ἡ τοῦ περιέχοντος θερμότης, ὁποῖον δὲ
ἡ ψυχρότης τε, καὶ ξηρότης, καὶ ὑγρότης, ἴδωμεν δὲ καὶ τὴν
ὕλην αὐτὴν τὴν πάσχουσαν, ὁποία τίς ἐστιν, οὐδὲν ἔτι
χαλεπὸν εὑρεῖν καὶ προγνῶναι τὰ γενησόμενα νοσήματα.
» καὶ τούτων αὐτῶν ἔτι πρότερον εἰσόμεθα καλῶς εἰρημένον,
» τὸ, ἐν τοῖσι καθεστῶσι καιροῖσιν, ἢν αἱ ὧραι τὰ ὡραῖα ἀπο-
» διδῶσι, εὐσταθέες τε, καὶ εὐκρινέες αἱ νοῦσοι γίνονται,
ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι.
τίνες οὖν αἱ δυνάμεις εἰσὶ τῶν εἰρημένων ποιοτήτων ὑγρό-
τητος καὶ ξηρότητος, θερμότητος καὶ ψυχρότητος, ἀκού-
σωμεν αὐτοῦ τοῦ Ἱπποκράτους ἐν ἀφορισμοῖς λέγοντος·
» τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν
» ἐπομβρίων εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες. νοσή-
» ματα δὲ ἐν τῇσιν ἐπομβρίαις, ὡς τὰ πολλὰ, γίνονται, πυ-
» ρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες, ἐπίληπτοι
» καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι, ἐν δὲ τοῖς αὐχμοῖσι, φθινώ-
» δεες, ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι. ταῦτα μὲν οὖν ἐν
» αὐτοῖς λέλεκται περὶ τῶν εἰς πλείονα χρόνον ἐκτεταμένων
» καταστάσεων. ὥσπερ δὲ καὶ περὶ τῶν καθ' ὑγρότητα καὶ ξηρό-
τητα διαφορᾶς, ἐν τούτοις ἐδίδασκεν, οὕτως περὶ τῶν κατὰ
θερμότητα καὶ ψυχρότητα, δι' ὧν ἔγραψε περὶ τῶν βορείων
τε καὶ νοτίων καταστάσεων. ἐπὶ γὰρ τῆς ἡμετέρας οἰκήσεως,
ὁ μὲν βορρᾶς ψυχρὸς, ὁ δὲ νότος θερμός ἐστι, πλὴν εἴ που
σπανίως, ἐν ἀρχῇ τοῦ ἦρος ψυχρὸς, ἢ καί τινα ἄλλην ὥραν
ἐπὶ βραχὺ πνεύσειε τοιοῦτος, οὐδὲ τότε τοῦ βορρᾶ ψυχρό-
τερος. ἄκουσον οὖν ἑξῆς καὶ ὡς περὶ τούτων ἐν ἀφορισμοῖς
» ἔγραψεν ἀρξάμενος ὧδε. νότοι βαρυήκοοι, ἀχλυώδεες,
» καρηβαρικοὶ, νωθροὶ, διαλυτικοὶ, ὅταν οὗτος δυναστεύῃ
» τοιαῦτα ἐν τῇσιν ἀρρωστίαις πάσχουσιν. ἢν δὲ βόρειον ᾖ, βῆχες
» φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι
» πλευρέων, στηθέων· ὅταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν
» ἀρρωστίῃσι προσδέχεσθαι. ταῦτα μὲν οὖν αὐτοῖς λέλεκται
περὶ τῶν ἰσχυρῶν νοτίων, καὶ βορείων καταστάσεων τῶν ἐπὶ πλέον
ἐν χρόνῳ γινομένων. ἐνδείκνυται γὰρ διὰ τοῦ (δυναστεύειν)
ὀνόματος ἦρος περὶ πνεύματος οὐκ ἂν ἐπὶ τοῦ ἦρος, οὔτε βραχεῖ χρόνῳ πνεύ-
σαντος, οὔτ' ἐπὶ πλείοσιν ἡμέραις, ἀλλ' ἀσθενοῦς, εἰπὼν τοῦτο
τοὔνομα. περὶ δὲ τῶν ἐφημέρων νοτίων τε καὶ βορείων πνευ-
» μάτων, ἄκουσον αὖθις ἃ λέγει. Αἱ μὲν καθημεριναὶ κα-
» ταστάσιες, αἱ μὲν βόρειοι τά τε σώματα συνιστῶσι, καὶ εὔτο-
» να, καὶ εὐκίνητα, καὶ εὐδύνατα, καὶ εὔχροα, καὶ εὐηκοώτερα
» ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι,
» καὶ περὶ τὸν θώρακα ἄλγημα, ἤν τι προϋπάρχῃ, μᾶλλον πο-
» νέουσι. αἱ δὲ νότιοι διαλύουσι τὰ σώματα, καὶ ὑγραίνουσι, καὶ
» βαρυηκοΐας, καὶ καρηβαρίας, καὶ ἰλίγγους ἐμποιέουσιν ἐν τοῖσιν
» ὀφθαλμοῖσιν, καὶ ἐν τῷ σώματι δυσκινησίαν, καὶ τὰς κοι-
» λίας ὑγραίνουσιν. εἴρηται δὲ ἐν ἀφορισμοῖς ὑπ' αὐτοῦ,
καὶ ἄλλα γέ τινα περί τε φύσεως ὡρῶν καὶ τῆς ἀθρόας εἰς
ἄλληλα μεταβολῆς, ὧν ἕκαστον κατὰ τὸν προσήκοντα και-
ρὸν μνημονεύσομεν. ἐν τῷ παρόντι τοῦτο μόνον ἀρκεῖ,
διδαχθέντας τὰς πρώτας στοιχειώδεις δυνάμεις τῶν κα-
ταστάσεων ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους εἰρῆσθαι, καθ' ἃς
χρὴ περὶ πασῶν τῶν ὁπωσοῦν καταστάσεων τῶν γινομένων
ὁδῷ καὶ τάξει προϊόντας ἡμᾶς ἐξευρίσκειν, ὁποῖά τέ
τινα γενήσεται νοσήματα, καὶ ὅπως αὐτὰ κωλυτέον ἐστὶν,

A peramentum, unde morborum in vulgus grassantium ortus. Quare si noverimus quid in hominum corpus efficere possit ambientis calor, quidque frigus, siccitas, & humiditas, noverimus quoque ipsam qualis sit quæ patitur naturam, jamque futuros morbos tum invenire, tum prænoscere non amplius arduum fuerit. Atque his ipsis etiamnum prius sciemus illud probè pronunciatum esse; in constantibus temporibus si tempestivè tempestiva præcedant, morbi constantes, ac boni fiunt judicij, in inconstantibus inconstantes ac difficilis

B judicii. Quænam igitur sint dictarum qualitatum vires, humiditatis, siccitatis, caloris & frigoris, audiamus ipsum Hippocratem in aphorismis edicentem: Ex anni tempestatibus in universum siccitates imbribus sunt salubriores, minusque lethales. Morbi autem plerunque per imbres oriuntur, febres longæ, alui profluvia, putredines, epilepsiæ, apoplexiæ, & anginæ; at per siccitates, tabes, lippitudines, arthritides, stranguriæ. Hæc itaque ab ipso de statibus in longius tempus extensis pronunciata sunt.

C Quemadmodum autem & in his de differentiis in humiditate & siccitate docuit: ita & de his quæ in calore & frigore sunt, ubi scripsit de statibus tum aquiloniis, tum austrinis. In plaga siquidem nostra aquilo frigidus est, auster calidus, nisi fortassis (quod rarum existit) principio veris frigidus sit, vel in alia quadam anni tempestate aliquantisper talis spiraverit, neque tunc aquilone frigidior. Audi igitur deinceps quo pacto de his in aphorismis scripserit, sic exorsus; Austri auditus hebetudinem, visus caliginem, capitis gravitatem, torporem ac resolutionem excitant;

D At si aquilonia fuerit tempestas, tusses, faucium asperitates, alui duræ, dysuriæ, horrores, laterum & pectoris dolores oboriuntur: Hoc itaque dominante, talia in morbis expectanda sunt. Hæc itaque de vehementibus tum austrinis, tum aquiloniis statibus longo tempore perdurantibus ab eo pronunciata sunt. Nam per δυναστεύειν hoc est, prævalere id non de flatu qui vere, aut brevi tempore spirat, neque de eo qui pluribus quidem diebus, sed de eo qui imbecillus est, id vocabulum prædicari demonstrat. De quotidianis autem

E tum austrinis, tum aquiloniis flatibus audi iterum quæ commemorat; Quotidiani vero status, aquilonii quidem corpora robusta, motu facilia, valida, bene colorata, ac probè audientia faciunt; ventres exiccant, oculos mordent, & si quis thoracem dolor prius obsederit, eum adaugent. Austrini vero corpora exolvunt & humectant, auditum obtundunt, capitis gravitatem, & vertigines procreant, movendique difficultatem tum oculis, tum corpori concitant, alvos denique humectant.

F At in aphorismis ab eo dictum est alia quædam de anni temporum natura, atque universa inter se conversione, quorum unumquodque suo tempore memorabimus. In præsenti hoc unicum satis sit, si didicerimus primas elementares statuum facultates ab ipso Hippocrate pronunciatas esse, quibus oportet de omnibus quibusvis flatibus nos viâ & ordine progressos invenire quinam morbi accessuri sint, qua ratione ipsi prohibendi, vel

jam oborti curandi; hic enim maximus est A præsentis tractationis fructus. In horum autem elementis est etiam regio quæ & ad morborum prænotionem ipsa quoque nonnihil coindicat, quemadmodum & uniuscujusque natura, & ætas, & vitæ institutum, & victûs ratio. Demonstratum autem est ab eo dilucidè Libro de aëre, locis & aquis qui & quales, cuique regioni affluant morbi. Quare poteris ubi ambientis nos aëris status immoderatè tum frigidus, tum humidus redditus suapte natura morbos ab ipso demonstratos procreaturus sit, & B similem ex regione indicationem capere; ab ætate quoque, & natura, & vitæ institutis & tota victus ratione. Humidi siquidem & frigidi, tum natura, tum externis circunstantiis facilius à morbis qui ex humido & frigido statu futuri sunt, corripientur; contrarii vero difficilius. Itaque si habitatio sui ratione frigida & humida fuerit, talemque statum habuerit, familiarium huic statui morborum facilis erit generatio, conferente etiam ad hoc habitatione. Quemadmodum sanè si status immoderatè calidus & humidus aliquando oboriatur, C qualem secundo epidemiorum morborum, in principio hisce verbis descripsit; *pluebat per æstus largo imbri assiduè.* At regio ad dictorum putridorum morborum generationem confert, maximè quidem, si in utroque intemperata fuerit calidior & humidior constituta. Conferet quoque si in horum altero fuerit intemperata, ut Cranon, in concavo & meridiano loco sita; quæ ob id putridis morbis potissimum ut carbunculis exercetur, atque præter cætera incommoda, à ventis etiam aquiloniis est aversa, spiraculis & nenemiis ap- D pellatis, id est, ventorum qualitatibus occupata. Cranon itaque ejusmodi est, Thasus vero contrario modo sita est. Ad ventos siquidem aquilonios frigidosque conversa est Thraciæ ex adverso. Quum itaque totus status ad austrina factus esset & cum squaloribus, locus pro sui ratione huic statui non facilè patebat: Si nanque meridionalis simul & concavus fuisset, dictus status summè pestilens ipsi fuisset.

ἢ συστάντα θεραπευτέον, οὗτος γὰρ μέγιστος καρπὸς τῆς ἐνεστώσης πραγματείας. ἐν δὲ τοῖς στοιχειώδεσι τούτων, ἔστι καὶ ἡ χώρα συνενδεικνυμένη, καὶ αὐτή τι πρὸς τὴν τῶν νοσημάτων πρόγνωσιν, ὥσπερ ἥ τε φύσις ἑκάστου, καὶ ἡ ἡλικία, καὶ τὸ ἐπιτήδευμα, καὶ ἡ δίαιτα. δέδεικται δὴ ὑπ᾽ αὐτοῦ σαφῶς ἐν τῷ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων, ὁποῖα τὰ καθ᾽ ἑκάστην χώραν πλεονάζει νοσήματα. δυνήσῃ τοιγαροῦν ὅθεν ἡ τοῦ περιέχοντος ἡμᾶς κατάστασις ἀμέτρως ψυχρὰ καὶ ὑγρὰ γινομένη, κατὰ τὴν ἑαυτῆς φύσιν ἐργάζεσθαι μέλλῃ τὰ ὑπ᾽ αὐτοῦ δεδηλωμένα νοσήματα, καὶ τὴν παρὰ τῆς οἰκήσεως ἔνδειξιν λαβεῖν ὁμοίαν τῇ παρὰ τῆς ἡλικίας, καὶ τῆς φύσεως, καὶ τῶν ἐπιτηδευμάτων, καὶ τῆς ὅλης διαίτης. τὰ μὲν γὰρ ὑγρὰ καὶ ψυχρὰ τῆς φύσεώς τε καὶ κατὰ τὰς ἔξωθεν περιστάσεις, ῥᾷον ἁλώσεται τοῖς ὑπὸ τῆς ὑγρᾶς καὶ ψυχρᾶς καταστάσεως ἐσομένοις νοσήμασι, τὰ δὲ ἐναντία, δυσχερέστερον. ἐὰν οὖν ἡ οἴκησις ὑγρὰ καὶ ψυχρὰ κατὰ τὸν ἑαυτῆς λόγον, καὶ τὴν κατάστασιν ἔχοι τοιαύτην, ἕτοιμον τῶν οἰκείων τῇ καταστάσει νοσημάτων ἡ γένεσις ἔσται, συντελούσης τε καὶ τῆς οἰκήσεως. ὥσπερ γε πᾶσα ἡ ἀμέτρως θερμὴ ποτὲ γένοιτο καὶ ὑγρὰ κατάστασις, οἵαν ἐν τῇ β΄. τῶν ἐπιδημιῶν ἔγραψεν ἐν ἀρχῇ λέγων, ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ διόλου. συντελὲς δέ τι πρὸς τὴν τῶν εἰρημένων σηπεδόνων νοσημάτων γένεσιν ἡ χώρα, μάλιστα μὲν εἰ καὶ ἄμφω δύσκρατος εἴη θερμοτέρα καὶ ὑγροτέρα καθεστῶσα, συντελέσει δὲ καὶ κατὰ τὸ ἕτερον τούτων εἰ ἀμέτρως ἢ κεκραμένη, καθάπερ ἡ Κρανὼν ἐν κοίλῳ καὶ μεσημβρινῷ χωρίῳ κειμένη. καὶ διὰ τοῦτο μάλιστα σηπεδονώδεσι νοσήμασι, τοῖς ἄνθραξιν ἁλοῦσα, πρὸς τοῖς ἄλλοις ἀτόποις, ἔτι καὶ διὰ τὸ τὰ βόρεια τῶν πνευμάτων ἀπεστράφθαι, πνεύσεσι καὶ τοῖς καλουμένοις νηνεμίαις κατεχομένη. πνίγεσι Κρανὼν μὲν οὖν τοιαύτη, Θάσος δὲ τἔμπαλιν. ἔστραπται γὰρ πρὸς τὰ βόρεια καὶ ψυχρὰ πνεύματα, καταντικρὺς τῆς Θρᾴκης κειμένη. γινομένης οὖν τῆς καταστάσεως ὅλης ἐπὶ τὰ νότια, καὶ μετ᾽ αὐχμῶν, οὐκ ἦν εὐάλωτον τὸ χωρίον, ὅσον ἐφ᾽ ἑαυτῷ τῇ καταστάσει, εἰ γὰρ μεσημβρινὸν ἦν ἔτι καὶ κοῖλον, ἐσχάτως ἂν ἡ εἰρημένη κατάστασις ἐγεγόνει λοιμώδης αὐτῇ.

E

Tribus modis pluvias multas dici ac fieri tribus exemplis probat Galenus. Quæ sint pluviæ multæ, & quæ molles.

Τριχῶς ὕδατα πολλὰ λέγεσθαι καὶ γίνεσθαι, τρισὶ τοῖς παραδείγμασι δοκιμάζει Γαληνός. ἅτινα ἢ ὕδατα μαλθακά, καὶ πολλά.

HIPPOCRATIS TEXTUS II.

Pluviæ multæ, assiduæ, molles, ut per austros.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β΄.

Ὕδατα πολλά, ξυνεχέα μαλθακῶς, ὡς ἐν νοτίοισι.

GALENI COMMENTARIUS.

F

Tribus modis pluviæ multæ fiunt; interdum quidem ob pluviam ipsam confertim decidentem; interdum vero propter temporis diuturnitatem, etiamsi pluviarum stillæ minutulæ solæ quotidie delabantur; atque interdum concurrentibus ambobus. Habes autem ipsorum omnium scripta exempla in epidemiorum libris. Primi quidem modi statum quo ita exorditur; *In Thaso ante Arcturum imbres multi;* ostendit siquidem pluvias fuisse

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τριχῶς ὕδατα γίνεται πολλά, ποτὲ μὲν διὰ τὸν ὑετὸν αὐτὸν ἀθρόον ἐκρηγνύμενον, ἐνίοτε δὲ τῷ μήκει τοῦ χρόνου, κἂν ψεκάδες ὦσι μόναι καθ᾽ ἑκάστην ἡμέραν γινόμεναι, καὶ ποτ᾽ ἀμφοῖν ἅμα συνελθόντων. ἔχεις δὲ αὐτῶν πάντων παραδείγματα γεγραμμένα, κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία. τοῦ μὲν πρώτου τρόπου τὴν κατάστασιν, ἧς ἄρχεται τόνδε τὸν τρόπον. ἐν Θάσῳ, περὶ ἀρκτοῦρον ὕδατα πολλά· δηλοῖ γὰρ ταῦτα τὰ

A μεγάλα, πλῆθος ὕδατος ἀθρόου, τοῦ δὲ δευτέρου τρόπου παράδειγμα τὸ νῦν εἰρημένον ἐστίν. ὕδατα πολλά, ξυνεχέα μαλθακῶς. τὸ γὰρ πλῆθος αὐτῶν ἠθροίσθη, διὰ τὸ συνεχὲς ἐν χρόνῳ πλέονι γενέσθαι, καὶ μὴ καθάπαξ λάβρως ἐν ἑνὶ καιρῷ. τοῦ δὲ τρίτου τρόπου παράδειγμά ἐστι, τὸ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν ἐν ἀρχῇ γεγραμμένον, ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ διόλου, τὸ μὲν γὰρ λάβρον, πρὸς τὸν προειρημένον τρόπον κοινόν ἐστι, τὸ δὲ διόλου πρὸς τὸν δεύτερον. περὶ μὲν οὖν ἐκείνων τῶν καταστάσεων αὖθις ἐροῦμεν κατὰ τὸ οἰκεῖον ἑκάτερον· ἣν προκείμενον ἦν ἐν τῷ λόγῳ B μεταξὺ τῆς φθινοπωρινῆς ἰσημερίας, καὶ τῆς ἀρχῆς τοῦ χειμῶνος γενομένης ὕδατος καθ' ὅλην αὐτὴν ἔσχε μαλθακῶς, ὡς αὐτὸς ἔφην, ὅπερ ἀντίκειται τῷ ἀθρόως καὶ λάβρως, καὶ σφοδρῶς.

magnas, aquæ confertim delabentis copiâ. Alterius modi exemplum id nunc enunciatum est; *Pluviæ multæ, assiduæ, molles*. Nam ipsarum copia acervata erat, quòd continua longo tempore fuisset pluvia, & non prorsus uno tempore copiosa. Tertii modi exemplum est quod in principio secundi Epidemiorum scriptum est; *Pluebat per æstus largo imbre assiduè*. Largum siquidem ad prædictum modum commune; assiduè verò ad secundum. De statibus itaque illis rursum utroque suo loco dicemus. Qui vero propositus erat oratione inter autumnale æquinoctium & hyemis principium obortus pluviam habuit toto suo tempore mollem (ut ipse profert) quæ confertim, largè, & vehementer cadenti opponitur.

Ὅτι φθινοπώρου πέρας ὄμβριον χειμὼν νότιος ἐκδέχεται, ἐννοεῖται.

Quod autumni finem pluviosum hyems austrina excipiat, intelligitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γʹ.

Χειμὼν νότιος.

HIPPOCRATIS TEXTUS III.

C Hyems austrina.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι φθινοπώρου πέρας οἶδε, καὶ αὐτὸς τὴν τῆς πλειάδος δύσιν, ἣν διὰ συντόμου φωνῆς ὀνομάζει, καὶ πλειάδα, σαφῶς ἐδήλωσεν εἰπών, μετὰ τὸ προειπεῖν περὶ ἰσημερίην, καὶ ὑπὸ πλειάδος, γράψας τε ἐφεξῆς, χειμὼν νότιος, ὡς οὐδενὸς ὄντος μεταξὺ χρόνου διηγήσεως ἰδίας δεομένου, συνάπτοντος δὲ χειμῶνος, τῇ δύσει τῆς πλειάδος.

GALENI COMMENTARIUS.

Quod autumni finem noverit & ipse pleiádum occasum quem concisa voce appellat & pleiada, his verbis manifestè indicavit, *hyems austrina*. Ubi nanque prædixisset circiter æquinoctium, addidit & sub Pleiadas, scripsitque deinde *Hyems austrina*, tanquam nullum tempus intercedat, quod peculiarem postulet explicationem, sed pleiadum, D occasui hyems copulata sit.

Διχῶς τὰ βόρεια πνεύματα μικρὰ γίνεσθαι.

Ventos aquilonios duobus modis parvos fieri.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δʹ.

Μικρὰ πνεύματα βόρεια.

HIPPOCRATIS TEXTUS IV.

Parvi flatus aquilonii.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μικρά φησι πνεύματα γενέσθαι τοῦ χειμῶνος. Εἰ δέ γε κατὰ τὴν ἑαυτοῦ φύσιν ὁ χειμὼν ἐπεραίνετο, πάντως ἂν ἐγένετο μεγάλα. καὶ κατὰ διττὸν τρόπον ὑπῆρξεν ἂν αὐτοῖς τοῦτο, καθάπερ καὶ νῦν ἔοικε γεγονέναι σμικρά, κατά τε τὸ ἴδιον μέγεθος αὐτῶν, καὶ κατὰ τὸ μῆκος τοῦ χρόνου. καὶ γὰρ ὀλίγαις ἡμέραις ἐγένετο βόρεια, καὶ οὐκ ἰσχυρά, τοῦ χειμῶνος εἰθισμένου μέγαν ἴσχειν βορρᾶν ἐν χρόνῳ πολλῷ.

GALENI COMMENTARIUS.

E Ventos inquit hyeme parvos fuisse. Quod si secundùm suam naturam adusque finem hyems perducta fuisset, magni prorsus extitissent. Atque hoc ipsis bifariàm adfuit, quemadmodum etiam nunc parui fuisse visi sunt, & secundùm temporis prolixitatem. Etenim paucis diebus aquilonii non vehementes perflarunt quum hyems vehementem multo tempore aquilonem habere consueverit. F

Τὴν καταστάσει ἄκρως ξηρὰν αὐχμὸν ὀνομάζεσθαι.

Statum summè siccum appellari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ εʹ.

Αὐχμοί.

HIPPOCRATIS TEXTUS V.

Squalores.

A

GALENI COMMENTARIUS.

Sicciorem justo statum squalorem non admodum usitatè appellavit; ita nanque non absolutè sicciorem, sed summè siccum appellare consuevimus. Quòd verò hyems usque adeo sicca fiat, ut terram tanquam æstate squalidam reddat, tum præter opinionem, tum præter fidem existit. Non enim vere talis fit status, cui nunc similem factam esse omni ex parte hyemem proferat.

B

Hyemem veri æqualem non ab Hippocrate absolutè dici.

HIPPOCRATIS TEXTUS VI.

Hyems universa quale ver ducitur.

GALENI COMMENTARIUS.

C Sicciorem quidem quàm pro suâ natura hyemem extitisse pronunciat, non tamen æstati peræque siccam; quare quem squalorem paulò ante non admodum propriè usurpari diximus, accipere par est non absolutè nunc ab eo pronunciatum esse, sed ad aliquid, ut formicam magnam, vel montem parvum. Quòd enim hyems esset in præsenti non absolutè squalida, quemadmodum neque magna formica simpliciter magna est; sed ut magna formica, quæ sanè & ipso monte parvo minor est, atque hyems squalida æstate humidior existit, quomodo & hyemem comparatione dixit; *hyems tota quale ver fuit.*

D

Ver austrinum dici, quod austri liberaliùs in eo, & aquilonii parciùs perflaverint.

HIPPOCRATIS TEXTUS VII.

» *Ver autem austrinum frigidum, parvæ pluviæ.*

E

GALENI COMMENTARIUS.

Ver austrinum dixisse videtur, non quod in eo prorsus aquilonii venti minimè perflaverint, sed quòd paucissimi principio, atque adeo pauci, ut totum illius temporis statum austrinum enunciaret.

Æstas austrina, simulque squalida describitur.

F

HIPPOCRATIS TEXTUS VIII.

» *Æstas plerùnque nubila, pluviæ nullæ, etesiæ pauci pavuique sparsim spirarunt.*

GALENI COMMENTARIUS.

Si quis omnia de æstate pronunciata composuerit, dicat & hanc tum austrinam, tum simul squalidam obortam fuisse.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν ξηροτέραν τῆς προσηκούσης κατάστασιν, αὐχμὸν ὠνόμασεν οὐ πάνυ τι συνήθως. εἰώθαμεν γὰρ οὐ τὴν ἁπλῶς ξηροτέραν, ἀλλὰ τὴν ἄκρως ξηρὰν ὀνομάζειν οὕτως. ἀμήχανον δέ ἐστι, καὶ ἄπιστον εἰς τοσοῦτον γενέσθαι τὸν χειμῶνα ξηρὸν, ὡς αὐχμηρὰν ἀπεργάσασθαι τὴν γῆν ὥσπερ ἐν θέρει. οὐ γὰρ ἐν ἦρι τοιαύτη γίνεται κατάστασις, ᾗ νῦν ὅμοιον γεγονέναι φησὶ τὸν χειμῶνα τὸ σύνολον.

Τὸν χειμῶνα τῷ ἔαρι ἴσον οὐκ ἀπὸ τοῦ Ἱπποκράτους οὐχ ἁπλῶς λέγεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζʹ.

Τὸ σύνολον εἰς γε χειμῶνα ὁκοῖον ἔαρ γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ξηρότερον μὲν ἑαυτοῦ φησὶ γεγονέναι τὸν χειμῶνα, οὐ μὴν ὡσαύτως τῷ θέρει ξηρὸν, ὥστε καὶ τὸν αὐχμὸν ὃν ὀλίγον ἔμπροσθεν ἔφαμεν οὐ πάνυ τι κυρίως εἰρῆσθαι. δεκτέον οὖν ἐστιν οὐχ ἁπλῶς ὑπ' αὐτοῦ εἰρῆσθαι νῦν, ἀλλ' ἐν τῇ πρός τι, καθάπερ μύρμηκα μέγαν, ἢ ὄρος μικρόν. ὡς γὰρ ὁ χειμὼν ἐγένετο νῦν, οὐχ ἁπλῶς αὐχμηρὸς, ὥσπερ οὐδὲ μέγας μύρμηξ ἁπλῶς μέγας, ἀλλ' ὡς μέγας μύρμηξ, ὅστις γε οὖν τοῦ ὄρους τοῦ σμικροῦ σμικρότερός ἐστιν· ὅ, τε χειμὼν ὁ αὐχμηρὸς, ὑγρότερος τοῦ θέρους, ὥσπερ καὶ τὸν νῦν γεγενημένον χειμῶνα παραβάλλων εἶπε, τὸ ξύνολον εἰς χειμῶνα ὁκοῖον ἔαρ γίνεται.

Τὸ ἔαρ νότιον λέγεσθαι, ὅτι νότοι μὲν ἐν τούτῳ μᾶλλον, οἱ δὲ βόρειοι ἧττον καταπνεύσωσι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ηʹ.

Ἦρ δὲ νότιον, ψυχρόν· μικρὰ ὕσματα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔοικεν οὖν εἰρηκέναι τὸ ἔαρ νότιον, οὐχ ὡς οὐδ' ὅλως ἐν αὐτῷ γενομένων τῶν βορείων, ἀλλ' ὡς ὀλιγίστων ἐν ἀρχῇ, καὶ οὕτως ὀλίγων ὥστε τὴν ὅλην κατάστασιν τῆς ὥρας ἐκείνης νότιον εἰπεῖν.

Θέρος νότιον καὶ ἅμα αὐχμηρὸν γράφεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θʹ.

Θέρος ὡς τὸ πολὺ ἐπινέφελον, ἀνυδρίαι, ἐτησίαι ὀλίγαι, σμικραὶ, διεσπαρμένως ἔπνευσαν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴ τις ἅπαντα τὰ περὶ τοῦ θέρους εἰρημένα συνθείη, φαίη ἂν καὶ τοῦτο νότιόν τε καὶ αὐχμηρὸν ἅμα γεγονέναι.

A

Τὰ μὲν τῶν ζώων σώματα ὡσαύτως τῷ ἀεὶ ἡμᾶς περιέχοντι συνεξαλλοιοῦσθαι. οἷον τοῦ περιέχοντος, τοιοῦτο τοῦ ἀνθρώπου πνεῦμα εἶναι. ἐξ οὗ τὸ νέφος λευκὸν, καὶ λαμπρὸν, καὶ μέλαν, καὶ τὸ μεταξὺ γίνεται. πόθεν τὸ νέφος, καὶ ἡ δρόσος, καὶ τὰ μεταξὺ τῶν νεφέων χρώματα.

Animantium corpora pro ambientis nos aëris alterationibus alterari. Qualis ambientis spiritus, talem esse hominis spiritum. Unde nubes candida, splendida, nigra, media procreatur. Unde nubes, ros, & intermedii nubium colores.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετ' αὐχμῶν.

HIPPOCRATIS TEXTUS IX.

B *Oborto igitur toto ad austros, & cum squaloribus statu.*

ΥΠΜΟΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ὡς οὐδέποτε γενομένης ἐκδοχῆς ὑδάτων ἐν ὅλῳ τῷ ἔτει τὸ μετ' αὐχμῶν εἶπεν, ἀλλ' ὡς ὀλιγίστων παντάπασιν. πλὴν γὰρ τοῦ πρώτου χρόνου τοῦ μετὰ τὴν φθινοπωρινὴν ἰσημερίαν ἄχρι πλειάδος, πᾶς ὁ λοιπὸς ἐπικρατοῦσαν ἔσχηκεν ἱκανῶς τὴν ἀνυδρίαν. ἀγωγὴν δὲ δηλονότι τὴν κατάστασιν ὠνόμασε τοῦ περιέχοντος. εἴπερ οὖν ἀληθές ἐστιν ὡσαύτως τῷ περιέχοντι συνεξαλλοιοῦσθαι τὰ τῶν ζώων σώματα, κατὰ μὲν τοὺς ὄμβρους, ὑγρότερα γενήσονται, κατὰ δὲ τοὺς αὐχμοὺς, ξηρότερα. καὶ κατὰ μὲν τὰς θερμότητας ἐπικρατούσας ἡ κεφαλὴ ῥωστική, κατὰ δὲ τὰς ψυχρότητας, αὐτὴ μὲν ἔσται κουφοτάτη. τὰ δὲ κατὰ θώρακα, καὶ πνεύμονα μόρια, πονέσει. τῇ τοίνυν εἰρημένῃ καταστάσει, περὶ ἧς πρόκειται σκοπεῖσθαι μεταξὺ τὴν φύσιν ἐχούσῃ τῆς τε αἰθρίου καὶ καθαρᾶς ἀκριβῶς, καὶ τῆς μετ' ὄμβρων, ὁμοιούμενα τὰ σώματα μέσην ἕξει κατάστασιν κράσεως, ἣν ἐπίτρεψόν μοι καλέσαι νεφελώδη. τοιούτου γὰρ ὄντος τοῦ περιέχοντος, ὑποκειμένης δὲ καὶ τοῦ συναλλοιοῦσθαί τε καὶ συνεξομοιοῦσθαι τούτῳ τὰ σώματα, σαφηνείας ἕνεκεν οὐδὲν ἂν εἴη χεῖρον ὀνομάσθαι τὴν ἐν αὐτοῖς γενομένην κατάστασιν, εἶναι νεφελώδη τινά. καθάπερ οὖν ὅταν ὁ χειμὼν φυλάττῃ τὴν οἰκείαν κρᾶσιν, ἀναγκαῖόν ἐστιν ὑγρὸν καὶ ψυχρὸν χυμὸν γεννᾶσθαι τὸ φλέγμα. τοῦ θέρους δὲ ἔμπαλιν, τὸ θερμὸν καὶ ξηρὸν, τὴν ὠχρὰν χολήν, οὕτως ὁπότε νεφελῶδές ἐστι τὸ περιέχον, ἐπικρατεῖ τις τῶν χυμῶν, ἐν μὲν ταῖς φλεγματικαῖς φύσεσι ὁ μιχλῶδές τε καὶ νεφελῶδες, ὡς ἂν εἴποι τις φλέγμα. κατὰ δὲ τὰς πικροχόλους αὖ πάλιν ἡ ὁμιχλώδης τε καὶ νεφελώδης χολή. διὰ παντὸς μὲν γὰρ ἀπορρεῖ τι τοῦ σώματος ἡμῶν ἀτμῶδες, ἀλλ' ἐν μὲν ταῖς ξηραῖς καταστάσεσι πλεῖστον, ἐν δὲ ταῖς ὑγραῖς ὀλίγιστον. ἀθροιζόμενον οὖν ἔνδον τοῦτο, παραπλήσιον ὁμίχλῃ καὶ ἀχλύϊ τὸ σύμφυτον ἡμῶν ἐργάζεται πνεῦμα, ὅμοιος γάρ ἐστι ἐν τῷ περιέχοντι τὰ ζῶα πνεύματι ὁ ἀτμὸς, ὥστε κἀνταῦθα θαρσήσας ἄν τις, εἶπεν ἐν τοιαύτῃ καταστάσει γίνεσθαι τὸ ἐν ἡμῖν πνεῦμα. καὶ μὴν ὅταν ὁμίχλη τις ἢ ἀχλὺς ἐν ἑνὶ χρόνῳ ᾖ, πάσχουσα δύο ταυτὶ παθήματα, τό, τ' ἀναφέρεσθαι καὶ τὸ πιλοῦσθαι, νεφέλη γίγνεται λευκή. ἄνευ μὲν γὰρ ὑγρότητος, βορείου τοῦ ἀέρος ἀκριβῶς ὄντος, οὐκ ἄν ποτε γένοιτο νέφος. ἤτοι δὲ λαμπρὸν, ἢ μέλαν ἀποτελεῖται τοῦτο δι' ἀραίωσιν ἢ πίλησιν. ἀραιούμενον οὖν τὸ νέφος, εἰς ἑαυτὸ καταδέχεται τὸ τοῦ ἡλίου φῶς, καὶ κατὰ τοῦτο φαίνεται λαμπρὸν, ὡς ἂν ἐκλαμπούσης αὐτῷ τῆς ἡλιακῆς αὐγῆς, ὥσπερ ἐν τοῖς

GALENI COMMENTARIUS.

Non quod nullæ aquarum affusiones fuissent per totum annum cum squaloribus loquutus est; sed quòd omnino paucissimæ. Præter enim tempus primum ab autumnali æquinoctio adusque pleiadas reliquum omne tempus satis vincentem habuit imbrium carentiam. Ἀγωγὴν autem appellavit ambientis nos aëris statum. Quare si verum sit animalium corpora, ut ambientem nos aërem alterari, per imbres quidem evadent humidiora, per squalores verò sicciora; atque quum evincent quidem calores, robustum erit caput, per frigora verò levissimum; cæterum thoracis & pulmonis partes laborabunt. Quæ ergo narrato statui, quem contemplari proposuimus, mediam inter serenum ac plane purum, & pluviosum naturam sortienti, assimilantur corpora, medium temperamenti statum, quem nubilosum ut appellem mihi permitte. Nam si talis sit aër, suppositumque & corpora simul tum alterari tum ipsi assimilari, perspicuitatis gratiâ, ut status in ipsis genitus veluti nubilosus quidam appelletur, nihil absurdum fuerit. Quomodo itaque, quum hyems suum servaverit temperamentum, necesse est ut humor tum humidus, tum frigidus generetur, pituita scilicet; æstate verò contra, calidus & siccus, ut pallida bilis: sic ubi circunstans aër nubilosus est, quidam exuberat humor, in pituitosis quipem naturis pituita (prout aliquis dixerit) tum nebulosa, tum nubilosa. Semper enim aliquid à nostro effluit corpore quod vaporosum existit, in siccis quidem statibus plurimum, in humidis verò paucissimum. Hoc itaque quum in corpore acervatur, similem tum nebulæ, tum caligini innatum nostrum spiritum facit; in ambiente siquidem animalia aëre, spiritui similis est vapor, ut quisquam audeat dicere tali in statu talem in nobis esse spiritum. Atqui ubi eodem tempore nebula, vel caligo duo hæc habuerit, pathema, ut nimirum tum attollatur, tum distendatur, alba nubes procreatur. Nunquam enim absque humiditate, aëre exactè aquilonio existente, procreatur nubes; propter enim raritatem vel densitatem splendida aut atra completur. Quæ igitur rarescit nubes solis lucem in se suscipit, proindeque pellucida conspicitur, eam scilicet illuminante solis splendore, quemadmodum in pellucidis corporibus; constricta verò & condensatâ nube, solis lux per eam non transit; atque hoc merito nigra talis cernitur, non secus quàm aër ipse noctis, ubi solis splendo

C D E F

ipſum reliquerit. Manifeſtè etiam cernitur nebula multoties quidem ad terram defluere, quæ ros vocatur. Interdum verò in altum tolli, manifeſtéque fieri nubes, aut candida, aut atra; candida quidem quum (ut dixi) in ſe totum ſolarem receperit ſplendorem; atra verò ubi nullo pacto receperit. Intermedios autem, colores pro ſplendoris admixti quantitate nubes accipiunt. Verùm forſan hic ſermo tibi videbitur ſecum eſſe controverſus, qui ſcilicet dicat in altum tolli humiditatem, & condenſari. Surſum nanque tolli caloris opus eſt, denſari verò frigoris: Nequit autem idem calidum eſſe, ſimul & frigidum. At ſi intellexeris eam quæ ſurſum fertur exhalationem calidam eſſe, ob idque ſublimem vehi, aërem verò qui eam excipit, frigidum, non amplius dubitabis quomodo tum ſurſum feratur, tum ſimul condenſetur. Nam ut ſurſum feratur, ex ſe habebit; ut verò tum cogatur, tum conſtringatur, ob accipientem aërem, qui quò frigidior fuerit, eò magis nebulam quæ ſurſum tollitur, tum denſabit, tum coget. Quare quum aër neque evidenter calefaciat, neque talem refrigerationem habeat, neceſſe eſt ut in eo talis permaneat ſurſum lata nebula, qualis ab initio erat, fiatque alba quidem exactè ex eâ nube, ubi à ſolis ſplendore moveatur; media verò inter albam & nigram, ubi non perfectè eam ſol illuminaverit. Noli itaque demirari cur animantium corpora ſimilem huic ſtatui ſortiantur in ſe diſpoſitionem, quin potius Hippocrati fidem adhibe dicenti; auſtri auditus hebetudinem, viſus caliginem, capitis gravitatem, torporem, ac reſolutionem excitant: Explicat enim hoc textu corporis pathemata quæ in auſtrinis ſtatibus patitur. Quare ut auditus hebetudinem concitantes, torporem, ac reſolutionem, de his quæ ab auſtro in noſtris fiunt corporibus, dicantur manifeſtè: ita exiſtimare oportet, & caliginoſum dictum eſſe, quod acervatam in nobis ob ipſum, non aëris indicat caliginem.

A διαφανέσι σώμασιν. πιληθέντος δὲ καὶ πυκνωθέντος τοῦ νέφους, οὐ διεισέρχεται μὲν αὐτὸ τὸ ἡλιακὸν φῶς, μέλαν δὲ εἰκότως φαίνεται τὸ τοιοῦτον, ὥσπερ καὶ αὐτὸς ὁ ἀὴρ τῆς νυκτὸς, ἀπολιπόντος αὐτὸν τοῦ παρ' ἡλίου φωτός. καὶ φαίνεται σαφῶς ὁμίχλη, πολλάκις μὲν ἐπὶ τὴν γῆν καταῤῥέουσα, καὶ καλεῖται τὸ τοιοῦτον, δρόσος· ἐνίοτε δὲ εἰς ὕψος αἰρομένη, καὶ περιφανῶς γινομένη νέφος, ἤτοι λευκὸν, ἢ μέλαν· λευκὸν μὲν, ὅταν, ὡς εἶπον, εἰς ὅλον αὐτὸν δέξηται τὴν ἡλιακὴν αὐγὴν, μέλαν δὲ ἐπειδὰν μηδ' ὅλως ὑποδέξηται. τὰ δ' ἄλλα τὰ μεταξὺ τούτων χρώματα, κατὰ τὸ
B ποσὸν τῆς κεραννυμένης αὐγῆς, τὰ νέφη λαμβάνει. καί σοι τάχα δόξει διαφέρεσθαι πρὸς ἑαυτὸν ὁ λόγος, ἀναφέρεσθαί τε λέγων εἰς ὕψος τὴν ὑγρότητα, καὶ πιλεῖσθαι. τὸ μὲν γὰρ ἀναφέρεσθαι, θερμότητος ἔργον ἐστὶν, τὸ δὲ πιλοῦσθαι ψυχρότητος. οὐ δυνατὸν δ' ἐστὶ ταὐτὸν ἅμα θερμὸν εἶναι καὶ ψυχρόν. ἀλλ' ἐὰν ἐννοήσῃς αὐτὴν μὲν τὴν ἀναφερομένην ἀτμίδα θερμὴν εἶναι, καὶ διὰ τοῦτο πρὸς τὸ μετέωρον αἴρεσθαι, τὸν δ' ὑποδεχόμενον αὐτὴν ἀέρα, ψυχρὸν, οὐκέτι ἀπορήσεις ὅπως ἀναφέρεταί τε ἅμα καὶ πιλεῖται. τὸ μὲν γὰρ ἀναφέρεσθαι, παρ' ἑαυτῆς ἕξει, τὸ δὲ συνάγεσθαι καὶ σφίγγεσθαι,
C διὰ τὸν ὑποδεχόμενον ἀέρα, καὶ ὅσῳ δ' ἂν ᾖ ψυχρότερος οὗτος, τοσοῦτον μᾶλλον πιλήσει τε καὶ συνάξει τὴν ἀναφερομένην ὁμίχλην. ὅταν οὖν ὁ ἀὴρ μήτε θερμαίνει ἐναργῶς, μήτε ψυχταλίδα ἔχει τοιαύτην, ἀναγκαῖόν ἐστιν ἐν αὐτῷ διαμένειν τὴν ὑψωθεῖσαν ὁμίχλην, οἵαπερ ἦν ἐξ ἀρχῆς, καὶ γίγνεσθαι λευκὸν μὲν ἀκριβῶς ἐξ αὐτῆς νέφος, ἐπειδὰν ὑπὸ τῆς ἡλιακῆς αὐγῆς κινηθῇ. μεταξὺ δὲ λευκοῦ τε καὶ μέλανος, ὅταν μὴ τελέως αὐτὴν ὁ ἥλιος καταλάμπῃ.
D μὴ τοίνυν θαύμαζε, διὰ τί τὰ σώματα τῶν ζώων ὁμοίαν ἴσχει ποτὲ τοιᾷδε καταστάσει τὴν ἐν αὐτοῖς διάθεσιν, ἀλλὰ πείθου λέγοντος Ἱπποκράτους, νότοι βαρυήκοοι, ἀχλυώδεις, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί. διηγεῖται γὰρ ἐν τῷ λόγῳ τῷδε τὰ παθήματα τοῦ σώματος, ἃ πάσχει μὲν ἐν ταῖς νοτίοις καταστάσεσιν, ὥστε ὥσπερ τὸ βαρυήκοοι, καὶ διαλυτικοὶ, καὶ νωθροὶ κατὰ τῶν ὑπὸ τοῦ νότου γινομένων ἐν τοῖς ἡμετέροις σώμασιν εἴρηται, προδήλως οὕτως ἡγεῖσθαι χρὴ καὶ τὸ ἀχλυώδες λελέχθαι, τῆς ἐν ἡμῖν ἀθροιζομένης ἀχλύος δι' αὐτὸν, δηλωτικὸν ὂν, οὐ τοῦ περιέχοντος.
E

Auſtrinum ſtatum vocant, ubi diutius perflarunt auſtri, & parciùs aquilonij. Aquilonios ardentium febrium vehementium cauſas eſſe, illarum proprias eſſe hæmorrhagias. Spirantibus auſtris febres ardentes pauciores ac mitiores eſſe.

Τὴν νοτίον κατάστασιν καλοῦσιν ἐπεὶ ἐπὶ πλέον ἔπνευσε τὰ νοτία πνεύματα καὶ ἔλασσον τὰ βόρεια. τὰ βόρεια τῶν ἰσχυροτέρων καύσων αἰτίας εἶναι, καὶ τῶν ἐκείνων ἰδίας αἱμοῤῥαγίας. πνεόντων τῶν νότων τοὺς καύσους ἐλάττονάς τε καὶ πρᾳοτέρους γίνεσθαι.

HIPPOCRATIS TEXTUS X.

Ante ver quidem ex ſuperiori ſtatu ſubcontrario, & aquilonio procedente, paucis febres ardentes obortæ ſunt; hiſque prorſus bene moratæ, atque paucis ſanguis erupit, neque ex his ulli interibant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

F Πρωῒ μὲν τοῦ ἦρος ἐκ τῆς πρόσθεν καταστάσιος ὑπεναντίης, καὶ βορείου γενομένης, ὀλίγοισιν ἐγένοντο καῦσοι, καὶ τουτέοισι πάνυ εὐσταθεὶς, καὶ ὀλίγοις ἡμοῤῥάγησεν, οὐδ' ἀπέθνησκον ἐκ τουτέων.

GALENI COMMENTARIUS.

Statum aquilonium ante ver pauci quidem temporis fuiſſe liquidò conſtat, quod totum temperamentum ab ipſo prius auſtrinum vocatum ſit, qui non ita loquutus eſſet, ſi mul-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν ὀλιγοχρόνιος ἡ βόρειος κατάστασις ἐγένετο πρὸ τοῦ ἦρος, εὔδηλόν ἐστιν ἐκ τοῦ τὴν ὅλην κρᾶσιν προσειρῆσθαι πρὸς αὐτοῦ νότιον, οὐκ ἂν οὕτως εἰπόντος, εἰ ἐπὶ πολλαὶ

ἡμέρας ἔπνευσεν ὁ βορρᾶς. ὅμως δὲ καὶ πρὸς ὀλίγας ἡμέρας γενομένου βορείου τοῦ περιέχοντος, καυσώδη τινὰ νοσήματα συνέπεσεν ὀλίγοις, ἐπιεικῆ πάνυ καὶ ταχέως καθιστάμενα. φησὶ γὰρ, καὶ τούτοισι πάνυ εὐσταθεῖς. γράφουσι δ' ἔνιοι πάνυ εὐσταθῆ, τινὲς δὲ εὐσταθέα, κατὰ τὴν Ἰωνικὴν γλῶτταν, ἐν ἴσῳ τῷ μετρίῳ, καὶ οὐδὲν ὀλέθριον ἔχοντα. καὶ μέντοι καὶ ὀλίγοις αἱμορραγῆσαί φησιν, ὅπερ ἦν ἴδιον τῶν σφοδρῶν καύσων, ὥσπερ καὶ τὸ παραληρεῖν καὶ τὸ ἀποθνήσκειν, ἅπερ οὐδ' αὖθις τοῖς τότε γενομένοις συνέπεσεν, ἀλλὰ μετριώτατοί τε καὶ ὀλιγίστοις ἐγένοντο, τοῦ σφοδροῦ, B καὶ ὡς ἂν εἴποι τις, γνησίου καύσου τὴν γένεσιν ἐπὶ τῇ ξανθῇ χολῇ λαμβάνοντος, ἣν δὴ καὶ ὠχρὰν χολὴν ὀνομάζουσι. ταύτην δ' ὡς ἐδείκνυμεν ἐν τῇ προκειμένῃ καταστάσει, μόνον κατὰ τὸ προγεγονὸς θέρος ἔσχον οἱ φύσει χολώδεις οὐ πολλὴν, οὐκ ἐν τῷ μετὰ ταῦτα χρόνῳ, διὰ τὸ τὴν εἰρημένην κατάστασιν ὑγρὰν οὖσαν, ἔτι καὶ μᾶλλον ἀχλυώδη τε καὶ ὁμιχλώδη γενέσθαι. εἰκότως οὖν ὀλίγοις τε συνέπεσεν ὁ καῦσος, οἳ πάνυ χολώδεις ἦσαν, καὶ τούτοις οὐκ ἀκριβὴς, οὐδὲ σφοδρὸς, ἀλλ' ἐπιεικὴς, καὶ λυθῆναι ῥᾳδίως. οἷς δ' οὖν συνέβη, διὰ τήνδε τὴν αἰτίαν ἐγένετο· C προηγεῖται μὲν δὴ τὸ θέρος τοῦ φθινοπώρου κατὰ φύσιν ἔχον. ἄρχεται γὰρ ὁ Ἱπποκράτης τῆς τῶν καταστάσεων διηγήσεως, ὅταν πρῶτον εἰς τὸ παρὰ φύσιν ἐκτραπῇ τὸ περιέχον. ἀναγκαῖον δ' ἦν ἐν τῷ κατὰ φύσιν θέρει τοῖς πάνυ χολώδεσιν ἠθροῖσθαι πλέονα τὸν χυμὸν τοῦτον. ἐφεξῆς οὖν ἡ γενομένη κατάστασις ἐν ἅπαντι τῷ χειμῶνι μέχρι τοῦ ἦρος, οὔτ' ηὔξησέ τε τὸν χυμὸν τοῦτον· οὐ γὰρ ἦν θερμὴ σφοδρῶς καὶ ξηρὰ καθάπερ τὸ θέρος, οὔτ' ἐμείωσέ τι· τὸ γὰρ οὐχ ἱκανῶς ψυχρὰ, καθάπερ ὁ κατὰ φύσιν ἔχων χειμὼν, ἀλλ' οὐδὲ διεφόρησεν, οὐ γὰρ ἦν ἀκριβῶς ξηρά. λείπεται τοίνυν αὐτὸν D διαφυλαχθῆναι προσλαβόντα τὴν οἷον ἀχλυώδη τε καὶ ὁμιχλώδη, διὰ τὴν τοῦ περιέχοντος ὀλίγην ὑγρότητά τε καὶ θερμότητα συντραφεῖσαν ἀτμίδι. περὶ δὲ τοῦ ἦρος ἐξαίφνης ἀήθως γενομένου τοῦ βορρᾶ, πρὸς τὸ βάθος τοῦ σώματος ὠθουμένων ὑπ' αὐτοῦ τῶν χυμῶν, ὁ λεπτότατος πρῶτος ἐρρύη, καὶ οὕτως εἰργάσατο τὸν καῦσον. οὐ γὰρ ἐν οἷς ἔτυχε μορίοις ἀθροιζόμενος τοῦ σώματος ὁ χυμὸς οὗτος ἐργάζεται καῦσον, ἀλλὰ περί τε τὴν γαστέρα, καὶ ταύτης μάλιστα τὸ στόμα καὶ τοῦ ἥπατος τὰ σιμὰ, καὶ ὁμοίως οὐχ E ἡμορράγει. ἴδιον εἴπερ τι ἄλλο τῶν ἀκριβῶν καύσων ἐστὶ, τὸ δι' αἱμορραγίας κρίνεσθαι. καλεῖ δ' αἱμορραγίαν ὁ Ἱπποκράτης ἄνευ τοῦ προσθεῖναι τὸ μέρος ἐξ οὗ κενοῦται τὸ αἷμα, τὰς ἐκ τῶν μυκτήρων ἀποτελουμένας· οὐδὲν δὲ θαυμαστὸν, ἀναστομοῦσθαί τε καὶ διαρρήγνυσθαι τὰς ἐνταῦθα φλέβας ὑπὸ τοῦ αἵματος ἐπὶ τὸ μετέωρον ἀναφερομένου διὰ τὴν θερμασίαν, ὑφ' ἧς ἀναγκαῖόν ἐστιν αὐτὸ καὶ πνευματοῦσθαι, καὶ τότε τὰς φλέβας ἀναστομοῦσθαί τε καὶ ἀναρρήγνυσθαι, F διὰ τὸ τοῦ πνεύματος πλῆθος, ὃ καὶ τοὺς ἀσκούς τε καὶ τοὺς πίθους ῥήγνυσιν ἀθροιζόμενον ἐν τῷ γλεύκει ζέοντι. τοῦτ' οὖν τὸ σύμπτωμα τοῖς τότε γενομένοις καύσοις, οὐκ ἠκολούθησεν οὖσί γε μετρίοις, ὡς προείρηται.

A tos dies aquilo ſpiraſſet. Attamen quum aër paucis diebus fuiſſet aquilonius, paucis acciderunt ardentes morbi, admodum mites, quique derepente conſiſterent. Ait enim; *Atque his admodum bene morati.* Scribunt autem nonnulli, πάνυ εὐσταθῆ; quidam vero εὐσταθέα, Jonicâ linguâ, æquali modo, nihilque periculoſum habentia. Præterea etiam paucis ſanguinem erupiſſe pronunciavit, quod febrium ardentium, vehementium erat proprium, quemadmodum etiam delirare, & mori, quæ neque his tunc obortis ſucceſſerunt, ſed febres tum moderatiſſimæ, tum pauciſſimis evenere, vehementi, B & (ut quiſquam dixerit) legitima ardente febre à flava bile, quam & pallidam bilem nominant, ortum ſumente. Hanc autem, ut oſtendimus, in propoſito ſtatu, ſuperiori æſtate ſolùm habebant qui natura erant bilioſi, non multam, non in eo quod ſequebatur tempore, quòd dictus ſtatus humidus eſſet, atque etiamnum magis tum caliginoſus, tum nubiloſus. Jure itaque paucis contigit febris ardens, qui perquam bilioſi eſſent, hiſque non exquiſita, neque vehemens, ſed lenis, ac ſolutu facilis. C Quibus itaque oborta eſt, iis eam ob cauſam accidit; Præceſſerat enim autumnum æſtas ſecundùm naturam conſtituta: Exorditur enim ſtatuum enarrationem Hippocrates, ubi primùm aër in eum qui præter naturam eſt ſtatum, converſus eſt: At in naturali æſtate magnopore bilioſis hunc humorem copioſiorem acervari neceſſe erat. Qui igitur ſtatus ſucceſſit per totam hyemem ad ver uſque, nihil hunc humorem auxit: Non enim vehementer erat calidus, neque ſiccus, ut æſtas; neque etiam imminuit: non enim ſatis erat frigidus, ut D hyems, quæ ſecundùm naturam eſt; imo neque diſcuſſit; non enim erat exquiſitè ſiccus. Reſtat igitur hunc humorem conſervatum fuiſſe, accepta veluti tum caliginoſa, tum nebuloſa forma, propter modicam aëris tum humiditatem, tum calorem exhalationi connutrito. Verùm ante ver quum repente præter conſuetudinem perflaſſet aquilo, in corporis profundum propulſis ab ipſo humoribus, tenuiſſimus primus fluebat, atque ita febrem ardentem fecit. Non in quibuſvis corporis partibus acervatus hic humor febrem ardentem procreat; E verumetiam circa ventriculum, & maximè ipſius orificium, ſimaſque jecoris partes: eodem modo etiam non erumpebat ſanguis, Proprium ſi quidem aliud eſt exquiſitarum febrium ardentium per hæmorrhagias judicari. Appellat autem hæmorrhagiam Hippocrates, non addita unde ſanguis evacuetur parte, eam quæ per nares fit ſanguinis eruptionem: Nihil autem mirum eſt, ſi tum aperiantur, tum rumpantur, quæ huc ducuntur venæ, à ſanguine F qui in ſublime fertur ob calorem à quo ut infletur neceſſe eſt, venæque tum aperiantur, tum rumpantur ob ſpiritus copiam, qui & utres & dolia diſrumpit, quum in muſto acervatur. Hoc itaque ſymptoma febres ardentes conſequutum non eſt, quæ ſcilicet, ut prædictum eſt, eſſent moderatæ.

Eparmata pituitosa, biliosa, & sanguinea, vel ædematosa, erysipelatosa, & phlegmonosa; item alia laxa, alia tensa; illa austrina, hæc aquilonia; Quæ sint eorum substantiæ & causæ: vehementem partium intemperiem & tensionem doloris esse causas. Tensionis & intemperiei causæ; parotidum ortus.

HIPPOCRATIS TEXTVS XI.

MVltis autem circa aures tubercula ad alteram, plurimis etiam ad utranque propendebant, febre vacuis & rectè stantibus; etsi nonnullis paulisper incalescebant, omnibus extincta sunt, neminique suppurarunt, quemadmodum ea quæ aliis ex causis oborta sunt. Eorum autem hæc erat forma; laxa erant, magna, fusa, citra inflammationem, doloris expertia, omnibus absque signis evanuerunt.

GALENI COMMENTARIUS.

QUæ pronuntiata sunt omnia eparmata ob substantiæ redundantiam acciderunt, à qua alia quidem cum pituita gigni consueverunt, qualia phlegmatodea; alia à flava bile, ut erysipelatosa. Desistunt verò omnia facile, quod talis substantia promptè discutiatur: E contrario autem quæ ex crasso lentoque humore procreantur, difficile discutiuntur. Quæ in præsenti statu extiterunt, laxa erant, hoc est mollia, digitis cedentia, & quæ quum premerentur, cava manebant, & sine phlegmone, hoc est, sine flagratione; etiam sine dolore, quod neutrum ipsis inesset ex iis quæ dolores pariunt. Sunt autem hæc corporum tensio & vehemens intemperies. Tensio fit propter crassos lentosque humores affectis partibus ita impactos, ut resolvi citra negotium nequeant; intemperies vero vehemens, quod admodum calida, aut frigida existant. Quare merito tumores sunt dolore vacui, laxi, & absque ulceratione. Quod autem essent hujusmodi, facileque solverentur, propterea non ad suppurationem ducta sunt, ut quæ ex aliis oriuntur causis, vocat autem προφάσεις *occasiones* vel causas Hippocrates, interdum quidem, ut consuetudo est multis, nomen in causis quæ falso dicuntur, inferens; sæpiùs autem manifestas causas ita vocitat; interdum quoque & simpliciter omnes: at nunc aliis ex causis ortas suppurationes dixit, quas in febribus fieri ipse docuit, in quibus asservati sunt humores multi, crassi, crudi, qui propter caloris febrilis vehementiam, celeritatem, & copiam, sursum ad caput fertur; deinde ad aurium glandulas eos natura deponente, vocatæ parotides procreantur. Non erat sane hoc in statu hujusmodi quædam humorum redundantia, & qui tumores post aures consistebant, propter flatulentam substantiam statim discussi sunt. Patet ergo febres quidem ardentes in veris principium perflantibus aquiloniis incidisse; narratas vero parotidas toto reliquo tempore; sed jure moderatissimæ percipiebantur ob eas quas recensuimus causas, ita ut homines recti stantes ab ipsis affligerentur, hoc est, ut eas ferrent citra molestiam obambulantes, & consueta ob-

Ἐπάρματα τὰ φλεγματώδη καὶ χολώδη, καὶ αἱματώδη, ἢ οἰδηματώδη, καὶ ἐρυσιπελατώδη, φλεγμονώδη εἶναι. ἔτι μὲν ἄλλα χαῦνα, ἄλλα δὲ τεταμένα. τὰ μὲν νότια, τὰ δὲ βόρεια. Αἵ τινες τούτων ὦσι οὐσίαι καὶ αἰτίαι. τὴν ἰσχυρὰν τῶν μορίων δυσκρασίαν καὶ τὴν τάσιν, τὰς τῆς ὀδύνης αἰτίας εἶναι. αἱ τῆς τάσεως καὶ τῆς δυσκρασίας αἰτίαι. ἡ παρωτίδων γένεσις. τί ἡ πρόφασις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

ΕΠάρματα δὲ παρὰ τὰ ὦτα πολλοῖσιν ἑτερόρροπα ἦν, καὶ ἐξ ἀμφοτέρων τοῖσι πλείστοισιν, ἀπύροισιν ὀρθοστάδην, ἔστι δ' οἷς καὶ σμικρὰ ἐπεθερμαίνοντο, κατέσβη πᾶσιν ἀσινέως, οὐδ' ἐξεπύησεν οὐδενὶ, ὥσπερ τὰ ἐξ ἄλλων προφασίων. ἦν δ' ὁ τρόπος αὐτέων, χαῦνα, μεγάλα, κεχυμένα, οὐ μετὰ φλεγμονῆς ἀνώδυνα, πᾶσιν ἀσήμως ἠφανίσθη.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ εἰρημένα πάντα, διὰ τὴν πλεονεξίαν ἐγένετο τῆς ἀχλυώδους οὐσίας, ὑφ' ἧς τὰ μὲν ἅμα τῷ φλέγματι πέφυκε γίνεσθαι, τὰ δὲ ἅμα τῇ ξανθῇ χολῇ, τὰ ἐρυσιπελατώδη. ὅταν δ' ἅμα τῷ αἵματι, τὰ φλεγμονώδη. καθίσταται δὲ ἅπαντα ῥᾳδίως, διαφορουμένης τῆς τοιαύτης οὐσίας ἑτοίμως. ἔμπαλιν δ' αὐτῆς ὅσα διὰ παχὺν καὶ γλίσχρον γίνεται χυμὸν, δυσδιαφόρητα δηλαδὴ ὑπάρχει. τὰ δ' ἐν τῇ προκειμένῃ καταστάσει γεγενημένα χαῦνά τε ἦν, τουτέστι μαλακὰ, καὶ ὑπείκοντα τοῖς δακτύλοις, καὶ κατὰ τὴν ἐπίθεσιν αὐτῶν βοθρούμενα, καὶ μετὰ φλεγμονῆς, ὅπερ ἐστὶν οὐ μετὰ φλογώσεως, ἀνώδυνά τε, διὰ τὸ μηδέτερον αὐτοῖς συνεῖναι τῶν τὰς ὀδύνας ἐργαζομένων. ἔστι δὲ ταῦτα, τάσις τῶν σωμάτων, καὶ δυσκρασία σφοδρά. τάσις μὲν οὖν γίνεται διὰ τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς ἐμφραττομένους δυσλύτως τοῖς πάσχουσι μέρεσι· δυσκρασία δ' ἰσχυρὰ, διὰ τὸ θερμοὺς ἄγαν, ἢ ψυχροὺς ὑπάρχειν αὐτούς, ὥστ' εἰκότως ἀνώδυνα τὰ χαῦνα καὶ χωρὶς ἑλκώσεώς ἐστιν οἰδήματα, διότι δὲ τοιαῦτ' ἦν καὶ ῥᾳδίως ἐλύετο, διὰ ταῦτ' οὐκ ἐξεπύησεν, ὥσπερ τὰ ἐπ' ἄλλαις προφάσεσιν. ὀνομάζει δὲ προφάσεις ὁ Ἱπποκράτης, ἐνίοτε μὲν ὡς ἔθος ἐστὶ τοῖς πολλοῖς, ἐπὶ τῶν ψευδῶς λεγομένων αἰτίων φέρων τοὔνομα, πολλάκις δὲ τὰς φανερὰς αἰτίας οὕτως καλεῖ, καί ποτε, καὶ πάσας τὰς ἁπλῶς, ἀλλά νῦν γε τὰς ἐπὶ ἄλλαις προφάσεσιν ἐκπυήσεις εἴρηκεν, ὅσας ἐδίδαξεν αὐτὸς ἐν πυρετοῖς γινομένας, ἐν οἷς μὲν ἠθροισμένοι εἰσὶ χυμοὶ πολλοὶ παχεῖς καὶ ὠμοί· διὰ δὲ τὴν σφοδρότητα καὶ τὴν ὀξύτητα, καὶ τὸ πλῆθος τῆς θερμασίας τῆς πυρετώδους, ἀναφέρονται πρὸς τὴν κεφαλὴν, εἶτ' ἀποτιθεμένης αὐτοὺς τῆς φύσεως εἰς τοὺς ἐπὶ τοῖς ὠσὶν ἀδένας, αἱ καλούμεναι γίνονται παρωτίδες. οὔτ' οὖν τοιαύτη τις ἦν πλεονεξία χυμῶν εἰς τὴν νῦν λεγομένην κατάστασιν, καὶ φθάσαντα διεφορήθη τὰ συστάντα παρὰ τοῖς ὠσὶν οἰδήματα, διὰ τὸ πνευματῶδες τῆς οὐσίας. εὔδηλον οὖν ὅτι τὰ μὲν καυσώδη κατὰ τὴν ἀρχὴν τοῦ ἦρος ἐγένετο τῶν βορείων πνευσάντων· αἱ δ' εἰρημέναι παρωτίδες, ἐν τῷ λοιπῷ παντί. μετριώταται δ' ἦσαν εἰκότως, δι' ἃς εἶπον αἰτίας, ὥστε καὶ ὀρθοστάδην ὑπ' αὐτῶν ἐνοχλεῖσθαι τοὺς ἀνθρώπους, ὅπερ ἐστὶ φέρειν αὐτὰς ἀλύπως

περιερρωμένοις, καὶ πράσσοντας τὰ συνήθη, καὶ μὴ κατακλινομένοις κλινήρεις γίνεσθαι, καθάπερ ἐν τοῖς σφοδροτέροις νοσήμασι. τά τε γὰρ ἄλλα, καὶ εἰ δή ἐπύρεσσον ἀξιολόγως, ἀλλ' εἰ καί πού τις ἐξ αὐτῶν ἐγένετο θερμότερος, ἐπὶ βραχὺ τοῦτ' ἔπασχε, διὰ τὴν τοῦ πλεονάσαντος, ὡς εἴρηται, χυμοῦ φύσιν, ἀερώδους τοῦ πλέονος ὄντος ἢ ψυχροῦ.

A euntes munera, neque quemadmodum in gravioribus morbis decumbere necessario cogerentur. In cæteris enim neque insigniter febricitabant; imo si quis etiam ex illis esset calidior, id brevi patiebatur propter redundantis, ut dictum est, humoris naturam, qui aërius magis quàm frigidus erat.

Τὰ τῶν χυμῶν θερμοτέρων ἀποσκήμματα εἰς τὰ μετέωρα τοῦ σώματος, τὰ δὲ τῶν ψυχροτέρων κάτω γίνεσθαι· ὃ κατὰ τὰς θερμὰς ἢ ψυχρὰς κράσεις εὑρίσκεται.

B Humorum quidem calidiorum decubitus in sublimiores; frigidiorum verò in inferiores partes fieri, quod in calidis aut frigidis ætate aut victu temperamentis deprehenditur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

Ἐγίνετο δὲ ταῦτα μειρακίοισι, νέοισιν, ἀκμάζουσι, καὶ τούτων, τοῖσι περὶ παλαίστρας καὶ γυμνάσια πλείστοισι· γυναιξὶν δὲ ὀλίγῃσιν ἐγένετο.

HIPPOCRATIS TEXTUS XII.

At hæc oboriebantur adolescentibus, juvenibus, ætate florentibus, horumque plurimis qui in palestra, & gymnasiis exercebantur; mulieribus verò paucis contingebant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κοινὸν τοῦτο αἴτιον ἐπὶ πάντων τῶν ἀποσκημμάτων ἐπίστασθαι χρὴ λελεγμένον ὑπ' αὐτοῦ, δι' ἄλλων, ὡς οἱ μὲν θερμότεροι τῶν χυμῶν, εἰς τὰ μετέωρα τοῦ σώματος ἀποσκήπτουσιν, οἱ δὲ ψυχρότεροι κάτω. ἐπεὶ τοίνυν ὁ πλεονάσας ἐν τῇ καταστάσει χυμὸς, ὑπόψυχρός τε καὶ ἀερώδης ἦν, ἐν τῷ μέσῳ τὴν φύσιν καθεστὼς τῶν τ' ἄνω ῥαδίως φερομένων, καὶ τῶν κάτω ῥεπόντων, διὰ τοῦτο μόνοις τοῖς θερμοτέροις τὴν κρᾶσιν, ἢ διὰ τὴν ἡλικίαν, ἢ διὰ τὸ ἐπιτήδευμα, τὴν ὁρμὴν ἔσχεν ἐπὶ τὴν κεφαλήν. ἴσμεν δὲ ὅτι τὰ μειράκια διὰ τὴν ἡλικίαν, οὐ διὰ τὸ ἐπιτήδευμα θερμά, καθάπερ γε καὶ ἀκμάζοντες· οἱ δὲ περὶ παλαίστρας καὶ γυμνάσια διατρίβοντες, ἐκ τῶν ἐπιτηδευμάτων. εἰκότως οὖν ὀλίγαις γυναιξὶν ἐγένοντο, ταῖς δηλονότι νέαις τε καὶ φύσει θερμοτέραις, καὶ μὴ πάνυ τι βίον ἀργὸν ἐζηκυίαις.

GALENI COMMENTARIUS.

C Causam hanc communem in omnibus humorum decubitibus scire oportet, prolatam aliàs ab ipso Hippocrate, calidiores quidem in sublimiores corporis partes decumbere; frigidiores vero in inferiores. Quia igitur redundans hoc in statu humor tum frigidus, tum aëreus esset, mediamque obtineret naturam tum eorum quæ sursum facile feruntur, tum eorum quæ ad inferas repunt partes: propterea solis temperamento calidioribus vel ætate, vel vitæ instituto impetum ad caput habebant. Scimus D autem adolescentes propter ætatem, non propter vitæ institutum calidos esse, ut & ætate florentes: Qui vero in palæstris, gymnasiisque versantur, ob vitæ instituta calidi existunt. Jure igitur paucis mulieribus oboriebantur, juvenibus scilicet, & naturâ calidioribus, atque his quæ non admodum in otio vitam duxerunt.

Τίνες ξηραὶ βῆχες εἰσί· τίνες τούτων αἰτίαι, ἡ τῶν ἀναπνευστικῶν ὀργάνων τραχύτης, καὶ δυσκρασία, καὶ τὸ ὑγρὸν τὸ ὅτι παχύτερον ἢ λεπτότερον ἦ, μὴ ἐκκρίνεσθαι δυνάμενον. ὅθεν βραγχώδεις γίγνονται.

E Quid tussis arida, quæ sint hujus causæ: partium spirabilium asperitas, intemperies, humor qui vacuari nequit, quòd crassior aut tenuior sit. unde rauci?

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ.

Πολλοῖσι δὲ, βῆχες ξηραὶ, βήσσουσι, καὶ οὐδὲν ἀνάγουσι, καὶ φωναὶ βραγχώδεες οὐ μετὰ πολύ.

HIPPOCRATIS TEXTUS XIII.

Plurimis tusses aridæ, nihilque à tussientibus educebatur, atque voces non multò post raucescebant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τίνες μὲν αἱ ξηραὶ βῆχές εἰσιν, αὐτὸς ἐδήλωσεν εἰπὼν, οὐδὲν ἀνάγουσι. γίνονται δὲ αὗται, ποτὲ μὲν τραχύτητος μόνης, τῶν κατὰ τὴν φάρυγγα καὶ λάρυγγα μορίων, οὐδεμιᾶς ἐν τῷ πνεύμονι περιουσίας ὑγρῶν οὔσης. ἔνιοι μὲν οὖν οὐδὲν ἀναπτύουσι, τῷ μηδ' ὅλως ἔχειν τι περιττὸν, ἀναγωγῆς τε καὶ κενώσεως δεόμενον. ἕτεραι δὲ βῆχες γίνονται ξηραὶ, διὰ δυσκρασίαν τῶν ἀναπνευστικῶν ὀργάνων, ἐφ' ὧν οὐδ' αὐτῶν ἐστί τι ἀναπτυσθῆναι δεόμενον, ἄλλαι δὲ αὖ γίνονται μὲν ὑγρῶν περιεχομένων αὐτοῖς ἐκκριθῆναι δεομένων,

GALENI COMMENTARIUS.

Quænam tusses aridæ sint, his ipse verbis prodit; nihilque à tussientibus educebatur. F Hæ autem excitantur interdum quidem ob solam partium tum faucium, tum gutturis asperitatem, nulla pulmoni incumbente humorum redundantia. Atque hi nihil quicquam expuunt, quod nihil supervacaneum habeant, quod tum eductionem, tum vacuationem expostulet. Aliæ vero tusses fiunt ob intemperiem spirabilium organorum, in quibus nihil quicquam est quod expui desideret: Aliæ rursùs fiunt contentis in ipsis humoribus sui excretionem desiderantibus;

Sed hi geminam ob causam; aut quòd & lenti & crassi sint, & ita bronchiis pulmonis impacti, ut vix dissolvi queant, quod in aptystis nominatis pleuritibus fit, id est sputo vacuis, aut quòd humor qui à capite defertur consistentis aquæ instar sit tenuis. Talis enim quum per guttur & asperam arteriam defertur, prius in pulmones funditur quàm à spiritu per tusses sursùm feratur, quod tum Thasiis accidisse videtur, repleto quidem ab austrino flatu eorum capite; sed omnibus thoracis regionibus defluxionem immittente. Quod autem talis esset tussis testatur & quod ipsi assidet symptoma. Rauci siquidem, inquit, ita tussientes fiebant, humectatis scilicet vocalibus organis ab eo qui deorsùm ferebatur humore, ut in commentariis de voce demonstratum est.

A ἀλλ' οὐκ ἐκκρίνεται ταῦτα διὰ διττὴν αἰτίαν, ἢ τῷ γλίσχρα τ' εἶναι καὶ παχέα, καὶ δυσαπολύτως ἐμπεπλάσθαι τοῖς κατὰ τὸν πνεύμονα βρόγχοις, ὅπερ ἐπὶ τῶν ἀπτύστων ὀνομαζομένων τῶν πλευριτίδων, ἢ τῷ τὸ καταφερόμενον ὑγρὸν ἀπὸ τῆς κεφαλῆς, λεπτὸν εἶναι κατὰ τὴν σύστασιν, οἷόν περ τὸ ὕδωρ. φθάνει γὰρ τὸ τοιοῦτον ἐν τῷ καταφέρεσθαι διά τε τοῦ λάρυγγος καὶ τῆς τραχείας ἀρτηρίας ἐν τῷ πνεύμονι χεῖσθαι, πρὶν ὑπὸ τοῦ κατὰ τὰς βῆχας ἀνενεχθῆναι πνεύματος, ὅπερ καὶ τότε τοῖς Θασίοις ἔοικεν εἶναι, πεπληρωμένης μὲν ὑπὸ τῆς νοτίου καταστάσεως τῆς κεφαλῆς αὐτῶν, ἐπιπεμπούσης δὲ ῥεῦμα τοῖς B κατὰ θώρακα πᾶσι χωρίοις. ὅτι δὲ τοιαύτη ἦν ἡ βήξ, μαρτυρεῖ καὶ τὸ συνεδρεῦον αὐτῇ σύμπτωμα. βραγχώδεις γάρ φησιν οὕτω βήσσοντες ἐγένοντο, διαβρεχομένων δηλονότι τῶν ὀργάνων τῶν φωνητικῶν πρὸς τῆς καταφερομένης ὑγρότητος, ὡς ἐν τοῖς περὶ φωνῆς ἐπιδέδεικται.

Partium genitalium cum pulmonibus, & thoracis societas hîc deprehenditur: Quòd à capite in pulmones & testiculos humor decumbens illic tussim, hîc phlegmonem procreet.

Ἡ τῶν γεννητικῶν μορίων πρὸς τοὺς πνεύμονας καὶ τὰ κατὰ θώρακα κοινωνία ἐνταῦθα καταλαμβάνεται· ὅτι τὸ ὑγρὸν ἐκ τῆς κεφαλῆς εἰς τοὺς πνεύμονας καὶ ὄρχεις κατασκῆπτον, ἐκεῖ μὲν τὴν βῆχα, ἐνταῦθα δὲ τὴν φλεγμονὴν ποιεῖ.

C

HIPPOCRATIS TEXTUS XIV.

Quibusdam verò & multo post tempore inflammationes cum dolore in alterum testem repserunt, quibusdam etiam in utrunque.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Τοῖσι δὲ καὶ μετὰ χρόνον, φλεγμοναὶ μετ' ὀδύνης εἰς ὄρχιν ἑτερόρροποι, τοῖσι δ' ἐς ἀμφοτέρους.

GALENI COMMENTARIUS.

Pars quædam humoris à capite in pulmonem delapsi ex organorum societate ad testes pervenit. De partium autem genitalium ad thoracem societate aliis in libris orationem fecit Hippocrates. Sed quod in testes delapsum est, jam malignius erat, neque amplius primo illi simile, quod scilicet longo tempore in pulmonis regionibus computruisset. Jure itaque optimo testiculorum phlegmones cum doloribus erant, neque ut parotides dolore vacuæ. Quòd autem vel alter testis, vel uterque redundantiam excepisset, humorum quantitas ipsorum erat causa: Quibus enim paucus pervenisset, in teste altero firmabatur; quibus copiosior, in utroque.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦ κατενεχθέντος ἐκ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα, μέρος τι κατὰ τὴν κοινωνίαν τῶν ὀργάνων εἰς τοὺς ὄρχεις ἀφί-D κετο. λέλεκται δ' αὐτῷ περὶ τῆς κοινωνίας τῶν γεννητικῶν μορίων πρὸς τὰ κατὰ θώρακα, δι' ἑτέρων γραμμάτων· ἀλλὰ τοῦτό γε τὸ κατασκῆψαν εἰς τοὺς ὄρχεις, κακοηθέστερον ἦν ἤδη, οὐκέθ' ὅμοιον τῷ ἐξ ἀρχῆς, ὡς ἂν ἐν χρόνῳ πλείονι διασεσηπὸς ἐν τοῖς κατὰ πνεύμονα χωρίοις. εἰκότως τοιγαροῦν αἱ κατὰ τοὺς ὄρχεις φλεγμοναὶ μετ' ὀδύνης ἐγίνοντο, καὶ οὐχ ὥσπερ αἱ παρωτίδες ἀνώδυνοι. τοῦ δ' ἤτοι τὸν ἕτερον ὄρχιν, ἢ ἀμφοτέρους δέξασθαι τὴν περιουσίαν τῶν ὑγρῶν, αἴτιον ἦν τὸ πόσον· ἐν αὐτοῖς γὰρ ὀλίγον ἀφίκετο, κατὰ τὸν ἕτερον ὄρχιν ἐστηρίζετο. οἷς δὲ πλέον, κατ' ἀμφοτέρους.

E

Cur per austrinum statum alii febre detineantur, alii minimè.

Διὰ τί κατὰ τὴν νοτίαν κατάστασιν οἱ μὲν τῷ πυρετῷ κατέχονται, οἱ δὲ μή.

HIPPOCRATIS TEXTUS XV.

Quibusdam febres, aliis minimè oboriebantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

Πυρετοὶ τοῖσι μὲν, τοῖσι δ' οὔ.

GALENI COMMENTARIUS.

F

Qui redundarunt humores, eos neque magnopere calidos, neque admodum frigidos esse diximus; sed inter utrosque tum naturâ, tum temperamento medios. Quare pro ætatibus, naturalibus temperamentis, & vitæ institutis ægrotantium, aliis quidem ad calidius inclinarunt, proindeque febricitaverunt; nonnulli quod à principio habebant temperamentum servarunt; quod febrem excitare non sufficeret.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς πλεονάσαντας χυμοὺς ἔφαμεν, οὔτε θερμοὺς ἰσχυρῶς, οὔτε ψυχροὺς ἄγαν εἶναι, μεταξὺ δ' ἀμφοῖν τῇ φύσει καὶ μέσους τῇ κράσει, ὥστε παρά τε τὰς ἡλικίας, καὶ τὰς φυσικὰς κράσεις, καὶ τὰ ἐπιτηδεύματα τῶν νοσούντων, τοῖς μὲν ἐπὶ τὸ θερμότερον ἔρρεπε, καὶ κατὰ τοῦτ' ἐπύρεξαν, ἔνιοι δὲ τὴν ἐξ ἀρχῆς ἐφύλαξαν κρᾶσιν, οὐχ ἱκανὴν οὖσαν ἐγεῖραι πυρετούς.

A

Ὅτι νοσέοντες τὴν βῆχα, καὶ βράγχον, καὶ ἀπόστασιν εἰς ὄρχεις ἐπιπόνως φέρονται. διὰ τί;

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ις΄.

Ἐπιπόνως ταῦτα τοῖσι πλείστοισι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ πάντων ὧν εἶπεν, ἐπιπεφώνηκε τοῦτο. προειρήκει δὲ βῆχάς τε καὶ φωνὰς βραγχώδεις, καὶ ἀποστάσεις εἰς ὄρχιν, καί τισιν αὐτῶν καὶ πυρετούς. ταῦτ' οὖν φησι τὰ συμπτώματα τοῖς πλείστοις τῶν καμνόντων ἐπιπόνως συμβῆναι, τουτέστιν οὐκ εὐφόρως, οὐδ' ὥστε ῥᾳδίως ἀνέχεσθαι περιιόντας ὀρθοστάδην, ἀλλὰ τοὺς πλείστους αὐτῶν γενέσθαι κλινήρεις, ὡς ἂν ἀεὶ καὶ μᾶλλον ἐν χρόνῳ προϊόντι, τῶν ἠθροισμένων περιττωμάτων δριμυτέρων τε καὶ κακοηθεστέρων γινομένων· αἱ γάρ τοι νότιοι καταστάσεις χρονίζουσαι, σηπεδόνας ἐργάζονται, καὶ μάλιστα ὅταν ὦσιν ὑγραί. τῆς δὲ νῦν καταστάσεως οὐ γινομένης ὑγρᾶς, μέχρι πλείστου μὲν, (C) οὐδὲν ἀνιαρὸν ἔπασχον τὰ σώματα, τῷ χρόνῳ δ' εἰς τὸ πάσχειν ἀφίκετο, καὶ τοιαῦτα συνέβη τισὶν αὐτῶν ὕστερον, οἷα κατ' ἀρχὰς εὐθέως πᾶσιν ἦσαν, εἰ νότιος κατάστασις ὑγρὰ ἐγένετο.

Ægrotos tuſſim, raucedinem, abſceſſus in teſtes graviter, moleſtéque ferre; imò moleſtiùs auſtrinum ſtatum; Quare?

HIPPOCRATIS TEXTUS XVI.

Hæc laborioſè plurimis oborta ſunt.

GALENI COMMENTARIUS.

B

De omnibus quæ pronuntiavit, hoc acclamavit. Prædixit autem tuſſes, voces raucas, & in teſtem abſceſſus, & eorum quibuſdam febres. Hæc ergo ait ſymptomata plurimis ægrotantibus laborioſè, hoc eſt citra euphoriam accidiſſe; neque ut recti incedentes facilè ſuſtinerent; ſed ut ipſorum plurimi decumberent, proptereaquod aſſiduè magiſque progreſſu temporis aſſervata excrementa tum acriora, tum maligniora fierent: Auſtrini ſiquidem ſtatus ſi diutius durent, putredinem inducunt, ac præſertim quum humidi fuerint. C Quum vero ſtatus nunc humidus non eſſet, diutiſſimè quidem nihil moleſti patiebantur corpora; ſed tempore effectum eſt ut paterentur. Talia quoque horum quibuſdam poſtea accidebant, qualia per initia ſtatim erant omnibus ſi auſtrinus humidus fuiſſet.

Καὶ ἰητρεῖον καὶ τὸ τούτου ἀνακόλουθον διασαφηνίζεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη΄.

Τὰ δὲ ἄλλα, ὁκόσα κατ' ἰητρεῖον, ἀνόσως διῆγον. D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διχῶς ἐστιν ἐν τοῖς ἀντιγράμμασιν εὑρεῖν τὴν κατ' ἰητρεῖον φωνήν· ἐν τισὶ μὲν, ὡς εἴρηται νῦν, τῆς ἐσχάτης συλλαβῆς διὰ τοῦ ο. γραφομένης, ἐν τισὶ δὲ διὰ τοῦ η. σημαινούσης, τῆς μὲν προτέρας γραφῆς τὰ κατὰ τὸ ἰητρεῖον πραττόμενα, τῆς δὲ δευτέρας γραφῆς, τὰ κατὰ τὴν ἰατρικὴν ὅλην, ὡς ἤτοι τῶν κατὰ τὸ ἰητρεῖον ἔργων ἐπὶ τοῖς κάμνουσι (E) γινομένων, ἔξω καθεστηκέναι τοὺς Θασίους, ἢ τῶν καθ' ὅλην τὴν ἰατρικὴν τὰ προειρημένα πασχόντων τῶν καμνόντων. καθ' ἑκατέραν δὲ τήν τε γραφὴν, καὶ τὴν διάνοιαν, φαίνεται τὸ μετρίως ἐνοχληθῆναι τοὺς ἀνθρώπους ἐν τῷ χρόνῳ τοῦ ἦρος, ὡς ἂν τῆς τὰς νόσους ἐργαζομένης αἰτίας, οὐδέπω τι κακόηθες ἐχούσης, ὃ προϊόντος ἔσχε τοῦ χρόνου.

Medicatrina ejuſque conſectarium explicatur.

HIPPOCRATIS TEXTUS XVII.

D *E cæteris quæ in Officina Medici* ad Chirurgiam ſpectant *ſine morbo degebant.*

GALENI COMMENTARIUS.

Bifariàm vox κατ' ἰητρεῖον in exemplaribus reperitur; in quibuſdam, ut nunc dictum eſt, ſyllaba ultima per ο ſcripta; in nonnullis per η, ſignificante priore ſcriptura quæ ad Chirurgiam ſpectant; poſteriore verò quæ ad univerſam Medicinam attinent, ut vel à Chirurgicis operibus quæ in ægris fieri ſolent, abſtinerent Thaſii, vel ab iis quæ in tota Medicina fiunt ægris prædicta patientibus. Ex hac utraque tum ſcriptura, tum intelligentia moderatè vexati fuiſſe videntur homines veris tempore, cauſa morbos efficiente; nondum quicquam quod malignum eſſet, habente; id quod progreſſu temporis obtinuit.

Ὅτι τὰ ῥεύματα τὴν βῆχα ξηρὰν καὶ βράγχον, καὶ ἡ ἑκατέρα τὴν φθίσιν προέρχεται. αἱ τῆς φθίσεως διαφοραὶ καὶ αἰτίαι προκαταρκτικαί τε καὶ προηγούμεναι. F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ΄.

Πρωῒ δὲ τοῦ θέρεος ἀρξαμένου, καὶ διὰ θέρεος, καὶ κατὰ τὸν χειμῶνα, πολλοὶ τῶν ἤδη πολὺν χρόνον ὑποφθειρομένων φθινωδῶς κατεκλίθησαν· ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι, πολλοῖσιν ἐβεβαίωσε τότε.

Defluxiones tuſſim aridam & raucedinem, & utranque phthiſin præcedere. Tabis differentiæ, cauſæ externæ & internæ.

HIPPOCRATIS TEXTUS XVIII.

At verò ante incipientem æſtatem, & per æſtatem, atque in hieme eorum multi qui longo jam tempore ſubtabeſcebant, tabidi decubuerunt: quandoquidem multis etiam dubiè ſe habentibus, tabes tunc confirmata eſt.

A

GALENI COMMENTARIUS.

QUos superiùs dixit tussire quidem, sed vere nihil educere, hos æstate ait, atque post æstatem tempore tabidos evasisse, rem perpetuò his quæ conspiciuntur consonam enarrans: nam quæ capitis rheumata per initia tussim & raucedinem hominibus concitant, præcedente vero tempore non consistunt, hæc alteram tabis differentiam pariunt. Duæ nanque sunt ejus differentiæ maximæ; una quidem ex capitis defluxionibus constat; altera vero quæ ex ipsius pulmonis affectibus ortum ducit, prorsus quidem ex cruentis sputis, maximeque rupto vase; sæpius vero & rheumate affecto viscere, ob aliam quandam ex aliis partibus non ex capite causam. Si itaque ex vere australi æstas ipsa in statum aquilonium permutata fuisset, non fuissent manifesti qui à tabe clam exedebantur, neque absolutè tabuissent. Quia vero non solùm in aquilonium austrinus status conversus non est, imo & plurima pars æstatis nebulosa fuit, propterea quæ prodierunt à capite rheumata permanserunt, humoresque ex rheumate omnes, ac præsertim in pulmone ita putruerunt, ut ad sinceræ tabis procreationem nihil deficeret.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὓς ἔμπροσθεν εἶπον βήσσειν μὲν, ἀνάγειν δὲ οὐδὲν ἐν τῷ ἦρι, τούτους ἐν τῷ θέρει φησὶ, καὶ τῷ μετὰ θέρος χρόνῳ, φθινώδεις γενέσθαι, συμφωνοῦν τι τοῦτο ἀεὶ τοῖς ὁρωμένοις διηγούμενος. ὅσα γὰρ ἀπὸ κεφαλῆς ῥεύματα, βηχώδεις μὲν καὶ βραγχώδεις κατ' ἀρχὰς ἐργάζεται τοὺς ἀνθρώπους, ἐν δὲ τῷ χρόνῳ προϊόντι μὴ καθίσταται, ταῦτα τὴν ἑτέραν διαφορὰν τῆς φθίσεως ἐργάζεται. δύο γὰρ αὐτῆς εἰσὶν αἱ μέγισται διαφοραὶ, B μία μὲν ἐκ τῶν ἀπὸ τῆς κεφαλῆς ῥευμάτων συνισταμένη, ἑτέρα δὲ, ἡ ἐκ τῶν κατ' αὐτὸν τὸν πνεύμονα παθῶν ὁρμωμένη, τοὐπίπαν μὲν ἐπὶ ταῖς τοῦ αἵματος πτύσεσι, μάλιστα δ' ὅταν ἀγγεῖον ῥαγῇ, πολλάκις δὲ καὶ ῥευματωθέντος τοῦ σπλάγχνου, διά τινα ἄλλην αἰτίαν ἐκ μορίων ἑτέρων, οὐκ ἐκ τῶν ἐκ τῆς κεφαλῆς. εἰ μὲν οὖν ἐπὶ τῷ ἦρι νοτίῳ γινομένῳ, τὸ θέρος εἰς βόρειον μετέπεσε κατάστασιν, οὐκ ἂν ἐξηλέγχθησαν οἱ φθινωδῶς ὑποφθειρόμενοι, καὶ τελέως ἐγένοντο φθινώδεις. ἐπεὶ δ' οὐ μόνον οὐ μετέπεσεν ἡ νότιος κατάστασις ἐπὶ τὸ βόρειον, ἀλλὰ καὶ τὸ C πλεῖστον τοῦ θέρους ἐπινέφελον ἐγένετο, διὰ τοῦτο τά τε ἀπὸ τῆς κεφαλῆς ῥεύματα παρέμενον, οἵ τ' ἐν τῷ ῥεύματι χυμοὶ πάντες, καὶ μάλιστα κατὰ τὸν πνεύμονα διεσάπησαν, ὥστε μηδὲν ἐλλείπειν εἰς ἀκριβοῦς φθίσεως γένεσιν.

Tabis nomenclatura, & causæ; & quæ natura ad tabem propendeat.

Ἡ τῆς φθίσεως ὀνομασία καὶ αἰτίαι. καὶ τίς ἡ φύσις ἡ ἐπὶ τὸ φθινῶδες ῥέπουσα.

HIPPOCRATIS TEXTUS XIX.

QVibusdam autem primùm cæpit; hisque ad tabem natura vergebat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

D Ἔστι δ' οἷσιν ἤρξατο πρῶτον, τουτέοισιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες.

GALENI COMMENTARIUS.

PHthisicos & tabidos nominant Medici veteres, qui tabem morbum, quem etiam phthoen quidam appellitant, pati sunt idonei. Tales autem planissimè existunt qui thorace usque adeo sunt angusto atque non profundo, ut scapulæ alarum instar retro promineant; unde etiam tales pterigodes hoc est elatos vocitant. Quibus præterea facile caput impletur, & fluxiones multas ad spirabiles partes demittit, hi tabidi promptè fiunt. Utrisque in eundem concurrentibus tum thoracis conformatione, tum capitis imbecillitate, hujusmodi naturæ tabi sunt obnoxiæ ob ambas naturæ causas. Etenim quibus à capite ad pulmonem fluxiones mittuntur, hi temporis diuturnitate tabidi fiunt, ac ipsis plerunque vas in pulmone ob visceris tum angustiam, tum imbecillitatem; Tales quidem tabidi nonnulli. Quum autem dixit Hippocrates; Quandoquidem multis etiam dubiè se habentibus, tabes tunc, hoc est, æstate confirmata est. Deinde infert; Quibusdam autem cæpit primùm, hisque ad tabem natura vergebat. Non mihi videtur rationi oratio esse consonâ; multo nanque probabilius erat tales vere magis, quàm æstate incipere. Qui nanque quibusdam affectibus prehendendis idonei ac parati sunt, quàm imparati nec idonei, promptius in eos incidunt. Quemadmodum igitur & alia quædam in Epi-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φθινώδεις ὀνομάζουσιν οἱ παλαιοὶ τῶν ἰατρῶν, ὅσοι καὶ φθινώδη νόσον, ἣν καὶ φθόην τινὲς ὀνομάζουσιν, ἐπιτήδειοι παθεῖν. τοιοῦτοι δ' ὑπάρχουσι φανερώτατα, ὅταν ὁ θώραξ στενὸς, καὶ ἀβαθὴς εἰς τοσοῦτον, ὡς τὰς ὠμοπλάτας ἐξέχειν ὀπίσω δίκην πτερύγων, ἐντεῦθεν δὲ καὶ πτερυγώδεις ὀνομάζουσι τοὺς τοιούτους. ἀλλὰ καὶ ὅσοι τὴν κεφαλὴν εὐπλήρωτοί τέ εἰσι, καὶ ῥεύματα πολλὰ τοῖς ἀναπνευστικοῖς μορίοις E ἐπιπέμπουσαν ἔχουσιν, καὶ οὗτοι φθινώδεις ῥᾷστα γίνονται. συνελθόντων δ' εἰς ταὐτὸν ἀμφοῖν, τῆς τε κατὰ τὸν θώρακα διαπλάσεως, καὶ τῆς κατὰ τὴν κεφαλὴν ἀσθενείας, ἀκριβῶς αἱ τοιαῦται φύσεις φθινώδεις εἰσὶ κατ' ἀμφοτέρας τῆς φύσεως τὰς αἰτίας. καὶ γὰρ οἱ ἀπὸ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα ῥευματιζόμενοι, τῷ χρόνῳ φθινώδεις γίνονται, καὶ ἀναῤῥήγνυται πολλάκις αὐτοῖς ἀγγεῖον ἐν τῷ πνεύμονι, διά τε τὴν στενότητα τοῦ σπλάγχνου, καὶ τὴν ἀσθένειαν, τοιοῦτοι μέν τινες οἱ φθινώδεις. εἰρηκότος δὲ τοῦ Ἱπποκράτους, ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι, πολλοῖ- F σιν ἐβεβαίωσε τότε, τουτέστι κατὰ τὸ θέρος. εἶτ' ἐπιφέροντος ἔστι δ' οἷσιν ἤρξατο πρῶτον, τουτέοισιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες, οὐ μοι δοκεῖ τὸ εἰρημένον εὔλογον εἶναι. πολὺ γὰρ ἦν πιθανώτερον ἐν τῷ ἦρι τοὺς τοιούτους ἄρχεσθαι μᾶλλον, ἢ κατὰ τὸ θέρος. οἱ γὰρ ἐπιτήδειοι πάθεσιν ἁλίσκεσθαί τισιν, ἑτοιμότερον τῶν ἀνεπιτηδείων αὐτοῖς περιπίπτουσιν. ἔοικεν οὖν ὥσπερ καὶ ἄλλα τινὰ, κατὰ τὴν ἐπι-

δημιῶν τὰ βιβλία ταυτὶ, τὴν τάξιν ἠλλαγμένην ἔχειν, τοῦ γράψαντος αὐτὰ πρώτου σφαλέντος, εἶτα φυλαχθείσης τῆς ἁμαρτίας, οὕτως καὶ ταύτῃ τῇ ῥήσει συμβεβηκέναι, καὶ εἶναι τὸ συνεχὲς τῇ λέξει τοιόνδε. ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι πολλοῖσιν ἐβεβαίωσε τότε, οἷσιν ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινώδες. εἶτ' ἐφεξῆς, ἔστι δ' οἷσιν ἤρξατο πρῶτον τότε· καὶ μετὰ τοῦτο ἐφεξῆς.

οἷσι δὲ ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινώδεες τελέοισι ἤρξατο πρῶτον. vel ἔστι δ' οἷσιν ἤρξατο πρῶτον, οἷσιν ἡ φύσις ἐπὶ τὸ φθινῶδες vel ἐπὶ ὃ τελέοισιν ἤρξατο πρῶτον.

A demiorum libris, ita hæc ordinem inversum habere videntur, eo falso ac decepto qui primus hæc scripsit; deinde servato errore, ita & huic textui accidisse videtur, & continuata orationis series ejusmodi esse; *Quandoquidem multis etiam dubiè se habentibus tunc tabes confirmata est, quibus vergebat ad tabem natura.* Ac deinde; *Quibusdam autem primum cœpit.* Ac postea deinceps.

Ἡ τῶν πολλῶν φθινωδῶν κατὰ τὴν νοτίαν κατάστασιν ἀπώλεια.

B Tabidorum multorum per austrinum statum interitus.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ′.

ΑΠέθανον δὲ πολλοὶ καὶ πλεῖστοι τούτων, καὶ τῶν κατακλιθέντων, οὐκ οἶδα δ' εἴ τις καὶ μέτριον τοῦτο χρόνον διεγένετο.

HIPPOCRATIS TEXTUS XX.

EX his multi; atque etiam plurimi interierunt. Atque haud scio, si quis ex decumbentibus etiam modico tempore supervixerit.

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν φθινωδῶν δηλονότι. τοῦτο γὰρ ἀκοῦσαι χρὴ, κατὰ τὸν εἰρημένον τρόπον τῆς ῥήσεως ὅλης γεγραμμένης· καὶ γὰρ αὖ καὶ μετὰ τοῦτο πάλιν ἐφεξῆς εἰρημένα πάντα, φθινωδῶν ἐστι κοινά· μαθήσῃ δὲ προσέχων τὸν νοῦν ταῖς ῥήσεσιν, ὧν πρῶτον ἄρξομαι τῆς ἐφεξῆς γεγραμμένης.

GALENI COMMENTARIUS.

C TAbidorum scilicet. Id enim intelligere oportet, enunciato totius orationis modo. Etenim & quæ ab eo deinceps dicuntur omnia, tabidis communia existunt; idque didiceris, si textibus mentem adhibeas, exordiarque primùm ab ea quæ scripta subsequitur.

Διὰ τί φθινώδεις παρὰ τὸ ἔθος ὀξυτέρως ἀπέθανον.

Cur tabidi præter consuetudinem celeriùs interierunt.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ′.

ΑΠέθανον δὴ ὀξυτέρως, ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτα.

HIPPOCRATIS TEXTUS XXI.

D *CElerius verò interierunt, quàm vitam ducere talibus consuetum esset.*

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟὺς φθινώδεις φησὶ παρὰ τὸ εἰωθὸς ἀποθανεῖν ὀξύτερον· εἶθ' αὖθις ἐφεξῆς ἐρεῖ τὴν αἰτίαν, ἔνθα φησὶ, ἦν δὲ τοῖς πλείστοισιν αὐτῶν παθήματα τοιάδε. φρικώδεες πυρετοὶ, ξυνεχέες, ὀξέες· οὐ γὰρ εἰθισμένον τοῦτο συντυγχάνειν ταῖς φθίσεσι, ὃ φαίνεται τότε γεγενημένον. αἰτία δὲ τοῦ συνελθεῖν εἰς ταὐτὸ ἄμφω, τήν τε φθίσιν καὶ τὸν τοιοῦτον πυρετὸν, ἡ τῆς γενομένης καταστάσεως πρὸς τὰ σώματα παρόντα σχέσις. ἐλέχθη γάρ μοι καὶ μικρὸν ἔμπροσθεν, ἐκείνους ἁλῶναι μάλιστα τοῖς ἀπὸ τῆς κεφαλῆς καταῤῥόοις, ὅσοι θερμότεροι τὴν κρᾶσιν ἦσαν, οὗτοι γὰρ καὶ μάλιστα ἐπληρώθησαν, τὴν κεφαλὴν ἐν τῇ τοῦ νότου καταστάσει. τοῖς αὐτοῖς δὲ τούτοις, ἐπὶ πλέον ἐκταθείσης τῆς νεφελώδους διαθέσεως, συνέβη σαπῆναι τοὺς ἐν τῷ σώματι χυμοὺς, κἀντεῦθεν συνέβη κακοήθεια τῶν πυρετῶν. οἷς δ' ἧττον ἦν ἡ κρᾶσις θερμὴ, τούτοις οὐχ ἡ τῶν χυμῶν σῆψις, οὔθ' ἡ τῆς κεφαλῆς πλήρωσις ἐγένετο, πλὴν ὀλίγοις ἢ σὺν αὐτῶν ἐπὶ προήκοντι τῷ χρόνῳ. ὃ γὰρ ἐν ὀλίγῳ χρόνῳ πάσχουσιν αἱ παθεῖν ἐπιτήδειοι φύσεις, τοῦτο ἐν πλείονι ταῖς ἄλλαις συμβαίνει. καὶ οὐδὲν ἦν θαυμαστὸν, ἐπὶ νοτίῳ τῇ πρόσθεν καταστάσει, τὸ θέρος οὐ νότιον μόνον, ἀλλὰ καὶ νεφελῶδες γενόμενον, ἐργάσασθαί τινα σῆψιν χυμῶν, οὐ μόνον ἐν τοῖς θερμοτέροις, ἀλλὰ καὶ ἐν ψυχροτέροις σώμασιν.

καὶ βόρειον

GALENI COMMENTARIUS.

PHthisicos ait præter consuetudinem celeriùs interjisse; deinde causam ipse deinceps adfert hisce verbis: *Exercebant autem plurimo, eorum ejusmodi pathemata, febres horridæ, continuæ, acutæ:* Non enim id cum tabe esse consuevit, quod scriptum tunc evenisse videtur. Causa verò cur ambo hæc in idem concurrerint tum phthisis, tum febris hujusmodi status E est antecedentis ad affecta corpora dispositio: Nam paulo ante à medictum est, qui calidiore erant temperamento, illos maxime lapsis à capite catarrhis laborasse: Per austrinum enim statum horum caput maximè repletum erat. His autem ipsis longiùs protensa nebulosa dispositione contigit, humores in corpore putrescere, indeque orta est febrium malignitas. Quibus autem temperamentum minùs calidum esset, his neque humorum putrefactio, neque capitis repletio facta est, præter- F quam pueris ex horum temporis progressu. Quòd enim pauco tempore patiuntur quæ ad patiendum sunt idoneæ naturæ, id cæteris longiori accidit tempore. Et sanè nihil mirum fuit, si ex præcedente austrino statu facta æstas non austrina solùm; verumetiam nebulosa quandam humorum putredinem procreaverit, non tantum in calidioribus corporibus; sed & in frigidioribus.

Citra

A

Citra humorum putredinem non perimit morbi malignitas.

HIPPOCRATIS TEXTUS XXII.

Nam tum alios, tum longiores morbos, etiam febribus conjunctos facilè pertulerunt, neque interibant, de quibus scribetur.

GALENI COMMENTARIUS.

B

Alios inquit morbos absque tabidis, de quibus ipsi fuit oratio, qui etiamsi diuturniores & cum febribus essent; placidè tamen tulerunt; atque causa à nobis paulò antè prodita est, quod his minus malignus ex putredine fuisset humor.

Talem morbum esse maximum.

HIPPOCRATIS TEXTUS XXIII.

C

Sola nanque & eorum qui tunc oboriebantur, morborum maximus tabes multos peremit.

GALENI COMMENTARIUS.

Rei hujus causa paulò antè enunciata est, quum corporis temperamentum causam esse explicaremus, per quod tabidis correpti sunt morbis, febribusque malignis, de quibus deinceps loquitur.

D

Quid pathema; quid horridæ febres, & quæ earum causæ; quid reduplicatio. Semitertianæ ortus, causæ, typi. Quæ sit inter febrem assiduam & acutam differentia.

HIPPOCRATIS TEXTUS XXIV.

E

Ipsorum autem plurimis hujusmodi affectus aderant, horridæ febres, assiduæ, acutæ, in totum quidem non intermittentes; sed earum typus erat semitertianus, uno die leviores, altero insuper exacerbantes, omninò acutiùs increscentes.

GALENI COMMENTARIUS.

F

Plurimis tabidorum de quibus orationem instituebat, pathemata ait oborta fuisse, quod in textu ipse ordine recenset. At vocitant pathemata omnes Græci quæ præter naturam in nostris corporibus fiunt. Meminit autem primùm quidem inter ipsa dictionis φρικώδεες quum inquit, *horridæ febres erant.* Id autem ipsum significat horrores plurimam partem ascensus & incrementi, prout vocant, accessionis in ægrotantibus tenuisse: Non enim eos qui in principio insultus accessionis fiunt, horrores ita appellavit, sed in quibus per plurimam totius accessionis partem horroris extendatur symptoma. Fitque bifariàm; interdum quidem quum incrementum reduplicationes facit; interdum verò quum hoc ipsum solum inæqualem ascensum. Discrimen autem

Ἄνευ τῆς τῶν χυμῶν σήψεως οὐκ ἀποκτείνει ἡ νοσήματος κακοήθεια.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Ὥς τά γε ἄλλα, καὶ μακρότερα, καὶ ἐν πυρετοῖσιν ἐόντα, εὐφόρως ἤνεγκον, καὶ οὐκ ἀπέθνησκον, περὶ ὧν γεγράψεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄλλα φησὶ νοσήματα χωρὶς τῶν φθινωδικῶν, ὑπὲρ ὧν ὁ λόγος ἦν αὐτῷ, καίτοι μακρότερα γινόμενα, καὶ μετὰ πυρετῶν, ὅμως εὐφόρως ἠνέχθη, καὶ εἴρηται ἡ αἰτία μικρὸν ἔμπροσθεν ὑφ' ἡμῶν, ὅτι τούτοις ἧττον κακοήθης ὁ χυμὸς ἐκ τῆς σήψεως ἐγίνετο.

Τὸ φθινῶδες μέγιστον εἶναι τῶν νοσημάτων μέγιστον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

Μοῦνον γὰρ καὶ μέγιστον τῶν τότε γινομένων νοσημάτων, τοὺς πολλοὺς, τὸ φθινῶδες ἔκτεινε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται τούτου μικρὸν ἔμπροσθεν ἡ αἰτία, τὴν κρᾶσιν τοῦ σώματος ἡμῶν αἰτιασαμένων, δι' ἧς τοῖς φθινώδεσιν ἑάλωσαν νοσήμασι, καὶ τοῖς κακοήθεσι πυρετοῖς, ὑπὲρ ὧν ἐφεξῆς ἐρεῖ.

Τί πάθημα. τί φρικώδεις πυρετοὶ, καὶ αἵτινες τούτων αἰτίαι. τί ἀναδίπλωσις. ἡ τοῦ ἡμιτριταίου γένεσις, καὶ αἰτίαι, καὶ τύποι. τίς ἡ μεταξὺ τῶν πυρετῶν συνεχοῦς, καὶ ὀξέος διαφορά.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

Ἦν δὲ τοῖς πλείστοισιν αὐτέων τὰ παθήματα τοιάδε, φρικώδεις πυρετοὶ, συνεχέες ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες, ὁ δὲ τρόπος ἡμιτριταῖος, τὴν μίαν κουφοτέρην, τῇ δὲ ἑτέρῃ ἐπιπαροξυνόμενοι, καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῖς πλείστοις τῶν φθινωδῶν ὑπὲρ ὧν ἐποιεῖτο λόγον παθήματα γενέσθαι φησὶν ἃ κατέλεξεν αὐτὸς ἐφεξῆς. καλοῦσι δὴ παθήματα πάντες οἱ Ἕλληνες, ὅσα παρὰ φύσιν ἐν τοῖς σώμασιν ἡμῶν γίνεται. μέμνηται δὲ πρῶτον μὲν αὐτῶν τοῦ φρικώδεες [φησὶν ἦσαν οἱ πυρετοὶ] σημαίνει δὲ τοῦτ' αὐτὸ, τὸ μέχρι πλείστου τῆς ἀναβάσεώς τε καὶ ἐπιδόσεως καλουμένης τοῦ παροξυσμοῦ, τὰς φρίκας γενέσθαι τοῖς νοσοῦσιν. οὐ γὰρ δὴ τούς γε κατὰ τὴν ἀρχὴν τῆς ἐπισημασίας φρικώδεις γινομένους οὕτως ὠνόμασεν, ἀλλ' ἐφ' ὧν ἐπὶ πλεῖστον ὅλου τοῦ παροξυσμοῦ, τὸ τῆς φρίκης ἐκτέταται σύμπτωμα. καὶ γίνεται διττῶς, ἐνίοτε μὲν ἀναδιπλώσεις ποιούσης τῆς ἐπιτάσεως, ἐνίοτε δὲ αὐτὸ τοῦτο μόνον, ἀνώμαλον ἀνάβασιν. ἡ διαφορὰ δὲ ἐπὶ

ἐν τῷ ποσῷ τοῦ χρόνου. βραχέσι μὲν γὰρ πάνυ διαλείμμασι διειργομένων ἀπ' ἀλλήλων τῶν φρικωδῶν κινήσεων, ἀνώμαλός τε καὶ φρικώδης κίνησις λέγεται. μειζόνων δὲ τῶν διαλειμμάτων ὄντων, ἀναδίπλωσις γίνεταί τε καὶ ὀνομάζεται τὸ τοιοῦτον σύμπτωμα, καὶ γὰρ μάλιστα αὕτη κατὰ τοὺς ἡμιτριταίους ὀνομαζομένους πυρετοὺς, διὸ καὶ τρεῖς ὡς τὸ πολὺ, καὶ τέτταρες εἰσίν. δέδεικται δὲ τοῦτο ἡμῖν, ἐν τοῖς περὶ πυρετῶν λογισμοῖς, ὁ ἡμιτριταῖος ἐπ' ἀνωμάλῳ συνιστάμενος χυμῷ, τὸ μὲν τι πικρόχολον δριμὺ, τὸ δέ τι
ἔχων τι φλεγματῶδες, σηπόμενον ἔχοντι. τοιούτους οὖν τότε συνεδρεῦσαί φησι τοὺς φρικώδεις πυρετοὺς, διὰ τὴν γενομένην κατάστασιν, ὡς προείρηταί μοι. συνεχέας δ' αὖθις ὠνόμασεν, ἐνδεικνύμενος τὸ μὴ λήγειν εἰς ἀπυρεξίαν, ὃ δὴ καὶ αὐτὸς ἐξηγούμενος ἔφη, τὸ μὲν ὅλον οὐ διαλείποντες· διαλείποντας γὰρ ἐκείνους ὀνομάζουσιν ἰδίως πυρετοὺς, ὅσοι μετὰ τὴν ἀκμὴν ἀπυρεξίαν τινὰ φέρουσιν· ὅσοι δ' αἰσθητὴν μὲν ποιοῦνται παρακμὴν, ἀπυρεξίαν δὲ οὐδεμίαν ἔχουσιν, ὀξεῖς καὶ συνεχεῖς καλεῖ. τὴν μὲν ὅλην περίοδον ἔχοντας, ὀκτὼ καὶ τεσσαράκοντα ὡρῶν τοὐπίπαν, ὅσων ὥσπερ καὶ ὁ ἡμιτριταῖος, ἀλλ' οὔτ' εἰς ἀπυρεξίαν λήγοντας, ἔν τε τῇ ἑτέρᾳ τῶν ἡμερῶν τῇ κουφοτέρᾳ, φέροντας πάλιν ἕτερον παροξυσμὸν, μικρότερον μὲν θατέρου τοῦ τῆς ἄλλης περιόδου, οὐδὲ τὰς ἀναδιπλώσεις ἔχοντα, δυσεκθέρμαντον δὲ, καὶ μόλις ἐπὶ τὴν ἀκμὴν ἀνιόντα. ἴδιον δ' αὐτοῦ καὶ τὸ τὰς ἐφεξῆς τῇ πρώτῃ περιόδους, οὔτε ἀλλήλαις τῇ πρώτῃ ἴσας γίνεσθαι κατὰ τὴν ὀξύτητα, παραυξάνεσθαι δὲ ἀεὶ καὶ σφοδρύνεσθαι μέχρι τῆς ὅλης τοῦ νοσήματος ἀκμῆς.

A in temporis quantitate consistit. Si nanque brevibus admodum intervallis ab invicem horrifici motus distinguantur, motus tum inæqualis, tum horrificus dicitur. Si vero majora sint intervalla, reduplicatio fit, & appellatur tale symptoma. Atque ea potissimum efficitur in semitertianis appellatis febribus; proindeque tres plerunque & quatuor sunt. At hoc à nobis in libris de febribus demonstratum est, semitertianam ex inæquali humore consistere, qui partim amaram bilem acrem, partim pituitam putrentem sortiatur. Tales itaque ait tunc B febres horrificas ob præcedentem statum affecisse, ut à me supra enarratum est. Continuas autem ipsas nominavit, ad integritatem, non desinere ostendens, quod ipse explicans ait; *in totum quidem non intermittentes.* Nam intermittentes illas propriè febres nominant, quæ à vigore integritatem aliquam præstant; quæ verò sensui perviam faciunt declinationem, sed integritatem nullam habent, illas acutas & continuas vocitat, quæ totum quidem circuitum habent magna ex parte octo & quadraginta triginta C horarum quantum & semitertiana; sed neque ad apyrexiam desinunt; atque altero die leviore alteram rursus accessionem adferunt, minorem quidem altera circuitus alterius, neque reduplicationes habentem, verùm quæ vix incalescat, vixque ad vigorem perveniat. Habet quoque hoc & ipsa proprium, ut qui circuitus primò succedunt, neque inter se acuti sint, neque primò æquales; sed perpetuo adusque morbi vigorem tum increscant, tum vehementiores fiant.

D

Τὰ τῶν κακοήθων πυρετῶν συμπτώματα.

Malignarum febrium symptomata.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κέ.

Ἱδρῶτες δ' αἰεὶ, οὐ διόλου, ψύξις ἀκρέων πολλὴ, καὶ μόγις ἀναθερμαινόμενα.

HIPPPOCRATIS TEXTUS XXV.

SVdores autem perpetuò, non tamen copiosè manabant, extremorum refrigeratio multa, vixque recalescebant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι ταῦτα τὰ συμπτώματα κακοήθων ἐστὶ πυρετῶν, ἐν τῷ προγνωστικῷ μεμαθήκαμεν.

GALENI COMMENTARIUS.

E QUod hæc symptomata malignarum sint febrium, in prognostico didicimus.

Ὁπόσαι τὴν τῶν νοσημάτων κακοήθειαν, καὶ τὴν δυνάμεων κατάστρωσιν σημαίνωσι.

Quæ excretiones morborum malignitatem, & virium prostrationem denunciant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

ΚΟιλίαι ταραχώδεες, χολώδεσιν, ὀλίγοισιν, ἀκρήτοισι, λεπτοῖσι, δακνώδεσι, πυκνὰ ἀνίσταντο.

HIPPOCRATIS TEXTUS XXVI.

ALvi perturbatæ erant biliosis, paucis, sinceris, & mordacibus dejectionibus; crebroque exonerandi assurgebant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

ΑΚρήτους ἐκκρίσεις εἴωθεν ὀνομάζειν τὰς ἀκριβῶς χολώδεις. ὅταν δὲ μεθ' ὑγρότητος ὑδατώδους μιχθῇ, καὶ ἐκκενοῦται, τὸν τοιοῦτον χυμὸν, οὐκέτι ἄκρητον ὀνομάζει. ἐμάθομεν δὲ καὶ αὐτὸ τοῦτο περὶ τῶν ἀκράτων ἐκκρίσεων, ὧν εἶπε κακοήθειαν ἐν τῷ προγνωστικῷ, καὶ περὶ τῶν λεπτῶν τὴν σύστασιν χυμῶν, ὅτι πάντες ἄπεπτοι, καὶ δεόμενοι

GALENI COMMENTARIUS.

SInceras excretiones nominare consuevit, planè biliosas. Quod si hujusmodi humor cum aquosa humiditate permixtus vacuetur, eum non amplius sincerum appellat; didicimus autem & hoc ipsum de sinceris excretionibus, quarum malignitatem in prognostico pronunciavit, etiam de tenuibus consistentiæ humoribus, quod omnes incocti sint, atque ut coquantur

robustâ opus habent naturâ. Mordaces autem erant jure excretiones, si utique & biliosæ & sinceræ erant. Rursus quoque & surrectio assidua excretionum mordacitatem sequebatur; qua ratione effectum est ut propter hoc symptoma ægrotantium vires laborarent.

A ῥωμαλέας φύσεως εἰς τὸ πεφθῆναι. δακνώδεις δὲ εἰκότως ἦσαν, εἴπερ γε καὶ χολώδεις, καὶ ἄκρατοι. τούτῳ δὲ αὖ πάλιν εἵπετο τῷ δακνώδεις εἶναι, τὸ συνεχῶς ἐξανίστασθαι, ὥστε καὶ κατὰ τοῦτο τὸ σύμπτωμα, κάμνειν τῶν νοσούντων τὴν δύναμιν.

Pravæ urinæ describuntur, malignarum febrium signa.

Οὖρα πονηρὰ τὰ τῶν κακοηθῶν πυρετῶν σημεῖα διαγράφεται.

HIPOCRATIS TEXTUS XXVII.

Vrinæ tenues, incoctæ, decolores, & paucæ, aut crassitudinem habentes, paucumque sedimentum, non probè subsidentes, sed crudo quodam & intempestivo sedimento.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζʹ.

Οὖρα δὲ ἦν λεπτὰ, καὶ ἄπεπτα, καὶ ἄχροα, καὶ ὀλίγα, ἢ πάχος ἔχοντα, καὶ σμικρὴν ὑπόστασιν, οὐ καλῶς καθιστάμενα, ἀλλ' ὠμῇ τινὶ, καὶ ἀκαίρῳ ὑποστάσει.

GALENI COMMENTARIUS.

De urinis etiam didicimus tenues, decolores, & paucas, vel crassamentum sortitas ac paucas, pravas esse: quemadmodum etiam crassas quidem, sed quæ sedimentum nullum, aut paucissimum haberent. Hoc autem illis in febribus oboritur, in quibus calor multus ac flammeus humorum tum crudorum, tum crassorum fervorem quendam accendit. Jure igitur in iis aut prorsus non fit; aut si fiat, ea, ut ipse protulit, & cruda & incocta vrina est. De pravis autem sedimentis in prognostico egit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ περὶ τῶν οὔρων ἐμάθομεν, ὅτι τὰ λεπτὰ, καὶ ἄχροα, καὶ ὀλίγα, ἢ πάχος ἔχοντα, καὶ ὀλίγα, μοχθηρὰ, καθάπερ καὶ τὰ παχέα μὲν, ὑπόστασιν δὲ οὐδ' ὅλως, ἢ πάνυ σμικρὰν ἔχοντα, C καὶ τοῦτ' αὐτοῖς συμβαίνει, διὰ τὸ μὴ καλῶς καθίστασθαι. τοῦτο δὲ αὖθις πάλιν ἐκείνοις γίνεται τοῖς πυρετοῖς, ἐν οἷς θερμασία πολλὴ, καὶ φλογώδης τῶν ὠμῶν χυμῶν καὶ παχέων, ἐργάζεταί τινα ζέσιν. Εἰκότως οὖν ἐπ' αὐτῶν, ἢ οὐδ' ὅλως γίνεται, ἢ καὶ αὕτη, καθάπερ αὐτὸς εἶπεν, ὠμὴ καὶ ἄπεπτος. λέλεκται δ' αὐτῷ περὶ τῶν μοχθηρῶν ὑποστάσεων ἐν τῷ προγνωστικῷ.

Malignissimæ tabis ex sputis signa.

Τὰ κακοηθεστάτης φθίσεως ἐκ τῶν πτυομένων σημεῖα.

HIPPOCRATIS TEXTUS XXVIII.

Tussiebant autem pauca, densa, cocta, paulatim vix educentes. Quibus vero violentissima concidissent, neque paulatim his aderat maturatio, sed perpetuò cruda expuebant.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κηʹ.

Ἔβησσον δὲ σμικρὰ, καὶ πυκνὰ, καθ' ὀλίγον μόγις ἀνάγοντες. οἷσι δὲ τὰ βιαιότατα ξυμπίπτοι, οὐδ' ἐπ' ὀλίγον πεπασμὸς ἦν, ἀλλὰ διετέλεον ὠμὰ πτύοντες.

GALENI COMMENTARIUS.

In malignissimis quidem tabibus, & quibus prope mors est, neque paulatim coquuntur quæ expuuntur; in cæteris vero quæ moderatæ sunt, & quæ in longius tempus prodeunt, quamobrem supervacaneus in pulmone humor probè coquitur & facile expuitur. At descriptis tabidis nihil horum adfuit: Aut enim prorsus incoctum expuebant, aut coctum quidem, sed paucum & quod paulatim vix educeretur. Atque de ejusmodi excreatione in prognostico pronunciavit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταῖς μὲν κακοηθεστάταις φθίσεσι, καὶ οἷς ἐγγὺς ἦν θάνατος, οὐδ' ἐπ' ὀλίγον πέττεται τὰ πτυόμενα. ταῖς δ' ἄλλαις, ὅσαι μέτριαι γε εἰς πλείονα χρόνον ἐκπίπτουσιν, E δι' αὐτὸ τοῦτο πέττεται καλῶς ἡ περὶ τὸν πνεύμονος περιουσία τῶν χυμῶν, καὶ ἀποπτύεται ῥᾳδίως, ἀλλὰ τούτοις γε τοῖς γεγραμμένοις φθινώδεσι, οὐδὲν τούτων ὑπῆρχε. ἤτοι γὰρ παντάπασιν ἄπεπτον, ἔπτυον, ἢ πεπεμμένον μὲν, μικρὸν δὲ καὶ κατὰ βραχὺ μόγις ἀναφερόμενον. Εἴρηκε δὲ καὶ περὶ τῆς τοιαύτης πτύσεως ἐν τῷ προγνωστικῷ.

Malignæ tabis symptomata in faucibus apparentia, fluxiones parvæ, tenues, acres. Unde.

Τῆς κακοήθους φθίσεως συμπτώματα κατὰ τὴν φάρυγγα φαινόμενα ῥεύματα σμικρὰ, λεπτὰ, δριμέα. ὅθεν?

HIPPOCRATIS TEXTUS XXIX.

Horum plurimis fauces à principio ad extremum usque rubore cum inflammatione affectæ dolebant; fluxiones parvæ, tenues, acres; citóque macie extenuabantur, & malè habebant.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθʹ.

Φάρυγγες δὲ τούτοισι πλείστοισι τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος, ἐπώδυνοι εἶχον, ἔχοντες ἔρευθος μετὰ φλεγμονῆς, ῥεύματα σμικρὰ, λεπτὰ, δριμέα, ταχὺ τηκόμενοι, καὶ κακούμενοι.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ συμπτώματα παρειπὼν, ὅσα τοῖς τότε φθινώδεσιν ἐφαίνετο περὶ τὴν φάρυγγα, τὴν αἰτίαν αὐτὸς προσέθηκεν ἐν τῷ φάναι, ῥεύματα σμικρὰ, δριμέα. διὰ γὰρ τὴν τῶν ῥευμάτων κακοήθειαν ἀπὸ τῆς κεφαλῆς δηλονότι καταφερομένων, αἱ φάρυγγες ἐπώδυνοι μὲν ἦσαν. τῷ δάκνεσθαι δὲ πρὸς αὐτῶν, ἔρευθος καὶ φλεγμονὴν ἔσχεν, ὅτι καὶ αὐτὸ ῥεῦμα θερμὸν ἦν, οὐδὲν ἦν θαυμαστὸν ἐν Θάσῳ τῶν ἄλλων φθινωδῶν, εἰ οὕτως ἔχοντες, εἰς ἐσχάτην ἰσχνότητα παρεγένοντο.

GALENI COMMENTARIVS.

Quæ ſymptomata tunc tabidis circa fauces apparuerunt præfatus cauſam, ipſe addidit, hiice verbis; *fluxiones parvæ, tenues, acres.* Nam propter fluxionum malignitatem à capite ſcilicet delatarum, fauces quidem doluerunt; ſed quod ab ipſis morderentur, ruborem & phlegmonem habuerunt, quodque defluxus calidus eſſet, nihil mirum in Thaſo erat, ſi præter tabidos alios ita habentes, ad ſummam extenuationem devenirent.

B

Πῶς ἀλλήλων οἱ ἀνόρεκτοι, καὶ ἄσιτοι, καὶ ἀπόσιτοι διαφέρουσι.

Quomodo cibos non appetentes, non aſſumentes, & faſtidientes inter ſe differant.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

Ἀπόσιτοι πάντων χρημάτων διετέλεον.

HIPPOCRATIS TEXTUS XXX.

Cibos omnes averſabantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι] τοὺς ἀνορέκτους ἀσίτους ὀνομάζουσιν οἱ Ἕλληνες, τοὺς μὴ προσενεγκαμένους σιτία, τοὺς δ' ἀπεστραμμένους προσίεσθαι, καλοῦσιν ἀποσίτους. πρόδηλον δ' ὅτι καὶ τοῦτο τὸ τῆς ἀνορεξίας σύμπτωμα τοῖς φθινώδεσιν ἐγένετο τοῦ, τὴν φάρυγγα, καὶ τὸν πνεύμονα κακοῦντος ῥεύματος, μέρους τινὸς εἰς γαστέρα καταρρέοντος.

GALENI COMMENTARIUS.

C

Qui cibos non appetunt, nec ingerunt, eos Græci ἀνορέκτους & ἀσίτους vocitant, hoc eſt, non appetentes, & à cibo abſtinentes; qui verò ciborum aſſumptum averſantur, faſtidiuntque ἀποσίτους. Hoc autem inappetentiæ ſymptoma tabidis accidiſſe, quòd fluxionis ejus quæ tum fauces, tum pulmonem lædebat, pars in ventrem defluxerit, conſtat omnibus.

Τὴν τῆς δίψης κένωσιν ἐν τῷ διακαεῖ πυρετῷ, ἢ ἐν τῷ ῥεύματι εἰς γαστέρα καταφερομένῳ δριμεῖ ἐσχάτης κακοηθείας σημεῖον εἶναι.

D

Sitis vacuitatem in perurente febre, aut in acri fluxu malum ſummæ malignitatis ſignum eſſe.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Ἄδιψοι.

HIPPOCRATIS TEXTUS XXXI.

Sitis vacui.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ κατὰ τὴν κακοήθειαν τοῦ ῥεύματος, ἅπερ αὐτὸς ὠνόμαζε δριμέα, τοῦτο τὸ σύμπτωμα τοῖς φθινώδεσι συνέπεσε. διό μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης ἐπισημαινόμενος αὐτῶν τὸ παράλογον, αὐτὸς προσγράψαι, τὸ, ἄδιψοι. κακοηθείας γάρ ἐστι μεγίστης σημεῖον, ὅταν ἤτοι θερμοῦ καὶ διακαοῦς ὄντος τοῦ πυρετοῦ, μὴ διψῶσιν, ἢ ῥεύματος εἰς γαστέρα καταφερομένου δριμέος· καὶ δηλοῦται πρὸς τοῦ συμπτώματος ἡ αἰσθητικὴ τοῦ μορίου δύναμις ἀπολωλέναι, καὶ νενεκρῶσθαι, εἴ γε τῆς κατὰ μέρος διαθέσεως οὐκ αἰσθάνεται.

GALENI COMMENTARIUS.

Non ob malignitatem rheumatum quæ acria ipſe appellavit, tabidis hoc accidit ſymptoma. Quare videtur mihi & Hippocrates quod his præter rationem evenit, ſignificare volens, adſcripſiſſe, *ſitis vacui.* Summæ ſiquidem malignitatis ſignum eſt, ubi vel quum rheuma ad ventrem acre defertur, non ſitiverint: Significat etiam hoc ſymptoma ſenſitricem partis facultatem tum deperditam, tum extinctam eſſe, quòd partis alterationem non ſentiat.

E

Παραληρήματα τῶν πυρετῶν κακοηθείας εἶναι σημεῖα.

Deliria malignitatis febrium eſſe ſigna.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Καὶ παράληροι πολλοὶ περὶ θάνατον. περὶ μὲν τὰ φθινώδεα ταῦτα.

HIPPOCRATIS TEXTUS XXXII.

F

Multique circiter mortem delirabant. Hæc quidem de tabidis.

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐδὲ τοῦτο τοῖς ἄλλοις φθίνουσιν εἴωθε συμπίπτειν, ἀλλὰ διὰ τὴν κακοήθειαν τῶν τότε γινομένων πυρετῶν ἠκολούθησε τοῖς ἐν τῇ προκειμένῃ καταστάσει νοσήμασι.

GALENI COMMENTARIUS.

Neque hoc tabidis aliis accidere conſuevit: ſed ob febrium quæ tunc procreatæ ſunt, malignitatem, præſentis ſtatus morbos comitatum eſt.

A

Æstatis & Autumni Hyemem & Ver subsequentium status describitur.

Η τοῦ θέρεος καὶ φθινοπώρου πρὸς χειμῶνι καὶ τοῦ ἔαρι ἑπομένων κατάστασις καταγράφεται.

HIPPOCRATIS TEXTUS XXXIII.

Jam verò æstate & autumno febres multæ, assiduæ, non violentæ, sed ægrotantibus diuturnæ; neque in cæteris molestè habentibus oboriebantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγʹ.

Κατὰ δὲ θέρος ἤδη, καὶ φθινόπωρον, πυρετοὶ πολλοὶ, ξυνεχέες, οὐ βίαιοι, μακρὰ δὲ νοσέουσιν, οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως ἔχουσιν ἐγένετο.

B

GALENI COMMENTARIUS.

Sed & superiùs tabem solùm perniciosam fuisse dixit; & nòs causam apposuimus. Consequuntur itaque illa, quæque in præsenti oratione narrata sunt, & quæ hæc sequuntur in quibus ait.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰρήκει δὲ καὶ πρόσθεν ὡς ὁ φθινώδης μόνον ὀλέθριον ἐγένετο, καὶ ἡμεῖς τὴν αἰτίαν προσπαρεθήκαμεν. ἀκόλουθα τοίνυν ἐστὶν ἐκείνοις, τά τε κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένα, καὶ τὰ τούτων ἐφεξῆς, ἐν οἷς φησίν.

Dejectiones & urinæ per hunc statum moderatæ conspiciebantur.

Τὰ διαχωρήματα, καὶ τὰ οὖρα κατὰ ταύτην κατάστασιν ἦσαν μέτρια.

C

HIPPOCRATIS TEXTUS XXXIV.

Alvi plurimis perturbatæ facillimè ferebantur, nihilque effatu dignum oblædebant; urinæ quoque plurimis boni quidem coloris erant, & puræ, sed tenues, & postea tempore circa crisim concoctæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδʹ.

Κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι πάνυ εὐφόρως, καὶ οὐδὲν ἄξιον λόγου προσεβλάπτον· οὖρά τε τοῖσι πλείστοισιν εὔχροα μὲν καὶ καθαρὰ, λεπτὰ δὲ καὶ μετὰ χρόνον περὶ κρίσιν πεπαινόμενα.

GALENI COMMENTARIUS.

Et cætera quæ de urinis retulit, consequuntur. Quemadmodum enim quæ supra de tabidis recensuit, erant maligna: ita & quæ nunc enunciantur, valde moderata existunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τἄλλα ἃ περὶ τῶν οὔρων εἶπε. ὥσπερ γὰρ τὰ πρόσθεν ὅσα περὶ τῶν φθινωδῶν κατέλεξεν ἦν κακοήθη, οὕτω καὶ τὰ νῦν λεγόμενα πάνυ ἐστὶ μέτρια.

D

Tusses raras miniméque molestas hocce statu febrili fuisse. Unde hæ febres symptomaticæ.

Τὰς βῆχας ὀλιγίας, καὶ μὴ ὀχληρὰς κατὰ ταύτην κατάστασιν πυρετώδη γενέσθαι. ὅθεν οὗτοι πυρετοὶ συμπτωματικοί.

HIPPOCRATIS TEXTUS XXXV.

Tussiebant non admodum, neque quæ per tussim educebantur, infestabant; neque cibos solùm non aversabantur, verumetiam ipsis exhibere valde licebat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λεʹ.

Βηχώδεες οὐ λίην, οὐδὲ τὰ βησσόμενα δυσκόλως, οὐδὲ ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο.

E

GALENI COMMENTARIUS.

Plurimi hujus libri interpretes Hippocratem hac in oratione ad tabidos transisse proferunt. Ego verò de aliis quas exponit febribus, etiamnũ impræsentiarũ dici arbitror. Nam quomodo præfatus tabidos cibum omnem perpetuò aversatos fuisse, hîc nunc dicat; *nec cibos modò non aversabantur, verumetiam ipsis exhibere valde licebat.* Cur itaque hoc in loco scripsit? *non tussiebant.* Hoc enim opinionem illis præbuit, ut hæc de tabidis ipsis dici existimarent. Ego equidem arbitror quum de aliis etiamnum febribus sermo esset, adscriptum esse. Fiunt siquidem tussiculosi tussi ipsa symptomatis ratione simul invadente; non tamen hi prorsus tabidi sunt. Nihil itaque mirum si cum febre cœperint Thasij quidam ex antè scripto statu & repleto tunc capite, conveniente scilicet statui febre, tussire. Sed non admodum molestum erat illis

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ πλεῖστοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἐπὶ τοὺς φθινώδεις αὐτὸν ἐν τῇδε τῇ ῥήσει μεταβεβηκέναι φασίν. ἐγὼ δὲ ἡγοῦμαι ἔτι περὶ τῶν ἄλλων πυρετῶν ὧν διηγεῖται, κατὰ ταῦτα λέγεσθαι. πῶς γὰρ ἂν εἰρηκὼς ἔμπροσθεν ἐπὶ τῶν φθινωδῶν, ὡς ἀπόσιτοι πάντων γευμάτων διὰ τέλεος ἦσαν, ἐνταῦθοῖ νῦν ἔλεγεν, οὐδ' ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. τί δή ποτ' οὖν ἔγραψεν ἐν τῷδε τῷ λόγῳ; βηχώδεες οὐ λίην. τοῦτο γὰρ ἐστὶ τὸ τὴν φαντασίαν παρασχὸν, οὐ λέγεσθαι ταῦτα περὶ τῶν φθινωδῶν αὐτοῖν. ἐγὼ δὲ νομίζω περὶ τῶν ἄλλων ἔτι πυρετῶν, τοῦ λόγου γιγνομένου προσγεγράφθαι. γίνονται γὰρ βηχώδεις συνεισβαλούσης τῆς βηχὸς αὐτοῖς, λόγῳ συμπτώματος, οὐ μὴν φθινώδεις γε πάντως εἰσὶν οὗτοι. θαυμαστὸν οὖν οὐδὲν ἅμα πυρέσσειν ἄρξασθαί τινας τῶν Θασίων ἐπὶ τῇ προγεγραμμένῃ καταστάσει, καὶ πληρωθείσης αὐτῆς τότε τῆς κεφαλῆς, συνελθόντος τοῦ πυρετοῦ τῇ καταστάσει βηχώδεις γενέσθαι. ἀλλ' οὔτε λίαν αὐτοῖς

F

ἠνώχλει τὸ σύμπτωμα, οὔτε τὰ βησσόμενα δυσχέρειαν εἶχεν, οὐ γὰρ ἦσαν οὗτοι φθινώδεις. A

symptoma, neque quæ per tussim educebantur, difficultatem præstabant; hi namque non erant tabidi.

Κατὰ ταύτην κατάστασιν τοὺς φθίνοντας πρᾳοτέρως νοσηθῆσαι.

Hoc in statu tabidos mitiùs subægrotare.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ.

ΤΟ μὲν οὖν ὅλον ὑπενόσεον οἱ φθινώδεες τρόπον, πυρετοῖσι φρικώδεσι, σμικρὰ ἐφιδροῦντες, ἄλλοτε ἄλλοι ὡς προξυνόμενοι πεπλανημένως, τὸ μὲν ὅλον οὐκ ἐκλείποντες. παροξυνόμενοι δὲ τριταιοφυέα τρόπον. B

HIPPOCRATIS TEXTUS XXXVI.

IN summa tabescentes leviusculè ægrotabant, neque tabidorum modo febribus horrificis correpti exudabant, atque aliàs alios ut erraticæ accessiones invadebant, neque febres in totum desinebant, sed tritæophyarum modo exacerbabantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΥτη πᾶσα ἡ ῥῆσις ἐπαγομένη, τῇ προειρημένῃ, τὴν φαντασίαν βεβαιοτέραν εἰργάσατο τοῖς πλείστοις τῶν ἐξηγητῶν, ὑπὲρ τοῦ καὶ τὴν ἔμπροσθεν ῥῆσιν ὑπὲρ τῶν φθινωδῶν αὐτῶν λελέχθαι. ἀλλ' ὅτι μὲν ἐκείνην ἀδύνατόν ἐστιν, ἐπ' αὐτῶν εἰρῆσθαι, δέδεικταί μοι, δι' ὧν ἀπεδείκνυον, ἀποσίτους μὲν ὠνομάσθαι πρὸς αὐτοῦ τοὺς φθινώδεις, οὐκ ἀποσίτους δὲ τούτους. ἡ δ' ἐφεξῆς ῥῆσις, ἡ νῦν προκειμένη, κατὰ διπλοῦν αὖ τρόπον ἐξηγήσεως τύχῃ, καθ' ἕνα μὲν ὧδέ πως ἡμῶν λεγόντων. ἀναλήψομαι δὲ τὴν προγεγραμμένην ῥῆσιν, εἶτα συνάψω τῇ νῦν, προσθεὶς αὐτῇ μίαν συλλαβὴν ἕνεκα σαφηνείας, βηχώδεες οὐ λίην, οὐδὲ τὰ βησσόμενα δυσκόλως, οὐδ' ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. τὸ μὲν γὰρ, ὅλον ὑπενόσεον οἱ φθίνοντες, οὐ τὸν φθινώδεα τρόπον. ἐνδέχεται δὲ αὐτὸν οὕτως εἰρηκέναι περὶ τῶν ἄλλως πυρεσσόντων, γράφοντα κοινὸν σύμπτωμα τῶν νόσων ἐχόντων τὰ βηχώδη συμπτώματα, μὴ μέντοι καὶ αὐτῶν φθινόντων. ἐπαναλαβεῖν γὰρ αὖθις εἰκός ἐστι τὸν περὶ τῶν φθινωδῶν λόγον, εἰς ἀνάμνησιν τοῦ διαφέρειν τοὺς ἀῤῥώστους τούσδε, περὶ ὧν νῦν διέρχεται τῶν ἔμπροσθεν τῶν φθινωδῶν. καὶ γάρ τοι καὶ τὰ συμπτώματα πάλιν εἶπεν τὰ αὐτὰ τοῖς ἔμπροσθεν εἰρημένοις. μία μὲν αὕτη παραμυθία τῆς κατὰ τήνδε τὴν ῥῆσιν ἐπαναλήψεως τοῦ περὶ τῶν φθινωδῶν λόγου· ἑτέρα δ', ἣν ἴσμεν πολλάκις γινομένην ἐπὶ πολλῶν συγγραμμάτων. ἐνίοτε γὰρ ὑπὲρ ἑνὸς πράγματος διπλῶς ἡμῶν γραψάντων, εἶτα τῆς μὲν ἑτέρας γραφῆς κατὰ τὸ ὕφος οὔσης, τῆς δ' ἑτέρας ἐπὶ θάτερα τῶν μετώπων, ὅπως κρίνωμεν αὐτῶν τὴν ἑτέραν, ἐπὶ σχολῆς δοκιμάσαντες, ὁ πρῶτος μεταγράφων τὸ βιβλίον, ἀμφότερα ἔγραψεν, εἶτα μὴ παραφρόντων ἡμῶν τὸ γεγονός, μηδ' ἐπανορθωσαμένων τὸ σφάλμα, διαδοθὲν εἰς πολλοὺς τὸ βιβλίον, ἀνεπανόρθωτον ἔμεινεν.

HIPPOCRATIS TEXTUS XXXVI.

GALENI COMMENTARIUS.

TOtus hic textus superiori succedens plerisque Interpretum opinionem fecit textum præcedentem de tabidis ipsis pronunciatum esse. Verùm quòd ille quidem de tabidis dici nequeat, à me per ea quæ demonstravi, declaratum est, cibos aversantes quidem ab ipso tabidos appellari, hos autem non cibos aversantes. Sequens oratio nunc proposita duplicem explicationis modum sortitur; Uno quidem ita nobis dicentibus: Sed ante scriptam orationem repetam; deinde præsenti alteram conciliaturus sum, adjecta ipsi perspicuitatis gratiâ, unica syllaba. Tussiebant non admodum, neque quæ per tussim educebantur, infestabant; neque cibos solùm non aversabantur, verumetiam ipsis exhibere valde licebat. Nam in summa leviter ægrotabant tabidi non tabidorum modo. Fieri autem potest ipsum ita dixisse de aliter febricitantibus, scribentem commune symptoma morborum qui tussiculosa symptomata sortiuntur, non autem ipsorum tabidorum. Quòd enim sermonem de tabidis iterum assumpserit, ut memoria teneamus hos ægrotos, de quibus nunc agit, à prædictis tabidis differre, verisimile est: Etenim antedictis eadem repetit symptomata. Una quidem ea est hoc in textu repetitionis sermonis de tabidis, excusandæ causa; altera verò quam scimus multis in libris sæpe numero fieri. Quum enim interdum de unâ re bifariàm scripserimus, ut ex scripturis altera quidem in orationis textura sit, altera verò in altero sit apposita margine, ut de ipsarum altera nacti otium judicemus, censuramque faciamus, qui primus librum transcripsit, scripsit utranque. Deinde quum patratum non animadvertimus, neque erratum correximus, liber ubi ad multos accessit, incorrectus permansit.

Ποικίλας τὰς τῶν νοσημάτων περιόδους, καὶ τὰς κρίσεις, τὰς ἀναστροφὰς εἶναι. F

Varias morborum esse periodos, judicationes ac reversiones.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ'.

ΕΚρίνετο δὲ τουτέων, οἷσι τὰ βραχύτατα γίγνοιτο, περὶ εἰκοστὴν ἡμέρην, τοῖσι δὲ πλείστοισι περὶ τεσσαρακοστὴν, πολλοῖσι δὲ, περὶ τὴν ὀγδοηκοστήν. ἔστι δ' οἷσιν οὐδ' οὕτως, ἀλλὰ πεπλανημένως τε καὶ ἀκρίτως ἐξέλιπον. τουτέων δὲ τοῖσι πλείστοισι, πολλῶν, οὐ διαλείποντες χρόνον, ὑπέστρε-

HIPPOCRATIS TEXTUS XXXVII.

IVdicabantur autem inter hos, quibus brevißimi erant morbi, circa vigesimum diem; plurimis circa quadragesimum; multis circa octogesimum. Erant autem nonnulli, quibus non ita; sed tum erraticè, tum citra judicationem exolescebant, quorum plerisque febres non multo tempore intermit-

tentes revertebantur, atque à reversione iisdem periodis judicabantur. Plerisque verò ipsorum ita producebantur, ut sub hyemem ægrotarent.

A λάμβανον οἱ πυρετοὶ πάλιν· ἐκ δὲ τῶν ὑποστροφέων ἐν τῇσιν αὐτῇσι περιόδοισιν ἐκρίνοντο· πολλοῖσι δὲ αὐτέων ἀνήγαγον, ὥστε καὶ ὑπὸ χειμῶνα νοσεῖν.

GALENI COMMENTARIUS.

QUorumnam morbum ad vigesimum diem judicatum esse pronunciat? Hi sunt, meâ quidem sententiâ, de quibus agebat, qui aliter quàm tabidi ægrotarunt. Cui rei astipulantur quæ consequuntur omnia: Etenim horum quibusdam ad octogesimum usque diem productum fuisse morbum ait; atque alios tum erraticè, tum absque judicio deseruisse, horumque plurimis revertisse. Febres autem ex reversionibus eisdem circuitibus iterum fuisse judicatas, necnon ipsorum multis ad hyemem usque productum morbum extitisse. Hæc omnia superiùs proditis manifestè consentiunt, in quibus edicit; *Iam vero æstate, & autumno febres multæ, assiduæ, non violentæ; sed ægrotantibus diuturnæ, neque in cæteris molestè habentibus oboriebantur.* Hæc sanè symptomatis consentiunt quæ in præsenti textu ab ipso pronunciata sunt. Quæ verò de tabidis loquutus est, non consentiunt, quod didiceris ubi ad memoriam revocaveris brevem partem quæ de his est expositionis, ubi ait; interierunt autem celerius quàm consuetum illis esset; ab ipso nanque de tabidis dictum est, atque ipsos celeriùs interiisse profert. De his vero qui aliter ægrotarunt ab his, deinceps scripsit hoc modo; *alia autem & diuturniora & cum febribus existentia placidè & quietè tulerunt, & non interibant;* de quibus scribetur. Hæc ita his consentiunt quæ in proposito textu de his quæ autumno & hyeme febricitaverunt, dicuntur. Imo vero quod ipse prædixit de quibus scribetur; nullam autem aliam orationem quam scripserit, ostendere valeamus, nisi eam quæ nunc de ipsis facta est, necesse est de aliter ægrotantibus, quàm ex tabe hanc omnem orationem habitam esse.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τίνων δὲ τούτων κριθῆναί φησι τὸ νόσημα περὶ τὴν κʹ. ἡμέραν; ὅτι περὶ ὧν ἐποιεῖτο τὸν λόγον ὡς ἐγώ φημι, τῶν ἄλλων νοσησάντων, οὐχὶ τῶν φθινόντων. ὁμολογεῖ δὲ τούτῳ καὶ τὰ ἐφεξῆς ἅπαντα· καὶ γὰρ ἄχρι τῆς ὀγδοηκοστῆς ἡμέρας ἐκταθῆναί φησι τὸ νόσημα τισὶν αὐτῶν, ἄλλοις δὲ, B πεπλανημένως τε καὶ ἀκρίτως ἐκλείπειν, καὶ τούτων τοῖς πλείστοισιν ὑποστρέψαι πάλιν. τοὺς δ' ἐκ τῶν ὑποστροφέων πυρετοὺς ἐν ταῖς αὐταῖς περιόδοις πάλιν κεκρίσθαι, καὶ πολλοῖς αὐτῶν, καὶ μέχρι τοῦ χειμῶνος ἐκταθῆναι τὸ νόσημα. ταῦτα δὲ πάντα τοῖς ἀνωτέρω εἰρημένοις ὁμολογεῖν σαφῶς ἐστιν, ἐν οἷς ἔλεγε, κατὰ δὲ θέρος ἤδη καὶ περὶ φθινόπωρον, πυρετοὶ πολλοὶ ξυνεχέες οὐ βιαίως, μακρὰ δὲ νοσέουσιν, οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως διάγουσιν, ἐγένετο. ταῦτα μὲν ὁμολογεῖ τοῖς κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένοις ὑπ' αὐτοῦ συμπτώμασιν· ὅσα δὲ περὶ τῶν C φθινωδῶν εἶπεν, οὐχ ὁμολογεῖ, μάθοις δ' ἂν εἰ ἀναμνησθείης βραχέος μορίου τῆς ὑπὲρ αὐτῶν διηγήσεως ἔνθα φησίν, ἀπέθνησκον δ' ὀξυτέρως, ἢ ὡς εἴθισται τὰ τοιαῦτα διάγειν· τοῦτο μὲν γὰρ αὐτῷ περὶ τῶν φθινωδῶν εἴρηται, καί φησιν αὐτοὺς ὀξυτέρως ἀποθανεῖν. περὶ δὲ τῶν ἄλλως νοσησάντων, ἐφεξῆς ἔγραψε τούτοις ὧδέ πως· τὰ δ' ἄλλα, καὶ μακρότερα ἐν πυρετοῖσιν ἐόντα, εὐφόρως ὑπέφερε, καὶ οὐκ ἀπέθνησκον, περὶ ὧν γεγράψεται. ταῦτ' D οὖν ὁμολογεῖ τοῖς κατὰ τὴν προκειμένην ῥῆσιν τὴν τῶν πυρεξάντων διὰ τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος. ἀλλὰ καὶ διὰ τὸ προειπεῖν μὲν αὐτὸν περὶ ὧν γεγράψεται, μηδεμίαν δ' ἄλλην ἡμᾶς ἔχειν δεῖξαι γραφὴν, ὅτι μὴ τὴν νῦν προκειμένην ἐπ' αὐτοῖς λεγομένην, ἀναγκαῖόν ἐστι περὶ τῶν ἄλλως νοσησάντων, οὐ φθινωδῶν ἅπαντα τοῦτον αὐτῷ τὸν λόγον εἰρῆσθαι.

Pronunciata priùs, summatim colliguntur.

HIPPOCRATIS TEXTUS XXXVIII.

EX omnibus quidem hoc in statu descriptis, solis tabidis lethalia contigerunt symptomata; in aliis verò omnibus leviter ferebantur; in cæteris denique febribus lethalibus nequaquàm oborta sunt.

GALENI COMMENTARIUS.

POstrema hæc est eorum quæ de primo statu ab Hippocrate prodita sunt oratio, quæ nihil quidem docet ampliùs; sed summatim colligit quæ priùs enunciata sunt; quod vir sæpenumerò præstare consuevit.

Τὰ προειρημένα κεφαλαιωδῶς συλλέγεται.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ληʹ.

Ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ, μόνοισι τοῖσι φθινώδεσι θανατώδεα ξυνέπεσεν. ἐπὶ τοῖσί γε ἄλλοισι εὐφόρως πᾶσι, καὶ θανατώδεες ἐν τοῖσιν ἄλλοισι πυρετοῖσιν οὐκ ἐγένοντο.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Ἐσχάτη ῥῆσίς ἐστιν αὕτη τῶν εἰρημένων αὐτῷ περὶ τῆς πρώτης καταστάσεως, οὐδὲν μὲν πλέον διδάσκουσα, ἀνακεφαλαίωσιν δέ τινα ἔχουσα τῶν προειρημένων, ὅπερ εἴωθεν ὁ ἀνὴρ πολλάκις ποιεῖν.



ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ ΥΠΟΜΝΗΜΑΤΑ ΤΡΙΑ.

HIPPOCRATIS EPIDEMIORVM LIBER PRIMVS, ET GALENI IN EVM COMMENTARII TRES.

ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Διττὴ κατάστασις διαγράφεται, ἡ μὲν ὑγρὰ, καὶ ψυχρὰ, καὶ βορεία, καὶ θυελλώδης· ἡ δὲ ψυχρὰ καὶ ξηρὰ, καὶ κατὰ μέρος ἀνώμαλος.

COMMENTARIVS SECVNDVS.

ARGVMENTVM LIBRI.

Duplex deſcribitur ſtatus, alter humidus, frigidus, aquilonius, procelloſus; alter frigidus, ſiccus, partimque inæqualis.

Ὡς τὴν τῶν νοσημάτων συνέχειαν ἐμφανίζῃ Γάληνος, τὰ ἐν τῷ προτέρῳ ὑπομνήματι προειρημένα βραχέως ἀναλαμβάνει, καὶ ὅσα ἐν τῷ δευτέρῳ λεξόμενος ᾖ, τοῖς μὲν ἀμαθέσιν ἀσαφῆ, τοῖς δὲ εὐμαθέσιν εὐκατάληπτα, τοῖς δὲ ἐπιστημόνεσι διὰ τὸ μῆκος ἀλγεινὰ προοίμια.

A Quò morborum Epidemiorum ſeriem explanet, Galenus, priori commentario pronunciata paucis repetit; & quæ altero ſit dicturus præfatur rudibus obſcura, docilibus captu facilia, & peritis ob prolixitatem moleſta.

ΠΡΟΟΙΜΙΟΝ ΓΑΛΗΝΟΥ.

ΕΝ τῷ πρὸ τούτου βιβλίῳ λέλεκται περὶ τῆς τῶν ὡρῶν εἰς ἄλληλα μεταβολῆς· εἴρηται δὲ καὶ ἡ κατὰ φύσιν ἑκάστης κρᾶσις, αἵ τε προθεσμίαι τῆς ἀρχῆς αὐτῶν καὶ τῆς τελευτῆς.

GALENI PRÆFATIO.



LIBRO hunc præcedente de mutua tempeſtatum anni permutatione pronunciatum eſt, naturale ſingularum temperamentum explicatum, earum denique tum principii, tum finis præfiniti dies. Illis

Illis itaque à nobis memoratis, quæcunque jam nunc pronuncianda explanationem expostulant, additurus sum, non ad summè rudes duntaxat, neque ad solos idoneam eruditionem animum dirigens; his enim omnibus moderatè hujusmodi quadrabit oratio. At ex cæteris quæ absolutè imperitis familiaris est, ea doctis ob prolixitatem molestiam invehet; his autem idonea, imperitis obscurabitur. Verum neque hos talibus commentariis contentos esse oportet; sed & aliàs aliud & ab alio percipientes, & latius sæpe hæc, atque aliàs hæc sæpius quiddam utile citra pravam doctrinam discere poterunt.

A ὡς ἂν οὖν ἐκείνων μεμνημένων ἡμῶν, ὅσα τῶν νῦν λεγομένων ἐξηγήσεως δεῖται, προσθήσω, στοχαζόμενος οὔτε μόνον ἐσχάτως ἀμαθῶν, οὔτε μόνων τῶν ἱκανὴν ἐχόντων τὴν παρασκευήν. πρὸς ἅπαντας γὰρ ὁ τοιοῦτος λόγος ἕξει μετρίως. τῶν δ᾽ ἄλλων ὁ μὲν τοῖς ἐσχάτως ἀμαθέσιν οἰκεῖος, ἀνιάσει τοὺς ἐν ἕξει διὰ τὸ μῆκος. ὁ δὲ τούτοις ἐπιτήδειος, ἀσαφὴς ἔσται τοῖς ἀμαθέσιν. ἀλλ᾽ οὐδὲ χρὴ τοῖς τοιούτοις ὑπομνήμασιν ἐντυγχάνειν ἀγαπῶντας· ἀλλὰ καὶ ἄλλως ἄλλο καὶ παρ᾽ ἄλλου ἀκούσαντες πλατύτερον πολλάκις ταὐτὰ, καὶ ἄλλας πολλάκις ταῦτα B δυνηθεῖεν, αὐτοὶ παρ᾽ αὑτῶν ἐκμανθάνειν τι χρηστόν.

SECTIO SECUNDA.

STATUS SECUNDUS.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ΚΑΤΑΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ.

Locum & tempus notat, ubi hic status procellosus ac frigidus intelligitur.

C Τὸν τόπον τε καὶ χρόνον σημειοῖ, ἐν οἷς αὕτη κατάστασις θυελλώδης, καὶ ψυχρὰ ἐνοεῖται.

HIPPOCRATIS TEXTUS I.

» *IN Thaso ante autumnum tempestates frigidæ non tempestivè, sed derepente in aquilonibus & austris multis eæque humidæ prærumpebant.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α΄.

ΕΝ Θάσῳ περὶ τὸ φθινόπωρον χειμῶνες οὐ κατὰ καιρὸν, ἀλλ᾽ ἐξαίφνης ἐν βορείοισι καὶ νοτίοισι γε πολλοῖσιν, ὑγροὶ καὶ προεκρηγνύμενοι.

GALENI COMMENTARIUS.

AUtumnum dixit Arcturi ortu ante autumnale æquinoctium edito incipere. Tunc igitur, ait, *ante autumnum* magnas, priusquam oporteret, obortas fuisse frigidas tempestates. Hoc enim ipsi, *non tempestivè*, & illud, *prærumpebant*, significant. Itaque hæ dictiones *non tempestivè*, anticipationis solùm indices existunt; hæc verò, *prærumpebant*, eas etiam cum imbribus confertim factas esse produnt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΤΟ φθινόπωρον εἶπον ἄρχεσθαι, τῇ τοῦ Ἀρκτούρου ἐπιτολῇ, γινομένῃ περὶ τῆς φθινοπωρινῆς ἰσημερίας. τηνικαῦτα οὖν ἔφη γενέσθαι χειμῶνας μεγάλους πρὸ τοῦ δέοντος. τοῦτο γὰρ αὐτῷ τὸ οὐ κατὰ καιρὸν, καὶ τὸ, προεκρηγνύμενοι σημαίνει. τὸ μὲν οὖν οὐ κατὰ καιρὸν, τοῦ προφθάσαι μόνον δηλωτικὸν ὑπάρχει· τὸ, δὲ, προεκρηγνύμενοι, καὶ τὸ μεθ᾽ ὑετῶν ἀθρόως αὐτοὺς γενέσθαι.

Quæ ad hujus contextus explanationem faciunt, ea priore commentario dicta esse.

E Ὅσα μὲν εἰς τὴν ταύτης ὑφῆς ἐξήγησιν πονούμενα, ταῦτα κατὰ τὸ πρότερον ὑπόμνημα εἴρηται.

HIPPOCRATIS TEXTUS II.

HÆc profectò talia adusque vergiliarum occasum, & sub vergilias oboriebantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β΄.

ΤΑῦτα δὴ ἐγίνετο τοιαῦτα μέχρι πληϊάδος δύσεως, καὶ ὑπὸ πληϊάδος.

GALENI COMMENTARIUS.

QUod vergiliarum occasus autumnum finiat antea dictum est. Imo etiam quod duo sint menses ab Arcturo ad vergilias; quodque significatio una sit in aëre ab arcturo, duæ vero à vergiliis, quum hyems autumno copulatur ad finem existens; altera vero quum ver æstati. Solum vero arcturi ortum memorare non consuevit Hippocrates, quod in eo principium autumni constituatur, æstatisque terminus; præterea & de totius anni in quatuor partes divisione jam antea dictum est, item de ea quæ in septem fit; quodque & æstatem ortus terminet tum Pleiadum, tum Arcturi; & quod

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι τῆς Πλειάδος ἡ δύσις ὁρίζει φθινόπωρον, εἴρηται πρόσθεν. ἀλλὰ καὶ ὅτι δύο μῆνές εἰσιν ἀπ᾽ ἀρκτούρου μέχρι F πλειάδος, ὅτι τε μία ἐπισημασία κατὰ τὸ περιέχον, ἀπ᾽ ἀρκτούρου γὰρ, δύο δ᾽ ἐπὶ πλειάδι, μία μὲν ὁπότε συνάπτει τῷ φθινοπώρῳ χειμὼν, ἐπὶ τέλος οὖσα, ἑτέρα δὲ, ὁπότε ἔαρ διαφέρει. τῆς δ᾽ ἀρκτούρου τῆς ἐπιτολῆς μόνης οὐδὲ μνημονεύειν εἴωθεν Ἱπποκράτης, ἐπειδὴ κατ᾽ αὐτὴν ἀρχὴ μὲν γὰρ τοῦ φθινοπώρου, τελευτὴ δὲ τοῦ θέρους. εἴρηται δ᾽ ἔμπροσθεν ἤδη περί τε τῆς εἰς τὰς δ. ὥρας διαιρέσεως ὅλου τοῦ ἐνιαυτοῦ, καὶ περὶ τῆς εἰς ἑπτὰ, καὶ ὅτι θέρος μὲν ὁρίζουσιν ἐπιτολὴ πλειάδος καὶ ἀρκτούρου, καὶ ὡς

ἐστὶν αὕτη μόριόν τι τῆς εἰς ἑπτὰ διαιρέσεως ὅλου τοῦ ἐνιαυτοῦ, A δίχα μὲν τοῦ θέρους τεμνομένου, τριχῆ δὲ τοῦ χειμῶνος· εἴρηται δὲ καὶ ὡς οὐδὲν διαφέρει πλειάδα λέγειν ἑνικῶς, ἢ πληθυντικῶς πλειάδας.

Χειμῶνα ἐφεξῆς τῇ πλειάδι ἄρχεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Χειμὼν δὲ βόρειος. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐφεξῆς τῇ πλειάδι χειμῶνος μνημονεύει, σαφῶς ἐνδεικνύμενος ὅρον εἶναι τοῦ φθινοπώρου τὴν πλειάδα. προσέχωμεν οὖν αὐτῷ διηγουμένῳ περὶ τοῦ τότε γενομένου χειμῶνος.

Ἡ τοῦ ἔτους ὅλου ψυχροῦ καὶ ὑγροῦ καὶ βορείου (πλὴν τοῦ θέρους μετρίου πως) ἱστορία καὶ τὰ ἐνεργήματα. ὕδατα πολλὰ τριχῶς λέγεσθαι. τὸν οὐρανὸν ἀντὶ ἀέρος λαμβάνεσθαι. C Λαίλαπας τὰς ζάλας εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Ὕδατα πολλὰ, λάβρα, μεγάλα, χιόνες, μιξαίθρια τὰ πλεῖστα. ταῦτα δ' ἐγίνετο μὲν πάντα, οὐ λίην δ' ἀκαίρως τὰ τῶν ψύξεων· ἤδη δὲ μεθ' ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα ζέφυρος πνεῖν ἄρχεται, ὀπισθοχείμωνες μεγάλοι, βόρεια πολλὰ, χιὼν καὶ ὕδατα πολλὰ συνεχέως, καὶ οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος. ταῦτα δὲ ξυνέτεινε, καὶ οὐκ ἀνίει D μέχρις ἰσημερίας. ἔαρ δὲ ψυχρὸν, βόρειον, ὑδατῶδες, ἐπινέφελον. θέρος οὐ λίην καυματῶδες ἐγένετο· ἐτησίαι ξυνεχῶς ἐπέπνευσαν. ταχὺ δὲ περὶ ἀρκτοῦρον, ἐν βορείοισι πολλὰ πάλιν ὕδατα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πολλὰ λέγομεν ὕδατα γίνεσθαι κατά τινα καιρὸν, διὰ τὸ τοῦ χρόνου μῆκος, εἰ καὶ μὴ λάβρως ἐν αὐτῷ καταῤῥήγνυοιτο. λέγομεν δὲ πολλὰ, κἂν ἐν ὀλίγῳ χρόνῳ ὑπάρχῃ ἤτοι λάβρα. δύναται δὲ ταῦτα καὶ μεγάλα καλεῖσθαι· E ἀλλ' ὅταν γ' ἐφεξῆς ἀλλήλων εἴποι τις ὕδατα λάβρα καὶ μεγάλα γεγονέναι, καθάπερ Ἱπποκράτης συνέγραψεν, ἀκουσόμεθα λάβρα μὲν τὰ ἐξαιφνίδια, σφοδρά τε καὶ ὀλιγοχρόνια. μεγάλα δὲ, τὰ μήτ' ἐξαιφνίδια, μήτ' ὀλιγοχρόνια παντάπασιν, ὥσπερ γε μηδὲ πολυχρόνια. σαφηνείας δ' ἕνεκεν οὐδὲν κωλύσει, καὶ μακροτέρᾳ βραχεῖ χρήσασθαι διηγήσει. γινέσθω τοίνυν ἐξαίφνης ὑετὸς πάμπολυς ὥραις τρισὶν ἢ τέτρασιν, εἶτ' εὐθέως παυέσθω, λάβρον τοῦτον ὀνομάσομεν. ἄλλος δέ τις κατὰ βραχὺ μὲν ἀρξάσθω, κατὰ βραχὺ δ' αὐξηθήτω, καὶ τοῦτο ταθήτω δι' ὅλης ἡμέ- F ρας καὶ νυκτὸς, εἶτ' ἀκμάσας, πάλιν ἀφαιρείτω τοῦ πλήθους κατὰ βραχὺ δι' ὅλης τῆς ὑστέρας ἡμέρας, εἶτα παυσάσθω, τὸν τοιοῦτον ὑετὸν, οὐκ ἐροῦμεν λάβρον, ἀλλὰ μέγαν. ὁ τοίνυν χειμὼν ὃν διηγεῖται, ποτὲ μὲν λάβρους ἔσχεν ὑετοὺς, ποτὲ δὲ μεγάλους ἐκ διαλειμμάτων, καθαροῦ δηλονότι γινομένου πολλάκις ἐν τῷ μεταξὺ τοῦ περιέχοντος. τοῦτ' οὖν ὁμολογεῖ καὶ τὸ γεγραμμένον ὑπ'

is pars quædam totius anni in septem partes divisionis, secta quidem duas in partes, æstate & hyeme in tres; quod etiam nihil referat si Pleiada singulariter dixeris, aut pluraliter pleiadas.

Hyemem post Pleiada incipere.

HIPPOCRATIS TEXTUS III.

Hyems autem aquilonia.

GALENI COMMENTARIUS.

Post Pleiadas hyemem memoravit, autumni terminum esse Pleiada manifeste prodens. Ipsi itaque de hyeme tunc oborta disserenti mentem adhibeamus.

Totius anni frigidi & humidi (præterquam æstatis moderatæ) historia & effectus. Pluvias multas tribus modis dici. Cælum pro aëre sumi. Λαίλαπας procellosas esse.

HIPPOCRATIS TEXTUS IV.

Aquæ multæ, largæ, magnæ, nives; mixtæ serenitates plurimæ. Atque hæc omnia contingebant; non tamen valde intempestivè frigora. Iam vero post brumale solstitium, quumque spirare cæpit Favonius, posteriora frigora magna, aquilonia multa; nives & aquæ continenter multæ; cælumque procellosum, & nubilum. Hæc autem simul urgebant, neque ad æquinoctium usque remittebant. Ver autem frigidum, aquilonium, aquosum, nubilum. Æstas non admodum æstuosa fuit. Ætesiæ continenter spiraverunt; mox circiter Arcturum perflantibus aquilonibus copiosæ admodum aquæ.

GALENI COMMENTARIUS.

Multas aquas quodam tempore fieri dicimus, propter temporis longitudinem, etiamsi non in eo vehementer erumpant. Dicimus etiam multas, etiamsi pauco tempore largæ & impetuosæ deciderint: Hæ verò possunt & magnæ vocari. Verùm quum quis continenter aquas largas & magnas decidisse profert, quemadmodum simul scripsit Hippocrates, largas quidem repentinas, vehementes & brevis temporis; magnas verò neque repentinas, neque brevis omnino temporis, ut & neque diuturnas. Sed perspicuitatis gratiâ, nihil prohibebit etiam paulo prolixiore uti explicatione. Fiat igitur repentina pluvia multa horis tribus vel quatuor; deinde quamprimum cesset, largam hanc appellabimus. Alia verò quædam paulatim quidem incipiat, paulatimque increscat, idque per totum diem & noctem extendatur; deinde à vigore rursum minuatur paulatim copia toto sequenti die, mox desistat, hujusmodi pluviam non largam, sed magnam vocabimus. Hyems itaque quam exponit, interdum quidem largas habuit pluvias, interdum vero per intervalla magnas. Aër quoque plerunque purus interea serenabat: Huic nanque rei assentitur quod ab ipso scriptum

est; *mixtæ serenitates plurimæ.* Nives præterea dixit hac hyeme fuisse, non ipsas multas, nec paucas adjecit, ut quæ neutram abunde haberent; sed quæ ex urbis consuetudine magis essent: ideoque ipse apposuit; *non tamen valde intempestive frigora.* Atque cætera quæ sequuntur omnia, hyemem frigidam & humidam fuisse declarant, secundum naturam ipsam solum frigidam; sed tamen quam conveniat humidiorem tunc accidisse. Ver item aquosum, frigidum & aquilonium fuisse pronunciat, prætereaque nubilum, deinde æstatem aliquantulùm moderatam. A quibus omnibus circiter Arcturum spirantibus aquilonibus aquas fuisse multas; atque postea totius status summam hisce verbis recenset: *Facto autem anno toto humido frigido & aquilonio, cælumque procellosum & nubilum*: cœlum dixit ex vulgi consuetudine, qui supra nos est aër ad nubium usque regionem. Quod autem tum Astronomi, tum Philosophi cælum appellitant, à lunæ loco exorditur. Procellas autem repentinos & vehementes ventos Græci nominant, & præsertim quum pluvia simul cum illis larga fuerit.

A αὐτοῦ, μιξαίθριαι τὰ πλεῖστα· καὶ χιόνας δέ φησι γεγενῆσθαι ἐν τῷ χειμῶνι, μὴ προσθεὶς αὐτὰς πολλὰς ἢ ὀλίγας, ὡς ἂν οὔθ' ἕτερον ἱκανῶς ἐσχηκυίας, ἀλλὰ κατὰ τῆς πόλεως ἔθος μᾶλλον γενομένας. διὸ καὶ προσέθηκεν αὐτοῖς, οὐ λίαν δ' ἀκαίρως τὰ τῶν ψύξεων· καὶ τἄλλα δὲ τούτων ἐφεξῆς πάντα, τὸν χειμῶνα, ψυχρὸν καὶ ὑγρὸν γεγονέναι δηλοῖ, κατὰ φύσιν μόνον αὐτὸν γινόμενον τοιοῦτον, μᾶλλον δὲ τοῦ προσήκοντος ὑγρὸν τηνικαῦτα συμβάντα· καὶ μετά τι καὶ τὸ ἔαρ B ὑδατῶδες, ψυχρόν τε καὶ βόρειον ἔφη γεγονέναι, πρὸς δὲ τούτῳ καὶ ἐπινέφελον, εἶτα τὸ θέρος μέτριόν πως, ἐφ' οἷς πᾶσιν ἐν βορείοις τισὶ, περὶ ἀρκτοῦρον ὕδατα γενέσθαι πολλά. καὶ μετὰ ταῦτα τὸ κεφάλαιον ὅλης τῆς καταστάσεως ἐρεῖ κατὰ τὴν λέξιν. γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ, καὶ ψυχροῦ, καὶ βορείου, οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος, οὐρανὸν εἴρηκε κατὰ τὸ τῶν ἰδιωτῶν ἔθος, τὸν ὑπὲρ ἡμᾶς ἀέρα, μέχρι τῆς χώρας τῶν νεφελῶν. ὁ δ' ὑπὸ τῶν ἀστρονόμων τε καὶ φιλοσόφων οὐρανὸς ὀνομαζόμενος, ἀπὸ τοῦ κατὰ τὴν σελήνην ἄρχεται τόπου. λαίλαπας δὲ τοὺς ἐξαιφνι- C δίους καὶ σφοδροὺς ἀνέμους οἱ Ἕλληνες ὀνομάζουσι, καὶ μάλισθ' ὅταν ὑετὸς ἅμα ἐν αὐτοῖς γίγνηται λάβρος.

Toto anno frigido humido & boreali per hyemem salubria degisse corpora plurima, quòd ea calidiora & sicciora autumnus frigidus humidus juverit. Ver temperatum esse non frigidum, non nubilum, non aquosum.

Τοῦ ἔτεος ὅλου ψυχροῦ, καὶ ὑγροῦ, καὶ βορείου ὑπάρχοντος κατὰ χειμῶνα ὑγιειναῖς ἔχειν τὰ σώματα πλεῖστα, ὅτι τούτοις θερμοτέροις καὶ ξηροτέροις τὸ φθινόπωρον ψυχρὸν καὶ ὑγρὸν βοηθήσῃ. ἔαρ εὔκρατον εἶναι, οὐ ψυχρὸν, οὐδ' ἐπινέφελον, οὐδ' ὑδατῶδες χρή.

HIPPOCRATIS TEXTUS V.

Facto autem anno toto humido frigido & boreali, per hyemem quidem salubriter plurimi habebant: ante ver autem plerique nonnulli, atque etiam plurimi laboriose degebant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε΄.

D Γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ, καὶ ψυχροῦ, καὶ βορείου, κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα, περὶ δὲ τὸ ἦρος, πολλοί τινες, καὶ οἱ πλεῖστοι διῆγον ἐπιπόνως.

GALENI COMMENTARIUS.

A Nobis ex superioribus demonstratum est Hippocratem consuevisse narrationem eorum qui in aëre facti sunt, statuum ab illo exordiri tempore, quum primum à naturali temperamento decesserit, neque absque ratione id efficit, qui morborum in vulgus grassantium ideas, aëris nos ambientis intemperiei copulaturus sit. Quoniam itaque ab autumno duxit exordium, constat æstatem ante ipsum esse: idque sequi quod ante ipsum est. Itaque pro anni tempestatum ratione secundùm naturam degentia corpora excipiens autumnus humidus & frigidus factus nihil quicquam mali attulit; imò fortassis etiam nonnullis corporibus opitulatus est, quæ quum temperamentis calidiora & sicciora sint, ad incommoderationem per hyemem pervenire consueverunt. His igitur autumnus tanquam medela quædam fuit frigidum & humidum statum sortitus: Non tamen hyeme morbus fuit epidemius explicatione dignus: hoc enim significat his verbis: *per hyemem quidem salubriter habebant plurimi.* Etenim humidior erat hyems, sed non multopere frigidior quùm illi esse frigido secundum naturam accidit. Idcirco sanè statum ipsius narrans hæc profert; *non tamen admodum intempestive frigora.* At rationi consentaneum erat morbos ortum habuisse ex majori ambientis

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δέδεικται διὰ τῶν ἔμπροσθεν ἡμῖν, ὅτι εἴωθεν ὁ Ἱπποκράτης τῆς διηγήσεως τῶν γενομένων περὶ τὸν ἀέρα καταστάσεων ἄρχεσθαι κατ' ἐκεῖνον τὸν χρόνον, ὅταν πρῶτον ἐκτραπῇ τῆς κατὰ φύσιν κράσεως, καὶ οὐκ ἀπὸ τοῦ λόγου ἐστὶ τοῦτο πράττειν, τῷ μέλλοντι συνάψειν τῇ E τοῦ περιέχοντος ἀέρος δυσκρασίᾳ τὰς τῶν ἐπιδημησάντων νοσημάτων ἰδέας. ἐπεὶ τοίνυν ἀπὸ φθινοπώρου τὴν ἀρχὴν ἐποιήσατο, δῆλον ὅτι τὸ πρὸ αὐτοῦ, θέρος ἐστὶ, καὶ ἕπεται τῷ πρὸ αὐτοῦ. καὶ τοίνυν ὅσον ἐπὶ ταῖς ὥραις, κατὰ φύσιν ἔχοντα τὰ σώματα παραλαβὸν τὸ φθινόπωρον ὑγρὸν καὶ ψυχρὸν γενόμενον, οὐδὲν εἰργάσατο φαῦλον, ἀλλ' ἴσως ἔνια σώματα καὶ προσωφέλησεν, ὅσα θερμότερα καὶ ξηρότερα ταῖς κράσεσιν ὄντα κατὰ τὸ θέρος εἴωθεν εἰς ἀμετρίαν ἀφικνεῖσθαι. τούτων οὖν ὥσπερ ἴαμά τι τὸ φθινόπωρον F ἐγένετο, ψυχρὰν καὶ ὑγρὰν ἔχον τὴν κατάστασιν. οὐ μὴν οὐδὲ κατὰ τὸν χειμῶνα νόσος ἐπιδήμιος ἐγένετο διηγήσεως ἀξία. τοῦτον γὰρ ἐπισημαίνει λέγων, κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα· καὶ γὰρ ὁ χειμὼν ὑγρότερος μὲν ἐγένετο, ψυχρότερος δ' οὐκ ἐπὶ πλέον ἢ κατὰ φύσιν αὐτῷ συμβέβηκεν εἶναι ψυχρῷ. διὸ δὴ καὶ διηγούμενος ὑπὲρ τῆς ἐν αὐτῷ καταστάσεως εἶπεν, οὐ λίαν δὲ ἀκαίρως τὰ τῶν ψύξεων. πρόδηλον δὲ εὔλογον ἦν ἄρξασθαι νόσους ἐκ τῆς τοῦ περιέχοντος ἐπὶ πλέον ἐξαλ-

λαγῆς, ἡνίκα φησὶν αὐτός. ἔαρ δὲ ψυχρὸν, βόρειον, ὑδατῶδες, ἐπινέφελον. ἔαρ γὰρ εὔκρατον εἶναι χρὴ, οὐ ψυχρὸν, ὥσπερ οὐδ᾽ ἐπινέφελον, οὐδ᾽ ὑδατῶδες. ὅτι δ᾽ ἀπὸ τῆς ἰσημερίας ἄρχεται τῆς μετὰ τὸν χειμῶνα τὸ ἔαρ, ἐρρέθη ἡμῖν κατὰ τὸ πρόσθεν ὑπόμνημα, καὶ αὐτὸς δὲ σαφῶς ὁ Ἱπποκράτης ἐνεδείξατο κατὰ τὴν προκειμένην διήγησιν. εἰπὼν γὰρ ὅτι ὀπισθοχείμων, κἄπειτα προσθεὶς, ταῦτα δὲ συνέτεινε, καὶ οὐκ ἀνίει μέχρι ἰσημερίας. ἐφεξῆς προσέγραψεν, ἔαρ δὲ ψυχρὸν, βόρειον ὑδατῶδες, ἐπινέφελον. ἴδωμεν οὖν ὁποῖα τῇ καταστάσει τοῦ περιέχοντος ἠκολούθησεν νοσήματα.

aëris immutatione, quum ipse loquitur; *ver autem frigidum, aquilonium, aquosum, nubilum.* Ver enim temperatum esse oportet, non frigidum, ut nec nubilum, nec aquosum. Quod autem ver ab eo quod hyemem sequitur æquinoctio, exordiatur, in præcedente commentario explicatum est, atque ipse Hippocrates in præsenti narratione dilucidè demonstravit. Quum enim docuisset *posteriora frigora magna fuisse:* adjecit postea; *hæc autem simul urgebant, neque ad æquinoctium usque remittebant.* Adscripsit deinceps; *ver autem frigidum, aquilonium, aquosum, & nubilum.* Itaque quinam hujusmodi aëris statum morbi consequuti sint, videamus.

Τὰς ὀφθαλμίας ῥοώδεας, ὀδυνώδεας, ὑγρὰς, ἀπέπτους, καὶ λημίας σμικρὰς τῇ καταστάσει ψυχρᾷ, καὶ ὑγρᾷ, καὶ βορείᾳ, καὶ ὑδατώδει, καὶ ἐπινεφέλῳ ἕπεσθαι. τί ἡ ὀφθαλμία, τί λημία, καὶ τούτων αἰτίαι.

Lippitudines fluentes, dolorificas, humidas, incoctas & lemias parvas statum frigidum, humidum, aquilonium, pluviosum, & nubilum sequi. Quid ophthalmiæ, & lemiæ, & earum causæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

ΗΡξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεες, ὀδυνώδεες, ὑγραὶ, ἄπεπτοι, λημίαι σμικραὶ, καὶ δυσκόλως πολλοῖσιν ἐκρηγνύμεναι, τοῖσι πλείστοισιν ὑπέστρεφον, ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρον.

HIPPOCRATIS TEXTUS VI.

CÆperunt itaque primùm ophthalmiæ fluentes cum dolore: humidæ, crudæ, lemiæ parvæ; quæ difficile multis erumpentes plurimis revertebantur, ac serò ad autumnum reliquerunt.

ΥΠΜΟΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ διότι μὲν ἐν ἦρι τῶν ἐπιδημίων νοσημάτων ἡ γένεσις ἤρξατο, προείρηται. διότι δ᾽ ὀφθαλμίαι μᾶλλον τῶν ἄλλων παθῶν ἐγένοντο, μάθοις ἂν εἰ τῆς ἐν αὐτῷ καταστάσεως ἀναμνησθείης. ψυχρότερον γὰρ ἔφη, καὶ βόρειον, καὶ ὑδατῶδες, καὶ ἐπινέφελον γεγονέναι αὐτό. εἰ μὲν οὖν ὑπὸ τῶν ἀνέμων μόνον ἐπλήγησαν οἱ ὀφθαλμοὶ, χωρὶς ῥεύματος ἂν αἱ ὀφθαλμίαι συνέπεσον αὐτοῖς. ἐπεὶ δὲ μεθ᾽ ὑγρότητος πολλῆς ἐγένετο τὰ βόρεια πνεύματα, εἰκότως ῥοώδεις ἔφη τὰς ὀφθαλμίας γεγονέναι, τουτέστιν ὑγρὰς, ὡς ἀπὸ καταστάσεως ὑγρᾶς γεννηθείσας. ὀδυνώδεις δ᾽ ἑκατέρας ἦσαν καὶ μετὰ ῥεύματος συνιστάμεναι, καὶ χωρὶς τούτου, τῷ διαμένειν τὴν ψύξιν. ἱκανὴ γὰρ καὶ αὐτὴ τοὺς ὀφθαλμοὺς ὀδυνώδεις ἐργάσασθαι. νυνὶ δ᾽ εἰκὸς αὐξηθῆναι τὰς ὀδύνας, τῆς ψύξεως τῶν ὀφθαλμῶν ἅμα τῷ κατ᾽ αὐτοὺς ῥεύματι συνελθούσης. ἄπεπτοι δὲ γίνονται, καὶ χρόνῳ πολλῷ παρέμενον, διά τε τὴν ὑγρότητα, καὶ τὴν ψύξιν. τὸ γάρ τοι πέττεσθαι, τοῖς ῥεύμασι γίνεται κρατουμένοις ὑπὸ τῆς ἐμφύτου θερμασίας. κρατεῖται δὲ ῥᾷον, ὅταν ὀλίγον τε ᾖ τὸ ὑγρὸν, καὶ μὴ πάνυ ψυχρὸν, ὅταν δὲ καὶ πολὺ ψυχρὸν δυσκόλως πέττεται. καὶ μὲν δὴ καὶ ἡ κατὰ φύσιν ἐν τοῖς ζώοις θερμότης, ἰσχυρὰ μὲν οὖσα, θᾶττον ἐκπέττει τὰς ἐν αὐτοῖς ὑγρότητας. εἰ δ᾽ ἀσθενὴς, μόγις ἐν χρόνῳ πλείονι περιγίνεται, καὶ κρατεῖν δύναται τοῦ ὑγροῦ, διὸ καὶ εἴ τινες ἐθεραπεύθησαν, ὑπέστρεφον αὖθις. ἠσθενηκότας γὰρ ἐν ταῖς ὀφθαλμίαις τοὺς ὀφθαλμοὺς, τὸ περιέχον ψυχρὸν, καὶ βόρειον, ὑδατῶδες καὶ ἐπινέφελον γενόμενον, εἰκότως ἔβλαπτε. εἴωθε δὲ ταῖς τοιαύταις ὀφθαλμίαις λημία γίνεσθαι μικρὰ, μόγις ἐκπίπτοντα διὰ τὴν πύκνωσιν τῶν χιτώνων, ἣν ἐκ τοῦ τοῦ περιέχοντος ψυχρότητος ἔσχον. ὅλῳ μὲν οὖν τῷ ἦρι,

GALENI COMMENTARIUS.

CUr etiam vere quidem cœperit morborum epidemiorum generatio prænarratum est. Cur vero lippitudines cæteris morbis frequentius crearentur, didiceris si statum ipsius memineris. Frigidiorem enim, aquilonium, aquosum & nubilum fuisse pronunciat. Si itaque à ventis oculi icti solùm fuissent, ipsis citra defluxum lippitudines accidissent. Quia vero cum humiditate copiosa aquilonii venti perflassent, jure oculorum inflammationes fluentes, hoc est humidas fuisse profert, tanquam ab humido statu procreatas: *Cum dolore*, autem utroque modo erant, & cum rheumate consistentes, & absque hoc, quod frigus perseveraret. Ipsum nanque frigus ad dolores oculis excitandos idoneum erat. Nunc autem dolores auctos esse verisimile est, oculorum frigore, & rheumate in ipsis simul concurrentibus. Incoctæ vero erant, & longo tempore permanebant, propter tum humiditatem, tum frigus: Coctiones nanque fiunt rheumatibus à nativo calore superatis. Facilè vero superantur, quum his paucus humor fuerit, nec multopere frigidus, Quum enim multus ac frigidus fuerit, difficulter coquitur. Jam vero calor animalium si secundùm naturam robustus quidem fuerit, ipsorum humores citius concoquit: Si verò imbecillus, vix longiori tempore superior evadit, humoresque potest evincere. Quocirca si qui ophthalmiis curati fuerint, rursus in eas deciderunt: Debilitates siquidem ophthalmiis oculos ambiens frigus aquilonium, aquosum, & nebulum jure oblædebat. Consuevit hujusmodi oculorum inflammationibus parva oboriri lemia, *quæ minutissima sordes existit*, vix excidens propter tunicarum densitatem, quam ex ambienti frigore sortitæ sunt. Quare toto vere

necessariò deteriores oculi evadebant; æstate vero quæ scirrhosa fuerat affectio, ea sensim ad coctionem deducta est. Qui nanque longo tempore procreati erant morbi, & præsertim à frigore & humiditatibus, solvi celeriter non potuerunt. Merito igitur oculorum affectus per autumnum absolutè cessasse protulit.

A χείρους ἀναγκαῖον ἦν ἐν αὐτῷ γίνεσθαι τοὺς ὀφθαλμούς. ἐν δὲ τῷ θέρει τὴν γινομένην ἐν αὐτοῖς σκιρρώδη διάθεσιν, ἐς πέψιν ἀχθῆναι κατὰ βραχύ. τὰ γὰρ ἐν χρόνῳ κατασκευασθέντα νοσήματα, καὶ μάλιστα ὑπὸ ψυχρῶν τε καὶ ὑγρῶν, οὐκ ἐνδέχεται λυθῆναι ταχέως. Εἰκότως οὖν ἔφη τελέως παύεσθαι τὰ κατὰ τοὺς ὀφθαλμοὺς πάθη κατὰ τὸ φθινόπωρον.

Qui morbi statum autumno inceptum frigidum, humidum & aquilonium sequuti, æstate & autumno grassati sunt, ophthalmiæ, lienteriæ, dysenteriæ, tenesmi, diarrhœæ, perirrhœæ cum aliis symptomatis. Cur hoc in statu non omnes Thasii ægrotarunt. Quibus constet sanitas. Temperata corpora temperatis aëris statibus servari, intemperatis lædi; intemperatis intemperata juvari. Corporum status aëris statibus confert. Partes imbecilliores à validioribus supervacanea excipere. Horum morborum causas externas aëris statum, internas humorum putredinem esse.

Ὅσα νοσήματα τῇ καταστάσει ἐν φθινοπώρῳ καταρχθείσῃ ψυχρᾷ καὶ ὑγρᾷ καὶ βορείᾳ ἑπόμενα κατὰ θέρος καὶ φθινό-
B πωρον ἐπιδεδήμηκεν ὀφθαλμίαι, λειεντερίαι, δυσεντερίαι, τείνεσμοι, διάρροιαι, περίρροιαι μετὰ τῶν συμπτωμάτων. Διατί τὰ κατὰ τὴν κατάστασιν ταύτην πάντες Θάσιοι μὴ ἐνόσησαν. Ἐξ ὧν ὑγίεια συνίσταται. Εὔκρατα τὰ σώματα ταῖς εὐκράτοις μὲν ἀέρος καταστάσεσι φυλάττεσθαι, δυσκράτοις δὲ βλάπτεσθαι, τά τε δύσκρατα ταῖς δυσκράτοις βοηθεῖσθαι. τὴν τῶν σωμάτων κατάστασιν τῇ ἀέρος καταστάσει παραβάλλεσθαι, τὰ δὲ μόρια ἀσθενέστερα ἐκ τῶν ἰσχυροτέρων περιουσίαν δέχεσθαι. Τὰς μὲν τούτων νοσημά-
C των αἰτίας προκαταρκτικὰς εἶναι, τὰς τῆς ἀέρος καταστάσεις, τὰς δὲ προηγουμένας τοὺς χυμοὺς σηπομένους.

HIPPOCRATIS TEXTUS VII.

Jam vero æstate & autumno lienteriæ, disenteriæ, tenesmi, & diarrhœæ ex biliosis, tenuibus, multis crudis & mordacibus dejectionibus grassatæ sunt: Quibusdam etiam aquosis: Plerisque autem perirrhœæ cum dolore biliosæ, ramentosæ, aquosæ, purulentæ, & cum stranguria contigerunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Κατὰ δὲ θέρος ἤδη καὶ τὸ φθινόπωρον λειεντεριώδεες, καὶ δυσεντεριώδεες, καὶ τεινεσμοί, καὶ διάρροιαι χολώδεσι, λεπτοῖσι πολλοῖσι, ὠμοῖσι, καὶ δακνώδεσιν, ἔστι δὲ οἷσι καὶ ὑδατώδεσι. πολλοῖσι δὲ καὶ περίρροιαι μετὰ πόνου χολώδεες, ὑδατώδεες, ξυσματώδεες, πυώδεες, καὶ στραγγουριώδεες.

GALENI COMMENTARIUS.

Non hi tantùm morbi & symptomata Thasiis oboriebantur, verumetiam alia quædam, de quibus deinceps acturus est. Nam variè admodum ægrotabant, qui in diversi generis morbos inciderant. Communem itaque prius adferam rationem ad id utilem, cur non omnes eo in statu ægrotarent; deinde ad singulos morbos deveniam. Considerare autem oportet in statibus omnibus uniuscujusque hominis tum ætatem, tum naturam, cujusnam scilicet dispositionis ad statum fuerit: Aut enim illum ad statum facile, aut difficile, aut aliquatenùs paratum esse invenies; deinde tum vitæ instituta, tum universam salubrem victus rationem statui subcontrariam constitues. Quod enim corpus tum facile, tum difficile, ab externis injuriis afficiatur, temperamenti tum similitudinem causam esse à nobis sæpenumero proditum est. Quum enim sanitas ex quatuor elementorum commoderatione constet, sive qualitates, sive facultates appellare volueris, humiditatis, siccitatis, caliditatis & frigiditatis, nonnulla tum tempora, tum naturæ, tum ætates, intemperata sunt, quibus hi quidem similes status morbos excitant; illi verò contrarii conferunt. Temperatis enim corporibus temperati status salubres sunt; intemperati verò noxii. Verùm ut intemperatorum statuum nullus temperatis bonus est: ita neque admodum noxius quemadmodum intemperatis. Nam vehementer humidi & frigidi status intemperata corpora humiditate & frigiditate summè lædunt, quemadmodum etiam & humidi &

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Οὐ ταῦτα μόνον ἐγίνετο νοσήματά τε καὶ συμπτώματα τοῖς Θασίοις, ἀλλὰ καὶ ἄλλα τινὰ περὶ ὧν ἐφεξῆς ἐρεῖ. ποικιλώτατα γὰρ ἐνόσησαν, ἑτερογενέσι περιπεσόντες νοσήμασι. τὸν κοινὸν δὴ οὖν λόγον, ὃς καὶ πρὸς τὸ μὴ νοσεῖσθαι πάντας τοὺς ἐν τοιαύτῃ καταστάσει γινομένους ἐστὶ χρήσιμος, ἐρῶ πρότερον, εἶθ' ἑξῆς ἐπὶ τὰ κατὰ μέρος ἀφίξομαι νοσήματα. σκοπεῖσθαι δὲ ἐν πάσαις ταῖς καταστάσεσιν τὴν ἡλικίαν καὶ τὴν φύσιν ἑκάστου τῶν ἀνθρώπων, ὅπως ἔχει σχέσεως πρὸς τὴν κατάστασιν. ἤτοι γὰρ εὐά-
E λωτον, ἢ δυσάλωτον, ἢ μετρίως ἔχοντα πρὸς αὐτὴν εὑρήσεις αὐτά. Εἶθ' ἑξῆς ἁρμόσεις τά τ' ἐπιτηδεύματα, καὶ σύμπασαν τὴν ὑγιεινὴν δίαιταν, ὑπεναντίον τῇ καταστάσει. τὸ μὲν οὖν εὐάλωτόν τε καὶ δυσάλωτον εἶναι τὸ σῶμα τοῖς ἔξωθεν αἰτίοις, εἴρηται πολλάκις ἡμῖν, διά τε τὴν ὁμοιότητα καὶ τὴν ἀνομοιότητα τῆς κράσεως γίνεσθαι. τῆς γὰρ ὑγιείας ἐκ συμμετρίας γινομένης τῶν τεττάρων στοιχείων, εἴτε ποιοτήτων, εἴτε δυνάμεων θέλεις ὀνομάζειν, ὑγρότητος καὶ ξηρότητος, καὶ θερμότητος, καὶ ψυχρότητος, ἔνια τῶν σωμάτων, καὶ φύσεων, καὶ ἡλικιῶν ἐστὶ δύσκρατα. τούτοις οὖν αἱ
F μὲν ὅμοιαι καταστάσεις νοσώδεις εἰσίν, αἱ δὲ ἐναντίαι συμφέρουσιν, αὐτοῖς. τοῖς δὲ εὐκράτοις σώμασιν, αἱ μὲν εὔκρατοι καταστάσεις ὑγιειναί, βλαβεραὶ δὲ αἱ δύσκρατοι. ἀλλ' ὥσπερ οὐδεμία τῶν δυσκράτων καταστάσεων ἀγαθὴ τοῖς εὐκράτοις ἐστίν, οὕτως οὐδὲ μεγάλως βλαβερά, καθάπερ τοῖς δυσκράτοις. Αἱ μὲν γὰρ ἰσχυρῶς ὑγραὶ καταστάσεις, ἐσχάτως βλάπτουσι τὰ δύσκρατα σώματα καθ' ὑγρότητα καὶ ψυχρότητα, καθάπερ γε καὶ αἱ ὑγραὶ καὶ

αἱ θερμαὶ καταστάσεις, τὰς ὑγρὰς καὶ θερμὰς τῶν κράσεων βλάπτουσι, καὶ κατὰ τὸν αὐτὸν λόγον αἱ θερμαὶ καὶ ξηραὶ τὰς ὁμοίας. ὅσα γὰρ ἐγγὺς ἤδη τοῦ νοσεῖν ἐστι σώματα, νόσον τοιάνδε διὰ τὴν οἰκείαν δυσκρασίαν ἐξελέγχεται. τὰ δ' ἐναντίως κεκραμένα τῷ περιέχοντι, πρὸς τῷ μηδὲν ἀδικεῖσθαι, καὶ γὰρ βελτίω, τῇ ἀμετρίᾳ κολαζόμενα. τὰ γὰρ ἐναντία, τῶν ἐναντίων ἐστὶν ἰάματα. ταῖς οὖν θερμαῖς καὶ ξηραῖς κράσεσιν, ἡ ὑγρὰ καὶ ψυχρὰ κατάστασις, ὠφέλειαν μᾶλλον ἢ βλάβην παρέχει, διὰ τῆς εἰς τοὐναντίον ἀγωγῆς, μεσότητα κράσεως ἐργαζομένη. καὶ τοῦτ' ἦν αἰτία, τοῦ μὴ νοσεῖν ἅπαντας ἐν ταῖς δυσκράτοις καταστάσεσιν. ἐὰν οὖν τις τοῦτο γινώσκῃ, τὴν ὑγείαν φυλάξει, τοῖς σώμασι τἀναντία διαιτήματα προσάγων. ἂν γὰρ ὑγρὸν καὶ ψυχρὸν τὸ περιέχον ἡμᾶς ἐστι, δεήσει θερμαίνειν τὰ σώματα, καὶ μάλιστα ὅσα ψυχρότερα τέ ἐστι καὶ ὑγρότερα. γυμνάσιά τε οὖν πλείω τοῖς τοιούτοις ὠφέλιμα καὶ οἶνος ὀλίγος θερμότερος φύσει ὢν, καὶ ὕδωρ προσλαβών, ἐδέσματά τε θερμαίνοντα. καὶ μέντοι καὶ τὸ καθ' ἕκαστον αὐτῶν ποσὸν, ἔκ τε τῆς τοῦ σώματος κράσεως εἰσόμεθα, καὶ τῆς τοῦ περιέχοντος, ἐφ' ὅσον ἑκάτερον ἐκτέτραπται τῆς εὐκρασίας ἐπισκοπούμενοι. κατὰ γὰρ τὸ μέγεθος τῆς ἐκτροπῆς, καὶ τὸ ποσὸν τῆς διαίτης, ὑπαλλακτέον. οἷον εἴ τι ἐστὶ σῶμα τῆς εὐκρασίας ἐπὶ πλεῖστον ἀποκεχωρηκὸς πρὸς ὑγρότητά τε καὶ ψυχρότητα, τοῦτο κατὰ τὴν προκειμένην κατάστασιν ἐπὶ πλέον αὐτοὶ ξηρανοῦμέν τε καὶ θερμανοῦμεν. εἰ δὲ μετρίως εἰς τοιοῦτον, ἄλογον ἂν εἴη ἐσχάτως αὐτῷ τοῦτο ποιεῖν, ἀναλόγως δ' ἄν. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ τῶν ξηρῶν καὶ θερμῶν σωμάτων οὐ χρὴ τὰ διαιτήματα σφοδρῶς εἶναι θερμὰ καὶ ξηρὰ, παρ' ἑαυτῶν γὰρ ἔχει τοῦτο. σκοπεῖσθαι δὲ μόνον, ὁπόσον τὸ περιέχον ἐκτέτραπται τῆς προσηκούσης εὐκρασίας. εἰ μὲν γὰρ ὀλίγον, οὐδ' ὅλως ὑπαλλάξομεν τὴν μέσην δίαιταν ἐπὶ τῶν θερμῶν καὶ ξηρῶν σωμάτων. εἰ δ' ἐπὶ πλέον, ἀρκέσει τὸ μετρίως ὑπαλλάξαι. ταῦτ' οὖν ὅστις ἐστὶν ἐπιστάμενος, τὰς αἰτίας τῆς ἑκάστου τῶν νοσημάτων γενέσεως, ἐν ἑκάστῃ καταστάσει φυλάξει. Κόιντος δὲ τοῖς ἐμπειρικοῖς ὁμοίως, ἀρνούμενος ἐπίστασθαι τῶν οὕτω γινομένων παθῶν τὰς αἰτίας, ἀναφέρων δ' εἰς πεῖραν μόνην αὐτὰς, τῆς προσηκόντων βοηθημάτων τῆς εὑρέσεως ἠπόρει, καί τοι δι' αὐτὸ τοῦτο χρησίμης οὔσης ἀναγνῶναι τῆς γενέσεως τῶν ἐπιδημίων νοσημάτων. ἐπισκεψώμεθα οὖν ἡμεῖς τὴν προκειμένην κατάστασιν, ἀναλαβόντες ἐξ ἀρχῆς. ἐγένετο δὲ καθάπερ ὁ Ἱπποκράτης ἐδήλωσεν, ὑγρὰ καὶ ψυχρὰ, τὴν ἀρχὴν ἀπὸ φθινοπώρου ποιησαμένη. διὰ τοῦτ' οὖν ἐν μὲν αὐτῷ τῷ φθινοπώρῳ καὶ τῷ μετ' αὐτὸν χειμῶνι, μετρίως διῆγον οἱ Θάσιοι. κατὰ δὲ τὸ ἔαρ ἐπειδὴ καὶ αὐτὸ ψυχρόν τε καὶ ὑγρὸν ἐγένετο, πρῶτοι πάντων ἐνόσησαν οἱ ὀφθαλμοὶ, διότι μὴ μόνον ὑγρὸν ἦν καὶ ψυχρὸν τὸ περιέχον, ἀλλὰ καὶ λαιλαπῶδες ἔμπροσθεν ἐγεγόνει. πληττομένους οὖν ὑπὸ ψυχρῶν ἀνέμων τοὺς ὀφθαλμοὺς, εἰκὸς ἦν πρώτους τῶν ἄλλων μερῶν νοσῆσαι τοῦ σώματος, κατὰ τὴν τοῦ δρῶντος αἰτίου φύσιν, ὥστ' οὐκ ἄλλως αὐτοῖς ὑγρὰ καὶ ψυχρὰ ῥεύματα συνέπεσεν. ἐπεὶ δ' οὐκ ἦλθεν εἰς ἐσχάτην ἡ κατάστασις ὑγρότητα, διὰ τοῦτο τῶν ἄλλων παθημάτων οὐδὲν ἠκολούθησεν, ὅσα πλεονεκτούσης ἐν τῷ περιέχοντι τοιαύτης κράσεως εἴωθε γίνεσθαι. λέγω δὲ ἀποπληξίας, καὶ σπασμοὺς, καὶ παλμοὺς, καὶ τετάνους, περιπνευ-

A calidi status tum humida, tum calida temperamenta lædunt. Eadem quoque ratione calida & sicca similia: Nam quæ corpora jam propè sunt ut hunc morbum incurrant, ex peculiari intemperie arguuntur. Quæ vero contrario quàm aër modo temperata sunt, præterquamquod nihil injuriæ accipiant, redduntur quoque meliora ab immoderatione emendata: Contraria siquidem contrariorum sunt remedia. Calidis igitur & siccis temperamentis humidus & frigidus status opem magis quàm læsionem præstat, qui quòd ad contrarium ducat, temperamenti medium efficit. B Itaque causa fuit cur non omnes in intemperatis statibus ægrotarent. Si quis igitur id noscat, corporibus sanitatem servabit, contrariam victus rationem adhibiturus: Nam si humidus & frigidus sit qui nos ambit aër, calefacienda sunt corpora, ac præsertim quæ tum frigidiora, tum humidiora existunt, quibus exercitationes frequentiores sunt perutiles; vinumque paucum naturâ calidius, & quod aquam acceperit, & quæ calefaciant edulia. Ac præterea ipsorum singulorum quantitatem tum ex corporis, tum ex aëris ambien- C tis temperamento agnoscemus, si quantum ab optimo temperamento alterutrum decesserit, consideremus: Nam pro decessionis magnitudine etiam victus quantitas permutanda venit, ut si quod corpus ab optimo temperamento plurimùm ad humiditatem & frigiditatem decesserit, hoc in præsenti statu plurimum ipsi & siccabimus & calefaciemus. Quod si mediocriter ab hocce decesserit, citra rationem fuerit summè ipsi hoc efficere, sed proportione. At sanè multo magis siccis & calidis corporibus victus rationem vehementer calidam & siccam D esse non oportet: Apud se nanque id habent. Observandum est autem duntaxat quantum circunstans aër à decenti temperie deflexerit. Si nanque parum, in calidis & siccis corporibus mediam victus rationem immutabimus; si verò ampliùs, mediocriter permutasse sufficiet. Quisquis igitur hæc sciverit, generationis singulorum morborum causas in singulis statibus observaturus est. Quintus autem dum negat cum empiricis morborum ita procreatorum sciri causas (quas ad solam experientiam referens convenientium præsidiorum inventione E destituitur) etiamsi ob id ipsum morborum epidemiorum generatio ut cognoscatur utilis sit. Nos igitur præsentem statum consideremus & ab initio repetamus. Hic autem fuit, quemadmodum Hippocrates declaravit, frigidus & humidus ab autumno principium ducens. Quamobrem ipso in autumno & sequenti hyeme Thasii mediocriter habuerunt. Vere autem quia & ipsum frigidum & humidum fuerit, primi omnium oculi ægrotarunt, quòd non F solùm humidus & frigidus fuisset aër, verumetiam & antea procellosus. Ictos itaque à frigidis ventis oculos primos ante cæteras corporis partes laborasse par est ex causæ efficientis natura: Quare neque absque ratione ipsis frigidæ & humidæ fluxiones acciderunt. Verùm quia status ad summam humiditatem non devenit, propterea nullus aliorum affectuum, qui redundante tali in aëre temperatura fieri consueverunt, consequutus est, apoplexias dico, convulsiones, palpitationes, tetanos, peripneu-

monias, & pleuritides. Sed postea humoribus ob diuturnam intùs moram putrescentibus, cum corruptione morbi plethorici procreati sunt. Etenim causæ frigidæ cutim densantes humores discuti prohibent; quæ verò ex ambiente nos aëre sunt humiditates, non solùm à corpore nihil quicquam educunt, sed adjiciunt. Quum igitur utraque simul in præsenti statu oborta sint, plenitudo in ægrotantium corporibus acervata est, non eadem omnibus. Quibus enim in corpore quicquam biliosum, esset excrementum, id non discussum biliosum morbum creavit; quibus vero pituitosum, aut melancholicum, aut sanguineum, quamprimum excremento non vacuato affectus fuit similis. Quum verò talis in corpore humor redundans tum corrumpi, tum putrescere consueverit, rationi consonum fuit alios aliis morbis prehendi. Cui rei accedit quod omnes corporis partes non similiter afficerentur; sed huic quidem jecur debilius erat, huic verò lien, alteri ventriculus, alteri intestinum, alteri denique pars altera. Quum igitur partes imbecilliores à robustioribus humorum redundantiam perpetuò exciperent, consequens erat atque pro partium natura, ex Thasiis alium aliud pati. Dysenteriæ, atque tenesmi, diarrhœæ, & lienteriæ, fluentibus in alium excrementis creabantur; dysuriæ verò in vesicam conversis; vomitus autem in ventriculi orificium pervenientibus. Verum hæc sanè propter ambientis frigus intra corpus impetum fecerunt. Æstate vero calidioribus corporum temperamentis interiores partes robustiores obtinentibus sudores erupisse verisimile est, & eorum quibusdam id citra febres accidisse, quum nondum supervacaneus humor non idoneam putredinem habuisset; nonnullis etiam cum febre. Procedente vero tempore, variæ febres diversas ideas sortitæ oriebantur, quod etiam putrescentes humores essent diversi: Non enim ex ambiente procreati fuerant, sed ex statu, qui frigidus esset, non calidus, acervati, ut quum sua ipsius ratione corpus calefacit canis ortus, perpetuo febres ardentes fieri soleant. At nunc non ab ipso primùm statu accidit, sed propter mediam cutis constipationem. Itaque qui morbi tunc in vulgus grassati sunt, eorum compendium à me dictum est; ad particularia autem jam convertar, simulque si quid obscurum in dictione videatur, explicaturus sum.

Ut universi corporis illæso ventre per sedem: sic per renes & vesicam illæsis intestinis pravas excretiones fieri.

HIPPOCRATIS TEXTUS VIII.

N*on nephriticæ, sed his alia pro aliis.*

GALENI COMMENTARIUS.

ET per sedem excretiones pravæ fiunt sæpenumero illæso ipso ventre permanente; ubi per ipsum totum corpus expurgatur; vel quum abscessus in illo fuerit per emissionem aliquam ex Hippocrate abscessum fieri volente, non solùm per repositionem, verumetiam per

A μορίας τε, καὶ πλευρίτιδας· ἀλλ' ὕστερόν γε νοσήματα πληθωρικὰ μετὰ διαφορᾶς ἐγένετο, σηπομένων ἤδη τῶν χυμῶν διὰ τὴν πολυχρόνιον ἔνδον μονήν. καὶ γὰρ τὰ ψυχρὰ τῶν αἰτίων πυκνοῦντα τὸ δέρμα, κωλύει διαφορεῖσθαι τοὺς χυμοὺς, ἥ θ' ὑγρότης ἡ ἐκ τοῦ περιέχοντος, οὐ μόνον οὐδὲν ἀπάγει τοῦ σώματος, ἀλλὰ προσδίδωσιν. ἀμφοτέρων οὖν ὁμοῦ γινομένων ἐν τῇ προκειμένῃ καταστάσει, πλῆθος ἠθροίσθη κατὰ τὰ σώματα τῶν νοσησάντων οὐχ ὅμοιον ἅπασιν. οἷς μὲν γὰρ ἦν ἐν τῷ σώματι χο-
B λῶδες περίττωμά τι, οὐ διαφορηθὲν τοῦτο, χολῶδες τὸ πάθος ἐποίησεν. οἷς δὲ φλεγματικὸν, ἢ μελαγχολικὸν, ἢ αἱματικὸν, αὐτίκα καὶ τὸ πάθος ἦν ὅμοιον τῷ μὴ κενωθέντι. διαφθείρεσθαι δὲ πεφυκυίας ἐν τῷ σώματι, καὶ σήπεσθαι τῆς τοιαύτης περιουσίας, εὔλογον ἦν ἄλλοις ἄλλοις ἁλῶναι νοσήμασιν, πρὸς τῷ καὶ τὰ μέρη τοῦ σώματος οὐχ ὁμοίως διακείμενα ἅπαντας ἔχειν, ἀλλὰ τῷ μὲν ἧπαρ ἀσθενέστερον εἶναι, τῷ δὲ σπλῆνα, τῷ δὲ γαστέρα, τῷ δὲ ἔντερον. τῷ δὲ ἄλλο τι. δεχομένων οὖν ἀεὶ τῶν ἀσθενεστέρων μορίων τὴν ἐκ τῶν ἰσχυροτέρων περιουσίαν, ἀκόλουθον ἦν καὶ παρὰ τὴν τῶν τόπων φύσιν, ἄλλον ἄλλο παθεῖν
C τῶν Θασίων. αἱ μὲν οὖν δυσεντερίαι καὶ οἱ τεινεσμοὶ, καὶ αἱ διάρῥοιαι, καὶ λιεντερίαι, ῥεόντων εἰς ἔντερα τῶν περιττῶν ἐγένοντο. δυσουρίαι δὴ εἰς τὴν κύστιν τρεπομένων, ἔμετοι δὴ, ἐπὶ τὸ στόμα τῆς γαστρὸς ἀφικομένων. ἀλλὰ ταῦτα μὲν ἔσωθεν τοῦ σώματος ὥρμησεν διὰ τὴν ἐκ τοῦ περιέχοντος ψύξιν. μὴ ἔξω
ἐν δὲ τῷ θέρει τῶν θερμοτέραις κράσεσι τῶν σωμάτων ἰσχυρά τε τὰ ἔνδον ἐχούσαις, εἰκὸς ἦν ἱδρῶτας γενέσθαι· καί τισι μὲν αὐτῶν ἄνευ πυρετῶν τοῦτο συμβῆναι, μηδέπω σῆψιν ἱκανὴν ἐσχηκυίας τῆς περιουσίας. ἐνίοις δὲ, καὶ μετὰ τοῦ πυρέττειν. ἐν δὲ τῷ χρόνῳ προϊόντι, καὶ πυρετοὺς γε-
D νέσθαι ποικίλους, ἄλλον ἄλλης ἰδέας, ἐπειδὴ καὶ οἱ σηπόμενοι χυμοὶ διαφέροντες ἦσαν. οὐ γὰρ ἐγεννήθησαν ὑπὸ τοῦ περιέχοντος, ἀλλ' ἠθροίσθησαν ἅτε τῆς καταστάσεως ψυχρᾶς, οὐ θερμῆς γινομένης ἵνα κατὰ τὸν ἑαυτῆς λόγον ἐκθερμαίνει τὸ σῶμα, καὶ ἡ μετὰ κυνὸς ἐπιτολὴ, ἀεὶ γίνεσθαι πεφύκασι πυρετοὶ διάκαεῖς. ἀλλὰ νῦν γε οὐχ ὑπ' αὐτῆς πρώτως ἐγένετο τῆς καταστάσεως, ἀλλὰ διὰ μέσης τῆς πυκνώσεως τοῦ δέρματος, ἡ μὲν οὖν σύνοψις τῶν ἐπιδημησάντων τότε παθημάτων, εἴρηταί μοι. πρὸς δὲ τὸ κατὰ μέρος
E ἤδη τρέψομαι, μετὰ τοῦ καὶ τὴν λέξιν, εἴπου τι φαίνοιτο μὴ σαφὲς ἔχειν, ἐξηγεῖσθαι.

[handwritten marginal note:]) textu vitiose sed intelligendū ἡ ἐπιτολὴ μετὰ τὴν κυνὸς interpretīva interpretatum διον-

---

Ταὶ τοῦ ὅλου σώματος ὥσπερ ἀπαθοῦς τῆς γαστέρος μενούσης διὰ τῆς ἕδρας, οὕτως κατὰ τῶν νεφρῶν, καὶ τῆς κύστεως ἀπαθῶν ὀργάνων μοχθηρὰς γίνεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

F ΟΥ νεφριτικαὶ ἀλλὰ τουτέοισιν, ἀλλα ἀντ' ἄλλων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ διὰ τῆς ἕδρας ἐκκρίσεις γίνονται μοχθηραὶ πολλάκις, ἀπαθοῦς μὲν τῆς κατὰ τὴν γαστέρα μενούσης, ἐκκαθαιρομένου δὲ δι' αὐτῆς ὅλου τοῦ σώματος, ἢ ἀποστάσεως οὔσης κατ' αὐτὴν, κατ' ἔκρουσίν τινα, κατ' αὐτὸν τὸν Ἱπποκράτην βουλόμενοι οὐ μόνον κατ' ἀπόθεσιν ἀλλὰ καὶ κατ'

ἔμπροσθεν ἀπόστασιν γίνεσθαι. οὕτως οὖν καὶ διὰ νεφρῶν καὶ κύστεώς ἐστιν ὅτε πᾶν ἐκκαθαίρεται τὸ σῶμα μηδὲν αὐτῶν τῶν ὀργάνων ἴδιον ἐχόντων πάθος, ὥσπερ ἐπὶ τῆς προκειμένης καταστάσεως ἐγίνετο, διό τι καὶ προελθὼν αὖθις ἐρεῖ κατὰ τὴν
» λέξιν· μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γινομένων σημείων,
» καὶ πλείστους ἐρρύσατο τῶν ὄντων ἐπὶ τοῖς μεγίστοις κινδύ-
» νοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο, καὶ εἰς τοῦτο ἀποστάσιες ἐγίνοντο. τοῦτ' οὖν ἐστὶ τὸ καὶ νῦν εἰρημένον, οὐ νεφριτικά, ἀλλὰ τούτοισιν ἄλλα ἀντ' ἄλλων. καὶ γὰρ τῶν ἐν ὅλῳ τῷ σώματι περιττῶν ῥυέντων ἐπὶ νεφροὺς καὶ κύστιν, ἐκκρίσεις ἐπεγίνοντο παραπλήσιαι τοῖς νεφριτικοῖς.

A emissionem. Ita quoque per renes & vesicam interdum totum expurgatur corpus, nullo ipsorum instrumentorum propria affectione obsesso, quemadmodum hoc in statu accidit. Quamobrem in sermonis progressu ad verbum ipse ita loquitur; *Ex his vero quæ fiebant signis, unicum utile & maximum, plurimisque qui in maximis versarentur periculis vindicavit, quibus ad stranguriam converterentur, atque in hoc abscessus fierent*, idque existit quod nunc narratum est; *non nephriticæ, sed his alia pro aliis*. Etenim quum totius corporis excrementa ad renes & vesi-
B cam defluerent, excretiones nephriticis excretionibus similes succedebant.

Ἄλλα μετὰ τὴν τοῦ ἀέρος κατάστασιν ψυχρὰν καὶ ὑγρὰν, καὶ βορείαν ἢ παθήματα, καὶ τούτων αἰτίαι.

Qui post statum aëris frigidum humidum & aquilonium affectus & eorum causæ extiterunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Ἔμετοι φλεγματώδεες, χολώδεες, καὶ σιτίων ἀπέπτων ἀναγωγαί.

HIPPOCRATIS TEXTUS IX.

Vomitus pituitosi, biliosi, crudorumque ciborum eductiones.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

3 Τῆς ἔξω ῥεπούσης περιουσίας τῶν χυμῶν, ὅσον ἐπὶ τὴν ἕδραν ἐρρύη, διαῤῥοίας τε καὶ τεινεσμοὺς, καὶ δυσεντερείας, καὶ λιεντερείας εἰργάσατο. διὰ νεφρῶν δὲ καὶ κύστεως ἄλλο τὴν ἔκκρισιν ἔσχεν· οὕτως οὖν ἐῤῥύη τὸ περιττὸν εἰς τὴν ἄνω γαστέρα, καὶ δι' ἐμέτων ἐπιπολάζον, ἐξεβλήθη, τοῖς μὲν φλεγματώδεσι φύσει, φλεγματωδῶν ἐμέτων γινομένων, τοῖς δὲ χολώδεσι, χολωδῶν. εἴρηται γὰρ ὅτι διὰ μὲν τὴν κατάστασιν ἠθροίσθη τὰ περιττὰ, διέφερεν δὲ ἀλλήλων ταῦτα ταῖς ποιότησι κατὰ τὰς φύσεις τῶν σωμάτων. θαυμαστὸν δὲ οὐδὲν εἰ καὶ σιτίων ἀπέπτων, ἀναγωγαὶ τούτοις ἐγίνοντο, φλεγματωδῶν καὶ χολωδῶν χυμῶν εἰς τὴν γαστέρα συῤῥεόντων.

GALENI COMMENTARIUS.

Quod ex humorum redundantia ad inferiores partes repente in sedem defluxit, diarrhœas, tenesmos, & dysenterias & lienterias concitavit. Aliud excretionem per renes & vesicam habuit. Sic igitur superfluitas in superiorem ventrem fluxit, atque innatans per vomitus rejecta est, pituitosis quidem naturis pituitosus fuit vomitus; biliosis vero biliosus.
D Nam dictum est superfluos per statum humores acervatos fuisse qui inter se pro naturis corporum qualitatibus differebant. Neque sanè mirum si ciborum incoctorum rejectiones his fierent, humoribus pituitosis ac biliosis in ventrem confluentibus.

Ἐκ τῆς τῶν περιττῶν ἀποῤῥοίας τὴν φύσιν ἱδρῶτας ποιεῖν.

Ex superfluorum effluvio naturam sudores efficere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

Ἱδρῶτες.

HIPPOCRATIS TEXTUS X.

E *Sudores.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅσοις φαμὲν διὰ τοῦ δέρματος ἀποῤῥοίαι πλείους ἐγίνοντο, κατ' ἐκεῖνον τὸν χρόνον ἴσχυσεν ἡ φύσις ἀπώσασθαι τὸ περιττὸν ἐνταῦθα, καὶ οὕτως τούτοις ἱδρῶτας γενέσθαι.

GALENI COMMENTARIUS.

Quibus diximus per cutim effluxiones multas esse, potuit natura ex tempore illuc rejicere quæ superflua erant, atque his sudores ita prodiisse.

Τί πλάδος συλλελεγμένας χρονίως ὑγρότητας, χρονίως κενοῦσθαι.

Quid πλάδος. Collectos diu humores, diu
F vacuari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Πᾶσι πάντοθεν πολὺς ὁ πλάδος.

HIPPOCRATIS TEXTUS XI.

Omnibus undecunque copiosa humiditas.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν περιττὴν ὑγρότητα, πλάδον εἰώθεν ὀνομάζειν, ἐπεὶ πάσιν ἄλλοις ἄλλως, τισὶ δὲ καὶ πολυειδῶς ἐξεκενοῦτο

GALENI COMMENTARIUS.

Redundantem humiditatem πλάδον appellare consueverunt. Quum itaque aliis aliter, atque quibusdam variè evacuarentur collecta

collecta multo tempore humida, ob id decenter ait; *Omnibus undecunque superflua humiditas.*

Prædictos affectus & erectis & jacentibus & febre vacuis, & febricitantibus obtigisse.

HIPPOCRATIS TEXTUS XII.

HÆc autem multis erectis stantibus, febre vacuis oboriebantur; plerisque etiam febre correptis, de quibus scribetur.

GALENI COMMENTARIUS.

QVibus quidem coacervata plenitudo, aut biliosum quiddam corruptioni non prorsus contumax ad putredinem febrilem jam conversa esset, hi quamprimum febricitaverunt. Quidam vero recti stantes, aut non prius in febres deciderunt.

Tabem statui frigido humido & aquilonio autumno, succedente, non ex pulmonis vitio successisse; sed ex quavis corporis parte affecta emaciatos fieri.

HIPPOCRATIS TEXTUS XIII.

IN quibus descripta hæc omnia conspiciebantur, ij jam quidem autumno & sub hyemem cum labore tabidi evadebant.

GALENI COMMENTARIUS.

DE secundo scilicet autumno, & de secunda hyeme loquitur; quandoquidem de priore antea sic pronunciavit; *Per hyemem quidem plurimi salubriter habebant; ante ver autem multi quidam, etiam plurimi laboriosè degebant.* Deinde iis quæ vere oborta sunt, commemoratis, mox æstatis meminit, atque ab eâ secundi autumni, de quo circa finem totius status pronunciaverat. *Statim vero circiter Arcturum spirantibus aquilonibus, aquæ quamplurimæ.* Sed quosnam tabidos appellaverit, non admodum constat: Nam & quocunque modo extenuatos & tabescentes corpore ita nominare consuevit, nec eos duntaxat qui ob pulmonis ulcerationem toto corpore liquescunt. Verisimile est autem & nunc eos ab ipso tabidos accipi qui quomodocunque corpore extenuatos nullo prius verbo de pulmonum morbis edito. Neque enim sanguinis rejectionem ex ipsis obortam esse prædixit, neque peripneumoniam, neque hoc in viscus rheuma decubuisse. Quomodo jure existimaturus es tabidos dicere factos esse, qui tunc pulmonis vitio ægrotarent? Non tamen impossibile est ut in ventrem renesque totius superfluitatis corporis portio devenit, ità & inspirabiles partes decubuisse.

A τὰ συνειλεγμένα χρόνῳ τῶν ὑγρῶν, διὸ τοῦτο εἰκότως ἔφη, πᾶσι πάντοθεν πλάδος.

Τὰ προειρημένα παθήματα τοῖς ὀρθοστάταις τε καὶ κατακειμένοις, καὶ ἀπύροις, καὶ πυρέττουσιν ἐπιγίνεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

B Ἐγίνοντο δὲ ταῦτα πουλλοῖσιν ὀρθοστάδην ἀπύροισιν, πολλοῖσι δὲ πυρέττουσιν, περὶ ὧν γεγράψεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅσοις μὲν ἔφθασε τὸ ἠθροισμένον πλῆθος, ἤ τι χολῶδες ὑπάρχον, ὅλως οὐ δυσδιάφθαρτον, εἰς σηπεδόνα πυρετώδη μεταβάλλειν, ἐπύρεξαν οὗτοι παραχρῆμα. τινὲς δ' ὀρθοστάδην, ἢ οὐ πρότερον εἰς τοὺς πυρετοὺς ἐνέπεσον. [handwritten margin: 1 xi]

C

Τὴν φθίσιν τῇ καταστάσει ψυχρᾷ καὶ ὑγρᾷ, καὶ βορείᾳ φθινοπώρου ἀκολουθοῦντος οὐ διὰ τὴν τοῦ πνεύμονος διάθεσιν ἐπιγίνεσθαι, ἀλλὰ διὰ τὸ ὁποιοῦν μόριον πεπονθὸς συντετηκότας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

Ἐν οἷσι δὲ ἐπεφαίνετο πάντα τὰ ὑπογεγραμμένα μετὰ πόνου, φθινώδεες μὲν, ἤδη δὲ φθινοπώρου καὶ ὑπὸ χειμῶνα.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ δὲ τοῦ δευτέρου φθινοπώρου δηλονότι λέγει, καὶ τοῦ δευτέρου χειμῶνος, ἐπεί περί γε τοῦ προτέρου προείρηκεν οὕτως, κατὰ χειμῶνα μὲν ὑγιεινῶς εἶχον τὰ πλεῖστα. πρὸ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπιπόνως. εἶτα περὶ τῶν ἐν τῷ ἦρι γινομένων διελθὼν, ἐφεξῆς τοῦ θέρους ἐμνημόνευσε, καὶ μετὰ τοῦτο τοῦ δευτέρου φθινοπώρου, περὶ οὗ κατὰ τὴν τελευτὴν τῆς ὅλης καταστάσεως εἰρήκει. Ταχὺ δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισι, πολλὰ πάνυ ὕδατα. φθινώδεας δὲ τινας εἴρηκεν, οὐ πάνυ σαφές ἐστιν, εἴωθε γὰρ τοὺς ὁπωσδήποτε ἰσχνουμένους τὸ σῶμα, καὶ φθίνοντας οὕτως ὀνομάζειν, οὐ μόνον τοὺς διὰ τὴν τοῦ πνεύμονος ἕλκωσιν, ὅλον τὸ σῶμα τηκομένους. εἰκὸς δὲ καὶ νῦν ἐπ' αὐτοὺς λελέχθαι φθινώδεις, τοὺς ὁπωσδήποτε τὸ σῶμα λεπτυνομένους, μηδενός γε προειρημένου περὶ τῶν κατὰ τὸν πνεύμονα νοσημάτων. [handwritten margin: hic symptomata morbos vocat.] οὔτε γὰρ αἵματος ἀναγωγὴν ἐξ αὐτῶν γεγονέναι προειπών, οὔτε περιπνευμονίαν, οὔτε ῥεῦμα κατασκῆψαι τῷ σπλάγχνῳ τούτῳ, πῶς ἂν εἰκότως δόξεις φθινώδεις λέγειν γεγονέναι τοὺς τότε κάμνοντας, ἐπὶ τῇ κακώσει τοῦ πνεύμονος; οὐ μὴν ἀδύνατόν γε, καθάπερ ἐπὶ γαστέρα καὶ νεφροὺς ἧκέ τι τῆς καθ' ὅλον τὸ σῶμα περιουσίας, οὕτως καὶ τοῖς πνευματικοῖς κατασκῆψαι.

Τῇ καταστάσει ὑπογεγραμμένῃ τῷ φθινοπώρῳ ἐπιγινομένῳ καὶ ὑπὸ χειμῶνα τοῖς πυρετοῖς συνεχέας συμβεβηκέναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδʹ.

Πυρετοὶ ξυνεχέες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ, ὑπὸ χειμῶνα, μεταξὺ λεγόμενον, τῆς τε προγεγραμμένης λέξεως, καὶ ταύτης, οἱ μὲν ἐκείνῃ προσένειμαν, οἱ δὲ ταύτῃ· ἐμοὶ δὲ σύμπας ὁ λόγος φαίνεται τοιόσδε. καὶ κατὰ τὸ φθινόπωρον ἤδη τινὲς ἐγένοντο φθινώδεις, ὡσαύτως δὲ καὶ κατὰ τὸν χειμῶνα, καὶ μέντοι καὶ πυρετοὶ συνεχεῖς, καὶ κατὰ τὸ φθινόπωρον ἐγένοντο, καὶ κατὰ τὸν χειμῶνα. πρόδηλον δή, ὅτι τοῦ δευτέρου χειμῶνος οὐκ ἔγραψε τὴν κατάστασιν ὡς φυλάξαντος τὴν οἰκείαν χειμῶνος κρᾶσιν. ἐμάθομεν οὖν ἐκ τοῦ δευτέρου λόγου, νοσήματα γίνεσθαι κατ' ἐνίας τῶν ὡρῶν οὐδὲν αὐτὰς πεπονθυίας, ἀλλὰ τὰ τῶν πρόσθεν ἁμαρτήματα διαδεξαμένας.

Διὰ τὴν κατάστασιν ψυχρὰν καὶ ὑγρὰν καὶ βορείαν, οὐ μὲν ἰδίως, ἀλλὰ κατὰ συμβεβηκὸς τοὺς καύσους γίνεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιεʹ.

Καὶ τισὶν αὐτέων ὀλίγοισι καυσώδεες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ κατὰ τὸν ἴδιον λόγον τῆς καταστάσεως, οἱ καυσώδεις ἐγένοντο πυρετοί, κατά τι δὲ συμβεβηκός, καθὰ καὶ πρόσθεν εἴπομεν τὰ συμβεβηκότα. ἐπισχεθείσης γὰρ τῆς καθ' ὅλον τὸ σῶμα διαπνοῆς, τὰ περιττεύειν ἑκάστῃ τῶν φύσεων εἰθισμένα, κωλυθέντα τῆς κενώσεως οἰκείας, ἑαυτοῖς ἐγέννησαν νόσους, ὡς, ὅσοι σφοδρῶς ἦσαν χολώδεις, τούτοις φύσει εἰθισμένως συνέβη τὸν καῦσον γενέσθαι, διὸ καὶ περὶ αὐτῶν ἐφεξῆς ἐρεῖ. οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισιν ἐγένοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὐ γὰρ θερμή, καὶ διακαής, καὶ αὐχμηρὰ κατάστασις ἐγέννησεν αὐτούς. πολλοὶ γὰρ ἂν ἐγένοντο, καὶ πολλοῖσι, καὶ μετὰ πόνων ἰσχυρῶν.

Οἱ ἄλλοι πυρετοὶ τηνικαῦτα κατέσκηπτον, αὐτοὶ ὑπογεγράφονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛʹ.

Ἡμερινοί, νυκτερινοί, ἡμιτριταῖοι, τριταῖοι ἀκριβεῖς, τεταρταῖοι, πλανῆτες. ἕκαστοι δὲ τῶν ὑπογεγραμμένων πυρετῶν πολλοῖσιν ἐγίνοντο. οἱ μὲν καῦσοι ἐλαχίστοισί τε ἐγένοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΙά τι πᾶν μὲν εἶδος ἐν τῇ προγεγραμμένῃ καταστάσει συνέβη γενέσθαι, πρόσθεν εἴρηται. τὸ δὲ ἀκριβὲς μεταξὺ κείμενον, τοῦτο τριταίου καὶ τεταρταίου προσνέμειν ἑκατέροις χωρεῖ.

A

A statu descripto sequente autumno, & sub hyemem febres continuas accidisse.

HIPPOCRATIS TEXTUS XIV.

Febres continuæ.

GALENI COMMENTARIUS.

B

ORationem, sub hyemem, quæ media dicta est inter hanc, & ante scriptam dictionem alii illi, alii huic assignant. Verùm universa talis esse mihi videtur oratio: Et jam autumno quidam tabidi erant, similiter & hyeme; præterea febres continuæ & autumno & hyeme creabantur. Quod secundæ hyemis statum non scripserit, ut potè quæ peculiarem hyemis naturam seruasset constat omnibus. Itaque didicimus ex altera oratione morbos quibusdam anni tempestatibus creari, nulla re scilicet affectis, sed quæ priorum delicta exciperent.

C

Ob statum frigidum humidum aquilonium non propriè sed per accidens febres ardeatas creari.

HIPPOCRATIS TEXTUS XV.

Atque eorum paucis quibusdam ardentes;

GALENI COMMENTARIUS.

D

NOn propria status ratione febres ardentes creabantur; sed per accidens, quemadmodum antea diximus quæ acciderunt. Impedita siquidem totius corporis perspiratione, quæ singulis naturis excrementa esse consueverunt vacuatione prohibita peculiares sibi morbos excitarunt. Quare qui biliosi vehementer erant, his pro naturæ familiaritate febrem ardentem fuisse contigit; proindeque de iis agit postea. Febres vero ardentes paucissimis oboriebantur, & inter ægrotantes hi minimè laboraverunt; non enim eas calidus, urens, & squalidus status procreaverat; Nam multæ fuissent, & multis cum vehementi labore.

E

Quæ febres cæteræ tunc grassabantur, ipsæ numerantur.

HIPPOCRATIS TEXTUS XVI.

Diurnæ, nocturnæ, semitertianæ, tertianæ exquisitæ, quartanæ, erraticæ. Singulæ vero descriptæ febres multis oboriebantur; at ardentes & paucissimis, & ex ægrotantibus hi minimum laboraverunt.

F

GALENI COMMENTARIUS.

CVr omnis quidem species in suprà scripto statu acciderit, antea explicatum est. Dicto autem *exquisitæ*, quæ verbis, tertianæ & quartanæ interjacet, tribui utrique potest.

Cur hoc statu hæmorrhagiæ ac deliria ardentium symptomata nulla aut pauca extiterunt.

HIPPOCRATIS TEXTUS XVII.

Neque enim sanguis è naribus nisi perpaucis & paucis profluxit, neque hi delirarunt, cæteraque omnia placidè tulerunt.

GALENI COMMENTARIUS.

Hippocratis proprium est obiter utilia præcepta docere. Peculiaria nanque morborum symptomata, quæ tunc non fuerunt, consuevit hoc modo interpretari, ex eo quòd non eo tempore fuerant, fuisse sæpius ea docens. In legitimis itaque (ut ita quis dixerit) febribus ardentibus, sursum latis ad caput ob caloris copiam humoribus, sanguinis eruptiones fiunt ac deliria. Nunc autem quod exquisita febris ardens non fuisset, jure symptomata non habuit, quæ ardentium febrium essent peculiaria.

Ardentes febres duplices, legitimas ac nothas esse; has minus acutas, minusque laboriosas stato ordine judicari, septemdecim dies intermittere, postea reverti.

HIPPOCRATIS TEXTUS XVIII.

Judicabantur autem his plerisque stato admodum ordine cum intermittentibus septemdecim diebus.

GALENI COMMENTARIUS.

Atque hoc febrium quæ tunc erant, ardentium proprium est, non ad reliquas commune, quas legitimas appellavit. Quemadmodum enim illæ inter febres vehementes sunt: sic & siti, & vigiliis, & difficili tolerantiâ, ac interdum cum mentis perturbatione fatigant. Quod autem ita acutæ sint, propterea celeriter judicantur: In febre vero ardenti quæ nunc grassabatur, ut moderatè acuta erat, & nullo pacto laboriosa symptomata: sic neque judicatio certa fiebat, sed veluti ad dimidium quodammodo declinans, ut ex recidiva rursus secundo judicaretur. Nam quum dicit cum intermittentibus, ostendit antè quidem judicatas imperfectè, sed à reversione secundò judicatas.

Hoc statu neminem moderata febre ardente interjisse, neque phreniticum fuisse.

HIPPOCRATIS TEXTUS XIX.

Nullumque hac febre ardente tunc interemptum, neque tunc cuiquam phrenitim obortam fuisse.

A

Διὰ τί κατὰ ταύτην κατάστασιν αἱ αἱμοῤῥαγίαι, καὶ παράληροι τὰ τῶν καύσων συμπτώματα οὔτινα ἢ ὀλίγα ἐκπεφάγκη.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

Οὔτε γὰρ ἡμοῤῥάγησεν, εἰ μὴ πάνυ τι σμικρά, καὶ ὀλίγοισιν, οὔθ' οἱ παράληροι, τά τ' ἄλλα πάνυ εὐφόρως.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἴδιον Ἱπποκράτους ἐστὶ, τὸ διδάσκειν ἐν παρέργῳ θεωρήματα χρήσιμα. τὰ γὰρ τῶν οἰκεῖα νοσημάτων συμπτώματα μὴ γενόμενα τότε, κατὰ τοῦτον εἴωθε τὸν τρόπον ἑρμηνεύειν, ἐκ τοῦ μὴ γενέσθαι τότε, γενέσθαι πολλάκις, αὐτὰ διδάσκων. ἐν μὲν οὖν τοῖς γνησίοις, ὡς ἂν εἴπῃ τις, καύσοις, διὰ τὸ πλῆθος τῆς θερμασίας ἐπὶ τὴν κεφαλὴν ἀναφερομένων τῶν χυμῶν αἱμοῤῥαγίαι τε καὶ παράληροι γίνονται.
C
νυνὶ δὲ, οὐκ ἦν γνήσιος ὁ καῦσος, εἰκότως οὐδὲ τὰ συμπτώματα εἶχε, τὰ καύσων ἴδια.

Καύσους διττοὺς γνησίους καὶ νόθους εἶναι. τούτους μὲν ἧττον ὀξεῖς, καὶ ἧττον ἐπιπόνους εὐτάκτως κρίνεσθαι, ἑπτακαίδεκα ἡμέρας διαλείπειν, καὶ μετάπειτα ἀναστρέφειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

D
Ἐκρίνετο δὲ τουτέοισιν πάνυ εὐτάκτως, τοῖσι πλείστοισι ξὺν τῇσι διαλειπούσῃσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τοῦτο τῶν τότε γινομένων καύσων ἴδιον, οὐ κοινὸν πρὸς τοὺς ἄλλους οὓς γνησίους ὠνόμασεν. ἐκεῖνοι γὰρ ὥσπερ σφοδροὶ τοῖς πυρετοῖς, οὕτω καὶ τῇ δίψῃ, καὶ τῇ ἀγρυπνίᾳ, καὶ τῇ δυσφορίᾳ, καί που, καὶ τῇ παραφορᾷ τῆς διανοίας ἐνοχλοῦσι. διὰ δὲ τὴν τοιαύτην ὀξύτητα, καὶ τὴν κρίσιν
E
ἔχουσιν ἐν τάχει γινομένην. ἐν δὲ τῷ νῦν ἐπιδημήσαντι καύσῳ, καθάπερ τὸ ὀξύτητος ἦν μέτριον, καὶ τῶν ἐπιπόνων συμπτωμάτων οὐδὲν, οὕτως οὐδ' ἡ κρίσις ἐγίνετο βέβαιος, ἀλλ' οἷον ἡμίῤῥοπός τις, ὡς ἐξ ὑποστροφῆς αὖθις κρίνεσθαι τὸ δεύτερον. ἐν γὰρ τῷ φάναι, σὺν τῇσι διαλειπούσῃσιν, τὸ προκεκρίσθαι μὲν ἐνδεῶς, ἐξ ὑποστροφῆς δὲ κριθῆναι τὸ δεύτερον ἐνεδείξατο.

Κατὰ ταύτην κατάστασιν ἐν τῷ καύσῳ μετρίῳ ἀποτεθνηκέναι μηδένα, καὶ μὴ φρενιτικὸν γενέσθαι.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Οὐδ' ἀποθανόντα οὐδένα οἶδα τότε ἐν καύσῳ, οὐδὲ φρενιτικὰ τότε γενόμενα.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐδεὶς μὲν ἀπέθανεν ἐν τῷ τότε καύσῳ ὅτι μέτριος ἐγένετο, καὶ λέλεκται πρόσθεν ἡ αἰτία τούτου. τὸ φρενιτικὰ δ' οὐκ ἐγένετο, διότι μὴ ἐπληροῦτο τούτοις ἡ κεφαλὴ τῆς καταστάσεως ὅλης ψυχρᾶς οὔσης. ἐδείχθη δ' ὅτι φρενίτιδες ἀπὸ θερμαινομένων τῶν κατὰ τὸν ἐγκέφαλον χωρίων γίνονται.

GALENI COMMENTARIUS.

Nullus quidem ex hac febre ardente obiit, quod moderata esset, hujusque rei causa est antè dicta. Neque phrenitis fuit, quod quum totus status esset frigidus, caput his non repleretur. Quod autem ab incalescentibus capitis regionibus phrenitides fiant, demonstratum est.

Τοῦ τριταίου πρὸς καῦσον διαφορά· ἀμφοτέρων αἰτίαι καὶ τόποι. τριταῖος τοῦ καύσου ἐπιπονώτερος.

B Tertianæ febris ab ardente differentia; utriusque causæ, & loci; & cur tertiana ardente hîc laboriosior.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Οἱ δὲ τριταῖοι πλείους μὲν καύσων, καὶ ἐπιπονώτεροι. εὐτάκτως δὲ τούτοισι πᾶσιν ἀπὸ τῆς πρώτης λήψιος, τέσσαρας περιόδους. ἐν ἑπτὰ δὲ τελέως ἐκρίνοντο, οὐδ' ὑπέστρεψαν οὐδενὶ τούτων.

HIPPOCRATIS TEXTUS XX.

At vero tertianæ plures quidem quàm ardentes febres, graviore sque fuerunt. Verùm rite ac ordine his in omnibus à primo insultu ad quatuor circuitus processere; in septem autem perfectè judicabantur, horumque nemini reversæ sunt.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τε τοῖς περὶ διαφορᾶς πυρετῶν ὑπομνήμασι, κἀν τοῖς περὶ κρίσεων ἐπιδέδεικται τά τ' ἄλλα, καὶ ὅτι διὰ πλεονεξίαν χολῆς ξανθῆς, οἵ τε καῦσοι καὶ οἱ τριταῖοι γίνονται, καὶ τοῦτο ἔχοντες κοινὸν διαφέρουσι τοῖς τόποις, ἐν οἷς ὁ πλεονάζων ἀθροίζεται χυμός. ἐν μὲν γὰρ τοῖς καύσοις, κατὰ τὰς φλέβας πλεονάζει, καὶ μάλιστα τὰς καθ' ἧπαρ καὶ γαστέρα. τριταῖοι δὲ πυρετοὶ γίνονται, κατὰ τὰς ἐν ὅλῳ τῷ σώματι σάρκας ἐπικρατούσης τῆς ξανθῆς χολῆς. ἐπισχεθείσης οὖν τῆς διαπνοῆς, τοῖς φύσει χολώδεσιν, ὅσον ἐν τῷ σαρκώδει γένει τῆς χολῆς ἀθροιζόμενον ἐκενοῦτο πρότερον, οὐ κενωθὲν ἐν τῇ νῦν καταστάσει, τοὺς τριταίους ἐγέννησε πλείους τῶν καύσων. ἐκεῖνοι γὰρ οὐ πάνυ τι τὴν γένεσιν ἐξ ἐπισχέσεως ἔχουσι χολωδῶν περιττωμάτων, ἀλλὰ τῆς ἐν τοῖς ἀγγείοις τε καὶ σπλάγχνοις θερμασίας ἀπεκταθείσης, ἐκφλογωθείσης τῆς καταστάσεως τῆς θερμῆς ἰσχυρῶς, ὡς γὰρ τοῖς γυμνασαμένοις ἐπὶ πλέον, ἢ φροντίσασιν ἰσχυρῶς, ἢ διατρίψασιν ἐπὶ πλέον ἐν ἡλίῳ, ἢ ἐδέσμασι καυσώδεσι χρησαμένοις δαψιλῶς, ἢ καὶ τὰ πλεῖστα τούτων, ἢ καὶ τὰ πάντα πράξασί τε καὶ παθοῦσιν. ἀλλ' οὐκ ἦν ἡ νῦν κατάστασις ἰσχυρῶς θερμή, διόπερ οὐδ' οἱ καῦσοι πολλοῖς ἐγίνοντο, μᾶλλον δὲ τοῖς λίαν χολώδεσι, καὶ τούτοις μετριώτατοι. τοῖς δ' αὐτοῖς τούτοις, εἰκότως μᾶλλον οἱ τριταῖοι συνέβησαν, διὰ τὰς εἰθισμένας ἀπορροίας τῶν χολωδῶν περιττωμάτων ἐπισχεθῆναι. κατὰ λόγον οὖν τούτοις ἐπιπονώτεροί τε τῶν καύσων ἐγίνοντο, διότι καὶ γνησιώτεροι, καὶ τὰς κρίσεις οἰκείας εἶχον.

GALENI COMMENTARIUS.

In commentariis de febrium differentiis, & de crisibus, tum alia, tum quod propter bilis flavæ redundantiam, & febres ardentes & tertianæ fiant ostendimus; quodque hoc commune habeant, sed locis differant in quibus redundans humor acervetur. Nam in ardoribus febris redundat in venis, & præsertim jecoris & ventris. Tertianæ autem creantur, quum in totius corporis carnibus flava bilis exuperat. D Prohibita itaque perspiratione quantum biliosis naturis in carnoso genere bilis acervatum prius expurgabatur, in præsenti statu non vacuatum tertianas plures quàm febres ardentes procreavit. Nam febres ardentes non magnopere fiunt excrementorum retentione, sed ex calore tum vasorum tum viscerum adaucto, ex statu vehementer calido in flammam converso, ut sit in his plusquam oporteat sese exercitaverunt, aut admodum meditati sunt, aut plusquam deceat, in sole versati sunt, aut cibis ardentioribus usi sunt, aut qui ex his plurima, vel omnia tum fecerunt, tum perpessi sunt. At quum E præsens status vehementer calidus non esset, ac ideo neque febres ardentes multis excitabantur; sed magis valde biliosis, iisque moderatissimæ. Jure vero eisdem etiam magis acciderunt, tertianæ ob prohibitos biliosorum excrementorum consuetos effluxus. Non igitur absque ratione his laboriosiores fiebant quàm febres ardentes, quod & legitimæ magis essent, & judicationes peculiares haberent.

Διπλασίους τοὺς τεταρταίους εἶναι, τοὺς μὲν προηγουμένους, τοὺς δὲ τοῖς ἄλλοις νοσήμασι καὶ ἀπόστασιν ἐπιγινομένους.

F Duplices quartanas esse, alias primarias, alias aliis morbis succendentes per decessionem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Οἱ δὲ τεταρταῖοι πολλοῖσι μὲν ἐξ ἀρχῆς, ἐν τάξει τεταρταίου ἤρξαντο. ἔστι δ' οἷσιν οὐκ ὀλίγοισιν, ἐξ ἄλλων πυρετῶν, καὶ νοσημάτων ἀποστάσιες ἐς τεταρταίους ἐγίνοντο. μακροὶ δέ, ὡς εἴθισται, τουτέοισι, καὶ ἔτι μακρότεροι ξυνέπιπτον.

HIPPOCRATIS TEXTUS XXI.

Quartanæ vero multis quidem ab initio quartanæ ordine cœperunt. Quibusdam autem aliisque non paucis ex aliis febribus & morbis decessus in quartanas fiebant, longæque his pro consuetudine, atque etiamnum longiores contingebant.

GALENI COMMENTARIUS.

HÆ febres non obstatum per se primumque creabantur; sed quod melancholicis naturis bilis atræ redundantia vacuaretur, his accidit talibus prehendi morbis. Diuturnæ autem fiebant, quod frigidus & humidus esset status, quo causæ omnes plurimum in corpore permanent, neque coctæ, neque perspirantes. Ut autem in præsentia memoriæ mandes volo usum nominis quum inquit Hippocrates, *decessus in quartanas fiebant*. Videtur enim non solum per effluxum decessus appellare, verumetiam & per alterius morbi in alterum transitum.

Quotidianam febrem diuturnam tum status frigidi humidi ambientis, tum plenitudinis pituitosæ; ut & erraticam diversorum humorum sobolem esse.

HIPPOCRATIS TEXTUS XXII.

AT quotidianæ, nocturnæ & erraticæ multæ multis longo tempore permanserunt, tum erectis, tum decumbentibus.

GALENI COMMENTARIUS.

HÆ febres non solùm plenitudinis ratione, verumetiam status temperamento generationem habentes, jure tum multæ tum multis creabantur. Nam humidus & frigidus status, quemadmodum hyems proprium humorem pituitosum procreat, ex quo quotidianas febres excitari demonstravimus. Errantes vero febres diversorum humorum soboles esse proditæ sunt. Quod autem hujusmodi febres multo tempore permanserint, mirum non est, quum status esset humidus & frigidus, ob idque humores coqui non sineret, qui alioqui & diuturni essent, & propter frigus coctu difficiles.

Febres peracto statu frigido humido & aquilonio, adusque naturalem sequentis anni statum perseverasse.

HIPPOCRATIS TEXTUS XXIII.

ad aequinoctium autumnale

HOrumque plurimos febres sub vergilias & ad hyemem usque comitabantur.

GALENI COMMENTARIUS.

QUod vergilias memoravit, non eas quæ hoc in statu erant; sed eas quæ post hunc statum in secundo essent anno constat omnibus, prout antea dicebamus. Nam in fine illius status scripsit; mox circa Arcturum spirantibus aquilonibus copiosæ admodum aquæ. Atque postea dixit; tanquam jam ad naturam anni tempestatum ordo reversus sit, & reliquum omne quod Arcturo successit, & quod hyemi. Jure igitur quæ ex primo statu reliqua extabant, autumno cocta sunt, atque hyeme nullum amplius morbum Thasii incurrerunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥδ' οὗτοι διὰ τὴν κατάστασιν ἐγένοντο πρώτως, ἀλλ' ἐκ τοῦ μὴ κενοῦσθαι ταῖς μελαγχολικαῖς φύσεσι τὴν περιουσίαν τῆς μελαίνης χολῆς, ἁλῶναι τοῖς τοιούτοις νοσήμασι συνέβη. χρονίσαι δ' αὖθις ἐγένετο τῆς καταστάσεως οὔσης ὑγρᾶς καὶ ψυχρᾶς, ἐν ᾗ πάντα τὰ αἴτια, μέχρι πλείστου κατὰ τὸ σῶμα μένει, μήτε πεπτόμενα, μήτε διαπνεόμενα. μέμνησο δὲ πάλιν ἐνταῦθα τῆς περὶ τοὔνομα χρήσεως, τοῦ Ἱπποκράτους εἰπόντος, ἀποστάσιες ἐς τεταρταίους γεγονέναι. φαίνεται οὐ μόνον κατ' ἔκρουν ἀποστάσεις τινὰς ὀνομάζων, ἀλλὰ καὶ κατὰ μετάστασιν ἐξ ἑτέρου νοσήματος εἰς ἕτερον.

Τοὺς ἀμφημερινοὺς τῷ λόγῳ τῆς καταστάσεως ἀέρος τοῦ ψυχροῦ καὶ ὑγροῦ, καὶ τοῦ πλήθους φλεγματώδους ὥσπερ καὶ τοὺς πλανήτας ποικιλοτέρων χυμῶν ἐκγόνους εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

ΑΜφημερινοὶ δὲ, καὶ νυκτερινοὶ, καὶ πλανῆτες πολλοὶ πολλοῖσι, καὶ πολὺν χρόνον παρέμενον, ὀρθοστάδην τε καὶ κατακειμένοισιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ μόνον οὗτοι τῷ λόγῳ τοῦ πλήθους, ἀλλὰ καὶ τῇ τῆς καταστάσεως κράσει τὴν γένεσιν ἔχοντες, εἰκότως ἐγένοντο πολλοί τε καὶ πολλοῖσιν. ἡ γὰρ ὑγρά τε καὶ ψυχρὰ κατάστασις, ὥσπερ ὁ χειμὼν, φλεγματώδη γεννᾷ χυμὸν, ἐφ' ᾧ τοὺς ἀμφημερινοὺς ἐδείξαμεν γίνεσθαι πυρετούς. οἱ πλανῆτες δὲ, ποικιλωτέρων χυμῶν ἐδείχθησαν ἔκγονοι. θαυμαστὸν δ' οὐδὲν, εἰ πολλῷ χρόνῳ παρέμενον οἱ τοιοῦτοι πυρετοὶ, τῆς καταστάσεως ὑγρᾶς καὶ ψυχρᾶς ὑπαρχούσης, καὶ διὰ τοῦτο μήτε πέπτεσθαι τοὺς χυμοὺς ἐπιτρεπούσης, ἢ ἄλλως, χρονίοις τε καὶ δυσπέπτοις διὰ τὴν ψύξιν.

Τοὺς πυρετοὺς τῆς τετελεσμένης καταστάσεως ψυχρᾶς καὶ ὑγρᾶς, καὶ βορείας μέχρι τῆς κατὰ φύσιν δευτέρου ἔτεος καταστάσεως διαμένειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

ΤΟῖσι πλείστοισι τουτέων ὑπὸ πληϊάδα καὶ μέχρι χειμῶνος οἱ πυρετοὶ παρείποντο.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡόδηλον δ' ὅτι τῆς πλειάδος, οὐ τῆς ἐν τῇ νῦν καταστάσει οὔσης, ἐμνημόνευσεν, ἀλλὰ τῆς μετὰ τὴν ἄλλην κατάστασιν ἐν τῷ δευτέρῳ ἔτει, καθότι καὶ πρόσθεν ἐλέγομεν, ἐπὶ τέλει γὰρ ἐκείνης τῆς καταστάσεως ἔγραψε. ταχὺ δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισι πολλὰ πάνυ ὕδατα· καὶ μετὰ τοῦτο δ' εἶπεν, ὡς ἐπὶ τὸ κατὰ φύσιν ἤδη τῆς τῶν ὡρῶν τάξεως ἀφιγμένης, καὶ τοῦ λοιποῦ παντὸς τοῦ μετὰ τὸν ἀρκτοῦρον, ὥσπερ γε καὶ τοῦ μετὰ τὸν χειμῶνα. εἰκότως οὖν ὅσα τῆς προτέρας καταστάσεως ἦν λείψανα, κατὰ τὸ φθινόπωρον ἐπέφθη, καὶ τοῦ χειμῶνος, οὐδεμίαν οὐκέτι νόσον ἐπιδεξάμενοι οἱ Θάσιοι.

A

Διὰ τί σπασμοὶ πρὸ τῶν πυρετῶν, καὶ ἐπὶ πυρετοῖς τοῖς πολλοῖς καὶ μᾶλλον παιδίοις καὶ χρονιώτεροι ἐγίνοντο.

Cur convulsiones ante febres, ac in febribus plerisque, ac magis pueris, ac diutius oboriantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιά.

Πολλοῖσι δὲ σπασμοί, μᾶλλον δὲ παιδίοισιν ἐξ ἀρχῆς, καὶ ἐπύρεσσον, καὶ ἐπὶ πυρετοῖσιν ἐγίνοντο σπασμοί, χρόνια μὲν τοῖσι πλείστοισι τουτέων, ἀβλαβέα δέ, εἰ μὴ ἐπὶ τοῖσι καὶ ἐκ τῶν ἄλλων πάντων ὀλεθρίως ἔχουσιν.

HIPPOCRATIS TEXTUS XXIV.

Multis autem convulsiones, ac magis pueris ab initio oboriebantur, atque febricitabant, B *febribusque convulsiones succedebant; erantque hæc plurimis horum diuturniora quidem, sed innoxia, nisi his qui ex aliis omnibus perniciose haberent.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ σπασμοὶ ἐγίνοντο, τῆς καταστάσεως καὶ ὑγρᾶς ψυχρᾶς γενομένης. ἐπιτηδειότατα δὲ τὰ παιδία σπασμοῖς ἁλίσκεσθαι διὰ τὴν ἀσθένειαν τοῦ νευρώδους γένους. διὰ τοῦτο γὰρ καὶ ῥᾳδίως ἐπὶ σμικραῖς προφάσεσι γίνεται τὸ πάθος αὐτοῖς, καὶ ἧσσον κινδυνῶδές ἐστι. φησὶ δὲ τοὺς σπασμούς, ἐνίοις μὲν ἐξ ἀρχῆς εὐθὺς γίνεσθαι, τισὶ δὲ πυρετοῦ προγενομένου, παρὰ τὴν ἐπιτηδειότητα δηλονότι τὴν πρὸς ἑκάτερον ὑπάρχουσαν τοῖς ἁλισκομένοις τοῖς σπασμοῖς καὶ τοῖς πυρετοῖς. πρὸς ὃ γὰρ ἐπιτηδειότερον εἶπεν ἕκαστος, ἐκεῖνο πρότερον ἐγίνετο, μετ' αὐτὸ δὲ ἠκολούθει τὸ δεύτερον. ἐχρόνιζον δ' εἰκότως οἱ σπασμοί, τοῦ δευτέρου φθινοπώρου πάλιν, περὶ οὗ κατὰ τὸ τέλος ἔγραψε τῆς ὅλης καταστάσεως, ὑγροῦ, καὶ ψυχροῦ, καὶ βορείου γενομένου.

GALENI COMMENTARIUS.

Convulsiones oriebantur oborto statu frigido & humido. At pueri ob nervosi generis imbecillitatem convulsionibus prehendendis maximè sunt idonei. Nam ob id etiam facilè parvis ex causis is ipsis affectus creatur, C minùsque periculosus est. Dicit autem convulsiones nonnullis quidem quamprimum ab initio concitari, quibusdam verò febre priùs ortà, prout nimirum qui convulsionibus caperentur & febre, ad alterutrum maximè idonei fuissent. Ad quod enim (inquit) promptior aliquis erat, prius illud fiebat, cui alterum succedebat. Diuturnæ autem jure convulsiones erant autumno secundo, de quo in fine scripsit. Facto autem anno toto humido & frigido & boreali.

D

Ὑπογράφονται οἱ συνεχεῖς πυρετοὶ τριταῖοι τριταιοφυεῖς εἰρημένοι. πῶς ὁ τριταῖος ἀκριβής, καὶ ἡμιτριταῖος, καὶ τριταιοφυὴς πρὸς ἀλλήλους. κακοήθους νοσήματος εἶναι σμικρὰ κουφίζειν, καὶ ταχὺ βιαιοτέρως παροξύνεσθαι.

Describuntur febres continuæ tertianæ & tritæophyæ dictæ. Quomodo inter se tertiana, semitertiana, & trithæophia differant. Maligni morbi esse parum remittere, & violentius exacerbari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ά.

Οἱ δὲ δὴ ξυνεχέες μὲν τὸ ὅλον, καὶ οὐδὲν ἐκλείποντες, E παροξυνόμενοι δὲ πᾶσι τριταιοφυέα τρόπον, μίαν μὲν ὑποκουφίζοντες, καὶ μίαν ἐπιπαροξυνόμενοι, πάντων βιαιότατοι τῶν τότε γενομένων, καὶ μακρότατοι, καὶ μετὰ πόνων μεγίστων γενόμενοι, πρηέως ἀρχόμενοι, καὶ τὸ ὅλον ἐπιδιδόντες ἀεί, καὶ παροξυνόμενοι ἐν κρισίμοισι, καὶ ἀνάγοντες ἐπὶ τὸ κάκιον, σμικρὰ διακουφίζοντες, καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσεως βιαιοτέρως παροξυνόμενοι, ἐν κρισίμοισιν ὡς ἐπὶ τὸ πολὺ κακούμενοι. ῥίγεα δὲ πᾶσιν ἀτάκτως, καὶ πεπλανημένως ἐγίνοντο. ἐλάχιστα δὲ καὶ ἥκιστα τουτέοισιν, ἀλλ' ἐπὶ τῶν ἄλλων πυρετῶν μείζω.

HIPPOCRATIS TEXTUS XXV.

At continuæ quidem febres nihil quicquam prorsus intermittebant, sed omnes tritæophyæ, tertianæ naturam typo referentes invadebant, uno quidem die aliquantulum leviores remittebant, altero vero vehementiores exacerbabant, omnium quæ tunc obortæ sunt violentissimæ, longissimæ, & maximis comitatæ laboribus. Leniter incipiebant, in totum perpetuo increscebant, diebus judicatoriis exacerbabantur, in deterius procedebant, parum remittebant, quamprimum rursus ex remissione vehementius invadebant, & diebus judicatoriis plerunque deteriùs vexabant. Rigores autem omnibus inordinatè & erraticè oboriebantur; sed his paucissimis, ac minimi. Verùm in F *cæteris febribus majores.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ μὴ προσέγραψεν αὐτὸς ὅπως οἱ τότε γενόμενοι τεταγμένους πυρετοὶ τοὺς παροξυσμοὺς ἐποιοῦντο, μεγάλην ἂν ἡμῖν ἀπορίαν ὑπέλιπεν ζητοῦσιν εὑρεῖν, τίνας ὀνομάζει τριταιοφυεῖς. ἐπεὶ δ' αὐτὸς εἶπε, τὸν τρόπον τῶν τρι-

GALENI COMMENTARIUS.

Nisi ipse quomodo febres quæ tunc fuerunt ordinatas accessiones faciebant adscripsisset, magnam nobis ambiguitatem reliquisset invenire quærentibus quasnã appellet tritæophyas. Sed quoniam protulit tritæophyarum modum,

nulla ampliùs eſt de re quæſtio, ſed de nominis tritæophyæ ſignificato. Huic autem annectitur, tum tertianæ, tum ſemitertianæ nomen, atque utriuſque differentia: quid exquiſita tertiana, & non exquiſita; ſed quod parum aucta, aut liberaliùs, aut plurimùm, & quantum harum unaquæque extendatur, tum quæ magna eſt ſemitertiana, tum quæ media, & quæ parva. Agathinus certè integrum Librum ſcripſit, primùm de ſemitertianis, ubi quid hoc vocabulum ſignificet interpretatur. Jam ſi quæ à methodicis de hoc vocabulo ſcripta ſunt, nunc percurrere velim, vel quæ poſt hæc ab Archigene non ſemel, ſed in pluribus commentariis ſæpiùs dicta ſunt, ac ſimul quæ bene & quæ malè dixerunt, diſcernere, tria me arbitror impleturum volumina. At quod ad artis opera conducit, jam dictum eſt & in Libris de febrium differentiis. Quoad præſens attinet, febris ſpeciem quæ hoc in ſtatu dicitur, ſatius eſt conſcribere: dicit enim ipſe altero quidem die exacerbari, altero verò aliquantulum remitti. Nam verbum κουφίζεσθαι cum præpoſitione ὑπὸ ſcripſit, ubi nos intelligere convenit quiddam aliud à voce compoſita ſignificari, quàm à ſimplici. Nam per κουφίζεσθαι poteſt quis intelligere effatu dignam ſignificari febris remiſſionem; verùm per ὑποκουφίζεσθαι moderatiorem. Non tamen tum diſtinctè, tum clarè expoſuit, utrum qui ita febricitarunt, acceſſionem haberent altero die minorem eâ quæ priore die fuiſſet, an & ita permanens ſecundo die remitteretur. Arbitror ego contextum indicare magis unam tertio die acceſſionem fieri, & poſtero quadantenùs remitti. Docet quoque & rigores erraticè his fieri, quod ſignificat non in ſingulis acceſſionibus fieri, ſed interdum, eoſque parvos; ſic & ſudores exiguos; ſic & ſudores exiguos, atque item frigus extremitatum quæ ægrè concaleſcerent. Ex quibus omnibus conſtat crudis pituitoſiſque humoribus putreſcentibus talem oboriri febrem, his admixta flava bile. Quæ igitur ex ſola hujuſmodi bile conſtat, tertiana nominatur. Quæ verò crudum humorem æquipollentem acceperit, exquiſita ſemitertiana efficitur, quæ plurimum Romæ creatur, hujus nimirum urbis hominibus familiariſſima. Hæc quidem horrida eſt, fitque cum reduplicationibus appellatis, nec ſolùm priori die acceſſionem efficit, verumetiam ſequenti, ſed priore minorem, minuſque horridam, & quæ repetitionem vel minorem, vel prorſus nullam habeat. Nunc autem de ea quæ tertio quidem fit die, ſed altero in his remittitur, ſermo eſt Hippocrati, quæ propior naturæ tertianæ exacerbanti, & à ſemitertiana magis diſſita. Magnum ſiquidem diſſidium eſt, tum altero die non accedere, tum abſque reduplicatione exiſtere. Et verò parvus rigor horrori confinis eſt; quanquam ne hunc quidem perpetuò cum acceſſionibus invadere dicat; ſed erraticè, niſi forſan adverbium, *erratice*, de aliis febribus protulerit, & non de febribus tritæophyis. Quum autem pauciſſimos & minimos rigores his fieri profert, horrorem quidem manifeſtavit, non tamen eos abſolutè ab acceſſionibus ſuſtulit. Ut autem de his certior fias, res ita ſe habet: Hæc enim febris meritò tritæophya nominatur: Non enim ſemitertiana

A τριταιοφυέων, οὐκέτι περὶ πράγματός ἐστιν ἡ ζήτησις, ἀλλ' ὡς περὶ σημαινομένου τοῦ τριταιοφυοῦς ὀνόματος. ἐπισυνάπτεται δὲ τούτῳ, καὶ τὸ περὶ τοῦ τριταίου τε καὶ ἡμιτριταίου, καὶ τῆς ἑκατέρων διαφορᾶς, ἀκριβοῦς τριταίου, καὶ οὐκ ἀκριβοῦς, ἀλλ' ὅτι βραχύ τι παραυξηθέντος, ἢ πλέον, ἢ ἐπὶ πλεῖστον, ἄχρι τε πόσου τούτων ἕκαστος ἐκτείνεται, καὶ τίς μὲν ὁ μέγας ἡμιτριταῖός ἐστιν, τίς δὲ ὁ μέσος, τίς δὲ ὁ μικρός. Ἀγαθίνῳ γοῦν ὅλον βιβλίον γέγραπται πρῶτον περὶ ἡμιτριταίων, τὸ σημαινόμενον ὑπὸ τῆς προσηγορίας B ταύτης ἐπεξηγουμένῳ. ἐὰν δὲ καὶ τὰ τοῖς μεθοδικοῖς γεγραμμένα περὶ αὐτοῦ διέρχωμαι νῦν, ἢ τὰ μετὰ ταῦτα ὑπ' Ἀρχιγένους οὐχ ἅπαξ, ἀλλὰ πλεονάκις ἐν πλείοσι πραγματείαις εἰρημένα, μετὰ τοῦ καὶ διακρίνειν ὅσα καλῶς, ἢ μὴ καλῶς εἰρήκασι, τρία μοι νομίζω βιβλία πληρωθήσεσθαι. τό γε μὴν εἰς τὰ τῆς τέχνης ἔργα χρήσιμον εἴρηται μὲν ἤδη, κἀν τοῖς περὶ τῶν πυρετῶν διαφορᾶς. εἰς δὲ τὰ προκείμενα βέλτιόν ἐστι συγγράψαι τὸ λεγόμενον εἶδος τοῦ πυρετοῦ τῇ καταστάσει. φησὶν οὖν αὐτὸς, τῇ μὲν ἑτέρᾳ τῶν ἡμερῶν παροξύνεσθαι, τῇ δὲ ἑτέρᾳ ὑποκουφίζεσθαι. C μετὰ γὰρ τῆς, ὑπὸ προθέσεως γράψαντος αὐτοῦ τὸ ῥῆμα, καὶ ἡμᾶς ἀκούειν προσήκει ἑτερόν τι σημαινόμενον ἐκ τῆς συνθέτου φωνῆς παρὰ τὴν ἁπλῆν. τὸ μὲν γὰρ κουφίζεσθαι δύναιτ' ἄν τις ἀκούειν τὴν ἀξιόλογον ἔνδοσιν σημαίνειν τοῦ πυρετοῦ, τὸ δ' ὑποκουφίζεσθαι, μετριωτέραν. οὐ μὴν διωρισμένως τε καὶ σαφῶς ἐδήλωσεν, εἴτε παροξύνοιντο τῇ ἑτέρᾳ τῶν ἡμερῶν οἱ οὕτω πυρέξαντες ἕτερον παροξυσμὸν ἐλάττονα τοῦ κατὰ τὴν προτεραίαν, εἴτε καὶ διαμένων ἐκεῖνος, ἐκουφίζετο κατὰ τὴν δευτέραν. δοκεῖ γέ μοι οὖν μᾶλλον ἐμφαίνειν ἡ λέξις ἕνα γίνεσθαι τὸν διὰ τρίτης παροξυσμὸν, D ὑποκουφίζοντα κατὰ τὴν ὑστεραίαν. λέγει δὲ καὶ ῥίγη γίνεσθαι τούτοισι πεπλανημένως, ὅπερ σημαίνει τὸ μὴ καθ' ἕκαστον παροξυσμὸν, ἀλλ' ἐνίοτε, καὶ ταῦτα σμικρά. οὕτως δὲ καὶ ἱδρῶτας ὀλίγους, ἀλλὰ καὶ ψύξιν ἀκρέων δυσεκθερμάντων, ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν, ὠμῶν καὶ φλεγματικῶν χυμῶν σηπομένων γίνεσθαι τὸν τοιοῦτον πυρετὸν, ἐπιμεμιγμένης αὐτοῖς ξανθῆς χολῆς. ὁ μὲν οὖν ἐπὶ μόνῃ τῇ τοιαύτῃ χολῇ συνιστάμενος, ὀνομάζεται τριταῖος. ὁ δὲ καὶ τὸν ὠμὸν χυμὸν ἰσοσθενῆ προσλαβὼν, ἀκριβὴς ἡμιτριταῖος γίνεται, πλεῖστον ἐν Ῥώμῃ γινόμενος, ὡς ἂν τῶν κατὰ τὴν E πόλιν ἀνθρώπων οἰκειότατος ὤν. αὐτὸς μὲν οὖν φρικώδης τ' ἐστὶ, καὶ μετὰ τῶν καλουμένων ἀναδιπλώσεων γίνεται, παροξυνόμενος οὐ μόνον τῇ προτέρᾳ τῶν ἡμερῶν, ἀλλὰ καὶ τῇ μετὰ ταύτην, ἐλάσσονά τε τοῦ προγεγενημένου παροξυσμὸν, ἧττόν τε φρικώδη, καὶ τὴν ἐπανάληψιν ἤτοι γ' ἧττον, ἢ οὐδ' ὅλως ἔχοντα. νυνὶ δὲ περὶ τοῦ διὰ τρίτης μὲν γινομένου, κουφίζοντος δὲ κατὰ ταύτην τὴν ἑτέραν ἡμέραν, ὁ λόγος ἐστὶ, ὃς δόξῃ εἶναι ἐγγυτέρω τῆς τοῦ ἐπιπαροξυνομένου τριταίου φύσεως, πλέον ἀποκεχωρηκὼς τοῦ ἡμιτριταίου. μεγάλη γὰρ F ἀπόστασις, τό, τε μὴ παροξύνεσθαι τῇ ἑτέρᾳ τῶν ἡμερῶν, καὶ τὸ χωρὶς ἀναδιπλώσεως γίνεσθαι. καὶ τό γε μὴν σμικρὸν ῥῖγος ἐγγύς ἐστι τῇ φρίκῃ. καίτοι οὐδὲ τοῦτο συνεισβάλλειν εἰσαεὶ τοῖς παροξυσμοῖς εἶπεν, ἀλλὰ πεπλανημένως, εἰ μή τι ἄρα τὸ, πεπλανημένως, ἐπὶ μὲν τῶν ἄλλων πυρετῶν εἶπεν, ἐπὶ δὲ τῶν τριταιοφυέων οὐκ εἶπεν. ἐλάχιστα δὲ καὶ ἥκιστα ῥίγη γίνεσθαι τούτοισιν εἰπὼν, τὴν φρίκην μὲν ἐδήλωσεν, οὐκ ἀφείλετο δὲ τελέως αὐτὰ τῶν παροξυσμῶν.

ὅπως δ' αὖ τοι ἡ περὶ τούτων πρόδηλον, τοῦτό γε τοιοῦτόν ἐστιν, ὅτι οὗτος ὁ πυρετὸς, εἰκότως εἴρηται τριταιοφυής. οὔτε γὰρ ἡμιτριταῖός ἐστιν, ὡς αὖ μήτε τῇ δευτέρᾳ παροξυνόμενος, ἀναδιπλώσεις τε μὴ ποιούμενος, οὔτε παρεκτεταμένος, εἴγε μηδ' ὅλως εἰς ἀπυρεξίαν τελευτᾷ. δίκαιον οὖν ἦν αὐτῷ τινὰ προσηγορίαν παρακειμένην ταῖς προειρημέναις προστιθέναι. ἦν δ' ὁ λόγος, εἰπεῖν, οὐκέτ' οὐδεμίαν παρὰ τὴν τοῦ τριταιοφυοῦς· τό γε μὴν ἐν κρισίμοις ὡς ἐπὶ τὸ πολὺ κακοῦσθαι, τριταιοφυῶν ἴδιον, οὐ κοινὸν ἁπάντων ἐστίν. ἐμάθομεν δ' ἐν τοῖς περὶ κρισίμων, τοῖς κακοήθεσι νοσήμασι τοῦτο γινόμενον, σμικρὰ κουφίζοντας, καὶ ταχὺ πάλιν ἐξ ἐπιτάσεως βιαιοτέρως παροξυνόμενοι. τῷ μεμνημένῳ τῶν εἰρημένων ἐν τοῖς περὶ κρίσεών τε καὶ κρισίμων, καὶ τοῖς περὶ διαφορᾶς πυρετῶν, οὐδὲν ἔτι δευτέρας ἀναμνήσεως δεῖται. δέδεικται γὰρ ἐν ἐκείνοις ὑπὲρ ἁπάντων τῶν τοιούτων, ὁποῖον καὶ τὸ νῦν εἰρημένον ἐστὶ, τὸ, σμικρὰ κουφίζοντας. οἱ γοῦν τοιοῦτοι πυρετοὶ τὴν γένεσιν ἔχουσιν οὐκ ἐξ ἑνὸς, ἀλλὰ καὶ ἐκ πλεόνων χυμῶν, ὧν ὁ μὲν θερμότερος ἀνάπτει τὸν ὀξὺν πυρετὸν, ἐν τάχει τε παύεται. τούτου δὲ κατειληφότος τὸ σῶμα, συμβαίνει διαφθείρεσθαί τε καὶ σήπεσθαι τοὺς ψυχροτέρους, εἶθ' οὕτως ἀνάπτεσθαι πάλιν ἐκ τῆς γινομένης ἐπιτάσεως, ὅ περ ἐστὶν οἷον ἀναπαύσεως καὶ μειώσεως τοῦ πυρετοῦ. χείρων δὲ τοῦ πρόσθεν ὁ τοιοῦτος γίνεται πυρετὸς, ὡς ἂν προκεκμηκυῖαν ἤδη τὴν δύναμιν ἐκ τῶν ὀχληρῶν εὑρών. εὔδηλον γὰρ ὅτι κἂν ἴσος ᾖ τῷ μεγέθει, πολὺ γοῦν μειζόνως ἂν ὀχλοίη τὰς μὲν ἰσχυροτέρας δυνάμεις, μᾶλλον δὲ τὴν τὰς ἀσθενεστέρας.

est, quod neque secundo accedat die, neque reduplicationes faciat, neque extensa est, quum utique nullo pacto ad integritatem desinat. Æquum itaque ipsi erat oppositam quandam prædictis febribus appellationem indere; eratque ratio ut nullum aliud præterquam tritæophyæ nomen inderetur. Deteriorem vero esse utplurimum diebus judicatoriis febrium tritæophyarum proprium est, non omnium commune. Didicimus enim ex libris de diebus judicatoriis malignis morbis istud fieri, ipsas aliquantulum remitti, citòque rursus ex remissione violentias invadere. Si autem memor sis eorum quæ in libris de Judicationibus, diebus judicatoriis, & febrium differentiis edita sunt, nihil secundo meminisse opus est. Nam illis in libris de ejusmodi omnibus disseruimus, quale est & quod nunc pronuntiatum est, parum remittentes. Itaque febres hujusmodi generationem habent, non ex uno, sed ex pluribus humoribus, quorum calidior quidem febrem accendit acutam, atque celeriter desinit, quæ ubi corpus prehenderit frigidiores tum corrumpi, tum putrescere evenit; deinde ita rursum accendi ex facta remissione, hoc est, veluti febris requie ac imminutione, quod vires jam ex infestantibus fatigatas offendat. Si namque par sit magnitudine, multo quidem vehementius imbecilliores vires quàm validiores divexare patet omnibus.

Τοῖς ἄλλοις πυρετοῖς καὶ ἄνευ πυρετοῦ τοῖς σπασμοῖς ἱδρῶτας ἐπιφανῆναι ὅθεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Ἱδρῶτες πολλοί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δηλονότι τοῖς ἄλλοις πυρετοῖς ἐφάνησαν ἱδρῶτες πολλοί, δυνατὸν δὲ καὶ τοῖς ἄνευ πυρετοῦ πάθεσιν, οἷον τοῖς σπασμοῖς ἱδρῶτας ἐπιφανῆναι πολλοὺς, ἐκ τῆς ἠθροισμένης ἐν τῷ σώματι πολλῆς ὑγρότητος ψυχρᾶς διὰ τὴν κατάστασιν, ὑπὸ δὲ τῆς τοῦ σπασμοῦ βίας ἐκκρινομένης· ἀλλὰ καὶ οἷς γέ τισιν ἔφη γενέσθαι, τούτοις οὖν αὖθις καὶ εἰκός ἐστι, ἱδρῶτες πολλοί.

Aliis febribus, etiam citra febrem convulsionibus sudores supervenisse, unde.

HIPPOCRATIS TEXTUS XXVI.

Sudores multi.

GALENI COMMENTARIUS.

Nimirum aliis in febribus multi sudores apparuerunt; potuerunt autem & citra febrem affectibus, veluti convulsionibus copiosi sudores superapparuisse ex accumulato in corpore copioso humore propter frigidum statum convulsionis violentia excreto. At quibus ait accidisse, his sane (ut par est) copiosi sudores eruperunt.

Τοὺς τριταιοφυεῖς ἱδρῶτας οὐκ ὠφελεῖν, ἀλλὰ πλεονεξίαν ὑγρῶν, ἢ ἀρρωστίαν δυνάμεως σημαίνειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Τουτέοισιν ἐλάχιστα κουφίζοντες οὐδὲν, ἀλλ' ὑπεναντίως, βλάβας φέροντες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τούτοις φησὶ τοῖς πυρετοῖς ὑπὲρ ὧν ὁ λόγος ἐστὶ τοῖς τριταιοφυέσιν, ἱδρῶτες συνέδραμον οὐδὲν ὠφελοῦντες. ἡ δ' αἰτία πρόδηλος, ἀποδεδωκότων ἡμῶν ἀπέπτοις

Tritæophyis sudores non conferre, imo humorum redundantiam, aut aurium imbecillitatem significare.

HIPPOCRATIS TEXTUS XXVII.

Qui nullam his levationem, imò contra noxas adferunt.

GALENI COMMENTARIUS.

His, inquit, febribus tritæophyis, de quibus est oratio, qui sudores nihil juvarent assederunt. Causa manifesta est, quum nos attribuerimus incoctis morbis sudores neque prodesse, neque

neque bonum signum esse: hi namque aut humorum redundantiam, aut virium imbecillitatem denunciant.

A νοσήμασιν, οὔτ᾽ ὠφελεῖν τοὺς ἱδρῶτας, οὔτ᾽ ἀγαθὸν εἶναι σημεῖον, ἢ γὰρ πλεονεξίαν ὑγρῶν, ἢ ἀῤῥωστίαν δυνάμεως ἐνδείκνυνται.

Cur corporis extrema difficile recalescant.

HIPPOCRATIS TEXTUS XXVIII.

His ingens frigus extremorum quæ vix etiam recalescerent.

GALENI COMMENTARIUS.

Corporis extrema difficile recalescunt in accessionibus, tum ob insignem viscerum phlegmonem, tum frigidorum humorum copiam, ut de prædictis utriusque tractatibus demonstravimus.

Διά τι τὰ σώματα ἄκρα δυσεκθέρμαντα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

Ψύξις πολλὴ τουτέοισιν τῶν ἀκρέων, καὶ μόλις ἀναθερμαινόμενα.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ διὰ φλεγμονὴν μὲν ἀξιόλογον σπλάγχνων ἐν τοῖς παροξυσμοῖς δυσεκθέρμαντα γίνονται τὰ ἄκρα, καὶ διὰ πλῆθος δὲ ψυχρῶν χυμῶν, ὡς ἀπεδείξαμεν ὑπὲρ ἀμφοτέρων ἐν ταῖς προειρημέναις πραγματείαις.

Unde vigiliæ, & soporis vicissitudo.

HIPPOCRATIS TEXTUS XXIX.

Neque hi prorsus erant pervigiles, sed etiamnum maxime comatosi.

GALENI COMMENTARIUS.

Vigiles rursus ait eos fuisse magis vicissim; non id tamen his prorsus erat, neque contrarietas magna. Dicit enim ipsis vicissim & comatosum symptoma factum fuisse; hoc autem est, quum ad somnum deferuntur, nequeuntes vigilantium munera obire, ut demonstravimus.

Ὅθεν τῆς ἀγρυπνίας καὶ κώματος ἐπάλλαξις.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Οὐ δὲ ἄγρυπνοι τὸ σύνολον, μάλιστα δ᾽ οὗτοι, καὶ πάλιν κωματώδεες. μὲν τὸ σύνολον ἄγρυπνοι

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ πάλιν ἀγρύπνους μὲν αὖθις φησὶ γεγονέναι μᾶλλον ἐν μέρει, οὐ μὴν τὸ σύνολόν γε ἐπὶ τούτοις, οὐδ᾽ ἐναντίωσις σφοδρά. φησὶ γὰρ αὖθις ἐν μέρει καὶ τὸ κωματῶδες σύμπτωμα γεγονέναι. τοῦτο δ᾽ ἐστὶν ὅταν καταφέρωνται, μὴ δυνάμενοι τὰ τῶν ἐγρηγορότων πράττειν, ὡς
D ἀπεδείξαμεν. λδ

Tritæophyas morbis cæteris maligniores esse, alvi perturbatrices, & corruptrices.

HIPPOCRATIS TEXTUS XXX.

Alvi omnibus turbatæ erant & malæ, longè autem his pessimæ.

GALENI COMMENTARIUS.

Effluente in ventrem humorum redundantiâ (ut ante dixi) ipsum turbari par erat. Has igitur tritæophyas, de quibus orationem facit, tanquam cæteris morbis maligniores, ac in ventre deteriores esse necesse erat.

Τριταιοφυέας τῶν ἄλλων νοσημάτων κακοηθέστερους, καὶ τῆς κοιλίας ταρακτικούς, καὶ κακούργους.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

Κοιλίαι δὲ πᾶσι ταραχώδεες, καὶ κακαὶ, πολὺ δὲ τουτέοισι κάκισται.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς περιουσίας τῶν χυμῶν εἰς τὴν γαστέρα ῥεούσης, ὡς ἔμπροσθεν εἶπον, εἰκὸς ἦν ταραχώδεις γίνεσθαι αὐτάς. τούτοις οὖν τοῖς τριταιοφυέσιν ὑπὲρ ὧν ποιεῖται τὸν λόγον, ὡς αἱ κακοηθεστέροις τῶν ἄλλων νοσημάτων, ἀναγκαῖον ἦν καὶ κατὰ τὴν γαστέρα χείρους γίνεσθαι.

Tritæophyâ laborantium urinæ pessimæ.

HIPPOCRATIS TEXTUS XXXI.

Horum autem plurimis urinæ & tenues erant, crudæ, pallidæ, ac tempore parum concoctæ judicatorie, aut crassum quidem habentes; verùm turbidæ, neque consistentes, neque subsidentes, neque concoctæ, aut paucæ, crudæ, pravæ, subsidentes autem & hæ omnes pessimæ.

F

Τὰ τῶν τριταιοφυέα νοσεόντων οὖρα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Οὖρα δὲ τοῖσι πλείστοισι τουτέων, ἢ λεπτὰ, καὶ ὠμὰ, καὶ ἄχροα, καὶ κατὰ χρόνον σμικρὰ πεπαινόμενα κρισίμως, ἢ πάχος μὲν ἔχοντα· θολερὰ δὲ, καὶ οὐδὲ καθιστάμενα, οὐδὲ ὑφιστάμενα, οὐδὲ πεπαινόμενα, ἢ σμικρὰ, καὶ ὠμὰ, καὶ κακὰ, τὰ δὲ ὑφιστάμενα, καὶ κάκιστα ταῦτα πάντα.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταῦτα πάντα τὰ καθόλου διὰ τοῦ προγνωστικοῦ γράμματος ἐδίδαξε, ταῦτα καὶ νῦν ὡς ἐπὶ παραδειγμάτων διὰ τῶν κατὰ μέρος πιστοῦται· προεξηγησάμενοι δὲ κατὰ τὸ προγνωστικὸν, οὐδὲν ἔτι δεόμεθα περὶ τῆς συμφωνίας τούτων πρὸς ἐκεῖνα λέγειν, ἐναργῶς φαινομένης, ἐδείχθη γὰρ ἡμῖν ἐν ἐκείνοις, ὠμῶν καὶ ἀπέπτων χυμῶν σημεῖα τὰ τοιαῦτα.

GALENI COMMENTARIUS.

HÆc omnia in universum libro prognostici docuit, quæ quidem & hoc in libro velut exemplis per singularia creduntur. Quæ autem quum in prognostico exposuerimus, non est ampliùs quod de eorum consonantia cum illis dicamus quæ apparent conspicua; nam in illis signa talia crudorum & incoctorum esse demonstravimus.

Τῇ τῶν χυμῶν ἐκκαθάρσει βῆχας τριταιοφυέα νοσέουσιν ἐπιγίνεσθαι.

B Humorum expurgatione tusses tritæophyâ laborantibus supervenire.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβʹ.

Βῆχες μὲν παρείποντο τοῖσι πυρετοῖσι, γράψαι δὲ οὐκ ἔχω βλάβην, ἢ ὠφελείην γινομένην διὰ βηχὸς τότε.

HIPPOCRATIS TEXTUS XXXII.

TVsses quidem febrium erant comites; sed quæ læsio, aut utilitas ex tussi prodierit, eam scribere non possum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς πλεονεξίας τῶν χυμῶν ἐκκαθαιρομένης, εἰώθασιν αἱ βῆχες ἐπιφέρειν.

GALENI COMMENTARIUS.

C EXpurgata humorum redundantia, tusses inferri consueverunt.

Διάφορα τὰ τῶν πυρετῶν ἐνεργήματα καὶ τὰ ἔθη καταλέγεται τὰ κατὰ δεύτερον φθινόπωρον γινόμενα.

Diversi febrium effectus & mores recensentur qui secundo autumno contigerunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγʹ.

Χρόνια μὲν οὖν, καὶ δυσχερέα, καὶ πάνυ ἀτάκτως, καὶ πεπλανημένως, καὶ ἀκρίτως τὰ πλεῖστα τουτέων διετέλει γινόμενα, καὶ τοῖσι πάνυ ὀλεθρίως ἔχουσι, καὶ τοῖσι μή· εἰ γάρ τινες αὐτέων διαλείποιεν μικρὰ, ταχὺ πάλιν ὑπέστρεφον. ἔστι δὲ οἷσιν ἔκρινεν αὐτῶν ὀλίγοισιν, οἷσι τὰ βραχύτατα γίγνοιτο περὶ ὀγδοηκοστὴν ἐοῦσι, καὶ τούτων ἐνίοις ὑπέστρεψεν, ὥστε κατὰ χειμῶνα τοὺς πλείστους αὐτέων ἔτι νοσεῖν, τοῖσι δὲ πλείστοισιν ἀκρίτως ἐξέλειπον.

HIPPOCRATIS TEXTUS XXXIII.

ITaque diuturna ac difficilia hæc erant & admodum inordinatè & erraticè, & citra crisim. Horum plurima tum his qui valde perniciose, tum D *his qui nequaquam ita se haberent, permanebant. Si namque ipsorum quibusdam paululùm intermitterent, celeriter etiamnum revertebantur. Quibusdam eorum, iisque paucis octogesimo die brevissime judicabantur, atque ipsorum nonnullis reversa sunt. Quare hyeme adhuc ipsorum plurimi ægrotabant, plerosque vero citra crisim reliquerunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εὔδηλον δ' ὅτι τοῦ δευτέρου χειμῶνος μέμνηται νῦν ἔτους, οὐ τοῦ προτέρου, κατὰ τοῦ προτέραν, αὐτοῦ λελεγμένου, τῆς ὅλης καταστάσεως. ἅπαντα γὰρ ταῦτα τὰ νοσήματα περὶ ὧν ὁ λόγος αὐτῷ νῦν ἐστιν, ἤκμασε μάλιστα καὶ κατὰ τὸ δεύτερον φθινόπωρον, εἶτά τινα μὲν αὐτῶν ἐπαύσατο χειμῶνος ἀρχομένου, τινὰ δὲ μέχρι πλείονος ἐπετάθη. τὸ δ' ἄτακτον αὐτῶν καὶ ὑποστροφάδες, ἐπὶ τῇ ψυχρότητι δηλονότι, καὶ τῷ πλήθει τῶν ἐργαζομένων τὰ νοσήματα χυμῶν εἰκότως ἀπήντησε, διὸ καὶ συμπεσεῖν ὁμοίως αὐτὰ τοῖς περιγινομένοις.

GALENI COMMENTARIUS.

QUòd nunc Hippocrates de secunda hyeme mentionem faciat, non de prima quàm in principio totius status recensuit, patet omnibus. E Si quidem omnes morbi, de quibus ipsi nunc oratio est, secundo potissimùm autumno viguerunt; deinde eorum quidam incipiente hyeme, cessaverunt, nonnulli verò longiùs producti sunt. Quòd verò ipsi citra ordinem essent, & reverterentur ex frigore nimirum, & humorum morbos procreantium multitudine, jure incidit, indeque superstitibus eadem acciderunt.

Ἐν τοῖς πυρετοῖς κακοήθεσι τὴν ἀκρισίαν, καὶ ἀποσιτίην, καὶ ἄδιψον γινομένων τὰ κάκιστα εἶναι σημεῖα.

F In febribus malignis acrisiam, ciborum fastidium, & sitis vacuitatem pessima esse signa.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδʹ.

Ὁμοίως δὲ ταῦτα ξυνέπιπτε τοῖσι περιγινομένοισι, καὶ τοῖσιν οὔ. πολλῆς δὲ τινος γινομένης ἀκρισίης, καὶ ποικίλης ἐπὶ τῶν νοσημάτων, καὶ μεγίστου μὲν σημείου, καὶ κακίστου διὰ τέλεος παρεπομένου, τοῖσι πλείστοισιν ἀποσίτους εἶναι πάντων γευμάτων.

HIPPOCRATIS TEXTUS XXXIV.

HÆc autem tum sospitibus, tum minime superstitibus acciderunt; fuitque multa ac varia in morbis acrisia, maximum etiam ac pessimum signum perpetuo comitabatur, quod cibos omnes plerique aversarentur, iique maxime quibus

cætera quoque perniciosa existerent. His autem in febribus non admodum intempestive sitiebant.

A μάλιστα δὲ τουτέων, οἷσι καὶ τὰ ἄλλα ὀλεθρίας ἔχοι. διψώδεες δὲ οὐ λίην ἀκαίρως ἦσαν ἐπὶ τοῖσι πυρετοῖσι τούτοισιν.

GALENI COMMENTARIUS.

QUod mente constare & ad ciborum oblationes bene habere bonum sit maximum, aliàs ab Hippocrate universaliter pronunciatum est; atque hoc loco particulari exemplo confirmatum est. Quod non admodum ipsi sitirent, qualitatem humorum redundantium meritò consecutum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθὸν μέγιστον, ἑτέρωθι πρὸς αὐτοῦ λέλεκται, καὶ καθόλου, καὶ νῦν, διὰ τινος τοῦ κατὰ μέρος παραδείγματος ἐπιστώθη. τὸ δὲ μὴ λίαν αὐτοὺς διψώδεις εἶναι, τῇ ποιότητι τῶν πλεοναζόντων χυμῶν εἰκότως ἠκολούθησε. B ἐδήλωσε

Diuturnitatem febrium, laborum multitudinem, & malam colliquationem abscessuum causas esse. Cur abscessus tum minores, tum majores nihil conferant.

Τὴν πυρετῶν μακρότητα, καὶ τὸ πόνων πλῆθος, καὶ κακὴν σύντηξιν τὰς τῶν ἀποστάσεων αἰτίας εἶναι. διά τι αἱ ἀποστάσεις μείους τε καὶ μείζους μηδὲν συμφέρωσι.

HIPPOCRATIS TEXTUS XXXV.

QVum autem tempora producerentur, multique labores essent, & prava colliquatio, his humorum secessus oboriebantur, vel majores quàm pro viribus sustinerent; aut minores quàm quicquam prodessent, verùm qui derepente recurrerent, & in deterius evaderent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λέ.

C ΓΙγνομένων δὲ χρόνων μακρῶν, καὶ πόνων πολλῶν, καὶ κακῆς συντήξεως, ἐπὶ τουτέων ἀποστάσιες ἐγίγνοντο, ἢ μείζους, ὥστε ὑποφέρειν μὴ δύνασθαι, ἢ μείους, ὥστε μηδὲν ὠφελέειν, ἀλλὰ ταχὺ παλινδρομέειν, καὶ ξυνεπείγειν ἐπὶ τὸ κάκιον.

GALENI COMMENTARIUS.

QUùm incoctorum humorum copia multa fuerit, abscessus creantur. Si parvi abcessus fuerint, nihil conferunt; si magni, eos ferre vires nequeunt. Quòd autem & nunc per effluxum vacuationes, apostases vel abscessus vocitet, per eam quæ infertur, orationem demonstravit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤαν τὸ πλῆθος ᾖ πολὺ χυμῶν ἀπέπτων, αἱ ἀποστάσεις γίνονται· εἰ μὲν σμικραὶ εἶεν αἱ ἀποστάσεις, οὐδὲν D ὠφελοῦσιν, εἰ δὲ μεγάλαι, φέρειν αὐτὰς ἡ δύναμις οὐ δύναται. ὅτι δὲ καὶ νῦν τὰς κατ' ἔκροιαν κενώσεις, ἀποστάσεις ὀνομάζει, διὰ τῆς ἐπιφερομένης ῥήσεως σαφῶς ἐδήλωσε.

Status frigidi humidi pathemata, alvi fluxus, dysenteriæ, tenesmi, lienteriæ, hydropes; & qui sint hujusmodi affectus, & unde.

Τὰ τῆς καταστάσεως ψυχρᾶς καὶ ὑγρᾶς παθήματα, ῥοώδεες, δυσεντερίαι, τεινεσμοὶ, λειεντερίαι, ὕδρωπες. Τίνα ὡσοὶ ταῦτα παθήματα, καὶ ὅθεν.

HIPPOCRATIS TEXTUS XXXVI.

QVæ hos exercebant, dysenteriæ, tenesmi, lienteriæ, & alvi fluxiones, quibusdam etiam hydropes, cum his & sine his molestiæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ'.

E ΗΝ δὲ τουτέοισι τὰ γιγνόμενα δυσεντεριώδεα, καὶ τεινεσμοὶ, καὶ λειεντερίαι, καὶ ῥοώδεές ἐστι δὲ οἷσι καὶ ὕδρωπες, μετὰ τούτων καὶ ἄνευ τούτων ἄσαι.

GALENI COMMENTARIUS.

QUos superiùs scripto textu universè abscessus fuisse profert, hos nunc particulatim percurrit. Morbos hujusmodi merito anteà fuisse prædiximus, confluentibus in alvum excrementis, Dysenterias quidem cum cruentis scilicet dejectionibus quocunque modo creatis: Tenesmos verò qui tensiones sunt vehementes & intestini recti ulceratione obortæ. Lienterias autem quæ celeres sunt ciborum non mutatorum transitus, alvi fluxiones vocat, quum sine prædictis affectibus dejiciuntur tum perpetuò, tum assiduè humida excrementa. Nonnullos & in hyderos

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΣ διὰ τῆς προγεγραμμένης ῥήσεως ἐν τῷ καθόλου γεγονέναι φησὶν ἀποστάσεις, ταύτας νῦν διεξέρχεται κατὰ μέρος. προείρηται δὲ ἡμῖν ἐν τοῖς πρόσθεν, εἰκότως γενέσθαι τὰ τοιαῦτα νοσήματα τῶν περιττωμάτων εἰς τὴν γαστέρα F συῤῥεόντων, τὰς μὲν δυσεντερίας δηλονότι μετὰ τῶν αἱματωδῶν διαχωρημάτων, καθ' ὃν τινα οὖν τρόπον γιγνομένας· τοὺς δὲ τεινεσμοὺς, τάσεις οὔσας σφοδρὰς, ἐπὶ τῆς κατὰ τὸ ἀπευθυσμένον ἑλκώσεως. τὰς δὲ λειεντερίας, ταχείας διεξόδους ἀμεταβλήτων σιτίων οὔσας. ῥοώδεις δὲ λέγει, τοὺς χωρὶς τούτων τῶν εἰρημένων παθημάτων διαχωροῦντας, ἀεί τε καὶ συνεχῶς ὑγρὰ διαχωρήματα. τινὰς δὲ καὶ εἰς ὕδερους ὀξέως φη-

τι καταστῆναι διὰ τὴν πλεονεξίαν τῶν ψυχρῶν καὶ ὑγρῶν χυμῶν, ἐνίοις μὲν μετὰ τῶν προειρημένων συμπτωμάτων, ἐνίοις δὲ ἄνευ τούτων.

A acutos decubuisse ait propter humorum frigidorum & humidorum redundantiam; nonnullos quidem cum prædictis symptomatis, nonnullos verò sine his.

Τὰς βιαίους καὶ πολλὰς ὠμῶν χυμῶν ἐκκρίσεις ταχὺ τὴν δύναμιν καθαιρεῖν, καὶ μηδὲν ὠφελεῖν.

Violentas & copiosas crudorum humorum vacuationes derepentè vires prosternere, nihilque proficere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζʹ.

Ὅτι δὲ παραγένοιτο τούτων βιαίως, ταχὺ ξυνήρει, ἢ πάλιν, ἐπὶ τὸ μηδὲν ὠφελέειν.

HIPPOCRATIS TEXTUS XXXVII.

B *Quicquid autem ex his violenter accidebat, derepente vires tollebat, aut prorsus nihil conferebat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ διὰ δυσπεψίαν καὶ πλῆθος τῶν ὠμῶν χυμῶν γινόμενα νοσήματα, πρὸς τὰς ἐκκρίσεις οὐδὲν ὠφελεῖται. ἔφη γὰρ τὰς μὲν πολλὰς βιαίους, ταχὺ καθαιρεῖν τὴν δύναμιν, τὰς δὲ μὴ τοιαύτας, οὐδὲν ὀνινάναι. οὐσῶν δὲ καὶ τούτων διττῶν, οὐδὲν ὠφελήσουσιν, αἱ χωρὶς τοῦ πεφθῆναι, ἅ τε καὶ τούτων ἔτι πολλῶν, οὐδὲν ὠφελήσει τι χωρὶς τοῦ πεφθῆναι.

GALENI COMMENTARIUS.

Qui propter coctionis difficultatem, & propter crudorum humorum copiam creantur morbi, ab excretionibus nihilo juvantur. Dixit enim multas quidem & violentas citò vires evertere; at quæ tales non sunt, nihil
C conferre. Quum autem hæ duobus sint modis, nihil hæ conferent quæ sine concoctione sint; nihil quoque & aliæ; quanvis etiam multæ juvant, nisi coquantur.

Τὰ ἐξανθήματα καὶ τὰς παρωτίδας τὰ τῆς χυμῶν ἀπεψίας ἔκγονα γίνεσθαι.

Exanthemata & parotidas cruditatis humorum esse sobolem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ληʹ.

Ἐξανθήματα μικρὰ, καὶ οὐκ ἀξίως τῆς ἐκκρίσεως τῶν νοσημάτων, καὶ ταχὺ πάλιν ἀφανιζόμενα, ἢ παρὰ τὰ ὦτα οἰδήματα μὴ λυόμενα καὶ οὐδὲν ἀποσημαίνοντα.

HIPPOCRATIS TEXTUS XXXVIII.

D *Papulæ parvæ etiamnum pro excretionis morborum magnitudine erumpebant; imo cito prorsum occultabantur, aut pone aures œdemata nigricantia oboriebantur, quæ non solverentur, nihilque significarent.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κεφάλαιον ἁπάντων τῶν γινομένων παθημάτων, ἡ τῶν χυμῶν ἦν ἀπεψία. εἰ δὲ καί που βιασαμένη τινὰς αὐτῶν ἡ φύσις ἐκκρίνειν ἐπεχείρησεν, οὐδὲν ἤνυσεν, ἀλλ' ἡττηθεῖσα πρὸς αὐτῶν, ἢ ἐπέτρεψεν αὐτίκα παλινδρομῆσαι πρὸς τὸ βάθος, ἢ δι' ὀλιγότητα τῶν γινομένων ἐκκρίσεων εἰς ἀπόστασιν ὥρμησε.

GALENI COMMENTARIUS.

Omnium quæ tunc fuerunt pathematum principium fuit humorum cruditas. Si nanque natura per vim eorum quosdam excernere aggressa esset, nihil juvabat. Imò ab ipsis evicta, aut confestim in profundum recurrere permisit, aut ob factarum excretionum pauci-
E tatem ad abscessum efficiendum concitata est.

Διὰ τούτων νοσημάτων ἡ τῶν χυμῶν ἀπέπτων μὴ ἐκκρινομένων ἐς ἄρθρα ἀπόσκηψις.

Per hos morbos incoctorum humorum non excretorum in articulos decubitus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ αʹ.

Ἔστι δ' οἷσιν ἐς ἄρθρα, μάλιστα δὲ κατὰ τὸ ἰσχίον, ὀλίγοισι κρισίμως ἀπολιπόντα, καὶ ταχὺ πάλιν ἐπικρατευόμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν.

HIPPOCRATIS TEXTUS XXXIX.

Quibusdam in articulos, præcipuéque in coxendicem decumbebant, paucis decretoriè cessabant, statimque rursus evicti ad pristinum habi-
F *tum revertebantur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν οὖν ἡ κατ' ἀπόθεσιν ἀπόστασις ἐν τοῖς χρονίοις μάλιστα νοσήμασι γίνεται. καὶ ὅτι μάλιστα περὶ αὐτὰ μεμαθηκότες ἐκ τοῦ καθόλου, καὶ νῦν ἐκ τοῦ κατὰ μέρος τούτου, μαρτυρούμενον ἕξομεν.

GALENI COMMENTARIUS.

Itaque quod abscessus per decubitum aut repositionem in diuturnis morbis potissimùm fiat, quodque in primis ad articulos ab eo in universum didicerimus, etiam nunc ex hoc particulari testimonio confirmatum habebimus.

A Quia vero multa esset tum crudorum, tum frigidorum, tum incoctorum humorum redundantia, propterea multis in maximum articulum decubuit; sed non excernebantur, propter difficilem humorum concoctionem; si cui vero etiam cessavisse viderentur, quamprimum recidebant: hoc enim est quod significatur, relinquebantur œdemata, factâ sursum latione; rursus autem revertentia in priorem habitum relapsa sunt. Etenim etiam id ab eo declaratur hisce verbis: statimque rursus evicta ad pristinum habitum revertebantur.

διὰ δὲ πολλὴν εἶναι τὴν περιουσίαν τῶν ὠμῶν καὶ ψυχρῶν χυμῶν καὶ ἀπεψίαν, εἰς δὲ μέγιστον τῶν ἄρθρων πολλοῖς ἀπέσκηψεν, ἀλλ' οὐκ ἐκκρίνοντο, διὰ τὸ δύσπεπτον τῶν χυμῶν. εἰ δέ τισι τούτων ἔδοξε λωφῆσαι, ταχὺ πάλιν ὑπέστρεφε. τοῦτο γάρ ἐστι τὸ δηλούμενον, ἀπολιπόντα τὰ οἰδήματα, τῆς ἄνω φορᾶς γεγονυίας, ὑποστρέφοντα δὲ πάλιν, ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν ἀνέσκηψε. καὶ γὰρ καὶ τοῦτο δηλοῦται πρὸς αὐτοῦ διὰ τοῦ φάναι, καὶ ταχὺ πάλιν ἐπικρατούμενα, ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν.

B

Statui humido & ipsius intemperiei congenera corpora magis lædi ac emori.

Τῇ καταστάσει ὑγρᾷ καὶ ψυχρᾷ καὶ τῇ αὐτῆς δυσκρασίᾳ σώματα συγγενῆ μᾶλλον βλάπτεσθαι καὶ θνήσκειν.

HIPPOCRATIS TEXTUS XL.

Moriebantur autem ex omnibus quidem, atque ex his plurimi pueri jam ablactati, & natu majores, octennes, ac decennes, & prope puberes. His autem ista non absque prius descriptis; prima vero plerisque sine his contingebant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

Ἔθνησκον δὲ ἐκ πάντων μὲν, πλεῖστοι δὲ ἐκ τουτέων, παιδία, ὅσα ἀπὸ γάλακτος ἤδη, καὶ πρεσβύτερα, ὀκταέτεα, καὶ δεκαέτεα, καὶ ὅσα πρὸ ἥβης ἦν. ἐγίνετο δὲ
C τούτοισι ταῦτα οὐκ ἄνευ τῶν πρώτων γεγραμμένων. τὰ δὲ πρῶτα πολλοῖσιν ἄνευ τουτέων.

GALENI COMMENTARIUS.

Quum præsens status evincentem habuisset potissimum humiditatem (ea nanque à naturali desciverat) qui frigidi & sicci essent humores, humiditatis & frigiditatis pravitati minus patebant: Nam corpora promptiùs ab his pati causis demonstravimus, quæ ipsorum intemperiebus congeneres existunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς καταστάσεως ἐπικρατοῦν ἐσχηκυίας μάλιστα τὸ ὑγρόν· ἐπὶ πλεῖστον γὰρ τοῦτο τῆς κατὰ φύσιν ἐξετράπετο τῆς καθ' ὑγρότητα καὶ ψυχρότητα μοχθηρίας, ἐπ' ὀλίγον ὄντες ψυχροὶ καὶ ξηροί. δέδεικται γὰρ ἡμῖν ἑτοιμότερον πάσχειν τὰ σώματα πρὸς ἐκείνων τῶν αἰτίων, ὅσα συγγενῆ ταῖς
D δυσκρασίαις αὐτῶν ἐστίν.

Cur & unde stranguria morbis enunciatis oborta utile ac omnium maximum signum extiterit? An & quomodo per humorum secessum hæc stranguria.

Διὰ τί καὶ ὅθεν ἡ στραγγουρία τοῖς προειρημένοις ἐπιγινομένη τὸ χρηστὸν καὶ τῶν γινομένων σημείων μέγιστον ἦν; πότερον καὶ πῶς ἡ διὰ τῶν κατ' ἀπόστασιν αὕτη στραγγουρία.

HIPPOCRATIS TEXTUS XLI.

Vnicum vero utile, & eorum quæ edebantur signorum maximum, quodque plurimos maximis periculis immersos liberavit, hoc fuit, quibus ad stranguriam divertissent, & in hanc abscessus concidissent. Accidebat quoque cæteris multis tum surrectis, tum decumbentibus. His etiam illico magna quædam omnium mutatio contingebat: Alvi nanque etiamsi forsan humectatæ essent, statim maligno modo tum sistebantur, seque iucundè ad omnes cibos habebant; posteaque febres mites percipiebantur. Verùm stranguria diuturna ac laboriosa erat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα'.

Ἓν μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γινομένων σημείων, καὶ πλείστους ἐῤῥύσατο τῶν ὄντων ἐπὶ τοῖς μεγίστοισι κιν-
E δυνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο, καὶ ἐς τοῦτο καὶ ἀποστάσιες ἐγίνοντο. ξυνέπιπτε δὲ καὶ ἐν τοῖσι πλείστοισι τὸ στραγγουριῶδες, τῇσι ἡλικίῃσι ταύτῃσι γίνεσθαι μάλιστα. ἐγίνετο δὲ καὶ τῶν ἄλλων πολλοῖσιν ὀρθοστάδην καὶ ἐπὶ τῶν νοσημάτων· ταχὺ δὲ καὶ μεγάλη τις ἡ μεταβολὴ τούτοισι πάντων ἐγίνετο, κοιλίαι τε γὰρ εἰ καὶ τύχοιεν ἐφυγραινόμεναι, κακοήθεα τρόπον ταχὺ ξυνίσταντο, γεύμασί τε πᾶσιν ἡδέως εἶχεν, οἵ τε πυρετοὶ πρηέες μετὰ ταῦτα. χρόνια δὲ τουτέοισι τὰ περὶ τὴν στραγγουρίαν, καὶ ἐπίπονα ἦν.

GALENI COMMENTARIUS.

F

Dixerat etiam superiùs stranguriosa & non nephritica symptomata his accidisse, etsi quandam communitatem sortiuntur; Verùm alia pro aliis. Nosque diximus, ubi corporis excrementa per renes expurgantur, fit illis stranguria, tum aliàs, tum maximè propter confluentium urinarum acrimoniam, ex quâ & nunc causa fuit. Tenere autem memoriâ oportet nunc etiam abscessus ad stranguriam factos ipsum di-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηκε καὶ πρόσθεν στραγγουριώδη, καὶ ἀνεφριτικὰ τούτοις γενέσθαι συμπτώματα, καὶ περ ἔχοι τινὰ κοινωνίαν, ἀλλ' ἄλλα ἀντ' ἄλλων. καὶ ἡμεῖς ἔφαμεν ἐκκαθαιρομένου τοῦ σώματος ὅλου τὰ περιττώματα διὰ τῶν νεφρῶν τὴν στραγγουρίαν αὐτοῖς γίγνεσθαι μὲν καὶ ἄλλως, μάλιστα δὲ διὰ δριμύτητα τῶν συῤῥεόντων οὔρων, ἐφ' ἧ καὶ νῦν αἰτία συνέστη. μεμνῆσθαι δὲ χρὴ πάλιν ὅτι καὶ νῦν ἀποστάσεις ἐπὶ στραγγουρίαν ἔφη γε-

γονέναι, καίτοι καὶ ἔκρουν, οὐ κατ' ἀπόθεσιν τῶν λυπούντων χυμῶν ἀποχωριζομένων ὅλου τοῦ σώματος. ὥσπερ γὰρ διὰ γαστρὸς πολλάκις ἐκκαθαίρεται τὸ σύμπαν σῶμα, οὕτω καὶ διὰ νεφρῶν καὶ κύστεως. χρόνια τούτοισιν τὰ κατὰ τὰς στραγγουρίας, καὶ ἐπιπόνως ἐκκαθαίροντες ὅλον τὸ σῶμα διὰ τῆς στραγγουρίας. ταῦτα δ' ἀναγκαῖον ἦν πάσχειν τὰ μόρια, δι' ὧν ἡ ἔκκρισις ἐγίγνετο τῶν δριμέων οὔρων, δηλονότι δακνόμενα, καὶ τῷ συνεχεῖ τῆς ἀποκρίσεως ἐνοχλούμενα, διὸ καὶ ἐπιπόνως εἶχον ἐν αὐτῇ τῇ διεξόδῳ τῶν οὔρων. χρόνῳ δ' αὐτοῖς πλείονι τὰ τοιαῦτα συμπτώματα ἐγίνετο, διὰ τὸ πλῆθος τῶν ἐκκαθαιρομένων περιττωμάτων.

A cere, quanquam per effluxum, non per decubitum toto corpore molesti humores separarentur. Ut enim per aluum sæpius universum corpus expurgatur: sic & per renes, & vesicam. At his diuturna est stranguria, & laboriosè universum corpus per stranguriam expurgatur. Has autem partes per quas acrium urinarum excretio fiebat, pati erat necesse, quod scilicet morderentur, & excretionis continuitate infestarentur, hinc & in ipso urinarum transitu laboriosè habebant. Hujusmodi vero symptomata diutius ipsis facta sunt ob excrementorum quæ expurgabantur, plenitudinem. B

Τὰ σημεῖα ἐκ τῶν οὔρων τοῦ ὑγιάζοντος σώματος τοὺς μοχθηροὺς χυμοὺς ἀποτιθεμένου.

Signa ex urinis convalescentis corporis pravos humores expellentis,

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβ'.

Οὖρα δὲ τούτοισιν ἦν πολλά, παχέα, ποικίλα, καὶ ἐρυθρά, μιξόπυα μετ' ὀδύνης.

HIPPPOCRATIS TEXTUS XLII.

C *His autem extiterunt urinæ copiosæ, crassæ, variæ, & rubræ, cum dolore putri permixtæ.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταῦτα πάντα τοῦ παντὸς σώματος ἀποτιθεμένου τὴν περιουσίαν τῶν μοχθηρῶν χυμῶν ἐγίνετο, διὸ καὶ πάντες ἐσώθησαν. ποικίλης δ' οὔσης αὐτῆς, ὡς ἔμπροσθεν ἔφαμεν, ἄλλο γὰρ ἄλλῳ τὸ πλεονάζον ἦν, εἰκότως κἀν τοῖς οὔροις γενέσθαι ποικιλίαν, οὐχ ἅπασιν ὁμοίων γιγνομένων αὐτῶν, ἀλλὰ τοῖς μὲν τοίας, τοῖς δὲ τοίως.

GALENI COMMENTARIUS.

Hæc omnia toto corpore pravorum humorum superfluitatem deponente oboriebantur; quapropter etiam omnes conservati sunt. Quum autem ea varia esset, ut ante docuimus (aliud si quidem alteri redundabat) merito & in urinis ipsis fuit varietas. Quum enim non omnibus essent similes; sed his quidem talis, aliis vero alia. D

Τοὺς καθηραμένους πάντας διὰ τῶν οὔρων περιγεγένησθαι.

Purgatos omnes per urinas evasisse superstites.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγ'.

Περιεγένοντο δὲ πάντες οὗτοι, καὶ οὐδένα τούτων οἶδα ἀποθανόντα. ὅσα δ' ἀκινδύνως.

HIPPOCRATIS TEXTUS XLIII.

At hi omnes superstites evaserunt, eorumque nullum interiisse novi. Quæcunque citra periculum erant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διατί μὲν περιεγένοντο, προείρηται, ἐξεκενώθησαν γὰρ διὰ τῶν οὔρων. τὸ δ', ὅσα ἀκινδύνως ἐστίν, ἔνιοι τῆς ἐχομένης λέξεως προτάττουσιν, ἔνθα καὶ τὴν ἐξήγησιν αὐτοῦ ποιησόμεθα μετὰ τὴν δευτέραν κατάστασιν.

GALENI COMMENTARIUS. E

Quare superstites evaserunt, prænunciatum est: per urinas enim expurgati sunt. Hoc autem; *quæcunque citra periculum erant*, nonnulli sequenti orationi præponunt, ubi ipsius, post secundum statum, explicationem facturi sumus.

Ἐν τοῖς ἀκινδύνως νοσήμασι τοὺς πεπασμοὺς ἀπιόντων πάντοθεν ἐπικαίρους, καὶ τὰς ἀποστάσιας κατοπτέον τε καὶ ποιητέον ἐστί. τί ἡ πέψις, τί πεπασμὸς καὶ ἡμίπεπτον. Ἅτινα βοηθήματα τὰ ἔσωθεν καὶ τὰ ἔξωθεν τὰς πέψεις ποιῇ. F

In morbis minimè periculosis tempestivas excretorum concoctiones & secessiones considerandas aut faciendas esse. Quid coctio, maturatio; quid semicoctum. Quæ præsidia interna & externa concoctiones efficiant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδ'.

Πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους, ἢ καλάς, καὶ κρισίμους ἀποστάσιας σκοπέεσθαι.

HIPPOCRATIS TEXTUS XLIV.

Omnes excretorum undique secedentium concoctiones tempestivas, aut bonos & judicatorios abcessus explorare decet.

A

GALENI COMMENTARIUS.

Nonnulli priùs descripti status finem præsentis enarrationis principium fecerunt, ut ea sic se habeat; Quæcunque citra periculum omnes excretorum undique secedentium concoctiones tempestivas, aut bonas, & judicatorios abscessus explorare decet, ut orationis intelligentia talis quidem fuerit. Quicunque citra periculum affectus procedunt, in his concoctiones considerandæ sunt: Fieri vero potest ut & per se proposita oratio legatur, ut de omnibus simpliciter morbis ab ipso universe dicatur qui absque matura concoctione sunt. Concoctio nanque est quædam eorum, quæ præter naturam sunt, morbi maturatio: At ipsa concoctio est in coquentis substantiam deductio quædam ejus quod concoquitur. Corpore igitur secundùm naturam habente, quum concoquitur familiarem habuerit naturam, totius materiæ concoquendæ fit mutatio & alteratio, aut maximæ ejus partis, paucissima nobis immorante semicocta. Præter naturam vero affectis corporibus, hoc est, à natura tum permutantis tum alterantis alienis, quod quidem assimilatur, paucum est; semicoctum vero superfluum copiosum. Ut autem in corporibus secundùm naturam habentibus excrementa coctionem demonstrant: sic & in laborantibus demonstrabunt. Alvi itaque dejecta deorsum excrementa tum incoctionem, tum coctionem ex propria produnt forma, quæ cum tussi rejiciuntur, eorum quæ in thorace & pulmonibus sunt; quæ per nasum excernimus, eorum quæ in cerebro existunt; at quæ per urinas procedunt, eorum quæ in venis. Verùm de his demonstratum est tum in Commentariis de naturalibus facultatibus, tum in libro de crisibus; ac præsertim in libro de morborum temporibus, in quibus scriptæ sunt eorum qui concoquuntur morborum notæ; quodque nunc Hippocrates eos facere imperat qui ex vacuatis excrementis morborum concoctiones explorant. Nonnulli vero in orationis fine pro *explorare*, *facere* scribunt, orationem quandam actionis, curationis, & consilii, non dignotionis esse volentes. Si nanque concoctiones explorare jubeat, ad dignotionem, prænotionemque spectabit oratio; si vero facere, ad curationem pertinebit. Quod autem concoctiones faciant omnia quæ mediocriter calefaciunt, tum cibi, tum fomenta, tum cataplasmata, frictio item mediocris, atque ex eo genere balnea, constat omnibus. Quorum omnium singularis usus in libris methodi medendi explanatus est. Non solùm autem morborum concoctiones ipsum considerare vel facere conveniebat (utrunque enim verum est) verumetiam & abscessus per effluxum; quos & præcipuè cum diligentia curare oportet, aut eos qui per decubitum in partes ignobiliores fiunt; secundus enim hic est scopus, quum abscessus per emissionem consequi nequeamus. Quum itaque ad ventrem repunt excrementa, hæc juvare convenit clysteribus, qui eo attrahere valeant, atque his quæ in tota victus ratione ad id conferant; sin ad renes urinas cientibus; si ad colum, acribus medicamentis illud calefacientibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνιοι δὲ τὸ πέρας τῆς προγεγραμμένης καταστάσεως ἀρχὴν ἐποιήσαντο τῆς νῦν προκειμένης ἐξηγήσεως, ὡς ἔχειν αὐτὴν οὕτως. ὅσα δ' ἀκινδύνως πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους, ἢ καλὰς, καὶ κρισίμους ἀποστάσιας σκοπεῖσθαι, ἵνα ἡ διάνοια τοῦ λόγου τοιαύτη τις εἴη· ὅσα δ' ἀκινδύνως προέρχεται πάθη, σκεπτέον ἐπ' αὐτῶν ἐστὶ τοὺς πεπασμούς. ἐγχωρεῖ γε μὴν καὶ αὐτὴν
B καθ' ἑαυτὴν ἀναγινώσκειν τὴν προκειμένην ῥῆσιν· ἵν' ὁ λόγος ᾖ περὶ πάντων ἁπλῶς νοσημάτων αὐτῷ καθόλου λεγόμενος τῶν χωρὶς πεπασμοῦ. πέψις γάρ τίς ἐστι τῶν παρὰ φύσιν, ὁ πεπασμὸς τοῦ νοσήματος, αὕτη δὲ ἡ πέψις εἰς τὴν τοῦ πέττοντος οὐσίαν, ἀγωγή τίς ἐστι τοῦ πεττομένου. κατὰ φύσιν μὲν οὖν ἔχοντος τοῦ σώματος, ὅταν καὶ τὸ πεττόμενον οἰκείαν ἔχῃ φύσιν τῷ πέττοντι, μεταβολὴ καὶ ἀλλοίωσις ἁπάσης τῆς πεττομένης οὐσίας, ἢ τοῦ πλείστου μέρους αὐτῆς γίνεται, βραχυτάτου περιττεύοντος ἡμῖν ἡμιπέπτου. παρὰ φύσιν δὲ διακειμένων, ὅπερ ἐστὶν ἀλλοτρίων
C ὑπαρχόντων τῇ τοῦ μεταβάλλοντός τε καὶ ἀλλοιοῦντος φύσει, τὸ μὲν ἐξομοιούμενον, ὀλίγον γίνεται, τὸ δ' ἡμίπεπτον περίττωμα πολύ. καθάπερ δ' ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων σωμάτων, τὰ περιττώματα τὴν πέψιν ἐνεδείκνυτο, κατὰ τὸν αὐτὸν τρόπον, ἐπὶ τῶν νοσούντων σωμάτων ἐνδείξεται. τῶν μὲν οὖν τὴν γαστέρα τὰ περιττώματα κάτω διαχωρούμενα, τὴν ἀπεψίαν τε καὶ πέψιν ἐκ τῆς ἑαυτῶν ἰδέας ἐνδείκνυται, τῶν δὲ κατὰ θώρακα καὶ πνεύμονα, τὰ κατὰ βηχὸς ἀναγόμενα. τῶν δὲ κατὰ τὸν ἐγκέφαλον, τὰ διὰ τῆς ῥινὸς ἐκκρι-
D νόμενα, τὰ δὲ κατὰ τὰς φλέβας, τὰ κατὰ τῶν οὔρων ἀπερχόμενα. δέδεικται δὲ περὶ τούτων ἔν τε τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασι, καὶ ἐν τοῖς περὶ κρίσεων λόγοις, οὐχ ἥκιστα δὲ κἂν τοῖς περὶ τῶν ἐν νόσοις καιρῶν, οἷς γέγραπται τῶν πεττομένων νοσημάτων τὰ γνωρίσματα· καὶ νῦν οὖν ὁ Ἱπποκράτης αὐτὸ τοῦτό γε κελεύει πράττειν ἐπισκοποῦντας τοὺς πεπασμοὺς τῶν νοσημάτων ἐκ τῶν ἐκκρινομένων περιττωμάτων. ἔνιοι δὲ κατὰ τὸ πέρας τῆς ῥήσεως, ἀντὶ τοῦ σκοπεῖσθαι, γράφουσι ποιεῖσθαι, πρακτικόν τινα καὶ θερα-
E πευτικὸν, καὶ συμβουλευτικὸν εἶναι βουλόμενοι τὸν λόγον, οὐ διαγνωρισμός. εἰ μὲν γὰρ σκοπεῖσθαι τοὺς πεπασμοὺς κελεύει, διαγνωστικός τε καὶ προγνωστικὸς ὁ λόγος ἐστίν. εἰ δ' αὖ ποιεῖσθαι, θεραπευτικός ἐστιν. εὔδηλον δ' ὅτι πεπασμοὺς ἐργάζεται τὰ συμμέτρως θερμαίνοντα πάντα, τοῦτο μὲν ἐδέσματα, τοῦτο δὲ καταντλήματα, καὶ καταπλάσματα, καὶ τρίψις δὲ μετρία, καὶ λουτρὸν ἐκ τούτου τοῦ γένους εἰσίν. εἴρηται δ' αὐτῶν πάντων ἡ κατὰ μέρος χρῆσις ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. οὐ μόνον δὲ πεπασμοὺς τῶν νοσημάτων σκοπεῖσθαι προσήκει, ἢ ποιεῖν αὐτὸν, ἑκάτερον γὰρ
F ἀληθὲς, ἀλλὰ καὶ τὰς ἀποστάσεις τὰς καθ' ἔκρουν, ὅπερ καὶ μάλιστα χρὴ σπουδάζειν, ἤτοι τὰς κατ' ἀπόθεσιν εἰς ἀκυρώτερα μέρη· δεύτερος γὰρ οὗτος σκοπὸς ἀποτυγχανομένου τοῦ καθ' ἔκρουν. εἰ μὲν οὖν ἐπὶ γαστέρα ῥέποι τὰ περιττώματα, ταῦτα συνεργεῖν προσήκει, κλύσμασί τε χρώμενον ἐπισπᾶσθαι δυναμένοις ἐνταῦθα, καὶ τοῖς κατὰ τὴν δίαιταν πᾶσιν εἰς τοῦτο συντελοῦσιν. εἰ δ' ἐπὶ νεφρούς, τοῖς οὐρητικοῖς, εἰ δὲ ἐπὶ κῶλον, ἐκεῖνο θερμαίνοντα διὰ τῶν δριμυτέρων φαρμάκων.

A

Τοὺς πεπασμοὺς τῆς κρίσεως ταχύτητα, καὶ τὴν ἀσφάλειαν ὑγιεινὴν σημαίνειν, καὶ τὸν ἰατρὸν μιμητήν τε καὶ ὑπηρέτην τῆς φύσεως εἶναι.

Concoctiones crisis celeritatem, securamque sanitatem portendere; & medicum naturæ æmulum ac ministrum esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ με'.

Πεπασμοὶ, ταχύτητα κρίσιος καὶ ἀσφάλειαν ὑγιεινὴν σημαίνουσι.

HIPPOCRATIS TEXTUS XLV.

Concoctiones crisis celeritatem, ac securam sanitatem significant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. B

Ἐπὶ τῆς προγεγραμμένης ῥήσεως ἔφην, ἐνίους μὲν σκοπεῖσθαι τοὺς πεπασμοὺς ἀξιοῦν, ἐνίους δὲ καὶ ποιεῖσθαι, καὶ γράφειν ἑκατέρους τὸ τέλος τῆς ῥήσεως διττῶς ἐξηγουμένους. τοὺς μὲν ἑτέρους σκοπεῖσθαι τοῖς ἰατροῖς, τοὺς δὲ ἑτέρους ποιεῖσθαι. χρησίμως δ' ἔφην ἑκάτερον ἀσκεῖσθαι τοῖς ἰατροῖς, ὥστε καὶ σκοπεῖσθαι γεγραμμένον, εἰ πάντως ἀκολουθεῖ αὐτῷ καὶ τὸ ποιεῖσθαι. μιμητὴν γὰρ ἅμα καὶ ὑπηρέτην ὁ Ἱπποκράτης ἀξιοῖ τὸν ἰατρὸν εἶναι τῆς φύσεως. ὅτι μέντοι βέλτιόν ἐστι C γράφειν ἐπὶ τῆς προτέρας ῥήσεως τὸ, σκοπεῖσθαι, δῆλον ἐποίησεν καὶ αὐτὴν εἰπὼν, τοὺς πεπασμοὺς σημαίνειν ταχύτητα κρίσεως, καὶ ἀσφάλειαν ὑγιεινήν· οὐδὲ γὰρ ἂν ἔφησε σημαίνουσιν, ἀλλὰ ποιέουσιν, εἰ συνεβούλευσε τοῖς ἰατροῖς αὐτοῖς ἐργάζεσθαι τοὺς πεπασμοὺς, ἀλλὰ τοῦτο μὲν ἐν οἷς θεραπεύει τὰ νοσήματα, συμβουλεύει· νῦν δὲ κατὰ τὴν τῶν ἐπιδημιῶν πραγματείαν, εἰς διαγνώσεις αὐτοὺς καὶ προγνώσεις ἐπαλατείνει, συνεμφαινομένης μὲν ἐν τῇ καθόλου, καὶ τῆς θεραπευτικῆς ὁδοῦ, μὴ μέντοι λεγομένης, ὅτι δὲ συνεμφαίνεται, δῆλον. εἰ γὰρ ἀξιοῖ τὰ καλῶς ὑπὸ τῆς φύσεως γινόμενα μιμεῖσθαι τὸν D ἰατρὸν, εἰ πεπασμοὶ δὲ ἔργον αὐτῆς ἐστὶν, εὔδηλον, ὅτι καὶ τάχος κρίσεως, καὶ ἀσφάλειαν καὶ ὑγείαν δηλώσουσι, καὶ ἡμεῖς δὲ συνεργοῦντες αὐτοῖς ἐργασόμεθα πεπασμούς.

GALENI COMMENTARIUS.

Superiori textu dixi, nonnullos quidem considerare concoctiones jubere; nonnullos vero facere; & utrosque orationis finem bifariàm scribere, quum enarrant alteros medicos considerare, alteros facere: Dixi autem utrumque commodè à Medicis exerceri; Nam si cōsiderare scriptum sit, prorsus id facere consequitur; Æmulum siquidem naturæ simulque ministrum Medicum esse vult Hippocrates. Quod vero præstiterit scribere in priore oratione, *considerare*, planum fecit quum hîc per hanc pronunciat concoctiones crisis celeritatem, & securam sanitatem portendere: Neque enim significare dixisset, sed facere, si medicis ipsis consuluisset concoctiones efficere; sed hoc quidem ubi morbos sanat, consulit; nunc in epidemiorum tractatu dignotiones & præmotiones ipsis proponit, viamque medendi simul universè innuit, etiamsi non exprimat: Nam quod simul innuat, manifestum est; Si enim quæ probè à natura fiunt, Medicum imitari velit, concoctiones autem ipsius opus sint, liquet ipsas & crisis celeritatem, & securam sanitatem significaturas; nos autem ipsas adjuvantes concoctiones effecturos.

Τί ὠμὰ, καὶ ἄπεπτα, καὶ τὰ ἐς κακὰς ἀποστασίας τρεπόμενα σημαίνει τὴν ἐπικρατουμένην φύσιν, διὸ καὶ τὸ χρονίζειν τὰ νοσήματα, ἀκρισίαν ἢ κρίσιν μοχθηρὰν, ἢ θάνατον, ἢ τὰς ὑποστροφὰς, ἢ πόνους. τὰς ἀκρισίας ταῖς ἀπεψίαις ἑπομένας εἶναι. τί καὶ ὅπου, καὶ πόθεν, ὁ, E τῶν νοσημάτων πεπασμός· ὅπου καὶ ὅθεν ἡ τῶν στερεῶν σωμάτων ὑγίεια.

Quòd cruda, incocta, & in malos abscessus conversa portendant evictam naturam, proindeque morborum diuturnitatem, crisim nullam aut pravam, mortem, recidivas. Incoctionum acrisias esse comites. Quid, ubi, & unde morborum concoctio; ubi & unde partium solidarum sanitas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μς'.

Ὠμὰ δὲ, καὶ ἄπεπτα, καὶ ἐς κακὰς ἀποστάσιας τρεπόμενα, ἢ ἀκρισίας, ἢ πόνους, ἢ χρόνους, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς.

HIPPOCRATIS TEXTUS XLVI.

Cruda vero & incocta, & in malos abscessus conversa acrisias, aut dolores, aut diuturnitatem, aut mortem, aut eorumdem reversiones significant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ οἱ πεπασμοὶ γίνονται τῆς φύσεως κρατούσης τῶν F νοσωδῶν αἰτίων, οὕτω καὶ μὴ κρατούσης τὰ ἐναντία. τῷ μὲν οὖν ἐπὶ τῶν πεπασμῶν εἰρημένῳ, ταχύτητα κρίσεως, ἐναντίον ἐστὶ τὸ χρονίζειν τὰ νοσήματα. τῷ δ' ἐπ' ἐκείνοις ἀσφάλειαν, ἀντίκειται τό, τε τῆς ἀκρισίας, καὶ τὸ τοῦ θανάτου, καὶ τὸ τῶν αὐτῶν ὑποστροφάς. τῷ δ' ἐπ' ἐκείνοις ὑγιεινὴν, κοινῇ μὲν πάντα τὰ νῦν εἰρημένα, καὶ κατὰ μέρος δὲ οἱ πόνοι. τὰ γὰρ ὑγιαίνοντα σώματα, τὴν εἴτ' ἀπονίαν, εἴτ' ἀνωδυνίαν, εἴτ' ἀοχλησίαν ἐθέλοις ὀνομάζειν,

GALENI COMMENTARIUS.

Quemadmodum concoctiones fiunt naturâ morbosas causas evincente: sic etiam non evincente, contraria. Itaque celeritati judicationis in coctionibus dictæ, contraria est morborum diuturnitas; securitati vero in illis & acrisia & mors, & recidivæ opponuntur; sanitati autem illic communiter quæ nunc dicta sunt omnia, & particulatim dolores: Nam quæ sana sunt corpora, doloris carentiam, aut indolentiam, vel molestiæ vacuitatem (nihil enim refert quo appellare modo volueris) propriam habent

habent inseparabile. At acrisiæ vocabulum bifariam memini ab ipso dici, aut quum nullomodo futura sit crisis, aut prava futura. Atque hoc utroque significato morborum incoctiones acrisiæ comitantur. Este vero memores omnem morborum concoctionem in humorum alteratione consistere. Etenim protensa est per solida corpora natura, quæ illorum est facultas, fit humoribus concoctio à solidis corporibus sanis; ut quum hæc ipsa ægrotant, jam in habitu morbus sit, extremumque periculum existat quibus ipsum invehit. Sanari autem prius non potest quam solida ipsa corpora propriam facultatem recuperaverint quæ in calidi frigidi, humidi & sicci symmetria posita est; quare etiam ipsa corporum solidorum sanitas in horum symmetria sita est, ita ut nihil referre videatur vel bonam partium similarium temperiem sanitatem esse dicas, vel elementorum ex quibus generati sumus, symmetriam. At quomodo solidorum corporum morbis medendum sit, in libris methodi medendi enunciatum est. Ut autem in omnibus omnia dicantur, fieri nequit; Hic enim summa incidentium medendi speculationum capita duntaxat annotare satis est, quemadmodum & eorum quæ ad dignotionem spectant. Nam quod unicuique tractatui proprium existit, absolutè percurrere oportet, quod vero obiter incidit, per capita prodere.

A ἴδιον ἀχώριστον ἔχει. τὸ δὲ τῆς ἀκρισίας ὄνομα μέμνημαι δήπου λεγόμενον ὑπ' αὐτοῦ διττῶς, ὡς ἤτοι μηδ' ὅλως ἐσομένης κρίσεως, ἢ μοχθηρᾶς ἐσομένης, καὶ ἄμφω τε ταῦτα τὰ σημαινόμενα, ταῖς ἀπεψίαις τῶν νοσημάτων, ἀκολουθοῦσιν αἱ ἀκρισίαι. μέμνησθε δέ, ὡς ἡ ὅλη πέψις τοῦ νοσήματος, ἐν τῇ τῶν χυμῶν ἀλλοιώσει γίνεται. διά τε γὰρ τῶν στερεῶν σωμάτων ἡ φύσις διατέταται, δύναμις ἐκείνων οὖσα, καὶ τὸ πέττεσθαι τοῖς χυμοῖς, ὑπὸ τῶν στερεῶν ὑγιαινόντων γίνεται, ὡς ὅταν γε καὶ αὐτὰ ταῦτα νοσῇ, καθ' ἕξιν μὲν ἤδη τὸ νόσημα τοῦτο,
B καὶ κίνδυνον ἔσχατόν ἐστιν οἷς ἐπάγει. θεραπευθῆναι δ' οὐ δύναται, πρὶν αὐτὰ τὰ στερεὰ σώματα τὴν οἰκείαν ἀνακτήσασθαι δύναμιν, ἥ τις ἐν συμμετρίᾳ κεῖται θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ. διὸ καὶ τῆς ὑγιείας αὐτῆς τῶν στερεῶν σωμάτων ἐν τῇ τούτων συμμετρίᾳ τὴν ὕπαρξιν ὑπάρχειν, ὡς μηδὲν διαφέρειν, ἢ εὐκρασίαν ὁμοιομερῶν φαίης ἂν εἶναι τὴν ὑγίειαν, ἢ συμμετρίαν τῶν στοιχείων ἐξ ὧν γεγόναμεν. ὅπως δὲ χρὴ τὰς αὐτῶν τῶν στερεῶν σωμάτων νόσους ἰᾶσθαι, λέλεκται διὰ τῶν τῆς θεραπευτικῆς μεθόδου βιβλίων. ἅπαντα δ' ἐν πᾶσιν οὐκ ἐγχωρεῖ λέγειν·
C ἀρκεῖ γὰρ μόνον ἐνταῦθα τῶν περιπιπτόντων θεραπευτικῶν λογισμῶν ἐπισημαίνεσθαι τὰ κεφάλαια, καθάπερ ἐν τοῖς θεραπευτικοῖς τῶν διαγνωστικῶν. τὸ μὲν γὰρ ἴδιον ἑκάστης πραγματείας, χρὴ τελέως διεξέρχεσθαι· τὸ δὲ παραπίπτον, ἐπισημαίνεσθαι διὰ κεφαλαίων.

Jam pernunciata iteranda non esse.

HIPPOCRATIS TEXTUS XLVII.

Horum autem quodcunque maximè futurum sit, ex aliis considerandum est.

GALENI COMMENTARIUS.

Quorum de arte prænoscendi mentionem fecit, ea in prognostici libro docuit. Singuli nanque prædicta ex his quæ illo in libro sunt scripta, patent, nosque illum tribus commentariis explanavimus. In quorum fine quod epidemiorum libri prognosticum sequantur ostendimus, scriptosque illum in librum commentarios propter libros de crisibus, in quibus prænotiones explicatæ sunt, tum perniciosi, tum mansueti morbi; qui item in unoquoque judiciorum præfiniti dies, quænam bona judicia, quæ secura, quæ violenta. Jam & de omnibus aliis quæ ad hanc speculationem spectant.

Ἤδη τὰ ἀναγορευθέντα, μὴ αὖθις ἀναληπτέα εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζ.

D Ὅ, τι δὲ τουτέων ἔσται μάλιστα, σκεπτέον ἐξ ἄλλων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ὯΝ ἀναμιμνήσκει τῆς προγνωστικῆς τέχνης, καὶ ὧν ἐδίδαξεν ἐν τῷ προγνωστικῷ συγγράμματι. τῶν γὰρ προειρημένων ἕκαστον ἐκ τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένων καὶ ἡμεῖς ἐξηγησάμεθα διὰ τριῶν ὑπομνημάτων. καὶ κατά γε τὸ τέλος δέδεικται τὰ τῶν ἐπιδημιῶν ἑπόμενα τῷ προγνωστικῷ. καὶ πρὸς τούτοις δέ, τοῦ γραφῆναι τὰ εἰς
E ἐκεῖνο τὸ βιβλίον ὑπομνήματα, διὰ τῶν περὶ κρίσεων, εἰρήκοτο προγνώσεις ὀλεθρίου καὶ ἐπιεικοῦς νοσήματος. αἵτινες δὲ προθεσμίαι τῶν κρισίμων εἰσὶν ἐφ' ἑκάστῳ, καὶ τίνες μὲν ἀγαθαὶ κρίσεις, τίνες δὲ σφαλεραί, βίαιοί τε καὶ οὐ βίαιοι. περί τε τῶν ἄλλων ἁπάντων, καὶ ὅσης ταύτης ἔχεται τῆς θεωρίας.

Citra hoc tria tempora versari prænotionem.

HIPPOCRATIS TEXTUS XLVIII.

Præterita enuncianda, præsentia cognoscenda, & futura prædicenda.

GALENI COMMENTARIUS.

Etiam in prognostici libro statim ab initio pronunciavit; prænoscens enim ac prædi-

Τὴν πρόγνωσιν περὶ τρεῖς χρόνους καταγίνεσθαι.

F ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

Λέγειν τὰ προγινόμενα, γινώσκειν τὰ παρεόντα, προλέγειν τὰ ἐσόμενα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ τῷ προγνωστικῷ συγγράμματι κατ' ἀρχὰς « εὐθὺς εἶπε. προγινώσκων γὰρ, καὶ προλέ- «

τιγων, τά τε παρεόντα, καὶ τὰ προγεγονότα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ὡς περὶ τοὺς τρεῖς χρόνους καταγινομένης τῆς προγνώσεως. καὶ ὅπως χρὴ τοῦτο διαπράττεσθαι, διὰ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων εἴρηται.

cens coram ægris tum præsentia, tum præterita futura. Quod prænotio circa tria versatur tempora, & quonam pacto hoc efficere oporteat, in illius libri commentariis dictum est.

Τὸν νοῦν ταῦτα γυμνάζειν δεῖ.

Mentem hæc exercere oportet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

Μελετᾷν ταῦτα.

HIPPOCRATIS TEXTUS XLIX.

Hæc exercere oportet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐνταῦθα νῦν τὸ μελετᾷν, ἀντὶ τοῦ, ἀσκεῖν εἶπεν, ἐν ἄλλοις δὲ πολλάκις τὴν ἐπιμέλειαν ὀνομάζει μελέτην.

GALENI COMMENTARIUS.

Hoc loco, nunc curare pro exercere dixit. In alis autem sæpius exercitationem curam nominat.

Χρῆναι τὸν ἰατρὸν στοχάζεσθαι τῆς ὠφελείας τῶν καμνόντων ἢ μὴ βλάπτειν αὐτούς. οὐδὲν τοῖς κάμνουσιν, εἰ μὴ πρότερον τὸ πειρασάμενον πρακτέον. Τινὰς τοὺς ἰατροὺς εἶναι, οἳ τοῖς κυβευταῖς ὁμοίως τὰ τοῖς κάμνουσι βοηθήματα προσφέρουσι.

Medicorum esse ægris auxiliari, non eos lædere. Ægris nihil nisi prius expertum, faciendum esse. Medicos esse nonnullos qui aleatorum similes ægris remedia offerunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν'.

Ἀσκεῖν περὶ τὰ νοσήματα δύο, ὠφελεῖν, ἢ μὴ βλάπτειν.

HIPPOCRATIS TEXTUS L.

In his duobus te exercere oportet, ut morbis auxilieris, an non lædas.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐγὼ τοῦτο μικρὸν ᾤμην ποτὲ, καὶ οὐκ ἄξιον Ἱπποκράτους. ἅπασι γὰρ ἀνθρώποις ὑπάρχειν πρόδηλον ἐνόμιζον, χρὴ τὸν ἰατρὸν στοχάζεσθαι μὲν μάλιστα τῆς ὠφελείας τῶν καμνόντων. εἰ δὲ μὴ, ἀλλὰ τοῦ μὴ βλάπτειν αὐτούς. ἐπεὶ δὲ πολλοὺς τῶν ἐνδόξων ἰατρῶν ἐθεασάμην, ἐγκληθέντας δικαίως ἐφ' οἷς ἔπραξαν, ἢ φλεβοτομήσαντες, ἢ λούσαντες, ἢ φάρμακον διδόντες, ἢ οἶνον, ἢ ὕδωρ ψυχρὸν, ἐνενόησα τάχα μέν τι καὶ αὐτῷ τῷ Ἱπποκράτει συμβῆναι τὸ τοιοῦτον. ἐξ ἀνάγκης δὲ οὖν, πολλοῖς καὶ ἄλλοις τῶν καθ' αὑτὸν ἰατρῶν, ἐξ ἐκείνου τε, περὶ πάντος ἐποιησάμην, εἴ ποτέ τι τῷ κάμνοντι μέγα προσφέροιμι βοήθημα, προδιασκέπτεσθαι παρ' ἐμαυτῷ, μὴ μόνον ὅσον ὠφελήσω, τοῦ σκοποῦ τυχὼν, ἀλλὰ καὶ ὅσον βλάψω ἀποτυχών. οὐδὲν οὖν οὐδὲ πώποτ' ἔπραξα μὴ πειράσας αὐτὸς πρότερον, ἐὰν ἀποτύχω τοῦ σκοποῦ, μηδὲν βλάψαι τὸν νοσοῦντα. τινὲς δὲ τῶν ἰατρῶν ὁμοίως τοῖς τοὺς κύβους ἀναρρίπτουσιν, εἰώθασιν ἐπὶ τῶν καμνόντων βοηθήματα προσφέρειν, ὧν ἡ ἀποτυχία μεγίστην ἐπιφέρει βλάβην τοῖς νοσοῦσι. τοῖς μὲν οὖν μανθάνουσι τὴν τέχνην, οἶδ' ὅτι δόξει καθάπερ ἐμοί ποτε, τὸ ὠφελεῖν, ἢ μὴ βλάπτειν, οὐκ ἄξιον πρὸς Ἱπποκράτους γεγράφθαι πρώτου, τοῖς δ' ἰατρεύουσιν ἤδη, σαφῶς οἶδα τὴν δύναμιν αὐτοῦ φανησομένην. ἐὰν δὲ καὶ διὰ προπετῆ χρῆσιν ἐνίοτε βοηθήματος ἰσχυροῦ, συμβῇ τὸν κάμνοντα διαφθαρῆναι μάλιστα νοήσουσιν, οὗ νῦν ὁ Ἱπποκράτης παρῄνεσε τὴν δύναμιν.

GALENI COMMENTARIUS.

Id ego parvum aliquando duxi, & indignum Hippocrate: nempe omnibus hominibus conspicuum esse putabam. Oportet siquidem medicum imprimis ægrorum auxilio animum intendere, sin minùs, ipsos tamen non lædere. Quia verò multos vidi præclaros medicos in his jure culpatos quæ fecerant, aut quum venam secuerint, aut lambint, aut medicamentum, aut vinum, aut aquam frigidum exhibuerint. Animadverti mecum forsan & Hippocrati ipsi tale quid accidisse, ob idque cæteris multis suis æqualibus medicis; exindeque prorsus feci, ut si quando magnum quoddam ægro auxilium allaturus sim, ut antea apud me cogitem, non solùm quantum iuvero, si voti compos fuerim, sed etiam nequid lædam. Nihil itaque unquam feci non ipse priùs expertus, ne quid si voti compos non essem, ægrotum læderem. Quidam verò Medici aleatoribus tesseras projicientibus similes ægrotis offerre remedia consueverunt, quorum frustratio maximam noxam inferunt ægrotantibus. Artem verò discentibus scio visum iri ut mihi nonnunquam juvare vel non lædere indignum esse ab Hippocrate primo scriptum fuisse. Verùm jam medentibus manifestè scio virtutem ipsius apparituram. Quod si aliquando propter inconsultum vehementis remedii usum ægrotum interire contingat, maximè faculiatem hujus quod nunc Hippocrates proposuit, sentient.

Tria artem & curationem perficere, morbum, ægrotum, & medicum. Morbum hostem esse communem; medicum ægri Imperatorem, ac morbi expugnatorem, & artis ac naturæ ministrum; ægrum medico certaminis socium; utrumque simul morbo reluctari.

A Τρία τὴν τέχνην καὶ θεραπείαν περαίνειν, τὸ νόσημα, τὸν κάμνοντα, καὶ τὸν ἰατρόν. τὸ μὲν νόσημα τὸν κοινὸν εἶναι πολέμιον, τὸν δὲ ἰατρὸν τοῦ κάμνοντος προστάτην, καὶ τοῦ νοσήματος πολιορκητὴν, καὶ τῆς τέχνης, καὶ τῆς φύσεως ὑπηρέτην εἶναι. τὸν δὲ κάμνοντα τῷ ἰατρῷ συναγωνιστήν. Ἀμφοτέρους ἅμα τῷ νοσήματι ἀνταγωνίζεσθαι.

HIPPOCRATI TEXTUS LI.

Artem tria circunscribunt, morbus, ægrotus, & Medicus. Medicum artis esse ministrum, ægrumque cum Medico, morbo obluctari oportet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ναʹ.

B Ἡ τέχνη διὰ τριῶν, τὸ νόσημα, ὁ νοσέων, καὶ ὁ ἰητρὸς ὑπηρέτης τῆς τέχνης. ἐναντιοῦσθαι τῷ νοσήματι τὸν νοσέοντα μετὰ ἰατροῦ χρή.

GALENI COMMENTARIUS.

Tria universa esse pronunciat, ex quibus & per quæ curatio absolvitur. Primum quidem morbus est, deinde Medicus, his mutuo concertantibus, & prout aliquis protulerit, compugnantibus ac dimicantibus tum Medico tum morbo. Medicus siquidem morbum profligare conatur, morbo verò ne evincatur propositum est. Tertium autem ex his æger est, qui si Medico crediderit, atque imperata fecerit, huic certaminis socius efficitur, hostisque morbo. Si verò à Medico desciverit, & quæ à morbo concitantur, egerit, duobus modis medico facit injuriam; uno quidem, quod dimiserit, altero verè quod secundum fecerit qui primus unus esset. Ut autem duos uno validiores esse necesse est; constat autem ægrum à morbo imperata, deserto medico, agere; quum scilicet Medicus ægrum à frigidæ potu abstinere jubet; is autem à febre perustus, ab ipsa quò patet, impellitur: Ita verò si & lavetur, & vinum assumat, aut quicquam aliud agat hujusmodi quod interdixit Medicus, profectò morbum aucturus est, si quæ illum oblectant, egerit; Medicum vero proditurus, si quæ non imperat moliatur. Porro in multis exemplaribus scriptus est Medicus artis minister; in quibusdam verò non artis minister, sed naturæ scriptis mandatur; Nihil tamen ad totius orationis intelligentiam differt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τρία πάντ' εἶναί φησι περὶ ὧν, καὶ δι' ὧν θεραπεία περαίνεται. πρῶτον μὲν τὸ νόσημα, εἶθ' ὁ ἰατρὸς, ἀνταγωνιζομένων ἀλλήλοις, καὶ ὡς ἄν τις εἴπῃ, διαμαχομένων τε καὶ πολεμούντων, τοῦ τε ἰατροῦ, καὶ τοῦ νοσήματος. ὁ μὲν γὰρ ἰατρὸς ἀνελεῖν ἐπιχειρεῖ τὸ νόσημα, τῷ δὲ, μὴ νικηθῆναι πρόκειται. τρίτος δ' ἐπ' αὐτοῖς ὁ κάμνων ἐστὶν, ἐὰν μὲν πείθηται τῷ ἰατρῷ, καὶ τὰ προσταττόμενα πράττῃ, C συναγωνιστὴς γινόμενος αὐτῷ, καὶ πολεμῶν τῷ νοσήματι. ἐὰν δ' ἀποστὰς αὐτοῦ, τὰ κελευόμενα πρὸς τοῦ νοσήματος ποιῇ, κατὰ διττὸν τρόπον ἀδικεῖ τὸν ἰατρὸν, ἕνα μὲν ὅτι τε μόνον εἴασεν, ἕτερον δὲ ὅτι δεύτερον ἐποίησεν, ὄντα πρότερον ἕνα. ἰσχυροτέρους δ' ἀναγκαῖον εἶναι τοὺς δύο τοῦ ἑνός. δῆλον δὲ ὅτι τὰ κελευόμενα τῆς νόσου ὁ κάμνων πράττει, καταλιπὼν τὸν ἰατρὸν, ὅταν ὁ μὲν ἰατρὸς αὐτὸν κελεύῃ ἀπέχεσθαι ψυχροῦ πόσεως, ὁ δὲ ὑπὸ τοῦ πυρετοῦ διακαιόμενος, ἀναπείθηται πρὸς αὐτοῦ πίνειν. οὕτως δ' εἰ καὶ λούοιτο ἢ D προσφέροιτο οἶνον, καί τι τοιοῦτον ἕτερον, ὧν ὁ ἰατρὸς ἀπαγορεύῃ μὴ ποιεῖν, αὐξήσει δηλονότι τὸ νόσημα, πράττων ἃ φίλον ἐκείνῳ· προδώσει δὲ τὸν ἰατρὸν, ἃ μὴ βούλεται ποιῶν. ἐν πολλοῖς μὲν οὖν τῶν ἀντιγράφων γέγραπται ὁ ἰατρὸς ὑπηρέτης τῆς τέχνης, ἐν τισὶ δ' οὐ τῆς τέχνης, ἀλλὰ τῆς φύσεως γέγραπται· διαφέρει δ' οὐδὲν πρὸς τὴν ὅλην τοῦ λόγου διάνοιαν.

Quos affectus dicturus est Hippocrates, eos pronunciat.

Ὅσα παθήματα λέξων Ἱπποκράτης, ταῦτα προαγγέλλει.

HIPPOCRATIS TEXTUS LII.

Capitis cervicisque dolores, & cum doloribus gravitates cum febribus, & citrà febres oboriuntur.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νβʹ.

Τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα, καὶ βάρη, σὺν πυρετοῖς, καὶ ἄνευ πυρετῶν.

GALENI COMMENTARIUS.

Hic textus præscriptionis vim habet, quum profiteatur Hippocrates quò capitis cervicisque dolores & gravitates finiri consueverint, quasque sortiantur differentes sese deinceps pronunciaturum; ac proinde quæ ab ipso pronunciantur, ad ipsum hoc facientem animum convertamus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο προγράμματος ἔχει δύναμιν ἐπαγγελλομένου τοῦ Ἱπποκράτους, πῇ τελευτᾶν εἴωθε τὰ περὶ κεφαλὴν, καὶ τράχηλον ἀλγήματα, καὶ βάρη, καὶ ὡς τινὰς ἔχει διαφορὰς F ἐπαγγελλομένου ἑξῆς ἐρεῖν. καὶ τοίνυν προσέχωμεν αὐτῷ τοῦτο ποιοῦντι διὰ τῶν εἰρημένων.

Signa perniciosa.

Ὀλέθρια τὰ σημεῖα.

HIPPOCRATIS TEXTUS LIII.

Phreniticis quidem convulsiones.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νγʹ.

Φρενιτικοῖσι μὲν σπασμοί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σπασμοί, φησι, γίνονται τοῖς φρενιτικοῖς, τῶν περὶ τὴν κεφαλὴν, καὶ τὸν τράχηλον ἀλγημάτων παραμενόντων καὶ βαρῶν.

GALENI COMMETARIUS.

Convulsiones, inquit, fiunt phreniticis, perseverantibus capitis collique doloribus & gravitatibus.

Τὰ ἰώδη ἐμέσματα καὶ διαχωρήματα θανάσιμα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νζ'.

Ἀλλὰ καὶ ἰώδη ἐμέουσι, καὶ ἔνιοι ταχυθάνατοι τουτέων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐδείχθη δὲ ἡμῖν τὰ τοιαῦτα πάντα διαχωρήματά τε καὶ ἐμέσματα, τῆς ξανθῆς χολῆς κατοπτωμένης γινόμενα, διὸ καὶ τούτοις ἐφεξῆς ἐρεῖ. ὅτι ταχυθάνατοι ἔνιοι γίνονται, τουτέστιν, εὐθέως ἐπὶ τοῖς ἐμεθεῖσιν ἀποθνήσκουσιν, ὡς ἂν ἐν τοῖς κατὰ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας χωρίοις τῆς φρενίτιδος συνισταμένης ἐπὶ τῇ ξανθῇ χολῇ. θαυμαστὸν οὖν οὐδὲν ὑπεξηρανθέντων τῶν μορίων τούτων γενέσθαι τοὺς σπασμούς. ἔνιοι μὲν οὖν ἅμα τῷ σπασθῆναί τε καὶ ἰώδη ἐμέσαι, παραχρῆμα ἀποθνήσκουσιν· ἔνιοι δὲ, διὰ ῥώμην δυνάμεως ἐπέζησαν ἡμέραν, ἢ δύο, ἢ τρεῖς, ἔστιν ὅτε πέντε.

Æruginosas vomitiones ac dejectiones lethales.

HIPPOCRATIS TEXTUS LIV.

Imò etiam æruginosa vomunt, ex hisque nonnulli celeriter intereunt.

GALENI COMMENTARIUS.

A Nobis autem demonstratum est ejusmodi dejectiones & vomitiones assata flavâ bile procreari, ob eamque causam hisce deinceps verbis pronunciat; nonnulla celerrimè interire, hoc est, statim à vomitu emori, consistente ex flavâ bile in cerebri meningumque regionibus phrenitide. Nihil igitur mirum desiccatis his partibus, convulsiones oboriri. Nonnulli quidem simul atque tùm cùm convulsi, tum æruginosa vomuerint, quamprimum intereunt; nonnulli verò ob virium robur diem unum, aut duos, aut tres, aut interdum quinque supervixerunt.

Τὰ τῆς αἱμορραγίας γενησομένης σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη'.

Ἐν καύσοισι δὲ, καὶ τοῖσιν ἄλλοισι πυρετοῖσιν, οἷσι μὲν τραχήλου πόνος, καὶ κροτάφων βάρος, καὶ σκοτώδεα περὶ τὰς ὄψιας, ἢ καὶ ὑποχονδρίου ξύντασις, οὐ μετ᾽ ὀδύνης ἐγγίγνηται, τουτέοισιν αἱμορραγέει διὰ ῥινός.

Hæmorrhagiæ futuræ signa.

HIPPOCRATIS TEXTUS LV.

In ardentibus autem, aliisque febribus, quibus cervicis quidem adest dolor, temporum gravitas, & tenebræ oculis obortæ, aut etiam hypochondrii minimè cum dolore contentio supervenit, his sanguis per nares erumpit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηταί μοι κατὰ τὴν ἐξήγησιν τοῦ προγνωστικοῦ περὶ τῶν οὕτω γινομένων αἱμορραγιῶν, ἐκείνην ἐξηγουμένῳ τὴν ῥῆσιν ἧς ἡ ἀρχὴ, οἷσι δὲ καὶ ἐν τοιούτῳ τρόπῳ πυρετῷ, κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίγνεται, ἢ μαρμαρυγαὶ προφαίνονται, ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐπὶ δεξιὰ, ἢ ἐπ᾽ ἀριστερὰ ξυντείνεταί τι, μήτε μετ᾽ ὀδύνης, μήτε σὺν φλεγμονῇ· αἷμα διὰ ῥινῶν ῥυῆναι, τούτοισι προσδόκιμον ἀντὶ τοῦ ἐμέτου. καὶ ὅτι τελεώτερον ἐκεῖ περὶ τούτων ἔγραψεν εἰ παραβάλλοις ἀλλήλαις τὰς ῥήσεις, ἐναργῶς μαθήσῃ. τοσοῦτον οὖν μοι μόνον ἐνταῦθα προσθεῖναι δεήσει, διὰ τοὺς περὶ τὸν Καπίτωνα γράψαντας ἐν τῇ προκειμένῃ ῥήσει, καὶ ὑποχονδρίου ξύντασις μετ᾽ ὀδύνης. οὐκ ὀρθῶς γὰρ ἀφεῖλον τὴν ἀπόφασιν τὴν, οὐ, διά τε τὸ ἀληθὲς αὐτὸ, καὶ ὅτι κατὰ τὸ προγνωστικὸν Ἱπποκράτους εἴρηται. ὅταν ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἀριστερὰ συντείνεταί τι, μήτε σὺν ὀδύνῃ, μήτε σὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν ῥυῆναι τούτοις, προσδόκιμόν ἐστι. τῆς γὰρ ἐπὶ τὴν κεφαλὴν ῥοπῆς τῶν χυμῶν, σημεῖόν ἐστιν ἡ τοῦ ὑποχονδρίου σύντασις,

GALENI COMMENTARIUS.

Quæ ita fiunt sanguinis eruptiones, de his in prognostici explicatione verba fecimus, quum textum illum interpretaremur, cujus extat exordium; At quibus per febrem hujusmodi caput dolentibus pro nigri cujusdam ante oculos visione, caligo adest, aut vibrantes lucis splendores obversantur, & pro stomachi morsu hypochondrio ad dextra aut sinistra, quiddam neque cum dolore, neque cum inflammatione contenditur, iis pro vomitu sanguis è naribus fluxurus expectatur. Quodque perfectius illic de his scripserit, si textus inter se comparaveris, didiceris. Tantum itaque mihi solum hoc loco adjiciendum erit propter Capitonem qui in præsenti oratione scripsit; *& hypochrondrii contentio cum dolore.* Non enim rectè negationem, *uon* sustulit, tum ob ipsam veritatem, tum quod in prognostico ab Hippocrate pronunciatum sit; quum in hypochondrio dextro aut sinistro quiddam contenditur, neque cum dolore, neque cum inflammatione, his sanguis è naribus fluxurus expectandus est. Nam quæ hypochondrii sine dolore fit contentio,

impetus humorum ad caput ſignum eſt. Quod ſi cum dolore ſit, viſcerum phlegmonem ſequitur. Quum vero capitis calore ſurſum ſanguinem trahente, & jecore impellente, fiat contentio, ſanguinis eruptio expectanda eſt.

Bilioſæ ac pituitoſæ vomitionis ſupervenientis ſigna.

HIPPOCRATIS TEXTUS LVI.

Quibus univerſi capitis gravitates, ſtomachi morſus, nauſeæ ac faſtidia ſunt; his bilioſæ ac pituitoſæ vomitiones oboriuntur.

GALENI COMMENTARIUS.

» Hanc orationem in prognoſtico his verbis docuit; Quicunque per febrem non lethalem caput dolere dixerit, aut etiam præ oculis tenebroſum quiddam apparere, aut ſtomachi morſus huic acceſſerit, bilioſus aderit vomitus. Quod ſi rigor eluxerit, ac inferiores hypochondrii partes frigidæ extiterint, celerior etiamnum aderit vomitus. Si quid autem ſub hoc tempus aut biberit aut eſitaverit, celerrimè vomiturus eſt. Quibus ex his primo die dolor cœperit, ii quarto die magis quàm quinto premuntur; at ſeptimo liberantur. Quin eorum plurimi quarto quidem die dolere incipiunt, quinto vero maximè vexantur, verùm nono & undecimo liberantur. Qui vero quinto die dolere incipiunt, & quæ cætera pro ratione prioribus ipſis accidunt, iis ad decimum quartum diem morbus deſinet. Hæc autem oboriuntur viris quidem ac mulieribus in tertianis præſertim; junioribus vero tum in his quidem accidunt, ſed magis in continuis febribus, tum in legitimis tertianis. Hæc oratio de iiſdem quæ nunc præcurrit, in prognoſtico ſcripta eſt, ac ipſam nos in tertio quem in eum ſcripſimus commentario interpretati ſumus. Quare quum accuratiùs totum hunc ſermonem in prognoſtico ſcriptum videamus, de iiſdem rurſum hoc loco dicere non opus eſt. Si quid autem hoc in libro excellentius procumbat, id ſequentibus orationibus explicaturus ſum; tenentibus memoria nobis quod propriè vocata expoſitio in obſcuris fiat dictionibus. Jam vero ex interpretum conſuetudine cauſiloquia, ſeu cauſarum diſceptationes obſcurè dictorum per abuſum expoſitiones appellamus; quod & nos hîc facimus vincentem conſuetudinem ſequuti. Ipſam namque orationem, quæ manifeſta eſt, nulla indiget explicatione, proferentes cauſas eorum quæ ab ipſa ſignificatione dilucide pronuntiare contendimus.

Pueros ad convulſiones paratiſſimos eſſe.

HIPPOCRATIS TEXTUS LVII.

Plerunque vero pueris hiſce in affectibus convulſiones maximè oboriuntur.

A χωρὶς ὀδύνης γινομένη. ὡς εἴ γε μετ' ὀδύνης ᾖ, τῇ τῶν σπλάγχνων ἀκολουθεῖ φλεγμονῇ, ὅταν δὲ τῆς περὶ τὴν κεφαλὴν θερμασίας ἑλκούσης ἄνω τὸ αἷμα, καὶ τοῦ ἥπατος ὠθοῦντος, ἡ σύστασις γίγνηται, τὴν αἱμορραγίαν προσδέχεσθαι χρή.

Τὰ τοῦ χολώδεός τε καὶ φλεγματώδεος ἐμέσματος ἐπιγινομένου σημεῖα.

B ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξϛ'.

Οἷσι δὲ βάρεα μὲν ὅλης τῆς κεφαλῆς, καρδιωγμοὶ δὲ, καὶ ἀσώδεές εἰσιν, ἐπανεμέουσι χολώδεα, καὶ φλεγματώδεα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι τοῦτον τὸν λόγον ἐν τῷ προγνωστικῷ διὰ τῆσδε τῆς ῥήσεως ἐδίδαξεν. « ὅς τις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ κεφαλὴν ἀλγεῖν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν γίνεσθαι, C ἢ καρδιωγμὸς τουτέῳ προσγίνηται, χολώδης ἔμετος παρέσται. ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ, καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ, ταχύτερον ὁ ἔμετος παρέσται. ἢν δέ τι καὶ πίῃ καὶ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμέεται. τούτων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος, τῇ πρώτῃ ἡμέρᾳ τεταρταῖοι πιέζουνται μᾶλλον ἢ πεμπταῖοι, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. οἱ μέντοι πλεῖστοι αὐτῶν ἄρχονται μὲν πονέεσθαι τεταρταῖοι, πιέζονται δὲ πεμπταῖοι μάλιστα, ἀπαλλάσσονται δ' ἐνναταῖοι, ἢ ἑνδεκαταῖοι. οἱ δ' ἂν ἄρξωνται πεμπταῖοι D πονέεσθαι, καὶ τὰ ἄλλα κατὰ λόγον αὐτοῖσι τῶν πρόσθεν γίγνηται, ἐς τὴν τεσσαρεσκαιδεκάτην ἀπαλλάσσονται. γίνεται δὲ ταῦτα, τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶν, ἐν τοῖς τριταίοις μάλιστα. τοῖσι δὲ νεωτέροισι γίνονται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ τοῖς συνεχεστέροισι πυρετοῖς, καὶ τοῖσι γνησίοισι τριταίοισιν. » αὕτη περὶ τῶν αὐτῶν, ὧν νῦν διέρχεται ῥῆσις ἐν τῷ προγνωστικῷ γέγραπται, καὶ αὐτὴν ἐξηγησάμεθα κατὰ τὸ γ. τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ἡμῖν γεγραμμένων, ὥστ' οὐδὲν δεῖ πάλιν περὶ τῶν αὐτῶν ἐνταῦθα λέγειν, ὁρῶντας ἀκριβέστερον ἐν τῷ προγνωστικῷ γεγραμμένον E ὅλον τὸν λόγον. εἰ δέ τι περιττότερον ἐν τούτῳ τῷ βιβλίῳ πρόσκειται, τοῦτο διὰ τῶν ἑξῆς ῥήσεων ἐξηγήσομαι, μεμνημένων ἡμῶν, ὅτι τὸ μὲν κυρίως ὀνομαζόμενον ἐξηγεῖσθαι, κατὰ τὰς ἀσαφεῖς γίνεται λέξεις. ἤδη δὲ διὰ τῶν ἐξηγητῶν ἔθος καταχρώμενοι, καὶ τὰς αἰτιολογίας τῶν ἀσαφῶς εἰρημένων, ἐξηγήσεις ὀνομάζομεν, ὅπερ καὶ νῦν ἡμεῖς ποιοῦμεν ἑπόμενοι τῇ κρατούσῃ συνηθείᾳ. τὴν γὰρ λέξιν αὐτὴν οὖσαν σαφῆ, καὶ μηδεμιᾶς ἐξηγήσεως δεομένην, προσφερόμενοι τῷ ὑπ' αὐτῆς δηλουμένῳ, σαφῶς τὰς αἰτίας ἐπιχειροῦμεν λέγειν.

F

Τὰ παιδία πρὸς τοὺς σπασμοὺς εἶναι ἑτοιμότατα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξζ'.

Ὡς τὸ πολὺ δὲ, παιδίοισιν ἐν τοῖσι τοιούτοισιν, οἱ σπασμοὶ μάλιστα.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ παιδία, διὰ τὴν ἀσθένειάν τε ἅμα καὶ μαλακότητα τοῦ νευρώδους γένους, ἑτοιμότατα πρὸς τοὺς σπασμούς ἐστι.

GALENI COMMENTARIUS.

PUeri propter nervosi generis tum infirmitatem, tum mollitiem ad convulsiones sunt promptissimi.

Ταῖς γυναιξὶ ταῦτα ὅσα ἄρρενες παθήματα, καὶ προσέτι τοὺς τῆς μήτρας πόνους φέρειν.

Mulieres autem quos mares affectus, ac propterea uteri dolores pati.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη'.

ΓΥναιξὶ δὲ, καὶ ταῦτα, καὶ ἀπὸ ὑστερέων πόνοι.

HIPPOCRATIS TEXTUS LVIII.

MVlieribus eadem etiam, & ab utero dolores contingunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ τὰ προειρημένα πάντα γίνεται ταῖς γυναιξὶν, ὡς καὶ τοῖς ἄρρεσι, καθόσον ἄνθρωποί τέ εἰσι καὶ πάντα ἔχουσι τοιαῦτα τοῖς ἄρρεσι μόρια. καθόσον δ' αὐταῖς ἐξαίρετον ὑπάρχει μόριον ἡ μήτρα, κατὰ τοῦτο καὶ τοῖς ἐκείνων ἁλίσκεται νοσήμασι, καὶ μάλιστα ἐφ' ὧν τῷ στομάχῳ συμπάσχει.

GALENI COMMENTARIUS.

PRædictis quoque omnia fiunt fœminis ut maribus, quatenùs sunt homines; talesque omnes habent partes quales viri. Quatenùs autem ipsis præcipua inest pars uterus, eatenus & partis hujus capiuntur morbis, & maximè in quibus stomacho consentit. C

Διὰ τί πρεσβυτέροισι αἱ παραπληγίαι, καὶ μανίαι καὶ ὀφθαλμῶν στερήσιες γίγνονται. τί παραπληγία καὶ μανία.

Cur senioribus paraplegiæ, maniæ, & cæcitates accidunt. Quid paraplegia, quid mania.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νθ'.

ΠΡεσβυτέροισι δὲ, καὶ ὅσοισιν ἤδη τὸ θερμὸν κρατέεται, καὶ παραπληκτικὰ, ἢ μανικὰ, ἢ στερήσιες ὀφθαλμῶν.

HIPPOCRATIS TEXTUS LIX.

SEnioribus vero, & calor evincitur, paraplegiæ, aut maniæ, aut oculorum cæcitates.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ο Λόγος ἦν αὐτῷ περὶ τῶν βαρυνομένων τε ἅμα τὴν κεφαλὴν, καὶ καρδιωσσόντων, καὶ ἀσωμένων, οὓς ἐπανεμεῖν ἔφη χολώδη καὶ φλεγματώδη, καὶ μάλιστα εἰ παιδία εἶεν, ἐν οἷς καὶ σπασμοὺς γίνεσθαι μᾶλλον, ἢ τοῖς τελείοις. ἀλλὰ καὶ γυναιξὶν ἔφη, καὶ ταῦτα, καὶ ἀπὸ ὑστερέων πόνους συμβαίνειν, ἐφεξῆς οὖν φησὶ τοῖς πρεσβυτέροις, παραπληξίας τε γίνεσθαι καὶ μανίας καὶ στερήσεις ὀφθαλμῶν, προσέθηκε δὲ τῷ λόγῳ, τὸ οἷσιν ἤδη τὸ θερμὸν κρατέεται, τὴν αἰτίαν ἐνδεικνύμενος δι' ἣν ταῦτα γίνεται. παραπληγίας μὲν καλεῖ τὰς ἐξ ἀποπληξίας εἴς τι μόριον κατασκηψάσας παραλύσεις, μανίας δὲ, τὰς ἄνευ πυρετοῦ παραφροσύνας. εἴωθε δὲ ταῦτα γίνεσθαι τοῖς πρεσβυτέροις διὰ τὴν ἀσθένειαν τῆς φύσεως, ἀδυνατούσης ἐκκρῖναι δι' ἐμέτων, ἢ αἱμορραγίας τὸ περὶ τὴν κεφαλὴν ἠθροισμένον πλῆθος, ἐφ' ᾧ καὶ στερήσεις ὀφθαλμῶν ἐνίοτε γίγνονται κατασκήπτοντος τούτοις.

D

GALENI COMMENTARIUS.

DE capitis gravitate, simulque cardiogmo, & fastidio laborantibus ipsi erat oratio, quos ait posteà biliosa, & pituitosa vomere, ac maximè, si pueri sint, quibus & convulsiones magis quàm adultis oboriri pronunciat, atque hæc mulieribus, & ab utero dolores accidere. At deinceps narrat paraplexias, manias & cæcitates senioribus evenire. Addidit autem orationi, *& quibus jam calor evincitur*, causam quâ hæc oboriebantur reddens, Paraplexias quidem vocat paralyses ex apoplexia in partem aliquam decumbente, manias verò citra febrem deliria. E At hæc fieri consueverunt senioribus ob naturæ imbecillitatem collectam in capite plenitudinem per vomitus, aut sanguinis eruptiones nequeuntis excernere; unde etiam nonnunquam oculorum cæcitates ea in ipsos decumbente procedunt.





ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

ΚΑΤΑΣΤΑΣΙΣ ΤΡΙΤΗ.

SECTIO TERTIA.

F

STATUS TERTIUS.

Η τρίτη κατάστασις καταγράφεται ψυχρὰ, καὶ ξηρὰ σχεδὸν ἀνώμαλος, ὅθεν φθινοπωρινὰ νοσήματα ἐπιδήμησεν ὡς αἱ παραπληγίαι, δι' ὧν διατεθειμένοι πολλοὶ καταψυγμένης ἰκμάδος τῆς κεφαλῆς ἔθνησκον.

Status tertius describitur frigidus, siccus, ac ferè inæqualis, unde autumnales morbi grassati sunt, ut paraplegiæ quibus affecti plerique refrigerato admodum capite, interierunt.

A

HIPPOCRATIS TEXTUS LX.

IN Thaso paulo ante Arcturum & sub Arcturo aquæ copiosæ & magnæ per aquilonios. Circa æquinoctium autem & ad Vergilias usque, austrinæ pluviæ, parvæ, & paucæ; hyems aquilonia; squalores, frigora, venti, magnæ nives. At circa æquinoctium tempestates maximæ, ver aquilonium, squallores, pluviæ modicæ, frigora. Ad solstitium æstivum imbres pauci, magna adusque canem frigora. A cane verò ad Arcturum usque æstas calida, æstus magni qui non paulatim increscebant, sed tum continui, tum vehementes, non pluebat, spirarunt Etesiæ. Circa Arcturum pluviæ austrinæ ad æquinoctium usque vernum. Hoc in statu hyeme quidem paraplegiæ cœperunt, multosque invaserunt, eorumque nonnulli derepente interierunt (hic enim morbus universim grassabatur,) cæterùm morbo vacui degebant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ ξ'.

ΕΝ Θάσῳ περὶ ἀρκτοῦρον ὀλίγον, καὶ ἐπ' ἀρκτούρῳ, ὕδατα πολλὰ ἐν βορείοισι μεγάλα. περὶ δὲ ἰσημερίην, καὶ μέχρι πληϊάδος, νότια ὕδατα σμικρὰ ὀλίγα, χειμὼν βόρειος, αὐχμοὶ, ψύχεα πνεύματα, μεγάλαι χιόνες. περὶ δὲ ἰσημερίην, χειμῶνες μέγιστοι, ἔαρ βόρειον, αὐχμοὶ, ὕσματα ὀλίγα, ψύχεα. περὶ δὲ ἡλίου τροπὰς θερινὰς, ὕδατα ὀλίγα, μεγάλα ψύχεα, μέχρι κυνός. μετὰ δὲ κύνα μέχρις ἀρκτούρου, θέρος θερμὸν, καύματα μεγάλα, καὶ οὐκ ἐκ τοῦ προσαγωγῆς, ἀλλὰ συνεχέα, καὶ βίαια. ὕδωρ οὐκ ἐγένετο, ἐτησίαι ἐπέπνευσαν. B περὶ δὲ ἀρκτοῦρον ὕσματα νότια μέχρι ἰσημερίης ἦρος. ἐν δὲ τῇ καταστάσει ταύτῃ κατὰ χειμῶνα μὲν ἤρξαντο παραπληγίαι, καὶ πολλοῖσιν ἐγίνοντο, καί τινες αὐτῶν ἔθνησκον διὰ ταχέων, καὶ γὰρ ἄλλως τὸ νόσημα ἐπιδήμιον ἦν. τὰ δ' ἄλλα διετέλεον ἄνοσοι.

GALENI COMMENTARIUS.

QUem statum explicat, is frigidus & siccus est, aliquid inæquale præ se ferens. Quum itaque his in omnibus autumno esset similis, tales etiam morbos habuit quales autumno maximè redundare consueverunt. Quòd itaque etiam esset inæqualis, ex his manifestum est. Nam circa Arcturi ingressum pluvias magnas C cum aquiloniis ventis fuisse pronuntiat; deinde & autumnum totum huic statui contrarium sequutum; pro aquilonio quidem austrinum, contigisse, & pro pluvioso paucas aquas habuisse. Rursus & hyemem tum aquiloniam, tum siccam extitisse; deinde & ver totum ad canis ortum usque. Quare constat hoc in statu tum frigidum tum siccum satis superasse. At demonstratum est etiam primordia ipsius inæqualia ad hyemem usque fuisse; deinde rursum post canem ex aquiloniis & frigidis ait derepentè magnos & aquilonios æstus, & ab his etiamnum aquas austrinas evenisse. Liquet igitur totius status finem à cane admodum inæqualem fuisse. D Itaque morbos omnes dilucidè explicat ordine quo consequuti sunt, nulla quæ obscura sit, nisi raro posita dictione. Cæterum quum incidentium morborum causas explanare instituimus; illæ ejus orationibus, orationesque ipsæ per summa capita dividendæ sunt, quæ assequentur qui prius tum quæ in primo commentario, tum quæ in hocce prædicta sunt, memoria tenent. Paraplegias itaque hyeme fuisse ait, percusso nimirum à frigidis ventis quum exspiraverunt, capite, ac maximè quod autumnus totus austrinus factus ipsum tum calefecisset, tum irrigasset, tum simul replevisset. E Caput enim ita calefactum plurimum ex ventis frigidis & aquiloniis patitur; non tamen alius morbus hyemem infestavit, quod sicca esset. Dictum est autem & in aphorismis siccitates imbribus esse salubriores. Verùm ex paraplegiis moriebantur, pronuntiante ipso Hippocrate. Etenim & hic morbus universim epidemius erat, inauditorum, insuetorumque more propter paraplegiam quæ præter consuetudinem accidit. Nam quæ consueta est, decumbit quidem in partis paralysin, non tamen tollit hominem. At quæ hoc in statu paraplegia

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΨΥχρὰ καὶ ξηρὰ κατάστασίς ἐστιν ἣν διηγεῖται, καί τι καὶ ἀνώμαλον ἔχουσα. κατὰ πολύ τ' οὖν ταῦτα φθινοπώρῳ παραπλησία οὖσα, καὶ τὰ νοσήματα τοιαῦτα ἔσχεν, οἷα μάλιστα πλεονάζειν εἴωθε φθινοπώρῳ. ὅτι μὲν οὖν ἀνώμαλος ἐγένετο, δῆλον ἐκ τῶνδε. περὶ γὰρ ἀρκτούρου εἰσβολὴν, μετὰ βορείων πνευμάτων, ὑετοὺς μεγάλους γενέσθαι φησίν. ἀκολουθῆσαι δὲ τὸ φθινόπωρον ὅλον ἐναντίον τῇδε τῇ καταστάσει, ἀντὶ μὲν βορείου, νότιον γενόμενον ἀντὶ δὲ ἐπομβρίου, βραχέα ἔχον ὕδατα. πάλιν δὲ τὸν χειμῶνα βόρειόν τε καὶ ξηρὸν εἶναι, εἶτα καὶ τὸ ἔαρ ὅλον ἄχρι κυνὸς ἐπιτολῆς, ὥστε πρόδηλον μέν ἐστιν ἱκανῶς ἐπικρατῆσαι ἐν τῇ καταστάσει τὸ ξηρὸν καὶ τὸ ψυχρόν. ἐδείχθη δὲ καὶ ἀνώμαλα τὰ πρῶτα αὐτῆς μέχρι χειμῶνος, εἶτα μετὰ κύνα πάλιν ἐκ τῶν βορείων καὶ ψυχρῶν ἐξαίφνης γενέσθαι φησὶ καύματα μεγάλα καὶ βόρεια, καὶ μετὰ ταῦτα πάλιν ὕδατα νότια. δῆλον οὖν, ὅτι καὶ τὸ τέλος τῆς ὅλης καταστάσεως τὸ μετὰ κύνα, σφοδρῶς ἀνώμαλον ἐγένετο. ἐξηγεῖται τοιγαροῦν ἐφεξῆς τὰ γενόμενα νοσήματα σαφῶς ἅπαντα μηδεμιᾶς λέξεως ἀσαφοῦς περιεχομένης, ὅτι μὴ σπανίως, ἀλλ' ἐπεὶ καὶ τὰς αἰτίας τῶν γενομένων νοσημάτων προεθέμεθα λέγειν, ἐκείνας δεήσει προστιθέναι ταῖς ῥήσεσιν αὐτοῦ, τὰς λέξεις δὲ αὐτὰς διὰ κεφαλαίων συντέμνειν, ἃς ἀκολουθήσουσιν οἱ προμεμνημένοι, τῶνδε κατὰ τὸ πρῶτον βιβλίον εἰρημένων, καὶ τῶν ἔμπροσθεν ἐν τούτῳ. παραπληγίας μὲν οὖν ἐν τῷ χειμῶνι γενέσθαι τῆς κεφαλῆς δηλονότι πληγείσης ὑπὸ τῶν ἐν αὐτῷ γενομένων ψυχρῶν πνευμάτων, καὶ μάλιστα ὅτι τὸ φθινόπωρον ὅλον νότιον γενόμενον, ἐθέρμηνέ τε, καὶ ἠραίωσεν αὐτὴν ἅμα τῷ πληρῶσαι. ἡ γὰρ οὕτως προδιακειμένη, πλεῖστα πάσχει κατὰ τὰ ψυχρὰ βόρεια πνεύματα. οὐ μὴν ἄλλο γέ τι νόσημα τὸν χειμῶνα παρελύπει, διότι ξηρὸς ἦν. εἴρηται δὲ καὶ κατὰ τοὺς ἀφορισμοὺς, τοὺς αὐχμοὺς τῶν ἐπομβρίων ὑγιεινοτέρους εἶναι, κατὰ μέντοι τὰς παραπληγίας ἀπέθνησκον, αὐτοῦ τοῦ Ἱπποκράτους εἰπόντος, καὶ γὰρ ἄλλως τὸ νόσημα ἐπιδήμιον ἦν ἐν ἴσῳ τῷ ξενίζοντι, διὰ τὴν παρὰ τὸ συνήθες γενομένην παραπληγίαν. ἡ γάρ τοι συνήθως γινομένη, κατασκήπτει μὲν εἰς μέρους παράλυσιν, οὐ μὴν ἀναιρεῖ γε τὸν ἄνθρωπον. ἀλλ' ἡ κατὰ τὴν προκειμένην κατάστασιν ἐπιδημήσασα

παραπληγία, θανατώδης ἦν, ἅτε κατεψυγμένης ἱκανῶς τῆς κεφαλῆς. A

grassata est, lethalis erat, refrigerato scilicet admodum capite.

Ὡς χρόνῳ τῆς καταστάσεως γεγραμμένης οἱ καῦσοι μέτριοι καὶ οὐ θανατώδεις ἐπιδημέωσι δηλοῖ.

Quod descripti status tempore febres ardentes moderatæ nec lethales grassatæ sint, declarat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξα'.

Πρωῒ δὲ τοῦ ἦρος ἤρξαντο καῦσοι, καὶ διετέλεον ἀπὸ ἰσημερίης, ἄχρι πρὸς τὸ θέρος. ὅσοι μὲν οὖν ἦρος καὶ θέρεος ἀρχομένου, αὐτίκα νοσεῖν ἤρξαντο, οἱ πλεῖστοι διεσώζοντο, ὀλίγοι δέ τινες ἔθνησκον. B

HIPPOCRATIS TEXTUS LXI.

Febres autem ardentes ante ver cœperunt, & ab æquinoctio ad æstatem usque perdurabant. Quicunque autem vere & æstate ineunte, statim ægrotare cœperunt, eorum plurimi sospites evaserunt, pauci verò nonnulli interierunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δῆλόν ἐστιν ὡς οὐκ αὐτῶν ἕκαστον τῶν ἀρξαμένων καύσων περὶ τοῦ ἦρος ἄχρι θέρους ἐκτεταθῆναί φησιν, ἀλλὰ τὴν ἐπιδημίαν αὐτῶν τῆς γενέσεως ἐν ἅπαντι χρόνῳ συμβαίνειν, ποτὲ μὲν ἄλλῳ δηλονότι χρόνῳ, ποτὲ δ' ἄλλῳ τῶν Θασίων ἁλισκομένων τῷ τοιούτῳ πυρετῷ. γέγραπται δ' C οὐχ ὡσαύτως ἐν ἅπασι τοῖς ἀντιγράφοις ἡ ῥῆσις, ἀλλ' ἔγωγε τὴν ἀρίστην γραφὴν εἱλόμην κατὰ μὲν τὴν ἑξῆς ῥῆσιν, ὅτι καὶ διὰ τοῦ θέρους ὅλου παρέμενεν, ἡ γένεσις τῶν καύσων δηλῶσαι, καὶ ὡς ἐν ἅπαντι μὲν καιρῷ τούτῳ μέτριοι καὶ οὐ θανατώδεις ἦσαν, ἐν ἀρχῇ δὲ τοῦ φθινοπώρου, πολλοὶ τῶν ἁλισκομένων αὐτοῖς ἀπώλοντο. τὸ μὲν οὖν ἄχρι πολλοῦ τοὺς καύσους ἐπιεικεῖς γενέσθαι, λόγον ἔχειν εἰκότως φαίνεται· μέτριοι γὰρ ἐγίνοντο, καθάπερ οἱ ἐν τῇ πρὸ ταύτης καταστάσει, καὶ οὐκ ἀκριβεῖς, ὡς ἂν οὐδ' ὑπὸ θερμῆς ἀκριβῶς, καὶ ξηρᾶς καταστάσεως ἀποτελεσθέντες, οὔτε μὴν πάσαις ἐπι- D συμβαίνοντες κράσεσιν, ἀλλὰ καὶ ταῖς τὸ χολῶδες ἠθροικέναι φθανούσαις. τὸ δ' ὅλως γίνεσθαι καύσους τηνικαῦτα, τῆς αἰτίας εὕρεσιν οὐκ ἔχει σαφῆ, διὰ τὸ μηδ' ὅλως μνημονεῦσαι τὸν Ἱπποκράτην τοῦ προηγησαμένου θέρους, ἀλλ' ἀπὸ τῆς ἀρχῆς τοῦ φθινοπώρου τὴν ἀρχὴν τῆς ἐξηγήσεως ποιήσασθαι, καὶ πολὺ χαλεπωτέραν, ὅτι πιθανὸν ἦν τὸ θέρος ἐκεῖνο τὴν κατὰ φύσιν ἑαυτοῦ φυλάξαι κρᾶσιν, ἢ εἰ πάντως αὖ ἐξετράπετο κατά τι, διηγήσαιτ' ὁ Ἱπποκράτης αὐτοῦ τὴν κατάστασιν. ἴσως οὖν θερμότερον ἐγένετο καὶ οὐ πάνυ πολλῷ τοῦ κατὰ φύσιν ἐξηλλαγμένον, ὅθεν οὐδὲ ἠξίωσεν αὐτὸ γράφειν ὡς ἤδη πα- E ρὰ φύσιν ἔχον. ἀλλ' ὅμως ἐπειδὴ καὶ τὸ θέρος, εἰ κατὰ φύσιν ἔχον εἴη, τὸν πικρόχολον χυμὸν ἀνάγκη πλείονα γίνεσθαι, διὰ τοῦτο καὶ τότε πλείων ὢν οὕτως, οὐ μόνον τοῦ εἰωθότος, ἀλλ' ἔτι καὶ μᾶλλον ἐν ἐκείνῳ τῷ θέρει γιγνόμενος, ὑπὸ τοῦ μετὰ ταῦτα ἐπιγινομένου κρύους ἔνδον ἐφυλάχθη μὴ διαπνευσθεὶς, μηδὲ διαφορηθεὶς, ἐπὶ πλεῖον δ' ἐμφωλεύσας τῷ χρόνῳ, καὶ διασαπεὶς, τοὺς καύσους ἤνεγκεν.

GALENI COMMENTARIUS.

Constat Hippocratem non enuntiare ipsas febres ardentes quæ ante ver cœperunt, ad æstatem usque productas fuisse; sed ortus ipsarum grassaturam toto eo tempore contigisse, Thasiis nimirum hoc tempore, nunc illo ejusmodi febre correptis. At hæc oratio non eodem modo in omnibus exemplaribus scripta est. Ego verò existimaverim optimam scripturam secundùm sequentem orationem, quæ quòd tota æstate perduraret, febrium ardentium generatio significet; quodque toto eo tempore moderatæ & non lethales essent; in autumni verò principio plerique his correpti perierunt. Itaque quod diu moderatæ ac lenes essent, rationi consentaneum esse videtur; erant enim mediocres quemadmodum quæ hoc in prædicto statu, nec exquisitæ, ut quæ neque ab exquisitè tum calido, tum sicco statu procreatæ, neque etiam temperamentis omnibus obortæ sunt, sed his qui priùs bilem acervassent. Quòd autem tunc febres ardentes prorsus extarent causæ inventio facilis non est, quod Hippocrates præcedentem æstatem planè non memoraverit, sed explanationis exordium ab autumni principio fecerit, idque longè difficilius, quòd probabile sit æstatem illam suum naturale temperamentum servasse; quæ si prorsus in quodam descivisset, ipsius statum Hippocrates explicasset. Ergo calidior fortassis fuit, neque admodum à natura sua permutata, unde neque illam scribere voluerit, tanquam jam præter naturam haberet. Quia vero æstate etiamsi secundùm naturam extiterit, attamen humorem biliosum copiosiorem creari necesse est, propterea tunc etiam hic copiosior creatus, non tantùm solito, verumetiam longè auctior per illam æstatem evadit; à frigore postea succedente intus conservatus, neque perspiratus, neque discussus, sed diutius occultatus, & putrefactus febres ardentes attulit.

F Τοὺς καύσους τοῦ φθινοπώρου ὀμβρεινοῦ καὶ νοτίου θανατώδεις εἶναι. διὰ τί θανατώδεις.

Febres ardentes autumno pluvio & austrino lethales esse: & quare lethales.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξβ'.

Ἤδη δὲ τοῦ φθινοπώρου, καὶ τῶν ὑσμάτων γινομένων θανατώδεες ἦσαν, καὶ πλείους ἀπώλλοντο.

HIPPOCRATIS TEXTUS LXII.

Iam autumno & obortis imbribus lethales erant, pluresque peribant.

GALENI

A

GALENI COMMENTARIUS.

IN mentem revocemus quod in fine scripsit totius orationis, quam de hoc statu fecit; *Aquæ austrinæ ad æquinoctium vernum usque:* Dixit autem de tempore post canis ortum ad Arcturum, usque his verbis; *Æstas calida, æstus magni qui non paulatim increscebant, sed tum continui, tum vehementes, non pluebat.* Hinc liquet hujusmodi statum bilis procreatorem fuisse. Quare quum huic aquæ austrinæ succederent, jure febres ardentes tum copiosæ, tum lethales oboriebantur. Auster siquidem corpora dissolvere consuevit, humores fundere, & præterea simul putrefacere, ubi cum uberioribus pluviis extiterit.

ΥΠΜΟΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀναμνησθῶμεν ὡς κατὰ τὸ τέλος τῆς ὅλης διηγήσεως, ἣν ἐποιήσατο περὶ τῆς καταστάσεως, ἔγραψεν, ὕδατα νότια μέχρι ἰσημερίης ἦρος. εἰρήκει δὲ καὶ περὶ τῆς μετὰ κυνὸς ἐπιτολὴν χρόνου, μέχρις ἀρκτούρου κατὰ λέξιν οὕτως. θέρος θερμὸν, καύματα μεγάλα, καὶ οὐκ ἐκ προσαγωγῆς, ἀλλὰ συνεχέα καὶ βίαια, ὕδωρ οὐκ ἐγένετο. πρόδηλον οὖν ὅτι χολοποιὸς ἡ τοιαύτη κατάστασις ἐγένετο, ὥστ' εἰκότως B ὑδάτων νοτίων διαδεξαμένων αὐτὴν, οἱ καῦσοι πλείους τε καὶ θανατώδεις ἐγίγνοντο, τοῦ νότου πεφυκότος διαλύειν τε τὰ σώματα, καὶ χεῖν τοὺς χυμοὺς, καὶ μέντοι καὶ σήπειν ἅμα, ὅταν ἅμα πλείοσιν ὑετοῖς γίνηται.

Causo laborantes copiosis è naribus hæmorrhagiis salvos evadere, parcis sanguinis stillis emori.

Τῷ καύσῳ νοσέοντας τοὺς δαψιλὰς μὲν αἱμορραγίαις σώζεσθαι, τοὺς δὲ φειδωλὰς τοῦ αἵματος στάξεσιν ἀποθνήσκειν.

C

HIPPOCRATIS TEXTUS LXIII.

HÆ vero affectiones febribus ardentibus oboriebantur. Quibus quidem rectè ac large sanguis per nares erupit, ii propterea maxime servati sunt, nullumque novi, si decenter sanguis profluxisset, hoc in statu mortuum fuisse. In Philisco siquidem & Epaminonte, & Sileno quarto & quinto die paucum è naribus stillavit sanguinis, & obierunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξγʹ.

Ἦν δὲ τῶν καύσων τὰ παθήματα, οἷσι μὲν καλῶς καὶ δαψιλέως διὰ ῥινῶν ἡμορράγησεν, καὶ διὰ τούτου μάλιστα σώζεσθαι, καὶ οὐδένα οἶδα, εἰ καλῶς αἱμορραγήσειεν ἐν τῇ καταστάσει ταύτῃ ἀποθανόντα. ἐν Φιλίσκῳ γὰρ καὶ Ἐπαμίνοντι, καὶ Σιληνῷ τεταρταίῳ καὶ πεμπταίῳ, σμικρὸν ἀπὸ ῥινῶν ἔσταξε, καὶ ἀπέθανον.

GALENI COMMENTARIVS.

D

AC maxime quidem febrium ardentium proprium est, eas plerunque per sanguinis è naribus eruptiones judicari; atque tunc pluribus sanguinem erupisse pronuntiat. Præterea quę deinceps ab eo scripta sunt omnia, eorum quæ sigillatim unicuique ascribantur, unam hanc summam consequuntur. Quibus quidem sanguinis profluvia perfectè oborta sunt, eos salvos evasisse; quibus vero non plenè sanguinis è naribus stillatio fuit, eos solos periisse, aliis denique alias naturales excretiones aut per ventrem, aut per urinas factas salutem attulisse.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ἄλλως μὲν ἴδιόν ἐστι καύσων πυρετῶν, αἱμορραγίαις ταῖς ἐκ ῥινῶν ὡς τὰ πολλὰ κρίνεσθαι, καὶ τότε πλείους αἱμορραγῆσαί φησι. καὶ μέντοι καὶ τὰ ἐφεξῆς αὐτῷ γεγραμμένα πάντα, τῶν κατὰ μέρος γεγραμμένων ἑκάστοισιν, ἓν ἔχει τοῦτο κεφάλαιον. ὅστις μὲν αἱμορραγίαι τελέως ἐγίνοντο, σωθῆναι τούτους, οἷς δὲ ἐλλιπῶς ἢ οὐδ' ὅλως ἦν στάξις αἵματος ἐκ ῥινῶν, μόνους διαφθαρῆναι τούτους. ἐν ἄλλοις δέ τισι φυσικῶν ἄλλων ἐκκρίσεων, ἤτοι διὰ γαστρὸς, ἢ δι' οὔρων γινομένων, σωθῆναι.

E

Circa crisin bilis amaræ impetu rigorem, sudores, vomitiones & dejectiones excitari. Quid rigor.

Περὶ κρίσιν ἐκ τῆς πικροχόλου ὁρμῆς τὸ ῥῖγος, καὶ τοὺς ἱδρῶτας, καὶ τοὺς ἐμέτους, καὶ διαχωρήσεις γίνεσθαι.

HIPPOCRATIS TEXTVS LXIV.

AT ægrotantium plerique circa crisin rigebant, ac maxime quibus sanguis non erumpebat, iidem tamen superriguerunt, & exudarunt.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξδʹ.

Οἱ μὲν οὖν πλεῖστοι τῶν νοσούντων περὶ κρίσιν ἐρρίγωσαν, καὶ μάλιστα οἷσι μὴ αἱμορραγίαι, ἐπερρίγωσαν δὲ οἱ αὐτοὶ καὶ ἐξίδρωσαν.

GALENI COMMENTARIVS.

IN libris de rigore demonstratum est ob amarã quæ cum impetu cietur, bilem quæ per sensibilia & carnosa corpora ad excretionem fertur, rigorem consequi. Declaratum est etiam huic motui ratione sudores comitari, interdum vero & biliosas vomitiones, & alvi dejectiones.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τοῖς περὶ ῥίγους λόγοις ἐδείχθη διὰ τὴν πικρόχολον, ὁρμὴν ἔχοντα φέρεσθαι διὰ τῶν αἰσθητικῶν καὶ σαρκωδῶν σωμάτων ἐπὶ τὴν ἔκκρισιν, ἕπεσθαι τὸ ῥῖγος. ἐδείχθη δὲ ὅτι καὶ τῇ κινήσει ταύτῃ κατὰ λόγον ἐστὶν ἀκολουθεῖν ἱδρῶτας, ἐνίοτε δὲ καὶ χολώδεις ἐμέτους, καὶ διαχωρήσεις.

A

Τὸν ἴκτερον τῆς αἱμορραγίας καὶ τῆς διαχωρήσεως, καὶ τῆς περιρροίας ἕνεκα ὠφελίμως κρίνεσθαι.

Icterum hæmorrhagiâ, dejectionibus, & perirhæa utiliter judicari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξε.

Ἔστι δ' οἷσιν ἴκτεροι ἑκταίοισιν, ἀλλὰ τούτοισιν, ἢ κατὰ κύστιν κάθαρσις, ἢ κοιλίη ἐκταραχθεῖσα ὠφέλησεν, ἢ δαψιλὴς αἱμορραγίη, οἷον Ἡρακλείδης, ὃς κατέκειτο παρὰ Ἀριστοκλείδῃ, καίτοι τούτῳ καὶ ἐκ ῥινῶν ἡμορράγησε, καὶ ἡ κοιλία ἐπεταράχθη, καὶ τὰ κατὰ κύστιν ἐκαθήρατο. ἐκρίθη δὲ εἰκοσταῖος, οὐχ οἷον ὁ Φαναγόρεω οἰκέτης, ᾧ οὐδὲν τούτῳ ἐγένετο, ἀπέθανεν.

HIPPOCRATIS TEXTUS LXV.

Quibusdam sexto die regius morbus accidit, verùm his per vesicam purgatio, aut alvus perturbata profuit, aut larga è naribus sanguinis eruptio, ut Heraclidæ apud Aristoclidem decumbenti contigit. At huic & ex naribus profluxit B *sanguis, & alvus perturbata fuit, & per vesicam purgatus est. Vigesimo autem die dijudicatus est, non ut Phanagoreon servus qui quum ipsi nihil horum obtigisset, periit.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἷς οὐκ ἠδυνήθη τὴν χολὴν ἡ φύσις ἐκκρῖναι, τούτοις ἀθροισθεῖσα κατὰ τὸ δέρμα, τοὺς ἰκτέρους εἰργάσατο. μοχθηρὸν δὲ τὸ πρὸ τῆς ἑβδόμης αὐτοὺς γενέσθαι, καθότι κἀν τοῖς ἀφορισμοῖς εἴρηται. καὶ τούτων δ' αὐτῶν, ἐκεῖνοι μόνοι ἐσώθησαν, οἷς αὖ ἡ φύσις ἠδυνήθη δι' ἑτέρου τρόπου τὴν περιουσίαν ἐκκρῖναι. τριῶν δὲ τούτων ἐμνημόνευσεν, ἐκκρίσεων οὔρων, γαστρὸς ἐκταράξεως, καὶ αἱμορραγίας. ἐνίοις δὲ καὶ ταῦτα πάντα γίνεσθαί φησιν, ὥσπερ τῷ Ἡρακλείδῃ, καὶ κριθῆναι τοῦτον εἰκοσταῖον.

GALENI COMMENTARIUS.

Quibus non potuit natura bilem excernere, his ea in cute acervata icteros excitavit. Perniciosum autem id erat ante septimum diem ipsos oboriri, prout etiam in aphorismis enunciatum est. Atque ex his ipsis illi soli salvi eva- C serunt, quibus natura potuit alio modo humorum redundantiam excernere. Hos autem tres modos commemoravit, urinarum excretiones, ventris exturbationes, & sanguinis eruptiones. Nonnullis autem & hæc omnia euenisse pronuntiat, quemadmodum Heraclidæ qui vigesimo die judicatus est.

Τοὺς τῷ καύσῳ νοσέοντας ταῖς αἱμορραγίαις λύεσθαι. τὰ μειράκια, καὶ τοὺς ἀκμάζοντας ταῖς αἱμορραγίαις οἷον τοὺς πρεσβυτέρους τῷ ἰκτέρῳ, καὶ ταῖς τῆς κοιλίας ταραχαῖς, καὶ ταῖς δυσεντερίαις καταλαμβάνεσθαι τὰς αἱμορραγίας εἰς τὰς δυσεντερίας μεταβάλλεσθαι.

Causo laborantes Hæmorrhagiis solvi; adolescentes, & ætate florentes hæmorrhagiis, ut senes ictero, alvi turbationibus, & dysente- D riis corrumpi. Hæmorrhagias in dysenterias mutari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξϛ'.

Αἱμορραγίαι δὲ τοῖσι πλείστοισι, μάλιστα δὲ τοῖσι μειρακίοισι, καὶ ἀκμάζουσι, καὶ ἔθνησκον πλεῖστοι τούτων οἷσι μὴ αἱμορραγῇ. Πρεσβυτέροισι δὲ ἐς ἰκτέρους, ἢ κοιλίαι, ταραχώδεες, ἢ δυσεντεριώδεες, οἷον Βίωνι τῷ παρὰ Σιληνῷ κατακειμένῳ. Ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι κατὰ θέρος, καί τισι διανοσησάντων, οἷσι καὶ αἱμορραγίαι ἐγένοντο, ἐς δυσεντεριώδεα ἐτελεύτησαν, οἷον τῷ Ἐράτωνος τῷ παιδὶ, καὶ Μύλῳ, πολλῆς αἱμορραγίης γενομένης ἐς δυσεντεριώδεα κατάστασιν περιεγένοντο.

HIPPOCRATIS TEXTUS LXVII.

Hæmorrhagiæ plerisque obortæ sunt, maxime vero adolescentibus & ætate vigentibus, eorumque plurimi interierunt quibus sanguis non erupit; senioribus vero ad icteros res ægrotantium ferebantur, aut alvi turbatæ, aut dysenteriæ succedebant, ut Bioni apud Silenum decumbenti E *contigit. Dysenteriæ quoque per æstatem in vulgus grassatæ sunt; quibusdam etiam ægrotantibus, quibus hæmorrhagiæ oboriebantur, in dysenteriam ipsarum factus transitus, ut Eratonis puero & Mylo qui copiosa sanguinis eruptione oborta, in dysentericam affectionem delapsi sospites evaserunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μειρακίοισι μὲν ὅτι κατὰ λόγον ἡμορράγει, πρόδηλον, ἐφεξῆς δ' αὐτῶν καὶ τοῖς ἀκμάζουσι· τοῖς δὲ τούτων πρεσβυτέροις, ἀσθενεστέρας τε τῆς δυνάμεως οὔσης, καὶ τῆς ἐμφύτου θερμασίας ἐλάττονος, εἰς ἰκτέρους μᾶλλον ἡ ἀπόθεσις ἐγένετο τῆς πλεοναζούσης χολῆς. ἐγένετο δ' ἐνίοις καὶ διὰ γαστρὸς ἔκκρισις ταραχώδης, ἢ δυσεντεριώδης, οἷς ἐντεῦθεν ἔρρευσε τὸ περιττὸν τῆς κοιλίας. ἐκ τούτων οὖν τῶν προειρημένων, καὶ μέντοι καὶ τῶν ἐξῆς εἰρησομένων, οὐκ ἄδηλον ἔσται σοι, τὰς ἐν τοῖς καύσοις αἱμορραγίας γίνεσθαι, διὰ τὴν ἐπικρατοῦσαν ξανθὴν χολὴν, ἥτις μεμιγμένη τῷ αἵματι, διακαίουσά τε τοῦτο, καὶ σὺν

GALENI COMMENTARIUS.

Adolescentibus ex ratione sanguinem è naribus erumpere, post hos vero ætate florentibus liquidò constat. His vero senioribus F tum præ imbecillioribus viribus, tum imminuto nativo calore, in regium morbum redundantis bilis magis fit decubitus. Fiebat autem & nonnullis per ventrem excretio turbulenta, aut dysenterica, quibus alvi excrementum defluxit. Ex his itaque tum prædictis, tum postea dicendis, tibi obscurum non fuerit sanguinis eruptiones in ardentibus febribus fieri ob vincentem flavam bilem, quæ & sanguini commixta, & ipsum deurens, & cum ipso ex

multo calore sursum ad caput evecta, quum venas in naribus ruperit, sanguinis parit eruptiones.

A αὐτοῦ πολλὴν θερμασίην ἀναφέρουσα πρὸς τὴν κεφαλὴν, ὅταν ῥήξῃ τὰς ἐν τῇ ῥινὶ φλέβας, αἱμορραγίας ἐργάζεται.

Causo laborantibus nonnullis circa aures epanastemata, quibusdam ad ile sinistrum & summum ischium gravitatem, dolores, & tenues urinas supervenisse. Antiphontem quadragesimo die per hæmorrhagiam judicatum fuisse.

Τοῖς τῷ καύσῳ ἁλισκομένοις τισὶ μὲν τὰ περὶ τὰ ὦτα ἐπαναστήματα, τισὶ δὲ περὶ τὸν κενεῶνα τὸν ἀριστερὸν καὶ εἰς ἄκρον ἰσχίον τὸ βάρος, καὶ τὰ ἀλγήματα, καὶ τὰ οὖρα λεπτὰ ἐπιγίνεσθαι, τὸν Ἀντιφῶντα περὶ τεσσαρακοστὴν τελέως κεκρίσθαι.

B

HIPPOCRATIS TEXTUS LXVII.

Itaque copiosus ac maximè hic humor redundavit. Etenim quibusdam impendente crisi, sanguis è naribus non profluxit, sed orta ad aures tubercula disparuerunt. His autem evanescentibus ad ilium sinistrum, summamque coxendicem gravitas decubuit. Obortis præterea post crisim doloribus, urinisque tenuibus prodeuntibus, paucum sanguinis profundere cœperunt. Verùm circa quartum & vigesimum diem Antiphonti Critobuli filio ad sanguinis eruptionem abscessus facti sunt, quod cessavit, & circa quadragesimum diem perfectè judicatus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξζ'.

Πολὺς μὲν οὖν καὶ μάλιστα ὁ χυμὸς οὗτος ἐπεπόλασεν. ἐπεὶ καὶ οἷσι περὶ κρίσιν οὐχ ἡμορράγησεν, ἀλλὰ παρὰ τὰ ὦτα ἐπαναστάντα ἠφανίσθη. τούτων δὲ ἀφανισθέντων παρὰ τὸν κενεῶνα βάρος τὸν ἀριστερὸν, καὶ εἰς ἄκρον ἰσχίον. ἀλγημάτων δὲ μετὰ κρίσιν γινομένων, καὶ οὔρων λεπτῶν διεξιόντων, αἱμορραγέειν σμικρὰ ἤρξαντο. περὶ δὲ τετάρτην καὶ εἰκοστὴν, ἐγίνοντο εἰς αἱμορραγίην ἀποστάσιες Ἀντιφῶντι τῷ Κριτοβούλου, ἀπεπαύσατο καὶ ἐκρίθη

C τελέως περὶ τεσσαρακοστήν.

GALENI COMMENTARIVS.

Propter periculum scilicet, & quoscunque devinciebat labor, eos vix servari contigit, vigesimo quarto & quadragesimo die auxilium à sanguinis eruptionibus consequutos.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ κίνδυνον δηλονότι, καὶ δεῖ ἀγὼν ὅσους μικροῦ τοῦ φθεῖναι τούτους ὑπῆρξε, μόνις ἀπὸ τῆς τετάρτης καὶ εἰκοστῆς, καὶ τῆς τεσσαρακοστῆς δι' αἱμορραγίας ὠφεληθεῖσι.

Mulieres pauciores quàm viros ægrotasse, tum ob hæmorrhagias obortas, tum ob ingenitam auxilium menstruorum vacuationem. Gravidas vero partus perdidisse ob statum frigidum partui inimicum.

Τὰς γυναῖκας ἐλάσσους ἢ ἄνδρας νοσῆσαι, ὅτι σύμφυτον

D βοήθημα τὴν ἐμμήνων κένωσιν ἔχουσι. τὰς δὲ κυούσας τὰ ἔμβρυα διαφθαρῆναι διὰ τὴν κατάστασιν ψυχρὰν, τῷ τόκῳ πολέμιον εἶναι.

HIPPOCRATIS TEXTUS LXVIII.

At multæ quidem mulieres ægrotarunt, sed pauciores quàm viri; pauciores etiam morti occubuerunt. Arduum verò partum plurimæ sortiebantur, & à partu insuper ægrotabant, ipsæque potissimum moriebantur, veluti Thebuli filia quæ sexto à partu die mortua est. In febribus itaque plurimis menses apparebant; quibusdam vero è naribus sanguis profluxit, tuncque multis virginibus id contingebat nonnullis etiam è naribus sanguis & menstrua prorumpebant, ut in Dætharsis filia virgine tum primum patuit; largeque è naribus sanguis profluxit, nullamqne ex iis mortuam novi, quibus horum quicquam probe successisset. Quibus vero prægnantibus ægrotare contigit, quas novi, omnes fœtus perdiderunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξη'.

Γυναῖκες δὲ ἐνόσησαν μὲν πολλαὶ, ἐλάσσους δὲ ἢ ἄνδρες, καὶ ἔθνησκον ἧσσον. ἐδυστόκεον δὲ πλεῖσται, καὶ μετὰ τοὺς τόκους ἐπενόσεον, καὶ ἔθνησκον αὗται μάλιστα, οἷον Τελεσβούλου θυγάτηρ ἀπέθανεν ἑκταίη ἐκ τόκου. τῇσι μὲν

E οὖν πλείστῃσιν ἐν τοῖσι πυρετοῖσι γυναικεῖα ἐπεφαίνετο. ἔστι δ' οἷσιν ἐκ ῥινῶν ἡμορράγησεν, καὶ παρθένοισι πολλῇσι τότε πρῶτον ἐγένετο. ἔστι δ' οἷσιν καὶ ἐκ ῥινῶν, καὶ τὰ γυναικεῖα τισὶν ἐπεφαίνετο, οἷον τῇ Δαιθαρσέως θυγατρὶ παρθένῳ τότε ἐπεφαίνετο πρῶτον, καὶ ἐκ ῥινῶν λάβρον ἐῤῥύη, καὶ οὐδεμίην οἶδα ἀποθανοῦσαν, ᾗσι τούτων τι καλῶς γένοιτο, ᾗσι δὲ συνεκύρησεν ἐν γαστρὶ ἐχούσῃσι νοσῆσαι, πᾶσαι ἀπέφθειραν, ἃς καὶ ἐγὼ οἶδα.

F

GALENI COMMENTARIUS.

Mulieres merito minus quàm viros ægrotasse, minusque pericula subiisse contigit; ut quæ super sanguinis eruptiones crises efficeret, & congenitum auxilium menstruam vacuationem haberent. Difficilem vero partum habuerunt quod frigidus esset status. Imo in quibus morbus aliquis apparuit, hæ oboriebantur, eademque ratione fœtus corrumpebant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰκότως οὖν τὰς γυναῖκας ἧσσον τῶν ἀνδρῶν νοσῆσαι καὶ διακινδυνεῦσαι, ὡς δι' αἱμορραγίας τὰς κρίσεις ἐργασαμένας, ὡς ἂν ἐχούσαις σύμφυτον βοήθημα τὴν ἐμμήνων κένωσιν. ἐδυστόκησαν δὲ διὰ τὴν κατάστασιν ψυχρὰν οὖσαν, ἀλλὰ καὶ ἐν αἷς ἐφάνη τι νόσημα, καὶ αὗται διέφθειραν τὰ ἔμβρυα κατὰ τὸν αὐτὸν λόγον.

Τὰ οὖρα καὶ διαχωρήματα εὔχροα καὶ λεπτὰ γίνεσθαι, καὶ τὰ διαχωρήματα ἐς δυσεντερίας τῇ κρίσει τελευτῆσαι.

Urinas & dejectiones bene coloratas, sed tenues contigisse, & dejectiones in dysenterias crisi finisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξθ'.

Οὖρα δὲ τοῖς πλείστοισιν εὔχροα μὲν λεπτὰ δὲ καὶ ὑποστάσιας ὀλίγας ἔχοντα, διαχωρήμασι λεπτοῖσι, καὶ χολώδεσιν, πολλοῖσι δὲ τῶν ἄλλων κεκριμένων ἐς δυσεντερίας ἐτελεύτα, οἷον Ξενοφάνει καὶ Κριτίᾳ.

HIPPOCRATIS TEXTUS LXIX.

Urinæ autem plurimis bene coloratæ, pauca sedimenta consequutæ, cum dejectionibus tenuibus & biliosis: Plerisque verò, cæteris judicatis in dysenterias desierunt, ut Xenophani & Critiæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ταῦτα μὲν εἶναι λεπτὰ οὖρα τουτέστιν, ὑδατώδη φησί, καὶ μέντοι καὶ μετ' ὀλίγα πάλιν ἔγραψεν.

GALENI COMMENTARIUS.

Has quoque tenues, hoc est, aquosas urinas esse pronunciat; Propterea & paulo post rursum scripsit.

Μνημονεύονταί τινες νόσιμοι, οἷς μετὰ κρίσιν ἡ δυσεντερία ἐπεγένετο.

Memorantur quidam ægri, quibus post crisin dysenteria successit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ο'.

Οὖρα δ' ὑδατώδεα πολλὰ, καθαρὰ, λεπτὰ μετὰ κρίσιν καὶ ὑποστάσιος πολλῆς γινομένης, καὶ τῶν ἄλλων καλῶς κεκριμένων. ἀναμνήσομαι οἷσιν ἐγένετο, Βίωνι ὃς κατέκειτο παρὰ Σιληνὸν, Κριτίῃ τῷ παρὰ Ξενοφάνους, Αρέτωνος παιδὶ, Μνησιστράτου γυναικί.

HIPPOCRATIS TEXTUS LXX.

At urinæ aquosæ, copiosæ, sinceræ, ac tenues post crisim, multoque sedimento facto, aliisque probè judicatis. Quibus hæc contingebant, eos memorabo, Bionem qui apud Silenum decumbebat, Critiam qui apud Xenophanem Aretonis filium; & Mnesistrati uxorem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διελθὼν τὰ ὀνόματα τῶν οὐρησάντων τοιαῦτα ἐφεξῆς φησί.

GALENI COMMENTARIUS.

Qvum qui lales urinas excreverunt, eorum nomina recensuit, sequentia profert.

Ἆρά γε οὖρα ὑδατώδεα τὰς δυσεντερίας προσημαίνει, ἃς τὰ τῆς χολῆς ὑπόλοιπα ἐργάζεται.

Vtrum aquosæ urinæ dysenterias prænuntiant, quas bilis reliquiæ efficiunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οα'.

Μετὰ δὲ ταῦτα, δυσεντεριώδεες ἐγένοντο οὗτοι πάντες, ἢ ἄρά γε οὖρα ὅτι οὔρησαν ὑδατώδεα σκεπτέον.

HIPPOCRATIS TEXTUS LXXI.

Postea verò hi omnes dysenterici evaserunt; an quod urinas aquosas minxerint, considerandum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰκὸς γὰρ ἦν, καὶ διότι τοῖς οὔροις οὐκ ἐξεκαθάρθη τὸ χολῶδες, ἐπὶ γαστέρα ῥυὲν, τὰς δυσεντερίας ἐργάσασθαι. εἰκὸς δὲ καὶ διὰ πολλὰς πλεονεξίας τοῦ χυμοῦ τούτου γεγονέναι, καὶ εἰ μὴ χολώδη τοῖς οὔροις ἐξεκενώθησαν, ἐκ τοῦ περιττεύοντος ἔτι κατὰ τὸ σῶμα, τὴν δυσεντερίαν αὐτοῖς γενέσθαι.

GALENI COMMENTARIUS.

Consentaneum enim erat, & quod per urinas aquosas non evacuatus fuisset biliosus humor, eum in ventrem delapsum dysenterias fecisse: verisimile quoque ob multas hujus humoris factas redundantias, etiamsi biliosa per corpus incrementa evacuata fuissent, ex supervacante etiamnum in corpore humore, dysenteriam ipsis obortam fuisse.

Τὴν νότιον κατάστασιν τῆς κρίσεώς τε καὶ κώματος αἰτίαν εἶναι.

Statum austrinum crisis & comatis seu soporis causam esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οβ'.

Περὶ δὲ Ἀρκτοῦρον ἐνδεκαταίοισι πολλοῖς ἔκρινε, καὶ τουτέοισιν οὐ κατὰ λόγον γινόμεναι ὑποστροφαὶ, ὑπέστρεφον. ἦσαν δὲ καὶ κωματώδεες περὶ χρόνον τοῦτον. πλείω δὲ παιδία, καὶ ἔθνησκον ἥκιστα οὗτοι πάντων.

HIPPOCRATIS TEXTUS LXXII.

At circa Arcturum undecimo die plerisque crisis oborta est, neque his pro ratione reversiones reciderunt. Sub hoc autem tempus sopore premebantur. Inter quos plures pueri hique minime omnium interibant.

A

GALENI COMMENTARIUS.

HIppocratem ortus Arcturi alterius anni meminisse perspicuum est, in narrationis fine descripti. Hic autem erat austrinus qui ad æquinoctium autumnale usque imbres habebat. Hoc autem tempore multos ait undecimo die securè judicatos fuisse, simulque comatosos propter austrinum scilicet statum, ob quem ipsum etiam ipsis judicia quàm alio tempore certiora fuerunt, quum ambientis nos aëris frigidum esset temperamentum, quo diuturniora fuisse judicia profert. Cæterum tempus Canis & Arcturi intermedium quod calidam, & siccam constitutionem sortiretur, non memoravit, quo verisimilius erat celerius multos judicatos fuisse, ut ne septimum diem transgrederentur. Hoc itaque tanquam illi tempori familiare prætermisit; solos vero morbos qui grassati sunt, percurrit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΥδηλον ὅτι τῆς κατὰ τὸ δεύτερον ἔτος ἐπιτολῆς ἐκ τούτου μέμνηται, γεγραμμένης ἐπὶ τέλει τῆς διηγήσεως. αὕτη τοίνυν ἐγένετο νότιος, τοὺς ὑετοὺς ἔχουσα μέχρι τῆς φθινοπωρινῆς ἰσημερίας. ἐν τούτῳ δὴ τῷ χρόνῳ φησὶν ἑνδεκαταίους πολλοὺς ἀσφαλῶς κριθῆναι γενομένους ἅμα κωματώδεις, διὰ τὴν νότιον δηλονότι κατάστασιν. διὰ δὲ τὴν αὐτὴν καὶ αἱ κρίσεις αὐτοῖς ἐγίνοντο βεβαιότεραι τῶν κατὰ τὸν ἄλλον χρόνον, B ἡνίκα ἐπεκράτει τοῦ περιέχοντος ἡ ψυχρὰ κρᾶσις, ἐν ᾗ χρονίας ἔφη γενέσθαι τὰς κρίσεις. τὴν μέντοι μεταξὺ κυνὸς καὶ ἀρκτούρου, θερμὴν καὶ ξηρὰν ἔχοντος κατάστασιν, οὐκ ἐμνημόνευσεν, ἐν ᾗ μᾶλλον εἰκὸς ἦν ὀξέως κριθῆναι πολλούς, ὡς μηδὲ τὴν ἑβδόμην ὑπερβῆναι· μήτι οὖν τοῦτο μὲν ὡς οἰκεῖον τοῦ καιροῦ παρέλιπε, τὰ δ' ἐπιδημήσαντα μόνα διέρχεται.

Bilem flavam, febres ardentes, & phrenitides pro variis locis per eam occupatis efficere.

C Τὴν χολὴν ξανθὴν τοὺς καύσους καὶ τὰς φρενίτιδας κατὰ τόπους διαφόρους διὰ ταύτης κατεχομένους ἐργάζεσθαι.

HIPPOCRATIS TEXTUS LXXIII.

AD æquinoctium verò, & ad Vergilias usque, & sub hyemem febres ardentes consequebantur; quinetiam tunc plurimi phrenitici fiebant, ex hisque plurimi moriebantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ογ'.

ΠΕρὶ δ' ἰσημερίην καὶ μέχρι πληιάδος, καὶ ὑπὸ χειμῶνα, παρείποντο μὲν καὶ οἱ καῦσοι, ἀτὰρ καὶ φρενιτικοὶ τηνικαῦτα πλεῖστοι ἐγίνοντο, καὶ ἔθνησκον τούτων πλεῖστοι.

GALENI COMMENTARIVS.

FEbres ardeutes & phrenitidas idem humor facit, sed non eundem locum occupat. Quum enim in vasorum capacitatibus unà cum sanguine flava bilis continetur, accidit, quocunque modo excanduerit, febres ardentes procreari, ac præsertim quum in ventris & jecoris, aut pulmonis venis bilis fervor urgeat: ubi vero ad solidas corporis partes appulerit, atque per eas feratur, rigorem excitat; si vero in cerebrum ipsiusque membranas sese firmaverit, phrenitidas efficit. Priusquam autem sese firmaverit per ipsarum venas diffluens, non phrenitidas, sed in febrium vigoribus deliria invehit. Itaque bilis quæ prius in venis inferioribus ardentem febrem faceret, hoc in statu ab Arcturo ad æquinoctium usque austrino ad caput collecta, atque in cerebro ipsiusque membranis firmata, phrenitidas procreavit.

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΤΟὺς καύσους καὶ τὰς φρενίτιδας, ὁ μὲν αὐτὸς ἐργάζεται χυμός, οὐ τὸν αὐτὸν δὲ τόπον ἔχων· ἐν μὲν γὰρ ταῖς εὐρυχωρίαις τῶν ἀγγείων περιεχομένης τῆς ξανθῆς χολῆς ἅμα τῷ αἵματι, συμβαίνει καθ' ὃν δὴ τρόπον ἐκπυρωθῇ, τοὺς καύσους γίνεσθαι, καὶ μάλιστα ὅταν ἐν ταῖς κατὰ γαστέρα, καὶ ἧπαρ, ἢ κατὰ πνεύμονα φλεψὶν, ἡ ζέσις γένηται τῆς χολῆς. ὅταν δ' εἰς τὰ στερεὰ μόρια τοῦ σώματος ἀφικνῆται, καὶ δι' αὐτῶν φέροιτο, ῥῖγος ἐργάζεται. κατὰ δὲ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας στηριχθεῖσα, τὰς φρενίτιδας ἐργάζεται. πρὶν δὲ στηριχθῆναι, διαρρέουσα κατὰ τὰς ἐν αὐτοῖς φλέβας, οὐ φρενίτιδας, ἀλλὰ τὰς ἐν ταῖς ἀκμαῖς τῶν πυρετῶν ἐπιφέρει παραφροσύνας. E ἡ τοίνυν ἔμπροσθεν ἐν ταῖς κάτω φλεψὶ τὸν καῦσον ἐργαζομένη χολὴ κατὰ τὴν ἀπ' ἀρκτούρου μέχρι τῆς ἰσημερίας νότιον κατάστασιν, εἰς τὴν κεφαλὴν ἀναληφθεῖσα, καὶ στηριχθεῖσα κατὰ τὸν ἐγκέφαλόν τε καὶ τὰς μήνιγγας, ἐγέννησε τὰς φρενίτιδας.

Statu frigidos paucos phreniticos, calido sicco plures fieri.

Κατὰ τὴν μὲν κατάστασιν ψυχρὰν ὀλίγους γίνεσθαι φρενιτικούς, θερμὴν δὲ καὶ ξηράν, πλείους.

HIPPOCRATIS TEXTUS LXXIV.

PAuci verò etiam per æstatem tales *efficiebantur.*

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οδ'.

F

ΕΓένοντο δὲ καὶ κατὰ τὸ θέρος ὀλίγοι.

GALENI COMMENTARIUS.

PAucos ait æstate phreniticos fuisse. Nam pars ejus ad Canem usque erat frigida; pars vero ad Arcturum usque calida & sicca. Quare non poterat hæc caput interim

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΛίγους φησὶ γεγονέναι φρενιτικούς· τὸ μὲν γὰρ ἄχρι κυνὸς αὐτοῦ μέρος ψυχρὸν ἦν· τὸ δὲ μέχρι ἀρκτούρου θερμὸν καὶ ξηρόν, ὥστ' οὐ δυνατὸν ἦν πληρῶσαι τοῦτο μεταξὺ τὴν κεφαλήν,

ὥσπερ οὐδ' ὁ περὶ τὸν ἀρκτοῦρον ἄχρι τῆς ἰσημερίας γενομένης νότος. οὔτε γὰρ ὑγρὸν ἦν, οὔτε νότιον, οὔτε πολυχρόνιον τὸ μεταξὺ κυνός τε καὶ ἀρκτούρου· ἐρρέθη ὅτι χολῆς πολλῆς ἐνεχθείσης ἐν τοῖς κατὰ τὸν ἐγκέφαλον χωρίοις, καὶ φρενίτιδες ἐγίνοντο.

A replere, ut neque auster qui circa Arcturum ad æquinoctium usque perflavit. Neque enim humidum erat, neque austrinum, neque diuturnum quod inter Canem & Arcturum intercessit. Vbi copiosa bilis in cerebri regiones invecta est, etiam phrenitidas creari pronunciatum est.

Τὰ ὀλέθρια, καὶ κακοήθεα, καὶ θανάσιμα τῶν καύσων σημεῖα καὶ συμπτώματα.

Perniciosa, maligna & lethalia febrium ardentium signa.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οε'.

Τοῖσι μὲν οὖν καυσώδεσιν ἀρχομένοισιν ἐπεσήμαινεν, οἷσι τὰ ὀλέθρια συνέπιπτεν. αὐτίκα γὰρ ἀρχομένοισι πυρετὸς ὀξὺς, σμικρὰ ἐπερρίγουν, ἄγρυπνοι, ἀδήμονες, διψώδεες, ἀσώδεες, σμικρὰ ἐφιδροῦντες περὶ τὸ μέτωπον, καὶ κληῖδας, αὐτῆς οὐδεὶς δι' ὅλου, πολλὰ παρέλεγον, φόβοι, δυσθυμίαι, ἄκρεα ὑπόψυχρα, πόδες ἄκροι, μᾶλλον δὲ τὰ περὶ χεῖρας, οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι. τοῖς δὲ πλείστοισι τεταρταίοισιν οἱ πόνοι μέγιστοι καὶ ἱδρῶτες ἐπὶ πλεῖστον ὑπόψυχροι, καὶ ἄκρεα οὐκέτ' ἀναθερμαινόμενα, ἀλλὰ ἰσαδὴν πελιδνὰ, ὑπόψυχρα, οὐδ' ἐδίψων, ἔτι τούτοισιν οὖρα μέλανα, λεπτὰ, ὀλίγα, καὶ κοιλίαι. Ἐφίσταντο οὐδ' ἡμορράγησεν ἐκ ῥινῶν, οὐδὲ τοῖσιν οἷσι ταῦτα συμπίπτει, ἀλλὰ σμικρὰ ἔσταξεν. οὐδ' ἐς ὑποστροφὴν οὐδενὶ τούτων ἦλθεν, ἀλλ' ἑκταῖοι ἀπέθνησκον σὺν ἱδρῶτι.

B

HIPPOCRATIS TEXTUS LXXV.

Itaque febribus ardentibus incipientibus, quibus impenderet pernicies portendebatur: quamprimum enim ab initio febris acuta prehendebat, parumque superrigebant; insomnes anxii, sitibundi, nauseabundi; paululum in fonte & claviculis exudabant: ad hæc nemo per universum corpus; admodum delirabant, his timores, mæstitiæ; extrema frigida, ut summi pedes, sed magis etiam manus; accessiones diebus paribus, plurimis quarto die labores maximi, C *& sudores diurissimè subfrigidi. nec amplius extrema recalescebant, sed livida & sublivida manebant, non sitiebant; præterea his erant urinæ nigræ, tenues, pauca; aluique sistebantur, nec erupit è naribus sanguis: neque quibus hæc accidebant, sed paucis stillavit; neque horum cuiquam res ad recidivam devenit; verùm sexto die cum sudore moriebantur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ ἅπαντα τὰ κατὰ τοῦτο τὸ σύγγραμμα, τῶν καθόλου λεγομένων αὐτῷ δι' ἑτέρων βιβλίων, παραδείγματ' ἐστὶ τὴν ἐξέτασιν ἐν τοῖς καθ' ἕκαστα λαμβάνοντι δι' αὐτοψίας, κατὰ τὸν αὐτὸν τρόπον, καὶ ταῦτα τὰ νῦν λεγόμενα. τοῖς γὰρ ὀλεθρίοις καύσοις γενέσθαι συμπτώματά φησι, κατ' ἀρχὰς ἐπιρριγοῦντες, καὶ ἀγρυπνοῦντες, καὶ ἀσώδεες, ἐφιδροῦντες μικρὰ περὶ μέτωπον καὶ κλεῖδα. τὸ μὲν γὰρ ὀξύν τε τὸν πυρετὸν αὐτοῖς εἶναι, καὶ δίψος παρεῖναι, τῆς τοῦ πάθους φύσεως ἴδια. καὶ ταῦτα τῆς κακοηθείας ἴδια, τό τε ῥιγοῦν εὐθέως ἐν ἀρχῇ. καὶ γὰρ κρίνειν εἴωθε τοὺς καυσώδεις πυρετοὺς τὸ ῥῖγος, οὐ μὴν αὐτίκα δ' ἐπιφαίνεσθαι χρὴ κρίσιμα. E τὸ δὲ τῆς ἀγρυπνίας καὶ τῆς ἀδημονίας σύμπτωμα, διὰ παντός ἐστι μοχθηρὸν, οὐ κατὰ μόνην τὴν ἀρχὴν, ὥσπερ γε καὶ τὸ ἐφιδροῦν. τὸ δὲ παραλέγειν, ὅπερ ἐστὶ παρὰ τὰ κατὰ φύσιν λέγειν, τουτέστι παραφρονεῖν, βεβλαμμένον δηλοῖ τὸν ἐγκέφαλον. οἵ γε μὴν φόβοι δριμείας ἱκανῶς καὶ κατοπτημένης τῆς ξανθῆς χολῆς εἰσι συμπτώματα. συγγενεῖς δὲ τοῖς φόβοις εἰσὶ, καὶ αἱ δυσθυμίαι. ἡ δὲ τῶν ἄκρων περίψυξις, ὀλεθριώτατον καύσοις ἐστὶ σύμπτωμά τε καὶ σημεῖον, ὥσπερ γε καὶ τὸ παραφρονῆσαι, διὰ τὴν τοῦ πυρετοῦ θερμασίαν ἐκπυρουμένης τῆς κεφαλῆς. F ἴδιον δ' ἐστὶ καὶ οἰκεῖον ὀξέων πυρετῶν, καὶ τὸ διακαίεσθαι τοῖς ἄκροις τοῦ σώματος μέρεσιν. ἐὰν ποτ' οὖν καταψύχηται ταῦτα, διακαιομένων τῶν περὶ τὰ σπλάγχνα χωρίων, ἐν μὲν τοῖς μέσοις τοῦ σώματος ἠθροῖσθαι δηλοῦται τὸ αἷμα. τὰ δ' ἄκρα λειφαιμεῖν τε καὶ καταψύχεσθαι, καὶ νεκροῦσθαι τελέως, ἀπολιπούσης ἤδη τῆς φύσεως αὐτά. καὶ μὴν καὶ οἱ παροξυσμοὶ, κατὰ τὰς ἀρτίας ἡμέρας γινόμενοι κατ' ἀρχὴν εὐθέως, ἐνίοτε μὲν ἑκταίαν προδηλοῦσιν ἔσεσθαι κακίστην κρίσιν,

να ἄφης vel αὐτίκα

GALENI COMMENTARIUS.

D Qvemadmodum omnia quæ hoc in opere scribuntur, eorum quæ ab eo aliis in libris universè dicuntur, exempla sunt, singula oculata experientia explorante: eodem modo & hæc quæ nunc dicuntur. Perniciosis siquidem febribus ardentibus accidisse symptomata pronunciat, per initia superrigentes, vigilantes, nauseabundos, paululum in fronte & claviculis exudantes: Nam acutam febrem ipsis oboriri, & sitim adesse, affectionis naturæ erant propria; statim vero à principio rigere hæc quoque malignitatis propria. Etenim febres ardentes rigor judicare consuevit: non E tamen judicatoria statim apparere oportet. Vigiliarum autem & angoris symptoma semper pravum est, non in principio solo, quemadmodum & exudare. Jam vero delirare quod est absurda sunt loqui, hoc est desipere læsum cerebrum significat. Timores vero acris admodum & deassatæ flavæ bilis symptomata existunt. Timoribus autem etiam mœstitiæ sunt congeneres. At extremorum perfrictio febribus ardentibus maximè lethale tum symptoma tum signum est; quemadmodum & delirare F propter febris in ardente capite calorem. Proprium autem est & familiare febribus acutis summas etiam corporis partes peruri: Si quando igitur hæc refrigerentur ex ardentibus visceribus sanguinem in medio corporis collectum esse declarant; extrema verò egere sanguine, refrigerari, & prorsus emori extinguique, ea jam deserente natura. Præterea accessiones si diebus paribus ab initio statim fiant, interdum quidem judicium pessimum sexto futu-

rum die pronunciant, interdum verò & diuturnum fore morbum; atque si vehemens motus fuerit, pravamque accessionem quartus dies habuerit, sexto die moriuntur, quemadmodum hi de quibus est oratio. Quarto itaque die degentibus ait labores maximos ipsis factos fuisse, hoc est dolorifica omnia symptomata, sudoresque subfrigidos diutissimè. Quapropter quod sextus dies cum sudoribus illaturus esset constat omnibus. Atque extrema livescere, neque amplius recalescere interitus tum signum, tum certum indicium est, & vires ultra septimum diem sufficere non posse. Aliud autem ex abundantia signum quoddam ipsis fuit, quòd etiamsi prius æstuassent, non amplius sitirent. Itaque si qui antea ex siti arderent, postea sine siti fuerint, ex duobus alterutrum esse necesse est, aut morbi solutionem, aut facultatis interitum, ut non amplius præsentia mala perciperentur. At non fuit illis solutio, quum perniciosa essent symptomata. Quare non eos sitire deperditi sensus his signum fuit. Hæc igitur omnia enunciata symptomata; tum maligna, tum admodum exitialia sunt. Cum his etiam urinæ nigræ, tenues, & paucæ numerantur. Nigræ quidem tanquam deassato jam humore bilioso; paucæ vero ob universum sanguinis humorem torrefactum, tum ex ardente febre, tum ex jam cadaveratis urinæ inservientibus organis. Ob easdem causas etiam alvus suppressa est. Ait præterea ipse sanguinis è naribus stillas perniciosum esse signum, cùm in aliis, tum maxime in ardentibus febribus. Hoc autem perniciosissimum febribus ardentibus signum esse patet, quod his maxima sit sanguinis eruptio.

A ἐνίοτε δὲ εἰς μῆκος ἐκταθήσεσθαι τὸ νόσημα. καὶ ὅταν γε σφοδρῶς κινηθῇ, τῆς τετάρτης μοχθηρὸν παροξυσμὸν ἐχούσης, ἀποθνήσκουσιν ἑκταῖοι, καθάπερ καὶ οὗτοι περὶ ὧν ὁ λόγος ἐστί. τεταρταίοις οὖν αὐτοῖς φησὶ τούς τε πόνους μεγίστους γενέσθαι, τουτέστιν ἅπαντα τὰ ὀδυνώδη συμπτώματα, καὶ ἱδρῶτας ὑποψύχρους ἐπὶ πλεῖστον. τούτοις μὲν οὖν καὶ ὅτι καὶ ἡ ἕκτη τὸν θάνατον οἴσει μετ᾽ ἱδρώτων, πρόδηλον. τὸ δὲ καὶ τὰ ἄκρα πελιδνὰ γενέσθαι, καὶ μηκέτ᾽ ἀναθερμαινόμενα, νεκρώσεώς τε σημεῖόν ἐστι, καὶ βέβαιον γνώρισμα B τοῦ μὴ δύνασθαι τῆς ἕκτης ἡμέρας ἐξωτέρω τὴν δύναμιν ἐξαρκέσαι. ἐκ περιουσίας δέ τι καὶ ἄλλο σημεῖον αὐτοῖς ὀλέθριον προσεγένετο, τὸ μηκέτι διψῆν, καίτοι πρότερον ἐκαυσοῦντο. δυοῖν δὲ δήπου τούτοιν ἀναγκαῖόν ἐστιν τὸ ἕτερον εἶναι, τοῖς διακαιομένοις ἔμπροσθεν ὑπὸ δίψης, ὕστερον ἀδίψοις γενέσθαι, ἤτοι λύσιν τοῦ νοσήματος, ἢ νέκρωσιν τῆς δυνάμεως, ὡς μηκέτ᾽ αἰσθάνεσθαι τῶν παρόντων κακῶν. ἀλλ᾽ οὐκ ἐγίνετο τούτοις λύσις, ὀλεθρίων ὄντων συμπτωμάτων, ὥστ᾽ ἀναισθησίας ἦν σημεῖον αὐτοῖς, τὸ μὴ διψῆν. ταῦτα μὲν οὖν ἅπαντα τὰ εἰρημένα συμπτώματα, C κακοήθη τε πάντα ἐστὶ δεινῶς καὶ ὀλέθρια. σὺν αὐτοῖς δ᾽ οὐχ ἥκιστα, καὶ τὰ οὖρα μέλανά τε καὶ λεπτὰ ὀλίγα γινόμενα. μέλανα μὲν, ὡς ἂν ἤδη κατωπτημένου τοῦ χολώδους χυμοῦ. ὀλίγα δὲ, διὰ τὸ ἐκπεφρύχθαι τὴν ἰκμάδα πᾶσαν ἐκ τοῦ αἵματος, ὑπό τε τοῦ καυσώδους πυρετοῦ, κἀκ τῶν οὐρητικῶν ὀργάνων ἤδη νενεκρωμένων. διὰ δὲ τὰς αὐτὰς αἰτίας, καὶ κοιλίαι ἐφίστανται. καὶ μὲν δὴ καὶ τὰς ἐκ ῥινῶν στάξεις ὀλέθριον οὔσας σημεῖον, καὶ ἄλλοις μὲν ἐν καύσοις δὲ μάλιστα, γενέσθαι φησὶν αὐτοῖς. ὅτι ὀλεθριώ- D τατον τοῦτο τοῖς καύσοις, δῆλον, εἴγε μάλιστα οἰκεῖόν ἐστιν αἱμοῤῥαγία.

Phreniticos cum causo sexto die, sine causo undecimo & vigesimo die judicari.

Τοὺς φρενιτικοὺς τοὺς σὺν καύσῳ περὶ τὴν ἕκτην, τοὺς ἄνευ καύσου, κατὰ τὴν ἑνδεκάτην ἡμέραν, καὶ τὴν εἰκοστὴν κρίνεσθαι.

HIPPOCRATIS TEXTUS LXXVI.

Phreniticis autem contigerunt quidem descripta non omnia, sed his plerunque undecimo die, quibusdam etiam vigesimo crisis oboriebatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ος'.

Τοῖσι δὲ φρενιτικοῖσι, ξυνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα ἅπαντα, ἐκρίνετο δὲ τούτοισιν ὡς τὸ πο- E λὺ ἑνδεκαταίοισιν, ἔστι δ᾽ οἷσιν καὶ εἰκοσταίοισι.

GALENI COMMENTARIUS.

Qui sine febre ardente phrenitici fuerunt, his quæ prænunciata sunt, non evenerunt; quoniam quibus unà cum ardente febre sexto die mors acciderat, his duplicato malo phrenitis oriebatur. Circa vero undecimum diem judicationem sequutam esse pronunciat, nonnullis autem vigesimo.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῖς ἄνευ τοῦ καυσωθῆναι φρενιτικοῖς γινομένοις, τὰ εἰρημένα οὐ συνέπεσεν· ἐπεὶ τοῖς γε μετὰ τοῦ καυσωθῆναι περὶ τὴν ἕκτην ἡμέραν ὁ θάνατος ἐγένετο, διπλασιασθέντος αὐτοῦ τοῦ κακοῦ, φρενῖτις ἐγένετο. περὶ δὲ τὴν ἑνδεκάτην ἡμέραν ἀκολουθῆσαί φησι τὴν κρίσιν, ἐνίοις δὲ κατὰ τὴν εἰκοστήν.

F

A

Τὴν φρενίτιδα μὴ εὐθὺς ἐξ ἀρχῆς μετρίως γενομένην, αὐτὴν περὶ τὴν ἑβδόμην ὀξεῖαν γίνεσθαι.

Quæ phrenitis non statim à principio mediocriter prehenderit, eam septimo die acutam evadere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οζʹ.

Οἷσιν εὐθὺς οὐκ ἐξ ἀρχῆς ἡ φρενῖτις ἤρξατο περὶ τρίτην ἢ τετάρτην ἡμέραν, ἀλλὰ μετρίως ἔχουσιν ἐν τῷ πρώτῳ χρόνῳ, περὶ τὴν ἑβδόμην εἰς ὀξύτητα τὸ νόσημα μετέπεσεν. B

HIPPOCRATIS TEXTUS LXXVII.

Quibus non statim à principio circa tertium aut quartum diem cœpit phrenitis, verùm primo tempore mediocriter affectis circa septimum diem in acutiem & celeritatem morbus excidit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἷς μὲν περὶ τὴν γ. ἢ τετάρτην ἡμέραν ἤρξατο, διεκόπη δὲ μεταξὺ, κρίσεως ἡμιῤῥόπου γενομένης. τὸ δὲ σφοδρῶς ὀξὺ τῆς φρενίτιδος, οὐκ εἶχον οἱ νοσοῦντες. ἐθεασάμεθα γὰρ ἤδη καὶ τοιαύτας φρενίτιδας.

GALENI COMMENTARIVS.

Quibus circa tertium aut quartum diem cœpit, sed in medio intercisa est, dimidia facta judicatione, phrenitis vehementer acuta non erat ægrotantibus. Iam enim & hujusmodi phreniticos conspeximus.

C

Ὅσα μὲν νοσήματα τῇ νοτίῳ καταστάσει περὶ τὴν φθινοπωρινὴν ἰσημερίαν ἐπιμένα ἐπεδήμει, τὸ τούτων πλῆθος ἀποφαίνεται Ἱπποκράτης, καὶ διασαφηνίζει Γαληνὸς, καὶ ὁποῖοι ἦσαν μᾶλλον τῷ θανάτῳ ὑπεύθυνοι.

Qui morbi statum austrinum circa æquinoctium autumnale sequuti grassabantur, eorum multitudinem narrat Hippocrates, explicat Galenus, quique morti erant obnoxii.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πλῆθος μὲν οὖν τῶν νοσημάτων ἐγένετο. ἐκ δὲ τῶν καμνόντων ἀπέθνησκον μάλιστα μειράκια, νέοι, ἀκμάζοντες, λεῖοι, ὑπολευκόχρωτες, ἰθύτριχες, μελανότριχες, καὶ μελανόφθαλμοι, ἡσυχῇ καὶ ἐπὶ τὸ ῥάθυμον βεβιωκότες, ἰσχνόφωνοι, ἰσχνόφωνοι, τρηχύφωνοι, τραυλοὶ, ὀργίλοι. καὶ γυναῖκες πλεῖσται, ἐκ τούτου τοῦ εἴδεος ἀπέθνησκον. D

HIPPOCRATIS TEXTUS LXXVIII.

Itaque morborum fuit multitudo, atque ex ægris præcipuè interibant adolescentes, juvenes, ætate florentes, glabri qui cute erant subalbicante, rectis crinibus, nigris pilis, nigris oculis: qui in otio & socordia vitam degerant; qui alba qui gracili, qui aspera voce loquebantur, blæsi, iracundi, atque hujus generis mulieres plurimæ moriebantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

λι λεῖν

Ὥσπερ ἔμπροσθεν ἔφην, αὐτὰ μὲν τὰ γινόμενα ἀσαφῆ αὐτὸν διηγεῖσθαι, προστίθεσθαι δ' ὑφ' ἡμῶν τὰς αἰτίας, οὕτω νῦν φημὶ, καὶ αὐτὴν τὴν διάνοιαν τοῦ λόγου οὐκ εἶναι σαφῆ. πότερον γὰρ ἐπὶ φρενιτίδων μόνον ἀκούειν χρὴ τῶν εἰρημένων, ἢ ἐπὶ πάντων τῶν νοσημάτων ὧν προείρηκεν, ἄδηλον. καὶ γὰρ οὖν αὐτὴν τὴν ἀρχὴν τοῦ προκειμένου λόγου διαφερόντως γράφουσι, ἔνιοι μὲν ὧδί πως. πλῆθος δὲ τῶν νοσημάτων ἐγένετο, περὶ τῶν φρενιτικῶν αὐτῶν μόνων οἷς ἐπενήνεγκται ταῦτα βουλόμενοι τὸν λόγον εἶναι. τινὲς δὲ ὧδί. πλῆθος μὲν οὖν ἐγένετο τῶν νοσημάτων, περὶ πάντων αὖ καὶ οὗτοι τῶν εἰρημένων ἀξιοῦντες εἶναι τὸν λόγον. εἰ μὲν ἐπὶ πάντων ἀκούοιμεν αὐτοῦ τοῦ διαιρεῖσθαι κατά τινα μὲν τά τε μειράκια, καὶ νέοι, καὶ ἀκμάζοντες ἀπόλλυνται, κατά τινα δ' οἱ λεῖοι, καὶ ὑπολευκόχρωτες, κατά τινα δ' οἱ ἰθύτριχες, καὶ μελανότριχες, καὶ μελανόφθαλμοι. κατὰ ποῖα δὲ ἡσυχῇ, καὶ ἐπὶ τὸ ῥάθυμον, βεβιωκότες, ἢ πάλιν ἐν τισιν οἱ ἰσχνόφωνοι, ἐν τισι γ' οἱ τραυλοι, ὥσπερ καὶ ὀργίλοι μὲν ἔν τισι, γυναῖκες δ' ἔν τισιν. εἰ μὴ πάντα ταῦτα διαιρεθείη, πλέον οὐδὲν ἡμῖν, οὔτε εἰς πρόγνωσιν, οὔτ' εἰς θεραπείαν ἐκ τῶν εἰρημένων ὑπάρξει. E F

γρα. μεγαλότριχες

GALENI COMMENTARIUS.

Quemadmodum antea enuntiavi, quæ obscura quidem sunt, ea ipsum enarrare; eorum vero causas à nobis adjici: sic nunc orationis sententiam manifestam non esse profero. Vtrum enim quæ de solis phrenitidibus intelligere oporteat, an de morbis quos pronunciavit omnibus, abditum est. Etenim ipsum propositæ orationis exordium diversè scribunt. Nonnulli quidem ita; *Morborum autem fuit multitudo*, de phreniticis ipsis solis quibus hæc intulit orationem esse volunt. Quidam vero hoc pacto; *Itaque morborum fuit multitudo*; atque hi contra de prædictis omnibus orationem haberi augurantur. Si de omnibus quidem intellexerimus, non definientes quam ob causam adolescentes, juvenes, & ætate florentes interierunt; quam ob causam & pilo nudi, & subcandidi; quam ob causam qui rectos & nigros habent capillos, oculos item nigros; quam ob causam qui tum quietè, tum segniter vixerunt; quare & qui lingua hæsitant seu exili voce sunt præditi; cur balbi, ut & iracundi, cur & mulieres; nisi hæc omnia distincta fuerint, nihil nobis ex dictis ad prænotionem neque ad curationem magis profuerit.

Si

Si vero non de omnibus morbis, sed de quibus solis phreniticis sermonem fecit, intellexerimus dicta hæc fuisse, difficillimum est & ita causas invenire, quibus plurimi ex his interierint. Atque post ipsum textum (plurimos interiisse) duplicem esse causam: altera est quia plerique tales phrenitico morbo lethalem tunc grassationem sortito, correpti sunt, propterea eorum multos interiisse pronuntiatum est: altera vero est, quod qui phrenitide correpti sunt, eorum plurimos interiisse intellexerimus, Quare & causæ declaratio gemina est, proindeque quos dixit hoc in statu omnes phrenitico affectui capiendo opportunos esse, nobis ex his qui phrenitide correpti sunt, tales maxime interire demonstrantibus. Orationis igitur obscuritas tanta ac talis existit; præterea vero præcedit commemoratorum singulorum inventio: Non enim sine ea statui coaptari potest oratio. Videtur autem Hippocrates inter ea quæ dixit, calidissimas ætates commemorasse, inquit enim adolescentes, juvenes, ætate florentes. Naturas item quibus difficilis est perspiratio, nempe pilis nudos candidosque & qui capillis rectis, capillis nigris, & nigris oculis existunt, & qui vitam quietam, otiosamque degerunt, tum in aliis commentariis, tum in libro de temperamentis minus difflari ostendimus, quod frigidioribus sint temperamentis. Eandem quoque ob causam mulieres, quas status ob menstruam purgationem minus oblædit, ut antea diximus. Quæ autem interibant, ex eo erant genere. Reliquum est igitur de iis agere qui lingua hæsitant, aut gracili voce loquuntur, & qui asperam vocem habent, de blesis & iracundis, ac primum scriptis ischnophonis gracili voce loquentibus. Si igitur ita scriptum fuerit, voce gracili loquentes significantur: Voce namque graciles etiamnum ita quidam, ut & voce tenues esse dicantur. Quum itaque nomen utrunque idem significet, voce tamen tenues à voce gracilibus differunt, ut in libro de voce docuimus. Nam ob asperæ gutturis arteriæ angustiam voce tenues fieri demonstravimus; Voce vero graciles ob naturalem musculorum guttur moventium pravitatem fieri ostendimus. Vtrique autem ob caloris nativi infirmitatem in prima conformatione tales efficiuntur. Quemadmodum autem voce graciles deteriorem à principio musculorum guttur moventium conformationem consequuti sunt: ita musculorum liguæ blesi. Aspera voce loquuntur trachyphoni propter vocalium organorum asperitatem. At vocalia voco organa vel voci inservientia, quibus emissa vox efficitur. Hæc sunt aspera arteria, guttur, voces veluti splectrum, spiritus per ipsas delati: Fauces enim vocis instrumentum esse demonstratum est, ut loquutionis linguam; nonnihil autem ad vocis generationem fauces conferunt, quæ densam eam efficiunt. Hæc itaque organa si lævia quidem existant, lævem ea vocem efficere demonstratum est, aspera asperam. Ipsam autem asperitatem ob siccitatem effici docuimus. Itaque cætera post ætates omnia huc usque commemorata frigidi temperamenti signa sunt. Sola siccitas temperamentis cum

A εἰ δὲ μὴ περὶ πάντων τῶν νοσημάτων, ἀλλὰ περὶ ὧν τὸν λόγον ἐποιεῖτο μόνων τῶν φρενιτικῶν, ἀκούσαιμεν εἰρῆσθαι ταῦτα χαλεπώτατόν ἐστι, καὶ οὕτως εὑρεῖν τὰς αἰτίας, δι' ἃς ἀπόλοιντο οἱ πλεῖστοι τῶν εἰρημένων. μετὰ καὶ αὐτὸ τὸ, τοὺς πλείστους ἀπόλλυσθαι, διττόν ἐστι. τὸ μὲν ἕτερον, ἐπειδὴ πολλοὶ τῶν τοιούτων ἑαλώκασιν τῷ φρενιτικῷ νοσήματι θανατώδη ἔχοντι τὴν τότε ἐπιδημίαν, διὰ τοῦτο εἰρῆσθαι πολλοὺς αὐτῶν διαφθαρῆναι, τὸ δ' ἕτερον ἐστι, τῶν ἁλόντων τῇ φρενίτιδι τοὺς πλείστους ἀπολωλότας ἠκούσαμεν· ὥστε καὶ τὴν αἰτιολογίαν γίνεσθαι διττήν, B ὥστε καὶ πάντας οὓς εἶπεν ἐπιτηδείους ἁλῶναι τῷ φρενιτικῷ πάθει, κατὰ τὴν ὑποκειμένην κατάστασιν, ἐπιδεικνύντων ἡμῶν τῶν φρενιτισάντων τοὺς τοιούτους μάλιστα ἀποθανεῖν. ἡ μὲν οὖν ἀσάφεια τοῦ λόγου, τοσαύτη ἐστὶ καὶ τοιαύτη, προηγεῖται δ' αὐτῆς εὑρεῖν τὴν κρᾶσιν ἑκάστου τῶν εἰρημένων. οὐ γὰρ οἷόν τε συναφθῆναι τῇ καταστάσει τὸν λόγον ἄνευ τούτου· φαίνεται δ' ἐν οἷς εἶπεν ὁ Ἱπποκράτης, ἡλικιῶν μὲν θερμοτάτων μνημονεύων, μειράκια γὰρ, φησι, C καὶ νέοι, καὶ ἀκμάζοντες, φύσεών τε δυσδιαπνεύστων· καὶ γὰρ οἱ λεῖοι, καὶ οἱ ὑπολευκόχρωτες, ἰθύτριχές τε, οἱ μελανότριχες, καὶ οἱ μελανόφθαλμοι, καὶ οἱ εἰκῇ, καὶ ἡσυχῇ, καὶ ἐπὶ τὸ ῥάθυμον βεβιωκότες ἐδείχθησαν ἡμῖν ἐν ἄλλοις τέ τισιν ὑπομνήμασι, καὶ ἐν τοῖς περὶ κράσεων ἧττον διαπνεόμενοι, διότι καὶ ψυχρότεροι ταῖς κράσεσίν εἰσι. καὶ διὰ τὴν αὐτὴν αἰτίαν καὶ γυναῖκες, ἃς διὰ τὴν ἔμμηνον κάθαρσιν ἧσσον ἠδίκησεν ἡ κατάστασις, ὡς ἔμπροσθεν εἶπον, αἱ δ' ἀποθα- D νοῦσαι, ἐκ τούτου τοῦ εἴδους ἦσαν. λοιπὸν οὖν ἐστιν ἐπισκέψασθαι περὶ τῶν ἰσχνοφώνων, καὶ τραχυφώνων, καὶ τραυλῶν, καὶ ὀργίλων, καὶ πρῶτον γεγραμμένων τῶν ἰσχνοφώνων. εἰ μὲν οὖν οὕτως εἴη γεγραμμένον τοὺς ἰσχνοὺς τὴν φωνήν. ἰσχνόφωνοι γὰρ ἔτι, καὶ νῦν λέγονταί τινες, ὥσπερ γε καὶ λεπτόφωνοι, ταὐτ' οὖν ἑκατέρου ὀνόματος σημαίνοντος, διαφέρουσιν οὗτοι τῶν ἰσχνοφώνων, ὡς ἐν τοῖς περὶ φωνῆς εἴρηται, καὶ δέδεικται γίνεσθαι διὰ τὴν στενότητα τῆς τραχείας ἀρτηρίας τοῦ λάρυγγος. οἱ δ' ἰσχνόφωνοι, E τὴν φωνὴν, διὰ τὴν φυσικὴν μοχθηρίαν τῶν κινούντων τὸν λάρυγγα μυῶν, ἑκάτεροι δὲ δι' ἀρρωστίαν τῆς ἐμφύτου θερμασίας ἀποτελοῦνται τοιοῦτοι, κατὰ τὴν πρώτην διάπλασιν. ὥσπερ δ' ἐν τοῖς τὸν λάρυγγα κινοῦσι μυσὶ φαυλότεροι ἐξ ἀρχῆς οἱ ἰσχνόφωνοι διεπλάσθησαν, οὕτως τοῖς τῆς γλώττης, οἱ τραυλοί, τραχύφωνοι γίνονται, διὰ τὴν τραχύτητα τῶν φωνητικῶν ὀργάνων. ὀνομάζω δ' ὄργανα φωνητικὰ, δι' ὧν ἐκπεμπόμενον τὸ πνεῦμα, φωνὴ γίνεται. ταῦτα δ' ἐστὶν ἡ τραχεῖα ἀρτηρία, καὶ ὁ λάρυγξ, καὶ ἡ φάρυγξ, οἷον πλῆκ- F τρον τοῦ φερομένου δι' αὐτοῦ πνεύματος, ἐδείχθη γὰρ οὗτος ὄργανον φωνῆς, ὡς διαλέξεως γλῶττα. βραχὺ δὲ πρὸς γένεσιν καὶ ἡ φάρυγξ συντελεῖ, δασεῖαν αὐτὴν ἐργαζομένη. ταῦτ' οὖν τὰ ὄργανα λεῖα μὲν ὄντα, λείαν ἐδείχθη καὶ τὴν φωνὴν ἐργαζόμενα, τραχέα δὲ, τραχεῖαν. ἡ δὲ τραχύτης αὐτὴ ἐδείχθη διὰ ξηρότητα γινομένη. τὰ μὲν οὖν ἄλλα πάντα μετὰ τὰς ἡλικίας ἄχρι δεῦρο λελεγμένα, ψυχρᾶς ἐστι κράσεως σημεῖα. μόνη δ' ἡ ξηρότης ἀμ-

ἐὰν λ... οὖν περὶ τῶν ὑποφώνων, εἰ μὲν δὲ οὕτως εἴη ἂν γεγραμμένος τοὺς ὑψίλους τὴν φωνήν· ὑσόφωνοι γὰρ ἔτι καὶ νῦν λέγονταί τινες.

φοτέραις ταῖς κράσεσιν συνέρχεται, τῇ τε ψυχρᾷ καὶ τῇ θερμῇ. τοῖς μὲν οὖν ἅμα τῷ ξηρῷ τῆς κράσεως, ψυχροῖς οὖσι, δυσδιαπνεύστοις εἶναι συμβήσεται, καθάπερ καὶ τοῖς προειρημένοις. ὅσοι δὲ θερμότεροι τούτων ὑπάρχουσιν, οὐκ εὐθὺς ὑπάρχει τοῦτο, διότι τοὺς μὲν ἐξέλωμεν τοῦ λόγου, τοὺς δὲ ἄλλους φαμὲν, οἷς ἐφαρμόττει ὁ λόγος. ἦν δὲ προκείμενον ἀποθανεῖν πολλοὺς, ἐξ ὧν κατέλεξεν ἡλικιῶν τε καὶ φύσεων. ἔλεγον δὲ ἡλικίας εἶναι θερμὰς, ἐν αἷς ὁ πικρόχολος πλεονάζει χυμός· τὰς φύσεις δὲ δυσδιαφορήτους, ὥστ' ἄχρι μὲν οὐδὲ τῆς ἀρχῆς ὧν εἰρήκαμεν, ἔτι λείπεται περὶ τῶν ὀξυθύμων εἰπεῖν, οὓς ἐναντιωτάτους φησὶ τοῖς θυμώδεσιν ὄντας. ἀνδρεῖοι μὲν γὰρ εἰσιν οἱ θυμώδεις, καὶ καταφρονικοὶ τῶν μικρῶν πραγμάτων. μικρόψυχοι δὲ εἰσὶν οἱ ὀξύθυμοι, διότι τὸ γενναῖον τὸ τῆς ἀνδρῶν ψυχῆς οὐκ ἔχουσιν, ὥστε καὶ οἱ ὀξύθυμοι ψυχρότεροί τε τῇ κράσει καὶ δυσδιαφόρητοι γενήσονται. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, καὶ γυναῖκες πλεῖσται ἐκ τούτου τοῦ εἴδους ἀπέθνησκον, οὐ δῆλόν ἐστιν, εἴτε πρὸς τὸ τέλος ἀναφέρειν χρὴ μόνον, εἴτε πρὸς αὐτὰ τὰ προειρημένα, τελευταῖοι δὲ αὐτῶν εἰσὶν οἱ ὀξύθυμοι, καὶ αὐτῶν τῶν γυναικῶν τὰς συγγενεῖς τοῦ εἴδους τούτου πλείστας ἀποθνήσκειν ἐπενήνεκται. δύναταί γε μὴν ἀληθὴς ὁ λόγος εἶναι κατ' ἄμφω, καὶ πρὸς πάντα τὰ προειρημένα τὴν ἀναφορὰν ποιουμένου τοῦ Ἱπποκράτους, καὶ πρὸς μόνον τὸ τελευταῖον, εἰ δὲ τὸ πρὸς πάντα ἀναφέρειν ἀληθές ἐστιν, ἄμεινον οὕτως ἀκούειν. ἐν μὲν γὰρ τοῖσι παισὶ, καὶ τὸ τελευταῖον εἰρημένον περιέχεται, κατὰ τοῦτο δὲ οὐκέτι τὰ πάντα λέλεκται. τὰς μέντοι γυναῖκας τοῦ εἴδους ἀποθανεῖν τούτου λέγειν αὐτὸν, αὐτοῖς ἀνδράσι παραβάλλοντα. προείρηται γὰρ ἀνωτέρω, γυναῖκες δὲ ἐνόσησαν μὲν πάμπολλαι, ἐλάσσους δ' ἢ ἄνδρες, καὶ ἔθνησκον ἧσσον. ἀλλ' ὁ νῦν λόγος αὐτοῦ τοιοῦτός τίς ἐστι. τῶν γυναικῶν ὅσαι τοῖς εἰρημένοις πάθεσιν ἑάλωσαν, ἀπέθνησκον μᾶλλον, ὅσαι τῆς προειρημένης ἰδέας ἦσαν.

λ ἔχομεν

A calidis, tum frigidis copulatur. Frigidis itaque & siccis temperamento, ut & prædictis contingit non facile difflari. Qui vero his calidiores existunt, his non statim hoc inest. Ideo hos ab oratione excepimus, alios autem narramus, quibus oratio consentanea est. Erat autem propositum multos interiisse, quos inter naturas ac ætates commemoravit. Ætates autem calidas esse dicebam in quibus biliosus humor redundaret; naturas vero quæ difficile discuterentur. Itaque de quibus hucusque mentionem fecimus, ex his reliquum
B adhuc est de iracundis disserere, quos animosis esse maxime contrarios proferunt. Etenim animosi magnanimi sunt, & rerum humilium contemptores. Iracundi vero pusillanimes sunt, quod virilis animi generositatem habeant; quare ex temperamento frigidiores erunt, ac difficilius discutientur. Quod autem in orationis fine pronuntiatum est; atque hujus generis mulieres plurimæ moriebantur, num ad finem tantùm referre oporteat, an ad ea quæ pronuntiata sunt, non constat. Po-
C stremi autem illorum sunt iracundi, atque ex mulieribus huic speciei congeneres plurimas interiisse adjecit. Vtroque sane modo vera esse potest oratio; sive ad prædicta omnia relationem faciat Hippocrates, sive ad postremum tantùm. Quod si ad omnia referre verum sit, ita percipere melius est. In pueris siquidem & quod ultimo dictum est, continetur: Sed in hunc modum nequaquam prodita sunt omnia. Mulieres tamen hujus generis interiisse ipse pronunciat, viris eas comparans; quod superius dictum est. Verùm mulieres per-
D multæ ægrotaverunt quidem, minus verò quàm viri, minusque interierunt. Cæterùm præsens Hippocratis oratio talis quædam existit. Mulieres commemoratis affectibus captæ magis interibant, quæ prædicti essent generis.

Ὅσοις ἐν τῇ εἰρημένῃ καταστάσει ταύτῃ ταῦτα καλῶς προσεγένετο τῇ αἱμορραγίᾳ διὰ ῥινῶν, ἢ τῆς ὑστέρας, ἢ τῇ διαρροίᾳ, ἢ δυσεντερίᾳ, ἢ περιρροίᾳ τούτους πάντας διασωθῆναι.

Quibus dicto statu hæc tempestive supervenissent, eos omnes hæmorrhagia per nares aut uterum, vel diarrhœa, vel dysenteria, vel
E perirrhœa salvos evasisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οθ'.

ΕΝ δὲ τῇ καταστάσει ταύτῃ, ἐπὶ σημείων μάλιστα τεσσάρων διεσώζοντο. οἷσι γὰρ ἢ διὰ ῥινῶν καλῶς ἡμορράγησεν, ἢ κατὰ κύστιν οὖρα πολλὰ, καὶ πολλὴν ὑπόστασιν καὶ καλὴν ἔχοντα ἦλθοι, ἢ κατὰ κοιλίην ταραχώδεα χολώδεα ἐπικαίρως, ἢ δυσεντερικοὶ γένοιντο. πολλοῖς δὲ ξυνέπιπτε μὴ ὑφ' ἑνὸς κρίνεσθαι τῶν ὑπογεγραμμένων σημείων, ἀλλὰ διεξιέναι διὰ πάντων τοῖς πλείστοισι, καὶ δοκέειν μὲν ἔχειν ὀχληροτέρως, διεσώζοντο δὲ πάντες οἷσι ταῦτα ξυμπίπτοι· γυναιξὶ δὲ παρθένοισι συνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα σημεῖα πάντα. ἧσι δὲ ἢ τούτων τι καλῶς γένοιτο, ἢ τὰ γυναικεῖα δαψιλέως ἐπιφανείη, διὰ τούτων ἐσώζοντο, καὶ ἔκρινε, καὶ οὐδεμίην οἶδα ἀπολομένην,

HIPPOCRATIS TEXTUS LXXIX.

AT hoc in statu ex quatuor signis ii maxime servabantur, quibus aut per nares probe sanguis profluxit; aut quibus urinæ copiosæ copiosum ac laudabile sedimentum continentes per vesicam processerunt; aut per alvum turbulenta biliosa tempestivè prodierunt; aut qui dysenterici facti sunt. Multis autem contingebat non ab uno descriptorum
F *signorum judicari; sed per omnes vias plurimis excretionem fieri, qui gravius quidem habere videbantur; sed quibus hæc contigerunt, omnes incolumes evadebant. Mulieribus & virginibus paulò ante descripta signa omnia contigerunt. Quibus vero ex his aliquod probe succederet, aut menstrua largius apparerent, per hæc servabantur & judicabantur, nullamque ex his interire novi,*

quibus horum quicquam probe accidisset. Philonis nanque filiæ liberaliter ex naribus sanguis effluebat, quod vero septimo die intempestivè cœnasset, mortem obiit.

ἤσι τούτων τι καλῶς γίγνοιτο. Φίλωνος γὰρ τῇ θυγατρὶ ἐκ ῥινῶν λάβρον ἐῤῥύη, ἑβδομαίη δὲ ἐοῦσα, ἐδείπνησεν ἀκαιροτέρως, ἀπέθανεν.

GALENI COMMENTARIUS.

HIc quoque & qui sequitur textus manifestus est, ubi de mulieribus disserit. Summa nanque est quam docet, alios quidem per sanguinis eruptiones, alias verò per urinas, vel dejectiones, nonnullas etiam decumbentibus in dysenteriam causis servari potuisse.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ οὗτος ὁ λόγος σαφὴς, καὶ ὁ ἐφεξῆς, ἔνθα περὶ τῶν γυναικῶν διαλέγεται. κεφάλαιον γάρ ἐστιν ὃ διδάσκει, τὰς μὲν δι᾽ αἱμοῤῥαγίας, τὰς δὲ δι᾽ οὔρων, ἢ διαχωρ-
B ρημάτων, ἐνίους δὲ καὶ εἰς δυσεντερίαν ἀποσκηψάντων τῶν αἰτίων δυνηθῆναι σωθῆναι.

Invitas lachrymas hæmorrhagiam aut mortem portendere.

Τὰ ἀεκούσια δάκρυα τὴν αἱμοῤῥαγίαν, ἢ θάνατον σημαίνειν.

HIPPOCRATIS TEXTUS LXXX.

QVibus per febres acutas, atque adeo ardentes invitæ effluxerunt lachrymæ, sanguinis è naribus profluvium expectandum est, si in cæteris perniciosè non habuerint: Qui nanque malè habent, his non hæmorrhagiam, sed mortem portendunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ π′.

ΟΙσι ἐν πυρετοῖσιν ὀξέσι, μᾶλλον καυσώδεσιν ἀεκούσια δάκρυα ἀποῤῥεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμοῤῥα-
C γίαν προσδέχεσθαι, ἢν καὶ τὰ ἄλλα ὀλεθρίως μὴ ἔχωσιν· ἐπεὶ τοῖσι γε φλαύρως ἔχουσιν, οὐχ αἱμοῤῥαγίην, ἀλλὰ θάνατον σημαίνει.

GALENI COMMENTATIUS.

VNum etiam quoddam signorum hæmorrhagias portendentium ab ipso in superioribus prætermissorum in præsentia pronunciatur. Est autem dilucida satis oratio his qui quæ antea tum hoc in libro, tum in prognostico loquutus est, meminerint. Dicta quoque à me sunt & hæc omnia cum propriis limitationibus in prognostici commentariis & in libro de judicationibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τι καὶ τοῦτο τῶν αἱμοῤῥαγικῶν σημείων παραλελειμμένων αὐτῷ, διὰ τῶν ἔμπροσθεν, εἴρηται νῦν. ἔστι δ᾽ ἱκανῶς ὁ λόγος σαφὴς τοῖς μεμνημένοις ὧν ἔμπροσθεν εἶπε καὶ κατὰ τοῦτο βιβλίον, ὧν τε ἐν τῷ προγνωστικῷ. καί μοι
D λέλεκται ταῦτα πάντα μετὰ τῶν οἰκείων διορισμῶν, ἐν τοῖς κατὰ τὸ προγνωστικὸν ὑπομνήμασι, καὶ ἐν τοῖς περὶ κρίσεων.

Parotidas febribus supervenientes soluta febre minimè suppuratas manentes non perpetuò pravum esse signum, sed interdum suborta excretione aliquâ solvi.

Παρωτίδας τοῖς πυρετοῖς ἐπιγινομένας ἐκλείποντος τοῦ πυρετοῦ ἀνεκπυήτους μενούσας μοχθηρὸν οὐκ ἀεὶ σημεῖον εἶναι, ἀλλὰ μὲν ἐνίοτε τῆς ἐκκρίσεώς τινος γινομένης λύεσθαι.

HIPPOCRATIS TEXTUS LXXXI.

E

QVibus tumores circum aures in febribus cum dolore exurgunt; quibusdam, judicatoriè cessante febre, neque suppurantur, eos ægris oborta biliosa diarrhœa, aut dysenteria, aut crassarum urinarum sedimentum veluti Hermippo Clazomenio solvit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πα′.

ΤΑ περὶ τὰ ὦτα ἐν πυρετοῖσιν ἐπαιρόμενα μετ᾽ ὀδύνης, ἔστιν οἷσιν ἐκλείποντος τοῦ πυρετοῦ κρισίμως, οὔτε καθίσταται, οὔτ᾽ ἐξεπύει, τουτέοισι διάῤῥοια χολωδέων, ἢ δυσεντερίη, ἢ παχέων οὔρων ὑπόστασις γινομένη, ἔλυσε, οἷον Ἑρμίππῳ τῷ Κλαζομενίῳ.

GALENI COMMENTARIUS.

PErutile est cum nuper pronunciatis priùs commemoratis ad hoc ut non perpetuò censeamus parotidas citra suppurationem manentes pravum esse signum: Nam in præsenti statu febres ait decretoriè nonnullis cessasse, quod est judicatorio die, & cum sudore, aut alio quodam ita judicantium, ac parotidas permansisse; deinde processu temporis resedisse per quas dixit urinas, dejectiones, & dysenterias, expurgatis morbum efficientibus causis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΧΡησιμώτατόν ἐστι κατὰ τῶν εἰρημένων ἀρτίως προμνησθέντων, πρὸς τὸ μὴ διὰ παντὸς ἡγεῖσθαι τὰς πα-
F ρωτίδας ἀνεκπυήτους μενούσας, μοχθηρὸν εἶναι σημεῖον· ἐν γὰρ τῇ προκειμένῃ καταστάσει τοὺς μὲν πυρετούς φησι παύσασθαι κρισίμως ἐνίοις, ὅπερ ἐστὶν ἐν ἡμέρᾳ κρισίμῳ, καὶ μεθ᾽ ἱδρῶτος, ἢ τινὸς ἄλλου τῶν οὕτω κρινόντων, ἔτι διαμένειν τὰς παρωτίδας, εἶτα ἐν τῷ χρόνῳ προϊόντι καταστῆναι δι᾽ ὧν εἶπεν οὔρων, καὶ διαχωρημάτων, καὶ δυσεντερίας, ἐκκαθαρθέντων τῶν τὴν νόσον ἐργαζομένων αἰτίων.

A

Τὰ περὶ κρίσιας γινόμενα, ταῦτα ὅμοια καὶ ἀνόμοια γίνεσθαι.

Quæ per crises aguntur, ea similia aut dissimilia contingere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πβ'.

ΤΑ δὲ περὶ τὰς κρίσιας ἐξ ὧν καὶ διαγινώσκομεν, ἢ ὅμοια, ἢ ἀνόμοια.

HIPPOCRATIS TEXTUS LXXXII.

QVæ circa crises existant, & ex quibus dignoscimus, ea aut similia, aut dissimilia sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B

Ὅσα περὶ κρίσεων ἢ κρισίμων ἡμερῶν αὐτῷ λέλεκται, πάντα κατὰ δύο πραγματείας ἠθροισμένα ἔχεις πρὸς ἡμῶν, τῇ τε περὶ τῶν κρισίμων, καὶ κρίσεων. ἀλλὰ καὶ νῦν διὰ βραχέων εἰρήσεται τὸ κεφάλαιον τοῦ λόγου. τὰς περὶ κρίσιας φησι, κατά τι μὲν ὅμοια, κατά τι δὲ ἀνόμοια γενέσθαι. κἄπειτα παρατίθεται πολλοὺς ἐξ ὑποστροφῆς, καὶ αὖθις κατὰ τὰς αὐτὰς προθεσμίας ἑπτακαιδεκαταίους κριθῆναι τὸ σύμπαν, εἶτ' ἄλλους εἰκοσταίους ἐξ ὑποστροφῶν, καὶ αὖθις οὐχ ὁμοίως γινομένους. παραδείγματος δὲ χάριν μέμνηται πρῶτον ἀδελφῶν δυοῖν ἐν τῇδε τῇ ῥήσει.

GALENI COMMENTARIUS.

QUæ de crisibus, aut judicatoriis diebus ab ipso edicta sunt, omnia duobus in libris à nobis collecta consequeris, tum libro de judicationibus, tum libro de diebus judicatoriis. Verùm nunc quoque orationis summa promulgabitur. Judicia, ait partim quidem similia, partim vero dissimilia fuisse. Deinde citat multos ex recidiva, eosdemque eodem præstituto decimoseptimo die planè judicatos; Alios etiam à recidiva, die vigesimo, eosque non similiter. Exempli gratia primùm duorum fratrum sequenti textu mentionem fecit.

C

Τὰς τῶν νοσούντων ἱστορίας ἀναγορεύει Ἱπποκράτης, δι' ὧν περὶ τὰς κρίσεις καὶ τὰς νοσημάτων περιόδους, τὰ ὅμοια καὶ τὰ ἀνόμοια πεφασμένα εἴη, τὰς ὑπὸ τοῦ Γαληνοῦ ἐξηγουμένας.

Historias ægrotantium pronunciat Hippocrates quibus circa crises ac morborum periodos similia ac dissimilia apparuerunt, quæ Galenus explicat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πγ'.

ΟΙον οἱ δύο ἀδελφοὶ καὶ ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην· κατέκειντο παρὰ τὸ θέατρον Ἐπιγένεος ἀδελφεοὶ, τουτέων τῷ πρεσβυτέρῳ ἔκρινεν ἑκταίῳ, τῷ δὲ νεωτέρῳ, ἑβδομαίῳ· ὑπέστρεψεν ἀμφοτέροισιν ὁμοῦ τὴν αὐτὴν ὥρην, καὶ διέλιπεν ἡμέρας πέντε. ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ σύμπαν ἑπτακαιδεκαταίοισιν, ἔκρινε δὲ τοῖσι πλείστοισι πεμπταίοις, διέλιπεν ἑβδομαίοις. ἐκ δὲ τῶν ὑποστροφέων, ἔκρινε πεμπταίοισι, οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἑβδομαίοισιν, ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τριταίοισιν. οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι, διαλιπόντας τὴν τρίτην ἔκρινεν ἑβδομαίοισι, οἷσι δ' ἔλειπεν ἑκταίοισι, διαλιπόντας ἑκτὴν, ἐλάμβανε τριταίους. οἷσι δὲ ἔλειπε πρώτῃ ἐλάμβανε, καὶ ἔκρινε πρώτῃ, οἷον Εὐάγοντι τῷ Δαιφάρσεος. οἷσι δὲ ἔκρινε ἑκταίοισι, διέλιπεν ἑβδομαίοισιν· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τεταρταίοισιν, οἷον τῇ Ἀγλαΐδου θυγατρί. οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων ἐν τῇ καταστάσει ταύτῃ, τούτῳ τῷ τρόπῳ διενόσησαν, καὶ οὐδένα οἶδα τῶν περιγινομένων, ᾧ ἂν ἵνα οὐχ ὑπέστρεψαν κατὰ λόγον αἱ ὑποστροφαὶ γινόμεναι, καὶ διεσώζοντο πάντες οὓς ἐγὼ οἶδα, οἷσιν αἱ ὑποστροφαὶ διὰ τοῦ εἴδεος τούτου γενοίατο. οὐδὲ τῶν διανοσησάντων διὰ τούτου τοῦ τρόπου, οὐδενὶ οἶδα ὑποστροφὴν γινομένην πάλιν. ἔθνησκον δὲ ἐν τοῖσι νοσήμασι τουτέοισιν οἱ πλεῖστοι ἑκταῖοι, οἷον Ἐπαμινώνδας, καὶ Σιληνὸς, καὶ Φιλίσκος ὁ Ἀνταγόρεω.

HIPPOCRATIS TEXTUS LXXXIII.

D

VT duo fratres qui simul eadem hora febricitare ceperunt: Decumbebant autem juxta Epigenis theatrum fratres. Horum ætate provectiori crisis sexto die, juniori septimo oborta est. Reversus utrique simul eadem hora morbus quinque dies intermisit; & à recidiva uterque simul decimoseptimo prorsus judicatus est. Plurimis quinto die morbus judicatus est, diebus septem intermisit; à recidiva vero quinto judicatus est. Quibusdam etiam septimo judicatus est, diebus septem intermisit, & à recidiva tertio judicatus est. Nonnullis quoque die septimo judicatus est; intermisit tribus diebus, & septimo judicatus est. Alios reliquit sexto, intermisit sex, & tertio prehendit. Aliis intermisit primo, & primo prehendit, & judicatus est, quemadmodum Evagonti Daipharsis filio contigit. Aliis sexto judicatus est, intermisit septem, à recidiva quarto judicatus est, ut [illegible] filiæ. Itaque qui hoc in statu ægrotarunt, eorum plurimi hoc morbi tenore laborarunt: atque qui superfuerunt, eorum novi neminem, cui factæ morborum reversiones secundùm rationem non recurrerint; quosque ego vidi, ii omnes servabantur, quibus hujus generis morborum reversiones contigerunt. At hoc modo ægrotantium nemini recidivam à decimo septimo rursus obortam fuisse novi. Hisce vero morbis plurimi sexto die moriebantur, ut Epaminondas, Silenus, & Philiscus Antagorei filius.

E

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν χρήσιμον τοῦ λόγου, πρόδηλον ἐπὶ τῶν εἰρημένων ἐστὶ, τὸ δ' ἄχρηστον ἄδηλον, ὥστ' οὐ ζητεῖν αὐτὸ προσῆκεν.

GALENI COMMENTARIUS.

VTile quidem orationis ex productis manifestum, inutile vero obscurum est.

Quare ipsum investigare non decuit. Cæterum qui utilibus student, sibi negotium facessunt inquirendo quomodo pronunciaverit Hippocrates, ætati provectiori sexto die crisim, juniori septimo obortam fuisse. At rursus postea utrique simul eadem hora reversus est; mox subintulit, intermisit dies quinque: Non enim fieri potuit ut utrique dies quinque, sed alteri soli intermitteret; etiamsi concedatur quod proferunt hoc ipsum de uno solo intelligi posse, altero in narratione enunciato septimo die prima judicatione judicato. Jam si huic intermisit dies quinque, patet alteri qui sexto die judicatus est, sex dies intermisisse. Fieri quoque potest per initia vitiatam à librario dictionem servatam esse, quemadmodum & aliæ multæ idipsum subjerunt, tum apud Hippocratem, tum apud alios non paucos. Quod autem dico librarii erratum fuisse, tale est: Potuit enim scripta esse dictio in hunc modum. Intermisit alteri sex dies, alteri quinque; qui vero aberravit, scripsisse potuit. Intermisit quinque; Atqueveri similius est seniori quidem sex dies intermisisse, juniori vero quinque, quum utrique simul reversio in diem duodecimum inciderit. Sequenti itaque textu ait; plurimis sexto judicatus est, intermisit quinto; ut videantur & fratres ipsi exemplum esse judicationum quæ plurimis contigerunt. Post verò horum enarrationem judicationes alias scripsit, varias omnes quæ decimoseptimo die circunscribuntur; talem vero nullam qualem in duobus fratribus intelligendam dico, ut in duodecimo die utrique morbus reverteretur, & juniori quinque diebus intermitteret. Probabiliter quidem ita in ipsis dictum est, ut tunc quod ipsis cum aliis esset simile, servaretur; & quod à recidiva decimoseptimo die judicarentur, & peculiariter quod duodecimo morbus reverteretur. Sed honestum est, ut dixi, non pervestigare, quum quod utile sit habeas, & jam prætermittamus judicia omnia quæ ab ipso, serie continuata dicta sunt, summis contenti, quatenus quidem similia ipsa fuerint, & quatenus dissimilia. Quum enim primæ judicationes aut sexto die ægrotantes tollerent, aut ita infidæ essent, ut morbi rursum ad ultimam absolutamque redirent judicationem, die decimoseptimo prehendentes, in hoc tum simile, tum dissimile fiebat. Post hæc vero judicationes alias commemorat & reversiones, quæ in vigesimum diem ita inciderunt, ut in eo absolutè judicarentur. *Habitabant juxta theatrum.* Quidam scribunt non theatrum, sed theretrum, ut interpretentur locum esse aliquem æstivæ habitationi accommodum ab ardendo sic appellatum. Sed quomodo quis talia scribat nomina, nihil ad præsentem speculationem interest; neque quicquam refert an perigenis, vel Theonis, vel Dionis fratres essent; at qui probè secundum artem medicam enarrare nequeunt, hi ad tales curiositates digrediuntur.

A ἀλλ᾽ οἱ μὲν τὰ χρήσιμα σπουδάζοντες, ἑαυτοῖς πράγματα παρέχουσι, ζητοῦντες πῶς εἰπὼν ὁ Ἱπποκράτης, τῷ μὲν πρεσβυτέρῳ τὴν κρίσιν ἑκταίαν γενέσθαι, τῷ δὲ νεωτέρῳ ἑβδομαίαν. καὶ μετὰ ταῦτα πάλιν εἰπὼν, ἐπέστρεψεν ἀμφοτέροις ὁμοῦ τὴν αὐτὴν ὥραν· ἐπήνεγκε, διέλιπον ἡμέρας πέντε. οὐ γὰρ ἀμφοτέροις δυνατόν ἐστι τὰς πέντε διαλιπεῖν, ἀλλὰ τῷ ἑτέρῳ μόνῳ, καίτοι γε καὶ δυνατόν ἐστιν αὐτὸ τοῦθ᾽ ὃ λέγουσιν, ἀκοῦσαι περὶ μόνου τοῦ ἑνὸς, τοῦ δευτέρου κατὰ τὴν διήγησιν εἰρημένου, τοῦ κριθέντος ἑβδομαίου τὴν

B πρώτην κρίσιν. καὶ εἰ δὴ τούτῳ διέλιπεν ἡμέρας πέντε, πρόδηλον ὅτι τῷ κατὰ τὴν ἕκτην ἡμέραν κριθέντι [κατὰ τὴν δευτέραν ἡμέραν κριθέντος] διέλιπεν ἕξ. ἐγχωρεῖ δὲ καὶ τὴν ἀρχὴν εὐθὺς ὑπὸ τοῦ βιβλιογράφου τὴν λέξιν ἁμαρτηθεῖσαν, φυλαχθῆναι, καθάπερ καὶ ἄλλαι πολλαὶ τοῦτο πεπόνθασι, παρά τε τῷ Ἱπποκράτει, καὶ ἄλλοις οὐκ ὀλίγοις. ὃ δὲ λέγω σφάλμα τοῦ βιβλιογράφου γενέσθαι, τοιόνδε ἐστίν. ἐνεδέχετο γεγράφθαι μὲν ὧδέ πως τὴν λέξιν, διέλιπεν ἡμέρας ἓξ μὲν τῷ πρεσβυτέρῳ, τῷ δὴ ἑτέρῳ πέντε.

C τὸ γράψαι δὲ τὸν ἁμαρτάνοντα, διέλιπε πέντε, καὶ πιθανώτερον ἐπὶ τῷ πρεσβυτέρῳ, τὰς ἓξ διαλιπεῖν, τῷ δὲ νεωτέρῳ τὰς πέντε, τῆς δὴ ὑποστροφῆς ἅμα ἀμφοτέροις γενομένης κατὰ τὴν δωδεκάτην ἡμέραν. ἐφεξῆς γοῦν φησὶ, ἔκρινε δὲ τοῖσι πλείστοισιν ἑκταίοισι, διέλιπε πεμπταίοισιν, ὥστ᾽ εἰκάσαι τοὺς ἀδελφοὺς τῶν τοῖς πλείστοις γενομένων κρίσεων καὶ αὐτοὺς εἶναι παράδειγμα. μετά γε μὴν τὴν τούτων διήγησιν, καὶ ἄλλας κρίσεις ἔγραψε πολυειδεῖς ἁπάσας τῇ ἑπτακαιδεκάτῃ περιγραφομένας ἡμέρᾳ, τοιαύτην δὴ οὐδεμίαν, οἵαν ἐπὶ τῶν δύο ἀδελφῶν ἐγώ φημι δεῖν ἀκούειν,

D ὥστε ὑποστρέψαι κατὰ τὴν δωδεκάτην ἡμέραν αὐτοὺς ἀμφοτέρους, καὶ νεωτέρου διαλείποντος τὰς πέντε. πιθανὸν μὲν οὕτως ἐν αὐτοῖς ἐρρέθη, ἵνα τό, τε πρὸς τοῖς ἄλλοις ὅμοιον αὐτοῖς διασώζηται, τὸ ἐξ ὑποστροφῆς ἑπτακαιδεκαταίους κριθῆναι, καὶ τὸ ἴδιον, ὅτι περὶ τὴν δωδεκάτην ὑπέστρεψαν. καὶ καλὸν δὴ ὡς ἔφην μὴ ζητεῖν ἔχοντα χρήσιμα, καὶ τοίνυν ἤδη καταλείπωμεν ἅπαντα τὰ περὶ κρίσεις ἐφεξῆς αὐτῷ λελεγμένα, κεφάλαια ἔχοντες, κατά τι μὲν ὁμοίας αὐτὰς γενέσθαι, κατά τι δὴ ἀνομοίας. τῶν γάρ τι πρώτων κρίσεων, ἤτοι κατὰ τὴν ἕκτην

E ἡμέραν ἀναιρουσῶν τοὺς νοσοῦντας, ἢ ἀπίστων γινομένων, ὡς ὑποστρέφειν αὖθις ἐπὶ τὴν ἐσχάτην τε καὶ τελείαν κρίσιν, ἐπὶ τῆς ἑπτακαιδεκάτης ἡμέρας λαμβανουσῶν, ἐν τούτῳ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον ἐγίγνετο. μετὰ δὲ ταῦτα κρίσεων ἄλλων μνημονεύει καὶ ὑποστροφῶν γινομένων εἰς τὴν εἰκοστὴν ἡμέραν, ὥστ᾽ ἐν ταύτῃ τελείως κριθῆναι. κατέκειντο παρὰ τὸ θέατρον· γράφουσί τινες οὐ θέατρον, ἀλλὰ θέρετρον, ἵν᾽ ἔχωσιν ἐξηγεῖσθαι χωρίον τι εἶναι παρὰ τὸ θέρεσθαι κεκλημένον οὕτως. διαφέρει δὴ οὐδὲν εἰς τὴν προκειμένην θεωρίαν, ὅπως ἄν τις γράφῃ τὰ τοιαῦτα

F τῶν ὀνομάτων. καὶ γὰρ, εἴ τε Περιγένους, εἴ τε Δίωνος, ἢ Θέωνος ἦσαν ἀδελφοὶ, διήνεγκεν οὐδὲν, ἀλλ᾽ οἱ μὴ δυνάμενοι τὰ κατὰ τὴν ἰατρικὴν τέχνην ἐξηγεῖσθαι καλῶς, ἐπὶ τὰς τοιαύτας ἐκτρέπονται περιεργίας.

A

Τὰς παρωτίδας τῇ εἰκοστῇ κρίνεσθαι, τὰς μὲν μὴ ἐμπυϊκὰς γενομένας τοῖς τῆς ὕλης κάτω γενομέναις ἐκκρίσεσιν ἐπὶ κύστιν τρέπεσθαι, τὰς δὲ ἐμπυϊκὰς ὀλεθρίως κρίνεσθαι, ὥσπερ τῷ Κρατιστονάκτῃ, καὶ τῇ θεραπαίνῃ.

Parotidas vigesimo die judicari, non suppuratas materiæ deorsum ductæ excretione in vesicam transferri, suppuratas perniciosè judicari, ut Cratistonactæ, & ancillæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πδʹ.

Οἷσι δὲ τὰ παρὰ τὰ ὦτα γενόατο, ἔκρινεν μὲν εἰκοσταίοισι. κατέσβη δὲ πᾶσιν οἷς οὐκ ἐξεπύησεν, ἀλλ᾽ ἐπὶ κύστιν ἐτράπετο. Κρατιστονάκτῃ τῷ παρὰ Ἡρακλείῳ ᾤκει καὶ Σκύμνου τοῦ γναφέως θεραπαίνῃ ἐξεπύησεν, ἀπέθανεν. οἷσι δὲ ἔκρινεν ἑβδόμῃ, διέλιπεν, ἐννάτῃ ὑπέστρεψεν, ἔκρινεν ἐκ τῆς ὑποστροφῆς. ἔκρινεν ἑβδόμῃ Φανοκρίτῳ, ὃς κατέκειτο παρὰ Γνάθωνι τῷ γραφεῖ.

HIPPOCRATIS TEXTUS LXXXIV.

B *Quibus autem ad aures tubercula procreata essent, his vigesimo die crisis oriebatur. Quibus vero non suppurarunt, is omnibus restincta & sedata sunt, sed ad vesicam conversa. Cratistonactæ apud Heraclium decumbenti, & Symni fullonis ancillæ suppurarunt, ac interierunt. Quibusdam vero morbus septimo die judicatus est; novem diebus intermisit, reversus est, & ex recidiva quarto die judicatus est. Phanacrito apud Gnathonem pictorem decumbenti die septimo judicatus est.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὃ καὶ πρόσθεν εἶπον, ἄξιον εἶναι μνήμης, ἀναμνήσω καὶ νῦν, ὅτι παραδοξότερόν τε καὶ ἀηθέστερον ἐκείνου. τὸ γὰρ χωρὶς τοῦ διαπυῆσαι τὰς παρωτίδας ὑπὸ μόνων τῶν κάτω γενομένων ἐκκρίσεων θεραπευθῆναι, μὴ πάνυ σύνηθες γενόμενον. ἐπέτεινεν ἐν τῷ νῦν λόγῳ γράψας Κρατιστονάκτη, καὶ τὴν τοῦ γραφέως θεράπαιναν ἀποθανεῖν ἐκπυησάντων τῶν περὶ τὰ ὦτα. μάχεσθαι γὰρ δοκεῖ, τό, πεπασμοὶ ταχυτῆτα κρίσεως καὶ ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ἀλλὰ νῦν γε τὰ μὲν κατὰ τὰς φλέβας αἴτια τῶν πυρετῶν, οὐκ ἔφθασε πεφθῆναι τῷ Κρατιστονάκτῃ, καὶ τῇ θεραπαίνῃ τοῦ γραφέως, ἢ οὐκ ἂν ἀπέθανον. Αἱ μέντοι παρωτίδες ἐπέφθησαν, ὅπερ ἔφην ἀηθέστερον εἶναι, καὶ δεῖν αὐτοῦ μνημονεύειν, ὡς ἐνδεχόμενον μερικὴν γενέσθαι πέψιν ἐν μορίῳ τινί, καίτοι τῆς ὅλης νόσου μὴ πεφθείσης. τὰ δ᾽ ἄλλα πάντα τὰ κατὰ τὸν τρόπον τοῦτον εἰρημένα περὶ τῶν κρίσεων, ἐξειργασάμεθα τελέως ἐν τοῖς περὶ κρίσεων καὶ κρισίμων ἡμερῶν γεγραμμένοις ἡμῖν ὑπομνήμασιν.

GALENI COMMENTARIUS.

C Quod & antea dixi memoria dignum esse, id nunc quoque memoraturus sum, quod illo tum admirabilius, tum rarius. Quod enim parotides citra suppurationem curaræ sint solis ad inferiores partes factis excretionibus, non valde consuetum est; sed rem auxit, scribens hac in oratione Cratistonacten & pictoris ancillam interjisse, ductis ad suppurationem parotidibus; Nam cum hoc pugnare videtur; Concoctiones judicationis celeritatem, securamque salutem denunciant. Verùm & nunc, quæ febrium in venis continebantur causæ D non priùs erant concoctæ Cratistonactæ & ancillæ pictoris, aut non interjissent. Parotides vero maturaverunt, quod rarum esse & memoria tenendum dixi, quod possibile sit particularem in parte aliqua concoctionem fieri, morbo toto haudquaquam concocto. Quæ cætera hoc modo de judicationibus dicta sunt, omnia absolutè prosequuti sumus in his quos de judicationibus & diebus judicatoriis commentariis scripsimus.

Τοὺς καύσους καὶ τὰ φρενιτικὰ θανάσιμα περὶ ἡλίου τροπὰς χειμερινὰς μέχρι ἰσημερίας παραμένειν, καὶ τότε τὰς κρίσιας ἀδήλους εἶναι. οἵτινες ἐπερρίγουν εἰκοστῇ τούτοις τεσσαρακοστῇ κρίνεσθαι.

E Febres ardentes & phrenitidas lethales circiter solstitium hybernum adusque æquinoctium vernum, ac tum crises incertas esse. Qui subriguere vigesimo die, eos quadragesimo judicari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πεʹ.

Ὑπὸ δὲ χειμῶνα, περὶ ἡλίου τροπὰς χειμερινάς, καὶ μέχρι ἰσημερίης παρέμενον μὲν καὶ οἱ καῦσοι, καὶ τὰ φρενιτικά, καὶ ἔθνησκον πολλοί. αἱ μέντοι κρίσιες μετέπεσον, καὶ ἔκρινε τοῖς πλείστοισιν ἐξ ἀρχῆς πεμπταίοισι, διέλιπε τεταρταίοισι, ὑπέστρεφεν. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε πεμπταίοισιν· τὸ δὲ σύμπαν τεσσαρεσκαιδεκαταίοισι. ἔκρινε δὲ παιδίοισιν οὕτω τοῖς πλείστοισιν, ἅτερ καὶ πρεσβυτέροισιν. ἔστι δ᾽ οἷσιν ἔκρινεν ἑνδεκάτῃ, ὑπέστρεφε τεσσαρεσκαιδεκάτῃ, ἔκρινε τελείως εἰκοστῇ. εἰ δέ τινες ἐπερρίγουν περὶ τὴν εἰκοστήν, τουτέοισιν ἔκρινεν τεσσαρακοστῇ. ἐπερρίγουν δὲ οἱ πλεῖστοι περὶ κρίσιν τὴν ἐξ ἀρχῆς. οἱ δὲ ἐπιρριγώσαντες ἐξ ἀρχῆς περὶ κρίσιν, καὶ ἐν τῇσιν ὑποστροφῇσιν ἅμα κρίσει.

HIPPOCRATIS TEXTUS LXXXV.

Sub hyemem circa brumale solstitium & ad æquinoctium usque febres ardentes & phrenitides perdurabant, multique moriebantur. Crises tamen variè exciderunt, & ex principio plurimis quinto die morbus judicatus est, diebus quatuor in- F *termisit, repetiitque, & à recidiva quinto die judicabatur; denique summa dierum quatuordecim. Pueris ita plurimis etiam natu grandioribus judicatio contigit. Quibusdam etiam undecimo judicabatur, decimoquarto recidebat, ac vigesimo perfectè judicabantur. Quod siqui vigesimo superriguerint, his quadragesimo judicabatur. Superriguerunt autem plurimi sub judicium primum. Qui vero sub judicium per initia riguerunt, etiam in recidivis unà cum judicio riguerunt.*

A

GALENI COMMENTARIUS.

Hic hyemis anni secundi non primi meminit, quam ipso in statu explicuit, superiùs à me causa dicta est, cujus gratiâ phrenitides non per initia; sed postea redundarint. Præterea præfinitos judicationum dies immutatos esse pronunciat, ac rursum etiam harum varietatem exponit, quæ cum prædictis communem habent recidivam. Pueris quoque atque his etiamnum ætate provectioribus judicationes decimoquarto prorsus accidisse profert; His etenim morborum causæ celerrime discutiuntur, concoquuntque. Cæteris non solùm ad vigesimum, verùm & ad quadragesimum pervenisse ait ex recidiva judicationem ultimam; nihilque mirum est si insignes judicationum differentiæ in morborum varietate extiterint.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Χειμῶνος νῦν μνημονεύει κατὰ τὸ δεύτερον ἔτος, οὐχὶ κατὰ τὸ πρότερον ὃν ἐν τῇ καταστάσει διηγήσατο, καὶ λέλεκταί μοι πρόσθεν ἡ αἰτία, δι' ἣν αἱ φρενίτιδες ὕστερον ἐπλεόνασαν, οὐκ οὖσαι κατ' ἀρχάς, ἀλλὰ καὶ τὰς τῶν κρίσεων προθεσμίας μεταπεσεῖν φησί, καὶ διηγεῖται αὖ καὶ τὴν τούτων ποικιλίαν, κοινὴν ἐχουσῶν πρὸς τὰς ἔμπροσθεν εἰρημένας τὸ μεθ' ὑποστροφὴν γίνεσθαι. παιδίοις μὲν οὖν, καὶ τοῖς τούτων ἔτι πρεσβυτέροις, τεσσαρεσκαιδεκαταίας τὸ σύμπαν γενέσθαι φησὶ τὰς κρίσεις· καὶ γὰρ διαφορεῖται τάχιστ' αὐτοῖς τὰ τῶν νόσων αἴτια καὶ πέττεται. τοῖς δ' ἄλλοις οὐ μόνον εἰς τὴν εἰκοστήν, ἀλλὰ καὶ εἰς τὴν τεσσαρακοστὴν ἀφικνεῖσθαί φησιν ἐξ ὑποστροφῆς τὴν ὑστάτην κρίσιν, καὶ οὐδὲν θαυμαστὸν ἀξιολόγους γενέσθαι διαφορὰς τῶν κρίσεων ἐπὶ τῇ ποικιλίᾳ τῶν νοσημάτων.

B

Cur rigor vere paucissimis, æstate pluribus, autumno adhuc pluribus, & sub hyemem quamplurimis febricitantibus accidat, ac cessent hæmorrhagiæ.

Διὰ τί ὁ ῥῖγος τοῦ ἦρος τοῖς ἐλαχίστοις, θέρεος δὲ πλείοσι, φθινοπώρου δὲ ἔτι πλείοσιν, ὑπὸ δὲ χειμῶνα τοῖς πολλῷ πλείστοις πυρεταίνουσι συμβαίνῃ, καὶ αἱ αἱμορραγίαι ὑπολήγωσι.

C

HIPPOCRATIS TEXTUS LXXXVI.

Vere autem rigebant paucissimi, æstate plures, autumno etiamnum plures, sub hyemem longè plurimi. At sanguinis per nares profluvia cessarunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πϛ'.

Ἐπερρίγουν δ', ἐλάχιστοι μὲν τοῦ ἦρος, θέρεος δὲ πλείους, φθινοπώρου δ' ἔτι πλείους, ὑπὸ δὲ χειμῶνα πολλῷ πλεῖστοι, αἱ δ' αἱμορραγίαι ὑπέλειπον.

GALENI COMMENTARIUS.

Veris nunc meminit quod in primo statu ab ipso pronunciatum est, non secundi anni: Non enim eousque morborum grassantium enarrationem produxit, verùm ad secundam usque hyemem extendit. Cur autem temporis progressu in dies etiam atque etiam superrigentium numerus augeretur, jam pro viribus antea narraui illam oratione, ubi quum admonerem, ostendi rigorem fieri quum flava bilis solida permeat corpora, non autem in vasorum cavitatibus continetur. Itaque quum in motu per initia esset, febres ardentes procreavit; postea vero in carnosas transiens partes, ubi per eas foras pelleretur, rigorem fecit. Paulatim vero sanguinis eruptiones desinebant, quod bilis non amplius in venis esset, sed in universum corpus diffusa esset.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἦρος μέμνηται νῦν τοῦ κατὰ τὴν προτέραν κατάστασιν ὑπ' αὐτοῦ ῥηθέντος, οὐ κατὰ τὸ δεύτερον ἔτος. οὐ γὰρ ἐξέτεινεν ἐπὶ τοσοῦτόν γε τὴν διήγησιν τῶν γιγνομένων νοσημάτων, ἀλλὰ μέχρι τοῦ δευτέρου χειμῶνος ἀφίκετο. διὰ τί δὲ τοῦ χρόνου προϊόντος ἀεὶ καὶ μᾶλλον ὁ τῶν ἐπιρριγούντων ἀριθμὸς ηὐξάνετο, πρόσθεν ἤδη μοι δυνάμει λέλεκται κατ' ἐκεῖνον τὸν λόγον, ἡνίκα μὲν ἀνεμίμνησκον. ἐπιδέδεικταί μοι τὸ ῥῖγος γινόμενον, διὰ τῶν στερεῶν σωμάτων διερχομένης τῆς ξανθῆς χολῆς, οὐκ ἐν ταῖς κοιλότησι τῶν ἀγγείων περιεχομένης. ἐν ἀρχῇ μὲν οὖν ἐν κινήσει οὖσα, τοὺς καύσους ἐγέννησε. μεταλαμβανομένη δ' ὕστερον εἰς τὰ σαρκώδη μόρια, καὶ δι' αὐτῶν ἐπὶ τὰ ἐκτὸς φερομένη, τὸ ῥῖγος εἰργάσατο. κατ' ὀλίγον δ' ἀπεπαύσαντο τὰς αἱμορραγίας· μηκέτ' ἐν ταῖς φλεψὶν οὔσης, ἀλλὰ διασκεδαννυμένης εἰς ὅλον τὸ σῶμα.

D





ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ ΥΠΟΜΝΗΜΑΤΑ ΤΡΙΑ.

HIPPOCRATIS EPIDEMIORUM LIBER PRIMUS, ET GALENI IN EUM COMMENTARII TRES.

ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Πρῶτον μὲν θεωρήματά τινα τὰ πρὸς τὴν τῶν νοσημάτων διάγνωσιν, καὶ πρόγνωσιν χρήσιμα, ἔπειτα δὲ αἱ τῶν ἀρρώστων δεκατεσσάρων ἱστορίαι διαγράφονται.

COMMENTARIUS TERTIUS.

ARGUMENTUM LIBRI.

Primum præcepta quædam ad morborum dignotionem, & prænotionem utilia; deinde ægrorum quatuordecim historia describitur.

Ἅτινα, καὶ ὁποῖα, καὶ ὁπόσα ᾖ, καὶ πότερον πέντε, καὶ τεσσαράκοντα ἐνταῦθα εἰρημένα, ἀφ᾽ ὧν ἡ τῶν νοσημάτων διάγνωσίς τε καὶ πρόγνωσις ἐπάγηται, ἐξηγεῖται ὁ Γαληνός.

A Quæ, & qualia, & quoties, & utrum quadragintá quinque hîc commemorata, à quibus morborum tum dignotio, tum prænotio eliciatur, explicat Galenus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

Τὰ δὲ περὶ τὰ νοσήματα ἐξ ὧν διαγινώσκομεν μαθόντες ἐκ τῆς κοινῆς φύσεως ἁπάντων, καὶ τῆς ἰδίης ἑκάστου, ἐκ τοῦ νοσήματος, ἐκ τοῦ νοσέοντος, ἐκ τῶν προσφερομένων, ἐκ τοῦ προσφέροντος. ἐπὶ τὸ ῥᾷον γὰρ καὶ χαλεπώτερον ἐκ τούτων, ἐκ τῆς καταστάσεως ὅλης, καὶ κατὰ μέρεα τῶν οὐρανίων, καὶ χώρης ἑκάστης, καὶ ἑαυτοῦ ἔθεος,

HIPPOCRATIS TEXTUS I.

MORBOS dignoscimus ex communi omnium natura, & cujusque propria edocti. Ex morbo, ex ægroto, ex oblatis, & offerente; ex his etenim ad faciliorem, ac difficiliorem dignotionem deducimur; ex universali ac particulari cælestium statu, & unuscujusque regionis; ex consuetudine, ex victu, ex vitæ institutis;

ex

ex cujusque ætate, sermonibus, moribus, silentio, cogitationibus, somnis, vigiliis, insomniis quibusdam, & quando; vellicationibus, pruritibus, lachrymis, accessionibus, dejectionibus, urinis, sputis, vomitionibus, & quæ, ex quibus, in quos morborum successiones; & qui abscessus ad perniciem aut ad judicium; sudor, rigor, frigus, tussis, sternutamenta, singultus, spiritus, ructus, flatus silentes, strepentes, sonori; hæmorrhagiæ, hæmorrhoides. Ex his autem & quæ per hæc contingunt, consideranda sunt.

GALENI COMMENTARIUS.

Hæc ascripta esse nonnulli censent, his similem sortita tum interpretationem, tum sententiam in libro de humoribus descriptis, quæ aliis commentariis prius interpretati sumus. Hæc sanè sunt prognostica theoremata, quibus docet Hippocrates universales scopos à quibus prænotiones fieri oportet. Cæterùm communem quidem naturam appellat, quæ omnium hominum est; propriam verò uniuscujusque nostrum. Quod autem ex ambabus fieri tum dignotiones, tum prænotiones oporteat; quodque securior sit ea quæ ex propria oritur natura, in prognostico, & in libris de fracturis, de articulis, & de capitis vulneribus, & quos antea explicavimus. Jubens itaque semper partem affectam cum suo qui secundùm naturam est, statu conferre, orationi adjecit aliena negligenda non esse, ita vero & quum inquit; At in acutis morbis speculari sic oportet. Primum si ægroti facies sanorum faciebus & præsertim suæ similis sit (hoc enim pacto optima fuerit) Quod si proprium cujusque ægrotantis colorem, magnitudinemque noverimus, communi non opus erit. Quia vero non propriam hominum omnium naturam priùs agnoscimus, imò quod ex inopinato sæpius ad ignotos vocemur, principium dignotionis morborum & prænotionis futurorum à communibus facimus. Si nanque nasus acutus non sit, neque cavi oculi fuerint, neque collapsa tempora, neminem de ægro interrogamus. Si vero nasus acutus fuerit, cavique oculi, & collapsa tempora apparuerint, tum quo pacto haberet, quum secundùm naturam esset, interrogamus. Sic autem & ex morbo prænotiones futurorum fiunt, nempe tibi pluribus demonstratum est, tum in libris de crisibus, tum in aphorismorum commentariis, tertianas exquisitas celeriter judicari, quartanas verò diuturnas esse, & utrasque periculis vacare; phrenitidem præterea & lethargum periculosos & acutos; lienis item scirrhum, tum periculosum, tum diuturnum. Ex ipso autem ægroto futurorum prænotio duplici modo fit. Alter modus est, quum inquit; in composito homine audax responsio malum. Contra turbulentus si ægrotaverit, non solùm si audacter loquatur, verùm neque si in urente febre deliraverit, periclitabitur. Alter modus talis est; si æger quæ deceant omnia fecerit, & Medico obtemperans nihil juvetur, graviter ægrotat; contrario vero prorsus modo, si nihil ægrotus quod oporteat fecerit, mediocriter habet. Sic & ex cibis exhibendis prænotio erit: Quod si cibi pravi fuerint, & nihilo deterior fiat,

ἐκ τῆς διαίτης, ἐκ τῶν ἐπιτηδευμάτων, ἐκ τῆς ἡλικίης ἑκάστου, λόγοισι, σιγῇ, διανοήμασιν, ὕπνοισιν, οὐχ ὕπνοισιν, ἐνυπνίοισιν οἷσι, καὶ ὅτε, τιλμοῖσι, κνησμοῖσι, δακρύοισιν· ἐκ τῶν παροξυσμῶν, διαχωρήμασιν, οὔροισι, πτύσμασιν, ἐμέτοισιν. καὶ ὅσαι ἐξ οἵων εἰς οἷα διαδοχαὶ νοσημάτων, καὶ ἀποστάσιες ἐπὶ τὸ ὀλέθριον, καὶ κρίσιμον· ἱδρὼς, ῥῖγος, ψύξις, βὴξ, πταρμοὶ, λυγμοὶ, πνεύματα, ἐρεύξεις, φῦσαι σιγώδεες, ψοφώδεες [ἠχώδεες] αἱμοῤῥαγίαι, αἱμοῤῥοΐδες, ἐκ τούτων δὲ καὶ ὅσα διὰ τούτων, σκεπτέον.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνιοι ταῦτα παραγεγράφθαι νομίζουσιν, ὁμοίαν ἔχοντα τὴν ἑρμηνείαν καὶ τὴν διάνοιαν τοῖς ἐν τῷ περὶ χυμῶν γεγραμμένοις, ἃ προεξήγημαι δι᾽ ἑτέρων ὑπομνημάτων. ἔστι δὲ δηλονότι προγνωστικὰ καὶ τὰ θεωρήματα διδάσκοντος αὐτοῦ καθόλου σκοπούς, ἀφ᾽ ὧν χρὴ τὰς προγνώσεις ποιεῖσθαι. Κοινὴν μὲν οὖν φύσιν ὀνομάζει τὴν ἁπάντων ἀνθρώπων, ἰδίαν δὲ τὴν καθ᾽ ἕκαστον ἡμῶν. ὅτι μὲν ἐξ ἀμ-
C φοτέρων δεῖ ποιεῖσθαι τὰς διαγνώσεις καὶ προγνώσεις, ἀσφαλεστέρα δ᾽ ἐστὶν ἐκ τῆς ἰδίας φύσεως γιγνομένη, μεμάθηκας ἐν τῷ προγνωστικῷ, κἀν τῷ περὶ ἀγμῶν τε καὶ περὶ ἄρθρων, ἐπί τε τῶν ἐν τῇ κεφαλῇ τραυμάτων, ἃ καὶ αὐτὰ προεξηγησάμεθα. κελεύων οὖν ἀεὶ παραβάλλειν τὸ πεπονθὸς μόριον τῷ κατὰ φύσιν περιέχοντι, προσέθηκε τῷ λόγῳ, ὅτι μὴ τὰ ἀλλότρια καθορᾶν. οὕτως δὲ, κἀπειδὰν φησι. σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖς ὀξέσι νοσήμασιν, πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δ᾽ εἰ αὐτὸ ἑωυτῷ (οὕτω γὰρ ἂν εἴη
D ἄριστον) καὶ ἔστ᾽ ἄν γε τὸ ἴδιον ἑκάστου τῶν νοσούντων ἐπιστάμεθα χρῶμα καὶ μέγεθος, οὐδὲν τοῦ κοινοῦ δεόμεθα. διὰ δὲ τὸ μὴ προγινώσκειν ἡμᾶς ἅπαντας ἀνθρώπους ὅπως εἶχον φύσεως, ἀλλ᾽ ἐξαίφνης πολλάκις ἐπὶ τοὺς ἀγνώστους καλεῖσθαι, τὴν ἀρχὴν τῆς τε διαγνώσεως ἀπὸ τῶν παθῶν, καὶ τῆς ἐσομένης προγνώσεως ἀπὸ τῶν κοινῶν ποιούμεθα. οἷς γὰρ μήτε ῥὶς ὀξεῖα, μήτ᾽ ὀφθαλμοὶ κοῖλοι, μήτε κρόταφοι ξυμπεπτωκότες εἶεν, οὐδὲν ἐρωτῶμεν οὐδένα περὶ τοῦ νοσοῦντος. Εἰ δὲ ῥὶς μὲν ὀξεῖα, ὀφθαλμοὶ δὲ κοῖλοι, κρόταφοί τε ξυμπεπτωκότες φαίνονται, τηνικαῦτα ἐρωτῶμεν ὅπως διέκειτο κατὰ φύσιν ἔχων. οὕτω δὲ κἀκ τοῦ νοσήματος αἱ προ-
E γνώσεις γίνονται τῶν μελλόντων ἔσεσθαι. δέδεικται γάρ σοι διὰ πλειόνων ἔν τε τοῖς περὶ κρίσεων, καὶ τοῖς εἰς ἀφορισμοὺς ὑπομνήμασι. τριταῖος μὲν ἀκριβὴς, ταχυκρίσιμος ἐστὶ, τεταρταῖος δὲ, χρόνιος, ἀμφότεροι δ᾽ ἀκίνδυνοι. Φρενίτις δὲ καὶ λήθαργος, ἄμφω κινδυνώδη καὶ ὀξέα. σκίῤῥος δὲ σπληνὸς, ὀλέθριόν τε καὶ χρόνιον. Ἐκ δὲ τοῦ νοσοῦντος αὐτοῦ πρόγνωσις γίνεται τῶν ἐσομένων κατὰ διττὸν τρόπον. ἔστι δ᾽ αὐτῶν ὁ μὲν ἕτερος τοιοῦτος, ἐκ κοσμίου φησὶ, θρασεῖα ἀπόκρισις, κακόν·
F ἔμπαλιν δὲ θορυβώδης ἄνθρωπος νοσῶν, οὐ μόνον εἰ φθέγξεται θρασέως, ἀλλ᾽ οὐδ᾽ εἰ παραφρονήσει ἐν διακαεῖ πυρετῷ κινδυνεύσειεν. Ὁ δ᾽ ἕτερος τρόπος τοιόσδ᾽ ἐστὶν, εἰ πάντα τὰ προσήκοντα ποιῶν ὁ κάμνων καὶ κατακούων τοῦ ἰατροῦ, οὐδὲν ὀνίναται, χαλεπῶς νοσεῖ. τοὐναντίον δ᾽ αὐτὸν, εἰ μηδὲν τῶν δεόντων πράττων νοσῶν, μετρίως διάκειται. οὕτως δὲ κἀκ τῶν προσφερομένων ἡ πρόγνωσις ἔσται. μοχθηρῶν γὰρ ὄντων αὐτῶν, ἐπειδὰν μὴ χεῖρον γίγνοιτο,

μετρίως νοσεῖ, προσηκόντως δ' ἁπάντων γινομένων, εἰ πρὸς τῷ μηδὲν ὀνίνασθαι, σφοδρύνοιτο, μοχθηρόν. ἐγὼ δ' ὅτι μὴ μόνον τοὺς τρόπους τῶν νοσημάτων, ἀλλὰ καὶ τὰς ἰδέας ἐνίοτε διέγνων ἐκ τῶν προσφερομένων, ἐθεάσασθε πολλάκις· ἀλλ', ὡς ἔφην ἐπὶ πλέον ἐν ἑτέροις, ὑπὲρ ἁπάντων τούτων διῆλθον. ὅταν δὲ κἀκ τοῦ προσφέροντος λέγῃ προγινώσκεσθαι ῥᾷον ἢ χαλεπώτερον, ἐν ταῖς νόσοις ἀκούειν χρή. Τοιόνδε τι θεώμενοι πολλάκις, ἤτοι διάθεσις χρονία, ἢ καὶ πυρετώδη νοσήματα χρόνια, προστίθεμέν τι τῇ διαγνώσει, κἀκ τοῦ γνῶναί τις ὁ θεραπεύων ἦν ἰατρός, εἰ μὲν γὰρ ἀξιόλογος, ὀλίγας ἐλπίδας ἔχομεν τῆς ἰάσεως, εὔδηλον γὰρ ὅτι κακοήθης ἐστὶν ἡ νόσος εἰ πάντων ὀρθῶς γινομένων, οὐδὲν ὀνοῦται. Φαύλου δ' ὄντος, εἰκὸς εἶναι νομίζομεν, εἰ καλῶς ἅπαντα πραχθείη, σωθήσεσθαι τὸν ἄνθρωπον. ἀλλὰ κἀκ τῆς καταστάσεως ἔφη, τουτέστιν τῆς ἰδίας τοῦ περιέχοντος κράσεως ἔσεσθαι τὰς προγνώσεις. τὸ δ' ὅλης καὶ κατὰ μέρεα τῶν οὐρανίων ἐστὶν, εἰ μεμνήμεθα τῶν ἐν ταῖς προγεγραμμέναις τρισὶ καταστάσεσιν εἰρημένων, ἐφ' ὧν αὐτὸς ὁ Ἱπποκράτης τὰ ἐν τῷ περιέχοντι γινόμενα κατὰ θερμότητα καὶ ψυχρότητα διερχόμενος, ἐπὶ τῆς τελευτῆς αὐτῶν ἀπεφήνατο τὴν ἐπικρατήσασαν κρᾶσιν, οἷον
» ὅταν εἴπῃ, γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια
» καὶ μετ' αὐχμῶν, καί τοι οὔτε δι' ὅλου τοῦ ἔτεος, οὔτε νότος
» ἔπνευσεν, οὔτ' αὐχμὸς ἐγένετο. πάλιν δὲ, ὅταν εἴπῃ, γενο-
» μένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ, καὶ ψυχροῦ, καὶ βορείου, κατὰ
» πλεονάζον ἀποφαίνεται. τὸ γὰρ μηδεμίαν ἡμέραν ἐν ὅλῳ
» τῷ ἔτει μήτε θερμὴν γενέσθαι, μήτε ξηρὰν, μήτε νότιον,
» ἀδύνατον ἦν. οὕτως δὲ καὶ τὰς τῶν νοσημάτων ἰδέας πολὺ μὲν ἐνεδέχετο γενέσθαι τοίας, οὐ μὴν ἀδύνατον τὸ παρεμπεσεῖν ἑτέρας. ἀμέλει συντελέσας τῆς πρώτης καταστάσεως τὴν διήγησιν, ἐπὶ τῇ ταύτης τελευτῇ κατὰ λέξιν οὕτως ἔγραψεν.
» ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει
» ταύτῃ, μόνοις τοῖσι φθινώδεσι θανατώδεα συνέπεσεν. ἐπεὶ τοῖσι γ' ἄλλοις εὐφόρως πᾶσι, καὶ θανατώδεις ἐν τοῖς ἄλλοις πυρετοῖς οὐκ ἐγένετο, οὔτε ἓν εἶδος ἐπεδήμησε νοσημάτων, οὔτε μία κατάστασις ἐν ὅλῳ τῷ ἔτει διὰ παντὸς ἐγένετο. κατὰ δὲ τὸ ἐπικρατοῦν τῆς κράσεως, ἤτοι ψυχρὰν, καὶ ὑγρὰν, ἢ τινα τῶν ἄλλων κράσεων ἡμεῖς
» λέγομεν. ὁ δ' Ἱπποκράτης ἔγραψεν. ἦρος μὲν γὰρ ἄλλα
» νοσήματα, θέρεος δ' ἄλλα, καὶ φθινοπώρου μὲν ἄλλα, χει-
» μῶνος δ' ἄλλα συνέβη γενέσθαι καθ' ἑκάστην ὧν ἔγραψε
» καταστάσεων. ἐπικρατεῖν δ' ὅμως ἐν ὅλῳ τῷ ἔτει, κατὰ μὲν τήνδε τὴν κατάστασιν τουτὶ τὸ νόσημα, καθ' ἑτέραν δὲ τουτί. τοῦτ' οὖν ἐστὶ τὸ λεγόμενον, ἐκ τῆς καταστάσεως ὅλης, καὶ κατὰ μερέα τῶν οὐρανίων. προσέθηκε καὶ τῷ λόγῳ, τῶν οὐρανίων, ἐπειδὴ ψιλῶς λεχθὲν ἄνευ τῆς προσθήκης τὸ τῆς καταστάσεως ὄνομα, καὶ τὴν τῆς χώρας ἰδέαν δηλοῦν δύναται, καὶ παντὸς ἄλλου πράγματος. ἀμέλει καὶ συνάπτων ἐρεῖ, ἐκ τῆς καταστάσεως ὅλης τε καὶ κατὰ μέρεα τῶν οὐρανίων, καὶ χώρας ἑκάστης, καὶ τοῦ ἔθεος. ὅτι δὲ καὶ ἡ τῆς χώρας ἰδέα μεγάλα συντελεῖ πρὸς τὴν τῶν ἐσομένων πρόγνωσιν, ἐπιδέδεικται πολλάκις. ἀρκεῖ δὲ νῦν ἀναπέμψαι πρὸς τὸ περὶ ἀέρων καὶ ὑδάτων καὶ τόπων βιβλίον, ἐν ᾧ διδάσκει τίνα καθ' ἑκάστην ὥραν πλεονάζει νοσήματα. τούτων γὰρ ἥ τε γένεσις τοῖς ἐπιχωρίοις σύντροφος, ὅ τ' ἀπ' αὐτῶν κίνδυνος ἥττων, ὡς ἂν οἰκείων ὄντων. ἀλλὰ

A mediocriter ægrotat; quum verò omnia decenter fiunt, si præter id quod nihil juvetur, etiam exacerbetur, malum. At me non morborum duntaxat modos, verumetiam ideas interdum ex oblatis cibis dignouisse plerunque vidistis. Sed de his omnibus, ut dixi, aliàs plura disserui. Quum vero & ex offerente cibos prænosci faciliùs aut difficiliùs pronunciat, in morbis intelligere oportet. Tale autem quicquam sæpius conspicientes sive morbus diuturnus sit, sive febriles affectus
B diuturni fuerint, dignotioni quidpiam addimus, & ex eo quod noscamus quisnam esset Medicus, qui clarus & insignis sit, spem sanationis minimam habemus: quod enim malignus sit morbus, si omnibus rectè factis nihil juvetur, constat omnibus. Si vero vilis sit & imperitus, incolumem fore hominem, si omnia rite instituta essent, probabili ratione auguramur. Imò etiam ex statu, hoc est, peculiari ambientis nos aëris temperamento fore prænotiones pronunciat. Istud autem, ex universali ac particulari cælestium statu, tale est;
C si meminerimus eorum quæ *prius* in descriptis tribus statibus enunciata sunt, in quibus Hippocrates ipse quæ in ambiente contingebant secundum calorem & frigus percurrens ad illorum finem præpollens temperamentum pronunciavit, ut quum loquitur; Toto autem statu austrino & calido facto, etiamsi neque per totum annum auster spirasset, neque squalor fuisset. Rursum quum effatur; facto autem anno toto humido, frigido & aquilonio quod redundabat pronunciavit: Non enim fieri poterat ut nullus dies toto anno calidus fuisset, nullus siccus, nul-
D lus humidus. Sic etiam morborum formas tales esse sanè multò erat convenientius, non tamen quin aliæ interciderint. Hîc tandem absoluti primi status expositione in hujus fine sic ad verbum scripsit. 'Ex omnibus qui hoc in statu scripti sunt, lethale pathema solis tabidis accidit; in cæteris enim omnibus commodè habebant, neque lethale quicquam aliis in febribus, neque grassabatur una morborum species, neque status unus toto anno perpetuo erat. At ex temperamenti victoria aut frigidum, aut humidum, aut aliud quoddam nos
E temperamentum, dicimus. Hippocrates autem scripsit; vere nanque alii morbi, æstate alii, autumno alii, & hyeme alii acciderunt in frigidis quos scripsit statibus; per totum tamen annum hoc statu hic morbus dominabatur, atque alter in altero. Quod autem dicitur, id existit; *Ex universo & particulari statu cælestium.* Addidit autem orationi, cælestium, quoniam nudè & sine adjectione enunciatum status nomen, regionis ideam quoque indicare potest, reique alterius cujuscunque. Ac tandem
F connectens ait; ex universo & particulari statu cælestium, ex unaquaque regione & consuetudine. Quod autem & regionis idea ad futurorum prænotionem magnopere conferat, sæpius demonstratum est. Nunc vero satis sit ad librum de aëre locis & aquis remittere, in quo docet Hippocrates quinam morbi in unaquaque regione exuberent: Horum enim generatio indigenis est vernacula, minusque ab ipsis impendet periculi, quod familiares sint. Imò

verò etiam ex consuetudine ad prænotionem auxilium esse docet. Itaque in prognostico additis ex consuetudine distinctionibus, interdum quidem ita loquitur; Pronum vero in ventrem cubare, cui per sanitatem ita dormire consuetum non est, aut delirium, aut ventris dolorem portendit. Interdum vero ita; Per febres dentibus stridere, quibus à pueris consuetum non est, insaniam ac mortem significat. Præterea ex laborantis victu quo usus sit, artificiosè conjici queant quales & quanti humores exuberent. Hisce vero cognitis, præsens corporis affectus cognitu facilior est, & expeditior venturorum prænotio redditur. Ex vitæ quoque institutis imperat prænotiones duci. Vocitant autem omnia vitæ instituta, quæcunque faciunt homines aut utilitate aut necessitate ducti, qui vel navigant, vel terram colunt, aut ædificant & fabrificant, aut venantur, aut lubenter sese exercent, ut qui sæpius in aquis calidis aut frigidis lavantur. Itaque licet ex his ad quæ studia sua conferunt, de morbi dispositione conjectare. Qui nanque in agro egit æstate in sole apricatus, in laboribus & victu tenui, is amaram bilem potiùs quàm in pituitosum humorem, quantum in ipso fuit, collegisse potest. Contrà vero qui urbem incoluerit, in umbra bis die lotus, atque in otio sese perfectè cibis impleverit, is pituitosum magis accumulasse potest; sed & in cæteris eadem est ratio. Quod autem & ex ætate ad præsentium dignotionem & futurorum prænotionem non parvum emolumentum habeamus, disces ex aphorismis, in quibus de ætatibus disseruit. Jam vero librum hunc antea exposuimus. Quin & ex verbis ab ægrotante prolatis tum ad præsentium dignotionem, tum ad futurorum prænotionem juvari possumus. At ipsa significatio illi quæ ex moribus ducitur, conjuncta est, & communicat. Si nanque sermones ægrotanti sint quos pro more per sanitatem habuerit, nihil periculosum fore spectabimus; si vero consuetis contrarios æger proferat, perniciosum signum est: quædam enim suspicio nobis inde est, læsam esse ipsius mentem. Quod autem deinceps τρόποισι hoc est, modis ab Hippocrate pronunciatum est, quid id significet videamus. Hac enim voce Veteres in duobus significatis utuntur; interdum quidem ad animi mores referunt; interdum vero ad differentias vel ideas rei de qua agitur præsentis, ut si de victus ratione sit oratio. Author si victus rationes τρόπους dicat, ipsius differentias vel formas declarat, quemadmodum etiam si febrium τρόπους multos esse dixerit, harum differentias vel species significat. Hoc itaque loco vel animi mores significat per verbum τρόποισι vel sermonum differentias, quoniam de sermone mentionem fecit, ac si ita dixerit; sermonibus, & ex eorum speciebus vel differentiis; differentias enim vel formas vel species in præsenti nihil refert dicere, quum hæc omnia fiant in eorum sectione quæ generaliter intelliguntur. Quemadmodum autem sermones de ægrotantis dispositione quidpiam docent, sic & taciturnitas quæ præter naturam vel secundùm naturam in ægro comperitur. Hæc enim natura taci-

A καὶ τοῦ ἔθους εἰς πρόγνωσιν ὠφελεῖσθαί σε διδάσκει. ἐν γοῦν τῷ προγνωστικῷ προσθεὶς αὖθις τοὺς ἐκ τῆς συνηθείας διορισμούς, ἐνίοτε μὲν οὕτως φησίν· ἐπὶ γαστέρα δὲ κατακεῖσθαι, ᾧ μὴ σύνηθές ἐστι, καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην σημαίνει, ἢ ὀδύνην τῶν περὶ τὴν κοιλίην. ἐνίοτε δὲ οὕτως· ὀδόντας πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ σύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες. ἀλλὰ καὶ ἐκ τῆς διαίτης τοῦ κάμνοντος ἢ διῃτήθη, δυνατόν ἐστιν στοχάσασθαι B τεχνικῶς ὁποῖοί τέ εἰσι, καὶ ὁπόσοι, οἱ πλεονάζοντες χυμοί. τούτων δὲ γνωσθέντων, ἥ τε παροῦσα τοῦ σώματος διάθεσις εὐγνωστοτέρα, καὶ ἡ πρόγνωσις τῶν ἀποβησομένων ἑτοιμοτέρα γίνεται· ἀλλὰ καὶ ἐκ τῶν ἐπιτηδευμάτων ἀξιοῖ τὰς προγνώσεις ποιεῖσθαι. καλοῦσι δὲ ἐπιτηδεύματα πάντα, ὅσα πράττουσιν οἱ ἄνθρωποι διὰ χρείαν, ἢ ἀνάγκην, εἴτε ναυτιλλόμενοι, εἴτε γεωργοῦντες, ἢ οἰκοδομοῦντές τε καὶ τεκταινόμενοι, κυνηγετοῦντες, ἢ φιλογυμναστοῦντες, ὡς λούεσθαι πολλάκις ἐν ὕδασι θερμοῖς ἢ ψυχροῖς. ἔνεστιν οὖν ἐφ' ὧν ἐπιτηδεύουσι C τεκμήρασθαι περὶ τῆς κατὰ τὴν νόσον διαθέσεως. ὁ μὲν γὰρ ἐν ἀγρῷ διῃτημένος ὥρᾳ θέρους ἐν ἡλίῳ ὑπαίθριος, καὶ πόνοις, καὶ λεπτῇ διαίτῃ, τὸν πικρόχολον χυμὸν μᾶλλον, ἢ τὸν φλεγματικόν, ὅσον ἐπὶ τούτῳ, ἠθροικέναι δύναται. ὅστις δὲ ἔμπαλιν τῷδε κατὰ πόλιν, ἐν σκιᾷ λουόμενος δὶς τῆς ἡμέρας, ἀργῶς δὲ ἐμπιπλάμενος διατελεῖ, τὸν φλεγματικὸν μᾶλλον, ἐπί τε δὲ ἄλλων ἀνάλογον. ὅτι δὲ καὶ ἐκ τῆς ἡλικίας εἴς τε τὴν τῶν παρόντων διάγνωσιν καὶ τὴν τῶν ἐσομένων πρόγνωσιν, οὐ σμικρὰν ὠφέλειαν ἔχομεν, ἔκ τε τῶν ἀφορισμῶν μαθήσῃ, D καθ' οὓς περὶ τῶν ἡλικιῶν διελέγετο, προεξηγησάμεθα δὲ ἤδη τὸ βιβλίον. ἀλλὰ καὶ ἐκ τῶν λόγων, ὧν ὁ κάμνων λέγει, δυνατόν ἐστι πρὸς τὴν τῶν παρόντων διάγνωσιν, καὶ πρὸς τὴν τῶν μελλόντων πρόγνωσιν ὠφελεῖσθαι. συνῆπται δὲ ἡ σημείωσις αὕτη, καὶ κοινωνεῖ τῇ κατὰ τὸ ἦθος. ἐὰν μὲν γὰρ κατὰ τὸ ἦθος ὃ πρόσθεν ἐτύγχανεν ἔχων ἐν τῷ ὑγιαίνειν ὁ κάμνων, οἱ λόγοι φαίνονται γινόμενοι, χαλεπὸν οὐδὲν ἔσεσθαι προσδοκήσομεν. εἰ δ' ἐναντίους τῶν ἐθῶν ὁ κάμνων λόγους λέγει, μοχθηρὸν τὸ σημεῖον· ὑπόνοια γάρ τις ἡμῖν ἐκ τούτου γίνεται βεβλάφθαι τὴν E διάνοιαν αὐτοῦ, τὸ δὲ, τρόποισιν, ἐφεξῆς εἰρημένων, εἴδωμέν τι σημαίνει. χρῶνται γὰρ οἱ παλαιοὶ τῇ φωνῇ ταύτῃ κατὰ δυοῖν σημαινομένων, ἐνίοτε μὲν ἐπὶ τὸ τῆς ψυχῆς ἦθος αὐτὸ φέροντες, ἐνίοτε δ' ἐπὶ τὰς διαφορὰς, ἢ τὰς ἰδέας τοῦ προκειμένου κατὰ τὸν λόγον πράγματος, οἷον εἰ περὶ διαίτης ὁ λόγος. τρόπους διαίτης εἰπὼν ὁ συγγραφεὺς, τὰς διαφορὰς αὐτὰς, ἢ τὰς ἰδέας δηλοῖ, καθάπερ γε καὶ εἰ πυρετῶν εἴποι τρόπους εἶναι πολλοὺς, τὰς διαφορὰς τούτων, ἢ τὰ εἴδη σημαίνει. καὶ τοίνυν ἤτοι F τὰ τῆς ψυχῆς ἤθη δηλοῖ, διὰ τῆς φωνῆς, τρόποισιν, ἢ τὰς τῶν λόγων διαφορὰς, ἐπειδὴ περὶ λόγων προείρηκεν, ὡς εἰ καὶ οὕτως εἶπε, λόγοισι καὶ ταῖς τῶν αὐτῶν, ἢ διαφοραῖς. διαφορὰς γὰρ, ἢ ἰδέας, ἢ εἴδη κατὰ τὸ παρὸν, οὐ διοίσει λέγειν, ἁπάντων τούτων γινομένων ἐν τῇ τομῇ τῶν γενικῶς νοουμένων. ὥσπερ δ' οἱ λόγοι διδάσκουσί τι περὶ τῆς διαθέσεως τοῦ νοσοῦντος, οὕτω καὶ ἡ σιγὴ παρὰ φύσιν, ἢ κατὰ φύσιν οὖσα τῷ κάμνοντι. τῷ μὲν γὰρ φύσει σιω-

πηλῷ, κατὰ φύσιν ἐστὶ, τῷ δ' ἐναντίῳ, παρὰ φύσιν· A ὥστε τούτῳ μὲν ἤτοι νωθρότης τίς ἐστι καταφορικὴ, δι' ἣν σιωπᾷ παρὰ φύσιν, ἢ μελαγχολίας ἀρχή. τῷ δὲ σιωπηλῷ, τὸ μὴ σιωπᾷν, ἀλλὰ πλείω φθέγγεσθαι τῶν εἰωθότων, παρακρουστικόν. ἑξῆς δ' εἰπὼν διανοήματα, οὐκ αἰσθητὸν, οὐδὲ φαινόμενον ἐδήλωσεν, ἀλλ' ἐκ τεκμηρίων εὑρισκόμενον πρᾶγμα. τεκμήριον δέ ἐστιν ὃ ἀποφθέγγονταί τε καὶ πράττουσιν οἱ κάμνοντες. παραγενόμενος γοῦν τις ἡμῶν ἕωθεν, ὡς ἔθος, ἐπὶ τὴν ἐπίσκεψιν αὐτοῦ, δι' ὅλης ἔφη τῆς νυκτὸς ἠγρυ- B πνηκέναι, σκοπούμενος, εἰ δόξειε τῷ Ἄτλαντι κάμνοντι μηκέτι βαστάζειν τὸν οὐρανὸν, ὅ τι ποτ' ἂν συμβαίνῃ. τοῦτο εἰπόντος αὐτοῦ, συνήκαμεν ἀρχήν τινα μελαγχολίας εἶναι. παραπλησίως δὲ, καὶ διὰ τῶν ἔργων ὧν πράττουσιν οἱ κάμνοντες, ἐνδείκνυται τὸ τῆς ψυχῆς ἦθος. ἑξῆς δὲ τούτων ὁ συγγραφεύς φησιν, ὕπνοισιν οὐχ ὕπνοισι, περὶ ὧν οὐδὲν ἐνταῦθα θέλω λέγειν, ἔν τε τοῖς ἀφορισμοῖς κἀν τῷ προγνωστικῷ, καὶ τοὺς ὕπνους τε καὶ ἀγρυπνίας προεξηγημένος. ἀλλὰ καὶ περὶ τῶν ἐνυπνίων προεξήγημαι, τῶν τ' ἄλλων, καὶ ὅσα δια- C θεσίν τινα τοῦ σώματος ἐνδείκνυται, καθάπερ κἀν τῷ περὶ διαίτης ὑγιεινῶν γέγραπται. πυρκαιὰς μὲν γάρ τις ὁρῶν ὄναρ, ὑπὸ τῆς ξανθῆς ὀχλεῖται χολῆς, καπνοὺς δὲ, ἢ γνόφους, ἢ βαθὺ σκότος, ὑπὸ τῆς μελαίνης χολῆς, ὄμβρους δὲ, ψυχρὰν ὑγρότητα πλεονάζειν ἐνδείκνυται· καθάπερ γε καὶ εἰ χιόνα, καὶ κρύσταλλον, καὶ χάλαζαν, φλέγμα ψυχρόν· ἐν χωρίῳ δὲ δοκεῖν εἶναι δυσώδει, σηπεδόνα χυμῶν, λόφους δ' ἀλεκτρυόνων, ἤ τινα πυρρὰ, αἷμα πλεονά- D ζειν. ζοφώδη δέ τινα ὁρᾷν, ἢ ἐν ζοφώδεσι τόποις ἵστασθαι, πνεύματα δηλοῖ. διὸ καὶ προσέθηκε τῷ, ἐνυπνίοις, τίσι, καὶ ὅτε, τὸ μὲν τίσι, τὰς διαφορὰς αὐτῶν ἐνδεικνύμενον, καὶ μὴ προστεθέντος αὐτοῦ, πρόδηλον ἦν. τὸ δ' ὅτε, τὸν καιρὸν ἐν ᾧ γίνεται τὰ ἐνύπνια, τουτέστιν εἴ τε κατὰ τὴν εἰσβολὴν τῶν παροξυσμῶν, εἴ τε κατὰ τὴν ἀκμὴν, εἴτ' ἐν ἄλλῳ τινὶ καιρῷ. καὶ εἰ μετὰ τροφὴν, καὶ τοιάνδε τινὰ τροφὴν εὐθέως, ἢ χωρὶς τροφῆς, γίνεται γάρ τις ἔνδειξις ἐκ τούτων. ὁ γοῦν χιονίζεσθαι δοκῶν, εἰ ἐν E εἰσβολῇ παροξυσμοῦ μετὰ ῥίγους, ἢ φρίκης, ἢ καταψύξεως γιγνομένου τοῦτο φαντασθῇ, τῷ καιρῷ τὸ πλέον, οὐ τῇ διαθέσει τοῦ σώματος ἀναφέρειν χρή. κατὰ μέντοι τὴν παρακμὴν, τοιοῦτον ὄναρ θεασάμενος, βεβαιοτέραν ἡμῖν ἔνδειξιν ἐργάζεται τῆς τῶν ἐπικρατούντων χυμῶν ψυχρότητος. ἔτι δὲ μᾶλλον, ἐὰν μὴ ἐδηδοκὼς ᾖ τῶν φλεγματικῶν ἐδεσμάτων ὧν ἐν τῇ γαστρὶ περιεχομένων, ἐνδέχεταί τινι τοιαύτην γενέσθαι φαντασίαν, καί τοι τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως οὐκ οὔσης ὁμοίας, τὸ δὲ τιλμοῖσιν, (ὅπερ ἐφεξῆς εἴρηται), προεξήγημαι F κἀν τοῖς περὶ χυμῶν ὑπομνήμασιν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν νῦν εἰρημένων, ἐπί τε τῶν κροκιδιζόντων, καὶ καρφολογούντων εἰρῆσθαι δυνάμενα, καὶ τῶν ὁποιοῦν μέρος αὐτῶν τιλλόντων, ἐν ᾧ διάθεσίς τίς ἐστιν ὀδυνώδης ἐν βάθει. πολλάκις δὲ καὶ πύου περιεχομένου κατὰ τὸ μόριον, ἤ τινος ἄλλου δριμέος χυμοῦ τίλλουσι τὸ μέρος, ὥσπερ γε καὶ λόγῳ παραφροσύνης, ἐστὶν ὅτε. τὸ δὲ κνησμοῖσι

turno secundum naturam est; contrario verò præter naturam. Quare huic veternus quidam atque in somnum propensio est, ob quam tacet præter naturam, aut melancholiæ principium. Taciturno autem non tacere, sed plura quam consuetum sit loqui, mentis vacillationem portendit. Quum deinceps διανοήματα hoc est, cogitationes seu imaginationes dicit, rem neque sensibilem, neque apparentem declaravit, sed quæ conjecturis reperitur. Conjectura autem est, quod ægri tum eloquuntur, tum agunt: Nam quum quis nostrum manè ægrum de more invisisset, is tota nocte sese invigilasse dixit, dum cogitaret quidnam contingeret, si Athlanti fesso non amplius cœlum sustinendum videretur: Hoc quum diceret, quoddam melancholiæ principium esse intelleximus. Simili modo & operibus quæ ægri faciunt, animi mores produntur. Hæc sequentibus author loquitur somnis & vigiliis, de quibus nihil hîc dicere intendo, tum quòd in aphorismis, tum in prognostico & somnos & vigilias antè exposuerim. Præterea de insomniis prius exposui, tum aliis tum iis quæ corporis affectum quendam produnt, quemadmodum & in libro de sanorum victu scriptum est. Si quis enim per insomnia rogos viderit, à flava bile infestatur; si fumum, vel caliginem, vel profundas tenebras, ab atrâ bile; si imbres, frigidum humorem redundare ostendit; ut si nivem, glaciem, & grandinem, frigidam pituitam; si in fœtido loco esse videatur, humorum putredinem; si gallorum gallinaceorum cristas, aut rufa quædam, sanguinem redundare; si caliginosa quædam videre videatur, aut in caliginosis esse locis, flatus indicat. Quare & verbo insomniis adjecit, quibus & quando, ut verbum, quibus eorum differentias demonstret; quod si id adjectum non esset, etiam manifestum existeret. Quando vero tempus indicat, quo fiunt insomnia, hoc est vel primo accessionis insultu, vel in vigore, vel alio tempore; atque si post cibum, & talem quendam cibum statim, vel absque cibo: fit enim quædam ex his demonstratio. Itaque qui nive spargi videtur si in accessionis ingressu, cum rigore, vel horrore, vel frigore fieri id sibi videat, ad tempus magis quam ad corporis affectum referre oportet. Si vero in declinatione tale insomnium conspexit, certius nobis indicium facit humorum frigore exuperantium; atque magis etiamnum, si pituitosorum ciborum nihil ederit, qui si in ventre contineantur, fieri potest ut cuidam talis fiat visio, etiamsi in universo corpore nulla sit similis affectio. Quod autem deinceps dicitur, vellicationibus antea explicui & in commentariis de humoribus, quemadmodum & alia multa eorum quæ nunc enuntiata sunt; quæ & floccos carpentibus, & festucas legentibus dici valent; aut etiam de vellicantibus qualemcunque suam partem, in qua quidam affectus dolorificus profundum occupat. Sæpe verò etiam vellicant & partem in qua pus continetur, aut alius quidam acris humor, quod utique & interdum desipientiæ ratione contingit: Quod autem

poſtea ſcriptum eſt, pruritibus, mordentes eſſe in cute humores, quibus pruriunt oſtendit. De lachrymis tum ſpontaneis tum invitis quidnam utræque ſignificare conſueverint, jam didicimus; quemadmodum & de acceſſionum formis, imo de dejectionibus, urinis, ſputis & vomitionibus ſufficientiſſimè in prognoſtico demonſtratum eſt, ſimulque in aphoriſmis & in prognoſtico dictum. Poſtea vero ipſo dicente; & quæ, ex quibus, in quos morborum ſucceſſiones, & abſceſſus ad perniciem, aut ad judicium Hîc ad memoriam revocanda ſunt quæ antè docuimus, in quibus priùs enarrationes fecimus. Succeſſiones itaque morborum fiunt tum pernicioſæ, tum judicatoriæ, & ex morborum ipſorum differentia, & locis affectis; Nam ſucceſſio in morbos leviores & locos ignobiliores ſalutaris eſt; in graviores vero morbos & locos principaliores, pernicioſa. Ita vero & abſceſſus qui per effluxum quidem fiunt, meliores; per decubitum verò, minus commodi. Atque horum ipſorum à loco quidem affecto remotiſſimi, & in partes laborantis ignobiles, boni ſunt; his vero contrarii, pravi. At vero quæ deinceps per totum opus pronuntiata ſunt, ampliſſimè his in libris à me prius explanatis exaravimus, nimirum in aphoriſmis & prognoſtico, de rigore, ſudoribus, tuſſi, ſternutamento, & ſingultu. In cæteris vero à nobis conditis tractatibus, & de his quidem, imo & de aliis omnibus quæ tum ad dignotiones, tum prænotiones conducant diximus. Quum autem deinceps rurſum frigoris eſſe meminerit, animadvertendum eſt, utrumne frigus univerſi corporis intelligere conſentaneum ſit, ut profundum inardeat, an partium extremarum, an de his omnibus ipſum verba facere ſatius ſit exiſtimare. Aliud enim quiddam ſignificat frigus in acceſſionis principio, aliud vero in declinatione, quemadmodum etiamſi per totam acceſſionem ipſum permanſerit, non bonum ſignum eſt: ſic & ſi tali eo exiſtente perpetuò profunditas inuratur. De quibus omnibus in libris quos explanavimus, & in opere de judiciis enunciatum eſt. Quum autem ſpiritus protulit, reſpirationis differentiæ intelligendæ ſunt. Quoniam vero flatuum deinceps mentionem fecit, hi quoque in ſpirituum ſunt genere. De his autem in prognoſtici commentariis dictum eſt, & in libro de ſpirandi difficultate, de ſpirituum in reſpiratione differentiis, ut & de flatibus in prognoſtico. Ructus quoque & in ſpirituum genere exiſtunt; ob idque cum reſpirationis ſpiritibus quodammodo communicant. Quatenus autem in flatulentorum ſpirituum ſunt genere, eatenus cum flatibus communicant; quare & ipſi flatulentum in ventre ſuperiori procreari ſpiritum oſtendunt. Quod autem in textus fine pronuntiavit patet omnibus. Etenim hæmorrhagiæ & hæmorroides quomodo auxiliari quidem conſueverunt, ea & læſionem adferre, ut didicimus.

A μετὰ τοῦτο γεγραμμένον ἐνδείκνυται χυμοὺς ὀδαξέοντας εἶναι κατὰ τὸ δέρμα, δι' οὓς κνῶνται. περὶ δακρύων ἐμάθομεν ἤδη τῶν ἑκουσίων τε καὶ ἀκουσίων, ὁποῖόν τι σημαίνειν ἑκάτερον πέφυκεν. ὥσπερ γε καὶ περὶ τῆς ἰδέας τῶν παροξυσμῶν, ἀλλὰ καὶ περὶ διαχωρημάτων, καὶ οὔρων, καὶ πτυέλων, καὶ τῶν ἐμουμένων αὐταρκέστατα διὰ τοῦ προγνωστικοῦ δεδήλωται, μετὰ τοῦ καὶ κατὰ τοὺς ἀφορισμοὺς εἰρῆσθαι πολλάκις, καὶ κατὰ τὸ προρρητικόν. ἐφεξῆς δὲ λέγοντος αὐτοῦ, καὶ ὅπως ἐξ οἵων εἰς οἷα διαδοχαὶ νοσημάτων, καὶ ἀποστάσιες ἐπὶ τὸ ὀλέ- B θριον καὶ κρίσιμον. ἀναμιμνήσκεσθαι χρὴ κἀνταῦθα τῶν προδιδαχθέντων, ἐν οἷς προεξηγήμεθα, διαδοχαὶ γοῦν ὀλέθριοί τε καὶ κρίσιμοι γίνονται νοσημάτων, κατά τε τὴν τῶν νόσων αὐτῶν διαφορὰν, καὶ τοὺς πάσχοντας τόπους, ἡ μὲν γὰρ εἰς ἐπιεικέστερα νοσήματα, καὶ τόπους ἀκυρωτέρους διαδοχὴ σωτήριος. εἰ δ' εἰς χαλεπώτερά τε νοσήματα, καὶ τόπους κυριωτέρους, ὀλέθριος. οὕτω δὲ καὶ ἀποστάσιες αἱ μὲν κατ' ἔκρουν, ἀμείνους, αἱ δὲ κατ' ἀπόθεσιν, ἧττον ὠφέλιμοι. τούτων δ' αὐτῶν αἱ μὲν πορρωτέρω τε τοῦ κάμνοντος τόπου, καὶ εἰς ἀκυρώτερα μόρια πάσχοντος, ἀγαθαί· αἱ δ' ἐναντίαι τούτων, μοχθηραί. C καὶ μὴν καὶ τὰ τούτων ἐφεξῆς εἰρημένα κατὰ τὸ σύγγραμμα πρὸ ἐπὶ πλεῖστον ἐξειργασάμεθα, δι' ὧν προεξηγήμεθα βιβλίων. ἔν τε γὰρ ἀφορισμοῖς καὶ προγνωστικῷ, περί τε τῶν ῥίγους καὶ τῶν ἱδρώτων, καὶ βηχὸς, καὶ πταρμοῦ, καὶ λυγμοῦ. ἐν δὲ ταῖς ἄλλαις πραγματείαις ἃς ἐποιησάμεθα, καὶ περὶ τούτων μὲν ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων ὅσα χρήσιμα, πρός τε τὰς διαγνώσεις καὶ προγνώσεις ἐστίν. ἐφεξῆς δὲ πάλιν ψύξεως αὐτοῦ μνημονεύσαντος ἐπισκεπτέον, ἆρά γε τοῦ παντὸς σώματος ψύξις, ὡς διακαίεσθαι τὸ βάθος, ἢ τῶν ἀκρωτη- D ρίων ἀκούειν προσήκει, ἢ περὶ πάντων τούτων λέγειν αὐτὸν, ἄμεινόν ἐστιν ὑπολαβεῖν. ἄλλο μὲν γάρ τι σημαίνει ψύξις ἐν ἀρχῇ παροξυσμοῦ, ἄλλο δ' ἐν παρακμῇ γινομένη. καθάπερ γε καὶ εἰ διὰ παντὸς τοῦ παροξυσμοῦ παραμένοι καὶ αὐτὴ, σημεῖόν ἐστιν οὐκ ἀγαθὸν, ὥσπερ γε καὶ εἰ τοιαύτης οὔσης αὐτῆς ἀεὶ διακαίοιτο τὸ βάθος, ὑπὲρ ὧν ἁπάντων, οἷς ἐξηγησάμεθα, καὶ κατὰ τὴν περὶ κρίσεων πραγματείαν εἴρηται. πνεύματα δ' ὅταν εἴπῃ, τὰς περὶ τὴν ἀναπνοῆς διαφορὰς ἀκουστέον. ἐπειδὴ δὲ τῶν φυσῶν ἐφεξῆς ἐμνημόνευσε, καὶ αὗται τοῦ γέ- ἐρεύξεων E νους εἰσὶ τῶν πνευμάτων. εἴρηται δὲ περὶ τούτων ἐν τοῖς εἰς τὸ προγνωστικὸν, καὶ τῇ περὶ δυσπνοίας πραγματείᾳ, καὶ τῇ περὶ τῆς κατὰ τὴν ἀναπνοὴν πνευμάτων διαφορᾶς, ὥσπερ γε καὶ περὶ φυσῶν ἐν τῷ προγνωστικῷ. καὶ ἐρυγαὶ δὲ τοῦ γένους μέν εἰσι τῶν πνευμάτων, καὶ κατὰ τοῦτο κοινωνοῦσί πως τῆς κατὰ τὴν ἀναπνοὴν, ἐν εἴδει δὲ φυσωδῶν πνευμάτων ὑπάρχουσαι, πάλιν κατὰ τοῦτο κοινωνοῦσι ταῖς φύσαις, ὥστε καὶ αὗται δηλοῦσι φυσῶδες ἐν τῇ κοιλίᾳ τῇ ἄνω γίνεσθαι πνεῦμα. καὶ τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, εὔδηλον· αἱμορραγίαι τε γὰρ, καὶ αἱμορροΐδες, ὅπως, αἱ μὲν ἐπ' ὠφελείᾳ γίνεσθαι πεφύκασιν, αἱ δ' ἐπὶ F βλάβῃ μεμαθήκαμεν.

A

Τῶν πυρετῶν ἄλλους μὲν εἶναι συνεχεῖς, ἄλλους δὲ διαλείποντας, καὶ ἀμφοτέρους πρὸς ἀλλήλους διαφέρειν, καὶ τὰς τούτων διαφορὰς ἐξηγεῖται Γαληνός.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Πυρετοὶ οἱ μὲν συνεχέες, οἱ δὲ ἡμέρην ἔχουσι, νύκτα διαλείπουσιν, νύκτα ἔχουσιν, ἡμέρην διαλείπουσιν. ἡμιτριταῖοί τε καὶ τεταρταῖοι, πεμπταῖοι, ἑβδομαῖοι καὶ ἐναταῖοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τῷ τοῦ συνεχοῦς ὀνόματι, καὶ τῷ τοῦ διαλείποντος, οἱ παλαιοὶ δῆλοι φαίνονται χρώμενοι. συνεχεῖς γοῦν ὀνομάζουσι πυρετούς, ἐνίοτε μὲν ἅπαντας, ὅσοι μὴ λήγουσιν ἐς ἀπυρεξίαν, ἐνίοτε δ' οὐχ ἅπαντας τοὺς μὴ λήγοντας εἰς ἀπυρεξίαν, ἀλλ' ἐκείνους μόνους ἐξαιρέτως, ὅσοι μηδεμίαν ἴσχουσι μεταβολὴν ἄχρι κρίσεως. οὕτω δὲ καὶ διαλείποντας, ἐνίοτε μὲν ἐκείνους μόνους ὀνομάζουσι τοὺς εἰς ἀπυρεξίαν παυομένους, ἐνίοτε δὲ τοὺς μὴ παυομένους εἰς ἀπυρεξίαν, ἀξιολόγους δὲ μεταβολὰς ποιουμένους τῶν κατὰ μέρος παροξυσμῶν, εἰς ἀρχήν τε, καὶ αὔξησιν, ἀκμήν τε, καὶ παρακμήν. ἔνιοι δὲ τῶν νεωτέρων ἰατρῶν, τοὺς μηδεμίαν ἀξιόλογον ἴσχοντας μεταβολήν, οὐ συνεχεῖς, ἀλλὰ συνόχους ὀνομάζουσι. συνεχεῖς δὲ μόνους ἐκείνους, ὅσοι μὴτ' εἰς ἀπυρεξίαν λήγουσι καὶ διαλιμπάνουσι τοῖς κατὰ μέρος παροξυσμοῖς. τούτους οἱ παλαιοί ποτε μὲν συνεχεῖς ὀνομάζουσι, ποτὲ δὲ διαλείποντας. εἰσὶ γὰρ ὄντως ἐν τῷ μέσῳ τῶν συνεχῶν, καὶ τῶν εἰς ἀπυρεξίαν παυομένων. εἰκότως οὖν ὅταν μὲν τοῖς συνόχοις παραβάλλωνται, διαλείποντες καλοῦνται. ὅταν δὲ τοῖς εἰς ἀπυρεξίαν λήγουσι, συνεχεῖς. ἐν δὲ τῇ προκειμένῃ ῥήσει, πυρετῶν διαφορὰν γράφων ὁ Ἱπποκράτης, ἐνίους μὲν αὐτῶν φησιν εἶναι συνεχεῖς. εἰσὶ γὰρ ὄντως πολλοὶ συνεχεῖς κατ' ἀμφότερα τὰ σημαινόμενα τοῦ συνεχοῦς. ἐνίους δ' ἤτοι τὴν νύκτα διαλιπεῖν, ἢ τὴν ἡμέραν, ὧν τοὺς μὲν εἰς ἀπυρεξίαν μὴ λήγοντας, ἔνιοι τῶν νεωτέρων ἰατρῶν μεθημερινούς, ἢ καθημερινοὺς ὀνομάζουσι, τοὺς δὲ λήγοντας ἀμφημερινούς, τῆς τοιαύτης λεπτολογίας τῶν ὀνομάτων οὐκ οὔσης παρὰ τοῖς παλαιοτέροις. τοῦ γὰρ διαλείπειν διχῶς νοουμένου τε καὶ λεγομένου, καθότι προείρηται, τοὺς καθ' ἑκάστην ἡμέραν, ἢ νύκτα παροξυνομένους, διαλείποντας ἔφαμεν, ἐάν τ' εἰς ἀπυρεξίαν, ἐάν τ' εἰς καλουμένην ἔνδοσιν ἥκωσιν. εἶθ' ἑξῆς καταλέγει διαφορὰς πυρετῶν ἑτέρας τῶν προειρημένων, ἡμιτριταίων, τριταίων, τεταρταίων, πεμπταίων, ἑβδομαίων, καὶ ἐναταίων μνημονεύων. τριταῖοι μὲν καὶ τεταρταῖοι, σαφῶς εἰς ἀπυρεξίαν λήγουσιν. τῶν δὴ ἡμιτριταίων, ἔνιοι μὲν ἀμφοτέραις ἄγουσι ταῖς διαγωγαῖς, ἔνιοι δέ, κατὰ τὴν ἑτέραν μόνην τῶν μὴ ληγόντων εἰς ἀπυρεξίαν. ἐὰν δ' ἐννοήσῃς ὅτι καθάπερ ἐπὶ τῶν καθ' ἑκάστην ἡμέραν παροξυνομένων, ἐνίους μὲν εἰς ἀπυρεξίαν ἔφη λήγειν, ἐνίους δ' εἰς ἔνδοσιν. οὕτω καὶ τῶν διὰ τρίτης, ἢ διὰ τετάρτης, τίς ἐστι διαφορά, γνώσῃ σαφῶς οὐ περὶ πράγματος εἶναι τὴν ζήτησιν, ἀλλὰ σημαινομένων πρὸς τῆς ἡμιτριταίου φωνῆς· τούς γε μὴν διὰ τε-

Febrium alias esse continuas, alias intermittentes, & utrasque inter se differre, quarum differentias explicat Galenus,

HIPPPOCRATIS TEXTUS II.

Febres quædam continuæ sunt, quædam interdiu obsident, noctu intermittunt. Aliæ noctu prehendunt, interdiu intermittunt. Sunt & semitertianæ, tertianæ, quartanæ, quintanæ, septimanæ, & nonanæ. B

GALENI COMMENTARIUS.

Continuæ & intermittentis nomine bifariàm Veteres uti videntur. Continuas nanque febres appellant interdum quidem omnes quæ ad integritatem non desinunt; interdum vero non omnes quæ ad integritatem febris non desinunt; sed illas solas præcipuè quæ adusque judicium nullam permutationem sortiuntur. Ita verò & intermittentes, interdum C quidem illas solas nominant quæ ad apyrexiam desinunt, interdum vero quæ ad integritatem non desinunt; sed insignes faciunt singularum accessionum mutationes in principium, incrementum, vigorem, & remissionem. At ex recentioribus Medicis nonnulli febres nullam insignem mutationem sortitas, non continuas, sed continentes appellant. Continuas verò solas illas quæ ad integritatem non desinunt, & particularibus accessionibus intermittunt. Has prisci continuas aliquando vocitant, aliquando D intermittentes. Sunt enim revera inter continuas, & eas quæ ad integritatem desinunt mediæ. Jure itaque ubi cum continentibus conferuntur, intermittentes vocantur; ubi vero cum his quæ ad integritatem desinunt, continuæ. Hoc autem in præsenti textu febrium differentias scribens Hippocrates, earum nonnullas ait esse continuas (sunt enim verè continuæ secundùm utrunque continui significatum) nonnullas autem vel noctu vel interdiu intermittere. Ex quibus quæ ad integritatem non desinunt, eas quidem recentiores Medici diurnas aut nocturnas; quæ E vero desinunt, illas quotidianas, tali minuta & subtili nominum disputatione apud veteres non existente. Nam quum intermittere duobus modis tum intelligatur, tum dicatur, prout supra enunciatum est, quæ singulis diebus aut noctibus exacerbantur febres, eas intermittentes dicemus, siue ad apyrexiam, sive ad remissionem vocatam pervenerint. Deinde serie connumerat à prædictis alias febrium differentias, semitertianas, tertianas, quartanas, quintanas, septimanas & nonanas commemorans. Tertianæ quidem & quartanæ manifestè ad integri- F tatem desinunt. Semitertianarum verò quædam utraque incedunt via; nonnullę altera earum sola quæ ad integritatem non desinunt. Nam si animadverteris quod ut in quotidie exacerbantibus, alias quidem ad integritatem venire pronunciat, alias autem ad remissionem: ita & quænam sit earum quæ tertio aut quarto quoque die invadunt, differentia; cognosces plane non de re, sed de significato vocis semitertianæ quæstionem esse: Nam quæ quarto

quoque die invadant, scimus eas ad apyrexiam longo tempore desinere, rarissimeque ex his quæ quarto quoque die invadunt, visa est aliqua quæ ad integritatem non desineret. Res in his quæ tertio quoque die accedunt, non similiter se habet: nam permultæ sunt differentiæ. In his igitur non de re, sed de significato & nomine est quæstio, quasnam ex prædictis febribus appellare conveniat, tertianas, semitertianas & tritæophyas. Sic quum quasdam febres dicit quartanas, aut septimanas, aut nonanas esse, non de nomine significato, sed de re quæstio statuitur. Nonnulli siquidem Medici profitentur se nullum omnino circuitum ultra quartum diem conspexisse; nonnulli vero quemadmodum Hippocrates, sententiam proferunt. Ego vero & ab adolescentia hucusque usus observatione, nullum ipse vidi septimanum, nullum nonanum, neque perspicuè, neque obscure, neque ambiguè. Quintanos autem circuitus vidimus ambiguos, non tamen exactè, neque manifestè, ut quotidianos, tertianos, & quartanos. Rem tamen logica demonstratione non egere censeo, quæ ab experientia judicium assumit. Si quis enim accuratè multoties conspexerit, aut septimo, aut nono quoque die accessiones oboriri (non enim semel, bis aut ter satis sit) persuasus is sane fuerit quosdam & tales esse circuitus. At si à juventute ad senectutem non viderit quos invisit ægros ita febricitare multos, constat hoc illi è contrario, quod scilicet non fiant hujusmodi circuitus. Fortassis itaque adversus Hippocratem logica demonstratione aliquis disseruerit, ut Diocles; Quibus enim asserueris signis aut humoribus quintanum, vel septimanum, vel nonanum fieri circuitum, non habebis. Neque vero nobis scripsit ægrum aliquem qui ita laboraverit, quanquam oportebat quomodo aliorum multorum universalium præceptorum exempla sigillatim docuit, ita & in his fecisse. Cognoscere præterea oportet textus principium in multis exemplaribus scriptum esse secundùm speciem interpretationis quam asyndeton, hoc est sine conjunctionibus vocant, hoc modo; febres continuæ interdiu obsident, noctu intermittunt; nocte tenent, die intermittunt. Quum autem hanc speciem interpretationis ἀσύνδετον vel conjunctionis vacuam vocari dixi, ostendi & ipsius expositionem. Oportet siquidem tanquam in catalogo dictorum nos intelligere adjectas quæ in orationibus prætermissæ sunt conjunctiones.

A προξυνομένους, ἴσμεν εἰς ἀπυρεξίαν λήγοντας, ὡς τὸ πολύ, καὶ σπανιώτατά τις ὤφθη τῶν διὰ τετάρτης προξυνομένων, μὴ λήγων εἰς ἀπυρεξίαν. οὐ μὴν ἐπί γε τῶν διὰ τρίτης ὁμοίως ἔχει, πάμπολλαι γάρ εἰσι διαφοραί. ἐν τούτοις μὲν οὖν, ὡς ἔφην, οὐ περὶ πράγματος, ἀλλὰ περὶ σημαινομένου καὶ ὀνόματός ἐστιν ἡ ζήτησις, οὓς τῶν προειρημένων πυρετῶν ὀνομάζειν προσήκει τριταίους, ἡμιτριταίους, καὶ τριταιοφυεῖς. οὕτω δὲ καὶ ὅτε πεμπταίους, ἢ ἑβδομαίους, ἢ B ἐνναταίους λέγει τινὰς εἶναι πυρετούς, οὐ περὶ ὀνόματός ἐστι σημαινομένου ζήτησις, ἀλλὰ περὶ πράγματος. ἔνιοι μὲν γὰρ τῶν ἰατρῶν, οὐδέποτέ φασιν ἑωρακέναι τῆς τετάρτης ἡμέρας ἐξωτέρω περίοδον οὐδεμίαν περίοδον. ἔνιοι δέ φασιν, ὥσπερ καὶ Ἱπποκράτης, ἐγὼ δὲ καὶ αὐτὸς ἐκ μειρακίου μέχρι δεῦρο παρατηρῶν, ἑβδομαίαν, ἢ ἐννάτην, οὐδ' ὅλως εἶδον, οὔτε σαφῶς, οὔτ' ἀμφιβόλως. πεμπταίας δὲ περιόδους ἐθεασάμεθα ἀμφιβόλους, οὐ μὴν ἀκριβῶς τε καὶ σαφῶς, ὡς ἀμφημερινάς, καὶ τριταίας, καὶ τεταρταίας. οὐ μὴν οὐδὲ λογικῆς ἀποδείξεως ἡγοῦμαι δεῖσθαι τὸ πρᾶγμα τὴν κρίσιν C ἐκ πείρας λαμβάνον. εἰ μὲν γὰρ ἀκριβῶς ἑώρακέ τις πολλάκις, ἤτοι δι' ἑβδόμης, ἢ ἐννάτης ἡμέρας τοὺς παροξυσμοὺς γινομένους, οὐ γὰρ δή, δὶς ἢ τρίς, εἴη ἂν οὗτος πεπεισμένος εἶναί τινας καὶ τοιαύτας περιόδους. εἰ δ' οὐχ ἑώρακεν ἐκ νεότητος εἰς γῆρας ἐπισκεπτόμενος ἀρρώστους οὕτω πυρεταίνοντας παμπόλλους, εὔδηλον αὐτῷ τοῦτο πάλιν, ὡς οὐ γίνονται περίοδοι τοιαῦται. πρὸς δ' οὖν τὸν Ἱπποκράτην τάχα καὶ λογικὴν ἄν τις ἀπόδειξιν εἴπῃ, καθάπερ ὁ Διοκλῆς· ἐπὶ τίσι γὰρ ἐρεῖς τοῖσι σημείοισιν ἢ χυμοῖσι τὴν πεμπταίαν, ἢ ἑβδο- D μαίαν, ἢ ἐνναταίαν γίνεσθαι περίοδον, οὐχ ἕξεις. οὐ μὴν οὐδ' ἔγραψέ τινα ἡμῖν ἄρρωστον οὕτω νοσήσαντα, καίτοι γ' ἐχρῆν, ὥσπερ ἄλλων πολλῶν καθολικῶν θεωρημάτων παραδείγματα διὰ τῶν κατὰ μέρος ἐδίδαξεν, οὕτω κἀπὶ τούτων, ποιῆσαι. γινώσκειν μέντοι χρὴ τὴν ἀρχὴν τῆς λέξεως ἐν πολλοῖς τῶν ἀντιγράφων κατὰ τὸ καλούμενον ἀσύνδετον εἶδος τῆς ἑρμηνείας γεγραμμένον ὧδέ πως· πυρετοὶ συνεχέες, ἡμέρην ἔχουσι, νύκτα διαλείπουσι, νύκτα ἔχουσιν, ἡμέραν διαλείπουσιν. E εἰπὼν δ' ἀσύνδετον ὀνομάζεσθαι τὸ τοιοῦτον εἶδος, ἐδήλωσα καὶ τὴν ἐξήγησιν αὐτοῦ. χρὴ γὰρ ὡς ἐν καταλόγῳ, τῶν εἰρημένων ἀκούειν ἡμᾶς, προστιθέντας τοὺς παραλελειμμένους ἐν ταῖς λέξεσιν συνδέσμους.

In continua febre morbos fieri acutissimos, maximos, gravissimos, & maximè lethales.

Ἐν τῷ συνεχεῖ πυρετῷ τὰς νόσους γίνεσθαι ὀξυτάτας, καὶ μεγίστας, καὶ χαλεπωτάτας, καὶ θανατωδεστάτας.

F

HIPPOCRATIS TEXTUS III.

SVnt autem in febre continua morbi acutissimi, maximi, & gravissimi, & maxime lethales.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ΄.

Εἰσὶ δ' ὀξύταται μὲν καὶ μέγισται, καὶ χαλεπώταται νοῦσοι, καὶ θανατωδέσταται ἐν τῷ ξυνεχεῖ πυρετῷ.

GALENI COMMENTARIUS.

ACcuratissima horum omnium doctrina in commentariis de febrium differentiis tradita est, ut jam retuli: verùm demonstrare non

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ Μὲν ἀκριβεστάτη τούτων ἁπάντων διδασκαλία λέλεκται κατὰ τὰ περὶ διαφορᾶς πυρετῶν ὑπομνήματα, καὶ νῦν ὡς εἶπον ἤδη πολλάκις οὐκ ἀπο-

δεικνύναι μοι πρόκειται τἀληθὲς, οὐδὲ διδάσκειν ἅπαντα τὰ κατὰ μέρος, ὡς μηδὲν παραλιπεῖν, ἀλλὰ τὴν λέξιν ἐξηγεῖσθαι τοῦ παλαιοῦ. τὰ δ' οὖν κεφάλαια τῆς ἐμπιπτούσης ἑκάστου θεωρίας, οὐ παρήσω. λέγει τοίνυν ὀξυτάτας, καὶ χαλεπωτάτας νόσους εἶναι κατὰ τὸν συνεχῆ πυρετόν· ὀξυτάτας μὲν λέγων, τὰς ἐν ὀλίγῳ χρόνῳ τὰς κρίσεις λαμβανούσας, μεγίστας δὲ τὰς ἰσχυροτάτας, χαλεπωτάτας δὲ, τὰς κίνδυνον ἐπιφερούσας, ὅπερ ἐξηγούμενος αὐτὸς ἐπήνεγκε, θανατωδεστάτας εἰπὼν αὐτάς. ὅπως δ' ἂν ἀκούῃς εἰρῆσθαι τὸν συνεχῆ πυρετὸν, ἀληθής ἐστιν ὁ λόγος. ὀξύταται γὰρ νόσοι, καὶ μέγισται, καὶ χαλεπώταται κατά τε τοὺς ἰδίως λεγομένους συνόχους γίνονται πυρετοὺς, καὶ κατὰ τοὺς ἄλλους, οὐδὲν ἧττον, ὅσοι διὰ τῶν κατὰ μέρος περιέρχονται παροξυσμῶν, ἀρχὰς, καὶ ἀναβάσεις, ἀκμὰς, καὶ παρακμὰς ποιούμενοι σαφεῖς, ἀλλ' οὐ τοῦ λήγειν εἰς ἀπυρεξίαν, ὑπὲρ ὧν ἄμεινον ἀκούειν νῦν, ἐπειδὴ καὶ τοὺς συνόχους ἐν τούτοις περιέχεσθαι συμβέβηκεν, οὐ μὴν ἐν τοῖς συνόχοις δὲ τούτους. ἐὰν οὖν ἀκούσῃ τις περὶ μόνων τῶν συνόχων εἰρῆσθαι τὸν λόγον, ἐξαιρεῖσθαι δόξει τοὺς ἄλλους συνεχεῖς, ὡς οὐ κινδυνώδεις ὄντας, οὔτε σφοδροὺς, οὔτ' ὀξεῖς.

A proposui, neque particularia omnia docere, itaut nihil prætermittam, sed Senis orationem explicare. Summas igitur incidentis singulorum speculationis non præteribo. Itaque acutissimos & maximos, & gravissimos in febre continua morbos esse pronuntiat; acutissimos appellitat qui pauco tempore judicationes subeunt; maximos autem vehementissimos; gravissimos verò qui periculum inferunt; quod interpretatus ipse intulit ipsos his verbis esse lethales. Quoquo autem modo continuam febrem dixeris intellexeris, vera est oratio. Acutissimi siquidem
B morbi, & maximi, & gravissimi in propriè dictis synochis fiunt, atque in aliis nihil minus quæ per particulares accessiones incedunt principia, incrementa vigores, & declinationes manifestas facientes, nec tamen ad integritatem desinentes; de quibus hoc loco intelligere satius erit, quoniam & synochos in his contineri contingit, non autem has in synochis. Quòd si quis orationem de solis synochis dici intellexerit, reliquas continuas tanquam non periculosas, neque vehementes, neque acutas exi-
C mere videbitur.

Τὸν τεταρταῖον τῶν πυρετῶν ἁπάντων ἀσφαλέστατον, καὶ ῥήϊστον, καὶ μακρότατον εἶναι, ἣν ἁπλοῦν ἐννοεῖ Γαληνός.

Quartanam febrium omnium securissimam, facillimam, & longissimam esse, quam simplicem intelligit Galenus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Ἀσφαλέστατος δ' ἁπάντων καὶ ῥήϊστος, καὶ μακρότατος ὁ τεταρταῖος. οὗτος γὰρ οὐ μόνον αὐτὸς ἐφ' ἑωυτοῦ τοιοῦτός ἐστιν, ἀλλὰ καὶ νοσημάτων ἑτέρων μεγάλων ῥύεται.

HIPPOCRATIS TEXTUS IV.

At omnium est securissima, facillima, & longißima quartana. Non enim solùm per seipsa talis est, verumetiam ab aliis magnis mor-
D *bis vindicat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ῥήϊστον εἶπε τὸν τεταρταῖον, ἐν ἴσῳ τῷ, εὔφορον. οἱ γάρ τοι συνεχεῖς τῶν πυρετῶν μηδεμίαν ἔχοντες τῶν ὀχληρῶν ἀνάπαυλαν ἄχρι κρίσεως, ἀλλὰ καὶ διηνεκῶς βαρύνοντες, εἰκότως δύσφοροι λέγονταί τε καί εἰσιν. ἐν δὲ τῷ τεταρταίῳ, καὶ μάλισθ' ὅταν ᾖ μέτριος, ἔνεστι καὶ προϊέναι ταῖς μέσαις τῶν παροξυσμῶν ἡμέραις, καί τι καὶ πράττειν ἐνίοτε τῶν συνήθων. χρὴ δὲ γινώσκειν σε καὶ τὸ τῶν παλαιῶν ἔθος, ὅταν ἀκούσῃς αὐτῶν περὶ πυρετῶν διαλεγομένων. ἐὰν γοῦν ἥπατος, ἢ πλευρᾶς, ἢ πνεύμονος, ἢ ἄλλου τινὸς μορίου φλεγμονῇ πυρετὸς ἕπηται, πλευρῖτιν ἢ περιπνευμονίαν, ἢ ἡπατῖτιν ὀνομάζουσι τὴν νόσον, οὐ πυρετώδη. τὸν δ' ἄνευ φλεγμονῆς πυρέττοντα, πυρετὸν φασὶ νοσεῖν, καὶ νῦν δ' ἄκουε περὶ ὧν διαλέγεται πυρετῶν, οὕτως εἰρῆσθαι τὸν λόγον, ἐπεί τοι πολλάκις ἴδομεν ἐπὶ σπληνὶ μεγάλως πυρέττοντας ἀνθρώπους τεταρταῖον, κἄπειτα ἐν χρόνῳ, περιεγχύσεως ὑδερικῆς γινομένης, ἀποθανόντας. ἀλλ' αὐτός τε καθ' ἑαυτὸν, ὁ τεταρταῖος ἀκίνδυνός ἐστιν, ὅς γε καὶ ἄλλων νοσημάτων ῥύεται. παυσαμένας γοῦν ἐπιληψίας ἴσμεν ἐπὶ τεταρταίῳ χρονίῳ ἐνοχλήσαντι, καὶ μεμάθηκας ἤδη περὶ τῆς γενέσεως αὐτοῦ, κατά τε τὰ περὶ διαφορᾶς πυρετῶν ὑπομνήματα, καὶ τὰ περὶ κρίσεων.

GALENI COMMENTARIUS.

Quartanam facillimam dixit peræque ac maxime tolerabilem. Quum enim continuæ febres nullam habeant adusque judicium molestiarum remissionem, sed assiduè gravent, jure intolerabiles tum dicuntur, tum existunt. In quartana verò ac præsertim ubi moderata sit, mediis accessionum diebus foras prodire licet, & interdum quibusdam consuetis fungi muneribus. At oportet te Veterum consuetu-
E dinem cognoscere, quum eos de febribus disserentes audieris. Si namque febris, aut hepatis, aut pulmonis, aut pleuræ, aut alicujus alterius partis inflammationem consequatur, pleuritiem, vel peripneumoniam, vel hepatitin appellant morbum, non febrilem. Febricitantem autem citra inflammationem, febre laborare dicunt, & nunc intellige de quibus disserit febribus ita dici orationem. Nam plerunque ex liene graviter febrientes homines quartana vidimus; deinde affusione hyderica orta obiisse.
F At quartana ipsa per se absque periculo est, quæ & ab aliis morbis vindicat. Sedatas siquidem epilepsias ægro ex quartana diuturna divexato novimus, cujus generationem jam didicisti & in commentariis de febrium differentiis & de judiciis.

A

Tertianarum febrium differentias tradit Galenus, in quorum numero semitertiana continetur, quam morbis acutis, tabidis ac diuturnis conjungi, eamque periculosam ac lethalem esse patet omnibus.

HIPPOCRATIS TEXTUS V.

IN semitertiana vocata febre tum acutos quoque morbos procreari accidit, tum præter cæteras ista maxime lethalis est. Quin etiam tabidi, quique aliis quibuscunque morbis longioribus laborant, hac potissimum ægrotant. B

GALENI COMMENTARIUS.

MUltis Medicis persuadere non possum, ut rerum ipsarum inspectionem ab ea quæ de nominibus & significatis agit consideratione discernant; quibus ignoscere justum est. Ubi enim Agathinus, ut cæteros prætermittam, librum integrum primùm de semitertiana scripsit, quòd in eo nominis significatum quærat, quo quis pacto his veniam non dederit? Quanquam facillimum erat propriam eorum quæ videntur, doctrinam continuam facere; propriam quoque de eorum nominibus, quemadmodum nunc ego facturus sum. Nam febrium quæ tertio quoque die invadunt accessionibus, nonnullæ ad integritatem desinunt, quædam non. Atque rursus utriusque earum differentia ejusmodi existit. Quæ febres ad integritatem finiuntur, earum nonnullæ paroxysmum habent duodecim horis circumscriptum, aliæ longiùs extensum. Quæ verò febres ad integritatem non perveniunt, earum quædam horrificæ quidem existentes quum à primo insultu ad incrementum veniunt, etiamsi jam moderatè prævenisse videantur, rursus alterum horrorem cum contractione faciunt; atque ab hac rursus aliud incrementum, deinde ab illo contractionem aliam, aliumque rigorem; hæ nanque bis, terque revertuntur. Secundo die alteram habent accessionem, sed priore minorem, absque priorum repetitione; estque illis perpetuus is serie continuata, circulus, ut binis diebus, binæ fiant, ut dixi, accessiones. Aliæ præterea quædam tertio quoque die accedentes citra horrificos illos insultus & repetitiones, unam tertio quoque die sortiuntur accessionem, nullam secundo die assequutæ; unum hæ continuum & æquale ab insultu ad vigorem usque habent incrementum. Hæc tibi sit febrium quæ tertio quoque die paroxismos subeunt, differentia, quæ assiduè in ægrotantibus apparet. Nos autem demonstravimus febrem horridam ex bilioso & pituitoso humore conflari; sed quæ absque horrore est, eam ex bilioso quidem, sed ad motum coctionemque contumaciore. Eam autem ferunt principum partium inflammationes. Quę verò cum rigore invadunt, atque ad integritatem desinunt cum biliosis vomitionibus, vel dejectionibus, vel sudoribus, earum bilis flava quæ per universum corpus agitatur, causa est. His itaque se, ita ut dictum est, habentibus singulorum causam & curationem quærere res tum medica, tum utilis existit. Quo verò nomine

Τὰς τῶν τριταίων πυρετῶν διαφορὰς παραδίδωσιν ὁ Γαληνὸς, ἐν ὧν ἀριθμῷ ἡμιτριταῖος περιέχεται, ἣ ταῖς νόσοις ὀξείαις, καὶ φθινώδεσι, καὶ ταῖς μακραῖς συντίθεσθαι, καὶ αὐτὴν ἐπικίνδυνον, καὶ θανατώδεα εἶναι δῆλόν ἐστιν ἅπασι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

ΕΝ δὲ τῷ ἡμιτριταίῳ καλεομένῳ ξυμπίπτει μὲν καὶ ὀξέα νοσήματα γίνεσθαι, καί ἐστι τῶν λοιπῶν οὗτος θανατωδέστατος. ἀτὰρ φθινώδεες, καὶ ὅσα ἄλλα μακρὰ νοσήματα νοσέουσιν, ἐπὶ τούτῳ μάλιστα νοσέουσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ δύναμαι πεῖσαι τοὺς πολλοὺς τῶν ἰατρῶν διακρῖναι τὴν τῶν πραγμάτων αὐτῶν ἐπίσκεψιν, τῆς περὶ τῶν ὀνομάτων τε καὶ σημαινομένων, καὶ συγγνώσκειν αὐτοῖς δίκαιον. ὅπου γὰρ Ἀγαθῖνος, ἵνα τοὺς ἄλλους παραλείπω, C βιβλίον ὅλον ἔγραψε, τὸ πρῶτον περὶ ἡμιτριταίου, τὸ σημαινόμενον ἐκ τῆς προσηγορίας ζητῶν ἐν αὐτῷ, πῶς οὐκ ἄν τις καὶ τούτοις συγγνοίη; καί τοι γε ῥᾷστον ἦν, ἰδίαν μὲν τῶν ὁρωμένων ποιήσασθαι διδασκαλίαν ἐν τῇ περιοδείᾳ, ἰδίαν δὲ τῶν ἐπ᾽ αὐτοῖς ὀνομάτων, ὥσπερ ἐγὼ νῦν ποιήσομαι. τῶν γὰρ διὰ τρίτης παροξυνομένων πυρετῶν, οἱ μὲν εἰς ἀπυρεξίαν λήγουσιν, οἱ δὲ οὔ. καὶ πάλιν ἑκατέρου τούτων ἡ διαφορὰ τοιάδ᾽ ἐστί. τῶν εἰς ἀπυρεξίαν ληγόντων, ἔνιοι μὲν ἐντὸς ὡρῶν δώδεκα τὸν παροξυσμὸν ἔχουσι περιγραφόμενον, ἔνιοι δ᾽ ἐπὶ πλέον ἐκτεινόμενον. D τῶν δὲ μὴ ληγόντων εἰς ἀπυρεξίαν, ἔνιοι μὲν φρικώδεις ὄντες, ὅταν ἀπὸ τῆς πρώτης εἰσβολῆς ἐπὶ τὴν καλουμένην ἀνάβασιν ἔρχωνται, κἂν δοκῶσιν ἤδη μετρίως προεληλυθέναι, πάλιν ἑτέραν φρίκην μετὰ συστολῆς ποιοῦνται, καὶ μετὰ ταύτην αὖθις ἑτέραν ἀνάβασιν, εἶτ᾽ ἐπ᾽ ἐκείνης ἄλλην συστολήν τε καὶ φρίκην. δὶς γὰρ καὶ ἑξῆς οὗτοι ἐπιστρέφουσι. μετὰ δὲ τὴν δευτέραν ἡμέραν ἕτερον ἴσχουσι παροξυσμὸν ἐλάττονα τοῦ προτέρου, χωρὶς τῶν προτέρων ἐπιλήψεων, καὶ τοῦτο ἐφεξῆς αὐτοῖς ἀεὶ κυκλεῖται, δυοῖν παροξυσμοῖν οἵοιν εἴρηκα γιγνομένοιν ἐν ἡμέραις δύο· E καὶ μὴν καὶ ἄλλοι τινὲς διὰ τρίτην παροξυνόμενοι, χωρὶς τῶν εἰρημένων φρικωδῶν εἰσβολῶν τε καὶ ἐπιλήψεων ἕνα παροξυσμὸν ἴσχουσι διὰ τρίτης, οὐ παροξυνόμενοι τῇ δευτέρᾳ. μίαν οὗτοι καὶ συνεχῆ, καὶ ὁμαλὴν τὴν ἐπὶ τὴν ἀκμὴν ἀπὸ τῆς εἰσβολῆς ἀνάβασιν ἔχουσιν· αὕτη μὲν τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν ἡ διαφορὰ, φαινομένη συνεχῶς ἐπὶ τῶν καμνόντων. ἐδείχθη δ᾽ ὑφ᾽ ἡμῶν ὁ μὲν φρικώδης πυρετὸς ἐπὶ χολώδει καὶ φλεγματώδει χυμῷ συνιστάμενος. ὁ δὲ F χωρὶς φρίκης, ἐπὶ τῷ χολώδει μὲν, ἀλλὰ δυσκινητοτέρῳ τε καὶ δυσπεπτοτέρῳ, φέρουσι δ᾽ αὐτὸν καὶ φλεγμοναὶ κυρίων μορίων. τῶν δὲ μετὰ ῥίγους μὲν εἰσβαλλόντων, εἰς ἀπυρεξίαν δὲ ληγόντων ἅμα χολώδεσιν ἐμέτοις, ἢ διαχωρήσεσιν, ἢ ἱδρῶσιν, ἡ ξανθὴ χολὴ κινουμένη δι᾽ ὅλου τοῦ σώματος αἰτία. τούτων μὲν οὖν οὕτως ἐχόντων, ὡς εἴρηται, τὸ μὲν ἤτοι τὴν αἰτίαν ἑκάστου ζητεῖν, ἢ τὴν θεραπείαν, ἰατρικόν τε καὶ χρήσιμόν ἐστι πρᾶγμα. τὸ δὲ, τί καλεῖσθαι

τις ἕκαστον τῶν εἰρημένων ὀρθῶς, οὐκέτι τῆς ἰατρικῆς ἴδιον, ἀναγκαῖον γε μὴν γινόμενον, ὅταν βούληταί τις ἑτέρους διδάσκειν, ἀναγινώσκειν. τὰς γὰρ ἐπὶ τῶν καμνόντων γινομένας ἡμῖν διαγνώσεις τε τῶν παθῶν καὶ προγνώσεις τῶν ἐσομένων καὶ θεραπείας, ὁρῶμεν οὐδὲν δεομένας τῆς ἐν τοῖς ὀνόμασιν ἀκριβείας. οὐδὲ γὰρ ἀπὸ τούτων οἱ ἰδιῶται κρίνουσιν τοὺς ἰατρούς, ἀλλ' ὅταν ἐπὶ φλεβοτομίᾳ τὸν κάμνοντα ῥᾳστωνήσαντα θεάσωνται, καὶ τροφὴν ἐν καιρῷ λαμβάνοντα, καὶ γὰρ καὶ τοῦτο κρίνειν ἰδιώτης δύναται θεασάμενος. εἶτα οὐκ εὐθέως ἐπὶ τῇ τροφῇ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ γινομένην, ἀλλὰ μετὰ χρόνον πλείονα, τὸν ἰατρὸν ἐπαινεῖ, κἂν εἰ ψυχροῦ δεῖ τότε δόντα, καὶ λούσαντα, τὸν ἄῤῥωστον ἀπύρετον ἤδη πεποιηκότα, παραχρῆμα θαυμάζει, καθάπερ γε κἂν εἰ προείπῃ τι τῶν ἐσομένων. ἀπὸ τούτων μὲν οὖν ὁ ἰατρὸς ἀκριβῶς τε καὶ ἀληθῶς εὐδοκιμεῖ, σοφιστὴς δὲ κατατρίβει τὸν χρόνον ἑαυτοῦ τε καὶ τῶν μαθητῶν, περὶ ὀνομάτων τε καὶ σημαινομένων ἐρίζων. ἐπεὶ δὲ τὸ προκείμενον ἡμῖν νῦν ἐστιν, οὐκ αὐτὰ τὰ πράγματα διδάξαι τῆς τέχνης, ἐν ἑτέροις γὰρ τοῦτο ἐπράξαμεν αὐτάρκως, ἀλλὰ τὴν Ἱπποκράτους γνώμην ἐπισκέψασθαι διὰ συντόμων, καὶ τοῦτο δυνατὸν ὧδε ποιῆσαι. λέλεκται μὲν γὰρ αὐτῷ καὶ πρόσθεν. ἦν δὲ αὐτοῖσι τὰ παθήματα, φρικώδεες πυρετοὶ, συνεχέες, ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες· ὁ δὲ τρόπος ἡμιτριταῖος, μίαν κουφότεροι, τῇ δ' ἑτέρῃ ἐπιπαροξυνόμενοι. καὶ νῦν δὲ πάλιν ἡ ῥῆσις αὕτη φησὶν, ἐν δὲ τῷ ἡμιτριταίῳ, συμπίπτει μὲν καὶ ὀξέα νοσήματα, καὶ ἔστι τῶν ἄλλων οὗτος θανατωδέστατος. ὅτι μὲν οὖν θανατώδης ἐστὶν ὁ ἡμιτριταῖος, ἄντικρυς εἴρηκεν αὐτὸς ὁ Ἱπποκράτης. ὅτι δὲ τῶν εἰς ἀπυρεξίαν ληγόντων, οὐδεὶς ἐστὶ θανατώδης, ἄντικρυς ἐν ἀφορισμοῖς ἐδήλωσεν εἰπών. πυρετοὶ ὁκόσοι μὴ διαλείποντες, διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι. πῶς οὖν ἐκ τῶν εἰς ἀπυρεξίαν ληγόντων εἴπῃ τὸν ἡμιτριταῖον, ἑπόμενος Ἱπποκράτει; καὶ μὴν οἱ λέγοντες, ἐὰν τις ὥραις τέτταρσι καὶ εἴκοσι ἀπύρετος γίγνηται, τὸν μέσον ἔχειν αὐτὸν ἡμιτριταῖον, ἐκ τῶν διαλειπόντων ποιοῦσι τοῦτον τὸν πυρετὸν τοιοῦτον. οὕτως δὲ καὶ τὸν μέσον, καὶ τὸν μικρὸν ὡρῶν ἀριθμῷ διαφέρειν τοῦ μεγάλου φάσκοντες, εἰς ἀπυρεξίαν προάγειν ἀμφοτέρους βουλόμενοι, τῆς Ἱπποκράτους ἀποχωρήσουσι γνώμης, ἐν τοῖς διαλείπουσι πυρετοῖς τὸν ἡμιτριταῖον ἄγοντες. ἀκίνδυνος γὰρ οὗτος ἔσται καίτοι θανατώδης ὑπ' αὐτοῦ λεγόμενος· ἄμεινον οὖν ἐστὶ τῶν μὲν ὀνομάτων, ὡς εἴρηται, καταφρονεῖν, ἀσκοῦντα θεραπείας τε καὶ διαγνώσεις, καὶ προγνώσεις ἑκάστου τῶν πυρετῶν. ἐπεὶ δὲ σαφεστέρα τε καὶ συντομωτέρα διὰ τῶν ὀνομάτων, ἡ διδασκαλία γίνεται, προδιηγησάμενοι λόγῳ τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν τὰς διαφορὰς, ὡς ἀρτίως ἐποίει καθ' ἑκάστην αὐτῶν ἰδίαν προσηγορίαν, ὥσπερ εἴωθε πράττειν, ἑκάστοτε διελέσθαι τὰς διαφορὰς τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν, ἐφεξῆς τὸν ἐντὸς τῶν δώδεκα ὡρῶν παυόμενον, ἀκριβῆ τριταῖον ὀνομάσομεν ἕνεκα συντόμου διδασκαλίας. ὅστις δ' ἂν ἔχῃ πολυχρονιώτερον τούτου τὸν παροξυσμὸν, ὅμως μὲν ἔτι μακροτέραν αὐτοῦ τὴν ἄνεσιν, ἐκεῖνον ἁπλῶς τριταῖον ὀνομάσομεν. ὅστις δ' ἂν ἐπὶ πλεῖ-

A singula commemorata rectè vocaverit, quanquam non amplius Medicinæ proprium existit, cognitu tamen ubi quis alios docere voluerit, necessarium. Nam eas quæ in ægris fiunt nobis tum affectuum dignotiones, tum futurorum prænotiones, tum curationes, nihil accurata nominum ratione egere videmus; neque enim ab his vulgus de Medicis existimat. At ubi ex venæ sectione ægrum melius habere viderit, atque cibum in tempore assumere, etenim id quoque conspicatus idiota judicium ferre potest. Deinde non statim à cibo principium ac- B cessionis fieri, sed multo post tempore medium laudat. Quod si frigidam dedisse, lavisse, ægrotumque à febre vindicasse Medicum viderit, illum quamprimum demiratur, quemadmodum etiam si quicquam ex futuris prædixerit. Ab his itaque Medicus tum planè tum verè hominum sermone celebratur, & bene audit. Sophista vero quum de nominibus & significatis contendit, tempus tum suum, tum discipulorum conterit. Quoniam vero non est nobis hoc in loco propositum ipsa artis opera docere, id enim abunde alibi fecimus, sed brevibus C Hippocratis mentem considerare, id quoque ita facere valebimus. Dixit siquidem & antea; *Ipsorum autem plurimis hujusmodi affectus aderant, horridæ febres, assiduæ, acutæ, in totum quidem non intermittentes: sed earum typus erat semitertianus, uno die leviores, altero insuper exacerbantes.* Et rursus hoc loco ita pronuntiat; *In semitertiana vocata febre, tum acutos quoque morbos procreari accidit, tum præter cæteras ista maxime lethalis est.* Quod lethalis quidem sit semitertiana apertè pronunciavit Hippocrates. Quod D verò quæ ad integritatem veniunt, earum nulla lethalis sit, palam in aphorismis his verbis declaravit; *Quæcunque febres non intermittentes tertio quoque die vehementiores fiunt, periculosæ; quocunque autem modo intermiserint, periculum obesse significant.* Quonam itaque pacto quisquam semitertianam inter desinentes ad integritatem dixerit, Hippocratem sequutus. Qui proferunt, si quis horis quatuor & viginti citra febrem sic mediam ipsum habere semitertianam, talem hanc febrem inter intermittentes faciunt. Ita verò & qui medium & parvum E à magno differre horarum numero prædicant, ad integritatem deducere utrunque volentes, ab Hippocratis mente discedunt, inter febres intermittentes semitertianam constituentes; hæc enim citra periculum existet, etiamsi lethalis ab Hippocrate dicatur. Satius itaque fuerit nominibus, ut dictum est, neglectis singularum febrium tum curationes, tum dignotiones, tum prænotiones exercere. Quoniam vero tum manifestior tum brevior per nomina evadit doctrina, prius febrium tertio quoque die invadentium differentias oratione explica- F bimus, ut nuper faciebat secundùm unamquanque ipsarum peculiarem appellationem, prout facere consuevit, dum ubique febrium tertio quoque die accedentium differentias explicat. Deinde eam quæ intra duodecim horas cessat, concisæ doctrinæ gratia, exquisitam tertianam appellabimus. Quæ vero hac diuturniorem accessionem habuerit, simulque etiamnum longiorem remissionem, illam simpliciter tertianam nominabimus. Quæ verò accessionem plu-

rimùm productam, parvum autem intervallum, eam jam tertianam productam vocabimus. Quæ ad integritatem non desinit & horrificas priore die repetitiones facit, altero verò die simplicem unam accessionem, hanc semitertianam appellabimus. Si verò simpliciter tertio quoque die invadat, tritæophyam vel tertianigenam. Habes hac in oratione omnia distincta tum inutilia, tum utilia: Debes autem hæc perpetuò meminisse, & promptam horum notitiam consequi. Sic enim juniorum Medicorum nugas deprehendes, quas de prædictis nominibus fecerunt, de rebus se disserere putantes. At quod nullam quidem earum quæ ad integritatem perveniunt, semitertianam nunc appellet Hippocrates, demonstratum est. Utrum verò illam solam quam ego propriè vocare consuevi horrificas repetitiones facientem, an eam quæ sine his concitatur, consideratione dignum est. Etenim si tabidis atque aliter diu ægrotantibus hæc febris accidere consuevit, fortassis etiamsi citra horrorem fiat, eam semitertianam vocabimus, si die secundo iterum invadat. Verùm quod dixi quum de nomine sit quæstio, nihil absurdum est si non plane intelligamus cui febri semitertianæ vocem tribuat Hippocrates. Nam ab ipso de febribus artem edocti, quibus ad artis opera indigemus, ea absque illarum nominibus consequemur. Sed fortassis necessarium esse videbitur deinceps considerare cur adjecerit Hippocrates, vocata, neque simpliciter dixerit; in semitertiana quidem etiam acuti morbi oboriuntur. Mihi autem videtur vocabulum tanquam improprium improbare. His siquidem indigentius integritatem sortitis additionem facimus, ac dicentes semimortua, semimortuum, semideum, semivocale, semiasinum, & semiassum, & quæcunque alia hujusmodi proferimus. Semitertiana vero non solùm non est dimidia, vel symptomatum multitudine, vel viribus, & universo horum affectu, verum etiam tertiana longe deterior, ut citiùs esse videatur non illa hujus, sed hæc illius dimida dicenda. Itaque nescio qua ratione adducti sunt, cur ita potius appellarent quam aliter, qui primùm appellationem contemplati sunt. Fieri siquidem potest ut hanc appellationem indiderint, quod cùm tertiana febris habeat, ut tertio quoque die invadat, & ad integritatem desinat; Semitertiana unum quidem horum habeat, alterum verò non; nam tertio quoque die invadit, sed ut ad integritatem desinat non habet. Præterea potuerunt etiam ita appellasse, quod cum rigore non invadat, atque ad hæc quod cum excretione non sedetur, quod item secundum diem liberum non sortiatur. Possunt quoque & hujusmodi aliud proferre qui nullius frugis sapientiam exercent, & verè artis commoda prætermittunt.

A σον μὲν ἐκτεταμένον τὸν παροξυσμὸν, ὀλίγον δὲ τὸ διάλειμμα, τοῦτον πάλιν ὀνομάσομεν ἐκτεταμένον τριταῖον. ὅστις δ' ἂν μὴ παυσάμενος εἰς ἀπυρεξίαν, φρικώδεις μὲν τῇ προτέρᾳ τῶν ἡμερῶν ἐπαναλήψεις ποιῆται, κατὰ δὲ τὴν δευτέραν ἁπλοῦν ἕνα παροξυσμὸν, τοῦτον ἡμιτριταῖον ὀνομάσομεν. εἰ δ' ἁπλῶς διὰ τρίτης παροξύνοιτο τριταιοφυῆ. πάντ' ἔχεις ἐν τούτῳ τῷ λόγῳ διωρισμένα, τά τ' ἄχρηστα καὶ χρήσιμα. τούτων οὖν ἐστι διὰ παντὸς μεμνῆσθαι, καὶ πρόχειρον ἔχειν τὴν γνῶσιν αὐτῶν. οὕτως
B γὰρ καταγνώσῃ τῆς τῶν νεωτέρων ἰατρῶν φλυαρίας, ἣν περὶ τῶν εἰρημένων ὀνομάτων ἐποιήσαντο, περὶ τῶν πραγμάτων οἰόμενοι διαλέγεσθαι. ἀλλ' ὅτι μὲν οὐδένα τῶν νῦν εἰς ἀπυρεξίαν ἀφικνουμένων πυρετῶν ὁ Ἱπποκράτης ἡμιτριταῖον ὀνομάζει, δέδεικται. πότερον δ' ἐκεῖνον μόνον ὃν ἐγὼ ἰδίως καλεῖν εἴωθα τὸν τὰς φρικώδεις ἐπαναλήψεις ποιούμενον, ἢ καὶ τὸν ἄνευ τούτων γινόμενον, ἄξιόν ἐστι σκέψεως. εἰ γὰρ καὶ τοῖς φθινώδεσιν, καὶ ἄλλως χρονίως νοσοῦσιν ὁ πυρετὸς οὗτος εἴωθε συμπίπτειν, ἴσως εἰ καὶ χωρὶς φρικῆς γίγνοιτο, καλέσομεν αὐτὸν ἡμιτριταῖον, ἐὰν
C τῇ δευτέρᾳ τῶν ἡμερῶν ἐπιπαροξύνηται. ἀλλ' ὅπερ ἔφην ὑπὲρ ὀνόματος οὔσης τῆς ζητήσεως, οὐδὲν ἄτοπόν ἐστι, κἂν μὴ γνῶμεν ἀκριβῶς ἐπὶ τίνος πυρετοῦ μάλιστα τὴν ἡμιτριταίου ἐπιφέρει φωνὴν ὁ Ἱπποκράτης, ὁπότε γὰρ αὐτὴν τὴν περὶ τοὺς πυρετοὺς τέχνην ἐκμαθόντες, ἕξομεν ὧν δεόμεθα πρὸς τὰ τῆς τέχνης ἔργα, χωρὶς τῶν ἐπ' αὐτῆς ὀνομάτων. τάχα δ' ἂν εἶναι δόξειεν οἰκεῖον ἑξῆς σκέψασθαι, διὰ τί προσέθηκεν ὁ Ἱπποκράτης, τὸ καλεόμενον, καὶ οὐχ ἁπλῶς εἶπεν, ἐν δὲ τῷ ἡμιτριταίῳ, ξυμπίπτει μὲν καὶ ὀξέα νοσήματα. δοκεῖ δέ μοι μέμφεσθαι τὴν
D προσηγορίαν, ὡς ἄκυρον. ἐπὶ γὰρ τῶν ἐνδεεστέρας ἐχόντων κατὰ τὰ τέλεια, τὴν τοῦ ἡμίσεος προσθήκην ποιούμεθα, φάσκοντες ἡμιθνῆτα, καὶ ἡμίθνητον, καὶ ἡμίθεον, καὶ ἡμίφωνον, ἡμιόνόν τε καὶ τὸ ἡμίοπτον, ὅσα τἄλλα τοιαῦτα λέγοντες. ὁ δ' ἡμιτριταῖος, οὐ μόνον οὐκ ἔστιν ἥμισυς τῷ πλήθει τῶν συμπτωμάτων, ἢ τῇ δυνάμει, καὶ τούτων τῆς ὅλης διαθέσεως, ἀλλὰ καὶ πολὺ χείρων τοῦ τριταίου, ὡς ἄμεινον εἶναι δοκεῖν ἐκεῖνον τούτου λέγειν ἥμισυν, οὐκ ἐκείνου τοῦτον. οὐκοῦν οὐκ οἶδά τι δόξαν αὐτοῖς οὕτως μᾶλλον ὠνόμασαν οἱ πρῶτοι θέμενοι τὴν προσηγορίαν, ἢ ἄλ-
E λως. ἐνδέχεται γὰρ αὐτοὺς διότι τοῦ τριταίου πυρετοῦ τὸ διὰ τρίτης τε παροξύνειν, καὶ τὸ εἰς ἀπυρεξίαν λήγειν ἔχοντος, ὁ ἡμιτριταῖος ἓν μὲν ἔχει τούτων, ἓν δ' οὐκ ἔχει, ταύτην θέσθαι τὴν προσηγορίαν· τὸ μὲν γὰρ διὰ τρίτην παροξύνειν ἔχει, τὸ δ' εἰς ἀπυρεξίαν λήγειν, οὐκ ἔχει. ἐνδέχεται γὰρ καὶ διότι καὶ μετὰ ῥίγους εἰσβάλλειν οὐκ ἔχει, καὶ πρὸς τούτοις γ' ἔτι τὸ μετ' ἐκκρίσεως παύεσθαι, καὶ μέντοι καὶ ὅτι τὴν δευτέραν ἡμέραν οὐκ ἔχει καθαράν. ἐνδέχεται δὲ καὶ ἄλλο τι τοιοῦτον εἰπεῖν, τοῖς μὲν ἄχρηστον
F σοφίαν ἀσκοῦσι, τὰ δ' ὄντως χρήσιμα τῆς τέχνης παραλείπουσι.

A

Νυκτερινὸν μὲν πυρετὸν ἧττον εἶναι θανατώδεα, ἀλλὰ τὸν μακρόν· ἡμερινὸν δὲ μακρότερον καὶ ἐπὶ τὸ φθινῶδες ῥέπειν. τί ἀμφότερος ἦ Γαληνὸς ἐξηγεῖται.

Febrem nocturnam minus lethalem esse, sed longam; diurnam longiorem, & ad tabem vergere. Quid utraque sit Galenus explicat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

Νυκτερινὸς οὐ λίην θανατώδης, μακρὸς δέ, ἡμερινὸς μακρότερος. ἔστι δ' οἷσι ῥέπει, καὶ ἐπὶ τὸ φθινῶδες.

HIPPOCRATIS TEXTUS VI.

Nocturna febris non admodum lethalis, longa tamen; diuturna longior; quibusdam autem ad tabem vergit.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν μὲν ἐν ἀρχῇ πυρετῶν τὸν κατάλογον ἔγραψεν ἁπλῶς, τούτων δ' ἑξῆς τὰ ἤθη διδάσκει. προειρηκὼς οὖν ἐν τῷ καταλόγῳ, πυρετοί, οἱ μὲν συνεχέες, οἱ δὲ ἡμέρην ἔχουσι, νύκτα διαλείπουσι, νύκτα ἔχουσιν, ἡμέρην διαλείπουσιν. εἶτα περὶ τῶν συνεχῶν λεχθῶν, ὁποῖοί τινές εἰσι, καὶ προσθεὶς αὖθις ἐφεξῆς τὴν περὶ τοῦ τεταρταίου τε, καὶ ἡμιτριταίου διδασκαλίαν, ἐπὶ τοὺς τῇ μὲν ἡμέρᾳ παροξυνομένους, τῇ δὲ νυκτὶ διαλείποντας, ἢ τῇ μὲν
C νυκτὶ παροξυνομένους, τῇ δ' ἡμέρᾳ διαλείποντας ἀφίκετο, καλέσας αὐτῶν τὸν μὲν ἕτερον νυκτερινόν, τὸν δ' ἕτερον ἡμερινόν· νυκτερινὸν μέν, τὸν ἐν νυκτὶ παροξυνόμενον, ἡμερινὸν δέ, τὸν ἐν ἡμέρᾳ. δι' ὧν δ' ἐπαινεῖν ἔδοξε τὸν νυκτερινόν, οὐδὲν ἧττον ἔψεξε διὰ τῶν αὐτῶν, οὐχ ἁπλῶς εἰπών, νυκτερινὸς οὐ θανατώδης, ἀλλὰ τὸ οὐ λίην προσθείς. εἰ γὰρ οὐ λίην θανατώδης, εὔδηλον ὅτι θανατώδης μετρίως, τὸν δ' ἡμερινὸν οὐ μόνον μακρότερον εἶπεν εἶναι τοῦ νυκτερινοῦ, ἀλλὰ καὶ ἔτι πρὸς τὸ φθινῶδες ἐνίοτε
D ῥέπειν, ὥστε καὶ κατὰ τοῦτο μοχθηρότερον εἶναι. τοῦτο μὲν γὰρ ἐν ᾧ χρόνῳ διαφορεῖσθαι, καὶ ἀραιοῦσθαι μᾶλλον εἴωθε, εἰ συστέλλεται, καὶ πυκνοῦται τὸ σῶμα, παροξυνόμενος, εἰκότως κακοηθέστερος εἶναι δοκεῖ· τοῦτο δὲ καὶ τὸν καιρὸν τῆς προνοίας ἔχων ἀήθη. καθ' ὃν γὰρ χρόνον ἐχρῆν κοιμᾶσθαι, κατὰ τοῦτον ἀναγκαῖόν ἐστι τῆς ἰατρικῆς προνοίας τυγχάνειν τὸν κάμνοντα, καὶ διὰ τοῦτο καταφθείρονται τῷ χρόνῳ, καὶ φθίνουσι δυοῖν θάτερον. εἰ μὲν δὴ κοιμῶνται τὰς ἡμέρας, ἐνδεῶς ἀπολαβόντες ὕπνου· εἰ δ' οὐ κοιμῶνται, νυκτερίδος βίον, οὐκ ἀνθρώπων βιοῦντες.

GALENI COMMENTARIUS.

Principio quidem febrium catalogum simpliciter scripsit, sed harum deinceps mores docet. Præfatus igitur in catalogo; Febres quædam continuæ sunt, quædam interdiu obsident, noctu intermittunt; aliæ noctu prehendunt, interdiu intermittunt. Deinde quum de continuis disseruisset quæ & quales essent, illisque deinceps de quartana & semitertiana doctrinam adjecisset, ad febres die invadentes
C & nocte intermittentes; vel nocte invadentes & die intermittentes pervenit, qui alteram ex his nocturnam, alteram diurnam appellitat; nocturnam quidam quæ nocte invadat; diurnam vero quæ interdiu. Sed quibus nocturnam laudare visus est, his ipsis non minus culpavit, quod non simpliciter pronuntiaverit, nocturna non lethalis, sed addiderit, non valde. Si namque non valde est lethalis, constat eam mediocriter lethalem esse diurnam autem non solùm longiorem nocturna esse, dixit, verumetiam & ad phthisin interdum propendere, pro-
D indeque hac ratione deteriorem existere. Nam partim quo tempore tum discuti tum rarescere magis consuevit, si contrahatur & densetur, corpus invadens jure malignior esse videtur; partim tempus habet providentiæ insuetum. Quo namque tempore dormire oportebat, eo ægrotum à medica providentia fructum capere necesse est. Quamobrem tempore marcescunt contabescuntque ob duorum alterutrum, si interdiu quidem dormiant, penuria somnum subeunt; si non dormiant, vespertilionis vitam non
E hominum agunt.

Περὶ τοῦ ἑβδομαίου καὶ τοῦ ἐναταίου.

De febre septimana, & nonana.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζʹ.

Ἑβδομαῖος μακρός, οὐ θανατώδης. ἐναταῖος ἔτι μακρότερος, οὐ θανατώδης.

HIPPOCRATIS TEXTUS VII.

Septimana longa, non lethalis. Nonana etiamnum longior, non lethalis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐθ' Ἱπποκράτει καλὸν ἀπιστεῖν, ἐμφαίνει γὰρ ὡς ἑωρακὼς ταῦτ' ἔγραψε, οὔτε ψεύδεσθαι προσήκει λέγοντα καὶ αὐτὸν ἑωρακέναι· παραφυλάττειν οὖν ἡμᾶς φιλοπόνως προσήκει, καὶ τῇ πείρᾳ κρίνειν τὸ ἀληθές, ἀλλ' ὅπως μὴ πάθητε τοῖς πολλοῖς ὁμοίως, οἱ θεασάμενοι κατά τινα τύχην δι' ἑβδόμης ἡμέρας πυρέξαντα τὸ δεύτερόν τε καὶ τρίτον, ἀπὸ τῆς ἀρχῆς ὑπέλαβον ἑβδόμην εἶναί τινα περίοδον. ἐνδέχεται γάρ ποτε τοῦτο,

GALENI COMMENTARIUS.

F Hippocrati fidem non habere indecorum est. Videtur siquidem eum, prout vidit, hæc scripsisse. Neque enim mentiri decet qui sese vidisse profiteatur. Quare nos observare sedulo oportet, & experientia verum judicare. Sed ut non ita nobis, quod multis, accidat, qui sorte quadam aliquem septimo die febre correptum conspicati, secundo & tertio, ab initio suspicati sunt septimo nonnullum circuitum esse. Potest enim id casu interdum evenire,

præterea eodem quoque victus genere. Quibus enim ægrotantibus morbosus affectus non plane sedatus sit, sed ipsis aliquod semen superfuerit, his negligentiùs cibatis accidit sæpe quidem à primo die febricitare, sæpe vero septimo, sæpe quoque octavo, sæpe denique quodam alio; & sedata febre augurantibus prorsus sese liberatos, & in omnibus similiter cibatis ex supestite morbi semine, totidem diebus eandem in affectionem devenientibus, peræque febricitare. Quod plerunque fieri potest, quum affectionis residuum æquale sit, & eodem victu ægri fruuntur. Is revera morbi est circuitus, quum exactè cibatis ipsis febris ad eundem præfinitum diem accesserit, quemadmodum in quartana febre fieri conspicitur.

A καὶ κατὰ συντυχίαν ἀπαντῆσαι, καὶ μέντοι καὶ κατὰ τὸ τῆς διαίτης ὁμοειδές. ὅσοις γὰρ τῶν νοσούντων οὐκ ἀκριβῶς ἡ νοσώδης ἐπαύσατο διάθεσις, ἀλλ' ἔμεινεν αὐτοῖς τι σπέρμα, τούτοις ἀμελέστερον διαιτηθεῖσιν συμβαίνει, πολλάκις μὲν ἕκτῃ μετὰ τὴν πρώτην ἡμέραν πυρέξαι, πολλάκις δὲ ἑβδόμῃ, πολλάκις δὲ ὀγδόῃ, πολλάκις δ' ἄλλῃ τινί, καὶ τοῦ πυρετοῦ παυσαμένου, δόξασιν ἀκριβῶς ἀπηλλάχθαι, πάντα ὁμοίως διαιτηθεῖσιν, ἐπὶ τῷ καταλειφθέντι τῆς νόσου σπέρματι δι' ἴσων ἡμερῶν εἰς τὴν αὐτὴν ἀφικομένων διάθεσιν, ὡσαύτως πυρέξαι. καὶ δυνατὸν B γίνεσθαι τοῦτο πολλάκις, ὅταν ἴσον μὲν ᾖ τὸ καταλειπόμενον τῆς διαθέσεως, ὁμοίως δὲ καὶ οἱ κάμνοντες διαιτῶνται. τοῦτ' οὖν ὄντως περίοδός ἐστι νοσώδης, ὅταν ἀκριβῶς διαιτηθέντων αὐτῶν, κατὰ τὴν αὐτὴν ἀφικνῆται προθεσμίαν ὁ πυρετός, ὥσπερ ἐπὶ τοῦ τεταρταίου φαίνεται γιγνόμενος.

De tertiana exquisita.

Περὶ τριταίου ἀκριβέος.

HIPPOCRATIS TEXTUS VIII.

Tertiana exquisita celeriter judicatur, neque lethalis est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

C Τριταῖος ἀκριβὴς, ταχυκρίσιμος, καὶ οὐ θανατώδης.

GALENI COMMENTARIUS.

Paulò antè dictum est, ut typo loquar, quæ pauci temporis accessionem habet febris, eam tertianam exquisitam esse. Quæ verò huic simul utplurimum insunt omnia, tum in libris de febrium differentiis, tum in commentariis de crisibus enuntiatum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται μικρῷ πρόσθεν, ὡς τύπῳ φάναι, τὸν ὀλιγοχρόνιον ἔχοντα παροξυσμόν, ἀκριβῆ τριταῖον εἶναι. τὰ δ' ὡς τὸ πολὺ τούτῳ συνυπάρχοντα πάντα εἴρηται, κατά τε τὰ περὶ διαφορᾶς πυρετῶν, καὶ τὰ περὶ κρίσεως ὑπομνήματα.

De quintana febre omnium pessima.

D Περὶ πεμπταίου πάντων κακίστου.

HIPPOCRATIS TEXTUS IX.

Quintana omnium est pessima. Etenim ante tabem, & jam tabescentibus oborta perimit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Ὁ δέ γε πεμπταῖος πάντων κάκιστος, καὶ γὰρ πρὸ φθίσιος, καὶ ἤδη φθινοῦσιν ἐπιγενόμενος κτείνει.

GALENI COMMENTARIUS.

Tabidi, hectica febre nunquam cessante, febricitant, cujus totam naturam ut & cæterarum in libris de febrium differentiis didicisti. Iam vero in quibusdam & implicitam quandam ex periodicis vidi aut tertio quoque die repetentibus, aut & quotidie exacerbantibus, atque ut Hippocrates pronunciat, ex his quæ quinto quoque die repetunt; de quibus eadem à nobis dicta esse arbitror quæ & de septimanis & nonanis paulò ante audivisti.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ φθίνοντες, ἑκτικὸν πυρέττουσι πυρετὸν οὐδέποτε παυόμενον, οὗ τὴν φύσιν ἅπασαν, ὥσπερ καὶ τῶν ἄλλων, E ἔμαθες ἐν τοῖς περὶ διαφορᾶς πυρετῶν. ἤδη δέ τισιν, αὐτῷ ἐπιπεπλεγμένον τινὰ τῶν περιοδικῶν, ἤτοι τῶν διὰ τρίτης, ἢ καὶ τῶν καθ' ἑκάστην ἡμέραν παροξυνομένων, ὡς δ' Ἱπποκράτης φησί, καὶ τῶν διὰ πέμπτης, ὑπὲρ οὗ καὶ αὐτοῦ νόμιζέ σοι τὰ αὐτὰ λελέχθαι πρὸς ἡμῶν, ἃ καὶ περὶ τῶν ἑβδομαίων τε καὶ ἐνναταίων ὀλίγον ἔμπροσθεν ἤκουσας.

Quis modus sit febrium docetur, ac tres esse febrium non continuarum duntaxat, sed etiam & cæterarum omnium ac morborum modos; ac symptomata eadem ratione judicari; dolorem denique varie oriri, augeri, imminui, ac solvi.

F Τί τύπος πυρετοῦ διδάσκεται, καὶ πρὸς τρεῖς εἶναι τῶν πυρετῶν μὴ μόνον τῶν συνεχέων ἢ συνεχῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων πυρετῶν, καὶ τῶν νοσημάτων τύπους, καὶ τὰ συμπτώματα κατὰ τὸν αὐτὸν λόγον κρίνεσθαι τὰ πάντα. ἄλγημα δὲ διαφόρως γίνεσθαι, αὐξάνεσθαι, ἀπολεπτύνεσθαι, καὶ λύεσθαι.

HIPPOCRATIS TEXTUS X.

His vero sunt istarum singularum febrium pereaque continuarum ac intermittentium modi, & status, & accessiones. Primum enim continua quibusdam interdum incipiens floret, ac viget

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

Εἰσὶ δὲ τύποι καὶ καταστάσιες, καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν, ὁμοίως ξυνεχέων καὶ διαλειπόντων. αὐτίκα γὰρ ξυνεχής ἐστιν οἷσιν, ἀρχόμενος ἀνθεῖ καὶ ἀκμά-

τὰ μάλιστα, καὶ αὖθις ἐπὶ τὸ χαλεπώτερον. περὶ δὲ κρίσιν, καὶ ἅμα κρίσει ἀπολεπτύνεται. ἔστι δ' οἷσιν ἄρχεται μαλακῶς καὶ ὑποβρύχιος, ἐπιδιδοῖ δὲ καὶ παροξύνεται καθ' ἡμέρην ἑκάστην, περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἅλις ἐξέλαμψεν. ἔστι δ' οἷσιν ἀρξάμενος πρηέως, ἐπιδιδοῖ καὶ παροξύνεται, καὶ μέχρι τινὸς ἀκμάσας, πάλιν ὑφίησι μέχρι κρίσιος, καὶ περὶ κρίσιν. ξυμπίπτει δὲ ταῦτα καὶ γίνεσθαι ἐπὶ παντὸς πυρετοῦ, καὶ ἐπὶ παντὸς νοσήματος.

A *maxime, atque sæviùs ingravescit; circa judicium vero ac statim in judicio imminuitur. Nonnullis verò interdum leviter ac latenter incipit, sed in dies increscit, exacerbaturque; sub judicium verò, in ipsoque judicio cumulatim emicat. Nonnullis denique blandè incipiens increscit & exacerbatur, & quadantenus vigorem adepta rursus ad judicium usque & subjudicium se remittit. Atque hæc in omnem febrem omnemque morbum concidunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τρόπους πυρετῶν, ἐνίοτε μὲν τὰ ἤθη καλοῦσιν, ἐνίοτε δὲ, τὰς διαφορὰς καὶ τὰς οὐσίας. τὰ εἴδη δὲ νῦν αὐτῶν δῆλόν ἐστιν ἑκάστου τῶν προειρημένων πυρετῶν γράψαι. τὸν γοῦν συνεχῆ φησιν, ἄρχεσθαι μὲν ἐνίοις σφοδρότατον, κατὰ βραχὺ δὲ ἀπολεπτύνεσθαι μέχρι κρίσεως. ἐνίοτε δὲ μετρίως ἀρξάμενον αὐξάνεσθαι κατὰ βραχὺ μέχρι κρίσεως, ἐν ᾗ φησιν ἐκλάμπειν αὐτόν· οὗτοι μὲν οὖν ἐναντία ἀλλήλοις ἔχουσι τὴν κρίσιν. ἄλλον δὲ τρόπον ἐπ' αὐτοῖς τρίτον εἶναί φησι σύνθετον ἐξ ἀμφοῖν, ὅταν ἄρχεται μὲν πρᾴως αὐξηθεὶς δὲ κατὰ βραχὺ, καὶ τὸ τέλεον ἀπολαβὼν μέγεθος, ὑφίησιν ἄχρι λύσεως παντελοῦς. τούτους τοὺς τρεῖς τρόπους οἴονταί τινες αὐτὸν λέγειν ἐπὶ τῶν συνεχῶν πυρετῶν, οὐκ ἀκούοντες ὧν ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψε. συμπίπτει δὲ ταῦτα γίνεσθαι ἐπὶ παντὸς πυρετοῦ καὶ νοσήματος, ὡς οὐκέτι τῶν συνεχῶν μόνον, ἀλλὰ καὶ πάντων τῶν ἄλλων πυρετῶν, ὅσοι τε συνεχεῖς, καὶ πολυχρόνιοι, καὶ μέντοι καὶ παντὸς ἄλλου νοσήματος, ὀξέος τε δηλονότι, καὶ χρονίου τοὺς αὐτοὺς τρόπους φησὶ γίνεσθαι τρεῖς· καὶ τὰ συμπτώματα δὲ, κατὰ τὸν αὐτὸν λόγον κρίνεσθαι τὰ πάντα. φέρε γὰρ ἐπ' ἀλγήματος ἡμᾶς σκοπεῖσθαι τοῦτο, πολλάκις μὲν εἰσβάλλον σφοδρότατον, ἀπομαραίνεται κατὰ βραχὺ, μέχρι παντελοῦς λύσεως. ἐνίοτε δ' ἀρξάμενον πρᾷον, ἐπὶ τὸ σφοδρότατον αὐξηθὲν κατὰ βραχὺ, ταχεῖαν ἔχει τὴν λύσιν. αὖθις δέ ποτε μετὰ τὴν τελείαν ἀκμὴν, ἀνάλογον τῆς αὐξήσεως ἐν ἴσῳ χρόνῳ τὴν παρακμὴν ἔλαβεν.

GALENI COMMENTARIVS.

B Modos febrium interdum quidem mores vocitant, interdum vero differentias ac substantias. Hîc autem singularum quæ prædictæ sunt, febrium species eum scripsisse constat. Continuam igitur effatur nonnullis incipere quidem vehementissimam, sed paulatim adusque judicium imminui. Interdum autem moderatè incipere, augerique paulatim adusque judicium, in quo ait eam satis elucere, hæ igitur contrarium inter se judicium habent. Alium autem modum his tertium inesse profert ex ambobus compositum, quum incipit quidem leniter, aucta vero paulatim & perfectam nacta C magnitudinem, ad perfectam usque solutionem sese remittit. Hos tres modos quidam arbitrantur Hippocratem dicere in continuis febribus quæ in orationis fine scripsit non intelligentes. Contingit autem hæc fieri in omni febre & morbo. Quare non continuarum duntaxat, verumetiam omnium cæterarum febrium, tum continuarum, tum diuturnarum, prætereaque omnis alterius morbi tum acuti nimirùm, tum diuturni eosdem ipsos modos tres esse pronunciat. Iam vero symptomata eadem ratione ju- D dicantur omnia. Age vero de dolore id nobis perpendendum est. Is enim sæpe quidem vehementissimè invadit, paulatim autem ad perfectam solutionem marcescit; interdum verò ubi leniter incepit, & ad vehementissimum paulatim auctus est, celerem habet accessionem. Nonnunquam etiamnum à peracto vigore incrementi analogia pari tempore declinationem accipit.

Ὅτι κατὰ τὴν τῶν νοσημάτων κίνησιν τὴν δίαιταν τοῖς νοσέουσι προσφέρειν δεῖ. E

Pro morborum motu victum ægris offerendum esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

ΔΕῖ δὲ τὰ διαιτήματα σκεπτόμενον ἐκ τούτων, προσφέρειν.

HIPPOCRATIS TEXTUS XI.

EX his autem ductis scopis victus offerendus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡογνωστικὸν εἶναι δὲ βούλεται τῆς κινήσεως τῶν νοσημάτων, ὅπως ἁρμόττουσαν αὐτοῖς τὴν δίαιταν προσφέρῃς· δεῖ γὰρ ὡς πρὸς τὴν ἐσομένην αὐτοῖς ἀκμὴν τοῦ νοσήματος ἀποβλέποντας ἡμᾶς, τὴν δίαιταν ποιεῖσθαι, κατὰ δὲ τὸ περὶ διαίτης ὀξέων, καὶ τοὺς ἀφορισμοὺς, ὅπως χρὴ προγινώσκειν τοὺς προειρημένους τρόπους τῶν νοσημάτων, ἔκ τε τῶν εἰς τὸ προγνωστικὸν ὑπομνημάτων, καὶ ἐκ τῶν περὶ κρίσεων μαθήσῃ διὰ κεφαλαίων αὐτὰ κατὰ τοῦτο τὸ βιβλίον ἔγραψα, διὰ τῆς πρώτης ἐν τῷδε τῷ ὑπομνήματι γεγραμμένης ῥήσεως.

GALENI COMMENTARIUS.

PRæscium te vult esse motus morborum, ut convenientem ipsis victum exhibeas. Nos F siquidem ad futurum morbi vigorem respicientes victus rationem præscribere oportet. In libro autem de acutorum victu, & in aphorismis, quo pacto prædictos morborum modos prænoscere oporteat, ex his quoque in prognosticum commentariis, atque ex libris de crisibus per capita disces quæ hoc in libro scripsi, in primo hujus commentarii scripto textu.

A

Signa esse germana, quibus, quis, quando, cui, quantus, & quoties cibus offerri debeat.

Τὰ σημεῖα εἶναι ἠδελφισμένα, δι' ὧν τί, καὶ πότε, καὶ τίνι, καὶ πόσον, καὶ ποσάκις δίαιτημα προσοιστέον.

HIPPOCRATIS TEXTUS XII.

Multa verò & alia præcipua signa sunt his germana, de quibus partim aliquando scriptum est, partim scribetur; ad quod ratiocinanti perpendendum & considerandum est, cui horum acutus ac lethalis sit morbus, aut impendeat, & cui adhibendus, necne, & quando, & quantus, & quinam cibus futurus sit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

B

Πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα σημεῖα τούτοις ἐστὶν ἠδελφισμένα, περὶ ὧν τὰ μὲν που γέγραπται, τὰ δὲ γεγράψεται, πρὸς ὃ διαλογιζόμενον δοκιμάζειν, καὶ σκοπεῖσθαι, τίνι τουτέων ὀξὺ καὶ θανατῶδες, ἢ περιεστηκὸς, καὶ τίνι προσαρτέον, ἢ οὔ. καὶ πότε, καὶ πόσον, καὶ τίνι, τὸ προσφερόμενον ἔσται.

GALENI COMMENTARIUS.

Quanquam multa à quibus prænotiones effici oportet, prædixerit; alia tamen esse pronuntiat & in prognostico partim nimirum scripta, partim & scribenda.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καί τοι πολλὰ προειρηκὼς ἀφ' ὧν χρὴ τὰς προγνώσεις ποιεῖσθαι, ὅμως φησὶν εἶναι καὶ ἄλλα, τὰ μὲν ἤδη γεγραμμένα κατὰ τὸ προγνωστικὸν δηλονότι, τὰ δὲ καὶ γραφησόμενα.

C

Quando crises oboriuntur, cur per accessiones, per quas excretiones.

Πότε γίνονται αἱ κρίσεις, διά τι ἐν τοῖς παροξυσμοῖς, διὰ τίνα ἐκκρίσεων.

HIPPOCRATIS TEXTUS XIII.

Quæ diebus paribus exacerbantur, ea paribus judicantur; quorum verò accessiones diebus imparibus fiunt, diebus imparibus judicantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

Τὰ δὲ παροξυνόμενα ἐν ἀρτίῃσι, κρίνεται ἐν ἀρτίῃσι. ὧν δ' οἱ παροξυσμοὶ ἐν περισσῇσι, κρίνονται ἐν περισσῇσιν.

GALENI COMMENTARIUS.

D

Sæpius à nobis dictum est in accessionibus fieri judicia, tum quod in his humores vehementer moveantur & tanquam ferventes erumpant sanguinis profluvio, aut sudoribus, aut vomitionibus, aut dejectionibus, aut hæmorrhoidibus, aut menstruo mulieribus; tum quòd eo tempore natura ad ipsorum excretionem excitetur, quoque simul gravata & malè affecta ad excernendum proritetur, item quod fusis ipsis magis pravorum humorum secretio expeditior, & judicatio facilior fiat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται πολλάκις ἡμῖν, ἐν τοῖς παροξυσμοῖς γίνεσθαι τὰς κρίσεις, διά τε τὸ κινεῖσθαι σφοδρῶς ἐν αὐτοῖς τοὺς χυμοὺς, καὶ ὥσπερ ζέοντας ἐκρήγνυσθαι δι' αἱμοῤῥαγίας, ἢ δι' ἱδρώτων, ἢ ἐμέτων, ἢ διαχωρημάτων, ἢ αἱμοῤῥοΐδων, ἢ καταμηνίων ταῖς γυναιξί· διά τε τὸ κατ' αὐτὸν τὸν καιρὸν τὴν φύσιν ἐπείγεσθαι πρὸς τὴν ἔκκρισιν αὐτῶν, ἅμα μὲν ὅτι βαρυνομένη καὶ κακοπαθοῦσα, παροξύνεται πρὸς τὴν ἔκκρισιν, ἅμα δὲ ὅτι κεχυμένων μᾶλλον αὐτῶν, ἥ τε διάκρισις ἑτοιμοτέρα τῶν μοχθηρῶν, ἥ τε κρίσις γίνεται ῥᾷον.

E

Numerantur dies circuituum judicatorii, quibus paribus & imparibus morbi judicantur.

Ἀριθμοῦνται ἡμέραι κρίσιμοι τῶν περιόδων ἐν ταῖς ἀρτίαις καὶ περιτταῖς τὰ νοσήματα κρίνονται.

HIPPOCRATIS TEXTUS XIV.

Circuituum autem diebus paribus judicantium primus est decretorius, quartus, sextus, octavus, decimus, decimus quartus, vigesimus octavus, trigesimus, quadragesimus octavus, sexagesimus, octogesimus, & centesimus. Circuituum vero diebus imparibus judicantium primus est tertius, quintus, septimus, nonus, undecimus, decimus septimus, primus & vigesimus, septimus & vigesimus, & trigesimus primus.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Ἔστι δ' ἡ πρώτη κρίσιμος τῶν περιόδων ἐν τῇσιν ἀρτίῃσι κρινόντων, δ'. ς'. η'. ι'. ιδ'. κη'. λ'. μη'. ξ'. π'. καὶ ρ'. ἐκ τῶν δὲ ἐν τῇσι περισσῇσι κρινόντων περιόδων, πρώτη γ'. ε'. ζ'. θ'. ια'. ιζ'. κα'. κζ'. καὶ λα'.

GALENI COMMENTARIUS.

Non propriè mihi videtur hîc circuitûs nomen usurpare. Nam dies ipsos in quibus fiunt judicia, omnes ordine descripsit, etiam in prognostico, qui quaternario numero fiunt circuitus, eos accuratè percurrit. Quamobrem

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ κυρίως μοι δοκεῖ χρῆσθαι νῦν τῇ προσηγορίᾳ τῆς περιόδου. τὰς γὰρ ἡμέρας αὐτὰς ἐν αἷς αἱ κρίσεις γίνονται πάσας ἐφεξῆς ἔγραψεν, ἐν τε τῷ προγνωστικῷ, τὰς κατὰ τετράδα γινομένας περιόδους ἀκριβῶς διῆλθεν, ὥστε

ταῦτ' ἔοικεν ἐπιζητεῖν τὴν θεωρίαν τῶν κρισίμων ἡμερῶν. πρώτην μὲν οὖν φησὶ κρίσιμον ἡμέραν εἶναι τῶν ἀρτίων τὴν τετάρτην, ἐφεξῆς δ' αὐτῇ τὴν ϛ. εἶτα τοῖς πλείστοις μὲν τῶν ἀντιγράφων τῇ η. καὶ ι. γέγραπται. κατά τινα δὲ τῇ ιδ. μετὰ τὴν ϛ. κ. καὶ μετὰ ταύτην ἔν τισι μὲν δ. καὶ κ. ἔν τισι δ' αὐτῶν γέγραπται δ. καὶ λ. καὶ μετὰ ταύτην μ. μεθ' ἣν ἡ ξ. καὶ π. καὶ ἑκατοστή. τῶν δ' ἐν ταῖς περιτταῖς κρινομένων νοσημάτων, πρώτην φησὶν εἶναι περίοδον. ἄμεινον δ' ἦν, ὡς ἔφαμεν, εἰπεῖν οὐ πρώτην, ἀλλὰ τρίτην, εἶτα πέμπτην, εἶθ' ἑβδόμην, εἶτα ἐνάτην, εἶτα ἑνδεκάτην, εἶτα ἑπτακαιδεκάτην, εἶτα πρώτην καὶ εἰκοστὴν, καὶ μετὰ ταύτην ζ. καὶ κ. ἐφ' ἣ α. καὶ λ. ἐδείχθησαν δὲ ἡμῖν ἐν τῇ περὶ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ, πασῶν τῶν κρινουσῶν ἰσχυρόταται μὲν αἱ κατὰ τὴν τετραδικήν τε καὶ ἑβδοματικὴν περίοδον γινόμεναι, μετριώτεραι δ' αὐτῶν αἱ παρεμπίπτουσαι, περὶ ὧν, τῆς εὐλόγου γνώσεως ἕνεκεν εἴπωμεν. αἱ μὲν οὖν περιτταὶ πᾶσαι, καλῶς εἴρηνται. τῶν δ' ἀρτίων οὐκ ὀρθῶς εἰρήκασιν, κη. καὶ ι. οὐδαμῶς γάρ εἰσιν αὗται κρίσιμοι.

hæc decretoriorum dierum speculationem inquirere videntur. Primum itaque diem judicatorium parium dierum quartum esse pronunciat; deinde sextum; mox in plurimis exemplaribus tum octavus, tum decimus scriptus est; in quibusdam verò decimus quartus post sextum; deinde vigesimus. Et post hunc in quibusdam vigesimus quartus; in nonnullis trigesimus quartus; ab hoc quadragesimus; sub quem sexagesimus, octogesimus, & centesimus. In morbis vero qui diebus imparibus judicantur, primum ait circuitum esse, sed satius erat, ut diximus, non primum; sed tertium, deinde quintum, mox septimum, deinde nonum, deinde undecimum, postea decimum septimum, deinde primum & vigesimum, mox septimum & vigesimum, à quo primum & trigesimum. At à nobis demonstratum est in opere de diebus judicatoriis, omnium judicantium dierum validissimos esse qui & quartano & septimano circuitu fiunt; moderatiores vero his esse, qui intercidunt, de quibus probabilis generationis gratia dicamus. Omnes itaque impares rectè pronunciati sunt. Inter pares vero non rectè dixerunt vigesimum octavum & undecimum; nullo siquidem modo ipsi sunt judicatorii.

Τὰς ἔξω τῶν ἡμερῶν κρισίμων γινομένας κρίσεις, ἐσομένας ὑποστροφάς τε καὶ ὀλεθρίους νόσους σημαίνειν.

Extra dies judicatorios facta judicia tum recidivas, tum lethales morbos protendere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

Εἰδέναι δὲ χρὴ, ὅτι, ἢν ἄλλως κριθῇ, ἔξω τῶν προγεγραμμένων, ἐσομένας ὑποστροφὰς σημαίνοιτο, καὶ γένοιτο ἂν ὀλέθρια.

HIPPOCRATIS TEXTUS XV.

Scire autem oportet si aliter extra hos præscriptos dies judicium fiat, recidivas fore portendi, lethalesque morbos oboriri.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὴ καλῶς καὶ βεβαίως κρίνουσιν αἱ εἰρημέναι νῦν ἡμέραι, καὶ τὰ κριθέντα δὲ νοσήματα, πάντως μέν ἐστι βέβαια. γένοιτο δ' ἂν ποτε καὶ ὀλέθρια, δέδεικται δ' ἐν ἐκείνων τῶν ὑπομνημάτων.

GALENI COMMENTARIUS.

Prædictos dies bene & firmiter judicare, tum judicatos morbos prorsus esse firmos, fieri tamen nonnunquam exitiales illis commentariis demonstratum est.

Ἐν ταῖς ἡμέραις κρισίμοις τὰς τῶν νοσημάτων μεταβολὰς, καὶ ῥοπὰς προσεκτέον τὸν νοῦν.

Diebus judicatoriis morborum mutationes ac propensiones esse considerandas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

Δεῖ δὲ προσέχειν τὸν νοῦν, καὶ εἰδέναι ἐν τοῖσι χρόνοισι τούτοισι κρίσιας ἐσομένας ἐπὶ σωτηρίην, ἢ ὄλεθρον, ἢ ῥοπὰς ἐπὶ τὸ ἄμεινον, ἢ χεῖρον.

HIPPOCRATIS TEXTUS XVI.

At animadvertere & nosse oportet hisce temporibus futuras ad salutem aut perniciem judicationes; vel in melius aut deterius propensiones.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν ταύτῃ τῇ ῥήσει τὸ σημαινόμενον ἐκ τοῦ τῆς κρίσεως ὀνόματος ἐδίδαξεν, ὃ διὰ συντόμων ἄν τις εἴποι ὀξύῤῥοπον εἶναι μεταβολὴν νοσήματος, ὅτι δὲ τετραχῶς ἡ μεταβολὴ γίνεται, σαφῶς αὐτὸς εἶπεν. ἐπὶ γὰρ σωτηρίαν, ἢ ὄλεθρον, ἢ ῥοπὴν ἐπὶ τὸ ἄμεινον, ἢ χεῖρον, ἀξιόλογον δηλονότι. παρέλιπε δ' αὐτὸς εἰπεῖν τὸ ἀξιόλογον, ὡς ἐν τῷ κοινῷ σημαινομένῳ τοῦ τῆς κρίσεως ὀνόματος περιεχόμενον.

GALENI COMMENTARIUS.

Hac in oratione quod ex judicationis nomine significatur declaravit; quod quis concisa oratione dixerit celerem morbi mutationem. Quod autem quatuor modis mutatio fiat, ipse declaravit, nempe ad salutem, aut mortem, aut propensionem ad melius, vel deterius insignem scilicet. Prætermisit autem vocabulum, insignem, quod in communi judicationis dictione contineatur.

Eraticas

Erraticas febres & alias diuturnas hîc nominatas considerare Medicum oportet. Quartanarum trium desinentium prædictione Galenum vatem esse vulgus existimavit.

HIPPOCRATIS TEXTUS XVII.

Erraticæ denique febres, & quartanæ, quintanæ, septimanæ & nonanæ quibus circuitibus judicentur, explorandum est.

GALENI COMMENTARIUS.

At de his in prognostico minime disserit: Etenim erraticæ singulas accessiones inordinatas habent, signis tamen per judicatorios dies apparentibus, earum judicatio prænoscitur. De circuitibus ad integritatem desinentibus, quales tertianarum & quartanarum à plerisque Medicorum demonstratum est theorema incognitum, quod semper in ægris experti sumus. Non enim primis à principio diebus, mentem attendere oportet, neque hos simpliciter deinceps commemorare, sed accessiones, ut de tertianâ exquisitâ in ex aphorismis dixit; *Tertiana exquisita septẽ circuitibus, ut lõgissimum judicatur.* Nam ut hæc septẽ circuitibus judicatur, eadem ratione alia quidem novem circuitibus; alia vero undecim, & ita deinceps pro judicantium dierum numero. Atque de quartanis eadem est ratio: In prognostico nanque dicit; Quartanarum status eo procedit ordine. Quum autem ego theoriam hanc in Eudemo Philosopho prædixissem tribus quartanis affecto, unam quidem ex ipsis primum desinere, quæ certis diebus invaderet, & post totidem circuitus: ubi vero hæc sedata est, secundam aliam tertio die, deinde & tertiam similiter prænunciassem, me hæc dicere ex divinatione asserebant, & non ex medica speculatione, quanquam vates nunquam Romæ vidissent rectè in ægris prædixisse: De cæterarum enim urbium incolis nullum feci periculum. Dei autem gratia denunciamus nos in nulla unquam prædictione frustratos esse. Quod si tu in his quæ de judicationibus enarrata sunt, te exercueris, tum Hippocrate, tum arte dignus eris. Hæc quidem obiter à me dicta sunt; atqui ad præsentem explicationem rursum procedamus. Quemadmodum enim in prognostico de diebus judicatoriis, sic etiam de circuitibus omnem orationem accuratè definivit. Nusquam tamen, neque in prognostico solùm, imo neque in aphorismis quintani, vel septimani, vel nonani meminit. Enimuero quum in prognostico dixisset; Quartanarum status eo procedit ordine. Et in aphorismis; Tertiana exquisita septem circuitibus judicatur, poterat quoque ipse de quintana & septimana & nonana eandem orationem fecisse, his ita scriptis. Fit autem & quartanarum status eodem modo, & quintanarum, & septimanarum, & nonarum ex eo ordine.

Δεῖ τὸν ἰατρὸν σκέπτεσθαι τοὺς πυρετοὺς πλανήτας, καὶ τοὺς ἄλλους χρονίζοντας ἐνταῦθα ὀνομασμένους. ἐκ τῆς τριῶν τῶν τεταρταίων παυόντων προῤῥήσεως τὸν Γαληνὸν μάντιν εἶναι ἀπεφήναντο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

Πλανῆτες δὲ πυρετοὶ, καὶ τεταρταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι, ἐν ᾗσι περιόδοισι κρίνονται σκεπτέον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.


Οὐδὲ περὶ τούτων ἐπιζητεῖ κατὰ τὸ προγνωστικόν· καὶ γὰρ οἱ πλανῆτες, τοὺς κατὰ μέρος παροξυσμοὺς ἀτάκτους ἔχουσιν, ἀλλὰ διά τε τῶν κατὰ τὰς κρισίμους ἡμέρας φαινομένων σημείων, ἡ κρίσις αὐτῶν προγινώσκεται. περὶ δὲ τῶν εἰς ἀπυρεξίαν ληγόντων περιόδων, οἷαί περ αἱ τῶν τριταίων εἰσὶ καὶ τῶν τεταρταίων, ἐδείχθη τοῖς πολλοῖς τῶν ἰατρῶν, θεώρημα ἀγνοούμενον, οὗ διὰ παντὸς ἐπειράθημεν ἐπὶ τῶν ἀῤῥώστων. οὐ γὰρ ταῖς ἀπὸ τῆς ἀρχῆς ἡμέραις προσέχειν χρὴ τὸν νοῦν, οὐδὲ ταύτας ἀριθμεῖν ἁπλῶς ἐφεξῆς, ἀλλὰ τοὺς παροξυσμοὺς, ὥσπερ ἐπὶ τριταίου ἀκριβοῦς, αὐτὸς εἶπε κατὰ τοὺς ἀφορισμούς. τριταῖος ἀκριβὴς ἐν ἑπτὰ περιόδοισι κρίνεται τὸ μακρότατον, ὡς γὰρ οὗτος ἐν ἑπτὰ περιόδοις κρίνεται, κατὰ τὸν αὐτὸν λόγον, ἄλλος μὲν ἐν ἐννέα περιόδοις, ἄλλος δ' ἐν ἕνδεκα, καὶ οὕτως ἐφεξῆς κατὰ τὸν ἀριθμὸν τῶν κρινουσῶν ἡμερῶν, καὶ περὶ τῶν τεταρταίων ὁ αὐτὸς λόγος. ἐν γοῦν τῷ προγνωστικῷ φησι· γίνονται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τούτου τοῦ κόσμου. ἐμοῦ δὲ καὶ ταύτην τὴν θεωρίαν προειπόντος ἐπ' Εὐδήμου τοῦ φιλοσόφου, τρεῖς τεταρταίους ἔχοντος, ἕνα μὲν ἐξ αὐτῶν πρῶτον παύεσθαι τὸν ἐν ταῖσδε ταῖς ἡμέραις παροξυνόμενον, καὶ μετὰ τοσάσδε περιόδους. ἐπεὶ δ' οὗτος ἐπαύσατο, δεύτερον ἄλλον ἐν τῇδε τῇ ἡμέρᾳ, κἄπειτα καὶ τὸν τρίτον ὁμοίως προειπόντος, ἐκ μαντικῆς ἔφασαν λέγεσθαι ταῦτα, καὶ οὐκ ἐξ ἰατρικῆς θεωρίας, καίτοι τοὺς μάντεις οὐδέποτ' ἀληθῶς ὁρῶντες ἐπ' ἀῤῥώστου προειπόντας ἐν ῥώμῃ. τῶν γὰρ ἐν ταῖς ἄλλαις πόλεσιν οὐ πεπείραμαι, σὺν θεῷ δ' εἰπεῖν, ἡμεῖς οὐδέποτε ἀπετύχομεν ἐν οὐδεμιᾷ προῤῥήσει. καὶ σὺ τοίνυν ἐὰν ἀσκήσῃς σαυτὸν ἐν τοῖς εἰρημένοις περὶ κρίσεως, Ἱπποκράτους τε καὶ τῆς τέχνης ἄξιος ἔσῃ. ταῦτα μὲν εἰρήσθω μοι κατὰ τὸ πάρεργον, ἐπὶ δὲ τὴν προκειμένην ἐξήγησιν αὖθις ἴωμεν. ὥσπερ γὰρ ἅπαντα τὸν περὶ τῶν κρισίμων ἡμερῶν λόγον ἀκριβῶς διωρίσατο κατὰ τὸ προγνωστικὸν, οὕτω καὶ τὸν τῶν περιόδων. οὐδαμόθεν γοῦν ἐμνημόνευσε πεμπταίας, ἢ ἑβδομαίας, ἢ ἐνναταίας, οὐ μόνον κατὰ τὸ προγνωστικόν τι εἰπὼν, ἀλλ' οὐδὲ κατὰ τοὺς ἀφορισμούς. καί τοι κατὰ τὸ προγνωστικὸν εἰπών· γίνονται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τούτου τοῦ κόσμου. κατὰ δὲ τοὺς ἀφορισμοὺς τριταῖον ἀκριβῆ κρίνεσθαι περιόδοις ἐν ἑπτὰ, δυνατὸν ἦν αὐτῷ καὶ περὶ πεμπταίου, καὶ ἑβδομαίου, καὶ ἐνναταίου τὴν αὐτὴν ἀπόφασιν ποιήσασθαι, τὴν λέξιν ὡδί πως γράψαντι. γίνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις κατὰ τὸν αὐτὸν τρόπον, καὶ πεμπταίων, καὶ ἑβδομαίων καὶ ἐνναταίων ἐκ τουτέου κόσμου.

A



ΠΡΟΣ ΤΗΝ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ἀρρώστων δεκατεσσάρων ἐξήγησιν τοῦ Γαληνοῦ προοίμιον.

Διττὴν τῶν ζητουμένων εὕρεσιν εἶναι, τὴν μὲν ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ κατὰ μέρος, τὴν δὲ ἀπὸ τοῦ κατὰ μέρος ἐπὶ τὸ καθόλου ἀφικνουμένην. ἔνθεν τὰ καθόλου θεωρήματα ἰατρικὰ, B κατὰ τὰς πρόσθεν καὶ διαφόρους πραγματείας ἐκφωνιέντα ἐν ταῖς κατὰ μέρος τῶν ἀρρώστων τινῶν ἱστορίαις ἰσχυρίζειν τὸν Ἱπποκράτην διδάσκει ὁ Γαληνός.



Πρὸ τοῦ τῆς κατὰ μέρος ἀρρώστων ἐξηγήσεως ἄμεινον εἶναί μοι δοκεῖ, σαφηνείας τε καὶ συντομίας ἕνεκα, κοινόν τινα περὶ πάντων αὐτῶν λόγον εἰπεῖν. Ἐδείχθη μοι καὶ κατ' ἄλλας μὲν πραγματείας, ἀλλὰ κἀν τῇ τῆς θεραπευτικῆς μεθόδου, ὡς διττὴ ἡ τῶν ζη- C τουμένων εὕρεσίς ἐστι, μία μὲν ἡ διὰ τοῦ λόγου πρὸς τὴν γνῶσιν ἀφικνουμένη τοῦ καθόλου τε καὶ κοινοῦ παντὸς τῶν κατὰ μέρος εἰδῶν, ἄλλη δὲ διὰ τῶν κατὰ μέρος ἐπὶ τὸ κοινόν τε καὶ καθόλου παραγινομένη. καὶ τὰ μὲν συμπληροῦντα εἶναι καθόλου, τὰς δὲ πράξεις τῶν τεχνιτῶν ἐπὶ τῶν ἀτόμων εἰδῶν γίγνεσθαι. δεῖσθαι δὲ τῆς ἐπ' αὐτῶν γυμνασίας, καὶ καθόλου πρότερον εὑρόντα, καὶ μέντοι καὶ πρὸς βεβαίωσιν αὐτῶν τῶν εὑρημένων καθόλου, χρήσιμα γίγνεσθαι τὰ κατὰ μέρος. ἔστι δὲ καὶ πρὸς τὴν τῶν μανθανόντων γνῶσιν, οἷον παραδείγματα ταῦτα, τῶν ἐπιτεταγμένων αὐτοῖς καθόλου θεωρημάτων. D διὰ τοῦτο κἀγὼ κατὰ τὰς πραγματείας ἁπάσας ἃς ἐποιησάμην, οὐ τὰ καθόλου μόνον, ἀλλὰ καὶ τὰ κατὰ μέρος διῆλθον ἐκ τῶν Ἱπποκράτους βιβλίων, καὶ μάλιστα τῶν ἐπιδημιῶν παραγράψας ῥήσεις, ἐν αἷς διηγήσατο ἅπαντα ἀπ' ἀρχῆς μέχρι τέλους τὰ συμβαίνοντα τοῖς ἀρρώστοις. ἐν μὲν οὖν ταῖς δυσπνοίαις, ἅπαντας τοὺς δυσπνοήσαντας ἐν ταῖς τῶν ἐπιδημιῶν συγγραφαῖς διῆλθον, ἐν δὲ τοῖς τῶν κρισίμων ἡμερῶν, τοὺς κριθέντας, ἐπί τε τῶν ἄλλων ὡσαύτως· ὅθεν οὐδ' ἐξηγήσεως ἦν περιττοτέρας χρεία τοῖς βουλομένοις ἐπὶ τὰ τῆς τέχνης ἔργα σπεύδειν. E ἀλλ' ἐπειδὴ παρέγκεινταί τινες ἀσαφεῖς λέξεις, δι' ἐκείνας ἔδοξεν ἄμεινον εἶναι, καὶ τὰ τοιαῦτα ὑπομνήματα ποιήσασθαι δῆλα. εἰ μὲν οὖν ἁπάντων τῶν συμπτωμάτων ὅσα γεγονέναι φησὶν ἑκάστῳ τῶν νοσημάτων, εἴτ' οὖν τὴν ὅλην φύσιν, ἢ τὰς αἰτίας τῆς γενέσεως εἴποιμι, τὰς γενομένας μοι πραγματείας ἐνταῦθα μεταφέρειν ἀναγκασθήσομαι πάσας, κινδυνεύσω τε καθ' ἕκαστον ἄρρωστον ἓν γράψαι βιβλίον. εἰ δὲ τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων ἐν τῷ καθόλου, τὰ παραδείγματα μόνα νῦν ἐπισημαινοίμην, ἀναπέμπων τὸ F σύμπαν τῆς διδασκαλίας εἰς τὰς γεγραμμένας μοι πραγματείας, ἐλπίζω σύντομον ἔσεσθαι τὸν λόγον.

IN PARTICULAREM Ægrorum quatuordecim explanationem Galeni Præfatio.

Duplicem quæsitorum inventionem esse, unam quæ ab universali ad particulare; alteram quæ à particulari ad universale procedit. Hinc universalia præcepta medica in superioribus ac diversis operibus pronunciata; particularibus quorumdam ægrorum historiis Hippocratem astruere docet Galenus.



Nte particularem ægrorum explanationem satius esse mibi videtur tum perspicuitatis, tum brevitatis gratiâ, communem quandam de iis omnibus orationem facere. A me demonstratum est tum aliis in operibus, tum in medendi methodo, duplicem eorum quæ investigantur, inventionem esse; unam quidem quæ ratione ad notitiam pervenit, tum universalis tum communis cujuscunque particularis speciei; alteram vero quæ per particularia ad commune ac universale pervenit. Atque hæc quidem complere universale; opera vero artificum ex individuis speciebus fieri: opus autem esse in his exercitatione ei qui priùs universale invenit. Præterea & ad universalem affirmationem utilia esse particularia. Sunt autem ad discipulorum captum hæc veluti exempla universalium ipsis institutorum theorematum. Ob id & ego in omnibus quos feci tractatibus, non universalia duntaxat, verumetiam particularia percurri, ex libris Hippocratis ac præcipuè Epidemiorum orationes annotans, in quibus omnia exposui, quæ ab initio adusque finem ægris oborta sunt. In libris itaque de spirandi difficultate omnes percurri, qui in epidemiis difficile spiraverunt; in libris de diebus judicatoriis judicatos, atque eodem modo in cæteris. Quare neque prolixiori explicatione opus fuerit ad artis opera properare volentibus. Sed quia contextus quidam Hippocratis interjacent obscuriores, propterea mihi satius visum est tales quoque commentarios dilucidos construere: Nam si symptomatum omnium quæ singulis morbis accidisse narrat, vel totam naturam, vel causas generationis dixero, tractatus omnes à me factos huc tranferre, & in singulos ægrotos unum librum scribere periclitabor. Quod si eorum, quæ in prognostico universaliter scripta sunt, sola exempla nunc judicavero, omnem disciplinam ad opera à me scripta remittens, concisam spero fore orationem.

A

Ægrotum primum acuta febre laborantem signis lethalibus, intempestivis sudoribus, siti vehementi, lingua arida, nigris urinis, jactationibus, pervigiliis, deliriis, stillis sinceri sanguinis, extremis frigidis ac lividis, & aphonia interiturum dilucidè portendi.

Ἄρρωστον πρῶτον τὸν ὀξέος πυρετοῦ νοσέοντα τοῖς σημείοις θανασίμοις, καὶ τοῖς ἀκαίροις τε καὶ ψυχροῖς ἱδρῶσι, τῇ δίψῃ σφοδρᾷ, τῇ γλώσσῃ ἐπιξήρᾳ, τοῖς οὔροις μέλασι, ταῖς δυσφορίαις, ταῖς ἀγρυπνίαις, τοῖς ληρήμασι, τοῖς ἀκράτου αἵματος στάγοσι, τοῖς ἄκροις ψυχροῖς καὶ πελιδνοῖς, καὶ τῇ ἀφωνίᾳ ἀπολεσόμενον φανερῶς σημαίνεσθαι.

HIPPOCRATIS TEXTUS I.

ÆGROTUS PRIMUS.

Qui Philiscus prope mœnia habitabat, decubuit. Primo die febris acuta, noctu laboriosè sudavit. Secundo omnia exacerbata sunt; vesperi ab injecto clystere belle habuit, nocte quievit. Tertio manè & ad meridiem usque à febre liber esse visus est; ad vesperam verò febris acuta invasit cum sudore, siticulosus fuit, lingua inaruit, nigrum minxit, noctu iactabatur, non dormivit, prorsus deliravit. Quarto autem omnia proritata sunt, urinæ nigræ, nox toleratu facilior, urinæ meliùs coloratæ. Quinto circa meridiem paucum è naribus stillavit sincerum; urinæ variæ quibus inerant enæoremata rotunda genituræ similia, quæ dispersa non subsidebant. Huic supposita glande flatulenta pauca prodierunt; nox laboriosa fuit, somni parvi, verba, deliria, extrema undique frigida quæ non amplius recalescebant, nigra minxit, parcè dormivit, interdiu obmutuit, frigida sudavit, extrema livida. Die sexto circa meridiem obiit. Huic spiritus ad finem usque velut revocanti rarus & magnus. Lien tumore rotundo intumuit; sudores perpetuo frigidi; exacerbationes diebus paribus.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α΄.

ΑΡΡΩΣΤΟΣ ΠΡΩΤΟΣ.

Φιλίσκος ᾤκει παρὰ τὸ τεῖχος, καὶ κατεκλίθη. Ἐν τῇ πρώτῃ πυρετὸς ὀξὺς, ἵδρωσεν ἐς νύκτα ἐπιπόνως. δευτέρῃ πάντα παρωξύνθη. ὀψὲ δὲ ἀπὸ κλυσματίου καλῶς διῆλθε, νύκτα δι' ἡσυχίης. τρίτῃ πρωῒ, καὶ μέχρι μέσου ἡμέρης, ἔδοξε γενέσθαι ἀπύρετος· πρὸς δείλην δὲ πυρετὸς ὀξὺς μεθ' ἱδρῶτος, διψώδης, γλῶσσα δὴ ἐπεξηραίνετο, C μέλαν οὔρησε, νύκτα δύσφορος, οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε. τετάρτῃ πάντα παρωξύνθη, οὖρα μέλανα, νύκτα εὐφορωτέρην, οὖρα εὐχροώτερα. πέμπτῃ περὶ μέσον ἡμέρης, μικρὸν ἀπὸ ῥινῶν ἔσταξεν, ἄκρητον. οὖρα δὲ ποικίλα ἔχοντα ἐναιωρήματα στρογγύλα, γονοειδέα, διεσπαρμένα, οὐχ ἵδρυτο. προσθεμένῳ δὲ βάλανον, φυσώδεα σμικρὰ διῆλθε, νύκτα ἐπιπόνως, ὕπνοι σμικροὶ, λόγοι, λῆροι, ἄκρεα πάντοθεν ψυχρὰ, καὶ οὐκέτ' ἀναθερμαινόμενα, οὔρησε δὲ μέλανα, ἐκοιμήθη σμικρὰ, πρὸς ἡμέρην ἄφωνος, ἵδρωσε ψυχρὰ, ἄκρεα πελιδνὰ, περὶ δὲ μέσον ἡμέρης ἑκταῖος ἀπέθανεν. D τουτέῳ τὸ πνεῦμα διὰ τέλεος, ὥσπερ ἀνακαλουμένῳ, ἀραιὸν, καὶ μέγα. σπλὴν ἐπήρθη περιφερεῖ κυρτώματι, ἱδρῶτες ψυχροὶ διὰ τέλεος, οἱ παροξυσμοὶ ἐν ἀρτίῃσιν.

GALENI COMMENTARIUS.

Hoc in ægroto tertio die mors ei jam futura perspicue denunciabatur, qui universalium theorematum meminit. Primo nanque die febri acutæ obsidenti sudor obortus est qui febrem non soluit, imo & noctem perarduam attulit. Secundus dies omnia proritavit. Inde tertius nigrarum urinarum excretionem habuit. Itaque quod primo die accidit, continuò pravum erat. Nam judicatoria non judicantia partim lethalia existunt, partim difficile judicium faciunt. Lethalia quidem, si aliquod ex lethalibus vel symptomatis vel signis fuerit. Difficile veró facientia judicium, si absque his signa cruditatis humorum permaneant. Atenim in Philisco lethale signum erat, quod non solutæ tertio die à sudore febri urinæ nigræ & sitis accesserint, & lingua inaruerit, & tota nocte inquietus fuerit, vigilaverit, deliraverit. His autem ita factis, quarto die cuncta proritata fuisse ait, urinasque rursus nigras redditas. Fac itaque memineris, quod ubi quartus dies in acuto morbo difficilia tum symptomata, tum signa peræquè ac tertius habuerit, judicationem brevi expectare oportet, & quod si paribus diebus accessiones fuerint, in paribus; si vero imparibus, in illis; ubi autem judicatio, hîc & mors in perniciosis morbis. Enimvero sexto die mortem obiit Philiscus, quòd ipsi accessiones

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τούτου τοῦ ἀρρώστου, κατὰ τὴν τρίτην ἡμέραν ὁ μέλλων ἔσεσθαι θάνατος ἦν φανερὸς, ἤδη τῷ μεμνημένῳ τῶν καθόλου θεωρημάτων. ἐν γὰρ τῇ πρώτῃ τῶν ἡμερῶν ὀξέος πυρετοῦ γενομένου, καὶ μετὰ τοῦτο ἱδρῶτος ἐπιφανέντος, οὐκ ἔλυσε τὸν πυρετὸν, ἀλλὰ καὶ τὴν νύκτα χαλεπὴν ἤνεγκεν. ἡ δευτέρα πάλιν E ἅπαντα παρώξυνεν, εἶθ' ἡ τρίτη μελάνων οὔρων ἔσχεν ἔκκρισιν. ἦν μὲν οὖν καὶ τὸ κατὰ τὴν πρώτην ἡμέραν γενόμενον εὐθέως μοχθηρόν· τὰ γὰρ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα, θανατώδη μὲν, ἐάν τι τῶν ἐπ' αὐτοῖς θανατωδῶν γένηται συμπτωμάτων, ἢ σημείων, δύσκριτα δὲ, ἐὰν ἄνευ τούτων διαμένῃ τὰ σημεῖα τῆς τῶν χυμῶν ἀπεψίας. ἀλλ' ἐπί γε τοῦ Φιλίσκου θανατῶδες ἐγένετο σημεῖον, ἐπὶ τῷ μὴ λῦσαί τι τὸν πυρετὸν ἱδρῶτι, κατὰ τὴν τρίτην ἡμέραν, τὰ μέλανα τῶν οὔρων μετὰ τοῦ καὶ διψώδη γενέσθαι, καὶ τὴν γλῶσσαν ἐπιξηρανθῆναι, καὶ δυσφορῆσαι δι' ὅλης νυκτὸς, ἀγρυπνῆσαί τε καὶ παρακροῦσαι· F καὶ τούτων οὕτως γενομένων, ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ταῦτά τε παροξυνθῆναί φησι, καὶ οὖρα πάλιν γενέσθαι μέλανα. μέμνησο τοιγαροῦν, ὅτι τῆς τετάρτης ὁμοίως τῇ τρίτῃ, χαλεπὰ συμπτώματα καὶ σημεῖα ἐχούσης ἐν ὀξεῖ νοσήματι, τὴν κρίσιν ἐχρῆν ἐσομένην προσδοκᾶν διὰ ταχέων, εἰ μὲν ἐν ἀρτίαις παρωξύνετο, μᾶλλον ἐν ταῖς ἀρτίαις· εἰ δ' ἐν ταῖς περιτταῖς, ἐν ἐκείναις· ἔνθα δ' ἡ κρίσις, ἐνταῦθα δηλονότι καὶ ὁ θάνατος, ἐπί γε τῶν ὀλεθρίων νοσημάτων. καὶ τοίνυν ἀπέθανεν ἑκταῖος ὁ Φιλίσκος, διότι καὶ οἱ παροξυσμοὶ κατὰ τὰς ἀρτίας

ἦσαν αὐτῷ. τοῦτο γὰρ αὐτὸς ὁ Ἱπποκράτης ἐνεδείξατο κατὰ τὸ τέλος τῆς ὅλης ἐξηγήσεως γράψας ὧδε. τούτῳ τὸ πνεῦμα διὰ τέλεος ὥσπερ ἀνακαλουμένῳ, ἀραιὸν, μέγα, σπλὴν ἐπήρθη, περιφερεῖ κυρτώματι, ἱδρῶτες ψυχροὶ διὰ τέλεος· οἱ παροξυσμοὶ ἐν ἀρτίῃσιν. ἄλλος δ' ἄν τις ἄρρωστος ἴσος ἐπὶ τοῖς αὐτοῖς συμπτώμασί τε καὶ σημείοις, οὐ κατὰ τὴν ἕκτην, ἀλλὰ κατὰ τὴν ὀγδόην ἡμέραν ἀπέθανε, τῆς τε δυνάμεως ἰσχυροτέρας οὔσης, ἢ ὡς ἔτυχεν ὁ Φιλίσκος ἔχειν, τῶν τε συμπτωμάτων καὶ τῶν σημείων ἧττον ὀλεθρίων. ἐπὶ γὰρ τούτῳ κατά τε τὴν τρίτην ἡμέραν καὶ τὴν τετάρτην, οὖρα μέλανα γενόμενα, σαφῶς ἐδήλωσε τὸ μέγεθος τῆς κακοηθείας τοῦ νοσήματος, ἱδρῶτές τε ψυχροὶ γενόμενοι, καὶ ἡ τοῦ αἵματος δὲ στάξις ἐν τῇ ε'. τῶν ἡμερῶν, ἐπεκύρωσε τὸν προσδοκώμενον ὄλεθρον σύντομον· ἔτι δὲ μᾶλλον ὅτι προσέγραψε τῇ στάξει τὸ ἄκρητον, ὧδέ πως εἰπὼν, τῇ πέμπτῃ περὶ μέσον ἡμέρας μικρὸν ἐπέσταξεν ἀπὸ ῥινῶν ἄκρητον. ὅταν μὲν οὖν ἤτοι διαχώρησιν, ἢ ἔμετον ἄκρητον εἴποι, τὸ ἄμικτον λέγει, διαχωρούσης ἢ ἐμουμένης, ἤτοι τῆς ξανθῆς ἀμίκτου χολῆς, ἢ τῆς μελαίνης, ἢ τῆς ἰώδους. περὶ δὲ τῆς στάξεως ἐὰν ἀκούσωμεν ἄμικτον αἷμα, τὸ ἐρυθρόν· αὕτη γὰρ ἴδιος αὐτοῦ χροιὰ, ψευδές τι νοήσομεν. οὐδέποτε γὰρ ἐρυθροῦ στάξις ἀπὸ ῥινῶν, ὀλεθρίῳ νοσήματι πέφηνεν, ἀλλ' ἀεὶ μέλανος· εἰκὸς οὖν ἐστὶν αὐτὸ δὴ τοῦτο τὸ μέλαν ἄκρητον εἰπεῖν, βουληθέντος αὐτοῦ τὸ πάνυ τοιοῦτον. ἐν μὲν δὴ τῇ τρίτῃ τῶν ἡμερῶν ἐφαίνετο σαφῶς ἤδη τὸ τοῦ νοσήματος ὀλέθριον, οὐ μὴν, ὁπότε τεθνήξεται δῆλον ἦν. ἐν δὲ τῇ τετάρτῃ τῶν ἡμερῶν τῶν μελάνων οὔρων διαμεινάντων, καὶ τῶν παροξυσμῶν ἐν ταῖς ἀρτίαις γινομένων, εἰ μὲν τῇ ἡλικίᾳ καὶ τῇ ῥώμῃ τῆς δυνάμεως, ἀντεῖχεν, εἰκὸς ἦν ἄχρι τῆς ὀγδόης ἐξαρκέσαι τὸν ἄρρωστον. εἰ δὲ μὴ, κατὰ τὴν πέμπτην τεθνήξεσθαι. τῆς πέμπτης δ', ἐπὶ τοῖς εἰρημένοις, αἵματός τε στάξιν ἀκράτου ἐχούσης, καὶ δηλονότι τοὺς ψυχροὺς ἱδρῶτας, οὓς διὰ παντὸς τοῦ νοσήματος ἔφη γενέσθαι, προσεδόκησεν ἄν τις εὐλόγως μὴ δυνηθήσεσθαι τὸν κατὰ τὴν ἕκτην ἡμέραν ἐσόμενον παροξυσμὸν ὑπομεῖναι, τὸν κάμνοντα. ταῦτά τε οὖν ἀκόλουθα φαίνεται τοῖς καθόλου περὶ κρισίμων ἡμερῶν, καὶ οὔρων, καὶ ἱδρώτων εἰρημένοις, ἐπί τε τῶν κρισίμων συγγραμμάτων, καὶ πρὸς αὐτοῖς τῶν περὶ δυσπνοίας τε καὶ παραφροσύνης. εἰρηκὼς γὰρ ἐν προγνωστικῷ, πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν, ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις, μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. εἶτα νῦν, ὅτι μὲν παρεφρόνησεν ὁ Φιλίσκος εἰρηκὼς, οὐδὲν δ' ἐν ὅλῃ τῇ διηγήσει περὶ δυσπνοίας γεγραφὼς, εἰκότως ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προσέθηκεν, τούτῳ τὸ πνεῦμα διὰ τέλεος ὥσπερ ἀνακαλουμένῳ, ἀραιὸν, μέγα. πρόδηλον δ' ὅτι ταὐτόν ἐστιν ἀραιόν τε φάναι, καὶ διὰ πολλοῦ χρόνου· τὸ δ' ὥσπερ ἀνακαλουμένῳ, οἷον ἀναμιμνησκομένῳ, σημαίνει. δέδεικται γὰρ ἐν τοῖς περὶ δυσπνοίας, ἀραιὸν καὶ μέγα γίνεσθαι τὸ πνεῦμα, διὰ τὴν βλάβην τῆς διανοίας, ὥσπερ ἐπιλανθανομένου τῶν ἐνεργειῶν τοῦ κάμνοντος, ὡς μήθ' ὅτε καταπαῦσαι προσῆκεν αὐτὰς ἐπίστασθαι, μήθ' ὅταν ἄρξασθαι.

A paribus diebus fuissent. Hoc enim ipse declaravit Hippocrates, qui in narrationis fine ita scripsit; Huic spiritus ad finem usque velut revocanti rarus & magnus. Lien tumore rotundo intumuit; sudores perpetuo frigidi, accessiones diebus paribus. Alius fortassis ægrotus similibus symptomatis & signis non sexto, sed octavo die interiisset qui tum robustioribus quam Philiscus esset viribus, tum symptomatis & signis minus perniciosis. Quod enim tertio die & quarto nigras urinas reddidisset, malignitatis morbi magnitudinem perspicuè B prodidit. Sudores præterea frigidi oborti & sanguinis stillatio quinto die, brevi perniciem expectari confirmarunt. Eoque etiamnum magis quod stillationi sincerum hisce verbis ascripserit; Quinto die circa meridiem paucum è naribus stillavit, idque sincerum. Quum itaque, vel dejectionem, vel vomitionem sinceram dixerit, non mixtum intelligit, dejecta vel evomita flava sincera bile, aut atra, vel æruginosa. De stilla autem, si sincerum sanguinem intellexerimus rubrum (is enim proprius ipsi color est) aliquid falsum intellige- C mus. Rubri nanque stilla è naribus in pernicioso morbo nunquam apparuit, at semper atri. Quòd igitur hoc ipsum atrum sincerum dicat, volens quod tale est, intelligere probabile est. Quare tertio quidem die jam morbi pernicies perspicuè videbatur, non tamen quando esset moriturus constabat. Quarto verò die quum urinæ nigræ permanerent, fierentque diebus paribus accessiones, sique tum ætate, tum virium robore ægrotus obstitisset, ad octavum usque diem ipsum suffecturum D par erat; si non, sexto die interiturum. Quum autem propter commemorata quintus dies meri sanguinis stillam haberet, tum frigidos sudores per totum morbum evenisse protulit, jure quidem expectasset ægrotum non posse accessionem sexto die futuram proferre. Hæc igitur videntur illis consequentia quæ universaliter de judicatoriis diebus, urinis, & sudoribus pronunciata sunt, tum in libris de judicatoriis diebus; tum in libris de spirandi difficultate, & delirio. Quum enim in progno- E stico dixerit: Spiritus autem, frequens quidem dolorem, aut partis alicujus supra septum transversum inflammationem significat, magnus verò & longo inspiratus tempore delirium ostendit. Deinde nunc quum & Philiscum delirasse affirmaverit, nihilque tota in narratione de spirandi difficultate enunciaverit, jure optimo in orationis fine addidit, huic spiritus ad finem usque velut revocanti rarus & magnus. Constat autem idem esse dicere, & rarum & per multum tempus: oratio, velut revocanti, quemadmodum recordanti signifi- F cat: Nam in libris de spirandi difficultate demonstratum est rarum & magnum fieri spiritum ob mentis læsionem, tanquam functionis ægrum lateant, ut nesciat, neque quando eas cohibere, neque quando inchoare oporteat.

A

Ægrotum secundum viginti annorum ex laboribus, compotationibus, & exercitiis intempestivis in vehementem febrem delapsum, interiturum signa ac symptomata lethalia prodidisse.

Ἄῤῥωστον δεύτερον εἰκοσαετῆ ἐκ κόπων, καὶ ποτῶν, καὶ γυμνασίων ἀκαίρων εἰς πυρετὸν σφοδρὸν καταπεσόντα ἀπολεσόμενον τὰ σημεῖα καὶ τὰ συμπτώματα θανάσιμα προδηλῶσαι.

HIPPOCRATIS TEXTVS II.

B

ÆGROTUS SECUNDUS.

Silenum, qui apud Platamonem prope Evalcidis ædes habitabat, ex lassitudinibus, compotationibus, & exercitationibus intempestivis febris prehendit. Cœpit autem lumbis laborare; capitis gravitatem tulit, fuitque cervicis distentio. Primo die ab alvo biliosa; sincera, spumosa, abunde colorata multa prodierunt; urinæ nigræ nigrum continentes sedimentum; sitibundus fuit, lingua insuper arida; nocte nihil dormivit. Secundo febris acuta; dejectiones plures, tenuiores, spumosæ; urinæ nigræ: nox inquies & gravis, aliquantulum deliravit. Tertio omnia exacerbata sunt; hypochondrii contentio utrinque ad umbilicum promissa, submollis; dejectiones tenues, nigricantes; urinæ turbidæ, nigræ, nox insomnis, verba multa, risus, cantus, continere se non potuit. Quarto eadem vexabant. Quinto dejectiones sinceræ, biliosæ, læves, admodum pingues; urinæ tenues, pellucidæ, paucæ; mente constabat. Sexto circa caput aliquantulum sudavit; extrema corporis frigida, livida; jactatio vehemens; ab alvo nihil prodiit; urinæ suppressæ sunt, febris acuta. Septimo voce defectus est, corporis summa non amplius recaluerunt; nihil minxit. Octavo frigidus per universum corpus manavit sudor; exanthemata cum sudore rubra, rotunda, parva, varis consimilia permanebant, non abscedebant; ab alvo autem parvis irritamentis concitata stercora tenuia, qualia incocta copiosa cum dolore prodibant, urinas cum dolore mordaces reddebat; extrema paululum recalescebant; somni exigui, comatosi, obmutuit, urinæ tenues, pellucidæ. Nono prope eadem. Decimo potum non assumebat, sopore detinebatur, somni tenues, ab alvo similia prodibant, mixit confertim sub crassum depositum; sedimentum farinæ crassiori similæ album, summa corporis iterum frigida. Vndecimo mortem oppetiit. Huic à principio ad extremum usque spiritus magnus, rarus, continens hypochondrii palpitatio. Ætas erat circiter annos viginti.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β΄.

ΑΡΡΩΣΤΟΣ ΔΕΥΤΕΡΟΣ.

Σιληνὸς ᾤκει ἐπὶ τοῦ Πλαταμῶνος πλησίον τῶν Εὐαλκίδεος, ἐκ κόπων, καὶ πότων, καὶ γυμνασίων ἀκαίρων πῦρ ἔλαβεν. ἤρξατο δὲ πονέειν κατ᾽ ὀσφὺν, καὶ κεφαλὴν εἶχε βάρος, καὶ τραχήλου ἦν ξύντασις. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ, χολώδεα, ἄκρητα, ἔπαφρα, κατακορέα, πολλὰ διῆλθεν, οὖρα μέλανα, μέλαιναν ὑπόστασιν ἔχοντα, διψώδης, γλῶσσα ἐπίξηρος, νυκτὸς οὐδὲν ἐκοιμήθη.
C
δευτέρῃ, πυρετὸς ὀξὺς, διαχωρήματα πλείω, λεπτότερα, ἔπαφρα, οὖρα μέλανα, νύκτα δυσφόρως, μικρὰ παρέκρουσε. τρίτῃ πάντα παρωξύνθη, ὑποχονδρίου ξύντασις ἐξ ἀμφοτέρων παραμήκης, πρὸς ὀμφαλὸν ὑπολάπαρος, διαχωρήματα λεπτὰ, ὑπομέλανα, οὖρα θολερὰ, μέλανα, νυκτὸς οὐδὲν ἐκοιμήθη, λόγοι πολλοὶ, γέλως, ᾠδὴ, κατέχειν οὐκ ἠδύνατο. τετάρτῃ διὰ τῶν αὐτῶν. πέμπτῃ διαχωρήματα ἄκρητα, χολώδεα, λεῖα, λίην λιπαρὰ, οὖρα λεπτὰ, διαφανέα, μικρὰ, κατενόει.
D
ἕκτῃ περὶ κεφαλὴν μικρὰ ἐφίδρωσεν, ἄκρεα ψυχρὰ, πελιδνὰ, πολὺς βληστρισμὸς, ἀπὸ κοιλίης οὐδὲν διῆλθεν, οὖρα ἐπέστη, πυρετὸς ὀξύς. ἑβδόμῃ ἄφωνος, ἄκρεα οὐκέτι ἀνεθερμαίνετο, οὔρησεν οὐδέν. ὀγδόῃ ἵδρωσε διόλου ψυχρὸν, ἐξανθήματα μετ᾽ ἱδρῶτος ἐρυθρὰ, στρογγύλα, σμικρὰ, οἷα ἴονθοι, παρέμενον, οὐκ ἀφίσταντο· ἀπὸ δὲ κοιλίας ἐρεθισμῷ σμικρῷ, κόπρανα λεπτὰ, οἷα ἄπεπτα· πολλὰ διήει μετὰ πόνου, οὔρει μετ᾽ ὀδύνης δακνώδεα, ἄκρεα σμικρὰ ἀνεθερμαίνετο. /ε ὕπνοι λεπτοὶ, κωματώδεες, ἄφωνος, οὖρα λεπτὰ,
E
διαφανέα, ἐννάτῃ διὰ τῶν αὐτῶν, δεκάτῃ, ποτὰ οὐκ ἐδέχετο, κωματώδης, οἱ δ᾽ ὕπνοι λεπτοὶ, ἀπὸ δὲ κοιλίης ὅμοια, οὔρησεν ἀθρόον ὑπόπαχυ κείμενον, ὑπόστασις κριμνώδης, λευκὴ, ἄκρεα πάλιν ψυχρά. Ἑνδεκάτῃ ἀπέθανεν· ἐξ ἀρχῆς τούτῳ, καὶ διὰ τέλεος, πνεῦμα μέγα ἀραιὸν, ὑποχονδρίου παλμὸς συνεχὴς, ἡλικίη ὡς περὶ ἔτεα εἴκοσι.

GALENI COMMENTARIVS.

F

In hoc ætatem addidit, quam in primo ægro non adjecerat. Ille siquidem debita ratione sexto die morti occubuit, perniciosa continenter in acuto morbo, à principio tum signa, tum symptomata consequutus. Hic autem illi consimiliter ab initio affectus. Attamen ad undecimum diem progressus est propter virium robur, quod huic inesse par erat, tum aliàs,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τούτου προσέθηκε τὴν ἡλικίαν, μὴ προσθεὶς ἐπὶ τοῦ πρώτου. ἐκεῖνος μὲν γὰρ εὐλόγως ἑκταῖος ἀπέθανεν ἐν ὀξεῖ νοσήματι κατὰ τὸ συνεχὲς, ὀλέθρια ἔχων ἀπὸ τῆς ἀρχῆς, τά τε σημεῖα, καὶ τὰ συμπτώματα. οὗτος δὲ παραπλησίως ἐκείνῳ διακείμενος ἀπ᾽ ἀρχῆς, ὅμως εἰς τὴν ια΄. ἡμέραν προῆλθε διὰ ῥώμην δυνάμεως, ἣν εἰκὸς μὲν ἦν, καὶ ἄλλως ὑπάρχειν αὐτῷ,

καὶ διὰ τοῦ προσθεῖναι δὲ τὴν ἡλικίαν, ἐνεδείξατο, μὴ προσθεὶς ἐπὶ τοῦ Φιλίσκου, ἐξ αὐτοῦ τοῦ μὴ προσθεῖναι, δηλώσας ὅτι πλεόνων ἐτῶν ἦν, ὥστε τὴν μὲν δύναμιν μὴ ἰσχυρὰν εἶναι. ἕτερος δ' ἂν ἄῤῥωστος ἐπὶ τοῖς αὐτοῖς ἀπ' ἀρχῆς σημείοις τε καὶ συμπτώμασιν, εἰ μὴ ἰσχυρὰς ἦν τὴν δύναμιν ἑβδομαῖος ἀπέθανε, καὶ οὕτως γε πλησίον ἧκε τοῦ θανάτου κατ' ἐκείνην τὴν ἡμέραν, καὶ ἔγραψεν ἐπ' αὐτοῦ· ἑβδόμῃ ἄφωνος, ἄκρεα οὐκέτ' ἀνεθερμαίνετο, οὔρησεν οὐδέν. εὔδηλον οὖν ἐκ τούτων, ὅτι πλησίον ἀφίκετο θανάτου· τῆς δυνάμεως δ' ἰσχυρᾶς οὔσης, ἴσχυσεν ἐξαρκέσαι πρὸς τὴν ἐφεξῆς ἡμέραν κρίσιμον τὴν ἑνδεκάτην. ἐπεί τοι κατὰ τὴν τρίτην, ἢ τετάρτην ἡμέραν ἐν κακίστοις αὐτοῦ γενομένου σημείοις τε καὶ συμπτώμασιν, ἐπὶ τῆς ἑβδόμης ἐχρῆν ἀποθανεῖν, ὄντων γε τῶν παροξυσμῶν ἐν ταῖς περιτταῖς μᾶλλον, ὅπερ ἐδήλωσεν εἰπὼν, τρίτῃ παρωξύνθη πάντα, καὶ μετὰ ταῦτα πάλιν, τετάρτῃ διὰ τῶν αὐτῶν. δυνηθεὶς οὖν ὑπερβῆναι, ὡς ἔφην τὴν ζ. ἡμέραν, διὰ ῥώμην δυνάμεως, ἐπὶ τῆς ὀγδόης ἡμέρας ἐξανθήματα μεθ' ἱδρῶτος ἔσχεν ἐρυθρὰ, στρογγύλα, σμικρὰ, τῆς φύσεως αὐτοῦ διαμαχομένης ἐπὶ τῷ νοσήματι, καὶ πρὸς τὸ δέρμα, τὴν περιουσίαν τῶν μοχθηρῶν χυμῶν ὠθούσης, καὶ διὰ τοῦτό γε οὐκ ἐπὶ τῆς ἐννάτης ἡμέρας ἀπέθανεν, ἀλλ' ἐπὶ τῆς ἑνδεκάτης· ὡς εἴ γε κατὰ τὴν ὀγδόην μηδὲν ἐγεγόνει τοιοῦτον, ἀκόλουθον ἦν ἀποθανεῖν αὐτὸν ἐπὶ τῆς ἐννάτης, γεγενημένης γε τῆς ἑβδόμης οἵαν εἶπεν. ἐπεὶ δὲ καὶ παρεφρόνησεν οὗτος ὁ ἄῤῥωστος ἐν τῇ νόσῳ, διὰ τοῦτο προσέθηκεν ἐπὶ τελευτῇ τῆς διηγήσεως, πνεῦμα ἔχειν αὐτὸν ἀραιὸν, καὶ μέγα, δι' ὅλου τοῦ νοσήματος· ἀλλὰ καὶ ὑποχονδρίου παλμὸν συνεχῆ γεγονέναι φησὶν αὐτῷ. θόρυβον δὲ καὶ τοῦτο, ἢ παραφροσύνην, ἐλέγετο δηλοῦν ἐν προγνωστικῷ. ἔοικεν ἐν τῷ διαφράγματι φλεγμονὴ γεγονέναι τις τῷ ἀνθρώπῳ, δι' ἣν κατὰ τὴν τρίτης ἡμέρας διήγησιν ἔγραψε, ὑποχονδρίου ξύντασις ἐξ ἀμφοτέρων παραμήκης πρὸς ὀμφαλὸν, ὑπολάπαρος. τὸ γὰρ ὑπολάπαρος, ὑποκενός ἐστι, τουτέστιν ὄγκου χωρὶς, ὃς γίνεται τῶν καθ' ὑποχόνδρια μορίων φλεγμαινόντων. ὅταν μέντοι τῇ φλεγμονῇ τοῦ διαφράγματος κατὰ τὸ συνεχὲς ἀνέλκηται τὸ ὑποχόνδριον, συντείνεται χωρὶς ὄγκου. καὶ κατ' ἀρχὴν γε τῆς ὅλης διηγήσεως ἔφη πονεῖν αὐτὸν ὀσφῦν, καὶ κεφαλῆς ἔχειν βάρος, καὶ τραχήλου σύντασιν, ἅπερ καὶ αὐτὰ πρὸς τὸ χεῖρον ὄντος τοῦ νοσήματος, παρακρουστικὰ σημεῖα γὰρ, καὶ εἰ γε μεθ' ἀγρυπνίας ἄνευ βάρους ἐγεγόνει ταῦτα, φρενιτικὸς ἂν ἀπετελέσθη. νυνὶ δὲ, τὸ βάρος τῆς κεφαλῆς, πλῆθος ἐνδεικνύμενον ἐν αὐτῇ περιέχεσθαι χυμῶν, οὐ πάνυ τι θερμῶν, ἢ χολωδῶν, ἢ παντελῶς ἄγρυπνος ἂν ἦν, ἐδήλωσε κωματώδη γενέσθαι τὸν κάμνοντα. λεχθήσεται δ' ἐπὶ πλέον περὶ τῶν τοιούτων διαθέσεων, ἐν αἷς ἅμα κωματώδεις εἰσὶ καὶ παραφρονοῦσιν, ὅταν ἐξηγησώμεθα τὴν πρώτην ῥῆσιν τοῦ προῤῥητικοῦ. προσθεῖναι δὲ χρὴ τῷ παρόντι λόγῳ καὶ ταῦτα, ὡς ἐστὶ βέλτιον, ἅπερ εἴρηται καὶ δι' ἄλλων ἡμῖν πολλάκις, ὅτι τῶν ἐπὶ προφανέσιν αἰτίαις ἀρξαμένων πυρέττειν, εἰ μηδεμίαν τὴν κατὰ τὸ σῶμα περιέχοιεν παρασκευὴν νοσήματος, ἐφήμερος ὁ πυρετὸς γίνεται. καίτοι γε τῷ Σιληνῷ παντελῶς ἂν ἐγεγόνει τοιοῦτον, ἐκ κόπων, καὶ πότων, καὶ γυμνασίων ἀκαίρων πυρέξαντι, μὴ προϋπαρχούσης ἐν τῷ σώματι τῆς νοσώδους παρασκευῆς, ἣν διαγνώσῃ τοῖς γιγνομένοις εὐθέως περὶ τὴν πρώτην καὶ δευτέραν ἡμέραν συμπτώμασί τε καὶ σημείοις. πρῶτον μὲν οὖν ἔφη πῦρ ἔλαβεν, οὕτως δ' ὀνομάζειν εἰωθὼς τὸν πυρετὸν, ὅταν ᾖ σφοδρότατος. εἶτ' ἐφεξῆς, ἀπὸ δὲ κοιλίης, τῇ πρώτῃ,

A tum quod per ætatis additionem declaravit, ea non in Philisco adjecta; ex qua non adjecta ostendit quod pluribus annis esset, ita ut vires parum in eo valerent. Secundus æger iisdem ab initio, tum signis, tum symptomatis, nisi validis viribus fuisset, septimo interiisset die, sicque sane illo die prope obiit, de eoque scripsit; septimo die obmutuit, extrema non amplius recalescebant, nihil minxit. Ex his itaque constat eum ad mortem prope devenisse; sed quum vires essent validæ, ad sequentem judicatorium diem undecimum sufficere potuit; quoniam B eum qui tertio aut quarto die in pessimis fuerat tum signis, tum symptomatis, septimo die mori oportebat, quum accessiones diebus imparibus magis fierent, quod his verbis declaravit; tertio exacerbata sunt omnia, atque ab his rursus; quarto die eadem vexabant. Quum igitur septimum diem præterire, ut dixi, ob virium robur potuerit, octavo die pustulas cum sudore habuit rubentes, rotundas, parvas, natura ipsa cum morbo pugnante, atque ad cutim pravorum humorum superfluitatem propellente, ob idque nono die haud obiit, C sed undecimo. Quod si octavo die nihil tale contigisset, consequens erat ipsum nono die interiisse, quum septimus qualem pronuntiavit, fuisset. Quia vero is ægrotus etiam in morbo deliravit, propterea in historiæ fine adjecit; ipsum spiritum magnum & rarum à principio ad extremum usque habuisse; imò & continenter hypochondrii palpitationem ipsi fuisse profitetur; quod in prognostico vel turbationem vel delirium significare dicebatur. Visa est autem homini fuisse quædam in septo transverso phlegmone, ob quam tertio die explicationem scri- D psit; hypochondrii contentio utrinque ad umbilicum promissa submollis. Submollis autem subvacua ac inanis est, hoc est citra tumorem, qui partibus hypochondriorum inflammatis procreatur. Quum vero ex septi transversi phlegmone ob continuitatem hypochondrium retrahitur, absque tumore contenditur. Atque jam in totius narrationis exordio edixit ipsum lumbis laborare, capitis gravitatem & cervicis contentionem habere, quæ & ipsa progrediente, ad deterius morbo delirii signa sunt; quæ & cum vigiliis & sine capitis gravitate fierent, phreneticus evaderet. Nunc vero capitis gravitas hu- E morum non admodum calidiorum aut biliosorum copiam (nam plane insomnis esset) contineri in eo ostendens, comitosum ægrum fuisse declaravit. Verùm de his affectibus in quibus simul & comatosi sunt & desipiunt, latius dicetur, quum primam prorrhetici orationem explicabimus. Adjecisse vero etiam præsenti orationi hæc oportet, quod melius sit quæ à nobis & alibi dicta sunt, ubi quis ex causis manifestis febricitare cœperit, si nullo modo corpus ad morbum paratum fuerit, eum diariâ fe- F bre corripi. At certè Sileno tale prorsus accidisset ex lassitudinibus, potationibus & exercitationibus intempestivis febricitanti, nisi corporis ad morbum accessisset apparatus, quem obortis primo statim aut secundo die tum symptomatis, tum signis dignoveris. Itaque primum, inquit, eum ignis prehendit. Ita vero febrem nominare consuevit, quum vehementissima fuerit. Deinde vero primò die ab alvo biliosa, sin-

cera, spumosa, abunde colorata, & copiosa huic prodierunt, continuata serie urinæ nigrum sedimentum continentes. Rursum subsequitur. Sitibundus fuit, lingua arida, nihil nocte dormivit. Non parva Sileno primo statim die tum exitialium symptomatum tum signorum multitudo tunc oborta est, ut quivis apertè queat intelligere lassitudines, potationes, & exercitationes morbi occasiones fuisse. Nam quisque occasiones maximè propriè manifestas causas appellaverit. Quum autem alia quædam oborta hominem ægrotaturum arguerint, multo tamen tempore præcesserint, æquum tunc fuit Silenum hunc ea etiam victus ratione commemorata longo usum tempore, inde morbum sibi comparasse. Si quis enim laboraverit multa perpessus in actionibus adusque lassitudinem, biberitque liberaliùs, & intempestivè sese exercitaverit, id est, aut ubi fuit tardior concoctio priusquam probè in sanguinem transmutatum fuerit alimentum, hic in se partim biliosum quidem ob labores & tolerantias, partim vero tum crudum, tum incoctum ex potu & intempestivis exercitationibus acervabit. At inter morbos hi gravissimi sunt, in quibus insignis amborum copia accumulatur.

A χολώδεα, ἄκρητα, ἔπαφρα, κατακορέα, πολλὰ διῆλθε τούτῳ. Εἶτ' ἐφεξῆς, οὖρα μέλανα, μέλαιναν ὑπόστασιν ἔχοντα, καὶ πάλιν ἐφεξῆς, διψώδης γλῶσσα, ἐπίξηρος, νυκτὸς οὐδὲν ἐκοιμήθη, πλῆθος οὐ σμικρὸν ὀλεθρίων τε συμπτωμάτων καὶ σημείων ἐγένετο τῷ Σιληνῷ, κατὰ τὴν πρώτην εὐθὺς ἡμέραν, ὡς νοῆσαι ἵνα δύνασθαι σαφῶς, τοὺς κόπους, καὶ πότους καὶ γυμνάσια, προφάσεις γεγονέναι τοῦ νοσήματος, κυριώτατα γὰρ ἄν τις φαίη προφάσεις, τὰ φανερὰ τῶν αἰτίων. ὅταν δέ τινα καὶ ἄλλα μέλλοντα νοσεῖν ἄνθρωπον ἐξελέγξῃ προσγινό- B μενα, χρόνῳ μέντοι πλείονι, προηγησάμενα, κυρίως ἄν τι λέγοιτο τηνικαῦτα, δυνατὸν εἶναι καὶ τὸν Σιληνὸν τοῦτον ἐν χρόνῳ πολλῷ διαιτηθέντα τὸν τρόπον τὸν εἰρημένον, ἐξ αὐτοῦ αὑτῷ ἐσκευάσθαι τὸ νόσημα. ἐὰν μὲν γὰρ πονῇ τις, πολλὰ ταλαιπωρούμενος ἐν ταῖς ἐνεργείαις ἄχρι κόπου, πίνῃ δὲ δαψιλῶς, καὶ ἀκαίρως τε γυμνάζοιτο, τοῦτο δέ ἐστι, ἤτοι γ' ἐπὶ σιτίοις, ἢ βραδυπεψίας γινομένης, πρὶν καλῶς εἰς αἷμα μεταβληθῆναι τὴν τροφὴν, οὗτος ἐν αὑτῷ, τὸ μέντοι χολῶδες ἀθροίσει διὰ τὰς ταλαιπωρίας, τὸ δ' ὠμὸν, καὶ ἄπεπτον, C διά τε τοὺς πότους, καὶ τὰ ἄκαιρα γυμνάσια. χαλεπώτατα δέ εἰσι ταῦτα μάλιστα τῶν νόσων, ἐν αἷς ἀμφοτέρων ἀξιόλογον ἀθροίζεται πλῆθος.

Ægrotum tertium febre acuta periculosè laborantem primis diebus signa lethalia significasse, qui tamen nono die sudore judicatus est, ac decimoquarto in recidivam lapsus, decimoseptimo die crisi convaluit.

Ἄῤῥωστον τρίτον ὀξέως ἐπικινδύνως πυρέττοντα κατὰ πρώτας ἡμέρας σημεῖα τὰ θανάσιμα σημῆναι· ὃ δέ γε κατὰ τὴν ἐνάτην μεθ' ἱδρῶτος ἐκρίθη, καὶ κατὰ τὴν ιδ΄. ἡμέραν ἐν ὑποστροφῇ πεσὸν ἑπτακαιδεκαταῖος τῇ κρίσει ὑγίασε.

HIPPOCRATIS TEXTUS III.

ÆGROTUS TERTIUS.

Herophontem febris acuta prehendit. Ab alvo pauca per initia tenesmodea, postea tenuia prodibant, biliosa, & copiosa; somni non aderant; urinæ nigræ & tenues. Quinto mane surditas; exacerbata sunt omnia; lien sublatus intumuit; hypochondrii distentio; ab alvo pauca nigra prodierunt; desipuit. Sexto delirabat; nocte sudor, frigus, delirus permansit. Septimo perfrixit; siticulosus fuit, deliravit, sub noctem ad mentem rediit, obdormivit. Octavo febricitavit; lien imminutus est; prorsus resipuit; ad inguen doluit, primumque ei tumor è lienis directo subortus est, deinde ad utranque tibiam dolores accesserunt; nox toleratu facilis, urinæ melius coloratæ paucum sedimentum habuerunt. Nono sudavit, judicatus est, intermisit. Quinto die reversus est morbus, simulque lien intumuit, febris acuta, iterumque surditas. Tertio post recidivam die lienis tumor imminuebatur, paucior que erat surditas, crura dolor invasit, noctu sudavit, die decimoseptimo judicatus est, neque in morbi reversione deliravit. Hic præter expectationem sospes evasit.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ΄.

ΑΡΡΩΣΤΟΣ ΤΡΙΤΟΣ.

Ἡροφῶντι πυρετὸς ὀξὺς, ἀπὸ κοιλίης ὀλίγα, τεινεσμώδεα κατ' ἀρχὰς, μετὰ δὲ ταῦτα λεπτὰ διήει, χολώδεα, ὑπόσυχνα, ὕπνοι οὐκ ἐνῆσαν, οὖρα μέλανα, λεπτά. πέμπτῃ πρωῒ, κώφωσις, παρωξύνθη πάντα, σπλὴν ἐπήρθη, ὑποχονδρίου ξύντασις, ἀπὸ κοιλίης ὀλίγα μέλανα διῆλθεν, παρεφρόνησεν· ἕκτῃ ἐλήρει ἐς νύκτα ἱδρὼς, ψύξις, παράληρος παρέμενεν· ἑβδόμῃ περιέψυκτο, διψώδης, παρέκρουσε, E ἐς νύκτα, κατενόει, κατεκοιμήθη· ὀγδόῃ ἐπύρεξε, σπλὴν ἐμειοῦτο, κατενόει πάντα, ἤλγησε κατὰ βουβῶνα ἔπαρμα, τὸ πρῶτον σπληνὸς κατ' ἴξιν, ἔπειτα οἱ πόνοι ἐς ἀμφοτέρας κνήμας, ἐς νύκτα εὐφόρως, οὖρα εὐχροώτερα, ὑπόστασιν εἶχε μικρήν· ἐνάτῃ ἵδρωσε, ἐκρίθη, διέλιπε· πέμπτῃ ὑπέστρεψεν, αὐτίκα δὲ σπλὴν ἐπήρθη, πυρετὸς ὀξὺς, κώφωσις πάλιν. μετὰ δὲ τὴν ὑποστροφὴν, τρίτῃ, σπλὴν ἐμειοῦτο, κώφωσις ἧσσον, σκέλεα ἐπώδυνα, νύκτα ἵδρωσεν, ἐκρίθη περὶ τὴν ἑπτακαιδεκάτην οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ.

F

GALENI COMMENTARIUS.

Primis enim diebus ipsũ jure moriturũ quisque auguratus esset. Etenim nigra minxit; biliosisque dejectionibus repressis surditas consequuta est, tanquam ipsis ad caput recurrentibus, ex quibus jure quidem optimo desipuit. At ex nigris quæ pravæ sunt, urinis nihil erat

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος, ἐκ παραδόξου διεσώθη· κατὰ γὰρ τὰς πρώτας ἡμέρας εἰκότως ἄν τις αὐτὸν ὑπενόησε τεθνήξεσθαι, καὶ γὰρ οὔρησεν μέλανα, καὶ διαχωρουμένων χολωδῶν συμπαυσαμένων, ἠκολούθηκε κώφωσις, ὡς ἂν εἰς τὴν κεφαλὴν ἀνελθόντων αὐτῶν. ἀλλ' ἐπὶ τούτοις μὲν εἰκότως

παρεφρόνησεν, ἐπὶ δὲ τοῖς μένασιν οὕτως, κακοῖς οὖσιν, οὐδὲν ἀντίρροπον ἀγαθὸν ἐγένετο, πλὴν ὅτι σπλὴν ἐπήρθη πεμπταίῳ, δεξάμενός τι τῆς κακοχυμίας, εἶτα κατὰ τὴν ὀγδόην ἡμέραν ἐκ τοῦ σπληνὸς, εἰς τὰ σκέλη μεθισταμένων αὐτῶν, ὁ μὲν ἐμειοῦτο, κατὰ δὲ τὴν ἐπὶ σκέλη φορὰν τῶν μεθισταμένων, ἤλγησε μὲν τὰ πρῶτα κατὰ βουβῶνα τὸν ἀριστερὸν, οὗτος γάρ ἐστι κατ᾽ ἴξιν σπληνὸς, ἔπειτα εἰς τὰς κνήμας ἀμφοτέρας. ἐφ᾽ οἷς δὴ συμπτώμασι διὰ τῆς νυκτὸς εὐφόρως ἔσχε, καὶ οὔρησεν εὐχροώτερα, καὶ λευκὴν ὑπόστασιν ἔχοντα μικράν· εἶτα κατὰ τὴν ἐπιοῦσαν ἡμέραν, ἥ τις ἦν ἐννάτη μεθ᾽ ἱδρῶτος ἐκρίθη. τοσοῦτον ἄρα ἥ τε κάτω μετάστασις ἴσχυσε τῶν λυπούντων, ἥ τε τῶν οὔρων πέψις. ἀλλὰ γὰρ οὐδ᾽ οὕτως ἦν ἱκανὰ ταῦτα τελέως ἀπαλλάξαι τῆς νόσου τὸν κάμνοντα, ἱδρώσαντα κατὰ τὴν θ΄. ἡμέραν. ὑπελείφθη τοιγαροῦν αὐτῷ, μόριόν τι τῆς κακοχυμίας, ὃ κατὰ τὴν ιδ΄ ἡμέραν ὑποστροφὴν ἤνεγκεν, ἐφ᾽ ᾗ, τὸ σύμπαν, ἑπτακαιδεκαταῖος ἐκρίθη, φυλαττομένης καὶ κατὰ τοῦτον τὸν ἄρρωστον τῆς ἐπὶ τῶν κρισίμων ἡμερῶν τηρήσεως.

A boni quod contra propenderet, nisi quod lien quinto intumuit die, quod cacochymiæ portionem excepisset. Deinde octavo die pravis humoribus è liene ad crura transeuntibus, hic imminuebatur quidem, cæterùm dum ad crura transirent, doluit imprimis inguen sinistrum; hoc siquidem erat secundùm lienis rectitudinem. Postea ad utranque tibiam dolores migraverunt; à quibus symptomatis sane placidè per noctem habuit, minxitque melioris coloris urinas quæ album & paucum sedi-

B mentum haberent. Deinde sequenti die qui nonus erat, cum sudore judicatus est. Tantum scilicet habent, tum vexantium humorum ad inferiores partes migratio, tum urinarum coctio. Enimvero neque hæc satis sic esse potuerunt ægrum à morbo perfectè vindicare, qui nono die sudaverat. Quare pars ipsi quædam pravorum humorum relicta est quæ quartodecimo die recidivam attulit, à qua decimoseptimo die judicatus est, servato hoc in ægrotante per dies judicatorios judicio.

C

Ἄρρωστος τέταρτός ἐστι γυνὴ παιδοτόκος ἣ κατὰ φύσιν καθάρσεως γενομένης τῇ τεσσαρεσκαιδεκάτῃ μετὰ τόκον ἡμέρᾳ εἰς τὸν πυρωδέστατον πυρετὸν ἐνέπεσεν τὸν ἐκ τῆς τῶν λοχίων ἐπισχέσεως γενόμενον, ὅθεν ταύτῃ τὰ ὀλέθρια συμπτώματα ἐπὶ θ΄ ὧν τεσσαρεσκαιδεκάτῃ, καὶ ἑπτακαιδεκάτῃ παροξυνθέντων εἰκοστῇ ἐπέθανεν.

Quartus ægrotus mulier est puerpera, quæ secundùm naturam purgata decimoquarto post partum die, in febrem ardentissimam incidit à lochiorum suppressione factam; unde oborta sunt perniciosa symptomata, quibus decimoquarto die ac decimoseptimo exacerbatis, vigesimo die vitâ defuncta est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ΄.

ΑΡΡΩΣΤΟΣ ΤΕΤΑΡΤΟΣ.

D

Ἐν Θάσῳ Φιλίνου γυναῖκα θυγατέρα τεκοῦσαν, καὶ κατὰ φύσιν καθάρσιος γενομένης, καὶ τὰ ἄλλα κούφως διάγουσαν, τεσσαρεσκαιδεκάτην ἐοῦσαν, μετὰ τόκον πῦρ ἔλαβε μετὰ ῥίγεος. Ἤλγει δὲ ἀρχομένη καρδίην, καὶ ὑποχόνδριον δεξιὸν, γυναικείων πόνοι, κάθαρσις ἐπαύσατο· προστεθεμένη δὲ, ταῦτα μὲν ἐκουφίσθη. κεφαλῆς δὲ, καὶ τραχήλου, καὶ ὀσφύος πόνοι παρέμενον· ὕπνοι οὐκ ἐνῆσαν, ἄκρεα ψυχρὰ, διψώδης, κοιλίη ξυνεκαύθη, μικρὰ διῄει, οὖρα λεπτὰ, ἄχροα κατ᾽ ἀρχάς. ἑκταίῃ ἐς νύκτα παρέκρουσε πολλὰ, καὶ πάλιν κατενόει· ἑβδόμῃ διψώδης, διαχωρήματα χολώδεα, κατακορέα· ὀγδόῃ ἐπερρίγωσε, πυρετὸς ὀξὺς, σπασμοὶ πολλοὶ μετὰ πόνου, πολλὰ παρέλεγεν, ἐξανίστατο. βάλανον προστεθεμένη, πολλὰ διῆλθε μετὰ περιρρόου χολώδεος, ὕπνοι οὐκ ἐνῆσαν· ἐννάτῃ, σπασμοὶ, δεκάτῃ ὀλίγα σμικρὰ κατενόει· ἑνδεκάτῃ, πάντως ἐκοιμήθη, ἀνεμνήσθη, ταχὺ δὲ πάλιν παρέκρουσε. οὔρει δὲ, μετὰ σπασμῶν, ἀθρόον πολὺ, ὀλιγάκις ἀναμιμνησκόντων, παχὺ, λευκὸν, οἷον γίνεται ἐκ τῶν καθισταμένων ὅταν ἀναταραχθῇ κείμενον· πολὺν χρόνον, οὐ καθίστατο, χρῶμα καὶ πάχος εἴκελον οἷον γίνεται ὑποζυγίων, τοιαῦτα οὔρει, οἷα κἀγὼ εἶδον. περὶ δὲ τεσσαρεσκαιδεκάτην ἐοῦσῃ, πόνοι δι᾽ ὅλου τοῦ σώματος, λόγοι πολλοὶ, σμικρὰ κατενόει, διὰ ταχέων δὲ πάλιν παρέκρουσε· περὶ δὲ ἑπτακαιδεκάτην ἐοῦσα ἦν ἄφωνος, εἰκοστῇ ἀπέθανεν.

HIPPOCRATIS TEXTUS IV.

ÆGROTUS QUARTUS.

IN Thaso Philini uxorem quæ filium pepererat, tum præcedentibus secundùm naturam purgationibus, tum in cæteris facilè degentem decimoquarto à partu die ignis cum rigore prehendit. Huic autem cor dolebat, & hypochondrium dextrum; muliebrium dolores, purgatio cessavit. Pessi vero suppositione hæc quidem leviora facta sunt. At capitis, cervicis & lumborum dolores permanebant, somni non aderant, extrema frigida, siticulosa fuit, alvus adusta pauca dimittebat, urinæ tenues & per exordia decolores. Sexto die no-

E *ctu magnopere deliravit, rursumque resipuit. Septimo siticulosa, dejectiones biliosæ, abunde coloratæ. Octavo subriguit, febris acuta prehendit, convulsiones cum dolore multæ, multum deliravit, glande subdita ad desidendum expurgebat, multaque cum bilioso affluxu prodierunt, somni non aderant. Nono convulsiones. Decimo aliquantulum mente constabat. Vndecimo dormivit, omnium recordata est; sed statim rursus deliravit, minxit per convulsiones urinam confertim copiosam, rarò ab assidentibus admonita, crassam albam (quale quid in urinis subsidentibus visitur, quæ diu depositæ ac reservatæ returbantur) eaque non*

F *subsidebat, sed colore & crassitudine qualis subjugalium. Talia meiebat, qualia ego vidi. Ad decimumquartum diem appulsæ dolores per universum corpus, verba multa, aliquantulum mente constabat, sed brevi rursus deliravit. Circa decimumseptimum obmutuit. Vigesimo obiit.*

GALENI COMMENTARIUS.

Duo ex hac historia notanda prodeunt, quorum unum quidem est ægrotis superioribus ac posterioribus descriptis commune, judicatorii nimirum dies. Alterum autem hujus proprium. Suppressâ nanque huic mulieri post partum purgatione,tum morbus, tum mors accidit. Obiit vigesimo die, decimoquarto, & decimoseptimo deterioribus inter cæteros effectis. At supposita cum balano, si res tulerit, scripta manifestum significatum habet; sed citra additionem, aut balanum, ut quidam volunt, subaudire oportet, aut pessum mitigatorium scilicet, & inflammationis prohibitorium. Illud certè cunctis in mulieribus, quibus à partu lochiorum purgatio suppressa est, tum scire, tum memoriâ tenere decet, nonnullas esse quæ in summum mortis periculum prolabantur, & paucissimas esse quæ modicè vexentur, quandoquidem plurimis inflammatur uterus. Nonnullis denique quod sanguis in ipso partu fluxu vacuatus qualitate differat, his quidem biliosus vel melancholicus, illis verò æruginosus vel pituitosus, aut mediocriter utilis, innoxius tamen absolutè nunquam. Optima nanque ejus portio in partûs alimentum assumpta est. Demonstrant autem ipsius naturam symptomata quæ ex suppressione à partu lochiorum purgationis oborta sunt, quemadmodum & hîc in ea quæ oratione proponitur. Rigor enim, febris acuta, sitis, biliosus affluxus, delirium, vigiliæ, certa sunt humoris biliosi redundantis indicia. Convulsiones verò & palpitationes, & urinæ subjugalium urinis similes ipsæ sunt crudi & crassi humoris sunt species: sic pessimi sunt morbi, in quibus uterque dictus humor redundat, quibus semitertianam supervenire demonstravimus. Quod igitur periculosè mulier ægrotaverit hæc erat causa. Utrùm verò evasura esset, an moritura, hæc tum symptomata, tum signa statim inter initia explicare possunt. Attendamus igitur exercitationis gratiâ. Primo die qui à partu erat quartusdecimus, ignis, inquit, cum rigore mulierem prehendit. Scimus autem Hippocratem ignem ardentissimam febrem appellare; veruntamen id nondum prorsus perniciosum erat, quemadmodum neque cardialgiâ laborare, hoc est, ventriculi orificio dolere; neque item muliebria, ut neque hypochondrium dextrum: Verum somni, inquit, non aderant. Itaque ex his omnibus pravitatis morbi dignotio augetur, non tamen ex his omnino nobis constat mulierem interituram; veluti neque quòd sitibunda esset, neque quod urinæ essent tenues & decolores; tales enim urinæ ad concoctionem tempus desiderant, non tamen perniciosæ prorsus existunt. Sed & extrema, inquit, frigida, quod jam perniciosum existit, si in morbi principio cum febre vehementissima fiat. Itaque si mihi constaret quibus esset viribus mulier, de morbi etiam tempore ex prædictis symptomatis esset mihi dicendi potestas, etiamsi præter opinionem, obscuram quandam salutis spem haberet. Quod quoniam incertum est, vitium limitationem perniciosis symptomatis in morborum

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δύο μὲν ἐκ ταύτης τῆς διηγήσεως, ἓν μὲν, κοινὸν μὲν καὶ τοῖς ἔμπροσθεν, καὶ μετὰ ταῦτα γεγραμμένοις ἀρρώστοις, τὸ τῶν κρισίμων ἡμερῶν, ἕτερον δὲ τὸ ἴδιον. ἐπισχεθείσης γὰρ τῇ γυναικὶ ταύτῃ τῆς μετὰ τόκον καθάρσεως, ἥ τε νόσος ἐγένετο, καὶ ὁ θάνατος. ἀπέθανε δὲ κατὰ τὴν κ΄· τῆς ιδ΄ καὶ ιζ΄. χειρόνων παρὰ τὰς ἄλλας γινομένων. τὸ δὲ προσθεμένη, μετὰ μὲν τοῦ βαλάνου, ὅταν τύχῃ γεγραμμένον, εὔδηλον ἔχει τὸ σημαινόμενον, ἄνευ δὲ τῆς προσθήκης, ἤτοι ὑπακοῦσαι χρὴ τὸν βάλανον, ὥς τινες βούλονται, ἢ πεσσὸν, παρηγορικὸν δηλονότι, καὶ ἀφλέγμαντον. ἐκεῖνό γε μὴν ἐπὶ πασῶν γυναικῶν, ὧν ἐπεσχέθη μετὰ τόκον ἡ κάθαρσις, ἐπίστασθαί τε καὶ μέμνησθαι προσήκει, ὥς τινες μὲν ἐσχάτως κινδυνεύουσιν ἀποθανεῖν. ὀλίγαι δὲ πάνυ, μετρίως ἐνοχλήθησαν, ἐπεὶ ταῖς πλείσταις μὲν ἡ μήτρα φλεγμαίνει, τισὶ δὲ, καὶ τὸ παρ' αὐτὸν τὸν τόκον ῥυὲν αἷμα κενωθὲν, διάφορόν ἐστι κατὰ τὴν ποιότητα, ταῖς μὲν πικρόχολον, ἢ μελαγχολικὸν, ταῖς δὲ ἰῶδες, ἢ φλεγματικὸν, ἢ μετρίως χρηστὸν, ἄμεμπτον δὲ τελέως οὐδέποτε· δεδαπάνηται γὰρ ἐξ αὐτοῦ τὸ κάλλιστον εἰς τροφὴν τοῦ κυηθέντος. ἐνδείκνυται δ' αὐτοῦ τὴν φύσιν, καὶ τὰ γινόμενα συμπτώματα, κατὰ τὴν ἐπίσχεσιν τῆς λοχίου καθάρσεως, ὥσπερ καὶ νῦν ἐπὶ τῆς προκειμένης ἐν τῷ λόγῳ, τὸ μὲν ῥῖγος, καὶ ὁ πυρετὸς ὀξὺς, ἥ τε δίψα καὶ ὁ χολώδης ἐπίρρους, καὶ ἡ παραφροσύνη, καὶ ἡ ἀγρυπνία, χολώδους ἐστὶ πλεονάζοντος χυμοῦ γνωρίσματα. σπασμοὶ δὲ, καὶ παλμοὶ, καὶ τὸ τῶν ὑποζυγίων ἐοικὸς οὖρον, ὠμοῦ, καὶ παχέος αὐτὰ εἴδη εἰσίν. οὕτως κάκισται τῶν νόσων, ἐν αἷς ἀμφότεροι πλεονάζουσιν οἱ εἰρημένοι χυμοὶ, καὶ τὸν ἡμιτριταῖον ἐπί γε τούτοις ἐδείκνυμεν ἐπιγίνεσθαι. τοῦ μὲν οὖν ἐπισφαλῶς νοσῆσαι τὴν γυναῖκα, τοῦτο ἦν αἴτιον. πότερον δὲ διαφεύξεται τὴν νόσον, ἢ τεθνήξεται, τά τε συμπτώματα, καὶ τὰ σημεῖα κατ' ἀρχὰς εὐθέως ἐξηγεῖσθαι δύναται. προσέχωμεν οὖν αὖθις ἕνεκα γυμνασίας· τῇ πρώτῃ τῶν ἡμερῶν ἥτις ἦν ιδ΄. μετὰ τόκον, πῦρ, φησιν, ἔλαβε τὴν ἄνθρωπον μετὰ ῥίγους· ἴσμεν δ' ὅτι πῦρ ὀνομάζει τὸν πυρωδέστατον πυρετὸν, ἀλλ' οὔπω τοῦτό γε, πάντως ὀλέθριον, ὥσπερ οὐδὲ τὸ καρδιαλγέειν, ὅπερ ἐστὶ τὸ στόμα τῆς κοιλίας ὀδυνᾶσθαι, ὡσαύτως δ' οὔτε τὰ γυναικεῖα μόρια, καθάπερ οὐδ' ὅτι τὸ δεξιὸν ὑποχόνδριον, ἀλλὰ καὶ ὕπνοι, φησὶν, οὐκ ἐνῆσαν. αὔξεται μὲν οὖν ἡ διάγνωσις ἐκ τούτων ἁπάντων τῆς τοῦ νοσήματος κακίας, οὐ μὴν ὅτι γε πάντως ἔτι αὖθις τεθνήξεται, δῆλον ἡμῖν, καθάπερ οὐδ' ὅτι διψώδης, οὐδ' ὅτι τὰ οὖρα λεπτὰ, καὶ ἄχροα. χρόνου μὲν γὰρ εἰς πέψιν δεῖται τὰ τοιαῦτα τῶν οὔρων, οὐ μὴν ὀλέθριά γε πάντως ἐστίν. ἀλλὰ καὶ ἄκρεα φησὶ ψυχρά· τοῦτο μὲν ἤδη τῶν ἐσχάτως ὀλεθρίων ἐστὶν ἐν ἀρχῇ νοσήματος, ἅμα σφοδροτάτῳ πυρετῷ γινόμενον. εἰ μὲν οὖν ἠπιστάμην ὅπως εἶχε ῥώμης ἡ γυνὴ καὶ περὶ τοῦ χρόνου τῆς νόσου, δυνατὸν ἦν ἄν μοι λέγειν ἐπὶ τοῖς προειρημένοις συμπτώμασι, καὶ εἰ ἐκ παραδόξου τινὰ ἀμυδρὰν ἐλπίδα σωτηρίας εἶχεν. ἐπεὶ δ' ἄδηλον τοῦτο, μεμνῆσθαι γ' ὑμᾶς χρὴ, προστιθέναι τοῖς ὀλεθρίοις συμπτώμασι κατὰ τὰς ἐπισκέψεις τῶν νοσούντων, τὸν ἀπὸ τῆς δυνάμεως διορισμὸν

οὕτως γὰρ ἀποφήνασθαι βεβαίως δυνήσετε. Ταύτῃ γοῦν τῇ γυναικὶ, περὶ τὴν ιδ'. ἡμέραν, οἵ τε πόνοι δι' ὅλου τοῦ σώματος γινόμενοι, καὶ παραφροσύνη, τὸν ἐσόμενον θάνατον ἐδήλωσεν, ἤτοι κατὰ τὴν ιζ'. ἢ τὴν κ. ἐκ τῆς τῶν κρισίμων ἡμερῶν φύσεως. καὶ τοίνυν ἀμφότερα ἐγένετο, κατὰ μὲν τὴν ιζ'. ἀφωνίᾳ καταληφθείσης αὐτῆς, εἰκοσταίας δὲ ἀποθανούσης.

A consideratione vos adjicere oportet; ita nanque certo pronunciare poteritis. Huic ergo mulieri dolores qui circiter decimumquartum diem universum corpus obsederunt, & delirium futuram mortem denunciarunt, vel decimoseptimo vel vigesimo ex judicatoriorum dierum natura. Et sane utrunque accidit; illa nanque obmutuit, vigesimo die defuncta est.

Ἄρρωστος πέμπτος ἐστὶν ἡ γυνὴ παιδοτόκος ἣν περὶ τόκον τὸ ῥῖγος αὐτόματον ἡμέρᾳ πυρετὸς ὀξὺς κατέλαβεν, ὁ δεκάτῃ ἀποχωρήσας, ὃς καὶ ἐς νύκτα ἐπανῆλθεν, καὶ αὐτῇ τῇ ὀγδοηκοστῇ ἄπυρος ἐκρίθη. Διττὸν εἶναι τὸ ῥῖγος, τὸ μὲν αὐτόματον, τὸ δὲ πυρετῶδες. τί ἡ ἀμφότερον, καὶ αἵτινες γίνονται ἀμφοτέρου αἰτίαι. τὴν τεσσαρακοστὴν καὶ ὀγδοηκοστὴν κρισίμους εἶναι, ψευδοῦς ὄντος κατὰ τελείας ἑβδομάδας συναριθμεῖν ἡμέρας.

B. Quintus ægrotus mulier est puerpera, quam circa partum rigor spontaneus corripuit; quamque secundo à partu die febris acuta invasit, quæ decimo quinto decessit, & sub noctem rediit; qua octogesimo die libera. Rigorem duplicem esse, unum spontaneum, alterum febrilem. Quid sit uterque, & quæ sint utriusque causæ. Quadragesimum & octogesimum diem judicatorios esse, quum falsum sit judicatorios dies integris septimanis connumerari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

ΑΡΡΩΣΤΟΣ ε'.

C

Ἐπικράτεος γυναῖκα, ἣ κατέκειτο παρὰ Ἀρχηγέτην, περὶ τόκον ἤδη ἐοῦσαν, ῥῖγος ἔλαβεν ἰσχυρῶς, οὐκ ἐθερμάνθη, ὡς ἔλεγον, καὶ τῇ ὑστεραίῃ τὰ αὐτὰ, τρίτῃ δ' ἔτεκε θυγατέρα, καὶ τὰ ἄλλα πάντα κατὰ λόγον ἦλθε. Δευτέρῃ μετὰ τὸν τόκον, ἔλαβε πυρετὸς ὀξὺς, καρδίης πόνος, καὶ γυναικείων, ὕπνοι οὐκ ἐνῆσαν. προσθεμένῃ δὲ ταῦτα μὲν ἐκουφίσθη, κεφαλῆς δὲ, καὶ τραχήλου, καὶ ὀσφύος πόνος. ἀπὸ δὲ κοιλίης, ὀλίγα, χολώδεα, λεπτὰ διῄει, ἄκρητα, οὖρα λεπτὰ, ὑπομέλανα. Ἀφ' ἧς δὲ ἔλαβε πυρετὸς ἐς νύκτα, ἑκταίη παρέκρουσε· ἑβδόμῃ ἅπαντα παρωξύνθη, ἄγρυπνος παρέκρουσε, διψώδης, διαχωρήματα πάντα χολώδεα, κατακορέα. ὀγδόῃ ἐπερρίγωσεν, ἐκοιμήθη πλείω· ἐνάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ σκέλεα ἐπιπόνως ἤλγει, καρδίης πάλιν ὀδύνη, καρηβαρίη, οὐ παρέκρουσεν, ἐκοιμᾶτο μᾶλλον, κοιλίη ἐπέστη· ἑνδεκάτῃ ἵδρωσεν, οὔρησεν εὐχροώτερα, συχνὴν ὑπόστασιν ἔχοντα, διῆγε κουφότερον· τεσσαρεσκαιδεκάτῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς· πεντεκαιδεκάτῃ ἤμεσε χολώδεα, ψυχρὰ, ὑπόσυχνα, ἵδρωσεν ἀπύρετος, ἐς νύκτα δὲ πυρετὸς ὀξὺς, οὖρα πάχος ἔχοντα, ὑπόστασις λευκή. Ἑξκαιδεκάτῃ παρωξύνθη νύκτα, καὶ δυσφόρως, οὐχ ὕπνωσε, παρέκρουσεν, ὀκτωκαιδεκάτῃ διψώδης, γλῶσσα ἐξεκαύθη, οὐχ ὕπνωσε, παρέκρουσε πολλὰ, σκέλεα ἐπωδύνως εἶχε. Περὶ δὲ εἰκοστὴν πρωῒ μικρὰ ἐπερρίγωσε, κωματώδης, δι' ἡσυχίας ὕπνωσε, ἤμεσε χολώδεα, ὀλίγα, μέλανα, ἐς νύκτα κώφωσις. Περὶ δὲ εἰκοστὴν πρώτην, πλευροῦ ἀριστεροῦ βάρος δι' ὅλου μετ' ὀδύνης, σμικρὰ ἐπέβησεν, οὖρα δὲ πάχος ἔχοντα, θολερὰ, ὑπέρυθρα, κείμενα οὐ καθίστατο, τὰ δ' ἄλλα κουφοτέρως, οὐκ ἄπυρος. αὕτη ἐξ ἀρχῆς φάρυγγα ἐπώδυνος, ἔρευθος, κίων ἀνεσπασμένος, ῥεῦμα δριμὺ, δακνῶδες, ἁλμυρῶδες διὰ τέλεος παρέμεινε. περὶ δὲ εἰκοστὴν ἑβδόμην ἄπυρος, οὔροισιν ὑπόστασις, πλευρὸν ὑπήλγει. περὶ δὲ τετάρτην καὶ τριακοστὴν, ἤμεσε τῇ τεσσαρακοστῇ ὀλίγα, χολώδεα, ἐκρίθη τελέως ἄπυρος τῇ ὀγδοηκοστῇ.

HIPPOCRATIS TEXTVS V.

ÆGROTUS QUINTUS.

Epicratis uxorem, quæ apud Archegeten decumbebat, instante jam partu, rigor vehementer prehendit, non incaluit, ut dicebant. Secundo eadem. Tertio filiam peperit, cæteraque omnia ex ratione processerunt. Secundo à partu die eam prehendit febris acuta, oris ventriculi & locorum muliebrium dolor, somni non aderant; pesso subdito hæc quidem leviora facta sunt, sed tum capitis, tum cervicis ac lumborum dolor invasit, ex alvo pauca, biliosa, tenuia, ac sincera dejecit, urinæ tenues, subnigræ. Sexto die à quo febris eam corripuit, sub noctem deliravit, D *Septimo exasperata sunt omnia, pervigil, desipuit, sitibunda, dejectiones omnes biliosæ, at undeque coloratæ. Octavo superriguit, liberalius dormivit. Nono per eadem. Decimo crura laboriosè doluerunt: iterum cordolium, capitis gravitas, non deliravit, dormivit magis, alvus restitit. Vndecimo sudavit, urinas reddidit melioris coloris copiosam continentes sedimentum, levius habuit. Decimoquarto superriguit, febris acuta prehendit. Decimoquinto biliosa, frigida, subfrequentia vomuit, sudavit, à febre libera.* E *Sub noctem febris acuta, urinæ crassæ, album sedimentum. Decimo sexto exacerbata est febris, nox inquieta, non dormivit, deliravit. Decimooctavo sitibunda, lingua retorrida, non dormivit, multum deliravit, crura doluerunt. Ad vigesimum manè aliquantulum riguit, comatosa fuit, placidè dormivit, pauca, biliosa, & nigra vomuit, sub noctem surditas. Circiter vigesimum primum sinistri lateris per totum gravitas cum dolore ipsam vexavit, parum tussivit, urinæ crassitiem continentes, turbulentæ, subrubræ, quæ depositæ non subsidebant,* F *cætera verò levius habuit, febre non vacua. Statim per initia fauces dolor & rubor occupabant, columella retrahebatur, fluxio acris, mordax & salsa adusque finem permansit. Ad vigesimumseptimum diem febre libera, urinis sedimentum inerat, latus utrunque doluit. Ad trigesimumquartum febris corripuit, alvus perturbata est. Quadragesimo pauca biliosa vomuit. Octogesimo febre soluta prorsus judicata est.*

A

GALENI COMMENTARIVS.

Hanc mulierem quum prope definitum partus diem esset, absque febre riguisse pronunciat. Sed adjectum est orationi, ut dicebant, ex rei novitate. Putabant enim Veteres prope omnes spontaneis rigoribus ex necessitate febrem succedere. Spontanei sanè vocantur qui citra causam externam oriuntur. In præfatione itaque libri primi de morbis decenter inscripti, febrem rigoris necessariò esse comitem scriptum est. A nobis autem demonstratum hujusmodi rigorem quem febris non subsequitur, frigidorum & crudorum humorum esse sobolem, ob idque nunc magis quàm olim existere, totus siquidem victus non laboriosus, una cum balneis à cibo talem copiam accumulare consuevit. Hanc quoque copiam Epicratis uxor habere visa est. Quare primo die ipsam riguisse ait, neque incaluisse, hoc est, neque febricitasse, rursumque similiter secundo die; deinde tertio die, ac fortassis ante exactam diei præfinitionem rigoris vehementia peperisse. Secundo à partu die cardiam, hoc est, orificium ventriculi illi doluisse profert, & muliebria, scilicet ut subaudire oportet membra, veluti & mulieri prædictæ. Deinde & supposito eam ait esse levatam. Quòd autem ex eo vocabulo supposito intelligi queat vel balanus vel pessus, antea dictum est. Inde ordine morborum acutorum symptomata recenset, capitis scilicet, cervicis & lumborum dolores, vigilias quoque & dejectiones mere biliosas. Quo patet non modò crudum, sed & biliosum humorem abundasse. Quum autem & urinæ tenues essent, morbum diuturnum esse necesse fuit. Quoniam verò & has subnigras fuisse retulit, id sane cum certamine, & turbationem significat. Et ad undecimum usque diem an mulier salva foret, incertum erat, nullo interea manifesto signo comparente in quo quis salutem vel mortem sperasset. Undecimo verò die illuxit quoddam salutis signum, ubi ait: Undecimo die minxit quæ melioris essent coloris, & quæ multum haberent sedimentum. Levius habuit. Eodem die quum vesperi humorum coctio cœpisset, necesse erat ut morbus protraheretur, proindeque decimoquarto quidem ita primum judicata est, ut citra periculum jam haberet: diebus verò ad quadragesimum usque diem intermediis ægrotabat; prorsus verò octogesimo die liberata est. Itaque memoria teneri velim id quod experimentum attestatur, quadragesimum & octogesimum judicatorios esse, mendaciumque esse nec experimento apparere judicatorios dies integris septimanis connumerari. Ita nanque & quadragesimus secundus & sexagesimus tertius & octogesimus quartus adferrent judicia, non quadragesimus, non sexagesimus, non octogesimus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πλησίον οὖσαν τὴν γυναῖκα τήνδε τῆς προθεσμίας τοῦ τόκου, ῥιγῶσαί φησι, χωρὶς τοῦ πυρέξαι. πρόκειται δὲ τῇ λέξει, τὸ, ὡς ἔλεγον, ἐπὶ τῷ παραδόξῳ τοῦ πράγματος. ᾤοντο γὰρ οἱ παλαιοὶ σχεδὸν ἅπαντες, ἐπιγίνεσθαι τοῖς αὐτομάτοις ῥίγεσι πυρετὸν ἐξ ἀνάγκης. αὐτόματα δὲ δηλονότι καλεῖται, τὰ χωρὶς τῆς ἔξωθεν αἰτίας. ἐν γοῦν τῷ προοιμίῳ τοῦ καλῶς ἐπιγεγραμμένου προτέρου περὶ νούσων, ὡς ἐξ ἀνάγκης ἑπόμενον τῷ ῥίγει τοῦ πυρετοῦ γέγραπται. δέδεικται δ' ἡμῖν τὸ τοιοῦτον ῥῖγος, ᾧ πυρετὸς οὐκ ἀκολουθεῖ, ψυχρῶν καὶ ὠμῶν χυμῶν ἔκγονον εἶναι, καὶ διὰ τοῦτο μᾶλλον νῦν ἢ πάλαι γίνεσθαι. τὸ γὰρ ταλαίπωρον τῆς ὅλης διαίτης, ἅμα τοῖς ἐπὶ τροφῇ λουτροῖς, ἀθροίζειν εἴωθε τὸ τοιοῦτον πλῆθος. ἔοικε καὶ ἡ τοῦ Ἐπικράτους γυνὴ τοῦτο ἔχειν τὸ πλῆθος· ἐν γοῦν τῇ πρώτῃ τῶν ἡμερῶν, ῥιγῶσαί φησιν αὐτήν, χωρὶς τοῦ θερμανθῆναι, τουτέστι χωρὶς τοῦ πυρέξαι, καὶ πάλιν ἐπὶ τῆς ὑστεραίας ὡσαύτως, εἶτα τῇ τρίτῃ τῶν ἡμερῶν, ἀποκυῆσαι. τάχα καὶ πρὸ τῆς ἀκριβοῦς προθεσμίας, συμβάντος τοῦ τόκου, διὰ τὴν σφοδρότητα τοῦ ῥίγους. μετὰ γοῦν τὴν ἡμέραν β'. τὴν καρδίαν, τουτέστι τὸ στόμα τῆς κοιλίας ἀλγῆσαί φησιν αὐτήν, καὶ τὰ γυναικεῖα, προσυπακουόντων αὐτῷ χρὴ μόρια, καθάπερ καὶ τῆς πρὸ αὐτῆς, εἶτά φησι προστεθειμένην αὐτήν, κουφισθῆναι. προείρηται δ' ὅτι καὶ βάλανον, καὶ πεσσὸν, ἐπὶ τῷ προστεθειμένῳ δυνατόν ἐστι προσυπακούειν. εἶθ' ἑξῆς καταλέγει συμπτώματα νοσημάτων ὀξέων, κεφαλῆς μὲν καὶ τραχήλου, καὶ ὀσφύος πόνον, ἀγρυπνίαν δὲ καὶ διαχωρήσεις ἀκράτως χολώδεις, ᾧ καὶ δῆλον ὡς οὐκ ὠμὸς μόνον, ἀλλὰ καὶ χολώδης ἐπλεόναζε χυμός. ὄντων δὲ τῶν οὔρων λεπτῶν, ἀναγκαῖον ἦν χρονίσαι τὴν νόσον. ἐπεὶ δὲ καὶ ὑπομέλανά φησι ταῦτα γενέσθαι, τοῦτο δὴ, τὸ σὺν ἀγῶνι, καὶ ταραχὴν δηλοῖ, καὶ μέχρι γε τῆς ἑνδεκάτης ἡμέρας ἄδηλον ἦν, εἰ σωθήσεται ἡ γυνή, οὐδενὸς ἐν τῷ μεταξὺ γινομένου σημείου σαφοῦς, ἐφ' ᾧ τις, ἢ σωτηρίαν, ἢ θάνατον ἐλπίσει. κατὰ δὲ τὴν ια'. ἐπεφάνη τι σωτηρίας σημεῖον, ἔνθα φησὶν ια'. οὔρησεν εὐχροώτερα, συχνὴν ὑπόστασιν ἔχοντα, διῆγε κουφότερον. ἐπ' αὐτῆς οὖν ὀψὲ τῆς πέψεως τῶν χυμῶν ἀρξαμένης, ἀναγκαῖον ἦν χρονίσαι τὸ νόσημα, καὶ διὰ τοῦτο τεσσαρεσκαιδεκαταῖον μὲν ἐκρίθη τὸ πρῶτον, ὡς ἀκινδύνως ἔχειν ἤδη. μεταξὺ δὲ ἄχρι τῆς τεσσαρακοστῆς ἐνοσηλεύετο, τελέως δὲ κατὰ τὴν π'. ἀπηλλάγη. μέμνησο τοιγαροῦν, ὡς ἡ πεῖρα μαρτυρεῖ, ὅτι ἡ τεσσαρακοστὴ καὶ ὀγδοηκοστὴ κρίσιμοί εἰσι, ψευδοῦς ὄντος, καὶ μὴ φαινομένου διὰ τῆς ἐμπειρίας, τοῦ κατὰ τελείας ἑβδομάδας συναριθμεῖσθαι τὰς κρισίμους ἡμέρας. οὕτω γὰρ ἂν ἡ μβ'. καὶ γ'. καὶ ξ'. καὶ δ'. καὶ π'. τὰς κρίσεις ἔφερον, οὐ μ'. καὶ ξ'. καὶ π'.

A

Ἕκτος ἄῤῥωστος ἀνὴρ ἦν, ὃν πυρετὸς ὁ πλανήτης καὶ σφοδρὸς ἔλαβε σὺν μετρίοις παρηκολουθημένος συμπτώμασιν, ὃς τῇ εἰκοστῇ τετάρτῃ τοῖς διαχωρήμασι, τῇ δὲ τριακοστῇ ταῖς αἱμοῤῥαγίαις, τῇ δὲ τεσσαρακοστῇ τοῖς οὔροις, τῇ δὲ ἑξηκοστῇ τῇ τῶν οὔρων ὑποστάσει, ἑβδομηκοστῇ τῇ πυρετοῦ διαλείψει, ὀγδοηκοστῇ σαφῶς τελείως ἐκρίθη.

Sextus ægrotus vir fuit erratica febre correptus, quibusdam symptomatis comitata moderatis, qui vigesimoquarto dejectionibus, trigesimo hæmorrhagiis, quadragesimo urinis, sexagesimo urinarum sedimentis, septuagesimo febris intermissione, octogesimo perfecta crisi liberatus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ΄.

ΑΡΡΩΣΤΟΣ ϛ΄.

B

Κλεοναχτίδην ὃς κατέκειτο ἐπάνω τοῦ Ἡρακλείου, πῦρ ἔλαβε πεπλανημένως. ἤλγει δὲ καὶ κεφαλὴν ἐξ ἀρχῆς, καὶ πλευρὸν ἀριστερὸν, καὶ τῶν ἄλλων πόνοι, κοπιώδεα τρόπον, οἱ πυρετοὶ παροξυνόμενοι, ἄλλοτε ἀλλοίως ἀτάκτως· ἱδρῶτες ὅτε μὲν, ὅτε δ᾽ οὔ. τὰ μὲν πλεῖστα ἀπεσήμαινον, οἱ παροξυσμοὶ, ἐν κρισίμοισι μᾶλλον. περὶ δὲ εἰκοστὴν τετάρτην, καὶ χεῖρας ἄκρας ἐψύχετο ἤμεσε ξανθὰ, χολώδεα, ὑπόσυχνα, μετ᾽ ὀλίγον δὲ ἰώδεα, πάντων ἐκουφίσθη, περὶ δὲ τριακοστὴν ἐόντι, ἤρξατο ἀπὸ ῥινῶν αἱμοῤῥαγεῖν ἐξ ἀμφοτέρων, καὶ ταῦτα πεπλανημένως, κατ᾽ ὀλίγον, μέχρι κρίσεως· οὐκ ἀπόσιτος δὲ, οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον, οὐδὲ ἄγρυπνος, οὖρα δὲ λεπτὰ, οὐκ ἄχροα. περὶ δὲ τεσσαρακοστὴν ἐὼν, οὔρησεν ὑπέρυθρα, ὑπόστασιν πολλὴν λίην ἐρυθρὴν ἔχοντα, ἐκουφίσθη. μετὰ δὲ ταῦτα, ποικίλως τὰ τῶν οὔρων, ὅτε μὲν ὑπόστασιν εἶχεν, ὅτε δ᾽ οὔ. ἑξηκοστῇ οὔροις ὑπόστασις πολλὴ, καὶ λευκὴ, καὶ λείη, ξυνέδωκε πάντα, πυρετοὶ διέλιπον, οὖρα δὲ πάλιν λεπτὰ μὲν, εὔχροα δέ· ἑβδομηκοστῇ ἀπύρετος διέλιπεν ἡμέρας δέκα· ὀγδοηκοστῇ ἐῤῥίγωσε, πυρετὸς ὀξὺς ἔλαβεν, ἵδρωσε πολλῷ, οὔροισιν ὑπόστασιν ἐρυθρὴν, λείην, τελείως ἐκρίθη.

C

D

HIPPOCRATIS TEXTUS VI.

ÆGROTUS SEXTUS.

Cleonactidem qui supra Heraclium decumbebat, ignis erraticè prehendit; tum caput ab initio, tum sinistrum latus doluit, cæterasque partes lassitudinis modo labores vexarunt, febres aliàs aliter circa ordinem exacerbantes, sudores interdum quidem, interdum verò minimè. Exacerbationes utplurimum decretoriis maximè diebus invadebant. Ad vigesimumquartum diem extremæ manus frigescebant, flava, biliosa & subfrequentia vomuit, & paulò pòst æruginosa, quibus omnibus levatus est. Circiter trigesimum profluere sanguis ex utraque nare cœpit, idque inconstanter paulatim ad judicium usque; sed cibum non aversabatur, neque siticulosus toto tempore fuit, neque insomnis, urinæ tenues, non decolores. Quadragesimo verò subrubra minxit quæ sedimentum rubrum copiosum continebant; levatus est. Postea vero variè se habuerunt urinæ, ut quæ interdum sedimentum haberent, interdum vero nequaquam. Sexagesimo urinis sedimentum copiosum album & læve fuit, remissa sunt omnia, febres intermiserunt, urinæ iterum tenues quidem, boni tamen coloris. Die septuagesimo à febre liber fuit quæ dies decem intermisit. Octogesimo rigore oborto, febris acuta prehendit, copiosè sudavit, urinis sedimentum rubrum ac læve fuit, perfectè judicatus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κλεονάκτιον, φησὶ, πῦρ ἔλαβε, τουτέστι πυρετὸς σφοδρὸς κατέσχεν, εἶτ᾽ ἐπιφέρει, πεπλανημένως, ὅπερ ἐστὶν ἄνευ τῆς κατὰ περίοδον τάξεως, ὡς ποτὲ μὲν, εἰ οὕτως ἔτυχε, διὰ τρίτης ἢ τετάρτης ἡμέρας πυρέξαι, ποτὲ δὲ διὰ πέμπτης, ἢ ἕκτης. παρακολουθῆσαι δ᾽ αὐτῷ διὰ παντὸς ἀγαθὰ σημεῖα, τά τε περὶ τὴν ὄρεξιν τῶν σιτίων καὶ ὕπνων, ἄδιψόν τ᾽ εἶναι, καὶ οὖρειν οὐκ ἄχροα. ταῦτα γὰρ αὐτὸς ὁ Ἱπποκράτης κατὰ τὴν λέξιν ἔγραψεν ὧδε. οὐκ ἀπόσιτος, οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον, οὐδὲ ἄγρυπνος. ἅμα δὲ, τὸ μὴ χολώδη καὶ θερμὸν εἶναι τὸν πλεονάζοντα χυμὸν, ἐξ αὐτῶν ἐδηλοῦτο. διψώδεις γὰρ ὑπ᾽ ἐκείνου, καὶ ἄγρυπνοι γίνονται, καὶ μᾶλλον ἀπόσιτοι, τουτέστιν οὐκ ὀρεκτοί. εἰ μὲν οὖν ὥσπερ εὔχροα τὰ οὖρα διὰ παντὸς ἦν, οὕτως καὶ τῆς συστάσεως εἶχε μετρίως, οὐκ ἂν εἰς χρόνου μῆκος ἡ νόσος προῆλθε. ἀλλ᾽ ἴσως μὲν ἐκρίθη περὶ μ΄. ὥσπερ εἰ καὶ νεφέλην εἶχε χρηστὴν, θᾶττον ἂν ἐπαύσατο. νυνὶ δ᾽ ἐπεὶ λεπτὰ διὰ παντὸς ἦν τὰ οὖρα, χρόνου συχνοῦ πρὸς πέψιν ἐδεῖτο. περὶ

E

F

GALENI COMMENTARIUS.

Cleonactidem, inquit, ignis prehendit, hoc est febris vehemens detinuit. Deinde infert erraticè, quod est absque ullo circuitus ordine, ut si, verbi gratia, interdum quidem tertio vel quarto, febricitasset, interdum quinto vel sexto. Ipsum autem ab initio ad finem bona signa consequuta sunt, cibi appetentia, somnus, præterea quod non sitiret, nec urina esset decolor. Hæc enim ad verbum ita scripsit Hippocrates; cibum non aversabatur, neque siticulosus toto tempore fuit, neque insomnis erat; simul verò quod neque biliosus neque calidus esset qui redundabat humor his significabatur; ab illo nanque creantur ægri & sitibundi & insomnes, & magis cibos aversantes, hoc est, non appetentes. Quare si quemadmodum urinæ boni erant coloris per totum morbum: ita & sedimentum habuissent moderatum, in temporis longitudinem morbus productus non fuisset; sed fortassis die quadragesimo judicatus fuisset, quemadmodum & nubem si bonam & utilem habuisset, celeriùs morbus cessisset. Nunc verò quia urinæ per totum morbum tenues erant, multo ad concoctionem tempore indigebant. Die

igitur quadragesimo ipsum ait minxisse subrubra quæ sedimentum rubrum copiosum haberent. Talem verò urinam ait in prognostico longè diuturniorem quidem esse ea quæ album habet sedimentum, sed valde salubrem. A quadragesimo die scripsit varias ipsi urinas fuisse, interdum quidem sedimentum habentes, interdum verò non, quod errantibus accessionibus convenit. Hæ siquidem ex humorum morbos procreantium varietate proficiscuntur; urinæ quoque incoctio & coctio alternis apparentes, aliquos quidem ipsorum coqui ostendebant, alios verò incoctos permanere. At verò die sexagesimo sedimentum copiosum læve & album fuisse pronunciat, ideoque subdit; remissa sunt omnia, febres intermiserunt. Verùm quoniam ita postea scripsit; urinæ iterum tenues quidem, sed boni coloris; residuos quosdam fuisse incoctos humores ostendit, quibus paulatim concoctis, dies octogesimus absolutum judicium attulit, de quo ad verbum sic scripsit; octogesimo riguit, febris acuta prehendit, copiosè sudavit, urinis sedimentum rubrum ac leve fuit perfectè judicatus est. Hic rursus memento sedimenti ideam maximi esse momenti. In urinis quidem album sedimentum, sed crassum his qui obierunt fuisse docet. Nam de Sileno qui secundus hujus Libri æger scriptus est, ita loquitur; Minxit confertim subcrassum depositum, sedimentum crassiori farinæ similæ, album; quanquam Silenus hic postero die obierit die undecimo, qui decimo dictam urinam excrevisset. Jam circuitus etiam memineris judicatoriorum dierum. Sexagesimus enim præjudicavit, non sexagesimus tertius: deinde octogesimus quartus. Tres enim septimanæ non ad diem vigesimum primum, sed vigesimo circunscribuntur.

A δ' οὖν τὴν μ'. ἡμέραν οὐρῆσαί φησιν αὐτὸν ὑπέρυθρα, ὑπόστασιν πολλὴν ἐρυθρὰν ἔχοντα. τὸ δὲ τοιοῦτον οὖρον ἐν τῷ προγνωστικῷ, πολυχρονιώτερον μὲν εἶναί φησι τοῦ τὴν λευκὴν ὑπόστασιν ἔχοντος, σωτήριον δὲ κάρτα. μετὰ δὲ τὴν μ'. ἔγραψε ποικίλως τὰ τῶν οὔρων αὐτῷ γενέσθαι, ποτὲ μὲν ὑποστάσεις ἔχοντα, ποτὲ δ' οὔ, σύμφωνον τοῦτο τῶν πεπλανημένων παροξυσμῶν· ἐκεῖνοί τε γὰρ ποικιλίᾳ τῶν τὰς νόσους ἐργαζομένων γίνονται χυμῶν, ἥ τε τῶν οὔρων ἀπεψία, καὶ πέψις ἐναλλὰξ φαινομένη, τι- B νὰς μὲν αὐτῶν ἐδήλου πέπτεσθαι, τινὰς δ' ἀπέπτους διαμένειν. καὶ γοῦν τὴν ξ'. ἡμέραν, πολλὴν, καὶ λείαν, καὶ λευκὴν ὑπόστασιν γενέσθαι φησὶ, καὶ διὰ τοῦτο ἐπιφέρει ξυνέδωκε πάντα, διέλιπον οἱ πυρετοί. ἀλλ' ἐφεξῆς γε τούτων ὧδε γράψας, οὖρα δὲ πάλιν λεπτὰ μὲν, εὔχροα δέ, καταλελεῖφθαί τινας ἀπέπτους ἐνδείκνυται χυμοὺς, ὧν κατὰ βραχὺ πεφθέντων, ἡ ὀγδοηκοστὴ τελείαν τὴν κρίσιν ἤνεγκε, περὶ ἧς ἔγραψε κατὰ λέξιν οὕτως. ὀγδοηκοστῇ ἐῤῥίγωσε, πυρετὸς ὀξὺς ἔλαβε, ἵδρωσε πολλῷ, οὔρησεν C ὑπόστασιν ἐρυθρὴν, λείαν, τελείως ἐκρίθη. μέμνησο δὲ πάλιν ἐνταῦθα τῆς ἰδέας ὑποστάσεως μέγιστον δυναμένης, ἐν οὔροισι μὲν τὴν λευκὴν, παχεῖαν δὲ καὶ τοῖς ἀποθανοῦσι γεγονέναι φησί. ἐπὶ γοῦν Σιληνοῦ, δευτέρου γεγραμμένου τῶν κατὰ τοῦτο τὸ βιβλίον, οὕτως εἶπεν· οὔρησεν ἀθρόον, ὑπόπαχυ κείμενον ὑπόστασις κριμνώδης, λευκή, καίτοι κατὰ τὴν ὑστεραίαν ἀπέθανεν ὁ Σιληνὸς οὗτος ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας, τῇ ι'. τὸ εἰρημένον οὖρον ἀποκρίνας. ἀλλὰ καὶ τῶν κρισίμων ἡμερῶν τῆς περιόδου μέμνησο, τῆς μὲν ἑξηκοστῆς προκρινάσης, οὐ τῆς ξγ'. ἐπ' αὐτῇ D δὲ τῆς π'. οὐ τῆς ὀγδοηκοστῆς τετάρτης, ὡς τῶν τριῶν ἑβδομάδων οὐκ εἰς τὴν κα'. ἡμέραν διερχομένων, ἀλλ' ἐν τῇ κ'. περιγραφομένων.

Septimus ægrotus vir est, qui vehementi febre correptus sola sanguinis eruptione die quinto salvus judicatus est, licèt periculosa signa fuerint, ut urinæ subnigræ, & deliria. Lavacrum capitis somniferum esse remedium, sed hæmorrhagiæ utili noxium, aliàs moderatum.

Ἄῤῥωστος ἕβδομος ἀνήρ ἐστιν, ὃς τῷ πυρετῷ ληφθεὶς σφοδρῷ, τῇ μόνῃ αἱμοῤῥαγίᾳ τῇ πέμπτῃ σῶος ἐκρίθη, καίτοι μὴ ἀκίνδυνα σημεῖα ἦν οἷον οὖρα ὑπομέλανα καὶ αἱ παραλογίαι. τὰς ἐμβροχὰς τῆς κεφαλῆς ὑπνωτικὰ εἶναι βοηθήματα, ἀλλὰ τῇ αἱμοῤῥαγίᾳ χρησίμῳ E βλαβερὰ, πλὴν σύμμετρα.

HIPPPOCRATIS TEXTUS VII.

ÆGROTUS SEPTIMUS.

Metonem febris vehemens prehendit; dolorem intulit lumborum gravitas. Secundo die aqua copiosè epota ab alvo bellè prodiit. Tertio capitis gravitas: dejectiones tenues, biliosæ, subrubræ. Quarto omnia exacerbata sunt, bis ex nare dextra sanguis paulatim effluxit, noctem molestè tulit, dejectiones eædem quæ die tertio fuere, urinæ subnigræ subnigrum ac divulsum enæorema habentes, non subsidebant. Quinto die ex nare sinistra sanguis effluxit copiosus, sincerus, sudavit, judicatus est. A judicio pervigil, in oratione deliravit, urinæ tenues, subnigræ, lotione capitis usus est, dormivit, mente constitit. Huic non recidit febris: verum post judicium crebrò sanguis è naribus erupit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

ΑΡΡΩΣΤΟΣ ζ'.

Μέτωνα πῦρ ἔλαβεν, ὀσφύος βάρος ἐπώδυνον· δευτέρῃ, ὕδωρ πίνοντι ὑποσύχνον, ἀπὸ κοιλίας καλῶς διῆλθε· τρίτῃ, κεφαλῆς βάρος, διαχωρήματα λεπτὰ, χολώδεα, ὑπέρυθρα. τετάρτῃ πάντα παρωξύνθη, ἐῤῥύη ἀπὸ δεξιοῦ μυκτῆρος αἷμα δὶς κατ' ὀλίγον, νύκ- F τα δυσφόρως, διαχωρήματα ὅμοια τῇ τρίτῃ, οὖρα ὑπομέλανα εἶχεν, ἐναιώρημα ὑπομέλαν ἐὸν διεσπασμένον, οὐχ ἱδρύετο. τῇ πέμπτῃ ἐῤῥύη λάβρον ἐξ ἀριστεροῦ, ἄκρητον, ἵδρωσεν, ἐκρίθη. μετὰ δὲ κρίσιν ἄγρυπνος, παρέλεγεν, οὖρα λεπτὰ, ὑπομέλανα. λουτροῖσιν ἐχρήσατο κατὰ κεφαλῆς, ἐκοιμήθη, κατενόει. τούτῳ οὐχ ὑπέστρεψεν, ἀλλ' ἡμοῤῥάγει πολλάκις, καὶ μετὰ κρίσιν.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἄῤῥωστος μαρτυρεῖ τῷ καθόλου λόγῳ τῷδε, αἱμοῤῥαγίαι λάβροι ἐκ ῥινῶν ῥύονται τὰ πολλά. » Φαίνεται γοῦν ἀπὸ μόνης αἱμοῤῥαγίας κριθείς τε καὶ » σωθεὶς, καίτοι γ' οὐκ ἀκίνδυνα ἔχων σημεῖα. κατὰ γοῦν » τὴν δ΄. ἡμέραν γενέσθαι φησὶν αὐτῷ οὖρα ὑπομέ- » λανα. εἶτ' ἐπιφέρει, εἶχεν ἐναιώρημα ὑπομέλαν ὂν, » διεσπασμένον, οὐχ ἵδρωσε, καὶ μέντοι κατὰ τὴν ε΄. ἡμέ- » ραν αἱμοῤῥαγήσαντα αὐτὸν καὶ ἱδρώσαντα, καὶ κριθέντα » ἐπὶ τούτοις· ὅμως ἐπὶ τούτοις οὖρά φησι λεπτὰ, ὑπομέλανα, κἄπειτ' ἠγρύπνει, καὶ παρέλεγεν, ὅπερ ἐστὶ παρελάλει. μέγιστον τούτου σε βοήθημα ἐδίδαξε, τὸ κατὰ κεφαλῆς λουτρὸν, εἰρηκὼς ἐν τῷ περὶ διαίτης ὀξέων, φυλάττεσθαι δεῖν τὸ λουτρὸν ἐπὶ τῶν αἱμοῤῥαγούντων, εἰ μὴ ἔλαττον τοῦ καιροῦ ῥέοι. νυνὶ δὲ ἔλαττον ἦν τοῦ προσήκοντος, εἴ γε μὴν ἄγρυπνος διέμεινε καὶ παρέλεγεν. ἀλλὰ καὶ ἃ δεῖ ἄγειν, ὅπη ἂν μάλιστα ῥέπῃ ταύτῃ ἄγειν διὰ τῶν συμφερόντων χωρίων, ὀρθῶς ἐν τῷ καθόλου λελεγμένον, ὑπὸ τοῦ νῦν γενομένου μαρτυρεῖται. καὶ μέντοι καὶ τοῦδε μέμνησο, τοῦ, κατὰ τὴν τῆς τρίτης ἡμέρας διήγησιν εἰρῆσθαι, βάρος κεφαλῆς, ὡς τοῦ πλήθους ἐπ' αὐτὴν φαινομένου. μέμνησο δὲ καὶ ὅτι κατὰ τὴν δ΄. κρίσιμον οὖσαν, αἱμοῤῥαγεῖν ἤρξατο. τῇ δὲ ε΄. τελέως αἱμοῤῥαγήσας, καὶ ἱδρώσας, ἐκρίθη. ταῦτα δ' ἐπὶ πλέον ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ἕξεις ἐξειργασμένα. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ὅλης διηγήσεως γεγραμμένον ὑπ' αὐτοῦ, τοῦτο οὐκ ὑπέστρεψεν, ἀλλ' ἡμοῤῥάγει πολλάκις καὶ μετὰ κρίσιν, εἴρηται διότι χωρὶς πέψεως τῶν οὔρων ἐκρίθη. μεμαθήκαμεν δὲ παρ' αὐτοῦ κατὰ τοῦτο τὸ βιβλίον, ὅτι πεπασμοὶ, ταχυτῆτα κρίσεως, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ, καὶ ἄπεπτα, ἐς κακὰς ἀποστάσεις τρεπόμενα, ἢ ἀκρισίας, ἢ πόνους, ἢ θανάτους, ἢ χρόνους, ἢ τῶν αὐτῶν ὑποστροφάς. ἀλλ' ὠμὰ μὲν ἦν ἔτι καὶ ἄπεπτα, οὐ μὴν ἐς κακὰς ἀποστάσεις ἐτράπετο. τὴν γοῦν ἀποστάσεων αὐτὸς ἐδίδαξεν, ἀρίστας μὲν εἶναι τὰς κατ' ἔκρυσιν, δευτέρας αὐτῶν τὰς ποῤῥωτάτω τῶν πεπονθότων μορίων, καὶ κάτω τοῦ σώματος.

κριθῆναι καὶ σωθῆναι

GALENI COMMENTARIUS.

Hic ægrotus huic orationi universæ fidem fecit, sanguinis è naribus eruptiones largæ & copiosæ plerunque liberant. Videtur enim à sola sanguinis eruptione tum judicatus, tum servatus, etiamsi signa non sine periculo haberet. Quarto igitur die urinas ipsi subnigras fuisse profert: Deinde infert quæ enæoremata subnigra contineret & dispersa, non sudavit. B Atque die quinto quamvis sanguis eruperit, & sudaverit, ex hisque fuerit judicatus, ab his tamen urinæ, inquit, tenues, & subnigræ: deinde vigilavit, deliravit, hoc est, præter rationem loquutus est. Maximum hujus rei te docuit remedium, capitis lotionem, quum in libro de morborum acutorum victu dixerit, his non lavandum esse caput, quibus è naribus erumpit sanguis, nisi minùs quàm justum sit, fluxerit: nunc vero justo minus fluxerat: vigil enim permanebat, & præter rationem loquebatur. C Præterea, quæ ducere oportet, quo maximè propendet natura, eo per loca conferentia ducenda sunt, rectè universaliter dictum, ab eo quod nunc factum est, fidem accipit. Memoriæ præterea mandabis quod in tertii diei enarratione dictum est, capitis gravitas, qua ipsius plenitudo arguitur. Memoria quoque tenebis sanguinis eruptionem quarto die, qui judicatorius est, cœpisse: quinto autem perfectè, ubi sanguis eruperat, sudaveratque, judicatum esse. Hæc autem plenius in libris de judicatoriis diebus tum culta, tum exarata habebis. D Quod autem in totius historiæ fine ab ipso scriptum est, in hoc recidiva non erat, sed sæpiùs sanguis etiam post judicium erupit ob hoc dictum est, quod citra urinarum coctionem judicatus est. Didicimus autem ex hoc libro coctiones celeritatem judicationis ostendere, securamque salutem: cruda verò & incocta, & quæ in malos abscessus convertuntur, vel acrisias, vel dolores, vel mortem, vel diuturnitatem, vel recidivas. Verùm cruda quidem erant & incocta, non tamen in malos abscessus conversa erant. Abscessus itaque ipse docuit, optimos quidem esse qui per effluxum fiunt, secundo loco, qui longissimè à partibus E affectis, & in partibus corporis inferioribus oboriuntur.

Ἄῤῥωστον ὄγδοον ἄνδρα τῷ πυρετῷ σφοδρῷ καταληφθέντα, τοῖς σημείοις θανασίμοις, καὶ τοῖς ἱδρῶσι συνεχέσι τοῖς μὴ κριτικοῖς, καὶ τοῖς οὔροις μέλασι, καὶ τοῖς ληρήμασι, καὶ ταῖς δυσφορίαις, καὶ ἄκροις ψυχροῖς, καὶ ὑποπελίοις, καὶ τοῖς ὑποχονδρίοις μετεώροις προῤῥηθέντα τῇ πέμπτῃ ἀποθανεῖν.

Ægrotum octavum virum vehementi febre prehensum, signis lethalibus, sudoribus continuis non criticis, urinis nigris, deliriis, jactationibus, extremis frigidis ac lividis, tumentibus hypochondriis prænuntiatum die quinto interiisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η΄.

ΑΡΡΩΣΤΟΣ η΄.

Ἐρασινὸν, ὃς ᾤκει παρὰ τὴν τοῦ Βοώτου χαράδρην, πῦρ ἔλαβε μετὰ δεῖπνον, νύκτα ταραχώδης, ἡμέραν τὴν πρώτην δι' ἡσυχίης, νύκτα ἐπιπόνως. δευτέρῃ, πάντα παρωξύνθη ἐς νύκτα, παρέκρουσε, τρίτῃ ἐπιπόνως, παρέκρουσεν πολλά· τετάρτῃ δυσφορώτατα, εἰς δὲ τὴν νύκτα,

F

HIPPOCRATIS TEXTUS VIII.

ÆGROTUS OCTAVUS.

Eracinum qui prope Bootæ torrentem habitabat, febris vehemens à cœna invasit, noctem turbulentam tulit. Primus dies quietus fuit: nox laboriosa. Secundo die proritata sunt omnia, ad noctem deliravit. Tertium laboriosè degit, multum deliravit. Quarto molestissimè habuit, ad noctem

nihil dormivit, insomnia, ratiocinationes; deinde deteriora, magna, & periculosa, timor, jactatio. Quinto manè compositus erat, ac omnia intelligebat; ad meridiem vero valde insanivit, continere se non potuit, extrema frigida, & sublivida; urinæ incoctæ; sub solis occasum defunctus est. Huic ad extremum usque cum sudore febres aderant; hypochondria tumida & cum dolore distenta, urinæ vero nigræ, suspensa rotunda continebant, neque subsidebant; ex alvo stercora demissa sunt; sitis assidua, non tamen magna; convulsiones cum sudore sub mortem continuæ.

A οὐδὲν ἐκοιμήθη, ἐνύπνια, καὶ λογισμοί. ἔπειτα χείρω, καὶ μεγάλα, καὶ ἐπίκαιρα, φόβος, δυσφορίη. πέμπτῃ πρωῒ κατήρτητο, καὶ κατενόει πάντα. πολὺ δὲ πρὸς μέσον ἡμέρης, ἐξεμάνη, κατέχειν οὐκ ἠδύνατο, ἄκρεα ψυχρὰ, ὑποπέλια, οὖρα ἄπεπτα, ἀπέθανε περὶ ἡλίου δυσμάς. τούτῳ οἱ πυρετοὶ διὰ τέλεος σὺν ἱδρῶτι. ὑποχόνδρια μετέωρα, ξυντάσις μετ᾽ ὀδύνης. οὖρα δὲ μέλανα, ἔχοντα ἐναιωρήματα στρογγύλα, οὐχ ἵδρυτο, ἀπὸ B κοιλίης δὲ κόπρανα διῄει, δίψα διὰ τέλεος, οὐ λίην, σπασμοὶ πολλοὶ σὺν ἱδρῶτι περὶ θάνατον δὲ, διὰ τέλεος.

GALENI COMMENTARIUS.

HUic Erasino semper, quod est, per totum morbum sudor erat citra judicium; hypochondria pravè habebant, urinæque erant nigræ. Quænam itaque spes ipsi salutis erat? Quare etiamsi quis proba ratione autumaverit frustra esse scripta quæ de hoc homine dicuntur, quód futura in eo omnibus sint perspicua. Verùm fortassis hunc ægrum celeris interitus exemplum scripsit. Quum enim in prognostico prædixisset: Febres iisdem numero diebus judicantur, tum ex quibus homines sospites evadunt, tum ex quibus intereunt. Deinde etiam omnes benigna signa sortitas quarto die vel antè desinere: deinceps dixit, malignissimæ verò & quæ cum gravissimis fiunt signis, quarto die vel antè perimunt. Erasinus itaque licet gravia omnia haberet, ad diem tamen quintum productus est, quod primo die moderatè se haberet, scripsit siquidem in eo ad verbum ita. Primus dies quietus fuit. Quintus igitur dies quo defunctus est, quartus est, si primum tum connumeraveris.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩι Ερασίνῳ τούτῳ, διὰ τέλεος, τουτέστι δι᾽ ὅλου τοῦ νοσήματος, ἱδρὼς ἦν ἄκριτος, ὑποχόνδρια μοχθηρῶς ἔχοντα, καὶ οὖρα μέλανα. τίς ἐλπὶς οὖν σωτηρίας αὐτοῦ; ὥστε κἂν εὐλόγως δόξῃ τις μάτην γεγράφθαι τὰ κατὰ τὸν ἄνθρωπον τόνδε διὰ τὸ πᾶσι πρόδηλον εἶναι τὸ ἐσόμενον ἐπ᾽ αὐτοῦ. ἀλλ᾽ ἴσως αὐτοῦ τοῦ κατὰ τὸν θάνατον C τάχους παράδειγμα, τὸν ἄρρωστον οὕτως ἔγραψεν. ἐν γοῦν τῷ προγνωστικῷ προειπών· οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. κἄπειτα τοὺς πάντας εὐήθη ἔχοντας σημεῖα εἰπὼν, τεταρταίους παύεσθαι, ἢ πρόσθεν· ἐφεξῆς εἶπεν, οἵ τε κακοηθέστατοι, καὶ ἐπὶ σημείων δεινοτάτων γιγνόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. ὁ τοίνυν Ερασῖνος, καίτοι πάντ᾽ ἔχων δεινὰ, μέχρι τῆς ε΄. ἡμέρας προῆλθεν, ὅτι κατὰ τὴν πρώτην εἶχε μετρίως. ἔγραψε γοῦν D ἐπ᾽ αὐτοῦ κατὰ λέξιν οὕτως· ἡμέρην τὴν α΄. δι᾽ ἡσυχίας. ἡ ε΄. τοίνυν ἀπὸ τῆς ἀρχῆς καθ᾽ ἣν ἀπέθανε, τετάρτη γίγνεται, μὴ συναριθμουμένης τῆς πρώτης.

Nonum ægrum virum vehementi pollicis pedis dolore primo die affectum, secundo febre acuta, & lethalibus symptomatis correptum interiisse.

Ἄρρωστον τὸν ἔννατον ἄνδρα τῇ ποδὸς ὀδύνῃ ἰσχυρῶς διατεθέντα τῇ μὲν πρώτῃ ἡμέρᾳ, τῇ δὲ δευτέρᾳ τῷ πυρετῷ ὀξέϊ καὶ τοῖς θανασίμοις συμπτώμασι καταληφθέντα ἀποθανεῖν.

HIPPOCRATIS TEXTUS IX.

ÆGROTUS NONUS.

IN Thaso Critoni erecto & obambulanti pedis dolor vehemens ex pollice cœpit; eodem die decubuit cum horrore & stomachi fastidio, aliquantulum incalescens sub noctem desipuit. Secundo die per totum pedem adusque talum tumor subruber; & cum distentione; phlytænidia seu pustulæ nigræ, febris acuta, insanivit; ab alvo mera, biliosa, & copiosa processerunt. Postridie ab initio expiravit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ΄.

E

ΑΡΡΩΣΤΟΣ ΕΝΝΑΤΟΣ.

ΚΡίτωνι, ἐν Θάσῳ, ποδὸς ὀδύνη ἤρξατο ἰσχυρῶς, ἀπὸ δακτύλου τοῦ μεγάλου, ὀρθοστάδην περιιόντι, κατεκλίθη αὐθημερὸν, φρικώδης, ἀσώδης, μικρὰ ὑποθερμαινόμενος, ἐς νύκτα παρεφρόνησε. δευτέρῃ, οἴδημα δι᾽ ὅλου τοῦ ποδὸς, καὶ περὶ σφυρὸν, ὑπέρυθρον, καὶ μετὰ ξυντάσιος φλυκταινίδια μέλανα, πυρετὸς ὀξὺς, ἐξεμάνη. ἀπὸ δὲ κοιλίης ἄκρητα, χολώδεα, ὑπόσυχνα διῆλθεν. ἀπέθανεν, ἀπὸ τῆς ἀρχῆς, δευτεραῖος.

GALENI COMMENTARIVS.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

HIc ægrotus propter mortis celeritatem memoratu dignus est. Quod si mortis modus adscriptus fuisset, tunc nos sane adjuvisset oratio. Nunc ex his quæ scripsit, ingens plenitudo fuisse videtur humorum quos natura à principibus partibus ad crus deponere molita est. Quum autem pars ea superfluum omne excipere non valeret, residuum recurrens ad ca-

ΟΥτος ὁ ἄρρωστος ἄξιός ἐστι μνημονεύεσθαι διὰ τὸ τάχος τῆς ἀπωλείας. εἰ δὲ προσεγέγραπτο, καὶ ὁ τρόπος τοῦ θανάτου, τότ᾽ ἂν ἡμᾶς ὁ λόγος ὠφέλησε τελέως. νυνὶ μὲν ἐξ ὧν ἔγραψεν, ὅτι πλῆθος ἦν πάμπολυ φαίνεται, καὶ ὡς ὥρμησεν ἡ φύσις ἀπὸ τῶν κυρίων μερῶν, αὐτὰ πρὸς τὸ σκέλος ἀποθέσθαι, μὴ δυναμένου δὲ τοῦ μορίου δέξασθαι τὸ πᾶν ὅσον ὑπέλειπε, τὸ περιττὸν παλινδρομῆσαν, εἰς τὴν

κεφαλὴν ἀνήλθη, κακοήθους δ' ὄντος αὐτοῦ, παραφροσύνη μανιώδης ἐγένετο, τεκμήριον δὲ τῆς κακοηθείας τοῦ περιττοῦ, τὸ παραχρῆμα φλυκταινίδια μέλανα γενέσθαι περὶ τὸ σφυρόν. ἄξιον οὖν ἐπὶ θαυμάσαι, διά τι τὸν ἄνθρωπον τοῦτον οὐκ ἐφλεβοτόμησεν εὐθέως ἀρξάμενον τοῦ νοσεῖν. ἀλλ' ἴσμεν, ὡς ἐπὶ τοὺς πλείστους ὧν ἔγραψε ἀρρώστων, εἰσήλθη προηκούσης ἤδη τῆς νόσου.

A put aſcendit, quod quâ eſſet malignitate furioſum delirium concitavit. Argumentum maligni excrementi ſtatim exſtabat, quod puſtulæ nigræ ad talum crearentur. Admiratione igitur dignum quid cauſæ fuerit, cur huic homini quamprimum incipiente morbo, vena ſecta non fuerit. Sed ſcimus Hippocratem ad plurimos quos ſcripſit ægrotos, morbo jam progreſſo, accerſitum eſſe.

Τὸν ἄρρωστον δέκατον ἄνδρα τῷ σφοδρῷ πυρετῷ κάμνοντα τοῖς ἐπικινδύνοις συμπτώμασιν ἐξ ἀρχῆς κακωθέντα, δι' ὧν τῇ ἑνδεκάτῃ ἀνειμένων αὖθις ἑκκαιδεκάτῃ ὀλίγῳ ἐκούφισεν, τέως εἰκοστῇ ἄπυρος ἐκρίθη, ὃς εἰ καὶ μετέπειτα τοῖς ἀλγήμασι διετέθη τα, τεσσαρακοστῇ δέ γε ἐπερρώσθη.

B Ægrum decimum virum vehementi febre laboraſſe, perículoſis ſymptomatis per initia vexatum; quibus undecimo remiſſis, ipſe decimoſexto parum levatus, tandem vigeſimo febre liberatus eſt, qui licet poſtea doloribus affectus fuerit, quadrageſimo tamen convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι΄.

ΑΡΡΩΣΤΟΣ ι΄.

Τὸν Κλαζομένιον, ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέαρ, πῦρ ἔλαβε, ἤλγει δὲ κεφαλήν, καὶ τράχηλον, καὶ ὀσφὺν ἐξ ἀρχῆς. αὐτίκα δὲ κώφωσις, ὕπνοι οὐκ ἐνῆσαν, πυρετὸς ὀξὺς ἔλαβεν, ὑποχόνδριον ἐπῆρτο μετ' ὄγκου, σύντασις ὀλίγη, γλῶσσα ξηρή, τετάρτη ἐς νύκτα παρεφρόνησεν. πέμπτη ἐπιπόνως, καὶ πάντα παρωξύνθη. περὶ δὲ ἑνδεκάτην σμικρὰ ξυνέδωκεν. ἀπὸ δὲ κοιλίης ἀπ' ἀρχῆς καὶ μέχρι τεσσαρεσκαιδεκάτην πολλά, λεπτά, ὑδατόχροα διῄει· εὐφόρως τὰ περὶ διαχώρησιν διῆγεν, ἔπειτα κοιλίη ἐπέστη· οὖρα διὰ τέλους λεπτὰ μέν, εὔχροα δέ, καὶ πολὺ εἶχεν ἐναιώρημα ὑποδιεσπασμένον, οὐχ ἵδρυτο. περὶ δὲ ἑκκαιδεκάτην, οὔρησεν ὀλίγῳ παχύτερον, εἶχε σμικρὴν ὑπόστασιν, ἐκούφισεν ὀλίγῳ, κατενόει μᾶλλον. ἑπτακαιδεκάτῃ, πάλιν λεπτά. παρὰ δὲ τὰ ὦτα ἀμφότερα, ἐπήρθη ξὺν ὀδύνῃ, ὕπνοι οὐκ ἐνῆσαν, παρελήρει, περὶ δὲ τὰ σκέλεα ἐπωδύνως εἶχε. εἰκοστῇ ἄπυρος ἐκρίθη, οὐχ ἵδρωσε, πάντα κατενόει. περὶ δὲ εἰκοστὴν ἑβδόμην ἰσχίου ὀδύνη ἰσχυρῶς δεξιοῦ, διὰ ταχέων ἐπαύσατο. τὰ δὲ παρὰ τὰ ὦτα, οὔτε καθίστατο, οὔτ' ἐξεπύει. ἤλγει δὲ περὶ τριακοστὴν καὶ πρώτην, διάρροια πολλοῖσιν ὑδατώδεσι, μετὰ δυσεντεριωδέων, οὖρα παχέα οὔρησεν, κατέστη τὰ παρὰ τὰ ὦτα. περὶ δὲ τὴν τεσσαρακοστὴν ὀφθαλμὸν δεξιὸν ἤλγεεν, ἀμβλύτερον ἑώρα, κατέστη.

HIPPOCRATIS TEXTUS X.

ÆGROTUS DECIMUS.

C *Clazomenium, qui prope Phrinichidæ puteum habitabat, febris vehemens prehendit; dolebat autem capite, cervice, lumbis à principio; ilico ſurditas; ſomni non aderant, febris invaſit acuta; hypochondrium in tumorem attollebatur, diſtenſio exigua; lingua arida. Quarto ſub noctem deliravit. Quinto moleſiè exacerbata ſunt omnia. Ad undecimum aliquantulum remiſerunt. Alvus ab initio ad decimumquartum uſque copioſa, tenuia, & colore aquea dejecit; ad ſeceſſum placidè habebat; deinde alvus ſuppreſſa eſt; urinæ per totum morbum tenues quidem,* D *ſed boni coloris, multum enæorema diſperſim continebant, nec ſubſidebant. Ad decimumſextum paulo craſſiores urinas minxit, quibus paucum inerat ſedimentum; nonnihil levatus eſt; reſipiſcebat magis. Decimoſeptimo rurſus tenues profluxere; ſecundùm utranque aurem tumor cum dolore ſubortus eſt; ſomni non aderant, delirabat, crurum dolore vexabatur. Vigeſimo à febre liber judicatus eſt; non ſudavit, omnia intelligebat. Circa vigeſimumſeptimum vehemens coxendicis dextræ dolor obortus, ſtatimque ſedatus eſt. Tubercula ſecundùm aures, neque ſedata ſunt, neque ſuppurabant, ſed dolebant. Ad trigeſimumpri-* E *mum profluxit alvus multis, aquoſis, & dyſentericorum ſimilibus; urinas craſſas minxit; parotides ſedatæ ſunt. Circa quadrageſimum dexter oculus doluit, obtuſiùs vidit, convaluit.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἄνθρωπος καὶ μαρτύριον, ἢ καὶ παράδειγμά ἐστιν οὐκ ὀλίγον τῶν καθόλου θεωρημάτων. ἀρξώμεθα δὲ ἀπὸ τῶν οὔρων ἐφ' ὧν ἔγραψε, κατὰ τὴν ια΄. ἡμέραν, οὖρα διὰ τέλους λεπτὰ μέν, εὔχροα δέ, καὶ πολὺ ἔσχεν ἐναιώρημα, ὑποδιεσπασμένον, οὐχ ἵδρυτο. ὡς γὰρ ἐξ ἀρχῆς αὐτῶν τοιούτων γεγονότων καὶ παραμεινάντων γε μέχρι τῆς ιϛ΄. ὁμοίως, οὕτως φαίνεται πεποιῆσθαι τὴν διήγησιν, ἐπὶ τῆς ιϛ΄. ἡμέρας ἐδήλωσε τὴν μεταβολὴν αὐτῶν, ὡς πότε πρῶτον γενομένην, οὕτως εἰπών, περὶ ιϛ΄. ἡμέρας οὔρησεν, ὀλίγῳ παχύτερον, εἶχε σμικρὴν ὑπόστασιν. εὔδηλον οὖν ὅτι λεπτὰ

GALENI COMMENTARIUS.

Hic homo & teſtimonium vel etiam exemplum eſt non parvum univerſalium præceptorum. Exordiemur autem ab urinis, de quibus undecimo die ſcripſit; urinæ per totum morbum tenues quidem, ſed boni colo- F ris, multumque enæorema diſperſum continebant, non ſubſidebant. Perinde enim ac ſi ab initio tales ipſæ fuiſſent, & ad decimumſextum uſque permanſiſſent modo ſimili, ita narrationem feciſſe videtur. Decimoſexto die ipſarum mutationum indicavit, quòd tunc primum incidiſſet, ita loquutus. Decimoſexto die paulo craſſiores urinas minxit quibus paucum inerat ſedimentum. Conſtat igitur tenues quidem

dem urinas, sed boni coloris, ob coloris bonitatem salutem indicare; tenues verò tempore ad connectionem, indigere. At eorum quæ molestias excitabant non erat unum genus. Nam posteaquam decimosexto die urinarum mutationem prædixisset, deinceps ait; die septimo rursus tenues. Eodem autem die ait ipsi abscessus post aures excitatos, qui si cum crassis urinis fuissent, vigesimo die optimè habuisset, quum septimusdecimus vigesimi sit index. Eo itaque die plane judicatus est; non tamen certitudinem habuit judicium; imo tubercula secundùm aures neque subsiderunt, neque suppurarunt. Dolebat præterea, cœpitque diarrhæa cum dysenteriosis, hoc est, ramentosis dejectionibus, quæ acrimoniæ eorum qui excernebantur humorum erant notæ; quumque urinæ una cum ipsis crassæ fuissent parotides depressæ sunt; quæ quum ita procederent absoluta morbi mutatio in diem quadragesimum incidit. Quare memineris in ejusmodi judiciis non ultimi solùm judicii, quod in judicatoriorum dierum circuitu accidit; sed etiam ejus quod in medio est. Etenim judicia in omnibus ægrotis, non in his solis judicatoriis diebus fieri videntur; diebus etiam judicatoriis abscessus post aures excitati sunt. Nam septimodecimo parotides extiterunt. Die vigesimoseptimo dextræ coxæ dolor invasit, natura quidem excrementum deorsum propellente, necnon valente excretionem per alvum efficere, quam sequenti quatriduo concitavit. Quod autem & vigesimo die judicium imperfectum habuerit antea accepimus. Quapropter in ægris judicatoriorum dierum circuitus ab evidenter apparentibus fidem accipiunt.

A μὲν, εὔχροα δὲ οὖρα, διὰ μὲν τὴν εὐχροιαν ἐνδείκνυνται σωθήσεσθαι. ὅτι δὲ λεπτὰ, χρόνου δεῖσθαι πρὸς τὴν πέψιν. ἦν δὲ οὐδὲ τῶν λυποιούντων ἓν εἶδος. μετὰ γὰρ τὸ προειπεῖν ἐπὶ τῆς ις΄. ἡμέρας τὴν μεταβολὴν τῶν οὔρων, ἐφεξῆς φησι τῇ ιζ΄. πάλιν λεπτὰ, κατὰ δὲ τὴν αὐτὴν ἡμέραν φησὶ παρὰ τὰ ὦτα ἐπαρθῆναι αὐτῷ, καὶ εἴγε σὺν οὔροισι παχέσιν ἐγεγόνει, κατὰ τὴν εἰκοστὴν ἂν εἶχε τελέως καλῶς, οὔσης τῆς ιζ΄. ἐπιδήλου τῆς κ΄. ἐκρίθη μὲν οὖν ὑπ᾽ αὐτῆς τὸ τέλεον, οὐ μὴν εἶχε τὸ βέβαιον ἡ κρίσις. ἀλλὰ καὶ παρὰ τὰ ὦτα οὔτε καθίστατο, οὔτ᾽ ἐξεπύη. B ἤλγει μέντοι καὶ διαῤῥοίας ἀρξαμένης μετὰ δυσεντεριωδῶν, τουτέστι μετὰ ξυσματωδῶν διαχωρημάτων, ἅπερ ἦν τῆς δριμύτητος τῶν ἐκκρινομένων χυμῶν γνωρίσματα, καὶ σὺν αὐτοῖς οὔρων παχέων γινομένων κατέστη τὰ παρὰ τὰ ὦτα, καὶ τούτων οὕτω προϊόντων, ἡ τελεία τοῦ νοσήματος ἀπαλλαγὴ, κατὰ τὴν μ΄. ἡμέραν ἐγένετο. μέμνησο τοίνυν ἐπὶ τῶν τοιούτων κρίσεων, μὴ μόνον τῆς ὑστάτης κατὰ τὴν περίοδον τῶν κρισίμων ἡμερῶν γινομένης, ἀλλὰ καὶ τῆς ἐν τῷ μεταξύ. καὶ γὰρ αἱ κρίσεις ἐπὶ πάντων τῶν ἀῤῥώστων, οὐκ ἐπὶ τούτοιν μόνοιν C ἐν ταῖς κρισίμοις ἡμέραις φαίνονται γεγονυῖαι, κατὰ τὰς κρισίμους ἡμέρας, τὰ κατ᾽ ὦτα ἐπιφανέντα. κατὰ μέν γε τὴν ιζ. αἱ παρωτίδες ὤφθησαν. ἐν τῇ κζ΄. ἰσχίου ὀδύνη δεξιοῦ ἐπεσήμαινεν, ὠθούσης μὲν κάτω τὴν περιουσίαν τῆς φύσεως, οὔπω δὲ τὴν διὰ τῆς γαστρὸς ἔκκρισιν ἐργάσασθαι δυναμένης, ἣν ἐπὶ τῆς ἑξῆς τετράδος ἐκίνησεν. ὅτι δὲ καὶ κ΄. κρίσιν εἶχεν ἐλλιπῆ, προακηκόαμεν, ὥστε μαρτυρεῖσθαι τῶν κρισίμων ἡμερῶν αἱ περίοδοι πρὸς τῶν ἐναργῶς φαινομένων ἐπὶ τῶν νοσούντων.

D

Ægrum undecimum mulierem puerperam acuta febre correptam, lethalibus signis prægressis præsertim ex urinis proditam die sexto interiisse.

Ἄῤῥωστον ἑνδέκατον τὴν γυναῖκα παιδοτόκον κατὰ πυρετὸν ὀξέα ἐπιληφθεῖσαν τοῖς θανασίμοις σημείοις προηγηθεῖσι μάλιστα ἐκ τῶν οὔρων προδιδομένην τῇ ἕκτῃ ἀποθανεῖν.

HIPPOCRATIS TEXTUS XI.

ÆGROTUS UNDECIMUS.

Dromeadæ conjugem, quæ filiam pepererat, cæteris omnibus ex recessione processis, postridie prehendit rigor, febris acuta. Cœpit autem primo die circa hypochondrium dolere cum fastidio, horrore, jactatione. Sequentibus vero diebus non dormivit; spiritus rarus, magnus, statimque revulsus. Secundo à rigore die commodè ab alvo stercora prodierunt; urinæ crassæ, albæ, turbatæ, quales quæ ex subsidentibus fiunt, quum multo tempore depositæ returbabantur, non subsidebant; noctu non dormivit. Tertio die circiter meridiem novus rigor subortus est, febris acuta, urinæ similes, hypochondrii dolor, fastidiosa & nauseabunda, nox molesta, non dormivit, toto corpore sudavit sudore frigido; sed iterum recaluit. Quarto dolor quidem hypochondrii aliquantulum remisit; sed capitis cum dolore gravitas fuit, veternus eam occupat, paucæ sanguinis è naribus stillæ deciderunt, lingua arida, siticulosa, urinæ paucæ, tenues, oleosæ, parum dormivit. Quinto die sitibunda, fastidiosa, eædem urinæ, ab alvo nihil secessit, circa meridiem multum deliravit,

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια΄.

ΑΡΡΩΣΤΟΣ ι΄.

ΤΗν Δρομεάδεω γυναῖκα, θυγατέρα τεκοῦσαν, καὶ τῶν ἄλλων γινομένων πάντων κατὰ λόγον, δευτεραίην ἐοῦσαν ῥῖγος ἔλαβε, πυρετὸς ὀξύς. ἤρξατο δὲ πονέειν τῇ πρώτῃ περὶ ὑποχόνδριον, ἀσώδης, φρικώδης, ἀλύουσα, καὶ τὰς ἐχομένας οὐχ ὕπνωσε, πνεῦμα ἀραιὸν, μέγα, ὑποχόνδριον αὐτίκα ἀνεσπασμένον. δευτέρῃ ἀφ᾽ ἧς ἐῤῥίγωσεν ἀπὸ κοιλίης καλῶς κόπρανα διῆλθεν, οὖρα παχέα, λευκὰ, θολερὰ οἷα γίνεται ἐκ τῶν καθισταμένων, ὅταν ἀναταραχθῇ κείμενα χρόνον πολὺν, F οὐ καθίστατο, νύκτα οὐκ ἐκοιμήθη. τρίτῃ περὶ μέσον ἡμέρης, ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, οὖρα ὅμοια, ὑποχονδρίου πόνος, ἀσώδης, νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, ἵδρωσε δι᾽ ὅλου ψυχρῷ. ταχὺ δὲ πάλιν ἀνεθερμάνθη, τετάρτῃ περὶ μὲν ὑποχόνδριον σμικρὸν ἐκουφίσθη, κεφαλῆς δὲ βάρος μετ᾽ ὀδύνης, ὑπεκαρώθη, σμικρὰ ἀπὸ ῥινῶν ἔσταξεν, γλῶσσα ἐπίξηρος, διψώδης, οὖρα σμικρὰ, λεπτὰ, ἐλαιώδεα, σμικρὰ ἐκοιμήθη. πέμπτῃ διψώδης, ἀσώδης, οὖρα ὅμοια, ἀπὸ κοιλίης οὐδὲν, περὶ μέσης ἡμέρης, πολλὰ παρέκρουσε,

καὶ πάλιν ταχὺ σμικρὰ κατενόει, ἀνισαμένη, ἐπεκαρώθη, ψύξις μικρὰ, νυκτὸς ἐκοιμήθη, παρέκρουσε· ἕκτῃ πρωῒ ἐπερρίγωσε, ταχὺ δὲ διεθερμάνθη, ἵδρωσε δι' ὅλου, ἄκρεα ψυχρὰ, παρέκρουσε, πνεῦμα μέγα, ἀραιὸν, μετ' ὀλίγον σπασμοὶ ἀπὸ κεφαλῆς ἤρξατο, ταχὺ ἀπέθανεν.

A *confestimque rursus parum ad intelligentiam rediit; exurgens in veternum lapsa est; parva refrigeratio; non dormivit. Sexto die manè novus subortus est rigor, celeriterque recaluit; Sudor toto corpore dimanavit; extrema frigida; deliravit; spiritus magnus, rarus. Paulò pòst convulsionibus à capite subortis, celeriter defuncta est.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὕτη μὲν τὴν α'. ἡμέραν εὐθέως ἀπεφαίνετο νοσεῖν ὀξέως. ἐπὶ δὲ τῆς β'. ἡμέρας οἷς εἰρήκει συμπτώμασι, τῶν ἐν τοῖς οὔροις σημείων προηγουμένων, εἰκότως ἄν τις αὐτὴν προσεδόκησεν τελευτήσειν διὰ ταχέων. πονηρὰ γὰρ ἱκανῶς, ἀνατεταραγμένα μὲν οὖρα, καθιστάμενα δὲ μηδ' ὅλως. ἀλλὰ καὶ τῇ γ'. τῶν ἡμερῶν τά τε οὖρα, καὶ τὰ συμπτώματα πάντα διέμεινε τὴν προσδοκίαν βεβαιοῦντα τοῦ θανάτου. τετάρτης δὲ, στάξεως ἐκ ῥινῶν προηγουμένης καὶ τῶν οὔρων ἐλαιωδῶν φανέντων, εὐλόγως ἀπέθανεν ἑκταία. πάλιν δὲ κἀπὶ ταύτης πνεῦμα, καὶ ἀραιὸν εἶπε γενέσθαι, παραφρονῆσαί φησιν αὐτήν.

GALENI COMMENTARIUS.

B HÆc primo die statim acutè ægrotare videbatur. Die secundo ex his quæ protulit symptomatis, prægressis in urina signis, jure quis eam brevi morituram expectasset. Pravæ siquidem admodum sunt returbatæ, nullo pacto subsidentes urinæ; imò die tertio urinæ & cuncta symptomata perseverarunt, mortis expectationem stabilientia. Quarto autem, quum stillatio è naribus supervenisset, urinæque oleosæ apparerent, ratione optima sexto die expiravit. Fuisse autem & in ea spiritum magnum & rarum dixit qui ipsam deliraturam denun-
C tiabat.

Ἄρρωστον δωδέκατον θερμαινόμενον ἀκαίρως δειπνήσαντα, καὶ τῷ πλείονι ποτῷ χρησάμενον, ὑπὸ ὀξέος πυρετοῦ καταληφθέντα ἀπὸ τῶν ὀλεθρίων συμπτωμάτων παρηκολουθημένῳ, ἑνδεκάτῃ ἡμέρᾳ ἀποθανεῖν. Ἔνθεν κατ' ἀρχὰς τῷ νοσήματι νοῦν προσέχειν δεῖν καὶ μὴ ἀφυλάκτως τὸν κάμνοντα διαιτᾶσθαι ἐδίδαξεν Ἱπποκράτης.

Ægrum decimum incalescentem intempestivè cœnatum, & liberaliori usum potu, febre acuta prehensum, perniciosis comitata symptomatis undecimo die obiisse. Hinc morbum per initia animadvertendum, neque cibum ægro temerè exhibendum esse docuit Hippocrates.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

ΑΡΡΩΣΤΟΣ ιβ'.

ἌΝθρωπος θερμαινόμενος ἐδείπνησεν, καὶ ἔπιε πλέον, ἤμεσε πάντα, νύκτα πυρετὸς ὀξὺς, ὑποχονδρίου δεξιοῦ πόνος, φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ ἔσω μέρεος, νύκτα δυσφόρως. οὖρα δὲ κατ' ἀρχὰς ἐρυθρὰ, πάχος ἔχοντα, κείμενα οὐ καθίστατο, γλῶσσα ἐπίξηρος, οὐ λίην διψώδης· τετάρτῃ πυρετὸς ὀξὺς, πόνοι πάντων· πέμπτῃ οὔρησε λεῖον, ἐλαιῶδες, πολὺ, πυρετὸς ὀξὺς, ἕκτῃ δείλης πολλὰ παρέκρουσεν, οὐδὲ ἐς νύκτα ἐκοιμήθη. ἑβδόμῃ πάντα παρωξύνθη, οὖρα ὅμοια, λόγοι πολλοὶ, κατέχειν οὐκ ἐδύνατο. ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ ὑγρὰ, ταραχώδεα διῆλθε, μετὰ ἑλμίνθων, νύκτα ὁμοίως ἐπιπόνως, πρωῒ δὲ ἐρρίγωσε, πυρετὸς ὀξὺς, ἵδρωσε καὶ θερμῷ. ἄπυρος ἔδοξε γενέσθαι, οὐ πολὺ ἐκοιμήθη, ἐξ ὕπνου ψύξις, πτυαλισμὸς, δείλης πολλὰ παρέκρουσε, μετ' ὀλίγον δ' ἤμεσεν μέλανα, ὀλίγα, χολώδεα· ἐννάτῃ ψύξις, παρελήρει πολλὰ, οὐχ ὕπνωσε· δεκάτῃ σκέλεα ἐπωδύνως, πάντα παρωξύνθη, παρελήρει, ἑνδεκάτῃ ἀπέθανεν.

HIPPOCRATIS TEXTUS XII.

D

ÆGROTUS DUODECIMUS.

Quidam homo incalescens cœnavit, bibitque liberaliùs, vomuit omnia; hypochondrii dextri dolor; inflammatio ex interna parte submollis; nox molesta; urinæ per initia rubræ, crassamentum continentes, depositæ non subsidebant, lingua arida, non admodum sitibundus. Quarto die febris acuta, undique dolores. Quinto minxit læve, oleosum, copiosum, febris acuta. Sexto ad vesperam plurimum deliravit; nocte non dormivit.
E *Septimo exacerbata sunt omnia, urinæ similes, verba multa, continere se non potuit. Ab alvo irritata liquida & turbulenta cum lumbricis secesserunt, nox similiter laboriosa, mane riguit; febris acuta, copiosus & calidus sudor manavit, sine febre esse visus est; non dormivit, à somno perfrictio, salivatio, vesperi multum deliravit, paulò post nigra, pauca, & biliosa vomuit. Nono perfrigeratio, multopere deliravit, non dormivit. Decimo crura color invasit, omnia exacerbata sunt, deliravit. Vndecimo obiit.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ Διήγησις αὕτη πρῶτον μὲν ἡμᾶς ἐδίδαξε δεῖν τὸν νοῦν προσέχειν εὐθέως ἐξ ἀρχῆς εἰσβαλλόντων τῶν νοσημάτων, καὶ μὴ καταφρονοῦντας ἀφυλάκτως διαιτᾶσθαι, κἂν μικρὰ φαίνεται τὰ νοσήματα. νῦν γοῦν δειπνήσας ἀκαίρως ὁ ἄνθρωπος ἐν ἀρχῇ τοῦ πυρετοῦ μικροῦ δοκοῦντος ὑπάρχειν (ἐνεδείξατο γὰρ τοῦτο διὰ τοῦ

F

GALENI COMMENTARIUS.

HÆc nos historia primum docuit operæpretium esse, ut statim ab initio morbis invadentibus mentem adhibeamus, neque cibum temerè & citra observationem exhibeamus, etiamsi parvi morbi compareant. Nunc igitur hic homo intempestivè cœnatus, quum principio febris esse prava videretur; hoc enim

per incalescens, vocabulum declarabatur, læsus est, quod intempestivè cibum sumpsisset; imo & liberalius, inquit, potavit, magni morbi principium esse nescius. Jure igitur hæc vomuit; febrique acuta cum symptomatis non contemnendis oborta erat, imo & intolerabilibus, urinæque crassæ non subsidentes. Die quinto manifestè moriturus videbatur præter prædicta symptomata, excretis urinis oleosis, quas etiam die septimo mixtas eodem modo dicit. Obiit tandem hic die judicatorio undecimo.

A θερμαινόμενος, ὀνόματος, ἐβλάβη δηλονότι κατὰ αὐτὸ τὸ ἀκαίρως προσενήνεχθαι τροφῆς. ἀλλὰ καὶ ἔπιε, φησι, πλέον, οὐκ εἰδὼς ἀρχὴν εἶναι μεγάλου νοσήματος, εἰκότως οὖν ἤμεσεν μὲν ταῦτα, ὁ πυρετὸς δὲ ὀξὺς ἅμα συμπτώμασιν οὐκ εὐκαταφρονήτοις ἐγένετο, ἀλλὰ καὶ ἀφορήτοις, καὶ οὖρα παχέα, μὴ καθιστάμενα. κατὰ δὲ ε΄. ἐφαίνετο σαφῶς ὅτι τεθνήξεται, τῶν ἐλαιωδῶν οὔρων ἐκκριθέντων ἐπὶ τοῖς προειρημένοις συμπτώμασιν, ἃ καὶ κατὰ τὴν ζ΄.
B ἡμέραν ὁμοίως οὐρηθῆναί φησιν, ἀπέθανε δὲ καὶ οὗτος ἐν ἡμέρᾳ κρισίμῳ τῇ ια΄.

Ægrum decimumtertium mulierem esse trimestri partu gravidam, vehementi febre per initia correptam, toto febris tempore multis ac perniciosis symptomatis vexatam, quæ tamen decimoquarto die, vomitu & sudore judicata perfectè salvo etiam fœtu convaluit. Hinc colligitur trimestres & quatrimestres gravidas magis quàm alias servari.

Ἄρρωστον τρισκαιδέκατον τὴν γυναῖκα τρίμηνον πρὸς ἑαυτὴν ἔχουσαν ὑπὸ σφοδροῦ πυρετοῦ κατ' ἀρχὰς καταληφθεῖσαν καθ' ὅλον τοῦ πυρετοῦ χρόνον, καὶ τῶν πολλῶν, καὶ τῶν ὀλεθρίων συμπτωμάτων ἐνοχληθεῖσαν, ἥ δέ γε τεσσαρεσκαιδεκάτῃ δι' ἐμέτου, καὶ ἱδρῶτος ἐκρίθη τελέως, καὶ σώου κυήματος ὄντος, ἐπερρώσθη. ἐντεῦθεν συλλέγεται τὰ τρίμηνα καὶ τετράμηνα κύοντα μᾶλ-
C λον τῶν ἄλλων διασώζεσθαι.

HIPPOCRATIS TEXTUS XIII.

ÆGROTUS XIII.

MVlierem quæ in littore decumbebat, trimestri fœtu gravidam vehemens febris prehendit, statimque lumbis dolere cœpit. Tertio die cervicem & caput secundùm claviculam, manumque dextram dolor occupavit; celeriter lingua obmutuit; dextra manus cum convulsione paraplectico modo labefactata est; prorsus deliravit, nocte jactata, non dormivit, alvus biliosis, paucis ac meris dejectionibus turbata est. Quarto lingua voce soluta est; eadem convellebatur; dolores omnium permanebant, hypochondrium cum dolore contrahebatur, somnum non capiebat, prorsus deliravit, alvus turbata est, urinæ tenues, non boni coloris. Quinto febris acuta; hypochondrii dolor, prorsus deliravit, dejectiones biliosæ, sub noctem sudavit, febre liberata est. Sexto ad mentem rediit, ab omnibus levata est, ad claviculam sinistram dolor perseverabat, siticulosa, urinæ tenues, non dormivit. Septimo tremor, aliquantulum veternosa, nonnihil deliravit, claviculæ ob brachii sinistri dolores perseverabant, cætera remissa sunt, ad se rediit, tres dies febre vacua permansit. Vndecimo reversa febris est, riguit, febris prehendit. Decimoquarto vomuit biliosa, flava, subrebra, sudavit, febre libera, dolore ex ipsis pathematis oborta judicata est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ.

ΑΡΡΩΣΤΟΣ ιγ.

Γυναῖκα, ἣ κατέκειτο ἐν ἀκτῇ τρίμηνον πρὸς ἑαυτὴν ἔχουσα, πῦρ ἔλαβεν, αὐτίκα δ' ἤρξατο πονεῖν ὀσφύν· τρίτῃ πόνος τραχήλου καὶ κεφαλῆς, κατὰ κληῖδα, καὶ χεῖρα δεξιήν, διὰ ταχέων δὲ, γλῶσσα ἠφώνει, δεξιὴ χεὶρ παρελύθη μετὰ σπασμοῦ, παραπληκτικὸν τρόπον, παρελήρει πάντα,
D νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, κοιλίη ἐπεταράχθη χολώδεσιν, ὀλίγοισιν, ἀκρήτοισιν· τετάρτῃ γλῶσσα φωνῆς ἐλύθη, σπασμὸς τῶν αὐτῶν, πόνοι πάντων παρέμενον, καθ' ὑποχόνδριον ἐσπασμένα σὺν ὀδύνῃ, οὐκ ἐκοιμᾶτο, παρέκρουσε πάντα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ οὐκ εὔχροα· πέμπτῃ πυρετὸς ὀξὺς, ὑποχονδρίου πόνος, παρέκρουσε πάντα, διαχωρήματα χολώδεα, ἐς νύκτα ἵδρωσεν, ἄπυρος· ἕκτῃ κατενόει, πάντων ἐκουφίσθη, περὶ δὲ κληῖδα ἀριστερὴν πόνος παρέμενε, διψώδης, οὖρα λεπτὰ, οὐκ ἐκοιμήθη· ἑβδόμῃ τρόμος, ὑπεκαρώθη,
E μικρὰ παρέκρουσεν, ἀλγήματα κατὰ κληῖδα, καὶ βραχίονα ἀριστερὸν παρέμενε. τὰ δ' ἄλλα διεκουφίσθη, πάντα κατενόει, τρεῖς δὲ διέμενεν ἄπυρος. ἑνδεκάτῃ ὑπέστρεψεν, ἐπερρίγωσε, πῦρ ἔλαβε. περὶ δὲ τεσσαρεσκαιδεκάτην ἤμεσε χολώδεα, ξανθὰ, ὑπόσυχνα, ἵδρωσεν, ἄπυρος, ἐκρίθη οὐκ ἀνάλγητος ἐκ τῶν αὐτῶν παθημάτων.

GALENI COMMENTARIUS.

HÆc sospes evasit, etiamsi vehementes morbos omnes, atque etiam periculosiores protulerit. Miror sane quod nihil de ipsius ætate scripserit. Atqui eorum quæ prodita sunt, meminisse convenit, ut cognoscamus gravidas talibus ex morbis citra fœtuum corruptionem raro servari. Jam illud quoque meminisse decet fœtum trimestrem & quadrimestrem præter cæteros magis resistere. Cujus rei non ignarus Hippocrates ipse in aphorismis pronunciat. Prægnantes, si ad excretionem humor

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Ἐσώθη μὲν ἡ αὐτὴ, εἰ καὶ ἰσχυρὰ εἴρηκεν ἅπαντα νοσήματα, εἴ τε σφαλερώτερα· καὶ θαυμάζω γ' ὅπως οὐδὲν ἔγραψε περὶ τῆς ἡλικίας αὐτῆς. καὶ μὴν μεμνῆσθαι προσήκει τῶν εἰρημένων ἕνεκα τοῦ γινώσκειν ἐν τῷ σπανίῳ διασωζομένας τινὰς ἐγκύμονας, ἐκ τοιούτων νοσημάτων, ἄνευ διαφθορᾶς τῶν ἐμβρύων. ἔτι δὲ κἀκείνου μεμνῆσθαι προσήκει τοῦ τριῶν καὶ τεσσάρων μηνῶν δυσπαθέστατον us τῶν ἄλλων εἶναι, καὶ τοῦτο γινώσκων αὐτὸς ἐν ἀφορισμοῖς εἶπε, τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα,

καὶ ἄχρις ἑπτὰ μηνῶν, ἧσσον δὲ ταῦτα. τὰ δὲ νήπια καὶ τὰ πρεσβύτερα εὐλαβέεσθαι δεῖ. τοῖς μὲν οὖν παιδίοις, οἵ τε δεσμοὶ καθ' οὓς τῇ μήτρᾳ συμπεφύκασιν, ἀσθενεῖς εἰσι, καὶ τὸ σύμπαν σῶμα μαλακόν. τοῖς δὲ τῆς ἀποκυήσεως ἐγγὺς, μεγάλοις οὖσι, πολλῆς δεῖται τροφῆς, ἧς ἀπορουῦντα, πολλάκις ἐν τοῖς ὀξέσι νοσήμασι διαφθείρεται. διὸ καὶ χαλεπώτατόν ἐστι καλῶς διαιτηθῆναι νοσοῦσαν ὀξέως, εἰ μετὰ τοῦ ἐμβρύου ᾖ. εἰ μὲν γὰρ ὡς τὰς ἀκύμονας ἐνδεῶς τρέφοις, διαφθείρεται τὸ κυούμενον. εἰ δ' ἐκείνου στοχαζόμενος, ἐκτενέστερον προσφέρεις αὐτὴν, κίνδυνος ἀποβάλλεσθαι τῇ κυούσῃ, διὸ ταῦτα μὲν τὰ τρίμηνα, καὶ τετράμηνα μᾶλλον διασώζονται τῶν ἄλλων. τῇ δ' οὖν νῦν προκειμένῃ κατὰ τὸν λόγον γυναικὶ, καὶ τῶν οὔρων λευκῶν, καὶ οὐκ εὐχρόων ὄντων, ὅμως ἐγένετο σωθῆναι διὰ ῥώμην φύσεως, ἥ τις ἐν νυκτὶ δι' ἱδρώτων ἔπαυσε τὸν πυρετὸν, οὐ μὴν βέβαιόν γε δυνατὸν ἦν γενέσθαι νόσημα κατὰ τὰς ἑξῆς ἡμέρας, ἄχρι τῆς ιά. ἐν ᾗ πάλιν μετὰ ῥίγους ὑποστρέψασα, δι' ἐμέτου καὶ ἱδρῶτος ἐκρίθη τελέως. ἐν γὰρ ταῖς ἀπὸ τῆς έ. ἄχρι τῆς ιά. τὰ γινόμενα συμπτώματα τοῦ νευρώδους ἦν γένους, οὐ τοῦ φλεβώδους, ἢ ἀρτηριώδους. ἐν γοῦν τῇ ζ'. φησὶ, τρόμος, ὑποκαρώθη, σμικρὰ παρέκρουσε, τὰ δέ γε κατὰ τὰς φλέβας, ἐπὶ τὸ βέλτιον ἦν πεπτόμενα μετὰ τὴν ἐν τῇ έ. κρίσιν. ἐπὶ γοῦν τῆς ς'. ἔγραψεν οὖρα λεπτὰ, καὶ προσθεὶς, τὰ οὐκ εὔχροα, καὶ τούτων μὲν μεμνῆσθαι χρήσιμον, καὶ τὸ τῆς έ. ἡμέρας, ὅπως ἀγωνιστικὰς κρίσεις ἐπιφέρει· καὶ γὰρ ὀλίγον ἔμπροσθεν ἄλλον ἄρρωστον ἔκρινε δι' αἱμορραγίας, καὶ νῦν δι' ἱδρῶτος τὴν προκειμένην ἐν τῷ λόγῳ γυναῖκα, καίτοι τοῦ νοσήματος ἀμφοτέροις ἀπέπτου κατ' ἐκείνην τὴν ἡμέραν ὄντος, διὸ μηδὲ τελέαν ἐποιήσατο τὴν κρίσιν.

ἔοικε τὸ κρίσιμον

A turgeat, purgandæ sunt quarto mense, & adusque septimum, sed hæ minus; minoribus autem & grandioribus fœtibus religiosè agendum. Itaque fœtuum vincula quibus hi utero connectuntur imbecillia sunt, eorumque corpus universum molle ac tenerum existit. Qui vero prope partum sunt, quod magni sint, multo indigent alimento, quo destituti sæpiùs in acutis morbis intereunt. Quamobrem his acutè laborantibus probam victus rationem præscribere perarduum est, si fœtum conceperint. Si
B nanque ut non prægnantes parce nutrias, fœtûs tuendi gratia liberalius alimentum exhibeas, ipsa prægnans in periculum adducitur. Propterea trimestres & quadrimestres quàm cæteræ magis servantur. Propositæ igitur in oratione mulieri, quum vel urinæ albæ vel boni coloris essent, propter tamen naturæ robur servari contigit, quæ nocte per sudores febrem sedavit. Nec vero fieri poterat certum esse morbum sequentibus diebus ad undecimum usque; qui rursum ubi cum rigore rediisset, vomitu & sudore perfectè judicatus est. Neque enim à
C quinto ad undecimum usque quæ facta sunt symptomata, nervosi erant generis, & non venarum vel arteriarum. Itaque die septimo tremor, inquit, aliquantulum veternosa, nonnihil deliravit. Quia quæ in venis erant, melius post quinti diei judicium coquebantur. Quare in sexto die scripsit, urinæ tenues, addito non boni coloris. Hæc quidem meminisse existit utile; & quod quinto die adducit certaminis scilicet plena judicia. Etenim paulo ante ægrotum alium per sanguinis eruptionem, & præsentem mulierem per sudores, etiamsi illo die
D utrisque morbus incoctus esset, quare neque perfectam fecit judicationem.

Τὴν ἄρρωστον τεσσαρεσκαιδέκατον τὴν γυναῖκα τῷ ὀξέει πυρετῷ σὺν ποικίλοις συμπτώμασι καὶ τοῖς πόνοις καταληφθεῖσαν τῇ ἑνδεκάτῃ τῇ ἡμέρᾳ τελέως κριθῆναι καὶ διὰ τὴν ἰσχὺν τῆς φύσεως σωθῆναι.

Ægrum decimumquartum, mulierem acuta febre variis comitata doloribus, ac symptomatis correptam undecimo die perfectè judicatam, & ob naturæ robur servatam fuisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

ΑΡΡΩΣΤΟΣ ιδ'.

Μελιδίῃ ἣ κατέκειτο παρὰ τὸ τῆς Ἥρης ἱερὸν, ἤρξατο κεφαλῆς, καὶ τραχήλου, καὶ στήθεος πόνος ἰσχυρὸς, αὐτίκα δὲ πυρετὸς ὀξὺς ἔλαβε, γυναικεῖα δὲ σμικρὰ ἐπεφαίνετο, πόνοι τούτων ἁπάντων ξυνεχέες· ἕκτῃ κωματώδης, ἀσώδης, φρικώδης, ἐρύθημα ἐπὶ γνάθων, σμικρὰ παρέκρουσε· ἑβδόμῃ ἵδρωσε, πυρετὸς διέλιπεν, οἱ πόνοι παρέμενον, ὑπέστρεψεν, ὕπνοι σμικροὶ, οὖρα, διὰ τέλεος, εὔχροα μὲν, λεπτὰ δὲ, διαχωρήματα, χολώδεα, δακνώδεα, κάρτα, λεπτὰ, ὀλίγα, μέλανα, δυσώδεα διῆλθεν. οὔροισιν ὑπόστασις λευκὴ, λείη, ἵδρωσεν, ἐκρίθη τελέως ἑνδεκαταίη.

E

HIPPOCRATIS TEXTUS XIV.

ÆGROTUS DECIMUS-QUARTUS.

Melidiæ prope Iunonis templus jacenti vehemens capitis, cervicis, & pectoris dolor per initia obortus est: quam derepente febris acuta prehendit, muliebria pauca apparuerunt, horumque omnium dolores continui. Sexto comatosa, fastidiosa, horrida, malarum rubor, deliravit. Septimo sudavit, intermisit febris, dolores perseverabant, reversa febris est, somni
F *parvi, urinæ per totum morbum boni quidem coloris fuere, sed tenues, dejectiones tenues, biliosæ, mordaces, admodum paucæ, nigræ, graveolentes prodierunt, urinæ sedimentum album & læve, sudavit. Vndecimo integrè judicata est.*

GALENI COMMENTARIUS.

A De hac etiam in principio quidem scripsit urinarum formam. At in historiæ fine dicit; urinæ per totum morbum boni quidem coloris fuere, sed tenues: Planè siquidem tenues coloris bonitatem secundùm naturam habere nequeunt. Nam urinæ boni coloris mediocriter pallidæ sunt: at prorsus tenues albæ sunt. Quatenus vero potest urinarum tenuitati convenire coloris bonitas, eatenus interpretari eum oportet pronunciantem; urinæ per totum morbum boni quidem coloris fuere, sed tenues. Cæterum hæc quoque mulier naturæ robore servata videtur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ περὶ ταύτης ἐν ἀρχῇ μὲν ἔγραψε τὴν ἰδέαν τῶν οὔρων· ἐπὶ δὲ τῷ τέλει τῆς διηγήσεως ἔφη, οὖρα διὰ τέλεος, εὔχροα μὲν, λεπτὰ δέ. τὰ μὲν γὰρ ἀκριβῶς λεπτὰ τὴν κατὰ φύσιν ἔχειν εὐχροίαν οὐ δύναται. μετρίως μὲν γάρ ἐστιν ὠχρὰ τὰ εὔχροα· λευκὰ δὲ, τὰ τελείως λεπτὰ, καθόσον δὲ ἐγχωρεῖ συνελθεῖν, εὐχροίαν οὔρων λεπτότητι, κατὰ τοσοῦτον χρὴ ἀκούειν λέγοντα αὐτὸν, οὖρα διὰ τέλεος, εὔχροα μὲν γενέσθαι, λεπτὰ δέ. φαίνεται δὲ καὶ αὕτη ἡ γυνὴ διὰ τὴν ἰσχὺν τῆς φύσεως σωθῆναι.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

HIPPOCRATIS EPIDEMIORVM LIBER SECUNDUS.

ΠΡΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ.

Τὸ τῶν Ἐπιδημιῶν νοσημάτων βιβλίον δεύτερον εἰς τὰ ἓξ τμήματα διαιρεῖται, ὧν ἴδιον ἑκάστου ὑποκείμενον τὸ ὅσον ἕκαστον περιλαμβάνει συντόμως διδάσκει.

PROPOSITUM LIBRI.

Hic Epidemiorum morborum Liber ſecundus in ſex Sectiones dividitur, quarum proprium cujuſque argumentum quicquid unaquæque complectatur paucis edocet.

ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΠΡΩΤΟΥ.

Ἅ τινα μὲν κατάστασις περιέχοντος θερινὴ, καὶ ὑετία, καὶ νοτία, καὶ λοιμώδης παθήματα πεποίηκεν, ταῦτα τμῆμα πρῶτον περιλαμβάνει.

ARGUMENTUM SECTIONIS PRIMÆ.

Quos ſtatus ambientis æſtivus, pluvius, auſtrinus, ac peſtilens affectus procreavit, Sectio prima complectitur.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

Ἄνθρακες, ἰχῶρες, κνησμοὶ, φλυκταινίδες, πυρετοὶ ἀνίδρωτες, καὶ ἱδρωτικοί.

Ἄνθρακες ἐν Κρανῶνι θερινοὶ, ὗεν ἐν καύμασιν, ὕδατι λαύρῳ δι' ὅλου, ἐγένετο δὲ μᾶλλον νότῳ, καὶ ὑπεγίνοντο μὲν ἐν τῷ δέρματι ἰχῶρες, ἐγκαταλαμβανόμενοι δὲ ἐθερμαίνοντο, καὶ κνησμὸν ἐνεποίεον. εἶτα φλυκταινίδες, ὥσπερ πυρίκαυστοι διανίσταντο, καὶ ὑπὸ τὸ δέρμα καίεσθαι ἐδόκεον. ἐν καύμασιν ἀνυδρείης, οἱ πυρετοὶ ἀνίδρωτες τὰ πλεῖστα· ἐν τουτέοισιν δὲ ἢν ἐπιψεκάσῃ ἱδρωτικώτεροι γίνονται κατ' ἀρχάς. Ταῦτα δυσκριτώτερα μὲν, ἢ ἄλλως· ἀτὰρ ἧσσον, εἰ μὴ εἴη διὰ ταῦτα, ἀλλὰ διὰ τοῦ νόσου τὸν τρόπον.

SECTIO PRIMA.

HIPPOCRATIS TEXTVS I.

A Carbunculi, ichores, pruritus, phlyctenides, febres citra ſudorem, & ſudatoriæ.

Cranone carbunculi æſtivi graſſabantur. Per ardores largo imbre pluebat, ſed id per univerſum ab auſtro magis. Ichores quidem cuti ſubnaſcebantur, qui intro concepti caleſcebant, prurituṁque concitabant. Deinde phlyctænides ambuſtis puſtulis ſimiles aſſurgebant, quibus ſub cutem uri videbantur. Per ſiccitatis æſtus febres plerunque citra ſudorem; in his verò ſi imbrium guttulæ deciderint, B *magis per initia ſudatoriæ ſunt. Hæc judicatu difficiliora manent, quàm ſi aliter contingerent; minùs tamen ſi non propter hæc, ſed propter morbi modum mortiſve extiterint.*

Καθ' ἣν ὥραν οἱ καῦσοι γίνονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Οἱ καῦσοι ἐν τῇσι θερινῇσι μᾶλλον γίνονται, καὶ ἐν τῇσιν ἄλλῃσιν ὥρῃσιν. ἐπιξηραίνονται δὲ μᾶλλον θέρεος.

Qua tempeſtate febres ardentes oriantur.

HIPPOCRATIS TEXTVS II.

Febres ardentes æſtivis magis, etiam cæteris tempeſtatibus oriuntur; reſiccantur tamen & accenduntur magis æſtate.

A

Autamno lumbricos, cardialgias, & ascaridas oriri & vexare.

HIPPOCRATIS TEXTUS III.

Autumno maximè lumbrici & cardialgia, quanquam & ipsa minus grassatur, ipso morbo tali constante. Ascarides vesperi huic simili modo vexant. Atque nunc illæ interdiu plerunque infestant, non solùm quod majores dolores excitent, verumetiam quod per seipsas vexent.

Φθινοπώρου θηριώδεας, καὶ καρδιαλγίας, καὶ τὰς ἀσκαρίδας γίνεσθαί τε καὶ ὀχλέειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γʹ.

Φθινοπώρου μάλιστα θηριώδεες, καὶ ἡ καρδιαλγία, καί τοι καὶ αὐτὴ ἧσσον κακουργέοι ἂν, αὐτοῦ τοῦ νοσήματος τοιούτου ἐόντος. αἱ ἀσκαρίδες δείλης, ὁμοίως τούτῳ. καὶ ἐκεῖνα τηνικαῦτα ὀχλέουσι τῆς ἡμέρης τὰ πλεῖστα, οὐ μόνον διὰ τὸ

B μᾶλλον πονέειν, ἀλλὰ καὶ αὐταὶ διὰ σφᾶς ἑαυτάς.

Autumno morbos acutissimos oriri; vesperæ cum autumno & anni cum morbo & paroxysmo analogia.

HIPPOCRATIS TEXTUS IV.

Autumno morbi acutissimi, maximeque lethales; qui quod hi vesperi exacerbentur eo prorsus similem affectionem sortitur, ac anni morborum periodum habentis tempestas. Quale datur morbi dies, quale ad exacerbationem vespera, tale est cujusque etiam inter se constitutionis tempus, quum quid in superiori idea non innovandum fuerit; sin minus hæc alia constitutione imperium obtinuerint. Quare etiam annum ad seipsum ita se habere necesse est.

Ἐν τῷ φθινοπώρῳ τὰς ὀξυτάτας νόσους γίνεσθαι. ἡ τῆς δείλης σὺν τῷ φθινοπώρῳ, καὶ τοῦ ἐνιαυτοῦ σὺν τῷ νοσήματι, καὶ παροξυσμῷ ἀναλογία.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δʹ.

ΕΝ φθινοπώρῳ ὀξύταται νόσοι, καὶ θανατωδέσταται· τὸ ἐπίπαν ὅμοιον τῷ δείλης παροξύνεσθαι. ὡς τοῦ

C ἐνιαυτοῦ περίοδον ἔχοντος τῶν νούσων, οἷον ἡ ἡμέρη τῆς νούσου, οἷον τὸ δείλης παροξύνεσθαι. τοιοῦτον τῆς νόσου καὶ ἑκάστης καταστάσιος πρὸς ἀλλήλας, ὅταν μή τι νεωτεροποιηθῇ ἐν τῷ αἴω εἴδει· εἰ δὲ μὴ, ἄλλης ταῦτα καταστάσιος ἂν ἄρχοι· ὥστε καὶ τὸν ἐνιαυτὸν πρὸς ἑωυτὸν οὕτως ἔχειν.

Constantiam & tempestatem temporum, & constantes, tempestivos, & judicatu faciles morbos parere inconstantiam & intempestivitatem inconstantes, intempestivos, & judicii difficilis. Ver saluberrimum.

HIPPOCRATIS TEXTUS V.

Constantibus temporibus & annis tempestivè tempestiva reddentibus, constantes ac judicatu facillimi morbi gignuntur; inconstantibus vero inconstantes, & qui difficile judicantur; quales Perinti grassantur, quum aut ventorum flatus aliqui, aut non flatus, aut aquæ, aut siccitates, aut ardores, aut frigora exuperarint, aut defecerint. Ver autem omnino saluberrimum est, ac minime lethale.

Τὴν μὲν εὐστάθειαν καὶ εὐκαιρίαν τῶν καιρῶν τὰς εὐσταθέας, καὶ

D εὐκαίρους, καὶ εὐκρινεστάτας νόσους, τὴν δὲ ἀκαταστασίαν, καὶ ἀκαιρίαν τὰς ἀκαταστάτους, καὶ ἀκαίρους, καὶ δυσκρίτους ποιεῖν. τὸ ἔαρ ὑγιεινότατον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ εʹ.

ΕΝ τοῖσι καθεστεῶσι καιροῖσι, καὶ ὡραίως τὰ ὡραῖα ἀποδιδοῦσιν ἔτεσιν, εὐσταθέες καὶ εὐκρινέσταται αἱ νοῦσοι, ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι. ἐν γοῦν Περίνθῳ ὅταν τι ἐκλίπῃ, ἢ πλεονάσῃ, ἢ

E πνευμάτων, ἢ μὴ πνευμάτων, ἢ ὑδάτων, ἢ αὐχμῶν, ἢ καυμάτων, ἢ ψύξεων. τὸ δὲ ἔαρ τὸ ἐπίπαν ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες.

Considerandа esse morborum principia, incrementa, vigores, judicia, paroxysmos. Unde judicia celeriora, & faciliora, tardiora ac difficiliora.

HIPPOCRATIS TEXTUS VI.

Sub morborum autem principia considerandum an derepente vigorem sortiantur, quod ex incremento manifestum est. Incrementa vero ex morborum circuitibus ex quibus etiam judicationes se produnt: itemque ex his quæ per circuitus oboriuntur exacerbationibus, si celerius, aut non, accedant; si diutius quoque, aut non durent, aut si magis aut minus divexent. Ex omnibus autem continuis, aut intermittentibus, & diuturnis vulneribus, & sputis dolorificis, etiam tuberculorum

Ὅτι σκεπτέον ἢ τὰς τῶν νόσων ἀρχὰς, καὶ ἐπιδόσιας, καὶ ἀκμὰς, καὶ κρίσιας, καὶ παροξυσμούς. πόθεν αἱ κρίσεις ταχύτεραι, καὶ ῥᾴοτεραι, βραχύτεραι, καὶ χαλεπότεραι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

F

ΠΡὸς τὰς ἀρχὰς σκεπτέον τῶν νούσων, εἰ αὐτίκα αὐθεῖ. δῆλον δὲ τῇ ἐπιδόσει, τὰς δὲ ἐπιδόσιας, τῇσι περιόδοισι. καὶ αἱ κρίσιες ἐντεῦθεν δῆλαι, καὶ τοῖσι ἐν τῇσι περιόδοισι παροξυσμοῖσιν, εἰ πρωϊαίτερον ἢ οὔ. καὶ εἰ πλείονα χρόνον ἢ οὔ· καὶ εἰ μᾶλλον ἢ οὔ. πάντων δὲ τῶν συνεχέων, ἢ διαλειπόντων τῶν χρονίων, καὶ τρωμάτων, καὶ πτυέλων ὀδυνωδέων, καὶ φυμάτων

φλεγμοναὶ, καὶ ὅσα ἄλλα ἐπιφαίνονται ὕστερον· ἴσως δὲ καὶ ἄλλων πραγμάτων κοινῶν, τὰ μὲν θᾶσσον, βραχύτερα· τὰ δὲ βραχύτερον, μακρότερα· καὶ ἐν περιόδοισι τὸ ἐπιτροχιαίτερον, καὶ ἄλλης ἐπιδόσιος, ἀπαυδώσης τῆς νόσου· καὶ γὰρ τῶν παραχρῆμα ἀπολλυμένων ταχύτεραι αἱ κρίσιες, ὅτι ταχέες οἱ πόνοι, καὶ ξυνεχέες, καὶ ἰσχυροί· τὰ δὲ κρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐτίκα ἐπιφαινέσθω.

A *inflammationes, & quæcunque alia posterius apparent: fortassis autem & ex aliis operibus quæ celerius aguntur, breviora sunt, quæ tardius longiora, morbo etiam in circuitibus celeriorem recursum ac reliquum augmentum prohibente. Etenim qui statim intereunt, eorum celeriores sunt judicationes, quod & celeres sint dolores, & continentes & vehementes. Quæ vero ad melius judicant, non statim apparent.*

Περὶ σημείων κρισίμων τὸν θάνατον, δυσκρισίαν, ἀκρισίαν, ὑποστροφὰς, ὄλεθρον, καὶ ἀποφθειρομένων σημαινόντων· ἢ στηθέων, μαζῶν, γονῆς καὶ φωνῆς συμπάθεια καὶ κοινωνία· τὰ ὄρχεων οἰδήματα τὰς βῆχας παύειν.

B De signis judicatoriis mortem, judicium difficile, nullum judicium recidivas, & perniciem oborturam significantibus. Pectoris mammarum, genituræ & vocis sympathia & societas. Testium tumores tusses sedare.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζʹ.

Τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. τὰ προκρινόμενα ἢν ὠμῶς κριθῇ, ὑποστροφαὶ, ἢν μὴ ἀκρισίαι, γένοιτο δ' ἂν καὶ ὀλέθρια, τὰ μὴ σμικρά. ὅσα κρίσιμα σημεῖα γινόμενα, τὰ αὐτὰ ταῦτα μὴ γινόμενα δύσκριτα. τὰ ἐναντία δὲ σημαίνοντα, κακὸν, οὐ μόνον ἢν παλινδρομέῃ, ἀλλὰ καὶ τῆς ἀρχαίης φύσιος τὰ ἐναντία ῥέποντα, ὥσπερ καὶ τῶν κακῶν σημεῖον ἐπὶ τἀναντία ῥέποντα. θεωρεῖν δὲ οὕτω δεῖ βρωμάτων, συμπτώσεων φλεβῶν, ὄγκων ὑποχονδρίων, ἀναρροπίων, καταρροπίων. πολλὰ δὲ καὶ τῶν τοιούτων. οἷον, ἀποφθειρουσέων οἱ τιτθοὶ προϊσχναίνονται, οὐδὲ γὰρ ἐναντίον, οὐδὲ βῆχες χρόνιαι, ὅτι ὄρχιος οἰδήσαντος παύονται. ὄρχις οἰδήσας ἀπὸ βηχέων ὑπόμνημα κοινωνίης, στηθέων, μαζῶν, γονῆς, φωνῆς.

HIPPOCRATIS TEXTUS VII.

Judicatoria non judicantia partim lethalia sunt, partim difficilis judicationis. Quæ præjudicantur, si cum cruditate judicata fuerint, recidiva oboriuntur. Sin minus, judicationes nullæ: imo perniciosa signa, eaque non parva sunt. C *Quæcunque judicatoria signa fiunt, hæc si non edantur, difficilis sunt judicationis. Quæ vero contraria significant, malum; non solum si recurrant, verumetiam si ad priscæ naturæ contraria prorepant, quemadmodum etiam malorum signa sunt quæ in contraria prolabuntur. Ita vero animadvertendum est in eduliis, venis concidentibus, hypochondriorum tumoribus, tum sursum tum deorsum propendentibus. Sed & multa sunt hujusmodi velut abortientium mammæ gracilescunt, neque enim contrarium est; neque tusses diuturnæ, quod quum testis intumuerit cessent; testisque tumor à tussi communionis pectoris, mammarum,* D *genituræ & vocis monumentum est.*

Ηι ἀποστάσιες ἀφίστανται. αἵτινες χρησταὶ καὶ ἄρισται. ὁ τῆς Τημένεω ἀδελφιδῆς ἐκ τῆς δακτύλου ἀποστάσεως θάνατος.

Abscessus quâ abscedunt; qui boni, qui optimi Temenei neptis ex abscessu digiti interitus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ηʹ.

Ἀποστάσιες, ἢ διὰ φλεβῶν. ἢ δι' ὀστέων, ἢ νεύρων, ἢ δέρματος, ἢ ἐκτροπέων ἑτέρων, χρησταὶ δὲ αἱ κάτω τῆς νόσου, οἷον κιρσοὶ, ὀσφύος βάρεα ἐκ τῶν ἄνω. ἄρισται δὲ μάλιστα. αἱ κάτω, καὶ αἱ κατωτάτω κοιλίης, καὶ προσωτάτω ἀπὸ τῆς νόσου, καὶ αἱ κατ' ἔκρουν. οἷον αἷμα ἐκ ῥινέων, πύον ἐξ ὠτὸς, πτύαλον, οὖρον κατ' ἔκρουν. οἷσι μὴ ταῦτα ἀποστάσιες, οἷον ὀδόντες, ὀφθαλμοὶ, ῥὶς, ἱδρώς· ἀτὰρ καὶ τὰ ὑπὸ δέρμα ἀφιστάμενα ἐς τὸ ἔξω φύματα, οἷον τάγγαι, καὶ τὰ ἐκπυοῦντα, ἢ ἕλκος, καὶ τὰ τοιαῦτα ἐξανθήματα, ἢ λεποὶ, καὶ μαδήσιες τριχῶν, ἀλφοὶ, λέπραι, ἢ τὰ τοιαῦτα ὅσα ἀποστάσιες μὲν εἰσὶν ἀθρόως ῥυεῖσαι, καὶ μὴ ἡμιρρόπως, καὶ ὅσα ἄλλα εἴρηται. καὶ ἢ μὴ ἀναξίως τῆς περιβολῆς τῆς νόσου. οἷον τῇ Τημένεω ἀδελφιδῇ ἐκ νόσου ἰσχυρῆς, ἐς δάκτυλον ἀπεστήριξεν, οὐχ ἱκανὸν δὲ δέξασθαι τὴν νοῦσον, ἐπαλινδρόμησεν, ἀπέθανεν.

HIPPOCRATIS TEXTUS VIII.

Abscessus aut per venas, aut per ossa, aut nervos, aut cutim, aut alia emissaria abs- E *cedunt. Boni autem sunt qui infra morbum consistunt, quales varices & lumborum gravitates supernè deorsum ducti. Præsertim vero optimi sunt inferiores, quique infra ventrem maximè, & à morbo remotissimi abscedunt, & qui per effluxum abeunt; quemadmodum sanguis è naribus, aut pus ex aure, sputum & urina per effluxum. At quibus hisce modis non fiunt abscessus sunt velut dentes, oculi, nasus, & sudor. Sed & quæ sub cutem abscedunt, foras tubercula, velut tangæ seu strumæ, & purulentæ papulæ, aut ulcus, aut hu-* F *jusmodi pustulæ efflorescentes, aut squamæ, & capillorum defluvium, vitiligines, lepræ, aut ejusmodi quæ sunt abscessus acervatim fluentes, neque serpentes, & quæcunque alia dicta sunt; etiamsi non indignè morbi excretioni respondeant, quemadmodum Temenei nepti ex vehementi morbo quiddam in digitum firmè decubuit, quæ quum morbo suscipiendo non esset, ex interno recursu obiit.*

Quâ

A

Quâ abscessus effluant repetit & amplificat. Quo fiat affectuum uteri decubitus. Abscessus tussiculosi. Largæ hæmorrhagiæ utilitas.

Ἡι ἀποστάσιες ἐκρυέωσι ταῖς ἀναλαμβάνει, καὶ πλατύνει. ποῖ γίνηται ἡ τῶν τῆς ὑστέρας παθημάτων κατάκλισις. ἀποστάσιες βηχώδεες. ἡ τῆς αἱμοῤῥαγίας λαυρῆς εὐχρηστία.

HIPPOCRATIS TEXTUS IX.

Abscessus aut per venas, aut per alvum, aut per nervos, aut per cutem, aut ossa, aut secundùm dorsalem medullam, aut ad alia emissaria, os, pudendum, aures, nares effluunt. Vteri affectus octavo mense judicationem subeuntes, postridie velut in lumbos, aut femur & testes decumbunt. Interdum verò ex tussi in testes, & testis ipse à seipso. Tussiculosi abscessus qui in superiore ventris regione sunt, non peræque perfectè liberant. Largæ sanguinis è naribus eruptiones plerunque liberant, ut Heragoræ contigit, quod Medici non animadverterunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θʹ.

Ἀποστάσιες, ἢ διὰ φλεβῶν, ἢ διὰ κοιλίης, ἢ διὰ νεύρων, ἢ διὰ δέρματος, ἢ κατὰ ὀστέα, ἢ κατὰ τὸν νωτιαῖον, ἢ κατὰ τὰς ἄλλας ἐκροὰς, στόμα, αἰδοῖον, ὦτα, ῥῖνας, B ἐξ ὑστέρης ὀκταμήνου, τὰ τῆς κρίσεως, τῇ ὑστεραίῃ ὡς αἱ ἐς τὴν ὀσφὺν, ἢ ἐς τὸν μηρὸν, καὶ ἐς ὄρχιας. ἔστι δ' ὅτε ἐκ βηχέων. καὶ ὄρχις αὐτὸς ἐφ' ἑωυτοῦ. βηχώδεες ἀποστάσιες, αἱ μὲν ἀνωτέρω τῆς κοιλίης, οὐχ ὁμοίως τελέως ῥύονται. αἱμοῤῥαγίαι λάβροι ἐκ ῥινῶν, ῥύονται πολλὰ, οἷον τὸ Ἡραγόρεω οὐκ ἐγίνωσκον οἱ ἰητροί.

Ut voces, sic linguæ asperæ. Quæ linguæ duræ, quæ molles. Considerandum esse capita, cervices, venas: qui tenues, qui pingues, incrementa, imminutiones.

C Ὥσπερ αἱ φωναὶ οὕτως αἱ γλῶσσαι τρηχέες. αἵτινες γλῶσσαι σκληραὶ καὶ μαλθακαί. σκεπτέον εἶναι τὰς κεφαλὰς καὶ τοὺς αὐχένας καὶ φλέβας. οἵτινες λεπτοὶ, καὶ πίονες, καὶ τὰς τῶν σωμάτων παραυξήσιας καὶ μειώσιας.

HIPPOCRATIS TEXTUS X.

Qui naturâ voces habent asperas, iis etiam linguæ sunt subasperæ, & quæcunque ex morbis asperitates similiter contingunt. Quæ igitur à naturâ linguæ duræ sunt, etiam sine morbo hoc habent. Molles vero tum ad noxiam, tum ad utilitatem quàm prior natura tardiores sunt. Considerandæ quoque veniunt quæ ex victus ratione oblonga sunt capita, & cervices longæ à propensionibus: & venarum capacitas & crassitudo, ab eadem causa procedens, & angustiæ, & latitudines, brevitates ac tenuitates ex contrariis. Quorum venæ latæ, iis & ventres, & ossa lata sunt, hique graciles existunt. Obesi vero his contraria consequuntur, & eorum qui fame macerantur, moderationes. Ab his perspicienda sunt quæ incrementa unicuique imminuant, & quæ diminutiones adaugeant, & quæ incrementa simul adaugeant, & quæ corroborent, & quæ sint communes venarum distantiæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιʹ.

Τὰς φωνὰς οἱ τρηχέας φύσει ἔχοντες, καὶ αἱ γλῶσσαι ὑποτρηχέες. καὶ ὅσαι τραχύτητες ὑπὸ νούσων ὡσαύτως. αἱ μὲν ἐοῦσαι σκληραὶ τῇ φύσει, καὶ ἄνοσοι τοῦτ' ἔχουσιν. αἱ δὲ μαλθακαὶ, καὶ βραδύτεραι ἐς ἀμφοτέρων, ἢ χρηστὸν, ἢ ἀρχαίη φύσις. D σκεπτέον καὶ τὰ ἀπὸ τῶν διαιτέων τὰ μακροκέφαλα, καὶ μακραύχενα ἀπὸ τῶν ἐπικυψίων· καὶ τῶν φλεβῶν ἡ εὐρύτης, καὶ παχύτης ἀπὸ τοῦ αὐτοῦ· καὶ στενότητες, καὶ πλατύτητες, καὶ βραχύτητες, καὶ λεπτότητες, καὶ ἀπὸ τῶν ἐναντίων ὧν αἱ φλέβες εὐρέαι, καὶ αἱ κοιλίαι, καὶ τὰ ὀστέα, εὐρέα· εἰσὶ δὲ οὗτοι οἱ λεπτοὶ, οἱ δὲ πίονες τἀναντία τουτέων, καὶ ἐν τοῖσι λιμαγχικοῖσιν αἱ μετριότητες, ἀπὸ τουτέων σκεπτέαι, αἱ παραυξήσιες ἑκάστῳ ἃ μειοῦσι, καὶ αἱ μειώσιες ἃ παραυξοῦσι· καὶ τῇσι παραυξέσιν, ὁποῖα συμπαραύξεται, καὶ ὁποῖα συγκρατύνεται, καὶ διασφάξιες ποῖαι κοιναὶ τῶν φλεβῶν. E

Pectinum ruptiones innoxias esse, supra umbilicum noxias. Earum causæ. Ab affecto hepate hepaticos, à splene splenicos, ab utroque ictoras & hydropas nasci. Ulcera ægre sanabilia. Cutis & labri fissuræ unde.

Τὰς τῶν ἤτρων περὶ ἥβην ῥήξιας ἀσινέας εἶναι τὰς μὲν ἄνωθεν τοῦ ὀμφαλοῦ βλαβεράς. αἱ τούτων αἰτίαι. ἀπὸ τῶν τοῦ ἥπατος παθῶν τοὺς ἡπατικοὺς, ἀπὸ τῶν δὲ σπληνὸς σπληνικοὺς, ἀπὸ τῶν ἑκατέρου τοὺς ἰκτέρους, καὶ τοὺς ὕδρωπας γίνεσθαι. αἱ δυσαλκίαι. πόθεν αἱ τοῦ δέρματος, καὶ τῶν χειλέων ῥαγάδες.

HIPPOCRATIS TEXTUS XI.

Quæ imi ventris circa pubem fiunt, ruptiones plerunque statim sunt innoxiæ. Quæ paulo supra umbilicum in dextra parte jacent, ipsæ dolorem, & jactationem, & stercoris vomitum inducunt, velut etiam Pittaco accidit. Hæ verò aut à plaga, aut vulsura, aut alterius insultu. Quibus quod imum ventrem & cutem intercedit, id inflatur, nec cessat: iis color pallido multo suffunditur, ac velut ex candido pallescit, quòd id omne ab hepate procedat, & à quo hepatici etiam morbi

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιαʹ.

F Αἱ τῶν ἤτρων ῥήξιες, αἱ μὲν περὶ ἥβην, τὰ πλεῖστα ἀπονέες τὸ παραυτίκα. αἱ δὲ σμικρὸν ἄνωθεν τοῦ ὀμφαλοῦ ἐν δεξιᾷ. ὀδυνώδεες αὗται, καὶ ἀσώδεες, καὶ κοπριήμετοι, οἷον καὶ τὸ Πιττακοῦ. γίνονται δὲ αὗται, ἢ ἀπὸ πληγῆς, ἢ σπάσιος, ἢ ἐμπηδήσιος ἑτέρου. οἷσι τὸ μεταξὺ τοῦ ἤτρου καὶ τοῦ δέρματος ἐμφυσᾶται, καὶ οὐ καθίσταται, τὸ τῆς χροιῆς, οἷον τὸ πολυχλώρον, τό, τε ἐκ λευκοχροίου, ὅτι ἀπὸ τοῦ ἥπατος πᾶν τὸ τοιοῦτον. καὶ ἀπὸ τουτέου ἡπατικὰ νοσήματα

ἐν τουτέοισι, καὶ ἴκτεροι οἱ ἀπὸ ἥπατος ἐς τὸ ὑπόλευκον, A καὶ ὑδαταινόμενοι, καὶ οἱ λευκοφλέγματοι· οἱ δὲ ἀπὸ σπληνὸς, μελάντεροι, καὶ ὕδρωπες, καὶ οἱ ἴκτεροι, καὶ αἱ δυσελκίαι τῶν ἐκλεύκων, τῶν ὑποφακωδέων, καὶ τὸ δέρμα καταρρήγνυται, καὶ τὰ χείλεα, οἷος Ἀντίλοχος καὶ Ἀλεύας· τὸ ἀπὸ τῶν χυμῶν τῶν ἐκ τοῦ σώματος τοῦ ἁλμώδεος. ὅτι ὑπὸ τὸ δέρμα μάλιστα, καὶ ἀπὸ κεφαλῆς ὅταν ἀπὸ τοῦ πνεύμονος διαθερμαίνηται.

iis insident. Et icteri ab hepate oriundi in subcandidum colorem mutant, etiam qui ex aquoso hydrope, & alba pituita laborant. A liene vero tum hydropes, tum icteri nigricantiores existunt. Sed & in exalbidis lenticoloribus ulcera peragrè sanantur & cutis & labra diffinduntur, quod Antiocho & Alenæ accidit. Quod oritur ex salsuginosi corporis humoribus, quum in cutem à capite maximè excalefacto deciderit.

Καὶ τὰς τῶν νόσων ἀφορμὰς, καὶ τὰ σημεῖα σκεπτέον· ὅσοις τὰ κρίσιμα μὴ γένηται τούτοις μὴ τὰς κρίσιας γίνεσθαι. ἡ τῶν ὠμῶν καὶ ὑγρῶν διαχωρημάτων θεραπεία. B

Causas morborum explorandas esse. Signa quoque morborum, quibus judicatoria absunt signa, iis judicia non fieri. Liquidarum & crudarum dejectionum curatio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβʹ.

Τὰς ἀφορμὰς ὁπόθεν ἤρξατο κάμνειν, σκεπτέον, εἴτε κεφαλῆς ὀδύνη, εἴτε ὠτὸς, εἴτε πλευροῦ. σημεῖον δὲ ἐφ' οἷσιν ὀδόντες, καὶ ἐφ' οἷσι βουβῶνες. τὰ γινόμενα ἕλκεα, καὶ κρίνοντα πυρετοὺς καὶ φύματα. οἷσι ταῦτα μὴ παραγίνεται ἀκρισία. οἷσιν ἐγκαταλείπεται, βεβαιόταται ὑποστροφαὶ καὶ τάχισται. τὰ ὠμὰ διαχωρήματα καὶ ὑγρὰ κέγχρος στερεὸς ἐν ἐλαίῳ ἑφθὸς ἵστησιν, οἷον τὸ ναυτοπαίδιον, καὶ ἡ μυριοχαύνη.

HIPPOCRATIS TEXTUS XII.

Explorandæ sunt causæ unde quis ægrotare cœperit, sive capitis, sive auris, sive lateris dolor sit. Quibusdam vero dentes, quibusdam etiam inguinum tumores morborum signa dant. Oborta ulcera ac febres & tubercula judicantia quibus hæc non affuerint judicatio nulla est. Quibus intus relinquantur, iis certissimæ ac celerrimæ recidivæ nascuntur. Crudas ac liquidas dejectiones milium solidum oleo incoctum sistit. Exemplo est nautæ puer & Myriochaune.

Commentarii I. in II. Epidemiorum Finis.





ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΥ II.
ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ
ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.
HIPPOCRATIS
LIBRI II. EPIDEMIORVM
SECTIO SECVNDA.
ET GALENI IN EVM
COMMENTARIVS SECVNDVS.

ΤΟ ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ.

Η τῆς καρδιαλγίας θεραπεία. αἱ τῶν νοσημάτων μεταστάσεις, καὶ προθεσμίαι. ἡ τῆς γαστέρος ταραχή. ἐκ λίθου νόσος. ἡ βλεφάρου κριθή. τῶν κνημῶν ἐκ τῶν καμάτων οἰδήματα. ὄρχεως ἐκ πυρετοῦ οἴδησις. ὁ σπλὴν μέγας. ἡ χεὶρ δεξιὰ σὺν σκέλεως ἀριστέρου παραπληκτικά. τὰ τῶν νεφρῶν ἀλγήματα ἐκ τῆς κραιπάλης. ἡ τῶν ἀλγημάτων διάγνωσις. ὕδωρ τὸ κουφότατόν τι. τὰ βρώματα, καὶ πόματα. τὸ ἀπόφθαρμον. τίς δυσεντεριώδης ἐστί. τὰ θηλαζούσης ἄνω τὸ σῶμα ἐκθύματα. ἡ στραγγουρία. τὸ ἰσχίου πρὶν ἴσχειν ἄλγημα. ἐν γαστρὶ ἐχούσῃ ἐν κνήμῃ. τὸ παιδίον σαρκῶδες ἀνόστεον. θυγατέρων διδύμων τόκος. ὀλίγη κάθαρσις. ὀξυρεγμία ἐν χρονίαις λειεντερίαις. ἐλλεβόρου πόσις. τὸ ἥπατος ἔπαρμα. οὔρησις πολλὴ σὺν τῇ αἱμορραγίᾳ. ὁ σπλὴν κυρτὸς ἄνω. τὰ κυναγχικὰ παθήματα. βουβῶνας οὐδενὶ οἰδῆσαι. τῶν φλεβῶν ἡ ὑπεροχή. ὀρθὸν ἐξόγκωμα, τῶν παραπληκτικῶν αἱ παραλύσεις.

ARGVMENTVM SECTIONIS SECVNDÆ.

Cardialgiæ curatio. Morborum mutationes, ac termini. Alvi perturbatio. Ex calculo morbus. Hordeolum palpebræ. Tibiarum tumores ex defatigatione. Testis tumor ex febre. Lien magnus. Manus dextra cum crure sinistro siderata. Renum dolores à crapula. Dolorum dignotio. Aqua levissima quæ. Cibus & potus. Abortus. Dysenteria qui magis laborent. Pustulæ per corpus lactantis. Stranguria. Coxæ dolor ante conceptionem. Pustulæ in tibia prægnantis. Puer carnosus sine ossibus. Gemellarum partus. Modica purgatio. Ructus acidi in diuturnis lienteriis. Veratri potio. Hepatis tumor. Mictus copiosus cum hæmorragia. Lien in gibbum sublatus. Anginæ. Glandulis nulli intumuisse. Venarum extuberatio. Tumor rectus, obliquus. Syderatorum resolutiones.

Cardialgiæ curatio, quam Galenus suam de libris primo & secundo Epidemiorum sententiam præfatus explicat. Quid Cardialgia, & Cardiogmus? Polentam succo granatorum inebriatam, & exhibitam pravum humorem exhauriendo, & exiccando, & ventriculum roborando, cardialgiam sanare.


A

Η τῆς καρδιαλγίας θεραπεία, ἣν ὁ Γαληνὸς τῆς ἰδίας περὶ βιβλίων τοῦ πρώτου καὶ δευτέρου τῶν ἐπιδημιῶν διανοίας προοιμιάζων ἐξηγεῖται. τί καρδιαλγία, τί καρδιωγμός; ὅτι ἡ πάλη ἐς ῥοιᾶς χυλὸν ἐμβαπτισθεῖσα καὶ ληφθεῖσα τὸν μοχθηρὸν χυμὸν ἀναντλοῦσα καὶ ξηραίνουσα, καὶ τῇ κοιλίᾳ ῥώμην παρέχουσα τὴν καρδιαλγίαν θεραπεύῃ.

HIPPOCRATIS TEXTUS I.

M*Vlier cardialgia laborabat, nihilumque remittebat. Huic pollis hordeaceus in mali punici succum inspersus, ac cibus semel duntaxat per diem acceptus satis fuit, neque revomebat, velut Charioni contigit.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.



ΓΥΝΗ ἐκαρδιάλγει, καὶ οὐδὲν καθίστατο, πάλιν ἐς ῥοιῆς χυλὸν ἀλφίτων ἐπιπάσσουσα, καὶ μονοσιτίη ἤρκεσε, καὶ οὐκ ἀνήμει οἷα τὰ Καρίωνος.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ πρῶτον τῶν ἐπιδημιῶν ἐρρέθη μὲν ἄξιον εἶναι τῆς τε παιδείας, καὶ τῆς δόξης τοῦ μεγάλου Ἱπποκράτους, ὡς περιέχον πολλὰ πάνυ ὠφέλιμα καὶ ἀληθῆ, καὶ πρὸς εὕρεσίν τε, καὶ γνῶσιν τῶν εἰς τὴν ἰατρικὴν συντεινόντων. τὰ δὲ περιεχόμενα ἐν τῷδε τῷ δευτέρῳ, διὰ τὴν ἀσάφειαν, καὶ συντομίαν, καὶ τὴν τῶν πραγμάτων ποικιλότητα, οὕτω διάφορα, καὶ ἀποκεχωρισμένα ἀλλήλοις εἰσὶν, ὥστε οὐκ ἀφ' ἑνὸς τοῦ Ἱπποκράτους, ἢ υἱέος αὐτοῦ Θεσσαλοῦ γεγράφθαι δοκεῖν. πολλὰ γὰρ ἄλλο τε ἄλλως συγκεχυμένα εἰσὶ, πολλὰ δὲ παρὰ λόγον παρεμβληθέντα, καὶ οὐδεμίαν ἔχοντα πρὸς τὰ ἑπόμενα συνέχειαν. διὸ φαίνεται οὐ μὴ πρὸς σύγγραμμα, ἀλλὰ πρὸς ὑπόμνημα, καὶ πρὸς μνήμην μᾶλλον ταῦτα σχεδὸν πάντα συντεθεῖσθαι. καὶ οὐ δοκεῖ πρὸς ἔκδοσιν τουτὶ τὸ δεύτερον, καθάπερ τὸ πρῶτόν τε, καὶ τὸ τρίτον, τῷ Ἱπποκράτει πεποιῆσθαι. ἔστι γὰρ τῶν ἀρρώστων τε, καὶ συμπτωμάτων, καὶ παθημάτων ἀπαρίθμησίς τις· ὡς ὅταν φησὶ, Γυνὴ ἐκαρδιάλγει. ἔστι μὲν γὰρ ἡ καρδιαλγία νόσος, ἣν καλοῦσιν καὶ καρδιωγμὸν, τουτέστι τὴν δῆξιν ἐν τῷ στόματι τῆς γαστρός. ὅτι μὲν γὰρ πλησίον ἡ καρδία τέτακται τῷ στόματι τῆς γαστρὸς, διὰ τοῦτο νομίζουσί τινες, τὸ πάθος ἀπ' ἐκείνης ἄρχεσθαι, ἀπὸ τῆς θέσεως ἐπιχειροῦντες. καί τινες τῷ ὀνόματι σφαλέντες, οἴονται τὴν καρδίαν δάκνεσθαι· δῆλον γὰρ, ὅτι ἡ δῆξις ἐστὶν ὑπὸ τῷ κατὰ τὸ στέρνον χόνδρῳ, ἡ καρδία δὲ ἐν μέσῳ τέτακται τῷ θώρακι. ὅτι δὲ ἡ καρδία μὴ μόνον τὸ πρῶτον σπλάγχνον, ὅπερ ἀρχὴ τῆς ζωτικῆς δυνάμεώς ἐστιν, παρὰ τοῖς παλαιοῖς σημαίνει, ἀλλὰ καὶ τὸ στόμα τῆς γαστρὸς, οὐδένα, οἶμαι, τῶν μετρίως πεπαιδευμένων λανθάνει. ἐπεὶ πλὴν οἱ ἰατροὶ, καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν περὶ λοιμοῦ γράφων, ὡδέπως φησὶ, καὶ ὁπότε εἰς τὴν καρδίαν στηρίξειεν, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι, ὅσαι ἀπὸ τῶν ἰατρῶν εἰσὶν ὠνομασμέναι, ἐπήεσαν. ἐν δὲ τῷ προρρητικῷ γράφεται οὕτως, καρδίας πόνος ἅμα ὑποχονδρίῳ συντόνῳ, καὶ κεφαλαλγίῃ, κακόηθες. ὅταν μὲν γὰρ οἱ μοχθηροὶ χυμοὶ τὰ κατὰ τὸ στόμα τῆς γαστρὸς διαβρέχουσιν, γίνεται ἄνθρωπος ναυτιώδης τε, καὶ καρδιαλγής. διὸ καλοῦ βοηθήματος, τοῦ προστεθέντος τῇ γυναικὶ, ἀναμιμνήσκει νῦν ἡμᾶς ὅπερ καὶ τὸν ἔμετον ἐκώλυε, καὶ τόνον τῷ στομάχῳ προσέθηκε. πάλιν, φησὶν, ἐς ῥοιῆς χυλὸν ἀλφίτων ἐπιπάσσουσα, τὸν μὲν γὰρ μοχθηρὸν χυμὸν ἐξήρανε τὸ ἄλφιτον, τὴν δὲ κοιλίαν ὁ τῆς ῥοιᾶς χυλὸς ἅμα αὐτῷ λαμβανόμενος ἐρώννυεν, ὡς ἀποτείνασθαι δυνάμενος τὸν ἐν τοῖς χιτῶσιν αὐτοῖς περιεχόμενον χυμόν. οὐκ ἁπλῶς δὲ τοῦ στόματος τῆς γαστρὸς δῆγμα, καρδιαλγίαν προσαγορεύουσιν, ἀλλὰ μόνον τὸ ὑπὸ δριμέων ὑγρῶν γινόμενον, ὅταν αὐτὸ τὸ στόμα ἐρεθίζηταί τε, καὶ ἀναδάκνηται, ὅπερ ἐν ταῖς λύπαις συμβαίνει· διὸ καὶ οἱ οὕτως διακείμενοι χολὴν ἐμοῦσιν, ὡς καὶ ἐνίοις ὑπέρχεται κάτω, καὶ ἡ γαστὴρ αὐτοῖς ἄκρατα χολώδη διαχωρεῖ. εὐλόγως δὲ ταῦτα, συμβαίνει. τὸ γὰρ στόμα τῆς γαστρὸς διὰ τὸ μέγεθος, ὧν ἔχει, νεύρων αἰσθητικῶν, οὐδὲν λανθάνει τῶν κατ' αὐτό. δακνόμενον οὖν ὑπὸ τοῦ πικροχόλου χυμοῦ, καρδιαλγίαν ἐργάζεται, διὸ καὶ χολώδης ἔμετος γίνεται, καὶ διὰ τοῦτο

GALENI COMMENTARIUS.

PRimum Epidemiorum librum magni Hippocratis tum sapientia, tum gloria dignum esse pronunciatum est; ut qui multa & magnopere utilia, & vera, & ad rerum artem medendi spectantium, tum inventionem, tum cognitionem complectatur. Quæ vero hoc secundo Libro continentur, propter rerum obscuritatem, brevitatem, & varietatem, adeo
B diversa, & ab invicem sejuncta sunt, ut non ab uno Hippocrate, aut Thessalo ejus filio conscripta esse videantur. Multa enim aliter alibi confusa sunt; multa quoque præter rationem inserta, quæque seriem cum sequentibus nullam sortiuntur. Quapropter non ad opus soluta oratione conscriptum, sed ad recordationem & memoriam magis hæc prope omnia congesta fuisse videntur. Censemus quoque hunc secundum Librum non ad editionem, quemadmodum primum & tertium ab Hippocrate conditum fuisse. Est enim ægro-
C tantium morborum & symptomatum connumeratio quædam, ut quum dicit; *Mulier cardialgiâ laborabat.* Est enim cardialgia morbus, quem & cardiogmum, hoc est, in ore ventriculi morsum vocitant. Enimvero quia cor venculi orificio adjacet, propterea quidam arbitrantur hunc affectum à corde ortum ducere à situ adstruentes. Quidam etiam vocabulo decepti cor morderi putant. Patet enim morsum sub sterni cartilagine fieri, cor autem in medio thorace constitui. Quod vero cor non solùm primum viscus (quod vitalis facultatis principium est) apud Veteres significet, verumetiam
D ventriculi orificium, virorum mediocriter eruditorum latere neminem auguror. Quandoquidem præter Medicos etiam Thucydides in secundo historiarum libro de peste scribens ita loquitur; Et quum in cor se insinuaverat, ipsum penitùs evertebat, & bilis excretiones omnes Medicis vocatæ sequebantur. In prorrhetico vero sic scribitur; *Cordis dolor cum præcordiorum contentione, & capitis dolore, malignam.* Quum enim pravi humores ventriculi orificium sibsidentes irrorant, nauseabundus homo redditur, & cordolio vexatur. Propterea boni remedii mulieri adhibiti nobis nunc memoriam redu-
E cit, quod & vomitum prohibuit, & stomacho robur addidit. *Pollis*, inquit, *hordeaceus in mali punici succum inspersus*; pravum enim humorem polenta exsiccavit; Ventriculum vero mali punici succus cum ipsa farina sumptus roborabat; ut cui facultas humorem ipsis tunicis contentum detergendi. At non oris ventriculi dolorem caldialgiam appellitant, sed eum duntaxat qui ab acribus humoribus concitatur, quum os ipsum proritatur, mordeturque; quod in mœroribus accidere consuevit. Quamobrem etiam sic affecti bilem evomunt, quæ & nonnullis per inferiora descendit, quorum venter sincera ac biliosa dejicit. At merito hæc eveniunt. Orificium nanque ventriculi propter nervorum quos habet sensibilium magnitudinem nihil eorum ipsi insidentium non percipit. Quum itaque ab acri humore bilioso mordetur, cardialgiam procreat, proindeque biliosus oritur vomitus. Eamobrem

prisci illius morsus cardiogmos & cardialgias vocitabant.

A οἱ παλαιοὶ τὰς δήξεις αὐτοῦ καρδιωγμοὺς, καὶ καρδιαλγίας ἐκάλουν.

Mutationes excrementorum vomitu aut secessu vacuatorum, si in melius fiant, auxiliari: si in deterius, perniciem portendere, qui boni, qui mali vomitus.

Τὰς τῶν περιττωμάτων μεταβολὰς διὰ τοῦ ἐμέτου ἢ διαχωρήσεως ἐκκεκρινομένων, εἰ μὲν εἰς βέλτιον γένονται βοηθεῖν, εἰ δὲ εἰς κακίω τὸν ὄλεθρον σημαίνειν. οἵτινες πονηροὶ, οἵτινες ἀγαθοὶ ἔμετοι.

HIPPOCRATIS TEXTUS II.

B *Mutationes auxiliantur, si non in deteriora mutentur, velut iis qui ab assumptis febrium gratia medicamentis, evomunt.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Αἱ μεταβολαὶ ὠφελέουσιν ἢν μὴ ἐς πονηρὰ μεταβάλλῃ· οἷον ἀπὸ φαρμάκων ἐμέουσιν πυρετῶν ἕνεκα.

GALENI COMMENTARIUS.

Quæ vomuntur, eorum mutationes in deterius ductæ, ut & in omni excrementorum genere improbantur. Etsi nanque bonum est hæc expelli, diversos tamen corporis affectus, & magnam naturæ perturbationem portendunt. Vomituum autem varietatem improbat quoque prorrhetici author hisce verbis; *Vomitus cum varietate malum, quum qui seorsum, tum qui prope invicem prodeunt.* Itaque mutationes excrementorum, quòd varios humores purgent, non omnino improbandæ sunt, nisi in deterius mutentur, & assiduè creentur, aut pessima signa, ut colliquationis & putredinis sortiantur, quemadmodum in prognostico his verbis disseruit; *Si vero quod vomitur porraceum, aut lividum, aut nigrum fuerit, quisquis horum colorum extiterit, is pravus esse vomitus existimandus est. Si vero omnes idem homo colores vomat, id jam perniciosissimum est. Celerrimam quoque mortem denuntiat vomitus lividus, si graviter oleat.* Quæ omnia eodem fere contextu in Coacis prænotionibus arguit, ubi scribit; *Porraceus autem vomitus, & niger, & lividus, malum; Si vero omnes etiam colores evomat idem homo, perniciosum.* Quod vero hîc de vomitibus loquitur, idem in aphorismis de alvi dejectionibus pronunciat; *In alvi profluviis excrementorum mutationes juvant, nisi in prava mutentur.* Et quemadmodum illic profluvia spontè oborta declarat: sic hîc de ipsis qui sponte cientur vomitibus, ipsi est oratio, quod ex consequentibus patet. Dicit enim; *velut iis qui ab assumptis ob febres medicamentis evomunt*; quod ipse in aphorismis dilucidè pronunciat; *Et quo plures colores deteriores fuerint, majus malum, cum medicamento, minus.* Non enim mirum est talia à medicamento educi.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ τῶν ἐμουμένων μεταβολαὶ, αἱ ἐπὶ τὰ κακίω γινόμεναι, ὡς καὶ ἐν παντὶ γένει περιττῶν, ψέγονται. εἰ μὲν γὰρ ἀγαθόν ἐστιν, ταῦτα ἐξωθεῖσθαι, ὅμως δὲ ποικίλας τοῦ σώματος διαθέσεις, καὶ μεγάλην τῆς φύσεως ταραχὴν σημαίνουσιν. τὴν δὲ τῶν ἐμέτων ποικιλίαν ψέγει, καὶ ὁ συγγραφεὺς τοῦ
C προῤῥητικοῦ ὡδέπως, καὶ ἔμετοι μετὰ ποικιλίας, κακὸν, ἄλλως τε, καὶ ἐγγὺς ἀλλήλων ἰόντων. αἱ τοίνυν μεταβολαὶ τῶν περιττωμάτων διὰ τὸ καθαίρεσθαι τοὺς ποικίλους χυμοὺς, οὐ πάντως μεμπτέαι, ἐὰν μὴ εἰς κακίω τρέπωνται, καὶ συνεχῶς γίνωνται, ἢ τὰ κάκιστα σημεῖα, ὡς συντήξεως, καὶ σηπεδόνος, ἔχοιεν· καθάπερ ἐν τῷ προγνωστικῷ διῆλθεν αὐτὸς, εἰπών, εἰ δὲ εἴη τὸ ἐμούμενον πρασοειδὲς, ἢ πελιὸν, ἢ μέλαν, ὅτι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὡυτὸς ἄνθρωπος ἐμέει,
D κάρτα ὀλέθριον ἤδη γίγνεται. τάχιστον δὲ θάνατον σημαίνει τὸ πελιὸν τῶν ἐμουμένων, εἰ ὄζοι δυσῶδες. ἅπερ ἅπαντα ψέγει κατ᾽ αὐτὴν σχεδὸν τὴν ῥῆσιν ἐν ταῖς κωακαῖς προγνώσεσι, ἔνθα γράφει, πρασοειδὴς δὲ ἔμετος, καὶ μέλας, καὶ πελιὸς, πονηρόν. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἐμέει, ὀλέθριον. ὃ δὲ ἐνταῦθα λέγει περὶ ἐμέτων, ἐν τοῖς ἀφορισμοῖς περὶ τῶν τῆς κοιλίας διαχωρημάτων φησὶν, ἐν τῇσι τῆς κοιλίης ῥύεσιν, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐπὶ πονηρὰ μεταβάλλῃ· καὶ ὥσπερ ἐκεῖ τὰς ῥύσεις τὰς αὐτομάτως γινομένας σημαίνει, οὕτως ἐνταῦθα περὶ τῶν ἐμέτων, καὶ
E αὐτῶν αὐτομάτως γινομένων ὁ λόγος αὐτῷ. ὃ ἐκ τῶν ἑπομένων δῆλόν ἐστι. λέγει γάρ· οἷον ἀπὸ φαρμάκων ἐμέουσι πυρετῶν ἕνεκα, ὅπερ λέγει αὐτὸς ἐν τοῖς ἀφορισμοῖς σαφῶς, καὶ ὁκόσῳ ἂν χρώματα πλείω πονηρότερα ᾖ, μᾶλλον κακὸν ξὺν φαρμάκῳ δὲ, ἄμεινον. οὐ γὰρ θαυμαστὸν, τοιάδε ἄγεσθαι ἀπὸ τοῦ φαρμάκου.

F Excreta mera vel pura vomitu, mictu, screatu & secessu educta postrema, prava ac perniciosa esse. Quid merum, quid commixtum.

Ἄκρατα ἀποκριθέντα ἢ ἀμιγέα διὰ τοῦ ἐμέτου τε καὶ ἀποχρέμψεως, καὶ διαχωρήσεως ἐξαχθέντα τελευταῖα πονηρὰ καὶ ὀλέθρια γίνεσθαι. τί ἄκρατον, τί συμμεμιγμένον.

HIPPOCRATIS TEXTUS III.

Postremæ vomituum in meraciora desinentes putredinem significant, quemadmodum Dexippo.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ ἐς ἀκρητέστερα τελευταὶ, σῆψιν σημαίνουσι, οἷον Δεξίππῳ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συνηθές ἐστιν Ἱπποκράτει, ἐν παντὶ τῷ περιττωμάτων γένει τὰ ἄκρατά τε, καὶ ἀμιγῆ ἀποδοκιμάζειν, καὶ τὰς ἀκράτους τῶν χυμῶν κενώσεις μοχθηρὰς εἶναι ἀποφαίνεσθαι. καὶ γὰρ ἐν τῷ προγνωστικῷ περὶ τοῦ πτυέλου γράφει τάδε, συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς, τῷ πτυέλῳ. εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοι τὸ ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς συμμεμιγμένον, κάκιον γίνεται. τὸ γὰρ μὴ συμμεμιγμένον, ἄκρατόν ἐστιν ὃ μέμφεται λέγων, τὸ γὰρ ξανθὸν, ἄκρητον ἐὸν, κινδυνῶδες· καὶ πάλιν, εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο ἐκείνων. ἀλλὰ καὶ ἐν τῷ προῤῥητικῷ λέγει τὰ ἐμέσματα ἄκρητα, ἀσώδεα, πονηρά. περὶ τῶν αὐτῶν, ὅτι πονηρά εἰσι, γράφει σαφῶς ἐν τῷ προγνωστικῷ, ἔνθα φησὶν, ἔμετος δὲ ὠφελιμώτατος, ὁ φλέγματος καὶ χολῆς συμμεμιγμένος, ὡς μάλιστα καὶ μὴ παχὺς κάρτα, μήτε πολὺς ἐμείσθω. οἱ γὰρ ἀκρατέστεροι κακίονες εἰσίν. ὁ καὶ ἐν τοῖς κωακαῖς κατασκευάζει γράφων οὕτως· ἔμετος δὲ ἀλυπότατος, φλέγματος, καὶ χολῆς συμμεμιγμένος, μὴ πολὺ δὲ κάρτα ἐμείσθω τὰ δὲ ἀκρατέστερα τῶν ἐμουμένων, κακίω. καὶ μετ' ὀλίγα, οἱ κατὰ μικρὰ ταχεῖς, χολώδεις, ἄκρητοι ἔμετοι, κακόν. ταῦτα γράφεται πρὸς αὐτοῦ καὶ περὶ τῶν ἀκράτων διαχωρημάτων πανταχοῦ. ἄκρατον δὲ λέγεται, τὸ ἀμιγὲς ἑτέρου, καὶ τὴν αὐτοῦ φύσιν διασωζόμενον εἰλικρινῆ· καὶ αὐτὸς ἐν τῷ προγνωστικῷ ἐδήλωσεν, ὁποῖόν τι καλεῖ τὸ ἄκρατον, ἀντιθεὶς αὐτῷ τὸ μεμιγμένον· καὶ γὰρ οἶνον ἄκρατον εἰώθαμεν λέγειν, ᾧ μὴ μέμικται τὸ ὕδωρ. καὶ τοῦτον τὸν τρόπον τῶν ἄλλων ἕκαστον ἄκρατον λέγεται, ὅταν αὐτὸ καθ' ἑαυτὸ μόνον ἑτέρας οὐσίας ἀμιγὲς εἴη. οὕτως ἄκρατα διαχωρήματα καλοῦμεν, τὰ μόνον ἕνα τῶν ἀποκρινομένων ἔχοντα χυμὸν, ἄμικτον ἑτέροις· ὥσπερ αὐτὸς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν καλεῖ τὰς ἀκρήτους ἐκκρίσεις, τὰς ἀκριβῶς χολώδεις ἃς καὶ ἀποδοκιμάζει· ἀεὶ γὰρ τὰς ἀνωμάλους ἁπάντων τῶν πάνυ διαφερόντων ἐπιπλοκὰς αὐτός τε ὁ Ἱπποκράτης μέμφεται, καὶ ἡ πεῖρα διδάσκει οὕτως ἔχειν. ζητήσειε δ' ἄν τις, πῶς ὑφ' Ἱπποκράτους λέγεται, ὅτι οἱ τελευταῖοι ἔμετοι ἀμιγεῖς, καὶ ἄκρητοι τὴν σῆψιν σημαίνουσιν, τῆς σωτηρίας μᾶλλον σημεῖα φαινομένου, ὅταν τὰ βλάπτοντα, καὶ τὰ ὕποπτα δύναται κενοῦσθαι. ἐν γὰρ τοῖς τριταίοις πυρετοῖς, τοῖς διαλείπουσιν, οὐ ῥᾳδίως τῆς ἀπυρεξίας αἰσθανόμεθα, μὴ τελέως ἀποτιθεμένης τῆς χολῆς, τῆς ὑπὸ τῶν ὑποχονδρίων τὴν νόσον τρεφούσης. τοῦτο δὲ οὔτ' εὐθὺς, οὔτ' ἐν τοῖς πρώτοις γίνεται ἐμέτοις, ἀλλὰ μᾶλλον ἐν τοῖς τελευταίοις. εἰ τὰ νῦν περὶ τῶν ἐμέτων λεγόμενα, ὅμοια εἰσὶ τοῖς ἐν τῷ προῤῥητικῷ περὶ τῶν ἀκράτων διαχωρημάτων εἰρημένοις, ἔνθα φησὶ, τὰ τελευτῶντα διαχωρήματα ἐς ἀφρώδεα ἄκρητα, παροξυντικά. οἷόν τε γάρ ἐστι, τὰς τελευταίας ἐκκρίσεις, αἳ τὰς νόσους σχεδὸν κουφίζειν μέλλουσιν, τοὺς παροξυσμοὺς τῶν νοσημάτων σημαίνειν, ὅτε εἰς κάκιον λήγουσιν· σημαίνουσι γὰρ μεγάλην τῶν χυμῶν ἀνωμαλίαν, καὶ μετὰ χρονίαν τῶν ὑγρῶν διὰ τῶν ἐμέτων ἀναγωγὴν τὰ τελευταῖα ἀκρατέστερα βεβαίας τῆς τῶν χυμῶν σήψεως αἰτίας ἐνδείκνυνται.

A

GALENI COMMENTARIUS.

Hippocrati consuetum est in omni excrementorum genere tum mera, tum minime mixta reprobare, ac meras humorum vacuationes esse pravas statuere. Etenim in prognostico de sputo hæc scribit; *Sputo admodum commixtam flavitiem conspici.* Si namque multo post doloris principium expuat quod flavum sit, aut fulvum, aut quod multam tussim excitet, neque valde commixtum, deterius exi- B stit. Quod enim commixtum non est, merum est; quod his verbis arguit; *Quod enim flavum merum est, periculosum.* Atque iterum, *Si vero fuerit ita merum, ut & nigrities conspiciatur, id illis gravius malum est.* Sed & in prorrhetico dicit; *Quæ vomuntur mera & nauseabunda, prava sunt.* De iisdem quod prava sint in prognostico dilucidè scribit, ubi hæc profert; *Vomitus is est utilissimus, qui ex pituita & bile commixtus est*, ut qui potissimum neque admodum crassus, neque copiosus evomitur. Meraciores nanque deteriores sunt. Quod C etiam in Coacis his scriptis confirmat: *Vomitus autem minime molestus est, quum pituita & bile permixtus sit, neque maxima copia vomatur.* Meraciores autem vomitus, deteriores. Et paulo post: *Brevi celeres, biliosi & sinceri vomitus, malum.* Eadem & ab ipso de meris dejectionibus ubique scribuntur. Cæterùm purum aut merum dicitur quod alteri commixtum non est, suamque naturam sinceram tuetur. Imò idem in prognostico declaravit quid sincerum vocet, quum mero opposuerit. Etenim merum vinum dicere consuevimus, cui aqua permixta non fuerit. Hocque modo cæ- D terorum unumquoque merum, purumve dicitur, quum ipsum per se solum alteri substantiæ commixtum non fuerit. Sic puras dejectiones vocamus, quæ unum solum humorem qui secerni queat, sortitæ fuerint, non commixtum cæteris. Quo pacto primo Epidemiorum ipse prorsus biliosas excretiones meras vocitat, quas etiam damnat. Semper enim inæquales rerum omnium admodum ad invicem discrepantium implicationes & ipse Hippocrates damnat, & ita rem sese habere docet experientia. Quæret autem aliquis qua ratione ab E Hippocrate pronunciatur postremos vomitus non mixtos & sinceros putrefactionem significare, quum potius saltem hujusmodi signum portendere videatur, quum & noxia & suspecta vacuari possint. In tertianis enim febribus intermittentibus apyrexicum non facilè percipimus, bile sub hypochondriis morbum fovente non planè expulsa. Hoc autem derepente non fit, neque in primis; sed magis in postremis vomitibus, si quæ nunc de vomitibus dicuntur, iis similia sunt, quæ in F prorrhetico de meris dejectionibus pronunciata sunt, ubi dicit; *Quæ dejectiones in spumosas meras desinunt, exacerbationes excitant;* fieri nanque patet ultimas excretiones morbos fere levaturas morborum accessiones significare, quod in deterius desinant. Magnam enim humorum inæqualitatem significant, & post diuturnam liquidorum per vomitus eductionem, quæ postrema vomuntur meraciora certas putrefactionis humorum causas produnt.

A

Quid alvus humidior, quid ſiccior? Profluvii alvi cauſæ. Tumorem omnem œdema appellari. Pruritus cauſæ. Serapidis diarrhœa, tumore nigro, & pruritu ſcabiei & lepræ comite laborantis interitus.

Τί ὑγροτέρα κοιλία, ἢ ξηροτέρα. τὰ τῶν διαχωρουμένων θᾶττον ὑπεξερχομένων αἴτια. τὸ οἴδημα τὸν ὄγκον ἅπαντα καλεῖσθαι. κνησμοῦ αἴτια. ἡ Σεράπιδος τῇ διαῤῥοίᾳ, καὶ ἀπόστημα μελανθὲν, καὶ κνησμὸν τῇ ψώρᾳ καὶ λέπρᾳ ἑπόμενον ἀπόλεια.

HIPPOCRATIS TEXTUS IV.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δʹ.

B

Serapis ex alvo humente intumuit. Pruritus autem haud ſcio, quod diebus non ultra progreſſi ſint. Ceneonem verò etiam quidam aſceſſus occupabat, qui nigrefactus interemit.

Ἡ Σεραπὶς ἐξ ὑγρῆς κοιλίης ὤδησε. κνησμοὶ δ' οὐκ οἶδα ποσαὶ, ἢ πρόσω. εἶχε δὲ καὶ ἀπόστημα ἐν κενεῶνι· ὅπερ μελανθὲν, ἀπέκτεινε.

GALENI COMMENTARIUS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Humidam alvum vocitat, à quo liquida dejiciuntur. Fit autem alvus quàm congruat humidior, quum alimentum liquefactum indigentiùs diſtribuitur. Contra vero ſiccior quum omnis hujus humiditas ad jecur advehitur. Itaque quæ dejiciuntur, celeriùs ſubducuntur interdum quidem ob bilis in ventrem defluentis, ipſiuſque ad ſeceſſum proritantis copiam; interdum verò tum retentrice ventris facultate imbecilliore, tum ventriculi & inteſtinorum excretrice robuſtiore facta. Intumuit ergo mulier. Conſuevit ipſe œdema vocare, omnem præter naturam tumorem. At pruritus pravi humoris eſt ſoboles. Eſt enim ipſius natura nitroſa & aliquantulum ſalſa aut amara. Unde illotis, ſordidis, non concoquentibus, & mali ſucci alimenta edentibus prurire contingit, ſcabie & lepra infectis frequentius. Cauſa patet, quòd in hujuſmodi affectibus humor exuberet, & craſſior exiſtat. Quum autem magna ſit crudorum humorum copia, abſceſſus oboriuntur, quorum parvi quidem non opitulantur, magni verò perimunt. Qualis erat Serapidis abſceſſus, qui niger & malignus factus ipſam interemit.

Ὑγρὰν κοιλίαν λέγει, ἀφ' ἧς ὑγρὰ διαχωρεῖται. γίνεται δὲ ὑγροτέρα τοῦ συμμέτρου ἡ γαστὴρ, ὅταν ἡ χυλωθεῖσα τροφὴ κατ' αὐτὴν ἐνδεέστερον ἀναδίδοται· ὡς πάλιν ξηροτέρα, τῆς κατ' αὐτὴν ὑγρότητος ἁπάσης εἰς τὸ ἧπαρ ἀναφερομένης. τὰ μὲν οὖν διαχωρούμενα θᾶττον ὑπέρχεται, ποτὲ μὲν διὰ τὸ πλῆθος τῆς καταῤῥεούσης εἰς τὴν γαστέρα χολῆς, ἥπερ ἐρεθίζει αὐτὴν εἰς ἀπόκρισιν· ἐνίοτε δὲ τῆς μὲν ἐν τῇ γαστρὶ καθεκτικῆς δυνάμεως ἀῤῥωστοτέρας γινομένης, τῆς δ' ἀποκριτικῆς ἐν αὐτῇ γε, καὶ τοῖς ἐντέροις ἰσχυρᾶς ὑπαρχούσης. ὤδησε γοῦν ἡ γυνή. εἴωθε δὲ καλεῖν οἴδημα αὐτὸς, τὸν παρὰ φύσιν ὄγκον ἅπαντα, ὁ δὲ κνησμὸς τῆς κακοχυμίας ἐστὶν ἔκγονος· ἔστι δὲ ἡ φύσις αὐτοῦ νιτρώδης, καὶ ἁλμυρά τις, ἢ πικρά. διὸ τοῖς ἀλουτοῦσι, καὶ ῥυπῶσι, καὶ ἀπεπτοῦσι, καὶ τροφὰς κακοχύμους ἐσθίουσι κνησιᾶν συμβαίνει, καὶ πολὺ δὲ μᾶλλον ἐν ψώραις τε, καὶ λέπραις. αἴτιον, ὅτι ἐν ταῖς τοιαύταις διαθέσεσι πλείων τέ ἐστι, καὶ παχύτερος ὁ χυμός. ὅταν δὲ τὸ πλῆθος ᾖ πολὺ χυμῶν ἀπέπτων, αἱ ἀποστάσεις γίνονται. καὶ τούτων αἱ μὲν μικραὶ, οὐδὲν ὠφελοῦσιν, αἱ δὲ μεγάλαι, ἀποκτείνουσιν. ὁποῖον ἦν τὸ τῆς Σεράπιδος ἀπόστημα· ὅπερ μελανθὲν, καὶ κακόηθες γενόμενον, ἀπέκτεινεν αὐτήν.

D

Unde ventris perturbatio, Cur Stymargi uxor poſt obortum intumuit.

Ὅθεν ἡ τῆς γαστέρος ταραχή. διὰ τί ἡ Στυμάργεω γυνὴ ἀπὸ φθορᾶς ὤδησεν.

HIPPOCRATIS TEXTUS V.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ εʹ.

E

Stymargi quoque uxor, ubi ventris perturbatio per paucos dies concitata, multopere conſtitiſſet, & ex abortu quadrimeſtris fœtus fœminei convaluiſſet, intumuit.

Καὶ ἡ Στυμάργεω ἐκ ταραχῆς ὀλιγημέρου πολλὰ στήσασα, καὶ παιδίου μετάστασιν θήλεος ἀπὸ φθορῆς τετράμηνον ὑγιήνασα, ὤδησε.

GALENI COMMENTARIUS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Perturbatio ex copioſis eduliis oboritur; aliis quidem ventrem mordentibus, aliis vero flatus concitatibus. Nonnunquam etiam ex partibus compoſitis facultate pugnantibus; quarum illæ quidem ventrem excitant; hæ vero morantur. Sed & flatus & dolor, aut febris vehemens, aut rheuma, aut hæmorrhagia aut mœror, aut ira, hoc idem præſtant. Unde tanquam ex diuturna ſeditione pueruli abortus accidit. Nam probabile eſt hujuſmodi mulieri mucoſa fuiſſe vaſorum ad uterum pertinentium oſcula, ex quibus ſecundinæ pendent. Quia vero non ſatis abundè purgata eſt, jure poſt abortum intumuit.

F

Ἡ ταραχὴ ἐπὶ πολλαῖς τῶν ἐδεσμάτων, τῶν μὲν δακνόντων τὴν γαστέρα, τῶν δὲ φυσώντων, καὶ ἐνίοτε ἐκ μαχομένων ταῖς δυνάμεσι μερῶν συγκειμένων· ὧν τὰ μὲν ἐρεθίζει, τὰ δὲ ἐπέχει τὴν γαστέρα. ἀλλὰ καὶ τὸ πνεῦμα, καὶ ὀδύνη, ἢ πυρετὸς σφοδρὸς, ἢ ῥεῦμα, ἡ αἱμοῤῥαγία, ἢ λύπη, ἢ θυμὸς, ἢ φόβος ταυτὸ τοῦτο ποιεῖ. ὅθεν ὥσπερ ἐκ τῆς πολυχρονίας στάσεως τὸ ἔκτρωμα τοῦ παιδίου γεγένηται. εἰκὸς γὰρ καὶ τῇ τοιαύτῃ γυναικὶ μυξώδη τὰ στόματα τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων ὑπάρξαι, ἐξ ὧν ἤρτηται τὸ χόριον. ἐπεὶ δὲ μετὰ τὴν ἔκτρωσιν οὐκ ἀρκούντως ἐκαθάρη, εὐλόγως ὤδησεν.

A

Περὶ τοῦ λίθου, καὶ τῆς κριθῆς ἀφ' ὧν Μόσχος διετέθειται. ἡ λίθου γένεσις, καὶ τὸ αἴτιον. τί κριθή;

De calculo & hordeolo quibus Moschus affectus est. Calculi generatio, & causæ. Quid hordeolum?

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Μόσχῳ λιθιῶντι ἰσχυρῶς, ἐπὶ τῷ βλεφάρῳ τῷ ἄνω κριθὴ ἐγένετο πρὸς τοῦ ὠτὸς μᾶλλον. ἔπειτα ἐξηλκώθη ἔσω. πέμπτῃ καὶ ἕκτῃ ἔσωθεν πύον ἐρράγη, τὰ κάτωθεν ἔλυσε. βουβὼν παρ' οὓς ἦν καὶ κάτω ἐπὶ τῷ τραχήλῳ κατ' ἴξιν τοῦ ἄνω βουβῶνος. B

HIPPOCRATIS TEXTUS VI.

Mosco calculo vehementer laboranti, superiori palpebræ hordeolum ad aurem magis ortum est. Deinde intus exulceratum fuit. Quinto & sexto die ex interioribus pus erupit, ac inferiores affectus solvit. Glandularum ad aures tumor aderat, ac infernè cervici insidebat, alter è directo superioris tumoris.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐδείχθησαν οἱ λίθοι γινόμενοι κατ' ἐκεῖνα τοῦ σώματος, ἐν οἷς ἂν συναχθῇ πάχος τῶν χυμῶν, πυρώδει θερμότητι. ὡς καὶ πολλοὺς ὁρῶμεν διὰ τὸ ἀδδηφαγεῖν, πλεῖστον ἀθροίζειν τὸν ἰδίως ὀνομαζόμενον ὠμὸν χυμόν· ἐξ οὗ ῥᾳδίως ὁ λίθος γίνεται· ὅπερ ἐν τοῖς παιδίοις μάλιστα συμβαίνει, ὅτι θερμότερα· ὡς αὐτὸς ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν φησίν, οὐροῦσι γὰρ παχέα, καὶ τὸ πάχος τοῦτο συνιστάμενόν τε, καὶ ἀθροιζόμενον, ὅταν μὴ κατὰ τὸν προσήκοντα χρόνον ἐκκενωθῇ, καὶ ἔνδον πολλὸν μένῃ, συνίσταταί τέ πως, καὶ πήγνυται. ἀρχῆς δὲ ταύτης γινομένης, τὸ λοιπὸν παχὺ, ὅσον εἰς τὴν κύστιν ἀφικνεῖται, προσπλάττεται τούτῳ, καὶ γίνεται λίθος. οὕτω δὲ καὶ τὸ γάλα, παχὺ ὄν, πρὸς λίθου γένεσιν ἐπιτήδειον νομίζεται. ἀλλὰ καὶ τὰ παχύχυμα πάντα εἰς τὴν τῶν λίθων γένεσιν συντείνει· μάλιστα δὲ ἐν τοῖς γέρουσι. ἐμφράττεται γὰρ ἐξ αὐτῶν ἧπάρ τε, καὶ σπλὴν, καὶ νεφροί. κἀντεῦθεν οἱ μὲν ὑδεριῶσιν, οἱ δὲ λιθιῶσι τῶν ἐπὶ πλέον αὐτοῖς χρησαμένων γερόντων. κριθὴ δέ ἐστιν ἀποστημάτιον κατὰ τὸν τοῦ βλεφάρου ταρσὸν ἐπιμηκές· τινὲς δὲ τὰς κριθὰς καὶ ποσθίας καλοῦσιν.

GALENI COMMENTARIUS.

Calculos illis in corporibus procreari demonstratum est, in quibus humorum crassamentum igneo calore concretum fuerit. Quare multos intuemur ob edacitatem, quem propriè crudum humorem nominamus, plurimum accumulare, ex quo calculus generatur. Quod maximè pueris accidit qui calidiores existunt; quemadmodum ipse sexto Epidemiorum pronunciat: *crassa nanque meiunt.* Idque crassamentum si consistat & accumuletur, quum decenti tempore non excernatur, & intus copiosum maneat, cogitur, concrescitque. Hoc autem orto principio, residuum crassum quodcunque in vesicam appellat, isti adhærescit, creaturque calculus. Ita vero lac quoque crassum ad calculi procreationem idoneum existimatur. Imo & quæcunque crassos humores gignunt ad calculorum jecur, tum lien & renes, obstruuntur. Hincque senum alii in hydropem, alii in calculum labuntur qui his plenius usi sint. Hordeolum autem est exilis abscessus oblongus palpebræ cilio obortus. Hujusmodi hordeola etiam posthias vocitant. C D

Ἀῤῥώστου ἱστορία τοῦ ἐκ τῆς ὁδοῦ ταλαιπωρείας εἰς τὸν καῦσον, καὶ τερμίνθους, καὶ τὰς παρωτίδας προσπεπτωκότος. τί ὁ τέρμινθος, τί πυρετὸς συνεχής;

Ægroti historia qui ex itineris labore in febrem ardentem, terminthos & parotidas incidit. Quid terminthus; quid febris continua.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'. E

Ὁ τῆς Ἀρισταίου γυναικὸς ἀδελφὸς χλιαινόμενος ἐπ' ἀλαιπωρίῃ ὁδοῦ, κἄπειτα ἐν κνήμῃ τέρμινθοι ἐγένοντο· ἔπειτα συνεχὴς πυρετὸς ἐγένετο, καὶ τῇ ὑστεραίῃ ἱδρὼς ἐγένετο, καὶ τὰς ἄλλας τὰς ἀρτίους ἐγένετο ἀεί. ἔτι δὲ ὁ πυρετὸς εἶχεν. ἦν δὲ σπληνώδης, αἱμορραγεῖ δὲ ἐξ ἀριστεροῦ πυκνά, καὶ κατ' ὀλίγον ἐκρίθη. τῇ ὑστεραίῃ, ἀριστερὸν παρ' οὖς οἴδημα. τῇ δὲ ὑστέρῃ καὶ παρὰ δεξιόν. ἧσσον δὲ τοῦτο. καὶ ἐπεχλιαίνετο. ταῦτα κατεμωλύνθη, καὶ οὐκ ἀπεπύησεν. F

HIPPOCRATIS TEXTUS VII.

Aristæi uxoris frater de via fessus incaluit; deinde terminthi in tibia creati sunt. Postea continua febris oborta est; postridieque sudor, qui aliis quoque diebus paribus semper manabat. Febris etiamnum detinebat. Erat autem lienicus, sanguis ex nare sinistra crebro fluxit, & paulatim judicatus est. Postridie secundùm sinistram aurem tumor, sequenti die etiam secundùm dextram subortus est, sed hic minor qui intepescebat. Hi evanuerunt, nec suppurarunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν τερμίνθων μέμνηται αὐτὸς ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ὧδέ πως· οἱ αἱμορροΐδας ἔχοντες, οὔτε πλευρίτιδι, οὔτε περιπνευμονίῃ, οὔτε φαγεδαίνῃ, οὔτε δοθιῆσιν, οὔτε τερμίνθοισιν, ἁλίσκονται. καὶ ἡ αὐτὴ ῥῆσις κἀν τῷ περὶ χυμῶν ἐπὶ τῷ τέλει τοῦ βιβλίου γέγραπται, καὶ ἡμεῖς ἐκεῖ εἰρήκαμεν, τὸ τῶν τερμίνθων ὄνομα

GALENI COMMENTARIUS.

Terminthorum ipse meminit sexto Epidemiorum his verbis; *Quibus sunt hæmorrhoides, ii neque pleuritide, neque peripneumonia, neque phagedæna, neque furunculis, neque terminthis corripiuntur.* Eadem quoque oratio etiam in libro de humoribus prope finem scripta est, nosque ibi diximus terminthorum nomen, nigra

nigra quædam tubercula præsertim in tibiis enascentia prodere, à figuræ, coloris & magnitudinis similitudine, quam cum terebinthi fructu sortitur, originem duxisse. Consuevit autem ipsis insidere superior & inferior pustula nigra, qua rupta, quæ subjacent desquamatis similia conspiciuntur, quibus separatis pus invenitur. Alii dicunt terminthos esse quasdam eminentias in cute consistentes, rotundas, & nigrovirides terminthi fructibus similes. At ex itineris labore hic homo incaluit, & assidua febris oborta est. Assiduam appellat febrem quæ ad integritatem non cessat, nisi prorsus soluta sit, etiamsi aliqua manifesta declinatio appareat. Quum vero declinatio manifesta non est, sed semper à primo principio adusque crisin eodem modo permanet, generis est febrium ardentium, sed ab ipsis acutie differt. Est enim febris & biliosa, & ardens, & peracuta. Earum autem differentias & nomina in nostris habes operibus, tum de febribus, tum de crisibus. Rationi quidem consonum est subsplenico existenti crebro è nare sinistra sanguinem erupisse, naturâ rectè sanguinis fluxum dirimente; proindeque excretio facta est. Ad quod tendit etiam tumor, primùm quidem, ad sinistram secundo ad dextram. Dicit igitur hos tumores molles evasisse, hoc est, evanuisse, paulatimque marcuisse. Sic enim vocat celeris motus & mutationis cessationem & coctionem, propatereaque ad suppurationem non pervenerunt, ut etiam in Epidemiis scriptum est. Crisis simul facta est; celeriùs ad statum pervenit, ad humoris mutationem molle factum est. Atque in prorrhetico mollia facta brevi solutionem demonstrant.

A εἶναι δηλωτικὸν μελαίνων τινῶν ἐκφυμάτων, ἐν ταῖς κνήμαις μάλιστα γινομένων, ἀπὸ τῆς ὁμοιότητος τῆς κατὰ σχῆμα, καὶ χρόαν, καὶ μέγεθος τῷ καρπῷ τῆς τερμίνθου γεγονός. εἴωθε δὲ ἐπικεῖσθαι αὐτοῖς ἄνω κάτω φλύκταινα μέλαινα, ἧς ἐκραγείσης τὰ ὑποκάτω ὅμοια ἀποπεπυρωμένοις φαίνεται. τούτων δὲ διαιρεθέντων, τὸ πύον εὑρίσκεται. ἄλλοι δέ φασι, τερμίνθους εἶναι ὑπεροχάς τινας, ἐπὶ τοῦ χρωτὸς συνισταμένας, στρογγύλας, μελανοχλώρους, τοῖς καρποῖς τῆς τερμίνθου ἐοικυίας. ἐκ δὲ ταλαιπωρίας τῆς ὁδοῦ ἐθερμάνθη ὤνθρωπος οὗτος, καὶ συνεχὴς ἐγένετο πυρετός. B συνεχῆ δὲ πυρετὸν λέγει, τὸν εἰς ἀπυρεξίαν, πλὴν τελέως λυθῆναι, μὴ παυόμενον, κἂν παρακμή τις αἰσθητὴ φαίνηται. ὅταν δὲ μηδὲ παρακμή τις αἰσθητή, ἀλλὰ παντὸς δὲ ἀπὸ πρώτης ἀρχῆς ἄχρι κρίσεως ὁμοίως διαμένει, γένους ἐστὶ τῶν καυσωδῶν πυρετῶν, ἀλλὰ διενήνοχεν αὐτῶν τῇ ὀξύτητι. ἔστι γὰρ καὶ χολώδης, καὶ περικαής, καὶ κατόξυς. τὰς δὲ διαφορὰς αὐτῶν, καὶ τὰ ὀνόματα ἔχεις ἐν ταῖς ἡμετέραις περὶ τῶν πυρετῶν τε, καὶ κρίσεων πραγματείαις. εὔλογον μὲν, ὄντα ὑποσπλήνιον, αἱμορραγῆσαι πυκνὰ ἐξ ἀριστεροῦ, τῆς φύσεως C ὀρθῶς τὴν τοῦ αἵματος ῥύσιν διοικούσης· διὸ καὶ ἐκρίθη εἰς ὃ συντείνει, καὶ τὸ περὶ τοῦ οἴδημα, πρότερον μὲν περὶ ἀριστερὸν, δεύτερον δὲ καὶ παρὰ τὸ δεξιόν. φησὶ γοῦν ὅτι ταῦτα κατεμαλάχθη, τουτέστι, ἠφανίσθη, καὶ κατὰ βραχὺ ἀπεμαράνθη. οὕτως γὰρ καλεῖ τὸ τῆς ὀξείας κινήσεως, καὶ μεταβολῆς παυσάμενον, καὶ ἀποψυχθέν, καὶ διὰ τοῦτο οὐκ ἀποπυούμενον, ὡς καὶ ἐν ταῖς ἐπιδημίαις γέγραπται. συνεκρίθη, συνέστη ὀξύτερον, κινηθὲν ἐμαλάχθη, καὶ ἐν τῷ προρρητικῷ, τὰ καταμαλαχθέντα τὴν κατὰ βραχὺ λύσιν ἐν-
D δείκνυσθαι.

Nuncio splenetico modicè febricitanti testis sinistri tumor accidit. Cur? Quid sputum floridum, quid facies florida & rubra? Copiæ sanguinis signum.

Ἀγγέλῳ τῷ σπληνητικῷ ὀλίγον πυρεταίνοντι ὄρχις ἀριστερὸς ᾤδησε. διὰ τί. τὸ πτύσμα ὑπανθηρόν. τὸ πρόσωπον ἀνθηρὸν καὶ ἐρυθρόν. τὸ πλήθους αἵματος σημεῖον.

HIPPOCRATIS TEXTUS VIII.

Qui ab Alcibiade venerat, ipsi ex modicis febribus ante judicationem testis sinister intumuit (habebat autem magnum lienem;) & sanè tunc illi febris die vigesimo judicata est. Deinde aliàs atque aliàs subincalescebat, & subfloridum conspuebat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

E Ὁ παρ' Ἀλκιβιάδεω ἐλθὼν ἐκ πυρετῶν ὀλίγων πρὸ κρίσιος, ὄρχις ἀριστερὸς ᾤδησεν· ἦν δὲ σπλῆνα μέγαν ἔχων, καὶ δὴ τότε ἐκρίθη ὁ πυρετὸς, εἰκοσταῖος. κἄπειτα ὑπεχλιαίνετο ἄλλοτε, καὶ ἄλλοτε, καὶ ἔπτυεν ὑπανθηρόν.

GALENI COMMENTARIUS.

Testiculi sinistri tumor ex iis esse censetur qui è directo creantur, ut etiam in splenetico ex læva hæmorrhagia. Aliquatenus vero floridum dicit quod subcruentum est, quemadmodum & florida sputa vocantur rubra & subcruenta. Etiam facies florida ruborem & subrubrum significat, & sanguinis copiam demonstrat. Floridos quoque in prorrhetico nominavit, quos prærubros vocaverat. Hoc autem signum fuerit plenitudinis cum calore in capite cumulatæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ τοῦ ὄρχεος ἀριστεροῦ οἴδησις νομίζεται ἐκ τῶν κατ' ἴξιν γινομένων· ὡς καὶ ἐν τῷ ὑποσπληνίῳ ἡ ἐκ τοῦ ἀριστεροῦ αἱμορραγία. ὑπανθηρὸν δὲ λέγει τὸ ὕφαιμον, καὶ ὑπέρυθρον, καθάπερ καὶ ἀνθηρὰ πτύσματα καλεῖται F τὰ ἐρυθρὰ, καὶ ὕφαιμα, καὶ πρόσωπον ἀνθηρὸν, καὶ ἐρύθημα, ὑπέρυθρον σημαίνει, καὶ πλῆθος αἵματος ἐνδείκνυται, καὶ ἀνθηροὺς ὠνόμασεν αὐτοὺς ἐν τῷ προρρητικῷ οὓς καὶ ἐξερύθρους ἐκάλεσεν. σημεῖον δ' ἂν εἴη τοῦτο τοῦ κατὰ τὴν κεφαλὴν πλήθους ἠθροισμένου μετὰ θερμότητος.

A

Απινα παθήματα τῇ παρθένῳ προσήνεγκεν ἡ τῶν καταμηνίων ἐπίσχεσις, τὴν βῆχα, καὶ τὴν παραπληγίαν, ταῦτα λύει ἡ τῶν γυναικείων καταῤῥῆξις. τί ἡ παραπληγία;

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ΄.

Η Χεὶρ ἡ δεξιὴ, σκέλος δὲ ἀριστερὸν ἐκ τῶν βηχωδέων βραχὺ οὐκ ἄξιον λόγου βηξάσῃ, παρελύθη παραπληγικῶς. ἄλλο δὲ οὐδὲν ἠλλοιώθη οὔτε πρόσωπον, οὔτε γνώμην, οὐ μὴν ἰσχυρῶς ταῦτα. ἐπὶ τὸ βέλτιον ἤρξατο χωρέειν, περὶ εἰκοστὴν ἡμέραν, σχεδὸν ἐγένετο ἡ περὶ γυναικείων καταῤῥῆξις, καὶ ἴσως τότε πρῶτα γενόμενα· παρθένος γὰρ ἦν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν τὰ τοῦ θώρακος ἄνω πάσχῃ κατὰ τὸ πρῶτόν τε, καὶ δεύτερον μεσοπλεύριον, τότε αἱ χεῖρες εἰς συμπάθειαν ἔρχονται, νεύρων εἰς αὐτὰς ἀφικνουμένων ἐκ τούτων τῶν μεσοπλευρίων, οὕτως καὶ Πυθίωνι ἀκηκόαμεν κατ' ἄλλον λόγον, ὅτι διὰ τὰ πτύελα ποικίλα ἤρξατο τρόμος ἀπὸ χειρῶν, καὶ τοῦτο εὐλόγως. τρόμου γὰρ αἰτία ἐστὶν ἡ ἀρρωστία τῆς κατὰ τοὺς μῦς δυνάμεως. πεπονθότων δὲ τῶν ἄνω τοῦ θώρακος μερῶν, ἅπερ τῶν τοῦ τραχήλου σπονδύλων ἅπτεται, καὶ ἀφ' ὧν αἱ χεῖρες κινοῦνται τῷ βάρει τῶν ὑγρῶν βαρυνόμεναι αἱ χεῖρες, πρὸς τὰς ἐνεργείας ἐγένοντο ἀνεπιτήδειοι· καὶ χρονία βὴξ τῶν πολλῶν ἀποστάσεων ἔκγονός ἐστιν, ἐπειδὴ βῆχες κοπιώδεες, ὥς φησιν Ἱπποκράτης, καὶ εἰς ἄρθρα στηρίζονται, ἢ εἰς τὰς χεῖρας, ἢ τοὺς μηρούς, ἢ τὰ σκέλη, ἢ τὴν ὀσφῦν ἢ τοὺς ὄρχεις, καθάπερ φησὶν αὐτὸς ἐν τῷ ἕκτῳ τῶν Ἐπιδημιῶν· οἱ μὲν οὖν ἢ φωνῇσι πλέον ταλαιπωρήσαντες, ἢ ῥιγώσαντες, εἰς κυνάγχας μᾶλλον ἐτελεύτων· οἱ δὲ τῇ χειρὶ πονήσαντες, εἰς χεῖρας μόνον παραπληγικοί· οἱ δὲ ἱππεύσαντες, ἢ πλείω ὁδοιπορήσαντες, ἢ ἄλλως τοῖσι σκέλεσι ταλαιπωρήσαντες, τουτέοισι δὲ ἐς ὀσφῦν, ἢ σκέλεα ἀκρασίαι παραπληγικαί, καὶ εἰς μηρούς, καὶ κνήμας κόπος, καὶ πόνος. σκληρόταται δὲ, καὶ βιαιόταται, αἱ ἐς τὰ παραπληγικὰ ἄγουσαι. ἀλλὰ καὶ ἡ μακρὰ βὴξ λήγει ποτὲ κατ' ἀπόστασιν τὴν εἰς ὄρχεις γινομένην, διὰ κοινωνίαν τῆς φύσεως τῶν μορίων, τοῦ τε θώρακος, καὶ τῶν τῆς γονῆς ὀργάνων, κατὰ τοῦτον τὸν λόγον καὶ ὁ ὄρχις οἰδήσας ἀπὸ βηχῶν ἐστιν ὑπόμνημα κοινωνίας στήθεσι, μαζοῖς, γονῇ, ὑστέρᾳ, ὡς κἀν τῷ περὶ χυμῶν λέγεται. παραπληγικῶς δὲ εἶπε νῦν, ὃ ἐν τῷ προῤῥητικῷ παραπληκτικὸν τρόπον γέγραπται. παραπληγίας μὲν καλεῖ, τὰς ἐξ ἀποπληξίας εἴς τι μόριον κατασκηπτούσας παραλύσεις. φαίνεται γὰρ παραπληγία τοιοῦτον πάθος ὑπάρχειν ἑνὸς μορίου τοῦ σώματος, ὁποῖόν ἐστιν ἡ ἀποπληξία τοῦ παντὸς σώματος. πάθος ἐὰν γὰρ ὅλον πάθῃ ποτὲ τὸ πρόσθιον ἐγκεφάλου, συμπάσχειν μὲν ἀναγκαῖόν ἐστι, καὶ τὰ περὶ τὴν ὑψηλοτάτην αὐτοῦ κοιλίαν, καὶ βλάπτεσθαι τὰς διανοητικὰς αὐτῶν ἐνεργείας. ὁ δὲ ταῦτα πάσχων ἄνθρωπος κεῖται ἀναίσθητός τε, καὶ ἀκίνητος. οὐ βλάπτεται δὲ εἰς τὴν ἀναπνοήν, τὸ δὲ πάθος τοῦτο καλεῖται κάρος. ἄλλο δὲ πάθος, ὅπερ ἀποπλη-

Quos affectus virgini attulit menstruorum suppressio, tussim & siderationem; eos solvit menstruorum eruptio. Quid paraplegia?

HIPPOCRATIS TEXTUS IX.

Quæ ex tussi paucum, nihilque effatu dignum rejiciebat, huic manus dextra & crus sinistrum siderata & resoluta sunt; alia vero nulla re, neque facie, neque mente alterata est, ac ne illis
B
quidem partibus admodum. Ad vigesimum diem in melius cœpit procedere; quod fere circa menstruorum eruptionem contigit, ac tunc fortassis primùm appatuerant; erat enim virgo.

GALENI COMMENTARIUS.

Quum superiores thoracis partes ad primum & secundum costarum interstitium afficiuntur, tum manus in consensum veniunt, nervis ad ipsas ex mesopleuriis procedentibus. Atque ita Pythioni alia quidem ratione contigisse accepimus, quod nimirum propter
C
sputa diversa cœperit eum tremor manibus, idque jure. Tremoris siquidem causa est facultatis musculorum motricis infirmitas. Quare affectis superioribus thoracis partibus quæ cervicis vertebris committuntur, & à quibus manus moventur, hæ manus humorum pondere gravatæ ad suas functiones obeundas inutiles reddebantur. Etenim diuturna tussis multorum abscessuum est soboles, quoniam tusses laboriosæ, ut loquitur Hippocrates, aut in articulis, aut in manibus, aut cruribus, aut fœ-
D
moribus, aut lumbis, aut testibus stabiliuntur, quemadmodum ipse Sexto Epidemiorum pronunciat. Qui igitur ex immoderatiore vocis contentione lassati sunt, aut rigore correpti in anginas magis desinebant. Qui vero manibus operabantur in manuum duntaxat paraplegias concidebant. Qui vero equitatu lassi, aut nimiopere de via fessi, aut qui alio modo cruribus laboraverant, his in lumbis aut cruribus impotentiæ paraplegicæ decumbebant, ac femoribus ac tibiis tum lassitudo, tum dolor in-
E
sidebat. At intemperantiæ durissimæ ac vehementissimæ insiderationes, seu paraplexias ducunt. Sed & longa tussis desinit interdum in abscessum qui in testibus procreatur, propter naturalem partium, & thoracis, & genitalium organorum communionem. Qua etiam ratione testis à tussi tumore obsessis cum pectore, mammis, genitalibus partibus & utero, societatis monumentum est, ut & in Libro de humoribus dicitur. Paraplegicè hîc pronunciat, quod in prorrhetico paraplectico modo scriptum est. Paraplegias quidem vocat eas paralyses quæ
F
ex apoplexia in partem aliquam decumbunt. Paraplegiam nanque unius partis corporis affectum talem esse constat, quelis est totius corporis affectus apoplexia. Nam si tota pars anterior cerebri afficiatur quæ supremum ipsius ventriculum ambiunt partes, eas simul affici necesse est, & intellectiles earum actiones lædi. Qui autem, hæc homo patitur, is tum sensus, tum motus jacet orbus, illæsa tamen respiratione. Alius autem affectus est qui apo-

plexia nuncupatur, qui respirationem tam vehementer lædit, ut vix magna vi respirare queas. Paraplegia vero sæpe apoplexiæ solutione succedit. At utrunque tum carum, tum apoplexiam quodammodo media interjacet epilepsia, quæ tamen in paraplegiam non desinit. Et vero horum trium morborum causa humor est frigidus, & crassus, aut omnino viscosus, qui præcipuos cerebri ventriculos replet & obstruit. Non igitur mirandum est, si manus aut cruris paralysis hac in muliere creata sit, quæ non satis commode expurgata fuerat, quod in prima muliebrium eruptione judicatum est.

Cibi & potus copiam doloris renum causam esse.

HIPPOCRATIS TEXTUS X.

Apemantus & fabri illius qui caput ejus fregit pater, & Nicostratus, nihil quicquam extussiebant; Erant autem alibi circa renes dolores. Ad interrogata dicebant ipsos semper potu & cibo impleri.

GALENI COMMENTARIUS.

De Apemanto & Fabro & Nicostrato idem dicit in quarto Epidemiorum, quorum dolores in ano, & dextro ceneone, & paulo infra umbilicum enarrat, quibus alia multa adjungit. In præsenti verò Apemanto pronunciat cibi & potus copiam morbi causam extitisse. Ideo scriptum est in Epidemiis graves & acerbos dolores renibus insidere; quum cibo replentur; sed eos solvi, quum vacuantur cibis. Idque merito. qui nanque ob cibum renibus dolor oboritur, quod excrementorum tum copia, tum pondere premantur graventurque, quamprimum, simul atque hæc per inferiora dejecta fuerint, quiescit, cessatque prorsus.

Consilium quo hortatur Medicos ut dolorum differentias discant, qui multi ac diversi sunt ab ægris sæpius percipiendi. Quæ sit perceptorum utilitas.

HIPPOCRATIS TEXTUS XI.

Dolores vehementissimos conspicatus quidam quomodo dignoverit, terror, tolerantia, experientiæ, & animi angustiæ indicant.

GALENI COMMENTARIUS.

Hæc oratio tota consultoria est. Hortatur enim dolorum differentias ac species nosse Medicum decere, nosque dolorum & tempora & circunscriptiones dignoscere, ut etiam sexto Epidemiorum imperat. Dolorum autem genus & vehementia ex facili aut difficili tolerantia, experientia, vel timore dignoscitur. Itaque dolorum differentiæ ab ipsis ægrotis accipiendæ sunt. Quidam enim tanquam ab acu se pungi credunt; alii vero ut à terebro admodum perforari; alii frangi & contundi,

A ξία προσαγορεύεται, τὴν ἀναπνοὴν βλάπτει οὕτως ἰσχυρῶς, ὡς μετὰ πολλῆς βίας ἀναπνεῖν μόγις. ἡ δὲ παραπληγία πολλάκις τὴν τῆς ἀποπληξίας λύσιν διαδέχεται. ἐν τῷ μέσῳ δέ πως ἀμφοῖν τοῦ τε κάρου, καὶ τῆς ἀποπληξίας ἐστὶν ἡ ἐπιληψία, οὐ μὴν εἰς παραπληγίαν τελευτῶσα. ὁ μὲν οὖν χυμὸς τῶν τριῶν τούτων νοσημάτων αἴτιος, ψυχρὸς, καὶ παχὺς, ἢ πάντως γε γλισχρός ἐστιν. * * * * *
οὐ γοῦν θαυμαστὸν, εἰ τῆς χειρὸς, ἢ σκέλεος παράλυσις ἐγένετο ἐν τῇδε τῇ γυναικὶ, εἴπερ μὴ ἐπιτηδείως ἐκκα-
B θαίρετο, ἣ κατὰ τὴν πρώτην τῶν γυναικείων καταῤῥῆξιν ἐκρίθη.

Τὸ σίτου καὶ ποτοῦ πλῆθος τοῦ τῆς ὀδύνης τῶν νεφρῶν αἴτιον εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ί.

Ἀπημάντος, καὶ ὁ τοῦ τέκτονος πατὴρ τοῦ τὴν κεφαλὴν καταγλύπης, καὶ Νικόστρατος οὐκ ἐξέβναπεν· ἦν
C δὲ ἑτέρωθι κατὰ νεφροὺς ἀλγήματα, ἐρωτήματα, ἤρεον γὰρ αὐτοὺς ἀεὶ πληροῦσθαι ποτοῦ, καὶ σίτου.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τοῦ Ἀπημάντου, καὶ τέκτονος, καὶ Νικοστράτου λέγει αὐτὸς ἐν τῷ τετάρτῳ τῶν ἐπιδημιῶν, ὧν τὰ ἐν τῇ ἕδρᾳ ἀλγήματα, ἐν τῷ δεξιῷ κενεῶνι, καὶ παρὰ τὸν ὀμφαλὸν κάτωθεν ὀλίγον διηγεῖται, καὶ ἄλλα πολλὰ προστίθησι. ἐν δὲ τῷδε τῷ Ἀπημάντῳ φησὶ τὸ πλῆθος τοῦ ποτοῦ, καὶ σίτων αἰτίαν τοῦ νοσήματος γεγονέναι. διὸ γέγραπται ἐν ταῖς ἐπιδημίαις, ὀδύνας βαρείας εἰς νεφρὸν, ὅταν πληρῶν-
D ται σίτου, λύεσθαι δὲ, ὅταν σιτίων κενωθῶσι· καὶ τοῦτο εὐλόγως. ἡ μὲν γὰρ διὰ τὸν σῖτον γινομένη ὀδύνη κατὰ τοὺς νεφροὺς ἐπὶ τὸ θλίβεσθαί τε, καὶ βαρύνεσθαι πρὸς τοῦ πλήθους τε, καὶ βάρους τῶν περιττωμάτων, εὐθέως ἅμα τῷ διαχωρεῖσθαι κάτω ταῦτα, καθίσταταί τε, καὶ παύεται τελέως.

Συμβουλία καθ' ἣν παραινεῖ τοὺς ἰατροὺς ὡς τὰς ὀδυνῶν διαφορὰς γνῶναι, τῶν πολλῶν καὶ ποικίλων οὐσῶν, τῶν παρὰ τῶν καμνόντων πολλάκις ἀκοῦσαι δυναμένων. τίς ἡ ὀδυνῶν
E καταληφθέντων ὠφέλεια.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Ὀδύνας τὰς ἰσχυροτάτας ὅπως τρόπῳ διαγνοίη ἄν τις ἰδὼν, ὁ φόβος, αἱ εὐφορίαι, αἱ ἐμπειρίαι, καὶ αἱ δειλίαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὕτη ῥῆσίς ἐστιν ὅλη συμβουλευτικὴ, παραινεῖ γὰρ χρῆναι τὰς τῶν ὀδυνῶν διαφοράς τε, καὶ διαθέσεις γνῶναι τὸν ἰατρὸν, καὶ ἡμᾶς διαγνωστικοὺς γίνεσθαι τῶν καιρῶν τε, καὶ περιγραφῶν, τῶν ἐν ταῖς ὀδύναις, ὡς καὶ ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν κελεύει. ὁ δὲ τρόπος, καὶ σφοδρότης αὐτῶν ἔκ τε τῆς εὐφορίας καὶ δυσφορίας, τῇ ἐμπειρίᾳ, ἢ δειλίᾳ διαγινώσκεται, τὰς μὲν οὖν διαφορὰς παρ' αὐτῶν τῶν καμνόντων ἐστὶν ἀκοῦσαι· τινὲς μὲν γὰρ ὡς ἀπὸ βελόνης αὐτοὺς νύττεσθαι δοκοῦσιν, ἄλλοι δὲ, ὡς ἀπὸ τρυπάνου τιτρᾶσθαι. ἄλλοι δὲ, θλᾶσθαι, καὶ διασπᾶσθαι.

καὶ τείνεσθαι, καὶ κατασπᾶσθαι, καὶ βάρους τινὸς αἴσθησιν ἔχειν, ἐνίοτε μὲν ἐκκρεμαμένου τῶν περικειμένων, ἐνίοτε δ' ἐγκειμένου τοῖς περιέχουσιν. ἄλλοι δὲ πάλιν ἀνασπᾶσθαι λέγουσι τὸν στόμαχον, καὶ ἀλύειν, ἄλλοι δὲ πόνον σφοδρόν, καὶ ἰσχυρόν, καὶ βίαιον, καὶ συνεχῆ ἢ διαλείποντα, ἄλλοι δὲ λέγουσι, θλίβεσθαι αὐτοῖς τὸν στόμαχον, ἄλλοι δὲ ὡς ἔξωθέν τινος ἐπικειμένου βάρεος, ἐνίοτε δὲ καὶ κατὰ τὸ δεξιὸν ὑποχόνδριον ἐν τῷ σφοδρότερον ἀναπνεῖν, αἴσθησις βάρους γίνεται, καὶ διὰ τοῦτο εἶπεν αὐτὸς, τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισιν, εἰ μέγα διαφέρουσι, καταμαθητέον. συντείνει μὲν γὰρ τοῦτο μὴ μόνον εἰς διάγνωσιν τοῦ πεπονθότος τόπου, ἀλλὰ καὶ εἰς τὴν πρόγνωσιν τῶν γινομένων περὶ τὸν κάμνοντα, καὶ εἰς τῆς θεραπείας εὕρεσιν.

A divelli, tendi, detrahi, & ponderis cujusdam sensum habere, interdum quidem imminentibus partibus suspensi, interdum verò ambientibus incumbentis. Alii narrant stomachum jactari & concidere. Alii dolorem vehementem, gravem, violentum, & continuum aut intermittentem pati. Alii asserunt sibi stomachum comprimi, nonnulli tanquam ab externo quodam superposito pondere, interdum etiam in dextro hypochondrio dum vehementior editur respiratio, ponderis sensus concitatur, propterea ipse pronunciat; B Qui dolores in lateribus & pectore, aliisque in locis decumbunt, an magnopere inter se differant discendum est. Id enim non solùm ad loci affecti dignotionem, verumetiam ad eorum quæ circa laborantem agenda sunt prænotionem, etiam ad curationis inventionem confert.

Περὶ τῶν ὑδάτων. τί ὕδωρ ἀγαθόν, τί μοχθηρόν. τὸ ὕδωρ ἅπασιν ἀνθρώποις κοινότατόν τε καὶ ἀναγκαιότατον, ὃ τὸν ἰατρὸν διαγνῶναι χρή.

De aquis; Quæ bona, quæ mala. Aquam omnibus communem ac necessariam C Medico dignoscendam esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, ἀεὶ κουφότερον.

HIPPOCRATIS TEXTUS XII.

Aqua quæ cito calescit, & cito frigescit, perpetuo levior est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ τοῦ ὕδατος κουφότης κρίνεται τῷ ταχέως θερμαίνεσθαι, καὶ τὸ ταχέως ψύχεσθαι, τὸ δ' ἄριστον, συστάσει, γεύσει, ὀσμῇ, καὶ χροιᾷ. καὶ τῇ μὲν γεύσει, καὶ τῇ ὀσμῇ, ἵνα μηδεμίαν ἀλλόκοτον ὑπεμφαίνῃ ποιότητα, ὡς μήτε γλυκὺ ὑπάρχειν, μήθ' ἁλικὸν, μήτ' ὀξῶδες, ἢ δριμὺ, ἢ δυσῶδες, ἢ σηπεδονῶδες, ἢ ἄλλην τινὰ ποιότητα ἔχειν, ἀλλ' ἄποιον παντελῶς, καὶ χωρὶς πάσης ἐπικτήτου ποιότητος, καὶ χωρὶς πάσης ἐπιμιξίας γευστικῆς τε, καὶ ὀσφραντικῆς ἐχέτω δὲ μηδὲν ἰλυῶδες, ἀλλ' ἔστω διαυγὲς, καὶ καθαρὸν, καὶ τῶν ἐν αὐτῷ ἐμφερομένων ψηγμάτων ἀπηλλαγμένον. ἔσται μὲν τὸ τοιοῦτον λεπτομερὲς, καὶ ῥᾳδίως πέψεται, καὶ ἀναδοθήσεται, καὶ τὰ ὑποχόνδρια ταχέως διεξέρχεται, καὶ τῇ θερμότητι, καὶ τῇ ψυχρότητι ἔσται εὐαλλοίωτον, καὶ τὰς ἐναντίας ποιότητας ῥᾳδίως δέξεται, καὶ τὸ τοιοῦτον ἔσται ψυχρὸν, καὶ ὑγρὸν, καὶ ὕδωρ κυρίως κληθήσεται. φυλάττεσθαι δὲ δεῖ τὸ λιμναῖον, καὶ θολερὸν, καὶ δυσῶδες, καὶ ἁλικὸν, καὶ, ὡς ἁπλῶς εἰπεῖν, ὅσον τινὰ ποιότητα κατὰ τὴν γεῦσιν ἐνδείκνυται. χρὴ γὰρ ἀποιότατον φαίνεσθαι τὸ κάλλιστον ὕδωρ, εἴη δ' ἂν τὸ τοιοῦτον ἥδιστον τῷ πίνοντι. ἐπιμελῶς δὲ βασανιστέον τοῦτο, ὅτι καὶ κοινότατον ἅπασιν ἀνθρώποις ἐστὶν ὑγιαίνουσί τε, καὶ νοσοῦσιν, καὶ ἀναγκαιότατον εἰς τὴν ζωήν. φαίνεται μὲν τι Ἱπποκράτης ἐν τῷ περὶ διαίτης ὀξέων νοσημάτων οὕτως περὶ ὕδατος διαλέγεσθαι, ὡς οὔτε τμητικὸν ἔχειν τὸ ὕδωρ, ὥσπερ τὸ ὄξος, οὔτε θερμὸν, ὥσπερ τὸ μέλι, ἐν ταῖς ὀξείαις νόσοις. διὸ βραδύπορον, καὶ δύσπεπτον, καὶ δυσυποβίβαστον· κἂν ἄλλως ἄριστόν τε, καὶ ἄμεμπτον ᾖ. εἰ γὰρ κατὰ τὴν γαστέρα μένῃ πολλῷ χρόνῳ, κλύδωνας αὐτὴ εἴωθεν ἐργάζεσθαι, ὅταν δὲ ἐκείνη χολώδης ᾖ, συνδιαφθείρεται

GALENI COMMENTARIUS.

Aquæ levitas quod cito calescat, & cito frigescat cognoscitur. At aqua optima, consistentia, gustu, odore, & colore probatur. Gustu quidem & odore, ita ut nullam alienam D præ se ferat qualitatem, ut neque sit dulcis, neque salsa, neque acida, neque acris, aut fœtida, aut putrida, aut aliam quandam qualitatem sortiatur, sed omnis omnino qualitatatis expers, & citra omnem omnino qualitatem, & citra omnem admixtionem, gustum vel odoratum ferientem. Nihil autem limosum habeat, sed sit limpida, pura, & iis quæ in eam injiciuntur, ramentis libera. Erit certe hujusmodi aqua tenuium partium & facile coquetur, & distribuetur, & celeriter hypochondria pervadet, tum calore, tum frigore mutabilis, & contrarias qualitates promptè acce- E ptura: atque talis aqua erit frigida & humida, & aqua propriè vocabitur. Cavere autem oportet palustrem, turbidam, graveolentem, salsam, & ut summatim dicam, quæcunque aliam qualitatem gustui repræsentat. Oportet enim optimam aquam qualitatis omnis omnino expertem esse. Fuerit autem talis bibenti jucunda. Hæc studiosè exploranda est, quod aqua omnibus hominibus tum sanis, tum ægris communissima sit, & ad vitam ma- F ximè necessaria. Hinc Hippocrates in opere de victûs ratione in morbis acutis, sic de aqua disserere conspicitur, ut aqua neque incidendi facultatem consequatur, quemadmodum acetum, neque calidum, ut mel in acutis morbis, propterea quod tardè permeet, & difficilis sit coctionis, & ægrè subducatur, etiamsi aliàs optima & innoxia sit. Si nanque diu in ventre moretur, ipsi fluctuationes efficere consuevit; qui quum biliosus sit, ipsa etiam corrum-

A pitur. Et postquam è ventriculo in hilam vix descenderit, non facilè distribuitur, neque ad jecur, neque multo magis ad renes, & thoracem, & pulmonem, propterea que neque urinas ciere solet, neque sputum educere; imò neque universi corporis perspirationes efficit. Propterea Hippocrates ægrotis ipsâ prohibitâ, mellicratum, oxymel & vinum concedit. In sexto Epidemiorum ubi scribit, aqua cocta & quæ sequuntur cætæra, non prout oratio postulat, enunciavit quibus in morbis, aut cujus utilitatis gratiâ aquam vel omnem, vel pravam
B duntaxat coquere oporteat. Nos autem omnia perspicuè definivimus, diximusque vix aquam innoxiam comperiri posse: Innoxiam autem voco quæ neque luti quicquam contineat, neque graveoleat, nullam denique gustantibus qualitatem repræsentet. Hoc autem enuncio quod nonnullæ incommodas admixtas sortiantur qualitates salis, vel nitri, vel sulphuris, vel bituminis, & aluminis aliarumque hujusmodi multarum rerum. Fit quoque vitiosa aqua propter pravi aëris admixtionem. Sunt vero & alia aquæ vitia, quæ rebus in ipsa decoctis dignoscuntur. In optimis siquidem aquis citissimè, in pravis verò tardissimè cibi concoquuntur; atque hæ aquæ ita vitiosæ ab antiquis crudæ & incoctæ vocantur. Porrò tutissimum est aquam experientiâ judicasse. Si quis verò & certis signis velit ipsius vires prænoscere, hæc habet à nobis omnia in primo de sanitate tuenda, accuratè tradita: Sed & in libro de aëre, locis & aquis propè omnia scripta sunt, quæ etiam nos interpretati sumus.

D

An cibi & potus peræquè in corpore morentur? De alimentis celerius ac tardius distributis.

HIPPOCRATIS TEXTUS XIII.

CIbi & potus num adæqualitatem maneant, experientiâ opus habent.

E

GALENI COMMENTARIUS.

ABditum est utrùm ad æqualitatem manere intelligendum sit de tempore quo alimenta conficiuntur, an de alimentorum facultatibus, qua ratione ipse pronunciat fortes ac debiles vitæ rationes, hoc est, breve aut diuturnum corporibus alimentum exhibere, & debiliores cibos paucum brevi nutrimentum continere; cujusmodi sunt olera, & plurimi arborum fructus. Et alibi; ciborum alios celeriter, alios tardè domari; quod quæ comeduntur, in-
F ter se differant, quod hæc quidem cito, illa tardè in corpore commutentur, coquantur, apponantur, ipsique assimilentur. Nos autem tribus in Libris de alimentorum facultatibus, quædam edulia esse peculiaria quæ celeriter quidem coquuntur, sanguinem creant, ac nutriunt; quædam vero tardè, recensuimus. Quare hunc prolixiorem de his orationem habere non opus est. Utrum vero cibi & potus peræquè maneant nonnullus dubitaverit. Verum-

A καὶ αὐτὸ, κἀπειδὰν ὑπεξέλθοι μόλις ἐκ τῆς κοιλίας εἰς τὴν νῆστιν, οὐκ ἀναδίδοται ῥᾳδίως, οὔτ' εἰς ἧπαρ, οὔτε πολὺ μᾶλλον εἰς νεφροὺς, καὶ θώρακα, καὶ πνεύμονα, καὶ διὰ ταῦτα οὔτε οὖρα κινεῖν πέφυκεν, οὔτε πτύελον ἀνάγειν. ἀλλ' οὐδὲ τὰς δι' ὅλου τοῦ σώματος ἐργάζεται διαπνοὰς, ἀλλ' οὐδ' οἷόν τέ ἐστι τῇ ζωτικῇ δυνάμει ῥώμην παρέχειν. διὸ Ἱπποκράτης ἐπὶ τῶν τοσούτων ἀποχωρῶν αὐτοῦ, πρός τε μελίκρατον, καὶ ὀξύμελι, καὶ οἶνον ἀφικνεῖται. ἐν δὲ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν, ἔνθα γράφει, ὕδωρ ἀφεψηθὲν, καὶ τὰ λοιπὰ,
B οὐκ εἴρηκεν κατὰ τὴν ῥῆσιν, ἐπὶ τίνων παθῶν, ἢ τίνος ἕνεκα χρείας ἀφεψεῖν προσήκει τὸ ὕδωρ, εἴτ' οὖν ἅπαν, εἴτε μόνον τὸ μοχθηρόν. ἡμεῖς δὲ σαφῶς πάντα διῃρήσαμεν, καὶ ἐλέξαμεν, ὅτι μόγις ἄμεμπτον εὑρήσεται ὕδωρ. καλῶ δὲ ἄμεμπτον, τὸ μήτε ἰλύος ἔχον τι, μήτε δυσῶδες, ἀποιότατον δὲ γευομένοις. τοῦτο δὲ λέγω, ὅτι ἔνια ἀτόπους ἐπιμεμιγμένας ἔχει ποιότητας ἁλῶν, ἢ νίτρου, ἢ θείου, ἢ ἀσφάλτου, καὶ στυπτηρίας, καὶ ἑτέρων πολλῶν τῶν τοιούτων. γίνεται δὲ καὶ κακὸν ὕδωρ δι' ἐπιμιξίαν ἀέρος μοχθηροῦ. εἰσὶ δὲ καὶ ἄλλαι κακίαι αὐτοῦ, αἵπερ διαγινώσκονται διὰ τῶν ἑψομένων ἐν αὐτῷ. τάχιστα μὲν γὰρ τὰ σιτία ἐν τοῖς ἀρίστοις ὕδασι, βραδύτατα δὲ ἐν τοῖς μοχθηροῖς ἕψεται, καὶ καλεῖται δὲ τὰ οὕτω μοχθηρὰ ὑπὸ τῶν ἀρχαίων ἀτέραμνα. ἀσφαλέστατον δὲ κεκρίσθαι τῇ πείρᾳ τὸ ὕδωρ. εἰ δὲ καὶ διὰ γνωρισμάτων τις ἐθέλοι προγινώσκειν αὐτοῦ τὴν δύναμιν, ἔχει ταῦτα πάντα παρ' ἡμῖν παραδεδομένα ἐν τῷ πρώτῳ τῶν ὑγιεινῶν ἀκριβῶς· ἀλλὰ καὶ ἐν τῷ περὶ ὑδάτων, χωρῶν, καὶ τόπων ἀφ' Ἱπποκράτους πάντα σχεδὸν γέγραπται, καὶ ἡμεῖς ἡρμηνεύσαμεν.

D

Πότερον ὁ σῖτος, καὶ ποτὸν ὁμοίως ἐν τῷ σώματι περιμένῃ; περὶ τροφῶν τῶν ταχύτερον, ἢ βραδύτερον ἀναδιδομένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

ΤΑ βρώματα, καὶ τὰ πόματα πείρης δεῖ, εἰ ἐπὶ τὸ ἴσον μένει.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΔηλόν ἐστι, πότερον τὸ, ἐπὶ τὸ ἴσον μένειν, ἀκουστέον ἐστὶ περὶ τοῦ χρόνου, ἐν ᾧ τροφαὶ κατεργάζονται, ἢ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων, καθ' ὃν λόγον εἶπεν αὐτὸς ἰσχυρὰ, καὶ ἀσθενῆ διαιτήματα εἶναι, τουτέστι βραχεῖαν τροφὴν, ἢ μακρὰν διδόναι τοῖς σώμασιν, καὶ τὰ ἀσθενέστερα σιτία ὀλιγοχρονίαν βιοτὴν ἔχειν, ὥσπερ ἔχουσι τὰ λάχανά τε, καὶ τῶν ἀκροδρύων τὰ πλεῖστα· καὶ ἀλλαχοῦ, βρώματα τὰ μὲν ταχέως κρατέεσθαι, τὰ δὲ βραδέως, ὅτι τὰ
F ἐσθιόμενα διαφέρουσιν ἀλλήλοις, τῷ τὰ μὲν ταχέως, τὰ δὲ βραδέως μεταβάλλεσθαι, καὶ πέττεσθαι ὑπὸ τοῦ σώματος, καὶ προστίθεσθαι, καὶ ἐξομοιοῦσθαι αὐτῷ. ἡμεῖς δὲ ἐν τρισὶν περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων τίνα μέν ἐστι τῶν κατὰ μέρος ἐδεσμάτων ταχέως πεττόμενα, καὶ αἱματούμενα, καὶ τρέφοντα, τίνα δὲ βραδέως, διήλθομεν. καὶ οὐ χρὴ νῦν μηκύνειν τὸν λόγον. πότερον δὲ βρώματα, καὶ τὰ πόματα ἐπὶ τὸ ἴσον μένει, ἀμφισβητήσειεν ἄν τις. ἀλλ'

ὅμως φησὶν αὐτὸς, ῥᾶον πληροῦσθαι ποτοῦ, ἢ σίτου. γέγραφε δὲ καὶ ἐν τῷ περὶ τροφῆς οὕτως, ὁκόσοι ταχίστης προσθέσιος δέονται, ὑγρὸν ἴημα εἰς ἀνάληψιν δυνάμεως ἄριστον. ὅκου δὲ ἔτι ταχυτέρας, διὰ ὀσφρήσιος, ἢ χρεία τε, καὶ τῶν τροφῶν πεῖρα μᾶλλον ὠφελεῖ κατὰ τὴν τῶν καθ' ἕκαστα τῆς φύσεως διαθέσιν, καὶ τῆς τροφῆς ἰδιότητας. καὶ γὰρ τινα τοῖς καθ' ἕκαστα διδόναι, καὶ μὴ τὸν καθόλου κανόνα φυλάττειν χρὴ, διότι ἄλλα μᾶλλον τῶν ἄλλων τοῖσδε, ἢ τοῖσδε ἀρέσκει, καὶ χρησιμεύουσιν, ὧν λόγον οὐχ οἷόν τέ ἐστιν, ἢ μὴ μακρᾷ πείρᾳ τε, καὶ χρήσει διαγινώσκεσθαι. ταύτας δὲ τὰς καθ' ἑκάστην τροφὴν ἀρετὰς σκοπεῖσθαι δεῖν, ἔοικεν λέγειν αὐτὸς ἐν τῷ περὶ τροφῆς, ὅτε γράφει, ὑγρὴ τροφὴ εὐμετάβλητος μᾶλλον, ἢ ξηρή. ξηρὴ τροφὴ εὐμετάβλητος μᾶλλον, ἢ ὑγρή. ταῦτα τοίνυν μὴ μόνον ἐς τὴν μεταβολὴν, ἀλλὰ καὶ εἰς τὰς ποιότητάς τε, καὶ δυνάμεις τῶν τροφῶν ἀναφέρειν δυνατόν. ἐν δὲ νόσοις τῆς τε γαστρὸς, καὶ τοῦ ἥπατος μετρίαν εἶναι χρὴ τὴν τῶν τροφῶν ποσότητα, καὶ ὁρισμένην, ἵνα οὐδέτερον μὴ βαρύνοιτο.

tamen ipse decernit facilius esse potu quàm cibo repleri. Libro quoque de alimento sic scribit: Quicunque celerrima appositione indigent, his humidum remedium ad virium instaurationem optimum est. Quum vero etiamnum celeriori, opus est odoratu, aut alimentorum tum usus, tum experientia magis auxiliantur pro peculiari singulorum naturæ dispositione & alimenti proprietate. Etenim nonnulla quibusdam concedere, neque universalem *hac in re* sequi regulam oportet, quod alia aliis magis his quam illis placeant & conferant, quorum ratio non nisi longa experientia & usu dignosci non potest. Hasce verò peculiares cujusque alimenti virtutes considerandas esse ipse profiteri videtur Libro de alimento his scriptis; Humidum alimentum quàm siccum facilius mutatur; siccum alimentum quàm humidum promptiùs mutatur. Hæc itaque non solum ad mutationem, verumetiam ad alimentorum tum qualitatem tum facultates referre possumus. In morbis autem tum ventris tum jecoris mediocrem & circumscriptam oportet esse alimentorum quantitatem, ut neutrum gravetur.

Ἐκ τῆς ἀμέτρου ῥύσεως τοῦ αἵματος τὸ σῶμα ἐκ τοῦ ὠχροῦ χλοῶδες γίνεσθαι. τὸ χρῶμα τῶν χυμῶν εἶναι τῶν ἐπικρατούντων ἐνέργημα.

Ex immoderato sanguinis profluvio corpus ex pallido virescere; calorem humorum prædominantium effectum esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Ῥητέον ὅτι αἵματος ῥυέντος ἐκχλοιοῦνται, καὶ ὅσα ἄλλα τοιαῦτα, ὅτι πρὸς τὸ ὑγραίνειν, καὶ ξηραίνειν, καὶ θερμαίνειν, καὶ ψύχειν πολλὰ ἄν τις τοιαῦτα εὕροι.

HIPPOCRATIS TEXTUS XIV.

Dicendum quod effluente sanguine ex pallida virescant, & quæcunque hujusmodi cætera. Quod ad humectandum, siccandum, calefaciendum & refrigerandum talia multa quidam invenerint.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ τῆς ἀμέτρου ῥύσεως τοῦ αἵματος ἐκχλοιέται τὸ σῶμα, τουτέστι τὸ χρῶμα μαραίνεται, καὶ ἐκ τοῦ ὠχροῦ χλοῶδες, ἢ χλωρὸν γίνεται, καὶ εἰκότως, τὸ γὰρ χρῶμα τῶν χυμῶν ἐστὶ τῶν ἐπικρατούντων δηλονότι. οὕτω τὰς γλώττας χλωρὰς εἴρηκεν αὐτὸς, ἃς ἐπὶ τὸ χλωδέστερον ἡ χρόα μεταβάλλει, τῷ ὠχρᾷ δηλονότι χολῆς καὶ μελαίνας, ἀπὸ μελαίνης χολῆς· ἐρυθρὰς δὲ, ἀπὸ αἵματος, καὶ ἀπὸ τοῦ φλέγματος, αἱ λευκαὶ γίνονται. πολλοῦ γοῦν αἵματος ῥυέντος τὸ τοῦ σώματος ἀκμαῖον χρῶμα ἀπανθεῖ καὶ χλοιοῦται, ὥστε καὶ χλωραίνεται, ὅπερ χλωράζεσθαι, ἢ λαχανίζεσθαι λέγεται. εἰώθασιν μὲν γὰρ οἱ Ἕλληνες ἐπὶ τῶν φυτῶν τὸ χλωρὸν λέγειν ἀπὸ τῆς χλόης, καὶ τοῦ ταύτης χρώματος, ὡς τὰ πολλά· ἔστι δὲ ὅτε, καὶ τοὺς ὠχροὺς προσαγορεύουσι χλωρούς. τὸ γοῦν σῶμα χλοιοῦσθαι λέγεται, ὅταν τὸ ἀνθηρὸν ἀφανίζεται, καὶ ἀπολειφθὲν τοῦ αἵματος πελιδνὸν, καὶ ὡς νεκρῶδες φαίνεται, καθὸ γέγραπται ἐν τῷ προῤῥητικῷ, τὰ τεταγμένοισι χρόνοισι αἱμοῤῥαγέοντα διψώδεα δύσκολα, ἐκχλοιούμενα, μὴ αἱμοῤῥαγήσαντα, ἐπιληπτικὰ τελευτᾷ. καὶ ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν, οἷσιν αἷμα ῥεῖ πολὺ ἐκ ῥινῶν, οἷσι μὲν ἄχροιαι ἄκριτοι, τούτοισι ὀλίγα ἀρήγουσιν. συνήθης δ' ἐστὶν ἡ λέξις τῷ παλαιῷ, καὶ γὰρ ἐν ταῖς Κωακαῖς γράφει τάδε, τὰ ἰκτερώδεα οὐ πάνυ τὰ ἐπαισθανόμενα, οἷσι λύγγες κοιλίαι καταῤῥήγνυνται,

GALENI COMMENTARIUS.

Ex immoderato sanguinis profluvio corpus ex pallido virescit, hoc est, colore marcescit, & ex pallido viride, aut viride pallens redditur, ac meritò; color enim est humorum prædominantium effectus. Sic linguas virides fieri ipse protulit, quarum in viridius color transit, ex pallida nimirum bile, rubras autem ex sanguine, albas denique ex pituita. Copioso itaque effluente sanguine, vegetus corporis color flore exuitur, virore inficitur, & ex viridi pallet: quod pallore deforme esse, & herbaceo colore deformari dicitur. Consueverunt enim Græci stirpibus virorem ab herba & hujus colore plerunque denominare; sed accidit interdum pallidos virides appellari. Corpus igitur viride fieri dicitur quum floridus illius color deperditur, & sanguine defraudatum, lividum, & quasi cadaverosum apparet, quemadmodum in prorrhetico scriptum est; *Quæ statis temporibus, sanguinis eruptionibus afficiuntur, & sitibundi, difficiles, & viridicati fiunt, hæmorrhagia cessante, epileptici fiunt.* In sexto epidemiorum; *Quibus copiosus è naribus profluit sanguis, quibus & decolorationes citra judicium oriuntur, iis pauca auxiliari queunt.* At hæc seni consueta est dictio. Etenim in coacis hæc scribit; *icterici non ita exquisito sensu prædíti, quibus singultus oboriuntur, his alvi erumpunt;*

sed & fortassis supprimuntur, hi virore inficiuntur, & prope finem; *si difficulter spirarent*; ad hoc, ubi quis cum virore pallescit, bene spirare noxium non est, quibus in locis omnibus τὸ ἐκχλοιοῦσθαι *virore infici* significat. Addidit autem, quod copiosos præterea hujusmodi cibos ac potus invenire possit aliquis qui adjuvet ad calefaciendum, refrigerandum, exiccandum, & humectandum: Nam præpositionem πρὸς non dixit ut contrarium significet, sed ut ad hæc adjuvet, quemadmodum enunciat; accessionum in principiis habendam esse considerationem hortatus, non in solis principiis id speculandum; sed in universa morborum historia.

A ἴσως δὲ καὶ ἐπίστασις, οὗτοι ἐκχλοιοῦνται, καὶ πάλιν, ἰκτερώδεες ἄρα ἐπιστάντων οὗτοι ἐκχλοιοῦνται· καὶ ἐπὶ τῷ τέλει, ἢν δύσπνοοι ἔωσι πρὸς τὸ ἐκχλοιοῦσθαι, εὔπνοον, ἄσιτόν τε, κοιλίης ἐπισελθούσης, ἐν αἷς ῥήσεσιν πανταχοῦ ἐκχλοιοῦσθαι, χλωρένεσθαι σημαίνει. προσέθηκε δὲ, καὶ ὅτι πολλὰ τοιαῦτα βρώματα, ἢ πόματά τις εὕροι, ὡς συνεργοῦντα πρὸς τὸ θερμαίνειν, καὶ ψύχειν, καὶ ξηραίνειν, καὶ ὑγραίνειν. τὸ γὰρ πρὸς, οὐκ εἶπε, ὡς ἐναντι-
B ούμενος, ἀλλὰ ὡς συνεργοῦντα πρὸς ταῦτα, καθάπερ λέγει, πρὸς τὰς ἀρχὰς τοῖς παροξυσμοῖς ἐπισκέπτεσθαι, οὐκ ἐν μόναις ταῖς ἀρχαῖς τοῦτο σκοπεῖν, ἀλλ' ἐν ὅλοις τοῖς νοσήμασιν.

Abortum mulieri salubrem esse. Partuum quatuor esse tempora, fœturæ, conceptus, embryonis, & pueri. Quodnam tempus abortui, magis obnoxium.

Τὸ ἀπόφθαρμα τῇ γυναικὶ ὑγιεινόν. τοὺς κυουμένων εἶναι τέτταρας χρόνους, τὸ γονὴν, τὸ κύημα, τὸ ἔμβρυον, τὸ παιδίον. τίς ποτε χρόνος τῷ ἀποφθάρματι μᾶλλον ὑποχείριος.

HIPPOCRATIS TEXTUS XV.

EIectus abortu fœtus masculus sexaginta dierum in partuum suppressionibus salubris.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

C ΤΟ ἑξηκονθήμερον ἀπόφθαρμα ἄρσεν τόκου ἐν ἐπισχέσεσιν, ὑγιεινόν.

GALENI COMMENTARIUS.

QUatuor esse partuum tempora demonstratum est. Primum quidem, quò tum in obtusionibus, tum in divisionibus seminis idea vincit; quo tempore hanc compositionem nondum conceptum, sed foeturam nominavit Hippocrates. Secundum verò quum cor & cerebrum, & jecur inarticulata quidem etiamnum ac informia sunt; verùm concretionem jam aliquam, & magnitudinem insignem sortiuntur, tuncque conceptus vocatur. Tertium autem tempus est, quum tria principia manifestè deprehenduntur, verùm obscurior est membrorum forma. Quartum denique tempus est, quum omnia jam membra articulata sunt, neque ampliùs embryon, sed jam puer nominatur, quo tempore & saltare & moveri incipit, itaut animal perfectum appellet Hippocrates. Qui itaque conceptus uno aut duobus mensibus eduntur, facilem abortum subeunt; qui verò trium aut quatuor sunt mensium, cæterorum difficillimè abortum patiuntur; idque notum ipse habet in aphorismis, ubi pronunciat; *Prægnantes medicamentis purgandæ sunt, si humor turgeat, quadrimestres, & ad septimum usque mensem, sed hæ minùs; minoribus autem, aut grandioribus fœtibus cavendæ sunt purgationes.* Causa, quòd vincula quibus matrici fœtus connectitur, imbecilla sunt, universumque corpus molle. Quod autem conceptione magni sunt, his copioso alimento opus est, qui sæpius in morbos ac potissimum acutos deflui abortiuntur. Verùm etiam nonnunquam accidit in difficili partu propter sanguinis suppressionem ex magno ac vehementi mulieris labore partum expellere conantis, quum partes muliebres à se invicem sejunguntur. Quod autem nunc dicit de hac muliere *abortum salubrem esse*, mirum non est; morbus enim ex abortu levabatur, & mulier salua evasit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΕδεικται τοὺς χρόνους τῶν κυουμένων εἶναι τέτταρας. πρῶτον μὲν, ἐν ᾧ κατὰ τὰς ἀμβλώσεις τε, καὶ κατὰ τὰς ἀναζμαῖς ἡ τοῦ σπέρματος ἰδέα κρατεῖ· καθ' ὃν χρόνον, ταύτην σύστασιν οὔπω κύημα ὀνομάζει, ἀλλὰ γονὴν
D Ἱπποκράτης. δεύτερον δὲ, ὅταν ἡ καρδία, καὶ ἐγκέφαλος, καὶ τὸ ἧπαρ, ἀδιάρθρωτα μὲν ἔτι, καὶ ἄμορφα, πῆξιν δὲ ἤδη τινὰ, καὶ μέγεθος ἀξιόλογον ἔχει, καί τότε κύημα καλεῖται. τρίτος δὲ χρόνος ἐστὶν, ὅταν τρεῖς ἀρχὰς ἐναργῶς ἐστὶν ἰδεῖν, ἀλλ' ἀμυδροτέρα ἐστὶν ἡ κατὰ τὰ κῶλα ἰδέα. τέταρτος δὲ οὗτός ἐστιν, ἡνίκα ἤδη τά τε ἐν τοῖς κώλοις πάντα διήρθρωται, καὶ οὐδὲ ἔμβρυον ἔτι, ἀλλὰ ἤδη καὶ παιδίον ὀνομάζεται, ὅτε καὶ ἀσκαρίζειν, καὶ κινεῖσθαι, ὡς ζῶον ἤδη τέλειόν φησιν Ἱπποκράτης. τὰ μὲν κυούμενα ἑνὸς, ἢ δυοῖν μηνῶν, ῥᾳδίως διαφθείρονται. τριῶν δὲ καὶ τεττάρων, δυσαποθέστατα τῶν ἄλλων εἰσὶν, καὶ τοῦτο γινώσκων
E αὐτὸς, ἐν ἀφορισμοῖς εἶπεν, τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ τετράμηνα, καὶ ἄχρις ἑπτὰ μηνῶν. ἧσσον δὲ ταύτας, τὰ δὲ νήπια, καὶ τὰ πρεσβύτερα, εὐλαβεῖσθαι δεῖ. αἴτιον ὅτι οἱ δεσμοὶ, καθ' οὓς τῇ μήτρᾳ συμπεφύκασι ἀσθενεῖς εἰσὶ, καὶ τὸ σύμπαν σῶμα μαλακόν. τοῖς δὲ τῆς ἀποκυήσεως μεγάλοις οὖσι, πολλῆς δεῖται τροφῆς, ὡς ἀπορροῦντα, πολλάκις ἐν τοῖς νοσήμασι, μάλιστα δὲ ὀξέσι, διαφθείρεται. ἔστιν ὅτε, καὶ ἐν τῇ διὰ τὴν τοῦ αἵματος ἐπίσχεσιν δυστοκίᾳ, διὰ μέγαν, καὶ ἰσχυρὸν πόνον τῆς γυναικὸς, τὸν ἐπι-
F χειρούσης τὸν τόκον ἐξελαύνειν, τὰ μέρεα τὰ γυναικεῖα ἀφίστανται. ὃ δὲ λέγει νῦν περὶ ταύτης τῆς γυναικὸς, ὅτι ὑγιεινὸν ἦν, οὐ θαυμαστὸν, ἐκουφίζετο γὰρ ἡ νόσος ὑπὸ τῆς ἀποφθορᾶς, καὶ ἡ γυνὴ ἐσώθη.

A

Ἀσαφὴς ὁ λόγος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛʹ.

Ἡράκλεις, ὧδε τοῦ κακοῦ ὀγδοαίῳ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀσαφὴς ὁ λόγος, διὰ τὸ μήτε τὴν ἰδέαν τοῦ κακοῦ, μήτε τοῦ νοσήματος εἰπεῖν.

B

Περὶ δυσεντερίας, καὶ τενεσμοῦ, καὶ τῶν ἑκατέρων αἰτιῶν. ἐξ ὧν τὰ ὀνόματα τοῖς νοσήμασιν ἐπιτέθειται ἀπὸ τοῦ βεβλαμμένου μορίου, ἀπὸ τοῦ συμπτώματος, ἀπ᾽ ἀμφοῖν, ἀπὸ μηδετέρου, ἀπὸ τῆς αἰτίας, καὶ ἀπὸ τῆς ὁμοιότητος, τινὰ δὲ κατὰ προαίρεσιν. τέσσαρας εἶναι τῶν νοσημάτων αἱματωδῶν διαφοράς. ἀπὸ μοχθηρῶν τῶν χυμῶν τὰς δυσεντερίας, καὶ τενεσμούς, καὶ διαῤῥοίας, καὶ δυσουρίας, καὶ ἐμέτους γίνεσθαι.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζʹ.

Δυσεντεριώδης μᾶλλον ὅστις ἄρα, καὶ τενεσμώδης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ πρῶτοι ἰατροὶ πολλὰ τῶν ὀνομάτων ἀπὸ τῶν βεβλαμμένων μορίων τοῖς νοσήμασιν ἐπήνεγκαν, τοιαῦτα ἐστὶν πλευρίτις, καὶ περιπνευμονία, καὶ ἰσχιάς, καὶ ποδάγρα, καὶ νεφρίτις, καὶ ἀρθρῖτις, καὶ ὀφθαλμία τε, καὶ δυσεντερία, πολλὰ δὲ ἀπὸ τοῦ συμπτώματος ὡς εἰλεός, καὶ τενεσμός, καὶ σπασμός, καὶ παλμός, καὶ τρόμος, καὶ παράλυσις, καὶ ἀποπληξία, καὶ δύσπνοια, καὶ ἄπνοια, καὶ ἀγρυπνία, καὶ παραφροσύνη, καὶ κῶμα. πολλὰ δὲ ἀπ᾽ ἀμφοῖν ἅμα, ὡς κεφαλαλγία, καὶ ὠταλγία, καὶ καρδιαλγία, καὶ ὑστεραλγία· ὡς καὶ ἀπὸ τῆς αἰτίας, τῆς δοξαζομένης, οὕτως ὀνομάζεται μελαγχολία, καὶ χολέρα· ἴσως δὲ καὶ ὁ λευκοφλεγματίας ὕδερος, ὡς καὶ καθ᾽ ὁμοιότητα, τοιούτου γένους ἐστὶν, ὁ λεγόμενος ἐλέφας, καὶ καρκῖνος, καὶ πολύπους, καὶ σταφυλή, λεύκη, καὶ ἄνθραξ, καὶ ὀφίασις, καὶ μελικηρίς, καὶ σύκωσις, πολλὰ δὲ εὑρήσεις τῶν νοσημάτων ὀνόματα, ἃ μήτε τόπου δηλοῦται πεπονθότος, μήτε τῆς ποιούσης αἰτίας, ὡς φλεγμονή, γάγγραινα, σκίῤῥος, ἐρυσίπελας, ἀπόστημα, οἴδημα, ἐμπύημα, ἕλκος, κάταγμα, ῥῆγμα, φῦμα, δοθιὴν, ἴονθος. ἀλλὰ λεγέτω νῦν ἕκαστος τὰς νόσους ὡς ἂν ἐθέλῃ. ἡμεῖς δὲ περὶ τῶν προκειμένων διαλεγόμεθα. διαφοραὶ γοῦν τῶν ἐκκρινομένων αἱματωδῶν τέσσαρες ὑπάρχουσι, μία μὲν τοῦ αἵματος ἐπὶ τῶν ἀποκοπέντων κώλων, ἢ γυμνασίᾳ καταλυομένων ἐκ περιόδου τινὸς ἀποτελουμένη· δευτέρα δὲ δι᾽ ἀτονίαν ἥπατος, ὑδατώδους αἵματος ὑπιόντος· τρίτη δὲ ἐκ τοῦ μελαγχολικοῦ· τετάρτη δὲ ἡ τοῦ ἀκριβοῦς αἵματος, ἢ τοῦ θρομβώδους. διαφέρουσι δὲ, ὅτι αἱ τρεῖς πρῶται ἀθρόαν τε ἅμα, καὶ πολλὴν ἐργάζονται τὴν ἔκκρισιν. ἡ τετάρτη δὲ κατὰ βραχύ τε, καὶ δι᾽ ὀλίγου τοῦ χρόνου. νῦν δὲ περὶ τετάρτης λεκτέον, ἧς ἕλκωσις ἐντέρων ἡ διάθεσίς ἐστιν, ἣν καὶ μόνην ἀξιοῦσί τινες ὀνομάζεσθαι δυσεντερίαν. ἔστι δὲ ἐκ ταυτοῦ τοῦ γένους, καὶ ὁ λεγόμενος τενεσμός, ἕλκος ἐν ἀπευθυσμένῳ γινόμενον, τὰ μὲν ἄλλα συμπτώματα παραπλήσια φέρων, ἐντάσεις δὲ πολὺ σφοδροτέρας τῶν δυσεντερικῶν. τὰ μὲν γὰρ ἀσθενέστερα μόρια δέχονται ἀεὶ τῶν ἐκ

D

E

F

Abdita orationis sententia.

HIPPOCRATIS TEXTUS XVI.

Proh Herculem! mali octavo die intumuit.

GALENI COMMENTARIUS.

Abdita oratio, quod neque mali, neque morbi ideam proferat.

De dysenteria ac tenesmo, & utriusque caussis. Unde morbis imposita sunt nomina, à parte læsa, à symptomate, ab utroque, à neutro, à causa, à similitudine, exercitrio. Quatuor cruentorum morborum esse differentias. A pravis humoribus, dysenteria tenesmis, diarrhœâ, dysuriâ vomitus fieri.

HIPPOCRATIS TEXTUS XVII.

Quicunque tenesmo prehenditur, is sane magis dysentericus evadit.

GALENI COMMENTARIUS.

Primi Medici multa nomina morbis à parte læsa imposuerunt. Hujusmodi pleuritis, peripneumonia, ischias, podagra, nephritis, arthtitis, ophthalmia, & dysenteria; Multa verò à symptomate, ut ileus, tenesmus, convulsio, palpitatio, tremor, paralysis, apoplexia, dyspnœa, apnœa, insomnia, delirium, & coma; multa etiam ab utroque, ut cephalalgia, otalgia cardialgia & ysteralgia; quemadmodum & ab existimata causa morbi, ita nominatur melancholia, &cholera. Fortassis etiam & leucophlegmatias hyderus; ut etiam per similitudinem, cujusmodi generis est qui elephas nominatur, & cancer, polypus, uva, vitiligo alba, carbunculus, area, meliceris, & ficus; multa quoque comperies morborum nomina, quæ neque locum affectum exprimunt, neque causam effectricem, ut phlegmone, gangræna, scirrhus, erisypelas, abscessus, œdema, empyema, ulcus, fractura, ruptura, tuberculum, furunculus, varus. Nunc autem prout libuerit, morbos quisque vocitet, nos autem de propositis disserimus. Itaque quatuor cruentorum morborum, qui à cæteris discernuntur, existunt differentiæ. Una quidem in præcisis carnosis partibus, aut exercitatione defessis, quodam periodo, peractâ. Secunda est ob hepatis imbecillitatem aqueo subeunte sanguine. Tertia ex melancholico. Quarta denique sinceri, vel concreti est sanguinis. Differunt autem quod tres primæ confertam simulque copiosam excretionem efficiant; quarta vero paulatim & brevi tempore. At nunc de quarta dicendum est, cujus exulceratio intestinorum affectus est, quam solam nonnulli dysenteriam nominant. Et vero ejusdem generis morbus qui tenesmus vocatur, ulcus in recto intestino factum, qui alia similia dysentericis, contensiones tamen multò vehementiores invehit. Partes siquidem imbecilliores ex robu-

robustioribus humorum redundantiam excipiunt. adeo ut dysenteriæ, tenesmi, diarrhœæ, & lienteriæ confluentibus in intestina supervacaneis humoribus procreantur; quemadmodum & iisdem in vesicam conversis dysuriæ, iisdemque ad orificium ventriculi accedentibus vomitus, ita ut creentur quidem dysenteriæ cum cruentis excrementis, tenesmi verò quum vehementes contensiones ex recti intestini exulceratione concitantur, lienteriæ verò sunt celeres immutatorum ciborum transitus. Propterea Epidemiorum tertio jure pronunciavit *ventris morbos multos & noxios multis accidisse*, primùm quidem tenesmos doloribus maximis comitatos. Hic præterea morbus aliter tum dolorem tum molestiam infert, dolorem quidem ab contensionem, molestiam verò ob assiduam surrectionem. Itaque qui amara bile scatent, jure febribus synticticis prehenduntur, & alvi excrementis perturbantur. Rubicundi autem, & ad melancholiam idonei, crassum & calidum sanguinem sortiti, tum phreniticis, tum ardentibus morbis & cruentis dysenteriis non abs re corripiuntur. Didicimus siquidem eas quasdam esse differentia duplices, altera quidem est, quæ erosis ab ulcere intestinis efficitur, altera vero copioso sanguine per venas ad intestina deductas evacuato. Hippocrates autem de tenesmis loquutus ait tenesmos adolescentibus pituitosis accidere, quod non solùm naturale temperamentum ad tenesmi affectionem producendam idoneum sit, verumetiam quod ætas illa sit ita calida, ut propter pituitæ acrimoniam & putredinem tenesmum creari intelligamus. Etenim hujusmodi pituita decursu ad rectum intestinum ulcerosam partis læsionem invectura laborantes assiduè ad sui excretionem perarduam excitat. At tenesmo capti contensiones subeunt & vehementiores dysentericæ excretionis propensiones. Crassa nanque & viscosa pituita, non ut flava bilis cito decurrit, sed corporibus adhæret ac infarcitur. Symptomatum autem similitudo non his solùm inest ad invicem, sed etiam ipsa tangentibus ut renibus ad intestinum colon, & quædam locum affectum cognitu facilem indicant, ut dysenteriæ & tenesmi. Nos autem oportet eas dysenterias intelligere, quæ præcipuè hoc nomine dicuntur, ut quod intestinorum exulcerationem significet. Neque enim ut dixi, affatim creatur hic morbus quemadmodum alter in quo hepar patitur. At mens adhibenda est, ut noscamus utrum in superioribus intestinis ulceratio sit, an vero in inferioribus quod non parum interest ad curationem nosse qua in parte intestinorum ulceratio sit. Quæ nanque in altioribus sunt partibus à deglutitis medicamentis, quæ vero in inferioribus ab injectis juvantur. Dignoscuntur autem hujusmodi dysenteriæ excretionibus ab hepate manantibus, & tenuitate sanguinis decoloris. Cujus enim hepar imbecillum est, is colorem ob sanguinis in ipso geniti paucitatem album sortitus est. Qui vero lienem habet debilem, hujus color lentiginosus est, humeri melancholico similis qui sanguini permixtus sit. . . . Quod autem sanguis tunc abundet hæmorrhagias & dysenterias

A τῶν ἰσχυροτέρων περιουσίαν· ὥστε αἱ μὲν δυσεντερίαι, καὶ οἱ τεινεσμοὶ, καὶ αἱ διαῤῥοίαι, καὶ αἱ λειεντερίαι, ῥυέντων εἰς τὰ ἔντερα τῶν περιττῶν γίνονται, ὥσπερ καὶ αἱ δυσουρίαι, εἰς τὴν κύστιν τρεπομένων. ἔμετοι δὲ, ἐπὶ τὸ στόμα τῆς γαστρὸς ἀφικνουμένων, ὡς γίνεσθαι μὲν δυσεντερίας μετὰ τῶν αἱματωδῶν διαχωρημάτων, τοὺς δὲ τεινεσμοὺς, τάσεις οὔσας σφοδρὰς ἐπὶ ταῖς κατὰ τὸ ἀπευθυσμένον ἑλκώσεσι, τὰς δὲ λειεντερίας, ταχείας διεξόδους ἀμεταβλήτων σιτίων οὔσας. διὸ ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν εὐλόγως εἶ-
B πεν, τὰ κατὰ κοιλίαν πολλοῖς πολλὰ καὶ βλαβερὰ συμβεβήκει, πρῶτον μὲν τεινεσμοὶ ἐπιπόνως. ἔστι μὲν οὖν καὶ ἄλλως ὀδυνηρόν τε, καὶ ὀχληρὸν τὸ πάθος. ὀδυνηρὸν μὲν, διὰ τὴν τάσιν, ὀχληρὸν δὲ, διὰ τὸ συνεχὲς τῆς ἐξαναστάσεως. οἱ μὲν οὖν πικρόχολοι συντηκτικοῖς εἰκότως ἁλίσκονται, ἐνοχλοῦνταί τε τοῖς κατὰ τὴν γαστέρα διαχωρήμασιν. οἱ δὲ ἐρυθροὶ καὶ πρὸς μελαγχολίαν ἐπιτήδειοι, παχὺ καὶ θερμὸν ἔχοντες αἷμα, τοῖς φρενιτικοῖς τε, καὶ καυσώδεσιν εἰκότως ἁλίσκονται νοσήμασι, καὶ δυσεντερίαις ταῖς αἱματηραῖς. μεμαθήκαμεν γὰρ ὅτι διτταί τι-
C νές εἰσι, μία μὲν ἐξ ἑλκώσεως ἀναβρωθέντων τῶν ἐντέρων, ἑτέρα διαφορὰ, πολλοῦ δὲ αἵματος ἐκκενουμένου διὰ τῶν εἰς ἔντερα καθηκουσῶν φλεβῶν ἡ λοιπή. Ἱπποκράτης δὲ περὶ τεινεσμῶν φησὶ, ὅτι τεινεσμοὶ νέοισι φλεγματώδεσι, ὡς οὐ μόνης τῆς φυσικῆς κράσεως γενομένης ἐπιτηδείου πρὸς τὸ ἐργάζεσθαι τὸ τοῦ τεινεσμοῦ πάθος, ἀλλὰ καὶ τῆς ἡλικίας θερμῆς οὔσης, ἵνα διὰ δριμὺ, καὶ σηπεδονῶδες φλέγμα τὸν τεινεσμὸν γεγονέναι νοήσωμεν. καὶ γὰρ τῇ πρὸς τὸ ἀπευθυσμένον ἔντερον διεξ-
D όδῳ τὸ τοιοῦτον φλέγμα βλάβην ἑλκώδη τοῦ μέρους ἐργαζόμενον ἐπὶ τὴν ἀπόκρισιν ἐρεθίζει συνεχῶς τοὺς κάμνοντας, καὶ διὰ τὸ δυσέκκριτον τοῦ φλέγματος οἱ τεινεσμώδεις ἔχουσι τάσεις, καὶ προθυμίας ἀποκρίσεως σφοδροτέρας, τῶν δυσεντερικῶν. τὸ γὰρ παχὺ, καὶ γλισχρὸν, οὐχ ὥσπερ ξανθὴ χολὴ, ταχέως διεξέρχεται, ἀλλ' ἐμπλάττεται τοῖς σώμασιν. ἡ δὲ τῶν συμπτωμάτων ὁμοιότης οὐ μόνον τούτοις πρὸς ἄλληλά ἐστιν, ἀλλὰ καὶ τοῖς ψαύουσιν αὐτῶν, ὥσπερ τοῖς νεφροῖς πρὸς τὸ κῶλον. καὶ ἔνια εὔγνωστον ἔχει τὸν πεπονθότα τόπον, ὥσπερ αἱ δυσεντερίαι,
E καὶ τεινεσμοί. χρὴ δὲ ὑμᾶς τὰς κυρίως λεγομένας δυσεντερίας ἀκούειν, ὡς σημαινούσης τῆς προσηγορίας ἐντέρων ἕλκωσιν· οὔτε γὰρ, ὡς ἔφην, ἀθρόως γίνεται τὸ πάθος τοῦτο, καθάπερ θάτερον, ἐν ᾧ τὸ ἧπαρ πάσχει. προσέχειν δὲ χρὴ τὸν νοῦν, ἵνα γνῶμεν, πότερον ἐν τοῖς ὑψηλοτέροις ἐντέροις ἡ ἕλκωσις εἴη, ἢ ἐν τοῖς ταπεινοτέροις, διότι διαφέρει οὐ σμικρὸν εἰς τὴν θεραπείαν, ἐγνῶσθαι τὴν ἕλκωσιν ἐν τινὶ μέρει τῶν ἐντέρων ἐστίν. αἱ μὲν γὰρ ἐν τοῖς ὑψηλοτέροις, ὑπὸ τῶν καταπινομένων φαρμάκων, αἱ δὲ ἐν τοῖς ταπεινοτέροις ὑπὸ τῶν ἐνιε-
F μένων ὠφελοῦνται. διορίζονται δὲ τῶν ἀφ' ἥπατος ἐκκρίσεων αἱ τοιαῦται δυσεντερίαι, τῷ δὲ λεπτῷ αἵματος ἀχροῦ, οὗ γὰρ ἀσθενές ἐστι τὸ ἧπαρ, ἡ χροία διὰ τὴν τοῦ γεννηθέντος ἐν αὐτῷ τοῦ αἵματος ὀλιγότητα, λευκὴ οὖσα τυγχάνει. ὁ δὲ ἀσθενῆ ἔχων τὸν σπλῆνα, τούτου τὸ χρῶμα φακοειδές ἐστιν, ὅμοιον τῷ μελαγχολικῷ χυμῷ ὃς ἐστι τῷ αἵματι μεμιγμένος . . . τοῦ δὲ πλεονάζειν αἷμα τότε, τὰς αἱμοῤῥαγίας, καὶ τὰς δυσεντερίας

τὰς αἱματηρὰς δηλονότι λεγομένας, οὐχ ὅσαι διὰ χολὴν ἡλκώκασι τὰ ἔντερα, περὶ ὧν λέλεκταί μοι ἐν τῷ τετάρτῳ τῶν εἰς τὸ περὶ ἄρθρων ὑπομνήματι . . . ἀλλ' ὅσον ἐπὶ δυσεντερικαῖς ἐκκρίσεσι δακνούσαις σφοδρῶς, ἤτοι τράγου χυλὸν ἐνίεμεν, ἢ στέαρ αἴγιον, ἢ ῥοδίνην κηρωτήν. ὑφ' ὧν αὕτη μὲν ἡ τῶν ἐντέρων ἕλκωσις οὐ θεραπεύεται, καὶ μάλιστα ὅταν ἔχῃ τι σηπεδονῶδες. ἀναπαύεται δὲ ἡ δύναμις ἐν τῷ μεταξὺ . . . . καὶ οὐ θαυμαστὸν, ἐπειδὴ ὅσα τῶν ζώων τε, καὶ φυτῶν ταχέως αὐξάνεται, ταῦτα καὶ ταχέως τὸν βίον τελευτᾷ . . . τῶν ξηρῶν νοσημάτων αἰτίαι. τῶν δ' ὑγρῶν αἱ ἐναντίαι σύμπασαι. ἐδεσμάτων μὲν ὑγροτέρων τὴν δύναμιν ἀφθονία, καὶ πλείω τὰ πόματα, καὶ σύμπασα ἡ ἁβροτέρα δίαιτα, καὶ ἡ θυμηδία, καὶ λουτρὰ τῶν γλυκέων ὑδάτων πολλὰ, καὶ μᾶλλον μετὰ τροφήν. οὕτω δὲ καὶ ἀργὸς ὁ βίος, καὶ ἄνευ πόνων, ὄμβροι τε πολλοὶ, καὶ πᾶσα κατάστασις ὑγρὰ, καὶ τὰ ταὐτὸ τοῦτο δυνάμενα φάρμακα, ὡς καὶ τ' ἄλλα πολλά. ἀλλὰ μὴν ἐπάνειμι πρὸς τὴν δυσεντερίαν, ἣ ἀεὶ σχεδὸν μετὰ τοῦ τεινεσμοῦ ἐστίν. ἐνίοτε μὲν γὰρ ὑπὸ μὲν αἰτίου τινὸς γίνεται τὸ πάθος, οὐ μὴν ἤδη πως μόνιμον ἔχει τὴν διάθεσιν, εἰ χωρισθείη τὸ αἴτιον. ἐνίοτε δὲ ἤδη γέγονεν, ἔτι τε γίνεται. πολλάκις δὲ πέπαυται μὲν γινόμενον, ἀφ' εἰκομένης τῆς αἰτίας, ἤδη δὲ ἐστὶ μόνιμος ἡ διάθεσις, καὶ ὁ δακνώδης χυμὸς αἴτιόν ἐστι τοῦ πάθους, ἐν ἀρχῇ μὲν ἀπορρύπτων τε, καὶ ξύων, ἐν χρόνῳ δὲ ἑλκῶν τὸ ἔντερον. εἰ μὲν οὖν πρὶν ἑλκῶσαι, παύσεται διεξιὼν, οὐδέπω δυσεντερία τὸ πάθος ἐστίν. εἰ δ' ἑλκωθῆναι φθάσειεν τὸ ἔντερον, οὐκ ἂν ἔτι συμπαύσαιτο τῷ χυμῷ τὸ γενόμενον πάθος.

A cruentas videlicet appellatas excitat, non quæ ob bilem exulcerant intestina, de quibus quarto commentario in Librum de articulis à me dictum est. . . . . Cæterum in dysentericis excretionibus vehementer mordentibus aut hirci succum immittimus, vel caprinum sevum, vel rosaceum ceratum, quibus ipsa quidem intestinorum exulceratio non curatur, ac potissimùm quum quid putridum habuerit; refocillatur tamen interea facultas . . . . Neque mirandum, quoniam quæcunque tum animalia, tum stirpes cito crescunt, hæc etiam B vitam celeriter terminant . . . . . Siccorum morborum causæ. Humidorum autem contrariæ omnes. Esculentorum quidem facultate humidiorum copia, plura potulenta, victus omnis delicatior, oblectamentum, crebra dulcium aquarum, potissimum à pastu balnea. Sic autem & otiosa vita etiam sine laboribus, imbres multi, omnis status humidus, & medicamenta, ut & cætera multa ea facultate donata. Veruntamen ad dysenteriam redeo, quæ fere semper cum tenesmo existit. Etenim C interdum quidem ab aliqua causa procreatur morbus, nondum tamen jam permanentem affectum habet, si causa secedat. Interdum verò jam procreatus est, atque etiamnum procreatur. Sæpe vero qui procreatur, cessavit, abeunte causa. Jam vero permanens affectus est; & affectûs causa humor est mordax, qui initio quidem intestinum sordibus expurgat & radit, tempore vero exulcerat. Itaque si priusquam exulceret, percurrendo cessaverit, nequaquam hic morbus dysenteria est; si verò intestinum exulcerari contigerit, non jam D cum humore creatus morbus cessaverit.

Τὰ τῇ θηλαζούσῃ γυναικὶ ἐκθύματα ἀνὰ τὸ σῶμα πάντη κατὰ τὸ δέρμα ἐξανθοῦσθαι, καὶ αὐτὴν μὴ θηλάζουσαν ὑγιάζεσθαι.

Lactanti mulieri pustulas per universum corpus erupisse, atque non lactentem maluisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

Θηλάζουσα εἶτα ἐκθύματα ἀνὰ τὸ σῶμα πάντη εἶχεν. ἐπεὶ ἐπαύσατο θηλάζουσα, κατέστη θέρεος.

HIPPOCRATIS TEXTUS XVIII.

Lactanti pustulæ passim per corpus ad cutem eruperunt, quæ ad æstatem sedata sunt, ubi lactare cessavisset.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκθύματα λέγει τὰ αὐτομάτως ἐξανθοῦντα κατὰ τὸ δέρμα, ὡς καὶ ἐν τοῖς τῶν ἐπιδημιῶν γράφει, ἐκθύματα μεγάλα. γίνεται δὲ ἐκ τῶν περιττῶν χυμῶν, καὶ ἡ προσηγορία φαίνεται ἐκ τοῦ ἐκθύειν, ὅ ἐστιν ἐξορμᾶν, γεγονέναι, καὶ κατὰ τοῦτο σημαινόμενον εἶπεν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν, λύσειε δ' ἂν ἑλκύδριον κάτω ἔκθυσις, τουτέστιν ἐξόρμησις.

GALENI COMMENTARIUS.

E Pustulas dicit quæ sponte per cutem efflorescunt, ut etiam in libris Epidemiorum scribit. *Papulas magnas.* Gignuntur autem ex supervacaneis humoribus, quibus appellatio facta esse videtur ἐκ τοῦ ἐκθύειν, quod est erumpere. Hac significatione sexto Epidemiorum dixit, solvet autem ulcusculum papula inferior, hoc est, eruptio.

Ἡ τοῦ σκύτεως γυνὴ ἡ χωρίου τι ἀπέχεν ἀπῆλθεν τεταρταία κακῶς, καὶ τὴν στραγγουρίαν μέχρι τοῦ ἑτέρου τόκου ἤνεγκεν ἢ ἀφείθη. τὰ τῆς κύστεως συμπτώματα. τὰ τῆς στραγγουρίας αἴτια.

F. Historia uxoris Coriarii quæ retentum quiddam secundarum quarto die malè ejecit. Et stranguriæ causæ: Stranguriam adusque alterum partum tulit, qua liberata est. Vesicæ symptomata quæ purgata.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Τῇ τοῦ σκυτέως, ὃς τὰ σκύτινα ἐποίησε, τεκούσῃ, καὶ ἀπολυθείσῃ τελέως, ἐδόκει τοῦ μὲν χωρίου τι τὸ

HIPPOCRATIS TEXTUS XIX.

Coriarii coriacea parantis uxori, quum peperisset, ac perfectè purgata esset, ex secun-

dis membranorum quiddam subsistere visum est, quod quarto die malè decessit; stranguria nanque vexabatur; quæ quum brevi conciperet masculum peperit. Habebat autem jam multos annos, & postremum menses non prodibant. Quum autem peperisset, urinæ stillicidium paulatim intermisit.

A ὑμενοειδὲς ἀπέχειν, ἀπῆλθεν τεταρταίη κακῶς. στραγγουριώδης ἐγένετο αὐτίκα· συλλαμβάνουσα ἔτεκεν ἄρσεν. πολλὰ δὲ ἔτεα ἤδη εἶχε, τὰ ὕστατα, καὶ οὐδὲ ἐπιμηνία εἴη. ὅτε δὲ τέκοι, διέλειπεν ἐπ' ὀλίγον ἡ στραγγουρίη.

GALENI COMMENTARIVS.

Multa vesicæ oboriuntur symptomata; quorum alia quidem cæteris partibus communia sunt, ut omnes præter naturam tumores, tum dolores, tum quæ ob ea efficiuntur pathemata; alia vero ipsius solius propria ut ischuriæ & stranguriæ; alio vero modo incommoderatæ urinarum excretiones. At stranguria fit in acribus urinis propter exulcerationem, aut vesicæ imbecillitatem, interdum quidem ex renum affectu; interdum verò ex alia quadam causa eorum quæ in urinas pravas sui humores transmittunt, aut album pus quum renes abscessu laborent; interdum etiam propter humores venarum & per renes, & per vesicam expurgatos. Quemadmodum enim per ventrem sæpe corpus universum expurgatur: sic & per renes & per vesicam. Atque laboriosè universum corpus per diuturnam stranguriam expurgatur, & nonnunquam partes effici necesse est, per quas acrium urinarum fit excretio, quod nimirum ipsæ mordeantur, & assiduè excretione vexentur. Hippocrates autem primo Epidemiorum in secundo statu dicit signorum solum bonum ac maximum esse stranguriam, quæ & infirmos plurimos liberavit, pravis humoribus per vesicam excretis, ut aliquando per intestina. Verùm non semper hoc accidit. Vesica nanque in stranguriis ad urinarum excretionem promovet, priusquam decenter ipsa repleta sit ex duplici causa; aut quod ipsarum qualitatem non ferat quum mordaces fuerint, aut quod propter imbecillitatem prægravetur priusquam accumulentur, etiamsi paucæ sint. Addit autem hanc uxorem Coriarii multorum annorum fuisse, & sic se habuisse, hoc est, stranguria laborasse, ac tandem menstrua non prodiisse, ac derepente stranguria liberatam fuisse, quod propter partum contigisse par est credere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γίνεται κατὰ τὴν κύστιν πολλὰ συμπτώματα, ὧν τὰ μὲν κοινὰ τοῖς ἄλλοις ἐστὶν, ὡς οἱ παρὰ φύσιν ὄγκοι πάντες, ὀδύναι τε, καὶ τὰ ταύτης ἐργαζόμενα πάθη. B τὰ δ' ἴδια μόνης αὐτῆς, ὡς αἱ ἰσχουρίαι τε, καὶ στραγγουρίαι. κατ' ἄλλον δὲ τρόπον αἱ ἄμετροι τῶν οὔρων ἐκκρίσεις, στραγγουρία δὲ ἐπὶ δριμέσιν οὔροις γίνεται δι' ἕλκωσιν, ἢ ἀτονίαν κύστεως, ποτὲ μὲν ἐπὶ νεφρῶν πάθει· ποτὲ δὲ ὑπ' ἄλλῳ τινὶ τῶν εἰς οὖρα τὴν ἑαυτῶν κακοχυμίαν, ἢ τὸ πύον, ὅτ' ἂν ἀποστήματι κάμνει, διαπέμψαι δυναμένων, ποτὲ δὲ διὰ τοὺς ἐν ταῖς φλεψὶ χυμοὺς ἐκκαθαιρομένους διὰ νεφρῶν τε, καὶ κύστεως· ὥσπερ γὰρ διὰ γαστρὸς πολλάκις ἐκκαθαίρεται τὸ σύμπαν σῶμα, C οὕτω καὶ διὰ νεφρῶν, καὶ κύστεως, καὶ ἐπιπόνως ἐκκαθαίρεται ὅλον τὸ σῶμα διὰ τῆς χρονίας στραγγουρίας, καί ποτε ἀνάγκη πάσχειν τὰ μόρια, δι' ὧν ἡ ἔκκρισις γίνεται τῶν δριμέων οὔρων, δηλονότι δακνόμενα, καὶ τῇ συνεχεῖ τῆς ἀποκρίσεως ἐνοχλούμενα. Ἱπποκράτης δ' ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν, ἐν τῇ δευτέρᾳ καταστάσει, φησὶ, μόνον χρηστὸν, καὶ μέγιστον τῶν σημείων, ὃ καὶ πλείστους τῶν ἀρρώστων ἐρρύσατο γεγονέναι τὴν στραγγουρίαν, τῶν μοχθηρῶν χυμῶν ἐκκρινομένων διὰ τῆς κύστεως, ὥσπερ ἐνίοτε διὰ τῶν ἐντέρων. ἀλλ' οὐκ ἀεὶ τοῦτο συμβαίνει. D κύστις γὰρ ἐπὶ τὴν ἔκκρισιν ὁρμᾷ τῶν οὔρων ἐν ταῖς στραγγουρίαις, πρὶν ἀξιολόγως ὑπ' αὐτῶν πληρωθῆναι, διὰ διττὴν αἰτίαν, ἤτοι τῷ μὴ φέρειν αὐτῶν τὴν ποιότητα, καὶ δακνωδῶν γινομένων, ἢ τῷ δι' ἀρρωστίαν βαρύνεσθαι, πρὶν ἀθροισθῆναι, κἂν ὀλίγον ᾖ. προστίθησι δὲ, ὅτι ἡ τοῦ σκυτέως ἔτεα πολλὰ οὕτως εἶχεν, τουτέστιν οὕτως ἦν στραγγουριώδης, καὶ πρὸς τὸ ἔσχατον, οὐδὲ ἐπιμηνία εἴη, καὶ ὅτι ἐπ' ὀλίγον ἡ στραγγουρία διέλειπεν. ὅπερ διὰ τὸν τόκον εἰκός ἐστι γεγονέναι.

E

Historia mulieris Ischii dolore ante conceptionem laborantis, qui conceptione facta cessavit, sed à partu rediit. In prægnantis tibia dextra & manu dextra exanthemata oborta uteri inflammationem aut erisypelas portendere.

Ἱστορία τῆς γυναικὸς τῷ ἰσχίου ἀλγήματι νοσούσης πρὸ τῆς κυήσεως, ὃ μετὰ κύησιν γινομένην πέπαυται, καὶ μετὰ τόκον ἐπανῆλθεν· ἐν γαστρὶ ἐχούσῃ ἐν κνήμῃ δεξιῇ, καὶ χειρὶ δεξιῇ ἐξανθήματα ἐπιγινόμενα τῆς τῆς μήτρας φλεγμονὴν, ἢ ἐρυσίπελας γίνεσθαι σημαίνουσι.

HIPPOCRATIS TEXTUS XX.

Quædam priusquam conciperet coxendicem dolebat; postquam vero concepit non amplius dolebat. Vigesimo autem à partu die rursum doluit; marem utique peperit. Prægnanti in inferiori tibia dextra, itemque in manu dextra ad pollicem; tertio aut quarto mense pustulæ eruperunt, ad quas manna thuris utimur, quæ an peperit, nescio; eam nanque semestrem reliqui. Habitabat autem, ut ego arbitror in Archelai ædibus ad rupem.

F ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Ἰσχίον δέ τις ἤλγει, πρὶν ἴσχειν, ἐπειδὴ ἔσχεν, οὐκ ἔτι ἤλγει. ἐπειδὴ ἔτεκεν, εἰκοσταία ἐοῦσα, αὖθις ἤλγησεν, ἔτεκεν δὲ ἄρσεν. ἐν γαστρὶ ἐχούσῃ ἐν κνήμῃ κάτω δεξιῇ, ἢ τρίτῳ, ἢ τετάρτῳ μηνὶ ἐξανθήματα, πρὸς ἃ τῇ μάννῃ χρώμεθα, καὶ ἐν χειρὶ δεξιῇ παρὰ μέγαν δάκτυλον, οὐκ οἶδα ὅτι ἔτεκεν, κατέλιπον γὰρ ἑξάμηνον. ᾤκει δὲ, ὡς ἐγὼ οἶμαι, τὰ Ἀρχελάου πρὸς τῷ κρημνῷ.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὗται τῶν κυημάτων περιστάσεις, καὶ συνδρομαὶ οὕτω ποικίλαι τε, καὶ διάφοροι, ἢ μηδεμίαν, ἢ πάνυ μικρὰν ῥοπὴν ἔχουσι πρὸς τὴν ὑγίειαν, καὶ πρὸς τὴν νόσον, καὶ ἔοικεν ἐκ τῶν ἐκείνων εἶναι μᾶλλον, ἃ τὰς κοινὰς τῶν πραγμάτων διαθέσεις, ἢ τὰς ἀναμφιβόλους τε, καὶ ἰδίας φύσεις ἐνδείκνυνται, οἷάπερ καὶ ἐν τῇδε, καὶ ἐν ταῖς ἄλλαις τῆς παλαιοῦ πραγματείας γέγραπται. ὡς γοῦν τούτων λαμβανόμενα ὑφ' ἑαυτοῦ, οὕτω καὶ ἐπιπολαίως αὐτὰ διελθεῖν ἡμᾶς πρέπει. οὐ γὰρ ἀκριβῶς ταῦτα παρετήρησεν, ἵνα καὶ ἐπιμελῶς ἐξηγεῖσθαι δύναιτο, καθάπερ ἐν τῷ πρώτῳ, καὶ τρίτῳ πεποίηκεν, ἀλλὰ ἐκ τοῦ παραχρῆμα εἰς τὰς ἐφημερίδας ἀνέφερε. Εἰκὸς γοῦν ἐν τῇδε τῇ γυναικὶ, τοῦ δεξιοῦ τῆς μήτρας μορίου πεπονθότος, ὅτι εἰς τὸ ἰσχίον κατέκειτο, καὶ ἡ γυνὴ ἤλγει. ἐπεὶ δὲ ἔτεκεν, ἐπαρηγορήθη ἡ ὀδύνη, καὶ τὸ κακὸν ὑπὸ τῆς φύσεως εἰς ἄλλον κατεβάλλετο τόπον, καὶ τοῦτο κατ' ἴξιν, τουτέστιν, ἐπειδὴ τῷ τρίτῳ, ἢ τετάρτῳ μηνὶ τὰ ἐξανθήματα, ὄντος ἤδη ῥωμαλέου τοῦ βρέφους, εἰς τὴν κνήμην τὴν δεξιὰν, καὶ εἰς χεῖρα δεξιὰν ἐκρήγνυται. ἴσθι γὰρ, ὅτι τὰ ἐξανθήματα ἐν ταῖς τῆς μήτρας διαθέσεσιν εἰς τὸ δέρμα ἐκραγέντα, σημαίνουσιν, ὅτι ἡ φλεγμονὴ, ἢ ἐρυσίπελας, ἐκ τοῦ ἀποζέοντος καὶ λεπτοῦ αἵματος ἐν τῇ μήτραις ἐγγίνεται. ὡς ἐν τῷ περὶ γυναικείης φύσεως γέγραπται. ἡ δὲ μάννη, καὶ τὸ ὑπόσισμα τοῦ λιβανωτοῦ ἐπιτηδειότερον πρὸς ταύτην τὴν νόσον νομίζεται, ἢ λιβανωτὸς, καὶ γὰρ στυπτικώτερόν ἐστι, καὶ ξηραντικώτερον. νῦν δὲ ἄδηλόν ἐστιν, πότερον μιᾷ, ἢ δυσὶ γυναιξὶ τοῦτο συμβεβηκέναι φησίν. εἶπε γὰρ πρῶτον, ἔτεκεν ἄρσεν, ἔπειτα δὲ, οὐκ οἶδα, ὅτι ἔτεκεν, κατέλιπον γὰρ ἑξάμηνον.

GALENI COMMENTARIUS.

Ipsæ partuum circunstantiæ, & concursus adeo varii ac diversi aut nullum, aut perexiguum momentum ad sanitatem & morbum sortiuntur; videnturque ex illis magis esse quæ potius communes rerum dispositiones, quam indubias & proprias naturas demonstrent, quales & in hoc & cæteris senis
B operibus scriptæ sunt. Ut itaque summatim hæc accipiuntur: sic & superficie tenus hæc percurrere decet. Non enim hæc accuratè observavit, ut & sedulo explicari valerent, quemadmodum in primo & tertio fecit, verùm in præsenti ad diaria retulit. Consentaneum igitur est hac in muliere, dextra uteri parte affecta in coxendicem dolorem descendisse, mulieremque doluisse. Postquam autem peperit, levatus est dolor, malumque à natura in alium locum depositum est, idque secundùm rectitudinem, hoc est, quum tertio vel quarto mense papulæ, facto jam
C partu, robustiores in tibiam dextram, dextramque manum eruperunt. Scito nanque quod exanthemata in uteri affectibus ad cutim erumpentia significent inflammationem, aut erisypelas in uteris procreari, ut in Libro de natura muliebri scriptum est. Existimatur autem aptius remedium hyposisma, *manna thuris*, aut libani fructus. Etenim astrictorium magis, magisque exiccatorium est. Nunc autem non constat utrùm uni aut duabus mulieribus id accidisse dicat.
D Dixit nanque primùm, masculum peperit; deinde vero, non novi quid pepererit; semestrem enim reliqui.

Ἱστορία τῆς γυναικὸς τῆς ἀσθματικῆς τὸ παιδίον σαρκῶδες καὶ ἀνόστεον τετοκυίας. Τὰ τοῦ ἄσθματος αἴτια.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Ἡ Ἀντιγένεος, ἡ τὸν περὶ Νικόμαχον, τέκεν παιδίον, σαρκῶδες μὲν, ἔχον δὲ τὰ μέγιστα διακεκριμένα. μέγεθος δὲ ὡς τετραδάκτυλον, ἀνόστεον· ὕστερον δὲ παχὺ, καὶ στρογγύλον. αὕτη δὲ ἀσθματώδης ἐγένετο πρὸ τοῦ τόκου. ἔπειτα ἅμα τῷ τόκῳ πῦον ἀνήμεσεν ὀλίγον, οἷον ἐκ δοθιῆνος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θαυμαστὸς εἴη ὁ τόκος οὗτος, εἰ μὴ ὑποψίαν παρέχῃ αὐτὸν ἐξ ἀμβλώσεως γεγονέναι. πῶς δὲ ἡ γυνὴ πρὸ τόκου ἐγένετο ἀσθματώδης, ἔπειτα δὲ ἅμα τῷ τόκῳ πῦον ἀνήμεσεν, ἐν τῷ περὶ δυσπνοίας εἴρηται ἡμῖν ἱκανῶς, ἔνθα καὶ τὰς ἄλλας τοῦ Ἱπποκράτους ῥήσεις ἐκ τῶν βιβλίων ἐπιδημιῶν περὶ τῆς δυσπνοίας αὐτῷ γεγραμμένας ἐξηγησάμεθα. τοῦτο δὲ μόνον προσθήσομεν, ὅτι ἀσθμαίνοντες πυκνὸν ἀναπνέουσι, καὶ τὸν θώρακα μέχρι πολλοῦ διαστέλλουσι. συμβαίνει δὲ τοῦτο, ἐπειδὰν ἔμφραξις, ἢ θλίψις, ἢ στενοχωρία τις ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ὑπάρχῃ. ὅπερ ἐν τῇδε τῇ γυναικὶ ἐδήλωσε τὸ πῦον.

Historia mulieris qui puerum carnosum exossem peperit asthmatica: asthmatis causæ.

HIPPOCRATIS TEXTUS XXI.

Antigenis uxor, qui ad Nicomachum habitabat, carnosum quidem puerum peperit, verùm qui maximas partes distinctas haberet,
E *magnitudinem verò quatuor digitorum, & exos esset; tandem etiam crassus & rotundus. Ipsa autem ante partum anhelosa erat, deinde simul cum partu pus paucum, quale ex furunculo evomuit.*

GALENI COMMENTARIUS.

Hic partus admirabilis esset, nisi ipsum ex abortu natum esse suspicaremur. At quomodo mulier ante partum esset asthmatica; deinde vero in ipso partu pus evomue-
F rit in Libro de difficili respiratione à nobis abundè proditum est. Ubi etiam alios Hippocratis textus ex Libris Epidemiorum de dyspnœa conscriptos explicuimus. Hoc autem solum addam asthmaticos crebro ac densè respirare, thoracemque magnopere distendere. Hoc autem accidit, quoniam obstructio aut compressio, aut angustia quædam respirationis organis insidet; quod hac in muliere pus manifestum fecit.

A

Historia puerperæ, quæ ob lochiorum suppressionem non perpurgata, in gravia incidit symptomata, cui tamen ad usque sextum mensem alba & rubra profluxerunt, quæ veneri officiebant; cur?

HIPPOCRATIS TEXTUS XXII.

B

Quæ ex arduo partu filias gemellas edidit mulier, neque admodum perpurgata est, universa primum intumuit; deinde venter magnus evadebat, cæteræ vero partes subsiderunt. Ad sextum usque mensem rubra primùm, deinde reliquo jam tempore, alba admodum profluxerunt. Hi vero fluxus veneri officiebant, illique merè rubicundi prodibant.

GALENI COMMENTARIUS.

Si quæ ob partum vacuantur eorum suppressio fiat, mala causa, signumque malum est. Purgatio siquidem est alienorum quæ graviditatis tempore in venis acervata sunt,

C

absumpto quidem ad partus nutritionem utili qui venis inerat sanguine, remanente vero deteriore qui singulis mensibus per uterum antea excernebatur. Quum itaque hic non evacuatus est pariente muliere, causa tumoris est in universo corpore existentis; aut uterum in magnam inflammationem adducit; aut ad unum locum adductus excipienti peculiarem morbum adfert, ut etiam nunc venter translatum ab utero pravum sanguinem recepit, & magnus evadit. Interdum vero

D

suppressa etiam post partum purgatione, ut in Thaso Philini uxori contigisse pronuntiat Hippocrates. At non solùm suppressa in partu purgatione, mulieribus morbus accidit, verumetiam morbosa est menstruorum suppressio. Non tamen, imo non peræquè noxia illi quæ in partu est. Quod non solùm ipsam plenitudinem, verumetiam cacochymiam efficiat. Nam dictum est fœtum in se meliorem quo nutriatur sanguinis portionem trahere, deteriorem verò relinquere, quæ causa est prægnantibus cacochymiæ, quam natura

E

post partum evacuat. At author, sive nobis medicamentum exhibentibus, sive etiam natura ipsa corpus expurgante, infestantium humorum vacuatio fiat, purgationes nominare consuevit. Veterum tamen testimoniis etiam confirmare licet vacuationem non simpliciter eam vocari quæ per menstruorum excretionem fit, sed purgationem; quemadmodum eam etiam quæ per purgantia medicamenta editur, & lochiam seu puerperii purgationem Medici nominarunt, non simpliciter vacua-

F

tionem. Ipsa vero dictio variis modis à priscis Interpretibus scripta legitur. Dioscorides enim ita scribit; ad venerea autem οὖραι respiciebant. At Heraclides id censet esse incredibile; propterea existimat θύραι, quod est, *januæ* per θ scriptum esse, media litera in ea aut tempore deperdita, aut primo Libri scriba decepto. Verùm neutra scriptura docet nos quicquam ex mente senis acceptum. Quare duxerim ego potius ab ipso authore, οἱ ῥόοι,

Ἱστορία τῆς παιδοτόκου διὰ τὴν τῶν λοχίων ἐπίσχεσιν οὐ πάνυ καθαρθείσης εἰς τὰ μοχθηρὰ ἐπιπεσούσης συμπτώματα, ᾗ δὲ μέχρι τοῦ ἕκτου μηνὸς τὰ ἐρυθρὰ καὶ λευκὰ εἴη· πρὸς δὲ ἀφροδίσια οἱ ῥόοι ἔβλαπτον. διὰ τί;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θυγατέρας τεκούσης διδύμους, καὶ δυστοκησάσης, καὶ οὐ πάνυ καθαρθείσης, ἐξῴδησεν ὅλη· ἔπειτα ἡ γαστὴρ μεγάλη ἐγένετο· τὰ δὲ ἄλλα ἐταπεινώθη, καὶ ἐρυθρὰ εἴη μέχρι τοῦ ἕκτου μηνός. ἔπειτα λευκὰ κάρτα πάντα ἤδη τὸν χρόνον, πρὸς δὲ τὰ ἀφροδίσια οἱ ῥόοι ἔβλαπτον, καὶ οἱ ἄκρητα ἐρυθρὰ ἰκνεύμενα ἦσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τῶν ἐπὶ τόκῳ κενουμένων, εἰ ἐπίσχεσις γένηται, μοχθηρὸν ἐστὶν αἴτιον, καὶ σημεῖον. κάθαρσις γὰρ τῶν ἀλλοτρίων, ἃ κατὰ τὸν τῆς κυήσεως χρόνον ἠθροίσθη ἐν ταῖς φλεψὶ, δαπανωμένου μὲν εἰς τροφὴν τῷ κυουμένῳ τοῦ κατ' αὐτὰς χρηστοῦ αἵματος, μένοντος δὲ τοῦ φαυλοτέρου, ὃ καθ' ἕκαστον μῆνα πρότερον ἐξεκρίνετο διὰ τῆς μήτρας. ὅταν οὖν τοῦτο μὴ κενωθῇ, τεκούσης τῆς γυναικὸς, αἴτιόν ἐστι τῆς ἐν ὅλῳ τῷ σώματι οἰδήσεως, ἢ τὴν τῆς μήτρας ἐξαίρει εἰς μεγάλην φλεγμονὴν, ἢ πρὸς ἕνα τόπον ἐνεχθὲν, οἰκεῖον τῷ δεξαμένῳ πάθος ἐπιφέρει, καθάπερ καὶ νῦν ἡ γαστὴρ τὸ ἀπὸ τῶν ὑστερῶν ἀναφερόμενον αἷμα πονηρὸν ἐδέξατο, καὶ μεγάλη ἐγένετο. ἐνίοτε δὲ καὶ ἐπισχεθείσης τῆς μετὰ τόκον καθάρσεως, ἢ ἡ νόσος ἐγένετο, καὶ θάνατος, ὡς ἐν Θάσῳ τῇ τοῦ Φιλίνου γυναικὶ συμβεβηκέναι φησὶν Ἱπποκράτης· οὐ μόνον δὲ ἐπισχεθείσης τῆς κατὰ τὸν τόκον καθάρσεως γίνεται ταῖς γυναιξὶ νόσος, ἀλλὰ καὶ νοσώδης ἐστὶν ἡ τῶν καταμηνίων ἐπίσχεσις, οὐ μὴν ἀλλὰ οὐχ ὁμοίως βλαβερὰ τῇ κατὰ τὸν τόκον, ὅτε μὴ μόνον αὐτὸ τὸ πλῆθος, ἀλλὰ καὶ κακοχυμίαν ἱκανὴν ἐργάζεται. εἴρηται γὰρ, ὅτι τὸ ἔμβρυον ἕλκει εἰς ἑαυτὸ τὸ χρηστότερον αἷμα, τροφῆς ἕνεκα· καταλείπει δὲ τὸ φαυλότερον, ὅπερ αἴτιον γίνεται τῆς κακοχυμίας ταῖς κυούσαις, ἣν μετὰ τὸν τόκον ἡ φύσις ἐκκενοῖ, αὐτὸς δὲ, εἴθ' ἡμῶν δόντων τὸ φάρμακον, εἴτε καὶ τῆς φύσεως αὐτῆς ἐκκαθαιρούσης τὸ σῶμα τῶν λυπούντων χυμῶν ἡ κένωσις γένοιτο, καθάρσεις εἴωθεν ὀνομάζειν· ἔξεστι μέντοι καὶ μαρτυρῆσαι τοῖς παλαιοῖς οὐ κένωσιν ἁπλῶς καλεῖσθαι τὴν διὰ καταμηνίων ἔκκρισιν, ἀλλὰ κάθαρσιν, ὥσπερ γε καὶ τὴν διὰ τῶν καθαιρόντων γινομένην φαρμάκων, καὶ τὴν λοχείαν, κάθαρσιν ὀνομάζουσιν οἱ ἰατροὶ, οὐχ ἁπλῶς κένωσιν. ἡ δὲ αὐτὴ λέξις παρὰ τοῖς παλαιοῖς ἐξηγηταῖς ποικίλως γέγραπται. Διοσκορίδης γὰρ οὕτω γράφει, πρὸς δὲ τὰ ἀφροδίσια αἱ οὖραι ἔβλεπον. Ἡρακλείδης δὲ οἴεται τοῦτο ἀπίθανον εἶναι, διὸ νομίζει, ὅτι θύραι ἦν γεγραμμένον διὰ θ. τῆς μέσης γραμμῆς ἐν αὐτῇ ἢ τῷ χρόνῳ διαφθαρείσης, ἢ τοῦ βιβλιογράφου πρώτου σφαλέντος. ἀλλ' οὐδετέρα γραφὴ διδάσκει τι τῆς γνώμης ἐχόμενον τοῦ παλαιοῦ, διὸ ἡγησάμην ἐγὼ, μᾶλλον ἀπὸ τοῦ συγγραφέως οἱ ῥόοι

γέγραφθαι, ἢ τι ἄλλο, ἵνα λόγος εἴη περὶ τῆς ῥύσιος τῶν γυναικείων, περὶ ὧν πᾶσα νῦν ἐστὶν ἱστορία. αὗται μὲν γὰρ καὶ πάνυ ἐν ταῖς συνουσίαις τὰς γυναῖκας ἐνοχλοῦσι, καὶ διὰ τὸ ῥοῦν τὸ συνεχὲς, καὶ διὰ τὴν μεγάλην τῶν αἰδοίων θερμασίαν, καὶ τὸν κνησμὸν, καὶ τὴν τῆς ὀσφύος τε, καὶ βουβῶνος ὀδύνην, καὶ τὴν τῆς νειαίρας τάσιν, καὶ τὴν τῆς κακοσμίας σφοδρότητα.

A hoc est, *fluores* scriptum fuisse, vel quiddam aliud, ut oratio sit de muliebri fluore, de quo tota est historia. Hic nanque admodum in congressibus mulieres infestat, tum propter assiduum fluorem, tum propter magnum pudendorum calorem & pruritum, necnon lumborum & inguinis dolorem, & imi ventris tensionem, fœtorisque vehementiam.

Τὴν ὀξυρεγμίαν ταῖς λειεντερίαις ἐπιγινομένην σημεῖον χρηστὸν εἶναι, καὶ τὰς λύειν λειεντερίας. τὰς ταραχὰς τῶν νοσημάτων ἀλλοιώσεις ποιεῖν διὰ τὴν τῶν νόσων μετάπτωσιν. τὰς νόσους, ἐνίοτε νόσους θεραπεύειν.

B Ructum acidum lienteriis succedentem bonum signum esse & lienterias solvere. Perturbationes morborum permutationes efficere. Morbos morbis interdum mederi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

ΤΗσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη γινομένη πρόσθεν μηδέποτε γινομένη, σημεῖον χρηστὸν, οἷον Δημαινέτῃ ἐγένετο. ἴσως δὲ ἐστι καὶ τεχνήσασθαι· καὶ γὰρ αἱ ταραχαὶ αἱ τοιαῦται ἀλλοιοῦσιν, ἴσως δὲ καὶ ὀξυρεγμίη λειεντερίην λύουσιν.

HIPPOCRATIS TEXTUS XXIII.

Diuturnis lienteriis ructus acidus obortus, antea nequaquam factus bonum signum, quale Demænetæ contigit. Fortassis autem etiam arte parare licet. Etenim hujusmodi perturbationes, mutationes concitant. Fortassis etiam ructus acidi lienteriam solvunt. C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΥτη ἡ ῥῆσις μικρόν τι ἄλλως γεγραμμένη ἐν τοῖς ἀφορισμοῖς εὑρίσκεται, καὶ ἡμεῖς ἤδη αὐτὴν ἐξηγησάμεθα, καὶ τὰς τοῦ Ἐρασιστράτου περὶ λειεντερίας τε, καὶ δυσεντερίας, καὶ τεινεσμοῦ ῥήσεις παρατεθείκαμεν, καὶ ἐδείχθη, ὅτι ἀλλοτρία γραφὴ τῆς γνώμης τῶν ἐπιφανεστάτων ἰατρῶν, οἷον Φιλοτίμου, Ἡροφίλου, Εὐδήμου, Ἀρχιγένους, Διοκλέους, Πραξαγόρου, καὶ τῶν ἄλλων παλαιῶν. διὸ οὐ χρὴ μηκύνειν τὸν λόγον, ὃ δὲ λέγει, καὶ γὰρ αἱ ταραχαὶ αἱ τοιαῦται ἀλλοιοῦσιν, γίνεται τῷ λόγῳ τῆς τῶν νόσων μεταπτώσεως, ὥσπερ ὁ τεταρταῖος ἐπιληψίαν ἰᾶται, καὶ πυρετὸς ὅστις οὖν σπασμὸν, καὶ τὴν ὀφθαλμίαν διάῤῥοια, καὶ πλευρίτης περιπνευμονίαν καὶ λήθαργον φρενίτις, καὶ τ' ἄλλα πολλὰ τὰς νόσους θεραπεύει.

GALENI COMMENTARIUS.

IS textus paulò aliter scriptus in aphorismis invenitur, & nos jam illum explicuimus, proditas & Erasistrati de lienteria & dysenteria & tenesmo sententias apposuimus; ac demonstratum est aliena à mente scribi præclarissimorum Medicorum, videlicet Philotimi, Herophili, Eudemi, Archigenis, Dioclis, Praxagoræ, aliorumque veterum. Propterea non opus est multis sermonem protrahere. D Quod verò pronuntiat: *Etenim hujusmodi perturbationes concitant*; id fit ratione permutationis morborum, ut quartana febris epilepsiam sanat, & quæcunque febris convulsionem, & ophthalmiam diarrhœa, & pleuritis peripneumoniam, & phrenitis lethargum, & alii plerique morbi morbis medentur.

Ἱστορία τῆς Λυκίας κυούσης, ἡ ἐλλεβόρου πόσει καθαρθεῖσα ἰάθη, ἀλλὰ τοῖς μοχθηροῖς εὐθὺς διατεθεῖσα συμπτώμασι, πρὸ τοῦ τόκου ἀπέθανεν.

E Historia Lyciæ prægnantis quæ ex veratri potione purgata sanata est; sed pravis statim affectis symptomatibus ante partum obiit.

HIPPOCRATIS TEXTUS XXIV.

ΙΗθη ἐλλεβόρου πόσει Λυκίη, τὰ ὕστατα σπλὴν μέγας, καὶ ὀδύναι, καὶ πυρετὸς, καὶ εἰς ὦμον ὀδύναι, καὶ ἡ φλὲψ ἡ κατὰ σπλῆνα ἐπ' ἀγκῶνι ἐτέτατο, καὶ ἔσφυζε μὲν πολλάκις. ἔτι δὲ ὅτε, καὶ οὐκ ἐτμήθη, ἀλλ' ἅμα ἱδρῶτι διῆλθεν, ἢ αὐτόματον, ἐξ οὗ δὲ ἰόντων ὁ σπλὴν τὰ δεξιὰ ἐνετέτατο. πνεῦμα ἀνεδιπλασιάζετο, οὐ μὴν μέγα, παρεφέρετο, περιεστέλλετο. φῦσα ἐνιοῦσα οὐ διῄει κάτω οὐδὲν, οὐδὲν οὔρει. ἀπέθανε πρὸ τοῦ τόκου.

Lycia veratri potione sanata est. Postremo lien magnus fuit, tum dolores, tum febris. Dolores vero ad humerum pertingebant; atque vena quæ ad lienem est in cubito distendebatur, ac plerunque pulsabat; interdum vero neque secta est, sed unà cum sudore aut sponte sua considebat. F *Quibus procedentibus lien ad dextra pertendebat. Spiritus intus duplicabatur, non tamen magnus, mente movebatur, coarctabatur flatus ingrediens, nec quicquam deorsum subibat, neque meiebat; obiit ante partum.*

A

GALENI COMMENTARIUS.

Et febris & dolor ad humerum & cervicem, & lienis tumor, & duplicatus spiritus magnam lienis inflammationem esse testantur. Manifestum est, quum in morbis acutis ægrotantium tumor visceribus insidet, eum inflammationis esse symptoma, hosque ipsum vocare viscerosos. Existimandum est etiam mulierem delirasse . . . . quoniam spiritus duplicabatur, non tamen ratione magnus. Ipsa nanque spirandi difficultas contingebat, quia nervorum organorum genus ipsius affectum erat; proptereaque universa urinarum suppressio facta est, duplicabaturque spiritus. Cur autem non magnus? aut quia refrigerabatur; coarctabatur enim, inquit: quo vocabulo in iis utitur qui secundum nativum calorem refrigerantur. Sic scimus in tertio Epidemiorum scriptum esse. Ab initio autem coarctabatur & in fine ac iterum semper coarctabatur; de Dealci uxore; imo & decumbente in Dealcis horto septimodecimo, inquit, manè extrema frigida coarctabantur. At de his spirandi difficultatibus, ac de aliis omnibus quas reperire licet apud Hippocratem, loquutus sum ego tribus in libris de dyspnœa inscriptionem habentibus. Consentaneum vero est etiam venam, quæ ad lienem fertur, ad cubiti flexum porrectam esse, idque pati propter crassum, fœculentum, & ferventem ejus sanguinem. Cujus affectionis auxilium maximum censebatur venæ sectio, maximè verò propter lienis inflammationem, quæ minimè facta est. *Pulsabat* autem, inquit, quod & inflammationis & tumoris signum est, in quibus veteres pulsum esse dixerunt. Tumorem autem esse testantur sequentia, dum dicit; *Verùm unà cum sudore, aut sponte sua considebat*; quibus ipsum significat aut cum sudoribus, aut & citra sudores dissolutum fuisse . . . . Quod itaque & salsæ & marinæ qualitatis participet, testatur gustus: Sæpe vero & amaritudo quædam manifesta deprehenditur. Est autem ut in sanis salsus sudor, ut cognoscitur si sudor casu in os confluat, sic in ægrotis. Nihilominus tamen paulatim mutatur, & ad prædominantis humoris morbumque excitantis gustum . . . . . . Sed interdum etiam ad bonum est perspiratis & attenuatis humoribus, quos è corpore, quum crassiores fuerint, per sensibiles excretiones natura vacuat, ubi sudores & urinarum aut dejectionum copiam, aut vomitum invehit. Nunc verò ubi non expurgat corpus; & quæ molesta sunt commovet, videtur natura sudores efficere; quoniam neque deorsum quicquam dejiciebat, neque urinam emittebat mulier, ut pravorum humorum redundantiam excerneret; sed ante partum obiit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ὁ πυρετὸς, καὶ ἡ ὀδύνη εἰς τὸν ὦμον, καὶ τὸν αὐχένα, καὶ ἡ τοῦ σπληνὸς οἴδησις, καὶ τὸ πνεῦμα τὸ διπλασιαζόμενον μεγάλην τοῦ σπληνὸς φλεγμονὴν εἶναι μαρτυροῦσι. πρόδηλον γὰρ, ὅτι ὅταν ὄγκος κατὰ τὰς ὀξείας νόσους ἐν σπλάγχνοις γένηται, φλεγμονῆς ἐστι τὸ σύμπτωμα, καὶ τούτους αὐτὸς μεγαλοσπλάγχνους ὀνομάζει. ὑπολειπτέον δὲ καὶ παραφρονῆσαι τὴν γυναῖκα. . .

B ἐπεὶ τὸ πνεῦμα ἐδιπλασιάζετο, οὐ μὴν μέγα κατὰ λόγον γε. ἡ γὰρ δύσπνοια αὕτη ἐγένετο, διότι ἐπεπόνθει αὐτῆς τὸ νευρῶδες γένος τῶν ὀργάνων, καὶ διὰ τοῦτο ἡ παντελὴς τῶν οὔρων ἐπίσχεσις, καὶ διπλασιαζόμενον ἐγένετο τὸ πνεῦμα. διὰ τί δὲ οὐ μέγα; ἢ διότι κατέψυκτο, περιεστέλλετο γάρ φησιν, ᾧ ὀνόματι χρῆται αὐτὸς κατὰ τῶν ἀποψυχομένων τὴν ἔμφυτον θερμασίαν. οὕτως ἴσμεν ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν γεγράφθαι, ἐξ ἀρχῆς δὲ περιεστέλλετο, καὶ διὰ τέλεος· καὶ πάλιν ἀεὶ περιεστέλλετο, περὶ τῆς τοῦ Δεάλκους γυναικὸς, ἀλλὰ καὶ περὶ τοῦ κατακειμένου ἐν τῷ Δεάλκους C κήπῳ, ἑπτακαιδεκάτῳ φησὶ, περὶ ἄκρεα ψυχρὰ, περιεστέλλετο. περὶ δὲ τῶν δυσπνοιῶν τούτων, καὶ τῶν ἄλλων ἁπασῶν, ἃς παρ' Ἱπποκράτει ἐστὶν εὑρεῖν, διηγησάμην ἐγὼ ἐν τρισὶ βιβλίοις ἃ περὶ δυσπνοίας ἔχουσι τὴν ἐπιγραφήν. εἰκὸς δὲ καὶ τὴν φλέβα ἐπ' ἀγκῶνι τετάσθαι, ἣ εἰς τὸν σπλῆνα φέρεται, καὶ τοῦτο πεπονθέναι διὰ τὸ παχὺ, ἰλυῶδες καὶ ζέον αἷμα, τὸ ἐν αὐτῇ. τοῦ δὲ πάθους βοήθημα μέγιστον νομίζεται ἡ φλεβοτομία, μάλιστα δὲ διὰ τὴν τοῦ σπληνὸς φλεγμονήν· οὐκ ἐγένετο δέ. τὸ δὲ ἔσφυζε, λέγει, D ὅπερ καὶ τῆς φλεγμονῆς τε, καὶ τοῦ ὄγκου σημεῖόν ἐστιν, ἐν οἷς οἱ παλαιοὶ εἶναι σφυγμὸν εἰρήκασιν. τὸν δὲ ὄγκον μαρτυρεῖ τὰ ἑπόμενα, ὅτε φησίν. ἀλλ' ἅμα ἱδρῶτι διῆλθεν, ἢ αὐτόματον, αὐτὸν σημαίνων ἢ δι' ἱδρώτων, ἢ καὶ αὐτὸν διεληλυθέναι . . . ὅτι μὲν οὖν τῆς ἁλυκῆς [illegible], καὶ ἁλμυρᾶς μετέχει ποιότητος, ἡ γεῦσις μαρτυρεῖ, πολλάκις δὲ καὶ πικρότης τις σαφὴς αἰσθάνεται. ἔστι δ' ὥσπερ ἐν τοῖς ὑγιαίνουσιν ἁλυκὸς, ὡς γινώσκεται παραρρέων εἰς τὸ στόμα τῶν ἀκόντων ἱδρὼς, οὕτω καὶ ἐν τοῖς νοσοῦσιν. ὅμως δὲ παρὰ μικρὸν ἐξαλλάττεται, καὶ κλίνεταί E πως πρὸς τὴν τοῦ κρατοῦντος χυμοῦ, καὶ νοσοποιοῦ γεῦσιν. . . . . . . ἀλλ' ἔστιν ὅτε, καὶ πρὸς ἀγαθοῦ διαπνεομένων τῶν λελεπτυσμένων χυμῶν, οὓς, ὅταν ὦσι παχυμερέστεροι, δι' αἰσθητῶν ἐκκρίσεων ἡ φύσις ἐκκενοῖ τοῦ σώματος, ἱδρῶτάς τε κινοῦσα, καὶ πλῆθος οὔρων, ἢ διαχωρημάτων, ἢ ἐμέτων ἐπάγουσα. νῦν δὲ οὐκ ἐκκαθαίρουσα τὸ σῶμα, καὶ κινοῦσα τὰ λυποῦντα φαίνεται ἡ φύσις ἐργαζομένη τοὺς ἱδρῶτας, ἐπει- F δὴ οὔτε διέει κάτω οὐδὲν, οὔτε οὔρει ἡ γυνὴ, ὡς τὴν περιουσίαν τῶν μοχθηρῶν ἐκκρίνεσθαι, ἀλλὰ πρὸ τόκου ἀπέθανε.

A

Ἐκ τοῦ ῥεύματος ἀπὸ τῆς κεφαλῆς εἰς φάρυγγα, καὶ ἐξ αὐτοῦ εἰς τὸν σπλῆνα κατακειμένου μετάστασις, ὅθεν ἡ κυνάγχη, ἐπάρματα, καὶ ἡ σπληνὸς ὀδύνη, καὶ φλεγμονή.

Ex humore à capite ad fauces & à faucibus ad lienem decumbente metastasis, unde angina, tubercula, lienis inflammatio & dolor.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε΄.

ΤΑ ἀμφὶ φάρυγγα ἑτερόῤῥοπα, ὁρμήσαντα οὐκ ἐφλυκώθη, ἐπὶ τὰ ἀριστερὰ μετῆλθεν, εἰς σπλῆνα ὀδύνη ἦλθεν ἀκρίτως.

HIPPOCRATIS TEXTUS XXV.

Quæ circum fauces ad alterutram partem sua irruptione vergebant, exulcerata non sunt, in sinistram transierunt, in splenem dolor processit citra judicationem. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟῦτο κατ' ἴξιν ἐγένετο, ὃ γὰρ εἰς τὰ ἀριστερὰ μετῆλθεν, κατέσκηψε εἰς τὸν σπλῆνα, καὶ ὀδύνην εἰργάσατο, καὶ οὐκ ὠφέλει, διότι ἀκρίτως. εἴωθεν μὲν Ἱπποκράτης οὕτω γράφειν, ὡς λέγειν· τὰ παρ' οὖς, καὶ τὰ κατὰ φάρυγγα σημαίνων τὰ ἐπάρματα τὰ σκληρύσματα, τὰ ἐρυθήματα, τὰ οἰδήματα, καὶ τὰς παρωτίδας, καὶ κατὰ τοῦτο τὸ σημαινόμενον εἶπεν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. C ἐπάρματα δὲ παρὰ τὰ ὦτα πολλοῖσιν ἑτερόῤῥοπα ἦν, καὶ ἐξ ἀμφοτέρων τοῖσι πλείστοισι ἐνδεικνὺς, ὅτι παρὰ ἓν μόνον οὖς ἡ παρωτὶς ἦν. καὶ πάλιν, τοῖσι δὲ καὶ μετὰ χρόνον φλεγμοναὶ μετ' ὀδύνης εἰς ὄρχιν ἑτερόῤῥοπαι, τοῖσι δὲ εἰς ἀμφοτέρους· καὶ μετ' ὀλίγον, περὶ κυναγχικῶν φησὶν, οἷσι μὲν οὖν ἦν ἐς ὀρθὸν ἐξόγκωμα, μήτε ἑτερόῤῥοπον, οὗτοι οὔτε παραπληκτικοὶ ἐγένοντο. . . . . οὐ δύναται γὰρ ὀξύς τε, καὶ καίων ὁ χυμὸς, ἐξ οὗ γίνεται πυρετὸς, ἐν τοῖς ὠσὶ ἀπόστασιν γεννᾶν. ἐν δὲ τοῖς κατωτέρω τοῦ σώματος μέρεσι γίνονται μὲν αἱ ἀποστάσεις D ἐκ τοῦ ψυχροῦ σφόδρα, καὶ παχέος χυμοῦ, ὥσπερ ἐκ τοῦ μέσου τούτων αἱ παρωτίδες. . . .

. . . . .

GALENI COMMENTARIUS.

HOc è directo accidit. Quod enim ad sinistra tetendit, ad lienem delatum est, doloremque concitavit, neque juvabat, quoniam citra judicium. Consuevit sane Hippocrates ita scribere quò dicat, quæ ad aures, & quæ ad fauces, quum significat eparmata, sclerysmata, rubores, tumores, parotidas, qua significatione pronuntiavit primo Epidemiorum Libro. At eparmata seu tubercula multis ad alterutram aurem, plurimis ex utraque propenderunt; quibus indicat in una solum aure parotidem fuisse. Atque iterum; quibusdam etiam processu temporis in testiculorum alterum, quibusdam verò in utrunque inflammationes cum dolore concidunt, & paulò post de angina laborantibus, inquit, Quibus itaque in rectum erat tumor, neque in alteram partem propendebat, hi neque paraplectici efficiebantur . . . . . Non enim potest acer & ardens humor, ex quo fit febris, in auribus abscessum procreare; in inferioribus autem corporis partibus fiunt quidem abscessus ex vehementi frigido & crasso humore, quemadmodum existorum medio parotides.

Ἱέρων διὰ τὴν κρίσιν ἰάθη, ἡ Κῴου ἀδελφὴ διὰ τὴν ἥπατος φλεγμονὴν ἀπέθανε.

Hiero ob crisim convaluit; Coi soror ob hepatis inflammationem interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ΄.

ΙΕρωνι ἐκρίθη πεντεκαιδεκαταίῳ. τῇ Κῴου ἀδελφεῇ ἧπαρ ἐπήρθη σπληνικὸν τρόπον, ἀπέθανε δευτεραίη. E

HIPPOCRATIS TEXTUS XXVI.

Hieroni decimoquinto judicatio facta est. Coi sorori splenico modo jecur sublatum est, ac die secundo mortua est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΙΕρων ἐκρίθη, καὶ διὰ τοῦτο ἐσώθη. ἐν δὲ τῇ ἀδελφῇ τοῦ Κῴου, τὸ τοῦ ἥπατος ἔπαρμα σημεῖόν ἐστι μεγάλης τοῦ ἥπατος φλεγμονῆς, διὸ ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν ἀπέθανε. F

GALENI COMMENTARIUS.

HIeroni judicatio facta est, proindeque convaluit. Quia vero in Coi sorore hepatis tumor signum est magnæ inflammationis, propterea secundo die interiit.

A

Bioni tumor lienis flatulentus significatur. Unde recidiva ?

HIPPOCRATIS TEXTUS XXVII.

Bioni quum ex larga urina nihil subsideret, ex nare sinistra sanguis erupit. Etenim lien sursum incurvus erat, ac durus supernè mansit. Hinc recidiva.

B

GALENI COMMENTARIUS.

Visceris tumorem significat dum dicit lienem, & incurvuum, & durum esse. Sic etenim in Philisci historia: Splen, inquit, intumuit circulari incurvatione. Et in prognostico, hypochondriorum & dolores & curvationes vocat, quas superiùs tumores denominaverat. Sunt autem hi omnes tumores, qui præter naturam, citra inflammationem contingunt, flatulenti quidem, ac maximè quum recentes extiterint.

C

Rarum anginæ genus describit quod ex primis cervicis vertebris intro vergentibus fit hanc pandationem nominant, cujus causæ & remedia traduntur.

HIPPOCRATIS TEXTUS XXVIII.

Qui autem angina laborabant, eorum hæ sunt affectiones. Cervicis vertebræ intro vergebant, quibusdam amplius, quibusdam prope collumque conspicuam intro cavitatem habebat, & hac parte contactum dolebat.

D

GALENI COMMENTARIUS.

Nunc anginæ speciem exponit, quæ raró à nobis visa est. Fit autem in primis vertebris quarum secunda processum habet dentiformem nominatum; à quo & pars dens ab Hippocrate vocatur. Dicit autem infra hancce vertebram anginam extitisse, non peræquè acutam ac eam quæ fit in secunda. Non enim solùm est vertebrarum introrsum demigratio quæ pandatio nominatur, verumetiam quæ retrorsum tensiones ad interiorem regionem sequitur, tractis nervosis corporibus à tumoribus hîc contra naturam consistentibus. Quum igitur una sola trahitur vertebra, vel etiam duæ, tresve mutua serie, spina panda luxatur illa in parte. Quum vero inter attractas vertebras una vel plures illæsæ permanserint, non eas pandari, sed contra gibbescere acidit, ut si ad alterutram partem, aut ad dextram vel sinistram partem attractatio fiat, ad illam spina intorqueatur. Dicit autem in spinæ quidem pandatione nullum factum esse paraplecticum, in obliquatione vero Libro de Articulis adusque manum paraplecticum fieri pronunciat. At hunc affectum ipse lethalem esse scripsit hoc in Aphorismo, cujus initium est; *Si febre detento repente cervix intorqueatur.* In prorrhetico quoque, ubi dicit; *Quibus spiritus attrahitur, vox autem suffocat, insidet vertebra.* Quum

E

F

Τῷ Βίωνι οἴδημα πνευματῶδες τοῦ σπληνὸς σημαίνεται. ὅθεν ἡ ὑποστροφή.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ΄.

Βίων ἅμα τε οὔρει ὑπέρπολυ, αἰυπόστατον, καὶ αἷμα ἐξ ἀριστεροῦ· ἦν γὰρ καὶ ὁ σπλὴν κυρτὸς, καὶ σκληρὸς, καὶ ἄνω περιεγίνετο ὑποστροφή.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σημαίνει τὸν τοῦ σπλάγχνου ὄγκον, τῷ εἰπεῖν, σπλὴν κυρτός τε, καὶ σκληρός· οὕτως μὲν γὰρ καὶ ἐν τῇ τοῦ Φιλίσκου ἱστορίᾳ, σπλὴν, φησὶν, ἐπήρθη, περιφερεῖ κυρτώματι, καὶ ἐν τῷ προγνωστικῷ, τῶν ὑποχονδρίων πόνους τε, καὶ κυρτώματα καλεῖ, ἃ ἔμπροσθεν οἰδήματα προσηγόρευε. ἔστι δὲ ταῦτα, πάντες οἱ παρὰ φύσιν ὄγκοι, χωρὶς μὲν φλεγμονῆς ἔτι γινόμενοι, πνευματώδεις, καὶ μάλιστα ὅταν ὦσι πρόσφατοι.

Τὸ σπάνιον τῆς κυνάγχης εἶδος διαγράφει, ὃ ἐκ πρώτων σπονδύλων ἔσω ῥεπόντων γινόμενον. τὴν αὐτὴν λόρδωσιν ὀνομαζούσης ἧς τὰ αἴτια, καὶ βοηθήματα παραδίδοται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη΄.

Ην δὲ τῶν κυναγχικῶν τὰ παθήματα τάδε. τοῦ τραχήλου οἱ σπόνδυλοι ἔσω ἔρρεπον. τοῖσι μὲν πλέον, τοῖσι δὲ πέλας, καὶ ἔσωθεν ἔνδηλος ἔγκοιλον ἔχων ὁ τράχηλος, καὶ ἤλγει ταύτῃ ψαυόμενος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ κυνάγχης εἶδος ἐκτίθεται νῦν, σπανίως ἡμῖν ἑωραμένον· γίνεται μὲν κατὰ τοὺς πρώτους σπονδύλους, ὧν ὁ δεύτερος ἔχει τὴν ἀπόφυσιν, ὀδοντοειδῆ ὀνομαζομένην. ἀφ᾽ ἧς καὶ τὸ μόριον ὀδοὺς ὑφ᾽ Ἱπποκράτους καλεῖται. φησὶ δὲ κατωτέρω τοῦ σπονδύλου τούτου γεγονέναι τὴν κυνάγχην, οὐκ ὁμοίως ὀξεῖαν οὖσαν τῇ κατὰ τὸν δεύτερον γινομένῃ. οὐ μόνον γὰρ μετάστασις τῶν σπονδύλων ἔσω, ἥ τις ὀνομάζεται λόρδωσις, ἀλλὰ καὶ ἡ εἰς τοὐπίσω τῶν εἰς τὴν ἔσω χώραν τάσεσιν ἕπεται, ἑλκομένων τῶν νευρωδῶν σωμάτων ὑπὸ τῶν ἐνταῦθα συνισταμένων παρὰ φύσιν ὄγκων· ὅταν οὖν εἷς μόνος ἕλκεται σπόνδυλος, ἢ καὶ δύο, καὶ τρεῖς ἐφεξῆς ἀλλήλων, λορδοῦται κατ᾽ ἐκεῖνο τὸ μέρος ἡ ῥάχις. ὅτε δὲ μεταξὺ τῶν ἑλκομένων σπονδύλων εἷς, ἢ πλείους ἀπαθεῖς διαμείνωσι, οὐ λορδοῦσθαι, ἀλλὰ ἔμπαλιν, κυρτοῦσθαι συμβαίνει τούτοις. ὡς εἰ κατὰ θάτερον μέρος ἤτοι τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν, ἡ ὁλκὴ γίνεται, πρὸς ἐκεῖνον σκολιοῦται ἡ ῥάχις. φησὶ δὲ, ἐπὶ μὲν τῆς λορδώσεως οὐδένα γίνεσθαι παραπληκτικόν. ἐπὶ δὲ τῆς σκολιώσεως, ἐν τῷ περὶ ἄρθρων φησὶ γίνεσθαι, ἄχρι χειρός. τουτὶ δὲ τὸ πάθος γέγραφεν αὐτὸς εἶναι θανάσιμον κατ᾽ ἐκεῖνον τὸν ἀφορισμὸν, οὗ ἀρχὴ ἦν, ἐπὶ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ κατὰ τὸ προῤῥητικὸν, ἔνθα φησὶν, οἷς πνεῦμα ἀνάγεται, φωνὴ δὲ πνιγώδης, ὁ σπόνδυλος ἐγκάθηται. ὅταν

γὰρ οἱ ἐπικείμενοι μύες ἐν τοῖς ἔμπροσθεν μέρεσι τοῦ ὀδόντος φλεγμήναντες, ἢ ὅπως οὖν ἐνταθέντες, πρὸς ἑαυτοὺς ἀποσπῶνται ὅλον τὸν σπόνδυλον, ἡ μὲν ὀπίσω χώρα κοιλοτέρα φαίνεται, θλίβεται δὲ ὁ λάρυγξ, καὶ κατὰ τοῦτο πνίγονται. σπανιωτάτη δὲ ἡ τοιαύτη κυνάγχη γίνεται, καὶ κατ' ἐκεῖνον τὸν ἀφορισμόν, πρεσβυτέροισι δὲ γενομένοισι παρίσθμια σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες. σημαίνει δὲ τοῦτο τὸ γένος κυνάγχης καὶ ἐν τῷ περὶ ἄρθρων, γράφων οὕτως, καὶ μέντοι καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς εἴη αὐτοῖσιν ἡ κεφαλή. στενοχωρίαν μὲν οὖν πολλὴν τῷ φάρυγγι παρέχει, καὶ τοῦτο εἰς τὸ εἴσω ῥέπον . . . ἐν μὲν οὖν τῇ κυνάγχῃ τε, καὶ παντὶ νοσήματι, ὃ τοῖς παιδίοις συμβαίνει, τῆς στενοχωρίας ὁ νοσῶν αἰσθάνεται, καὶ οὐ δύναται καταπίνειν τι. ὠκυτέρα δὲ νομίζεται κυνάγχη, ἡ ἐν τῷ φάρυγγι οὐκ ἔχουσα οὔτ' ἀπόστημα, οὔτ' ἐρύθημά τι, ἀλλὰ τοῦτο ἐν μόνοις τοῖς μυσὶ συνίσταται. τὸ δὲ πάθος αὐτὸ τῶν ψυχρῶν, καὶ γλισχρῶν, καὶ ὠμῶν χυμῶν ἔκγονόν ἐστιν . . . διὸ ὅτε μέγα σοι φαίνοιτο τὸ ἀπόστημα, χρῆσις τῶν βοηθημάτων εἰς τὸ σῶμα ἀνιεμένων οὐκ ἀρκεῖ, ἀλλὰ δεῖ καὶ καταιονεῖν, καὶ καταπλάττειν ἔξωθεν, καὶ λουτροῖς χρῆσθαι πλὴν εἰ μὴ ἐν τῇ παρακμῇ. . . .

A enim adjacentes musculi in anterioribus dentis partibus fervescentes, aut quomodocunque intensi totam ad se vertebram attraxerint, regio quidem illa posterior cava magis apparet. Premitur autem larinx, indeque suffocatur. At rarissima est hujusmodi cynanche, & in illo aphorismo. Senioribus autem factis tonsillæ vertebræ prope occipitium intro impulsus. Significat autem id cynanches genus, & in Libro de articulis ita scribens; *præterea etiam*
B *coguntur in magna vertebra pandam cervicem habere, ne sit ipsis procidum caput.* Multam itaque angustiam præbet faucibus, idque introrsum propendens . . . . . In cynance igitur, & in omni morbo pueris oboriente, ægrotus angustiam sensu percipit, neque quicquam deglutire potest. Celerior autem cynanche ducitur, quæ in faucibus neque abscessum neque ruborem aliquem præ se fert, sed in solis musculis hoc consistit. Is affectus frigidorum viscidorumque humorum est soboles . . . . . propterea si quando magnus tibi appareat abs-
C cessus, quæ per os immittuntur auxilia eorum usus non sufficit, sed & foris linimenta & cataplasmata admovenda sunt; lavacris etiam, sed non nisi in declinatione utendum est.

Ὀδοὺς τοῦ σπονδύλου τί; ἄλλο τῆς κυνάγχης γένος τὸ κατωτέρω τοῦ ὀδόντος τεθειμένον ἧττον ὀξύ. ἡ πρώτου τοῦ σπονδύλου πρὸς τὸ κρανίον διάρθρωσις.

Dens vertebræ secundæ quid? Aliud anginæ genus infra dentem positum, minùs acutum. Primæ vertebræ cum cranio articulatio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ ὀδόντος καλουμένου ὀστοῦ, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν· ἔστι δὲ οἷσι πάνυ περιφερὲς μείζονι περιφερίᾳ. εἰ μὴ ξὺν τῷ ὀδόντι καλουμένῳ φάρυγξ οὐ φλεγμαίνουσα. κειμένη δὲ, τὰ ὑπὸ γνάθοις ὀγκηρὰ, οὐ φλεγμαίνουσιν ἴκελα.

HIPPOCRATIS TEXTUS XXIX.

D *At cuidam quoque affectus erat infra os dentem appellatum quod non peræquè acutum est, quibusdam enim valde rotundum majori ambitu circunscribebatur, si cum dente appellato non esset, fauces non inflammabantur, sed subsidebant. Partes sub maxilla tumida inflammatis non erant similes.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀδόντα καλοῦσιν οἱ παλαιοὶ τὴν ὀδοντοειδῆ ἀπόφυσιν τοῦ δευτέρου σπονδύλου, τὴν διηρθρωμένην τῷ κρανίῳ. γέγονε δὲ ὑπὸ τῆς φύσεως, ἵνα τὴν κεφαλὴν ἀπάγῃ πρόσω τε, καὶ ὀπίσω. ἡ γὰρ τοῦ πρώτου σπονδύλου διάρθρωσις πρὸς τὸ κρανίον περιφέρει τὴν κεφαλὴν εἰς τὰ δεξιά, καὶ ἀριστερά.

GALENI COMMENTARIUS.

Dentem vocant veteres dentiformem secundæ vertebræ processum cranio articulatum. Factus est autem à natura, ut caput
E ante atque retro adducat. Primæ siquidem vertebræ cum cranio articulatio caput ad dextram & sinistram circunducit.

Βουβῶνας καλεῖ Ἱπποκράτης τὰς ἐν τοῖς παρισθμίοις φλεγμονὰς, καὶ τοὺς ἀδένας.

Bubonas tonsillarum inflammationes, & ipsas glandulas vocat Hippocrates.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

Οὐδὲ βουβῶνες οὐδενὶ ᾤδησαν, ἀλλὰ τῇ φύσει μᾶλλον.

HIPPOCRATIS TEXTUS XXX.

Neque bubones ulli intumuerunt, sed magis secundùm naturam.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Βουβῶνας καλεῖ νῦν Ἱπποκράτης, τὰς ἐν τοῖς παρισθμίοις γινομένας φλεγμονὰς, καὶ τοὺς ἀδένας.

GALENI COMMENTARIUS.

Bubonas nunc vocat Hippocrates, quæ in tonsillis fiunt inflammationes & ipsas glandulas.

A

Anginæ ex vertebrarum cervicis pandæ symptomata esse difficilem linguæ motum, prominentiorem ac tumentem linguam, ranulas conspicuas, deglutitionem difficilem.

HIPPOCRATIS TEXTUS XXXI.

Linguam etiam non facile convolvebant, prominentior enim esse videbatur, & quæ sub lingua sunt venæ, erant conspicuæ; deglutire quiddam non poterant, aut admodum molestè.

GALENI COMMENTARIUS.

Impulsis nanque faucibus, assiduè quoque lingua impellebatur; & ore egrediebatur, & magna erat. Unde neque facile ipsam volvebant propter humoris crassitiem, quem ipse prodens pronunciat; *Et quæ sub lingua sunt venæ, eas esse conspicuas.*

C

Alia symptomata per nares potum fugere, & naribus loqui.

HIPPOCRATIS TEXTUS XXXII.

Imo si vi cogerent, id ad nares fugiebat, & per nares loquebantur.

GALENI COMMENTARIUS.

In quibusdam exemplaribus scribitur; imo ad nares confugiebat etiam potus, si admodum cogeretur.

D

Alia symptomata spiritus non admodum sublimis, & venæ tumentes.

HIPPOCRATIS TEXTUS XXXIII.

Spiritus autem his non admodum sublimis. Quibusdam vero temporum, capitis, & cervicis venæ intumescebant.

E

GALENI COMMENTARIUS.

Sublimis quidem erat spiritus, ob loci angustiam. Non autem admodum, quod proprius non esset spirabilium partium affectus.

Alia symptomata minimè periculosa. Quid vocet recrudescentes affectus Hippocrates.

HIPPOCRATIS TEXTUS XXXIV.

F

Verùm recrudescentibus ex his brevi calebant tempora, etiamsi aliàs non febricitarent. Non suffocabantur plurimi, nisi quum salinam, aut aliud quiddam deglutire cuperent, neque intus oculi desidebant. Quibus igitur neutram in partem tumor deflectebat, sed rectà procedebat, neque hi paraplectici resolvebantur. Quod si aliquem interiisse viderim, in memoriam revocabo. Quos autem nunc novi, ii superstites

Τὰ τῆς κυνάγχης ἐκ τῶν τραχήλου σπονδύλων λορδουμένης συμπτώματα εἶναι, τὴν τῆς γλώσσης δυσκίνησιν, τὴν γλῶσσαν προπετεστέραν, καὶ οἰδίσκουσαν, τὰς ὑπογλωττίδας ἐμφανεῖς καὶ κατάποσιν ἀδύνατον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Καὶ γλῶσσαν οὐ ῥηϊδίως στρέφοντες, ἀλλὰ μείζων τε αὐτέοισιν ἐδόκει εἶναι, καὶ προπετεστέρη, καὶ ὑπὸ γλώσσῃ φλέβες ἐμφανέες, καταπίνειν οὐκ ἐδύναντο, ἢ πάνυ χαλεπῶς.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς γὰρ φάρυγγος ὠθουμένης, ὠθεῖτο κατὰ συνεχὲς καὶ ἡ γλῶττα, καὶ ἔξω τοῦ στόματος διήκειστο, καὶ μεγάλη ἦν. ὅθεν οὐδὲ ῥαδίως αὐτὴν ἔστρεφον διὰ τὸ πάχος τοῦ χυμοῦ, ὅντινα καὶ αὐτὸς δηλῶν, λέγει, ὅτι καὶ ὑπ' αὐτὴν φλέβες ἐκφανεῖς.

Αλλα τὰ συμπτώματα, τὸ ποτὸν εἰς τὰς ῥῖνας φεύγειν, καὶ διὰ ῥινῶν διαλέγεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Αλλὰ εἰς τὰς ῥῖνας ἔφευγεν εἰ πάνυ ἐβίαζον, καὶ διὰ τῶν ῥινῶν διελέγοντο.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εν τισιν ἀντιγράφοις γράφεται, ἀλλ' εἰς τὰς ῥῖνας ἐξέφευγεν καὶ τὸ ποτὸν, εἰ πάνυ ἐβιάζετο.

Αλλα τὰ συμπτώματα τὸ πνεῦμα οὐ πάνυ μετέωρον, καὶ αἱ φλέβες ἐπηρμέναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

Πνεῦμα δὲ τουτέοισιν οὐ πάνυ μετέωρον. ἔστι δὲ οἷσι φλέβες, αἱ ἐν κροτάφοισι, καὶ ἐν κεφαλῇσι, καὶ ἐπ' αὐχένι, ἐπηρμέναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μετέωρον μὲν ἦν τὸ πνεῦμα διὰ τὴν στενοχωρίαν· οὐ πάνυ δὲ, διὰ τὸ μὴ ἴδιον εἶναι τὸ πάθος τῶν ἀναπνευστικῶν μορίων.

Αλλα συμπτώματα ἀκίνδυνα. τί καλεῖ τὰ παλιγκότατα παθήματα ὁ Ιπποκράτης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

Βραχὺ δέ τι τουτέων τοῖσι παλιγκοτάτοισι κρόταφοι θερμοὶ, καὶ τ' ἄλλα μὴ πυρεταίνοιεν. οὐ μὴν πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμέοιντο, ἢ πτύελον, ἢ ἄλλο τι. οὐδὲ οἱ ὀφθαλμοὶ ἐγκαθήμενοι. οἷσι μὲν οὖν ἦν εἰς ὀρθὸν ἐξόγκωμα· μήτ' ἑτερόρροπον, οὗτοι οὔτε παραπληκτικοὶ ἐγένοντο, ἀπολλύμενον εἴ τινα εἶδον, ἀναμνήσομαι. οὓς δὲ οἶδα νῦν, πε-

ἐγειρόντα, ἦν δὲ τὰ μὲν τάχιστα ῥηΐζοντα· τὰ δὲ πλεῖστα, καὶ εἰς τεσσαράκοντα ἡμέρας παρείη, τοῦτο δὲ οἱ πλεῖστοι, καὶ ἀπύρετοι.

A

manserunt. Quidam ex mobo celerrimè quidem recreabantur, plurimi vero quadraginta dies percurrebant, idque tempus etiam febre vacui.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Παλίγκοτα πάθη λέγει, τὰ μηδεμίαν ἔχοντα στάσιν, τὰ εὐμετάβολα. ἐπὶ τούτων οὖν φησὶ, βραχυτάτη τούτων ἐστὶν ἡ θερμασία τῆς κεφαλῆς, εἰ μὴ τὸ ἄλλο πυρέττοιεν.

GALENI COMMENTARIUS.

Recrudescentes affectus vocat, qui nullam habent constantiam, mutabiles. In his igitur, inquit, brevissimus horum erat capitis calor, nisi aliàs febricitarent.

B

Ἐξόγκωμα χρονιώτερον τοῦ ὠμοῦ καὶ ψυχροῦ χυμοῦ ἔκγονον, οὗ τρία σημεῖά ἐστι.

Tumor diuturnior: crudi & frigidi humoris soboles, cujus tria hîc signa sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε΄.

Πολλοὶ δὲ καὶ πάνυ ἐπὶ πολλὸν χρόνον ἔχοντές τι μέρος τοῦ ἐξογκώματος, καὶ κατάποσις, καὶ φωνὴ ἐνσημαίνουσα.

HIPPOCRATIS TEXTUS XXXV.

Multi praeterea ad longissimum tempus aliquam tumoris partem reservabant, quae tum deglutitio, tum vox indicabat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐφ᾽ οἷς ὠμὸς χυμὸς, καὶ ψυχρὸς ἦν, ἐμποιῶν τὸν ὄγκον, οὗτοι πολὺν εἶχον χρόνον τὸ ἐξόγκωμα. σημεῖα δὲ τούτων, κἂν οἱ νοσοῦντες οὐδὲν ἔχειν ἐνόμιζον κακὸν, ἥ τε τῆς καταπόσεως στενοχωρία, καὶ τὸ μὴ καλῶς διαλέγεσθαι.

C

GALENI COMMENTARIUS.

Quibus aderat crudus & frigidus humor tumorem efficiens, hi longo tempore tumorem ferebant. Horum autem erant signa, tum si aegroti nullum se malum habere existimarent, tum loci deglutitionis angustia, neque decenter sermocinari.

Ὅπως διαφέρῃ τὰ ὀνόματα γαργαρεὼν, σταφυλὴ, κίων, ἱμάς.

Quomodo differant haec vocabula curgulio, uva, columella, lorum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ΄.

Κίονές τε τηκόμενοι μινύθησίν τινα παρεῖχον, πονηρὸν οὐδὲν δοκέοντες κακὸν ἔχειν. οἱ δὲ ἑτερόρροπα ἔχοντες, οὗτοι ὁπόθεν ἂν ἐγκλιθείησαν οἱ σπόνδυλοι, ταύτῃ παρελύοντο. τὰ δὲ ἐπὶ θάτερα εἵλκοντο. ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα, καὶ τῷ στόματι, καὶ τῷ κατὰ γαργαρεῶνα διαφράγματι. ἀτὰρ καὶ γνάθοι οἱ κάτω παρήλλασσον κατὰ λόγον. ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα, καὶ τῷ στόματι.

D

HIPPOCRATIS TEXTUS XXXVI.

Columellae quoque eliquatae pravam quandam imminutionis significationem prae se ferebant, etsi nullum deterius malum habere videbantur. Qui vero tumores in alterutram partem vergentes habebant, hi unde vertebrae inclinatae fuerunt, istic resolvebantur, indeque versus alteram partem trahebantur. Haec autem erant in facie maximè conspicua, ore, & eo quod ad curgulionem est, intersepto. Quin etiam genae inferiores pro ratione immutabantur.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο μὲν τὸ μόριον κατὰ φύσιν μὲν ἔχον, γαργαρεὼν καλεῖται. νοσῆσαν δὲ, ὅτε μὲν τὸ πέρας αὐτοῦ φλεγμαῖνον, ὅμοιον γίνεται ῥαγὶ σταφυλῆς, σταφυλὴ καλεῖται. ὅτε δὲ ὅλον, κίων. ὅτε δὲ ἐξίτηλον γίνεται, ἱμὰς προσαγορεύεται. τήκεται δὲ δριμέων χυμῶν, καὶ περιττωμάτων εἰς αὐτὸ ἀναφερομένων. ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα, καὶ τῷ στόματι. ταῦτά φησι μάλιστα δῆλα ἦν τουτέστιν ἡ ἡμιπληγία ἔν τε τῷ οὐρανίσκῳ, ὃν τὸ στόμα αὐτὸς ἐκάλεσε, καὶ τῷ γαργαρεῶνι. πάσχουσι δὲ οὗτοι διὰ τὸ μέρος τῆς τρίτης συζυγίας τοῦ νωτιαίου μίγνυσθαι τῷ μέρει τῶν εἰς ταῦτα φερομένων τῆς ἀπὸ ἐγκεφάλου συζυγίας, καὶ διανέμεσθαι, καὶ λοιπὸν ἐξ ἀνάγκης τὰ μέρη πάσχουσιν.

GALENI COMMENTARIUS.

Haec quidem pars ubi sese habet secundùm naturam curgulio vocatur; quum vero malè afficitur, si illius extremum inflammatum uvae acino assimiletur uva; quum pars universa, columella; quum extenuata est, lorum appellatur. Liquitur autem acribus humoribus & excrementis quae in ipsam feruntur. *Haec autem erant maximè conspicua in facie, in ore, & eo quod ad curgulionem est, intersepto.* Haec, inquit, maximè patebant scilicet hemiplegia in palato, quod os ipse vocavit, & in curgulione. Patiuntur autem isti, quod tertiae nervorum conjugationis spinalis medullae pars misceatur parti conjugationis nervorum à cerebro ad haec delatorum, distribuaturque, unde necessario hae partes afficiuntur.

F

Ab angina particulares paraplegias fieri, quæ adusque manum extenduntur; universales vero per universum corpus ab obstructione aut incisione factas.

HIPPOCRATIS TEXTUS XXXVII.

Cæterum quæ ab angina fiebant paraplegiæ, non universum corpus perreptabant, velut ex aliis, sed adusque manum pertingebant. Atque ii & cocta, eaque pauca, ac molestè expuebant.

GALENI COMMENTARIVS.

Paraplegiæ, inquit, per universum corpus non creabantur, quemadmodum aliis ex causis dimidium spinalis medullæ, veluti obstructione aut incisione facta. *Sed adusque manum* quæ ab anginosa affectione oboriuntur. Scimus enim manum nervos ab ultima cervicis vertebra, atque dorsi principio recipere. *Atque hi matura expuebant.* Expuebant quidem quod à tumore humor discuteretur. Matura vero, hoc est, tempore concocta sputa, cæterùm à natura ipsa digerente. *Eaque pauca ac molestè*, pro, cum violentia, aut quod adhuc angustia perseveraret, aut quod ipsa motrix facultas debilis evaserat.

Non molestè anginosos expuere, quibus æqualiter tendit metastasis, quod nulla sit paralysis, & valida sit facultas.

HIPPOCRATIS TEXTUS XXXVIII.

Quibus autem in rectum tumor decumbebat, itidem expuebant.

GALENI COMMENTARIUS.

Quibus autem, inquit, æqualiter tendebat immutatio, ii absque labore expuebant. Nulla nanque in ipsis resolutione facta facultatem minimè imbecillam sortiuntur. Hoc autem solum membrum interjacet. Quædam enim ante & post ipsum existunt.

Anginosos istos cum febre multo magis difficiles spuere, loquentes salivam fundere, & venas magis tumere.

HIPPOCRATIS TEXTUS XXXIX.

Quibus vero etiam cum febre, hi multo magis ac difficulter spirabant; & loquentes salivam fundebant, hisque venæ magis tumescebant.

GALENI COMMENTARIUS.

Febre scilicet præclusum humorem fundente *difficulter* primum quidem spirabant propter febrem; deinde quod urgente febre, refrigerari postularent. *Loquentes salivam fundebant.* Quum autem humiditas confundere-

A

Ἀπὸ τῆς κυναγχικῆς διαθέσεως μερικὰς μὲν παραπληγίας γίνεσθαι τὰς μέχρι χειρὸς ἐκτεταμένας, καθολικὰς δὲ διὰ παντὸς τοῦ σώματος ἀπὸ τῆς ἐμφράξεως, ἢ τῆς τομῆς γινομένας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Αἱ δὲ παραπληγίαι οὐ διὰ παντὸς τοῦ σώματος ἐγίνοντο, οἷον ἐξ ἄλλων, ἀλλὰ μέχρι χειρὸς, τὰ
B ἀπὸ τοῦ κυναγχικοῦ. οὗτοι καὶ πέπονα ἀναπτύοντες, καὶ βραχὺ δὲ μόγις ἦσαν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ δὲ παραπληγίαι, φησὶν, οὐ δι' ὅλου τοῦ σώματος ἐγίνοντο, ὥσπερ ἐξ ἄλλων αἰτίων τοῦ ἡμίσεως τοῦ νοτιαίου, οἷον ἐμφράξεως γινομένης, ἢ τομῆς, ἀλλ' ἄχρι χειρὸς τὰ ἀπὸ κυναγχικῆς. ἴσμεν γὰρ, ὅτι ἡ χεὶρ δέχεται τὰ νεῦρα ἀπὸ τοῦ τελευταίου, τοῦ κατὰ τὸν τράχηλον σπον-
C δύλου, καὶ τῆς ἀρχῆς τοῦ μεταφρένου. ἔτι δὲ πέπονα ἀνέπτυον, ἀνέπτυον μὲν ἀπὸ τοῦ διαφορεῖσθαι ὑγρὸν ἀπὸ τοῦ ὄγκου. πέπονα δὲ, τουτέστι πεπειρημένα ἐκ τοῦ χρόνου, λοιπὸν τῆς φύσεως κοσμούσης αὐτά. βραχὺ δὲ μόγις, ἀντὶ τοῦ μετὰ βίας, ἢ ὅτι ἀκμὴν ἐστενοχωρεῖτο, ἢ ὅτι ἠσθένησεν αὐτοῦ ἡ κινητικὴ δύναμις.

Τοὺς κυναγχικοὺς ἀκόπως ἀποπτύειν ἐν οἷς ἰσόρροπος ἡ μετάστασις γέγονεν, ὅτι μηδεμία ἡ παράλυσις, καὶ ὅτι
D εὐσθενὴς ἡ δύναμις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Οἱ δ' ἐς ὀρθὸν, καὶ ἀπέπτυον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἷς δὲ φησὶν, ἰσόρροπος ἡ μετάστασις τε ἐγένετο, ἀκόπως ἀπέπτυον. μηδεμιᾶς γὰρ αὐτοῖς παραλύσεως γεγονυίας, οὐκ εἶχον ἀσθενῆ τὴν δύναμιν. τοῦτο δὲ
E μόνον τὸ κῶλον μεταξὺ κεῖται, τὰ γὰρ πρὸ αὐτοῦ, καὶ μετ' αὐτὸ εἰσί.

Τούτους κυναγχικοὺς σὺν πυρετῷ πολλῷ μᾶλλον δυσπνοοὺς εἶναι, καὶ διαλεγομένους σιελοχόους, καὶ αὐτῶν φλέβας μᾶλλον ἐπηρμένας γίνεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

Οἷσι δὲ καὶ ξὺν πυρετῷ. οὗτοι πολλῷ μᾶλλον καὶ δύσ-
F πνοοι, καὶ διαλεγομένοισιν σιαλοχόοι, καὶ φλέβες τουτέοισι μᾶλλον ἐπηρμέναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦ πυρετοῦ δηλονότι χέοντος τὸν ἐσφηνωμένον χυμόν. δύσπνοοι δὲ, πρῶτον μὲν διὰ τὸν πυρετὸν· εἶτα διὰ τὸ ψύχεσθαι θέλειν, κατεπείγοντος τοῦ πυρετοῦ, καὶ διαλεγόμενοι σιαλοχόοι. τὴν δ' ὑγροῦ σύγχυσιν ὑπο-

μένοντος, καὶ περὶ τὸ στόμα συναγομένου, σιαλοχόοι ἦσαν. τῆς γὰρ φύσιος ἀσθενούσης, καὶ ὁ κόσμος τοῦ σώματος, καὶ ἡ διοίκησις ἠμελεῖτο. καὶ φλέβες τουτέοισι μᾶλλον ἐπηρμέναι, αἱ δὲ φλέβες ἐπηρμέναι, διὰ τὸν πυρετὸν ἀτμῶν πολλῶν γινομένων.

tur, atque circa os colligeretur, salivam effundebant. Etenim quum natura, esset infirma corporis ornatus atque gubernatio negligebatur. *Hisque venæ magis tumescebant.* Venæ autem tumescebant, quod ob febrem multi in iis vapores producerentur.

Οἷς πόδες ἦσαν ψυχρότατοι, πάντες ἔθνησκον, ἢ μήτε ὀρθοστατεῖν, μήτε βαδίζειν ἠδύναντο.

Quibus frigidissimi fuerunt pedes aut ii omnes interierunt, aut neque stare, neque ambulare potuerunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ΄.

ΚΑὶ πόδες πάντων μὲν ψυχρότατοι, τούτων δὲ μάλιστα, καὶ ὀρθοστατεῖν οὗτοι ἀδυνατώτεροι, καὶ οἵ τινες μὴ αὐτίκα ἔθνησκον, οὓς δὴ ἐγὼ οἶδα, πάντες ἔθνησκον.

HIPPOCRATIS TEXTUS XL.

ATque eorum omnium frigidissimi erant pedes. Ex quibus isti præcipuè si qui non illico mortui sunt. Ad rectè standum erant impotentiores. Quos autem ego novi, omnes interierunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ πόδες πάντων μὲν ψυχρότατοι πάντων μὲν, ἐπειδὴ, ὡς ἐδιδάχθημεν καὶ λόγῳ, καὶ πείρᾳ, ἀεὶ τῶν ἀσθενούντων οἱ πόδες ψυχροὶ, καὶ τούτων μάλιστα ὑπὸ τοῦ πυρετοῦ ἀφῃρημένου τοῦ ἐμφύτου θερμοῦ· καὶ ἐκ τῆς ἀσθενείας μὴ δυναμένου ἐξικέσθαι μέχρι τῶν ἄκρων. διὰ τοῦτο καὶ ὀρθοστατεῖν οὐκ ἠδύναντο ἀντὶ τοῦ βαδίζειν, καὶ τὰ συνήθη πράττειν. ἐπεὶ δὲ τούτων πάντες μὲν ἀπέθανον, ἀλλὰ οἱ μὲν εὐθὺς, οἱ δὲ ὕστερον. φησὶν ὅτι οἱ μὴ εὐθέως τελευτῶντες, ὀρθοστατεῖν οὐκ ἠδύναντο. ἐπειδὴ ἡ μετάστασις τοῦ σπονδύλου ἢ μᾶλλόν ἐστιν, ἢ ἧττον, περὶ τῆς ἥττονος διαλεγόμενός φησιν, ὅτι οἱ ἔχοντες τὴν μετάστασιν εἰς ὀρθὸν αὐτὶ τοῦ εἰς πρόσω ἀρρεπῶς, ὡς μήτ᾽ ἐπὶ δεξιὰ, μήτ᾽ ἐπ᾽ ἀριστερὰ, οὗτοι οὐδεμίαν ὑπέμενον παράλυσιν. τοῦτο γὰρ σημαίνει, τὸ παραπληκτικοί. διὰ τί; ὅτι αἱ ἀποφύσεις τῶν νεύρων οὐκ ἐθλίβοντο. οὐκ οὖν ἐνδεὴς ἦν ἐπίρροια τῆς δυνάμεως· ὅθεν οὐδὲ ἀναισθησία, ἢ ἀκινησία ἐγένετο.

GALENI COMMENTARIUS.

ATque omnium pedes erant frigidissimi. Omnium quidem, quoniam ut ratione & experientia didicimus semper imbecillium pedes frigidos esse, eorumque potissimum ab absumpto à febre nativo calore nequeunte præ imbecillitate ad extrema pervenire; propterea eos erectos stare, hoc est ambulare, & consuetas obire functiones non valuisse. His autem affectibus omnes interierunt: verùm alii quidem celeriter, alii verò posterius. Dicit eos qui non statim interibant, stare minimè potuisse. Quoniam verò vertebræ luxatio vel major, vel minor est, de minore loquutus ait; *Qui luxationem in rectum sortiuntur*, hoc est, anterius neutram in partem ita propendent, ut neque dextrorsum, neque sinistrorsum tenderent, eos nullam subiisse paralysin. Hoc enim indicat vocabulum *paraplectici* resoluti. Cur? Quia nervorum processus non comprimebantur. Non igitur facultatis influxus parcus erat, unde neque insensibilitas, neque immobilitas contigit.





ΙΠΠΟΚΡΑΤΟΥΣ

ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΥ II.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ

ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

HIPPOCRATIS

LIBRI II. EPIDEMIORVM

SECTIO TERTIA.

ET GALENI IN EVM

COMMENTARIVS TERTIVS.

ΤΟ ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΤΡΙΤΟΥ.

Ἡ τοῦ χειμερινοῦ νοτίου κατάστασις πρὸς τὸ ἔαρ τε καὶ θερμότητα ὅτε οἱ πυρετοὶ καῦσοι καὶ θερινοὶ ἐκράτουν, φόλλικες, κεγχραμιδώδεα. γινώσκει ὁ ἰατρὸς τὰ φάρμακα λέγειν, παρασκευάζειν, παραπίθειν, διδόναι. τὸν ὀξὺν πυρετὸν ὑπὸ Ζωΐλῳ βεβηκέναι. ἀμαυρωθέντα οὐ σημειωθέντα κακῶς κρίνειν. βουβῶνες τοὺς πυρετοὺς ἑπόμενοι, καὶ τοὺς βουβῶνας οἱ πυρετοί· ἆσθμα· πνεῦμα· χάσμη· ὑποστροφαί· αἱμορραγίαι. οἱ πυρετοὶ βραχὺ διαλείποντες οἱ πυρετοὶ ἐκ τῶν φλεγμάτων τε καὶ χολῶν τὸν σκόπον ἔλαβε. ἡ τοῦ ἤτρου ἔκτασις, τὰ τῆς γλώττης συστήματα, ἐνιαυσίη τεταρταίη. ὅθεν τῶν ὑποχονδρίων βουβών. οἱ ἐν τοῖς τῶν φλεβῶν τμήμασι καταδέσμοι, ὀξυρεγμία. τὰ τῶν γυναικῶν ῥίγεα, ὁ βιώτης τόκος. τὸ ὑγρὸν τὴν δίαιταν αἰτεῖν ξηροτάτην. τῶν καταμηνίων καθάρσεων κύκλον γάλα πρωτοτόκων. τὸν βουβῶνα ἐν τοῖς ἕλκεσι μεγάλοις οὐκ ἐμφαίνειν. τὰς καταμηνίας καθάρσεις ταῖς ὀκταμηνίαις ὁμοίας εἶναι. τοὺς βουβῶνας παραλόγως γεγενημένους κακόν.

ARGVMENTVM SECTIONIS TERTIÆ.

Status temporis hyeme austrinus, vere & æstate siccus, quo febres ardentes & æstivæ grassabantur; aspredines seu miliaceæ. Sciat Medicus medicamenta deligere, præparare, componere, exhibere. Febrem acutam ex tussi matura Zoilum prehendisse. Disparentia non significata male decernere. Bubones febribus succedentes, & febres bubonibus. Flatus. Spiritus. Oscitatio. Recidivæ. Hæmorragiæ. *Febres brevi intermittentes. Febris ex mucosis & biliosis orta Scopum prehendit. Imi ventris contensio. Linguæ systemata. Annua quartana. Vnde hypochondrii tumor. Deligationes in venarum sectionibus. Ructus acidi. Mulierum rigores. Partus vitalis.* Humidum *diætam siccissimam postulare. Menstruarum purgationum circuitum esse lac primipararum. Tumorem in vulneribus magnis non apparentem. Menstruas purgationes octimestribus esse similes. Tumores præter rationem elatos, malum.*

A

Πρότερον τὴν τοῦ χρόνου σύστασιν, ἔπειτα τὰ ἐπιδήμια νοσήματα σύστασιν ἑπόμενα διαγράφει.

Imprimis statum temporis, deinde Epidemios morbos statum sequentes describit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

ΕΣ Πέρινθον περὶ ἡλίου τροπὰς ὀλίγον, πρὸς θερινὰς ἤλθομεν. ἐγεγόνει δὲ ὁ χειμὼν εὔδιος, νότιος. τὸ ἔαρ, καὶ τὸ θέρος πάνυ ἄνυδρον μέχρι πληϊάδων δύσεως. εἰ γάρ τι καὶ ἐγένετο, ἦν ὅσον ψεκάς.

HIPPOCRATIS TEXTUS I.

Perinthum ad æstivum propè solstitium venimus. Hiems quidem placida, & australis fuit; ver autem & æstas prorsus citra pluvias adusque vergiliarum occasum. Etenim si B *quid aquæ decidisset, quasi exilis erat irroratio.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τῷδε τῷ τρίτῳ τοῦ δευτέρου τῶν ἐπιδημιῶν τινὸς καταστάσεως μνημονεύει, γινομένης ἐν Περίνθῳ, καὶ διηγεῖται τὴν ὅλην τῶν νοσημάτων ἰδέαν. αὕτη μὲν ἀπὸ καύσου ἤρξατο, καὶ ἐμετώδης γέγονε, καὶ μέχρι πλεῖστον ἐχρόνισεν. προστίθησι δὲ, καὶ ὡς χωρὶς ἐμέτων οἱ καῦσοι τότε ἐγίγνοντο, καὶ ὡς ἡ γαστὴρ τοῖς τότε νοσοῦσι διεχώρει πολλά. ἐξ ὧν ἔξεστι τεκμαίρεσθαι, τὴν τῆς καταστάσεως ὑπόθεσιν ἐν φλέγμασι διασηπομένοις γεγενῆσθαι, μεινάντων ἀπαθῶν τῶν ἀναπνευστικῶν ὀργάνων τε, καὶ τοῦ στόματος τῆς κοιλίας, τοῦ καύσου δὲ ἐκ τῶν κατωτέρων μερῶν αὖθις ὁρμωμένου. ὄντος μὲν οὖν ὅλου τοῦ ἐνιαυτοῦ, ὃν καταγράφει, πάνυ αὐχμηροῦ, καὶ πάνυ ἀνύδρου, τίς οὐκ ἂν ὑποπτεύσειεν τὴν καύσων φοράν; μάλιστα δὲ ἐν τῇ ἀνομβρίᾳ μεγάλῃ, καὶ ἀπνοίᾳ μακρᾷ. πρὸς τούτοις δὲ, καὶ ἀνήμετοι ἦσαν καὶ αἱ κοιλίαι λεπτοῖς, ὑδατώδεσι, καὶ ἀχόλοις ἐταράττοντο. ταῖς δὲ γυναιξὶ τουτὶ τὸ ἔτος μάλιστα κινδυνῶδες ἦν, ὅτι D ἡ χολὴ τῷ τῆς καταστάσεως αὐχμῷ τεθηριωμένη τὴν ὑγρὰν φύσιν οἰκτρῶς ἔτρυε, καὶ πολυειδῶς καταπεπονημένην ἀφίει. ὅθεν καὶ κώματα, καὶ παραφοραὶ, καὶ τ' ἄλλα ὅμοια τούτοις ἐγένοντο.

GALENI COMMENTARIUS.

IN tertia secundi Epidemiorum sectione status cujusdam meminit. Perinthi oborti, & universam morborum ideam declarat, quæ ab ardente febre duxit exordium, cujus comes fuit vomitus diuturno tempore grassatus. Adjicit autem & has febres ardentes tunc etiam citra vomitum accidisse, & alvum tunc ægrotantium copiosis dejectionibus scatuisse. C Unde conjectare licet subjectam status causam in putrente pituita extitisse spirabilibus organis & ventriculi orificio illæsis manentibus, concitatis iterum ex ininferioribus partibus ardente febre, & toto anni cursu, quemadmodum squalidum & peraridum describit. Quis non conjecturasset ardentium febrium impetum futurum? maximè verò in magna imbrium penuria, & diuturno ventorum silentio? Præterea verò neque vomitus aderant, & alvi tenuibus, aquosis, D & bile vacuis perturbabantur. Mulieribus autem hoc anno potissimum periculosum imminebat, quò bilis propter status siccitatem ferocior humidam naturam miserè divexabat. Unde & comata, mentis emotiones, atque alia his similia oboriebantur.

Ἐτησίας τοὺς ἀνέμους διδάσκει, καὶ τὰ τῆς ὑγιείας μέρη. συγκεκραμένοις τοῖς σώμασι, συγκέκρασα τὰ συστήματα ὑγιεινά ἐστι, ἐκ τῶν ἀκεράστων ἀκέρασα, καὶ ἐναντία. αἱ πρὸς τὸν E κύνα ἡμέραι τίνι χρόνῳ καὶ ἀριθμῷ τελοῦσι. τὰ τοῦ ἔτους παράσματα ποικίλοις τοῖς περιστήμασι τοῦ ἀέρος ἀλλοιοῦσθαι, καὶ τὰ ἐπιδήμια νοσήματα γίνεσθαι.

Etesias ventos docet; & quibus constet sanitas. Temperatis corporibus temperatos E status salubres esse, ex intemperatis intemperatos, sed eos contrarios. Dies caniculares quo tempore, & quot diebus circunscribantur. Anni tempestates variis constitutionibus aëris alterari, ac inde Epidemios morbos evenire.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

ΚΑὶ ἐτησίαι οὐ κάρτα ἔπνευσαν, καὶ οἱ πνεύσαντες, διεσπαρμένως. τοῦ θέρεος καῦσοι ἐπεδήμησαν πολλοί. ἤσαν δὲ ἀνήμετοι, καὶ κοιλίαι ταραχώδεες λεπτοῖσιν, ὑδατώδεσιν, ἀχόλοισιν, ἐπ' ἀφροῖσι πολλοῖσιν, ἴσχοντα, ἔστιν F ὅτε καὶ ὑπόστασιν τεθέντα, ἐξ οἵων δὴ καὶ ἐξαιθριαζόμενον τὸ ἴκελον, ἴσα τῷ εἴδει διαχωρήματα διὰ παντὸς, κακόν.

HIPPOCRATIS TEXTUS II.

ETesiæ non admodum spirarunt, sparsimque spirarunt. Æstate febres ardentes in vulgus multæ grassatæ sunt, quibus non erant F *vomitus, sed alvi perturbationes ex tenuibus, aquosis, non biliosis, neque spumantibus multis quæ interdum deposita subsidebant; quibus sane erat simile quod soli exponebatur. Æquales specie dejectiones semper malum.*

A

GALENI COMMENTARIUS.

Sanitas ex quatuor efficitur elementorum commoderatione humidi ſicci, calidi & frigidi. At nonnulla ſunt corpora, & naturæ, & ætates intemperatæ. His itaque ſimiles quidem ſunt ſtatus morbifici, quibus alii contrarii conferunt. Quemadmodum enim temperatis corporibus temperati ſtatus ſalubres exiſtunt: ſic etiam intemperati illis nocumento ſunt. Eadem profectò ratione vehementer humidi & frigidi ſtatus intemperata corpora humore & frigore ſummoperè oblædunt; humidi vero & calidi, humidis, calidiſque temperamentis; ſicci quoque & calidi ſibi ſimilibus detrimentum invehunt. Nunc autem hyemis ſerenitas, & ver, & æſtas vaporibus vacua æſtatis æſtuoſæ cauſæ ſunt. Quum enim æſtiva tempeſtas naturâ ſemper ſit calida, ubi additur vaporum vacuitas & ventorum ſilentium, æſtum ſubſequi neceſſe eſt. Quod fieri accidit, quum prodromi venti neque ſpirarunt, neque eorum comites, quos Eteſias vocitant. Scripſit enim author non diu ſpiraſſe & ſiquando ſpirarunt, id ſparſim factum eſſe. Quum autem æſtiva tempeſtas calidiſſima eſt, caniculæ ortum fieri contingit. Hoc vero tempus eſt quadraginta dierum, quod Julii fit idibus. Ante hujus exortum octo ferè dies Boreales venti perflant quos prodomos vocitant. Poſt duos ab exortu dies, iidem boreales venti citrà interruptionem, quadraginta diebus ſpirant, quos ventos Eteſias vocare conſueverunt. Ab his ventis molliorem reddi putant ſolis exhalationem propter duplicatum ſyderis ardorem. Neque facile alios ventos invenies ita deſtinatos. Hi nanque perflantes multos ab humanis corporibus affectus excidunt. Propterea in primo Epidemiorum ſtatu dixit; Eteſiæ pauci paulatim ſparſim ſpirarunt. In ſecundo vero Eteſiæ continuo ſpirarunt. . . . . Quod vero proferat, *quod ſoli exponebatur*, magnam tum tenuium, tum mordacium humorum acrimoniam ſignificat, quæ expulſis & dejectis excrementis, ſpumantem æſtu fervorem non deponit. Quod vero dicit, *depoſita*, jacentia ſignificat, ut in primo Epidemiorum, ubi dicit, *ventus diu jacens minimè quieſcebat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ ὑγεία γίνεται ἐκ τῆς τῶν στοιχείων συμμετρίας, ὑγρότητος, καὶ ξηρότητος, καὶ θερμότητος, καὶ ψυχρότητος, καὶ ἔνια τῶν σωμάτων, καὶ φύσεων, καὶ ἡλικιῶν ἐστι δύσκρατα. τούτοις οὖν αἱ μὲν ὅμοιαι καταστάσεις νοσώδεις εἰσὶν, αἱ δ' ἐναντίαι συμφέρουσιν αὐτοῖς. ὡς μὲν γὰρ τοῖς εὐκράτοις σώμασιν αἱ εὔκρατοι καταστάσεις ὑγιειναὶ, οὕτω καὶ αἱ δύσκρατοι βλαβεραί. κατὰ τόνδε μὲν οὖν τὸν
B λόγον αἱ μὲν ἰσχυραὶ ὑγραὶ, καὶ ψυχραὶ καταστάσεις ἐσχάτως βλάπτουσι τὰ δύσκρατα τῶν σωμάτων καθ' ὑγρότητα, καὶ ψυχρότητα· καὶ αἱ ὑγραὶ, καὶ θερμαὶ τὰς ὑγρὰς καὶ θερμὰς τῶν κράσεων βλάπτουσι καὶ αἱ ξηραὶ, καὶ θερμαὶ τὰς ὁμοίας. νυνὶ δὲ τὸ εὔδιον τοῦ χειμῶνος, καὶ τὸ ἄπνουν τοῦ ἦρος, καὶ τοῦ θέρους, αἴτια εἰσὶ τοῦ θέρους πνιγώδους. οὔσης γὰρ οὔσης ἀεὶ τῆς θερινῆς ὥρας θερμῆς, ὅταν ἄπνοια προσγένηται, πνῖγος ἐξ ἀνάγκης ἕπεται. ὃ γίνεσθαι συμβαίνει, μήτε τῶν προδρόμων καλουμένων πνευσάντων, μήτε τῶν ἑπομένων αὐτοῖς, οὓς καλοῦσιν ἐτησίας. ἔγραψε
C γὰρ αὐτὸς, ὅτι οὐ λίαν ἔπνευσαν, καὶ οἱ πνεύσαντες, διεσπαρμένως. θερμοτάτης δὲ τῆς θέρους ὥρας οὔσης, περὶ τοῦ κυνὸς ἐπιτολὴν γενέσθαι συμβαίνει. χρόνος δ' ἐστὶν οὗτος ἡμερῶν τεσσαράκοντα. γίνεται δὲ τοῦτο πέμπτῃ καὶ δεκάτῃ ἡμέρᾳ τοῦ μεταγειτνιῶνος μηνός. πρὸ δὲ τούτου ἐπιτολῆς ὀκτὼ σχεδὸν ἡμέρας, οἱ βορέαι πνέουσιν, οὓς προδρόμους καλοῦσι. δυσὶ δὲ μετὰ τὴν ἐπιτολὴν ἡμέραις οἱ αὐτοὶ βορέαι εὐσταθῶς πνέουσιν ἡμέραις τεσσαράκοντα, οὓς ἐτησίας εἰώθασι καλεῖν· ὑπὸ τούτων δὲ νομίζονται μαλ-
D θακίζεσθαι τὸν τοῦ ἡλίου ἀτμὸν, τῷ τοῦ ἄστρου καύματι διπλασιαζόμενον, καὶ οὐ ῥαδίως εὑρήσεις ἄλλους ἀνέμους οὕτως ἀποτεταγμένους, καὶ οὗτοι πνέοντες πολλὰς νοσώδεις ἐν τῷ σώματι τῶν ἀνθρώπων διαθέσεις ἐκκόπτουσι, διὸ ἐν τῇ πρώτῃ τῶν ἐπιδημιῶν καταστάσει εἶπεν, ἐτησίαι ὀλίγαι, σμικρὰ διεσπαρμένως ἔπνευσαν· ἐν δὲ τῇ δευτέρᾳ, ἐτησίαι συνεχῶς ἔπνευσαν . . . . ὁ δὲ λέγει, ἐξ οἵων δὴ καὶ ἐξαιθριαζόμενον, μεγάλην τῶν λεπτῶν τε καὶ δακνωδῶν χυμῶν δριμύτητα σημαίνει, ἥπερ τῶν διαχωρημάτων ἀποθέντων, καὶ ἐπαιθριαζομένων τὴν τῆς ἐγκαύ-
E σεως ἀφρίζουσαν ζέσιν οὐκ ἀποτίθεται. τῷ δὲ λέγειν τεθέντα, σημαίνει κείμενα, ὥσπερ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὅπου φησὶν, οὖρον κείμενον πολὺν χρόνον, οὐ καθίστατο.

Quid & quotuplex coma. Comatis cauſæ. Coma hîc aſſiduum non ſomnolentum cum levi delirio deſcribitur. Deliriorum ſynonyma.

Τί καὶ ποσοπλάσιον τὸ κῶμα. τὰ τοῦ κώματος αἴτια. κῶμα ἐνταῦθα συνεχὲς, οὐχ ὑπνῶδες σὺν τῇ παραφορᾷ γέγραπται. τῶν παραφορῶν συνώνυμα.

HIPPOCRATIS TEXTUS III.

Inter hos multi ſoporati erant, ac mente emoti, hique tales evadebant; quum vero expergiſcerentur, omnia intelligebant.

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

ἘΝ τουτέοισιν πολλοὶ κωματώδεες ἦσαν, καὶ παράφοροι. οἱ δὲ ἐξ ὕπνων τοιοῦτοι ἐγίνοντο. ὅτε δὲ ἐγερθεῖεν, κατενόουν πάντα.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ κῶμα σημαίνειν ἔοικε καταφορὰν τὴν ὑπνώδη, ὡς αὐτὸς ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν φησὶν, ἦν δὲ κῶμα συνεχὲς, οὐχ ὑπνῶδες· ὡς γὰρ ὑπνῶδες εἶναι αὐτὸ, καὶ ὡς τοιοῦτον ἀεὶ γινόμενον, καὶ νῦν παραλόγως οὐ γινόμενον, οὕτως ἔγραψεν, καὶ ἐν τῷ αὐτῷ βιβλίῳ περὶ τοῦ Πυθίωνος λέγει, ἐνάτῃ, κωματώδης, ἀσώδης, ὅτε διεγείροιτο. οἱ δὲ θαυμαστοὶ ἐξηγηταὶ ἀντιλέγουσιν, ὅτι οὐχ οἷόν τε ἅμα καταφέρεσθαι, καὶ ἀγρυπνεῖν, μὴ γινώσκοντες ὅτι δύο εἰσὶν εἴδη καταφορᾶς, ὡς ἡμεῖς ἤδη γεγράφαμεν ἐν τῷ περὶ τοῦ παρ' Ἱπποκράτην κώματος βιβλίῳ, καὶ παραφοροί φησιν ἐγένοντο, σημαίνει τὴν παραφροσύνην τινὰ βραχεῖαν. ἧς τὸ ποσὸν εἴωθεν αὐτὸς ἄλλοτε ἄλλοις ὀνόμασιν ἐνδείκνυσθαι, λέγων ληρῆσαι, παραληρῆσαι, παραφρονῆσαι, παρενεχθῆναι, παρακόψαι, ἐκστῆναι, μανῆναι, καὶ ἐκμανῆναι. ταῦτα μὲν δύο πάθη τὸ κῶμα λέγω, καὶ ἡ παραφορὰ κατὰ τὸν τῆς ὕλης λόγον ἀντικείμενα φαίνεται. τὸ γὰρ κῶμα ἔκ τε τῆς τοῦ ἐγκεφάλου ψυχρότητος, καὶ ὑγρότητος, ἐκείνη δὲ ἐκ τῶν ἐναντίων ποιοτήτων ὡς τὰ πολλὰ φαίνεται γίνεσθαι. ἀλλὰ μὴν πολλάκις κατὰ τὴν κινδυνώδη τῶν χυμῶν συζυγίαν μίγνυνταί τε, καὶ συντρέχουσιν, ὡς ἐν τῇ Σιληνοῦ ἱστορίᾳ γέγραπται, παρέκρουσε μικρά· εἶτα δὲ ὕπνοι λεπτοὶ, κωματώδεες, ὡς εἶναι τὸ κῶμα ἐνίοτε ἐκ τῆς ἀμέτρου τῶν ψυχικῶν δυνάμεων ἀσθενείας, καὶ ὡσπερεὶ σβέσεως, τῆς κινήσεως αὐτῆς κατακοιμηθείσης, καὶ σχεδὸν καθάπερ ἀπολαμβανομένης. ἔστι δὲ καὶ ταῦτα παρ' Ἱπποκράτει, κῶμα βαθὺ μετ' ἀγρυπνίας, καὶ κῶμα ὑπνῶδες, καὶ κωματώδεες οἱ φρενιτικοὶ, καὶ οἱ καυσώδεες, καὶ κατεῖχε δὲ ἢ τὸ κῶμα συνεχῶς οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι· ὅταν μὲν γὰρ ἐγρηγορέναι μὲν ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς οἱ κάμνοντες μὴ δύνωνται, μύσαντες δὲ αὖθις ἐπὶ τὸ κοιμηθῆναι, διαμένωσιν ἐγρηγορότες, τὸ τοιοῦτον καλεῖται οὐχ ὑπνῶδες κῶμα. θαυμαστὸν δὲ οὐδὲν, ἠθροισμένων ἐν τῷ σώματι χυμῶν ὠμῶν, κωματώδεις δὲ ἅμα, καὶ παραφρονοῦντας γίνεσθαι. κωματώδεις μὲν, διὰ τὸ πλῆθος, καὶ τὴν ψυχρότητα, τῶν ὠμῶν χυμῶν, παραφρονοῦντας δὲ, διότι σηπόμενοι, δριμύτητά τε, καὶ θερμασίαν ἐχόντων. εἰκὸς γὰρ τοιοῦτον τὸ κῶμα σὺν τῇ παραφορᾷ ἐκ τῶν ὠμῶν τε ἅμα, καὶ ψυχρῶν, καὶ παχέων, ἀλλὰ καὶ λεπτῶν, καὶ θερμῶν χυμῶν γεγενῆσθαι, ὅπερ ἐσήμαναν τὰ ἑπόμενα πάθη, βαρύκοοί τε ἦσαν φησι, καὶ κωματώδεες, καὶ πάλιν, κωματώδεες δὲ, καὶ ὑπνώδεες, καὶ ὅλου τοῦ ἔτους σφοδρὰ ξηρότης, καὶ ὅλου τοῦ θέρεος καῦμα σφοδρότατον. χαλεπώτατα γὰρ νοσήματα εἶναι φαίνεται, ἐν οἷς ἀθροίζεται πλῆθος τῶν χολωδῶν, καὶ ὠμῶν, καὶ ἀπέπτων χυμῶν· τῆς δὲ μικρᾶς παραφρονήσεως σημεῖον ἦν, ὅτι ὅτε ἐγερθεῖεν, κατενόουν πάντα.

GALENI COMMENTARIUS.

Coma cataphoram somnolentam significare videtur, ut ipse tertio Epidemiorum pronunciat; *Erat autem coma assiduum, non somnolentum.* Quod enim ipsum somnolentum sit, & quod tale semper sit, quodque nunc præter rationem non existat, ita scripsit; *Eodem quoque de Pythione loquitur;* nono die erat comate soporatus, implacidus,
B ubi expergefactus esset. At magni nominis Interpretes contendunt minimè simul fieri posse & comate soporari, & pervigilio premi, ignorantes duo esse cataphoræ genera, ut jam nos Libro de comate, & ex Hippocratis sententia scripsimus. *Ac mente emoti erant*, inquit, delirium quoddam breve indicat, cujus modum aliis atque aliis vocabulis ostendere consuevit hisce verbis, *nugari, delirare, desipere, mente emoveri, insanire, furere.* Hi quidem duo affectus, coma dico, & mentis emotionem, ratione materiæ con-
C trarii videntur. Coma nanque ex cerebri tum frigiditate, tum humiditate. Hæc verò ex contrariis, utplurimum, qualitatibus ortum habere videtur. Veruntamen hæ multoties periculosa humorum copulatione miscentur, & concurrunt, ut in Sileni historia descriptum est; *Parumper deliravit, deinde exiles somni, comatosi*, ut sit interdum coma ex incommoderata facultatum animalium imbecillitate ac veluti extinctione, ipso motu jam consopito, & postmodum omnino consumpto, atque hæc apud Hippocratem ha-
D bentur. Coma profundum cum pervigilio; & coma somnolentum, & comatosi phrenitici, & ardentes. Detinebat autem vel coma assidue, non somnolentum, vel cum laboribus vigiliæ. Quum enim apertis oculis laborantes vigilare nequeant, clausis autem animo dormiendi vigilaverint, hujusmodi affectus coma non somnolentum vocatur. Mirandum autem non est accumulatis in corpore crudis humoribus, comatosos simul & delirantes fieri. Comatosos quidem propter crudorum humorum plenitudinem & frigiditatem; delirantes verò quòd
E hi putrefacti acrimoniam & æstum procreent. Consentaneum enim est tale quid esse coma cum levi delirio ex crudis, frigidis & crassis, simul & tenuibus & calidis humoribus fieri. Quod significarunt sequentes affectus, & difficile audiebant, inquit, & comatosi. At iterùm; comatosi vero & somnolenti, & toto anno vehemens siccitas, & tota æstate ardor vehementissimus. Perardui nanque morbi esse conspiciuntur, in quibus biliosorum, crudorum & incon-
F coctorum humorum plenitudo acervatur. Parvi autem delirii signum erat, quod consurgentes omnia perciperent.

A

Multa narrantur symptomata quæ decimoquarto judicata solvebantur. Quid spiritus elatus?

Πολλὰ ἀναγινώσκεται τὰ συμπτώματα, ἃ τεσσαρεσκαιδεκάτῃ ἐκρίνετο. τί πνεῦμα μετέωρον.

HIPPOCRATIS TEXTUS IV.

Spiritus elati, non tamen admodum. Vrinæ quidem tenues plurimis, & paucæ, nec aliàs decolores. Hæmorrhagiæ ex naribus non nisi paucis contingebant; neque parotides, de quibus posteà descripturus sum. Neque lien attollebatur; neque dextrum hypochondrium, neque valde dolorificum, neque vehementer intensum erat; Quiddam tamen interius significabat. Omnia vero plerunque circa decimumquartum diem maximè judicabantur, pauca cum sudore, pauca cum rigore, ac paucissimis recidivæ contingebant. At vero sub minutulis quæ per æstatem irrorabant pluviis sudor apparebat, febricitantibus etiam quidam sudores statim ab initio oboriebantur, non tamen malignè; quibusdam quoque sub hoc tempus judicatio cum sudore facta est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ΄.

B Πνεύματα μετέωρα, οὐ μὴν πάνυ. οὖρα λεπτὰ μὲν τοῖσι πλείστοισι, καὶ ὀλίγα, ἄλλως δὲ οὐκ ἄχροα, αἱμορραγίαι ἐκ ῥινῶν οὐκ ἐγίνοντο, εἰ μὴ ὀλίγοισιν, οὐδὲ παρωτίδες, περὶ ὧν ὕστερον γράψω. οὐδὲ σπλῆνες ἐπήροντο. οὐδὲ δεξιὸν ὑποχόνδριον, οὐδ' ἐπώδυνον κάρτα, οὐδ' ἐντεταμένον ἰσχυρῶς· ἦν δέ τι ἐνσημαῖνον, καὶ μάλιστα ἐκρίνετο πάντα τὰ πολλὰ περὶ τεσσαρεσκαιδεκάτην, ὀλίγα σὺν ἱδρῶτι, ὀλίγα σὺν ῥίγει, καὶ πάνυ ὀλίγοισιν ὑποστροφαὶ ἐγίνοντο· ὑπὸ δὲ τὰς ψεκάδας τὰς γινομένας ἐν τῷ θέρει ὑπεφαίνετο ἱδρώς. ἐν τοῖσι πυρετοῖσι καί τινες αὐτίκα ἱδρῶτες ἐπ' ἀρχῆς ἐγί-

C νοντο. οὐ μὴν κακοήθως, καὶ τοῖσιν ὑπὸ τοῦτον τὸν χρόνον, καὶ ἐκρίθη σὺν ἱδρῶτι.

GALENI COMMENTARIUS.

Non his neque in pulmone, neque in corde ignei caloris copia colligebatur. Jure itaque neque magnus spiritus, neque parvus omnino erat, quippe qui neque dolores patiebantur, neque frigore vexabantur. Quare si, ut in tertio de spirandi difficultate Libro scriptum est, sublime nihil prodat diversum à pauco, merito dicit ipsis spiritus elatos, aut sublimes esse, *non tamen admodum*. Hoc idem de cynanchicis protulit, quod scilicet, ut plerunque angina laborantibus ita spiritus attolleretur, ut etiam adusque fauces iniret, non autem in thoracis profundum descenderet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἤθροιστο τούτοις οὐδ' ἐν πνεύμονι, οὐδ' ἐν καρδίᾳ πλῆθος πυρώδους θερμασίας. εἰκότως οὖν οὐδὲ ἐγίνετο μέγα τὸ πνεῦμα, μικρόν τ' οὐκ ἦν παντάπασιν, ὡς μήτ' ὀδυνωμένοις, μήτε κατεψυγμένοις, εἴπερ οὖν, ὡς ἐν τῷ τρίτῳ περὶ δυσπνοίας γέγραπται, τὸ μετέωρον, οὐδὲν δηλοῖ διαφέρον τοῦ μικροῦ, εὐλόγως

D φησὶν αὐτοῖς τὰ πνεύματα μετέωρα γίγνεσθαι, οὐ μὴν πάνυ γε. ταυτὸ τοῦτο εἶπεν περὶ τῶν κυναγχικῶν, ὡς δηλονότι μετεώρου τὰ πολλὰ τοῖς κυναγχικοῖς γινομένου τοῦ πνεύματος, καὶ ὡς μέχρι τῆς φάρυγγος εἰσιόντος, οὐκ εἰς τὸ βάθος τοῦ θώρακος κατερχομένου.

Febrium æstivarum symptomata milia, non masculis, sed mulieribus oborta, minimè periculosa, quæ adusque crisim perseverabant.

Τὰ τῶν πυρετῶν θερινῶν συμπτώματα κεγχρώδεα, οὐκ ἄρσεσι ἀλλὰ γυναιξὶ ἐπελθόντα, οὐδέποτε κινδυνώ-

E δεα. ταῦτα διετέλει μέχρι κρίσιος.

HIPPOCRATIS TEXTUS V.

In æstivis autem febribus circa septimum, octavum, & nonum diem asperdines miliaceæ culicum morsibus similes, non multum pruriginosæ in summa cute enascebantur, & ad judicationem usque perdurabant. Nulli equidem masculo talia vidi milia. Mulier vero cui talia efflorescerent, nulla mortua est. Hæ tamen mulieres gravi erant auditu, & soporatæ; quamvis antea non admodum soporosæ essent, quibus ista evenire debebant. Non tamen in totum perseverabant. Æstate vero etiam ad vergiliarum occasum soporatæ & somnolentæ erant; posteà certè vigiliæ magis urgebant. Verum neque prorsus ista constitutione moriebantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε΄.

Ἐγένοντο δὲ ἐν τοῖσι θερινοῖσι πυρετοῖσι περὶ ζ΄. καὶ η΄. καὶ θ΄. τρηχίσματα ἐν τῷ χρωτὶ κεγχρώδεα, τοῖσιν ὑπὸ κωνωπέων γινομένοις μάλιστα ἴκελα ἀναδήγμασιν, οὐ πάνυ κνησμώδεα. ταῦτα διετέλει μέχρι κρίσιος. ἄρσενι δὲ οὐδενὶ εἶδον τοιαῦτα ἐξανθήσαντα. γυνὴ δὲ οὐδεμία

F ἀπέθανεν, ᾗ ταῦτα ἐγίνετο. βαρύκοοί τε ἦσαν, καὶ κωματώδεες. πρόσθεν δὲ οὐ κάρτα ἦσαν κωματώδεες ἧσιν ἔμελλε ταῦτα ἔσεσθαι, οὐ μὴν τὸ σύμπαν διετέλεον. κωματώδεες δὲ, καὶ ὑπνώδεες τὸ θέρος, καὶ μέχρι πληϊάδων. ἔπειτα μὲν ἀγρυπνίαι μᾶλλον, ἀτὰρ οὐδὲ τὸ σύμπαν ὑπὸ τῆς καταστάσιος ταύτης ἔθνησκον.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἔστι καθ' ἑαυτὸ κινδυνῶδες τὸ σύμπτωμα, ὃ ἐνδείκνυται αὐτὸς, εἰπὼν, τερχνίσματα κεγχρώδη, καὶ τοῖς ἀναδείγμασι τοῖς ὑπὸ κωνώπων γινομένοις ὅμοια. μᾶλλον δ' ὕποπτα εἰσὶ τὰ ἐξανθήματα ἐρυθρὰ, στρογγύλα, οἷα ἴονθοι, οἷα ἐν τῷ Σιληνῷ τῇ ὀγδόῃ μεθ' ἱδρῶτος ἐφάνη, καὶ παραμένον, οὐδ' ἀφίσταντο. τῇ πρὸς τοὺς κώνωπας ὁμοιότητι κέχρηται πολλάκις ὁ Ἱπποκράτης. καὶ γὰρ B ἐν τῷ ζ'. τῶν ἐπιδημιῶν περὶ γναφέως τοῦ ἐν σύρῳ γράφει, σκελέων τὸ χρῶμα οἷον ὑπὸ κωνώπων ἐγκαταδαμάσθη, καὶ μετ' ὀλίγα, περὶ Φερεκύδου, ὀγδόῃ ὡς ὑπὸ κωνώπων ἀναδείγματα πρὸ τῆς τελευτῆς ἀνέβηξεν. ἐν δὲ ταῖς Κωακαῖς λέγεται τὰ κωνώπων κεντήματα, ἔνθα φησὶν, ταραχώδης ἐπίστασις διὰ ταχέων ἐξελυθεῖ, οἷα κωνώπων κεντήματα, τουτέστι νύξεις τινὲς κνησμώδεις, οἷαι καὶ ὑπὸ κνίδης γίνονται, ἃς κνηδώσεις ἐν τῷ προρρητικῷ καλεῖ, γράφων οὕτως, νάρκαι δὲ καὶ κνηδώσιες οἷσι διὰ τῆς κεφαλῆς διαΐσσουσι. καὶ πάλιν, αἱ κνηδώσιες δὲ καὶ τὰ μελαγχολικὰ ταύτῃσιν ἧσσον, ἢ τοῖσιν ἀνδράσιν, ἢν μὴ τὰ καταμήνια C τελέως ἠφανισμένα ᾖ, καὶ ἐπὶ τῷ τέλει, καὶ αἱ κνηδώσιες ἐν δὲ τῷ στήθει, καὶ τῷ μεταφρένῳ, εἰ ἔνεισι.

GALENI COMMENTARIUS.

Quod symptoma prodit author, illud per se periculosum non est hoc edicto, *Aspredines miliaceæ culicum morsibus similes*; verùm potiùs occasionem præbent dubitandi an sint exanthemata rubra, rotunda, varis similia, cujusmodi in Sileno octavo die post sudorem apparuerunt permanentia, neque evanescentia. Similitudine à culicibus ducta sæpenumero usus est Hippocrates. Septimo nanque Epidemiorum de Syro scriptore scribit; Crurum color velut à culicibus perdomitus videbatur, & paulo post de Pherecido octavo die tanquam à culicibus morsus ante mortem extussivit. In Coacis culicum puncturæ leguntur, ubi dicit; turbulenta suppressio, brevi veluti culicum puncturæ erumpunt, hoc est, quales & ab urtica excitantur, quas uredines in prorrhetico his scriptis vocat; quibus autem torpores & pruritus pungentes per caput percurrunt. Et rursus; pungentes tamen prurigines & atræ bilis vitia, minus hæ, quàm viri sentiunt, nisi menstrua prorsus deperdita fuerint. Et prope finem; & num pungentes prurigines ipsis in pectore aut dorso insint.

Ἅτινα παρὰ λόγον γινόμενα ξυμφέρειν, ἅτινά ποτε μὲν φύσεως ἔργα εἶναι, ποτὲ δὲ τὰ τῶν νοσωδέων διαθέσεων ἐνεργήματα ὑπάρχειν στραβισμὸν, χάσμην, σκορδίνημα, βῆχα, πταρμὸν, ἔρυξιν, φύσας.

Quædam præter rationem facta prodesse. Quædam interdum naturæ esse opera; interdum morbosorum affectuum affectus ὑπάρχειν· strabismum, oscitationem, pandiculationem, tussim, sternutamentum, ructum, flatus.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Κοιλίης μὲν οὖν οὐκ ἐνδέχετο οὐδὲ τοῖσι κλύσμασι ἱστάναι, ἀλλὰ παρὰ λόγον ᾤετο ἄν τις ἰήσασθαι ξυμφέρειν, καίτοι ὑπέρπολλά ἐστιν, οἷσιν τὰ δὴ ἰόντα ἦν. τῷ ἐν ψύχει κεῖσθαι ὑποβεβλημένον, ὡς ἑλκοῖ μὲν τὸ ψυχρόν. θάλπει δὲ τὸ τοιοῦτον εἶδος ἐκ προσαγωγῆς ἐστὶ μᾶλλον, καίτοι μηδὲν τῇ φύσει πάθος γίνεται, E ἐφ' ᾗσί τε, καὶ ὁκοῖα τὰ σημεῖα, καὶ πλείω, ἢ μείω γινόμενα, χάσμη, βὴξ, πταρμὸς, σκορδίνημα, ἔρυξις, φῦσα, πάντα τὰ τοιαῦτα διαφθείρουσιν.

HIPPOCRATIS TEXTUS VI.

Alvum igitur assumptis sistere non concedebatur; sed factam præter rationem medelam prodesse quisque censuisset; etiamsi permulta sint quibus hæc medentur, quod in substratis frigori cubilibus decumberent. Nam frigidum quidem exulcerat, calefacit autem ejusmodi species sensim progrediendo, etiamnum magis. Atque nullus natura affectus inerat, & quibus & qualia signa & plura aut pauciora contingebant, oscitatio, tussis, sternutatio, pandiculatio, ructus, flatus, & hujus generis omnia perniciem invehunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταῦτά ποτε μὲν φύσεως ἔργον ὑπάρχουσιν, ποτὲ δὲ γίνονται ἐπὶ νοσώδεσι διαθέσεσιν, νοσώδεις δὲ διαθέσεις λέγω. οὐ μόνον ὅταν ἤδη νοσῶσιν, ἀλλὰ F κἀπειδὰν ἄρχεταί τις αὐτῶν συνίστασθαι, παράδειγμα ἔστω σοι ἡ ταραξις ἐπ' ὀφθαλμῶν ἰδίως καλουμένη, φλεγμονῆς ἀρχή τις οὖσα. αὕτη γοῦν, καὶ ἄλλαι τοιαῦται νοσώδεις διαθέσεις ἀρχόμεναι συνίστασθαι, λύονται τῆς φύσεως ἐκκρινούσης τοὺς γεννῶντας αὐτὰς ἀτμούς τε, καὶ χυμούς. καθάπερ χάσμη, καὶ σκορδινισμὸς γίνονται ἐκκρίσεως ἕνεκεν τῶν περιττωμάτων, καὶ ἡ βὴξ ἐνε-

GALENI COMMENTARIUS.

Hæc interdum quidem existunt naturæ opera, interdum vero ex morbosis affectibus oriuntur. Morbosos affectus dico, non solùm ubi jam ægrotant, sed etiam quum jam ipsorum aliquis ceperit consistere. Esto tibi, exempli gratiâ oculorum perturbatio propriè vocata, quæ principium quoddam est inflammationis. Is itaque & alii hujusmodi morbosi affectus, quum constitui incipiunt, solvuntur excernente tum vapores, tum humores eos affectus procreantes naturâ, quemadmodum oscitatio, pandiculatio, quæ ob excrementorum excretionem fiunt. Tussis quo-

que, ut mundas efficiat respirationis vias. Sternutamenta etiam perpetuo naturæ sunt opera, fiunt tamen in morbosis affectibus. At de his omnibus in Libris de symptomatum causis dictum est. Ructum aliquando ciere confert, ut iis qui flatibus oneratum ventrem patiuntur, ac præsertim quibus flatulentus spiritus ad inferiora non descendit. Atque narrant stomachum imbecillum ructibus tanquam proprio exercitio corroborari. Præterea ructum acidum lienteriam sanare proferunt. De flatibus autem quid enunciandum est? Est porro eorum generatio in aluinis regionibus, pituitosis quibusdam, aut cibis in flatus caloris penuria solutis. Etenim . . . .

A καὶ τὸ καθαρὰς ἐργάζεσθαι τὰς ὁδοὺς τῆς ἀναπνοῆς, καὶ οἱ πταρμοὶ δὲ φύσεως μὲν ἔργον ὑπάρχουσιν ἀεὶ, γίνονται δὲ ἐπὶ νοσώδεσι διαθέσεσιν. εἴρηται δὲ περὶ πάντων τῶν συμπτωμάτων αἰτίαις, ἔρευξιν δὲ ἐνίοτε κινεῖν συμφέρει, ὡς ἐπὶ τῶν ἐμπνευματουμένων τὴν γαστέρα, καὶ μάλιστα ἐφ' ὧν οὐ διέρχεται κάτω τὸ φυσῶδες πνεῦμα. φασὶ δὲ καὶ τὸν στόμαχον ἀτονοῦντα ῥώννυσθαι διὰ τῶν ἐρυγῶν, ὡς δι' οἰκείου γυμνασίου, ἀλλὰ καὶ λειεντερίαν ἡ ὀξυρεγμία ἰᾶσθαι
B λέγεται. περὶ δὲ τῶν φυσῶν τί δεῖ λέγειν; ἔστι δὲ τούτων γένεσις ἐν αὐτοῖς τοῖς κατὰ γαστέρα χωρίοις, χυμῶν τινων αὐτόθι φλεγματωδῶν, ἢ σιτίων εἰς ἀτμοὺς λυομένων ὑπὸ θερμότητος ἐνδεοῦς, καὶ γὰρ . . .

Quæ symptomata multis in febribus oboriantur hîc explicantur, jactatio, horror, lassitudines, oculorum dolores, capitis gravitates, paraplegiæ, menstrua apparentia, pallor; febre vero vacuis cordis dolor, hypochondriorum, crurum, ventris, coxendicum & partium inferiorum dolor & tumor, & cætera à morbi reliquiis orta.

Ἅπαντα τὰ πολλοῖς ἐν πυρετοῖσι ἐπέρχεται συμπτώματα, ἐνταῦθα ἐξηγεῖται, τὸ ἀσῶδες, φρικῶδες, κοπιώδεες, ὀμμάτων ὀδυνώδεες, καρηβαρίαι, παραπληγίαι, γυναικεῖα ἐπιφαινόμενα, ὠχρότης· οἷσιν δὲ ἀπυρέτοισιν ὁ
C τῆς καρδίας πόνος, ὑποχονδρίων, σκελέων, τῆς κοιλίας ἰσχίων, καὶ ἡ τῶν κάτω μερῶν ὀδύνη, καὶ τὸ ἐξόγκωμα, καὶ τὰ τοιαῦτα τοῦ νοσήματος ἐγκαταλιμπανόμενα.

HIPPOCRATIS TEXTVS VII.

Quibus in febribus cum corporis jactatione, & horrore vultus rubescunt, lassitudines, oculorum dolores, capitis gravitates, & paraplegiæ adsunt, & quibus menstrua apparent; præcipuè vero quibus primum erumpunt. Quin & virginibus, & mulieribus, quibus per tempus, sed & quibus consueto tempore, aut ut decet, prodeunt; deinde plurimùm pallidæ redduntur. Magni autem est momenti in omnibus intueri quid & postea consequitur, & quo tempore, & in quibus admodum biliosis, in febribus maximè quibusdam prorsus ad crura purgatio secedit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Ἦσιν ἐν πυρετοῖσιν ἀσώδεσι, φρικώδεσι, ἐρυθαίνονται πρόσωπα, κοπιώδεες, ὀμμάτων ὀδυνώδεες, καρηβαρίαι, παραπληγίαι, καὶ γυναικεῖα ἢν ἐπιφαίνεται, μάλιστα δὲ ᾗσι πρῶτον. ἀτὰρ καὶ παρθένοισι, καὶ γυναι-
D ξὶν, ᾗσι διὰ χρόνου. ἀτὰρ καὶ ᾗσι μὴ ἐν ᾧ εἴθισται χρόνῳ, ἢ ὡς δεῖ, ἐπιφαίνονται. ἔπειτα ἔξωχροι γίνονται, μέγα δὲ ἐν ἅπασι, τὸ καὶ ἑξῆς, καὶ ἐν ᾧ χρόνῳ, καὶ ἐφ' οἷσι. τοῖσι πάνυ χολώδεσιν ἐν πυρετοῖσι μάλιστα, ὅλως οἷσιν ἐπὶ σκέλεα ἡ κάθαρσις.

GALENI COMMENTARIVS.

Erat crudorum, crassorum, mordaciumque humorum copia, ut & antea proditum est. Sed & fortassis inæqualitas quæ in descripto statu cum hortido, molestoque sensu mulieres infestavit; propterea que oculorum dolores, capitis gravedines, & paraplegiæ aderant. Talis enim humorum inæqualitas ita ad caput tulit impetum, ut sensoria occuparit, proindeque carus & abscessus in articulis facti sunt. Hæc autem accidunt ob febrium calorem ejus copia ad caput ascendente. Hinc deinde ad inguina, vel axillas, vel crura pars aliqua descendit, quam in ardentibus febribus jactationem concitare accidit quamsæpissime, non tamen hoc inseparabile est. Horrorem vero non sæpe patiuntur, qui ardentibus febribus afficiuntur. Febres autem horridæ dicuntur, in quibus ad summum ascensum, appellati paroxysmi incrementum usque horrores ægroti subeant. At eos horridos non appellat, qui initio insultus paroxysmi tales fuerunt; sed in quibus plurimùm per totum paroxysmum horroris

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἦν εὐπορία τῶν ὠμῶν τε, καὶ παχέων, καὶ δακνωδῶν χυμῶν, ὡς ἐρρέθη καὶ πρόσθεν, ἴσως δὲ
E καὶ ἀνισότης, ἥπερ ἐν τῇ γεγραμμένῃ καταστάσει τὰς γυναῖκας σὺν φρικώδει τε, καὶ κοπώδει αἰσθήσει ἠνώχλησεν, διὸ καὶ τῶν ὀμμάτων ὀδύναι, καὶ καρηβαρίαι, καὶ παραπληγίαι ἦσαν. τοιαύτη γὰρ τῶν χυμῶν ἀνισότης ἐπὶ τὴν κεφαλὴν οὕτως ὥρμησεν, ὡς τὰ αἰσθητήρια περιλαβεῖν, καὶ κάρος. διὸ καὶ ἀποστάσεις εἰς ἄρθρα γεγόνασι. συμβαίνει δὲ ταῦτα διὰ τὴν ἐν τοῖς πυρετοῖς θερμασίαν, ἐπὶ κεφαλὴν ἀναφερομένου τοῦ πλήθους, εἶτ' ἐντεῦθεν ἐς βουβῶνας, ἢ μασχάλας, ἢ τὰ σκέλεα ἀφικνεῖταί τι. τὸ
F δὲ ἀσᾶσθαι τοῖς καύσοις πυρετοῖς γίνεται πάνυ πολλάκις. οὐ μὴν ἀχώριστόν γε ἐστι. φρικώδεις δὲ μὴ πολλάκις οἱ καυσούμενοι γίνονται. φρικώδεις δὲ, πυρετοὶ λέγονται, ἐν οἷς μέχρι πλεῖστον τῆς ἀναβάσεώς τε, καὶ ἐπιδόσεως καλουμένης τοῦ παροξυσμοῦ αἱ φρῖκαι γίνονται τοῖς νοσοῦσιν· οὐκ ὀνομάζει δὲ φρικώδεις τοὺς κατὰ τὴν ἀρχὴν τῆς ἐπισημασίας οὕτως γενομένους. ἀλλὰ ἐφ' ὧν ἐπὶ πλεῖστον ὅλου τοῦ παροξυσμοῦ τὸ τῆς φρίκης

ἐκτέταται σύμπτωμα, καὶ γίνεται κατὰ δύο τρόπους, καθ' ἕνα μὲν, τῆς ἐπιτάσεως ποιούσης τὰς ἀναδιπλώσεις, καθ' ἕτερον δὲ, ποιούσης ἀνώμαλον ἀνάβασιν· καὶ τοῦτό ἐστιν, ὃ γέγραφεν ἐν ταῖς ἐπιδημίαις αὐτὸς, ἦν δὲ τοῖς πλείστοις αὐτῶν τὰ παθήματα τοιάδε, φρικώδεις πυρετοὶ, συνεχέες ὀξέες, ἔνθα φρικώδεις εἶπεν οὐχ ἁπλῶς τοὺς μετὰ φρίκης εἰσβαλλόντας, ὡς πλείστοις γε πυρετοῖς ὑπάρχει τοῦτο, ἀλλὰ, ὡς ἐρρέθη, ὅσοις τὸ πλεῖστον μέρος τοῦ παροξυσμοῦ κατειλήφασιν αἱ φρίκαι. ἐνίοτε δὲ καὶ τῷ ὑποσείεσθαι οὕτω πολυειδῶς τὸ σῶμα, τὰ ἐπιμήνια ταῖς γυναιξὶ γίνονται, ὡς ἐν ταῖς Κωακαῖς γέγραπται, τὰ φρικώδεα, κοπιώδεα, καρηβαρικὰ, ὀδυνώδεα, γυναικεῖα καταρρήγνυσι. ταυτὸ τοῦτο γράφεται ἐν τῷ προῤῥητικῷ, οἷσιν ἐκ ῥίγεος, πυρετοὶ κοπιώδεες, γυναικεῖα καταρρέει· τράχηλος δὲ ἐν τούτοις ὀδυνώδης, αἱμοῤῥαγικόν, ἂν μὲν γὰρ τὰ γυναικεῖα μὴ γένοιτο εἰκὸς ἦν τὸ τοῦ προσώπου ἔρευθος αἱμοῤῥαγίαν τινὰ ὑγιεινὴν σημαίνειν· οἱ δὲ τοιούτους ἔχοντες πυρετοὺς, τοῖς φρικώδεσιν ἑάλωσαν νοσήμασι, ὡς ἐνδείκνυται ὁ παλαιὸς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, καὶ ἐν ταῖς Κωακαῖς εἰπὼν, τὸ φρικῶδες, καὶ τὸ δύσπνοον ἐν τοῖσι πόνοισι, σημεῖα φθινώδεα, καὶ πάλιν, οἱ φρικώδεες πυκνὰ εἰς ἐμπύησιν. πονοῦσι δὲ τὰ πολλὰ οἱ φθινώδεες τῇ φρίκῃ, ὅτι τὰ ἐν θώρακι σεσήπηται, ἅπερ τῇ ὀξύτητι αὐτῶν τοὺς λεπτοὺς τοῦ θώρακος ὑμένας, τοὺς τὰ σπλάγχνα σκέποντας νύζουσί τε, καὶ νίπτουσι. ὃ δὲ λέγει, ἐπὶ σκέλεα ἡ κάθαρσις, ἴσμεν ὅτι ἐν οἷς ἀπὸ τοῦ μακροῦ νοσήματος τὴν δύναμιν ἀναλαμβανομένοις, εἰς τὰ ἀσθενέστερά τε, καὶ πορρωτέρω τοῦ σώματος μόρια τῶν νοσωδῶν ὑπολοίπων χυμῶν ἀποθέσεις γίγνεσθαι. ὅπερ ὅμοιόν ἐστι τοῖς ἐν ταῖς Κωακαῖς προγνώσεσιν γεγραμμένοις, οἷσιν ἐξαίφνης ἀπυρέτοισιν ἐοῦσιν ὑποχονδρίου, καὶ καρδίας πόνος, καὶ παρὰ σκέλεα, καὶ τὰ κάτω μέρεα, καὶ κοιλίη ἐπῆρται, λύει φλεβοτομίη, καὶ κοιλίης ῥύσις παρέξει βλαβερὸν τούτοισι. μακροὶ γὰρ οἱ πυρετοὶ, καὶ ἰσχυροὶ γίγνονται, καὶ βῆχες, καὶ πνεῦμα, καὶ λυγμοί· λύεσθαι δὲ μελλόντων τούτων, πόνος ἰσχυρὸς ἰσχίων, ἢ σκελέων, ἢ πύου πτύσις, ἢ ὀφθαλμῶν στέρησις ἐπιγίνεται.

A ſymptoma porrectum eſt. Quod duobus fit modis; uno quidem, incremento reduplicationes efficiente; altero verò, incremento inæqualem aſcenſum creante. Idque eſt quod ipſe in Epidemiis ſcripſit; *Oboriebantur autem eorum plurimis hi morbi, febres horridæ, aſſiduæ, acutæ.* Ubi horridas dixit non ſimpliciter eas quæ cum horrore irruunt, ut plurimis febribus, quibus horrores principium inferunt; ſed, ut dictum eſt, plurimam paroxyſmi partem occuparunt. Interdum vero etiam quòd multoties commoveatur corpus, menſtrua B mulieribus prodeunt, ut in Coacis ſcriptum eſt; *Qui horrores laſſitudinem, capitis gravedinem & dolores invehunt, menſtruorum eruptionem portendunt.* Idem in prorrhetico ſcriptis mandatum eſt; *Quibus ex horrore febres ſunt, iis menſtruorum profluvium oboritur.* Cervix autem in his dolore obſeſſa hæmorrhagiam prodit. Niſi enim muliebria prodirent, deceret vultus ruborem ſalubrem quandam hæmorrhagiam ſignificare. Qui autem hujuſmodi febres patiuntur horridis morbis ſunt C. obnoxii, ut demonſtrat ſenex primo Epidemiorum & in Coacis, his verbis; *Horror & difficilis reſpiratio in laboribus tabida ſigna ſunt.* Atque iterum; *Horrore detenti crebro ad ſuppuratum deveniunt.* Verùm & hos febris ad ſuppurationem adducit. Laborant autem ut plurimùm horrore tabidi, quoniam thoracis partes marceſcunt, quæ ipſorum acumine tenues thoracis membranas viſcera tegentes & pungunt & abluunt. Quod vero dicit, in cruribus purgatio. Novimus in vires recuperantibus à diuturno morbo refun- D di reliquos inſalubres humores in debiliores & remotiores corporis partes, quod eſt iis ſimile quæ in Coacis prænotionibus habentur, quos derepente febris expertes hypochondrii & cordis, necnon crurum, inferiorumque partium dolor ſubſequitur & venter intumeſcit, ſolvit hos venæ ſectio, quibus ventris fluxus nocebit. Longæ nanque febres ac vehementes fiunt, & tuſſes, & flatus & ſingultus. His autem ſolvi incipientibus, vehemens coxendicum vel crurum dolor, aut puris expuitio, aut oculorum privatio ſupervenit.

E

Τί δεῖ ὁρᾶν τὸν ἰατρὸν σοφὸν ἐν τῇ τῶν καθαιρόντων χρείᾳ· τὴν τῶν αὐτῶν ἐπιτομὴν ἡ αὕτη ῥῆσις περιέχει ἀπὸ τοῦ Γαληνοῦ διεξοδικῶς ἐξηγηθεῖσαν.

Quæ in purgantium medicamentorum uſu ſapienti Medico animadvertenda ſunt, eorum epitomen hic textus prodit à Galeno fuſiùs explicatum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

ΦΑρμάκων δὲ τρόπους ἴσμεν, ἐξ ὧν γίνεται ὁποῖα ἄσσα. οὐ γὰρ πάντες ὁμοίως, ἀλλ' ἄλλοι ἄλλως εὖ κεῖνται, καὶ ἄλλοθι προτίτερον, ἢ ὀψίτερον ληφθέντα διαχειρισμοῖσιν, οἷον ἢ ξηρᾶναι, ἢ κόψαι, ἢ ἑψῆσαι, καὶ τὰ τοιαῦτα ἐῶ δὲ τὰ πλεῖστα, καὶ ὁκόσα ἑκάστῳ, καὶ ἐφ' οἷσι νοσήμασι, καὶ ὁπότε τοῦ νοσήματος, ἡλικίην, εἰδέαν, δίαιταν, ποίη ὥρη ἔτεος, καὶ ἥτις, καὶ ὁποίως ἀγομένη, καὶ τὰ τοιαῦτα.

HIPPOCRATIS TEXTUS VIII.

F *MEdicamentorum genera novimus, ex quibus, qualia, & quæ fiant: Non enim omnia ſimiliter, ſed alia aliter probè componuntur. Atque alibi maturiùs aut tardiùs ſumpta differunt, & præparationes ipſæ, quale eſt ſiccare, tundere, coquere, & hujuſmodi cætera. Plurima vero præterea quæ huc conſideranda veniunt, quænam cuique conveniant, & quibus in morbis, & quo morbi tempore; ætas etiam, idea, victus, anni quoque tempus quodnam ſit & qualiter procedat, & hujuſmodi cætera.*

A

GALENI COMMENTARIUS.

Purgantium medicamentorum naturam, facultates, & effectus hîc tanquam per epitomem describit; & quid nobis inspiciendum sit ipsa sumpturis pronunciat, etiam indicationes quasdam paucis tradit, quas nos etiam in Libro de purgantium medicamentorum facultatibus, & in opere de medendi methodo addidimus; etiam in operibus de purgantium medicamentorum compositione copiosè scripturi sumus. At nunc author Medicos hortatur quò noscant medicamentorum naturam & per opportunum tempus quo medicamentum assumendum sit, scrutentur, & accuratè considerent eorum qui id assumunt, naturas, temperamenta, consuetudinem, ætatem, robur virium, & anni tempestatem, utrùm propria, aut ab assumendo alienata sit. Quapropter quosdam invenies medicamenta posse citra molestiam assumere; alios verò contra; ut etiam alios qui nullum ab ipsis malum percipiant; alios autem ita affectos, ut neque initio ipsis uti queant & eorum stomachus ita aversetur, ut & etiam ante usum proptè exolvatur. Itaque invenimus hoc in examine medicamenta quædam quæ totâ substantiâ agunt; quædam verò mixtam in substantia facultatem sortiuntur, & duplicem actionem perficiunt, Hæcque ita dilucidè interdum, ut & quæ maxime contraria sunt, operentur; idque conspicientibus admirationem advehunt. Etenim brassicæ succus alvum perturbat; olus autem ipsum brassicæ contrarium & alia multa hoc modo efficit. Dispensationes autem medicamentorum appellat administrationes, præparationes, compositiones, & doses, curandique rationem, ut in Libro epidemiorum primo, ambientis statum nominavit, quo quia ambiente animalium corpora commutantur, propterea etiam ipsum nos considerare adhortetur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν καθαιρόντων φαρμάκων φύσιν τε, καὶ δυνάμεις, καὶ ἐνεργείας παραγράφει νῦν ὡς ἐν ἐπιτομῇ, καὶ φησὶν, τί δεῖ ὁρᾷν ἡμᾶς ἐν τῷ λαμβάνειν αὐτὰ, καὶ ἐνδείξεις τινὰς περὶ τῆς καθάρσεως ἐν κεφαλαίῳ παραδίδωσι, ἃς ἡμεῖς γε καὶ ἐν τῷ περὶ τῶν καθαιρόντων φαρμάκων δυνάμεως, καὶ ἐν τῇ θεραπευτικῇ μεθόδῳ προστεθήκαμεν, καὶ ἐν τῷ περὶ τῆς τῶν καθαιρόντων φαρμάκων συνθέσεως διεξοδικῶς γραψόμεθα. αὐτὸς δὲ νῦν παραινεῖ τοῖς ἰατροῖς, εἰδέναι τὰς φύσεις τῶν φαρμάκων, καὶ ἐξετάζειν τὸν καιρὸν, ἐν ᾧ ληπτέον τὸ φάρμακον, καὶ ἐπιβλέπειν τὰς φύσεις τε, καὶ κράσεις, καὶ τὸ ἔθος, καὶ τὴν ἡλικίαν, καὶ τὴν ῥώμην τῶν λαμβανόντων, καὶ τὴν ὥραν, πότερον ἰδία ἐστὶ, ἢ καὶ ἀλλοιουμένη, διότι εὑρήσεις τινὰς τὰ φάρμακα εὐκόλως λαμβάνειν δυναμένους, ἄλλους δὲ ἐναντίως, ὡς καὶ ἄλλους κατὰ μηδὲν ὑπ' αὐτῶν κακουμένους, ἄλλους δὲ ὑπ' ἐκείνων στρέφεσθαι, ἄλλους δὲ οὕτω διακειμένους, ὡς οὐδὲ τὴν ἀρχὴν αὐτοῖς χρῆσθαι δύνασθαι, καὶ τὸν στόμαχον αὐτῶν ἀποστρέφεσθαι, καὶ πρὸ χρήσεως ἐκλύεσθαι ῥᾳδίως. εὑρίσκομεν γοῦν ἐν τῇδε τῇ ἐξετάσει τὰ μὲν τῶν φαρμάκων καθ' ὅλης ἐνεργοῦντα τὰς οὐσίας, τὰ δὲ μικτὴν ἐν τῇ οὐσίᾳ τὴν δύναμιν ἔχοντα, καὶ διπλῆν ἐνέργειαν ἀποτελοῦντα, καὶ ταῦτα οὕτως ἐναργῶς ἐνίοτε, ὡς καὶ τὰ ἐναντιώτατα ὑπ' αὐτῶν γίνεσθαι, καὶ τοῦτο θαυμαστὸν τοῖς ὁρῶσιν εἶναι., καὶ γὰρ ὁ τῆς κράμβης χυλὸς ἐκταράσσει τὴν κοιλίαν, τὸ δὲ λάχανον αὐτὸ, ἡ κράμβη, ἀπέχει· καὶ τ' ἄλλα πολλὰ κατὰ τοῦτον τὸν τρόπον. διαχειρισμοὺς δὲ λέγει τὰς τῶν φαρμάκων οἰκονομίας τε, καὶ παρασκευὰς, καὶ συνθέσεις, καὶ δόσεις. ἀγωγὴν δὲ, ὡς ἐν τῷ προτέρῳ τῶν ἐπιδημιῶν, τὴν κατάστασιν ὠνόμασε τοῦ περιέχοντος· ὅτι τῷ περιέχοντι συνεξομοιοῦται τὰ τῶν ζώων σώματα, διὸ παραινεῖ, καὶ ταύτην ἡμᾶς ἐπιβλέπειν.

Historia Zoili ex matura tussi in acutam febrem lapsi comite, cum gravissimorum symptomatum concursu parotidum indice; is pure ab aure excluso, nono die, & sudoris vacuatione decimoquatto die judicatus est.

Ἡ τοῦ Ζωΐλου ἐκ βηχὸς πεπείρης εἰς τὸν πυρετὸν ὀξὺν πεσόντος ἱστορία, σὺν τοῖς βαρυτάτοις συμπτώμασί τε, καὶ ταῖς τῶν παρωτίδων συνδρομαῖς. πῦον δὲ ἐρράγη ἐκ τοῦ ὠτὸς ἐνάτῃ, καὶ ἵδρωσε, καὶ αὐτὸς ἐκρίθη τεσσαρεσκαιδεκάτῃ.

HIPPOCRATIS TEXTUS IX.

Zoilo juxta murum, ex matura tussi febris acuta suborta est; & faciei rubor, alvusque præterquam ad necessitatem intercepta, lateris sinistri dolor, & auris è directo magnoperè dolebat; sed caput non tantopere. Spuens purulentum semper ægrotabat. Sed alia judicata sunt; & ad octavum, aut nonum diem ex ore pus copiosum erupit. Ad noni vero principia auris dolor cessavit; haud scio quomodo sine rigore judicatio facta est. Caput valde sudavit, aurisque & lateris sinistri stabilis erat quidam ardor. Supernè unà cum aure ad scapulas præ-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ζωΐλῳ, τῷ παρὰ τὸ τεῖχος ἐκ βηχὸς πεπείρης πυρετὸς ὀξὺς, καὶ προσώπου ἔρευθος, καὶ κοιλίη ἀπολελαμμένη, πλὴν πρὸς ἀνάγκην. πλευροῦ ὀδύνη ἀριστεροῦ, καὶ οὖς κατ' ἴξιν ὀδυνῶδες πάνυ, καὶ κεφαλὴ οὐ τοσοῦτο. πτύων διὰ παντὸς ὑπόπυον ἐνόσει. ἀλλὰ τὰ ἄλλα ἐκρίθη, καὶ κατ' οὖς ἐρράγη πῦον πολὺ, περὶ ὀγδόην, ἢ ἐνάτην, αἱ δὲ ἀρχαὶ τῆς ἐνάτης ὀγδόης τοῦ ὠτός. οὐκ οἶδα ὅπως ἄνευ ῥίγεος ἡ κρίσις, ἵδρωσε κεφαλὴν κάρτα, καὶ οὗτος ἐμπεδότιμη ξύγκαυτος, καὶ ἀριστεροῦ πλευροῦ. ἄνω ἅμα ὠτὶ ἀνωδύνη μάλιστα

κατ' ὠμοπλάτην. ἀτὰρ καὶ ἔμπροσθεν πτύελα πολλὰ, κατ' ἀρχὰς πτυέντα αἰθηρὰ, καὶ ἀμφὶ ἑβδόμην, ἢ ὀγδόην. ἔπειτα ἐπίπονα, κοιλίη ἐστήκει μέχρις ἀμφὶ ἐνάτην, καὶ δεκάτην, ἡ ὀδύνη ἀπέσβη, οἴδημα ἀνίει, καὶ ἱδρώπια ἐγίνετο, οὐ μὴν ἔκρινε. δῆλα δὲ ἦν καὶ ἄλλοισι, καὶ τῇ ἐξόδῳ. περὶ γὰρ ἀρχομένην τὴν τοῦ ὠτὸς ὀδύνην καὶ ἡ γαστὴρ ἀπεταράχθη. ἐρράγη δὲ ἐκ τοῦ ὠτὸς ἐνάτῃ, καὶ ἐκρίθη τεσσαρεσκαιδεκάτῃ ἄνευ ῥίγεος, ἡ νόσος τῇ αὐτῇ ἡμέρᾳ. ἀτὰρ καὶ τὸ πτύελον λαυρότερον εἴη, ἐπεὶ τὸ οὖς ἐρράγη καὶ πεπειρότερον. B ἱδρῶτες δὲ καὶ ἕρπητα, ἐπὶ πολὺν χρόνον τῆς κεφαλῆς ἐγίνοντο. ἐξηράνθη ὡς τρίτῃ, ὁπόσα ἀσήμως ἀφανίζεται δύσκριτα, καὶ οἷον τῇ τοῦ Πολεμάρχου παιδίσκῃ ἐρισίπελας.

A *cipuè dolor sedatus est. Sed & antè sputa multa ab expuitionis initio, & circa septimum aut octavum diem florida rejecta sunt, deinde laboriosa. Alvus adusque nonum & decimum diem restitit; dolor extinctus est, tumor remittebat, parvique sudores fiebant, non tamen decernebant. Sed manifesta erant tum ex aliis, tum ex secessu* judicia. *Incipiente siquidem auris dolore, venter perturbatus est, nono autem die ex aure pus erupit, & morbus absque rigore decimoquarto eodem ipso die judica-* B *tus est. Quin & sputum copiosius & magis coctum procedebat, ubi ex aure pus erupit. Sudores autem & serpentia ulcuscula ad multum tempus in capite creabantur quæ tertio die resiccata sunt. Quæcunque non significata disparent, malè decernunt, quemadmodum ancillæ Polemarchi erysipelas.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C ΤΩν τοιούτων, καὶ τηλικούτων συμπτωμάτων συνδρομὴ ἦν τῶν παρωτίδων σημαντική. εἰκὸς γὰρ ἦν ἐν τῷ ὀξεῖ πυρετῷ, κεφαλαλγίᾳ, προσώπου ἐρεύθει, κοιλίας ἐπισχέσει, ὑποχονδρίου ὄγκῳ τε, καὶ τάσει, τὴν τῶν παρωτίδων ὕλην ἄνω φέρεσθαι. συμφωνεῖ δὲ ταῦτα τοῖς ἐν τῷ προρρητικῷ γεγραμμένοις, δι' ὧν προγινώσκει τὰς παρωτίδας ἔσεσθαι. τὰ κωματώδεα, ἀσώδεα, ὑποχόνδρια ὀδυνώδεα, αἱματώδεα μικρὰ, ἐν τούτοισι τὰ παρ' οὖς ἐπανίστανται· πρόσθεν δὲ καὶ τὰ περὶ πρόσωπον· καὶ μετ' ὀλίγα, ὑποχονδρίου σύντασις μετὰ κώματος ἀσώδεος, καὶ κεφαλαλγίης, τὰ παρ' οὖς ἐπιρρεῖ· καὶ πάλιν, τὰ κω- D ματώδεα, ἀσώδεα, ὀδυνώδεα ὑποχόνδρια, θαμινὰ, σμικρὰ πτύοντα. τὰ παρ' οὖς ἐπάρματα, κωματώδεες, ἀλλὰ καὶ ἡ τῶν παρωτίδων ὕλη εἰς τὸν πνεύμονα μεταφερομένη, τῇ ῥώμῃ τῆς φύσεως ἀπωσθείη, ὥσπερ ἐν ταῖς Κωακαῖς ἐρρέθη διὰ τούτων, τὰ παρ' οὖς λαπάσσει βηχία μετὰ πτυαλισμοῦ ἰόντα. ὃ δὲ λέγει τὴν κοιλίην ἀπολελαμμένην, σημαίνει τὴν ἐπισχημένην, ὥς φησιν ἐν τῷ προρρητικῷ, κοιλίαι ἀπολελαμμέναι, σμικρὰ δὲ μέλανα σφαιρώδεα πρὸς ἀνάγκην χαλῶσαι, καὶ τὸ, οἱ κεφαλαλγικοὶ κατόχως παρακρούοντες, κοιλίης ἀπολελαμμένης, ὄμμα θρασύνοντες, ἀνθηρὰ, ὀπισθοτονώδεες γίνονται· καὶ E οἱ ἐν πυρετοῖσιν ἐφιδροῦντες κεφαλαλγέες, κοιλίης ἀπολελαμμένης, σπασμώδεες. καλεῖ δὲ καὶ ἀπολελαμμένους ἐν ταῖς Κωακαῖς, ὧν ἡ κοιλία ἐπέχεται, ἔνθα φησὶ, ἀπολελαμμένοι ἐφιδροῦντες, οὖρα τουτέοισι τὸ θολερὰ, πνεῦμα, καὶ τὸ γονοειδὲς διελθὸν, λύγγα σημαίνει. κατὰ τὴν αὐτὴν ἔννοιαν εἶπεν ἐν τῷ προρρητικῷ, τὰ σιτία ἀπολελαμμένα, τοὺς ἀπεσχημένους τὴν γαστέρα σημαίνων. διὸ προσέθηκε, πλὴν πρὸς ἀνάγκην, τουτέστι, μετὰ τοῦ πραγματεύεσθαί τι τὸν ἰατρὸν, F ἢ διὰ κλυστῆρος, ἢ διὰ βαλάνου. τὸ γὰρ πρὸς ἀνάγκην τοιοῦτόν τι σημαίνει. ἤθροισε γοῦν ἐνταῦθα συμπλοκὴν τῶν διαθέσεων ἐκ τῆς τῶν οὐχ ὁμογενῶν συνδρομῆς. περὶ δὲ τῶν πτυέλων τῶν αἰθηρῶν ἐρρέθη ἡμῖν κατὰ τὸ πρόσθεν ὑπόμνημα. ὃ δὲ λέγει νῦν ἐπίπονα, σπάνιόν ἐστιν. εἴωθε γὰρ λέγειν τὸ ἐπιπόνως φέρειν, ὡς ἐναντίον τοῦ ῥηθέντος ἐν

GALENI COMMENTARIUS.

C TAlium ac tantorum symptomatum concursus parotidas portendebat. Consentaneum siquidem erat in acuta febre, capitis dolore, faciei rubore, alvi suppressione, hypochondrii tum tumore, tum tensione, parotidum materiam sursum vehi. Hæc autem iis sunt consona quæ in prorrhetico scripta sunt, quibus parotidas fore præcognoscit, soporosa, fastidiosa, dolentia hypochondria, parcè sanguinea quæ ad aurem in tumorem assurgunt. Ad hæc prope aures anteriores faciei partes tument. Atque paulò post; hypochodrii contentio cum sopore fastidioso & ca- D pitis dolore ad aures affluunt. Rursum etiam; comatosa, nauseabunda, dolentia hypochondria, densa ac pauca expuentia ad aurem tumores, comatosi. Quin etiam parotidum materia in pulmonem translata naturæ robore expulsa est, ut in Coacis pronunciatum est. Quasobres aurium tumores evacuat tussis cum salivatione. Quod vero dicit, *Interceptum alvum*, suppressam significat, ut in prorrhetico pronunciat, *Ventres intercepti, pauca vero nigra, globulosa ad necessitatem emissa.* Et illud, *Cephalalgia cum catocho laborantes, delirantes, alvo intercepta, oculos ferocientes,* E *floride in opisthotonum incidunt, quique in febribus exudantes dolore capitis afficiuntur, alvo interceptâ, convulsione prehenduntur.* At etiam interceptos vocat in Coacis, quorum alvus retinetur. *Hic*, inquit, *intercepti, leviter exudantes, his urinæ turbidæ, flatus & genituræ effluvium, singultus significant.* Ad eundem sensum in prorrhetico, *cibos interceptos, retentos in ventre cibos significat.* Proptereà addidit, *præterquam propter necessitatem*, hoc est, opitulante aliquantulum Medico vel clystere, & glande. Illud enim, F propter necessitatem, tale quid denotat. Colligit itaque hîc affectionum complexum ex rerum minimè homogenearum concursu. De floridis autem sputis à nobis insuperiori commentario enunciatum est. Quod verò modo dicit cum magna difficultate, rarum est. Consuevit nanque dicere difficulter ferre, ut contrarium ejus pronunciatum in aphorismis

aphorismis loquuti, *facilè ferre*; ac persimile est illi qui in primo Epidemiorum scribitur difficulter se habere, ut quum dicit, *Plurimi laboriosè degebant*, significans symptomata plurimis ægrotantibus laboriosè contigisse, ut non ea facile ferrent. Non dissimili ratione in prorrhetico scripsisse videtur. *Atque urinæ difficiles, malum*, ut significet eas cum labore excerni. Quæcunque verò sine signo evanescunt, inquit, quoniam si tum magnus, tum vehemens morbus cessaturus est, sed solutionis ipsius signa (quæ solutoria vocantur) præcedant oportet. Hæc autem sunt utiles sudores per universum corpus effusi, aut urinarum, aut dejectionum, aut vomituum copia, aut è naribus hæmorrhagia, aut alia quædam sanguinis evacuatio, vel utero, vel auribus in glandulas, aut alias in partes ignobiles, aut in articulos decubitus. Nullo autem apparente signorum, morbus quidem cessasse visus est, sed non multò pòst revertitur. Propterea in prognostico protulit: *Quibuscunque febres cessant, solutoriis signis non apparentibus, neque diebus criticis, istas reverti expectemus oportet*, ut in secundo aphorismorum. *Nullam his morbis præstare fidem oportet qui non secundùm rationem levant: neque admodum metuere quæ perniciosa præter rationem contingunt.* Unde author porrhetici perniciosa appellat, quæ nullo edito signo levarunt, mortem portendunt. Ut itaque morborum solutiones certæ ac securæ sint, copiosam quandam excretionem, aut manifestam secessionem desiderant. Quod si hæc non eveniant, accidere solent quæ in prognostico hoc modo scripta sunt, *Quæ dolentia non criticè sensim solvuntur*, malæ. Quia quæ mollescunt, brevi futuram solutionem indicant. Hæc etiamnum; *Sitis præter rationem soluta in acutis morbis malum.* Id quoque; *Qui lateris dolor in acutis biliosis præter rationem evanuerit, mentis alienationem indicat.* Illud enim in Coacis; *Quæ in pravis signis levant, quæque in utilibus non remittunt, difficilia.* Ipse quoque procedens dicturus est; *Qui tumores præter rationem facile evanescunt, adulterinum.* Quin & in hujus sectionis fine; *Quæ deteriora derepentè evanescunt.* Hæc autem ipse profert quum sine signis, vel excretione, vel coctione fieri significat. Imprimis quidem evanescere dicit, deinde vero & derepentè, & præter rationem & absque ratione, & sine manifesta causa: non secundùm rationem, citra judicium, & citra signa. Evanescere autem ab ipso etiam effertur de tumoribus præter naturam, ut de parotidibus vacuari, mollescere, hoc est, remitti, & evanescere. Verùm & ipsius est consuetudo hanc vocem λαπάσσεσθαι, hoc est, remitti & evanescere proferendi de omnibus quæ quomodocunque remittuntur. Quandoquidem magis vacuantur. In prognostico quoque dixit ventrem λαπάττειν, hoc est, vacuare, & ventris tumores reprimere. Utitur autem, ut significet non solùm his vocibus evanescere, levari, facile dissipari, mollescere, remitti, roborari, judicari, solvi; sed & plerisque cæteris utitur.

A τοῖς ἀφορισμοῖς εὐφόρως φέρειν, καὶ ὅμοιον τῷ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, δυσφόρως ἔχειν, ὡς ὅταν λέγῃ, καὶ οἱ πλεῖστοι διῆγον ἐπιπόνως, σημαίνων τὰ συμπτώματα τοῖς πλείστοις τῶν καμνόντων ἐπιπόνως συμβῆναι, ὥστε οὐ ῥᾳδίως ἀνέχεσθαι. οὐκ ἀνομοίῳ δὲ λόγῳ φαίνεται καὶ ἐν τῷ προρρητικῷ γεγράφθαι, καὶ οὖρα δὲ ἐπίπονα, πονηρόν, ἵνα σημαίνῃ τὰ μετὰ πόνου ἐκκρινόμενα. ὁπόσα δὲ ἀσήμως ἀφανίζεται, δύσκριτα, εἶπεν, διότι εἰ μέγα τι, καὶ ἰσχυρὸν νόσημα μέλλοι παύεσθαι, χρὴ προηγεῖσθαι τῆς λύσεως B αὐτοῦ τὰ σημεῖα, ἃ λυτήρια καλεῖται. ταῦτα δὲ εἰσὶν οἱ ἱδρῶτες χρηστοὶ δι' ὅλου τοῦ σώματος γινόμενοι, ἢ πλῆθος οὔρων, ἢ διαχωρημάτων, ἢ ἐμέτων, ἢ αἱμορραγία ἐκ ῥινῶν, ἢ τις ἄλλη κένωσις αἵματος, οἷον ἐξ αἱμορροΐδων, ἢ ὑστερῶν, ἢ εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἢ εἰς ἄλλα μόρια ἄκυρα, ἢ εἰς τὰ ἄρθρα ἀποσκήμματα· μηδενὸς δὲ τῶν σημείων ἐπιφανέντος, τὸ μὲν νόσημα πεπαῦσθαι ἔδοξε, ὑποτροπιάζει δὲ οὐ μετὰ πολλά. διὸ εἶπεν ἐν τῷ προγνωστικῷ, ὁκόσοισιν οἱ πυρετοὶ παύονται, μήτε σημείων γινομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμοισιν, ὑπο- C στροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν, ὡς ἐν τῷ δευτέρῳ τῶν ἀφορισμῶν, τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίαν τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον. ὅθεν ὁ τοῦ προρρητικοῦ συγγραφεὺς λέγει, τὰ ὀλέθρια ἀσήμως ῥαστωνήσοντα, θάνατον σημαίνει· αἱ τοίνυν λύσεις τῶν νοσημάτων, ἵνα ὦσι πισταὶ καὶ βέβαιαι, δέονται δαψιλοῦς τινὸς ἐκκρίσεως, ἢ ἀποστάσεως ἐπιφανοῦς. εἰ δὲ μή, συμβαίνειν εἴωθεν τὰ ἐν τῷ προρρητικῷ γεγραμμένα τὸν δὲ τρόπον, τὰ ἐπώδυνα ἀκρίτως καταμωλυνθέντα, φλαῦρα, ἐπειδὴ τὰ καταμωλυνθέντα τὴν κατὰ D βραχὺ λύσιν ἐνδείκνυνται· καὶ τάδε, δίψα παραλόγως λυθεῖσα ἐν ὀξέσι, κακόν· καὶ τό, πλευροῦ ἄλγημα ἐπὶ πυρέσσουσι χολώδεσι ἀλόγως ἀφανισθέν, ἐξίστασθαι· καὶ τὸ ἐν Κωακαῖς, τὰ ἐν πονηροῖσι σημείοισι κουφίζοντα, καὶ τὰ ἐν χρηστοῖσι μὴ ἐνδιδόντα, δύσκολα. καὶ λέξει αὐτὸς προελθών, τὰ οἰδήματα παραλόγως ῥηΐζοντα, κίβδηλον. καὶ ἐν τῷ τέλει τούτου τοῦ μορίου, κακοηθέστερα, τὰ ἀφανιζόμενα ἐξαίφνης. ταῦτα δὲ ὅτε σημαίνει αὐτὸς χωρὶς σημείων, ἤτοι ἐκκρίσεως, ἢ πέψεως γίγνεσθαι. πρῶτον μὲν λέγει ἀφανίζεσθαι, εἶτα δέ, καὶ ἐξαίφνης, καὶ παρα- E λόγως, καὶ ἀλόγως, καὶ ἄνευ προφάσεως, καὶ μὴ κατὰ λόγον, καὶ ἀκρίτως, καὶ ἀσήμως. φέρεται δὲ ὑπ' αὐτοῦ τὸ ἀφανίζεσθαι καὶ περὶ τῶν παρὰ φύσιν ὄγκων, ὡς περὶ τῶν παρωτίδων λαπάσσεσθαι. τουτέστι προστέλλεσθαι, καὶ ἀφανίζεσθαι. ἀλλὰ καὶ ἔθος αὐτοῦ, καὶ ἔθος αὐτοῦ, τὴν κατὰ τὸ λαπάσσεσθαι φωνὴν ἐπὶ πάντα τὰ ὁπωσοῦν προστελλόμενα φέρειν, ἐπειδὴ κενώτερα γίνεται. καὶ ἐν τῷ προγνωστικῷ εἶπεν γαστέρα λαπάττειν, τουτέστι κενοῦν, καὶ προστέλλειν, τὰ τῆς γαστρὸς οἰδήματα. χρῆται δὲ πρὸς τὸ F τοῦτο σημαίνειν μὴ μόνον ταύταις ταῖς φωναῖς, ἀφανίζεσθαι, κουφίζεσθαι, ῥηΐζεσθαι, λαπάσσεσθαι, μωλύεσθαι, ῥαστωνῆσαι, κριθῆναι, λυθῆναι, ἀλλὰ καὶ ἄλλαις πολλαῖς.

A

Οἱ ἐπὶ βουβῶσι ἐπιγινόμενοι πυρετοὶ πλὴν τῶν ἐφημέρων, κακόν. οἱ δὲ βουβῶνες, οἱ ἐν τοῖς πυρετοῖς, κακίω εἰσὶ, διὰ τὴν τῶν σπλάγχνων φλεγμονὴν, καὶ μεγάλην τε καὶ λοιμώδη τῶν χυμῶν σηπεδόνα. τὰς φλεγμονὰς διαφόρας ὀνομάζεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

Οἱ ἐπὶ βουβῶσι πυρετοὶ, κακὸν, πλὴν τῶν ἐφημέρων, καὶ οἱ ἐπὶ πυρετοῖσι βουβῶνες, κακίονες, ἐν τοῖσιν ὀξέσιν ἐξ ἀρχῆς παρακμάσαντες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πολλαὶ ἴσως δόξειεν εἶναί τινι αἱ διαθέσεις, τῷ πλήθει τῶν ὀνομάτων ἐξαπατωμένῳ, οἷον βουβῶνες, καὶ φύματα, καὶ φύγεθλα, καὶ ὀφθαλμίαι, καὶ περιπνευμονίαι, καὶ πλευρίτιδες, καὶ ἄλλα πολλὰ τῶν ὁμοίως ὀνομαζομένων. ἅπαντα γὰρ ταῦτα φλεγμοναὶ μέν τινές εἰσιν, διαφέρει δ' αὐτῶν ἕκαστον ἔτυχε προσηγορίας. ἔστι γὰρ ὁ μὲν βουβὼν, καὶ τὸ φῦμα, καὶ φύγεθλον ἀδένων παθήματα, βουβὼν μὲν ἡ φλεγμονὴ, φῦμα δὲ τὸ ταχέως αὐξανόμενον, καὶ πρὸς ἐκπύησιν ἐπειγόμενον, φύγεθλον δὲ, τὸ λεγόμενον φλεγμονῶδες ἐρυσίπελας, ἢ ἐρυσιπελατώδης φλεγμονή. οἱ δὲ χωρὶς ἕλκους, ἢ φανερᾶς αἰτίας τῶν ἀδένων ὄγκοι ὕποπτοι σφόδρα νομίζονται, πλῆθος σημαίνοντες. ὀνομάζουσι δὲ οὕτως ἐξανθέντας, ἀδένας. ἂν μὲν οὖν οἱ ἐκ τῶν ἀδένων φλεγμονῆς γινόμενοι πυρετοὶ τὴν αἰτίαν ἔχωσι φανερὰν, ἢ καὶ ἐκ τῶν ἐφημέρων ὦσι, οὐχ ὕποπτοι. οἱ δὲ βουβῶνες, οἱ ἐπὶ τοῖς πυρετοῖς, κακίω εἰσί. ὅτι διὰ τὴν τῶν σπλάγχνων φλεγμονὴν, καὶ μεγάλην τῶν χυμῶν σηπεδόνα γίνεσθαι φαίνονται, οἷοι καὶ κατὰ τὴν λοιμώδη κατάστασιν τοῖς κακοήθεσι πυρετοῖς ἐπιγίνονται· ἀλλὰ καὶ οἱ τῶν ἀδένων ὄγκοι ἐν τοῖς πυρετοῖς χρονίαν διάθεσιν σημαίνουσι, ὡς ἐν ταῖς Κωακαῖς γράφεται ὧδέ πως, ἐν πυρετοῖσι βουβῶνος ἄλγημα νοῦσον χρονίην σημαίνει. συμβαίνει δὲ τοῦτο, ὅτι τῶν κακοηθῶν χυμῶν μεγάλην φορὰν ἔχουσι ἐξ ὧν μάλιστα, ὡς ἐκ τῆς ὕλης, ὁ πυρετὸς γίνεται. εἰ δὲ ἐξ ἀρχῆς παρακμάζουσι, κακίονες κρίνονται, ὅτι τὰς δυνάμεις ἀσθενεῖς τε, καὶ καταβεβλημένας εἶναι μαρτυροῦσι, διὸ εἶπεν αὐτὸς, αἱ ἀποστάσιες, οἷον βουβῶνες, σημεῖον μὲν τῶν τὰ βλαστήματα ἐχόντων, ἀτὰρ καὶ ἄλλων, μάλιστα δὲ περὶ τὰ σπλάγχνα· κακοήθεες δὲ οὗτοι.

Febres bubonibus obortas præter diarias, malas esse. Bubones vero febribus, deteriores ob viscerum inflammationem, & insignem humorum ac pestilentem putredinem. Inflammationes diversis nominibus distinctas esse.

HIPPOCRATIS TEXTUS X.

B *Febres bubonibus obortæ, præterquàm diariæ, malum. Bubones vero febribus succedentes, si in acutis statim per initia remiserint, deteriores.*

GALENI COMMENTARIUS.

Multos fortassis aliquis affectus esse censuerit, nominum multitudine deceptus. Verbi gratiâ, bubones, tubercula, panos, lippitudines, peripneumonias, pleuritidas, & C cætera multa similibus nominibus donata. Hæc enim omnia, quædam inflammationes. Verùm ipsorum unumquoque diversum nomen sortitum est. Bubo nanque, tuberculum, panus, glandularum sunt morbi. Bubo etiam inflammatio. Tuberculum autem est quod cito ad incrementum & suppurationem procedit. Panus vero est quod phlegmonodes, erysipelas, aut erysipelatodes phlegmone denominatur. Qui vero oboriuntur glandularum tumores sine ulcere, aut manifesta causa, admodum suspecti ducuntur, qui plenitudinem produnt. Sic autem nominant efflo- D rescentes glandulas. Enimvero si febres ex glandularum inflammatione creata manifestam causam sortiantur, aut etiam diariæ sint, minimè suspectæ habentur. Bubones autem febribus supervenientes, deteriores existunt, quod ob viscerum phlegmonem & magnam humorum putredinem procreari videantur; quales in pestilenti statu malignis febribus suboriuntur. Et vero glandularum tum tumores in febribus diuturnum affectum declarant, ut hoc modo in Coacis scriptum est. In febribus bubonis dolor morbum diu- E turnum significat. Id autem accidit quia magnam malignorum humorum copiam habent, ex quibus potissimum tanquam ex materia febris accenditur. Quod si ab initio decrescant, pejores judicantur, quod tum imbecillas, tum prostratas esse vires testentur. Propterea dixit ipse *abscessus veluti bubones signum quidem* esse progressus habentium ex aliorum visceribus præsertim insidentium. At hi maligni sunt.

F

A

Flatulentum & mollem ventris & hypochondriorum tumorem calore attenuari, ac discuti; ex humore vero collectum ad suppurationem procedere.

Τὴν τῆς γαστρός τε καὶ τῶν ὑποχονδρίων πνευματώδη, καὶ μαλθακὴν φύσιν ἀπὸ τῆς θερμότητος λεπτύνεσθαι. ἐκ δὲ τοῦ χυμοῦ συναγαγομένην ἐς ἐμπύησιν ὁρμᾶν.

HIPPOCRATIS TEXTUS XI.

Qui flatibus conflictantur cum molli hypochondriorum tumore, & neutrius lateris contentione, iis supernè in dextris rotundum quiddam, ac veluti circunferentia aliqua pure plena; quod modo valde extensum est, modo vero diffusum, interdum etiam deorsum vergit, & utrinque ad umbilicum contentionem facit. Si flatus in ea quæ sursum fit in directum latione, in rotundum quiddam concludatur & veluti comprehendatur absque judicatione calore attenuatur. Quod si illud effugerit, ad suppurationem procedit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

B

ΤΑ πνεύματα ὑποχονδρίοισιν ἔπαρσις μαλθακὴ, καὶ ἔντασις οὐδετέρη, ἐπ' αὐτῶν ἄνω στρογγύλον, ἐν τοῖσι δεξιοῖσι, οἷον περιφέρεια, ἀποπυητική. ἄλλο μακρότερον ἐπὶ πλέον, ἄλλο κεχυμένον, ἄλλο κάτω ῥέπον, καὶ ἔνθεν, καὶ ἔνθεν ξυντάσις μέχρι τοῦ ὀμφαλοῦ. ἐν πάσῃ τῇ ἄνω ἴξει, ἢν ἐπιλυθῆται, καὶ ἐπιλήπτηται εἰς τὸ περιφερὲς, ἢν μὲν πνεῦμα ᾖ, ἀκρίτως λεπτύνεται θέρμῃ. ἢν δὲ τοῦτο διαφύγῃ, ἐς ἐμπύησιν ὁρμᾷ.

C

GALENI COMMENTARIUS.

Flatulentos spiritus vocat flatus, quibus corporis partes divexantur. Quâ significatione flatulentos eos appellamus quum de inflatis & de inflato ventre loquimur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΝεύματα λέγει νῦν τὰς φύσας, αἷς τὰ μόρια τοῦ σώματος ἐνοχλοῦνται, καθ' ὃ σημαινόμενον πνευματώδεις λέγομεν περὶ τῶν ἐμπεπνευματωμένων, καὶ περὶ τῆς πεπνευματωμένης γαστρός.

Mutilatam esse difficilium respirationum divisionem hîc traditam, quam integram dat Galeni Commentarius ut & eorum conjugationes, causas, & signa, etiam asthmatis explicationem.

D

Ελλιπῶς εἶναι τὴν τῶν δυσπνοιῶν διαίρεσιν ἐνταῦθα γεγραμμένην ἣν ὡδήπως διέρχεται τὸ τοῦ Γαληνοῦ ὑπόμνημα ὡς καὶ τὰς αὐτῶν συζυγίας, τὰ αἴτιά τε καὶ σημεῖα, εἴδη καὶ τὴν τοῦ ἄσθματος ἐξήγησιν.

HIPPOCRATIS TEXTUS XII.

Spiritus densi, parvi, magni, rari. Foras magnus procedit, intro parvus. Hic quidem protensus, ille vero urgens. Duplicata intro revocatio qualis superspirantibus calidus frigidus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

ΠΥκνὰ πνεύματα, σμικρὰ, μεγάλα, ἀραιά, ἔξεισιν, ἔξω μέγα, ἔσω σμικρόν. τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον· διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν, θερμὸν, ψυχρόν.

GALENI COMMENTARIUS.

E

Difficilis respirationis conjugationes ac differentiæ perfectiùs in sexto descriptæ comperiuntur. Etenim tribus quarta adjicitur manifestè hoc in secundo prætermissa. At id arbitror accidisse, non authoris, sed potiùs veterum scribarum ignorantia, vel negligentia. Et hic error ad hoc usque tempus pervenit. Propterea divisio difficilis respirationis hîc datur mutilata. In sexto vero perfectè hoc modo descripta est. *Spiritus parvi, densi; magni, rari; parvi rari; magni densi; extra magni, intus parvi; intus magni, extra parvi. Alter quidem extendens; alter verò urgens. Dupla intro revocatio veluti superinspirantibus calidus frigidus.* Conjugationibus enim secundùm magnitudinem & parvitatem, & secundùm densitatem & raritatem; alias duas superaddit, unam quidem in qua respiratio minor & densior; alterum verò quum & minor & rarior existit. His aliam tertiam addit, in qua tum minor, tum minor, tum rarior. Et præterea quartam,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΙ τῆς δυσπνοίας συζυγίαι τε, καὶ διαφοραὶ τελεώτερον ἐν τῷ ἕκτῳ εὑρίσκονται γεγραμμέναι, καὶ γὰρ ταῖς τρισὶ τετάρτη πρόσκειται, σαφῶς παραλελειμμένη ἐν τῷδε τῷ δευτέρῳ. οἶμαι δὲ τοῦτο συμβεβηκέναι οὐχ ὑπὸ γραφέως, ἀλλὰ μᾶλλον ἢ ἀμαθεία, ἢ ῥαθυμία τῶν παλαιῶν βιβλιογράφων, καὶ τὸ σφάλμα ἧκεν μέχρι δεῦρο. διὸ ἡ διαίρεσις τῶν δυσπνοιῶν ἐνταῦθα μὲν ἐλλιπῶς, ἐν δὲ τῷ ἕκτῳ τελέως γέγραπται ὡδέπως, πνεύματα μικρὰ πυκνὰ, μεγάλα ἀραιὰ. μικρὰ ἀραιά· μεγάλα πυκνά. ἔξω μεγάλα, εἴσω

F

μικρὰ, εἴσω μεγάλα, ἔξω μικρά· τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον, διπλῆ ἔσω ἐπανάκλησις οἷον ἐπεισπνέουσιν, θερμὸν, ψυχρόν. ταῖς μὲν γὰρ συζυγίαις, ταῖς κατὰ μέγεθος, καὶ μικρότητα, καὶ κατὰ πυκνότητα, καὶ ἀραιότητα, τὰς ἄλλας δύο προστίθησι, μίαν ἐν ᾗ μικροτέρα καὶ πυκνοτέρα ἡ ἀναπνοὴ γίνεται, ἑτέραν δὲ, ὅταν μείζων τε ἅμα, ἀραιοτέρα τέ ἐστιν. καὶ πρὸς ταύταις ἄλλην τρίτην, ἐν ᾗ μικροτέρα τε, καὶ ἀραιοτέρα, καὶ πρὸς ταύταις τὴν τετάρτην,

ἐν ᾗ μικροτέρα καὶ πυκνοτέρα ἐστὶν, ἣν ἐνταῦθα παραλελειμμένην ὑπὸ βιβλιογράφου φαμέν· πρόδηλον γάρ ἐστιν, δύο ἀντιθέσεις ἀλλήλαις συμπλεκομένας τέσσαρας ἀπεργάζεσθαι συζυγίας, ὅτι μὲν οὖν . . .
καὶ τούτων ἡ δευτέρα γέγραπται μὲν ἐν τῷ ἕκτῳ, παραλέλειπται δὲ ἐν τῷδε. οὐ γὰρ πρόσκειται τὸ, εἴσω μέγα, ἔξω μικρὸν, ἀλλὰ θάτερον μόνον εἶδος δυσπνοίας τέτακται. καθ' ὃ . . . . ζητήσειε δ' ἄν τις εἰκότως, τί δήποτε κατὰ τὸ προγνωστικὸν περὶ δυσπνοίας ὧδέ πως γράφει, πνεῦμα πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. ὅπου φαίνεται τριῶν μόνον δυσπνοιῶν μνημονεύειν, ἢ ἀρκεῖ τοσαύτας εἰδέναι συζυγίας ἐν ταῖς παρὰ φύσιν διαθέσεσι. . . . . ὅτι γε πυκνοτέραν ἐργάζεται πάντως ἡ ὀξυθυμία τὴν ἀναπνοὴν, οὐδεὶς ἀγνοεῖ. παραληψόμεθα οὖν αὐτὴν ἐπὶ τὴν . . .
λέλεκται δὲ περὶ τῆς τοῦ Αντιγένους, ὡς ἀσθματώδης ἐγένετο πρὸ τόκου. ἀσθμαίνουσι μὲν γὰρ οἱ πυκνὸν ἀναπνέοντες, καὶ τὸν θώρακα μέχρι πολλοῦ διαστέλλουσι. τούτου δ' αἰτίαν εἰρήκαμεν ἤδη, καὶ οὐ χρὴ . .
. . . . ἐν ταῖς Κωακαῖς .
. . καὶ τὸ μέγα ἔξω πνεόμενον, σμικρὸν δὲ εἴσω, καὶ τὸ σμικρὸν ἔξω, μέγα δὲ εἴσω. κάκιστον δὲ, καὶ πλησίον θανάτου, καὶ τὸ ἐκτεῖνον, καὶ κατεπεῖγον δι' ἀμαυρὸν, καὶ διπλῆ εἴσω ἐπανάκλησις, ὁποῖον ἐπεισπνέουσιν . . . . καὶ φησὶν, τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον, ἵνα λέγῃ τὰς ἑτέρας μορίου τῆς ἀναπνοῆς διαφορὰς, τὰς κατὰ τὴν κίνησιν ἐν τῇ βραδύτητι, καὶ ταχύτητι. ἐκεῖνον μὲν γὰρ τὸ βραδὺ, κατεπεῖγον δὲ, τὸ ταχὺ, βραδύτης δὲ καὶ ταχύτης ἁπάσης κινήσεως ἀχώριστα. ὃ δὲ λέγει διπλῆ εἴσω ἐπανάκλησις, ἐστὶν εἰσπνοῆς ἀνωμάλου δηλωτικόν. ἐπιζητεῖται δὲ ἡ αὐτὴ ἀντίθεσις δύνασθαι καὶ ἐπὶ τῆς ἐκπνοῆς, ἣν ὁρῶμεν παραλελειμμένην πρὸς τῶν μεταγραφόντων . . .
διπλῆν εἴσω γίγνεσθαι τοῦ πνεύματος ἐπανάκλησιν, ἀλλὰ καὶ προστίθησιν, οἷον ἐπεισπνέουσιν, ἵνα γνῶμεν, καὶ περὶ τῆς ἐκπνοῆς ταῦτα λέγεσθαι. μέμνηται δὲ τοῦ τοιούτου πνεύματος ἐν τῷ περὶ διαίτης ὀξέων νοσημάτων, εἰπὼν, καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ πυκνὸν, ἢ μέγα λίην . . . . .
. . . . . θερμὸν, ψυχρόν. αὕτη ἀντίθεσις ἄλλη ἐστὶ τῆς δυσπνοίας. καθάπερ γὰρ μέγα, καὶ μικρὸν πνεῦμα, καὶ πυκνὸν, καὶ ἀραιὸν, οὕτω καὶ θερμὸν καὶ ψυχρὸν ἐκπνεῖται . . . .
. . . πολλοὺς μὲν καὶ μακροὺς λήρους καταγράφουσιν, τὰ δὲ ἐπίκαιρα παραλείπουσιν, ἀλλὰ ἡμεῖς γε . . . . .

A in qua & minor & densior est, quàm hîc à scriba prætermissum esse dicimus. Constat enim duas oppositiones sibiinvicem complicatas quatuor conjugationes constituere . . . Quod itaque . . . . . . & harum secunda descripta quidem in sexto, in secundo vero prætermissa. Non enim adjicitur intro magnus, extra parvus. Verùm alterum tantummodo difficilis respirationis genus secundùm constitutum est, quod . . . . . Inquiret autem cum ratione aliquis, Quare in prognostico de difficili respiratione hoc modo B scribat; spiritus densus quidem laborem potius significat, quàm phlegmonem in locis supra septum transversum positis. Si autem magnus sit spiritus, isque multo tempore, delirium portendit. Frigidus autem è naribus & ore expiratus, admodum jam perniciosus est; ubi trium duntaxat respirationis generum meminisse videtur; aut satis est tot tantùm nosse conjugationes in iis præter naturam affectibus. . . . . . Quod vero iracundia densiorem omnino efficiat respirationem ignorat nemo. Ipsam itaque relinquamus . .
C . . . . At de Antigenis uxore dictum est, quod ante partum esset asthmatica. Asthmate nanque laborant, qui densè respirant, thoracemque multopere distendunt. Hujus rei causam jam protulimus, neque pluribus opus est . . . . .
In Coacis . . . . . . Et magnus qui foras spirando effertur; & parvus qui intro; & parvus qui foras; & magnus qui intro spirat. Pessimus autem, & morti proximus tum extendens, tum urgens propter obscuritatem; & dupla intro revocatio, qualis D intro respirat . . . . . Et dicit alius quidem extendens, alius vero urgens, ut enunciet alterius partis respirationis differentias quæ secundùm motum eduntur in tarditate & celeritate. Ille nanque extendens tardus est, urgens autem celer. Tarditas & celeritas à nullo motu separi possunt. Quod vero dicat, dupla intro revocatio, inæqualem respirationem declarat. Perquiri autem eadem etiam contradictio potest, in expiratione quam intuemur à scriba prætermissam
E . . . . . Duplam intro fieri spiritus revocationem. Præterea vero adjungit veluti super inspirationem, ut noscamus de expiratione etiam hæc dici. At hujusmodi spiritus mentionem facit in Libro de acutorum morborum victu, his verbis; Spiritus offendens in ascensu densus, vel admodum magnus . . . . Calidus frigidus, alia ipsa est difficilis respirationis oppositio: Quemadmodum enim magnus & parvus spiritus, densus & rarus: sic calidus & frigidus F expiratur . . . . Multas quidem & prolixas nugas describunt; pernecessaria vero prætermittunt. Verùm nos . . . .

A

Longam spirationem assiduæ oscitationi, & pandiculationi mederi; & brevem impotis vix bibentibus; spiritûs detentionem singultui; unde oscitent homines. Quid longa spiratio, quid brevis?

Ἰητήιον συνεχέων χασμάτων μακρόπνοις, τοῖσιν ἀπότοισι καὶ μόγις πίνουσι, βραχύπνοις. τὴν τοῦ πνεύματος κατάληψιν λυγμοῖς. πόθεν χασμῶνται οἱ ἄνθρωποι. τί μακρόπνοις, τί βραχύπνοις;

HIPPOCRATIS TEXTUS XIII.

Assiduarum oscitationum medela longa spiratio; non, ut vix bibentibus brevis spiratio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

B Ἰητήιον συνεχέων χασμάτων μακρόπνοις· τοῖσιν ἀπότοισι, καὶ μόγις πίνουσι, βραχύπνοις.

GALENI COMMENTARIUS.

Vaporoso quodam & crasso spiritu in musculoso genere contento oscitant homines, & pandiculantur, & propterea crebro expirant. Purgantur enim in expirationibus, & evacuatur hujusmodi spiritus. Quod si quis id assiduè non faciat, sed longo tempore, patet priorem affectum non amplius inesse; & ita longa respiratio salubre oscitationis erit signum. Longa enim respiratio spiritum qui longo tempore editur, hoc est rarum & multum significat, quemadmodum brevis respiratio spiritum qui brevi tempore educitur, hoc est, densum & parvum prodit. Quemadmodum igitur spiritus detentio quæ in eo consistit, ut multo tempore respiratio contineatur, singultum sanat, sic & oscitationes sanabit. Contrariorum nanque contraria sunt remedia. Quid vero sit detentio jam alibi sæpiùs à nobis dictum est. Prolixè spirans dicitur, qui prolixè aut longo tempore spirat. Impotis autem & vix bibentibus brevis spiratio salubris, qui scilicet brevi tempore fit spirabilium organorum motus, quem sane & densum spiritum vocamus, qui simul & causa & signum salubre est . . . . Veruntamen hujusmodi assertiones authoris mentem apertam non habent, nisi addito ipsorum textu, in quibus natura velit hæc observari. Propterea utrum . . . . magis quàm hos . . . . ut simul respiretur longo tempore & frigidum expiretur. . . . . Quod enim ægrotus cesset à frigidi aëris respiratione propter fervorem interiores partes infestantem, & petat protegi propter exteriorum partium frigus, lethalis morbus esse censetur, idque maximè fuerit, nisi initio paroxysmi id accidat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ·

Ἀτμώδους τινὸς, καὶ παχέος πνεύματος ἐν τῷ μυώδει γένει κατειλημμένου χασμῶνται οἱ ἄνθρωποι, καὶ σκορδινῶνται, καὶ διὰ τοῦτο συνεχῶς ἐκπνέουσι. καθαίρεται γὰρ ἐν ταῖς ἐκπνοαῖς, καὶ κενοῦται τὸ τοιοῦτον πνεῦμα. εἰ δὲ μὴ συνεχῶς τοῦτο πράττοι τις, ἀλλὰ διὰ μακροῦ χρόνου, δῆλόν ἐστιν, τὴν προτέραν διάθεσιν μὴ ἐπενεῖναι, C καὶ οὕτως ἡ μακρόπνοια σημεῖον ἰητήιον τῆς χάσμης ἔσται. τὸ γὰρ μακρόπνουν σημαίνει τὸ διὰ μακροῦ χρόνου γινόμενον, τουτέστι τὸ ἀραιὸν πνεῦμα, καὶ τὸ πολύ. καθάπερ τὸ βραχύπνοις δηλοῖ τὸ δι' ὀλίγου, τουτέστι τὸ πυκνὸν, καὶ τὸ μικρόν. ὥσπερ οὖν ἡ κατάληψις πνεύματος, ἥπερ ἐστὶν ἐν τῷ διὰ πλείστου τὴν ἀναπνοὴν ἐπισχεῖν, λυγμοὺς ἰᾶται, οὕτω καὶ τὰς χάσμας ἰᾶσθαι. τῶν γὰρ ἐναντίων ἐναντία τὰ ἰάματα. ὁποῖον δέ τι πρᾶγμά ἐστιν ἡ κατάληψις τοῦ πνεύματος, ἤδη μοι πολλάκις ἐν ἄλλοις εἴρηται. λέγεται D δὲ μακρόπνοις ἤτοι μακρὸν ἀναπνέων, ἢ διὰ μακροῦ. ἐν δὲ τοῖσιν ἀπότοισι καὶ μόγις πίνουσιν, ἡ βραχύπνοια ἰητήιον, τουτέστιν ἡ διὰ βραχέος χρόνου κίνησις τῶν ἀναπνευστικῶν ὀργάνων, ἥνπερ δὴ καὶ πυκνὸν πνεῦμα καλοῦμεν. ἥπερ ἅμα αἴτιον, καὶ σημεῖον ἰητήιον ὑπάρχει . . ἀλλὰ μὴν αἱ τοιαῦται τῶν ῥήσεων οὐκ ἔκδηλον ἔχουσι τὴν τοῦ γράψαντος διάνοιαν, ὡς ἂν μὴ προσκειμένου κατὰ τὴν λέξιν αὐτῶν, ἐπὶ τίνων βούλεται σκέπτεσθαι ταῦτα. διὸ πότερον τοῖς . . . . . E μᾶλλον ἢ οἷς . . . . ὡς ἀναπνεῖν τε ἅμα διὰ μακροῦ, καὶ ψυχρὸν ἐκπνεῖν. . : ὅτε μὲν γὰρ ὁ νοσῶν ἀφίεται τὴν τοῦ ψυχροῦ ἀέρος εἰσπνοὴν διὰ τὸ διακαὲς, τὸ τὰ ἐνδοτέρω μόρια ἐνοχλοῦν, καὶ αἰτεῖ αὖ περιστέλλεσθαι, διὰ τὸ τῶν ἐξωτέρω μερῶν ψῦχος, θανατώδης ἡ νόσος εἶναι νομίζεται, καὶ τοῦτο μάλιστα εἴη, εἰ μὴ κατὰ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ τοῦτο συμβαίνει.

Secundùm rectitudinem laterum & hypochondriorum dolores, contensiones, lienis tumores, hæmorrhagias, ophthalmias, otalgias, & aliarum partium affectus fieri.

Κατ' ἴξιν πλευρῶν τε καὶ ὑποχονδρίων ὀδυνώδεες, ἐντάσιες, σπληνὸς ἐπάρσιες, αἱμοῤῥαγίας, ὀφθαλμίας, F ὠταλγίας, καὶ ἕτερα μόρια πάσχοντα γίνεσθαι.

HIPPOCRATIS TEXTUS XIV.

E Directo etiam laterum contensio dolorosa, & hypochondriorum contensiones, tum lienis extuberationes, tum sanguinis è naribus eruptiones fieri debent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

Κατ' ἴξιν, καὶ πλευρῶν ἔντασις ὀδυνώδης, καὶ ἐντάσιες ὑποχονδρίων, καὶ σπληνὸς ἐπάρσιες, ἐκ ῥινῶν ῥήξιες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο ὅμοιόν ἐστι τῷ ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν εἰρημένῳ, κατ' ἴξιν καὶ πλευρέων ὀδύνη, καὶ συντάσιες ὑποχονδρίων, καὶ σπληνὸς ἐπάρσιες, καὶ ἐκ ῥινῶν ῥήξιες, καὶ ὦτα κατ' ἴξιν, τούτων τὰ πλεῖστα ταῦτα, καὶ ἐς ὀφθαλμούς. πλὴν ὅτι ἐκεῖ πρόσκειται τὸ τῶν ὤτων, καὶ τῶν ὀφθαλμῶν, διότι καὶ ταῦτα μόρια, ὥσπερ καὶ τὰ ἄλλα ὑποπίπτει τῇ κατ' ἴξιν, καὶ γὰρ ἐξ ἑαυτῶν. εἰς ἕτερα γὰρ ἀπόθεσις κατ' εὐθυωρίαν, καὶ ἕτερα μόρια πάσχοντα εἰς τὰ ὦτα, ἢ τοὺς ὀφθαλμοὺς ἀποσκήπτει. ὥσπερ καὶ ἄρτι τεκούσῃ, καὶ μὴ ἀρκούντως καθαιρευμένῃ πυρετὸς ἔλαβεν ὀξὺς, καὶ ἐκ τῆς ὅλης ἀριστερᾶς χειρὸς ἐξογκουμένης εἰς τὸν ἀριστερὸν ὀφθαλμὸν ἀπόθεσις ἐγένετο, ἣ πρὸς τῶν ἰατρῶν ἀμελουμένη πᾶσαν τὴν κόρην ἐδαπάνησεν, καὶ τὴν τοῦ ὀφθαλμοῦ χρῆσιν ἀπ' αὐτῆς τῆς ἀναφορᾶς ἀφῃρέθη. ἔπειτα δὲ καὶ τὰ κῶλα πάντα, καὶ τὰ γόνατα, καὶ οἱ πόδες αὐτοὶ ἐξωγκώθησαν, καὶ διὰ τὴν τοῦ πυρετοῦ ὀξύτητα κατὰ τὸ σῶμα, μάλιστα δὲ πρὸς τὸν ταρσὸν, καὶ τὰ σκέλη ἐξηνθήσαντό τινα, καὶ μόγις διὰ τῶν οὔρων, καὶ διαχωρημάτων πολλῶν, τοῦ θέρους ἐπιβαλλόντος ἐσώθη. τουτὶ δὲ τὸ παράγγελμα, τὸ κατ' ἴξιν, ἐστὶν ἐν τῇ ἰατρικῇ θρυλλούμενον, καὶ εἰκότως γε . . . . καὶ διὰ ταῦτα ἐν τῷ προρρητικῷ ψέγονται τὰ ἀνάπαλιν αἱμορραγέοντα, οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ δεξιοῦ ῥέειν, καὶ τὰ καθ' ὑποχόνδριον ὡσαύτως . . . . . . καὶ ἐν Κωακαῖς, τὸ ἀνάπαλιν αἱμορραγέειν, πονηρόν. . .

GALENI COMMENTARIUS.

Hic textus similis est textui qui in sexto Epidemiorum pronunciatur. *E directo etiam & laterum dolor, & hypochondriorum contensiones, & lienis tumores, & è naribus eruptiones, & horum quamplurima ad aures & oculos secundùm rectitudinem oboriuntur.* Præterquam quod eo loci addit quæ auribus & oculis oboriuntur, cur & hæ partes, ut & cæteræ submittant secundùm rectitudinem. Etenim ex ipsis ad alia fit depositio secundùm rectitudinem, & aliæ partes affectæ in aures aut oculos desinunt. Quemadmodum & nuper parturientem nec satis abundè purgatam invasit febris acuta & ex tota sinistra manu tumefacta in sinistrum oculum depositio erat quæ à Medicis neglecta totam pupillam consumpsit, & oculi usum ex mali sursum ad eum translatione perdidit. Postea vero ea membra omnia, & genua, & pedes ipsi tumuerunt, & ob febris acutiem corpus obsidentis præsertim ad tarsos & crura quædam papulæ effloruerunt, & vix per urinas, & multas dejectiones, accedente æstate, incolumis evasit. At hoc præceptum quod secundùm rectitudinem est in Medicina celebratur, & merito sanè . . . . Propterea in prognostico improbantur contraria sanguinis profluvia, quale in liene magno ex dextro latere erumpit, & quod ex hypochondrio similiter . . . . Etiam in Coacis, non è directo hæmorrhagia malum. . . . .

Τὰ καταλιμπανόμενα τῶν ὑποστροφῶν αἴτια.

Reversionum causas humorum reliquias esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

Τὰ καταλιμπανόμενα μετὰ κρίσιν, ὑποστροφώδεα.

HIPPOCRATIS TEXTUS XV.

Quæ post crisim relinquuntur, recidivas invehunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ αὐτὴ ῥῆσίς ἐστιν καὶ ἐπὶ τῷ τέλει τοῦ πρώτου τμήματος ὧδε, οἷσιν ἐγκαταλείπεται, βεβαιόταται ὑποστροφαὶ, καὶ τάχισται, καὶ ἐν τῷ δευτέρῳ τῶν ἀφορισμῶν, ἣν ὑπερβησόμεθα, διὰ τὸ προεξηγήσασθαι.

GALENI COMMENTARIUS.

Eadem quoque habetur sententia in primæ sectionis fine ita pronunciata; *Quibus relinquuntur, recidivæ certissimæ ac citissimæ.* In secundo etiam aphorismorum, quam prætermittimus, quod jam explicata fuerit.

Ἡ αἱμορραγία τοὺς σπληνὸς ὄγκους, ἢ ἐς ἄρθρα διὰ τὸ ἀπόσκημμα λύει. τί τὰ ἀποσκήμματα. ἀπόσκημμα ἐπικίνδυνον εἶναι εἰς ἧπαρ ἐκ σπληνὸς, ἀκίνδυνον δὲ ἐφ' ἥπατος εἰς σπλῆνα.

Lienis tumores per hæmorrhagiam, aut in articulos per humorum decubitum solvi. Quid humorum decubitus. Decubitum à liene ad hepar periculosum esse: contrarium vero non periculosum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

Τὸ γοῦν πρῶτον σπληνῶν ἐπάρσιες, ἢν μὴ ἐς ἄρθρα τελευτήσωσι, αἱμορραγία γὰρ.

HIPPOCRATIS TEXTUS XVI.

Primum itaque lienis tumore nisi in articulos desierint, sanguinis è naribus fit eruptio.

A

GALENI COMMENTARIUS.

HÆmorrhagia sæpenumero, tum lienis tumores, tum hypochondriorum contensiones solvit, nisi in alias partes fiat humorum decubitus. Humorum autem decubitus nominatur, quum humores quidem alteri parti priùs molesti, & illa relicta, in alteram migraverint. Apud Hippocratē vero de humorum à liene ad hepar, & contra ab hepate ad lienem transitu hæc scripta sunt; Hipochondriorum mutationes ex qualibus in qualia immutantur, & quæ possunt viscerum inflammationes quæ ab hepate ad lienem, sive contrario modo, & quæcunque sunt hujusmodi. In hac autem migratione scimus periculosas esse quæ à liene ad hepar; non periculosas autem quæ ab hepate ad lienem migrant affectiones. . . . .

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Η Αἱμοῤῥαγία πολλάκις, καὶ τοὺς σπληνὸς ὄγκους, καὶ τὰς τῶν ὑποχονδρίων τάσεις λύει, ἢν μὴ ἀπόσκημμα εἰς ἄλλα μόρια γένηται. ὀνομάζουσι δὲ ἀποσκήμματα, ὅταν χυμοί τινες ἐνοχλοῦντες πρότερον ἑτέρῳ μορίῳ, καταλιπόντες ἐκεῖνο, εἰς ἕτερον μεταστῶσιν. παρ' Ἱπποκράτει δὲ περὶ τῆς τῶν χυμῶν ἐκ τοῦ σπληνὸς εἰς τὸ ἧπαρ, καὶ πάλιν ἐκ τοῦ ἥπατος εἰς τὸν σπλῆνα διαδέξεως, γέγραπται τάδε. αἱ διαδέξιες τῶν ὑποχονδρίων ἐξ οἵων εἰς οἷα ἀλλοιοῦσι, καὶ τῶν σπλάγχνων τῶν φλεγμονῶν οἷα δύναται, εἴτ' ἐξ ἥπατος σπληνί, καὶ τἀναντία, καὶ ὅσα τοιαῦτα. ἐν δὲ τοιαύτῃ διαδοχῇ ἴσμεν ἐπικινδύνους εἶναι τὰς εἰς ἧπαρ ἐκ σπληνός, ἀκινδύνους δὲ ἐφ' ἥπατος εἰς σπλῆνα . . . .

Urinarum aut excrementorum lienis interceptionem aut cessationem recidivæ causam esse.

C Τὴν τῶν οὔρων τε καὶ τοῦ σπληνὸς διαχωρημάτων κατάληψιν ἢ ἀπόληψιν τὸ τῆς ὑποστροφῆς αἴτιον εἶναι.

HIPPOCRATIS TEXTUS XVII.

AVt dextri hypochondrii contensio, nisi urinæ perruperint. Hæc enim est utrorumque interceptio, & recidivæ fiant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ.

Η Ὑποχονδρίου δεξιοῦ ἔντασις, ἢν μὴ διεξοδεύσῃ οὖρα. αὕτη γὰρ ἡ κατάληψις ἀμφοῖν, καὶ ὑποστροφαί.

GALENI COMMENTARIVS.

HÆc sententia in sexto Epidemiorum perfectiùs hoc modo scripta est. *Imprimis itaque lienum tumores nisi in articulos desierint, aut hæmorrhagia accedit, aut dextri hypochondrii contensio, nisi urinæ pertransierint.* Hæc enim utriusque interceptio horum merito recidivæ. Copiosæ nanque urinæ viscerum amplitudinem detinent. Nisi enim copiosè fluant, recidivarum causæ sunt. Est enim vesica ceu communis quædam corporis sentina, quæ ipsa eluit viscera; lien etiam etsi per alvum plerunque purgatur, attamen simul etiam per urinas expurgatur, ut intueri licet in urinis nigrantibus, per quas lienis morbi solvuntur. Propterea detensionem præ cessatione humorum per vasa evacuatorum nunc dicit, quemadmodum persæpe urinarum vel detentionem vel cessationem scribere consuevit. Quum . . . . .

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Αὕτη ἡ ῥῆσις τελεώτερον γέγραπται ἐν τῷ ἕκτῳ τῶν Ἐπιδημιῶν ὡδί· τὸ γοῦν πρῶτον σπληνῶν ἐπάρσιες, ἢν μὴ εἰς ἄρθρα τελευτήσῃ, ἢ αἱμοῤῥαγία γένηται, ἢ δεξιοῦ ὑποχονδρίου ἔντασις, ἢν μὴ διεξοδεύσῃ οὖρα. αὕτη γὰρ ἡ ἐγκατάληψις ἀμφοτέρων, αἱ ὑποστροφαὶ τουτέων εἰκότως. τὸ γὰρ οὖρον τὸ πολὺ τὴν τῶν σπλάγχνων περιουσίαν καταλαμβάνει, ἂν δὲ μὴ δαψιλῶς ῥέῃ, αἴτιον τῆς ἀποστροφῆς γίνεται. ἔστι μὲν γὰρ ἡ κύστις, ὥσπερ κοινή τις τοῦ σώματος ἀντλία, τὰ σπλάγχνα αὐτὰ ἐκπλύνουσα, καὶ ὁ μὲν σπλὴν, κἂν διὰ τῆς κοιλίας, ὡς ἐπὶ τὸ πλεῖστον καθαίρεται, ἀλλ' ὅμως διὰ τῶν οὔρων ἠθυλίζεται. ὡς ἔστιν ὁρᾶν τὰ μελαινίζοντα τῶν οὔρων, δι' ὧν τὰ τοῦ σπληνὸς λύεται E νοσήματα, διὸ κατάληψιν ἀντὶ τῆς ἀπόληψιν τῶν χυμῶν, διὰ τῶν ἀγγείων κενουμένων νῦν λέγει· καθάπερ πολλάκις τῶν οὔρων ἢ κατάληψιν ἀπόληψιν εἴωθε γράφειν ὅταν . . . . .

Ex reliquiis morborum diversos abscessus effici.

Τὰ τῶν νοσημάτων καταλιμπανόμενα διαφορὰς ἀποστασίας ποιεῖν.

HIPPOCRATIS TEXTUS XVIII.

F

HÆc itaque perpendentem abscessus efficere convenit, si non fiant; quosdam etiam qui, quà, & qualiter oportet jam prodierint excipere. Qui vero non abundè prodeunt, coadjuvandi sunt. Qui prorsus etiam sunt incommodi, avertendi, si maximè affuturi sint; sin minus, si jam veniant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

Ἀποστασίας οὕτω ποιέεσθαι αὐτὸν ἡγεύμενον μὴ γινομένας· τὰς δὲ παρακλίνειν, ἤδη γινομένας· τὰς δὲ ἀποδέχεσθαι, ἢν ἐώσιν οἷαι δεῖ, καὶ ᾗ δεῖ. ὁκόσαι δὲ μὴ σφόδρα, σπουδρᾷν, τὰς δὲ ἀποτρέπειν, ἢν πάντῃ ἀσύμφοροι ἐῶσι. μάλιστα δὲ ταύτας μελλούσας· εἰ δὲ μὴ, ἄρτι ἀρχομένας,

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰπὼν περὶ τῶν ἐν τοῖς νοσήμασι καταλιπομένων ὑπὸ τῶν ἀποστάσεων, νῦν πῶς αὐτὰς ποιεῖν χρὴ διδάσκει, καὶ πολλοὺς διορισμοὺς παραδίδωσι, ἵνα μὴ . . .

GALENI COMMENTARIUS.

Oratione facta de his quæ in morbis relinquuntur ab abſceſſibus, nunc quomodo ipſos efficere oporteat docet, multaſque diſtinctiones adfert, ut non. . . .

Αἱ ἐκ τῶν ῥινῶν αἱμορραγίαι ὕποπτοι, ἀγαθαὶ ἢ κακαὶ, αἵτινες;

Sanguinis è naribus profluvia ſuſpecta, bona, & mala, quæ?

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθʹ.

Αἱ τεταρταῖαι αἱμορραγίαι δύσκριτοι.

HIPPOCRATIS TEXTUS XIX.

Quæ quarto die ſanguinis è naribus eruptiones contingunt, difficilem judicationem faciunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο σύμφωνόν ἐστι τῷ λεγομένῳ πρὸς αὐτοῦ, τὰ κρίνοντα οὐκ αὐτίκα ἐπιφαινέσθω· ἐν γὰρ ταῖς ἀρχαῖς τῶν νοσημάτων τὰ πάντα ὠμὰ ὄντα, ἐλπίδα μέν τινα, οὐδεμίαν δὲ λύσιν σημαίνειν δύναται. C διὸ αἱ τεταρταῖαι αἱμορραγίαι ὕποπτοι, ἐπειδὴ ἡ τετάρτη τῶν ἡμερῶν ἐπίδηλός ἐστιν, καὶ μόγις κρίσιμος. τὰ δὲ ὀξέα, ὡς ἐν ταῖς Κωακαῖς γράφεται, κρίνεται αἵματος ἐκ ῥινῶν ῥυέντος ἐν κρισίμῳ, καὶ ἡ αὐτὴ ἔννοια ἐν αὐτοῖς ῥήμασίν ἐστιν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν γεγραμμένη. πάλιν δὲ καὶ ἐν ταῖς Κωακαῖς ταὐτὸ τοῦτο εἶπε διὰ τούτων, ἐν καύσῳ ῥύσις ἐκ μυκτήρων τεταρταίῳ κακὸν, ἢν μή τι ἄλλο συμπέσῃ· πεμπταίῳ δὲ ἧσσον κινδυνῶδες· D καὶ πάλιν, τεταρταίοισιν αἱ τοιαῦται αἱμορραγίαι, κωματώδεες. ἀνάπαλιν δὲ ἐν ταῖς ἄλλαις ἡμέραις γινομένας ῥύσεις ἐπαινεῖ, ὡς ὅταν φησὶ, ἑβδομαίοισιν, ἢ ἐνναταίοισιν, ἢ τεσσαρεσκαιδεκαταίοισιν. ῥύσιες ἐκ ῥινέων λύουσιν ὡς ἐπιτοπολὺ τοὺς πυρετούς.

GALENI COMMENTARIUS.

Hoc effatum pronunciatæ ab ipſo ſententiæ conſonum eſt. *Iudicatoria non ſtatim appareant.* Quum enim in morborum principiis cruda ſunt omnia, ſpem quidem aliquam, ſolutionem verò nullam ſignificare poſſunt. Idcircò hæmorrhagiæ quarto die orientes ſuſpectæ. Quandoquidem quartus dies vix manifeſtus eſt, vixque judicatorius. At acuti morbi, ut in Coacis ſcribitur, *profluente è naribus ſanguine, die decretorio judicantur.* Eadem quoque ſententia iiſdem verbis ſexto Epidemiorum ſcripta eſt. Et verò etiamnum hoc idem in Coacis hiſce verbis protulit; *In febre ardente fluxus è naribus, quarto die, malum, niſi quid aliud contigerit; quinto vero die minus periculoſum.* Iterum; *Hujuſmodi hæmorrhagiæ, quarto die orientes coma invehunt.* Contra vero aliis diebus obortos fluxus laudat, ut quum dicit, ſeptimo vel nono, vel quartodecimo die oborti fluxus è naribus, febres plerumque ſolvunt.

Τὸν τριταῖον πυρετὸν ἀκριβῶς ἐν ἑπτὰ περιόδοις κρίνεσθαι. τίς ὁ ἀκριβὴς τριταῖος. ἐπὶ δὲ τῶν τριταίων, καὶ τεταρταίων πυρετῶν ἡ κρίσις γίνεται κατὰ τὸν τῶν περιόδων ἀριθμὸν, οὐ τὸν τῶν ἡμερῶν. E

Tertianam febrem exquiſitam ſeptima periodo judicari. Quæ ſit tertiana exquiſita. Tertianas & quartanas per periodorum, non dierum numerum judicari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κʹ.

Οἱ διαλείποντες μίαν τῇ ἑτέρῃ ἐπιρριγοῦσιν ἅμα κρίσει ἐς ἑβδόμην.

HIPPOCRATIS TEXTUS XX.

Quæ febres uno die intermittunt, altero vero ſuperrigent, unà cum judicatione ad ſeptimum circuitum perdurant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Περὶ τῶν τριταίων πυρετῶν ἀκουστέον, οὓς ἐν ἑπτὰ περιόδοις λύεσθαι φησὶν αὐτὸς ἐν τῇ τετάρτῃ τῶν ἀφορισμῶν, κἂν ἄλλως πως ἐν τῶν Κωακαῖς λέγειν φαίνηται, τριταῖος ἀκριβὴς, φησὶν, ἐν πέντε, ἢ ἐν ἑπτὰ περιόδοισι, ἢ τὸ μακρότατον, ἐν ἐννέα κρίνεται. ἀκριβὴς μὲν ἔσται τριταῖος, ὁ τὴν ἑαυτοῦ φύσιν εἰλικρινῆ διασώζων, ὡς ἐκ ξανθῆς χολῆς πλεοναζούσης τε, καὶ κινουμένης, τῆς

GALENI COMMENTARIUS.

De tertianis febribus hæc ſententia percipienda eſt; quas ſeptem periodis ſolvi ipſe profert quarto Aphoriſmorum, etiamſi alio modo in Coacis ſentire videatur. Tertiana exquiſita, inquit, quinque vel ſeptem periodis vel novem longiſſimo termino judicatur. Exquiſita quidem erit tertiana, quæ ſuam naturam ſinceram conſervat, quæque flava bile redundante, & commota ſcatet, & æſtiva

æstiva tempestate, & regione calida & sicca, & hominis ætate & temperamento similii accenditur. Hanc igitur febrem ad summum septem periodis judicari pronunciat. Porro in tertianis & quartanis febribus secundùm periodorum, non dictum numerum crisis oboritur.

Scopi in febrem continuam lapsi historia. Cujus morbi causæ externæ, internæ, symptomata, critica, purgatio ex peplo exhibita, & glandes suppositæ leguntur. Quid lame.

HIPPOCRATIS TEXTUS XXI.

Scopo ex mucosis, biliosis, & faucium inflammatione, vitioso victu, uso, alvus suppressa, & febris continua oborta est. Lingua erat florida; ille pervigil; valida imi ventris contensio æquabiliter & paulatim ad inferiorem partem vergens; spiritus aliquantulum densus; hypochondria in respiratione & sui contensione dolebat; absque tussi vero subcrassa excreabat. Peplus exhibita ab hypochondrio quidem depulit, nihil autem transmisit. Postridie glandes duæ immissæ nihil juvarunt. Vrina erat crassa ac turbida, sedimentum læve & æquale, alvus in turbulentia restitit, venterque mollis extabat, & lien elatus, ac deorsum librabatur. Potu acido mulso utebatur. Decimo sanguis ex nare sinistra aquosus & paucus prodiit. Hoc autem ipsi ægroto non admodum opitulabatur. Vrina sedimentum habebat, cui sedimento quiddam inerat tenue vasi adhærens, quod neque erat genituræ simile neque dissimile; hoc brevi effluxerat. Postridie liber à febre judicatus est. Vndecimo prodierunt alvi fæces paucæ quidem, viscosæ tamen & conturbatæ. An id tale judicatorio modo contigit, quale fuit Antigenis in Perintho?

GALENI COMMENTARIUS.

Morborum concursus dilucidè demonstrant quomodo se haberet ægrotus, cujus nomen Scopus erat. Magnum autem momentum habet lienis tumor, hypochondriorum contentio, & partium imi ventris distentio. Hæ nanque præcipuorum viscerum affectiones magnam in spatiosis locis flatuum copiam significant, qui in ipsis commorati causæ sunt cur alvus sistebat, neque necessitati cedebat. Prætereà vero lien tumefactus, deorsumque propendens primas tenet in angustia. Postea spiritus aliquantulum densus certum erat viscerum affectorum signum. Verumtamen inexpectatus hic malorum acervus, tum dejectionibus, tum conferta urinarum purgatione solutus est. Spiritus autem aliquantulum densus erat, quod hypochondria spirabilibus instrumentis essent contigua; proindeque dolentibus ipsis hoc accidit. Verum de difficilibus respirationibus in libris de dyspnœa à nobis perfecta oratione dictum est. Datus autem est peplus laboranti, qui tum ad pituitæ, tum bilis purgationem etiam ad flatuum copiam discutien-

A ὥραν θερινὴν, καὶ τὸ χωρίον θερμόν τε, καὶ ξηρὸν, καὶ τὴν ἡλικίαν τοῦ ἀνθρώπου, καὶ τὴν κρᾶσιν ὁμοίαν. τὸν τοιοῦτον οὖν φησὶν ἐν ἑπτὰ περιόδοις κρίνεσθαι τὸ μακρότατον. ἐπὶ δὲ τῶν τριταίων καὶ τεταρταίων πυρετῶν ἡ κρίσις γίνεται κατὰ τὸν τῶν περιόδων ἀριθμὸν, οὐ τὸν τῶν ἡμερῶν.

Ἡ τοῦ Σκόπου εἰς τὸν πυρετὸν συνεχῆ πεσόντος ἱστορία, ἧς τοῦ νοσήματος τά τε αἰτίας ἔξωθέν τε καὶ ἔσωθεν συμπτώματα, αἱ κρίσεις, ἡ τοῦ πεπλίου καθαίρεσις δοθεῖσα, καὶ βάλανοι προστεθεῖσαι διαγράφονται. Τί λάπης.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Σκόπῳ ἐκ κορυζωδέων χολωδέων, καὶ φάρυγγος φλεγμονῆς, φλαύρως διαιτηθέντι, ἡ κοιλίη ἀπελήφθη, καὶ πυρετὸς συνεχὴς ἐγένετο, καὶ γλῶσσα ἐπανθὴς, καὶ ἄγρυπνος. ἦν δὲ ἔντασις ἰσχυρὰς, ὁμαλὰς κατὰ σμικρὸν ἐς τὸ κάτω ἐν τοῖσι δεξιοῖσι, πνεῦμα ὑπόπυκνον. ὑποχόνδρια ἤλγει, καὶ ἀναπνέων, καὶ στρεφόμενος. αὐτὴ δὲ βηχὸς ἀνεχρέμπτετο ὑπὸ παχέος. πέπλος δοθεῖσα, ἀπὸ τοῦ ὑποχονδρίου μὲν ἀπῶσεν· ἐφαρμώθη δὲ οὐδὲν, τῇ δὲ ὑστεραίῃ βάλανοι δύο προστεθεῖσαι, οὐκ ἐφαίνετο. οὖρον δὲ παχὺ, καὶ θολερὸν, λεῖον, καὶ ὁμαλὴ, καὶ ἔστη κοιλίη ἐν θολερότητι ἥτε γαστὴρ μαλακωτέρη ἦν, καὶ σπλὴν ἐπηρμένος, καὶ κατάρροπος ἐγένετο. ποτῷ ἐχρῆτο ὀξυγλυκεῖ. δεκάτῃ αἷμα ἐξ ἀριστεροῦ ὑδαρὲς ὀλίγον ἦλθεν· οὐ πάνυ δὲ ὁ ἄρρωστος αὐτὸ τοῦτο. καὶ οὖρον ὑπόστασιν ἔχον. ἐν δὲ τῇ ὑποστάσει ὑπόλευκόν τι προσεχόμενον πρὸς τῷ ἀγγείῳ λεπτὸν, οὔτε οὖν γονοειδὲς, οὔτε ἀνόμοιον, ἐρρύη τοῦτο βραχύ. τῇ δὲ ὑστεραίῃ ἐκρίθη, ἀπύρετος, καὶ ὑπῆλθεν ὑπόγλισχρον τῇ ἑνδεκάτῃ. τὸ δὲ τί περὶ ῥεῦ χολώδες, οὖρον δὲ κάθαρσις πολλὴ, καὶ πλήθει, καὶ ὑπόστασις, καὶ πρὶν μὲν οἰνοποτέειν ἤρξατο, μικροῦ λάπη ὁμοίη. ἦλθε δὲ τῇ ἑνδεκάτῃ, ὡς ὀλίγον ἐόντων. γλισχρὰ δὲ καὶ καταρρώδεα θολερά. τὸ τοιοῦτον, εἰ κρίσιμος, ὅτι καὶ τὸ Ἀντιγένεος ἐν Περίνθῳ.

C D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ τῶν παθημάτων συνδρομὴ δείκνυσι σαφῶς, πῶς ἔχει ὁ ἄρρωστος, οὗ ὄνομα Σκόπος. μεγάλην δὲ ῥοπὴν ἔχει ὁ τοῦ σπληνὸς ὄγκος, τῶν ὑποχονδρίων ἔντασις, καὶ τῶν κατὰ τὸ ὑπογάστριον μερῶν διάτασις. ταῦτα γὰρ τὰ κυρίων σπλάγχνων διαθέσεις τε, καὶ μεγάλην ἐν ταῖς εὐρυχωρίαις τῶν φυσῶν ὑπεροχὴν σημαίνουσι. αἵπερ ἐν αὐταῖς ἐνειλημέναι αἴτιον εἰσὶ, ὅτι ἡ κοιλία ἔστη, καὶ οὐδὲ πρὸς ἀνάγκην ὑπεχώρει. προσέτι δὲ καὶ ὁ σπλὴν ἐπηρμένος, καὶ κατάρροπος πρωτεύει ἐν τῇδε τῇ θλίψει. ἔπειτα δὲ τὸ πνεῦμα ὑπόπυκνον τῶν σπλάγχνων πεπονθότων τεκμήριον ἦν. ἀλλ' ὅμως οὗτος ἀδόκητος τῶν κακῶν συναθροισμὸς διά τε τῶν διαχωρημάτων τε, καὶ ἀθρόας τῶν οὔρων καθάρσεως ἐλύθη. τὸ δὲ πνεῦμα ὑπόπυκνον ἦν, διότι τὰ ὑποχόνδρια τοῖς ἀναπνευστικοῖς ὀργάνοις συνῆπται, καὶ διά τι τὸ ὀδυνωμένων αὐτῶν τοῦτο συνέβη. ἀλλὰ περὶ τῶν δυσπνοιῶν ἁπασῶν ἐρρέθη μοι κατὰ διέξοδον ἐν τοῖς περὶ δυσπνοίας ὑπομνήμασι. δέδοται δὲ πέπλιον τῷ κάμνοντι, ὅπερ εἰς τὸ καθαίρειν τὸ φλεγματῶδες, καὶ χολῶδες, μετὰ φυσῶν κατὰ πλῆθος, καὶ ξυναγ-

E F

θέντα καθαίρει πράως. περὶ δὲ καὶ ἐν τῷ περὶ διαίτης ὀξέων νοσημάτων ὁ παλαιὸς γράφει τάδε, πέπλιον δὲ μέλανος μᾶλλον φυσῶν καταῤῥηκτικώτερόν ἐστιν. ἀπῶσε μὲν ἀπὸ τοῦ ὑποχονδρίου, ἐκουφίζετο δὲ οὐδὲν ὁ κάμνων. δεκάτῃ δὲ αἷμα ἐξ ἀριστεροῦ ὑδαρὲς ὀλίγον ἦλθεν. οὐ πάνυ δέ τι ὁ ἄῤῥωστος δι' αὐτὸ τοῦτο ὠφελήθη. διὰ τί; ὅτι ἐν δεκάτῃ μὴ κρισίμῳ οὔσῃ, καὶ ὅτι ὀλίγον, καὶ ὑδαρὲς ἦλθεν, εἰ καὶ κατ' ἴξιν ἦν, καὶ τοῦ ὀγκωμένου σπληνός, καὶ ἐντεταμένου ὑποχονδρίου ἰδία κρίσις κατὰ τὴν αἱμοῤῥαγίαν ὡς τὰ πολλὰ γίγνεσθαι εἴωθεν. τὸ δὲ γονοειδὲς δὴ οὖρον λέγεται, ὅταν ὁ καλούμενος ὑπὸ Πραξαγόρου χυμὸς ὑαλώδης ἐκκενοῦται. λάπην δὲ καλεῖν εἴωθεν αὐτὸς τὸ λεπτόν τε, καὶ λευκόν, καὶ γλισχρὸν φλέγμα· ὅπερ διὰ τοῦ στόματος πτύεται ἐνίοτε μὲν ὀξύ, ἐνίοτε δὲ δριμύ, καὶ ἁλυκόν, ἢ γλυκύ, καὶ ἄποιον, καί ἐστιν ὅτε λάπην ὀξεῖαν, ὅτε δὲ ἁλμυρὰν λέγει, ἐν μὲν γὰρ τῷ περὶ νούσων οὕτω γράφει, καὶ ἐμέει σίελα καὶ λάπην, ἐνίοτε δὲ καὶ σιτία. καὶ πάλιν, καὶ τὰ σπλάγχνα μύζει, καὶ ἐμέει λάπην, καὶ διὰ ὄξος, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. καὶ ἐν τῇ νόσῳ λεγομένῃ ἐνάφθη, καὶ ἐμέει ἄλλοτε ἀλλοῖα καὶ χολὴν, καὶ σίαλα, καὶ λάπην, καὶ δριμύ, καὶ ἐν μελαίνῃ νόσῳ, ἐμέει δὲ ὅτε μὲν δριμύ, διὰ ὄξος, ὅτε δὲ σίαλον, καὶ λάπην, ὅτε δὲ χολὴν χλωράν, καὶ ἐν τῷ περὶ τῶν ἐντὸς παθῶν ἐν τῇ περιπνευμονίᾳ, διὰ γαστὴρ τρυλίζει, καὶ ἐμέει λάπην ὀξεῖαν. καὶ ἐν τῇ τρίτῃ φθίσει, ἐνίοτε ἔμεσε χολὴν, ποτὲ δὲ λάπην. καὶ ἐν τοῖς παχέσι καλουμένοις νοσήμασιν, ἐνίοτε δὲ ἐμέει λάπην ὀξεῖαν, ἐνίοτε δὲ ἁλμυράν. ἦν γὰρ ταῦτα βεβαιότατα τοῦ φλεγματώδους νοσήματος, καὶ ὠμοῦ σημεῖα . . . . ὅσον μὲν οὖν αὐτοῦ πρὸς τὸ λευκότερον ῥέπει χρῶμα, τῆς ὠχρᾶς χρόας ἐκλυομένης, ὠμότητα χυμοῦ ἐνδείκνυται. τὸ δὲ ἐπιτεταμένον ὠχρόν, ὡς εἰς ἤδη εἶναι τοῦ ξανθοῦ, χολώδη θερμασίαν. ἡ δὲ λιπαρὰ τῶν οὔρων ὑπόστασις σύν τε τῷ ἀνωμάλῳ χρώματι, καὶ χολώδει, σημαίνει τὴν πιμελὴν ὑπὸ τῆς τοῦ πυρετοῦ θερμασίας συντήκεσθαι. ἡ δὲ λιπαρά, καὶ ἐν τῇ χρόᾳ τε, καὶ συστάσει, καθάπερ ἔλαιον, τὴν σάρκα, καὶ τοῦτο τὸ οὖρον φθορᾶς σημεῖόν ἐστιν, ὅτι τὴν σάρκα συντήκουσα ἡ θερμασία μείζων ἐστὶ τῆς τὴν πιμελὴν διαλυομένης. πυρωδεστάτη γάρ ἐστιν ἡ θερμασία ἡ τὰς σάρκας συντήκουσα· μετριωτέρα δέ, ἡ τὴν πιμελήν.

A dam confert, qui exiccatus blandè purgat, de quo & in libro de acutorum morborum diæta hæc scribit; *Peplium autem veratro nigro magis flatus educit, ab hypochondrio quidem propellit, sed nihilo levatur ægrotus.* Decimo die paucum sanguinis è sinistra nare prodiit, non tamen ægrotus propterea admodum adjutus est. Quare? Quia decimus dies judicatorius non est, & quia paucus & aquosus prodiit sanguis, etiamsi è directo, & tumente liene, & extenso hypochondrio propria crisi per hæmorrhagiam ut plurimum B fieri consueverit. Urina porro genituræ similis dicitur, quum humor à Praxagora vocatus vitreus evacuatur. Lapen autem vocare solet author tenuem, albam & viscosam pituitam quæ per os expuitur; interdum quidem acidam, interdum vero acrem & salsam, vel dulcem, & insipidam. Atque interdum lapen acidam, interdum salsam vocitat. In libro quidem de morbis ita scribit; *Et vomit salivam & pituitam; interdum vero & cibos: & rursum; viscera strepitum edunt & pituitam evomunt; quæ tanquam acetum denti-* C *bus stuporem excitat*, & aphthas appellatos morbos & alias alia evomunt & bilem, & sputa, & pituitam, & acrem, & atram bilem in melancholico morbo. Vomit autem alias quidem acre veluti acetum; aliàs vero sputum & pituitam; aliàs denique bilem viridem. In opere quoque de morbis internis, *in peripneumonia venter murmurat, & acidam pituitam vomuit.* In tertia quoque phthisi interdum vomuit bilem, interdum pituitam. In morbis quoque crassorum humorum propagi- D nibus morbis appellatis, interdum vomuit acidam pituitam, interdum salsam. Hæc autem erant pituitosi & crudi humoris signa. . . . . . Quæcunque igitur ipsius pars ad candidiorem colorem vergit, resoluto luteo colore, humoris cruditatem indicat. Quia vero luteum adauctum ad flavum maxime accedit, biliosum calorem prodit. At pingue urinarum sedimentum, unà cum inæquali & bilioso colore pinguedinem à febrili calore colliquari significat. Pinguis E autem & in colore & sedimento oleo consimilis, carnem. Hæc urina corruptionis signum est quòd qui carnem colliquat fervor, vehementior est eo qui pinguedinem resolvit. Maximè siquidem ignitus est qui carnes colliquat; moderatior autem qui pinguedinem.

Τά ἐστί τε καὶ σημαίνει τὰ συστρέμματα, συστροφαί, καὶ ταπεινὰ ἰόντα λιθίδια, τὰ περὶ τὰς γλώσσας αἰρόμενα, καὶ τὰ τοῖσι ποδαγρικοῖσι περὶ ἄρθρα ἐστί, καὶ περὶ τῆς τῶν αὐτῶν φύσεως, τῆς τῆς φύσεως ὀστέων ὁμοίας, καὶ τῶν αἰτίων.

F Quæ sint & quid significent systremmata, systrophæ, lapilli aut globuli, quæ in linguis exurgunt, & quæ in podagricorum articulis oriuntur; ac de eorum natura ossium naturæ simili, & causis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ περὶ τὰς γλώσσας αἰρόμενα συστρέμματα, καὶ ταπεινὰ ἰόντα λιθίδια, καὶ τὰ τοῖσι ποδαγρικοῖσι, τὰ ἀσθενέα περὶ ἄρθρα ἐκείνων ἐστί, καὶ ὀστέων

HIPPPOCRATIS TEXTUS XXII.

QVæ in linguis exurgunt systremmata aut globuli, & humiles calculi concrescunt, & quæ poaagricis ad imbecilles eorum articulos oriuntur, ossium naturam consequuntur. Etenim ossium

natura quod hæc indurentur, ac contendantur, causa est.

A φύσις, καὶ τοῦ σκληρύνεσθαι τοῦτο αἴτιον, καὶ τοῦ συντείνεσθαι.

GALENI COMMENTARIUS.

SYstremmata & systrophæ tubercula & duritias significant. Nam humorum congeries tubercula procreat. Podagrici autem in omni nervoso genere ægrotant, & catarrhis sunt obnoxii, præcipuè vero repleti cerebri excrementis. Quamobrem etiam in lingua tubercula nascuntur, quas phlyctidas vocant. Hæ vero sunt & acidæ & salsæ pituitæ soboles. Lapillos autem ex crassis viscosisque humoribus procreari latet neminem; sed hi tempore & duritias & tophos construunt. Quum autem ossium natura per se dura & immota sit, multis indiget ad motum articulationibus quæ propria arthritidis conceptacula censentur. Terrea nanque ossa quendam humorem requirunt; sed viscosum & crassum, ut quodam modo irrorentur. Quod si quis humor præter naturam accesserit, ad motum non sunt idonea. Quibus symptomatis obnoxii valde sunt podragrâ laborantes propter multas pedum motiones.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΣΥστρέμματα καὶ συστροφαὶ τὰ φύματα, καὶ σκληρίας σημαίνουσιν. ὁ γὰρ τῶν χυμῶν συναθροισμὸς τὰ φύματα γεννᾷ. οἱ δὲ ποδαγρικοὶ κατὰ πᾶν τὸ νευρῶδες γένος ἀσθενεῖς εἰσὶν, καὶ τοῖς καταῤῥόοις ἔνοχοι, μάλιστα δὲ τοῖς ἐκ τοῦ πληρουμένου τοῦ ἐγκεφάλου περιττώμασι. διὰ B τοῦτο καὶ περὶ τὴν γλῶτταν φύματα γίνονται, ἃς φλυκτίδας καλοῦσιν. εἰσὶ δὲ τοῦ ἁλμυροῦ τε, καὶ ὀξέος φλέγματος ἔκγονα. τὰ δὲ λιθίδια ὑπὸ τῶν παχέων τε, καὶ γλισχρῶν χυμῶν γίνεσθαι, οὐδένα λανθάνει. χρόνῳ δὲ καὶ σκληρίας, καὶ τόφους ποιοῦσι. τῶν δ' ὀστέων ἡ φύσις οὖσα καθ' ἑαυτὴν σκληρά τε, καὶ ἀκαμπὴς δεῖται πολλῶν διαρθρώσεων πρὸς τὴν κίνησιν, ἅπερ ἴδια τῆς ἀρθρίτιδος ἀγγεῖα νομίζεται. γήϊνα γὰρ τὰ ὀστᾶ χυμόν τινα χρῄζουσι, ἀλλὰ γλισχρόν τε, καὶ παχὺν πρὸς τὸ οἷον δροσίζεσθαι. εἰ δὲ καὶ χυμός τις παρὰ φύσιν προσέλθῃ, γίνονται πρὸς τὴν κίνησιν ἐπιτήδεια. οἷς συμπτώμασιν εὐάλωτοι C εἰσὶν οἱ ποδαγρικοὶ διὰ τὰς πολλὰς τῶν ποδῶν.

Tumorem hypochondrii sinistri diuturnę, quartanę & menstruorum suppressioni succedentem, humoris melancholici sobolem & sudorum & menstruorum multorum effluxu judicatum fuisse.

Τὸ τοῦ ἀριστεροῦ ὑποχονδρίου, ἐκ μακροῦ τεταρταίου ἔπαρμα, καὶ τῇ τῶν γυναικείων ἐποχῇ ἐπιγενόμενον, ἡ τοῦ μελαγχολικοῦ χυμοῦ ἀρχὴ ἱδρώτων τε, καὶ γυναικείων πολλῶν ἐκροῆς ἐκρίθη.

HIPPOCRATIS TEXTUS XXIII.

D *HIppostrati uxori hypochondrii sinistri tumor ex annua quartana in fastigium sublatus est, quum frigidula palam esse videretur, oborto frigoris in universum corpus impetu & sudore ipsa judicata est, ac postea menses tum copia, tum tempore plures eruperunt, tunc enim supprimebantur, nec abscessus consistere visus est.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

ΤΟ τῆς Ἱπποστράτου ἐκ τεταρταίου ἐνιαυσίου ἀπεκορύφου, ὑπόψυχρος φανερῶς δοκέουσα ἔφοδος ἐπὶ πᾶν τὸ σῶμα, καὶ ἱδρὼς ἐκρίθη ταύτῃ, καὶ μετὰ ταῦτα γυναικεῖα πλείω πλήθει, καὶ χρόνῳ· τότε γὰρ ἀπεῖχε μὴ ἑστάναι ἔδοξεν ἀπόστασις.

GALENI COMMENTARIUS.

HIppostrati uxori ex diuturna quartana febre in sinistro hypochondrio tumor obortus est. Quum enim lien tanquam humoris melancholici receptaculum sit, ex quo quartana febris gignitur, non præter rationem hoc hypochondrium intumuit. Et certè tumor, tum per sudores, tum per copiosa muliebria ex fluxu judicatus est. Neque amplius muliebria deficere visa sunt. Muliebria nanque quiddam habent hæmorrhagiæ simile quod hujusmodi abscessus solvere consuevit. Quartanam porro febrem annuam pro diuturna pronunciat; ut etiam in sexto Epidemiorum protulit. Dexippi morbus post glabrationem non procul ab anno in quartanam conversus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗι Ἱπποστράτου γυναικὶ ἐκ μακροῦ τεταρταίου ἔπαρμα ἐγένετο κατὰ τὸ ἀριστερὸν ὑποχόνδριον· ὄντος γὰρ τοῦ σπληνὸς, ὡς ταμείου τινὸς τοῦ μελαγχολικοῦ χυμοῦ, ἐξ οὗ τεταρταῖος γίνεται πυρετὸς, οὐκ ἀλόγως τουτὶ E τὸ ὑποχόνδριον ἐξώγκωται, καὶ μὴν ὄγκος δι' ἱδρώτων τε, καὶ γυναικείων πολλῶν ἐκροῆς ἐκρίθη, καὶ οὐκ ἔτι ἔδοξεν ἑστάναι. τὰ γὰρ γυναικεῖα ἀνάλογόν τι ἔχει τῇ αἱμοῤῥαγίᾳ, ἣ τοιαύτας λύειν τὰς ἀποστάσεις εἴωθεν. τὸν δὲ τεταρταῖον ἐνιαύσιον λέγει, ἀντὶ τοῦ χρονίου, ὡς εἶπεν κἀν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν, τὸ τοῦ Δεξίππου μετὰ μάδησιν, οὐ πόῤῥω τοῦ ἐνιαυτοῦ τεταρταῖον.

F

A

Ἐνταῦθα ἡ τῆς φλεβοτομίας ἐντολὴ, εἰς τὴν ἡ ἐπιτηδὴς ἀπόδεσις διδάσκεται, καὶ τὰ τῆς τομῆς πλημμεληθέντα ἐπανορθοῦται, καὶ τὰ συμπτώματα θεραπεύεται.

Hic phlebotomiæ præceptum est, quo idonea deligatio docetur, & sectionis factæ errata emendantur, & symptomata curantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. κδ'.

ΕΝ τῇσιν σφύζουσιν αἱμοῤῥαγέσι σχῆμα εὐρύτερον, καὶ τὸ ξύμπαν εἰ ἐκ τοῦ παύτη κατάντεος διὰ ἄντεος ποιοῖτο. διὸ καὶ αἱ ἀποδέσιες, αἱ ἐν τᾶσι φλεβοτομίῃσιν ὁρμῶσι. αἱ δὲ ἰσχυραὶ κωλύουσιν αἷμα. B

HIPPOCRATIS TEXTUS XXIV.

IN venis *pulsantibus & sanguinem fundentibus positura figura ampla & laxa sit ac universi si prorsus ex declivi acclivis conficiatur. Quapropter quæ in venarum sectionibus deligationes fiunt, sanguinis impetum promovent, validæ vero sanguinem prohibent.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ ταῖς φλεβοτομίαις εἰ διά τινα αἰτίαν ῥύσις ἐπέχηται, ὡς διὰ βιαίαν σφίγξιν, ταύτην ἀνετέον· εἰ δὲ διὰ τροπὴν τοῦ δέρματος ἐπεκαλύφθη ἡ τῆς φλεβὸς τομὴ, δεῖ ἀφύξαν τῆς ἐπιδέσεως, μετασχηματιστέον τὸν ἀγκῶνα παντοίως, καὶ ἐπὶ τὸ πρηνὲς, καὶ ὕπτιον, καὶ ἐκτεταμένον, καὶ συνεσταλμένον, μέχρις ἂν ἐν τούτῳ τῷ σχήματι καταστῇ, ὡς τὴν ἔκροιαν ἐπακολουθῆσαι τῆς διαιρέσεως τοῦ ἀγγείου, κατ' εὐθὺ γινομένης τῇ τοῦ δέρματος διαιρέσει, μικρᾶς δὲ τομῆς ἐμβληθείσης, ἐπιδιαιρετέον αὐτήν. ἐν δὲ τῇ λειποθυμίᾳ κατακειμένων ἀφαιρετέον, καὶ τὸν στόμαχον ἀναρεκτέον, καὶ τὰ ἄκρα διαδετέον. θρομβώσεως δὲ ἐνοχλούσης, καὶ ἐπεχούσης τὴν ῥύσιν, δεῖ τοῖς λιχανοῖς δακτύλοις τῶν δύο χειρῶν διαλύειν τὸν θρόμβον, καὶ κατὰ συμπίεσιν ἐκθλίβειν. εἰ δὲ διὰ ψύξιν, ἢ διὰ ψυχρότητα τοῦ ἀέρος, ἢ διὰ ψυχρὸν πάθος ἐπέχοιτο, πυριᾶν τὸ μέρος, καταιωνᾶν, τρίβειν, λιπαίνειν, καὶ ὅλως εἰς τὴν ἐναντίαν ἕξιν καθιστᾶν D

, ... τὰς
ἐπισχέσεις τοῦ . , . αἵματος
. . . . . . ἡγούμενοι δηλοῦσθαι . . . . Φησιν ἐν τῇσι
φλυζούσῃσι . . . σχῆμα εὐρετὸν οἱ πλείους αὐτοὶ γράφουσιν, . . .
τὸ γὰρ φλυζούσῃσι σημαίνει βλυούσαις. . .
ὡς ἀληθῆ γράφειν εἶναι ταύτην, . . .

σχῆμα ἐπιτήδειον καλεῖ τὴν θέσιν τοῦ σώματος, ὡς φησιν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν, τὰ σχήματα ῥαΐζοντα, καὶ πάλιν, ὅπου διδάσκει, ἐν πλείονι τοῦ αἵματος ῥύσει πῶς τὸ αἷμα ἐπισχετέον, γράφει οὕτως, αἵματος φλεβῶν στάσιες, λειποθυμία, σχῆμα, ἄλλη ἀπόληψις, μοτώματος συστροφὴ, προσάθεσις, ἐπίδεσις . . . E

GALENI COMMENTARIUS.

IN venarum sectionibus si ob aliquam causam fluxus prohibeatur veluti ob violentam astrictionem hæc laxanda est. Si verò ob cutis conversionem sectio obducta sit, dimissa deligatione cubitus in varias posituras figurandus est, pronam, supinam, extensam, contractam, quousque in ea figura constituatur quæ effluxus subsequatur vasis sectione è directo cutis divisioni respondente. Quod si parva sectio facta fuerit, vena iterùm incidenda est. At in decumbentium lipothymia, ipsa auferenda est, stomachus ad vomitum proritandus, & extrema obliganda. Perturbante verò sanguinis concretione, fluxumque supprimente, grumus indicibus utriusque manus digitis diluendus, & per compressionem excludendus. Quod si ob frigus, aut perfrigerationem aëris, aut frigidum affectum remoretur, pars fovenda, calefacienda, consopienda, fricanda, exercenda, & prorsus in contrarium habitum adducenda.

. . . suppressiones . . .
sanguinis . . . . patefieri existimantes . . .
Dicit in eructantibus mulieribus . .
. . figuram elevatam plures quidem scribunt . . . .
Illud enim eructantibus aquas effundentibus significat . . . . ut vera sit hæc scriptura . . . .

Figuram idoneam vocat corporis posituram, ut in sexto Epidemiorum appellat figuras recreantes. Et iterum ubi docet quomodo in uberiore sanguinis fluxu sanguis sedandus sit, hoc modo scribit; *Sanguinis venarum suppressiones, leipothymia, figura, alia retentio, linamentum contortum, admotio, deligatio* . .
. . . . . .

Διὰ τὴν ψύξιν τῆς γαστρὸς αἱ ὀξυρεγμίαι γίνονται, καὶ διὰ φλέγμα πολλάκις ἠθροισμένον ἐν αὐτῇ, καὶ ὀξώδεις· συμβεβηκότως δὲ ἐπίχολόν τε, καὶ ἔναιμον ἐξόγκωμα, διά τινος τῆς φθορᾶς ἡ μέλαινα χολὴ ἐπιγίνεται.

Acidi ructûs per se causas esse ventris frigus, humorem pituitosum in eo acervatum, per edulia acida: per accidens sanguineum & biliosum humorem, cui corrupto permutatione succedit atra bilis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

ΤΟ ἔναιμον, καὶ τὸ ὑπόχολον, ὀξυρεγμιῶδες, ἴσως δὲ εἰς μέλαιναν τούτοισι τελευτᾶν.

HIPPOCRATIS TEXTUS XXV.

SAnguineum *& aliquantulum biliosum acidos ructus excitat. Fortassis autem ad atræ bilis urbum hisce desinet.*

GALENI COMMENTARIUS.

Quemadmodum pruriginosæ corruptiones calidioribus, magisque biliosis cibariis concurrunt: sic acidæ cum frigidioribus naturâ, magisque pituitosis. Hoc idem & in excrementis accidit. Edulia nanque acida quæcunque exhibentur, pituitosa sunt & frigida. Pruriginosa verò, quæ calida & biliosa. Scimus etiam propter ventris frigus acidos ructus produci & ob pituitam in eo acervatum, etiam ob ciborum copiam. Commoderatis quidem ipsis existentibus, facultate verò frigidis. Quod autem hujusmodi temperamentum in melancholicos morbos incidat, hoc ex facili humorum tum mutatione, tum successione fit. Quod ipse in Epidemiorum sexto his verbis significat. *Eodem modo biliosam & sanguineum corpus melancholicum, nisi evacuationes sortiantur* . . .
Hunc porro prædominantem humorem semper purgare tum sanis, tum ægris confert; neque simul & semel universum. Etenim corpus motum faciliùs fert, isque humor imminutus hominem lædere non potest.

A

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ αἱ διαφθοραὶ κνισώδεις ἐπὶ τοῖς θερμοτέροις τε, καὶ χολωδεστέροις ἐδέσμασι συμπίπτουσιν, οὕτως αἱ ὀξώδεις ἐπὶ τοῖς ψυχροτέροις φύσει, καὶ φλεγματωδεστέροις· ταυτὸ τοῦτο καὶ ἐπὶ τῶν περισσωμάτων συμβαίνει. ὀξώδεις μὲν ὅσα φλεγματικὰ καὶ ψυχρά· κνισώδεις δὲ, ὅσα θερμὰ, καὶ πικρόχολα· καὶ ἴσμεν, ὅτι διά τε τὴν ψύξιν τῆς γαστρὸς αἱ ὀξυρεγμίαι γίνονται, καὶ διὰ
B φλέγμα πολλάκις ἠθροισμένον ἐν αὐτῇ, καὶ διὰ πλῆθος σιτίων, συμμέτρων μὲν αὐτῶν ὄντων, ψυχρῶν δὲ τῇ δυνάμει. ὅτι δὲ ῥαδίως τοιαύτη κρᾶσις εἰς μελαγχολικὰ νοσήματα πίπτει, τοῦτο ἐκ τῆς ῥαδίας γίνεται τῶν χυμῶν μεταβολῆς τε, καὶ διαδοχῆς, ὃ σημαίνει αὐτὸς ἐν τῇ ἕκτῃ τῶν ἐπιδημιῶν, εἰπὼν, ὡσαύτως τὸ ἐπίχολον, καὶ ἔναιμον σῶμα μελαγχολικὸν, μὴ ἔχον ἐξερρύσιας. . .
τοῦτον μὲν οὖν χυμὸν ἐπικρατοῦντα, ἄμεινόν ἐστιν, καὶ καθ' ὑγίειαν, καὶ κατὰ νόσον καθαίρειν ὁσημέραι, καὶ μὴ
C ἅπαξ ἀθρόον, καὶ γὰρ τὸ σῶμα τὴν κίνησιν εὐφορώτερον φέρει, καὶ αὐτὸς ὁ χυμὸς μειωθεὶς οὐ δύναται βλάπτειν τὸν ἄνθρωπον.

Rigores mulieribus & viris diversè incipere.

Τὰς ῥίγας τῶν γυναιξὶ, καὶ τοῖς ἀνδράσιν ἄρχεσθαι.

HIPPOCRATIS TEXTUS XXVI.

Rigores mulieribus à lumbis inchoant magis, & per dorsum ad caput feruntur. Sed & viris posteriore magis corporis parte quàm anteriore, ut cubitis & femoribus. Sed & rara cutis id comprobat. Prodit vero etiam animalium pilus.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛʹ.

Ῥίγη ἄρχεται γυναιξὶ μὲν μᾶλλον ἀπὸ ὀσφύος διὰ νώτου ἐς κεφαλήν. ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν μᾶλλον,
D ἢ τὰ ἔξωθεν τοῦ σώματος, οἷον πυχέων, μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν. δηλοῖ δὲ ἡ θρὶξ τῶν ζώων.

GALENI COMMENTARIUS.

Hæc sententia iisdem verbis in aphorismis scripta est. Atque de ea quemadmodum etiam de pilis, in libris de temperamentis proditum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὕτη ἡ ῥῆσις διὰ τῶν αὐτῶν λέξεων γέγραπται ἐν τοῖς ἀφορισμοῖς, καὶ εἴρηται περὶ αὐτῆς, ὥσπερ καὶ περὶ τριχῶν ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν.

Quæ celeris abortus periculum adferant causæ.

E Ἅπερ κίνδυνον ἐπιφέρει ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον.

HIPPOCRATIS TEXTUS XXVII.

Quibus intra constitutum tempus nihil mali accidit, his singulis partus vitales eduntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζʹ.

Ἧσιν οὐδὲν ἔσω τοῦ τεταγμένου χρόνου, ἑκάστησι τὰ τικτόμενα ἐπίγονα γίνεται.

GALENI COMMENTARIUS.

Hippocrati suspecta mulierum erat negligentia partûs tempore: multa siquidem ipsarum errata sunt, ut est totius vitæ intemperantia, & incontinentia, res venereæ, vehementes animi perturbationes, præcipites saltationes; pota medicamenta, & alia multa quæ celeris abortûs periculum adferunt. Quædam verò alia sunt symptomata aut ab aëre, aut aëris constitutionibus, aut à morbi mutationibus, aut à diarrhæâ, aut à febre,

ΥΠΟΜΝΗΜΑ ΓΑΑΗΝΟΥ.

Ὕποπτος ἦν ἡ τῶν γυναικῶν ἀμέλεια τῷ Ἱπποκράτει,
F κατὰ τὸν τοῦ κυήματος καιρόν. πολλὰ γὰρ εἰσὶν αὐτῶν ἁμαρτίαι, ὡς ἐστὶν ἡ παντὸς τοῦ βίου ἀκολασία τε, καὶ ἀκράτεια, τὰ ἀφροδίσια, μεγάλα τῆς ψυχῆς πάθη, ὀρχήσεις προπετεῖς, φάρμακα πινόμενα, καὶ τ' ἄλλα πολλὰ, ἅπερ κίνδυνον ἐπιφέρει ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον, τινὰ δ' ἄλλα ἐστὶ συμπτώματα, ἢ ἀπὸ τοῦ ἀέρος, καὶ τῶν αὐτοῦ καταστάσεων, ἢ ἀπὸ τῶν τοῦ νοσήματος μεταβολῶν, ἢ ἀπὸ διαρροίας, ἢ ἀπὸ τοῦ πυρετοῦ,

ἢ τῶν ἄλλων νοσημάτων ὁρμώμενα, ἃ πάντα βλέπειν δεῖ· μάλιστα δὲ ἐν τῷ τεταγμένῳ χρόνῳ, ὃν κατὰ τὸν ἕβδομόν τε, καὶ ἔννατον μῆνα σκεπτέον φαμέν. τὸ δ' ἀπόγονα σημαίνει γόνιμα, ὃ καὶ γόνον ἐν τῷ περὶ σαρκῶν καλεῖ, τὸ παιδίον φησὶν, ἑπτάμηνον γόνον γενόμενον, ἔνιοι δὲ ἤκουσαν τὰ . . . . ἀλλ' ὅμως. . .

A aut à cæteris morbis concitata, quæ omnia spectanda sunt, præcipuè vero stato tempore, quod tum septimo, tum nono mense spectandum esse dicimus. Hæc dictio ἀπόγονα fœtum significat quod & γόνον in libro de carnibus vocat; puer, inquit, partus septimestris est editus. Nonnulli vero intellexerunt . . . . veruntamen . . . .

Τὰ ἐπιφαινόμενα ἐν γαστρὶ ἐχούσῃ, ἐν οἷσι μησὶ γίνεται, τὰ γυναικεῖά τε καὶ παθήματα.

B Cur gravidis appareant, & in quos menses incidant menstrua & affectus animadvertendum est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

ΤΑ ἐπιφαινόμενα ἐν οἷσι μησὶ γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΟλλὰ τὰς κυούσας ἐνοχλεῖ, σκέπτεσθαι δὲ δεῖ, πότερον ἐν τοῖς πρώτοις, ἢ ἐν τοῖς ἄλλοις μησὶ ταῦτα συμβαίνει, ὡς εἰ τὰ γυναικεῖα ἐκρέει, ὄντος μὲν γὰρ ἔτι τοῦ κυήματος μικροῦ, ὅτι μικρᾶς δεῖται τροφῆς, τοῦτο οὐ πάνυ φοβητέον. ἐν δὲ τοῖς ἄλλοις μησὶ σφόδρα φροντιστέον, κατὰ τὸ ἐν τοῖς ἀφορισμοῖς γεγραμμένον, ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύονται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν. ἔστι δὲ καὶ ἄλλα πολλὰ, καθάπερ οἱ πυρετοὶ ὀξεῖς, καὶ τοιούτου τοῦ γένους νοσήματα, περὶ ὧν . . γράφεται δὲ καὶ τοῦτο, γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθεῖσαν θανάσιμον.

HIPPOCRATIS TEXTUS XXVIII.

APparentia quos in menses incidant, videndum.

GALENI COMMENTARIUS.

MUlta prægnantibus negotium facessunt. Animadvertendum autem est, utrùm hæc primis & aliis mensibus accidant; ut si C muliebria effluant. Existente siquidem adhuc parvo fœtu, quod pauco indigeat alimento, non est valde laborandum. Cæteris vero mensibus maximè perspiciendum est quod in aphorismis scriptum patet; *Si mulieri utero gerenti purgationes prodeant, fœtum esse sanum impossibile.* Præterea vero multa sunt alia veluti acutæ febres & hujus generis morbi, de quibus . . . . Scribitur etiam; *Mulieri utero gerenti acuto quodam morbo prehendi, mortiferum.* D

Τοὺς τῶν ἐν γαστρὶ ἐχουσῶν πόνους ἐν περιόδοισι γίνεσθαι διὰ τὸν τῆς διαπλάσεώς τε καὶ κινήσεως, τελειότητος, καὶ τῆς ἐξόδου ἀόριστον χρόνον, τῶν ἡμερῶν, ἑβδομάδων, μηνῶν, καὶ ἐξόδου διωρισμένον.

Labores gravidarum per circuitus fieri, propter indefinita conformationis, motus, perfectionis, & exortus fœtûs tempora, diebus, hebdomadis, mensibus, & exortu distincta.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

ΟΙ πόνοι ἐν περιόδοισι, ὅτι ἐν ἑβδομήκοντα κινέεται, ἐν τριπλασίοισι τελειοῦται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΜάθομεν οὐκ εἶναι τεταγμένον χρόνον ἐν τοῖς ἐμβρύοις, οὔτε τῆς σαφοῦς διαπλάσεως, οὔτε τῆς κινήσεως, ἀλλ' Ἱπποκράτης μὲν πολλαχοῦ περὶ τοῦ πράγματος λέγων, ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ὧδέ πως γράφει, οἱ πόνοι ἐν περιόδοισιν, ὅ, τι ἐν ἑπτὰ κινέεται, ἐν τριπλασίῃ τελειοῦται, καὶ ὅ, τι ἐν ἐννέα κινεῖται, ἐν τριπλασίῃ τελειοῦται. ἐν δὲ τῷ περὶ τροφῆς, τὸν δὲ τὸν τρόπον, εἰς τύπωσιν λε'. ἥλιοι, εἰς κίνησιν, ο'. ἐς τελειότητα, σι', ἐκεῖ γὰρ τῇ διαπλάσει, ἣν τύπωσιν καλεῖ, πέντε καὶ τριάκοντα ἡμέρας δίδωσι· τῇ δὲ κινήσει ἑβδομήκοντα· τῇ τελειότητι δὲ διακοσίας καὶ δέκα, καὶ οὕτως ὁ ἀριθμὸς τῶν ἑπταμηνιαίων λόγον κατὰ τὸν Ἱπποκράτην περιέχει. ἔοικε δὲ τοῦτο περὶ ἀρρένων λελέχθαι, διὸ προστίθησι τάδε· ἄλλοι φασὶν ἐς μορφὴν

HIPPOCRATIS TEXTUS XXIX.

LAbores per circuitus. Qui fœtus septuaginta diebus, movetur, eorum triplo perficitur.

E

GALENI COMMENTARIUS.

DIdicimus in fœtibus non esse statum tempus neque manifestæ conformationis, neque motionis. Verùm Hippocrates multis in locis, de hac re loquutus sexto Epidemiorum hoc modo scribit; *labores per circuitus.* quia quod septenario movetur, in triplicato perficitur; & quod in novenario movetur, in triplicato absolvitur. In opere de alimento hoc modo loquitur; *Ad conformationem trigintaquinque soles; ad motum septuaginta, ad perfectionem ducenti & decem.* Illi F enim conformationi, quam typosin vocat, triginta quinque dies concedit; motui vero septuaginta; perfectioni denique ducentos ac decem. Atque numerus septem mensium computationem secundùm Hippocratem continet. Et hoc de maribus dictum esse videtur. Propterea hæc apponit; *Alii dicunt ad formatio-*

nem quadraginta quinque; ad motum, septuaginta sex; ad exortum ducentos & decem. Conceditur enim marem triginta diebus, fœminam vero quadraginta diebus conformari. In libro de carnibus hæc scripta sunt; *Habent autem,* inquit, *fœtus septimo mense editi tres hebdomadum decadas, in unaquaque vero deinde septuaginta numerantur dies, tres vero decades hebdomadum simul universi decem & ducenti dies, & ita septimestres eduntur, quemadmodum novimestres ducentis & septuaginta diebus*, ut in sexto Epidemiorum pronunciatum est. At quomodo hoc aliàs aliter accidat, à me Libro de fœtus conformatione, & Libro de semine explicatum est.

A με΄. ἐς κίνησιν ος΄. ἐς ἔξοδον σι΄. ὡμολόγηται γὰρ, τὸν ἄῤῥενα τριάκοντα ἡμέραις, τὸ θῆλυ δὲ μβ΄. διαπλάττεσθαι. ἐν δὲ τῷ περὶ σαρκῶν ταῦτα γέγραπται. ἔχει δέ φησι, τὸ ἑπτάμηνον γενόμενον, τρεῖς δεκάδας ἑβδομάδων. ἐς δὲ τὴν δεκάδα ἑκάστην ἑβδομήκοντα ἡμέραι. τρεῖς δεκάδες δὲ ἑβδομάδων αἱ σύμπασαι δέκα, καὶ διακόσιαι· καὶ οὕτω μὲν γίνονται τὰ ἑπτάμηνα, καθάπερ τὰ ἐννεάμηνα ἐν διακοσίαις καὶ ἑβδομήκοντα B ἡμέραις, ὡς ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ἐῤῥέθη. πῶς δὲ τοῦτο ἄλλο τε ἄλλως ποτὲ συμβαίνει, γέγραπταί μοι ἐν τῷ περὶ διαπλάσεως κυουμένων, καὶ ἐν τῷ περὶ σπέρματος.

Ad menstruorum purgandorum vias uteri sinus singulis mensibus dehiscere. Ad fœcundam generationem nupta ejusdem esse generis, & idem temperamentum habere oportet, & incipientibus aut desinentibus menstruis copulari, & mulierem purgatam illæsam, ac sanguine vacuam esse.

Πρὸς τὰς τῶν καθαιρομένων γυναικείων ὁδοὺς τοὺς τῆς μήτρας κόλπους χάσκειν· πρὸς δὲ τὴν γόνιμον γένεσιν ἀποτελεσθεῖναι, δεῖ ὁμόφυλα εἶναι τὰ συνιόντα, καὶ ζευγνύναι τοὺς ὁμόλογον κρᾶσιν ἔχοντας, καὶ ἐν ἀρχομένοισι C τοῖσι ἐπιμηνίοισιν, ἢ ἀπολείποισιν, καὶ τὴν γυναῖκα καθαρήν τε, καὶ ἀκραιφνίαν, ἔναιμον γίνεσθαι.

HIPPOCRATIS TEXTUS XXX.

A Menstruis dextra & sinistra dehiscunt. Humidum per prodeuntia diætam siccissimam requirit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ΄.

Ὅτι μετὰ γυναικεῖα δεξιὰ, τὰ δὲ ἀριστερὰ χάσκων ὑγρότης διὰ τῶν ἀπιόντων, διαίτης ξηροτάτης.

GALENI COMMENTARIUS.

Uteri singulis mensibus purgari solent. Propterea dehiscunt ipsorum sinus, ad excrementorum vias, & quod ab Hippocrate pronunciatum est, accidit. *Quæcunque humidos habent uteros, non concipiunt.* Extinguitur enim semen, quod ob redundantem humiditatem accidit. Author ergo in Libro de natura pueri jure hæc de mulieribus scribit, *Si sanguine mulier evacuta fuerit, gerit utero; si vero plena fuerit, minimè. Vacuis enim uteris & venis sanguine concipiunt fœtus mulieres. Nam post menstruorum purgationem mulieres in utero concipiunt.* Hæc etiam ipsi oratio, Libro de morbis mulierum prolata est, ubi eloquitur, *Enimvero si munda, purpata, illæsa, & sanguine vacuata fuerit, sic ad virum accedat incipientibus menstruis, optimum vero desinentibus, atque etiamnum prodeuntibus magis quàm evanescentibus; & adhuc apertiùs postquam mulieres purgatæ fuerint, maximè in utero concipiunt.* Itaque conceptio fit potissimum sedatis nuper menstruis, ut maximè uteri genituram concipiant. At hoc non satis est, verum ad fæcundam generationem perficiendam. Qui copulantur eos ejusdem generis esse oportet, simile temperamentum sortitos, eosque viros & mulieres procreationis gratiâ conjugere. Quidam asserunt, hæc ab authore de conceptione marium & fœminarum scripta fuisse. Quod in dextra uteri parte mares concipiantur, in sinistra vero fæminæ . . . , Quidam vero recentiores Interpretes ausi sunt . . . & facere. De dogmatis autem veritate disserendi non datur nunc occasio. Dictum autem

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Αἱ μῆτραι καθ᾽ ἕκαστον μῆνα φιλοῦσι καθαίρεσθαι. διὸ χάσκουσιν αὐτῶν οἱ κόλποι πρὸς τὰς τῶν περιττωμάτων ὁδοὺς, καὶ γίνεται τὸ πρὸς Ἱπποκράτους λεγόμενον, ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, οὐ κυΐσκονται. ἀποσβέννυται γὰρ ὁ γόνος, ὃ συμβαίνει διὰ τὴν ὑπερβάλλουσαν ὑγρότητα. αὐτὸς γοῦν ἐν τῷ περὶ φύσιος παιδίου εὐλόγως ταῦτα περὶ γυναικῶν γράφει, ἢν μὲν ἀποκένωται τοῦ αἵματος ἡ γυνὴ λαμβάνει ἐν γαστρί· ἢν δὲ πλήρης ἔη, οὔ. κενέων γὰρ τῶν μητρέων, καὶ τῶν φλεβῶν τοῦ αἵματος, λαμβάνουσιν πρὸς ἑωυτὰς E αἱ γυναῖκες τοὺς παῖδας, μετὰ γὰρ τῶν καταμηνίων τὴν κάθαρσιν αἱ γυναῖκες λαμβάνουσιν ἐν γαστρί. λέγεται δὲ καὶ ἐν τῷ περὶ γυναικείων λόγος οὗτος αὐτῷ, ἔνθα φησὶν, ἢν μὲν ἔωσι καθαρά τε, καὶ ἀκραιφναία, καὶ ἔναιμα γίνηται, οὕτως ἴτω παρὰ τὸν ἄνδρα ἐν ἀρχομένοισι τοῖσι ἐπιμηνίοισιν. ἄριστον δὲ ἐν ἀπολείποισι, καὶ ἐπιιόντων μᾶλλον, ἢ ἀποφαινέων, καὶ ἔτι σαφέστερον, ἐπὴν ἀποκαθάρθωσιν αἱ γυναῖκες, μάλιστα ἐν γαστρὶ λαμβάνουσι. ἡ σύλληψις γοῦν γίνεται μάλιστα, ἄρτι πεπαυμένων τῶν καταμηνίων, ἡνίκα μάλιστα συλλαμ- F βάνουσιν αἱ μῆτραι τὴν γονήν. οὐκ ἀρκεῖ δὲ τοῦτο μόνον, ἀλλὰ πρὸς τὸ τὴν γόνιμον γένεσιν ἀποτελεσθεῖναι, δεῖ ὁμόφυλα εἶναι τὰ συνιόντα, καὶ ζευγνύναι τοὺς ὁμόλογον κρᾶσιν ἔχοντας εἰς γένεσιν ἄνδρας τε, καὶ γυναῖκας. φασὶ δέ τινες ταῦτα γεγράφθαι αὐτῷ περὶ τῆς κατὰ τὴν κύησιν ἀῤῥένων τε, καὶ θηλέων, ὡς τὸ ἄῤῥεν ἐν τῷ δεξιῷ μέρει τῆς μήτρας κυΐσκεσθαι, τὰ δὲ θήλεα ἐν τῷ ἀριστερῷ . . . τινὲς δὲ τῶν νεωτέρων ἐξηγητῶν ἐτόλμησαν . . . . . . καὶ ποιῆσαι. περὶ δὲ τῆς ἀληθείας τοῦ δόγματος, οὐ νῦν λέγειν καιρός. λέγεται δὲ

ἐν τῷ . . . ὡς καὶ περὶ τῆς ξηρᾶς διαίτης, τῆς A πρὸς τὴν ὑγρότητα τῆς μήτρας ἁρμοζούσης. . .

est in . . . . . ut etiam de sicca diæta, quę uteri humiditati congruit.

Τὸ ἄῤῥεν τοῦ θήλεος θερμότερον, καὶ ξηρότερον ἐξ ἀρχῆς ὑπάρχειν, τὸ δὲ θῆλυ ψυχρότερόν τε, καὶ ὑγρότερον τοῦ ἄῤῥενος, ὁπόθεν ἡ τῆς ὁποτέρας κυήσεως, διαπλάσεως, κινήσεως, θέσεως, ἐπιδόσεως, τελειότητος, ἐξόδου, πράξεών τε καὶ τοῦ βίου διαφορὰ γίνεται.

Marem fœmina calidiorem & ficciorem ab ortu existere; fœminam vero frigidiorem & humidiorem masculo, unde exurgit utriusque conceptionis, conformationis, motus, situs, incrementi, perfectionis, partus, actionum & vitæ diversitas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

ΟΤι θᾶσσον κινηθὲν, διακριθὲν αὖθις αὔξεται, καὶ βραδύτερον ἐπὶ πλείονα χρόνον.

B HIPPOCRATIS TEXTUS XXXI.

Efformatus fœtus quo celeriùs movetur, eò rursum tardiùs ac diutius incrementum habet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ ἄῤῥεν τοῦ θήλεος οὐ μόνον θερμότερον, ἀλλὰ καὶ ξηρότερον ἐξ ἀρχῆς ὑπάρχον, ἐλάττονι χρόνῳ διαπλάττεταί τε, καὶ μορφοῦται· τὸ δὲ θῆλυ πλείονι. πρόδηλον γὰρ ὡς τῷ θερμῷ, καὶ ξηρῷ θᾶττον μὲν ὀστοῦν πήγνυται, θᾶττον δ' ἀποτείνεται τὰ νεῦρα, θᾶττον δὲ αἱ φλέβες συνεισοῦνται, καὶ τὰ ἄλλα πάντα διαπλάττεται μόρια, καὶ ὅλον τὸ σῶμα σύντονόν τε, καὶ ἕτοιμον εἰς τὰς κινήσεις γίνεται . . . . αἱ δὲ καθάρσεις φοιτῶσι ταῖς πλείσταις ἐπί τινα χρόνον συνειληφυίαις. ἐπὶ μὲν θηλειῶν τριάκονθ' ἡμέρας μάλιστα· περὶ τετταράκοντα δὲ ἐπὶ τῶν ἀῤῥένων. ὅταν δὲ συλλάβωσιν, αἴσθησις ἐγγίνεται μάλιστα τοῖς λαγόσιν. ἐνίαις γὰρ γίνονται πληρέστερα εὐθὺς, ἐπὶ δὲ τῶν ἀῤῥένων, ὡς ἐπὶ τὸ πολὺ ἐν τῷ δεξιῷ μᾶλλον περὶ τὰς ἑβδομήκοντα γίνεται ἡ κίνησις· τῶν δὲ θηλειῶν ἐν τῷ ἀριστερῷ περὶ ἐνενήκονθ' ἡμέρας. οὐ μὴν ἀλλὰ ἀκρίβειάν γε τούτων οὐδεμίαν ὑποληπτέον· πολλαῖς γὰρ τὸ θῆλυ ἐν δεξιῷ κινεῖται, καὶ πολλαῖς ἐν τῷ ἀριστερῷ ἄῤῥεν. καλοῦνται δὲ ἐκρύσεις μὲν αἱ μέχρι τῶν ἑπτὰ ἡμερῶν διαφθοραί. ἐκτρωσμοὶ δὲ, αἱ μέχρι τῶν τετταράκοντα, καὶ πλεῖστα τῶν κυημάτων ἐν ταύταις ταῖς ἡμέραις διαφθείρεται. πᾶσαν δὲ τὴν τελείωσιν τῶν μορίων βραδύτερον ἀπολαμβάνει τὸ θῆλυ τοῦ ἄῤῥενος. ὅταν δὲ γίνονται, θᾶττον τὰ θήλεα τῶν ἀῤῥένων, καὶ νεότητα, καὶ ἀκμὴν λαμβάνει, καὶ γῆρας. ἐν δὲ τῷ σώματι κίνησιν παρέχεται μᾶλλον ὡς ἐπὶ τὸ πολὺ τὸ ἄῤῥεν τοῦ θήλεος, καὶ τίκτεται θᾶττον, τὰ δὲ θήλεα βραδύτερον, καὶ ἄλλοις μὲν ζώοις εἷς ὥρισται τοῦ τόκου χρόνος, ἀνθρώπῳ δὲ πολλοί. καὶ γὰρ ἑπτάμηνα, καὶ ὀκτάμηνα, καὶ ἐννεάμηνα γίνονται, ἀλλὰ καὶ δεκάμηνα· ἔνιαι δὲ ἐπιλαμβάνειν νομίζονται, καὶ τοῦ ἑνδεκάτου μηνός. Ἱπποκράτης δὲ, ἢ καὶ μαθητὴς αὐτοῦ Πόλυβος, ἐν τῷ περὶ φύσιος παιδίου φανερῶς ταῦτα εἶπεν, ὧδέ γράφων, τὸ μὲν θῆλυ τὴν πρώτην πῆξιν ἐν τεσσαράκοντα ἡμέρῃσι καὶ δύο, τὸ μακρότατον· τὸ δὲ ἄῤῥεν ἐν τριάκοντα ἡμέρῃσι τὸ μακρότατον, ὡς γὰρ ἐπὶ πολὺ συμβαίνει ἐν τούτῳ τῷ χρόνῳ, ἢ ὀλίγῳ μείονι, ἢ ὀλίγῳ πλείονι ταῦτα διαρθροῦται. καὶ μετ' ὀλίγα, πολλαὶ δὲ γυναῖκες ἤδη

GALENI COMMENTARIUS.

QUum masculus fœmina non solùm calidior, verùm & siccior ab ortu existat, breviori etiam tempore delineatur, conformaturque; fœmina vero diuturniori. C Constat enim in calido & sicco citius quidem os compingi, citius vero nervos protendi, venasque citiùs excavari, & cæteras partes omnes conformari, & universum corpus ad motus promptum & concinnatum reddi . . . . Purgationes autem prodeunt plurimis quodam tempore concipientibus. In conceptu feminarum quidem trigesimo præsertim die, in marium vero conceptu circa quadragesimum. Conceptus vero rei sensus potissimùm ilibus ingeritur. D Nonnullis enim derepentè pleniora fiunt, maribus quidem, utplurimum, in dextris magis, circa septuagesimum diem fit motus: fœminis in sinistris circa nonagesimum diem. Veruntamen accurata hujusce certitudo nulla conjicienda est. Multis enim mulieribus fœmineus fœtus in dextro, multis quoque in sinistro masculus movetur. Porro effluxus vocantur corruptiones quæ per septem dies effluunt. Abortiones autem quæ ad quadraginta usque eveniunt, atque multi fœtus hoc dierum spatio corrumpuntur. Totam vero partium perfectionem tardiorem fœmina quàm E mas recipit. Quum autem fœminæ quàm mares celeriùs procreentur, hæ quoque juventutem, & florem, & senectutem citiùs consequuntur. Masculus autem in corpore, quàm fœmina majorem motum plerunque concitat, & faciliùs paritur, tardiùs fœmina. Atque cæteris quidem animalibus unum definitum est pariendi tempus; homini vero multa. Etenim septimo, octavo, & nono mense eduntur, imo etiam decimo: nonnulli etiam undecimum attingere profitentur. F Hippocrates autem, aut etiam ipsius discipulus Polybus Libro de natura pueri, hæc his pronunciatis scribit. Fœmina quidem primam concretionem quadragesimo secundo die, ut longissimo suscipit; masculus vero trigesimo die, ut longissimo. Ut plurimùm enim hoc tempore, vel paulo breviori, aut paulo diuturniori hæc articulari contingit. Atque paulo post; *Multa mulieres jam infantulum*

tulum corruperunt paulo antè trigesimum diem, & inarticulatus apparebat. Quæcunque verò post trigesimum, vel ipso trigesimo die articulata esse videbantur, & in puella secundùm diei quadragesimi secundi computationem quum corruptio fuerit. Et præterea; causa vero est, quod fœmina posteriùs conformetur & articuletur, quod genitura imbecillior sit & humidior fœmina masculo. Qua ratione necesse est fœminam masculo posteriorem conformari. Hoc autem robur & calor ex calidiori & crassiori semine accepta, celerioris motus infanti causam ita præbent, ut masculus tertio mense, fœmina quarto moveatur. Quod & in eodem Libro manifestè pronunciatum his verbis invenies. Quum ergo extremæ partes corporis puelli foràs expulsæ fuerint, & ungues & capilli radices egerint, tum certè etiam movetur. Atque tempus ad hoc destinatum est, masculo trium mensium, fœminæ verò quatuor. Sic enim, utplurimum accidit. Addita vero causa eloquitur, movetur autem primum mas, à robustiore siquidem & crassiore genitura procreatur. Proindeque fœminæ promptiùs rubescunt, ut in Libro de septimestri partu dictum est. Atque præterea dicit & alia; Quum ab utero secesserint filiæ juvenum mulierum celeriùs pubescunt & sapiunt, & propter corporum imbecillitatem & victûs rationem senescunt.

A διέφθειραν κουρον ὀλίγῳ πρόσθεν τριάκοντα ἡμερῶν, καὶ ἄναρθρον ἐφαίνετο. ὁκόσα δὲ ὕστερον, ἢ ἅμα τριάκοντα ἡμέρῃσι διηρθρωμένα ἐφαίνετο ἐόντα, καὶ ἐπὶ τῇ κούρῃ, κατὰ λόγον τῶν τεσσαράκοντα καὶ δύο ἡμερῶν ὁκότεν διαφθαρῇ, καὶ προσέτι, αἴτιον δέ ἐστιν, ὅτι τὸ θῆλυ πήγνυται ὕστερον, καὶ διαρθροῦται, ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ, καὶ ὑγροτέρη τῆς θηλείης, ἢ τοῦ ἄρσενος. καὶ ἀνάγκη ἐστὶ κατὰ τοῦτον τὸν λόγον ὕστερον πήγνυσθαι τὸ θῆλυ, ἢ τὸ ἄῤῥεν. αὕτη καὶ ἡ ῥώμη τε, καὶ θερμότης ἐκ τοῦ σπέρματος θερμοτέρου τε, καὶ παχυτέρου λαμβανόμεναι αἰτίαν παρέχουσι
B τῷ παιδίῳ ταχυτέρας τῆς κινήσεως, ὡς τὸ ἄῤῥεν τρίτῳ τῷ μηνὶ, τὸ θῆλυ δὲ τῷ τετάρτῳ κινεῖσθαι. ὃ καὶ ἐν τῷ αὐτῷ γράμματι φανερῶς εἰρημένον εὑρήσεις ὧδέ πως, ὅταν δὲ τὰ ἄκρα τοῦ σώματος τοῦ παιδίου ὄζωθῇ ἔξω, καὶ οἱ ὄνυχες, καὶ αἱ τρίχες ἐῤῥιζώθησαν, τότε δὴ καὶ κινέεται, καὶ ὁ χρόνος ἐς τοῦτο γὰρ τῷ μὲν ἄῤῥενι τρεῖς μῆνες, τῇ δὲ θηλείῃ τέσσαρες. ὧδε γὰρ ἐπὶ τὸ πλεῖστον συμβαίνει· αἰτίαν δὲ προστεθεὶς, φησὶ, κινέεται δὲ πρῶτον τὸ ἄρσεν, ἀπὸ γὰρ ἰσχυροτέρας, καὶ παχυτέρας γονῆς γίνεται, καὶ διὰ τοῦτο τὰ
C θήλεα θᾶττον ἡβῶσι, ὡς ἐν τῷ περὶ ἑπταμήνων λέλεκται· καί τοί φησι, τά γε ἄλλα ὅταν χωρισθῶσιν τῆς μητρὸς αἱ θυγατέρες τῶν κούρων θᾶσσον ἡβῶσι, καὶ φρονέουσι, καὶ γηράσκουσι διὰ τὴν ἀσθένειάν τε τῶν σωμάτων, καὶ τὴν δίαιταν.

De variis uteri prægnantis laboribus qui conformationis, motus, corruptionis, & partus tempore oboriuntur.

Περὶ τῶν πόνων τῶν αὐτῶν ἐν τῇ γαστρὶ ἐχούσων, τῶν διὰ τὸν τῆς διαπλάσεως, κινήσεως, διαφθορᾶς, τελειότητος, καὶ
D ἐξόδου χρόνον διωρισμένων.

HIPPOCRATIS TEXTUS XXXII.

Labores tertio supra quinquagesimum die, & sexto supra centesimum oboriuntur. Labores menstrui tertio, quinto, septimo, nono mense, & secundo & quarto.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Οἱ πόνοι περὶ τρίτην ἡμέραν πρὸς τῇσι πεντήκοντα καὶ ἕκτην, πρὸς τῇσιν ἕκατον, μηνιαῖοι δευτεραίῳ, καὶ τεταρταίῳ.

GALENI COMMENTARIUS.

Labores vocat quæcunque graviditatis tempore uteris accidunt, sive in conformatione, sive in motu, sive in abortu, sive in perfectione, sive in partu quicquam eveniat. Quemadmodum enim puello non unus est terminus constitutus, sic & labores inconstantes incidunt. Etenim secundum diversam nos ambientis aëris, & regionis, & ætatis, & diætæ, & temperamenti, & mulierum semen excipientium naturam, varium & dubium graviditatis tempus existit. Quod Hippocrates libro de septimestri partu hisce verbis prodidit; *Mulieribus autem fœtuum conceptiones, abortus, & partus hocce tempore judicantur, quo & morbi, & sanitas, & mors humanis corporibus.* Horum autem omnium alia singulis diebus, alia quotannis. Sexto quoque Epidemiorum hæc habet; *Labores quinto, septimo, nono mense, secundo, quarto, sexto.* Quo loci pares menses imparibus comparat. Quod autem dicit de quinquagesimotertio die, præterea de centesimo sexto prope sententiæ simile est, quæ libro de alimento pronunciatur; alii, inquit, ad

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πόνους καλεῖ πάντα, τὰ καθ' ὅλον τοῦ κυήματος χρόνον συμβαίνοντα, ἤτοι ἐν τῇ διαπλάσει, ἤτοι ἐν τῇ
E κινήσει, ἤτοι ἐν φθορᾷ, ἤτοι ἐν τελειώσει, ἤτοι ἐν τόκοις γίνεταί τι. ὡς γὰρ τοῦ παιδίου οὐχ εἷς ἐστὶν ὅρος τεταγμένος, οὕτω καὶ οἱ πόνοι ἀστάτοι τυγχάνουσιν ὄντες, καὶ γὰρ κατὰ ποικίλην τοῦ περιέχοντος ἡμᾶς ἀέρος τε, καὶ χώρας, καὶ ἡλικίας, καὶ διαίτης, καὶ κράσεως, καὶ τῶν γυναικῶν τὸ σπέρμα ἐκλαμβανουσῶν τὴν φύσιν, ποικίλος, καὶ ἀμφίβολος ὁ τῆς κυήσεως χρόνος ὑπάρχει. ὅπερ ἐν τῷ περὶ ἑπταμήνου φησὶν Ἱπποκράτης, κατὰ τάδε, τῇσι δὲ γυναιξὶ αἱ συλλήψιες τῶν ἐμβρύων, καὶ οἱ τρωσμοὶ, καὶ οἱ τόκοι ἐν τουτέῳ τῷ χρό-
F νῳ κρίνονται, ἐν ᾧπερ αἵ τε νοῦσοι, καὶ αἱ ὑγιεῖαι, καὶ οἱ θάνατοι τοῖς σώμασιν ἀνθρώποισι. ταῦτα δὲ πάντα τὰ μὲν καθ' ἡμέρας, τὰ δὲ κατ' ἐνιαυτόν. καὶ ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ἔχει τάδε, οἱ πόνοι τρίτῳ, πέμπτῳ, ἑβδόμῳ, ἐννάτῳ μηνὶ, δευτέρῳ, τετάρτῳ, ἕκτῳ, ἔνθα τοὺς ἀρτίους μῆνας τοῖς ἀναρτίοις παραβάλλει. ὃ δὲ λέγει, περὶ πεντήκοντα καὶ τριῶν, ἔτι δὲ περὶ ἕκατον καὶ ἕξ, σχεδόν ἐστιν ὅμοιον τῷ λεγομένῳ ἐν τῷ περὶ τροφῆς, ἄλλοι φησὶν,

ν'. ἐς ἰδέην, ἐς πρῶτον δῆμα, ρ'. ἐς τελειότητα, τ'. ἵνα τὸ περὶ τὴν πεντήκοντα τριῶν λεγόμενον, κατὰ δεύτερον μῆνα, τὸ δὲ περὶ τὸ ἕκατον ἕξ, κατὰ τὸν τέταρτον συμβῇ.

A fœtus ideam quinquaginta dies; ad primum motum centum requirunt; ad perfectionem trecentos; ut quod de quinquagesimo tertio die, secundo mense; quod verò de centesimo sexto, quarto mense contingat.

Σκέπτεσθαι περὶ τοῦ ἑπταμήνου τε, καὶ ἐννεαμήνου, καὶ δεκαμήνου, καὶ ἑνδεκαμήνου τόκου παραινεῖ, καὶ ἀπὸ τῶν γυναικείων, ἢ ἀπὸ τῆς συλλήψιος, μέχρι τῆς ἐξόδου μῆνες, ἑβδομάδαι, καὶ ἡμέραι ἀριθμητέοι.

De septimestri, nonimestri, decimestri, & undecimestri partu decernendo dat consilium. Et à fluxu menstruali, aut à conceptione numerandos adusque partum menses, hebdomadas & dies.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

Α Δεῖ εἰδέναι ἐς τὸν ἑπτάμηνον, ἢ ἀπὸ γυναικείων ἀριθμητέοι οἱ ἐννέα μῆνες, ἢ ἀπὸ τῆς συλλήψιος, καὶ εἰς ἑβδομήκοντα, καὶ διακοσίησιν οἱ Ἑλληνικοὶ μῆνες γίνονται καὶ εἴ τι προσέπι τούτοισι, καὶ ἤτοι τοῖς ἄρσεσιν, ἢ καὶ τῇσι θηλείῃσι, ταῦτα ποιέεται, ἢ τὰ ἐναντία.

HIPPOCRATIS TEXTVS XXXII.

Quæ ad semestrem partum nosse oportet, aut à mensium fluxu, aut conceptione novem menses numerandi sunt; & ad septuaginta ac ducentos dies Græci menses conficiuntur. Si quid his accedat, præterea videndum est. Quin etiamnum ista masculis aut fœminis, an contraria efficiantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΣΚέπτεσθαι περὶ τοῦ ἑπταμήνου τε, καὶ ἐννεαμήνου τόκου παραινεῖ. ἀλλὰ καὶ περὶ τοῦ τοῦτον τὸν χρόνον ὑπερβάλλοντος. ζῇ γὰρ οὗτος, καὶ τὸν τῶν Ἱπποκράτους ἑβδομάδων λόγον φυλάττει. οἱ γὰρ ἐννέα μῆνες τὸν ἀριθμὸν διακοσίων, καὶ ἑβδομήκοντα ἡμερῶν περιέχουσι, ὡς μεμαθήκαμεν ἐκ τοῦ περὶ σαρκῶν, ἔνθα γράφει, ἐννέα δὲ μηνῶν, καὶ δέκα ἡμερῶν γόνος γίνεται, καὶ ζῇ· καὶ ἔχει τὸν ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. τέσσαρες δεκάδες ἑβδομάδων ἡμέραι εἰσὶν διακόσιαι ὀγδοήκοντα· ἐς δὲ τὴν δεκάδα τῶν ἑβδομάδων ἑβδομήκοντα ἡμέραι . . . . ὃ δὲ λέγει τοὺς Ἑλληνικοὺς μῆνας γίνεσθαι. . .

C

DE partu, tum qui septimo mense, tum qui nono editur decernendi dat consilium; imo etiam de eo qui hoc tempus exuperat. Hic enim vivit, & hebdomadarum Hippocratis rationem servat. Novem siquidem menses ducentorum septuaginta dierum numerum continent, ut ex Libro de carnibus didicimus, ubi scribit; Novem mensium & decem dierum fit fœtus, vivit & numerum perfectum consequitur in hebdomadas. Quatuor nanque decades hebdomadarum dant numerum ducentorum octoginta dierum. In decadem vero hebdomadarum septuaginta cadunt D dies . . . Quod vero dicit Græcos fieri menses. . . . .

Τοὺς τῶν βρωμάτων τε καὶ πομάτων ὤμους, καὶ μαστοὺς ἐμφυσᾶσθαι, καὶ τὸ πολὺ αἷμα γίνεσθαι, γάλα τοῖς θήλεσιν ὅσα ζωοτοκεῖ ἐν αὐτοῖς χρήσιμον. πρὸ τῶν ἑπτὰ μηνῶν ἄχρηστον τὸ γάλα διὰ δὲ ἑπταμήνου χρήσιμον. ἡ τοῦ γάλακτος χρεία. διά τι τὸ γάλα εἰς τὸν ἄνω τόπον, καὶ τοὺς μαστοὺς συλλέγεται τοῖς ἄλλοις ζώοις τὸν χρόνον ἕνα τῆς κυήσεως, τοῖς δ' ἀνθρώποις ἐπεὶ πλείους εἰσίν.

Ex copioso cibo & potu copiosum sanguinem gigni, quo mammæ & humeri increscunt, inflanturque. Lac fœminis animantibus in se animal vivum procreantibus effici. Lac ante septimum mensem inutile, post septimum utile. Lactis utilitas. Cur in mammis parte superiori lac colligitur. Unicum cæteris animantibus pariendi tempus, hominibus esse plura. E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

ΤΩν βρωμάτων, καὶ πομάτων οἱ ὦμοι, καὶ οἱ μαστοὶ ἐμφυσῶνται, καὶ τῶν ἐν τῇ κεφαλῇ αἱ ἀκρασίαι, καὶ τὰ ἐμφυσήματα ποιέουσιν αὐξησίας, ἐς ὃ ἂν τὰ ὀστέα στερεωθῇ.

HIPPOCRATIS TEXTUS XXXIV.

AB eduliis & potibus humeri ac mammæ inflantur. Victus intemperantia & afflatus partium capitis incrementa faciunt quoad ossa firma extiterint.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

ΓΙνεται γάλα τοῖς θήλεσιν, ὅσα ζωοτοκεῖ ἐν αὐτοῖς, ἵνα εἰς τὸν χρόνον τοῦ τόκου χρήσιμον εἴη. ἐποίησε δὲ αὐτὸ ἡ φύσις τῆς τροφῆς χάριν τοῖς ζώοις, τοῖς μὲν οὖν ἄλλοις ζώοις διὰ τὸ τὸν χρόνον ἕνα τῆς κυήσεως εἶναι, πρὸς τοῦτον ἀπολυτάττει τὸν καιρὸν ἡ πέψις αὐτοῦ· τοῖς δὲ ἀνθρώποις ἐπεὶ πλείους οἱ χρόνοι, κατὰ τὸν πρῶτον, ἀναγκαῖον ὑπάρχειν. διὸ πρὸ τῶν ἑπτὰ μηνῶν ἄχρηστον τὸ

GALENI COMMENTARIUS.

LAc fœminis procreatur, quæ in seipsis animal vivum gignunt, ut partus tempore sit utile. Id autem animantibus alimenti gratiâ natura comparavit. Aliis quidem animantibus, quod unicum sit pariendi tempus, quo toto tempore lactis est illis concoctio; hominibus vero quoniam plura sunt tempora. Secundùm primum his tempus adesse necesse est. Propterea ante septimum mensem lac mulieri-

bus inutile, quod tunc utile gignitur. At jure accidit ex necessaria causa ultimis temporibus concoctum, perfectis autem fœtibus exuberat excrementum. Non enim amplius ad fœtus formationem alimentum est, sed nonnihil ad incrementum tanquam jam consistens, quod summam perfectionem fœtus consequutus sit. Lac autem in loco superiore & mammis colligitur propter constitutionis ordinem à principio positum. At lac omnino mulieribus ante septimum mensem creatum inutile est. Verum simul atque partus vitales sunt, lac quoque tunc utile est. Mammæ autem amplitudinis uteri signa sunt, quæ virgines etiam ad matrimonium idoneas esse demonstrant, quas turgentes vocare consuevit Hippocrates. Verum & ab inflatione possunt mammæ intumescere, quemadmodum ex intemperie caput augetur, quousque ossa solida extiterint, quæ pueris tardius indurescunt.

A γάλα ταῖς γυναιξὶ, τότε δὲ γίνεται χρήσιμον. εὐλόγως δὲ συμβαίνει, καὶ διὰ τὴν ἐξ ἀνάγκης αἰτίαν πεπεμμένον εἰς τοὺς τελευταίους χρόνους. τελειουμένων δὲ τῶν κυημάτων, πλέον τὸ περίττωμα τὸ περιγινόμενον. οὐ γὰρ ἔτι εἰς πλάσιν τοῦ ἐμβρύου γίνεται ἡ τροφὴ. ἀλλ᾽ εἰς σμικρὸν αὔξησιν, ὥσπερ ἑστηκὸς ἤδη, διὰ τὸ τέλος ἔχειν τὸ ἔμβρυον. τὸ δὲ γάλα εἰς τὸν ἄνω τόπον, καὶ τοὺς μαστοὺς συλλέγεται, διὰ τὴν ἐξ ἀρχῆς τάξιν τῆς συστάσεως, ὅλως δὲ ἐν ταῖς γυναιξὶ τὸ γάλα τὸ γινόμενον πρότερον, ἑπτὰ μηνῶν, ἄχρηστόν ἐστιν. ἀλλ᾽ ἅμα τά τε παιδία B γόνιμα, καὶ τὸ γάλα χρήσιμον, οἱ δὲ μαστοὶ τῆς εὐρυχωρίας τῆς μήτρας σημεῖα εἰσίν. οἱ καὶ ἐνδείκνυνται τὰς παρθένους πρὸς συνουσίαν ἐπιτηδείους εἶναι, ὃ σφριγᾶν καλεῖν εἴωθεν Ἱπποκράτης. δύνανται δὲ καὶ ὑπὸ τῆς πνευματώσεως ἐξογκοῦσθαι οἱ μαστοὶ, καθάπερ ἐκ τῆς ἀκρασίας ἡ κεφαλὴ αὐξάνεται ἐς ὃ ἂν τὰ ὀστέα στερεωθῇ ἅπερ ἐν τοῖς παισὶ βραδύτερον σκληρύνεται.

Periodicæ menstruorum purgationis suppressæ symptomata, causæ, curatio. Fraternа & cognata vocari quæ sunt similia.

C Τὰ τῆς ἐπισχέσεως περιοδικῆς τῶν ἐπιμηνίων συμπτώματα, αἴτιά τε, καὶ θεραπεία. ἠδελφισμένως ἔχειν, ἀντὶ τοῦ ὁμοίως, καὶ ἠδελφίσθαι, ἀντὶ τοῦ οἰκειῶσθαι.

HIPPOCRATIS TEXTUS XXXV.

Menstruarum purgationum est circuitus; quæ ante has fiunt gravitates octimestrium laboribus sunt similes.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε΄.

Τῶν ἐπιμηνίων περίοδος, τὰ πρὸ τούτων βαρέα, ἀδελφὰ τῶν ὀκταμηνιαίων πόνων.

GALENI COMMENTARIUS.

Menstrua multis modis prohibentur, & ut suppressio fiat. Scimus sanitatem incertam esse, quemadmodum ab Authore libro de mulieribus sæpè pronunciatum est. Hic autem gravitates damnat, quæ ex suppressis in utero excrementis, oboriuntur, quas octimestrium laboribus similes efficit qui magni & toleratu difficiles & periculosi existimantur. Propterea primo de mulieribus hæc scripta sunt; *Si autem menstrua non omnino secesserint*, id à morbo fit, aut ipsa crassa, viscosa, & glutinosa sunt. Itaque primum venter sursum ac deorsum purgandus est, deinde uteris pessaria admovenda, quibus sanguis servetur, intermittendum, irrigandum, quo sanguis prodeat, & cætera. Ac iterum; & labor aliàs & aliàs partes ventris inferiores sub umbilico, cervicem, inguen & lumbos occupat. Quædam enim sunt mulieres quibus in uteris sunt ulcera & deorsum supra inguen, & interire periclitantur. Quod si menstrua non erumpant inclusa sex mensibus, patientur quæcunque parturienti menstruo viam invenire nequeunt. Libro de sterilibus causam reddens, cur mulieres non concipiunt, hæc scribit; si autem mulieri non prodeant omnino menstrua ob causas omnes prædictas, & ita non concipit. Nam venæ plenæ sanguine semen non excipiunt; & quod in uteris diu remoretur aliquid sanguinis eo tota machina semen foveri prohibet. Fraterna vocavit quæ similia, & quæ ejusdem sunt sanguinis, quemadmodum in opere de acutorum morborum victu scriptum est. Multa fraterna societate conjuncta, similia, & multopere cognata. Quoniam cognatorum maximè omnium cognati sunt fra-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Πολυειδῶς τὰ ἐπιμήνια κωλύονται, καὶ ὅπως ἂν ἡ ἐπίσχεσις ποιῆται, ἴσμεν τὴν ὑγιείαν σφαλερὰν εἶναι, καθάπερ εἴρηται ἐν τῷ περὶ γυναικείων πολλάκις αὐτῷ. ψέγει δὲ ἐνταῦθα τὰ βάρη, τὰ ἐκ τῶν ἐπισχημένων τῆς μήτρας περιττωμάτων γινόμενα, καὶ τοῖς τῶν ὀκταμηνιαίων πόνοις ὁμοιοῖ· οἳ καὶ μεγάλοι, καὶ δύσφοροι, καὶ κινδυνώδεις ὑπάρχουσιν· διὸ ἐν τῷ πρώτῳ περὶ γυναικείων γέγραπται ταῦτα, ἢν δὲ τὰ ἐπιμήνια παντάπασι μὴ ᾖ χωρέοντα, γίνεται ὑπὸ νόσου, ἢ παχέα, καὶ γλισχρὰ, ἢ κολλώδεα. χρὴ οὖν πρῶτον τὴν κοιλίαν καθαίρειν ἄνω τε, καὶ κάτω. ἔπειτα τὰς ὑστέρας E προσθέτω, ἀφ᾽ οὗ αἷμα καθαίρεται, καὶ διαλείπειν, καὶ πίπαι, ὑφ᾽ οὗ αἷμα ἴῃ, καὶ τὰ λοιπά. καὶ πάλιν, καὶ πόνος ἔχει ἄλλοτε καὶ ἄλλοτε τῆς γαστρὸς κάτω τοῦ ὀμφαλοῦ, τόν τε τράχηλον, καὶ τοὺς βουβῶνας, καὶ τὴν ὀσφύν. ἔστι δὲ καὶ ᾗσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι, καὶ κάτω ὑπὲρ τοῦ βουβῶνος, καὶ κινδυνεύουσιν ἀποθανεῖν· καὶ, ἢν μὴ ῥαγῇ τὰ καταμήνια, διενεχθέντα ἓξ μῆνας, πείσεται πάντα, ἅπερ τῇ ἀποκυούσῃ τὰ καταμήνια ὁδὸν οὐ δυνάμενα εὑρεῖν. ἐν δὲ τῷ περὶ ἀφόρων αἰτίαν ἀποδιδοὺς, διότι γυναῖκες οὐ συλλαμ-F βάνουσιν, γράφει ταῦτα, ἢν δὲ γυναικὶ μὴ χωρέῃ τὰ καταμήνια πάμπαν, ἢ ὑπὸ πάντων τῶν εἰρημένων, καὶ οὕτως οὐ συλλαμβάνει. αἱ γὰρ φλέβες τοῦ αἵματος πλήρεις ἐοῦσαι, τὴν γονὴν οὐ δέχονται, καὶ ἐν τῇσι μήτρῃσιν αἵματος ἐκ ἐναί τι χρονίου πᾶσα μηχανὴ ὅτι ἀποκωλύει τὴν γονὴν τρέφεσθαι. ἀδελφὰ δὲ εἶπεν, ἀντὶ τοῦ ὅμοια, καὶ συγγενῆ, καθάπερ ἐν τῷ περὶ διαίτης ὀξέων νοσημάτων γέγραπται, πολλὰ ἠδελφισμένα, τουτέστιν ὁμοιούμενα, καὶ ἱκανῶς συγγενῆ· διότι τῶν συγγενῶν συγγενέσταται πάντων εἰσὶ οἱ

ἀδελφοὶ, καὶ ἀλλαχοῦ λέγει ἠδελφισμένως ἔχειν, ἀντὶ τοῦ ὁμοίως, καὶ ἠδέλφισται, ἀντὶ τοῦ οἰκείωται.

Τί γάλα· ὁ τοῦ γάλακτος ποιητής· ἡ ὕλη· τὰ ἀγγεῖα· τὸ χωρίον· ἡ χρεία· ἡ οὐσία· ἡ γένεσις· τὸ ἔμβρυον ἐν γαστρὶ τοῦ αἵματος, ἐκτὸς δὲ τῆς γαστρὸς τοῦ γάλακτος τρέφεσθαι· τῷ παιδίῳ ἐν τῇ γαστρὶ μέχρι τοῦ ἑνδεκαμήνου τὴν τροφὴν οὐκ ἔλκειν. τὸ γάλα τε καὶ σῶμα τῆς ἐν γαστρὶ ἐχούσης κακόχυμα εἶναι οὐ πρέπει.

ΙΓΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ λϛʹ.

Πρωτοτόκου τὰ γάλακτα τῆς μὲν τροφῆς μεταβαλλούσης, τῆς δ' ὀκταμήνου ἀπαρτιζούσης. διὸ τὰ ἐπιμήνια ἀδελφὰ τῶν ὀκταμήνων πρὸς δεκάμηνον τεινόντων γινόμενα, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῷ γάλακτι γένεσις ἐξ αἵματός ἐστιν ἀκριβῶς πεπεμμένου, τὴν δ' ἀκρίβειαν τῆς πέψεως αὐτῷ ὁ χρόνος τῆς πρὸς τὸ φέρον ἀγγεῖον ὁμιλίας προσδίδωσι, ὡς δέδεικται ἐν τοῖς περὶ χρείας μορίων. τοῖς γὰρ τιτθοῖς οὐκ ἐκ τῶν πλησίον ἀγγείων, ἀλλὰ ἐκ τοῦ μακροτάτου διαστήματος ἡ φύσις αἷμά τε, καὶ πνεῦμα παρέχει. ἐπεὶ δὲ τὰς μήτρας τε, καὶ τιτθοὺς εἰς ἑνὸς ὑπηρεσίαν τοῦ ἔργου παρεσκεύασεν ἡ φύσις, συνῆψεν αὐτὰ διὰ ἀγγείων τινῶν, ἵνα ὅταν μὲν ἐν ταῖς μήτραις αὐξάνηταί τε, καὶ διαπλάττηται τὸ ἔμβρυον, ἐκείνῳ μόνῳ τὴν ἐξ ἀμφοτέρων αἱ κοιναὶ φλέβες ἐπιδιδῶσι τροφήν. ὅταν δὲ ἀποκυηθὲν ᾖ, τοῖς τιτθοῖς αὖθις ἐπιρρεῖ σύμπασα, ὅσον δὲ ἀθροίζεται ταῖς γυναιξὶ, μὴ ἐν γαστρὶ ἐχούσαις, περιττὸν, ἐκκρίνει ἡ φύσις ἐφ' ἑκάστῳ μηνὶ διὰ τῶν εἰς τὰς μήτρας καθηκόντων ἀγγείων, ἐπειδὰν δὲ κυῶσιν, ἕλκει τὸ ἔμβρυον ἐξ αὐτῶν τὴν τροφήν. οὕτω μὲν δὴ γάλακτα τῶν ἐπιμηνίων ἀδελφά φησιν Ἱπποκράτης, τῆς μὲν ὀκταμήνου ἀπαρτιζούσης, τῆς δὲ τροφῆς ὑπερβαλλούσης. ὡς δὲ ἐκ τῆς τῶν τροφῶν μεταβολῆς τὸ γάλα γίνεται, φησὶν αὐτὸς ἐν τῷ περὶ φύσιος παιδίου. ὁκόταν κινηθῇ τὸ ἔμβρυον, τότε δὴ ἐπισημαίνει καὶ τὸ γάλα τῇ μητρί. οἱ γὰρ μαζοὶ αἴρονται, καὶ αἱ θηλαὶ ὀργῶσι, τὸ δὲ γάλα οὐ χωρέει. ὁκόταν δὲ αἱ μῆτραι ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου, πιέζουσι τὴν κοιλίην τῆς γυναικὸς, τῆς δ' ὁκόταν πλήρεος ἐούσης, ὁ πιεσμὸς γίνεται, ἀποπηδᾷ τὸ πιότατον ἀπό τε τῶν βρωτῶν, καὶ τῶν ποτῶν ἔξω, ἐς τὸ ἐπίπλοον, καὶ τὴν σάρκα, καὶ τὰ λοιπά. καθάπερ καὶ ἐν τῷ περὶ γυναικείων λέλεκται αὐτῷ, ἔνθα φησί. τὸ δὲ γάλα ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου, τοῦ ἐν τόκῳ. ἐπὴν δὲ κυΐσκεται ἡ γυνὴ, καταμήνια οὐ μάλα χωρέει, πλὴν ἐστὶν ᾗσιν ὀλίγα. τρέπεται γὰρ εἰς τοὺς μαστοὺς τὸ γλυκύτατον τοῦ ὑγροῦ, ἀπό τε τῶν σιτίων, καὶ τῶν ποτῶν, καὶ ἐκθηλάζεται. διὸ οἱ τιτθοὶ τοῖς στέρνοις εὐλόγως προσκεινται. εἰ γὰρ ἕνεκα γάλακτος γεγόνασι, τὸ γάλα δέ ἐστιν, ὡς ἐῤῥέθη, ἀκριβῶς εἰργασμένη τροφὴ, κατ' ἐκείνην μάλιστα ἔδει χώραν τεθῆναι τὰ τούτου ἀγγεῖα, καθὰ ῥᾷστον ἅμα καὶ ὤκιστα πλῆθος τοῦ γάλακτος ἀκριβῶς εἰργασμένου συνίστασθαι δύναται. . . καὶ μᾶλλον τοῦτο πάσχουσιν αἱ τῶν γυναικῶν πρωτοτόκοι. ἐπιλείπει γὰρ τοῖσι παιδίοισιν ἡ τροφὴ ἐς τὸ ἀρκέσαι ἄχρις ἕνδεκα μηνῶν. καὶ ἂν τῷ αὐτῷ, τὰ μὲν ἐλάσσω τροφὴν ἐν τοῖσιν ἐμβρύοισιν ἔχοντα, θᾶσσον τίκτει, τὰ δὲ πλείω ὕστερον. ἡ

A tres. Et alibi dicit; fraternè se habere pro similiter, & cognata esse, pro esse similia.

Quid lac? Lactis opifex, materia, vasa, regio, usus, substantia, procreatio. Puerum in utero sanguine, extra uterum lacte nutriri. Puero in utero adusque undecimum mensem alimentum non suppetere. Lac & corpus prægnantis vitiosa esse non decet.

B

HIPPOCRATIS TEXTVS XXXVI.

Primipararum lac ab alimento mutationem, octavo vero mense complementum adeptum est. Menstruæ purgationes octrimestribus ad decimum mensem tendentibus similes obortæ, malum.

GALENI COMMENTARIVS.

Lacti ex sanguine accuratè cocto procreatio est. Coctionis autem accurationem ipsi præbet tempus hujus comitatus ad vas deducens, ut Opere de usu partium demonstratum est. C Mammis enim natura non ex vicinis vasis duntaxat, sed etiam longissimo intervallo remotissimis, tum sanguinem, tum spiritum subministrat. Quia vero uteros & mammas ad unius operis officium natura præparavit, ipsas partes quibusdam vasis connexuit, ut quum in uteris augetur & conformatur fœtus, illi soli utrinque communes alimentum irrigando deducunt. Quum autem editus fuerit in mammas derepente universum confluit alimentum. Quod autem acervatur mulieribus utero non gerentibus supervacaneum, D singulis mensibus natura vasis ad uteros porrectis excernit. Postquam verò conceperint ex ipsis fœtus alimentum trahit. Sic itaque lac menstrui fratrem appellat Hippocrates. Octimestri quidem perficiente, alimento verò excedente. At quomodo ex alimentorum mutatione lac procreetur ipse de natura pueri pronunciat. Quum movetur fœtus, tunc certè matri etiam lac adesse significat. Mammæ siquidem attolluntur, & papillæ turgent, lac vero non continent. Quum uteri puero tument, mulieris E alvum premunt, illa plena existente, oppressio fit. Pars eduliorum & pastuum pinguissima foras exilit in omentum, in carnem, & reliqua; quemadmodum etiam in Opere de morbis mulierum ab ipso prolatum est: quo loci lac, inquit, quomodo procreetur à me Libro de natura pueri in partu existentis edictum est. Quum autem mulier peperit menstrua non valde prodeunt, quibusdam tamen exceptis pauca: Pars enim humidi dulcissima quæ ad mammas convertitur, ex cibis & potibus exugitur. F Propterea jure mammæ pectori adjacent. Si nanque lactis gratiâ mammæ factæ sint, lac autem ut dictum est, alimentum probè conditum, in illa potissimum regione hæc vasa posita esse oportebat, ubi facile & velocissimè lactis accuratè cocti copia colligi posset . . . idque magis patiuntur mulieres primiparæ. Deest enim alimentum puellis quod ad undecimum usque mensem suppetat. Et ibidem. quæ minus alimentum in fœtibus habent, celeriùs pariunt; quæ copiosius, seriùs. Natura igitur

id prævidit quum puerorum lac matris apparat; quod est optimum, nisi ægrotaverit. Decet enim matris totum corpus & lac vitiosum non esse. Itaque nobis ex sanguine conceptis lac alimentum est. Ex sanguine vero lactis est procreatio paucissimam mutationem in mammis recipiens. Lac autem ex tribus substantiis dissimilium partium componitur; una quidem serosa & tenui, altera vero crassa & caseosa, tertia denique oleosa & pingui. Quod vero dicit ad decimum mensem tendentibus . . . . . simile iis est quæ in Opere de morbis mulierum dicuntur . . . . . Etenim in Aphorismis prodidit: mulieri utero gerenti si lac copiosum à mammis effluat, fœtum imbecillum significat. Hoc autem non primis mensibus procreatur.

A γονῶν φύσις αὐτὸ προενοήσατο τὴν παιδίων τροφὴν, παρασκευάσασα τὸ γάλα τῆς μητρὸς, ὅπερ ἄριστόν ἐστιν, πλὴν εἰ μὴ τύχῃ νενοσηκός. εἰκὸς γάρ που τῆς μητρὸς ἄμεμπτον εἶναι τότε σύμπαν σῶμα, καὶ γάλα. ἐξ αἵματος μὲν οὖν ἐπικυουμένοις ἡμῖν ἡ τροφή. ἐξ αἵματος δὲ καὶ ἡ τοῦ γάλακτος γένεσις, ὀλιγίστην μεταβολὴν ἐν τοῖς μαστοῖς προσλαβόντος. τὸ δὲ γάλα σύγκειται ἐκ τριῶν οὐσιῶν ἀνομοιομερῶν, μιᾶς μὲν τῆς ὀρρώδους τε, καὶ λεπτῆς· ἑτέρας δὲ τῆς παχείας τε, καὶ τυρώδους, καὶ τρίτης τῆς ἐλαιώδους τε, καὶ λιπαρᾶς. ὃ δὲ λέγει πρὸς δεκάμηνον τεινόντων, . . ὅμοιόν ἐστιν τῷ B λεγομένῳ ἐν τῷ περὶ γυναικείων . . . καὶ γὰρ ἐν τοῖς ἀφορισμοῖς εἶπεν, γυναικὶ ἢν ἐν γαστρὶ ἐχούσῃ γάλα ἐκ τῶν μαζῶν πολὺ ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει. τοῦτο δὲ οὐ κατὰ τοὺς πρώτους μῆνας γίνεται.

Tumores molles ac mediocres magnis vulneribus supervenire bona signa, nullos verò aut crudos, aut majores apparere mala esse.

Τὰ τῶν τρωμάτων ἰσχυρῶν χαῦνα καὶ μέτρια χρηστὰ, μὴ δὴ ὅλως ἐπιγινόμενα, ἢ ἔνωμα, ἢ μείζω, κακά.

HIPPOCRATIS TEXTUS XXXVII.

Gravibus incussis vulneribus, nisi tumores appareant, ingens malum; si laxi & molles fuerint, bonum; si sursum serpant, deterius.

C ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ΄.

Τρωμάτων ἦν ἰσχυρῶν ἐόντων, οἴδημα μὴ φαίνηται, μέγα κακόν. τὰ χαῦνα, τὰ ἄνω νεμόμενα, κάκιον.

GALENI COMMENTARIVS.

Eadem prope oratio in Aphorismis ab ipso scripta est; si magnis & gravibus vulneribus tumor non appareat, ingens malum; molles, boni; crudi, mali. Qua oratione vitiosa damnat vulnera, quibus nulli tumores superveniunt, quod metus sit confluentes vulneribus humores ab his ad partes nobiliores transferri. Etenim ut admodum tumere vulnera periculosum est, sic nullo prorsus modo intumescere periculosissimum. Illud enim magnæ inflammationis, hoc emortui corporis signum est. *Si sursum serpant*: tumores duros è regione respondentes intelligi, qui plerunque crudi sunt. Ipsos autem vocat, in Aphorismis, crudos, & mollibus deteriores esse pronunciat. Sexto verò Epidemiorum quum quæ æquabiliter maturescunt & quæ non admodum dura & contraria componit, tanquam in una oppositione, durum quidem tumorem molli pejorem dicit; ipso autem duro duriorem, & quanto durior est, tanto difficilior.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Η Αὐτὴ σχεδὸν ῥῆσις ἐν τοῖς ἀφορισμοῖς γέγραπται αὐτῷ, ἢν τρωμάτων ἰσχυρῶν, καὶ πονηρῶν ἐόντων, οἴδημα μὴ φαίνηται, μέγα κακὸν, τὰ χαῦνα χρηστὰ, τὰ ἔνωμα D κακά. ἐν ᾗ μέμφεται τὰ μὴ δὴ ὅλως ἐπιγινόμενα τοῖς πονηροῖς τραύμασιν οἰδήματα, διὰ τὸ, ὑποπτεύειν εἶναι ἐπὶ τούτων μεθίστασθαι τοὺς ἐπιρρέοντας τοῖς τραύμασι χυμοὺς ἐπὶ τὰ κυριώτερα, καὶ γὰρ ὡς τὸ λίαν οἰδαίνεσθαι τὰ τραύματα, κινδυνῶδες, οὕτω τὸ μὴ δὴ ὅλως ἐξογκοῦσθαι, κινδυνωδέστατον. ἐκεῖνο γὰρ τῆς μεγάλης φλεγμονῆς, τοῦτο δὲ τοῦ νενεκρωμένου σώματος σημεῖον. τὰ ἄνω νεμόμενα δὲ λέγει τοὺς σκληροὺς, καὶ ἀντιτύπους ὄγκους· οἱ ὡς τὰ πολλὰ ὠμοὶ ὄντες τυγχάνουσι. καλεῖ δὴ αὐτοὺς ἐν ἀφορισμοῖς ἔνωμα, καὶ τῶν χαύνων E κακίω εἶναί φησιν. ἐν δὲ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν τὰ ὁμαλῶς ξυμπεπαινόμενα, καὶ μὴ περίσκληρα, καὶ τὰ ἐναντία παραβάλλων, ὡς ἐπὶ μιᾶς ἀντιθέσεως, τὸ μὲν σκληρὸν φῦμα τοῦ μαλακοῦ φαυλότερον λέγει, αὐτοῦ δὲ σκληροῦ τὸ μᾶλλον σκληρὸν, καὶ ὅσῳ σκληρότερον, τοσούτῳ χαλεπώτερον.

Ubi tumores ulceribus aut vulneribus apparent, posterioribus quidem convulsiones cum doloribus, tetanos; anterioribus verò insaniam, acutos lateris dolores, suppurationes, aut dysenteriam cruentam non apparere; ubi non apparent, aut derepente evanescunt, illa supervenire. Quid dysenteria sæpiùs infirmitatis hepatis soboles.

Οἷσιν οἰδήματα ἐφ᾽ ἕλκεσι καὶ τρώμασι φαινόμενα, οἷσι μὲν τὰ ἐξόπισθεν, σπασμοὶ μετὰ πόνων, τετάνοις· οἷσι δὲ ἐν τοὔμπροσθεν μανίαν, ἢ ὀδύνας πλευροῦ ὀξείας, τὰς ἐμπυήσεις, καὶ τὰς δυσεντερίας ἐρυθρὰς μὴ ἐπιφαίνεσθαι· τουτέων δὲ μὴ φαινομένων, ἢ ἐξαίφνης ἀφανισθέντων ταῦτα ἐπιγίνεσθαι. ἡ δυσεντερία πλεονάκις τῆς ἀῤῥωστίας τοῦ ἥπατος ἀρχή. F

HIPPOCRATIS TEXTUS XXXVIII.

Quibus tumores in ulceribus sunt, ii non admodum convelluntur, neque insaniunt. His autem derepentè evanescentibus, quibus quidem ad

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη.

Οἷσιν οἰδήματα ἐφ᾽ ἕλκεσιν, οὐ μάλα σπῶνται. οὐδὲ μαίνονται, τούτων δὴ ἀφανισθέντων ἐξαίφνης, οἷσι μὲν

τὰ ἐξόπισθεν, σπασμοὶ μετὰ πόνων. οἷσι δὲ ἐν τῷ ἔμπροσθεν, ἢ μανίαι, ἢ ὀδύναι πλευροῦ ὀξέαι, καὶ δυσεντερία ἐρυθρή. τὰ οἰδήματα παρὰ λόγον ῥηΐζοντα, κίβδηλον, οἷα τῷ τοῦ Ἀνδρονίκου παιδίῳ τὸ ἐρυσίπελας ἐσπαλινδρόμησεν, ἢν μὴ ἐς τὸ αὐτὸ ἔλθῃ, χρηστόν τι σημαίνει.

posteriora fuerant, convulsiones cum doloribus; quibus vero ad anteriora, aut insania, aut acuti laterum dolores, & dysenteria rubra concitantur. Tumores præter rationem juvantes, imposturam ferunt, qualem Adronici filio intro recurrens erysipelas portendit, nisi quid commodi eodem recursus significet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ ἐν τῷ πέμπτῳ τῶν ἀφορισμῶν φησὶ, οἷς οἴδοι τοῖς ἕλκεσιν ἐπιγίνονται, οὐ πάνυ τι σπῶνται, οὔτε μαίνονται· γράφει γὰρ οὕτως, ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνεται, οὐ μάλα σπῶνται, οὐδὲ μαίνονται. τούτων δὲ ἀφανισθέντων ἐξαίφνης, τοῖσι μὲν ὄπισθεν σπασμοὶ, τέτανοι· τοῖσι δὲ ἔμπροσθεν μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι, ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ ᾖ τὰ οἰδήματα. σπῶνται γὰρ ἐνίοτέ τινες ἐφ' ἕλκεσι, καὶ μαίνονται, ὅταν δηλονότι μέγεθος ἀξιόλογον, ἢ κακοήθειάν τινα προσλάβωσι· τῶν δὲ ὄγκων ἀφανισθέντων ἐξαίφνης, γίνονται σπασμοὶ, ὅταν ἐν τοῖς ὀπίσω μέρεσιν ᾖ τὰ ἕλκη, ἤγουν κατὰ νῶτον· εἰ δὲ ἐν τοῖς πρόσω, μανίαι, ἢ ὀδύναι ὀξεῖαι τοῦ πλευροῦ, ἢ καὶ τὰ ἄλλα, αἴτιόν ἐστιν, ὅτι τὰ ὄπισθεν νευρώδη ὑπάρχουσι. τὰ δὲ ἔμπροσθεν, ἀρτηριώδη, καὶ φλεβώδη τυγχάνουσιν ὄντα. ὃ δὲ γράφεται ἐνταῦθα σπασμοὶ μετὰ πόνων, ἐν τοῖς ἀφορισμοῖς ἐστὶ σπασμοὶ, τέτανοι· καὶ ἀντὶ τούτων, δυσεντερίη ἐρυθρὴ, ἐκεῖ λέγεται, ἢ ἐμπύησις, ἢ δυσεντερία, ἢν ἐρυθρὰ ᾖ τὰ οἰδήματα. καλεῖ δὲ οὕτως τὴν δυσεντερίαν τὴν αἱματηρὰν, ἥτις ἐστὶν αἵματος κένωσις δι' ἐντέρων, χωρὶς ἑλκώσεως. ὅτε δὲ καὶ ἀρρωστίᾳ τοῦ ἥπατος αἱματώδη διαχωρῆται, καὶ τότε ὀνομάζεται δυσεντερία τὸ πάθος· καὶ πολλοὶ τῶν ἰατρῶν ἀμελήσαντες τοῦ ἥπατος, αἴτιοι θανάτου τοῖς κάμνουσιν ἐγένοντο. καὶ εἰκὸς, ἐκ τῆς εἴσω παλινδρομίας τῆς φλεγμονῆς, τὰς ἐμπυήσεις γίνεσθαι, τῆς ὕλης εἰς τὸν θώρακα ἐκρεούσης, ἢ καὶ τὴν δυσεντερίαν τὴν αἱματώδη ἐκεῖ ἡρπασμένης τῆς τοῦ οἰδήματος ὕλης, ἣ ἐκ τοῦ αἵματος τὴν φλεγμονὴν ἐποίησεν.

GALENI COMMENTARIUS.

B IN quinto quoque Aphorismorum edicit; *Quibus tumores ulceribus superveniunt, ii neque admodum convelluntur, neque insaniunt.* Ita nanque scribit; *Quibus cum ulceribus tumores conspiciuntur, hi fere non convelluntur, nec in mammam incidunt. His autem derepente evanescentibus, quibus quidem retrorsum convulsiones & tetani oboriuntur, quibus vero antrorsum, maniæ, lateris dolores acuti, aut empyema; aut dysenteria, si rubri tumores extiterint.* Convelluntur enim interdum quidam in ulceribus, & insaniunt, quum nimirum insignem magnitudinem aut malignitatem aliquam acce-
C perint. Tumoribus autem repente evanescentibus, oriuntur convulsiones, quum in posterioribus partibus sunt ulcera, videlicet in dorso. Quod si in anterioribus sint ulcera, maniæ, aut acuti lateris dolores, aut etiam aliarum partium. Causa est quod posteriora nervis exulerent; anteriora vero arteriis & venis. Quod autem hîc scribitur, *convulsiones cum doloribus*: In aphorismis sunt convulsiones, tetani, & pro his dysenteria rubra. Illic dicitur, *empiema aut dysenteria, si rubri tumores extiterint.* Sic autem vocat dysenteriam cruentam quæ
D sanguinis est vacuatio per intestina citra ulcerationem. Nonnunquam etiam hepatis imbecillitate cruenta dejiciuntur, ac tum dysenteria morbus nominatur. Et multi Medici neglecto hepate, interitus ægrotantis causæ extiterunt. Et par est ex inflammationis intro recursu suppurationes fieri, materia ad thoracem affluente, vel etiam cruentam dysenteriam materia tumoris illuc rapta quæ ex sanguine inflammationem procreavit.

Ἐρυσιπέλατος περὶ τὸ οὖς περὶ ἥβην διάδοσις, τὰ οἰδήματα παρὰ λόγον ῥηΐζοντα τὰ ἀφανιζόμενα ἐξαίφνης κακοηθέστερα. ἡ ἀγαθὴ κρίσις.

E Erysipelatis ab aure ad pubem propagatio, tumores præter rationem ac derepente evanescere, maligniores esse, & malum portendere. quid bona crisis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

ΤΟῦτο ἔκ τε γενέσιος περὶ τὸ οὖς περὶ ἥβην διεδόθη, ἑτέρῳ τριταίῳ ἐκ γενετῆς γενομένῳ, ἀπεπύησεν ἐναταίῳ. οὗτος ἑβδομαῖος ὑγιής. κακοηθέστερα τὰ ἀφανιζόμενα ἐξαίφνης.

HIPPOCRATIS TEXTUS XXXIX.

HOc ab ortu circa aurem erat, postea ad pubem propagatum est. Quod alteri tertio ab ortu die eruperat, nono suppuratum est. F *Hic septimo die sanus evasit. Maligniora sunt quæ derepente disparent.*

A

GALENI COMMENTARIUS.

AD aures tuberculum, aut tumor, aut quicquam aliud productum, postea ad pubem propagatum est, quemadmodum & quod tertio die apparuit, nono die pus factum est, & ægrotus sanus evasit. Addit autem tanquam hujus sectionis conclusionem, animadversionis caput, dicens; *Quæ derepente evanescunt, ea maligniora esse.* Quippe quæ neque decretorio die decesserunt, neque præcedentibus solutoriis signis; ut sit idem quod in prorrhetico pronunciatum est; lateris dolorem cum sputis biliosis evanescentem præter rationem vitio dant: Nam quæcunque præter rationem evanuerunt, aliquid mali portendunt. Subitaneæ nanque mutationes acutorum sunt morborum, quorum probam crisim didicimus quæ non sine maturatione, & aliquo decretorio die, eoque manifesto priùs declarato efficitur, & quæ specie crisis morbo propria editur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΑρὰ δὲ οὖς ἔπαρμα, ἢ οἴδημα, ἢ ἄλλο τι γινόμενον, ἔπειτα πρὸς τὴν ἥβην διεδόθη, καθάπερ καὶ ὃ τρίτη ἡμέρᾳ ἐφάνη, τῇ ἐννάτῃ ἀπεπύησεν, καὶ ὁ κάμνων τῇ ἑβδόμῃ ἐγένετο ὑγιής. προστίθησι δὲ ὡς συμπέρασμα τούτου τοῦ τμήματος τὸ κεφάλαιον σημειώσεως, λέγων, τὰ ἐξαίφνης ἀφανιζόμενα εἶναι κακοηθέστερα, ὡς μήτε ἐν ἡμέρᾳ κρισίμῳ γινόμενα, μήτε λυτηρίων σημείων προηγουμένων, ἵνα εἴη ὅπερ ἐν τῷ προῤῥητικῷ
B εἴρηται, πλευροῦ ἄλγημα ἐπὶ πτύσεσι χολώδεσι ἀλόγως ἀφανισθέντα κακόν τι σημαίνει. αἱ γὰρ ἐξαιφνίδιοι μεταβολαὶ τῶν ὀξέων νοσημάτων εἰσὶν, ὧν ἀγαθὴν κρίσιν μεμαθήκαμεν, ὅτι γίνεται οὐκ ἄνευ πεπασμοῦ, καὶ κατά τινα τῶν κρισίμων ἡμερῶν, καὶ διὰ τοῦ ἐπιδήλου προδεδηλωμένη, καὶ τῆς κρίσεως εἶδος, οἰκεῖον τῷ νοσήματι, ποιουμένη.



ΙΠΠΟΚΡΑΤΟΥΣ

ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΥ II.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

HIPPOCRATIS

LIBRI II. EPIDEMIORVM

SECTIO QVARTA.

ΠΕΡΙ ΦΛΕΒΩΝ.

A

Περὶ τῶν φλεβῶν ἐξηγεῖται. περὶ τῆς φλεβὸς ἡπατίτιδος διὰ φρενῶν διαιρέσεως, τῶν ἀρτηριῶν σχεδὸν τῶν τόνων ἐχομένων, καὶ δυοῖν τόνων ἀπ' ἐγκεφάλου διωρισμένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

Ἡπατίτις ἐν ὀσφύϊ, μέχρι τοῦ μεγάλου σπονδύλου κάτωθεν, καὶ σπονδύλοισι προσδιδοῖ ἐντεῦθεν, μετέωρος δι' ἥπατος, καὶ διὰ φρενῶν ἐς καρδίην, καὶ ἡ μὲν εὐθεῖα εἰς κληῖδας, ἐντεῦθεν δὲ αἱ μὲν ἐς τράχηλον, αἱ δὲ ἐπ' ὠμοπλάτας. αἱ δὲ ἀποκαμφθεῖσαι κάτω, παρὰ σπονδύλους καὶ πλευρὰς ἀποκλίνουσι. καὶ ἐξ ἀριστερῶν μὲν μία ἐγγὺς κληΐδων, ἐκ δεξιῶν δὲ, ἐπί τι, αὐτῇ χωρίον ἄλλη. ἡ δὲ σμικρὸν κατωτέρω ἀποκαμφθεῖσα, ὅθεν μὲν ἐκείνη ἀπέλιπε, προσέδωκε τῇσι πλευρῇσι. ἔστ' ἂν τινι ἐπ' αὐτέης τῆς καρδίης προστύχοι ἐπικαμπτομένη ἐς τὰ ἀριστερὰ, καὶ ἀποκαμφθεῖσα δὲ κάτω ἐπὶ σπονδύλους καταβαίνει, ἔστ' ἂν ἀφίκηται ἔνθεν ἤρξατο μετεωρίζεσθαι ἀποδιδοῦσα τῇσι πλευρῇσιν· τῇσιν ἐπιλοίπῃσιν ἁπάσαις ἢ ἔνθεν καὶ ἔνθεν, ἀποσχίδας παρ' ἑκάστην διδοῦσα μία ἐοῦσα. ἀπὸ μὲν τῆς καρδίης ἐπί τι χωρίον ἐν τοῖσι ἀριστεροῖσι μᾶλλον ἐοῦσα ἐπὶ τὰ ὑποκάτω τῆς ἀρτηρίης, ἔστ' ἂν καταναλωθῇ καὶ ἔλθῃ. ὅθεν ἡ ἡπατίτις ἐμετεωρίσθη. πρότερον δὲ πρὶν ἢ ἐνταῦθα ἥκειν, παρὰ τὰς ἐσχάτας δύο πλευρὰς διαιρέθη, καὶ ἡ μὲν ἔνθα, ἡ δὲ ἔνθα τῶν σπονδύλων ἐλθοῦσα κατηναλώθη. εὐθεῖα δὲ ἀπὸ καρδίης πρὸς κληῗδα τείνουσα, ἄνωθεν τῆς ἀρτηρίης ἐστὶ, καὶ ἀπὸ ταύτης, ὥσπερ καὶ παρ' ὀσφὺν κάτωθεν τῆς ἀρτηρίης, ἀΐσσει ἐς τὸ ἧπαρ. ἡ μὲν ἐπὶ πύλας καὶ λοβὸν, ἡ δὲ ἄλλο ἐξῆς ἀφορμήκει, σμικρὸν κάτωθεν φρενῶν. Φρένες δὲ προσπεφύκασι τῷ ἥπατι, ἃς οὐ ῥᾴδιον χωρῆσαι. διτταὶ δὲ ἀπὸ κληΐδων, αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν ὑπὸ στῆθος ἐς ἦτρον. ὅπη δὲ ἐντεῦθεν οὔπω οἶδα. Φρένες δὲ κάτω κατὰ τὸν σπόνδυλον τὸν κάτω τῶν πλευρῶν, ἢ νεφροὶ ἐξ ἀρ-

DE VENIS.

De Venis. De venæ cavæ seu jecorariæ distributione, septo transverso, arteriis fere venarum comitibus, & nervis duobus ex cerebro ortis.

HIPPOCRATIS TEXTUS I.

B *Hepatitis per lumbos ad magnam usque vertebram deorsum fertur; indeque sese vertebris communicat; & sublata per hepar, & per septum transversum cor & recta claviculas adit. Hinc autem aliæ ad cervicem, aliæ ad scapulas, quædam inferius deflexæ ad vertebras & costas declinant. Ex sinistris quidem una prope claviculas tendit; ex alia autem paulo inferius deflexa, ubi quidem illa desinit sese costis adjungens, dum venam ipsam cordis attigerit ad sinistra se flectens. Deorsum autem demissa secundum vertebras descendit, donec eò* C *perveniat, unde se sublimem erigit, reliquis omnibus costis adhærens, utrinque singulis quum una sit mittens ramulos, à corde aliquatenus ad locum aliquem à sinistris magis procedens, deinde infra arteriam quousque consumpta fuerit, eôque pervenerit, unde jecoraria sublimis emersit. Quò priusquam perveniat, ad extremas duas costas scinditur, & in utramque vertebrarum partem progressa ibi conditur. Quæ verò recta à corde ad claviculam tendit, supra arteriam est; indeque ut etiam ad lumbos infra arteriam ad hepar fertur, partim ad portas & pinnas, partim in reliquum deinceps paulo infra septum transversum excurrit. Septum autem transversum adhæret hepati, quod separari facile non potest. Geminæ porro venæ à claviculis scinduntur, & hinc & inde sub pectus ad imum ventrem pertingunt. Quonam vero inde ferantur, mihi nondum constat. At septum transversum infra ad vertebram cordis substratam stabulatur, atque ea in parte quâ renes ex arteria*

teria utrinque eminent. Ex quibus arteriæ enascuntur, utrinque cum arteria nervum habent. Atque huc quadantenus ex corde recurrens Iecoraria desinit. A jecoraria verò per septum transversum duæ maximæ venæ hinc & inde sublimes feruntur, multifidæque per septum, cui complexit adhærent. In superiore autem illius parte magis extant conspicuæ. Duo vero nervi à cerebro sub magnæ vertebræ os à superiore parte perreptant, & ad gulam magis ab utraque arteriæ parte descendunt, & uterque in sese incidens unisimilis. Deinde ubi septum & vertebræ existunt, ibi desinunt. Et quidam ancipites ab hac communione ad jecur & lienem ipsos tendere censuerunt. Alius nervus ab utraque vertebrarum parte juxta spinam extenditur, & ex obliquo vertebrarum & costis distribuitur. Quemadmodum autem venæ, sic hi per septum transversum ad lactes pertendere mihi videntur, in quibus etiam desinunt. Rursus autem ab eo loco unde septum exoritur continuitate quadam per medium infra arteriam quod est reliquum ad vertebras quemadmodum venæ distribuuntur quoad in os sacrum procurrentes consumpti conduntur.

A τηρίης, ταῦτα ἀμφιβεβήκει, αἷς ἀρτηρίαι μὲν ἐκ τοῦ τόνου τῆς ἐκπεφύκασιν, ἔνθεν καὶ ἔνθεν, ἀρτηρίης τόνον ἔχουσαι. ταύτῃ δέ πῃ παλινδρομήσασα ἀπὸ καρδίης ἡ ἡπατῖτις λήγει, ἀπὸ δὲ τῆς ἡπατίτιδος διὰ τῶν φρενῶν αἱ μέγισται δύο, ἡ μὲν ἔνθεν, ἡ δὲ ἔνθεν φέρονται μετέωροι. πολυσχιδέες τε διὰ τῶν φρενῶν εἰσὶν ἀμφὶ ταύτας, τῆς πεφύκασιν ἄνωθεν διὰ φρενῶν, αὗται δὲ μᾶλλόν τι ἐμφανέες. δύο δὲ τόνοι ἀπ' ἐγκεφάλου ὑπὸ τὸ ὀστέον τοῦ μεγάλου σπονδύλου ἄνωθεν, καὶ πρὸς τὸν στόμαχον μᾶλλον ἑκατέρωθεν τῆς ἀρτηρίης παρελθών, ἑκάτερος ἐς ἑαυτὸν ἦλθεν. ἴκελος ἑνί. ἔπειτα οἱ σπόνδυλοι καὶ αἱ φρένες πεφύκασιν, ἐνταῦθα ἐτελεύτων. καί τινες ἐνδοιαστοὶ πρὸς B ἧπαρ καὶ σπλῆνα ἀπὸ τούτου τοῦ κοινωνήματος, ἐδόκεον τείνειν, ἄλλος τόνος ἐκ τῶν κατέρωθεν σπονδύλων παρὰ ῥάχιν παρέτεινεν ἐκ πλαγίου σπονδύλων, καὶ τῇσι πλευρῇσιν ἀπένεμον. ὥσπερ αἱ φλέβες, οὕτως οὗτοι διὰ φρενῶν ἐς μεσεντέριόν μοι δοκέουσιν τείνειν. ἐν δὲ τουτέοισιν ἐξέλιπον. αὖθις δὴ ὅθεν φρένες ἐξεπεφύκεισαν, ἀπὸ τούτου ξυνεχέες ἐόντες κατὰ μέσον κάτωθεν ἀρτηρίης τὸ ἐπίλοιπον παρὰ σπονδύλους ἀπεδίδουν ὥσπερ αἱ φλέβες, μέχρι κατηναλώθησαν διήκουσαι ἐς τὸ ἱερὸν ὀστέον.

C

Ex continuo leguminum & erui esu crurum impotentia ac dolor, curatio per excandescentiam, lætitiam, terrorem & similia animi pathemata.

Ἡ ἐκ τῶν ξυνεχέως ὀσπριοφαγούντων τε καὶ ὀροβοφαγούντων σκελέων ἀκρασία καὶ ὀδύνη. ἡ διὰ τῆς ὀξυθυμίης, εὐθυμίης, φόβου, καὶ τῶν τοιούτων θεραπεία.

HIPPOCRATIS TEXTUS II.

IN Æno qui continenter leguminibus vescebantur, tum mares, tum fœminæ crurum impotentia laborabant, vitamque traducebant. Et vero qui eruo vescebantur, hi genuum dolore vexabantur. Adhibenda diligentia est, ut excandescentia inducatur, cum coloris reparandi, tum affusionis humorum conciliandæ gratiâ; lætitia quoque, ac terror, & hujusmodi pathemata. Si reliquum corpus ægrotet, simul etiam ipsi medendum est. Sin minus; id satis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

D ΕΝ Αἴνῳ ὀσπριοφαγοῦντες ξυνεχέως, θήλειαι, ἄρσενες, σκελέων ἀκρατέες ἐγένοντο, καὶ διετέλεον. ἀτὰρ καὶ ὀροβοφαγέοντες γουναλγέες. ἐπιτηδεύειν ὀξυθυμίην ἐμποιέειν, καὶ χρώματος ἀναλήψιος ἕνεκα, καὶ ἐγχυμώσιος, καὶ εὐθυμίης, καὶ φόβους, καὶ τὰ τοιαῦτα· καὶ ἢν μὲν τὸ ἄλλο σῶμα συννοσέῃ, ξυνιῆσθαι· εἰ δὲ μὴ τοῦτο.

Stymargi ancillæ à partu osculi uteri inversione laborantis historia & curatio.

E Ἡ τῆς Στυμάργεω οἰκέτιδος ἱστορία καὶ θεραπεία, ἡ ὡς ἔτεκε ἐπέστραπτο τὸ στόμα τοῦ αἰδοίου.

HIPPOCRATIS TEXTUS III.

STymargi ancilla Idumæa cum filiam peperisset, ipsi uteri osculum conversum est, ac coxam & crus dolor invasit. Secta ad malleolum vena, convaluit, & si totum corpus tremores occupabant. Verùm ad causam & causæ principium deveniendum fuit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Ἡ Στυμάργεω οἰκέτις, ἡ Ἰδουμαία ἐγένετο, ὡς ἔτεκε θυγατέρα ἐπέστραπτο τὸ στόμα τοῦ αἰδοίου, καὶ ἐς ἰσχίον, καὶ σκέλος ὀδύνη, παρὰ σφυρὸν τμηθεῖσα ἐρρήϊσεν, καί τοι καὶ τρόμοι κατὰ σῶμα πᾶν κατεῖχον, ἀλλ' ἐπὶ τὴν πρόφασιν διελθεῖν, καὶ τῆς προφάσιος τὴν ἀρχήν.

F


ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΥ II.
ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

HIPPOCRATIS
LIBRI II. EPIDEMIORVM
SECTIO QVINTA.

ΦΥΣΙΟΓΝΩΜΟΝΙΗ.

A Τὰ τῶν πονηρῶν, ἐσθλῶν, εὐαλώτων τοῖς νοσήμασι μελαγχολικοῖς, ἀῤῥώστων, καὶ ἐμπύων σημεῖα. Ἡ ἰσχνοφωνίην, καὶ τῶν κάτω μερέων ὀδύνην λύει. ἡ μανίη ἡ νόσου ἐν ἔθει γινομένης καὶ τοῦ πυρετοῦ σπασμοῦ λύσις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.



B Κόσοι πυῤῥοὶ, ὀξύῤῥινες, ὀφθαλμοὶ σμικροὶ, πονηροὶ, ὁκόσοι πυῤῥοὶ, σιμοὶ, ὀφθαλμοὶ μεγάλοι, ἐσθλοὶ, ὑδρωπιώδεες χαροποὶ, φαλακροὶ ἔωσιν. ἰσχνοφωνίην κιρσὸς λύει, ἐς τὸν ἀριστερὸν καὶ τὸν δεξιὸν ὄρχιν, ἀνὰ τουτέων τοῦ ἑτέρου οὐχ οἷόν τε λύεσθαι. μεγάλοι, φαλακροὶ, τραυλοὶ, ἰσχνόφωνοι, ἐσθλοί. νοσήματα δὲ ἔχουσι, τραυλὸς, ἢ φαλακρὸς, ἢ ἰσχνόφωνος, ἢ δασὺς, ἰσχυρῶς μελαγχολικά. νοσήματα δὲ ἔχουσιν, ὅσοι τῇ γλώσσῃ παφλάζουσιν, χειλῶν μὴ ἐγκρατέες ἐόντες, ἀνάγκη λυομένων ἐμπύους

C γίνεσθαι. ὀδύνην ἐν τοῖσι κάτω χωρίοισιν, ἰσχυρὴ κωφότης λύει, καὶ αἷμα πολλὸν ἐκ τῶν ῥινῶν, ἡ μανίη, ἡ μεγάλης νόσου ἐν ἔθει γινομένης, ἢν λεχοῖς σπασμὸς ἐπιγίνηται, πῦρ ποιέειν· καὶ ἐς κύστιν κηρωτὴν ἐγχέας πολλὴν χλιαρὴν, κλύζειν.

NATVRÆ INDICIORVM NOTIO.

A Pravorum, bonorum, obnoxiorum morbis melancholicis, ægrotantium, & purulentorum indicia. Quid vocis exilitatem, & partium inferiorum dolorem solvat. Insaniam consueti morbi, & febrem convulsionis solutionem esse.

HIPPOCRATIS TEXTUS I.



B *Vi fulvi sunt, acuto naso, & oculis parvis, pravi: qui fulvi, simi & magnis oculis, boni. Hydropici ravos habent oculos, & calvi sunt. Vocis exilitatem varix solvit ad sinistrum & dextrum testem enatus; citra horum alterum solvi non potest. Magni, calvi, balbi, & exili voce præditi, boni sunt. Balbus autem, aut calvus, aut exili voce donatus, aut hispidus, morbis admodum melancholicis conflictatur. Morbos quoque habent quicunque lingua offendunt ac hæsitant, ut nec labris moderari queant, eos necesse est*

C *illis desinentibus, purulentos fieri. Validum inferiorum locorum dolorem surditas solvit, & sanguis copiosus ex naribus profluens. Insania magni morbi pro consuetudine contingentis solutio. Si puerperii convulsio successerit, febris est concitanda; immissoque in vesicam cerato multo tepido ac per clisterem infuso alvus colluenda.*

Τὰ Ἱπποκρατικὰ ἐρεικτοῦ τῆς κεφαλῆς ὀστέου, ἕλκει, καὶ παραφροσύνῃ φάρμακα. ἡ τῆς κεφαλῆς ὀδύνης βλάστησις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

ΗΝ τῆς κεφαλῆς τὸ ὀστέον καταγῇ, διδόναι γάλα καὶ οἶνον πίνειν, ἴσον ἴσῳ. ἢν δὲ ἕλκος ᾖ, φλεβοτομέειν τὰς εἴσω, ἢν μὴ πυρεταίνῃ, ἢν δὲ παραφρονέῃ, τὴν κεφαλὴν καταβρέχειν, ἢν μὴ τὰ ὑποχόνδρια ἐπηρμένα ᾖ. ἢν τὴν κεφα-

Hippocratica confracto capitis ossi, ulceri, & delirio remedia. Doloris capitis propagatio.

HIPPOCRATIS TEXTUS II.

SI capitis os confractum fuerit, lac & vinum *æquali aqua mixtura diluta, propinanda. Quod si ulcus extiterit, interiores venæ secandæ sunt, nisi febricitet. Si autem deliret, caput embroche perfundendum est, nisi hypocondria extuberent. Si caput*

doluerit, ad pectus primùm dolor accedit, deinde ad hypochondria, postea ad coxam; omnia nanque simul dolere nequeunt.

A λὼ ἀλγέῃ, ἐς στῆθος ἔρχεται. ἔπειτα ἐς τὸ ὑποχόνδριον, ἔπειτα ἐς τὸ ἰσχίον. πάντα δὲ οὐχ οἷόν τε ἀλγέειν.

Anemiam venæ sectione, fluxum medicamento, spontaneum fluxum jejunio, aut lactis potu; sterilitatem fotu & medicamentis curari.

Ἀνεμίην φλεβοτομίῃ τὸν ῥόον φαρμάκῳ, αὐτόματον ῥόον τῇ νηστείᾳ, ἢ τῇ τοῦ γάλακτος ποτήσει. τὴν ἀγονίαν πυρίοις τε, καὶ τοῖς φαρμάκοις θεραπεύεσθαι.

HIPPOCRATIS TEXTUS III.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γʹ.

B *Anemiam, hoc est, subventaneos flatus incisa vena; fluxum vero medicamentum illitum sistit; fluxus enim ex magna vena prodit. Si vero sponte copiosè fluat, jejunet; aut aquæ partes duas, lactis quatuor bibat. Infœcundas fomentis ac medicamentis curato.*

Ἀνεμίην, φλεβοτομίῃ, τῷ φαρμάκῳ τὸν ῥόον ἴσχειν ἐπαλείφων. ὅδε γὰρ ὁ ῥόος, ἐκ τῆς μεγάλης φλεβὸς, ἢν δὲ αὐτόματον ῥέῃ πολλὸν, νηστευέτω, ἢ γάλα δύο ὕδατος, τέσσαρας γάλακτος. τὰς ἀγόνους πυρίῃ καὶ φαρμακεύειν.

Aphoniæ curatio. Defluxio pituitæ unde, qua, & quo ruit. Tussis siccæ, & hydropici tusse agitati curatio.

Ἡ τῆς ἀφωνίης θεραπευσία. ὁ τοῦ φλέγματος ῥόος πόθεν, πῇ, ὅποι. τῆς ξηρῆς βηχὸς, καὶ τοῦ ὑδρωπος τῇ βηχὶ πονοῦντος ἡ θεραπευσία.

C

HIPPOCRATIS TEXTUS IV.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δʹ.

Qui derepente sine febre voce deficiunt, iis vena secanda est. Pituitæ defluxiones ex mammis trahunt oculi, & per nares ad pulmonem eructant. Quibus tussis sicca est, his non solvitur, nisi dolor vehemens ad coxas, aut crura, aut ad testem irruat. Si hydrope laborantem tussis prehenderit, siquidem protinus animo deficiat, calidis omnibus utatur; sin minus, vinum potet, ac cibis impleantur; venas autem interiores secare oportet.

Ὅσοι ἐξαπίνης ἄφωνοι ἀπύρετοι ἔωσιν, φλεβοτομέειν. φλέγματος κατάρροι ἐκ τῶν μαζῶν ἕλκουσιν οἱ ὀφθαλμοὶ, καὶ ἐξερεύγεται κατὰ τὰς ῥῖνας ἐς τὸν πνεύμονα. οἷσι βὴξ ξηρὴ, οὐ λύεται, ἢν μὴ ὀδύνη ἰσχυρὴ ἐς τὰ ἰσχία, ἢ ἐς τὰ σκέλεα, ἢ ἐς τὸν ὄρχιν, ἢ ὑδρωπιῶντα βὴξ ἔχῃ, ἢν μὲν αὐτίκα λειποθυμέῃ, θερμοῖσι πᾶσι διαχρήσθω. ἢν δὲ μὴ, θωρῆξαι, καὶ σιτίων ἐμπλῆσαι. τάμνειν δὲ τὰς εἴσω.

D

Quibus indiciis comitialis, & febris solutio conjicitur: & quibus hydropici morbus malus; & recidiva futura, & pulsans cubiti vena insanum & iracundum, aut stupidum prodere.

Τίσι τοῖς σημείοις ἐπιλέψιος καὶ πυρετοῦ λύσις σημαίνει, καὶ τίσι τὸ ὑδρόπικον νόσημα κακὸν, καὶ ὑποστρέφημα μέλλον, καὶ ἡ φλὲψ σφυζομένη ἐν τῷ ἀγκῶνι, μανικὸν, ἢ ὀξύθυμον σημαίνειν.

HIPPOCRATIS TEXTUS V.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ εʹ.

Magni morbi in vehementia existentis solutio coxarum dolor est, oculorum perversiones, cæcitas, testium tumor, & mammarum elevatio. Si febre detinente faciei partes die impari graciles subsidant, sequenti die solutio expectanda est. Hydropicus si tumorem in cruribus habens tussiat, malum. Si auris doleat, lacte utatur. Nisi die impari febris remiserit, ipsam recidere necesse est. Cui vena in cubito pulsat, insanus & iracundus est; cui vero quiescit, stupidus.

E Τοῦ νοσήματος τοῦ μεγάλου ἐν τάσει γινομένου, λύσις, ἰσχίων ὀδύνη, ὀφθαλμῶν διαστροφαὶ, τύφλωσις, ὀρχίων οἴδησις, μαζῶν ἄρσις, ἢν πυρετοῦ ἔχοντος τὰ περὶ τὸ πρόσωπον ἰσχνὰ ᾖ, ἐν ἡμέρῃ γονίμῳ, τῇ ἐπιούσῃ λύσις. ὕδρωψ ἢν οἴδημα ἔχων ἐν τοῖσι σκέλεσι, βήσσῃ, ἢν τὸ οὖς ἀλγέῃ, τῷ γάλακτι διαχρήσθω, ἢν μὴ ἐν τῇ γονίμῃ μεθῇ ὁ πυρετὸς, ὑποστρέφειν ἀνάγκη. οὗ ἂν ἡ φλὲψ ἡ ἐν τῷ ἀγκῶνι σφύζῃ, μανικὸς καὶ ὀξύθυμος, ᾧ δ' ἂν ἀτρεμέῃ, τυφώδης.

Vulneris sanguinem fundentis, cardialgiæ, vomitus, sideratorum & convulsionis digitorum curatio.

Ἡ τοῦ τρώματος αἱμορραγήσαντος, καρδιαλγίης, ἐμέτου, σφακελιζόντων, καὶ σπασμοῦ τῶν δακτύλων θεραπεία.

F

HIPPOCRATIS TEXTUS VI.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

Si vulnus sanguinem fundat, ne ulcus madefeceris; caput vero calida irrigato. Si cardealgea vexet, panis calidus cum vino meraco exhibendus est. Vomitus solutio, aqua calida potui exhibenda, & vomat. Quæcunque siderantur, intercepta vena ulceranda & curanda est. In digitorum

Τρῶμα ἢν αἱμορραγήσῃ, μὴ βρέχειν τὸ ἕλκος. τὴν κεφαλὴν δὲ βρέχειν θερμῷ, ἢν καρδιώσσῃ, θερμὸν ἄρτον μετ' οἴνου ἀκρήτου διδόναι. ἐμέτου λύσις ὕδωρ θερμὸν διδόναι πίνειν, καὶ ἐμείτω. ὅσα σφακελίζει ἀπολαβόντα τὴν φλέβα ἑλκῶσαι καὶ ὑγιάσαι. σπασμοῦ χειρὸς

δακτύλων δύο πυρετοῦ χάσαι, ἢν μὴ τὴν κεφαλὴν ἀλγέῃ, εἰ δὲ μὴ ὕδωρ θερμὸν καταχεῖν.

manus convulsione citra febrem, scarificandum, si caput non doleat. Sin minus aquam calidam affundito.

Τὸ τῶν ὀφθαλμῶν κολλύριον. ἡ τῆς κεφαλῆς ἄρδεια. φαλακροὺς μανιώδεις μεγάλοις τοῖς κιρσοῖς λύεσθαι. πρὸς δὲ ἀλφοὺς καὶ λέπρην καθαίρειν.

A Collyrium oculorum; capitis irrigatio. Calvos furiosos magnis varicibus solvi. Ad alphos, lepram & secundas purgandas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Ὀφθαλμῶν, σποδίου δωδέκατον, κρόκου πέμπτον, πυρῆνος ἕν, ψιμμυθίου ἕν, σμύρνης, τὸ ὕδωρ κατὰ τῆς κεφαλῆς ψυχρὸν καταχεῖν, καὶ διδόναι σκόροδα σὺν μάζῃ. κιρσοὶ δὲ φαλακρῶν ἢν μὴ μεγάλοι ἔωσι, μανιώδεις. ἀλφοῦ καὶ λέπρης, πιτύρων ἐν ὕδατι ὡς μὴ ἑλκώσῃς. χορίων κάθαρσις, ἢν ὑπερέχῃ πρὸς τὰς ῥῖνας προστιθέναι, ὥστε πτάρνυσθαι, καὶ ἐπιλαμβάνειν τὰς ῥῖνας τοῦ πταρνυμένου, καὶ τὸ στόμα.

HIPPOCRATIS TEXTUS VII.

Ad oculos ℥ spodii partem duodecimam, croci quintam, nuclei olivæ unam, cerussæ unam, myrrhæ unam. Aquam frigidam capiti affundito, & allia cum maza exhibito, calvorum varices nisi magni fuerint, furiosi sunt. Ad alphos & lepram, calcem ex aqua elotam admoveto, ut ne ulceret. Secundarum purgatio, si non emineant. Sternutatorio naribus exposito sternutantis nares & os comprime.



ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΥ II.
ΤΜΗΜΑ ΕΚΤΟΝ.

HIPPOCRATIS
LIBRI II. EPIDEMIORVM
SECTIO SEXTA.

NATVRÆ INDICIORVM NOTIO.

Balbi, iracundi, diuturnæ vitæ, melancholici, biliosi, boni, concinni, physiognomonica.

ΦΥΣΙΟΓΝΩΜΟΝΙΚΟΝ.

A Τῶν τραυλῶν, ὀξυθύμων, μακροβίων, μελαγχολικῶν, κατακορέων, ἐσθλῶν, γλαφυρῶν φυσιογνωμονικά.

HIPPOCRATIS TEXTUS I.

QVibus caput magnum, oculi parvi, ii balbi & iracundi sunt. Quibus plures sunt dentes, ii diuturnæ sunt vitæ. Balbi lingua celeres, melancholici & magnopere biliosi sunt. Oculis non nictantes, iracundi. Quibus caput magnum, oculi nigri & magni, nasus crassus & simus, ii boni existunt. Quibus oculi ravi & magni sunt, caput parvum, cervix tenuis, pectus angustum, concinnam structuram consequuntur. Qui caput parvum sortitur, neque balbus, neque calvus futurus est, nisi glaucus extiterit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α′.

ΗΝ κεφαλὴ μεγάλη, καὶ ὀφθαλμοὶ σμικροὶ, τραυλοὶ, ὀξύθυμοι. οἱ μακρόβιοι, πλείους ὀδόντας ἔχουσιν. οἱ τραυλοὶ, ταχύγλωσσοι, μελαγχολικοὶ, κατακορέες. ἀσκαρδαμύκται, ὀξύθυμοι. μεγάλη κεφαλὴ, ὀφθαλμοὶ μέλανες, καὶ μεγάλοι, ῥῖνα παχεῖαν καὶ σιμὴν, ἐσθλοὶ, χαροποὶ, μεγάλοι, κεφαλὴ σμικρὴ, αὐχὴν λεπτὸς, στήθεα στενὰ, εὐάρμοστοι, κεφαλὴ σμικρὴ, οὐδ' αὖ εἴη τραυλὸς, οὐδὲ φαλακρὸς, ἢν μὴ γλαυκὸς εἴη. B

Convulsionum solvendarum physiognomonicum ac Medicum signum. Puerperæ febricitantis cibus & embroche. Idonea partûs tempora.

C Τὸ τῶν σπασμῶν λυομένων φυσιογνωμονικὸν σημεῖον καὶ ἰατρικόν. λεχοῖς πυρεταινούσης σῖτος καὶ ἐμβροχή. ἐπιτήδειοι οἱ τοῦ τόκου χρόνοι.

HIPPOCRATIS TEXTUS II.

IN convulsionibus si vox die impari solvatur, à magno morbo liberat. Puerperæ febricitanti & dolenti aquam affundito, & ptisanam crassam ter die calidam dato. Puer mense septimo, nono, aut decimo educatur, voce pollet, robur eum sequitur, & manuum compos est. Voce soluta, omnia solvuntur: Solutio nanque voci est similis. At die impari solutio contingit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β′.

ΣΠασμῶν φωνὴ ἐν γονίμῳ λύεται, ἀπήλλακται τοῦ μεγάλου νοσήματος. λεχοῖ δὲ πυρεταινούσῃ, καὶ ἀλγεούσῃ, ὕδωρ καταχεῖν, καὶ πτισάνην παχεῖαν διδόναι τρὶς τῆς ἡμέρης, θερμήν. παιδίον τρέφεται, ἑβδόμῳ μηνὶ, ἢ ἐννάτῳ ἢ δεκάτῳ, καὶ ἵσταται τῇ φωνῇ καὶ ἰσχὺς ἕπεται, καὶ τῶν χειρῶν κρατέει. τῆς φωνῆς λυομένης, πάντα λύεται, ἡ γὰρ λύσις τῇ φθέγξει ὁμοίη. λύεται δὲ ἐν γονίμῃ.

A

Χρονίης τῆς νούσου χωρισούσης τε, καὶ ἀποχωρησούσης τὰ σημεῖα. ἡ τοῦ λαιμοῦ καὶ ταραχῆς γαστρὸς θεραπεία.

Diuturni morbi accessuri, ac discessuri notæ. Gulæ affectæ, & perturbationis alvi curatio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γʹ.

ΗΝ αἱ φλέβες σφύζωσιν ἐν τῇσι χερσὶ, καὶ τὸ πρόσωπον ἐῤῥωμένον, καὶ ὑποχόνδρια μὴ λαπαρὰ ᾖ, χρονίη ἡ νοῦσος γίνεται, ἄνευ σπασμοῦ οὐ λύεται, ἢ αἵματος πολλοῦ ἐκ τῶν ῥινῶν, ἢ ὀδύνης ἐς τὰ ἰσχία τοῦ λαιμοῦ ὕδωρ θερμὸν κατὰ τῆς κεφαλῆς καταχεῖν, ἢν μὴ ψυχρὸς ᾖ· ἢν δὲ μὴ ἄλητον ὡς θερμότατον διδόναι, καὶ οἶνον ἄκρητον. ταραχῆς γαστρὸς, κυάμους ἑφθοὺς διδόναι, ἢν μὴ τὰ ἄνω κατακορέα ᾖ, ἢ κύμινον διδόναι τρώγειν, μετὰ τῶν κυάμων.

HIPPOCRATIS TEXTUS III.

SI vena in manibus pulsent, & facies sana ac robusta fuerit, & hypochondria mollia non extiterint, diuturnus oboritur morbus, qui non absque convulsione, aut sanguinis copiosi ex naribus B *eruptione, aut coxendicum dolore non solvitur. Affecta gula, calida caput perfundendum est, nisi sit frigus; sin minus, farina quamcalidissima & merum exhibenda sunt. In alvi perturbatione, fabas coctas exhibeto, si superiores corporis partes admodum biliosæ fuerint, aut cuminum in fabis edendum dato.*

Ὅταν ἡ τοῦ νόσου ἀπόληψις γίνοιτο, καὶ ἡ ἀρχή. χρῖσμα τὸ ἀνώδυνον. γονίμῳ ἡμέρῃ τὸν θάνατον γίνεσθαι. τὰς ὀδύνας τὸν θάνατον σημαίνειν ἀγαθὸν. τὰ ὄμματα μὴ ἐῤῥωμένα ἐν τάχει θνηξούσιν, τοῦ ἀριθμοῦ τρίτην ἰσχυροτάτην εἶναι. C

Quando fit morbi interceptio, ac principium. Ventris litus anodinus. Impari numero interitum accidere. Mortem dolores prædicere bonum. Oculos infirmos brevi interituros. Tertium numerum validissimum esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δʹ.

Ἀπόληψις δὲ τοῦ νοσήματος οὐκ ἂν γίνοιτο, εἰ μὴ ἐν γονίμῃ ἡμέρῃ. οὐδὲ ἂν ἀρχὴ γίνοιτο, ἢν μὴ ἀγόνῳ ἡμέρῃ καὶ μηνὶ, ἔτι δὲ γονίμῳ. νίτρον Αἰγύπτιον, καὶ κορίανον, καὶ κύμινον τρίβοντα σὺν ἀλείφατι συναλείφειν, ὅσα θνήσκει ἀνάγκη γονίμῳ ἡμέρῃ, καὶ γονίμῳ μηνὶ, καὶ γονίμῳ ἔτει. προλέγειν δὲ ὀρθῶς ἂν ἔχοι θάνατον, ἢ ὀδύνας ἰσχυρὰς, ὧν τὰ ὄμματα μὴ ἔῤῥωται, ὁ θάνατος ἐν τάχει. ἢν δὲ ἐν γονίμῳ ἔτει γίνηται, ἀπ᾽ ἀμφοτέρων γονίμοις ἀνάγκη γίνεσθαι, ἢν δὲ ἀγόνῳ ἔτει, καὶ ἀγόνῳ ἡμέρῃ, θνήσκειν ἀνάγκη γονίμῳ ἡμέρῃ. τοῦ ἀριθμοῦ, τρίτη ἰσχυροτάτη.

HIPPOCRATIS TEXTUS IV.

AT morbi interceptio non nisi die impari continget; neque morbi principium aderit, nisi pari die, mense quoque, & anno pari. Nitrum Ægyptium, & coriandrum & cuminum cum oleo trita ventri illinito. Qui intereunt, eos die impari interire necesse est. Bonum autem fuerit mortem aut vehementes dolores prædicere. D *Quorum oculi robusti non sunt, iis brevi mors aderat. Quod si anno accidat impari, ab utrisque impares fieri necesse est. Sin vero pari anno & die pari fiat, mortem in diem imparem incidere necesse est. Ex numero tertius est validissimus.*

Ἡ τῆς κυνάγχης τε, καὶ ὀφθαλμίης φυλακή. τρωθέντος ἐντέρου τίς ἀναπνοὴ ἔρχεται, ἐκείνῳ ὁ πότος ἐπιτήδειος, ψελλοῦ, μαινιώδεος, φαλακροῦ, ἀσυνέτου ἢ λιθιῶντος φυσιογνωμονικὰ τὰ σημεῖα. E

Anginæ & ophthalmiæ præsidium. Vulnerato intestino qualis inferior respiratio, huic potus idoneus. Balbi, furiosi, calvi, imprudentis aut calculosi physiognomonica signa.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ εʹ.

Κυνάγχην καὶ ὀφθαλμίην, φλεβοτομίη, τρωθέντος ἐντέρου, ἡ ἀναπνοὴ ἔρχεται κάτω ἀφανὴς κατὰ τὸ τρῶμα, καὶ κενοῦται τὰ στήθεα. διδόναι οὖν γάλα καὶ οἶνον ἴσον ἴσῳ, ὧν κατακορέα τὰ στήθεα, ψελλοὶ, μανιώδεες, καὶ φαλακροί. τουτέων ὅσοι ἐκ γενεῆς καὶ στρεβλοὶ, ἀσύνετοι, ἢ λιθιῶντες, ἢ μαινόμενοι, οἷσι δὲ μὴ ἑτέρου κακοῦ λύσιες περὶ φύσιος. F

HIPPOCRATIS TEXTUS V.

ANginam & lippitudinem sanat venæ sectio, vulnerato intestino, respiratio deorsum ad vulnus obscura procedit, & pectus vacuatur. Lac igitur, & vinum pari aquæ potione temperatum exhibeto. Quorum pectus bilem procreat, ii balbi, furiosi, & calvi sunt. Ex his qui ab ortu etiam strabones eduntur, hi sunt imprudentes, aut calculo obnixi, aut insaniunt. Quibus vero hæc non accidunt, naturæ beneficio alterius mali solutio fit.

A

De mammæ dextræ & oculi dextri facultatibus. Profluente in gravida lacte fœtum debilem esse; mammis solidis validiorem fœtum. Unde mammæ profluentiæ sortiantur partem.

Περὶ τῶν τιτθοῦ τε, καὶ ὀφθαλμοῦ δεξιοῦ δυνάμεων, ἢν πολλὸν ῥέῃ γάλα, ἀνάγκη ἀσθενέειν τὸ ἔμβρυον ἐν γαστρί· ἢν στερεώτεροι ἔωσιν οἱ τιτθοὶ, ὑγιηρότερον. ὁπόθεν οἱ τιτθοὶ τὸ τῆς συνέσιος μέρεος ἔχωσι.

HIPPOCRATIS TEXTUS VI.

Plurimam facultatem habet mamma dextra, & oculus dexter; eademque rectitudo in inferioribus partibus. Nam & mares dextris innascuntur. Mulieribus menses ut sistas maximam mammæ cucurbitulam admove. Trimestris fœtus prodit omnia, tuncque magnus est. Si lac copiosum profluat, fœtum debilem esse necesse est. Si solidiores mammæ fuerint, fœtus salubrior est, utraque vero mamma venam crassam habet, quapropter maximam confluentiæ partem sortitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

Δύναμιν πλείστην ἔχει τιτθὸς, ὀφθαλμὸς δεξιὸς, ταῦτα τὰ κάτω, καὶ ὅτι ἐμπέφυκε τοῖσι δεξιοῖσι τὰ ἄρσενα, B γυναιξὶν ἐπιμήνια. ὥστε ἴσχειν, σικύην μεγίστην παρὰ τὸν τιτθὸν προσβάλλειν, τρίμηνον παιδίον πάντα δηλοῖ, καὶ μέγα τότε ἔχει. ἢν πολλὸν ῥέῃ γάλα, ἀνάγκη ἀσθενέειν τὸ ἐν γαστρὶ, ἢν στερεώτεροι ἔωσιν οἱ τιτθοὶ, ὑγιηρότερον τὸ ἔμβρυον, φλέψ ἔχει παχείην ἐν ἑκατέρῳ τιτθῷ. ταῦτα μέγιστον ἔχει μέρεος συνέσιος.

C

Stranguriæ, locis in capite ad humorum excretionem turgentibus, cancro oborto, jactationi, horrori, oscitationi & otalgiæ conferentia præsidia.

Τὰ τῇ στραγγουρίῃ, τοῖς ἄνω χωρίοις σπαργῶσι περὶ τὴν κεφαλὴν, καρκίνῳ γινομένῳ, ἀῤῥιπτασμῷ τῇ φρίκῃ, χάσμῃ, καὶ ὠταλγίᾳ συμφέροντα φάρμακα.

HIPPOCRATIS TEXTUS VII.

Stranguriam solvit venæ sectio. Si loci qui ad caput sunt superiores, ad humorum excretionem turgeant, iis ulcerum purgatio, vomitus, & sudor conferunt. Ab alvi perturbatione, aut tussi cancro oborto os amarescit. Elaterium bis, terve propinato, nisi balbus fuerit. Aëris florem ustum dum rufescat, & spongiam admovere oportet, nisi balbus extiterit. Anxietudini, jactationi, horrori, & oscitationi vinum pari aquæ portione temperatum, aut lac exhibeatur. Ad auris dolorem gravissimum cucurbitula affigenda est.

Στραγγουρίην λύει φλεβοτομίη, ἢν τὰ ἄνω χωρία σπαργᾷ, τὰ περὶ τὴν κεφαλὴν ἰχώρων κάθαρσις, ἔμετος, ἱδρώς. ἀπὸ γαστρὸς ταραχῆς, ἢ ἀπὸ βηχὸς, καρκίνου γινομένου, τὸ στόμα πικραίνεται. διδόναι δὲ πίνειν ἐλατήριον δὶς ἢ τρὶς, ἢν μὴ ψελλὸς ᾖ. ἐπιδεῖν δεῖ, χαλκοῦ ἄνθος καύσας, ἕως ἂν πυῤῥὸν ᾖ, καὶ σπογγίην ἢν μὴ ψελλὸς D ᾖ, ἀλύκης, φρίκης, χάσμης, οἶνος ἴσος ἴσῳ, ἢ γάλα. ὠτὸς περιωδυνίην σικύην προσβάλλειν.

Superiorum partium dolores inferioribus solvi. Volvuli, tensi hypochondrii, oreduniæ curatio.

Ἡ τῶν ἄνω μερέων ὀδυνέων ἡ κάτω λύσις. εἰλεοῦ ὑποχονδρίου, τοῦ τεταμένου θεραπεία.

HIPPOCRATIS TEXTUS VIII.

Quancunque partium superiorum dolorem, genuum aut coxendicum dolor, aut anhelatio oborta hac omnia solvit. In volvulo molli frigidum vinum copiosum & meracum prout congruit, exhibendum, quoad somnus, aut crurum dolor obortus fuerit. Solvit autem & febris & dysenteria citra dolorem, si hypochondrium contensum fuerit, id manu comprimendum ac lavandum. Ad reduviam galla nigra cum melle profuit. Aqua invadente lactis heminas octo bibendas dato. Quòd si vomat, neque potet, myrtætum acre dato. Quo mulier in utero concipiat, polypos parvos in primis assatos quamvalidissimos, & propè semiustulatos esui dato; atque nitrum Ægyptium tritum, coriandrum & cuminum in pastillos efformato, & in pudendum subdito.

E Ὅτι ἂν τῶν ἄνω πονέῃ, ὀδύνη ἐς τὰ ἰσχία, ἢ ἐς τὰ γούνατα, καὶ ἄσθμα λύει πάντα τουτέων γινόμενον. εἰλεοῦ λαπαροῦ, ψυχρὸν οἶνον πολλὸν ἄκρητον κατὰ λόγον διδόναι, ἔστ᾽ ἂν ὕπνος, ἢ σκελέων ὀδύνη γένηται. λύει δὲ καὶ πυρετὸς, καὶ δυσεντερίη ἄνευ ὀδύνης. ἢν ὑποχόνδριον τεταμένον ᾖ, πιέζειν τῇ χειρὶ καὶ λούειν. παρωνυχίης κηκὶς μέλαινα ἐν μέλιτι. ὕδατος ἐφιεμένου, γάλακτος ὀκτὼ κοτύλας δοῦναι πιεῖν. ἢν δὲ ἐμέῃ, καὶ μὴ πίνῃ μυρτωτὸν δριμύ. ὥστε ἔχειν γυναῖκα ἐν γαστρὶ, πωλύπια ὑπὸ φλογὸς ὀπτῶντα ὡς θερμότατα καὶ πλεῖστα ἡμί- F φλεκτα διδόναι τρώγειν καὶ τρίψαντα λίτρον αἰγύπτιον, καὶ κορίανον καὶ κύμινον ἐς κόλλικας ποιοῦντα προστιθέναι ἐς τὸ αἰδοῖον.

Τοῦ τῆς κεφαλῆς ἀλγήματος ἀπὸ τῆς ἐκκραιπάλης, ἢ τοῦ τε πυρετοῦ ἐπὶ πόνου γεγενημένου θεραπεία, τὸ αἷμα συλλεγόμενον ἐν τιτθοῖς τὴν μανίαν σημαίνειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θʹ.

ΗΝ ἐκκραιπάλης κεφαλὴν ἀλγέῃ, οἴνου ἀκρήτου κοτύλην πιεῖν. ἢν δὲ ἄλλως κεφαλὴν ἀλγέῃ, ἄρτον ὡς θερμότατον σὺν οἴνῳ ἀκρήτῳ ἐσθίειν, ἢν ἄνθρωπον θέρμη ἔχῃ μὴ ἀπὸ χολῆς, μηδὲ ἀπὸ φλέγματος, ἀλλ' ἢν ἀπὸ κόπου, ἢ ἄλλως πυρεταίνῃ, ὕδωρ θερμῆναι πολλόν. ἔπειτα καταχέων τὴν κεφαλὴν βρέχειν, μέχρις ἂν τοὺς πόδας ὑδρώσῃ, καὶ ἄλητον ἕψεσθαι ὡς παχύτατον. ἐπὴν δὲ ἱδρώσῃ τοὺς πόδας, ἄλητον ὡς πλεῖστον καὶ θερμότατον ἐσθίων, καὶ οἶνον ἄκρητον ἐπιπίνων, περιειλάμενος ἱματίοις, ἀναπαυέσθω εὐκόπως, ἢ μὴν ναρκίσσου δύο ἢ τρεῖς κεφαλὰς ἐπὶ τῷ δείπνῳ ἐσθιέτω. τῷ μέλλοντι μαίνεσθαι τόδε προσημαίνει τὸ σημεῖον, αἷμα συλλέγεσθαι αὐτῷ ἐπὶ τοὺς τιτθούς.

Doloris capitis à crapula, & febris à lassitudine ortæ curatio. Sanguinem in mammis collectum maniæ prænuncium esse.

HIPPOCRATIS TEXTUS IX.

SI ex crapula caput doleat, vini meraci heminam bibat. Si vero aliter caput doleat, panis quamcalidissimus cum vino meraco edendum est. Si hominem calor prehenderit non à bile, neque à pituita, sed aut à lassitudine aut alia causa febricitet, calida copiosa affusa caput irrigato, quoad pedes sudaverint, farinamque crassissimam coquito. Quum autem pedes sudaverint, farinam plurimam & calidissimam edat mero superbibito, & stragulis coopertus placidè quiescat, aut certè narcissi duo aut tria capita in cœna edat. Qui in maniam lapsurus est, ipsi hoc signum præsagit, in mammis sanguinem colligi.





ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ
ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ,
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ
ΥΠΟΜΝΗΜΑΤΑ ΤΡΙΑ.

HIPPOCRATIS
EPIDEMIORVM
LIBER TERTIVS,
ET GALENI IN EVM
COMMENTARII TRES.

ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.
ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Τὸ βιβλίον τοῦ Ἱπποκράτους νόμιμον, εἰς τρία τὰ τμήματα διῃρημένον, καὶ τρισὶ τοῦ Γαληνοῦ ὑπομνήμασιν ἐξηγήθη. Τὸ μὲν πρότερον τῶν τριῶν ἀῤῥώστων. Δεύτερον δὲ τῶν ἐννέα. Τὸ δ' ὕστερον τῶν ἑκκαίδεκα ἱστορίας τε, καὶ τὴν κατάστασιν νοτινὴν, καὶ ὑγρὰν, καὶ λοιμικὴν περιλαμβάνει.

COMMENTARIVS PRIMVS.
ARGVMENTVM LIBRI.

Liber Hippocratis legitimus in tres sectiones divisus, & tribus Commentariis Galeni explicatus est. Prior trium ægrotantium; altera novem; posterior sexdecim historias, ac statum austrinum humidum, ac pestilentem complectitur.

A





ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

Ἡ τῆς ἱστορίας τοῦ Πυθίωνος ἀρρώστου πρώτου ἀρχὴ, οὗ τὸν Ἱπποκράτην σολοικισμοῦ αἰτιᾶται Γαληνός.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

ΑΡΡΩΣΤΟΣ α'.

ΠΥθίων, ὃς ᾤκει παρὰ Γῆς ἱερόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΡογεγράφθαι νοήσας αὐτὸ καθ᾽ ἑαυτὸ, Πυθίων ὃς ᾤκει παρὰ Γῆς ἱερὸν, ἐπ᾽ ἄλλης ἀρχῆς τῶν γινομένων αὐτῷ τὴν διήγησιν ἀναγίνωσκε. βέλτιον γὰρ οὕτως ἡγεῖσθαι γεγράφθαι τὴν ῥῆσιν, ἢ τὸ σχῆμα σόλοικον ἐξεπίτηδες εὐθέως ἐν ἀρχῇ πεποιῆσθαι τὸν Ἱπποκράτην, μηδὲν ἄλλο τοιοῦτον σχῆμα καθ᾽ ὅλον τὸ βιβλίον γράψαντα, μήτ᾽ ἐν τῇ τῶν ἀρρώστων, μήτ᾽ ἐν τῇ τοῦ λοιμοῦ διηγήσει· τινὲς μέντοι κατὰ δοτικὴν πτῶσιν ἔγραψαν, Πυθίωνι ὃς ᾤκει παρὰ Γῆς ἱερὸν, ἐκφυγεῖν τὴν περὶ τοῦ σολοικισμοῦ ζήτησιν βουλόμενοι.

Δύο συμπτώματα ἅμα τῷ πυρέττειν ὀξέως τῷ Πυθίωνι γεγενῆσθαι τὸν τρόμον τε καὶ τὴν παραφροσύνην. Ποικίλας εἶναι τὰς παραφροσύνας τοῖς ποικίλοις ὀνόμασιν ἐξηγηθείσας. Αἱ τοῦ ὀξέως πυρετοῦ, καὶ τρόμου, καὶ τῆς παραφροσύνης αἰτίαι. Τῷ Πυθίωνι τὴν κατὰ πρώτην ἢ δευτέραν ἡμέραν φλεβοτομίαν ποιηθησομένην γενέσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

ΗΡξατο τρόμος ἀπὸ χειρῶν τῇ πρώτῃ, πυρετὸς ὀξὺς, λῆρος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗι πρώτῃ τῶν ἡμερῶν εὐθὺς ἅμα τῷ πυρέττειν ὀξέως, δύο συμπτώματα γενέσθαι φησὶ τῷ Πυθίωνι, τρόμον τῶν χειρῶν, παραφροσύνην τέ τινα βραχεῖαν. εἴωθε γὰρ αὐτὸς ἄλλοτε ἄλλοις ὀνόμασιν ἐνδείκνυσθαι τὸ ποσὸν τῆς παραφροσύνης, ληρῆσαι καὶ παραληρῆσαι, καὶ παραφρενῆσαι, καὶ παρενεχθῆναι λέγων, ἢ πάλιν παρακόψαι, καὶ ἐκστῆναι, μανῆναί τε, καὶ ἐκμανῆναι. εἴπερ οὖν ἐλήρησεν ὁ Πυθίων, εὔδηλον ὅτι μετρίως παρεφρόνησεν· ἐμάθομεν δὲ, τοῦ μὲν τρόμου τὴν αἰτίαν, ἀρρωστίαν εἶναι τῆς κατὰ τοὺς μῦς δυνάμεως. παραφροσύνην δὲ γίνεσθαι, βλαβέντος ἐγκεφάλου κατὰ φλεγμονὴν, ἢ πλεονεξίαν χολώδους χυμοῦ· τὸν δὲ ὀξὺν πυρετὸν ἕπεσθαι σηπεδόσι χυμῶν. εἰ μὲν οὖν καὶ τὰ προηγησάμενα τῆς νόσου καθάπερ ἐπ᾽ ἄλλων ἔγραψεν, οὕτω κἀπὶ τοῦ Πυθίωνος ἐγεγράφει, τάχα ἂν ἐξ ἐκείνων ἂν ἡμῖν ἔνδειξίς τις ἐγένετο τῆς κατασκευῆς τοῦ νοσήματος. ἐπεὶ δὲ οὐ προστέθηκεν ἐξ ὧν προσέγραψεν μόνων, καὶ ἡμεῖς πειρασόμεθα τὴν εὕρεσιν αὐτῆς ποιήσασθαι, σὺν τῷ κἀξ αὐτοῦ τοῦ μηδὲν γράψαι περὶ τῶν προηγησαμένων τῆς νόσου, γίνεσθαι τὴν ἔνδειξιν τῆς ἐν τῷ σώματι διαθέσεως. εἴτε γὰρ ἐκ γυμνασίων

SECTIO PRIMA.

Historiæ Pythionis ægri primi exordium, ubi Hippocratem solœcismi arguit Galenus.

B

HIPPOCRATIS TEXTUS I.

ÆGROTUS PRIMUS.

PYthio qui prope Telluris ædem habitabat.

GALENI COMMENTARIUS.

QUum hunc textum per se priùs scriptum intellexeris, *Pythio qui prope Telluris ædem habitabat*, initio altero eorum quæ ipsi contigerunt, historiam lege. Satius siquidem est existimare ita scriptam esse dictionem, quàm statim per initia figuram solæcam consultò Hippocratem commisisse: quum nullam aliam hujusmodi figuram toto in libro, neque in ægrorum, neque in pestis narratione scriptis mandaverit: quidam tamen in dandi casu scripserunt, *Pythioni qui prope Telluris ædem habitabat, quòd de solœcismo quæstionem effugere velint.* C

Duo symptomata Pythioni cum acuta febre accidisse, tumorem ac delirium. Varias esse desipientias variis nominibus explicatas: Acutæ febris, tremoris, ac delirii causæ. Pythioni primo, aut secundo die venæ sectionem celebrandam fuisse. D

HIPPOCRATIS TEXTUS II.

CÆpit primo die tremor à manibus, febris acuta, delirium.

GALENI COMMENTARIUS.

E PRimo statim die Pythioni unà cum acuta febre duo symptomata manuum tremorem, & levem quandam insipientiam fuisse pronunciat. Quantum enim insipientiæ aliàs aliis nominibus ipse deferre consuevit, quum *nugari, delirare, desipere, dementem esse loquitur: aut rursus vesanire, furere, insanire, mente consternari* Si igitur deliraverit Pythio, eum mediocriter desipuisse constat. At verò tremoris causam, facultatis musculorum infirmitatem esse didicimus. Insipientiam vero fieri, oblæso ab inflammatione, aut biliosi humoris abundantia cerebro. Acutam denique febrem humorum putredinem comitari. Si itaque quæ morbum F præcesserunt, quemadmodum in aliis scripsit, in Pithyone scripsisset, ex illis forsan indicatio quædã præparationis ad morbum nobis fuisset. Quia vero non adjecit iis solis quæ ascripsit, nos quoque ipsius inventionem conficere tentabimus, quum ex eo quod nihil de iis quæ morbum præcesserunt scripserit, fiat affectionis corporis significatio. Sive enim ex intempestivis

exercitationibus, aut potu, aut Venere, prout scribere consuevit, sive ex alio quodam quod à consueta victus ratione permutatum sit, febricitare cæpisset Pythio, hoc enunciare non omisisset. Patet igitur longo tempore morbi structuram sensim paratam fuisse. Quum itaque tremores, cujusque sententia, causam continentem facultatis imbecillitatem sortiantur: illa autem imbecilla reddatur, aut propria ratione, aut ob opprimentem facultatem. Qui vero tremor læsio facultatis comes est, nequaquam in morbi fit principio citra validam ægrotationem, aut famem, aut lassitudines, aut vigilias, aut curas, ad hæc præterea immoderatam Venerem. quorum si quid factum fuisset, id ipsum Hippocrates in textu, ut consuevit, planè memorasset. Quia vero nihil tale scripsit, vires gravari plenitudine conjecisse consentaneum est. Quod autem tum manuum tremores essent, suorum nervorum ex cervicis medulla ortum habentium; tum vero quod homo deliraret, id indicium est cerebrum etiam ipsum jam pravum quendam humorem excipere. Oportebat igitur Hippocratem intellexisse hominem periculosè laborantem ad venæ sectionem accedere, aut primo die, si nullus incoctus cibus in ventre contineretur, aut prorsus secundo; atque etiamnum magis quod à primi diei expositione ipse scripserit.

A ἀκαίρων, ἢ πότων, ἢ ἀφροδισίων, ὡς εἴωθε γράφειν, εἴτ' ἐξ ἄλλου τινὸς ἐξηλλαγμένου πολὺ τῆς συνήθους διαίτης, ἤρξατο πυρέττειν ὁ Πυθίων, οὐκ ἂν εἰπεῖν αὐτὸ παρέλιπεν. εὔδηλον οὖν ὅτι κατὰ πολλοῦ χρόνου λεληθότως ἡ κατασκευὴ τοῦ νοσήματος ἐγένετο. τῶν τοίνυν τρόμων, τῶν μὲν, ὡς ἂν εἴποι τις, αἰτίαν ἐχόντων συνεκτικὴν ἀῤῥωστίαν τῆς δυνάμεως. ἀῤῥωστούσης δ' αὐτῆς, ἤτοι κατὰ τὸν ἴδιον λόγον, ἢ διὰ πλῆθος βαρῦνον, ὁ μὲν τῇ βλάβῃ τῆς δυνάμεως ἑπόμενος τρόμος, οὐδέποτ' ἐν ἀρχῇ νόσου χωρὶς ἰσχυρᾶς B νοσήσεως, ἢ λιμοῦ ἢ κόπων, ἀγρυπνιῶν τε φροντίδων, ἔτι τε πρὸς τούτοις ἀφροδισίων ἀμέτρων, ὧν εἴπερ ἐγένετό τι, πάντως ἂν ὁ Ἱπποκράτης ἐμνημόνευσεν αὐτοῦ, κατὰ τὴν γραφὴν, ὡς εἴωθε. ἐπεὶ τοίνυν οὐδὲν ἔγραψε τοιοῦτον, διὰ πλῆθος ὑπολαβεῖν, εὔλογόν ἐστι, βαρύνεσθαι τὴν δύναμιν. ἐπεὶ δ' οἵ τε τρόμοι περὶ τὰς χεῖρας ἐγίνοντο, τῶν ἀρχὴν τῶν νεύρων ἐκ τοῦ κατὰ τὸν τράχηλον ἐχούσας νωτιαίου, ἔκ τε τοῦ ληρῆσαι τὸν ἄνθρωπον, ἔνδειξίς ἐστιν οὖν καὶ τὸν ἐγκέφαλον αὐτὸν ἤδη τινὰ δέχεσθαι μοχθηρὸν χυμόν. ἐχρῆν οὖν ἐννοήσαντα τὸν Ἱπποκράτην κινδυνωδῶς ἔχειν τὸν ἄνθρωπον ἐπὶ C φλεβοτομίαν ἐλθεῖν, ἤτοι κατὰ τὴν πρώτην ἡμέραν, εἰ μηδὲν ἄπεπτον ἐν τῇ γαστρὶ περιείχετο σιτίον, ἢ πάντως γε κατὰ τὴν δευτέραν. ἔτι δὲ μᾶλλον, ὅτι μετὰ τὴν τῆς πρώτης ἡμέρας διήγησιν αὐτὸς ἔγραψε.

In morbi incremento omnia exacerbari. Pythioni venæ sectionem octavo die celebratam fuisse ab Hippocrate, præcedentibus tamen diebus omissam non fuisse.

Κατὰ τὴν τοῦ νοσήματος ἐπίδοσιν πάντα παροξύνεσθαι. τὸν τῇ ὀγδόῃ Πυθίωνα φλεβοτομηθῆναι παρὰ τοῦ Ἱπποκράτους. Κατὰ τὰς δέ γε προειρημένας ἡμέρας μὴ παραλελεῖφθαι.

HIPPOCRATIS TEXTUS III.

»*Secundo die omnia exacerbata sunt.*

D ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Δευτέρῃ, πάντα παρωξύνθη.

GALENI COMMENTARIUS.

Proditur enim morbus incremento non ut parvus, neque ex vulgari ortus affectione, imo tum ipse magnus est, tum causam minimè spernendam sortitur. quoniam vero non in Pythione solùm, verumetiam in aliis multis ægris qui venæ sectione indigere videntur, ipsam, prout nos de ejus scriptis conjicimus, adjecisse non reperitur: ex duobus alterum animo conjicere necesse est, aut illis hominibus venæ sectionem celebratam non fuisse, aut hujus præsidii narrationem esse prætermissam: quod autem indigentium nemini venam secuerit, credibile non est, quum ille vir hoc remedium commendaverit, ut in germanissimis operibus tum aphorismis, tum libris de acutorum victu, tum in libro de articulis, atque in hoc ipso Epidemiorum Tertio declaravit, quum de quodam ægroto scriberet. Octavo die cubitum secui, & copiosus sanguis, prout oportebat, fluxit: quum enim octavo ipso die illi venam secuerit, multo sanè magis præcedentibus diebus ipsum hoc auxilio usum esse constat: quod autem in singulis ægrotis non scripserit quibus id auxilium adhibitum est, quum eo minorum etiam adusque balani suppositionem, mentionem fecerit, incredibile est: Ergo si utrinque oratio absurda sit, minus absurdum deligen-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φαίνεται γὰρ αὐξανόμενον, ὡς οὐ σμικρὸν οὐδ' ἐπὶ τῇ τυχούσῃ διαθέσει τὸ νόσημα γεγονός, ἀλλ' αὐτό τε μέγα, καὶ τὴν αἰτίαν οὐκ εὐκαταφρόνητον ἔχον. ἐπεὶ δ' οὐκ ἐπὶ Πυθίωνος μόνον, ἀλλὰ καὶ πολλῶν ἄλλων ἀῤῥώστων φαινομένων δεῖσθαι E φλεβοτομίας, ἐξ ὧν αὐτὸς ἔγραψε, τεκμαιρομένοις ἡμῖν, οὐχ εὑρίσκεται προσγεγραφὼς αὐτὴν, ἀναγκαῖόν ἐστι. δυοῖν θάτερον ὑπονοεῖν, ἢ μὴ φλεβοτομηθῆναι τοὺς ἀνθρώπους ἐκείνους, ἢ παραλελεῖφθαι τὴν διήγησιν τοῦ βοηθήματος. τὸ μὲν οὖν μηδένα τῶν δεηθέντων αὐτοῦ φλεβοτομηθῆναι, τῶν ἀπιθάνων ἐστὶν, ὡς στέργοντος ἀνδρὸς τὸ βοήθημα τοῦτο, καθάπερ ἐν τοῖς γνησιωτάτοις ἐδήλωσε βιβλίοις, ἀφορισμοῖς τε, καὶ περὶ διαίτης ὀξέων, καὶ τῷ περὶ ἄρθρων, F ἐν αὐτῷ τε τούτῳ τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐπί τινος ἀῤῥώστου γράψας. ὀγδόῃ ἀγκῶνα ἔτεμον, ἐῤῥύη πολὺ ὡς ἔδει. ὅπου γὰρ ὀγδοαῖον αὐτὸν ἐφλεβοτόμησε, πολὺ δήπου μᾶλλον ἐν ταῖς προειρημέναις ἡμέραις εὔδηλός ἐστι χρώμενος τῷ βοηθήματι. τότε μὴ γράψαι καθ' ἕκαστον ἄῤῥωστον ἐφ' ὧν προσήχθη τὸ βοήθημα, τῶν σμικροτέρων αὐτοῦ μνημονεύοντα, μέχρι καὶ βαλάνου προσθέσεως ἀπίθανόν ἐστιν. εἰ τοίνυν ἀτόπου τοῦ λόγου καθ' ἑκάτερον ὄντος, ἑλέσθαι χρὴ τὸ ἧττον

ἄτοπον. ἡγοῦμαι παραλελῆφθαι μὲν καὶ ἐπὶ πολλῶν τὸ βοήθημα, παραλελεῖφθαι δ' ὡς σαφὲς ἐν τῇ διηγήσει. καί με προσάγει τοῦτο μάλιστα τὸ προγεγραμμένον ἐπὶ τοῖς φλεβοτομηθεῖσι ταῖς ὀγδόαις. φαίνεται γὰρ ὡς ἀσύνηθες μὲν τοῦτο γράψας, ὡς συνήθες δὲ τὸ πρὸ τῆς ὀγδόης παραλιπών. εἰ γὰρ ἔν γε τοῖς γνησίοις συγγράμμασιν ἐπὶ τῶν μεγάλων νοσημάτων ἀεὶ χρῆται τῇ φλεβοτομίᾳ, συνεπιβλέπων αὐτῇ, δύο ταῦτα μόνα, τήν θ' ἡλικίαν, καὶ τὴν δύναμιν τοῦ κάμνοντος, ἔν τε τούτοις αὐτοῖς τῶν ἐπιδημιῶν ὀγδοαῖόν τινα φλεβοτομηθῆναί φησι, οὐδὲν ἄλλο δυνατὸν ἐπινοῆσαι ἐστὶν ἢ ὅτι παρελήφθη μὲν ἐπὶ τῶν καμνόντων τὸ βοήθημα, παρελείφθη δ' ὡς σαφὲς ἐν τῇ διηγήσει. περὶ μὲν δὴ τῆς φλεβοτομίας, ἐπεὶ κοινὸς ὁ λόγος ἁπάντων τῶν ἀρρώστων ἐστὶν, ἅπαξ ἀρκέσει λελέχθαι, καθάπερ καὶ τἄλλα ὅσα κοινά. περὶ δὲ τῶν ἰδίων, καθ' ἕκαστον ἡ ἐξήγησις ἔσται, τὴν ἀρχὴν ἀπὸ τοῦ Πυθίωνος, ὡς ἐνεστησάμεθα, ποιησαμένοις ἡμῖν.

A dum est. Equidem existimo auxilium in multis adhibitum esse, sed in narratione tanquam manifestum prætermissum fuisse. quò me potissimum adducit quod priùs scriptum est in eos quibus octavo die venæ sectio facta est. Videtur siquidem hoc tanquam rarum scripsisse: sed tanquam consuetum ante diem octavum prætermisisse. Nam si in legitimis operibus, magnis morbis vexantibus, venæ sectione perpetuo utatur, simul cum ea hæc duo sola respiciens, ægrotantis tum ætatem, tum vires: his B etiam ipsis in Epidimiorum libris cuidam octavo die sectam esse venam pronuntiat. At nullum aliud constitui potest, quàm quod in ægris curandis usurpatum sit remedium, sed id tanquam dilucidum in historia prætermissum est. Itaque de venæ sectione quod ægris omnibus communis sit oratio, semel dixisse sufficiet, quemadmodum & quibuscunque communibus cæteris. De propriis autem nobis singulorum erit explicatio, exordium à Pythione, ut instituimus, ducturis.

C

Τὰ τῷ Πυθίωνι ἀπὸ τῆς ἕκτης ἡμέρας γενόμενα συμπτώματα ἐξηγεῖται ὁ Γαληνός. Πότερον τοῖς ἄλλοις, ἢ μόνοις πλευριτικοῖς, ἢ περιπνευμονικοῖς τὰ πτύελα ὑπέρυθρα ᾖ. ἄπεπτον εἶναι τὸ νόσημα ἕως οὗ τὸ οὖρον πυρρόν τε καὶ λεπτὸν εἴη. διὰ τὴν ἀπεψίαν τὰς τῶν νοσημάτων κρίσεις μὴ τελέως γίνεσθαι. τὰς κρίσεις τῇ δεκάτῃ μὴ βεβαίως γίνεσθαι. ἡ τῶν ἐναιωρημάτων ἐπινεφῶν ἐξήγησίς τε καὶ προγνώσεως, δι' ὧν μήπω τετελεσμέναι αἱ κρίσεις σημαίνονται. ἡ στραγγουρία κατ' ἀπόστασιν ὅθεν. ἡ τοῦ στόματος διαστροφὴ τῇ ἑβδόμῃ γενομένη πόθεν; τί τρόμος; τὰς τούτου τρεῖς αἰτίας εἶναι. Τὸν Πυθίωνα μὴ διὰ τὴν ἀφροδισίων ἀποχὴν νοσῆσαι.

Quæ Pythioni à sexto die contigerint symptomata explicat Galenus. Utrum aliis quàm solis pleuriticis aut peripneumonicis sputa subrubra sint. Crudum esse morbum quoad fulva, tenuisque urina fuerit. Ob cruditatem morborum judicia integrè non fieri. Decimo die judicia non integra fieri. Enæorematum nubilosorum explicatio, & prognosis, quibus imperfecta judicia significantur. Stranguria per abscessum unde. Oris distortio D septimo die facta unde. Quid tremor, ejus causas tres esse. Pythionem non ob Veneris abstinentiam ægrotasse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Τρίτῃ τὰ αὐτά. τετάρτῃ, ἀπὸ κοιλίης ὀλίγα ἄκρητα, χολώδεα διῆλθε. πέμπτῃ πάντα παρωξύνθη, τρόμοι παρέμενον, ὕπνοι λεπτοὶ, κοιλίη ἔστη. ἕκτῃ, πτύελα ποικίλα, ὑπέρυθρα. ἑβδόμῃ στόμα παρειρύσθη. ὀγδόῃ πάντα παρωξύνθη, τρόμοι καὶ πάλιν παρέμενον. οὖρα δὲ κατ' ἀρχὰς μὲν, καὶ μέχρι τῆς ὀγδόης, λεπτὰ, ἄχροα, ἔχοντα ἐναιώρημα ἐπινέφελον. δεκάτῃ ἵδρωσε, πτύελα ὑποπέπονα, ὑπεκρίθη, οὖρα ὑπόλεπτα περὶ κρίσιν. μετὰ δὲ κρίσιν τεσσαρακοστῇ ἡμέρῃ ὕστερον, ἐμπύημα περὶ ἕδρην, καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις.

HIPPOCRATIS TEXTUS IV.

Tertio eadem. Quarto ab alvo pauca, sincera, & biliosa dejecta sunt. Quinto omnia exacerbata sunt, tremores manebant, somni exiles, alvus constitit. Sexto sputa varia & aliquantulum rubra. Septimo os distortum est. E *Octavo proritata sunt omnia, tremoresque rursum permanebant: urinæ circa principia quidem etiam ad octauum usque diem tenues, decolores quæ enæorema nubilosum sortiebantur. Decimo sudavit; sputa paulùlum cocta; prope judicatus est, urinæ circa judicationem subtenues. Quadragesimo à judicatione die, postea suppuratio circa sedem, & stranguriosus abscessus factus est.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ μὲν ἄλλα τῆς ῥήσεως, συμπτωμάτων ἔχει διήγησιν, καὶ τῇ λέξει, καὶ τῇ διανοίᾳ σαφῆ. πολλάκις γὰρ εἴωθε γίνεσθαι τοῖς ὀξέως νοσοῦσι, καὶ μεμαθήκαμεν αὐτῶν τὰς δυνάμεις κατὰ τὸ προγνωστικὸν, καὶ τὸ πρῶτον αὐτῶν τούτων τῶν ἐπιδημιῶν. εἴρηται δ' οὐκ ὀλίγα κἀν τῷ δευτέρῳ χρήσιμα πρὸς τὴν ἐπὶ τῶν ἀρρώστων ἐξήγησιν. ἐπεὶ δὲ ὁ κατὰ τὴν ἕκτην ἡμέραν διηγήσεως εἰπὼν πτύελα ποικίλα ὑπέρυθρα, μὴ προσθεὶς δὲ, μήτε πλευριτικὸν τὸν Πυθίωνα, μήτε περιπνευμονικὸν γεγονέναι, ζήτησιν ἡμῖν ὑπελίπετο, πότερον καὶ ἄλλως δύναται γίνεσθαι τοιαῦτα πτύσματα τοῖς νο-

GALENI COMMENTARIUS.

Cætera quidem hujus orationis, symptomatum narrationem habent tum dictione, F tum sententia conspicuam; quorum vires & in prognostico, & in horum ipsorum Epidemiorum primo didicimus. Non pauca etiam in secundo ad ægrorum explicationem utilia pronuntiata sunt. At quum in eorum quæ sexto die contigerunt, narratione sputa varia & aliquantulum rubra protulit, neque Pythionem pleuriticum, neque peripneumonicum fuisse addidit, quæstionem nobis reliquit, utrum & aliàs hujusmodi sputa fieri queant acuto mor-

bo laborantibus, an solis peripneumonicis & pleuriticis; videturque arbitrari etiam aliàs contigisse, confluentibus quidem in pulmonem pravis humoribus, sed prorsus ita paucis, ut viscus non inflammetur. Quod enim neque peripneumonicus, neque pleuriticus fuerit Pythio, inde patet, quod neque meminerit, neque nominatim hujusmodi affectiones produxerit Hippocrates; imo nec ullum earum inseparabile symptoma. Nam vel doloris lateris, vel difficultatis spirandi mentionem fecisset. Non tamen ab affecto capite talia sputa aliquando visa sunt; cum tussi verò, spirandi difficultate, & lateris dolore hujusmodi sputa nonnunquam conspiciuntur. Atque duos quosdam vidi citra febrem qui talia sputa colore pallida cum tussi expuerint, verùm alterum quidem paulatim parvis febriculis obortis in diuturnum tempus affectio prorogata permanentibus febribus tabidum hominem prodidit; alterum verò absque febre, quum talia paucis deinceps diebus expuisset, nihil absurdi consequutum est. Itaque in primis thoracis partibus quibus cum ultimis cervicis vertebris conjungitur, aliquam humorum affluentiam non multam constitisse par est, quâ spirandi difficultas non excitaretur, quòd ad respirationis functionem primum intercostale spatium nihil quod manifestum sit, conferat. Quum autem in ipsis nervorum ad manus procedentium radicibus affectio oborta sit, nervique degraventur, tremulas fecisse manus consentaneum est. Ex primo namque intercostali spatio, & superjacentibus vertebris nervi musculorum motores enascuntur. Hæc autem testantur, & quòd tremores unà cum sputis quæ supervenerant, permanserint; & quod ubi aliquod concoctionis signum apparuit, non amplius facti sunt tremores, morbusque sublatus sit, judicio per sudores consequuto: & quanvis urinæ crudæ essent, sputorum concoctio judicavit, judiciumque attulit, ut neutrum quod judicare consuevit, signum fefellerit. Quum enim duplex esset ægrotanti affectio, vna quidem febrilis ex iis quæ in venis continentur humoribus; altera verò in thorace nuper enunciata priorem contigit sudoribus non plane sedari, quod adhuc incocta esset; alteram vero remitti, quòd in thorace nihil prorsus mansisset residui. Itaque sic scribit. *Decimo sudavit, sputa paululum cocta, prope judicatus est, urina circa judicationem subtenues.* quum ostendit quæ in prognostico de tenuibus urinis quæ geminæ sunt, scripsit. Primæ quidem hæ sunt; *Quoad autem urina fulva, tenuisque fuerit, crudus erit morbus.* Alteræ vero hæ; *Qui urinas tenues & crudas diuturno tempore meiunt, & quæ cætera ut superfuturis signa sunt, his abscessum ad regiones septo transverso inferiores expectare oportet.* Quapropter ad eorum quæ Pythioni acciderunt finem ad verbum ita scripsit; *Quadragesimo autem à judicatione die, postea suppuratio circa sedem & stranguriosus abscessus factus est.* Quia vero & tremoris manuum & delirii primo statim die meminit, & in sequentibus scripsit; *Omnia exacerbata sunt*; atque adjecit; *Septimo os distortum est*, definiendum est utrum increscente cerebri malo, aut deorsum translato, os detractum sit. Atqui ex sequentibus ad inferiores regiones

A οὖσιν ὀξέως, ἢ μόνοις τοῖς περιπνευμονικοῖς, καὶ πλευριτικοῖς. φαίνεται δὲ ἄλλως ἡγεῖσθαι γίνεσθαι τοιαῦτα, ῥυέντων μὲν εἰς τὸν πνεύμονα χυμῶν μοχθηρῶν, ἀλλ' ὀλίγων παντάπασιν, ὡς μὴ φλεγμῆναι τὸ σπλάγχνον. ὅτι μὲν γὰρ οὐκ ἦν οὔτε πλευριτικὸς, οὔτε περιπνευμονικὸς, εὔδηλόν ἐστιν ἐκ τοῦ μὴ μνημονεῦσαι τὸν Ἱπποκράτην, μήτ' ὀνομαστὶ τῶν παθῶν τούτων, ἀλλὰ μηδ' ἀπό τινος ἀχωρίστου συμπτώματος. εἰρήκει γὰρ ἂν, ἢ πλευρᾶς ὀδύνην, ἢ δύσπνοιαν. οὐ μὴν οὐδ' ἀπὸ κεφαλῆς πεπονθυίας ὤφθη ποτὲ τοιαῦτα B πτυσθέντα. μετὰ μέντοι βηχὸς, καὶ δυσπνοίας, καὶ πλευρᾶς ἀλγήματος, ὁρᾶταί ποτε τοιαῦτα πτύσματα. † καί τινας δύο *hic aliquid mendi est.* καὶ χωρὶς πυρετοῦ τοιούτων πτυσθέντων, χρώματα εἶδον, ὠχρῶν μετὰ βηχὸς ὄντων. ἀλλὰ τῷ μὲν ἑτέρῳ, κατὰ βραχὺ, πυρετίων μικρῶν γινομένων, εἰς χρόνον ἡ διάθεσις ἐκταθεῖσα, παραμεινάντων τῶν πυρετῶν, φθινώδη τὸν ἄνθρωπον ἀπέδειξε. τῷ δ' ἑτέρῳ χωρὶς πυρετοῦ τοιούτων πτυσθέντων ἡμέραις ἐφεξῆς ὀλίγαις, οὐδὲν ἄτοπον ἠκολούθησε. εἰκὸς οὖν ἐστὶ κατὰ τὰ πρῶτα μέρη τοῦ θώρακος καθ' ἃ συνάπτει, τοῖς ἐσχάτοις τοῦ τραχήλου σπονδύλοις, γε- C γονέναι τινὰ περιουσίαν οὐ πολλὴν, ἐφ' ᾗ μηδὲ δύσπνοιαν ἀπαντῆσαι, διὰ τὸ μὴ συντελεῖν τι σαφὲς εἰς τὴν τῆς ἀναπνοῆς ἐνέργειαν τὸ πρῶτον μεσοπλεύριον. ἐν αὐταῖς δὲ ταῖς ῥίζαις τῶν ἐπὶ τὰς χεῖρας ἀφικνουμένων νεύρων τῆς διαθέσεως γινομένης, βαρυνομένων τῶν νεύρων, τρομώδεις ἐργάσασθαι τὰς χεῖρας. ἐκ γὰρ τοῦ πρώτου μεσοπλευρίου καὶ τῶν ὑπερκειμένων δὲ σπονδύλων, τὰ τοὺς μῦς τῶν χειρῶν κινοῦντα φύεται νεῦρα. μαρτυρεῖ δὲ τούτοις, καὶ τὸ παραμεῖναι τοὺς τρόμους σὺν τοῖς πτύσμασι τοῖς ἐπιγε- D νομένοις. ἡνίκα δ' ἐν ἐκείνοις ἐφάνη τι πέψεως σημεῖον, οὔτε τοὺς τρόμους ἔτι γενέσθαι, καὶ παύσασθαι τὸ νόσημα, κρίσεως τῆς δι' ἱδρώτων ἐπιγινομένης. καίτοι γε ἀπέπτων ὄντων τῶν οὔρων, ὅμως ἡ πέψις ἔκρινε τῶν ἀναπτυομένων καὶ ἤνεγκε τὴν κρίσιν ὡς ἑκάτερον τῶν σημείων ὃ πέφυκε δηλοῦν μὴ διαψεύσασθαι. διττῆς γὰρ διαθέσεως τῷ νοσοῦντι γινομένης, μιᾶς μὲν τῆς πυρετώδους, ἐπὶ τοῖς ἐν ταῖς φλεψὶ χυμοῖς, ἑτέρας δὲ, τῆς εἰρημένης ἄρτι κατὰ τὸν θώρακα, τὴν μὲν προτέραν συνέβη μὴ παύσασθαι τελέως ἱδρῶσιν, ὡς ἂν ἔτ' ἄπεπτον οὖσαν, παύσασθαι δὲ τὴν ἑτέραν, τῷ μηδὲν δ' ὅλως ὑπολειφθῆναι τοῖς περὶ τὸν θώρακα. γράφει γοῦν E αὐτὸς οὕτως. δεκάτῃ ἵδρωσε, πτύελα ὑποπέπονα, ἐκρίθη, οὖρα ὑπόλεπτα περὶ κρίσιν. ἐνδεικνύμενος ἃ κατὰ τὸ προγνωστικὸν ἔγραψε περὶ τῶν λεπτῶν οὔρων ὄντων διττῶν, πρῶτα μὲν τάδε, ἔς τ' ἂν πυῤῥόν τε ᾖ τὸ οὖρον καὶ λεπτὸν, ἄπεπτον εἴη τὸ νόσημα. δεύτερα δὲ, τάδε ὅσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πολὺν χρόνον, ἢν καὶ τὰ ἄλλα ὡς περιεσομένοισιν ᾖ σημεῖα, τούτοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι εἰς τὰ κάτω τῶν φρενῶν χωρία. διὰ τοῦτο οὖν ἐπὶ τῇ τελευτῇ τῶν συμβάντων τῷ Πυθίωνι, κατὰ λέξιν οὕτως ἔγρα- F ψε. μετὰ δὲ κρίσιν τεσσαρακοστῇ ἡμέρῃ ὕστερον ἐμπύημα περὶ ἕδρην, καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις. ἐπεὶ δὲ, καὶ τρόμου χειρῶν, καὶ λήρου κατὰ τὴν πρώτην εὐθέως ἡμέραν ἐμνημόνευσε καὶ κατὰ τὰς ἑξῆς ἔγραψε, πάντα παρωξύνθη. κατὰ δὲ τὴν ζ'. ἡμέραν προσέθηκε, στόμα παρειρύσθη, διορίσασθαι χρὴ, πότερον αὐξανομένης τῆς περὶ τὸν ἐγκέφαλον κακώσεως, ἢ μεθισταμένης κάτω, τὸ στόμα κατεσπάσθη. φαίνεται δ' ἐκ τῶν ἐφεξῆς εἰρημένων, μετάστασις εἰς τὰ κάτω χωρία

μᾶλλον, οὐ συμπάθεια πρὸς τὸν ἐγκέφαλον αὐτοῖς γεγονέναι, τάχα μὲν φλεβοτομηθέντος τἀνθρώπου καὶ διὰ τοῦτο μεγάλως ὠφεληθέντος. ἀλλὰ καὶ κατὰ τὰς πρώτας ἡμέρας οὐδέπω τῶν πτυσμάτων οὐδὲ μικρὸν ἐφαίνετο τῆς ἐν τῇ πλευρᾷ διαθέσεως, οὐ διὰ τὴν κακοήθειαν αὐτῆς, ἴσμεν γὰρ ὅτι χαλεπώταται περιπνευμονίαι τε καὶ πλευρίτιδες εἰσὶν αἱ ἄπτυστοι, καθότι καὶ αὐτὸς Ἱπποκράτης ἐδίδαξεν. ἀλλὰ νῦν οὐ διὰ χαλεπότητα, νομιστέον, ἐν ταῖς πρώταις ἡμέραις πτυσθῆναι μηδέν, ἀλλὰ διότι περὶ τὸ πρῶτον μεσοπλεύριον μόνον ἡ διάθεσις ἦν. εἰ δὲ καὶ χαλεπή, καὶ κατὰ τοῦτο μόνον ἐγεγόνει, καὶ διὰ τοῦτο οὐδὲν ἐπτύετο. τῷ γοῦν τῆς φλεβοτομίας βοηθήματι, δυνατόν ἐστιν ἀντισπασθέντων τῶν ἐνταῦθα πλεονεκτούντων χυμῶν, ἀρχὴν πέψεως γεγονέναι τῇ διαθέσει κατὰ τὴν ἕκτην ἡμέραν, ἐν ᾗ πρῶτον ἐμνημόνευσε τῶν πτυσμάτων. ὃ δὲ περὶ τῆς δεκάτης ἡμέρας ἀνεβαλλόμην ἐρεῖν, ἐστὶ τοιοῦτον. οὔτ᾽ ἐν τοῖς τῶν ἐπιδημιῶν τούτοις βιβλίοις ἐκρίθη τις βεβαίως δεκαταῖος, οὔτ᾽ αὐτὸς ἀπεφήνατό που τὴν δεκάτην ἡμέραν εἶναι κρίσιμον ὥσπερ τὴν ἑνδεκάτην εἴρηκεν οὐκ ὀλιγάκις. ἔχεις δὲ τὰς ῥήσεις αὐτοῦ πάσας ἠθροισμένας ἐν τοῖς περὶ τῶν κρισίμων ἡμερῶν ὑπομνήμασιν, ἔνθα καὶ τεσσαρακοστὴ δείκνυται κρίνουσα τὰς νόσους, οὐχ ἡ τεσσαρακοστὴ δευτέρα, καθάπερ ᾠήθησαν ἔνιοι, ταῖς ὁλοκλήροις ἑβδομάσι τὰς περιόδους γίνεσθαι τῶν κρισίμων ἡμερῶν ὑπολαβόντων. εἰ δὲ διὰ μόνον τοῦτό τις ἡγεῖται τὸ νόσημα μὴ τελέως κριθῆναι, διότι δεκαταῖον ἵδρωσεν, οὐχ ἑνδεκαταῖος ὁ Πυθίων, οὐκ ὀρθῶς γινώσκει. τὸ γὰρ ἐλλιπὲς τῆς κρίσεως, ἐκ τοῦ μηδέπω πεπέφθαι τὴν νόσον ἀναγκαῖον γίνεσθαι. πολλοὺς γοῦν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἔγραψε, καὶ ἡμεῖς ἐθεασάμεθα κριθέντας ἐν κρισίμοις ἡμέραις ἐλλιπῶς, διὰ μόνην τὴν τῶν οὔρων ἀπεψίαν. ἀμφοτέρων δ᾽ ἀλλήλοις συνελθόντων, τοῦ τε κατὰ μὲν δεκάτην ἡμέραν ἀσθενοῦς, καὶ τῆς τῶν οὔρων ἀπεψίας, ἐχρῆν ἴσως μηδὲ κεκρίσθαι τὸν ἄνθρωπον, ἤ, μὴ ἐπὶ καλῷ τε καὶ κρισίμως. τάχ᾽ οὖν ἑνδεκάτῃ, γεγραμμένον οὐ δεκάτῃ, κατ᾽ ἀρχὰς εὐθέως ἡμαρτήθη, καθάπερ καὶ ἄλλα πολλὰ φαίνεταί τινα διὰ τοὺς πρώτους ταῦτα γράψαντας ἀμεληθέντα, διαμένει μέχρι παντός. ἀλλὰ περὶ μὲν τῆς δεκάτης ἡμέρας ἱκανὰ καὶ ταῦτα. σκέψασθαι δ᾽ ἄμεινόν ἐστι, μὴ κατὰ τὸ πάρεργον, ὁποῖόν τι τὸ ἐπινέφελον ἐναιώρημα νομιστέον ὑπάρχειν. ἐν μὲν γὰρ τῷ προγνωστικῷ γέγραπται· νεφέλαι δ᾽ ἐμφερόμεναι ἐν τοῖσιν οὔροισιν, λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φαῦλαι. οὔτ᾽ οὖν οὖρον ἐπινέφελον, οὔτ᾽ ἐναιώρημα κατὰ τὸ προγνωστικὸν εἴρηται. καίτοι γ᾽ ἀκριβῶς ἅπασαν ἐν ἐκείνῳ τῷ βιβλίῳ διδάξαντος αὐτοῦ τὴν ἀπὸ τῶν οὔρων πρόγνωσιν, ἐν τοῖς ὀξέσι νοσήμασιν. οὐ μὴν οὐδὲ τῶν ἐξηγησαμένων τὸ προκείμενον βιβλίον ἐξηγήσατό τις ὁποῖον εἶναι βούλεται τὸ ἐπινέφελον οὖρον ὁ Ἱπποκράτης. ἐγὼ τοίνυν ἃ ἐμοὶ δοκεῖ ζητήσαντι περὶ αὐτοῦ λέγειν οὐκ ὀκνήσω. τὸ τῆς νεφέλης ὄνομα κατὰ μεταφορὰν, ἀπὸ τοῦ περιέχοντος ἡμᾶς ἐπὶ τῶν οὔρων εἰώθασιν οἱ ἰατροὶ λέγειν, εἴθ᾽ Ἱπποκράτους πρώτου τὴν προσηγορίαν τήνδε κατά τινος ἰδέας ἐναιωρημάτων, ἢ οὔρων, εἴτε καὶ ἄλλου τινὸς αὐτοῖς θεμένου. ὥσπερ οὖν ἐν τῷ περιέχοντι, ποτὲ μὲν ζοφώδης γίνεται κατάστασις, πεπυκνωμένου νεφέλαις μελαίναις αὐτοῦ. ποτὲ δὲ ἀκριβὴς καὶ ἀνέφελος φαίνεται καὶ διεσπασμέναι τινὲς ὁρῶνται κατ᾽ αὐτὸ

A magis translatio facta esse non communi earum ad cerebrum affectu videtur. Fortassis quod ægroto vena secta fuerit, cujus gratia ipse magnum emolumentum consequutus est. Et verò priimis diebus nondum sputorum quicquam exiguum apparebat, impacta lateri affectione; non propter ipsius malignitatem. Scimus enim gravissimas esse tum peripneumonias, tum pleuritidas, in quibus nihil expuitur, quatenus etiam ipse docuit Hippocrates. Cæterùm hîc non ob morbi gravitatem nihil sputi primis B diebus esse redditum existimandum est; sed quod circà primum inter costale spatium tantùm esset affectio; quòd si & gravis & in eo solùm esset loco, neque quippiam ob id expueretur. Itaque venæ sectionis auxilio potuit revulsis humoribus isthic redundantibus, initium coctionis affectioni sexto die contigisse, in qua sputa primùm commemoravit. Quod autem de decimo die recensendum distuleram, est ejusmodi. Neque in his Epidemiorum libris quispiam plane decimo die judicatus est; neque ipse usquam asseruit decimum diem judicato- C rium esse, quemadmodum undecimum non rarò pronunciavit. Habes autem omnes ipsius sententias in commentariis de diebus judicatoriis collectas, ubi etiam quadragesimus morbos judicare ostenditur, non quadragesimus secundus, prout existimarunt nonnulli qui dierum judicatoriorum circuitus septimanis integris fieri ducebant. Quod si quis ob id solùm arbitretur morbum non absolutè judicatum esse, quod Pythio decimo die, non undecimo sudaverit, non rectè judicat. Defectus nanque judicationis, eo quod nondum coctus sit morbus, ne- D cessario accidit. Multos siquidem, & ipse Hippocrates scripsit; & nos conspeximus diebus judicatoriis ob solam urinarum cruditatem non integrè judicatos. Utrisque vero inter se concurrentibus, & ægri decimo die imbecillitate, & urinarum cruditate, non debuit fortassis homo judicari, aut non verè & judicatoriè. Quare forsan scriptum undecimo, & non decimo statim per initia vitiatum est; quemadmodum & alia multa vitiata esse conspiciuntur, quæ ab his qui primum hæc scripserunt, neglecta perpetuo manent. Verùm de decimo die hæc sufficiant. Iam vero perpendere non perfunctoriè E melius est, quodnam enæorema nubilosum existere ducendum sit. In prognostico nanque scriptum est; *Quæ nubes in urinis innatant, albæ quidem bonæ, nigræ vero pravæ.* Neque igitur urina nubilosa, neque enæorema in Prognostico explicatum est, etiamsi accuratè omnem in eo Libro docuerit ex urinis in acutis morbis prænotionem. Neque vero eorum qui præsentem librum exposuerunt quisquam explanavit, quidnam urinam nebulosam esse velit Hippocrates. Ego vero quæ mihi videntur, de ipsa F perquirenti recensere non cunctabor. Nubis nomen ab ambiente nos aëre per metaphoram in urinis Medici dicere consueverunt. Sive Hippocrates hanc appellationem primus de specie aliqua, vel enæorematum, vel urinarum dixerit, sive aliter ipsis quispiam indiderit. Quemadmodum igitur in continente nos aëre interdum quidem caliginosus fit status, quum is atris nubibus addensatus est: interdum vero sincerus, & nubibus vacuus emicat, & nubes quæ-

dam per ipsum dispersæ conspiciuntur: ac tunc aër nubilosus dicitur, quo tempore nubium colorem, neque planè nigrum, neque lucidum, sed inter hos medium cernimus: sic & lotium, & enæorema nubilosum videtur mihi appellare Hippocrates, quod neque colore nigrum est, neque jam plane nigrum, sed inter hæc medium. Tale igitur enæorema Pythioni factum esse conjiciendum est. Si nanque album fuisset, imperfectam judicationem fecisset, quemadmodum etiam si nigrum, non probam. Quoniam vero inter album & nigrum esset, ob id quidem bona, sed incompleta judicatio contigit. Quod verò residuum fuit, quadragesimo die in duplicem abscessum transiit, quem ipsum rectum non existimant, magisque neque rectam ipsam explicant, quod stranguriam Pythioni factam esse consensu abscessus in sedem existiment: Quum Hippocrates ipse interdum quidem scribat simpliciter factam stranguriam, interdum vero non simpliciter; sed ipsi adjiciat abscessûs appellationem, ut in secundo Primi Epidemiorum statu, quum ita scribit: *Vnicum verò utile, & eorum quæ edebantur signorum maximum, quodque plurimos maximis periculis immersos liberavit, hoc fuit ad stranguriam diverterent, & in hanc abscessus conciderent.* Ipso nanque appellante abscessus tum eos qui vexantium humorum excretione facti sunt, tum eos qui decubitu; & merito. Ut autem in aliis ad dysenteriam, ita & nunc ad stranguriam abscessus factos fuisse pronunciavit, quum pravi qui venis continentur humores, utraque excretione purgarentur. Hoc ergo in ipso secundo statu de urinis paulo ante textum quem nuper protuli, ita ipse scripsit: *Et cum stranguria, non nephriticæ, sed his alia pro aliis.* Hoc est, pro vitiosis qui in venis sunt humoribus, & febribus his succedentibus purgationes considerant, pravis humoribus per vesicam excretis, ut nonnunquam per intestina. Morsus igitur ab acribus excrementis procreatus stranguriam pariebat. Vesica siquidem, ut demonstratum est, in stranguriis ab urinarum excretionem proritatur, priusquam insigniter ab ipsis impleatur, geminam ob causam, aut quod ipsarum mordacium redditarum qualitatem non ferat, aut quod propter imbecillitatem gravetur, priusquam acerventur, etiamsi paucæ omnino fuerint. Talem igitur quendam Pythioni jam factum esse abscessum pronunciat, nec ita simpliciter scripsit eum in stranguriam incidisse, sed abscessum habuisse addidit. Sic enim sese habet textus: *Suppuratio circa sedem, & stranguriosus abscessus factus est.* Verùm talia plerique Interpretes (nam è duobus alterum) aut prætermittunt aut perperàm interpretantur, protrahuntque non necessario; de quibus semel hoc in loco disserere statui. Equidem satius esse ducebam longo à me quæsita tempore, & cum judicii securitate inventa, sola scribere citra omnem eorum qui perperam exposuerunt, reprehensionem. Sed quoniam nonnulli prorsus rudes, atque ab omni disciplina alieni, ubi in peregrinas quorundam scriptorum expositiones inciderunt, hac ipsa novitate capti ipsas celebrant. Quamobrem satius esse duxi semel eorum qui ita interpretantur mentionem facere, quum etiam ipse Hippocrates enuntiaverit; *Extraneum*

A νεφέλαι, καὶ λέγεται τηνικαῦτα ὁ ἀὴρ ἐπινέφελος, ἐν ᾧ καιρῷ κατὰ τὴν χρόαν τῶν νεφελῶν, οὔτε μέλαιναν ἀκριβῶς, οὔτε λαμπρὰν ὁρῶμεν, ἀλλ' ἐν τῷ μεταξὺ τούτων. οὕτω μοι δοκεῖ, καὶ οὖρον, καὶ ἐναιώρημα καλεῖν ἐπινέφελον ὁ Ἱπποκράτης, ὃ μήτε λευκόν ἐστι τὴν χρόαν, μήτ' ἤδη μέλαν ἀκριβῶς, ἀλλ' ἐν τῷ μεταξύ. καὶ τοίνυν ὑπὸ τοῦ Πυθίωνος ὑποληπτέον χρὴ τοιοῦτον ἐναιώρημα γεγονέναι. λευκὸν μὲν γὰρ εἴπερ ἦν, οὐκ ἂν ἐλλιπῆ τὴν κρίσιν εἰργάσατο, καθάπερ γ' εἰ καὶ μέλαν, οὐκ ἂν ἀγαθήν. ἐπεὶ δ' οὖν ἦν B μέσον λευκοῦ τε καὶ μέλανος, ἀγαθὴ μὲν ἐγένετο κρίσις, ἀλλ' ἐλλιπής. τὸ δὲ ὑπόλοιπον κατὰ τὴν τεσσαρακοστὴν ἡμέραν, εἰς ἀπόστασιν ἧκε διττήν, ἣν αὐτὴν οὐκ ἡγοῦνται ὀρθήν, μᾶλλον δὲ οὐδ' αὐτὴν ἐξηγοῦνται ὀρθῶς κατὰ συμπάθειαν τῆς εἰς τὴν ἕδραν ἀποστάσεως οἰόμενοι γεγονέναι τῷ Πυθίωνι τὴν στραγγουρίαν. Ἱπποκράτους αὐτοῦ ποτὲ μὲν ἁπλῶς γράφοντος γενέσθαι τὴν στραγγουρίαν, ἐνίοτε δ' οὐχ ἁπλῶς, ἀλλὰ προστιθέντος αὐτῇ τὸ τῆς ἀποστάσεως ὄνομα, καθάπερ κἀν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐν τῇ δευτέρᾳ καταστάσει. γράφει γοῦν ὧδε· μόνον δὲ χρηστὸν καὶ μέγιστον τῶν C γενομένων σημείων, καὶ πλείστους εἰρύσατο τῶν ὄντων ἐν τοῖσι μεγίστοισι κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο, καὶ ἐς τοῦτο ἀπόστασις ἐγένετο. προσαγορεύοντος γὰρ ἀποστάσεις αὐτοῦ, καὶ τὰς κατ' ἔκκρισιν τῶν λυπούντων χυμῶν γενομένας, οὐ μόνον τὰς κατὰ ἀπόθεσιν, εἰκότως. ὥσπερ εἰς δυσεντερίας ἐν ἑτέροις, οὕτως νῦν εἰς στραγγουρίαν ἀποστάσεις εἴρηκε γεγονέναι, καθαιρομένης τῆς ἐν ταῖς φλεψὶ κακοχυμίας δι' ἀμφοτέρων τῶν ἐκκρίσεων. τοῦτο γοῦν ἐν αὐτῇ τῇ δευτέρᾳ καταστάσει τῶν οὔρων, ὀλίγον ἔμπροσθεν ἧς ἄρτι προειρημένης ῥήσεως, αὐτὸς ἔγραψεν ὧδε. D στραγγουριώδεα οὐ νεφριτικά, ἀλλὰ τούτοισιν ἀντ' ἄλλων ἄλλα· τουτέστιν ἀντὶ τῆς ἐν ταῖς φλεψὶ κακοχυμίας, καὶ τῶν ταύτῃ πυρετῶν ἀκολουθούντων αἱ καθάρσεις ἐγίνοντο, τῶν μοχθηρῶν χυμῶν ἐκκρινομένων διὰ τῆς κύστεως, ὥσπερ ἐνίοτε διὰ τῶν ἐντέρων. ἡ τοίνυν δῆξις ἡ ἀπὸ τῶν ἐκκρινομένων δριμέων ὄντων, εἰργάζετο τὴν στραγγουρίαν. ἐδείχθη γὰρ ἡ κύστις ἐπὶ τὴν ἀπόκρισιν ὁρμῶσα τῶν οὔρων ἐν ταῖς στραγγουρίαις, πρὶν ἀξιολόγως ὑπ' αὐτῶν πληρωθῆναι, διὰ διττὴν αἰτίαν, ἤτοι τὸ μὴ φέρειν αὐτῶν τὴν ποιότητα, καὶ δακνωδῶν γενομένων, ἢ τὸ δι' ἀρρωστίαν βαρύνεσθαι E πρὶν ἀθροισθῆναι, κἂν ὀλίγον παντάπασιν ᾖ. τοιαύτην οὖν ἔφη τινά, καὶ τῷ Πυθίωνι τὴν ἀπόστασιν ἤδη γενέσθαι, μὴ γράψας ἁπλῶς οὕτως, ὅτι στραγγουριώδης ἐγένετο. ἔχει γὰρ ἡ ῥῆσις ὧδε· ἐμπύημα περὶ ἕδρην, καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις, ἀλλὰ προσθεὶς τὸ ἀπόστασιν ἔχειν. ἀλλὰ τὰ μὲν τοιαῦτα δυοῖν θάτερον, ἢ παραπέμπουσιν, ἢ κακῶς ἐξηγοῦνται πολλοὶ τῶν ἐξηγητῶν, χρονίζουσι δ' οὐκ ἀναγκαίως, ὑπὲρ ὧν ἅπαξ ἐν τῷδε διαλεχθῆναι βούλομαι. ἐγὼ μὲν ᾤμην ἄμεινον εἶναι τὰ πολλῷ χρόνῳ ζη- F τηθέντα μοι, καὶ μετὰ κρίσεως ἀσφαλῶς εὑρεθέντα μόνα γράφειν, ἄνευ τῶν εἰς τοὺς κακῶς ἐξηγησαμένους ἐλέγχων. ἐπεὶ δ' ἔνιοι μὲν διὰ τὸ μηδ' ὅλως πεπαιδεῦσθαι κατὰ μηδὲν τῶν ὄντων παιδείων, ἀναγινώσκοντες ἐνίοτε παρά τισι τῶν γραψάντων ἐξηγήσεις ξένας, αὐτῷ τούτῳ μόνῳ τῷ ξένῳ συναρπασθέντες ἐπαινοῦσι. διὰ τοῦτ' ᾠήθην ἄμεινον εἶναι κἂν ἅπαξ αὐτῶν που μνημονεῦσαι τῶν οὕτως ἐξηγουμένων, εἰρηκότος γε καὶ αὐτοῦ τοῦ Ἱπποκράτους. τὸ γὰρ ξενοπρεπὲς

» οὔπω ξυνιέντες, μᾶλλον ἐπαινέουσιν, ἢ τὸ συνήθες,
» ὃ ἤδη οἴδασιν ὅτι χρηστὸν, καὶ τὸ ἀλλόκοτον μᾶλλον, ἢ εὔ-
» δηλον. ὅπως οὖν προειδότες οἱ τοῖς ἡμετέροις ὑπομνή-
μασιν ἐντυγχάνοντες, ὁποῖοί τινες οἱ τρόποι τῶν μοχθηρῶν ἐξη-
γήσεών εἰσιν, γνωρίζειν αὐτοὺς δύνανται, μακρότερον ἐν-
ταῦθα περὶ πασῶν αὐτῶν ἔγνων γράψαι. καί μοι μη-
δεὶς ἀχθέσθω τῷ μήκει τοῦ λόγου, μέλλων ἕξειν αὐτὸν
ἀεὶ βοηθὸν εἰς τὴν τῶν φαύλων ἐξηγήσεων διάγνωσιν.
ἓν μὲν οὖν εἶδός ἐστιν αὐτῶν, ὁποῖόν τι καὶ κατὰ τὸν προ-
κείμενον ἄρρωστον ἐποιήσαντό τινες, ὧν ἑνὸς παραγράψω
τὴν ῥῆσιν αὐτοῖς ὀνόμασιν, ἵνα μή τις οἰηθῇ με κατα-
» ψεύδεσθαι τἀνδρός. τὸ μέντοι τῆς Γῆς ἱερὸν, μή ποτε
ὑπὲρ τοῦ δεῖξαι τὴν αἰτίαν ἀφ' ἧς τρόμος τῶν χειρῶν, καὶ
τὸ νοσεῖν αὐτῷ ἐγένετο. ὡς τῇ διὰ τὴν ἐποχὴν τῶν ἐπι-
μηνίων γενομένῃ, ὡς εἰκὸς, διὰ τὴν τοῦ μορίου ἀρ-
γίαν. καὶ πάλιν ἐν τῷ ἕκτῳ ἱστορεῖ, ἀνδρὸς ἀποδήμου
γενομένου, ἀργυθεισαμένην τῷ μορίῳ τὴν γυναῖκα, ἀναδη-
φθέντων τῶν ἐπιμηνίων εἰς τὸ στόμα φῦσαι πώγωνα. καί
τί γὰρ ἄλλο, ἢ ἀνδρωθῆναι τὴν γυναῖκα; οὕτως οὖν καὶ
Πυθίων ἀπεχόμενος συνουσίας, διὰ τὴν περὶ μόνον ἐπι-
μέλειαν τὸ ἱερὸν, νόσον ὑπέμεινε. αὕτη μὲν ἑνὸς τῶν ἐξη-
γητῶν ἐστὶ ῥῆσις, ἑαυτὸν καταβάλλοντος ἐκ τοῦ πολλάκις μετ'
ὀνόματος μνημονεῦσαί τινων οἰκήσεων τὸν Ἱπποκράτην, μὴ
πασῶν δ' αὐτῶν, ἀλλ' ὀλιγίστων παντάπασιν ἐξήγησιν
γράψαι. εἰ γὰρ οὐκ ἀργῶς αἱ οἰκήσεις τῶν κατακειμένων
ἐγράφησαν, ἀλλὰ συνδείκνυταί τι τῶν εἰς τὴν τέχνην χρη-
σίμων, οὐκ ὀρθῶς ἐποίησεν, ἐπ' ὀλίγων μὲν ἀρρώστων
» ἐξηγησάμενος αὐτῶν τὴν δύναμιν. ἐπὶ δὲ τῶν ἄλλων, καίτοι
» παμπόλλων ὄντων παραλιπών, οἷον εὐθέως ἐπὶ τοῦ πρώτου
» γραφέντος κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν. Φιλίσκος γάρ φη-
» σιν, ᾤκει παρὰ τὸ τεῖχος. εἶθ' ἑξῆς πάλιν, Ἐπικράτεος
» γυναῖκα, ἣ κατέκειτο παρὰ Ἀρχηγέτην. καὶ πάλιν, Ἐρασῖ-
» νος, ὃς ᾤκει παρὰ Βοώτου χαράδρην. εἶθ' ἑξῆς τὸν Κλαζο-
» μένιον, ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέαρ. εἶτ' αὖ-
» θις ἐπί τινος γυναικὸς, τὴν Δρομεάδεω, φησὶ, γυναικὸς θυ-
» γατέρα τεκοῦσαν. εἶτ' ἐπ' ἄλλης πάλιν γυναικὸς, ἣ κα-
τέκειτο ἐν ἀκτῇ. ἐν αὐτῷ τε τούτῳ τῷ τρίτῳ τῶν ἐπιδημιῶν,
ἑτέροις πολλοῖς ἂν εὕροις γεγραμμένοις ἀρρώστοις μετὰ τῶν
οἰκήσεων ἐν αἷς ᾤκουν, ἃς οὐδ' ὅλως ἐξηγοῦνται. Χαι-
ρίων οὖν φησὶν ὃς κατέκειτο παρὰ Δημαινέτῳ· μετ' αὐτὸν
ἑξῆς τὴν Εὐρυάνακτος θυγατέρα παρθένον πῦρ ἔλαβεν· εἶθ'
ἑξῆς, ἡ κυναγχικὴ παρὰ Γαβίωνι, καὶ μετ' αὐτὴν πάλιν, τὸ
μειράκιον ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ. καὶ τί δεῖ πολλὰ
παραγράφειν, ὅλου σχεδὸν τοῦ βιβλίου πεπληρωμένου τῆς τοιαύ-
της γραφῆς. ἀλλ' ἐπὶ τὸ προκείμενον ἰτέον· παμπόλλων γὰρ
ἀρρώστων οὕτω γεγραμμένων, περὶ πάντων πεποιῆσθαι, τὴν ἀπὸ
τῶν οἰκήσεων ἐξήγησιν, ἢ μηδ' ἐφ' ἑνός. ἀλλ' ἔνιοί γε τῶν ἐξηγου-
μένων τὰ βιβλία, κατεγνώκασιν εἰς τοσοῦτον τῶν ἀκροατῶν, ὡς
ἐγώ ποτε ἐν Ἀλεξανδρείᾳ, καὶ τοιαύτης ἐξηγήσεως ἤκουσα περί
τινος ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἀρρώστου γεγραμμένου κατὰ
» τὴν ῥῆσιν, ἧς ἡ ἀρχή. Σιληνὸς ὃς ᾤκει ἐπὶ τοῦ Πλαταμῶνος.
ἐν γὰρ τῷ διηγεῖσθαι τὰ συμβάντα τούτῳ, καὶ τοιαύτην τινὰ ῥῆσιν
» ἔγραψεν ὁ Ἱπποκράτης. νυκτὸς οὐδὲν ἐκοιμήθη, λόγοι πολ-
λοί. τούτοις οὖν ἐπεφώνησεν ὁ ἐξηγούμενος τὸ σύγγραμμα,
Σιληνὸς γὰρ ἦν. οἱ μαθηταὶ δ' ἀναπηδήσαντες ἐκεκράγεσαν
ὑπερθαυμάζοντες. ἔνιοι δὲ τῶν ἐξηγουμένων εἰς τοσοῦτον ἥκουσι

A *nanque nondum intelligentes, magis quàm consuetum laudant, quod jam noverunt, quia utile, atque alienum magis quàm apertum.* Quocirca qui prætermoniti nostros in Commentarios inciderunt, & qui & quales sint pravarum explicationum modi, ipsos cognoscere queant, prolixiùs hîc de his omnibus scribere institui. Nemo vero orationis prolixitatem vitio vertat, ad vitiosarum explicationum dignotionem adjutorem perpetuò ipsum habiturus. Ipsarum itaque explicationum genus unum est, quod in proposito ægroto quidam fecerunt, B è quibus unius verba ipsis nominibus ascribunt, ne quis me virum falso arguere existimet. *Telluris vero templum*, fortassis ad causæ demonstrationem, quâ manuum tremor factus, morbusque ipsi inciderit, positum est; veluti mulieri ob menstruorum suppressionem, ut par est, propter partis otium obortam. In sexto rursus narrat, profecto peregrè viro otiatam parte mulierem, collectis ad os menstruis, barbam produxisse. Quod quid aliud existit, quàm femina in virum mutata? Sic itaque Py- C thio à coitu temperatus, propter eam quam circa fanum curam habebat, morbum incurrit. Hæc quidem unius Interpretum oratio, sese destruentis, quod sæpius quidem Hippocrates domicilia nominatim commemoret, non autem eorum omnium; sed paucissimorum prorsus enarrationem scribat. Si nanque non otiosè ægrotorum domicilia conscripta sint, sed aliquid quod arti commodetur commonstrent, non rectè fecit qui in paucis eorum vim explanavit, in cæteris vero vel multis prætermisit, ut statim in primo ægroto in Primo Epidemiorum D scripto. *Philiscus enim*, inquit, *prope mœnia habitabat.* Deinde rursus; *Epicratis uxor quæ apud Archegetem decumbebat.* Tum; *Erasinus qui ad Bootæ torrentem habitabat.* Mox; *Clazomenium qui juxta Phrinichidæ puteum jacebat.* Postea de muliere quadam; *Dromeadæ*, inquit, *uxorem quæ filiam pepererat.* Deinde de alia rursus muliere *quæ in littore decumbebat.* Atque in hoc ipso Epidimiorum Tertio plerosque alios reperias scriptos ægrotos cum domiciliis in quibus habitabant, quas nullo modo prorsus explicant. *Chærio*, inquit, *qui apud Demænetum habitabat.* Ab hoc deinceps; *Euryanactis filiam* E *virginem ignis prehendit.* Deinde *Cynanchica apud Tabionem.* Post hanc rursus: *Adolescentulus qui in foro mendacium habitabat.* Sed quid multa ascribere oportet, quum totus fere Liber scriptura ejusmodi refertus sit? Verùm ad propositum procedendum. Quum enim permulti ægroti ita descripti sint, omnium domicilia, aut nullum explicare oportebat. Verùm nonnulli Librorum Interpretes, auditores tantopere contempserunt, ut ego nonnunquam in Alexandria explicationem hujusmodi audierim cu- F jusdam ægri in Primo Epidemiorum descripti eo in textu, cujus exordium est; *Silenus qui apud Platamonem habitabat.* In his enim quæ huic acciderant, explicandis etiam talem quandam orationem scripsit Hippocrates; *Nocte nequaquam dormivit, verba multa.* His igitur acclamavit Interpres libri, *lunaticus enim erat.* Discipuli vero clamoribus exilientes supra modum admirati sunt. Nonnulli quidem Interpretes in tam supervacaneam sedulitatem venerunt,

runt, ut quærant utrum in Platamone Silenus habitaret. Quidam vero in Platamone per m, nonnulli autem in Platanone per n. Eadem verò ratione quærunt hujusmodi interpretes, quum Hippocrates pronuntiavit; *Habitabat in theatro*, num satius sit scribere theetrum, an theatrum? At eos quidem arguunt, qui in talibus tempus conterunt; alios vero qui per ea in Prorrhetico & Coacis prænotionibus scripta exponunt, quæ horum librorum ægris evenerunt, plerique admirantur. At in plurimis eorum in prorrhetico descriptorum pravitas per quosdam in eum librum confectos commentarios demonstrata est. Proditur siquidem libri Author sæpiùs ex uno vel duobus sigillatim ab ipso conspectis universales enunciationes conficere. Multos quoque concursus ex diversi generis signis acervatos eum scribere demonstratum est. Et vero tantam in ea doctrina concursuum multitudinem esse declaravimus, ut ipsi connumerari nequeant. Præterea quoque illud à nobis declaratum est in eorum explicatione, quæ scripsit author Prorrhetici doctrinam aliam ea meliorem reperiri non posse quæ ab Hippocrate in prognostico data est, ipso singulorum seorsim signorum vires docente; neque enim aliter fieri posse ut multis simul concurrentibus, quicquam prænoscatur. Qui ergo librum utrumque legerint & prognosticum & prorrheticum, iis clara esse certo scio quæ nunc dicta sunt omnia. Quod si quis nostros in ea opera commentarios prælegerit, poterit etiam absque his nunc commemoratis, hujusmodi interpretationis pravitatem ex me cognoscere. Qui verò eos non legerint, ad illos priùs eos accedere velim; postea vero rursum huc reversos tum intelligere, tum quæ à me prodita sunt, de ipsis ferre sententiam. Accepto siquidem paulò antè quodam ex commentariis à Lyco Macedone in præsentem librum conditis, tres reperi in Pythionis enarratione textus ex prorrhetico conscriptos. Ipse in primo quidem ita ad verbum dicebat, *Tremulæ, obscuræ, & contrectabiles desipientiæ admodum phreniticæ, ut & Didymarcho in Co contigit.* In secundo sic; *Tremores sudoribus oborti redire consueverunt.* Tertius denique his verbis scriptus est; *Vrinæ à turbulentis vigiliis decolores, cum nigris suspensis delirium portendunt.* Ipsi quidem sunt ex prorrhetico textus à Lyco ascripti, ac si quintus in propositi Pythionis explicatione ita protulisset. Mihi vero quandoquidem pravè scripta conatus sum arguere, etiamsi superioribus commentariis id agere vitaverim, hujusmodi tamen explicationum pravitatem declarare satius esse videtur. Primum itaque prorrhetici textus his quæ in Pythione narrantur, minime congruit; neque enim cum silentio, neque magnopere fuit phreniticus. Nos autem quum porrheticum explicaremus, quæ & quales sunt cum silentio desipientiæ demonstravimus, & cur ipsas admodum phreniticas pronunciaverit; quorum neutrum in Pythione fuit. Non enim citra silentium deliravit, ac moderatè phreniticus factus est. Secundus autem textus quo pronunciat; Tremores sudoribus succedentes redire consueverunt. Quæ Pythioni contigerunt, his contrarium ostendit. Non enim succedebant; sed ex principio quidem simul invadebant,

A περιεργίας, ὥστε ζητοῦσι πότερον ἐπὶ τοῦ Πλαταμῶνος ὁ Σιληνὸς ᾤκει. τινὲς μὲν διὰ τοῦ μ΄. Πλαταμῶνος, ἔνιοι δὲ διὰ τοῦ ν΄. Πλατανῶνος. ὡσαύτως δὲ ζητοῦσιν οἱ τοιοῦτοι τῶν ἐξηγητῶν, ὅταν Ἱπποκράτης εἴπῃ, κατέκειτο κατὰ τὸ θέατρον, ἆρα γε θέητρον ἄμεινον γράφειν, ἢ θέατρον. ἀλλὰ τοὺς μὲν εἰς τὰ τοιαῦτα τὸν χρόνον ἀναλίσκοντας κατεγνώκασι, τοὺς δὲ διὰ τῶν ἐν τῷ προρρητικῷ καὶ ταῖς Κωακαῖς προγνώσεσι γεγραμμένων, ἐξηγουμένους τὰ κατὰ τοὺς νοσοῦντας ἐν τοῖς βιβλίοις εἰρημένα, πολλοὶ θαυμάζουσιν. ἐδείχθη δὴ ἐπὶ πλείστων ἡ μοχθηρία τῶν ἐν τῷ προρρητικῷ γεγραμμένων, ἐν B οἷσιν ὑπομνήμασιν ἃ ἐποιησάμην εἰς αὐτό. φαίνεται γὰρ ὁ γράψας ἐκεῖνο τὸ βιβλίον, πολλάκις ἐξ ἑνὸς ἢ δυοῖν τῶν κατὰ μέρος ὀφθέντων αὐτῷ, καθολικὰς ἀποφάσεις ποιούμενος. ἐδείχθη γὰρ καὶ συνδρομὰς γράφων πολλὰς ἐξ ἀνομογενῶν σημείων ἠθροισμένας. ἐπεδείχθη δὲ, καὶ ὡς ἡ τοιαύτη διδασκαλία, τοσοῦτον πλῆθος ἔχει συνδρομῶν, ὡς μηδ᾽ ἀριθμηθῆναι δύνασθαι. καὶ πρὸς τούτοις γ᾽ ἔτι καὶ τοῦτ᾽ ἐδείχθη κατὰ τὴν ἐξήγησιν, ὧν ἔγραψεν ὁ τὸ προρρητικὸν συνθεὶς, ὡς οὐκ ἐνδέχεται διδασκαλίαν ἑτέ- C ραν ἀμείνονα γενέσθαι τῆς κατὰ τὸ προγνωστικὸν ὑφ᾽ Ἱπποκράτους γεγονυίας, ἑνὸς ἑκάστου τὴν δύναμιν σημείου αὐτοῦ διδάξαντος ἰδίᾳ. μηδὲ γὰρ ἄλλως δύνασθαι πολλῶν ἅμα συνελθόντων, προγνωσθῆναί τι. τοῖς μὲν οὖν ἀνεγνωκόσιν ἀμφότερα τὰ βιβλία, τό, τε προγνωστικὸν, καὶ τὸ προρρητικὸν, οἶδ᾽ ὅτι σαφῆ τὰ νῦν εἰρημένα πάντ᾽ ἐστίν. εἰ δὲ καὶ τοῖς ἡμετέροις ὑπομνήμασιν εἰς αὐτὰ προεντετυχηκώς τις εἴη, καὶ χωρὶς τῶν νῦν εἰρημένων ὑπ᾽ ἐμοῦ, γινώσκειν δύναται τὸ μοχθηρὸν τῆς τοιαύτης ἐξηγήσεως. τοὺς δ᾽ οὐκ ἀνεγνωκότας, ἐπ᾽ ἐκεῖνα μὲν ἀφικέσθαι πρότερον ἀξιῶ, μετὰ ταῦτα δὲ D πάλιν ἐνταῦθα παραγινομένους, ἀκοῦσαί τε καὶ κρῖναι τὰ πρὸς ἐμοῦ εἰρημένα. λαβὼν γὰρ ἐναγχός τι τῶν εἰς τὸ προκείμενον βιβλίον ὑπὸ Λύκου τοῦ Μακεδόνος ὑπομνημάτων γεγονότων, εὗρον ἐν τῇ τοῦ Πυθίωνος ἐξηγήσει, τρεῖς ῥήσεις ἐκ τοῦ προρρητικοῦ γεγραμμένας, ὧν ἐπὶ μὲν τῆς προτέρας κατὰ λέξιν οὕτως ἔλεγεν. « αἱ τρομώδεες, ἀσαφέες, ψηλαφώδεες παρακρούσιες, πάνυ φρενιτικαί, ὡς καὶ Διδυμάρχῳ ἐν Κῷ. » ἐπὶ δὲ τῆς δευτέρας ὧδε· « τὰ τρομώδεα γινόμενα ἐφ᾽ ἱδρῶσι, φιλυπόστροφα. » καὶ ἡ τρίτη δὲ κατὰ λέξιν « τήνδε ἐγέγραπτο. E « τὰ δὴ ἐπὶ ταραχώδεσιν ἀγρύπνοισιν οὖρα ἄχροα, μέλασιν ἐναιωρεύμενα, παρακρουστικά. » αὗται μὲν αἱ ἐκ τοῦ προρρητικοῦ ῥήσεις ὑπὸ τοῦ Λύκου προσγεγράφαται, ὡς εἰρηκότος οὕτω Κοΐντου κατὰ τὴν ἐξήγησιν τοῦ προκειμένου Πυθίωνος. ἐμοὶ, ἐπειδήπερ ἠναγκάσθην τὰ κακῶς εἰρημένα διελέγχειν, καίτοι διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων πεφυλαγμένος αὐτὸ πρᾶξαι, βέλτιον εἶναι δοκεῖ τὴν τοιούτων ἐξηγήσεων μοχθηρίαν δηλῶσαι. πρῶτον μὲν οὖν οὐδ᾽ ἐφαρμόττει τοῖς νῦν εἰρημένοις ἐπὶ τοῦ Πυθίωνος, ἡ τοῦ προρρητικοῦ ῥῆσις. οὔτε γὰρ μετὰ σιγῆς ἐφρενίτισεν, F οὔτε πάνυ φρενιτικὸς ἐγένετο· δέδεικται δὴ ἡμῖν ἐξηγουμένοις τὸ προρρητικὸν, ὁποῖαί τινες εἰσὶν αἱ μετὰ σιγῆς παραφροσύναι, καὶ διὰ τί πάνυ φρενιτικὰς εἶπεν αὐτὰς, ὧν οὐδ᾽ ἕτερον ἐπὶ τοῦ Πυθίωνος ἐγένετο· ὁ γὰρ οὔτ᾽ ἄνευ σιγῆς ἐλήρει, καὶ μετρίως ἐφρενίτιζεν. ἡ δὲ δευτέρα ῥῆσις καθ᾽ ἣν λέγει, τὰ τρομώδεα γινόμενα ἐφ᾽ ἱδρῶσι φιλυπόστροφα, τοὐναντίον δείκνυται τοῦ συμβάντος τῷ Πυθίωνι. μὴ γινομένων, ἀλλ᾽ ἐξ ἀρχῆς μὲν συνεισβαλόντων,

A ὕστερον δὲ κατὰ τὴν δεκάτην ἡμέραν ἱδρώσαντος αὐτοῦ, ὡς οὐκ ἐπὶ τοῖς ἱδρῶσιν οἱ τρόμοι φαίνονται γεγονότες, ἀλλ' ἐπὶ τοῖς τρόμοις οἱ ἱδρῶτες. ἡ λοιπὴ δὲ καὶ τρίτη ῥῆσις ἐν ᾗ φησι, τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοισιν οὖρα, μέλασιν ἐναιωρήμασι, παρακρουστικά. προσηκόντως ἂν ὑπὸ τοῦ Λύκου παρείληπτο, τοῦ Πυθίωνος ἀγρυπνήσαντος μὲν πρῶτον οὐκ ἄνευ ταραχῆς. οὐρήσαντος δὲ οὖρον ἔχον ἐναιώρημα μέλαν, εἶθ' οὕτως παραφρονήσαντος ὕστερον. ἐπεὶ δὲ οὔτ' οὔρησε τοιαῦτα, τὸ γὰρ ἐπινέφελον ἐναιώρημα, πάμπολυ διαφέρει τοῦ μέλανος, οὔτ' ἐπ' ἀγρυπνίαις ταραχώδεσιν ἐφρενίτισεν, B ἀλλ' εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας ἐλήρησεν, οὐκ ὀρθῶς παρειλῆφθαι. τί γὰρ ἐκώλυεν αὐτὸν εἰπεῖν ἐναιώρημα μέλαν. εἶτα τὴν ἀγρυπνίαν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν, ἢ τῇ δευτέρᾳ. μετὰ δὲ ταύτας ἐν τῇ πρώτῃ πάλιν, εἶτ' ἐφεξῆς τὴν παραφροσύνην. ἀλλὰ καὶ αὐτὸς ὁ Λύκος ἐξηγούμενος τὴν ἐπινέφελον φωνὴν, οὐκ ἐτόλμησεν εἰπεῖν δηλοῦσθαι πρὸς αὐτῆς τὸ μέλαν. ἐκ περιττοῦ τε οὖν ταῦτα προσέθηκεν, εἰ χρὴ λέγειν ἐκ περιττοῦ, τὰ μὴ μόνον ἄχρηστα πρὸς τὸ προκείμενον, C ἀλλὰ καὶ παντάπασι ψευδῆ, παρέλιπέ τε τὰ κυριώτατα τῶν ὑφ' Ἱπποκράτους εἰρημένων ἐπισκέψεως. τίς μὲν ἡ τῶν τρόμων ἐστὶ διάθεσις, ὅς τις δὲ ὁ πεπονθὼς τόπος ἐπὶ ταῖς τρομώδεσι χερσὶν, ἢ πόθεν τὰ ποικίλα πτύσματα τὰ πολλὰ τούτοις ἑπόμενα, περὶ ὧν ἐγὼ διῆλθον. ὅλως γὰρ οὐδὲν τούτων ἐπισκεψάμενος, ἑαυτῷ προβάλλει ὡς ζήτημα, τὸ μηδ' ὅλως ὂν ζήτημα, κατὰ λέξιν οὕτως.

„ τῇ ἑβδόμῃ ἡμέρῃ τὸ στόμα παρειρύσθη. καὶ δοκεῖ ἡ ἱστο-
„ ρία αὕτη μαχομένη εἶναι τῇ ἀποφάσει, τῇ οὕτως ἐν ἀφο-
„ ρισμοῖς ἐχούσῃ· ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, D
„ ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν

μὴ ἀκούῃ, ἀσθενέος ἐόντος, ὅ τι ἂν τούτων γένηται, ἐγγὺς ὁ θάνατος. αὕτη τοῦ Λύκου ῥῆσις ἑαυτῷ προβάλλοντος ὡς ζήτημα, τὸ μηδ' ὅλως ἔχον ἀμφιβολίαν. ἐν μὲν γὰρ τοῖς ἀφορισμοῖς εἴρηκεν, ἤδη ἀσθενέος ἐόντος, ὁ Πυθίων δ' οὐκ ὢν ἀσθενὴς, παρειρύσθη τὸ στόμα. καὶ μέντοι καὶ λύων ὃ προὔβαλεν αὐτὸς ὁ Λύκος, οὐδὲν ἄλλο εἶπεν εἰς τὴν λύσιν αὐτοῦ παρὰ τὸ νῦν λελεγμένον. τὸ μὲν οὖν πρόδηλον ὂν ὡς ζήτημα προὔβαλεν, οὐδὲν δὲ τῶν ἄλλων, ἃ χρήσιμα τῆς τέχνης ἐζήτησεν, οὔτε τίς ἡ διάθεσις ἦν τῷ Πυθίωνι, δι' ἣν E ἐγένετο τὰ προγεγραμμένα συμπτώματα, τίς τε τόπος, ἢ τίνες ἐπεπόνθεσαν. ἀλλ' οὐδὲ περὶ τῆς φλεβοτομίας ὡς παραλελειμμένης ἐπεσημήνατο, χυμῶν τε καὶ κράσεων οὐ μόνον νῦν, ἀλλ' οὐδὲ καθ' ἄλλην τινὰ διήγησιν ἀρρώστων, ἢ καταστάσεως ἐμνημόνευσεν, ἃ μάλιστα ἐχρῆν ἐπισκοπεῖσθαι τὸν ἐξηγούμενον Ἱπποκράτειον βιβλίον, ὥσπερ εἰ Ἀσκληπιάδην ἐξηγεῖτο, πόρους καὶ ὄγκους, ἄναρμά τε στοιχεῖα, καὶ τὴν πρὸς τὸ λεπτομερὲς φορὰν, ἐστὶν αὐτῷ ῥητέον· εἰς ταύτας γὰρ τὰς ἀρχὰς ἐκεῖνος ἀνάγει πάντα. θερμὸν δὲ, F καὶ ψυχρὸν, καὶ ὑγρὸν, καὶ ξηρὸν Ἱπποκράτης αἰτιᾶται, καθάπερ τὸ περιέχον ἐν τοῖς τῶν ζώων σώμασιν. οὕτω δὲ καὶ τέτταρας χυμοὺς ἀλλήλων τὴν κρᾶσιν διαφέροντας αἰτίους φησὶ, τῆς θ' ὑγείας καὶ τῶν νοσημάτων. τῆς μὲν ὑγείας, ὅταν συμμέτρως ἔχωσι πρὸς ἀλλήλους. τῶν νοσημάτων δὲ ὅταν πλεονάζωσιν, ἢ ἐλλείπωσιν, ἢ μεταστῶσιν ἐξ οἰκείας χώρας εἰς ἀλλοτρίαν. εἰς ταύτας γοῦν τὰς ἀρχὰς, καὶ οἱ πρὸ Λύκου καὶ Κοΐντου τῶν Ἱπποκράτους ἐξηγησάμενοί τι βιβλίον

postea verò ipse die decimo sudavit. Quare tremores non sudoribus successisse videntur, sed tremoribus sudores. Textus reliquus ac tertius quo pronunciavit: *Turbulentis ac vigilibus decolores cum nigris enæorematis delirium portendunt*: decenter à Lyco citatus esset, si Pythio primùm quidem non absque perturbatione vigilasset, urinamque cum nigro enæoremate minxisset, deinde ita postea desipuisset. Verùm quoniam neque minxit talia, nubilosum siquidem enæorema à nigro magno distat intervallo, neque ex vigiliis turbulentis phreniticus factus est, sed statim à primo die deliravit, non rectè adductus est. Quid enim prohibebat enæorema nigrum ipsum dicere, deinde vigilias quidem primo vel secundo die: postea vero primo rursus die, ac deinceps desipientiam? Imò etiam ipse Lycus quum vocem *nubilosum* interpretaretur, quod ab ea nigrum significaretur, pronunciare non ausus est. Quare supervacuo hæc adjecit, si supervacaneè adjecta non solùm ad propositum inutilia, verumetiam omnino falsa dicere oportet, neglexitque omnino præcipua quæ ab Hippocrate pronunciata sunt: quisnam sit tremorum affectus, quæ in tremulis manibus sedes affecta, aut unde varia sputa, & multa his succedentia, de quibus ego disserui. Nihil enim horum prorsus speculatus ceu quæstionem, quod nequaquam omnino quæstio sit, ad verbum sibi ita objicit: *Septimo die os distortum est.* Atque videtur historia ipsa cum ea quæ in aphorismis sic habet sententia: *In febre non intermittente si labrum, aut nasus, aut oculus, aut supercilium pervertatur, si non videat, si non audiat, imbecillo jam corpore, quicquid horum acciderit; mors proxima.* Hæc est Lyci oratio sibi tanquam quæstionem objicientis quæ nullam prorsus ambiguitatem continet. In aphorismis enim dixit: *Imbecillo jam corpore*; At Pythioni non imbecillo os distortum est. Enimvero quum solvit Lycus quod ipse objecerat, nihil aliud ad solutionem protulit, quàm quod nunc dictum est. Itaque quod manifestum erat, id tanquam dubium proposuit. Ex cæteris verò nihil quod artem esset utile, quæsivit; neque quisnam esset affectus Pythioni, quo oborta essent descripta symptomata, quis item locus, aut qui essent affecti. Imo neque quod de venæ sectione prætermissum erat, indicavit. Humorum etiam temperamentorumque non solum nunc non meminit, vel cæli status; sed neque in ulla alia ægrorum explanatione quam potissimum oportebat considerare qui Hippocratis Librum interpretabatur ac si Asclepiadem exponeret, poros & tumores, ac incompacta elementa, & ad tenuium partium lationem ipsum dicere oportebat: Ad hæc enim ille principia reducit omnia. Calidum verò, frigidum, humidum, & siccum causas statuit Hippocrates, quemadmodum ambientem aërem in animantium corporibus: sic & quatuor humores temperamento inter se discrepantes ait tum sanitatis, tum morborum causas: Sanitatis quidem, quum inter se commoderate se habuerint, morborum verò quum vel exuperaverint, aut defecerint, aut ex peculiari loco in alienum transierint. Itaque ad hæc principia etiam qui ante Lycum & Quintum aliquem Hippocratis Librum explicarunt

Empirici, prorsus agere student, quemadmodum in comœdiarum actibus nonnulli propriam inductæ personæ simul actionem servant: Nam ut qui Erasistratum interpretantur, rectè se de humoribus vel temperamentis verba facere putant, sic qui dicere aliquid in Hippocraticum Librum aggreditur, rectè facit, si ad vocem illius scopum explicationis dirigat. Sed fortassis Lyci tanquam notho Hippocratis sectæ æmulo indulgere in his quibus delinquere videtur, est melius, nisi quis hoc ipso incuset, quod quum enarrationes scribere nequeat, agat fabulam. Id enim huic simile est, si comœdiam aggrediaris, & agere nequeas. Si quis verò ad eos qui se Hippocraticos nominant, accesserit, non rectè ipsis veniam dederit, ubi spuriorum externorum sectæ Hippocraticæ æmulorum instar aberraverint. Quum verò & eorum errores non solùm ab Hippocratis sententia, verumetiam ab ipsa rerum veritate secesserint, eos dupliciciter quisque incusaverit; Optimum siquidem est consentaneum interpretem utrunque hunc scopum habere, & authori consentanea; & vera dicere. Qui alterum duntaxat servat, is quod dimidium totius labefactaverit, culpandus est. Qui vero interpres neque vera, neque libri authori consentanea loquitur, summè peccare existimandus est. Cæterùm Sabinus, ipsiusque discipulus Metrodorus, quanquam superioribus Hippocraticis accuratiores esse existimati sunt, tamen & Hippocratem ipsi sæpius malè explicare videntur. Atque statim in proposito ægroto iis verbis proferunt. Ut enim convulsio tum à vacuatione, tum repletione fit: ita & tremor qui parva est convulsio, à contrariis absolvitur. De causa igitur quâ ejusmodi fiant affectus Dogmaticorum virorum, non Empiricorum est disserere. Attamen ipsos cognoscere atque ab invicem discernere posse etiam Empiricis necessarium est. Videtur autem primùm in ea ipsa re Sabinus deceptus, quod tremorem parvam esse convulsionem dixerit: Toto nanque genere inter se differunt hi affectus. At functionum læsiones affectus, aut symptomata vocare nihil differt: Non enim affectus quidem in solidis animalis partibus existunt, ut œdema, phlegmone, & scirrhus. Sed ut functiones in fieri suam existentiam assumunt, non autem quòd constanter eo in habitu existant, sic & earum affectiones: Quum enim omnis motus in fieri suam existentiam sortiatur, quumque sit in animalibus voluntarius quidam motus, quemadmodum alter involuntarius, ac naturalis, voluntarii læsiones in musculorum motibus fiunt, à quibus & qui secundum naturam sunt, eos scimus perfici. Verùm quod in ipsis secundum naturam est, unum & simplex existit; quod vero præter naturam, in primis quidem duabus differentiis aut præter voluntatem, aut ex voluntate, non tamen secundum naturam, sed ex impetu dicere, vel ex voluntate quantum ad præsens attinet, nihil interest. Ex motibus autem qui citra arbitrium fiunt, in instrumentis ex voluntate moveri solitis, alius convulsio appellatur, alius palpitatio, alius rigor, inter se differentes: Sed de his universè uno integro Opere dictum est. Motus vero qui secundum arbitrium & non secundùm naturam editur, una est species qui tremor vocatur, de quo nunc disserere necessarium est:

A Ἐμπειρικοὶ, πάντως ἄγειν πειρῶνται, καθάπερ ἐν δράματι φυλάττοντες ἔνιοι τὴν οἰκείαν ὑπόκρισιν τοῦ περικειμένου προσώπου· ὡς γὰρ Ἐρασίστρατον ἐξηγούμενός τις, ὀρθῶς ἂν ἀπέχοιτο τοῦ περὶ χυμῶν λέγειν, ἢ κράσεων, οὕτως ὁ λέγειν ἐπιχειρῶν ὁτιοῦν εἰς Ἱπποκράτειον σύνταγμα, τὴν ἐκείνου φωνὴν ὀρθῶς ἂν ποιοίη σκοπὸν τῆς ἐξηγήσεως. ἴσως οὖν ἄμεινόν ἐστι Λύκῳ μὲν συγγνώσκειν ὡς νόθῳ τῆς Ἱπποκράτους αἱρέσεως, ἐν οἷς ἂν ἁμαρτάνων φαίνηται, πλὴν εἴ τις αὐτὸ τοῦτο μέμφοιτο, τὸ, γράφειν ἐξηγήσεις μὴ δυνάμενον,

B ὑποκρίνεσθαι τὸ δρᾶμα. παραπλήσιον γὰρ τοῦτο τῷ κωμῳδίαν ἐπιχειροῦν ὑποκρίνασθαι μὴ δυνάμενον. ἐπὶ δὲ τοὺς Ἱπποκρατείους ἑαυτοὺς ὀνομάζοντας ἐλθών τις, οὐκ ἂν εἰκότως αὐτοῖς συγγνοίη, παραπλήσια τοῖς ξένοις τε καὶ νόθοις τῆς αἱρέσεως, ἐσφαλμένοις. ὅταν δὲ καὶ τὰ σφάλματα αὐτῶν οὐ μόνον ἀποχωρῇ τῆς Ἱπποκράτους γνώμης, ἀλλὰ καὶ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας, διπλασίως ἄν τις αὐτοῖς μέμψαιτο. κάλλιστον μὲν γάρ ἐστιν ἀμφοτέρως ἔχεσθαι τὸν σκοπὸν τῶνδε τὸν ἀκόλουθον ἐξηγητὴν, ἀκόλουθά τε λέγοντα τῷ συγγραφεῖ καὶ ἀληθῆ. θάτερον δὲ μόνον φυλάττοντι, μεμπτέον

C ὡς τὸ ὅλου τὸ ἥμισυ διαφθαρκότι. τὸν δὲ μήτ' ἀληθῆ λέγοντα, μήτ' ἀκόλουθα τῷ γεγραφότι τὸ βιβλίον ἐξηγητὴν, ἐσχάτως ἄν τι ἁμαρτάνειν ὑποληπτέον. οἱ τοίνυν περὶ τὸν Σαβῖνον καὶ τὸν μαθητὴν αὐτοῦ Μητρόδωρον ἀκριβέστεροι δόξαντες εἶναι τῶν ἔμπροσθεν Ἱπποκρατείων, ὅμως καὶ αὐτοὶ φαίνονται μοχθηρῶς ἐξηγούμενοι πολλάκις τὸν Ἱπποκράτην· αὐτίκα γέ τοι κατὰ τὸν προκείμενον ἄρρωστόν φασιν αὐτοῖς ὀνόμασιν, ὡς γὰρ ὁ σπασμὸς γίνεται, καὶ ἀπὸ κενώσεως, καὶ ἀπὸ πληρώσεως, οὕτω καὶ ὁ τρόμος μικρὸς ὢν σπασμὸς,

D ἀπὸ τῶν ἐναντίων ἀποτελεῖται. περὶ μὲν οὖν τῆς αἰτίας ὑφ' ἧς γίνεται τὰ τοιαῦτα παθήματα, δογματικῶν ἀνδρῶν ἐστιν, οὐκ Ἐμπειρικῶν ἐπισκέψασθαι· τὸ μέντοι γνωρίζειν αὐτὰ, καὶ διακρίνειν ἀπ' ἀλλήλων, ἀναγκαῖόν ἐστι καὶ τοῖς Ἐμπειρικοῖς εἰδέναι. φαίνονται δ' ἐν αὐτῷ τούτῳ πρῶτον οἱ περὶ τὸν Σαβῖνον ἐσφαλμένοι, μικρὸν σπασμὸν εἰπόντες εἶναι τὸν τρόμον· ὅλῳ γὰρ τῷ γένει διενήνοχεν ἀλλήλων τὰ πάθη, ἐδὲν διαφέρει καλεῖν, ἢ συμπτώματα τὰς βλάβας τῶν ἐνεργειῶν πάθη δέ. οὐ γὰρ διαθέσεις γέ τινες ἐν τοῖς στερεοῖς τοῦ ζώου μορίοις εἰσὶν, ὡς οἴδημα, καὶ φλεγμονὴ, καὶ σκίρρος, ἀλλ'

E ὥσπερ αἱ ἐνέργειαι κατὰ τὸ γίνεσθαι λαμβάνουσι τὴν ὕπαρξιν, οὐ κατὰ τὸ μονίμως καθ' ἕξιν ὑπάρχειν, οὕτω καὶ τὰ παθήματα αὐτῶν, ἁπάσης γὰρ κινήσεως ἐν τῷ γίνεσθαι τὸ εἶναι κεκτημένης, καὶ οὔσης γέ τινος ἐν τοῖς ζώοις προαιρετικῆς κινήσεως, ὥσπερ ἑτέρας, ἀπροαιρέτου καὶ φυσικῆς, αἱ βλάβαι τῆς προαιρετικῆς ἐν ταῖς τῶν μυῶν γίνονται κινήσεσιν, ὑφ' ὧν καὶ τὰς κατὰ φύσιν ἴσμεν ἀποτελουμένας. ἀλλὰ τὸ μὲν κατὰ φύσιν ἐν αὐταῖς, ἓν ἁπλοῦν ἐστι. τὸ δὲ παρὰ φύσιν, ἐν πρώταις μὲν δύο γίνεται διαφοραῖς,

F ἤτοι χωρὶς προαιρέσεως, ἢ κατὰ προαίρεσιν, ἔστι μὲν οὐ κατὰ φύσιν. διαφέρει δ' οὐδὲν, ἤτοι καθ' ὁρμὴν εἰπεῖν, ἢ κατὰ προαίρεσιν εἴς γε τὸ παρόν. αὐτῶν δὲ τῶν ἄνευ προαιρέσεως γινομένων κινήσεων, ἐν τοῖς προαιρετικοῖς πεφυκόσι κινεῖσθαι, τὸ μέν τοι σπασμὸς ὀνομάζεται, τὸ δὲ παλμὸς, τὸ δὲ ῥῖγος, ἀλλήλων διαφέροντα. καθόλου δὲ περὶ τούτων λέλεκται δι' ἑνὸς ὅλου βιβλίου· τῆς δὲ κατὰ προαίρεσιν μὲν, οὐ κατὰ φύσιν δὲ κινήσεως γινομένης, ἓν εἶδός ἐστιν ὃ καλεῖται τρόμος, ὑπὲρ οὗ νῦν ἀναγκαῖόν ἐστιν εἰπεῖν,

ἐπεὶ καὶ περὶ τῶν ἄλλων ἕνεκα τούτου λέλεκταί τι. γίνεται τοίνυν ὁ τρόμος, οὐ μόνον ἐπὶ μυσὶ νοσοῦσί τε καὶ νεύροις, ἀλλὰ καὶ κατὰ φύσιν ἔχουσιν, ὅταν ὑπὲρ τὴν δύναμίν τις ἐπιχειρήσῃ βάρος ὁποιονοῦν, ἢ ταῖς χερσὶ βαστάζων, ἢ τοῖς ὤμοις ἀναθέμενος. ὁρῶνται γοῦν ἔνιοι τῶν ἰσχυροτάτων νεανίσκων ἐν τῷ βαστάζειν ὑπέρβαρύ τι, τρομώδεις τοῖς σκέλεσι γινόμενοι, καὶ μάλισθ' ὅταν ἀναβαίνειν ἐπιχειρήσωσι κλίμακας. ὅπερ δ' ἐκείνοις ἐπὶ μεγίστοις ἄχθεσι, τοῦτο γέρουσί τε καὶ τοῖς ἄλλως ἀσθενέσιν, ἐπὶ τοῖς ἐλάττοσι γίνεται. βαρέα γὰρ ἤδη καὶ ταῦτα τοῖς ἀσθενέσι, καὶ τοίνυν καὶ πάθη τινὰ ψυχικὰ, τρομώδεις ἐργάζεται. λέλεκται γοῦν κἀν τῷ περὶ χυμῶν τὸ παρὰ κρημνὸν παριόντι τὰ σκέλεα τρέμειν, διὰ τὸν φόβον δηλονότι τὸν καταλύοντα τὴν δύναμιν. ὥσπερ εἰ καὶ ἄλλος τις ἔδεισεν ἐπερχόμενον ἰδὼν θηρίον, ἢ λῃστὰς, ἢ πολεμίους. εἰκότως οὖν ἡμῖν ἀποδέδεικται κατὰ τὸ περὶ τρόμου, καὶ σπασμοῦ, καὶ παλμοῦ, καὶ ῥίγους ὑπόμνημα, δι' ἀρρωστίαν δυνάμεως ἀεὶ γίνεσθαι τρόμον. ἐπεὶ δ' ἐνίοτε μὲν αὐτὴ καθ' ἑαυτὴν ἐστὶν ἄρρωστος, ἐνίοτε δὲ διὰ πάθος ψυχικὸν, ἢ καὶ μηδ' ὅλως πεπονθυῖα, κατὰ τὸν ἴδιον λόγον, ὑπὸ βαρέος φορτίου τοῦτο πάσχει. τρεῖς αὐτοῦ ἔφαμεν εἶναι διαφορὰς τῶν αἰτίων, δυσκρασίαν τῶν προαιρετικῶν ὀργάνων, πάθος ψυχικὸν, βαρὺ ὂν φορτίον. ὅτε οὖν μήτε δείσαντι, μήτε βαστάζοντι φορτίον ὁ τρόμος γίνηται, δυοῖν θάτερον, ἢ δυσκρασία τῶν ὀργάνων ἐστὶν, ἢ τι βάρος ἐν αὐτῷ τῷ σώματι περὶ τοὺς μῦς, ἢ τὰ νεῦρα. πρόκειται δέ τις ἀπάτη τῷ λόγῳ, περὶ ἧς εἴρηται κατὰ τὸ περὶ τρόμου, καὶ σπασμοῦ, καὶ παλμοῦ, καὶ ῥίγους ὑπόμνημα. φαίνονται γάρ τινες καὶ ταῖς χερσὶ, καὶ τῇ κεφαλῇ τρομώδεις, οὐδὲν τῷ προαιρεῖσθαι κινεῖν τὰ μόρια, καὶ δοκεῖ κατὰ τοῦτο ψευδῶς εἰρῆσθαι προαιρουμένοις ἐνεργεῖν τι γίνεσθαι. ἀλλ' ἐὰν ἐννοήσῃ ὡς ἐπὶ προσκεφαλαίου καταθέμενός τις τὸν αὐχένα, παύεται τρέμων τὴν κεφαλὴν, ἀποθέμενός τε τὰς χεῖρας, οὐκέτ' οὐδὲ ταύτας τρέμει, πιστεύσεις ὀρθῶς εἰρῆσθαι τοῖς ἀργοῦσι παντάπασιν ὁποιονοῦν, οὐ γίνεσθαι τρόμον ἐν αὐτῷ. ἐὰν δ' ἐξαίρωσιν, ἢ φυλάττωσιν ἐξηρημένον αὐτὸ, τηνικαῦτα γίνεσθαι τὸ σύμπτωμα. τοσοῦτον γὰρ δέουσιν ἡσυχάζειν τοῖς μυσὶν οἱ οὕτως ἐνεργοῦντες, ὥστε τοὺς ἀντιτεταγμένους ἀλλήλοις ἅμα κινοῦσιν. οἷον ἐπὶ χειρὸς, ὅσοι τ' ἐξαίρουσι, καὶ ὅσοι κατασπῶσι τὸ μόριον, ἐκτείνουσί τε καὶ κάμπτουσι, καὶ ῥωμαλεωτέρας τῆς δυνάμεώς ἐστι χρεία τοῖς ἐπηρμένην ἐγγώνιον τὴν χεῖρα φυλάττουσι, τῶν ἐκτεινόντων, ἢ καμπτόντων αὐτήν. ὡς μὲν γὰρ ἐκτείνοντες, ἑνὶ γένει τῶν μυῶν ἐνεργοῦσι τῷ τοῦτο πεφυκότι δρᾶν, ἀργούντων τηνικαῦτα τῶν καμπτόντων αὐτήν. οἱ δὲ κάμπτοντες, ἐνεργοῦσι μὲν τοῖς κάμπτεσθαι πεφυκόσι. ἀργοῦσι δὲ τοῖς ἐκτείνειν δυναμένοις. ἐὰν δ' ἐπάρας τις ἐγγώνιον ὑψηλὴν ἔχῃ τὴν χεῖρα, μήτε κάμπτων, μήτε ἐκτείνων, ἰσοσθενῶς ἀμφοτέροις τοῖς μυσὶν ἐνεργεῖ, καθάπερ ἐν τοῖς καλουμένοις τετάνοις. οὐκοῦν ἐλάττονός ἐστιν ἰσχύος χρεία, τοῖς ἐπὶ ταὐτοῦ σχήματος, ἢ τὸ σκέλος, ἢ τὸν τράχηλον, ἢ τὴν χεῖρα φυλάττουσιν, ἄνευ τοῦ κατά τινος ἐρηρεῖσθαι στερεοῦ σώματος, ὀχοῦντός τε καὶ βαστάζοντος τὸ κῶλον. ἀλλ' ὅταν μὲν ὑπερέχῃ πολλῷ τοῦ βάρους τῶν βασταζομένων μορίων ἡ κινοῦσα δύναμις αὐτὰ, ῥᾳδίως μὲν ἐξαίρει, ῥᾳδίως δ' ἐξηρημένα φυλάττει. ὅταν δὲ ὑπερέχηται πολλῷ.

A quoniam & de cæteris hujus gratia quiddam enarratum est. Fit igitur tremor non solùm tum musculis, tum nervis ægrotantibus, verumetiam secundùm naturam se habentibus, quum quis supra vires quodcunque pondus aut manibus bajulare, aut humeris imponere contendit. Itaque nonnulli conspiciuntur juvenes robustissimi dum prægrave gestant onus aliquod, cruribus obtremiscere, ac maximè quum scalas ascendere tentaverint. At quod illis in maximis ponderibus, id & senibus, atque aliter imbecillis ex minoribus accidit. Hæc namque
B etiam gravia jam imbecillis existunt. Quidam etiam animi affectus tremores efficiunt. Nam & libro de tumoribus pronunciatum est, transeunti per præcipitem locum crura tremere, quod videlicet maximus terror vires dissolvat, quemadmodum etiam si quis alius accedentem feram aut latrones, aut hostes intuitus metuat. Itaque nos meritò in commentario de tremore, convulsione, palpitatione, & rigore tremorem ex facultatis infirmitate perpetuo fieri demonstravimus. At quia interdum quidem ipsa facultas per se imbecilla est, interdum vero ob
C animi affectum, aut etiam quia nequaquam propria ratione affecta ex gravi pondere hæc patitur; tres causarum ipsius esse differentias asseruimus, voluntariorum instrumentorum intemperiem, affectum animi, & oneris gravitatem. Si igitur neque metuenti, neque grave onus gestanti tremor fiat, è duobus alterum existit, aut instrumentorum est intemperies, aut in ipso corpore circa musculos vel nervos pondus. Sed quidam sermoni subest error, de quo in commentariis de tremore, convulsione, palpitatione, & rigore diximus. Quidam enim con-
D spiciuntur & manibus & capite tremere, partes movere non proponentes, atque ob id falso dictum esse videtur quod instituentibus agere quippiam eveniat. Verùm si intellexeris reclinato cervicali collo capitis tremorem desistere; manusque depositas non amplius ipsas tremere, credes merito dici quibus quæcunque pars otiatur, ipsi prorsus tremorem non oboriri. Si vero attollant, aut sublatum illud servent, tunc fieri symptoma. Tanta siquidem musculorum requie indigent, qui ita agunt, ut etiam oppositos inter se musculos simul moveant. Exem-
E pli gratia in manu & qui attollunt, & qui deprimunt, partem eam tum extendunt, tum flectunt. Robustiori etiam opus est facultate his qui manum in angulum ductam sublimem servant, quàm qui ipsam extendunt aut flectunt. Qui nanque extendunt, uno musculorum genere ad id rei efficiendum natura comparato operantur, feriatis tunc ipsam flectentibus. Qui vero flectunt, operantur quidem flectere natura solitis; feriantur autem extendere valen-
F tibus. Si quis vero sublatam in angulum, & sublimem manum sortiatur, neque flectat, utrisque æqualiter musculis operatur, quemadmodum in tetanis vocatis. Non igitur minore his opus est robore, qui in ejusmodi figura vel crus, vel collum, vel manum servant citra ullam solidi corporis fulturam membrum tum vehentis, tum portantis. At quum ipsorum motrix facultas vectarum partium gravitate longè superior fuerit, facile quidem attollit, facile quoque sublatas servat. Quum verò multò inferior fuerit

velut in resolutis, nullo pacto potest attollere. Quum autem æquè pollens existit, vicissim sigillatimque vincitur. Vincens siquidem in ipsa figura extensam manum servat; victa vero deorsum elabi sinit. Sed ausculta mihi id ita continuè fieri, ut victrix hæc membrum sustollat; victa mox à sursum sublatorum pondere deorsum ferri permittat; vincens vero rursum & illa simul facultatem eorum vindicans iterum attollere aggrediatur. Deinde quum hæc vicissitudo brevissima fiat inclinatione, & quum infra jacet, sursum quamprimum revellatur, & quæ membrum attollit, statim deorsum ex adverso ducat; neque exactè tum inconcussum, tum stabile servetur membrum; sed neque motus habeat in utranque partem effatu dignos, qui brevibus & temporum & locorum intervallis serventur. Itaque tremor talis quidam existit motus, ut paucis complectar quæ latius in prædicto libro narrata sunt. Quæ vero in morboso rigore fit partium concussio, & arbitratu, & magnis contrariarum motionum sibi invicem succedentium intervallis simul cum sensu frigoris perficitur. Simile quodammodo huic pathemati existit aliud tum musculorum, tum nervorum, quod convulsio appellatur; simili quidem in omnibus atque per organa ipsa existente in illis motione, quæ & in eo quod impetu proprio ipsa moveantur, evenit; sed hoc solo differt quòd non proprio impetu ipsa moveantur. De palpitatione hoc in loco disserere supervacaneum est, ne & de pulsu dicere cogar, qui cum palpitatione quandam communitatem habere videtur. Satis enim jam mihi etiam verba de tremore præter institutum in explanatorio libro producta sunt. At desideranti accuratè omnium prædictorum tum dignotionem, tum generationem perdiscere, liber legendus est, in quo de his omnibus perfectè disserui, quando & de singultu & tussi, & sternutamento, & de cæteris quibusdam ejusmodi motibus à me quidem in libris de symptomatum causis definitum est, quum & dignotiones & differentias motuum, atque eorum causas, à quibus proficiscuntur, percurrerem. Sabinus autem in talibus omnibus, aut plus, aut minus quiddam neglexit. Quare contrario modo Quintus & Lycus tanquam illo prudentiores admittendi sunt, quòd nihil quicquam de hisce pronunciare non sint aggressi; sed ut Empirici interpretationes fecerint. Etiamsi Empiricorum nonnulli, quemadmodum declaravi, ceu in comœdia indutam personam agant, qui quum Hippocraticum quidem librum explicant ut Hippocratici, Erasistrati tamen, & Herophili, & Asclepiadis, aliorumque ab illis cujusque sectæ esse produntur. quod itaque semper dico, ubi nunc dixero, ad aliud pergam. Singulorum quæ scire Medicum oportet, ubi doctrinam seorsum fecerit, ita ad librorum Hippocratis explanationes accedere consentaneum est, conclusiones quidem in horum singulis demonstrandas recordatum, sed demonstrationes ipsas non commemorantem. Id sanè nos præstitimus; alius vero nullus eorum qui in Hippocratis opera scripserunt. Cæterum in his aberrarunt omnes. Alia siquidem est quæ res ipsas docet institutio quæ accuratè fusa oratione absolvitur. Ab ea vero differt quæ in operum explicatione con-

A καθάπερ ἐπὶ τῶν παραλελυμένων, οὐδ' ὅλως ἐξαίρει δύναται. ὅταν δ' ἰσοσθενής πως ὑπάρχῃ, νικᾶται κατὰ μέρος. νικῶσα μὲν, ἐπὶ τοῦ αὐτοῦ σχήματος φυλάττει τὴν ἀνατεταμένην χεῖρα. νικωμένη δὲ, ὑπορρεῖν ἐᾷ κάτω. νόησον δέ μοι τοῦτο γίνεσθαι συνεχῶς οὕτως, ὡς ἅμα μὲν τὴν νικήσασαν ταύτην ἀναφέρειν τὸ κῶλον, εὐθέως νικηθεῖσαν ὑπὸ τοῦ βάρους τῶν ἀναφερομένων, ἐπιτρέπειν αὐτὴν ἀναφέρεσθαι κάτω, ἀλλὰ δ' αὖ πάλιν τῷ νικᾶν ἐκεῖνα, τὴν δύναμιν ἀντιλαμβανομένην αὐτῶν, αὖθις ἀναφέρειν ἐπιχειρεῖν. εἶτ' ἐλαχίστῃ ῥοπῇ τῆς ἀμοιβῆς ταύτης γινομένης, καὶ τῆς μὲν ἐπὶ τῷ κάτω κειμένης, B ἀντισπωμένης εὐθέως ἄνω, τῆς δ' ὑψούσης τὸ κῶλον ἀνθελκομένης κάτω παραχρῆμα, μήτ' ἀκριβῶς ἀκλονόν τε καὶ ἀτρεπὲς φυλάττεσθαι τὸ κῶλον, ἀλλὰ μηδ' ἀξιολόγους ἔχειν ἐφ' ἑκάτερα τὰς κινήσεις, ἐν βραχέσι διαστήμασι καὶ χρόνων καὶ τόπων φυλαττομένας. ὁ μὲν δὴ τρόμος, τοιαύτη τίς ἐστι κίνησις, ὡς ἐν ὀλίγῳ περιλαβεῖν, ἃ διὰ μακροτέρων εἴρηται κατὰ τὸ προδεδηλωμένον. ὁ δ' ἐν τῷ νοσώδει ῥίγει γινόμενος κλόνος τῶν μορίων, αὐτοῦ τε προαιρέσεως ἀποτελεῖται, καὶ κατὰ μεγάλα διαστήματα τῶν ἐναντίων κινήσεων ἀλλήλας C διαδεχομένων ἅμα ψύξεως αἰσθήσει. παραπλήσιον δ' ἐστί πως τούτῳ πάθος, ἄλλο μυῶν τε καὶ νεύρων, ὃ καλεῖται σπασμός, ὁμοίας μὲν κατὰ πάντα καὶ διὰ τῶν αὐτῶν ὀργάνων γινομένης ἐν αὐτοῖς τῆς κινήσεως, ἣ κἂν τῷ καθ' ὁρμὴν αὐτὰ κινεῖσθαι γίνεται. διαφερούσης δὲ μόνῳ τῷ μὴ καθ' ὁρμὴν, ὁπότε σπᾶται, κινεῖσθαι. περὶ δὲ παλμοῦ ἔστι μοι περιττὸν λέγειν ἐνταῦθα, μή πως ἀναγκασθῶ καὶ περὶ σφυγμοῦ λέγειν, τινὰ κοινωνίαν ἔχειν φαινομένου πρὸς παλμόν. ἱκανῶς γὰρ ἤδη μοι, καὶ τὰ περὶ τοῦ τρόμου μεμήκυνται παρὰ τὴν ἐμὴν D προαίρεσιν ἐν ἐξηγητικῷ βιβλίῳ. τῷ βουλομένῳ δ' ἀκριβῶς ὑπὲρ ἁπάντων τῶν εἰρημένων συμπτωμάτων ἐκμαθεῖν τῆς τε διαγνώσεως καὶ τῆς γενέσεως, ἔξεστιν ἀναγινώσκειν τὸ βιβλίον, ἐν ᾧ τελέως ὑπὲρ ἁπάντων διῆλθον. ἐπεί τοι καὶ περὶ λάρυγγος, καὶ περὶ βηχὸς, καὶ πταρμοῦ, καί τινων ἑτέρων τοιούτων κινήσεων, ἐμοὶ μὲν ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις διώρισται, τάς τε διαγνώσεις, καὶ τὰς διαφορὰς τῶν κινήσεων, καὶ τὰς αἰτίας αὐτῶν ὑφ' ὧν γίνονται διελθόντι. τοῖς δὲ περὶ τὸν Σαβῖνον ἐν ἅπασι τοῖς τοιούτοις, ἢ μεῖζον, ἢ μεῖόν E τι παραλέλειπται, ὥστε πάλιν ἑτέρῳ τρόπῳ τοὺς περὶ Κόϊντον καὶ Λύκον ὡς φρονιμωτέρους ἐκείνου ἀποδεκτέον ἐστὶν, ὅτι μηδ' ἐπικεχείρηνται εἰπεῖν τι περὶ τῶν τοιούτων, ἀλλ' ὡς ἐμπειρικοὶ τὰς ἐξηγήσεις ἐποιήσαντο. καίτοι τῶν Ἐμπειρικῶν ἔνιοι, καθάπερ ἔφην, ὡς ἐν δράματι τὸ παρακείμενον ὑποκρίνονται πρόσωπον, Ἱπποκράτειον μὲν ἐξηγούμενοι βιβλίον ὡς Ἱπποκράτειοι, τῶν δ' Ἐρασιστράτου τε, καὶ Ἡροφίλου, καὶ Ἀσκληπιάδου, καὶ τῶν ἄλλων ἐπ' ἐκείνων ἑκάστου τῆς αἱρέσεως ὄντες. ὅπερ οὖν ἀεὶ λέγω, καὶ νῦν εἰπὼν, ἐπ' ἄλλο τι μεταβήσομαι, τὴν ὑπὲρ ἑκάστου διδασκαλίαν F ὧν ἐπίστασθαι χρὴ τὸν ἰατρὸν ἰδίᾳ ποιησάμενον, οὕτως ἐπὶ τὰς ἐξηγήσεις ἔρχεσθαι προσήκει τῶν Ἱπποκράτους βιβλίων, τὰ μὲν συμπεράσματα ἀποδεῖξαι, καθ' ἕκαστον αὐτῶν ἀναμιμνήσκοντι, τῶν δ' ἀποδείξεων αὐτῶν μὴ καταμνημονεύοντι. τοῦτ' οὖν ἡμεῖς μὲν ἐποιήσαμεν, ἄλλος δ' οὐδεὶς τῶν γεγραφότων ἐξηγήσεις τῶν Ἱπποκράτους συγγραμμάτων, ἀλλ' ἥμαρτον ἐν τούτοις ἅπαντες. ἄλλη μὲν γάρ ἐστιν ἡ διδάσκουσα τὰ πράγματα διδασκαλία κατὰ διέξοδον ἀκριβῶς γινομένη. διαφέρουσα δ' αὐτῆς, ἡ κατὰ τὰς ἐξηγήσεις τῶν συγγραμ-

μάτων, οὐ ταὐτὸν ἑκατέρα τὸ προκείμενον ἔχουσα. τῆς μὲν γὰρ κατὰ διέξοδον σκοπός ἐστιν ἀληθείας εὕρεσις. ἐν δὲ ταῖς ἐξηγήσεσι, πρόκειται γνῶναι τὴν δόξαν τοῦ παλαιοῦ. προμεμαθηκότα γοῦν ἀκριβῶς ἕκαστα, μετὰ ταῦτα χρὴ πρὸς τὰς ἐξηγήσεις ἔρχεσθαι τῶν παλαιῶν συγγραμμάτων, τὸ μὲν πρῶτον ἔχοντα εὑρεῖν τὴν γνώμην τοῦ παλαιοῦ, δεύτερον δ᾽ ἐπ᾽ αὐτῇ, πότερον ὀρθῶς, ἢ οὐκ ὀρθῶς εἴρηται τὰ γεγραμμένα. καὶ τοῦτο ποιεῖν ἀναμιμνήσκοντα τῶν ἀποδεδειγμένων ἐν ταῖς πραγματείαις ὑφ᾽ ἑκάστου τῶν κατὰ τὴν ἰατρικὴν θεωρημάτων. ὅσοι δὲ τῶν ἐξηγουμένων, ἀπόδειξιν οἷς λέγουσιν ἐπιφέρειν οὐ δύνανται, περιλαλήσαντες τοὺς ἀκροατὰς, ἀποστέλλουσι τῇ δόξῃ τοῦ συγγραφέως, ἀξιοῦντες ἃ λέγουσι, δι᾽ ἐκείνων πιστεύεσθαι. καὶ διὰ τοῦτο μεταβαίνουσιν ἀπὸ ῥήσεων ἐπὶ ῥήσεις, οὐδ᾽ οὖν οὐδὲ ταύτας τι συντελούσας τοῖς προκειμένοις. ὅτι δ᾽ ἀδύνατόν ἐστι τὰς ἀποδείξεις τῶν ἐπιστημονικῶν λόγων ἐν ταῖς ἐξηγήσεσι γράφειν, κἀξ αὐτῶν τῶν νῦν εἰρημένων ἐστὶ δῆλον. οὐ μόνον γὰρ ἐπὶ Πυθίωνος, ἀλλὰ καὶ πολλῶν ἀρρώστων, Ἱπποκράτης μεμνημένος τῶν εἰρημένων συμπτωμάτων, εἰ μὲν ἐπὶ πάντων τις ἀναποδείκτως ἀποφαίνοιτο τὰ δόξαντα, διδασκαλίαν οὐδεμίαν ἐπιστημονικὴν ἐνθήσει ταῖς ψυχαῖς τῶν μαθητῶν. εἰ δὲ ἐπί τινων μὲν ἀρρώστων ἐρεῖ τὰς ἀποδείξεις, ἐπί τινων δὲ σιγήσει, κατὰ μὲν τὸ πρῶτον τῶν ἐπιδημιῶν, εἰ οὕτως ἔτυχεν εἰπὼν αὐτὰς ἁπάσας. ἐν δὲ ταῖς ἄλλαις ἀναπέμψας εἰς ἐκείνας, τὸ πρὸς ἡμῶν εἰρημένων ἐργάσεται, καθ᾽ ἓν μέν τι βιβλίον εἰπὼν τὸν τελεώτατον, ἅμα ταῖς ἀποδείξεσι λόγον, ἐν δὲ τοῖς ἄλλοις, τὰ συμπεράσματα αὐτοῦ γράψας. ἄτοπον δ᾽ αὐτὸ τοῦτο καθ᾽ ἑκάτερον ἔσται τρόπον· εἰς μὲν γὰρ τὸ πρῶτον τῶν ἐπιδημιῶν, ἐὰν τοῦτό τις ἐξηγῆται, πρῶτον ἀναγκαῖον ἔσται πεντήκονθ᾽ ἡμῖν ὑπομνήματα γράψαι. δύο δ᾽, ἢ ἕν, εἰς ἕκαστον τῶν ἄλλων, ὥστε, κἂν προγνωστικόν τις, ἢ ἀφορισμοὺς ἀναγνῶναι βούληται, πρότερον ἀναγκαῖον αὐτῷ γίνεσθαι τὰς πεντήκοντα βίβλους ἀναγινώσκειν ἐξηγητικὰς τοῦ πρώτου τῶν ἐπιδημιῶν. οὕτως γοῦν κἂν ἀπ᾽ ἄλλου τινὸς ἄρξηταί τις ὑπομνήματα γράφειν, εἰς ἐκεῖνο μὲν γράψει τὰ πεντήκοντα. τῷ δ᾽ ἀναγνῶναι τι τῶν ἄλλων βουληθέντι, πρότερον ἀναγκαῖον ἔσται τὰ πεντήκοντα ἐκεῖνα βιβλία προαναγνῶναι, καὶ μὴν μακρῷ βέλτιον ἕκαστον τῶν προβλημάτων, ἢ θεωρημάτων, ἢ ὅπως ἄν τις ἐθέλῃ καλεῖν, ἰδίᾳ γεγραμμένον ἔχοντα, πρὸς ἐκεῖνο παραγίνεσθαι μόνον, ὅταν βουληθῇ τις ἐπιστημονικῶς διδαχθῆναι περὶ τῶν ἐν αὐτῷ γεγραμμένων. διὰ τοῦτ᾽ οὖν καὶ ἡμεῖς ὡς περὶ τρόμου, καὶ σπασμοῦ, καὶ παλμοῦ, καὶ ῥίγους, οὕτως καὶ περὶ τῶν ἄλλων ἁπάντων ἰδίᾳ πραγματευσάμενοι, τοῖς συμπεράσμασι τῶν ἀποδειχθέντων χρώμεθα κατὰ τὰς ἐξηγήσεις. ἀλλ᾽ οἵ γε περὶ τὸν Σαβῖνον, οὔτ᾽ ἤδη ἀποδείξαντες ὅπῃ διαφέρει τὰ τέτταρα ταῦτα πάθη, τρόμος, καὶ παλμὸς, καὶ σπασμὸς, καὶ ῥῖγος, οὔτ᾽ ἐνταῦθά τινα λόγον, εἰ καὶ μὴ βεβαίως ἀληθῆ, μηδ᾽ ἀποδεικτικὸν, ἀλλὰ πιθανὸν εἰπόντες, ἐν ἀρχῇ μὲν ἀπεφήναντο, μικρὸν εἶναι σπασμὸν, τὸν τρόμον. ὀλίγον δὲ προελθόντες, εἶδος σπασμοῦ τὸν τρόμον ἔφασαν ὑπάρχειν. ἀλλὰ γὰρ ἕνεκα τοῦ θᾶττον ἀπαλλαγῆναι τῶν παρὰ γνώμην ἐλέγχων, εἰς τοὺς μοχθηρῶς ἐξηγησαμένους, ὑποκείσθω τὸν τρόμον εἶναι σπασμὸν, ἢ εἶδος σπασμοῦ. πῶς οὖν ἐπὶ τοῦ Πυθίωνος ἐγένετο, παρ᾽ αὐτοῦ μάθωμεν· ὁ στόμαχος, φησιν, ἐπεπόνθει τῷ ἀνθρώπῳ, κἀξ ἐκείνου κατὰ συμπάθειαν, αἱ χεῖρες ἔτρεμον. ὅτε δ᾽

A sistit, neque idem habet utraque propositum. Nam ejus quæ fusa explicatione constat, scopus veritatis est inventio; in explanationibus autem senis sententia noscenda præponitur. Qui ergo exactè singula prius didicerit, is postea ad librorum Veterum expositiones deveniat oportet; habeatque hoc primum, ut senis mentem inveniat, secundo utrum rectè, an non rectè dicta sint quæ scriptis sunt prodita, idque faciat, demonstratorum in tractatibus de singulis Medicis præceptorum non immemor. Qui vero interpretes demonstrationem suis dictis in- B ferre nequeunt, loquacitate auditores obtundunt, & ab authoris sententia recedunt, suis narrationibus fidem adhiberi volentes, atque ob id à dictionibus ad dictiones transeunt, quæ ipsæ nihil sanè ad propositum conferunt. Quod autem non detur scientificorum sermonum demonstrationes in enarrationibus conscribi, ex iis quoque nunc enunciatis liquido constat. Non enim solum in Pythione, verumetiam in ægris multis dictorum symptomatum meminit Hippocrates. Si quis sanè in omnibus citra demonstrationem quæ placita enunciaverit, nullam C quæ scientiam pariat doctrinam, discipulorum animis infundet. Si vero in quibusdam ægris demonstrationem tradiderit, in aliis autem conticuerit, in primo quidem epidemiorum, si ita contigerit, eas omnes dixerit. In cæteris vero ad illas remiserit, quod à nobis dictum est efficiet, uno nimirum in libro sermonem cum demonstrationibus absolutissimum faciet, in aliis autem ipsius conclusiones scripturus: Sed id ipsum utroque modo absurdum est; nam in primum Epidemiorum si quis eum exponat, primum de necessitate quinquaginta Commentarii D erunt scribendi, duo autem vel unus in singulos alios. Quapropter si quis prognosticum, vel aphorismos legere velit, ipsi prius necesse est illos quinquaginta Commentarios primi Epidemiorum libri interpretes prælegere. Ita vero si quis ab alio quodam commentarios scribere cœperit, in illum quidem quinquaginta scribet: qui vero alium librum legere voluerit, illos quinquaginta libros ipsum prius legisse necessarium erit. Atqui longè satius est problematum unumquodque, vel theorematum, vel quovis modo quis vocare velit, seorsum scriptum habe- E re, atque ad illud solùm reverti, quum quis de scriptis in eo scienter doceri voluerit. Ob id sanè & nos ut de tremore, convulsione, palpitatione, & rigore, ita de aliis omnibus seorsum commentati, conclusionibus demonstratorum in explicationibus usi sumus. Sabinus vero qui neque demonstravit quo pacto quatuor eæ affectiones differant, tremor, palpitatio, convulsio, & rigor; neque hîc rationem ullam, etsi non comperto veram, neque demonstrativam, sed probabilem dixit; principio quidem F asseruit tremorem parvam esse convulsionem; paulò post autem procedens, speciem convulsionis tremorem esse protulit. Sedenim quò celerius ab his quæ præter mentem sunt reprehensionibus, desistamus, adversus pravos Interpretes conquesti, statuamus tremorem convulsionem esse, aut convulsionis speciem, ab eoque discamus quonam modo in Pythione factus sit. Stomachus (inquit) hominis afficiebatur, illiusque sympathiâ manus tremebant. At affectum

ullum stomachi ipsi fuisse demonstrare nemo potest; quum nullum prolatum syptoma in eorum quæ Pythioni contigerunt, explicatione, affectionis stomachi indicium nobis facere possit; neque quod societas quædam stomacho sit cum manibus demonstravit. Ipse nanque tribus modis consortia profitetur, aut propter viciniam, aut propter vel generis, vel operis familiaritatem. Generis quidem, quum nervosum nervoso, venosum venoso, & arterioso condolescit; Operis vero, quum mammæ & thorax genitalibus partibus compatiuntur. Verùm in harum communitatum nullâ, manus stomacho consentire possunt. Neque enim opus aliquod ipsis commune est, neque in nervis communitas ob quam nervosum in manibus genus ad affecti stomachi consensum perveniat. Ad stomachum enim à sexto cerebri conjugio nerui feruntur; ad manus vero dorsalis medullæ regione ad sextam, vel septimam, vel octavam vertebram. Partes ergo à sexta conjugatione nervos sortitas stomacho, non manus compati rationi consentaneum est. Atque de tremore talia nugantur qui propter veneris abstinentiam Pythionem plenitudinem accumulasse putant. Atqui venus quidem quanquam ex vacuatione non sinit plethoram subali (demus enim hoc ipsis) abundè tamen stomachum exoluit, quum veneris abstinentia robustissimum ipsum efficiat, etiamsi plenitudinem acervet. Si quis autem temperanter vivat, putare plenitudinem ipsum accumulare, valdè absurdum est. Non enim his, sed ociosis plenitudo efficitur. Si quis verò abacta venere, ita exerceatur ut athletæ, fossores, messores, aut manuariam aliquam agentes artem, plenitudinem non acervat. Verum quia quæ norunt conticere nequeunt, contingit sero discentibus ut pugnantissima promant, dum intempestivè nugantur. Nam quæ fuit necessitas scribendi Democritum quidem dixisse coitum epilepsiam parvam esse; Epicurum vero veneris usum nunquam prodesse, jucundum tamen si non læserit? In ægris siquidem ob immoderatam venerem dici hos sermones oportebat; non autem in his qui adversam sibi vivendi formam instituerunt. Verumtamen hæc quoque scripsit Sabinus contradictionem non percipiens. Absurdissimum etiam est ob veneris abstinentiam Pythionem delirasse. Ait enim acervatam in cerebro genituram plenitudine gravatam delirium symptoma efficere; ut os in capitis fracturis premens, & manus nostra delirium procreare consuevit. Quare rursum terebrato nulli se adfuisse demonstrat. Quum quis autem aut digitis cerebrum cum meningibus presserit, aut per vocatas meningum custodes, aut etiam ante perforationem os impressum hasce partes premat, deliria non fiunt, sed cataphoræ profundæ, & anæstesiæ contingunt soporatis vehementer ita interdum affectis; quemadmodum in vehementibus apoplexiis. Et vero quum varia sputa ob genituræ retentionem facta esse dicant, sed omnium minime, ipsis contradicere honestissimum non est. Qui nanque studiosè studio nullo digna arguit, is sibi ipsi injuriam facit. Atqui non hæc solùm, verumetiam & alia multa his similiter dicta sunt, inter quæ hoc unum est. Aiunt enim factum Pythioni ad sedem abscessum, propter loci quo genituræ excretio fit, vi-

A ὅτι πάθος ἦν τι περὶ τὸν στόμαχον αὐτῷ τίς δεῖξαι δύναται, μηδενός γε συμπτώματος εἰρημένου κατὰ τὴν διήγησιν τῶν συμβάντων τῷ Πυθίωνι, δυναμένου τὴν ἔνδειξιν ἡμῖν ποιήσασθαι τοῦ περὶ τὸν στόμαχον πάθους, οὔθ' ὅτι κοινωνία τίς ἐστι τῷ στομάχῳ πρὸς τὰς χεῖρας ἔδειξαν. αὐτοὶ γὰρ λέγουσι τὰς κοινωνίας γίνεσθαι τριχῶς, ἢ διὰ γειτνίασιν, ἢ διὰ τὴν κατὰ γένος, ἢ ἔργον οἰκειότητα· κατὰ γένος μὲν, ὅταν τὰ νευρώδεις τοῖς νευρώδεσι, καὶ τὰ φλεβώδεις τοῖς φλεβώδεσι, καὶ τὰ ἀρτηριώδεις τοῖς ἀρτηριώδεσι συμπάσχῃ. κατ' ἔργον δὲ ὅταν οἵ τιτθοί τε καὶ ὁ
B θώραξ τοῖς γεννητικοῖς μορίοις, ἀλλ' οὐδὲ κατὰ μίαν τούτων τῶν κοινωνιῶν αἱ χεῖρες τῷ στομάχῳ δύνανται συμπάσχειν. οὔτε γὰρ ἔργον τι κοινὸν αὐταῖς ἐστιν, οὔτε κατὰ νεῦρα κοινωνία, δι' ἣν τὸ νευρῶδες ἐν ταῖς χερσὶ γένος εἰς συμπάθειαν ἀφίξεται στομάχῳ παθόντι. τῷ μὲν γὰρ στομάχῳ, παρὰ τῆς ἕκτης τῆς ἀπ' ἐγκεφάλου συζυγίας παραγίνεται νεῦρα. ταῖς δὲ χερσὶν, ἀπὸ τῆς κατὰ τὸν ἕκτον, καὶ ἕβδομον, καὶ ὄγδοον σπόνδυλον χώρας τοῦ νωτιαίου μυελοῦ. εὔλογον οὖν ὅσα παρὰ τῆς ἕκτης συζυγίας νεῦρα ἔχει μόρια, συμπάσχειν τῷ στομάχῳ, μὴ τὰς χεῖρας.
C περὶ μὲν δὴ τοῦ τρόμου τοιαῦτα ληροῦσιν, οἱ διὰ τὴν τῶν ἀφροδισίων ἀποχὴν ἀθροῖσαι πλῆθος ἡγούμενοι τὸν Πυθίωνα. καίτοι τὰ μὲν ἀφροδίσια, κἂν εἰ τῷ κενοῦν οὐκ ἐᾷ πληθώρην ὑποτρέφεσθαι· δῶμεν γὰρ αὐτοῖς τοῦτο, τὸν γοῦν στόμαχον ἱκανῶς ἐκλύει, τῆς ἀποχῆς τῶν ἀφροδισίων εὐρωστότατον ἀπεργαζομένης αὐτὸν, εἰ καὶ πλῆθος ἀθροίζοιτο. μοχθηρὸν δὲ ἱκανῶς ἐστι καὶ τὸ νομίζειν, εἴ τις ἐγκρατῶς διαιτᾶται, πλῆθος ἀθροίζειν αὐτόν· οὐ γὰρ τούτοις, ἀλλὰ τοῖς ἀργοῦσιν ἐργάζεται πλῆθος. εἰ δ' ἀπέχοιτό τις ἀφροδισίων, γυμναζόμενος οὕτως, ὥσπερ οἵ τ' ἀθληταὶ, καὶ οἱ σκάπτοντες, καὶ θε-
D ρίζοντες, ἤ τινα χειρωνακτικὴν τέχνην μετιόντες, οὐκ ἀθροίζουσι πλῆθος. ἀλλ' ἐκ τοῦ μηδὲν ὧν ἴσασι δύνασθαι σιγῆσαι, συμβαίνει τοῖς ὀψιμαθέσιν ἐναντιώτατα λέγειν, ἀκαίρως φλυαροῦσι. τίς γὰρ ἦν ἀνάγκη γράφειν, Δημόκριτον μὲν εἰρηκέναι, μικρὰν ἐπιληψίαν εἶναι τὴν συνουσίαν, Ἐπίκουρον δὲ μηδέποτε μὲν ὠφελεῖν ἀφροδισίων χρῆσιν, ἀγαπητὸν δ' εἰ μὴ βλάψειεν. ἐπὶ γὰρ τῶν ἐξ ἀφροδισίων ἀμέτρων νοσησάντων, ἐχρῆν εἰρῆσθαι τοὺς λόγους, οὐκ ἐπὶ τῶν ἐναντίως αὐτοῖς διαιτηθέντων, ἀλλ' ὅμως καὶ ταῦτ' ἔγραψαν οἱ περὶ τὸν Σαβῖνον, οὐκ αἰσθανόμενοι τῆς ἐναντιολογίας· ἀτοπώτα-
E τατον δὲ καὶ τὸ παραφρονῆσαι διὰ τὴν τῆς συνουσίας ἀποχὴν τὸν Πυθίωνα. φασὶ γὰρ ὅτι ἀθροισθὲν, ἐν τῷ ἐγκεφάλῳ τὸ σπέρμα, τῷ πλήθει βαρῦνον αὐτὸν, εἰργάσατο τὸ τῆς παραφροσύνης σύμπτωμα, καθάπερ ὀστοῦν εἴωθε θλῖβον ἐπὶ τῶν καταγμάτων τῆς κεφαλῆς, ἢ θ' ἡμετέρα χεὶρ ἐργάζεσθαι παραφροσύνην, ἐν ᾧ πάλιν δείκνυνται μηδ' ἀνατετρημένῳ τινὶ παραγεγονότες. ὅταν γὰρ, ἢ τοῖς δακτύλοις ἐπιθλίψῃ τις ἅμα τῇ μήνιγγι τὸν ἐγκέφαλον, ἢ διὰ τῶν καλουμένων μηνιγγοφυλάκων, ἢ καὶ πρὸ τῆς ἀνατρήσεως, ὀστοῦν ἐμπιεσθὲν θλίβῃ τὰ
F μόρια ταῦτα, παραφροσύναι μὲν οὐ γίνονται, καταφοραὶ δὲ βαθεῖαι καὶ ἀναισθησίαι συμβαίνουσι, καρουμένων ἰσχυρῶς ἐνίοτε τῶν οὕτω πασχόντων, ὥσπερ ἐν ταῖς ἰσχυραῖς ἀποπληξίαις. ὅταν δὲ καὶ τὰ ποικίλα πτύσματα, διὰ τὴν ἐποχὴν τοῦ σπέρματος γεγονέναι, κάλλιστόν ἐστι μηδ' ἀντιλέγειν αὐτοῖς. ὑβρίζειν γὰρ ἑαυτόν ἐστιν ἐλέγχοντα μετὰ σπουδῆς, μηδεμιᾶς σπουδῆς ἄξια. λέλεκται δ' οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἄλλα πολλά γε ὁμοίως αὐτοῖς, ὧν ἓν καὶ τοῦτ' ἐστι, τὴν εἰς ἕδραν ἀπόστασιν φασὶ γενέσθαι τῷ Πυθίωνι, διὰ τὴν γειτνίασιν τοῦ χω-

εἶναι, καθ' ὃ τοῦ σπέρματος ἡ ἀπόκρισις γίνεται, διὰ δὲ τὴν εἰς ἕδραν ἀπόστασιν, ἀκολουθῆσαι τὴν στραγγουρίαν. καὶ μέντοι καὶ ἄλλα τινὰ λέγουσιν, ἐξ ὧν ἐγκράτειαν ἀφροδισίων ὑποπτεύσειεν ἄν τις, οὔτ' ὀλίγων, οὔτε μικρῶν νοσημάτων αἰτίαν γίνεσθαι. καὶ ταῦτα γράφουσιν αὐτοὶ μνημονεύσαντες ἐν τῇ τῶν προκειμένων ἐξηγήσει Δημοκρίτου τε καὶ Ἐπικούρου, μηδέπω μηδὲν ἀγαθὸν ἐξ ἀφροδισίων γίνεσθαι φασκόντων. ὃ δὲ δὴ πάντων σοφώτατον, ὥσπερ ὁ σπασμός, φασιν, ἐπὶ πληρώσει καὶ κενώσει γίνεται κατὰ τὸν αὐτὸν τρόπον, ἐπειδὴ τῆς λαγνείας, καὶ τῆς ἐγκρατείας κοινὰ συμπτώματα, λογισμοῦ τε B καὶ νεύρων παθόντων. ἐξ αὐτῆς οὖν τῆς σοφίας αὐτῶν ὁρμηθέντες ἡμεῖς, καὶ πιστεύσαντες ἀληθῆ λέγειν, οὐδὲ τοῖς ἀθληταῖς ἐπιτρέψομεν ἀπέχεσθαι συνουσίας, μή πως ἐκ τούτου σπασθῶσι, ἢ παραφρενήσωσι. καὶ ταῦτά γε πάντα, καὶ πρὸς τούτοις ἔτι τἄλλα ὅσα κατὰ τὴν διήγησιν ἔγραψεν ὁ Ἱπποκράτης, γίνεσθαι τῷ Πυθίωνι, φασιν, ὡς ἀκριβῶς πεπεισμένοι τὴν τῶν ἀφροδισίων ἀποχὴν αὐτῷ προηγήσασθαι τὴν νόσον. καίτοι κατ' ἀρχὴν εἰπόντες, εἰκὸς εἶναι ταῦτα τῷ Πυθίωνι γεγονέναι διὰ τὴν ἀποχὴν τῆς συνουσίας. αὐτοὶ γὰρ ἀποχὴν αὐτὴν ὀνομάζουσιν, ἀλλ' ὕστερον ἐπιλαθόμενοι τοῦ μετρίως ἐν ἀρχῇ λελεγμένου C ὑφ' ἑαυτῶν εἰκὸς, καὶ πάντως τούτου γεγενημένου, τὸν λόγον ποιοῦνται. καίτοι γ' εἰ παρὰ Γῆς ἱερὸν ὁ Πυθίων ᾤκει, τίς ἀνάγκη τῆς ἀποχῆς αὐτῷ τῶν ἀφροδισίων, μήθ' ἱερεῖ, μήτε θεοπόλῳ τῆς θεᾶς ὄντι. πάντως γὰρ ἂν ἐπ' αὐτοῦ τοιοῦτόν τι μᾶλλον ὁ Ἱπποκράτης ἔγραψεν, ἢ ὅτι παρὰ Γῆς ἱερὸν ᾤκει. ἀλλ' εἰ καὶ θεοπόλος, ἢ ἱερεὺς ὑπῆρχεν, οὐκ ἦν ἀναγκαῖον αὐτὸν διὰ παντὸς ἀπέχεσθαι τῶν ἀφροδισίων, ὥσπερ εἰ Ἀρτέμιδος ἢ Ἀθηνᾶς ἦν ἱερεύς, ἀλλ' ὅπερ ἔφην ἀρτίως, ἐλέγχειν σπουδῇ τὰ μὴ σπουδῆς ἄξια, τῶν ἀτόπων ἐστί. D καὶ τοίνυν ἤδη παυσάμενος τῶν εἰς Πυθίωνα κακῶς εἰρημένων τοῖς ἐξηγηταῖς, ἐπὶ τὸν ἑξῆς ἄρρωστον Ἑρμοκράτην μεταβὰς, κατὰ τὸ συνηθέστερον ἐμαυτῷ τὰς ἐξηγήσεις ποιήσομαι, μὴ πάνυ φροντίζων ὧν ἔνιοι γεγράφασιν οὐκ ὀρθῶς, εἰ μὴ μεγάλη τις ἀνάγκη γένοιτο. πρότερον δὲ περὶ τῶν χαρακτήρων ἐρῶ τι.

ὤσῃ



ΠΕΡΙ ΤΩΝ ΠΡΟΓΕΓΡΑΜΜΕΝΩΝ Χαρακτήρων ἑκάστῳ τῶν ἀρρώστων. E

ϡ. π. ου. μ. υ.

Πιθανὸν πλῆθος οὔρων τεσσαρακοστῇ ὑγιείην.

Οὐκ οἶδ' ὅπως ἐδυστύχησε καὶ τοῦτο τὸ βιβλίον ὥσπερ καὶ ἄλλα πολλὰ τοῦ Ἱπποκράτους· τὰ μὲν ἄλλως διεσκευασμένα, τὰ δὲ τοῖς ὑπ' αὐτοῦ γεγραμμένοις παρακείμενόν τι ἔχοντα, βέλτιον δ' ἦν ἴσως φάναι, μὴ τὸ βιβλίον ἐν δυστυχίᾳ γεγονέναι. F τοὺς δ' ἀναγινώσκοντας ἡμᾶς αὐτὸ, χρόνον ἀπολλύντας εἰς ἄχρηστον πρᾶγμα. προσγέγραπται γοῦν ἐπὶ τῷ τέλει τῆς διηγήσεως τῶν συμβαινόντων τῷ Πυθίωνι. πρῶτον μὲν ὁ τοῦ π γράμματος χαρακτὴρ, ἔχων ὀρθίαν μέσην γραμμὴν, ὡς ἔνιοι γράφουσι τὸν ἐννεακοσίων χαρακτῆρα. μετὰ ταῦτα δ' ἐφεξῆς γέγραπται τοῦ π γράμματος ὁ χαρακτὴρ, οὐδὲν ἔχων ἐν μέσῳ. καὶ μετὰ τοῦτον τὸ ου, καὶ μετ' ἐκεῖνον τὸ μ, ὕστατον δὲ τὸ υ, ζητεῖν οὖν ἠναγκάσθημεν ὅ, τί ποτε σημαίνουσιν χαρακτῆρες οὗτοι,

cinitatem; ac propter sedis abscessum stranguriam consequutam. Præterea alia quædam proferunt, ex quibus aliquis suspicatus fuerit venereorum abstinentiam neque paucorum, neque parvorum morborum causam esse. Atque hæc ipsi scribunt, & in propositorum ægrorum explicatione Democritum, Epicurum nihil commodi ex venereis fieri pronunciasse asseverant. At certè, quod omnium est sapientissimum, quemadmodum convulsio; inquiunt, tum repletioni tum inanitioni supervenit: eodem ipso modo libidinem & continentiam tum ratiocinationis, tum nervorum affectorum communia symptomata consequuntur. Nos igitur horum impulsi sapientia, ac vera dicere confidentes, neque athletas ipsos à concubitu temperare sinemus, ne ex ea re vel convellantur, vel desipiant. Hæc nimirum omnia, atque etiam alia quæ in expositione scripsit Hippocrates Pythioni facta fuisse aiunt, continentiam venereorum morbum ipsius præcessisse planè confisi; quanquam ipsi ab initio dixerunt verisimile esse hæc accidisse Pythioni propter concubitus abstinentiam, quam illi ἀποχὴν nominant. Deinde quod ab initio moderatè dixerunt æquum esse obliti prorsus etiam de re facta orationem instituunt. Et sane si prope Telluris templum habitasset Pythio, quæ ipsi erat necessitas ut se à venereis temperasset, qui deæ neque esset Sacerdos, neque æditiuus: Prorsus enim de eo Hippocrates tale quiddam plenius scripsisset, quàm quod prope Telluris Sacrum habitasset. Imo si æditiuus, aut Sacerdos fuisset, non erat ipsi necesse ut perpetuo à venereis abstineret, ac si Dianæ aut Palladis Sacerdos esset. Verùm quod modo dixi, studiosè arguere quæ studio indigna sunt, inter absurda censetur. Iam ergo ab his qui in Pythionem vitiosè ab Interpretibus explicata sunt desistens ad ægrotum Hermocratem digressus pro peculiari mihi consuetudine explanationes facturus sum, non admodum de his sollicitus quæ nonnulli non rectè scripserunt, nisi magna quædam urgeat necessitas. Ego vero priùs de characteribus aliquid dicturus sum.



DE NOTIS, QVÆ SVNT SINGVLIS ægrotis adjectis.

Probabile multitudinem urinarum quadragesimo die sanitatem afferre.

Miror hujus libri, ut aliorum etiam Hippocratis multorum infelicitatem, quorum hi sunt dissipati, illi aliquid habent scriptis Hippocratis adjectum. Rectius dicam fortasse infœlicem non fuisse librum, cæterum ejus nos lectores, qui tempus in re perdimus inani. Ad exitum igitur narrationis eventorum Pythionis ascripta est, Primum π literæ nota, rectam habens in medio lineam sic γπ, ut quidam scribunt nongentorum notam. Deinde scripta est π literæ nota, nihil in medio habens. M o ΟΥ, sub quam Μ postremo Υ. Coacti igitur sumus, notæ hæ quid significent, investigare, idque

idque incerti Hippocratis ne sint, an alius ista singulis ascripserit ægris. Verùm nobis, cum hoc ipsum compulsi indagaremus, in mentem venit, si ut hoc in libro eas invenimus notas, sic in aliis etiam libris vulgarium morborum omnibus comperissemus narrationi eorum quæ ægris acciderunt, ascriptas, non sit fortassis absonum ab Hippocrate dicere adscriptas, nunc cum neque in aliis Libris inveniantur neque etiam in ipso hoc tertio, in omnibus æquè exemplaribus, meritò in suspicionem non nos tantùm venimus, sed majores etiam nostri, ab aliquo esse ascriptas, fortasse quod discipulos detineret, ut posset declarare quasi quid mirificum, quod unaquæque earum denotaret. Potuit etiam compendium sibi quis soli facere utilitatis, quam caperet ex singulis ægris: Ut in hoc ipso, quem commemoravimus Pythione, quod diductam per medium lineam habet, γπ, videtur πιθανὸν, id est verisimile significare: sequens ϖ πλῆθος, id est abundantiam, à quo statim OY scriptum, οὖρον, id est, urinam, significare videtur, ut ex ambobus significetur πλῆθος οὔρων, id est; abundantia urinæ, deinde M quadragesimum nobis diem ob oculos ponere: Y ὑγίειαν, id est, sanitatem, atque hæc ambo interpretari; quadragesimo die hominem convaluisse. Et collectam ex omnibus notis hanc esse sententiam, verisimile esse ob abundantiam redditæ urinæ propulsatum ipsum morbum esse, & persanatum hominem quadragesimo die. At hæc non inveniri ascripta hoc modo in omnibus exemplaribus, ante dixi. Nunc dico, nec in quibus inveniuntur, in his omnibus primum ægrum habere talem notam. Ergo quæ exemplaria notas habent in fine ascriptas narrationis de Pythione, hunc habent in modum scriptas γπ. ϖ. OY. M. Y. Porro quod rationi consentaneum sit unamquamque notam quod modo dixi significare, confirmant illæ, quæ aliis sunt ægris adjunctæ. Nam ubique adjacet γϖ lineam habens medium intersecantem: ad finem vero superstitibus Y additum est, ὑγίειαν denotans, id est sanitatem, defunctis Θ, quod scilicet θάνατον, id est, mortem indicat. Prima igitur quando ea significare videntur quæ diximus: & media sint probabilia, quippe quæ Hippocratis de ægris orationi esse consentanea possint, nobis quidem inanis labor, in Pythione confectus est, & in aliis conficietur, tempus frustra terentibus. Sophistæ vero talibus exponendis ut Vates quidam suspiciuntur à discipulis.

A κατὰ τὸ μηδὲ γινώσκειν ἡμᾶς, εἴτε Ἱπποκράτους ἐστὶν, ἤ τις ἄλλος ὁ γράψας τὰ τοιαῦτα καθ' ἕκαστον τῶν ἀρρώστων, ἀλλὰ καὶ τοῦτο αὐτὸ ζητεῖν ἀναγκασθέντες ἐνοήσαμεν. εἰ μὲν ὥσπερ ἐν τούτῳ βιβλίῳ τοὺς τοιούτους χαρακτῆρας εὑρήκαμεν, οὕτω κἂν τοῖς ἄλλοις ἅπασι τῶν ἐπιδημιῶν ἐφαίνοντο προσγεγραμμένοι τῇ διηγήσει τῶν συμβάντων τοῖς ἀρρώστοις. ἴσως ἂν ἦν εὔλογον ὑφ' Ἱπποκράτους αὐτοὺς προσγεγράφθαι φάναι. μήτε δ' ἐν τοῖς ἄλλοις βιβλίοις αὐτῶν εὑρισκομένων, B ἀλλὰ μηδ' ἐν αὐτῷ τῷ τρίτῳ διὰ πάντων ὁμοίως τῶν ἀντιγράφων, ὑποψία τις εὔλογος εἰσῆλθεν οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ τοὺς πρὸ ἡμῶν, ὑπό τινος αὖθις προσγεγράφθαι, τάχα μὲν ἐπιτείνοντος τοῖς μαθηταῖς, ἵν' ἔχῃ σοφίζειν, ὥς τι μέγα τὸ καθ' ἕκαστον αὐτῶν δηλούμενον. ἴσως δέ τινος αὑτῷ μόνῳ πεποιημένου τῆς καθ' ἕκαστον ἄρρωστον ὠφελείας ἐπιτομήν. εὐθὺς γοῦν ἐν αὐτῷ τούτῳ τῷ προγεγραμμένῳ Πυθίωνι, τὸ μὲν τὴν διὰ μέσου γραμμὴν ἔχον πι δοκεῖ σημαίνειν πιθανόν. τὸ C δὲ ἐξῆς αὐτῷ πι πλῆθος, ᾧ πάλιν τὸ ου γεγραμμένον, ἐφεξῆς οὖρον δοκεῖ σημαίνειν, ὡς ἐξ ἀμφοτέρων δηλοῦσθαι πλῆθος οὔρων. εἶτ' ἐφεξῆς τὸ μὲν μ' τῆς τεσσαρακοστῆς ἡμέρας ἀναμιμνήσκειν ἡμᾶς. τὸ δὲ υ' τῆς ὑγείας. ἐξ ἀμφοῖν δὲ τούτων δηλοῦσθαι, κατὰ τὴν τεσσαρακοστὴν ἡμέραν ὑγιασθῆναι. τὴν δ' ἐξ ἁπάντων τῶν χαρακτήρων ἀθροιζομένην διάνοιαν γίνεσθαι τοιαύτην, πιθανόν ἐστι διὰ τὸ πλῆθος τῶν ἐκκριθέντων οὔρων, αὐτὸ λυθῆναι τὸ νόσημα καὶ ὑγιῆ γενέσθαι τὸν ἄνθρωπον ἐν τῇ τεσσαρακοστῇ τῶν ἡμερῶν. ὅτι μὲν οὐκ ἐν ἅπα- D σι τοῖς ἀντιγράφοις εὑρίσκεται τὰ προσγεγραμμένα κατὰ τοῦτον τὸν τρόπον, εἴρηται καὶ πρόσθεν. ἀλλὰ νῦν φημὶ μηδ' ἐν οἷς εὑρίσκεται, μηδ' ἐν τούτοις ἅπασι τὸν πρῶτον ἄρρωστον ἔχειν τινὰ τοιοῦτον χαρακτῆρα. τὰ δ' οὖν ἔχοντα τῶν ἀντιγράφων, αὐτοὺς τοὺς ἐπὶ τῷ τέλει τῆς διηγήσεως τῆς κατὰ τὸν Πυθίωνα, χαρακτῆρας, ὧδέ πως ἔχει γεγραμμένους, πι π' ου' μ' υ'. ὅτι δ' εὔλογόν ἐστιν ἕκαστον τῶν χαρακτήρων σημαίνειν ὃ εἶπον, ἔτι μαρτυροῦσιν οἱ τοῖς ἄλλοις ἀρρώστοις προσγεγραμμένοι. πανταχόθεν μὲν γὰρ πρόκειται τὸ πι' τὴν διαμέσου γραμμὴν (διὰ μέσου) E ἔχον. ἐπὶ δὲ τῇ τελευτῇ τοῖς μὲν σωθεῖσιν υ' προσγέγραπται, τὴν ὑγείαν σημαῖνον. τοῖς δ' ἀποθανοῦσι τὸ θ', καὶ τοῦτο δηλονότι τὸν θάνατον ἐνδεικνύμενον. ἐν ἀρχῇ οὖν, τῶν μὲν τοιούτων σημαίνειν φαινομένων τὰ λεγόμενα, τῶν δ' ἐν τῷ μεταξὺ πιθανῶν ὄντων, ὡς ἐφαρμόζεσθαι δυναμένων τοῖς ἐπὶ τῶν ἀρρώστων ὑφ' Ἱπποκράτους εἰρημένοις. ἡμῖν μὲν ὁ μάταιος ἆθλος ἐπὶ τοῦ Πυθίωνος ἤνυσται, καὶ κατὰ τοὺς ἄλλους ἀνυσθήσεται, τὸν χρόνον εἰκῆ κατατρίβουσιν. οἱ σοφισταὶ δὲ καὶ διὰ τὴν τοιαύτην ἐξήγησιν ὡς προφῆταί τινες ὑπὸ τῶν μαθητῶν θαυμάζονται.

F

A

Τὸν Ἑρμοκράτην τῆς ἀνέμων εὐπνοίας τῶν οἰκημάτων διαφθαρείσης ἰσχύρῳ τῷ πυρετῷ ἐπιληφθῆναι. τριπλήσιον εἶναι πυρετὸν, τὸν ἐφήμερον, τὸν ἑκτικὸν καὶ τὸν ὀξέα ἢ σηπόμενον. τῷ πυρὸς ὀνόματι τὸν ἰσχυρὸν πυρετὸν ἐννοεῖσθαι. τὴν δὲ κεφαλῆς ἀλγήματος μετὰ τῆς κωφώσεως αἰτίαν εἶναι τὸ πλῆθος χυμῶν ἐς τὴν κεφαλὴν ἀναφερομένων. Αἵτινες ὦσι τοῦ κάρου, καὶ ληθάργου, καὶ τῆς ἀγρυπνίας, καὶ τῆς παραφροσύνης αἰτίαι. τί καὶ ὅθεν τὰ οὖρα ὑπέρυθρα, καὶ τὰ λίαν ἐρυθρὰ, ξανθὰ, τεταραγμένα, λεπτὰ, καὶ πάχεα. τί ταῦτα σημαίνουσι. Ἴκτερον συμπτωματικόν τε καὶ κριτικὸν εἶναι. τὰς ἰκτέρου αἰτίας εἶναι τὴν κρίσιν, καὶ ἔμφραξιν, καὶ τὴν φλεγμονήν. B

Hermocratem ventorum flatu circa ædes corrupto, vehementi febre correptum esse; triplicem esse febrem, quotidianam, ecticam, & acutam vel putridam. Ignis nomine febrem acutam intelligi. Capitis dolorem cum surditate afferre multitudinem humorum in caput ascendentium. Quænam sint causæ soporis & lethargiæ, & vigiliarum & delirii. Quid & unde urinæ subrubræ, & admodum rubræ, turbulentæ, tenues & crassæ. Quid hæc portendant. Icteri causas esse crisim commestionem & phegmonem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε΄.

ΑΡΡΩΣΤΟΣ β΄.

ην Ἑρμοκράτης, ὃς κατέκειτο παρὰ τὸ καινὸν τεῖχος, πῦρ ἔλαβεν. ἤρξατο δὲ ἀλγέειν κεφαλὴν, ὀσφὺν, ὑποχονδρίου ἔντασις λαπαρῶς, γλῶσσα δὲ ἀρχομένῳ ἀπεκαύθη, κώφωσις αὐτίκα, ὕπνοι οὐκ ἐνῆσαν, διψώδης οὐ λίην, οὖρα παχέα, ἐρυθρὰ κείμενα οὐ καθίστατο. ἀπὸ δὲ κοιλίης ξυγκεκαυμένα οὐκ ὀλίγα διήει. πέμπτῃ οὔρησε λεπτὰ, εἶχεν ἐναιώρημα, οὐχ ἵδρυτο, ἐς νύκτα παρέκρουσε. ἕκτῃ ἰκτεριώδης, πάντα παρωξύνθη, οὐ κατενόει. C

HIPPOCRATIS TEXTUS V.

ÆGROTUS SECUNDUS.

Hermocrates qui ad novum murum habitabat, igni est correptus. Capit caput illi, lumbusque dolere; hypochondrium molliter intendebatur, lingua initio adusta fuit, statim obsurduit, somnum non habuit, sitibundus non admodum, urinæ crassæ & rubentes, depositæ non subsidebant: ab alvo, combusta, & non pauca exibant. Quinto die reddidit tenues urinas, suspensiones habebant, nec subsidebant: sub noctem deliravit. Die sexto auriginosus evasit, omnia exacerbata sunt, mente non constabat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐδὲν ἐνταῦθα ληρεῖν ἀπέσχοντό τινες τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἀλλὰ διὰ τοῦτο, φασὶ γεγράφθαι παρὰ τὸ καινὸν τεῖχος, ὅτι νεοκονίατον ὂν, ἔβλαψε τὸν ἄνθρωπον. D ἕτεροι δὲ τούτοις ἀντιλέγοντες σπουδῇ πειρῶνται δεικνύειν, οὐ διὰ τὴν τίτανον ἐμνημονευκέναι τοῦ καινοῦ τείχους αὐτὸν, ἀλλὰ διότι παρὰ τὸ ἔθος ἀποφραχθέντων τῶν ἀνέμων, καὶ τῆς εὐπνοίας τῶν οἰκημάτων ἐν οἷς Ἑρμοκράτης ᾤκει διαφθαρείσης, ἡ νόσος ἐγένετο τῷ ἀνθρώπῳ. περὶ μὲν οὖν τοῦ χωρίου, καὶ ταῦθ' ἱκανὰ, μᾶλλον δὲ ἀληθὲς εἰπεῖν, ὅτι περιττά. περὶ δὲ τῶν συμβάντων αὐτῷ, σκεπτέον ἐφεξῆς ἀναμιμνησκομένοις τῶν ἐν ἑτέροις ἀποδεδειγμένων, ὧν καὶ τόδ' ἐστὶ, τρία μὲν τὰ πρῶτα γένη τῶν πυρετῶν εἶναι· τὸ μέν τι τῶν ἐφημέρων ὀνομαζομένων, τὸ δέ τι τῶν ἑκτικῶν, τὸ δὲ τρίτον οὓς ἐνομάζουσιν ὀξεῖς, ἐπὶ χυμοῖς σηπομένοις γινομένους. E ὅτι μὲν ἐκ τοῦ τρίτου γένους τούτων ὁ πυρετὸς ἐγένετο τῷ Ἑρμοκράτει, δῆλον εὐθέως ἐκ τοῦ φάναι τὸν Ἱπποκράτην κατὰ τὴν ἀρχὴν τῆς διηγήσεως ἐπ' αὐτοῦ, τὸ, πῦρ ἔλαβεν. ὥσπερ γὰρ ἐφ' ἑτέρας διηγήσεως ἔγραψεν, ἄνθρωπος θερμαινόμενος ἐδείπνησεν, ἐνδείξασθαι βουλόμενος διὰ τοῦ, θερμαινόμενος, ὀνόματος τὴν μετριότητα τοῦ γινομένου τῷ δειπνήσαντι πυρετοῦ, κατὰ τὸν αὐτὸν τρόπον, νῦν ὠνόμασε πῦρ, τὸν ἰσχυρὸν πυρετόν· F ἀλλὰ καὶ κεφαλὴν ἀλγέειν ἤρξατο, μετὰ κωφώσεως. εὔδηλον οὖν ἐκ τούτων ἐστὶν, ἐπὶ τὴν κεφαλὴν αἰωρεῖσθαι πλῆθος χυμῶν. ἐδείχθη δὲ ὅτι τοῖς μὲν ψυχροτέροις καὶ φλεγματικωτέροις, ὕπνοι τε καρώδεις ἕπονται, καὶ τὰ ληθαργικὰ πάθη, τοῖς δὲ θερμοτέροις, ἢ ὅλως δακνωδέσιν, ἀγρυπνίαι τε καὶ παραφροσύναι. γινομένης οὖν ἀγρυπνίας αὐτῷ μετά τε κωφώσεως, καὶ κεφαλῆς ἀλγήματος, καὶ ὀσφύος, ὑποπτεύειν εὔλογον ἦν τοὺς πληρώσαντας τὴν κεφαλὴν

GALENI COMMENTARIUS.

Nec desinunt hic nugari quidam Interpretes hujus Libri; sed ideo esse aiunt scriptum ad novum murum, quod recens calce indutus homini obfuerit. Alii ab iis dissentiunt, seduloque student ostendere non propter calcem appellasse eum novum murum; verùm quod præter morem, exclusis ventis, & quum jam ædes, in quibus Hermocrates commorabatur, non bene perflarentur, morbus hominem corripuit. Verùm de loco satis, ac potius, ut id quod est dicam, nimium. De iis jam quæ illi acciderunt, porro videndum est: ac eorum, quæ aliàs demonstravimus, revocanda memoria: de quibus hoc est. Tria esse prima febrium genera; unum earum, quæ diariæ appellantur, alterum hecticarum, tertium earum quas acutas vocant comites putridorum humorum. Atque ex tertio horum genere febrem afflixisse Hermocratem hinc constat, quod quum incipit de illo facere verba, statim dicat Hippocrates; igni est correptus. Nam, ut in alia historia scripsit, Quidam incalescens cœnavit, ut hoc vocabulo, *calens*, febris mediocritatem ostenderet, quæ cœnatum tenebat, ita hîc ignem appellavit validam febrem. Ac caput quoque illi cœpit dolere una cum surditate. Itaque ex his in caput liquet invasisse quandam humorum abundantiam. Declaratum jam est frigidioribus & pituitosioribus succedere somnos veternosos, lethargicaque mala, calidioribus aut prorsus mordacibus, vigilias & deliria. Proinde quum vigiliæ eum tenerent cum surditate, & capitis dolore, lumbique, suspicari replentes caput humores consentaneum

A erat mordaciores esse. Usuvenit porro his, ubi cum calida febre & flagrante cerebrum offendant, sequi, ut didicisti, deliria. Quod si duos dies, aut tres, aut quatuor hæc symptomata durent, certius præscies delirium. Id quod hîc accidit Hermocrati; nam exponendo quinto die scripsit, delirasse hominem. Jam vero febrem fuisse qualis dicta est, vel linguæ indicant symptomata. Quid namque dicit? Lingua in principio adusta fuit; hoc enim nomen eam omnino siccam significat fuisse: potest etiam nigram. Atqui in tali lingua, febreque tali, si
B absit ingens sitis, alterutrum indicat, aut mentem læsam ægri esse: aut ventris naturalem facultatem, qua subinde cibos appetimus, emori. Porro quum narrationi hæc sunt adjecta, Hypochondrium molliter intendebatur, in jecinore conjicias febrilis affectionis originem extitisse. quia non singulari numero quem vocat, dixit hypochondrium, alterum tantum indicat, non utrumque fuisse intensum. Quando autem aut dextrum sit necesse, aut sinistrum hypochondrium nos accipere, dextrum fuisse
C intensum fit verisimilius, propter excellentiam, quâ præstat alteri. Siquidem talia citra appositum & distinctiones proferunt. Atqui etiam modus ipsius adustio linguæ, satis jecinioris affectum indicare possunt. Nam intensionem, quæ dicitur fuisse mollis hypochondrii, constat veluti vacuum indicare; nam vacuum significatur ex molli, huic est oppositum quod est cum tumore quemadmodum tensum laxo: ac si ita diceret, dextrum hypochondrium intendebatur, sed citra tumorem, vel quia non magna fuerit inflammatio jecinoris; vel quia in
D simis partibus duntaxat, quibus ventriculum amplectitur, quum gibba nondum unà cum simis in tumorem essent elevata. Jam ventris combusta excrementa etiam ignitionem hujus visceris indicant. Quare si urinæ ad hæc lethales accessissent, celerrimè periisset homo. At quia ut talibus erant mediocres, fieri speres posse, ut producatur morbus. Nam bonæ quidem urinæ haudquaquam in isto affectu incidunt: rubræ verò spatio longo laboraturum hominem, non tamen plane moriturum arguunt, ut in commentariis in librum præsagiorum, & prædictionum planum fecimus, ubi ejus libri re-
E prehendimus authorem. Nam quæ alia de occasione ægrotantibus acciderunt, quia ad aliud refert, errat. Jam in his commentariis prolixius sumus, tum phrenitidis peculiaria signa persecuti, tum quod in libris Hippocratis citra controversiam germanis, de quibus præsagia sunt, uniuscujusque facultatem signi exactè & sigillatim explanavit. At de rubris, vel prorubris urinis verbum nullum fecit; sed de subrubra urina quum mentionem facit, simul prorubrarum vim indicavit. Atque adeo de subrubris » urinis hæc scribit verba; Si urina fuerit subru-
F » bra, ac subrubrum quod subsidet, diutur» niorem hæc quidem morbum, quàm prima » significat, sed admodum tamen salubris est. Quum ergo sit subrubra, præter cæteras salubris quidem, longius tamen quàm prædictæ trahat, quas ocyus dixit morbum exolvere, quæ magnopere sunt rubræ, longius significabunt spatium; cæterum non mortem, quantum ex seipsis neque delirium. Siquidem per flavam bilem

χυμοὺς δακνωδεστέρους εἶναι. συμβαίνει δὲ ἐπὶ τοῖς τοιούτοις, ὅταν ἅμα πυρετῷ θερμῷ καὶ διακαεῖ βλάβωσι τὴν κεφαλήν, ἕπεσθαι παραφροσύνας, ὡς ἔμαθες. ὅταν δὲ καὶ παραμένῃ μέχρι δύο, ἢ τριῶν, ἢ τεττάρων ἡμερῶν τὰ συμπτώματα, βεβαιότερον ἔτι προγνώσῃ τὴν παραφροσύνην, ὥσπερ ἀμέλει καὶ νῦν ἐπὶ τοῦ Ἑρμοκράτους ἐγένετο. κατὰ γὰρ τὴν τῆς πέμπτης ἡμέρας διήγησιν ἔγραψε παραφρονῆσαι τὸν ἄνθρωπον. ὅτι δὲ ὁ πυρετὸς οἷος εἴρηται ἦν, δηλοῖ καὶ τὸ γλώσσης σύμπτωμα. τί γάρ φησι; γλῶσσα δὲ ἀρχομένῳ ἐπεκαύθη. σημαίνει δὲ τοὔνομα τοῦτο, ξηρὰν μὲν αὐτὴν γεγονέναι πάντως, ἐγχωρεῖ δέ, καὶ μέλαιναν. ἐπὶ δὲ τοιαύτῃ γλώττῃ, καὶ τοιούτῳ πυρετῷ, τὸ μὴ σφοδρῶς διψῆν, ἐνδείκνυται δυοῖν θάτερον, ἢ τὴν διάνοιαν βεβλάφθαι τοῦ κάμνοντος, ἢ τὴν ἐν τῇ γαστρὶ δύναμιν φυσικήν, ᾗ πολλάκις τῶν σιτίων ὀρεγόμεθα, νεκροῦσθαι. προσκειμένης δὲ τῇ ἐξηγήσει καὶ τοιᾶσδε λέξεως, ὑποχονδρίου ἔντασις λαπαρῶς, ὑποληπτέον ἐν ἥπατι γεγονέναι τὴν ἀρχὴν τῆς πυρετικῆς διαθέσεως. ἐκ μὲν γὰρ τοῦ κατὰ τὸν ἑνικὸν ὀνομάζεσθαι ἀριθμὸν εἰπεῖν ὑποχονδρίου, δῆλον ὡς θατέρου μόνου, καὶ οὐκ ἀμφοτέρων αὐτῶν ἔντασις ἦν. ἐπεὶ δ' ἀναγκαῖον, ἢ τὸ δεξιόν, ἢ τὸ λαιὸν ὑποχόνδριον ἡμᾶς ἀκούειν, εὐλογώτερόν ἐστι τὸ δεξιὸν ἡγεῖσθαι τετάσθαι, διὰ τὴν ὑπεροχὴν ἣν ἔχει ὑπὲρ θατέρου. τὰ γὰρ τοιαῦτα, χωρὶς προσθήκης τε καὶ διορισμοῦ λέγουσι. καὶ μέν τοι καὶ ὁ τρόπος αὐτὸς τοῦ πυρετοῦ, καὶ τῆς γλώττης αὐτῆς ἡ ἐπίκαυσις, ἱκανὴ τὴν καθ' ἧπαρ ἐνδείξασθαι διάθεσιν. ἡ δὲ λαπαρῶς εἰρημένη γεγονέναι κατὰ τὸ ὑποχόνδριον ἔντασις, δῆλον μὲν ὅτι τὸ οἷον κενή, δηλοῖ. τὸ γὰρ κενὸν ἐκ τοῦ λαπαροῦ σημαίνεται, τῷ δὲ ἀντίκειται τὸ μετ' ὄγκου, καθάπερ τὸ τεταμένον τῷ χαλαρῷ, ὡς εἰ καὶ οὕτως εἶπε, δεξιοῦ ὑποχονδρίου ἔντασις, ὄγκος δὲ οὔ. ἢ τῷ μὴ γεγονέναι μεγάλην τὴν φλεγμονὴν τοῦ ἥπατος, ἢ τῷ κατὰ τὰ σιμὰ μόνον, οἷς περιλαμβάνει τὴν γαστέρα, τῶν κυρτῶν οὐδέπω συνεξηρμένων αὐτοῖς. ἀλλὰ καὶ τὸ τῆς κοιλίας συγκεκαυμένα διαχωρεῖν, ἐνδεικτικόν ἐστι τῆς κατὰ τὸ σπλάγχνον τοῦ πυρώσεως. εἰ μὲν οὖν ἐπὶ τούτοις οὖρα θανατώδη συνέβη γενέσθαι, τάχιστ' ἂν ὁ ἄνθρωπος ἀπέθανεν. ἐπεὶ δ' ὡς ἐν τοῖς τοιούτοις ἦν μέτρια, δυνατὸν ἄν τις ἐλπίσειεν ἔσεσθαι χρονίσειν αὐτόν. ἀγαθὰ μὲν γὰρ οὖρα κατὰ τὴν εἰρημένην διάθεσιν, οὐκ ἂν γένοιτο. τὰ δ' ἐρυθρά, χρόνῳ μὲν πολλῷ νοσῆσαι τὸν ἄνθρωπον ἐνδείκνυται πάντως, οὐκ ἐξ ἅπαντος δὲ τεθνήξεσθαι, καθότι κἀν τοῖς εἰς τὸ προγνωστικόν, καὶ προρρητικὸν ὑπομνήμασιν, κἀν τοῖς περὶ κρίσεων ἐδείχθη, μεμψαμένοις τὸν γράψαντα τὸ βιβλίον ἐκεῖνο. τὰ γὰρ δι' ἕτερόν τι συμβάντα τοῖς νοσοῦσιν, εἰς ἕτερον ἀναφέρων ἁμαρτάνει. λέλεκται δὲ ἡμῖν ἐπὶ πλέον ἐν ἐκείνοις τοῖς ὑπομνήμασι, καὶ τὰ τῆς φρενίτιδος ἴδια σημεῖα, καὶ ὡς ἐν τοῖς ὁμολογουμένοις Ἱπποκράτους εἶναι γνησίοις, ὧν ἐστι καὶ τὸ προγνωστικόν, ἑκάστου τῶν σημείων ἡ δύναμις ἀκριβῶς εἴρηται κατὰ μόνας αὐτοῦ. περὶ μὲν οὖν ἐρυθρῶν ἢ ἐξερύθρων οὔρων, οὐδὲν εἶπεν, ὑπερύθρου δὲ μνημονεύσας οὔρου, καὶ τὴν ἐξερύθρων τὴν δύναμιν ἐνεδείξατο. γράφει δὲ περὶ τῶν ὑπερύθρων οὔρων ἐν τοῖς ὀνόμασιν ὧδε. « εἰ δ' εἴη τὸ οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρος εἴη, πολυχρονιώτερον μὲν « τοῦτο τοῦ προτέρου γάρ, σωτήριον δὲ κάρτα. « τοῦ τοίνυν ὑπερύθρου, σωτηρίου μὲν ὄντος ἐν τοῖς μάλιστα, πολυχρονιωτέρου δὲ τῶν προειρημένων, ἃ διὰ ταχέων εἴρηκε λύσιν ἔχειν τὰ λίαν ἐρυθρά, μακρότερον μὲν ἐνδείξεται χρόνον, οὔτε δὲ θάνατον, ὅσον ἐφ' ἑαυτοῖς, οὔτε παραφροσύνην. εἴ γε διὰ ξανθὴν χολὴν

ἐν ἐγκεφάλῳ πλεονάζουσαι αἱ παραφροσύναι γίνονται, καθάπερ γε καὶ κατοπτηθείσης αὐτῆς, ὡς εἰς μέλαιναν ἤδη μεταπίπτειν, αἱ μανιώδεις. αἷμα δὲ πλεονάζειν ἀπεπτότερον καὶ ὀρρωδέστερον ἐνδείκνυται τὸ ἐρυθρὸν οὖρον, ἐν ταῖς φλεψὶ δηλονότι περιεχόμενον, ὅσαι καθ' ἧπάρ τ' εἰσὶ καὶ τὰ μέσα τοῦ σώματος, ὥσπερ καὶ ξανθὴν χολὴν τὰ πυρρὰ καὶ μέλανα. πόθεν οὖν ἐπῆλθεν ἄλλοις τισὶ καὶ τοῖς περὶ Λύκον ἀποδέξασθαι τὸν γράψαντα ἐν προρρητικῷ· κώφωσις, καὶ οὖρα ἐξέρυθρα ἀκατάστατα, ἐναιωρηθέντα, παρακρουστικόν, τοῖς τοιούτοις ἰκτερωθῆναι κακόν. ἔοικε μὲν γὰρ ἐκ τῶν ἐνταῦθα γεγραμμένων ἐφ' Ἑρμοκράτους ὁ γράψας τὸ βιβλίον ἐκεῖνο καθολικόν τι συνθεῖναι θεώρημα· πάμπολυ δ' ἐσφάλη, καὶ τῆς τοῦ πράγματος αὐτοῦ φύσεως, καὶ τῆς Ἱπποκράτους γνώμης, καὶ τῶν ἐπὶ τοῖς ἀρρώστοις ὁρωμένων. ἡ μὲν γὰρ τοῦ πράγματος φύσις, ἐνδείκνυται τοὺς ξηροὺς τῇ κράσει καὶ δακνώδεις τῇ ποιότητι χυμούς, εἰς ἐγκέφαλον ἀνενεχθέντας, αἰτίους ἀγρυπνίας τε καὶ φρενίτιδος γίνεσθαι, καθότι κἀν τοῖς περὶ τῶν πεπονθότων τόπων ὑπομνήμασιν ἐδείκνυον. Ἱπποκράτης δὲ τοιούτους μὲν οἶδε χυμούς, τήν τε τῆς ξανθῆς καὶ μελαίνης χολῆς, ὑγρὸν δὲ καὶ ψυχρὸν τὸν τοῦ φλέγματος, ἀδηκτότατον δὲ καὶ μάλιστα οἰκεῖον ἡμῖν, τὸ αἷμα. καὶ μέντοι καὶ ὡς ὀρρός ἐστι τῶν κατὰ τὰς φλέβας χυμῶν τὸ οὖρον, αὐτὸς ἡμᾶς ἐδίδαξεν, ὡς εὔλογόν ἐστιν ὅταν αἷμα πλέον ἡμίπεπτον ᾖ, καθαιρόμενον διὰ οὔρων, ἐρυθρὰ ταῦτ' ἐργάζεσθαι, καὶ διὰ τοῦτο χρόνιον μὲν ἔσεσθαι τὸ νόσημα, δεομένου γε τοῦ αἵματος εἰς πέψιν, χρόνου πλείονος, εἴπερ ἐκ τῶν χρόνων οἱ πεπασμοί, μήτε δ' ὀλέθριον ποτὲ τοιούτου νοσήματος, ὅσον ἐπὶ τοῖσδε τοῖς οὔροις ἐσομένου, μήτε φρενιτικοῦ. ἀλλ' οὐ χρὴ μηκύνειν ἐνταῦθα, φθανόντων ἡμῶν τὴν ἀτοπίαν τῶν τοιούτων λόγων ἐν τοῖς εἰς τὸ προρρητικὸν ὑπομνήμασιν ἐπιδεδειχέναι. ἐπεὶ δὲ καὶ παχέα δηλοῖ γεγονέναι τὰ οὖρα, καὶ μὴ καθιστάμενα, πάντως μὲν δή που τὰ τοιαῦτα, τῶν ἀνατεταραγμένων τε καὶ θολερῶν ἐστιν, ὡς οὗτος εἴωθεν ὀνομάζειν. ἔστι δ' ἀεὶ τὰ τοιαῦτα ταραχῆς ἀπέπτου δηλωτικά, πολὺ τὸ φυσῶδες ἐχούσης πνεῦμα, καθάπερ ὁ γλεῦκος. διὰ τοῦτό γε καὶ κεφαλαλγίαι συμπίπτουσι τοῖς τὰ τοιαῦτα οὐροῦσιν, ἐπὶ τὴν κεφαλὴν ἀναφερομένου πνεύματος ἅμα τοῖς θερμοτέροις χυμοῖς, ὑφ' ὧν εἰκός ἐστι καὶ τὴν ἀγρυπνίαν αὐξηθῆναι, καὶ κίνδυνον ἔσεσθαι παραφροσύνης, ἐὰν οἱ χυμοὶ δριμύτητά τινα σχῶσι. ταῦτ' εὐθέως ἐν ἀρχῇ πάντα τὰ συμπτώματά τε καὶ σημεῖα γεγονέναι τῷ Ἑρμοκράτει διελθὼν ὁ Ἱπποκράτης, εἶτα μηδὲν γράψας περὶ τῶν ἑξῆς ἡμερῶν, ἄχρι τῆς πέμπτης ἐνδείκνυται διαμεμενηκέναι ταῦτα πάντα, καὶ τότε πρῶτον αὖθις ἄρξασθαι τῆς τῶν ἄλλων διηγήσεως, ὁπότε μεταβολή τις ἐν αὐτοῖς ἐγένετο· κατὰ τὴν πέμπτην γοῦν ἡμέραν, φησὶν οὐρῆσαι πολλὰ λεπτά. καὶ τοίνυν μεταβῶμεν ἤδη πρὸς τὴν ἐκείνης διήγησιν. πέμπτῃ οὔρησε λεπτά, εἶχεν ἐναιώρημα, οὐχ ἵδρυτο, εἰς νύκτα παρέκρουσεν. ὁπότε πρῶτον, ἥτε τῶν οὔρων ἐξ ἀρχῆς ἐγένετο μεταβολή, καὶ παρεφρόνησεν ὁ ἄνθρωπος, ἔγραψεν ὁ Ἱπποκράτης, κατὰ τὴν πέμπτην ἡμέραν, ὑπερβάς, ὡς εἴρηται, τὴν τῆς δευτέρας καὶ τρίτης, καὶ τετάρτης διήγησιν, ὡς τῶν αὐτῶν ἐν αὐταῖς συμπτωμάτων μεινάντων. ἀναμνησθῶμεν οὖν περὶ τῶν λεπτῶν οὔρων, ὧν εἶπεν ἐν προγνωστικῷ κατὰ τήνδε τὴν λέξιν. ὁκόσοι δ' αὖ οὖρα λεπτά, καὶ ὠμὰ οὐρέουσι πολὺν χρόνον, ἤν τ' ἄλλα ὡς περιεσομένοισιν ᾖ, τούτοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία, ὥστε καθ' ἕτερον τρόπον ἄπεπτον εἶναι σημαίνεται τὸ νόσημα διὰ τῶν λεπτῶν οὔρων, ὥσπερ καὶ διὰ τῶν

A in cerebro exundantem deliria oriuntur, quemadmodùm si ea sit adusta, ut jam transeat in atram, μανιώδη, id est, furiosam. At vero sanguinem abundare inconcoctiorem & serosiorem rubra indicat urina qui in venis videlicet jecinoris & profundi corporis, continetur, ut flavam bilem rufa, & atra. Quid igitur venit in mentem cùm aliis nonnullis, tum Lyco, ut hunc approbarent, qui in prædictionibus scripsit, Surditas, urinæque prærubræ, in quibus suspensiones non subsideant, delirium nunciant, B qui morbo regio si corripiantur, malum est. Apparet enim ex his, quæ hoc sunt loco de Hermocrate tradita, auctorem illius libri universale collegisse præceptum: sed longe aberrat, & ab rei ipsius natura, & Hippocratis sententia, tum vero ab iis, quæ in ægrotis obseruantur. Nam rei natura demonstrat siccos temperamento humores, & virtute mordaces in cerebrum elatos concitare vigilias, & phrenitim; id quod in commentariis de locis affectis ostendi. At Hippocrates tales humores cognovit, flavam & atram bilem, humidum vero suc- C cum & frigidum, pituitam, mitissimum autem simulque nobis familiarissimum, sanguinem, præterea urinam, serum esse humorum in venis contentorum nos ille docuit. quare ratio convincit, ubi amplior semicoctus sanguis per urinas expellatur, rubras eum has efficere, atque ideo diuturnum fore morbum, quod requirat scilicet ad concoctionem longius spatium sanguis siquidem spatio temporis fiunt concoctiones. At non erit talis morbus, ut ab urinis exitiosus, neque phrenitidi obnoxius. Sed non oportet hîc nos longiores esse, postea quàm istarum iam orationum in Commentariis in prædictio- D nes importunitatem prodiderimus. Atenim quum crassas etiam fuisse indicet, nec subsedisse urinas, planè sunt illæ ex conturbatis & turbidis, ut solet hîc appellare, quæ semper turbationem crudam annunciant multo præditam spiritu flatuoso, ut mustum. Quo fit ut capitis dolores his urinis sint adjuncti, quod spiritus caput cùm calidioribus succis petat: à quibus meritò intenduntur vigiliæ, & periculum est delirii futuri, si acrimoniam humores obtineant. Hæc quum statim ab initio Hippocrates cuncta exposuerit & symptomata & signa Hermocrati accidisse: deinde nihil de diebus E proximis prodiderit: durasse hæc ad quintum usque diem innuit omnia, ac tum se demum ad alia accessisse enarranda, ubi aliqua ex parte variassent. Proinde quinto dicit die, illum reddidisse urinas tenues, quare ad ejus diei expositionem transeamus. Quinto die reddidit tenues urinas, suspensionem habebant, non subsidebant, sub noctem deliravit. Quum primùm immutata urina, & desipuit homo, die quinto scripsit Hippocrates, præterita, ut diximus, se- F cundi & tertii & quarti diei declaratione, nimirum quod eadem permansissent in his symptomata. Quare de tenuibus urinis revocemus ad memoriam, quid in præsagiis dixit, his verbis: Qui tenues crudasque diutiùs urinas reddunt, si cætera, ut superfuturis portendantur, his abscessus in regionibus infra septum transversum expectandus est. Itaque altero modo inconcoctus esse morbus significatur per tenues urinas ut etiam per crassas, ubi non subsi-

dant. Siquidem conturbatæ, sed dum depositæ sunt subsidentes, concoctionis alicujus indicant initium, potissimum ubi illico subsidant. quæ verò non subsidunt, ultra flatuosam turbationem, crassitiem esse inconcoctorum humorum significant. Atque ex his liquet morbum producendum: insuper qua erat pravitate febris, & quia sub noctem deliravit homo, cum periculo esse conjunctum. Reliqua jam videamus num esse his consentanea videantur. Auriginosus evasit, omnia exacerbata sunt, mente non constabat. Distinctio hoc tibi sit intensionis hypochondrii ex jecinore profectæ. Diffunditur etenim nonnunquam per totum corpus flava bilis, quod decretorium est, ut in aphorismis quoque est eo Libri loco declaratum, ubi ait: Aurigo ante diem septimum mala est. Reduc item ad memoriam ante concoctum morbum, crebrò te audivisse, nullum quemlibet abscessum proficere, nedum auriginosum. Is enim impediri significat bilem, quominùs ex viscere expurgetur, & evacuetur per ventrem, vel propter oppilationem ejus, vel inflammationem. Morbo autem jam concocto, decretoriè interim natura ad cutem excrementum reponit cùm quorundam aliorum humorum, tum flavæ bilis; nam hoc quidem loco flavam appelles, an pallidam, nihil interest. Porro quum affectio incresceret jecinoris, auriginosam affectionem extitisse ex eo indicatur, quod exacerbarentur omnia sexto die: simulque quod mente ille non constaret, quod est, desiperet.

A παχέων, ὁπότε μὴ καθίσαιτο. τὰ γὰρ ἀναταραττόμενα μὲν, ἀλλ' ἐν τῷ κεῖσθαι καθιστάμενα, πέψεώς τινος ἀρχὴν ἐνδείκνυται, καὶ μάλιστα ὅταν ἐν τάχει καθίστηται. τὰ δὲ μὴ καθιστάμενα, πρὸς τῇ φυσώδει ταραχῇ, πάχος εἶναι σημαίνει χυμῶν ἀπέπτων. ἐκ μὲν δὴ τούτων ἤδη δῆλόν ἐστι χρονίζειν τὸ νόσημα, καὶ μέντοι καὶ κινδυνῶδες εἶναι, διά τε τὴν κακίαν τοῦ πυρετοῦ, καὶ τὸ παρακροῦσαι τὸν ἄνθρωπον εἰς νύκτα. τὰ δ' ἐφεξῆς, ἴδωμεν εἰ τούτοις ἀκόλουθον φαίνεται. ἰκτερώδης, πάντα παρωξύνθη, οὐ κατενόει. διορισμὸς ἐντεῦθέν σοι γινέσθω τῆς κατὰ τὸ ὑποχόνδριον ἐντάσεως ἐφ' ἥπατι συμβάσης. B γίνεται μὲν γάρ ποτε χολῆς ὠχρᾶς ἀνάχυσις εἰς ὅλον τὸ σῶμα, λόγῳ κρίσεως, ὡς κᾀν τοῖς εἰς τοὺς ἀφορισμοὺς ὑπομνήμασιν εἴρηται, κατ' ἐκεῖνο τοῦ βιβλίου τὸ χωρίον, ἔνθα φησίν· ἴκτερος πρὸ ἑβδόμης, κακόν. ἀναμνήσθητι δὲ, καὶ ὡς πρὶν πεφθῆναι τὸ νόσημα, πολλάκις ἤκουσας οὐκ ἄλλην τινὰ ἀπόστασιν γίνεσθαι χρηστῶς, οὔτε τὴν ἰκτερώδη. σημαίνει γὰρ ἡ τοιαύτη κωλύεσθαι τὴν χολὴν ἐκκαθαίρεσθαι τοῦ σπλάγχνου, καὶ κενοῦσθαι διὰ τῆς γαστρὸς, ἤτοι δι' ἔμφραξιν, ἢ διὰ φλεγμονὴν αὐτοῦ. πεπεμμένου δὲ τοῦ νοσήματος, ἐνίοτε κριτικῶς εἰς τὰ κατὰ τὸ δέρμα C μόρια τοῦ σώματος ἀποτίθεται τὸ περιττεῦον ἡ φύσις, ἄλλων τέ τινων χυμῶν καὶ τῆς ξανθῆς χολῆς· οὐδὲν γὰρ ἐν τῷ παρόντι διαφέρει ξανθὴν, ἢ ὠχρὰν ὀνομάζειν. ὅτι δὲ τῆς κατὰ τὸ ἧπαρ διαθέσεως αὐξανομένης, ἡ ἰκτερώδης διάθεσις ἐγένετο, δηλοῖ καὶ τὸ, πάντα παροξυνθῆναι κατὰ τὴν ἕκτην ἡμέραν, ἅμα τῷ μὴ κατανοεῖν τὸν ἄνθρωπον, ὅπερ ἐστὶ παραφρονεῖν.

Deteriores fieri urinas tenues ex quibus signa periculosa enascuntur. Unde par non fuit Hermocratem permanente humorum incoctione, in meliorem statum subitò devenire. Per quæ auxilia natura statim ex periculis hominem eruat.

D Τὰ χείρω οὖρα γίνεσθαι λεπτὰ, ἐξ ὧν σημεῖα κινδυνώδεα γίνεται. ὅθεν τὸν Ερμοκράτην διαμενούσης τῶν χυμῶν τῆς ἀπεψίας ἐν τῇ ἀμείνονι καταστάσει εὐθέως γίνεσθαι οὐχ οἷόν τε εἶναι. διὰ τίνων βοηθημάτων ἡ φύσις ἐκ τῶν κινδύνων εὐθέως ῥυσαμένη τὸν ἄνθρωπον.

HIPPOCRATIS TEXTUS VI.

Die septimo graviter se habuit: urinæ erant tenues, similes, proximis diebus eodem modo. Circa diem undecimum omnia illi visa remissa esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

Ἑβδόμῃ δυσφόρως, οὖρα λεπτὰ, ὅμοια, ταῖς ἐπομέναις παραπλησίως. περὶ δὲ ἐνδεκάτην ἐόντι, πάντα E ἔδοξε κουφισθῆναι.

GALENI COMMENTARIUS.

Quæ die quinto urinæ fieri cœpissent deteriores, non correctæ sunt multis diebus. Non enim septimo modò die, verùm sequentibus etiam ad undecimum usque diem in iisdem fuisse dicit symptomatibus versatum & signis Hermocratem: circa undecimum diem omnia illi visa sunt remissa esse. Rectè sanè visa sunt, dixit; neque enim periculosissimis ex signis potuit subitò, cum eadem permaneret humorum inconcoctio, ad meliorem statum pervenire: idque adeo quum nihil eluxisset decretorii die undecimo: id quod solet non rarò conspici, quòd tum natura solet aut sanguinis excretione, vel alvi, aut vomitibus, aut sudoribus, aut parotidibus, aut decubitu quopiam, ex discrimine hominem vindicare. Attendamus itaque jam, quæ die undecimo acciderũt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τῇ πέμπτῃ τῶν ἡμερῶν ἀρξάμενα χείρω γίνεσθαι τὰ οὖρα, παρέμενε φυλάττοντα τὴν κακίαν, ἕως πολλῶν ἡμερῶν. οὐ γὰρ μόνον ἐπὶ τῆς ἑβδόμης, ἀλλὰ καὶ τὰ κατὰ τὰς ἑπομένας ἄχρι τῆς ἑνδεκάτης, ἐν τοῖς αὐτοῖς γενέσθαι συμπτώμασί τε καὶ σημείοις τὸν Ερμοκράτην φησί· περὶ ἑνδεκάτην ἐόντι, ἔδοξε πάντα κουφισθῆναι. καλῶς εἶπεν ἔδοξεν. F οὐ γὰρ οἷόν τ' ἐστὶν ἐπὶ κινδυνωδεστάτοις σημείοις εὐθέως αὐτὸν ἐν ἀμείνονι καταστάσει γενέσθαι, τῆς αὐτῆς ἀπεψίας διαμενούσης τῶν χυμῶν, μετὰ τοῦ μηδὲ κρίσιμόν ἐπιφανῆναί τι κατὰ τὴν ἑνδεκάτην ἡμέραν, ὃ πολλάκις εἴωθεν ἐπιφαίνεσθαι, τῆς φύσεως, ἤτοι δι' αἵματος ἐκκρίσεως, ἢ γαστρὸς, ἢ ἐμέτων, ἢ ἱδρώτων, ἢ παρωτίδος, ἢ τινὸς ἀποσκήμματος ἐκ τοῦ κινδύνου ῥυσαμένης τὸν ἄνθρωπον. ἐπισκεψώμεθα γοῦν ἐφεξῆς τὰ κατὰ τὴν ἑνδεκάτην ἡμέραν.

Περὶ κώματος, καὶ τῶν οὔρων παχέων καὶ ὑπερύθρων. Τὸ κῶμα τὴν εἰς ὕπνον καταφορὰν εἶναι. Τὰς κώματος αἰτίας εἶναι. α΄, τὴν πολλὴν ἐγκεφάλου ὑγρότητα. β΄, τὴν μόνην ψύξιν. γ΄, ἄμφω ταῦτα. δ΄, τὴν δυνάμεως ἀρρωστίαν. ε΄, τὴν τοῦ θερμοῦ συμφύτου ἀπόσβεσιν. Τὴν δυσκρασίαν ψυχρὰν τῇ θερμῇ ἐπιγίνεσθαι, κακόν. τὰ οὖρα παχέα καὶ ὑπέρυθρα μὴ καθιστάμενα ἄπεπτα καὶ ὀλέθρια εἶναι.

A De comate, urinis crassis & subrubris. Coma in somnum propensionē esse. Comatis causas esse primo magnam cerebri humiditatem; secundo solam frigiditatem; tertio eadem utraque; quarto facultatis debilitatem; quinto caloris nativi extinctionem. Intemperiem frigidam calidæ supervenire malum. Urinas tenues, & subrubras, nec subsidentes, incoctas & exitiales esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ΄.

Κῶμα ἤρξατο, οὖρα παχέα ὑπέρυθρα, κάτω λεπτὰ, οὐ καθίστατο, ἡσυχῇ κατενόει.

HIPPOCRATIS TEXTUS VII.

B *Coma cœpit, urinæ crassiores, subrubræ, infra tenues, non subsidebant; aliquantulùm mente constabat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ ὅλον γέγονε βιβλίον ἐξηγουμένοις τὸ σημαινόμενον ἐκ τῆς κῶμα φωνῆς, ἐν ᾧ δείκνυται τὴν εἰς ὕπνον καταφορὰν οὕτως ὀνομάζων Ἱπποκράτης. Εἰς ὕπνον δὲ λέγω καταφορὰν, ὅταν ἐγρηγορέναι μὲν ἀδυνατῶσιν οἱ κάμνοντες, οὐκ ἀναπεπταμένους ἔχοντες τοὺς ὀφθαλμοὺς, μύσαντες δ' αὐτοὺς, ἤτοι βαθέσιν ὕπνοις, ἢ λεπτοῖς, ἢ ἀγρυπνίαις συνέχονται. διὸ καὶ διορισμοῦ δεῖται, καὶ πολλῆς συνέσεώς τε καὶ τριβῆς, ἵνα γνῶναι ἐπὶ τίνι διαθέσει κωματώδης ὁ νοσῶν ἐγένετο. πολλάκις μὲν γὰρ ὑγρότητι πολλῇ τοῦ πρώτου αἰσθητικοῦ μορίου, καθ' ὃ καὶ τὸν ὕπνον ὀρθῶς Ἀριστοτέλης ἔδειξε γινόμενον, ἕπεται κῶμα, καθάπερ ἐνίοις τῶν μεθυσθέντων γίνεται, πολλάκις δὲ διὰ μόνην ψύξιν, ἔστι δ' ὅτε καὶ δι' ἄμφω ταῦτα συμπίπτει βαθὺς καὶ κωματώδης ὕπνος. ἀλλὰ καὶ δι' ἀρρωστίαν δυνάμεως ἡ τοιαύτη γίνεται διάθεσις, οὕτως ἤδη νεκρουμένης αὐτῆς, ὡς ἐπηρμένα τὰ βλέφαρα φυλάττειν μὴ δύνασθαι. καὶ συμβαίνει τοὺς οὕτως ἔχοντας ἐπειδὰν μύσωσι τοὺς ὀφθαλμοὺς, ἢ μηδ' ὅλως, ἢ βραχύ τι κοιμηθέντας, ἀγρυπνεῖν, οὐδὲ τότε διαίρειν τὰ βλέφαρα δυναμένους, ἥν τινα διάθεσιν, ἀπὸ τῆς γινομένης δι' ὑγρότητα, καὶ ψύξιν οἱ σφυγμοὶ μάλιστα διορίζουσιν, ἀμυδρότατοί τε καὶ βραδεῖς, καὶ ἀραιοὶ, καὶ σμικροὶ γινόμενοι. καὶ εἴπερ ταύτην τὴν θεωρίαν Ἱπποκράτης ἐξηγησάμενος παραπλησίως ταῖς ἄλλαις, ἐγεγράφει τὸ τῶν σφυγμῶν εἶδος ἐπὶ τῶν καμνόντων, ἀκριβέστερον οὕτω καὶ ἡμεῖς τῶν συμβαινουσῶν αὐτοῖς διαθέσεων εἴχομεν τὴν γνῶσιν. ἐπεὶ δὲ παρέλιπεν αὐτὴν, ὥσπερ ἔνιοι τὴν τῶν οὔρων, ἐξ ὧν ἔγραψεν, ἐκ τούτων χρὴ τεκμαίρεσθαι περὶ τῶν ἀρρώστων. Φλεγματώδη μὲν οὖν χυμὸν ἐπὶ τὸν ἐγκέφαλον ἀφικέσθαι κατὰ τὴν ἑνδεκάτην ἡμέραν, οὐκ εὔλογον, ἐν νοσήματι ξηρῷ καὶ θερμῷ καὶ τὴν ἀρχὴν εὐθέως εἰσβάλλοντι. καὶ γὰρ ἡ τῆς γλώττης ἔγκαυσις, ἥ τ' ἀγρυπνία, καὶ ὁ πυρετὸς ἰσχυρὸς ὢν, ἥ τε κατὰ τὴν ἕκτην ἡμέραν ἰκτερώδης ἀνάχυσις, τά τε διαχωρήματα συγκεκαυμένα, πυρώδη τὴν ἐν ὅλῳ τῷ σώματι διάθεσιν εἶναι δηλοῖ. σὺν τῷ καὶ εἴ τι πλῆθος ἠθροίσθη χυμοῦ ἐν ἥπατι μόνῳ, καὶ κατὰ τὰς ἐνταῦθα φλέβας, οὐ καθ' ὅλον τὸ σῶμα περιέχεσθαι τοῦτο, δηλωθὲν εὐθέως ἐν ἀρχῇ διὰ τοῦ τῶν οὔρων πάχους. ὑπολείπεται τοίνυν ἤτοι ψύξις σφοδρὰ κατὰ τὸν ἐγκέφαλον, ἢ ἀρρωστία δυνάμεως, αἰτία τοῦ κώματος τῷ Ἑρμοκράτει γεγονέναι κατὰ τὴν ἑνδεκάτην ἡμέραν· ὁπότερον δ' ἂν ᾖ τούτων, ἐσχάτως ἐστὶν ὀλέθριον. ἀνίατοι γὰρ ἐδείχθησαν αἱ τοιαῦται ψύξεις, ὅταν ἀκολουθήσωσι θερμοῖς καὶ ξηροῖς νοσήμασιν. Εἰκότως οὖν ἔγραψεν ὁ Ἱπποκράτης, ἔδοξε πάντα κουφισθῆναι. χαλεπωτάτου γὰρ σημείου τοῦ κατὰ τὸ

GALENI COMMENTARIUS.

SOlidum scripsi librum, interpretans significationem hujus dictionis, *coma*, in quo indicatur propensionem, delationemve in somnum sic appellasse Hippocratem. In somnum autem propensionem voco, quum vigilare ægri nequeant, non apertos habentes oculos, sed C conniventes: vel altis somnis, vel tenuibus, vel vigiliis detineantur. Unde exactam quærit distinctionem, multam etiam prudentiam, & exercitationem, ut ex qua affectione æger comatosus fieret, assequaris: frequenter enim ubi multum humectata pars sit, quæ est sensus fons (in qua & somnum rectè Aristoteles fieri demonstravit) coma sequitur, ut nonnullis usuvenit ebriis: subinde ob solum frigus est cùm ambobus his profundus succedat & comatosus somnus: quin etiam propter infirmitatem virium talis affectus fit, adeo jam emorientium, D ut apertas palpebras servare non valeant. Ac ita affecti hoc habent, ut postquam oculis conniverint, aut nihil prorsus, aut parum dormiant, sed vigilent; nec attollere tamen palpebras queant: quod quidem vitium ab eo quod committit humiditas & algor, pulsus distinguunt potissimum languidissimi, tardi, rari, & parvi. Quòd si hanc esset Hippocrates contemplationem juxta ac aliàs persequutus, vel pulsuum in ægris genus tradidisset, fieret ut etiam exactiorem nos cognitionem eorum quæ ægrotis evenerunt, assequeremur. Quam E quia præteriit, ut quidem urinarum, ex iis quæ litteris mandavit, de ægrotis est conjectandum. At in cerebrum se succum contulisse pituitosum undecimo die, non est rationi consonum in morbo, qui siccus & calidus è primo statim impetu fuit. Siquidem lingua adusta, vigilia, febris vehemens, sexto die auriginosa perfusio, excrementa alvi combusta, totam ipse igneam affectionem corporis declarant. Huc accedit, quod si qua crassities esset collecta succorum in jecinore & ejus venis, non ea in toto continebatur corpore, F quam ostendit jam inde usque ab initio urinarum crassities. Reliquum ergo est perfrigerationem insignem cerebri, aut facultatis imbecillitatem Hermocrati coma induxisse die undecimo. Utrum autem sit horum, extreme est perniciosum. Nam insanabilia ea esse demonstratum est frigora, cùm calidis morbis & siccis succedant. Rectè ergo Hippocrates scripsit, omnia visa sunt remissa esse, nam quum exitiosissimum signum die undecimo

coma incepisset, haud potuit fieri ut salubrem A tum statum corpus recuperaret. Imò verò ne medius quidem est ullus in talibus status: sed si à salubri statu ea deflectat forma febris, in contrariam impingit perniciem, in qua extinguitur nativus calor. Ergo quia coma symptoma ita perniciosum undecimo die extitit, attendamus urinas: nam si exitiosæ etiam hæ appareant esse, propinquam significant mortem: sin mediocres, in longius tempus trahetur: nam optima urina in talem statum nullo pacto incidet. At quid de eis referat, audiamus. Urinæ inquit crassiores. Hæc quidam ita connectunt, ut post dictionem, *coma*, supradictam, *cœpit*, urinis attribuant. Nam quum intercedat hoc inter coma, & urinas, utrilibet assignes licet: ut duplex sit lectio, una hæc, coma cœpit, altera hæc, cœpit meiere crassiora: etenim verbo οὖρει, id est, meiebat, per indicativum quem vocant modum prolato adjiciunt, ν, literam, ac scribunt οὐρεῖν, cum ν, id est, meiere, modo, ut vocant, infinitivo, ut verbo cœpit, consentiat scriptura. Cæterum dictioni, coma, est verisimilius verbum, cœpit adhærere, cum nunc incœperit primùm: urinæ vero crassæ usque ab initio fuerint, siquidem in narratione diei primi scriptum est his verbis, urinæ crassæ erant & rubræ, depositæque non subsidebant. Quare non convenit hinc dicere nunc cœpisse urinas crassas esse, quum tales ab initio ad quintum usque diem fuissent: nam die quinto quidem mutatas, tenues dicit factas: deinde septimo die eas fuisse commemoravit easdem. Rectè igitur dixit: undecimo die reddebat urinas crassiores, conferens cum his illas, quæ à quinto die hactenus tenues fuerant. Jam etiam subrubras eas fuisse ait, & infra quædam tenuia parva habuisse, quæ subsiderent. Subintelligendum enim est huic, infrà, parva quædam tenuia habuisse, quæ subsiderent. Quare videntur ambegisse hæ urinæ inter bonas & exitiosas. Porro, in fine quod dicit, bifariam legunt. Quidam ita: non subsidebant aliquantulum, adjungentes dictionem, *aliquantulum*, urinis non subsidentibus. Alii sic, subsidebant, deinde iterum ab initio, aliquantulum mente constabat, quod propius videtur ad sensum accedere. Nam, aliquantulum si sit prædictum subsidere urinas, solent sic Græci dicere: at non subsidentibus raro id genus nomina adjiciunt. Habes ergo quæ undecimo die symptomata & signa acciderunt. Videamus jam, quæ die quartodecimo descripserit.

A κῶμα λαβόντος ἀρχὴν ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας, ἀδύνατον ἦν ἀναλαμβάνειν τὸ σῶμα τὴν κατὰ τὴν ὑγιεινὴν ἕξιν. οὐ μὴν οὐδὲ μέση τίς ἐστιν ἐν τοῖς τοιούτοις διαθέσεσις, ἀλλ' ἐὰν ἐκπέσῃ τῆς ὑγιεινῆς καταστάσεως ἡ τοιαύτη τοῦ πυρετοῦ ἰδέα, πρὸς τὴν ἐναντίαν ἀφικνεῖται τὴν ὀλεθρίαν, ἐν ᾗ σβέννυται τὸ ἔμφυτον θερμόν. τοῦ τοίνυν κώματος οὕτως ὀλεθρίου συμπτώματος, ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας γενομένου, προσέχωμεν τοῖς οὔροις. εἰ μὲν γὰρ ὀλέθρια καὶ αὐτὰ φαίνοιτο, διὰ ταχέων δηλώσει τεθνήξεσθαι τὸν ἄνθρωπον. εἰ δὲ μέ-
B τρια, εἰς χρόνον ἐκταθήσεσθαι πλέονα, τὰ μὲν γὰρ ἄριστα τῶν οὔρων ἐν τῇ τοιαύτῃ διαθέσει ἀδύνατον γενέσθαι. ἴνα δὲ λέγει περὶ αὐτῶν ἀκούσωμεν. οὖρα φησι παχύτερα· συνάπτουσι δὲ ἐνταῦθά τινες μετὰ τὸ κῶμα, τὸ ἔμπροσθεν εἰρημένον, ἤρξατο, τοῖς οὔροις προστιθέντες· ἐν γὰρ τῷ μεταξὺ τεταγμένον αὐτὸ, τοῦ τε κώματος, καὶ τῶν οὔρων, ἔνεστιν ὁποτέρῳ τις βούλεται προσνέμειν, ὡς γενέσθαι τὴν ἀνάγνωσιν διττὴν, μίαν μὲν τοιαύτην, κῶμα ἤρξατο, μίαν δὲ ἄλλην τοιάνδε, ἤρξατο δὲ οὐρεῖν παχύ-
C τερα. καὶ γὰρ προστιθέασι τῷ οὔρει ῥήματι κατὰ τὴν ὁριστικὴν καλουμένην ἔγκλισιν εἰρημένῳ, τὸ ν γράμμα, καὶ γράφουσιν οὐρεῖν μετὰ τοῦ ν κατὰ τὴν ἀπαρέμφατον καλουμένην, ἵνα τῷ ἤρξατο, σύμφωνος ἡ γραφὴ γένηται. πιθανώτερον δὲ ἐστι τῷ κῶμα, ῥήματι, τὸ, ἤρξατο προσκεῖσθαι, νῦν αὐτοῦ πρῶτον ἀρξαμένου. τὰ δὲ οὖρα παχέα κατ' ἀρχὰς εὐθὺς ἦν. ἐν γὰρ τῇ τῶν πρώτων ἡμερῶν διηγήσει γέγραπται κατὰ τήνδε τὴν λέξιν. οὖρει παχέα ἐρυθρὰ, κείμενα οὐ καθίσατο, ὡς οὐκ ἐνδέχεται λέγειν αὐτὸν, τὰ οὖρα γενέσθαι παχέα μέχρι τῆς πέμπτης ἡμέρας
D ἀπ' ἀρχῆς τοιαῦτα γενόμενα· κατὰ γὰρ τὴν πέμπτην μεταπεσόντα, λεπτά φησιν αὐτὰ γεγονέναι, κἄπειτα καὶ κατὰ τὴν ἑβδόμην, ὡς τοιούτων ὄντων αὐτῶν, ἐμνημόνευσε. κατὰ τὴν ἑνδεκάτην οὖν εἰκότως εἶπεν, οὖρει παχύτερα, παραβάλλων αὐτὰ τοῖς ἀπὸ τῆς πέμπτης ἡμέρας ἕως ταύτης γενομένοις λεπτοῖς· ἀλλὰ καὶ ὑπέρυθρά φησιν αὐτὰ γενέσθαι καὶ κάτω μικρὸν ἔχειν ὑφιστάμενα, μέσα τοίνυν φαίνεται τὰ οὖρα γεγονέναι τῶν τε ἀγαθῶν καὶ τῶν ὀλεθρίων. τὸ δὲ ἐπὶ τελευτῇ λεγόμενον αὐτῷ, διττῶς ἀναγινώσκουσιν· ἔνιοι μὲν οὕτως, οὐ καθίσαντο ἡσυχῇ, προστιθέντες τὸ ἡσυχῇ, τοῖς μὴ καθισαμένοις οὔροις. ἔνιοι δὲ οὕτως, καθίσαντο· καὶ πάλιν ἀφ'
E ἑτέρας ἀρχῆς, ἡσυχῇ κατενόει, καὶ φαίνεται τοῦτο μᾶλλον ἔχειν διάνοιαν. τὸ γὰρ ἡσυχῇ, καὶ προειρημένου μὲν τοῦ καθίστασθαι τὰ οὖρα, συνήθως οὕτω λέγουσιν οἱ Ἕλληνες· ἐπὶ δὲ τῶν μὴ καθισαμένων οὐ πάνυ τι προστιθέασι τὰ τοιαῦτα τῶν ὀνομάτων. τὰ μὲν οὖν κατὰ τὴν ἑνδεκάτην γενόμενα σημεῖα καὶ συμπτώματα, ταῦτ' ἐστίν. ἴδωμεν δὲ ἐφεξῆς, ἃ περὶ τῆς τεσσαρεσκαιδεκάτης ἔγραψε.

Non oportet iis credere quibus rationabiliter remittit morbus. Hermocratem validâ febre correptum non rationabiliter undecimo die remisisse, decimoquarto adhuc meliùs habuisse, & decimoseptimo conversum, vigesimo defunctum esse.

F

Τοῖς μὴ κατὰ λόγον κουφαθεῖσιν οὐ δεῖ πιστεύειν. τὸν Ἑρμοκράτην ἰσχυρῷ πυρετῷ ἐπιληφθέντα μὴ κατὰ λόγον ἑνδεκάτῃ ἡμέρᾳ κουφισθῆναι, τεσσαρεσκαιδεκάτῃ ἀπηλλάχθαι τελέως, καὶ ἑπτακαιδεκάτῃ ὑποστρέψαι, καὶ ἑπτακαιεικοστῇ τεθνηκέναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

Τεσσαρεσκαιδεκάτῃ ἀπύρετος, οὐχ ἵδρωσεν, ἐκοιμήθη, κατενόει πάντα, οὖρα παραπλήσια.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μάτην δόξει κεῖσθαι, τὸ οὐχ ἵδρωσεν, ὅμοιον τῷ οὐχ ἡμορράγησεν, οὐκ ἤμεσεν, οὐ παρωτίδας ἔσχεν. ἀλλ' ὥσπερ ὀλίγῳ πρόσθεν ἔφη, περὶ δὲ ἑνδεκάτην ἐόντι, πάντα ἔδοξε κουφισθῆναι, δυνάμενος μὲν εἰπεῖν ἁπλῶς ἐκουφίσθη πάντα. B προσθεὶς δὲ τὸ, ἔδοξεν, ἕνεκα τοῦ, τῶν ἐν ἑτέροις αὐτῷ γεγραμμένων ἀναμιμνήσκειν, ἐν τοῖς μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὕτω καὶ νῦν οὐκ ὤκνησεν ἐκ περιττοῦ προσθεῖναι τὸ, οὐχ ἵδρωσεν, ἀναμνήσεως ἕνεκεν τοῦ κατὰ τὴν ῥᾳστώνην ἀπίστου. τὸ γὰρ ἐνδεχόμενον ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν ἡμερῶν εἴπερ ἐγένετο, ἔσωσεν ἂν τὸν ἄνθρωπον. ἐκ γοῦν τοῦ μὴ γενέσθαι, τῆς κακοηθείας τοῦ νοσήματος ἀνέμνησεν ἡμᾶς. ἀγνοοῦνται δὲ πολλοῖς τῶν ἰατρῶν αἱ τοιαῦται διαθέσεις, καὶ χαίρουσιν ἐπὶ τοῖς ἄμεινον ἔχειν δόξασιν, κἂν ἐπ' ὀλεθρίοις τοῖς ἔμπροσθεν σημείοις τε καὶ συμπτώμασι τοῦτο γενέσθαι συμβῇ, μὴ γινώσκοντες ὡς νε- C κρουμένης τῆς φύσεως, καὶ σβεννυμένου τοῦ ἐμφύτου θερμοῦ, τὰς τοιαύτας διαθέσεις συμβαίνει γίνεσθαι, παραπλησίως τοῖς εἰς ὄγκον αἰρομένοις μορίοις ἐκ κακοήθους ῥεύματος, ὅταν ἡ φύσις ἀρρωστοῦσα, μηδ' ὅλως ἐπιχειρῇ τῇ πέψει τοῦ τὸν ὄγκον ἐργασαμένου χυμοῦ. περὶ γὰρ τὰς γενέσεις τοῦ πύου, φησὶν, οἵ τε πόνοι, καὶ οἱ πυρετοὶ γίνονται, μεταβαλλομένων ὑπὸ τῆς ἐμφύτου θερμασίας τῶν τὸν ὄγκον ἐργασαμένων χυμῶν. ὅταν οὖν αὕτη μηκέτ' ἐγχειρῇ τῇ πέψει δι' ἀρρωστίαν οὔτε πονοῦσιν, οὔτε πυρέττουσιν, εἰ μὴ πάνυ μικρόν. ἐπὶ μὲν οὖν τοῖς ἐκπυήσασιν, D ἐκκενωθέντος τοῦ πύου, σῶον φυλάττεται τὸ μόριον εἰς ὃ τὸ ῥεῦμα κατέσκηψεν. ἐφ' ὧν δὲ, οὔτ' ἐκπύησις, οὔτ' ὀδύνη τις ἀξιόλογος, οὔτε πυρετὸς γίνεται, σήπεται τὸ μόριον, ὡς ἀναγκαῖον ἡμῖν γενέσθαι παντελῶς ἐκκόψαι ποτ' αὐτό, παραπλήσιόν τι συμβαίνει τούτῳ, κἀπὶ τῶν ἀσήμως τε καὶ ἀλόγως ἀπυρέτων γενομένων ἐπὶ θανατώδεσι σημείοις. ὅτι δὲ τοιαύτη διάθεσις ἦν τῷ Ἑρμοκράτει, καὶ τὰ τοῦ γενομένου κώματος ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας, ἐδήλου. τὸ γὰρ ἅμα πυρετῷ διακαεῖ, καὶ χυμὸν ἔχοντι δηλονότι δακνώδη καὶ δριμὺν, ἐξαίφνης σύμπτωμα [illegible], ὑγροῖς, καὶ ψυχροῖς, καὶ ἀδήκτοις ἑπόμενον χυμοῖς, ἐνδεικτικόν ἐστιν οὐ τοῦ πεπαῦσθαι τὴν ἔμπροσθεν διάθεσιν, E οὐδενός γε κρισίμου γεγονότος, ἀλλὰ τοῦ νεκροῦσθαί τε καὶ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν. εἴρηται μὲν οὖν ἐπὶ πλέον περὶ τούτων ἐν ἑτέροις ἀλλὰ καὶ νῦν ἐν κεφαλαίοις ἅπαξ ἀρκείτω λελέχθαι περὶ τῶν ἀλόγως ἐπὶ χαλεποῖς νοσήμασιν, ἀπυρέτων γενομένων. ὅσῳ γὰρ ἂν ὀλεθριωτέρων προηγησαμένων σημείων ἄμεινον ἔχειν δόξωσι, τοσούτῳ τὴν νόσον ὀλεθριωτέραν ἔχουσιν. εἰ δὲ, ὡς οἱ περὶ τὸν Σαβῖνον εἰρήκασι λοχῶντος τοῦ νοσήματος, ὥσπερ θηρίου τινὸς, ἢ ἀνθρώπου πονηροῦ, διάνοιαν γὰρ ἔχοντός ἐστι ζώου τὸ λοχεῖν, ἐξαίφνης ἐπιτίθεσθαι λάθρα, F μὴ προσδοκῶσι τοῖς ἐνεδρευομένοις ὑπ' αὐτοῦ. ἀλλὰ τὰ μὲν οὕτως εἰρημένα, προσηκόντως ἄν τις ὀνομάσῃ περιλάλησιν. οὐδὲν γὰρ εἰπόντες ἐπιστημονικὸν, ἀλλὰ περιλαλήσαντες μόνον, οἴονται τὸ προκείμενον ἀποδεδειχέναι, διὰ παραδείγματος, οὐδὲν οὐδὲ τοῖς παραβαλλομένοις ὅμοιον ἔχοντός τι. καταλιπόντες οὖν αὐτοὺς, αὖθις συμπληρώσωμεν ἤδη τὰ προκείμενα. καί μοι πρόσεχε τὸν νοῦν ἀκριβῶς ἐνταῦθα, καὶ μὴ θαύμαζε

A. ## HIPPOCRATIS TEXTUS VIII.

Quarto decimo die à febre erat liber: non sudavit, dormivit, omnino mente constabat, urinæ eædem.

GALENI COMMENTARIUS.

Necquicquam videatur adjectum, non sudavit, cui est simile, non illi profluxit sanguis, non vomuit, parotidas non habuit. Sed ut non multo ante dixit, sub diem undecimum omnia illa visa sunt esse remissa, qui quum dicere potuisset simpliciter: omnia sunt remissa, adjecit, visa sunt, quo illorum admoneret, qui alibi scripsit, Iis, quæ non secundùm rationem relevant, non est habenda fides, ita etiam hîc non dubitavit cumulum addere, *non sudavit*, ut ob oculos proponeret, quàm sit infida remissio morbi. Nam si, quæ postulabat res, quartodecimo die evenissent, conservassent hominem. Itaque quia non apparuerunt, hinc malignitatem nobis morbi subjecit. Quos quidem affectus ignorat vulgus Medicorum, & gaudet, si qua videatur allevatio, tametsi hæc de exitiosis signis, & symptomatibus prioribus proficiscatur, nescium, cùm natura enecatur, & extinguitur insitus calor, tales solere affectiones incidere, non secùs ac partes, quæ defluxione mala in tumorem assurgunt ubi natura præ infirmitate haudquaquam attingit concoctionem humoris, qui excitavit tumorem. Nam quum generatur, inquit, pus, dolores fiunt & febres, quòd nativus calor humores tumoris auctores immutet: quare quando omnino hic à coquendo abstinet per imbecillitatem, nec laborant, nec febricitant, nisi perperam. Ideo fit ut in his qui suppurarunt, excreto pure, pars sit, in quam fluxio impegit, salva: at ubi suppuratio, & manifestus dolor, & febris abest, putrescit pars, ut eam cogamur solidam aliquando præcidere. Huic igitur non dissimile est quod iis accidit, qui sine signis & sine ratione explicati sunt febre, post signa lethalia. In hoc casu fuisse Hermocratem, vel coma, quod hominem die undecimo arripuit, arguebat. Siquidem una cum ardente febre, & succum habente mordacem, acremque adjunctum, si quis symptomate teneatur, humidos & frigidos humores, atque non mordaces comitante, non esse profligatum incommodum ostendit, quum nihil acciderit decretorii; sed suffocari, & extingui nativum calorem. Sed hæc aliàs longiùs tractavimus. Quin etiam hîc summatim satis sit dixisse de iis qui à febre in gravibus ægritudinibus præter rationem liberantur: nam quo habere, quum signa processerint exitiosa, commodiùs videantur, hoc morbum habent perniciosiorem. At vero Sabinus dixit, Insidians morbus more feræ, aut hominis scelerati (animantis enim est ratione præditi petere insidiis) nec opinantes adoritur, quos petivit. Verùm ejusmodi verba nugas jure dixeris. Siquidem quum nihil quod scientiam faciat afferant, nisi loquacitate obtundant, institutum se putant exemplo demonstrare, quod nulla ratione his, quibus cum confertur, consentiat. Quare hos relinquamus, & ipsi jam, quæ instituimus, absolvamus. Mihi vero hîc animum diligenter adverte, ac cave mireris,

cur

cur sæpe ego, quum quempiam perniciosè se habere dixissem, qui interim repentè habere belle, adeo ut & levaret, illuderetque, non à plebeis tantùm, sed & à Medicis quibusdam, in prædictione tamen constarem: postea quum repeteretur ille à morbo, qui videbatur rectè habere, mereretur que ex divinatrice non medica speculatione habitus sim prædixisse, quum hæc præclari isti ipsi Medici nusquam esse affirmaverint literis mandata. Equidem unde mortem quibusdam in undecimum diem, aut salutem præsagiverint, abundè scripsi de ejusmodi prædictionibus omnibus in commentariis de judiciis, & in libris etiam de diebus decretoriis: quorum est omnium princeps divinus ille Hippocrates. Sed cætera in illis, quos citavi modo libris, & vero etiam nonnullis aliis prosecutus sum. In præsentia qui illos revolverint, his planam faciam propositam disputationem. Undecimo die Hermocrates melior esse visus est, quartodecimo perfectè liberatus. Constituto jam hoc, & præcognito, recidivam omnino fore, & periturum eum, diem septimumdecimum consentaneum erat iis, quæ die undecimo & quartodecimo evenerant, recidivam attulisse. Nam morbi mutatio in dies incidit decretiores. Didicimus namque in præsagiis & aphorismis dierum quaternarios orbes in vigesimum; non in primum vigesimum incidere: atque idcirco undecimum quartidecimi esse indicem, decimum vero & septimum vigesimi. Ergo tum morbum rediisse die septimo Hermocrati in primis est consonum, tum consecutam aliam esse mutationem vigesimo: non tamen jam lectis Hippocratis scriptis, quæ die vigesimo mutatio futura esset, constat. In causa est, quòd nos lateat, quo modo vires laborantis haberent, atque certissimum earum signum, ipsos nimirum pulsus ipse prætererit. His enim simul perspectis, facillimũ erat dicere vigesimone die moriturus esset æger, an in spatium longius protrahendus morbus: ignoratis verò obscurum. Itaque audiamus, quæ de die septimodecimo, quæ item de vigesimo, Hippocrates dicat.

A πῶς ἐγὼ πολλάκις ὀλεθρίως εἰπὼν ἔχειν τινὰ, μεταξὺ καλῶς αὐτοῦ φήσαντος ἐξαίφνης, ὡς καὶ λούσασθαι, κατατελώμενος οὐ μόνον ὑπὸ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ τῶν ἰατρῶν, ἐμμείνας τῇ προρρήσει, μετὰ ταῦτ' ὑποστρέψαντος εἰς τὸ νόσημα τοῦ δόξαντος ἐσχηκέναι καλῶς, εἶτ' ἀποθανόντος, ἐκ μαντικῆς ἐνομίσθην, οὐκ ἰατρικῆς θεωρίας, προειρηκέναι. καὶ ταῦτα τῶν θαυμαστῶν τούτων ἰατρῶν, οὐδαμόθι γεγράφθαι λεγόντων αὐτά. πόθεν οὖν ὅτι κατὰ τὴν ἑνδεκάτην ἡμέραν, ἢ τεθνήξεσθαί τινας, ἢ κριθήσεσθαι πρόσθεν, ἔστι μοι κἀν τοῖς περὶ κρισίμων αὐτάρκως γεγραμμένα τὰ περὶ τῶν τοιούτων B προρρήσεων, ἔστι δὲ κἀν τοῖς περὶ κρισίμων· καὶ πάντων αὐτῶν ἡγεμών ἐστιν ὁ θαυμάσιος Ἱπποκράτης. ἀλλὰ τὰ μὲν ἄλλα, διά τε τῶν εἰρημένων ἄρτι βιβλίων ἐξείργασμαι καί τινων ἑτέρων. ἐν δὲ τῷ παρόντι, τοῖς ἀνεγνωκόσιν ἐκεῖνα, σαφῆ τὸν περὶ τῶν ἐνεστώτων ἀπεργάσομαι λόγον. ἐπὶ μὲν γὰρ τῆς ἑνδεκάτης ἡμέρας ἔδοξεν ὁ Ἑρμοκράτης κεκουφίσθαι, τῇ τεσσαρεσκαιδεκάτῃ, ἀπηλλάχθαι τελέως· ὡρισμένου δ' ἤδη, καὶ προεγνωσμένου τοῦ πάντως ὑποστρέψαι τε καὶ τεθνήξεσθαι τὴν ἑπτακαιδεκάτην ἡμέραν, ἀκόλουθον ἦν τοῖς κατὰ τὴν ἑνδεκάτην C καὶ τεσσαρεσκαιδεκάτην γενομένοις ἐνεγκεῖν τὴν ὑποστροφὴν, ὡς ἂν κατὰ κρισίμους ἡμέρας τῆς τοῦ νοσήματος μεταβολῆς γενομένης. ἐμάθομεν γὰρ ἔν τε τῷ προγνωστικῷ, καὶ τοῖς ἀφορισμοῖς τὰς κατὰ τετράδα περιόδους τῶν ἡμερῶν, εἰς τὴν εἰκοστὴν, οὐ τὴν εἰκοστὴν πρώτην ἀφικνεῖσθαι, καὶ διὰ τοῦτο, τὴν μὲν ια. τῆς ιδ. ἐπίδηλον εἶναι, τὴν δὲ ιζ. τῆς κ. ὑποστρέψαι μὲν οὖν τῷ Ἑρμοκράτει εὐλογώτατον, τὸ νόσημα κατὰ τὴν ιζ. ἡμέραν, ἀκολουθῆσαι δὲ κατὰ τὴν κ. ἑτέραν μεταβολήν. οὐ μὴν ἤδη γέ πω δῆλον ἡμῖν τοῖς ἀναγινώσκουσι τὰ γεγραμμένα πρὸς D Ἱπποκράτους, ὁποία τις ἡ κατὰ τὴν εἰκοστὴν ἡμέραν ἔσοιτο μεταβολὴ, διὰ τὸ μήτε τὴν δύναμιν ὅπως εἶχε τοῦ κάμνοντος ἐπίστασθαι, μήτε τὸ βεβαιότατον αὐτῆς σημεῖον ὑπ' αὐτοῦ γεγράφθαι. σὺν μὲν γὰρ τῇ τούτων γνώσει, ῥᾷστον ἦν εἰπεῖν, εἴτε κατὰ τὴν εἰκοστὴν ἡμέραν ὁ κάμνων ἕξει τὴν τελευτὴν, εἴτε καὶ εἰς πλείονας ἐκταθήσεται τὸ νόσημα. μὴ γινωσκομένων δ' ἐκείνων, ἄδηλον. ἀκούσωμεν οὖν ὧν περὶ τῆς ἑπτακαιδεκάτης, καὶ ὧν περὶ τῆς εἰκοστῆς εἶπεν αὐτός.

Hermocratem vigesimoseptimo die in recidivam incidisse. Et urinas tenues morbum incretum & periculosum significare.

E Τὸν Ἑρμοκράτην ἑπτακαιδεκάτῃ εἰς τὴν νόσον ὑπόστροφον γενέσθαι. καὶ τὰ οὖρα λεπτὰ τὸ νόσημα ἄπεπτον, καὶ ἐπικίνδυνον σημαίνειν.

HIPPOCRATIS TEXTUS IX.

Circa diem septimumdecimum rediit: in sequentibus diebus incaluit, febris erat acuta, urinæ tenues, deliravit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Περὶ δὲ ἑπτακαιδεκάτην ἐόντι, ὑπέστρεψεν, ἐθερμάνθη τὰς ἑπομένας, πυρετὸς ὀξὺς, οὖρα λεπτά.

GALENI COMMENTARIUS.

Alia quidem sunt symptomata recidivæ. At urinæ tenues morbum esse inconcoctum significant. Itaque ut non sint magnoperè signa, quæ apparebant, exitiosa, fore incolumem hominem dicere nequeas, conspiciens septimodecimo die eam urinarum inconcoctionem. Nam Hippocrates ipse dixit in talibus, ut æger diuturnitatem morbi sustinere non possit, esse periculum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Τὰ μὲν ἄλλα τῆς ὑποστροφῆς ἐστὶ συμπτώματα· τὰ δ' οὖρα τὰ λεπτὰ, δηλοῖ τὴν νόσον ἄπεπτον ὑπάρχειν, ὥστ' οὐδ' εἰ καὶ μὴ μεγάλως ἦν τὰ φαινόμενα σημεῖα ὀλέθρια, σωθήσεσθαι τὸν ἄνθρωπον εἶπεν ἄν τις ἐπὶ τῆς ἑπτακαιδεκάτης ἡμέρας, ὁρῶν τὴν ἀπεψίαν τῶν οὔρων. αὐτὸς γὰρ εἶπεν ἐν τοῖς τοιούτοις κίνδυνον εἶναι, μὴ οὐ δυνήσεται τῷ χρόνῳ τοῦ νοσήματος ὁ κάμνων ἐξαρκέσαι.

Τὴν κερδαλέαν κρίσιν τῷ Γαληνῷ ἐγνωσμένην διὰ τῆς ὑποστροφῆς τὸν Ἑρμοκράτην ἐκτεῖναι.

Fraudulentam crisin Galeno notam per recidivam Hermocratem peremisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ί.

Πάλιν δ' εἰκοστῇ ἐκρίθη ἀπύρετος, οὐχ ἵδρωσεν.

HIPPOCRATIS TEXTUS X.

Rursus autem vigesimo die judicatus est, à febre immunis, non sudavit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν ᾗ κατὰ λόγον ἦν ἡμέρα παροξυνθῆναι τὸν πυρετὸν, εἴπερ ὅλως ἡ φύσις ἐνεχείρησε τῇ πέψει τῶν χυμῶν, οὓς μόνον ὡς ἐδήλου τὰ οὖρα διαμένοντα λεπτὰ, κατὰ ταύτην ἐπαύσατο τελέως ὁ πυρετός. οὐδὲ γὰρ κατὰ τὴν ἑπτακαιδεκάτην ἐγεγόνει, τῷ λόγῳ τῆς ἐμφύτου θερμασίας, ἀλλὰ μόνῳ τῷ τῆς σήψεως, ἐκθερμανθέντων πυρετωδῶς τῶν χυμῶν. ὁ τοίνυν ζέσας αὐτῶν, διαπνευσθεὶς, ἀπύρετον μὲν εἰργάσατο τὸν ἄνθρωπον. ἀλλὰ μενόντων τῶν ὀλεθρίων συμπτωμάτων ὡς ἐφεξῆς ἐρεῖ, σαφὲς ἦν ἀπολεῖσθαι τὸν Ἑρμοκράτην. ὥσπερ δ' ἐπὶ τεσσαρεσκαιδεκάτης ἡμέρας ἔγραψεν, οὐχ ἵδρωσεν, οὕτως καὶ κατὰ τὴν εἰκοστὴν αὐτὸ προσέθηκεν, ἀναμιμνήσκων τῆς ἀσήμως γενομένης ῥᾳστώνης. ὅτι δὲ διέμεινε τὰ συμπτώματα, τοῦ νεκροῦσθαι τὴν φύσιν τοῦ κάμνοντος, εὔδηλόν ἐστιν, ἐξ ὧν ἐφεξῆς ἔγραψε τοῖς κατὰ τὴν εἰκοστὴν ἡμέραν εἰρημένοις, οἷς ἤδη πρόσεχε τὸν νοῦν.

GALENI COMMENTARIUS.

Quo secundum rationem die oportuisset febrem exacerbari, si natura prorsus humorum coctionem aggressa fuisset, quos incoctos urinæ tenues permanentes prodebant, eodem febris perfectè cessavit: Neque enim decimoseptimo caloris nativi ratione febris recidit, sed sola putredinis succensis febriliter humoribus. Itaque ipsorum humorum fervor perspiratus à febre immunem hominem reddidit. Verum manentibus perniciosis symptomatis (ut postea dicit) manifestum erat moriturum Hermocratem: Quemadmodum autem decimoquarto die scripsit; *non sudavit*; ita & vigesimo idem addidit; ad memoriam revocans levamentum absque signis factum esse. Quod autem permanserint symptomata, naturam ægrotantis extingui liquido constat ex his quæ deinceps scripsit in vigesimi diei narratione, quibus jam mentem adhibe.

Τὰ τῆς νεκρουμένης ζωτικῆς δυνάμεως, καὶ τοῦ Ἑρμοκράτους ἀπολλεσομένης σημεῖα θανάσιμα παρεμφαίνεται. ἡ ἀποσιτία, ἡ τοῦ διαλέγεσθαι ἀδυναμία, ἡ τῆς γλώσσης ξηρότης, ἡ ἀδιψία, ἡ ὕπνου ὀλιγότης, τὸ κῶμα.

Pereuntis facultatis vitalis, & Hermocratis intериturi signa lethalia explicantur, ciborum fastidium, loquendi impotentia, linguæ ariditas, sitis vacuitas, somni paucitas, coma.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια΄.

Ἀπόσιτος διὰ παντὸς χρόνου, κατενόει, διαλέγεσθαι οὐκ ἠδύνατο, γλῶσσα ἐπίξηρος, οὐκ ἐδίψη, κατεκοιμᾶτο κωματωδῶς.

HIPPOCRATIS TEXTUS XI.

Cibos toto tempore aversabatur, mente constabat, loqui non valebat, lingua arida, non sitiebat, parce dormivit: comatosus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πάντα τὰ εἰρημένα νεκρουμένης ἐστὶν ἤδη τῆς ζωτικῆς δυνάμεως γνωρίσματα, οἷς εὐθέως ἡ ἀποσιτία τὴν ἀνορεξίαν δηλοῦσα, ποτὲ μὲν διὰ τὸ στόμα τῆς κοιλίας γίνεται, κεκακωμένον ὑπό τινος ἀλλοτρίας ποιότητος χυμῶν. ἔστι δ' ὅτε διὰ τῆς δυνάμεως αὐτῆς νέκρωσιν, ἧς, ὅτ' ὑγίαινεν, ἦν ἔργα τό τε τῆς ἐνεργείας αἰσθάνεσθαι, καὶ τὸ τῶν ἰωμένων αὐτὴν ὀρέγεσθαι. τῆς δ' αὐτῆς ταύτης ἔργον, καὶ ἡ τῆς ὑγρᾶς οὐσίας ἔνδειά τε καὶ ἀναπλήρωσις. ὅπως οὖν εἶχε καὶ περὶ ταῦτα, σαφῶς ἐδήλωσεν ὁ Ἱπποκράτης εἰπὼν, οὐκ ἐδίψη. καὶ, τῷ μὲν ἀπόσιτος ἅπαντα τὸν χρόνον, ἐφεξῆς ἔγραψε, κατενόει. τῷ δὲ γλῶσσα ἐπίξηρος, τὸ οὐκ ἐδίψη. τὸ μὲν κατενόει, πρὸς τὸν κοινὸν ἀμφοτέρων διορισμὸν παραλαβὼν, τὸ δ' οὐκ ἐδίψη. πρὸς τὸν ἕτερον ὁ μὲν οὖν κοινὸς διορισμὸς τοῦτό φησιν. οὐκ ᾐσθάνετο τῆς ἐνδείας, οὔτε τῆς κατὰ τὸ ξηρὸν οὐσίας, οὔτε τῆς κατὰ τὸ ὑγρόν. καὶ διὰ τὸ μὴ παρακολουθεῖν, ἀλλὰ διὰ τὸ νεκροῦσθαι τὴν δύναμιν αὐτῆς. τῷ δ' οὐκ ἐδίψη προσέθηκε, τὸ, γλῶσσα ἐπίξηρος, εἰς διορισμὸν τοῦ μὴ δι' ὑγρότητα τὸν ἄνθρωπον

GALENI COMMENTARIUS.

Hæc pronunciata omnia jam emorientis vitalis facultatis certa signa sunt; ut verbi gratia, ciborum aversatio inappetentiam significans, quæ interdum ob orificium ventriculi ab aliena quadam humorum qualitate malè affectum oboritur; interdum vero & propter facultatis ipsius excidium, cujus erant in secunda valetudine munera, tum actionem sentire, tum ipsam sanatura appetere. Ejusdem vero munus est tum humidæ substantiæ indigentia, tum repletio. Quo itaque modo in his se habuit, manifestavit Hippocrates hisce verbis; *Non sitiebat*; atque huic subjunxit; *cibos toto tempore aversabatur*; Deinde scripsit, *mente constabat*; hinc, *lingua arida, non sitiebat*. *Mente* quidem *constabat* ad communem utriusque distinctionem assumpsit. *Non sitiebat* vero, ad alteram. Communis autem distinctio hoc fert, neque humidæ, neque siccæ substantiæ indigentiam sentiebat. Non quod non consequeretur, sed quod interiret ipsius facultas. Huic vero orationi, *lingua arida*, adjecit, *non sitiebat*, quâ distingueret non ob humiditatem hominem non

sitivisse, quemadmodum nonnulli eorum qui humidum & frigidum humorem accumularunt; sed quod etiamsi siticulosissima esset affectio, facultas tamen emoriens non sentiret: Non potuisse etiam eum loqui ob ejusdam jacturam factum est. Si igitur hæc symptomata, & vigesimo die, & per totum ferè morbum ipsi adfuerint, patet extincto nativo colore, febrem vigesimo die cessavisse. Atque his id assentitur, parcè dormivit, comatosus: Non enim ut qui secundum naturam se habent, dormivit; sed propter facultatis infirmitatem ultro oculos ita claudebat, ut apertos habere non valeret, & ipsos inclinabat, parcéque dormivit. Adjecit enim verbo *dormivit* adverbium *parcè*, quoniam etiam hoc infirmæ facultatis signum erat, non somnorum secundum naturam. Quare ægrotanti hoc tempore somniculosum coma fuit magis, quam propter sensifici principis humiditatem. Mirari itaque licet, non quod interjerit Hermocrates, sed quod adusque vigesimum septimum suffecerit. Rationi nanque consentaneum erat non multo post vigesimum diem mortem consequuturum esse. Constat igitur, juvenem quendam fuisse & natura valde robustum, ob idque obstitisse paulum marcescentem, Licet enim ex omnibus ipsi obortis conjicere vocatum à recentioribus Medicis marcorem retorridum fuisse. Peremit autem ipsum vigesimoseptimo die febris, quæ ob humorum putredinem vigesimoquarto concitata fuerat, quam sequenti textu manifestavit. At operæ pretium est observare cur in præsenti textu scripserit mente prorsus constabat. Videtur siquidem omnino mente constitisse, quum ipse Hippocrates pronunciet ægrum in quinti diei enarratione desipuisse; ac rursus postea sexto die adjecit, *non mente constitit*; & rursus *decimo septimo desipuit*. E duobus itaque alterum, aut qui solis his diebus deliravit, alio vero tempore mente constitit, significare volens scripsit, *mente prorsus* constabat; aut quod vigesimo die cujus interpretationem in præsenti textu scripsit, prorsus mente constabat, hoc est, ne paulum quidem deliravit. Quare autem adjecit, paulo antè dixi: Quum enim quidam in morbis non sitiant, neque appetant, aut propter delirium non sentiant quæ patiuntur, aut propter facultatis naturalis ventriculi interitum. Quoniam vero citra delirium ita patiantur, relinquitur naturalem ipsorum facultatem emortuam esse.

A ἄδιψον γεγονέναι, καθάπερ ἔνιοι τὸν ὑγρὸν καὶ ψυχρὸν ἠθροικότων χυμόν. ἀλλὰ καίτοι διαθέσεως οὔσης διψωδεστάτης, ἡ δύναμις οὐκ ᾐσθάνετο νενεκρωμένη. μή τι δὲ καὶ τὸ διαλέγεσθαι μὴ δύνασθαι κατὰ τὴν ταύτης ἐγένετο κάκωσιν. εἴπερ οὖν τὰ συμπτώματα ταῦτα καὶ κατὰ τὴν εἰκοστὴν ἡμέραν ὑπῆρχεν αὐτῷ, καὶ σχεδὸν ἐν ὅλῃ τῇ νόσῳ, δῆλον ὅτι σβεννυμένης τῆς ἐμφύτου θερμασίας ὁ πυρετὸς ἐπαύσατο κατὰ τὴν εἰκοστὴν ἡμέραν. ὁμολογεῖ δὲ τούτοις καὶ τὸ, κατεκοιμᾶτο σμικρὰ κωματώδη. οὐ γὰρ ὡς οἱ κατὰ φύσιν ἔχοντες ἐκάB θευδεν, ἀλλὰ δι' ἀρρωστίαν τῆς δυνάμεως ἑκὼν ἔμυεν, ὡς μὴ δύνασθαι τοὺς ὀφθαλμοὺς ἀνεῳγότας ἔχειν, ἔκλινέ τε αὐτοὺς, καὶ σμικρὰ κατεκοιμᾶτο. προσέθηκε γὰρ τῷ, κατεκοιμᾶτο, τὸ σμικρὰ, διότι καὶ τοῦτο γνώρισμα τῆς κατὰ τὴν δύναμιν ἀρρωστίας ἦν, οὐ τῶν κατὰ φύσιν ὕπνων, ἵνα λέγηται τῷ κάμνοντι, κατὰ τὸν καιρὸν τοῦτον, ἢ δι' ὑγρότητα τῆς αἰσθητικῆς ἀρχῆς, ὑπνῶδες ἦν τὸ κῶμα. θαυμάσαι τοίνυν ἔστιν οὐ διότι τέθνηκεν ὁ Ἑρμοκράτης, ἀλλὰ διότι μέχρι τῆς ἑβδόμης καὶ εἰκοστῆς ἡμέρας ἐξήρκεσεν· εὔλογον γὰρ ἦν οὐ μετὰ C πολὺ τῆς εἰκοστῆς ἀκολουθῆσαι τὸν θάνατον αὐτῷ. δῆλον οὖν, ὅτι νέος τις ἦν εὔρωστός τε φύσει, καὶ διὰ τοῦτ' ἀντέσχετο, κατὰ βραχὺ μαραινόμενος. ἔνεστι γὰρ ἐξ ἁπάντων τῶν συμβάντων αὐτῷ τεκμήρασθαι τὸν καλούμενον ὑπὸ τῶν νεωτέρων ἰατρῶν μαρασμὸν περιφρυγῆ γεγονέναι. διέφθειρε δὲ αὐτὸν ἐπὶ τῆς εἰκοστῆς ἑβδόμης, ὁ διὰ τὴν τῶν χυμῶν σηπεδόνα γενόμενος πυρετὸς, ἐπὶ τῆς εἰκοστῆς τετάρτης, ὃν διὰ τῆς ἐχομένης ῥήσεως ἐδήλωσεν. ἄξιον δ' ἐπισημήνασθαι διότι κατὰ τὴν προκειμένην λέξιν ἔγραψε κατενόει πάντα. φαίνεται γὰρ οὐ D πάντα κατανοήσας, αὐτοῦ τοῦ Ἱπποκράτους ἐν τῇ τῆς πέμπτης ἡμέρας διηγήσει γράψαντο, αὐτὸν παρακροῦσαι. καὶ μετὰ ταῦτα πάλιν ἐπὶ τῆς ἕκτης προσθέντος, οὐ κατενόει. καὶ πάλιν ἐπὶ τῆς ἑπτακαιδεκάτης, παρέκρουσε. δυοῖν τοίνυν θάτερον, ἢ ὅτι μόναις ταύταις ταῖς ἡμέραις παρέκρουσε, τῷ δ' ἄλλῳ χρόνῳ κατενόει, δηλῶσαι βουλόμενος, ἔγραψε κατενόει πάντα. ἢ ὅτι κατὰ τὴν εἰκοστὴν ἡμέραν ἧς ἐν τῇ προκειμένῃ ῥήσει τὴν διήγησιν ἔγραψε, κατενόει πάντα, τουτέστιν οὐδὲ μικρὸν παρεφέρετο. διὰ τί δὲ τοῦτο προστέθηκεν, ὀλίγον ἔμπροσθεν εἶπον. ἀδίψων γὰρ καὶ ἀνορέκτων γινομένων τινῶν ἐν νόσοις, E ἢ διὰ τὸ παραφρονεῖν ἀναισθήτως ἐχόντων ὧν πάσχουσιν, ἢ διὰ νέκρωσιν τῆς ἐν τῇ κοιλίᾳ δυνάμεως φυσικῆς. ἐπειδὰν οὖν πάσχωσιν ἄνευ τοῦ παραφρονεῖν, ἀπολείπεται νενεκρῶσθαι τὴν φυσικὴν δύναμιν αὐτῶν.

interpres videtur legisse ἵνα σαφέστερον λέγηται, ὅτι τῷ κάμνοντι ὑπνῶδες ἦν τὸ κῶμα δι' ἀρρωστίαν μᾶλλον, ἢ δι' ὑγρότητα τῆς αἰσθητικῆς ἀρχῆς.

Hermocratem in febrem acutam recidisse vigesimo quarto, & vigesimoseptimo interjisse, eosque dies judicatorios esse. Quosdam ægros secundum rei veritatem, alios secundum opinionem melius habere.

Τῷ Ἑρμοκράτει τὸν πυρετὸν ὀξὺν ὑποστρέψαι περὶ τὴν εἰκοστὴν καὶ τετάρτην· καὶ τοῦτον κατὰ τὴν εἰκοστὴν ἑβδόμην ἀπεθανεῖν· καὶ ταύτας ἡμέρας κρισίμους εἶναι. τοὺς μὲν ἀρρώστους κατὰ τὴν ἀλήθειαν, τοὺς δὲ φαντασίαν ἄμεινον ἔχειν. F

HIPPOCRATIS TEXTUS XII.

Circiter vero quartum & vigesimum diem incaluit; alius liquidis tenuibus & copiosis fluida; sequentibus diebus febris acuta, lingua exusta est, vigesimoseptimo defunctus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ δὲ εἰκοστὴν καὶ τετάρτην, ἐπεθερμάνθη, κοιλίη ὑγρὴ, λεπτοῖσι πολλοῖσι ῥέουσα, καὶ τὰς ἐπομένας, πυρετὸς ὀξὺς, γλῶσσα συνεκαύθη, ἑβδόμῃ καὶ εἰκοστῇ ἀπέθανε.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τούτῳ τῷ ἀρρώστῳ, ἡ τετάρτη καὶ εἰκοστὴ τῶν κατὰ περίοδον οὖσα κρισίμων, ὡς ἐδείχθη, καὶ ἡ ἑβδόμη καὶ εἰκοστὴ, πολὺ μᾶλλον ἐπὶ ταύτης ἐξ ἀναλογίας ἤνεγκεν τινὰς νεωτερισμούς. ὥσπερ γὰρ ἐπὶ τῆς ἑπτακαιδεκάτης ἡμέρας ὑποστρέψας, κατὰ τὴν εἰκοστὴν ἔδοξεν ἔχειν ἄμεινον, οὐ μὴν οὕτως κατά γε τὴν ἀλήθειαν, ἀλλὰ φαντασίαν τοῖς πολλοῖς ποιήσας, σβεννυμένης τῆς ἐμφύτου θερμασίας, ἀπύρετος ἐγίνετο. κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῆς εἰκοστῆς τετάρτης ἀρξάμενος πυρέττειν, B ἐκ σηπεδόνος τῶν ὑπολοίπων χυμῶν, ἑξῆς καὶ διεχώρησε κάτω πολλὰ, καὶ λεπτὰ, καὶ κακοήθη, κατὰ τὴν εἰκοστὴν ἑβδόμην ἀπέθανεν, ὀξέος αὐτῷ γενομένου καὶ ξηροῦ τοῦ πυρετοῦ, δι᾽ ὧν καὶ ἡ γλῶσσα συνεκαύθη.

GALENI COMMENTARIUS.

Huic ægroto quartus & vigesimus inter judicatorios est circuitus. ut demonstratum est, multòque magis vigesimus septimus in hoc quasdam innouationes ex proportione attulerunt. Quemadmodum enim septimodecimo die reversus est morbus, vigesimo die melius habere visus est, non ita tamen habens secundum rei veritatem, sed opinionem multis præbens extincti caloris nativi sine febre factus est. Eodem modo die vigesimoquarto quum ex reliquorum humorum putredine febricitare incæpisset, deincepsque deorsum multa dejecisset tùm tenuia, tùm maligna, vigesimoseptimo die obiit facta febre ipsa & acuta & sicca per quæ & lingua simul exusta est.

Τρία σημεῖα ὀλέθρια ἡ κώφωσις παραμένουσα, τὸ οὖρον μοχθηρὸν, ἡ ἀποσιτία, ἡ τοῦ διαλέγεσθαι ἀδυναμία, τοῦ Ερμοκράτους ἀπολλεσμένου δηλωτικά.

Tria signa periculosa surditas, continua urina, & cibi fastidium Hermocratem interiturum significarunt.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ.

Τούτῳ κώφωσις διὰ τέλεος παρέμενεν. οὖρα, ἢ παχέα, καὶ ἐρυθρὰ, οὐ καθιστάμενα, ἢ λεπτὰ, καὶ ἄχροα ἐναιωρήματα ἔχοντα, γεύεσθαι οὐκ ἠδύνατο.

HIPPOCRATIS TEXTUS XIII.

Huic surditas per totum morbum permansit; urinæ aut crassæ & rubræ non subsidebant, aut tenues & decolores enæoremata continebant; gustare non valebat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Καὶ μετὰ τὴν τῆς εἰκοστῆς ἡμέρας διήγησιν, ἐφεξῆς ἐγγέγραφε τὸ μὴ νῦν εἰρημένον, τὸ γεύεσθαι οὐκ ἠδύνατο, ταὐτὸ σημαῖνον τῇ ἀπόσιτος φωνῇ. οὖρα δ᾽ ἀπὸ τῆς ἑπτακαιδεκάτης ἄχρι τῆς εἰκοστῆς ἔφη γεγονέναι λεπτὰ, προειρήκει δ᾽, εἴ τι μεμνήμεθα, καὶ περὶ τῶν ἐρυθρὸν καὶ ἀκατάστατον ἐχόντων ἐναιώρημα. νῦν οὖν ἐπαναλαβὼν ἅμα περὶ πάντων ὧν ἀπεφήνατο, δυνάμει τοῦτο λέγει, ὡς οὔρησεν ἄλλο τ᾽ ἀλλοῖα, χρηστὸν δ᾽ ἀκριβῶς οὐδέποτ᾽ οὐδέν. ἀλλὰ καὶ ὅτι διὰ παντὸς αὐτῷ τοῦ νοσήματος ἡ κώφωσις παρέμεινεν, οὐκ εἰρημένον ἔμπροσθεν, εἰκότως νῦν προσέθηκεν. οὐκ οἶδα δ᾽ ὅπως οὐκέτι οὐδὲν εἶπεν περὶ τῆς ἰκτερώδους ἀναχύσεως. ἀκόλουθον γὰρ ἦν καὶ ταύτης μνημονεῦσαι. E τάχ᾽ οὖν, ὡς πρόδηλον, ὅτι παρέμεινεν, ἐσιώπησεν, οὔπω γὰρ οὐδ᾽ ἱδρὼς ἐγένετο τῷ Ερμοκράτει, οὔτε διὰ γαστρὸς, ἢ οὔρων, ἢ ἐμέτων ἠκολούθησε κένωσις χολωδῶν, ἀδύνατον ἦν παύσασθαι τὸν ἴκτερον, ἐκ πάντων οὖν τῶν εἰρημένων φαίνεται, παθεῖν αὐτῷ τὸ ἧπαρ ἰσχυρῶς, ἀρχὴ τῆς φυτικῆς τε καὶ φυσικῆς ὀνομαζομένης ψυχῆς ὑπάρχον, ἧς ἐδείχθησαν εἶναι τέτταρες δυνάμεις, ἑλκτική τε, καὶ κατεκτικὴ, καὶ ἀλλοιωτικὴ, καὶ ἀποκριτικὴ, καθ᾽ ἃς καὶ τρέφεσθαι, καὶ αὐξάνεσθαι τοῖς σώμασιν ὑπάρχει, καὶ παθούσης ταύτης, ἀνορεξίαι δειναὶ καταλαμβάνουσιν, F ὥς τεθνάναι μᾶλλον ἐθέλειν, ἢ γεύσασθαί τινος.

GALENI COMMENTARIUS.

Atque post vigesimi diei expositionem, deinceps quod nunc enunciatum est, ascrisit, *gustare non valebat*, quod idem ac vox, *cibos aversatus*, significat. At urinas à decimoseptimo die tenues adusque vigesimum fuisse protulit. Prædixerat autem (si quid meminerimus) & de his quæ rubrum & non subsidens enæorema haberent. Nunc vero repetitis simul omnibus quę demonstraverat patentia, loquitur illum alias aliam urinam minxisse, bonam autem planè nullam. Præterea quod per totum morbum surditas permanserit, non antea pronunciatum jure nunc apposuit. At non novi quomodo nihil quicquam etiamnum de auriginosa effusione protulerit. Nam consentaneum erat etiam hujus meminisse; Sed fortassis quod pateret omnibus eam perseverasse, tacuit. Quod enim nondum sudor Hermocrati erupisset, neque per aluum, aut urinas, aut vomitus biliosorum vacuatio consequuta esset, sedari non potuit icterus. Ex omnibus itaque narratis ipsi jecur vehementer affectum, fuisse videtur, quod tum vegetatricis tum naturalis animæ appellatæ principium existit, cujus quatuor esse facultates demonstravimus, attractricem, retentricem, alteratricem & expultricem, quibus corpora tum nutriuntur, tum increscunt, ipsaque affecta inappetentiæ ita graves prehendunt, ut mori potius æger velit, quam quicquam gustare.

A

DE ADIECTIS CHARACTERIBVS.

Vetustiora quidem exemplaria adjectorum ægris characterum principium habebant à muliere apud Bitonem anginosa septima ab initio descripta. Et sanè qui adscriptos huic Libro characteras interpretati sunt, ab illa omnes incœperunt, dicentes primis ægris ipsos non adjectos esse. In nonnullis tamen exemplaribus quæ nunc in manus nostras pervenerunt, primis etiam ægris adjecti characteres reperiuntur, ut & Dioscoridis editio ipsos habet. Atque huic utique Hermocrati primum quidem subscriptum est π lineam in medio habens characterum omnium quos in ægrotis omnibus ascriptos reperiri diximus. Deinde E scriptum est, atque post ipsum δ lineam rectam deorsum reversam habens veluti V. Descriptum deinde post ipsum κζ. Post hæc θ, hoc modo π ε δ. κ. ζ. ϑ. Primus itaque character, ut antea τὸ πιθανὸν *credibile* significat; quemadmodum & ultima litera interdum quidem V, interdum vero ϑ, scripta, sanitatis quidem υ, mortis vero ϑ, signum est. Qui vero character hunc præcedit, dierum numerum indicat, quibus homo interiit, aut perfectè sanatus est. Qui in medio existunt, modum habent, in quo servari hominem contigit, vel interire. Et nunc characterem ε, cum δ deorsum reflexo scribens, credibile esse ait retentis dejectionibus, vigesimoseptimo perjisse Hermocratem. Quidam interpretum, quod aluus vigesimoquarto die profluxerit, ipsi mortem accidisse proferunt ex prorrhetico authoritatem promentes in textu ita se habentem. *Surditas & urinæ prærubræ non subsidentes, enæorema habentes delirium portendunt, his oboriri icterum, malum. Mala quoque & ictero succedens fatuitas. Hos quidem voce privari, sed sentientes esse contingit; atque his, (arbitror) aluus prorumpit, ut Hermippo factum est, atque obiit.* Is est ex prorrhetico textus de quo quum Librum illum explanaremus, dictum est. Nunc vero tantum dicere sufficiet rursus, memoriæ gratia, & quæ in illis, & quæ hoc in libro hucusque exposuimus. Contigit siquidem Hermocratem neque per alui retentionem, neque per excretionem interiisse, sed hæc quidem morbi symptomata apparuisse quemadmodum & quum antea excrevit combusta, utrisque & hepatis affectiones consequentibus, ut ostendimus, tum in aliis quibusdam, tum in Commentariis de locis affectis. Videtur autem & ipsi mors maximè quidem ob hepar advenisse; jam vero & quod caput non secundum naturam haberet. Ægrotum autem etiamnum absurdius interpretantur, qui ob id scriptum solum profitentur, ut judicatoriorum dierum vires perpenderemus, ac si non omnibus quidem ægris communiter hoc observetur, sed singula seorsum juxta eas quæ ipsi contigerunt, affectiones.

ΠΕΡΙ ΤΩΝ ΠΡΟΚΕΙΜΕΝΩΝ Καρακτήρων.

Τὰ μὲν παλαιότερα τῶν ἀντιγράφων, τὴν ἀρχὴν τῶν προκειμένων χαρακτήρων τοῖς ἀρρώστοις εἶχεν ἀπὸ τῆς περὶ Βίτωνος κυναγχικῆς, ἑβδόμης ἀπὸ τῆς ἀρχῆς γεγραμμένης. B ἀμέλει καὶ οἱ ἐξηγησάμενοι τοὺς προσγεγραμμένους τῷ βιβλίῳ τούτῳ χαρακτῆρας, ἀπ' ἐκείνης ἤρξαντο πάντες, τοῖς πρώτοις ἀρρώστοις λέγοντες αὐτοὺς μὴ προσκεῖσθαι. κατ' ἔνια μέντοι τῶν νῦν εἰς χεῖρας ἡκόντων ἡμῖν, εὑρίσκονται καὶ τοῖς πρώτοις ἀρρώστοις προσκείμενοι χαρακτῆρες, ὥστε καὶ ἡ κατὰ Διοσκουρίδην ἔκδοσις προσκειμένους αὐτοὺς ἔχει, καὶ τούτῳ γε τῷ Ἑρμοκράτει, πρῶτον μὲν ὑπογέγραπται τὸ π. ἐν μέσῳ γραμμὴν ἔχον, ἁπάντων τῶν χαρακτήρων, ὧν ἐπὶ πάντων ἀρρώστων ἔφαμεν εὑρίσκεσθαι προσγεγραμμένων. ἐφεξῆς δὲ C τὸ ε. γέγραπται, καὶ μετ' αὐτὸ τὸ δ' κάτωθεν ὀρθὴν γραμμὴν ἀπεστιγμένην ἔχον, οἷόν περ τὸ υ. προγραφέν. εἶτα μετ' αὐτὸ τὸ κ. καὶ ξ. καὶ μετὰ ταῦτα τὸ θ. κατὰ τόνδε τὸν τρόπον π. ε. δ. κ. ζ. θ. ὁ μὲν οὖν πρῶτος χαρακτὴρ ὡς καὶ πρόσθεν, σημαίνει τὸ πιθανόν, ὥσπερ γε καὶ τοὔσχατον γράμμα ποτὲ μὲν υ. ποτὲ δὲ θ. γεγραμμένον, ὑγείας μὲν τὸ υ. θανάτου δὲ τὸ θ. σημεῖόν ἐστι. τὸ δὲ πρὸ τούτου, τὸν ἀριθμὸν τῶν ἡμερῶν. ἐν αἷς, ἤτοι ἀπέθανεν ὁ ἄνθρωπος, ἢ τελέως ὑγιάσθη, σημαίνει. τὰ δὲ μεταξὺ τὸν τρόπον, καθ' ὃν, ἤτοι σωθῆναι τὸν ἄνθρωπον, ἢ ἀπολέσθαι συνέβη. D καὶ νῦν οὖν ὁ τὸ ε. μετὰ τοῦ κάτωθεν ἀπεστιγμένου δέλτα γράψας, ἐπισχεθέντων τῶν διαχωρημάτων, πιθανὸν εἶναί φησι κατὰ τὴν εἰκοστὴν ἑβδόμην ἡμέραν ἀποθανεῖν τὸν Ἑρμοκράτην. τινὲς δὲ τῶν ἐξηγητῶν, διὰ τὸ ῥυῆναι κατὰ τὴν εἰκοστὴν καὶ τετάρτην ἡμέραν τὴν γαστέρα, τὸν θάνατον αὐτῷ γεγονέναι φασί, παρατιθέμενοι τὸ ἐκ τοῦ προρρητικοῦ, κατὰ λέξιν οὕτως ἔχον. « κώφωσις καὶ οὖρα ἐξέρυθρα, ἀκατάστατα, ἐναιωρηθέντα παρακρουστικόν. τοῖς τοιούτοις ἰκτερωδῆναι κακόν· κακὴ δὲ καὶ ἡ ἐπὶ ἰκτέρῳ μώρωσις. τούτοις ἀφώνους μὲν αἰσθανομένους δὲ συμβαίνει γίνεσθαι. οἶμαι δὲ καὶ E κοιλίαι καταῤῥήγνυνται· ἐγένετο οὖν τουτέοισι Ἑρμίππῳ, καὶ ἀπέθανεν. αὕτη μὲν ἡ ἐκ τοῦ προρρητικοῦ λέξις, καὶ εἴρηται περὶ αὐτῆς ὁπότ' ἐξηγούμεθα τὸ βιβλίον ἐκεῖνο. νυνὶ δέ, τοσοῦτον εἰπεῖν ἐξαρκέσει πάλιν ἀναμνήσεως ἕνεκεν ὧν τ' ἐν ἐκείνοις ἐξηγησάμεθα, καὶ ὧν ἐν τῷδε τῷ βιβλίῳ μέχρι δεῦρο. συνέβη γὰρ τὸν Ἑρμοκράτην, μήτε δι' ἐπίσχεσιν γαστρὸς, μήτε δι' ἔκκρισιν ἀποθανεῖν. ἀλλὰ ταῦτα μὲν ἐπιφανῆναι συμπτώματα τῆς διαθέσεως, ὥσπερ καὶ ὁπότε πρόσθεν ἀπέκρινε συγκεκαυμένα, ταῖς καὶ κατὰ τὸ ἧπαρ διαθέσεσι ἀμφοτέρων ἑπομένων, F ὡς ἐδείξαμεν ἐν ἄλλοις τέ τισι, κἀν τοῖς περὶ τῶν πεπονθότων τόπων ὑπομνήμασι. φαίνεται δὲ καὶ ὁ θάνατος αὐτῷ γεγονέναι, μάλιστα μὲν διὰ τὸ ἧπαρ, ἤδη δὲ καὶ τὰ κατὰ τὴν κεφαλὴν οὐκ ἔχειν κατὰ φύσιν. ἔτι δ' ἀλογώτερον ἐξηγοῦνται τὸν ἄρρωστον, οἱ φάσκοντες διὰ τοῦτο γεγράφθαι μόνον, ἵνα τὴν τῶν κρισίμων ἡμερῶν δύναμιν ἐξετάσωμεν. ὥσπερ οὐκ ἐπὶ πάντων μὲν τῶν νοσούντων κοινῶς τούτου παρατηρουμένου. τὰ δὲ καθ' ἕκαστον ἴδια, κατὰ τὰς συμβάσας αὐτοῖς διαθέσεις.

Τὸν Σαβῖνον ἐλέγχει ὁ Γαληνὸς ἐν κήπῳ τὸ ἐπινοσίως εἶναι καταγωγὴν ἀποφαίνει, καὶ διὰ συναίτιον νόσου γινόμενον.

Sabinum arguit Galenus ; ac in hortis insalubria esse diversoria demonstrat, proindeque juvantes morborum causas.

ΙΓΚΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

ΑΡΡΩΣΤΟΣ γ.

Ο Κατακείμενος ἐν τῷ Δεάλκους κήπῳ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑνταῦθα πάλιν οἱ περὶ τὸν Σαβῖνόν φασι τὸν κῆπον προσκεῖσθαι, συναίτιον τῆς νόσου γινόμενον τἀνθρώπῳ, καὶ γράφουσί γε κατὰ λέξιν οὕτως. διὰ τοῦτο γὰρ μήποτε καὶ τὸν κῆπον παρέθετο, κἀντεῦθεν τὴν ἀφορμὴν τοῦ πυρετοῦ γεγονέναι ὑπεμφαίνων. οὐ γάρ ἐστι ποηφάγον ζῶον ὁ ἄνθρωπος, ὥστε τῇ ἀλλοκότῳ διαίτῃ, καὶ ὡς νεωτερισμόν τινα ὑπέμεινεν. ἐνταῦθα μὲν ἐκεῖνοι ταῦτα γεγράφασιν, ἐπεὶ δ' ἐν τούτῳ ὑπομνήματι παρὰ τὴν ἐμαυτοῦ προαίρεσιν εἰς ἔλεγχον ἐξηγήσεων ἀλλοκότων ἐπείσθην τοῖς ἑταίροις γράψαι τινά, καὶ νῦν ὀλίγα προσθείσω, ταὐτὸν εἶδος ἔχοντα. πρῶτον μὲν οὖν, οὔτε διὰ παντὸς οἰκεῖν ἔφη τὸν ἄνθρωπον, ἐν τῷ Δεάλκους κήπῳ, κατακεῖσθαι δὲ μόνον ἔγραψεν, ἐνδεχόμενον, ἔμπροσθεν μὲν ὅθ' ὑγίαινεν, οἰκεῖν αὐτὸν ἑτέρωθι. νοσήσαντα δὲ καταγωγῆς ἐπιτηδειοτέρας δεηθέντα, τοιαύτην ἔχειν ἐν τῷ Δεάλκους κήπῳ. δεύτερον οὐκ ἀναγκαῖόν ἐστι τὸν ἐν κήπῳ καταγωγὴν ἔχοντα λάχανα σιτεῖσθαι διὰ παντὸς ὡς ποηφάγον ζῶον. ὥσπερ οὐδ' εἰ πλησίον εἴη τῶν αἴγεια κρέα πιπρασκόντων ἢ προβάτεια, ταῦτ' ἐσθίειν ὁσημέραι, καθάπερ οἱ λέγοντες. οὐδὲ γὰρ εἰ γείτων εἴη τῶν τὰ κρέα πιπρασκόντων, ἀναγκαῖον αὐτῷ πλεῖστα προσφέρεσθαι ταῦτα, καθάπερ ἀθλητῇ. τρίτον ἐπὶ τούτοις, ὅτι πολλὴν ἀφθονίαν ἔχοντες λόγων εἰς τὸ διαβάλλειν τὸν ἐπὶ τοῖς κήποις ἀέρα, τοῦτο μὲν ὅλον τὸ μέρος ἐξέλιπον, ἐξετράποντο δ' ἐπὶ τὰ λάχανα, δυνάμενοι καὶ τῶν ὀχετῶν μνημονεῦσαι, ὡς τὰ πολλὰ τοὺς ἀποπάτους ἐκκαθαιρόντων εἰς τοὺς κήπους, ἅπασάν τε τὴν τοιαύτην δυσωδίαν, ἔτι τε τὴν ἀπὸ τῶν λαχάνων, καὶ δένδρων, καὶ θάμνων ἀναθυμίασιν, ὥσπερ ἀπό τε κράμβης, καὶ καρέως, καὶ πύξου. φανερῶς γὰρ ὁ πέριξ ἀὴρ μοχθηρὸς ἀπὸ τῆς τούτων ὁμιλίας γίνεται. ἀλλὰ γὰρ ἅλις ἤδη μοι καὶ τῶν περὶ τὰς τοιαύτας ἐξηγήσεις ἀντιλογιῶν. ἐπὶ δὲ τὰ χρήσιμα μεταβὰς, ἀκολουθήσω ταῖς Ἱπποκράτους λέξεσι.

HIPPOCRATIS TEXTUS XIV.

ÆGROTUS TERTIUS.

B QVi in Dealcis horto decumbebat.

GALENI COMMENTARIUS.

HIc quoque rursum Sabinus hortum adjectum esse ait adjuvantem morbi causam homini factum esse, atque hisce verbis ita scribit ; ob id enim & hortum nunquam apposuisset, hincque febri causam extitisse manifestans: Non enim herbivorum animal homo est ; quapropter ex alieno victu veluti innovationem quandam sustinuit. Hoc in loco
C quidem ille scripsit: Sed quoniam in hoc Commentario præter meam ipsius voluntatem ad alienarum explicationum confutationem ab amicis scribere quædam sum adductus, & nunc pauca adjiciam idem genus habentia. Primum itaque neque perpetuo hominem habitare dixit in Dealcis horto, sed jacere solùm scripsit; qui antea quum rectè valeret, alibi habitare potuit ; morbo vero correptus opportunioris diversorii indigus, tale in Dealcis horto habuerit. Secundo non necesse est in horto diversorium habentem oleribus perpetuo vesci ut herbivorum animal ; quemadmodum neque si pro-
D pe eos fueris, qui caprinam vel ovillam carnem vendunt, hanc quotidie comedas, ut qui oratoriè loquuntur : Neque enim si vicinus his fueris qui carnes vendunt, propterea tibi necesse est, ut & plurimas has integras veluti athletæ devores. Tertium ab his est, quod quum multam sermonum ubertatem haberet ad aëris hortorum accusationem, hanc quidem totam partem prætermisit, & ad olera conversus est, Cloacas quoque commemorare poterat quæ excrementa ad hortos fere repurgant, omnemque talem graveolentiam, atque etiamnum ab
E oleribus, arboribus & fruticibus, ut à brassica, careo & buxo exhalationem. Circunstans enim ad manifestè ab horum vicinia pravus redditur. Sedenim jam satis à me de harum interpretationum contradictionibus enarratum est. Ad utilia vero digressus textus Hippocratis prosequar.

Τὸ πῦρ ἰσχυρὸν τὸν πυρετὸν, καὶ τὰ μικρὰ τῶν αἰτιῶν προφάσεις καλεῖσθαι. τινὰ μὲν κατ' ἑαυτὰ νόσους οὐκ ἐργάσασθαι δύνασθαι, τῷ προπαρεσκευασμένῳ σώματι μικρὰν αἰτίαν τὴν νόσον ποιεῖν.

Ignem vehementem febrem, & occasiones leves esse causas. Quædam per se morbos crea-
F re non posse. Præparato corpore, levem causam morbum parere.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

ΚΕφαλῆς βάρος, καὶ κρόταφον δεξιὸν ἐπωδύνως εἶχε, χρόνον πολύν. μετὰ δὲ προφάσιος πῦρ ἔλαβε, κατεκλίθη.

HIPPOCRATIS TEXTVS XV.

DIutius capitis gravitate, & temporis dextri dolore vexatus, ex levi autem occasione igne prehensus decubuit.

A

GALENI COMMENTARIUS.

IGnem quidem Hippocrates febrem vehementem appellat, prout jam sæpenumero à me demonstratum est. Præterea & quod propriè magis, ut & hominibus omnibus consuetum est parvas, causas occasiones vocare: ita & ipse interdum appellat, idque demonstratum est. Quædam enim per se ipsa quidem morbum efficere nequeunt, quæ si ad præexistentem morborum præparationem accesserint, totius morbi causam habere quemadmodum in proposito ægroto existimantur. Nam quod caput diutius gravaretur, tempusque doleret, affectum quendam morbosum homini procreatum esse demonstrabat. Atque sanè probè fecisset, si priusquam ob levem aliquam externam causam ægrotasset, quæ ipsius opportunitatem ad affectum prodebat, Medico sese credidisset, qui à futuro morbo præservare potuisset.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΥρ μὲν ὁ Ἱπποκράτης τὸν πυρετὸν ὀνομάζει, καθότι δέδεικταί μοι πολλάκις ἤδη· καὶ μέν τοι καὶ ὅτι κυριώτερον ὥσπερ καὶ πᾶσιν ἀνθρώποις ἔθος ἐστὶ τὰς μικρὰς τῶν αἰτίων προφάσεις καλεῖν, οὕτω καὶ αὐτὸς ἐνίοτε προσαγορεύει, καὶ τοῦτο δέδεικται. τινὰ μὲν γὰρ αὐτὰ καθ᾽ ἑαυτὰ νόσον οὐχ οἷά τέ ἐστιν ἐργάσασθαι, προϋπαρχούσῃ δὲ νοσώδει παρασκευῇ πλησιάσαντα, τῆς ὅλης νόσου τὴν αἰτίαν ἔχειν ἐδοξάσθη, καθάπερ ἐπὶ τοῦδε τοῦ νῦν προκειμένου ἀρρώστου. B τὸ γὰρ πολλὰν βαρύνεσθαι τὴν κεφαλὴν, καὶ τὸν κρόταφον ἀλγεῖν, ἐνεδείκνυτο διάθεσίν τινα νοσώδη γεγενῆσθαι τῷ ἀνθρώπῳ, καὶ δηλονότι καλῶς ἂν ἐπεποιήκει. πρὶν νοσῆσαι διά τινα βραχεῖαν ἔξωθεν αἰτίαν, ἐξελέγξασθαι αὐτοῦ τὸ ἐπιτήδειον τῆς διαθέσεως, ἑαυτὸν ἐγχειρήσας ἰατρῷ προφυλάξασθαι δυναμένῳ τὴν μέλλουσαν ἔσεσθαι νόσον.

C

Dextri temporis dolori è sinistra nare sanguinem fluxisse. Merum sanguinem rubrum esse & naturalem conservandum, alium humorem merum ut flaviorem aut nigriorem bilem vacuandam esse.

Ἐν τῷ δεξιοῦ κροτάφου ἀλγήματι τὸ αἷμα ἐξ ἀριστερᾶς ῥινὸς ῥυῆναι. ἄκρατον αἷμα ἐρυθρὸν εἶναι καὶ τὸ κατὰ φύσιν φυλακτέον. ἄλλον δὲ χυμὸν ἄκρατον τὴν εἰς τὴν χολὴν πυῤῥοτέραν ἢ μελαντέραν εἶναι, ἣν κενοῦσθαι χρή.

HIPPOCRATIS TEXTUS XVI.

POstridie ex sinistra nare paucus merus sanguis effluxit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ΄.

ΔΕυτέρῃ, ἐξ ἀριστεροῦ ὀλίγον ἄκρατον ἐῤῥύη αἷμα.

GALENI COMMENTARIUS.

D

DE quo prædixit tanquam dolente fluxisse, ait, ex sinistra nare paucum sinæum sanguinem. Sincerum autem quum de flava vel atra bile dicitur vel æruginosa manifestum habet significatum, ut jam multoties dictum est. Quum enim familiarem tum colorẽ, tum consistentiam unusquisque humor sinceram servaverit, tunc merum ipsum vacuari dicimus. De sanguine vero fortassis modo contrario merum ab ipso dici intelligendum est peræque ac malè mixtum. Constat autem sanguinis colorem rubrum secundum naturam esse, decolorem verò non talem; sed vel nigriorem vel fulviorem insigniter; atque frequentius quidem sanguinem nigrum merum dicere consuevimus, qui propalam consistentia crassus existit. Itaque quod propositus æger venæ sectione indigebat, si vires valerent, manifestum est. Quod autem nihil de hoc auxilio scripserit Hippocrates, eadem erit tibi quæstio de ea quæ in primo ægroto scripta est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕρὶ οὗ προεῖπεν ὡς ὀδυνωμένου, ῥυῆναί φησιν ὀλίγον ἄκρατον ἐξ ἀριστεροῦ. τὸ δὲ ἄκρατον, ὅταν μὲν ἐπὶ ξανθῆς, ἢ μελαίνης χολῆς, ἢ ἰώδους λέγηται, πρόδηλον ἔχει τὸ σημαινόμενον, ὡς πολλάκις ἤδη λέλεκται· τὴν γὰρ οἰκείαν χροίαν καὶ σύστασιν, ὅτε ἕκαστος τῶν χυμῶν εἰλικρινῆ διαφυλάττῃ, τηνικαῦτα κενοῦσθαι λέγομεν ἄκρατον αὐτόν. ἐπὶ δὲ τοῦ αἵματος, ἴσως ἐξ ὑπεναντίου χρὴ νοεῖν ὑπ᾽ αὐτοῦ λέγεσθαι τὸ, ἄκρατον, ἐν ἴσῳ τῷ κακόκρατον. εὔδηλον δ᾽ ὅτι τὸ μὲν τοῦ κατὰ φύσιν αἵματος χρῶμα, τὸ ἐρυθρόν ἐστι. τὸ δ᾽ E οὐ τοιοῦτον, ἀλλ᾽ ἤτοι μελάντερον, ἢ πυῤῥότερον ἐπισήμως· καὶ τὸ πολὺ δὲ μᾶλλον εἰθίσμεθα λέγειν ἄκρατον αἷμα τὸ μέλαν, ὅπερ εὐθέως καὶ παχὺ κατὰ τὴν σύστασίν ἐστιν. ὅτι μὲν οὖν ἐδεῖτο τὸν προκείμενον ἄῤῥωστον, εἴπερ ἦν ἰσχυρὸς τὴν δύναμιν, φλεβοτομηθῆναι, πρόδηλον. ὅτι δ᾽ οὐκ ἔγραψε περὶ τοῦ βοηθήματος ὁ Ἱπποκράτης οὐδὲν, ἡ αὐτὴ ζήτησις ἔσται σοι τῇ κατὰ τὸν πρῶτον ἄῤῥωστον γεγραμμένῃ.

Moderati principii morbi signum.

F

Τὸ μέτριον ἐν ἀρχῇ τοῦ νοσήματος σημεῖον.

HIPPOCRATIS TEXTUS XVII.

AB aluo stercora probè prodierunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ΄.

ΑΠὸ δὲ κοιλίης κόπρανα καλῶς διῆλθε.

GALENI COMMENTARIUS.

HOc solum ipsum videtur moderatum in morbi principio fuisse; cætera vero omnia prava, quæ in sequenti textu scripta sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟῦτο μόνον αὐτῷ φαίνεται μέτριον ἐν ἀρχῇ τῆς νόσου γεγονέναι. τὰ δ᾽ ἄλλα πάντα μοχθηρὰ, τὰ κατὰ τὴν ἑξῆς λέξιν γεγραμμένα.

A

Μοχθηρὰ τὰ συμπτώματα καὶ σημεῖα τοῦ νοσήματος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

ΟΥρα λεπτὰ, ποικίλα ἐναιωρήματα ἔχοντα, κατὰ σμικρὰ, οἷα κείμενα γονοειδέα. τρίτη πυρετὸς ὀξὺς, διαχωρήματα μέλανα, λεπτὰ, ἔπαφρα, ὑπόστασις πελιὴ διαχωρήμασιν, ὑπεκαρώθη, ἐδυσφόρει περὶ τὰς ἀναστάσιας, οὔροισιν ὑπόστασις πελιὴ, ὑπόγλισχρος.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι ταῦτα τὰ εἰρημένα συμπτώματά τε καὶ σημεῖα μοχθηρὰ γέγονεν ἐν αὐτῷ, τοῖς μεμνημένοις τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων, εὔδηλόν ἐστιν, εἴρηται δ' οὐκ ὀλίγα κἀν τοῖς εἰς τὸ πρῶτον τῶν ἐπιδημιῶν ὑπομνήμασιν.

Prava morbi symptomata ac signa.

HIPPOCRATIS TEXTUS XVIII.

URinæ tenues varia habentes enæoremata minutè dispersa veluti crassiorem farinam genituræ similem. Tertio die febris acuta; dejectiones nigræ, tenues, spumosæ; sedimentum lividum dejectionibus; aliquantulum sopore premebatur; surrectiones molestè ferebat; urinis sedimentum lividum ac subglutinosum.

GALENI COMMENTARIUS.

OMnia commemorata tum symptomata, tum signa in ipso prava fuisse, scriptorum prognostico memoribus manifesta sunt: Non pauca quoque scriptis in primum Epidemiorum Commentariis prædicta sunt.

C

Μοχθηρὰ συμπτώματα καὶ σημεῖα, πλὴν τῆς ὑποχονδρίου συντάσιος ὑπολαπάρου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

ΤΕτάρτη ἤμεσε χολώδεα, ξανθὰ, ὀλίγα, διαλιπὼν, ὀλίγον, ἰώδεα, ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐρρύη, διαχωρήματα ὅμοια, οὖρα ὅμοια, ἐφίδρωσε περὶ κεφαλὴν, καὶ κληΐδα, σπλὴν ἐπήρθη, μηροῦ ὀδύνη κατ' ἴξιν, ὑποχονδρίου δεξιοῦ ξύντασις ὑπολάπαρος, νυκτὸς οὐκ ἐκοιμήθη. παρέκρουσε σμικρά.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ ταῦτα πάντα τὰ εἰρημένα συμπτώματα μοχθηρὰ, πλὴν τὴν εἰς σπλῆνά τε καὶ ἀριστερὸν μηρὸν ὑποφαινομένης ἀποστάσεως.

Perniciosa symptomata ac signa; excepta hypochondrii molli contensione.

HIPPOCRATIS TEXTUS XIX.

QVarto biliosa vomuit, flava, pauca; paululum intermittens æruginosa. E sinistra nare paucus sincerus sanguis defluxit; Eædem dejectiones, urinæ similes. Parcè circa caput & claviculam sudavit; lien sublatus intumuit; femoris dolor è directo: hypocondrii dextri contentio sub mollis; nocte non dormivit; aliquantulum deliravit.

GALENI COMMENTARIUS.

ATque hæc omnia pronunciata symptomata prava sunt præter abscessum qui in lienem & femur sinistrum suboriebatur.

Μοχθηρὰ τὰ συμπτώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

E

ΠΕμπτη διαχωρήματα πλείω, μέλανα, ἔπαφρα, ὑπόστασις μέλαινα διαχωρήμασι, νυκτὸς οὐκ ὕπνωσεν, παρέκρουσε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΤι ταῦτα πάντα μοχθηρά. προσέχωμεν οὖν τοῖς ἐφεξῆς.

Perniciosa symptomata.

HIPPOCRATIS TEXTUS XX.

QVinto dejectiones copiosiores, nigræ, spumosæ; sedimentum nigrum dejectionibus; nocte non dormivit; deliravit.

GALENI COMMENTARIVS.

HÆc etiamnùm omnia perniciosa sunt. Quare sequentibus mentem adhibeamus.

F

Τὰ ἐπιεικέστερα, ἀλλά γε μοχθηρὰ συμπτώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

ΕΚτη διαχωρήματα μέλανα, λιπαρὰ, ἔπαφρα, γλίσχρα, δυσώδεα· ὕπνωσεν· κατενόει μᾶλλον.

Mitiora symptomata, sed prava.

HIPPOCRATIS TEXTUS XXI.

SExto dejectiones nigræ, pingues, spumosæ, glutinosæ, graveolentes; dormivit; mente magis constitit.

GALENI

A

GALENI COMMENTARIUS.

HÆc quidem, *dormivit, mente magis constitit*, mitiora sunt symptomata; cætera vero deteriora.

Fallacia symptomata.

HIPPOCRATIS TEXTUS XXII.

B *Septimo lingua perarida; sitibundus; non dormivit, deliravit; urinæ tenues, non bene coloratæ. Octavo dejectiones nigræ, paucæ, coactæ; dormivit; intellexit; non admodum siticulosus.*

GALENI COMMENTARIUS.

HActenus omnia ipsi symptomata fallacia esse videntur.

C

Ex diversis signis ac symptomatis obortis ægrotum judicat Galenus viribus prævaluisse cum maximo morbo luctantibus, ac obsistentibus.

HIPPOCRATIS TEXTUS XXIII.

Nono rigor accessit; febris acuta, sudavit, refrigeratio, deliravit, dextro oculo distortus est, lingua perarida, sitibundus, insomnis. Decimo eodem. Undecimo prorsus in omnibus mente constabat, febre liber, sudavit, urinæ circa judicationem tenues. D

GALENI COMMENTARIVS.

APparuit hunc hominem quendam validis fuisse viribus, quod ipsæ cum maximo morbo luctantes obsisterent: Nullo siquidem bono huc usque ipsi oborto, videtur nono die rigore critico facto, & post ipsum (queinadmodum consuevit) acuta febre, & post febrem, sudore, non derepente quidem febre vacuus fuisse propter morbi magnitudinem. Verumtamen quum eadem permansissent (inquit enim decimo eadem) undecimo die statim à febre liberatus fuisse visus est. E Quod vero in judicio tum deliraverit, tum oculo dextro Strabo fuerit, res sunt quæ in judiciis eveniunt. Etenim neque subita quædam ipsi visa est contigisse nono die judicatio, sed ad undecimum usque extendi, in quo jam ait prorsus in omnibus mente constabat. Adjecit autem: urinæ tenues circa judicationem, ne ipsi credamus, & certam esse existimemus; at celerius morbum citò reversurum expectemus. F Nam tum propter alia, tum propter ipsius magnitudinem, talem expectationem habere consentaneum erat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ μὲν ὕπνωσεν, κατενόει μᾶλλον, ἐπιεικῆ, τὰ δ' ἄλλα μοχθηρά.

Τὰ σφαλερὰ συμπτώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

ΕΒδόμῃ γλῶσσα ἐπίξηρος, διψώδης, οὐκ ἐκοιμήθη, παρέκρουσεν, οὖρα λεπτὰ, οὐκ εὔχροα. ὀγδόῃ διαχωρήματα μέλανα, ὀλίγα, συνεστηκότα, ὕπνωσε, κατενόει, διψώδης οὐ λίην.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΜΕχρι δεῦρο φαίνεται πάντ' αὐτῷ τὰ συμπτώματα σφαλερά.

Ἐκ διαφόρων τῶν σημείων τε καὶ συμπτωμάτων γινομένων κρίνει ὁ Γαληνὸς τὴν δύναμιν ὑπερίσχυσαν μεγίστῳ νοσήματι διαπαλαίουσαν ἀντισχεῖν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

ΕΝάτῃ ἐπερρίγωσε, πυρετὸς ὀξὺς, ἵδρωσε, ψύξις, παρέκρουσε, δεξιῷ ἴλλαινε, γλῶσσα ἐπίξηρος, διψώδης, ἄγρυπνος· δεκάτῃ ταῦτα· ἑνδεκάτῃ κατενόει δὲ ὅλου πάντα, ἄπυρος, ἵδρωσεν, οὖρα λεπτὰ ἐπὶ κρίσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΟικεν ἰσχυρός τις ἄνθρωπος οὗτος γεγονέναι τὴν δύναμιν, ὡς μεγίστῳ νοσήματι διαπαλαίουσαν αὐτὴν ἀντισχεῖν. οὐδενὸς γοῦν ἀγαθοῦ μέχρι δεῦρο γεγονότος αὐτῷ, φαίνεται κατὰ τὴν ἐνάτην ἡμέραν ῥῖγος κριτικὸν γινόμενον καὶ μετ' αὐτὸ, καθάπερ εἴωθεν, ὀξέος πυρετοῦ, καὶ μετὰ τὸν πυρετὸν ἱδρῶτος, οὐκ εὐθέως μὲν ἀπύρετος γεγονέναι διὰ τὸ μέγεθος τοῦ νοσήματος. ὅμως δ' οὖν ἐπιμεινάντων τῶν αὐτῶν· ἔφη γὰρ, δεκάτῃ ταῦτα, κατὰ τὴν ἑνδεκάτην εὐθέως ἀπύρετος γενέσθαι. τὸ δ' ἐν τῇ κρίσει παρακροῦσαί τε, καὶ ἐν τῷ δεξιῷ ὀφθαλμῷ ἰλλῆναι, τῶν γινομένων ἐστὶν ἐν κρίσεσι. καὶ γὰρ οὐδ' ἀθρόα τις αὐτῷ ἔοικε συμβῆναι κατὰ τὴν ἐνάτην ἡμέραν ἡ κρίσις, ἀλλὰ μέχρι τῆς ἑνδεκάτης ἐκταθῆναι, καθ' ἣν ἤδη φησὶ κατενόει πάντα. προσέθηκε δὲ τὰ οὖρα λεπτὰ περὶ κρίσιν, ἵνα μὴ πιστεύωμεν αὐτῇ, μηδὲ βεβαίαν εἶναι νομίσωμεν, ἀλλ' ὑποστρέφειν ἐν τάχει τὸ νόσημα προσδοκῶμεν. τά τε γὰρ ἄλλα καὶ διὰ τὸ μέγεθος αὐτοῦ τὴν τοιαύτην προσδοκίαν εὔλογον ἦν ἔχειν.

A

Αἱ σφαλεραὶ τῆς ἀπίστου κρίσιος συμπτώσεις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

Δύο διέλιπεν ἄπυρος, ὑπέστρεψε τεσσαρεσκαιδεκάτῃ, αὐτίκα δὲ τὴν νύκτα οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B

Συμπληρωθείσης τῆς ἡμιῤῥόπου τε καὶ ἀπίστου κρίσεως κατὰ τὴν ἑνδεκάτην ἡμέραν, δύο διαλιπεῖν αὐτόν φησι, τουτέστι, τήν τε δωδεκάτην, καὶ τὴν τρισκαιδεκάτην, εἶτα πάλιν ὑποστρέψαι κατὰ τὴν τεσσαρεσκαιδεκάτην, καὶ πάλιν ἐν παραπλησίοις γενέσθαι συμπτώμασιν.

Fallaces infidelis judicii eventus.

HIPPPOCRATIS TEXTUS XXIV.

Duos à febre dies liber fuit, reversa est decimoquarto, mox vero nocte non dormivit, prorsus deliravit.

GALENI COMMENTARIUS.

Completo, tum imperfecto, tum infideli circa undecimum diem judicio, duos ipsum intermisisse ait dies, hoc est, & duodecimum & decimum tertium; deinde rursus revertisse decimo quarto, rursus & similibus divexatum symptomatis.

Τὰ τοῦ νοσήματος μεγέθει ἑπόμενα συμπτώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

C

Πεντεκαιδεκάτῃ οὖρον θολερόν, οἷα ἐκ τῶν καθεστηκότων γίνεται, ὅταν ἀναταραχθῇ, πυρετὸς ὀξύς, πάντα παρέκρουσεν, οὐκ ἐκοιμήθη, γόνατα καὶ κνήμας ἐπωδύνως εἶχεν, ἀπὸ δὲ κοιλίης βαλάνων προστεθεμένων, μέλανα κόπρανα ἦλθεν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰς ὀξύτητα πάλιν ὑποστρέψας ἀφίκετο, διά τε τὸ μέγεθος τοῦ νοσήματος ὅπερ ἐξ ἀρχῆς εἶχε, καὶ διότι κατὰ τὴν ἑνδεκάτην ἡμέραν, ἡνίκ' ἡ πρώτη κρίσις ἐγένετο, μηδέπω τὰ τῆς πέψεως ὑπῆρχε σημεῖα τοῖς οὔροις. τὰ μέντοι κατὰ γόνατα καὶ κνήμας ἀλγήματα, τῆς κάτω ῥοπῆς τῶν τὴν νόσον ἐργαζομένων χυμῶν ὄντα σημεῖα, τῶν ἀγαθῶν ἐστι δηλονότι. τὸ δὲ βαλάνων αὐτῷ προστεθέντων, μέλανα διαχωρήματα κοπρώδη, μοχθηρὰ διὰ τὴν χροίαν.

D

Morbi magnitudinem sequentia symptomata.

HIPPOCRATIS TEXTUS XXV.

Decimoquinto urina turbida, qualis ex his redditur quæ ubi subsederunt, returbantur, febris acuta, prorsus deliravit, non dormivit, genua & tibia dolor occupavit, ab alvo, balanis appositis, nigra stercora manarunt.

GALENI COMMENTARIUS.

Ad acutiem rursum febris reversa pervenit, & ob morbi magnitudinem quam ab initio habuit; Et quod undecimo die in quo prima fuit judicatio, nondum coctionis signa essent in urinis. Dolores vero tum genuum, tum tibiarum, vergentia humorum morbum parientium ad inferas partes signa existentia inter bona existunt. Admotis balanis, nigræ dejectiones stercorosæ, propter colorem malum.

Τὰ καταλαβόντος τοῦ ὀξέος πυρετοῦ σημεῖά τε καὶ συμπτώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

E

Ἑξκαιδεκάτῃ, οὖρα λεπτά, ἔχοντα ἐναιώρημα ἐπινέφελον, παρέκρουσε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ταῦτα τῆς καταλαβούσης αὐτὸν ἐκ δευτέρου πάλιν ὀξύτητος, σημεῖά τε καὶ συμπτώματά ἐστιν, εἴ τι μεμνήμεθα τῶν ἐν τῷ προγνωστικῷ δεδειγμένων, καὶ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν. ἐμὲ γὰρ οὐ δεῖ μυριάκις λέγειν τὰ αὐτά.

Aggressæ febris acutæ signa & symptomata.

HIPPOCRATIS TEXTUS XXVI.

Decimosexto urinæ tenues nebulosum enæorema habentes, deliravit.

GALENI COMMENTARIUS.

Atque hæc invadentis ægrum secundo acutæ febris tum signa tum symptomata sunt, si quæ in prognostico, & quæ in Epidemiorum primo demonstrata sunt, memoria tenuerimus. Me nanque sexenties eadem dicere non oportet.

F

Τὰ τῆς ἀτελειώτου σημεῖα. τοὺς ἱδρῶτας διὰ τὴν τῶν χυμῶν ἀπεψίαν τὸ νόσημα μὴ λῦσαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

Ἑπτακαιδεκάτῃ πρωῒ ἄκρεα ψυχρά, περιεστέλλετο, πυρετὸς ὀξύς, ἵδρωσε δι' ὅλου, ἐκουφίσθη, κατενόει μᾶλλον, οὐκ ἄπυρος, διψώδης, ἤμεσεν χολώδεα, ξανθά,

Imperfectæ crisis signa. Sudores ob humorum cruditatem morbum non solvere.

HIPPOCRATIS TEXTUS XXVII.

Decimoseptimo manè extrema frigida; indumentis contegebatur, febris acuta, per universum corpus sudavit, levatus est, magis intellexit, febre non vacuus, siticulosus, vomuit biliosa, flava,

pauca; ab alvo stercora prodierunt, paulo post nigra, pauca, tenuia: urinæ tenues, non bene coloratæ.

A ὀλίγα. ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε, μετ' ὀλίγον δὲ, μέλανα, ὀλίγα, λεπτὰ, οὖρα λεπτὰ, οὐκ εὔχροα.

GALENI COMMENTARIUS.

Apparet rursus decimumseptimum diem quendam sudorem fecisse, qui morbum solvere non potuit propter humorum cruditatem, ex quibus homo ægrotasse videtur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φαίνεται πάλιν ἑπτακαιδεκάτη τῶν ἡμερῶν ἱδρῶτά τινα ποιησαμένη, μὴ δυνηθέντα λῦσαι τὸ νόσημα διὰ τὴν τῶν χυμῶν ἀπεψίαν, ἐφ' οἷς φαίνεται νοσήσας ὁ ἄνθρωπος.

Naturalis facultatis adversus morbum pugnantis indicia.

B Τὰ φυσικῆς δυνάμεως διαμαχομένης πρὸς τὴν νόσον φαινόμενα.

HIPPOCRATIS TEXTUS XXVIII.

Octavodecimo non mente constabat, comatosus; decimo nono eadem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

Ὀκτωκαιδεκάτῃ, οὐ κατενόει, κωματώδης, ἐννεακαιδεκάτῃ διὰ τῶν αὐτῶν.

GALENI COMMENTARIUS.

Nullum prorsus notatu dignum ægroto decimus septimus dies auxilium attulisse visus est; nihilominus tamen naturalis ipsius facultas adversus morbum pugnare, & forsan victura proditur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐδὲν ὅλως ἀξιόλογον ἔοικεν ἡ ἑπτακαιδεκάτη τῶν ἡμερῶν βοηθῆσαι τῷ ἀνθρώπῳ, ὅμως γε μὴν φαίνε- C ται διαμαχομένη πρὸς τὴν νόσον ἡ φυσικὴ δύναμις αὐτοῦ, καὶ τάχα που καὶ νικῶσα.

Tertia judicatio notatur qua morbum natura per sudoris excretionem solvere conatur. A vigesimo ad quadragesimum (quo tempore per sudorem æger omnino liberatus est) quæ evenere symptomata paucis referuntur. Qui sint logiatri.

Τρίτη ἡ κρίσις γνωρίζεται, ᾗ τὸ νόσημα ἡ φύσις λῦσαι διὰ τὴν τῶν ἱδρώτων ἔκκρισιν ἐπιχειρεῖ. ἀπὸ τῆς εἰκοστῆς μέχρι τεσσαρακοστῆς (ᾧ χρόνῳ διὰ τοῦ ἱδρῶτος ἄρρωστος τελέως ἐκρίθη) τὰ γινόμενα συμπτώματα διὰ βραχέων ἀναφέρεται. οἵτινες λογίατροι.

HIPPOCRATIS TEXTUS XXIX.

D

Vigesimo dormivit, prorsus mente constabat, sudavit, febre vacuus, non sitivit, urinæ tenues, vigesimo primo paululum deliravit, nonnihil sitivit, hypochondrii dolor, & circa umbilicum palpitatio perpetua. Vicesimoquarto urinis inerat sedimentum, prorsus mente constabat. Vigesimoseptimo ischii dextri dolor, urinæ tenues, quibus inerat sedimentum, cætera placidissima consequutus est. Circa vigesimumnonum oculi dextri dolor, urinæ tenues. Quadragesimo deiecit pituitosa, alba, copiosa, multopere per universum corpus sudavit, perfectè iudicatus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Εἰκοστῇ ὕπνωσε, κατενόει πάντα, ἵδρωσεν, ἄπυρος, οὐκ ἐδίψη. εἰκοστῇ πρώτῃ σμικρὰ παρέκρουσεν, ὑπεδίψη, ὑποχονδρίου πόνος, καὶ περὶ ὀμφαλὸν παλμὸς διὰ τέλεος. εἰκοστῇ τετάρτῃ οὔροισιν ὑπόστασις, κατενόει πάντα. εἰκοστῇ ἑβδόμῃ ἰσχίου δεξιοῦ ὀδύνη, οὖρα λεπτὰ, καὶ εἶχον ὑπόστασιν. τὰ δὲ ἄλλα εἶχεν ἐπιεικέστατα. περὶ δὲ εἰκοστὴν ἐνάτην, ὀφθαλμοῦ δεξιοῦ ὀδύνη, οὖρα λεπτά. τεσσαρακοστῇ, διεχώρησε φλεγματώδεα, λευκὰ, ὑπόσυχνα, E ἵδρωσε πολλῷ διόλου, τελέως ἐκρίθη.

GALENI COMMENTARIUS.

Tertium quidem est hoc judicium quo & natura aggressa est morbum solvere per sudorum excretionem die judicatorio, quemadmodum & in superioribus; erant siquidem illi quoque judicatorii. Addidi autem illud nullam aliam ob causam, quam quod multi ex non recte scriptis in prorrhetico erraverunt, ab Hippocratis mente valde recedentes, & ea quæ in ægris fit prænotione, ob idque logiatri quidem sunt; sic enim plerique docti eos nominant, qui in operibus indecore se gerunt. Medici vero non sunt qui ægris in Prorrhetico & Coacis prænotionibus fidem adhibentes, in aliud referunt testimonium eorum quæ probant, expromentes quæ in porrhetico vel Coacis prænotionibus malè dicta sunt; atque omittentes pronunciata in prognostico, aphorismis, & epi-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τρίτη μὲν αὕτη κρίσις ἐπιχειρησάσης καὶ νῦν τῆς φύσεως λῦσαι τὸ νόσημα διὰ τῆς τῶν ἱδρώτων ἐκκρίσεως ἐν ἡμέρᾳ κρισίμῳ, καθάπερ κἀν τοῖς ἔμπροσθεν, ἦσαν γὰρ κἀκεῖναι κρίσιμοι. προσέθηκα δὲ, τὸ, οὐ δι' ἄλλο τι ἢ διὰ τὸ τῶν οὐκ ὀρθῶς ἐν προρρητικῷ γεγραμμένων ἁμαρτάνειν. πάμπολυ δὲ ἐκ τῆς Ἱπποκράτους γνώμης, καὶ τῆς ἐπὶ τῶν F καμνόντων προγνώσεως· οἳ διὰ τοῦτο λογίατροι μέν εἰσιν· οὕτως γὰρ ὀνομάζουσιν οἱ πολλοὶ τῶν εἰδότων ἀσχημονοῦντας ἐπὶ τῶν ἔργων, ἰατροὶ δ' οὐκ εἰσίν, οἱ πιστεύοντες τοῖς ἐν προρρητικοῖς καὶ Κωακαῖς προγνώσεσι γεγραμμένοις ἀρρώστοις, εἰς ἑτέραν ἀναφέρουσι μαρτυρίαν τῶν δοκούντων αὐτοῖς, παρατιθέμενοι τὰ κακῶς εἰρημένα κατὰ τὸ προρρητικὸν, ἢ τὰς Κωακὰς προγνώσεις, ἐάσαντες δὲ τὰ κατὰ τὸ προγνωστικὸν, καὶ τοὺς ἀφορισμοὺς, καὶ τὰ κατὰ τῶν ἐπιδημ.

(handwritten margin note beside the line that ends "ἁμαρτάνειν":) τὸ μηδὲν πολλὰ

(handwritten margin note beside the line that ends "ἐπὶ τῶν":) + κατὰ τὸν Ἱπποκράτην

(handwritten margin note beside the line that ends "ἀσχημονοῦντας ἐπὶ":) ἰδιωτῶν

μιῶν εἰρημένα καθολικὰ θεωρήματα, καὶ ὅσα γε κατὰ τὸ προρρητικὸν, καὶ τὰς Κωακὰς προγνώσεις, ἀληθῆ γέγραπται, ταῦτα μετενηνεγμένα παρὰ τῶν τὰ βιβλία ταῦτα γραψάντων ἐξ ἀφορισμῶν, καὶ προγνωστικοῦ, καὶ τῶν ἐπιδημιῶν εἰς αὐτὰ, καθότι δέδεικταί μοι κἀν τοῖς εἰς τὸ προρρητικὸν ὑπομνήμασιν. Λύκος δ' οὐκ οἶδ' ὅπως καὶ αὐτὸς ἀναπλησθεὶς τῆς τοιαύτης μοχθηρίας, εἰς Κόϊντον αὐτὴν ἀναφέρει, καίτοι Κοΐντῳ μὲν αὐτὸς οὐδ' ἐνιαυτὸν ὅλον συνεγένετο. Σάτυρος δὲ, καὶ Φικιανὸς ἐπὶ πλεῖστον αὐτῷ συνδιατρίψαντες, οὐδεμίαν τοιαύτην ἐξήγησιν εἰς Κόϊντον ἀνέφερον· οὐκ ἀκριβῶς γὰρ ἐπίσταμαι τοῦτ' ἐγὼ, ἀμφοτέροις διδασκάλοις χρησάμενος.

A demiis catholica theoremata; & quæ in prorrhetico & coacis prænotionibus vera scripta sunt, hæc ab his qui hos libros scripserunt, ex aphorismis & prognostico & Epidemiis in ipsos translata sunt, prout demonstravi atque in confectis à me in prorrheticum Commentariis. Lycus autem nescio quo pacto & ipse talis plenus pravitatis, in Quintum ipsum referat, etiamsi cum Quinto ne annum quidem integrum fuerit conversatus. Satyrus & Phecianus plurimum cum ipso versati nullam hujusmodi explicationem referunt: Non enim id ego accuratè scio, quanquam utroque præceptore sum usus.

Commentarii I. in III. Epidemiorum finis.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.

HIPPOCRATIS EPIDEMIORVM LIBER TERTIVS, ET GALENI IN EVM COMMENTARIVS SECVNDVS.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ΤΟ ΥΠΟΚΕΙΜΕΝΟΝ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ τε καὶ ὑπομνήματος.

Δεύτερόν ἐστι τοῦ βιβλίου τρίτου τῶν ἐπιδημιῶν, ἐν ᾧ ἐννέα μὲν ἀῤῥώστων ἱστορίαι ἀναγινώσκονται, καὶ τὰ τούτοις συμβεβηκότα συμπτώματα παρατηρεῖται, καὶ διασαφηνίζεται.

SECTIO SECVNDA.

ARGVMENTVM SECTIONIS SECVNDÆ & Commentarii.

Altera Libri tertii Epidemiorum est Sectio, in qua novem ægrotantium historiæ leguntur, & quæ hic acciderunt, symptomata observantur, explicanturque.

GALENI PRÆFATIO.

Sensus Præfationis.


Præfatur Galenus se ab amicis & familiaribus peregrinaturis expostulantibus exoratum suos in Hippocratis Opera Commentarios propè omnes condidisse, ut quæ in Hippocratis textibus dissentanea, neque rectè pronunciata comperiuntur, ea proderet, explicaret, enodaret.

A

ΓΑΛΗΝΟΥ ΠΡΟΟΙΜΙΟΝ.


Η τοῦ προοιμίου διάνοια.

Προοιμιάζει ὁ Γαληνὸς ἑαυτὸν ἀπὸ τῶν ἑταίρων καὶ οἰκείων ἀποξενωθησομένων ἀξιωσάντων παρακληθέντα σφέτερα εἰς τὰ Ἱπποκράτους ἔργα ὑπομνήματα σχεδὸν ἅπαντα πεποιηκέναι, ὡς ὅσα κατὰ τὰς Ἱπποκράτους ῥήσεις ἀνομόλογα, καὶ μὴ καλῶς ἐκφωνηθέντα εὑρίσκονται, ταῦτα δηλοῖ, ἐξηγεῖταί τε, καὶ ἀναπτύσσῃ.



Μοὶ μὲν οὔτ' ἄλλο τι βιβλίον ἐγγέγραφε χωρὶς τοῦ δεηθῆναί τινας ἑταίρους, καὶ μάλιστα τοὺς εἰς ἀποδημίαν μακροτέραν στελλομένους, ἀξιώσαντας ἔχειν ὑπόμνημα τῶν ὑπ' ἐμοῦ ῥηθέντων αὐτοῖς, ἢ δειχθέντων ἐν ταῖς τῶν ζώων ἀνατομαῖς, κἀπὶ τῶν νοσούντων. ἐπεὶ δὴ ἐκπεσόντα τινὰ καὶ ἄλλοις ἔδοξεν ἄξια σπουδῆς εἶναι, προτρεψαμένοις με καὶ αὐτοῖς, ἅπαντα τῆς ἰατρικῆς τέχνης τὰ μέρη συμπληρῶσαι, κατὰ τὸν αὐτὸν τρόπον οἷς ἤδη τισὶν ἔδωκα, καὶ τοῦτ' ἔπραξα. γινώσκων δὴ ἐμαυτὸν ἐν ἅπασιν αἷς ἐγεγράφειν, ἐξηγησάμενον ἀεὶ τὴν Ἱπποκράτους γνώμην, ἅμα τῷ καὶ τὰς ἐπικαιροτάτας αὐτοῦ τῶν ῥήσεων παρατεθεῖσθαι, περιττὸν ἡγούμην εἶναι γράφειν ἐξηγήσεις ἐν ὑπομνήμασι καθ' ἑκάστην λέξιν, ἀπ' ἀρχῆς, ἕως τέλους ἁπάντων αὐτοῦ τῶν βιβλίων. ἐπεὶ δὲ καὶ ταύτας ἐδεήθησαν ἔνιοι τῶν ἑταίρων ἔχειν, ἀπὸ τῶν γνησιωτάτων καὶ χρησιμωτάτων Ἱπποκράτους βιβλίων ἠρξάμην, τὸν αὐτὸν φυλάττων σκοπὸν τοῖς συγγράμμασιν, ὃν κἀν τοῖς ἔμπροσθεν ἐπεποιήμην. ἔστι δ' οὗτος, ὅσα διηνεκῶς ἢ πλειστάκις ἐπὶ τῶν ἀρρώστων ὁρᾶται, ταῦτα μόνα γράφειν αὐτὸν τοῦ διελέγχειν τοὺς ἤτοι τὰ σπάνια γράψαντας, ἢ τὰ μηδ' ὅλως ὁρώμενα καὶ ψευδῆ παντάπασιν ὄντα. καί μοι τά τε εἰς τὸ περὶ ἀγμῶν καὶ τὸ περὶ ἄρθρων ὑπομνήματα. καὶ πρὸς τούτοις εἴς τε τὸ περὶ ἑλκῶν, καὶ τῶν ἐν τῇ κεφαλῇ τρωμάτων, ἀφορισμούς τε, καὶ προγνωστικόν, οὕτως ἐγένετο. μετὰ δὲ ταῦτα τοῖς ἑταίροις παρακαλέσασι πεισθεὶς ἐξηγήσεις ἐν ὑπομνήμασιν ἔγραψα τοῦ περὶ διαίτης ὀξέων. προτέρου μὲν ἄχρι τῆς τῶν βαλανείων χρήσεως μέρους τοῦ βιβλίου, ὃ καὶ γνησιώτατον εἶναι πεπίστευται. δευτέρου δὲ μετ' αὐτό, καὶ γὰρ καὶ τοῦτο φαίνεται πολλὰ κατὰ τὴν Ἱπποκράτους γνώμην ἔχειν ἐν ἑαυτῷ θεωρήματα. μετὰ δὲ τοῦτο, τοῦ περὶ χυμῶν ἐξήγησιν ἐποιησάμην διὰ ταχέων ἐν ἡμέραις ὀλίγαις, ἐπειγομένου πρὸς ἀποδημίαν τοῦ παρακαλέσαντος αὐτὸ γραφῆναι. δοξάντων δὲ καὶ τούτων ἔχειν καλῶς, ἐξέπεσε γὰρ εἰς πολλούς, ἐκ τούτου συνέβη μὴ μόνον τοὺς ἑταίρους, ἀλλὰ καὶ ἄλλους πολλοὺς τῶν φίλων ἰατρῶν, προτρέψαι πάντων τῶν Ἱπποκράτους βιβλίων ἐξηγήσεις ποιήσασθαι. καὶ τοίνυν ἐποιησάμην ἤδη τοῦ τε κατ' ἰατρεῖον, καὶ τοῦ πρώτου, καὶ δευτέρου τῶν ἐπιδημιῶν, ἐφ' οἷς μέλλοντος ἄρξασθαί μου τῶν εἰς τὸ τρίτον ἐξηγητικῶν, συνέβη παρακληθῆναι πάνυ λιπαρῶς ὑπό τινων, εἰς τὸ προῤῥητικὸν ἤδη ποιῆσαι. ἐγένετο δ' ἡ παράκλησις αὕτη, λόγου ποτὲ ἐμπεσόντος ἡμῖν ἐν περιοδείᾳ περὶ τῶν ἐν τῷ προγνωστικῷ, καὶ τοῖς ἀφορισμοῖς εἰρημένων. ἐδείκνυον μὲν γὰρ ἅπαντα ταῦτα μεγάλην ἔχειν ἐπὶ τῶν νοσούντων δύναμιν· ἐὰν δ' ὡς καθολικοῖς τις προσέχῃ, τοῖς ἐν τῷ προῤῥητικῷ γεγραμμένοις ἅπασι πάμπολυ σφαλησόμενον. τοιαῦτα δ' εἶναι καὶ τὰ καὶ πλεῖστα τῶν κατὰ τὰς Κωακὰς προγνώσεις ἐδείκνυον, ἀναμεμιγμένα τισὶ μὲν τῶν ἐν ἀφορισμοῖς εἰρημένων, ἢ προγνωστικῷ. τισὶ δὲ τῶν ἐν τοῖς ἐπιδημίοις, ἃ καὶ μόνα τῶν ἐν ἐκείνοις τοῖς βιβλίοις γεγραμμένων ἐστὶν ἀληθῆ. τὰ δ' ἄλλα πάντα μοχθηρῶς ἔχει κατὰ τὸ προῤῥητικόν, καὶ τὰς Κωακὰς προγνώσεις. παρέγκειται μὲν οὖν τινα κἀν τῷ δευτέρῳ καὶ ἕκτῳ τῶν ἐπιδημιῶν, ὥσπερ καὶ κατὰ τοὺς ἀφορισμοὺς ἐπὶ τῆς τελευτῆς. ἀλλὰ τά τ' ἄλλα πάντα καὶ κατὰ τὸ δεύτερον καὶ ἕκτον Ἱπποκράτους ἐστί, οὐκ ὀλίγα μὲν ἐν ὑπομνήμασιν εὑρεθέντα, τινὰ δὲ καὶ τοῦ συνάγοντος αὐτὰ προσθέντος. ἦν δ' οὗτος ὁ τοῦ Ἱπποκράτους υἱέων εὐδο-

forsan ὂν

A 

Ullus unquam à me Liber ſcriptus eſt, quē non amici quidam expoſtulaſſent, quique potiſſimū in longiorē peregrinationē contenderent; tum eorum quæ à meipſis dicta eſſent, tum eorum quæ in diſſectionibus animalium, & in ægrotis demonſtrata fuiſſent, commentarium habere rogantes. At quia quidā editi aliis etiam ſtudio digni eſſe viſi ſunt, ipſis me quoque exhortantibus ut omnes artis Medicæ partes complerem eodem modo, ut jam quibuſdam dedi, etiam id feci. B Cognoſcens autem meipſum in omnibus à me conſcriptis Hippocratis mentem perpetuo expoſuiſſe, ſimulque opportuniſſimas ipſius dictiones citaſſe, ſupervacaneum eſſe exiſtimavi, ſi ſingularum dictionum explicationes per commentarios à principio omnium ipſius librorum ad finem uſque ſcriberem. At quoniam & has amicorum nonnulli habere expoſtularent, à maximè legitimis, fructuoſiſſimiſque Libris Hippocratis incœpi, eodem ſervato Libris ſcopo, quem & in ſuperioribus feceram. Eſt au- C tem hic, quod quæ perpetuò, vel utplurimum in ægrotis conſpiciuntur, hæc ſola ſcribenda, non eos confutando qui vel rara ſcripſerunt, vel quæ nullo pacto videntur, & falſa prorſus exiſtunt. Imò & Commentarii in librum de fracturis, & in Librum de articulis, atque etiam in Librum de ulceribus, & in Librum de vulneribus capitis, & in aphoriſmos & prognoſticum ita ſcripti ſunt. Poſtea vero rogantibus amicis obſequutus, Commentarios in Librum de acutorum victu ſcripſi, priorem quidem in Libri partem aduſque balneorum uſum, quæ D pars maximè legitima credita eſt; alterum vero in ſequentem partem. Poſt hanc autem explanationem libri de humoribus properè ac paucis diebus, properante ad peregrinationem amico, qui me ſcribere ipſum rogaverat. Et vero his bene habere exiſtimantibus, in multos enim exciderant, ex hoc contigit non ſolùm amicos, verumetiam alios ex amicis Medicos pleroſque me ad omnium Hippocratis Librorum explanationes condendas exhortari. Et ſanè jam condidi Commentarium in Librum de Medici Officina, in primum & ſecundum E Epidemiorum; à quibus quum expoſitiones in tertium inscepturus eſſem, accidit perbellè à quibuſdam rogari ut jam in prorrheticum explanationes facerem. Hæc autem ſupplicatio fuerat, quum aliquando ſermo nobis in obambulatione de his incideret, quæ in prognoſtico & aphoriſmis pronunciata ſunt. Demonſtrabam ſiquidem hæc omnia magnas in ægris habere vires. At ſi quis ut univerſalibus ſcriptis in prorrhetico omnibus mentem intenderit, is permultum aberraturus eſt. Talia autem eſſe & plurima in coacis prænotionibus demonſtrabam, commixta nonnullis quidem eorum quæ in F aphoriſmis vel prognoſtico prolata ſunt. Quibuſdam vero quæ in epidemiis, & ſola eorum quæ illis in libris ſcripta ſunt, vera exiſtunt; cætera omnia vitioſa habentur in prorrhetico, & Coacis prænotionibus. Interſeruntur itaque nonnulla in epidimiorum ſecundo & ſexto, quemadmodum & in aphoriſmis ad finem, imò & alia omnia & in ſecundo & ſexto ſunt Hippocratis; quædam vero etiam cogente ipſa auctore. Erat autem inter Hippocratis filios præ-

ſtantiſſimus nomine Theſſalus qui plane patris A mentem aſſequutus eſt. In primo & tertio Epidemiorum, aut nihil, aut pauca prorſus quivis aſcripta eſſe conjecerit. At univerſalia his in Libris theoremata pauca prorſus ſcripta ſunt, nuda in illis eorum quæ contigerunt, exiſtente narratione, vel communi multis in ſtatibus epidemis, vel ſingulis privatim. Completis itaque in ſecundum Librum commentariis, tres interea ſcriberentur contigit, propter eos qui me rogaverunt, ut dixi, Commentarii in prorrheticum, per quos demonſtravi plurima in B illo libro perperam dicta eſſe; multa quidem ut univerſalia, quanquam raro exiſtentia; multa vero & indefinita, diſtinctionibus indigentia. Perſpicuitatis verò gratia unius meminero ex iis quæ vitioſè à quibuſdam ſcripta ſunt, & in prorrheticum Commentariis, & his qui in ægros Epidemiorum ſcripti ſunt. Scriptâ itaque in prorrhetico tali quadam oratione; *fibres ex hypochondriis malignæ*. Qui nonnulli Librum explanarunt, nos admonent ægros qui in Epidemiis deſcripti ſunt, illos ſolos proferentes qui interierunt, in quibus hypochondriorum con- C tenſionem ſcribit Hippocrates tempore morbi, vel dolorem, vel palpitationem, vel hujuſmodi quiddam ſubticentes, ſervatos fuiſſe. Hippocrates autem quemadmodum cætera in acutis morbis utilia in prognoſtico ſcripſit: ita & de hypochondriis in illa Libri parte quæ hoc modo incipit; *hypochondrium optimum eſt*, dolore vacuum exiſtens, molle, & æquabile tum in dextra, tum in ſiniſtra, hoc quidem totius orationis prolixæ principium eſt, in qua de hypochondriis docet Hippocrates. Qui verò febres ex hypochondriis malignas eſſe ſimpliciter pro- D nunciat, citra decentes diſtinctiones, quas in prognoſtico ſcripſit Hippocrates, manifeſtè errat. Nam longè veriùs erat dicere, febres ex cerebro affecto malignæ; febres ex cerebri mẽbranis affectis malignæ; febres ex pulmone affecto malignæ; atque etiam his magis febres ex corde affecto malignæ, quam febres ex hypochondriis malignæ, ſi propriè quidem intelligamus hypochondriorum, appellationem inter febres acutas leviſſimæ ſunt; ſi verò non propriè, ſed cum apprehenſione comprehende- E rimus, ventrem, hepar, lienem, & ſeptum tranſverſum, nonnullæ quidem ipſarum malignæ, aliæ mites, ut in Commentariis de locis affectis determinatum eſt. Hoc quidem unum tibi ſit exemplum eorum quæ non rectè in prorrhetico ſcripta ſunt, & eorum qui, ut nuper protuli, Libros invicem exponunt. In prorrhetico quidem ita explicant: Bene, inquit, febres ex hypochondriis malignæ, nempe in Epidemiis hic & ille videntur interiſſe affectis hypochondriis. In Epidemiis verò quum ad ipſos ægros venerint rectè hunc ægrum aiunt in- F teriiſſe: nam univerſè in porrhetico enunciatum eſt; febres ex hypochondriis malignæ. Si autem ita interpretari oporteat, primùm quidem licet enunciationem ei quæ in prorrhetico eſt dicere; febres ex hypochondriis moderatæ: Secundo ab hac ægrotos hypochondriis affectos in Epidemiis ſervatos incolumes oſtendere. Unum quidem id exemplum eſt, ut dixi, pravarum explicationum. Alterum autem implicitarum inter ſe affectionum, quo & ipſo fre-

A κιμώτατος, ὄνομα Θεσσαλὸς, ἀκριβῶς ἀκολουθήσας τῇ γνώμῃ τοῦ πατρός. ἐν δὲ τῷ πρώτῳ καὶ τρίτῳ τῶν ἐπιδημιῶν, ἢ οὐδὲν, ἢ βραχέα παντελῶς ὑποπτεύσειεν ἄν τις ἐγγεγράφθαι. καθόλου δὴ ἐν τοῖς βιβλίοις τούτοις θεωρήματα παντάπασιν ὀλίγα γέγραπται, διηγήσεως οὔσης ἐν αὐτοῖς ψιλῆς τῶν συμβάντων, ἤτοι κοινῇ πολλοῖς ἐν καταστάσεσιν ἐπιδημίοις, ἢ καθ' ἕκαστον ἰδίᾳ. συμπεπληρωμένων οὖν ἤδη τῶν εἰς τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπομνημάτων, ἐν τῷ μεταξὺ, τρία συνέβη γραφῆναι, διὰ τοὺς παρακαλέσαντας, ὡς ἔφην, εἰς B τὸ προρρητικὸν ὑπομνήματα, δι' ὧν ἐδείκνυον ἐν ἐκείνῳ τῷ βιβλίῳ τὰ πλεῖστα μοχθηρῶς εἰρῆσθαι. πολλὰ μὲν ὡς καθόλου, καίτοι σπάνια ὄντα, πολλὰ δὲ ἀόριστα διορισμῶν δεόμενα. σαφηνείας δ' ἕνεκα ἀναμνήσω τινὸς ἐξ αὐτῶν τῶν μοχθηρῶς γεγραμμένων τισὶν, ἔν τε τοῖς εἰς τὸ προρρητικὸν ὑπομνήμασιν, κἂν τοῖς εἰς τοὺς ἐν ταῖς ἐπιδημίαις ἀρρώστους. γεγραμμένης τοίνυν ἐν τῷ προρρητικῷ τοιαύτης τινὸς λέξεως, οἱ ἐξ ὑποχονδρίων πυρετοὶ κακοήθεες. ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἀναμιμνήσκουσιν ἡμᾶς τῶν ἐν τοῖς ἐπιδημίοις ἀρρώστων, ἐκείνους προχειριζόμενοι μόνους, ἐφ' ὧν ἀποθανόν- C των, ἤτοι σύντασιν ὑποχονδρίων ἔγραψεν ὁ Ἱπποκράτης γεγονέναι κατὰ τὸν τῆς νόσου καιρὸν, ἢ ὀδύνην, ἢ παλμὸν, ἤτοι τοιοῦτον, σιωπῶντες τοὺς σωθέντας ἐξ αὐτῶν. Ἱπποκράτης δ' ὥσπερ τἄλλ' ἐπὶ τῶν ὀξέων νοσημάτων χρήσιμα κατὰ τὸ προγνωστικὸν ἔγραψεν, οὕτω καὶ τὰ περὶ τῶν ὑποχονδρίων ἐν ἐκείνῳ τῷ μέρει τοῦ συγγράμματος, ὃ κατὰ τόνδε τὸν τρόπον ἄρχεται. ὑποχόνδριον ἄριστόν ἐστιν, ἀνώδυνόν τε ἐὸν, καὶ μαλθακὸν, καὶ ὁμαλὸν, καὶ ἐπὶ δεξιὰ, καὶ ἐπ' ἀριστερά. αὕτη μὲν ἡ ἀρχὴ τῆς ὅλης ῥήσεώς ἐστιν οὔσης μακρᾶς, ἐν ᾗ διδάσκει D περὶ τῶν ὑποχονδρίων ὁ Ἱπποκράτης. ὁ δ' ἀποφηνάμενος ἁπλῶς τοὺς ὑποχονδρίων πυρετοὺς κακοήθεας, ἄνευ τῶν προσηκόντων διορισμῶν, οὓς ἔγραψεν Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, προφανῶς ψεύδεται· πολὺ γὰρ ἦν ἀληθέστερον εἰπεῖν, οἱ ἐπ' ἐγκεφάλῳ πάσχοντι πυρετοὶ, κακοήθεες. οἱ ἐπὶ μήνιγξι πασχούσαις πυρετοὶ κακοήθεες· οἱ ἐπὶ πνεύμονι πάσχοντι πυρετοὶ κακοήθεες. ἔτι δὲ μᾶλλον τούτων, οἱ ἐπὶ καρδίᾳ πασχούσῃ πυρετοὶ κακοήθεες, ἢ οἱ ἐξ ὑποχονδρίων πυρετοί; κυρίως μὲν ἀκουόντων τῆς προσηγορίας τῶν ὑποχονδρίων, ἐπιεικέστατοι πάντων εἰσὶ τῶν ὀξέων πυρετῶν, οὐ κυρίως δ' ἀλλὰ E συμπεριλαμβανόντων τῇ προσηγορίᾳ καὶ τὴν γαστέρα, καὶ τὸ ἧπαρ, καὶ τὸν σπλῆνα, καὶ τὰς φρένας, ἔνιοι μὲν αὐτῶν κακοήθεις, ἔνιοι δ' ἐπιεικεῖς, ὡς ἐν τοῖς περὶ τῶν πεπονθότων τόπων ὑπομνήμασι διώρισται. τοῦτο μὲν ἕν σοι παράδειγμα ἔστω, τῶν τ' ἐν τῷ προρρητικῷ γεγραμμένων ὀρθῶς, καὶ τῶν ἐξηγησαμένων, ὡς εἶπον ἄρτι, δι' ἀλλήλων τὰ βιβλία, κατὰ μὲν τὸ προρρητικὸν οὕτως ἐξηγοῦνται. καλῶς εἶπεν, οἱ ἐξ ὑποχονδρίων πυρετοὶ κακοήθεες. ἐν γοῦν τοῖς τῶν ἐπιδημιῶν, ὅδε καὶ ὅδε φαίνονται τεθνεῶτες, ὑποχονδρίον πάσχοντες· ἐν δ' αὐτοῖς τῶν ἐπιδημιῶν, ὅταν ἐπὶ τοὺς αὐτοὺς ἔλθωσιν, ὀρθῶς τόνδε τὸν ἄρ- F ρωστόν φασιν ἀποθανεῖν. εἴρηται γὰρ ἐν τῷ καθόλου κατὰ τὸ προρρητικὸν, οἱ ἐξ ὑποχονδρίων πυρετοὶ κακοήθεες. εἰ δ' οὕτως ἐξηγεῖσθαι χρὴ, πρῶτον μέν ἐστιν ἀπόφασιν ἐναντίαν τῇ κατὰ τὸ προρρητικὸν εἰπεῖν, οἱ ἐξ ὑποχονδρίων πυρετοὶ, μέτριοι. δεύτερον δ' ἐπ' αὐτῇ, δεῖξαι τοὺς ἐν τοῖς τῶν ἐπιδημιῶν σωθέντας, ὑποχονδρίων πεπονθότων. ἓν μὲν δὴ τοῦτ' ἐστὶ παράδειγμα, ὡς ἔφην, μοχθηρῶν ἐξηγήσεων. ἕτερον δὲ, τὸ τῶν ἐπιπλεκομένων ἀλλήλαις διαθέσεων, ᾧ καὶ αὐτῷ πολλά

A φαίνεται κεχρημένος ὁ γράψας τὸ προῤῥητικὸν, ὡς ἐν τοῖς εἰς αὐτὸ γεγονόσιν ὑπομνήμασιν ἐδείκνυον. ἐπιπεπλεγμένας δὲ λέγω διαθέσεις, ἐν αἷς πλείω τὰ πεπονθότα μόρια· δύναται γὰρ ὁ αὐτὸς ἄνθρωπος, οὐ κατὰ θώρακα πεπονθέναι μόνον, ἀλλὰ καὶ κατὰ τὸν πνεύμονα καὶ τὴν κεφαλὴν, ἐγχωρεῖ δὲ αὐτοῖς προσθεῖναι, καὶ κατὰ γαστέρα καὶ ἧπαρ. ἐὰν οὖν γράφῃ ποτὲ σύμπτωμα, φρενίτιδος ἐσομένης δηλωτικὸν· ἑξῆς δὲ αὐτῷ προσθῇ καὶ ἄλλο περιπνευμονίας ἴδιον, καὶ φλεγμονῆς ἥπατος, ἢ γαστρὸς, ἢ τινος τῶν ἄλλων, εἶτα χαλεπωτέραν εἶναι φάσκῃ τὴν διάθεσιν ἐκείνοις τῶν ἀνθρώπων, οἷς δύο, ἢ πλείω μόρια B πάσχει, μοχθηρὰν ποιήσεται διδασκαλίαν. ἔσται γὰρ ὁ τρόπος τῶν λόγων τοιόσδε· οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί εἰσι; μυκτὴρ ἐν τούτοις ἀποστάζων, ὀλέθριον, ἄλλως τε καὶ ἢν τεταρταίοισιν ἀρχομένοισιν, κοιλίης περίπλυσις ἐξέρυθρος, ἡπατικόν ἐστι σύμπτωμα δυνάμενον μὲν καὶ σὺν τοῖς προειρημένοις γενέσθαι, καθάπερ εἰ καὶ πλευρῖτις, ἢ περιπνευμονία τοῖς κωματώδεσιν ἐκείνοις συνέπεσε, οὐ μέντοι τῆς αὐτῆς διαθέσεως C σημεῖον ὑπάρχον. Εἰ δέ τις ἐθέλοι τά τ' ἐν τῷ προῤῥητικῷ κακῶς εἰρημένα, καὶ τοὺς δι' ἀλλήλων ἐξηγουμένους, τά τ' ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένα, καὶ τοὺς ἐν τοῖς τῶν ἐπιδημιῶν ἀῤῥώστους ἐλέγχειν, ἀναγνώτω τὰ εἰς τὸ προῤῥητικὸν ὑπομνήματα. ἐγὼ μὲν οὖν τοὺς ἐν τῷ πρώτῳ καὶ δευτέρῳ βιβλίῳ γεγραμμένους ἀῤῥώστους ἐξηγησάμην ἔμπροσθεν ἄνευ τοῦ εἰς τοὺς μοχθηρῶς ἐξηγουμένους, ἐλέγχειν. ἐπεὶ δὲ πολλοὶ τῶν ἑταίρων ἠξίωσάν με ἐπ' ὀλίγων ἀῤῥώστων ἐπισημήνασθαι περὶ τῶν οὐκ ὀρθῶς ἐξηγουμένων, ἠναγκάσθην εἰς τρεῖς ἀῤῥώστους μόνους ἓν ἐξηγητικὸν βιβλίον ποιήσασθαι τὸ πρὸ τούτου. νῦν δὲ ἡγοῦμαι πάλιν ἄμεινον εἶναι κατὰ τὸν αὐτὸν τρόπον ἐξηγεῖ- D σθαι τοὺς ὑπολοίπους, ὅνπερ καὶ ἔμπροσθεν ἤδη, τοὺς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐξηγησάμην· κινδυνεύω γὰρ εἰς ἕτερον ἐμπεσεῖν ἔγκλημα τῶν μισούντων μέγεθός τε καὶ μῆκος ὑπομνημάτων.

A quenter usus videtur qui porrheticum scripsit, ut in Commentariis ipsius demonstravi. Implicitos dico affectus, quibus plures partes affectæ sunt. Potest siquidem idem homo non solùm in thorace affici, verumetiam in pulmone, & capite. Fieri autem potest ab his quoque adjectum esse, & in ventre & hepate. Itaque si aliquando scripserit symptoma phrenitidis indicium, deinceps autem & ipsi adjecerit symptoma aliud peripneumoniæ proprium, phlegmonesque jecoris vel ventris, vel aliorum cujusdam; deinde B difficiliorem dicat affectum hominibus illis quibus duæ vel plures partes afficiuntur, pravam doctrinam facturus est. Talis enim orationis erit modus; *Qui in principio comatosi fiant cum capitis, lumborum, hypochondrii & cervicis dolore, vigilantes, num phrenitici? Nares his distillantes, perniciosum, tum aliàs, tum si quarto die cœperit, ventris præruba proluvies.* Hepaticum est symptoma, quod cum prædictis etiam potest existere, ac si & pleuritis vel peripneumonia comatosis illis contigerit; sed non ejusdem affectûs signum est. C Si quis verò voluerit & quæ in prorrhetico non rectè scripta sunt, atque eos qui invicem interpretati sunt, & quæ illo in Libro scripta sunt, & ægros in Epidemiis arguere, Commentarios in prorrheticum legat. Ego itaque ægros, tum in primo, tum in secundo Libro scriptos antea exposui citra confutationem eorum qui non probè explanarunt. At quoniam amicorum non multi me rogaverunt in paucis ægris de perperàm exponentibus indicare, coactus sum in tres ægros solos unum explanantem Librum hunc præcedentem conficere. Nunc arbitror, rursum satius esse, me eodem modo reliquos D explicare, quo & antea jam in primo Epidemiorum exposui. Periclitor siquidem in alterum incidere vitium eorum qui commentariorum, tum magnitudinem, tum longitudinem odio habent.

Ἡ τοῦ Φιλίσου ἱστορία. ὃς τῇ κεφαλαίᾳ ἐπιληφθεὶς δαψιλοῦς οἴνου πόσει χρησάμενος εἰς ὀξὺν πυρετὸν ἐνέπεσε, καὶ χαλεπωτάτοις συμπτώμασι κακωθεὶς, νυκτερινῷ ἀλγήματι, δυσφορίᾳ, τῷ ἐμέτῳ, κωφώσει, συντάσει τοῦ ὑποχονδρίου δεξιοῦ, τῇ μανίᾳ, καὶ τοῖς σπασμοῖς τῇ E πέμπτῃ ἀπέθανεν.

Phylistæ historia, qui cephalea correptus, liberali vini potione usus, in febrem acutam veternosus incidit, & gravissimis vexatus symptomatis, nocturno dolore, jactatione, vomitione, surditate, hypochondrii contentione, insania, & convulsionibus, die quinto E defunctus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α.

ΑΡΡΩΣΤΟΣ δ'.

ἘΝ Θάσῳ Φιλίστης κεφαλὴν ἐπόνει χρόνον πολὺν, ἰᾴ ποτε καὶ ὑποκαρωθεὶς, κατεκλίθη. ἐκ δὲ πότων, πυρετῶν συνεχῶν γενομένων, ὁ πόνος παρωξύνθη νυκτὸς, ἐπεθερμάνθη τὸ πρῶτον. τῇ πρώτῃ ἤμεσε χολώδεα ὀλίγα, ξανθὰ πρῶτα, μετὰ δὲ ταῦτα ἰώδεα πλείω, ἀπὸ δὲ F κοιλίης κόπρανα διῆλθε, νύκτα δυσφόρως. δευτέρη κώφωσις, πυρετὸς ὀξὺς, ὑποχόνδριον δεξιὸν συνετάθη, ἔῤῥεπεν εἰς τὰ ἔσω, οὖρα λεπτὰ διαφανέα, εἶχεν ἐναιώρημα γονοειδὲς μικρὸν, ἐξεμάνη περὶ μέσον ἡμέρης, τρίτη δυσφόρως, τετάρτη σπασμοὶ, παρωξύνθη πάντα, πέμπτῃ πρωῒ ἀπέθανεν.

HIPPOCRATIS TEXTUS I.

ÆGROTUS QUARTUS.

IN Thaso Philistes diuturno tempore caput dolebat, ac tandem etiam veterno aliquantulum correptus decubuit. Ex potibus autem febribus assiduis obortis, dolor nocte exacerbatus est; primùm incaluit. Primo die biliosa pauca vomuit, F *flava primùm, posteà æruginosa plura, ab alvo autem stercora manarunt; nox molesta. Secundo die surditas; febris acuta; hypochondrium dextrum contensum est, quod intro pergebat; urinæ tenues, pellucidæ, quæ enæorema genituræ simile paucum continebant; circa meridiem vehementer insanivit. Tertio die permolestè habuit. Quarto convulsiones; exacerbata sunt omnia. Quinto manè defunctus est.*

GALENI

GALENI COMMENTARIUS.

TAnquam memoriâ tenentibus quæ & in Prognosticum & Aphorismos, & prorrheticum, quæque etiamnum in primum & secundum Epidemiorum exposui: at ne impendio loqui videar, orationem ita facturus sum. Hic homo surrecturus ægrotabat, capite dolens, ut qui ante ipsum descriptus est. Sed in hoc quidem non parvum adjecit symptoma, quod interdum ipse caro soporaretur; atque ab illo morbi principium adjunxit. Huic quidem ex errore magno huic accidisse: Affecto siquidem vehementer capite maximum malum est copiosa vini potio. In illo autem ex manifesta causa morbum cœpisse ait, ut in illo quidem nondum cerebrum existimet affectum fuisse, solius autem in capite redundantiæ humorum esse symptomata. Huic autem Philistæ & cerebrum ipsum tempore affectum fuisse affectione prava. Superveniente vero ex potu læsione, morbus ita magnus & vehemens effectus est, ut quinto die hominem peremerit. Quæ his in diebus scripsit Hippocrates Philistæ accidisse symptomata; alia quidem celeritatis morbi sunt, ac si cerebrum illæsum fuisset; alia verò cerebri ipsius. Celeritatis itaque morbi sunt & in vomitibus symptomata, & urinarum qualitas. Ipsius verò cerebri & surditas & convulsio, & vehementer insanire. At quod ab Authore ita pronunciatum est; hypochondrium dextrum distentum est, & intrò vergebat, fit quidem ubi à diaphragmate trahuntur quæ in ipso sunt. Diaphragma verò ipsum tenditur interdum quidem in pleuritide propter phlegmones membranæ costas succingentis magnitudinem; interdum vero propter nervorum principium, quod ad se eos qui ad diaphragma porriguntur nervos retrahit propter propriam phlegmonem. Verùm nunc ex hujusmodi tribus magis consentaneum est propter nervorum tensionem retractum ipsum hypochondrium retraxisse. Ut plurimum itaque & utraque hypochondria in hujusmodi affectionibus intrò procedunt. Accidit autem nonnullis alterum solum, ubi principii nervorum altera quidem pars vehementius affecta fuerit, altera vero nullo modo, vel moderatè.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΩΣ μεμνημένοις ὧν εἴς τε τὸ προγνωστικὸν ἐξηγησάμην, καὶ τοὺς ἀφορισμοὺς, καὶ τὸ προρρητικὸν, ἔτι τε τὸ πρῶτον καὶ δεύτερον τῶν ἐπιδημιῶν, οὕτω ποιήσομαι τὸν λόγον, ὑπὲρ τοῦ μὴ μακρολογεῖν. ὀρθοστάδην οὗτος ὁ ἄνθρωπος ἐνόσει, κεφαλὴν ἀλγῶν, ὥσπερ καὶ ὁ πρὸ αὐτοῦ γεγραμμένος. ἀλλ' ἐπὶ τούτου μὲν οὐ σμικρὸν προσέθηκε σύμπτωμα τὸ καρωθῆναί ποτ' αὐτὸν, ἐπ' ἐκείνου δὲ προσέθηκε πρὸ
B καὶ τὴν ἀρχὴν τῆς νόσου, τούτῳ μὲν ἐξ ἁμαρτήματος μεγάλου φησὶ γεγονέναι. πεπονθυίας γὰρ ἰσχυρῶς κεφαλῆς, μέγιστόν ἐστι κακὸν οἴνου πόσις δαψιλής. ἐπ' ἐκείνου δὲ ἐκ προφάσεως φησὶν ἄρξασθαι τὴν νόσον, ὡς ἐπ' ἐκείνου μὲν οὐδέπω τὸν ἐγκέφαλον ἡγεῖσθαι πεπονθέναι, μόνης δὲ τῆς ἐν τῇ κεφαλῇ πλεονεξίας τῶν χυμῶν εἶναι τὰ συμπτώματα. τῷ Φιλίσκῳ δὲ τούτῳ, καὶ αὐτὸν ἐν τῷ χρόνῳ τὸν ἐγκέφαλον ἐν διαθέσει γεγονέναι μοχθηρᾷ. προσγενομένης δὲ τῆς ἐν τῷ πότῳ βλάβης, οὕτως μέγα καὶ ἰσχυρὸν ἀπειργάσατο πάθος, ὡς ἀποκτεῖναι πεμπταῖον αὐτόν. ὅσα δὲ κατὰ τὰς ἡμέρας ταύτας
C ὁ Ἱπποκράτης ἔγραψε γενέσθαι συμπτώματα τῷ Φιλίσκῳ, τὰ μὲν τῆς κατὰ τὴν νόσον ὀξύτητός ἐστιν, ὡς εἰ καὶ μηδὲν ἐγκέφαλος ἐβέβλαπτο, τὰ δὲ αὐτοῦ τοῦ ἐγκεφάλου. τῆς μὲν οὖν κατὰ τὴν νόσον ὀξύτητος, τά τε κατὰ τοὺς ἐμέτους ἐστὶ συμπτώματα, καὶ τῶν οὔρων ἡ ποιότης. αὐτοῦ δὲ τοῦ ἐγκεφάλου, ἥ τε κώφωσις, καὶ ὁ σπασμὸς, καὶ τὸ ἐκμανῆναι. τὸ δ' οὕτως εἰρημένον ὑπὸ τοῦ συγγραφέως ὑποχόνδριον δεξιὸν συνετάθη, ἔρρεπεν εἰς τὸ εἴσω· γίνεται μὲν ὅταν ὑπὸ τοῦ διαφράγματος ἕλκηται τὰ κατ' αὐτό. τὸ διάφραγμα δ' αὐτὸ τείνεται, ποτὲ μὲν ἐν πλευρίτιδι διὰ τὸ μέγεθος τῆς φλεγμονῆς
D τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ποτὲ δὲ διὰ τὴν ἀρχὴν τῶν νεύρων ἀνασπωμένης ἐφ' ἑαυτὴν τὰ καθήκοντα πρὸς τὸ διάφραγμα νεῦρα, διὰ φλεγμονὴν ἰδίαν. ἀλλὰ νῦν γε τῶν εἰρημένων τριῶν, εὐλογώτερόν ἐστι διὰ τὴν τῶν νεύρων τάσιν ἀνασπώμενον αὐτὸ, ἀνεσπακέναι τὸ ὑποχόνδριον· ὡς τὰ πολλὰ μὲν οὖν καὶ ἄμφω τὰ ὑποχόνδρια κατὰ τὰς τοιαύτας διαθέσεις ἔσω γίνεται. συμβαίνει δ' ἐνίοις καὶ τὸ ἕτερον μόνον, ὅταν καὶ τὸ τῆς ἀρχῆς τῶν νεύρων, τὸ μὲν ἕτερον μέρος ἰσχυρῶς ᾖ πεπονθὸς, τὸ δ' ἕτερον, ἢ μηδ' ὅλως, ἢ μετρίως.

E

Chærionis ex potu febricitantis historia, qui gravissimis symptomatis vexatus, septimo die sudore critico febre liberatus est, nono in febrem recidit, vigesimo perfectè judicatus sospes evasit.

Η΄ Χαρίωνος πυρεταίνοντος ἱστορία, ὃς χαλεπωτάτοις τοῖς συμπτώμασι κακωθεὶς τῇ ἑβδόμῃ, τῷ ἱδρῶτι κριτικῷ τοῦ πυρετοῦ ἠλευθερώθη· ἐννάτῃ ὑπέστρεψε πυρετός. τῇ εἰκοστῇ τελέως ἐκρίθη.

HIPPOCRATIS TEXTUS II.

ÆGROTUS QUINTUS.

F

» *CHærionem qui apud Demænetum decumbebat, ex potu febris prehendit; statimque capitis gravitas dolorem inferens; non dormiebat; alvus turbulenta tenuibus aliquantulum biliosis dejectionibus. Tertio die febris acuta; capitis tremor, maximè vero labri inferioris; paulo post rigor, convulsiones; prorsus desipuit; nocte jactatio. Quarto quievit, paululum dormivit, deliravit. Quinto laboriosè habuit; exacerbata sunt omnia; delirus;*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β΄.

ΑΡΡΩΣΤΟΣ ε΄.

ΧΑιρίωνα ὃς κατέκειτο παρὰ Δημαινέτῳ, ἐκ ποτοῦ πῦρ ἔλαβεν, αὐτίκα δὲ κεφαλῆς βάρος ἐπώδυνον, οὐκ ἐκοιμᾶτο, κοιλίη ταραχώδης ἐπὶ λεπτοῖσιν ὑποχολώδεσι. τρίτη πυρετὸς ὀξὺς, κεφαλῆς τρόμος, μάλιστα δὲ χείλεος τοῦ κάτω, μετ' ὀλίγον δὲ ῥῖγος, σπασμοὶ, πάντα παρέκρουσε, νύκτα δυσφόρως· τετάρτη δι' ἡσυχίης, μικρὰ ἐκοιμήθη, παρέλεγε· πέμπτη ἐπιπόνως, πάντα παρωξύνθη, λῆρος·

νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη· ἕκτῃ διὰ τῶν αὐτῶν· ἑβδόμῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς, ἵδρωσε δι' ὅλου, ἐκρίθη. τούτῳ διὰ τέλεος, ἀπὸ κοιλίης διαχωρήματα χολώδεα ὀλίγα, ἄκρητα, οὖρα λεπτά, εὔχροα, ἐναιώρημα ἐπινέφελον ἔχοντα· περὶ δ' ὀγδόην οὔρησεν εὐχροώτερα, ἔχοντα ὑπόστασιν λευκήν, ὀλίγην, κατενόει, ἄπυρος διέλιπεν· ἐνάτῃ ὑπέστρεψε· περὶ δὲ τεσσαρεσκαιδεκάτην πυρετὸς ὀξύς. ἑκκαιδεκάτῃ ἤμεσε χολώδεα, ξανθά, ὑπόσυχνα. ἑπτακαιδεκάτῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς, ἵδρωσεν, ἄπυρος ἐκρίθη, οὖρα μετ' ὑποστροφὴν καὶ κρίσιν εὔχροα, ὑπόστασιν ἔχοντα, οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ. ὀκτωκαιδεκάτῃ ἐθερμαίνετο σμικρά, ὑπεδίψα, οὖρα λεπτά, ἐναιώρημα ἐπινέφελον, σμικρὰ παρέκρουσε. περὶ δὲ ἐννεακαιδεκάτην ἄπυρος, τράχηλον ἐπωδύνως εἶχεν, οὔροις ὑπόστασις, τελέως ἐκρίθη εἰκοστῇ.

nocte jactatio; non dormivit. Sexto eadem. Septimo superriguit; febris acuta; per universum sudavit; judicatus est. Huic perpetuo ab alvo dejectiones biliosæ, paucæ, sinceræ; urinæ tenues, bene coloratæ, enæorema nebulosum habentes. Ad octavum melioris coloris urinas minxit, sedimentum album paucum habentes; mente constitit; febris intermisit. Nono reversa est. Ad decimumquartum febris acuta. Decimosexto vomuit biliosa, flava, copiosa. Decimoseptimo subriguit, febris acuta; sudavit, absque febre judicatus est. Vrinæ post reversionem & crisin boni coloris, sedimentum continentes; neque in reversione deliravit. Decimooctavo paululum incaluit; insuper sitivit; urinæ tenues, enæorema nebulosum; parum deliravit. Circiter decimumnonum febris expers, cervicem dolor occupavit; urinis sedimentum. Vigesimo perfectè judicatus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἄνθρωπος ἐκ πλήθους φαίνεται, καὶ μάλιστα χολωδῶν νοσήσας. ἐξετάζων δ' ἐπ' αὐτοῦ τά τε κατὰ τὰς κρισίμους ἡμέρας δεδειγμένα, καὶ τὰ περὶ τῶν οὔρων, εὑρήσεις συμφωνοῦντα κατὰ λόγον αὐτὸν ἐπὶ τῆς εἰκοστῆς ἡμέρας ἀπηλλαγμένον τελέως. ἔνια μέν τοι τῶν ἀντιγράφων οὐκ ἔχει προσγεγραμμένον ἐπὶ τέλει τῆς διηγήσεως, τὸ εἰκοστῇ, καίτοι τῶν δοκιμωτάτων οὕτως εἰδότων γεγραμμένην τὴν ῥῆσιν.

GALENI COMMENTARIUS.

Hic homo ex plenitudine ac maximè biliosorum ægrotasse videtur. Si autem in ipso inquisiveris & quæ diebus judicatoriis demonstrata sunt, & quæ de urinis, reperies convenientem secundùm rationem ipsum vigesimo die perfectè laboratum. Nonnulla vero exemplaria in narrationis calce non habent ascriptum, *vigesimo*; quanquam probatissima quæque ita scriptam dictionem norint.

Τῆς παρθένου Εὐρυάνακτος θυγατέρος ὑπὸ ἰσχυροῦ πυρετοῦ κάμνοντος ἱστορία, ἧς τὰ συμπτώματα μέχρι θανάτου γινόμενα λέγεται. τὸ τοῦ θανάτου αἴτιον εἶναί τι συγγενικὸν φθινῶδες, καὶ τὸ ῥεῦμα κακόηθες. τὰ σημεῖα θανάσιμα τὸ τῶν σιτίων τε καὶ ποτῶν μῖσος καὶ τὴν ἀνορεξίαν τὴν τῆς φυσικῆς δυνάμεως νέκρωσιν σημαίνοντα.

Virginis Euryanactis filiæ vehementi febre laborantis historia, qua symptomata adusque interitum oborta narrantur. Interitus causam esse congenitum quid tabis, rheuma malignum; signa perniciosa tum eduliorum, tum potionum fastidia, quæ facultatis naturalis extinctionem produnt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

ΑΡΡΩΣΤΟΣ ϛ.

Τὴν Εὐρυάνακτος θυγατέρα παρθένον πῦρ ἔλαβεν, ἦν δ' ἄδιψος διὰ τέλεος, γεύματα οὐ προσεδέχετο. ἀπὸ δὲ κοιλίης σμικρὰ διήει· οὖρα ὀλίγα, λεπτά, οὐκ εὔχροα. ἀρχομένου δὲ τοῦ πυρετοῦ, περὶ ἕδρην ἐπόνει. ἑκταίη δὲ ἐοῦσα, ἄπυρος, οὐκ ἵδρωσεν, ἐκρίθη. τὸ δὲ περὶ τὴν ἕδρην, σμικρὰ ἐξεπύησεν, ἐρράγη ἅμα κρίσει. μετὰ κρίσιν ἑβδομαίη ἐοῦσα, ἐρρίγωσε σμικρά, ἐπεθερμάνθη, ἵδρωσε. μετὰ δὲ κρίσιν ὀγδόαιος ἐοῦσα, ἐρρίγωσεν οὐ πολλά, ὕστερον δὲ ἄκρεα ψυχρὰ ἀεί. περὶ δὲ δεκάτην, κατὰ τὸν ἱδρῶτα τὸν γινόμενον, παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει. ἔλεγον δέ, γευσαμένην βότρυος, ταῦτα παθεῖν. διαλιποῦσα δὲ
14 δωδεκάτην πάλιν πολλὰ παρελήρει, κοιλίη ἐπεταράχθη χολώδεσιν ὀλίγοισιν, ἀκρήτοισι, λεπτοῖσι, δακνώδεσι, πυκνὰ ἀνίστατο. ἀφ' ἧς δὲ παρέκρουσε τὸ ὕστερον, ἀπέθανεν ἑβδόμη. αὕτη ἀρχομένου τοῦ νοσήματος ἤλγει φάρυγγα, καὶ διὰ τέλεος ἔρευθος εἶχε, καὶ γαργαρεὼν ἀνεσπασμένος, ῥεύματα πολλὰ σμικρά, λεπτά, δριμέα, ἔβησεν πέπονα, οὐδὲν ἀνῆγε, ἀπόσιτος πάντων, περὶ πάντα τὸν χρόνον, οὐδ' ἐπεθύμησεν οὐδενός, ἄδιψος, οὐδ' ἔπινεν, οὐδὲν ἄξιον λόγου, σιγῶσα, οὐδὲν διελέγετο, δυσθυμίη, ἀνελπίστως ἑωυτῆς εἶχεν. ἦν δέ τι καὶ συγγενικὸν φθινῶδες.

HIPPOCRATIS TEXTUS III.

ÆGROTUS SEXTUS.

Virginem Euryanactis filiam ignis prehendit; hæc perpetuo sitis fuit expers; edulia non assumebat; ab alvo pauca dejiciebantur; urinæ tenues, paucæ, non probè coloratæ: exordiente febre, ad sedem dolebat. Sexto die à febre immunis, non sudavit, judicata est. Quod ad sedem erat, paululum suppuravit, & unà cum judicatione erupit. A judicatione septimo die rigore correpta aliquantulum riguit, incaluit, sudavit. Octavo post judicationem die non admodum riguit; postea extrema semper frigida. Ad decimum post sudorem obortum deliravit; statimque rursum ad mentem rediit: Dicebant autem ex degustata uva hæc accidere. Quum autem duodecimo intermisisset, rursus multoperè deliravit; alvus turbata est biliosis paucis, tenuibus, mordacibus, crebro desurgebat. Septimo die, à quo postremum deliravit, defuncta est. Hæc incipiente morbo fauces dolebat, ac perpetuo ruborem habuit; gurgulio revulsus est; defluxiones multæ, parvæ, tenues, acres; tussiebat; concoctum nihil educebat; toto morbi tempore omnes cibos aversata est, neque quicquam appetivit, siti varia, neque quicquam effatu dignum bibit, tacebat, nihil loquebatur, & mœror & desperatio ipsi aderat. Quiddam tabidum congenitum erat.

A

GALENI COMMENTARIUS.

Posteaquam, quæ huic ægrotanti ad mortem usque facta sunt, enarravit, morbi totius hypothesin adjecit, ex qua decenter interiit. Ait enim malas quidem à capite ad pulmonem huic factas fuisse defluctiones faucibus & gurgulioni noxias. Adjecit autem & narrationi: At quiddam tabidum erat congenitum; quod meminisse oportet, non autem Sophistis fidem adhibere nullum morbum congenitum esse narrantibus. Verùm hoc ipsum quidem per se solum non ita cito ipsam peremisset, sed huic affectui implicata naturalis facultatis peremptio citæ mortis causa extitit. Ipsa vero per totum textum declarata est. *Hæc perpetuo sine siti fuit; edulia non assumebat.* At de horum symptomatum malignitate, Libro hunc præcedente dixi; & Hippocrates ipse ad finem narrationis iterum demonstrans, ut consuevit, quæ ægrotis tum salutis, tum mortis causæ fiunt, ascripsit. Omnia aversabatur edulia per totum morbi tempus, neque quicquam appetivit, sine siti, summum ciborum odium ipsi adfuisse judicans, ut neque in rei alicujus desiderium perveniret, quare sortiuntur nonnulli eorum qui omnem cibum respuunt ex recordatione, ubi antea nonnunquam suaviter cibarentur. Intuemur enim quotidie nonnullos eorum qui in morbis non appetunt, simul ubi quippiam gustarint, ipsum auersari; alios vero gustare non ausos. Attamen ex his plerique interrogantibus ipsos, si quid desiderent, respondent edulia quædam, memores eorum, quibus antea id facientes oblectarentur. Atque maximum tibi signum esto facultatis ciborum desideratricis in perfecta extinctione posita, si parata hæc quæ se desiderare profitentur, simul atque gustarint, tum culpent, tum non amplius ingerant. His etiam pessimè habentibus, deteriùs etiamnum habent qui nihil appetunt summam naturalis facultatis peremptionem indicantes, quâ tum cibos, tum potus appetimus. Ob hæc itaque mortua muliere ultra nobis opus non est differentium exemplarium consideratione, & de dierum inquisitione discutiamus: Nullum enim ipsis ordinem habentibus, quia à capite defluxio, & congenitum quid tabis mortis essent causæ, propterea & exemplarium discordiam judicatu difficilem simul ac supervacaneam prætermisit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μετὰ δὲ διηγήσασθαι τὰ γενόμενα ταύτῃ νοσούσῃ μέχρι θανάτου, προσέθηκεν αὐτὸς ὅλης τῆς νόσου τὴν ὑπόθεσιν, ἐφ' ᾗ προσηκόντως ἀπέθανεν. ἀπὸ κεφαλῆς γὰρ αὐτῇ φησὶν εἰς πνεύμονα γενέσθαι κακὰ ῥεύματα, φάρυγγι καὶ γαργαρεῶνι λυμηνάμενα. προσέθηκε δὲ τῷ λόγῳ, καὶ ὃ ἦν δέ τι καὶ συγγενικὸν φθινῶδες, οὗ μεμνῆσθαι χρή, καὶ μὴ πείθεσθαι τοῖς λέγουσι σοφισταῖς, οὐδὲν εἶναι πάθος συγγενικόν.
B ἀλλὰ τοῦτο μὲν αὐτὸ καθ' ἑαυτὸ μόνον, οὐκ ἂν οὕτω ταχέως ἀπέκτεινεν αὐτήν. ἡ δὲ ἐπιπλακεῖσα τῷ παθήματι τούτῳ νέκρωσις τῆς φυσικῆς δυνάμεως, αἰτία τοῦ θᾶττον ἀποθανεῖν ἐγένετο. δεδήλωται δὲ αὕτη διὰ τῆσδε τῆς λέξεως, ἦν δὲ ἄδιψος διὰ τέλεος, γεύματα οὐ προσεδέχετο. προείρηται δέ μοι περὶ τῆς τούτων τῶν συμπτωμάτων κακοηθείας ἐν τῷ πρὸ τούτου γράμματι. καὶ αὐτὸς δὲ ὁ Ἱπποκράτης ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως πάλιν ἐπισημαινόμενος, ὥσπερ εἴωθε τά τε τοῦ θανάτου, καὶ τῆς σωτηρίας αἴτια τοῖς ἀρρώστοις γινόμενα, προσέγραψε.
C ἀπόσιτος πάντων παρὰ πάντα τὸν χρόνον, οὐδ' ἐπεθύμησεν οὐδενός, ἄδιψος, ἔσχατόν τι μῖσος αὐτῇ γεγονέναι σιτίων ἐνδεικνύμενος, ὡς μηδ' εἰς ἐπιθυμίαν ἀφικνεῖσθαί τινος, οἷόν τι ἴσχουσιν ἔνιοι τῶν ἀνορεκτούντων ἐξ ἀναμνήσεως, ἐφ' οἷς ἔμπροσθέν ποτε διαιτηθεῖεν ἡδέως. ὁρῶμεν γὰρ ὁσημέραι τῶν ἀνορεκτούντων ἐν νόσοις τινάς, ἅμα δὲ γεύσασθαί τινων, ἀποστρεφομένους αὐτῶν, τινὰς δ' οὐδὲ γεύσασθαι τολμῶντας. ἀλλ' ὅμως καὶ τούτων οἱ πλεῖστοι τοῖς πυνθανομένοις αὐτῶν, εἴ τινος ἐπιθυμοῖεν, ἀποκρίνονταί τινα βρώματα,
D κατὰ μνήμην τῶν ἔμπροσθεν ἡσθέντων αὖθις τοῦτο ποιοῦντες. καὶ μέγιστόν γε τοῦτο σημεῖον ἔστω τῆς ὀρεκτικῆς τῶν σιτίων δυνάμεως ἐν νεκρώσει παντελεῖ γινομένης, ἐὰν παρασκευασθέντων ὧν ἐπιθυμεῖν φασιν, ἅμα δὲ γεύσασθαι, μέμφονταί τε, καὶ μηκέτι προσενέγκωνται. κάκιστα δ' ἐχόντων καὶ τούτων, ἔτι μοχθηρότερον αὐτῶν, οἱ μηδ' ἐπιθυμήσαντές τινων διάκεινται, νέκρωσιν ἐσχάτην ἐνδεικνύμενοι τῆς φυσικῆς δυνάμεως, ᾗ σιτίων τε καὶ πομάτων ὀρεγόμεθα. διὰ ταῦτα τοίνυν ἀποθανούσης τῆς γυναικός, οὐδὲν ἔτι δεόμεθα τὴν διαφορὰν τῶν ἀντιγράφων ἐπισκοπεῖσθαι, καὶ ἀνακρίνειν ἐν τῇ τῶν ἡμερῶν ἐξετάσει. μηδεμίαν γὰρ αὐτῶν ἐχουσῶν τάξιν, ἐπειδὴ τὸ ἀπὸ τῆς κεφαλῆς ῥεῦμα,
E καὶ τὸ συγγενικὸν φθινῶδες αἴτιον ἐγένετο τοῦ θανάτου, διὰ τοῦτο καὶ τὴν τῶν ἀντιγράφων διαφωνίαν δύσκριτόν τε ἅμα καὶ περιττὴν ἡγησάμενος, ἀπέλιπον.

Anginosæ historia, quæ gravibus symptomatis vexata quinto die mortua est.
Quid sublimis spiritus.

Ἡ τῆς κυναγχικῆς ἱστορία, δι' ἧς αὐτὰ τὰ μεγάλα συμπτώματα πεπονθυῖα τῇ πέμπτῃ ἀπέθανεν.
τί πνεῦμα μετέωρον.

HIPPOCRATIS TEXTUS IV.

Ægrotus septimus.

Quæ anginosa apud Bitonem decumbebat, huic primùm lingua laborare cœpit; obscura vox, lingua rubra, inaruit. Primo die horruit, incaluit, rigor, febris acuta, tumor subruber, durus, cervicis, & in pectus utraque ex parte, extrema frigida, livida; spiritus sublimis; potus per nares effluebat; devorare non poterat; dejectiones & urinæ substiterunt. Quarto exacerbata sunt omnia.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

ΑΡΡΩΣΤΟΣ ζ'.

F Ἡ κυναγχικὴ ἡ παρὰ τὰ Βίτωνος ἡ πρῶτον ἀπὸ γλώσσης ἤρξατο, ἀσαφὴς ἡ φωνή, γλῶσσα ἐρυθρή, ἐπεξηράνθη. τῇ πρώτῃ φρικώδης, ἐπεθερμάνθη, ῥῖγος, πυρετὸς ὀξύς, οἴδημα ὑπέρυθρον, σκληρόν, τραχήλου καὶ ἐπὶ στῆθος ἐξ ἀμφοτέρων, ἄκρεα ψυχρά, πελιά, πνεῦμα μετέωρον, ποτὸν διὰ ῥινῶν ἐχεῖτο, καταπίνειν οὐκ ἠδύνατο, διαχωρήματα καὶ οὖρα ἐπέστη. τετάρτῃ πάντα παρωξύνθη,

πέμπτῃ ἀπέθανε κυναγχική. πι. δυ. ε. εφ.

A *Quinto anginosa periit. P. D. S. Q. M. Probabile dejectionibus suppressis; quinto mortua est.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὔτε ἐν ἅπασι τῶν ἀντιγράφων οὕτως εὑρίσκεται γεγραμμένον τὸ τέλος τῆς ῥήσεως, οὔτ᾽ ὑπὸ τῶν ἐξηγησαμένων τὸ βιβλίον ἁπάντων φαίνεται γινωσκόμενον. ἀλλὰ καὶ τούτων ἔνιοι μὲν ἀντὶ τῆς πέμπτης, ἑβδόμῃ γράφουσιν, ἔνιοι δ᾽ ὀγδόῃ. Καπίτων δ᾽, οὐκ οἶδά τι δόξαν αὐτῷ, καὶ τὸ τῆς ἡμέρας ἀφείλετο, καὶ τὸ, κυναγχική. καὶ πρὸ τούτων δέ τι, τὸ, τετάρτῃ πάντα παρωξύνθη, χωρὶς τοῦ τετάρτῃ γράφει, τὸ τέλος ὅλης τῆς ῥήσεως τοιοῦτον ποιήσας, διαχωρήματα καὶ οὖρα ἐπέστη, πάντα παρωξύνθη, ἀπέθανε. περὶ μὲν οὖν τῆς βελτίονος γραφῆς, ὕστερον ἐπισκεψόμεθα. πρότερον δὲ τῶν εἰρημένων ἐπ᾽ αὐτῆς ἐξηγησόμεθα τὰ μὴ σαφῆ. τοῦτο γάρ ἐστι τὸ μάλιστα προκείμενόν μοι ἐν τοῖς ἐξηγητικοῖς βιβλίοις. φαίνεται δὴ, τὸ πνεῦμα μετέωρον οὐκ εἶναι σαφές, ἀμέλει Σαβῖνος ὑπὲρ αὐτοῦ κατὰ τήνδε τὴν λέξιν ἔγραψε. μετέωρος δ᾽ ἦν ἡ ἀναπνοὴ, τουτέστιν, ἄκρᾳ τῇ ῥινὶ ἀνέπνει, διὰ φλεγμονὴν τῆς ἀρτηρίας, κλειομένης τῆς εὐρυχωρίας, καὶ μηκέτι δυναμένης τῆς ὁλκῆς τοῦ πνεύματος εἰς τὸν πνεύμονα γίνεσθαι. ἀσαφὴς δ᾽ ἐστὶ καὶ ἡ αὐτοῦ τοῦ Σαβίνου ῥῆσις, ὡς ἐξηγητοῦ πάλιν ἑτέρου δεῖσθαι. δοκεῖ δέ μοι βούλεσθαι δηλοῦν ἐκείνους ἀναπνεῖν ἄκρᾳ τῇ ῥινὶ τοὺς κινοῦντας αὐτῆς ἐν ταῖς ἀναπνοαῖς τὰ πτερύγια. πολλοὺς γὰρ τῶν νοσούντων οὕτως εἴδομεν ἀναπνέοντας, ὡς ἐν μὲν ταῖς εἰσπνοαῖς περιστέλλειν, ἐν δὲ ταῖς ἐκπνοαῖς διαστέλλειν αὐτά, καὶ συμβαίνει γε τοῦτο τοῖς τε πνιγομένοις ὑπὸ κυνάγχης, ἢ περιπνευμονίας, ἢ ἐμπυήματος, ἔτι τε τοῖς ἀρρώστοις τὴν δύναμιν. ὅπως μὲν οὖν ἐπὶ τῶν ἀρρώστων γίνεται, νῦν οὐκ ἀνάγκη λέγειν. ὅπως δ᾽ ἐπὶ τῶν διὰ τὴν στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων, νῦν ἐρῶ μὲν εὐθὺς καὶ διὰ τί μετέωρον ὠνόμασεν ὁ Ἱπποκράτης τὸ τοιοῦτον πνεῦμα, συνεξηγησόμενος. φαίνεται γὰρ τοῖς οὕτω διακειμένοις τὰ τοῦ θώρακος ὑψηλὰ μέχρι τῶν ὠμοπλατῶν κινούμενα, καὶ τοῦτ᾽ εὔλογον εἰρῆσθαι νῦν ὑπ᾽ αὐτοῦ μετέωρον πνεῦμα γινόμενον, οὐ μόνον ἐν τοῖς κυναγχικοῖς, ἀλλὰ κἀν τοῖς περιπνευμονικοῖς, καὶ τοῖς ἐμπυϊκοῖς ὀνομαζομένοις πάθεσι. γίνεται δὲ καὶ χωρὶς πυρετῶν ἐπὶ τῶν ἰδίως ὀνομαζομένων ὀρθοπνοϊκῶν τε καὶ ἀσθματικῶν. ἀπὸ γὰρ τοιούτων συμβεβηκότων, ἑκάτερον τῶν ὀνομάτων τῷ πάθει τούτῳ τέθειται, τὸ μὲν ἆσθμα, διὰ τὴν ὑπειγμένην ἀναπνοὴν, ἣ καὶ τοῖς δραμοῦσιν ὀξέως γίνεται. τὴν δ᾽ ὀρθόπνοιαν ἐπειδὴ διὰ τὸ πνίγεσθαι κατακειμένους, σχηματίζουσιν ἑαυτοὺς ὀρθίους· ἔνιοι δὲ καὶ ἀναγκάζονται, καὶ τελέως ἐξανίστασθαι. γέγραπται δὲ κἀν προγνωστικῷ κατὰ λέξιν οὕτως λεγομένην. αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι, καὶ τάχιστ᾽ ἀναιροῦσαι, ὅσαι μήτ᾽ ἐν τῇ φάρυγγι ἔκδηλον μηδὲν ποιέουσι, μήτ᾽ ἐν τῷ αὐχένι· πλεῖστον δὲ πόνον παρέχουσι, καὶ ὀρθόπνοιαν. ἡ αὐτὴ τοίνυν αἰτία, τήν τ᾽ ὀρθόπνοιαν ἐργάζεται τοῖς πνιγώδεσι πάθεσι, καὶ τὸ προσαγορευόμενον ἀρτίως μετέωρον πνεῦμα. κατὰ φύσιν μὲν γὰρ ἔχοντες, ὅταν ἐν ἡσυχίᾳ πάντων τῶν κατὰ προαίρεσιν ὦμεν ἐνεργειῶν, μόνοις τοῖς κατὰ τοῦ θώρακος μέρεσι, τοῖς κατὰ τὰς φρένας, ἀναπνέομεν, ὡς ἐν τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων ἐδείχθη. πλείονος δ᾽ εἰσπνοῆς δεόμενοι, καὶ τὰ συνεχῆ τοῖς κάτω συγκινοῦμεν. ἐπειδὰν δὲ

κάτω

GALENI COMMENTARIUS.

Neque in omnibus exemplaribus ita reperitur scriptus orationis finis, neque ab omnibus Libri Interpretibus cognitus videbitur. Verùm horum nonnulli pro quinto septimum scribunt, nonnulli autem octavum. At Capito, non novi quid ipsi visum sit, & diem & Cynan-
B chicam sustulit, atque ante hæc, quarto omnia exacerbata sunt, sine quarto scribit, universi textus finem talem efficiens, dejectiones & urinæ substiterunt, omnia exacerbata sunt, interiit. De meliori itaque scriptura postea considerabimus. Prius autem ex enunciatis in ipsa explicabimus, quæ manifesta non sunt; hoc siquidem est quod maximè proposui in Interpretum Libris. Videtur sane spiritus sublimis, perspicua non esse oratio. Nimirum Sabinus de ipsa hoc in textu scripsit: sublimis autem erat respiratio, hoc est, per summas nares respirabat
C propter arteriæ phlegmonem, sic præcluso viæ spatio, ut spiritus attractio ad pulmonem non ampliùs fieri posset. Et verò obscura est Sabini ipsius oratio, ut altero Interprete, rursum indigeat. Videtur autem mihi velle indicare illis summa nare respirare, qui in inspirationibus pinnas ipsius naris movent. Multos siquidem ægros ita respirare cernimus, ut in inspirationibus quidem ipsas contraherent, in expirationibus vero dilatarent, idque iis accidit qui ob anginam, vel peripneumoniam, vel empyema strangulantur, atque aliis qui imbecillis sunt
D viribus. Itaque quo pacto quidem in ægris fiat, nunc dicere necesse non est. Quo vero modo propter spirabilium organorum angustiam eveniat nunc proferam quamprimum, curque sublimem appellaverit Hippocrates spiritum hujusmodi simul explicaturus. Conspiciuntur siquidem sic affectis summæ thoracis partes ad omoplatas usque moveri: & rationi consonum est hoc dici nunc ab ipso fieri sublimem spiritum, non solùm in cynanchicis, verumetiam & in peripneumonicis, & emyicis appellatis affectibus. Fit autem & citra febres impropriè appellatis orthopnoicis, & asthmaticis. De hujus-
E modi siquidem accidentibus nomen utrunque huic affectui impositum est, asthma quidem propter coactam respirationem, quæ & velociter currentibus accidit: orthopnœa verò quandoquidem quod decumbentes suffocentur, sese rectos figurant, nonnulli autem & coguntur, ac planè exurgunt. At & in Prognostico his verbis ita prolatis scriptum est: Cynanchæ autem gravissimæ quidem sunt, & celerrimè enecant, quæ neque in faucibus quicquam manifestum, neque in cervice, sed dolorem plurimum præ-
F stant, & orthopnœam. Eadem itaque causa & orthopnœam parit strangulantibus affectibus, & appellatum nuper sublimem spiritum. Nam secundùm naturam habentes, quum in quiete omnium voluntariarum actionum fuerimus, solis thoracis partibus ad septum transversum porrectis, respiramus, quemadmodum in Commentariis de respirationis causis demonstratum est; ampliore autem inspiratione indigentes, & continuas infernis simul movemus; ubi vero

plurima indigemus, & partes in omoplati movemus, toto thorace violenter operantes. Sed hoc quidem nobis bene valentibus accidit celeri cursu, aut quocunque motu vehementer agitatis, propter ampliorem inspirationis necessitatem. In peripneumoniis vero, & suppuratorum pathematis seu affectibus, & orthopnœis cum febre propter organorum respirationi inservientiam augustiam, tantam aëris substantiam excipere non valentium quanta animal opus habet. Itaque non satiatus respirationis usus suffocationis periculum inducit, ob idque coguntur tum assiduè, tum toto thorace moliri respirationem. In angina vero quæ in pulmonibus sunt spiritus conceptacula quibus respiramus, non obsepta existunt, & pura; sed musculis gutturis inflammatis, angustia fit in primum externi aëris ingressum, quem per inspirationem attrahimus, ut & nuuc in altera quidem causa sit. Similiter autem & incompletus fit respirationis usus, ut asthmaticis, empyicis, & peripneumonicis inest. Ob id qui suffocantur, ad surrectionem concitantur; & ad externum aërem toto thorace violenter attrahendum. Hac certè ratione anginosis sublimem appellatum esse spiritum aliquis perpenderit. Fieri autem potest etiam quia sese erigere volunt ita dici, idem sublimi spiritu significante, quod in prognostico orthopnœa. Scriptum est autem & in præsentis, hac in oratione, anginæ enarratione; quod & potus ad ad nares propulsabatur. Id autem accidit ipsum denotare nequeuntibus, aut propter meatus ad stomachum augustiam, aut propter ipsius mortificationem ac paralysin, summè perniciosum utrunque existens, quemadmodum & quod ita tertio die præscriptum est, *extrema frigida, livida*; Præfatus enim, *tertio rigor, febris acuta,* subintulit, *extrema frigida, livida*. Interemptionis autem & extinctionis caloris nativi signum est extremorum tum frigus tum livor in acutis febribus obortus. Itaque sic accidit ægrotanti & dejectionum & urinarum suppressio, tanquam jam emortuis functionibus omnibus; ideoque credibile est neque septimo die neque nono hominem interjisse. Non enim facultas ad tantum tempus sufficere poterat, quæ jam tertio die & symptomata & signa haberet naturæ refrigeratæ. Atque consuetus Hippocrates in ita acutis morbis quæ quotidie oriuntur scribere, nihil quicquam de quinto & sexto diebus pronunciare. At quoniam & completa tertii diei enarratione, quarti solius meminit, in eoque omnia exacerbari asserit, magisque etiamnum manifestum est, quod impossibile esset ad septimum usque aut octavum mulierem vixisse, admirabiles siquidem transmutationes quæ raro fiunt propter naturæ robur, ac nos multoties vidimus, & Hippocrates ipse in ægrorum enarratione scripsit, simulque hoc ipsum significavit, meliusque ægrum habere demonstravit; sed nunc tertio die cum febre acuta extremis tum frigidis, tum humidis factis, hisque retentis quæ mejuntur, etiamsi non ascripsisset, quarto omnia exacerbata sunt, prorsus circiter diem quintum obiisset. Sed quoniam & hoc adscripsit, atque etiamnum magis quicquam confisus affirmaverit ita habentem non ad sextum diem vivam perventuram, ac minus quidem in septimum vel octavum accessuram.

A πλείστης δεόμεθα, καὶ τὰ κατὰ τὰς ὠμοπλάτας μόρια κινοῦμεν, ἅπαντι τῷ θώρακι βιαίως ἐνεργοῦντες. ἀλλὰ τοῦτο μὲν ἡμῖν ὑγιαίνουσι γίνεται, δραμοῦσιν ὀξέως, ἢ ὁπωσοῦν σφοδρῶς κινηθεῖσι, διὰ τὸ πλείονος εἰσπνοῆς δεῖσθαι. κατὰ δὲ τὰς περιπνευμονίας, καὶ τὰ τῶν ἐμπύων παθήματα ἤτοι πάθη, καὶ τὰς διὰ τῶν πυρετῶν ὀρθοπνοίας, διὰ τὴν στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων, οὐ δυναμένων καταδέξασθαι τοσαύτην οὐσίαν ἀέρος, ὅσης χρήζει τὸ ζῶον. ἀπλήρωτος οὖν ἡ χρεία τῆς ἀναπνοῆς B γινομένη, κίνδυνον ἐπάγει πνιγμοῦ, καὶ διὰ τοῦτο ἀναγκάζονται συνεχῶς τε καὶ παντὶ τῷ θώρακι ποιεῖσθαι τὴν ἀναπνοήν. ἐπὶ δὲ τῆς συνάγχης, αἱ μὲν κατὰ τὸν πνεύμονα κοιλίαι τοῦ πνεύματος ἐν αἷς ἀναπνέομεν, ἄφρακτοί εἰσι καὶ καθαραί. φλεγμαινόντων δὲ τῶν ἐν τῷ λάρυγγι μυῶν, στενοχωρία γίνεται, κατὰ τὴν εἴσοδον τὴν πρώτην τοῦ ἔξωθεν ἀέρος ὃν διὰ τῆς εἰσπνοῆς ἕλκομεν, ὥστε καὶ νῦν καθ' ἑτέραν μὲν αἰτίαν. ὡσαύτως δ' ἀπλήρωτος ἡ χρεία γίνεται, τῆς ἀναπνοῆς, ὡς ἐπ' ἀσθματικῶν, ἐμπύων τε καὶ περιπνευμονικῶν ἐνεγίνετο. διὰ τοῦτο ἐξορμῶσιν οἱ πνιγόμενοι διανίστασθαί τε, καὶ παντὶ τῷ θώρακι βιαίως ἐπισπᾶσθαι τὸν C ἔξωθεν ἀέρα. κατὰ τοῦτο μὲν δὴ τοῖς κυναγχικοῖς τὸ μετέωρον ὠνομάσθαι πνεῦμα λογίσαιτ' ἄν τις. ἐγχωρεῖ δὲ καὶ διὰ τὸ μετεωρίζειν ἑαυτοὺς ἐθέλειν, οὕτως εἰρῆσθαι, ταὐτὸν σημαίνοντος τοῦ μετεώρου πνεύματος τῇ κατὰ τὸ προγνωστικὸν ὀρθοπνοίᾳ. γέγραπται γὰρ ἐν τῇ διηγήσει τῆς προκειμένης ἐν τῷ λόγῳ κυνάγχης, ὡς καὶ τὸ ποτὸν εἰς τὰς ῥῖνας ἀνεκόπτετο. γίνεται δὲ τοῦτο τοῖς μὴ καταπίνειν αὐτὸ δυναμένοις, ἢ τοι διὰ στενοχωρίαν τοῦ πόρου τοῦ κατὰ τὸν στόμαχον, ἢ διὰ νέκρωσιν αὐτοῦ, καὶ παράλυσιν, ὀλέθριον ἐσχάτως ἑκάτερον ὄν, ὥσπερ καὶ τὸ προγεγραμμένον οὕτως ὑπ' αὐτοῦ, κατὰ τὴν τρίτην ἡμέραν, ἄκρεα ψυχρὰ, D πελιδνά. προειρηκὼς γὰρ, τῇ τρίτῃ ῥῖγος, πυρετὸς ὀξὺς, ἐπήνεγκεν, ἄκρεα ψυχρὰ, πελιδνά. νεκρώσεως δέ ἐστι καὶ σβέσεως τῆς ἐμφύτου θερμασίας σημεῖον, ἡ τῶν ἄκρων ψύξις τε καὶ πελίωσις ἐν ὀξέσι πυρετοῖς γινομένη. οὕτως οὖν συνέβη τῇ νοσούσῃ, καὶ ἡ τῶν διαχωρημάτων, καὶ ἡ τῶν οὔρων ἐπίσχεσις, ὡς ἂν ἤδη νενεκρωμένων ἁπασῶν τῶν ἐνεργειῶν, διὸ καὶ πιθανόν ἐστι, μήτε κατὰ τὴν ζ. ἡμέραν ἀποθανεῖν τὴν ἄνθρωπον, μήτε κατὰ τὴν η. οὐδὲ γὰρ ἐξαρκέσαι δυνατὸν ἦν τοσοῦτον χρόνον τὴν δύναμιν, ἤδη κατὰ τὴν γ. ἡμέραν, συμπτώματά τε καὶ σημεῖα ἔχουσαν, ἀπὸ ψυχομένης τῆς φύσεως. ὁ Ἱπποκράτης τε ἐν τοῖς οὕτως E ὀξέσι νοσήμασιν εἰωθὼς τὰ καθ' ἑκάστην ἡμέραν γινόμενα γράφειν, οὐκ ἂν παρέλιπεν εἰπεῖν τι καὶ περὶ τῆς ε. ἡμέρας, καὶ τῆς ϛ. ἐπεὶ τοίνυν ἐπὶ συμπληρωθείσῃ τῇ τῆς τρίτης ἡμέρας διηγήσει, τῆς δ. μόνης ἐμνημόνευσε πάντ' ἐν αὐτῇ παροξυνθῆναι λέγων, ἔτι καὶ μᾶλλόν ἐστι δῆλον, ὡς ἀδύνατον ἦν, ἄχρι τῆς ζ. ἢ η. ἡμέρας ζῆσαι τὴν γυναῖκα. παραδόξους μὲν γὰρ μεταβολὰς ἐν τῷ σπανίῳ γινομένας διὰ ῥώμην φύσεως, ἡμεῖς τε πολλάκις ἐθεασάμεθα, καὶ ὁ Ἱπποκράτης αὐτὸς ἐν τῇ διηγήσει τῶν ἀρρώστων ἔγραψε, μετὰ τοῦ συνεπισημήνασθαι τοῦτο αὐτὸ, καὶ δηλοῦν ἄμεινον ἐσχηκέναι τὸν ἄρρωστον, F ἀλλὰ νῦν γε κατὰ τὴν τρίτην ἡμέραν σὺν ὀξεῖ πυρετῷ τῶν ἄκρων ψυχρῶν τε καὶ πελιδνῶν γινομένων, ἐπισχεθέντων τε καὶ τῶν ἐρρυμένων, εἰ καὶ μὴ προσγεγράφει, τετάρτῃ πάντα παροξυνθῆναι, πάντως ἂν ἐτεθνήκει, περὶ τὴν πέμπτην ἡμέραν. ἐπεὶ δὲ καὶ τοῦτο προσέγραψεν, ἔτι καὶ μᾶλλον ἄν τις ἀποφαίνοιτο θαρροῦντως οὕτως ἔχουσαν, μὴ εἰς τὴν ἕκτην ἡμέραν ἀφικέσθαι ζῶσαν. καὶ πολύ γε μᾶλλον εἰς τὴν ἑβδόμην ἔτ' ἀδυνατώτερον, ἢ εἰς τὴν ὀγδόην

ἐν ἐγίνετο

θαρρῶν τὴν

ἄξιον οὖν θαυμάσαι πῶς ὑπέγραψεν, ὁ πρῶτος ὑπογράψας τοὺς χαρακτῆρας, οὕτως ὡς δηλοῦσθαι κατὰ τὴν ὀγδόην ἡμέραν τεθνηκυῖαν αὐτήν. καὶ τούτου μᾶλλον ἔτι, πῶς καὶ Ζήνων Ἡροφίλειος, οὐχ ὁ τυχὼν ἀνὴρ ἐξηγούμενος τοὺς προγεγραμμένους χαρακτῆρας ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, καὶ αὐτὸς ἐν τῇ ὀγδόῃ τῶν ἡμερῶν ἀποθανεῖν φησὶ τὴν κυναγχικήν, καὶ τοῦτο δηλοῦσθαι διὰ τῶν τοιούτων χαρακτήρων π. δ. ε. κ. θ. τούτων τῶν χαρακτήρων ὁ μὲν πρῶτος τὸ πιθανὸν δηλοῖ, διὰ τοῦ π. γράμματος γραφόμενος, μέσην ὀρθὴν ἔχοντος γραμμήν, ἑκατέρα τῶν ἄλλων παραλλήλων, ὥσπερ ἔνιοι γράφουσι τὸ σημαῖνον τὸν τῶν ἐννεακοσίων ἀριθμόν, καὶ διὰ παντός γε κατὰ πάντας τοὺς ἀρρώστους τοῦτο σημαίνει προγεγραμμένος ἁπάντων τῶν ἐφεξῆς χαρακτήρων. ὁ δ' ἐπὶ τῆς τελευτῆς αὐτῶν, ἐνταῦθα μὲν τὸν θάνατον δηλοῖ, τοῦ θ. γράμματος σημαινόμενον, ἐπ' ἄλλων δ' ἀρρώστων τὴν ὑγείαν ὑπὸ τοῦ υ. γράμματος δηλούμενον. ὁ δὲ πρὸ τοῦ τελευταίου χαρακτῆρος γεγραμμένος, ἀεὶ σημαίνει τὸν ἀριθμὸν τῶν ἡμερῶν, ἐν ὅσαις ἐνόσησεν ὁ προκείμενος ἑκάστοτε κατὰ τὸν λόγον ἄρρωστος. οἱ δ' ἐν τῷ μεταξὺ τούτου τε καὶ τοῦ πρώτου πάντων, τὴν αἰτίαν δηλοῦσι τοῦ σωθῆναι τὸν ἄνθρωπον, ἢ ἀπολέσθαι. καθάπερ ἐπὶ τῆς κυναγχικῆς ταύτης, οἱ δύο χαρακτῆρές εἰσιν, ὁ μὲν ἑπόμενος τῷ πρώτῳ πάντων, ἐν ᾧ τὸ διὰ μέσου γραμμὴν ὀρθὴν ἔχον ἐγέγραπτο π. τούτῳ δ' ἐφεξῆς ἄλλος τε καὶ ἄλλος· ὁ μὲν οὖν ἑπόμενος τῷ πρώτῳ πάντων, ἐν ᾧ τὸ διὰ μέσου τὸ δ. στοιχεῖόν ἐστι, ἔχον ἀπὸ μέσης τῆς κάτω γραμμῆς ἑαυτοῦ γραμμὴν ἑτέραν ὀρθὴν εἰς τὰ κάτω μέρη ἠγμένην, ὥσπερ τὸ ι. γράφομεν. ὁ δ' ἐφεξῆς ἐστιν ὁ τοῦ ε. γράμματος. ἐκ τούτων δ' ἐφεξῆς ὁ Ζήνων δηλοῦσθαί φησι τὴν διαχωρημάτων τὴν ἐπίσχεσιν, τοῦ μὲν ἀπεστραμμένου κάτω δ. καθ' ὁντινοῦν τρόπον διαχωρούμενα δηλοῦντος, καὶ γὰρ ἱδρῶτος αὐτό φησι σημεῖον, οὐκ οὔρων μόνον, ἢ διαχωρημάτων εἶναι. τὸ δὲ ε. τὴν ἐποχήν, ἢ ἐπίσχεσιν αὐτῶν, ὁποτέρως ἂν ὀνομάζειν ἐθέλοις, ὡς εἶναι τὴν ὅλην διάνοιαν τῶν σημείων τοιάνδε, πιθανόν ἐστι τῶν διαχωρουμένων ἐπισχεθέντων ὀγδοαίαν ἀποθανεῖν τὴν κυναγχικήν. θαυμάζω τοίνυν, ὥσπερ ἔφην, τῶν ἀκριβεστέρων ἀντιγράφων ἐχόντων τὴν ε. ἡμέραν, ὁμολογοῦντος τῇ γραφῇ τῇδε, καὶ αὐτοῦ τοῦ ε. ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυον, αὐτόν τε τὸν Ζήνωνα τὴν ὀγδόην ἡμέραν ἐπίστασθαι γεγραμμένην, ἀντιλέγοντάς τέ τινας αὐτῷ, περὶ μὲν τούτου μηδὲν εἰρηκέναι. περὶ δὲ τῶν χαρακτήρων ἐλέγχειν αὐτόν, ὡς μεταγράψαντα τὸ δεύτερον γράμμα, καὶ ποιήσαντα τὸ ἀπεστραμμένον δ. μὴ οὕτως ἐχούσης τῆς κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν γραφῆς. ἀλλὰ μετὰ τὸν πρῶτον χαρακτῆρα τὸ ρ. γεγραμμένον, καθάπερ ἐκεῖνοί φασι. παρεισέρχεται δ' ἐνταῦθα λοιπὸν ἤδη μακρός τις λόγων ἑσμός. οἰήσεται γάρ τις ὄντως ὑφ' Ἱπποκράτους προσκεῖσθαι τοὺς χαρακτῆρας τοῖς ἀρρώστοις, εἴπερ οἱ ἀντιλέγοντες τῷ Ζήνωνι τὸ ρ. φασὶν οὐ τὸ κάτωθεν ἀπεστραμμένον δ. γεγράφθαι. ἀλλ' ἐὰν ἀναγνῷ τις τὰ τῶν ἀντειπόντων τῷ Ζήνωνι βιβλία, μήθ' Ἱπποκράτους εἶναι λεγόντων τοὺς χαρακτῆρας, εὑρεθῆναί τε βιβλίον τι τοῦ Πτολεμαίου, τοῦ Εὐεργέτου κληθέντος, ἔχον αὐτοὺς διεσκευασμένους ὑπό τινος ἰατροῦ Παμφίλου, τὸ γένος ἐκ πόλεως Ἰνδικῆς, Κλεοφαντίου δὲ τὴν αἵρεσιν. ἀκούσεται δὲ καὶ τὴν αἰτίαν δι' ἣν ἐνέγραψε τῷ βιβλίῳ τοὺς χαρακτῆρας τούτους ὁ Μνήμων, οἷς δόξειαν αὐτοὶ διαφέρεσθαι πρὸς ἑαυτοὺς οἱ ἀντειπόντες τῷ Ζήνωνι, μήθ' Ἱπποκράτους εἶναι, μηδ' οὕτως γεγράφθαι τοὺς χαρακτῆρας, ὡς ἐκεῖνος ἐξηγήσατο. ἐμοὶ μὲν οὖν δοκεῖ καὶ τὰ μέχρι νῦν εἰρημένα περιττὰ εἶναι, καὶ μηδὲν

(Marginal manuscript notes: ιη; διαχωρημάτων; forte πράγματος; κ1; ε)

A Dignum igitur admiratione quomodo subscripserit qui primus characteras subscripsit, itaut ipsa octavo die interiisse significaretur; eoque etiamnum magis quomodo Zeno Herophilæus vir non contemnendus præscriptos in tertio Epidemiorum characteras exponens, etiam ipse anginosam ait octavo die defunctam, idque hujusmodi characteribus significari π, δ, ε, κ, ϑ, Horum characterum primus quidem πιθανὸν *credibile* significat per π, litteram scriptus mediam rectam lineam habens, utrinque aliis li- B neis æquè distantibus, veluti nonnulli scribunt numerum nongentesimum significari, & perpetuo in omnibus ægris hoc significat cunctis sequentibus characteribus præscriptus. Character autem ad ipsorum finem scriptus, hic quidem mortem indicat litera ϑ significante; in cæteris autem ægrotantibus litera υ, ὑγιεία sanitatem indicante. Qui vero character ante ultimum scribitur, dierum numerum perpetuo significat, in quibus propositus ubique in oratione æger ægrotavit. Characteres vero in medio tum hujus, tum primi omnium, causam indicans qua C servatus æger fuerit, vel interierit, quemadmodum in anginosa hac duo sunt characteres, alter quidem qui primus omnium sequitur, qui per medium rectam lineam habens scriptus est π; atque ab hoc deinceps alius atque alius. Itaque qui primus omnium sequitur, cujus medium obtinet linea, elementum est δ habens à media quæ deorsum est linea sui ipsius lineam alteram rectam ad imas partes actam, ut ι scribimus. Sequens character est ε, littera. Ex his autem deinceps Zeno ait διαχωρημάτων ἐπίσχεσιν dejectionum retentionem significari, reflexo δ D ad inferas partes, quovis modo dejecta significante. Etenim ipsum ait sudoris esse signum, non solùm urinarum vel dejectionum. ε, vero ἐποχὴν vel ἐπίσχεσιν ipsarum *retentionem aut suppressionem*, utrovis modo appellare volueris, ut tota signorum intelligentia talis sit; credibile est dejectionibus retentis octavo die interiisse cynanchicam. Demiror itaque (ut dixi quum accuratiora exemplaria quintum diem habeant, consentiente huic scripturæ etiam ipsa litera ε, (ut paulo ante demonstravi) & ipsum Zenonem octavum diem scriptum agnoscere, & contra- E dicentes ipsi nonnullos de hac re quidem nihil dixisse: sed de characteribus ipsum redarguere, quod secundam litteram permutaverit ac δ reflexum fecerit, non ita habente in tertio epidemiorum scriptura, sed post primum characterem ρ, scriptum, quemadmodum illi loquuntur. Sed jam hîc residuum longa quædam verborum irrepit multitudo: Existimabit enim quidam revera ab Hippocrate adjectos ægris characteras, si qui contradicunt Zenoni τὸ ρ asserant scriptum esse, non deorsum reflexum δ; at siquis legerit Libros contradicentium Zeno- F ni qui neque Hippocratis dicunt esse characteras, librumque aliquem repertum Ptolemæi Evergetis appellati, qui collectos ipsos haberet à quodam Medico Pamphilo genere, & civitate Indica, sed de Cleophantii sectâ; quos ab eo dissidere secum censuerunt qui Zenoni contradicunt, neque Hippocratis esse, neque ita scriptos characteras, ut ipse exposuit. Itaque mihi videntur, & huc usque enunciata supervacanea esse, nihilque lecturis emolumenti ad


A artis opera allatura, ad quæ eum studio properare oportet qui huic addictus est. At quoniam quod ipsi scripti essent, visum est amicis (quibus credens, in primo libro confutationes quasdam scripsi eorum quæ pravè in ægris exposuerunt) ut aliquid dicerem & de his characteribus semel in hoc libro; quod ut facerem animum induxi, non ignorans quod perpetuo dico, quæ à recentioribus Medicis in Commentariis scripta sunt; tempus quidem nobis consumere, medicinale vero docere nihil, propter quos & ego medicos tractatus seorsum per se feci. B Quos vero adversus Sophistas paravi, quoniam & his recentiores indigere video qui ab ipsis pervertuntur; hos ipsos etiamnum per se, ut si quis ex abundantia occasionem nactus fuerit, ipsos evoluat, ut adversus sophistas hostes paratus sit. Sic igitur & nunc quum res sit inutilis ad probè medendum ex his prodit characteribus, non tamen cunctabor totum percurrere, quandoquidem amicis ita placuit. At pudore erubescerem ad ejusmodi nugas deflecti, nisi prius in multis operibus omnia quæ ad C Medicam artem spectant utilia persequutus: ita ad Hippocraticorum Librorum explanationes venirem; id quidem discere possunt, qui artem discunt absque his quæ in Medicis tractationibus per decursum manifestè scripsi, ut qui mente obtusi sunt, quæ dicuntur assequi possint; narrationis vero cognitionem obtinebunt, quâ plerique hominum demirantur interdum quosdam ex his qui artes tractant, existimantes eos qui multa legerunt, multaque retinuerunt statim & artis præcepta dignoscere. Nunc itaque etiam dicturus sum omnem de characteribus historiam, quoniam hoc & amiD cis & familiaribus melius esse videtur, ut semel hic fiat. Quæ itaque sum dicturus à Zeuxide dicta sunt primo hunc in Librum Commentario, ac fortassis præstiterat (quemadmodum in talibus facere consueui) qui hanc historiam nosse desiderant, eos ad illum Librum remittere. Verùm quia Zeuxidis Commentarii non amplius æstimati rarescunt, ob id me ipsos explicare voluerunt, ducto historiæ à Mnemone exordio: Nam nonnulli quidem aiunt ipsum accepisse tertiam Epidemiorum ex magna Alexandriæ bibliotheca ut legendum & hos E characteras similibus tum atramento tum literis explicandos interseruisse; nonnulli vero & ipsum ex Pamphylia asportasse, & regem Ægypti Ptolemæum ita Librorum ambitiosum fuisse, ut appellentium omnium Libros ad se deferri juberet, & hos in novas chartas scriberet, daretque scriptos dominis, à quibus appulsis libri ad ipsum asportati essent, & nave advectos libros in bibliothecis reponeret, essentque ipsis inscriptiones, Libri ex navibus. Unum autem aliquem aiunt repertum, etiam tertium Epidemiorum inscriptum. Ex navibus juxta emendaF torem Mnemona Siditem. Nonnulli denique non juxta emendatorem inscriptum aiunt, sed simpliciter nomine Mnemonis; quoniam & aliorum omnium, qui una cum libris nave advecti sunt, regii ministri nomen inscribebant libris in apotheticis reconditis. Non enim statim in bibliothecas ipsos ferebant, sed prius in domibus quibusdam cumulatim deponebant. Quod autem Ptolomæus ille ad antiquorum librorum

ὀνίναι τοὺς ἀναγνωσομένους εἰς τὰ τῆς τέχνης ἔργα, πρὸς ἃ σπουδάζειν δεῖ τὸν ἀσκούμενον ἐν αὐτῇ. ἀλλ' ἐπειδὴ γραφομένων αὐτῶν, ἔδοξε τοῖς φίλοις, οἷς πεισθεὶς κατὰ τὸ πρῶτον βιβλίον, ἐλέγχους τινὰς ἔγραψα τῶν μοχθηρῶς ἐξηγησαμένων τὰ κατὰ τοὺς ἀρρώστους, εἰπεῖν τί με καὶ περὶ τῶν χαρακτήρων τούτων ἅπαξ ἐν τῷδε τῷ βιβλίῳ, καὶ τοῦθ' ὑπέμεινα πρᾶξαι γινώσκων, ὅπερ ἀεὶ λέγω, τὰ ὑπὸ τῶν νεωτέρων ἰατρῶν ἐν ὑπομνήμασι γεγραμμένα, ἀπολλύντα μὲν ἡμῶν τὸν χρόνον, ἰατρικὸν δ' οὐδὲν διδάσκοντα, δι' οὓς, κἀγὼ τὰς μὲν ἰατρικὰς πραγματείας ἰδίᾳ καθ' ἑαυτὰς ἐποιησάμην. τὰς δὲ πρὸς τοὺς σοφιστάς, ἐπειδὴ καὶ τούτων ὁρῶ δεομένους τοὺς νέους, ὅσοι διαστρέφονται πρὸς αὐτῶν, αὐτὰς καθ' ἑαυτὰς πάλιν καὶ ταύτας, ἵν' εἴ τις ἔχῃ χρόνον ἐκ περιουσίας ἐντυγχάνειν αὐταῖς, ὡς πρὸς πολεμίους εἴη παρεσκευασμένος τοὺς σοφιστάς. οὕτως οὖν καὶ νῦν ἄχρηστον πρᾶγμα πρὸς τὸ καλῶς ἰᾶσθαι, τὸ κατὰ τοὺς χαρακτῆρας τούτους ὑπάρχον, ὅμως οὐκ ὀκνήσω διελθεῖν ἅπαν, ἐπειδὴ τοῖς φίλοις οὕτως ἔδοξεν. ᾐσχυνόμην δ' ἂν εἰς τοιαύτην φλυαρίαν ἐκτρεπόμενος, εἰ μὴ πρότερον ἐν πολλαῖς πραγματείαις ἅπαντα τῆς ἰατρικῆς τέχνης τὰ χρήσιμα διῆλθον, οὕτως ἧκον ἐπὶ τὰς τῶν Ἱπποκρατείων βιβλίων ἐξηγήσεις, ἐν αἷς ἐπιμαθεῖν μὲν οὐδὲν ἔχουσιν οἱ μανθάνοντες τὴν τέχνην, ἔξωθεν ὧν ἐν ταῖς ἰατρικαῖς πραγματείαις ἔγραψα κατὰ διέξοδον σαφῶς, ὡς καὶ τοὺς ἀμβλεῖς τὴν διάνοιαν ἕπεσθαι τοῖς λεγομένοις. ἱστορίας δὲ γνῶσιν ἕξουσιν, ἀφ' ἧς οἱ πολλοὶ τῶν ἀνθρώπων θαυμάζουσιν ἐνίοτε τῶν τὰς τέχνας μεταχειριζομένων τινάς, οἰόμενοι τοὺς πολυΐστορας, καὶ πολυμνήμονας ἀνθρώπους, εὐθὺς καὶ τὰ τῆς τέχνης διαγινώσκειν θεωρήματα. καὶ νῦν οὖν ἐρῶ τὴν περὶ τῶν χαρακτήρων ἱστορίαν ἅπασαν, ἐπεὶ δὲ τοῦτο δοκεῖ τοῖς τε φίλοις, καὶ τοῖς ἑταίροις ἅπαξ ἐνθάδε γενέσθαι βέλτιον εἶναι. λέλεκται μὲν οὖν ἃ μέλλω λέγειν ὑπὸ Ζεύξιδος ἐν τῷ πρώτῳ τῶν εἰς τὸ προκείμενον βιβλίον ὑπομνημάτων, καὶ ἦν ἴσως ἄμεινον, ὥσπερ εἴωθα ποιεῖν ἐν τοῖς τοιούτοις, ἀναπέμψαι τοὺς βουλομένους τὴν ἱστορίαν ταύτην γνῶναι πρὸς ἐκεῖνο τὸ βιβλίον, ἀλλ' ἐπειδὴ τὰ τοῦ Ζεύξιδος ὑπομνήματα μηκέτι σπουδαζόμενα, σπανίζει, διὰ τοῦτ' ἠξιώθην ἐμὲ διελθεῖν αὐτά, τὴν ἀρχὴν ἀπὸ τοῦ Μνήμονος ποιησάμενον αὐτῆς. ἔνιοι μὲν γάρ φασιν αὐτὸν λαβόντα τὸ τρίτον τῶν ἐπιδημιῶν ἐκ τῆς ἐν Ἀλεξανδρείᾳ μεγάλης βιβλιοθήκης, ὡς ἀναγνωσόμενον, ἀποδοῦναι, παρεγγράψαντα ἐν αὐτῷ καὶ μέλανι, καὶ γράμμασι παραπλησίοις τοὺς χαρακτῆρας τούτους. ἔνιοι δὲ καὶ αὐτὸν ἐκ Παμφυλίας κεκομικέναι, καὶ φιλότιμον περὶ βιβλία τόντε βασιλέα τῆς Αἰγύπτου Πτολεμαῖον οὕτω γενέσθαι φασίν, ὡς καὶ τῶν καταπλεόντων ἁπάντων τὰ βιβλία κελεῦσαι πρὸς αὐτὸν κομίζεσθαι, καὶ ταῦτα εἰς καινοὺς χάρτας γράφοντα, διδόναι μὲν τὰ γραφέντα τοῖς δεσπόταις, ὧν καταπλευσάντων, ἐκομίσθησαν αἱ βίβλοι πρὸς αὐτόν, εἰς δὲ τὰς βιβλιοθήκας ἀποτίθεσθαι τὰ κομισθέντα, καὶ εἶναι τὰς ἐπιγραφὰς αὐτοῖς τῶν ἐκ πλοίων. ἓν δέ τι τοιοῦτόν φασιν εὑρεθῆναι, καὶ τὸ τρίτον τῶν ἐπιδημιῶν ἐπιγεγραμμένον, τῶν ἐκ πλοίων κατὰ διορθωτὴν Μνήμονα Σιδίτην, ἔνιοι δ' οὐ κατὰ διορθωτὴν ἐπιγεγράφθαι φασίν, ἀλλ' ἁπλῶς τοὔνομα τοῦ Μνήμονος. ἐπειδὴ καὶ τῶν ἄλλων ἁπάντων τῶν καταπλευσάντων ἅμα βίβλοις, ἐπέγραφον οἱ τοῦ βασιλέως ὑπηρέται τὸ ὄνομα τοῖς ἀποτιθεμένοις εἰς τὰς ἀποθήκας. οὐ γὰρ εὐθέως εἰς τὰς βιβλιοθήκας αὐτὰ φέρειν, ἀλλὰ πρότερον ἐν οἴκοις τισὶ κατατίθεσθαι σωρηδόν. ὅτι δ' οὕτως ἐσπούδαζε περὶ τὴν τῶν παλαιῶν βιβλίων κτῆσιν ὁ Πτολεμαῖος

ἐκεῖνος, οὐ μικρὸν εἶναι μαρτύριόν φασιν, ὃ πρὸς Ἀθηναίους ἔπραξε. δοὺς γὰρ αὐτοῖς ἐνέχυρα πεντεκαίδεκα τάλαντα ἀργυρίου, καὶ λαβὼν τὰ Σοφοκλέους, καὶ Εὐριπίδου, καὶ Αἰσχύλου βιβλία χάριν τοῦ γράψαι μόνον ἐξ αὐτῶν, εἶτ' εὐθέως ἀποδοῦναι σῶα, κατασκευάσας πολυτελῶς ἐν χάρταις καλλίστοις, ἃ μὲν ἔλαβε παρὰ Ἀθηναίων, κατέσχεν. ἃ δ' αὐτὸς κατεσκεύασεν, ἔπεμψεν αὐτοῖς, παρακαλῶν ἔχειν τε τὰ πεντεκαίδεκα τάλαντα, καὶ λαβεῖν ἀνθ' ὧν ἔδοσαν βιβλίων παλαιῶν, τὰ καινά. τοῖς μὲν οὖν Ἀθηναίοις, εἰ καὶ μὴ καινὰς ἐπεπόμφει βίβλους, ἀλλὰ κατεσχήκει τὰς παλαιάς, οὐδὲν ἦν ἄλλο ποιεῖν, εἰληφόσι γε τὸ ἀργύριον ἐπὶ συνθήκαις τοιαύταις, ὡς αὐτοὺς κατασχεῖν, εἰ κἀκεῖνος κατάσχοι τὰ βιβλία, καὶ διὰ τοῦτ' ἔλαβόν τε καὶ καινὰ, καὶ κατέσχον, καὶ τὸ ἀργύριον. ὁ δ' οὖν Μνήμων, εἴτ' αὐτὸς ἐκόμισε τὸ βιβλίον, εἴτε λαβὼν ἐκ τῆς βιβλιοθήκης παρενέγραψε, φαίνεται πράξας ἕνεκα χρηματισμοῦ τοῦτο. μόνον γὰρ ἐπίστασθαι λέγων ἑαυτὸν ἃ δηλοῦσιν οἱ χαρακτῆρες, μισθὸν τῆς ἐξηγήσεως αὐτῶν εἰσεπράττετο, καὶ εἴπερ τοῦθ' οὕτως ἔχει, πιθανώτερόν ἐστι τὸ κατὰ τὴν βιβλιοθήκην ἀποκείμενον ὑπ' αὐτοῦ διεσκευάσθαι. πολὺ γὰρ ἀξιοπιστότερον ἔμελλεν αὐτοῦ τὸ τῆς ἐξηγήσεως ἔσεσθαι, τῆς βασιλικῆς βιβλιοθήκης ἐχούσης τοὺς χαρακτῆρας. ὕποπτος δ' ἂν ἦν, εἰ αὐτὸς ἐκκεκομίκει τὸ βιβλίον οἴκοθεν. οὐκ ὀκνοίην δ' ἂν οὐδὲ τὰς ὑφ' Ἡρακλείδου τοῦ Ταραντίνου τε καὶ τοῦ Ἐρυθραίου γεγραμμένας ἀποδείξεις τοῦ παρεγγεγράφθαι τοὺς χαρακτῆρας εἰπεῖν, εἰ μή γε τοῖς νοῦν ἔχουσι πρόδηλον ἐνόμιζον εἶναι τοῦτο, καὶ θᾶττον ἔσπευδον ἀπαλλαγῆναι τῆς τοιαύτης πολυλογίας. ἐπάνειμι τοίνυν ἐπὶ τὸ χρήσιμον, οὗπερ ἕνεκα καὶ τὴν τῶν ἀρρώστων τούτων ἱστορίαν ἀναλεγόμεθα. γελοῖον γάρ ἐστι διὰ τοῦτ' ἀποθανεῖν νομίζειν τὸν ἄνθρωπον, ὅτι τῶν διαχωρημάτων ἐπίσχεσις ἐγένετο. οὐ γὰρ δὴ διὰ τὴν ἐπίσχεσιν ἀπέθανεν, ἀλλ' ὅτι συνέβαινεν αὐτῇ, διὰ τοῦτ' ἐπέχεσθαι τὰ διαχωρούμενα, νεκρουμένων τῶν κατὰ φύσιν ἐνεργειῶν. οὐ γὰρ διότι ψυχρὰ καὶ πελιδνὰ τὰ ἄκρεα κατὰ τὴν τρίτην ἡμέραν ἐγένετο, διὰ τοῦτ' ἀπέθανεν, ἀλλὰ διότι ἀπέθνησκεν, ἐνεκροῦτο καὶ ταῦτα. καὶ αὐτὸς δ' ὁ Ἱπποκράτης ὥσπερ μαντευσάμενος, ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως προσέγραψεν, ἀπέθανε κυναγχική. καίτοι προειρηκὼς εὐθὺς ἐν ἀρχῇ, ἡ κυναγχικὴ παρὰ Βίτωνος. ἀλλ' ἡ κατὰ τὸ τέλος προσθήκη, τοιαύτην τινὰ ἔχει τὴν ἔνδειξιν ἀπέθανεν ἡ ἄνθρωπος αὕτη διὰ τὴν κυνάγχην. οὕτως γοῦν ἔγραψε κἂν τῷ προγνωστικῷ, περὶ τῶν ὀλεθρίων κυναγχῶν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖον, καὶ τριταῖον. εἰκὸς οὖν καὶ τὴν προκειμένην ἐν τῷ λόγῳ γυναῖκα, διὰ τοῦτο ἀποθανεῖν τριταίαν, ἡνίκα καὶ τὰ ἄκρεα πελιδνά, καὶ ψυχρά, καὶ τῶν διαχωρημάτων ἐπίσχεσις ἐγένετο, ὥστ' εἰκάζειν χρὴ τὴν δύναμιν αὐτῆς ἰσχυρὰν οὖσαν ἐξαρκέσαι μέχρι τῆς ε. ἡμέρας. τὸ δ' ἄχρι τῆς ὀγδόης, ἀδύνατον· ἀλλὰ μέχρι μὲν τούτων ἅλις, ἐννοήσας δέ τις, ὡς εἴθ' Ἱπποκράτης αὐτὸς ἐνεκεχείριστο τὴν θεραπείαν τῆς γυναικὸς ταύτης, εἴ τε συνεπισκέπτετο τῷ θεραπεύοντι, πάντως ἂν εἰ καὶ μηδὲν ἄλλο, καταπλασμάτιον γοῦν ἐπέθηκεν, ἢ διακλυσμάτιον ἔδωκεν αὐτῇ. πεισθήσεται γοῦν παραλελεῖφθαι κατὰ τὴν διήγησιν, τά τ' ἄλλα βοηθήματα προσαχθέντα ἐν τῇ νοσούσῃ, καὶ τὴν φλεβοτομίαν. μόνον δὲ κλυστῆρα καὶ βαλάνου πρόσθεσιν οὐ προηγουμένως, ἀλλὰ κατὰ τὸ πάρεργον γεγράφθαι. διηγούμενος γὰρ τά τ' οὐρούμενα, καὶ ἐμούμενα, καὶ τὰ διαχωρούμενα κατὰ γαστέρα, προσγράφων

A comparationem ita sollicitus esset, non parvum esse testimonium aiunt, quod cum Atheniensibus fecit. Dato nanque ipsis pignore quindecim talentorum argenti accepit Sophoclis, Euripidis, & Æschyli libros, ut solum scriberet, deinde statim salvos redderet. Ubi autem magnifice in chartis optimis paravit, quos ab Atheniensibus acceperat, retinuit; quos vero ipse paraverat, ad ipsos misit, negans ut quindecim talenta tenerent, acciperentqve pro veteribus quos libris novos dedissent. Atheniēsibus itaque
B si quoque non novos libros misisset, antiquos vero retinuisset, nihil aliud faciendum erat istis, qui utique argentum ex tali conditione acceperant, ut hoc ipsi detinerent, si ille quoque libros detineret; proptereaque novos libros acceperunt, & argentum detinuerunt. Mnemon igitur sive librum ipse asportaverit, sive ex bibliotheca accepto interseruerit, quæstus gratia id fecisse videtur. Solùm enim seipsum scire asserens quæ charactereas significant, lucrum ex ipsorum explanatione faciebat. Quod si ita esset, probabilius est librum in bibliotheca repositum,
C ab ipso adornatum esse: Longè siquidem majorem erat habitura fidem ipsius explanatio, bibliotheca regia characteras habente. Si autem librum è domo asportasset, suspectus fuisset. Scriptas ab Heraclio tum Tarentino tum Erythræo demonstrationes referre non dubitarem, quod interserti characteres essent, nisi mentem habentibus hoc compertum esse existimarem, & à tali multiloquio celeriter liberari properarem. Ad utile itaque redeo, cujus gratia & horum ægrorum historiam ad memoriam revocamus. Ridiculum siquidem est existimare homi-
D nem ob id interiisse, quod dejectionum retentio facta fuisset: Non enim propter retentionem obiit; sed quod ipsi acciderit dejectiones ea re detineri tendentibus ad interitum naturalibus functionibus. Non enim quia extrema frigidà & livida tertio die fuerant, propterea defunctus est, sed quod interiret, hæcque mortua fierent. Atque ipse Hippocrates tanquam vaticinatus ad enarrationis finem ascripsit, obiit anginosa, etiamsi statim ab initio prædixisset; Quæ anginosa apud Bitonem decumbebat, verum ad hunc finem adjectio quandam habet de-
E monstrationem, hæc mulier ob anginam mortua est. Scripsit autem ita in prognostico de perniciosis anginis; Ipsæ nanque eodem die suffocant, & secundo & tertio. Par erat igitur & propositam hac in oratione mulierem propterea tertio die mortem obire, quum extrema frigida & livida essent, ac dejectionum retentio fieret. Quapropter conjiciendum est vires ipsius validas ad quintum usque diem permansisse; ut autem ad octavum suffecissent, fieri non potuit. Sed de his quidem satis. Quisque vero intellexerit, quod sive Hippocrates hujus mulieris
F curationem susceperit, sive una cum curante consideraverit, prorsus etsi nihil aliud, sane parvum cataplasma imposuit, aut diaclysma ipsi dedit. Probabile itaque erit prætermissa esse in narratione reliqua auxilia in ægrotante adhibita, venæque sectionem, solum autem clysterem, & balani impositionem non imprimis, cæterum obiter scripta esse: Quum enim & quæ meiuntur, & quæ vomuntur, & quæ per aluum dejiciuntur, adjungitque præterea ipsam suppressionem,

pressionem, unde nihil æger excernebat per A se, in his unà cum excretorum qualitate, obiter glandis & parvi clysteris usum adjecit.




QUID SINGULI CHARACTERES significent.

πι, υ, ϑ, α, γ, δ, ε, ζ, ϑ, ι, μ, ν, ξρ, ȣ, ϖ, B πι, ρ, φ, σ, τ, υ, χ, ψ, ω.

Equidem jam statueram me prorsus ab importuna de characteribus loquacitate discedere; sed quoniam amici plures orationem integram absolui desiderant; atque multa pars harum nugarum jam à me peracta est, reliquum adjicere non morabor. Itaque decreveram, prout consuevi, sermones nihil ad artem conferentes seorsum scribere; sic & huic rei Librum unum per se scriptum tribuere, ut qui in tali- C bus inaniter laborare vellent, nugis inutilibus operam darent. At quoniam secundum hunc Commentarium jam prævenisse, & effatu dignam prolixitatem accepisse video, ut amplius non possim in ipso reliquos ægros explicare, & pestilentem statum ab ipsis scriptum addere; non tamen status explicationem distrahere velim, ut pars quidem ipsius hoc in Commentario scripta sit, reliqua vero in sequenti; ob id & sermones de characteribus in hoc completurus sum, circuncisa harum nugarum multitudine. Nam si quæcunque D dicta sunt ab horum characterum scriptoribus, in inquisitionem agam, & quæ recte dicta sunt, & quæ aliter, dijudicavero, non unum ad hoc Librum desideraturus. Præcedit igitur (ut dixi) omnes qui mediam lineam habet πι πιθανὸν *probabile*, perpetuo indicans. Qui vero character finem facit, litera vel υ, vel ϑ, scripta videtur. Illa quidem ὑγείαν hoc est, sanitatem, hæc vero θάνατον id est, mortem significat. Ante hos autem characteras ponitur dierum numerus, in quibus æger aut laboravit, aut interiit. Medii E characteres omnes quidem sunt ex litteris quas vocis elementa significant, præter δ deorsum reflexum. Quam autem intelligentiam singuli sortiantur, ostendam. Nos igitur memores, literas ante characterum ultimum (à quo salutem aut mortem significari diximus) descriptas, dierum numerum notare, de cæteris quibusdam inter has & principium scriptis verba facturi sumus. α quidem ἀποφθορὰν ἢ ἀπώλειαν corruptionem aut interitum prodit, γ vero urinam genituræ similem. δ, reflexum cujusmodi est quod deorsum hoc modo scriptum habeat δ, F ἱδρῶτα καὶ διάῤῥοιαν; καὶ διαφόρησιν, sudorem, diarrhœam, & discussionem, & (ut summatim dicam) evacuationem quancunque significare velint. ε autem ἐποχὴν hoc est, retentionem indicat, aut sedem, ἕδραν ζ vero ζήτημα *quæstionem*. ϑ. θάνατον mortem, ut prædictum est. ι, ἱδρῶτα *sudorem*. κ κρίσιν iudicationem, aut *cæliacam affectionem*. μ μανίαν, insaniam, aut μήτραν uterum. ν νεότητα vel νέκρωσιν *juventutem, vel internecionem*. ξ vero ξανθὴν χολὴν *flavā bilem*; ξένον τι, καὶ παλαιόν, καὶ

ἢ καὶ τὴν ἐπίσχεσιν αὐτὴν, ἐφ' ὧν οὐδὲν ἀπέκρινεν αὐτόματος ὁ κάμνων, ἐπὶ τούτων ἐν παρέργῳ προσέγραψε μετὰ τῆς ποιότητος τῶν ἐκκριθέντων, τότ' ἀπὸ βαλάνου καὶ ἀπὸ κλυσματίου.



ΤΙ ΔΗΛΟΙ ΤΩΝ ΧΑΡΑΚΤΗΡΩΝ ἕκαστος.

Ἐγὼ μὲν ἀπαλλάττεσθαι τελέως ἠβουλόμην ἤδη τῆς περὶ τῆς χαρακτήρας ἀδολεσχίας. ἐπεὶ δὲ καὶ τῶν ἑταίρων πολλοὶ συντελεσθῆναι τὸν λόγον ἅπαντα ποθοῦσιν, ἐμοί τε πολὺ μέρος τῆς φλυαρίας ἤδη ταύτης ἀνύουσαι, προσθεῖναι τὸ κατάλοιπον οὐκ ὀκνήσω. προῃρούμην μὲν οὖν, ὥσπερ εἴωθα, τοὺς μηδὲν συντελοῦντας εἰς τὴν τέχνην λόγους ἰδίᾳ γράφειν, οὕτω καὶ τούτῳ βιβλίον ἓν ἀναθεῖναι κατὰ μόνας γεγραμμένον, ἵν' ἔχοιεν οἱ καὶ τοιαῦτα περιεργάζεσθαι βουλόμενοι, σχολάζειν ἀχρήστοις φλυαρίαις· ἐπεὶ δ' ὁρῶ προεληλυθὸς ἤδη τὸ δεύτερον ὑπόμνημα τοῦτο, καὶ μῆκος ἀξιόλογον εἰληφὸς, ὡς μὴ δύνασθαι μηκέτι κατ' αὐτὸ τοὺς θ. ὑπολοίπους ἀῤῥώστους ἐξηγήσασθαι, καὶ προσθεῖναι τὴν λοιμώδη κατάστασιν ἐφεξῆς γεγραμμένην αὐτῶν, οὐ μὴν οὐδὲ διασπᾶται βούλομαι τὴν τῆς καταστάσεως ἐξήγησιν, ὡς μέρος μὲν αὐτῆς κατὰ τοῦτο γεγράφθαι τὸ ὑπόμνημα, τὸ δ' ὑπόλοιπον ἐν τῷ μετ' αὐτό· διὰ τοῦτο καὶ τὸν περὶ χαρακτήρων λόγον ἐν τῷδε συμπληρώσω, περιελὼν καὶ τούτων τὸν πολὺν λῆρον· εἰ γὰρ ὅσα λέλεκται τοῖς γράψασι περὶ τῶν χαρακτήρων τούτων, εἰς ἐξέτασιν ἄγων καὶ διακρίνων, τά τ' ὀρθῶς εἰρημένα, καὶ τὰ μὴ τοιοῦτος, οὐχ ἑνὸς εἰς τοῦτο δεήσομαι βιβλίου. ἡγεῖται μὲν οὖν, ὡς ἔφην, ἁπάντων τὸ τὴν διὰ μέσου γραμμὴν ἔχον πι. σημαῖνον ἀεὶ τὸ πιθανόν. τελευταῖον δ' ἤτοι τὸ υ. γράμμα φαίνεται γεγραμμένον, ἢ τὸ θ. τὸ μὲν ὑγείαν, τὸ δὲ θάνατον σημαῖνον. ἔμπροσθεν δ' αὐτῶν ὁ τῶν ἡμερῶν ἀριθμὸς, ἐν αἷς ἐνόσησεν ἢ ἀπέθανεν ὁ κάμνων. οἱ δ' ἐν τῷ μεταξὺ τούτων χαρακτῆρες, ἅπαντες μέν εἰσι διὰ τῶν γραμμάτων, ἃ σημαίνει τὰ στοιχεῖα τῆς φωνῆς, πλὴν τοῦ κάτωθεν ἀπεστιγμένου δέλτα, ἥντινα δὲ διάνοιαν ἕκαστος αὐτῶν ἔχει, δηλώσω. μεμνημένων οὖν ἡμῶν, ὅτι τὰ πρὸ τοῦ τελευταίου τῶν χαρακτήρων ὑφ' οὗ θάνατον, ἢ ὑγείαν ἔφαμεν δηλοῦσθαι γεγραμμένα, τὸν ἀριθμὸν τῶν ἡμερῶν σημαίνει, περὶ τῶν ἄλλων ὅσα μεταξὺ τούτων τε καὶ τῆς ἀρχῆς γέγραπται, ποιήσομαι τὸν λόγον· τὸ μὲν α. δηλοῖ ἀποφθορὰν, ἀπώλειαν, τὸ δὲ γ. γονοειδὲς οὖρον. τὸ δ. ἀπεστιγμένον, οἷόν περ ἐστὶν ἃ κάτωθεν ἔχει ἔσω τοιᾶδε γεγραμμένον δ. διαχωρούμενα δι' ἱδρώτων, καὶ διάῤῥοιαν, καὶ διαφόρησιν, καὶ συνελόντι φάναι κένωσιν ἥντινα οὖν σημαίνειν βούλονται. τὸ δὲ ε. ἐποχὴν, ἕδραν. τὸ δὲ ζ. ζήτημα. τὸ δὲ θ. θάνατον, ὡς προείρηται. τὸ δὲ ι. ἱδρῶτα. τὸ δὲ κ. κρίσιν, ἢ κοιλιακὴν διάθεσιν. τὸ δὲ μ. μανίαν, ἢ μήτραν. τὸ δὲ ν. νεότητα, καὶ νέκρωσιν. τὸ δὲ ξ. ξανθὴν χολὴν, καὶ ξένον τι,

καὶ σπάνιον, καὶ ξυσμὸν, καὶ ξηρότητα. τὸ δὲ ο. ὀδύνας, ἢ οὖρον. ἔνιοι δέ φασιν ὅταν ἐπικείμενον ἄνωθεν ἔχῃ τὸ υ. τότε σημαίνειν τὸ οὖρον αὐτὸ, γραφόμενον ὡς εἰώθασιν τὸ οὕτως γράφειν. τὸ δὲ π. πλῆθος, ἢ πτύελον, ἢ πυρὸν, ἢ πυρετὸν, ἢ πνεύμονος πάθος. τὸ π δὲ ἐν αὐτῷ μέσον ἔχον τὸ ι. καθότι προείρηται, τὸ πιθανὸν δηλοῖ. τὸ δὲ ρ. ῥύσιν, ἢ ῥῖγος. τὸ δὲ φ. φρενῖτιν, ἢ φθίσιν. τὸ δὲ σ. σπασμὸν ἢ στομάχου κάκωσιν, ἢ στόματος. τὸ δὲ τ. τόκον. τὸ δὲ υ. ὑγείαν, ἢ ὑποχόνδριον. τὸ δὲ χ. χολὴν, ἢ χολώδεις. τὸ δὲ ψ. ψύξιν. τὸ δὲ ω. ὠμότητα.

A ξυσμὸν, καὶ ξηρότητα, peregrinum aliquid, rarum, ramentum, & siccitatem. ο autem dolores vel urinam. Nonnulli aiunt quum suprapositum υ habuerit, urinam tunc ipsum scriptum significare, ut ita υ scribere consueverunt. π vero πλῆθος, ἢ πτύελον, ἢ πυρὸν, ἢ πυρετὸν, ἢ πνεύμονος πάθος plenitudinem, vel sputum, vel triticum, vel febrem, vel pulmonis affectum. π verò in medio habens ι (ut prædictum est) πιθανὸν *credibile* notat; ρ ῥύσιν ἢ ῥῖγος *fluxionē* vel *rigorem* τὸ δὲ φ. φρενῖτιν ἢ φθίσιν phrenitidē vel phthisin; σ σπασμὸν vel στομάχου κάκωσιν ἢ στόματος convulsionem, vel stomachi B aut oris malum; τ vero τόκον partum; υ autem ὑγείαν sanitatem, vel ὑποχόνδριον hypochondrium; χ χολὴν vel χολώδεις bilem vel biliosum; ψ, ψύξιν frigus, ω denique ὠμότητα cruditatem.

Τὸ μειράκιον ἐκ κόπων, καὶ πόνων, καὶ δρόμων ὑπὸ ὀξέος πυρετοῦ ἐπιληφθὲν, ποικίλοις καὶ ὀλεθρίοις ξυσχεθὲν συμπτώμασι τῇ ἑβδόμῃ τεθνάναι.

Adolescentem ex lassitudinibus, laboribus, & cursibus acuta febre correptum variis ac perniciosis symptomatis vexatum die septimo interiisse.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ έ.

ΑΡΡΩΣΤΟΣ ή.

Τὸ μειράκιον ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, πῦρ ἔλαβεν ἐκ κόπων, καὶ πόνων, καὶ δρόμων, παρὰ τὸ ἔθος. τῇ πρώτῃ, κοιλίη ταραχώδης, χολώδεσι πολλοῖσι λεπτοῖσι, οὖρα λεπτὰ, ὑπομέλανα, οὐχ ὕπνωσε, διψώδης. δευτέρῃ πάντα παρωξύνθη, διαχωρήματα πλείω, ἀκαιρότερα, οὐχ ὕπνωσε, τὰ τῆς γνώμης ταραχώδεα, σμικρὰ ἐφίδρωσε. τρίτῃ δυσφόρως, διψώδης, ἀσώδης, πολὺς βληστρισμὸς, ἀπορίη, παρέκρουσεν, ἄκρεα πελιὰ, καὶ ψυχρὰ ὑποχονδρίου ἔντασις, ὑπολάπαρος ἐξ ἀμφοτέρων. τετάρτῃ οὐχ ὕπνωσεν, ἐπὶ δὲ χεῖρον. ἑβδόμῃ ἀπέθανεν, ἡλικίη περὶ ἔτεα πι. ζ. θ.

HIPPOCRATIS TEXTUS V.

ÆGROTUS OCTAVUS.

Qui adolescens in Mendacium foro decumbebat, eum ex lassitudinibus, laboribus, ac cursibus præter consuetudinem ignis prehendit. Primo die alvus turbulenta biliosis, copiosis, tenuibus; urinæ tenues, subnigræ; non dormivit; sitibundus. Secundo omnia exacerbata sunt; dejectiones plures, importuniores, non dormivit, mentis perturbatio- D *nes, aliquantulum sudavit. Tertio molestè affectus, sitibundus, anxius, magna jactatio, angustia, extrema livida ac frigida, hypochondrii contensio submollis utrinque. Quarto non domivit, in deterius ruit. Septimo obiit, ætate annorum propè viginti.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄρξασθαι μὲν τὴν νόσον αὐτῷ φασὶν ἐκ κόπων ἐπ' ἀήθεσι γυμνασίοις γινομένων. ἴσμεν γὰρ ὅτι πόνους ὀνομάζει τὰ γυμνάσια, καθάπερ καὶ ὅτι κόπους τὴν διάθεσιν τοῦ σώματος, ἐφ' ἧς εἰ καὶ βραχύ τις κινοῖτο, τονώδης αἴσθησις, ἢ ἑλκώδης αὐτῷ γίγνεται. προσθεὶς δὲ τοῖς πόνοις τοὺς δρόμους, ἐκ περιττοῦ δοκεῖ προσγεγραφέναι τοὺς πόνους, περιέχονται γὰρ, ὡς γένος ἐν εἴδει, τοῖς δρόμοις· διό τινες ἀντὶ τοῦ πόνων, πότων ἔγραψαν, ὑπαλλάξαντες τὸ πρῶτον ν. τῆς δευτέρας συλλαβῆς εἰς τὸ τ. ἡ δ' ἐφεξῆς πᾶσα διήγησις τῶν συμβάντων τῷ μειρακίῳ, παράδειγμά ἐστιν ὀξέος νοσήματος, ἐν ἡλικίαις, καὶ μάλιστα τῶν νέων, γινομένου. τὰ μὲν οὖν ἄλλα συμπτώματα, τῆς κατὰ τὴν νόσον ὀξύτητός ἐστιν, ἐξ ὧν δὲ ἄν τις προγνοίη κίνδυνον ἢ θάνατον. ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν εἴρηται, τὰ ὑπομέλανα οὖρα, κατὰ δὲ τὴν δευτέραν, τὸ, σμικρὰ ἐφίδρου, κατὰ δὲ τὴν τρίτην, ὁ πολὺς βληστρισμός. ἐν ἁπάσαις δὲ ταῖς ἡμέραις, τὸ μηδ' ὅλως ὑπνῶσαι, ταυτὶ μὲν οὖν κινδυνώδη. τὰ δὲ ἄκρεα πελιὰ, ψυχρὰ γινόμενα, τῇ τρίτῃ τῶν ἡμερῶν ἐν ὀξεῖ πυρετῷ θανατώδες, καὶ μᾶλλον ἔτι, κατὰ τὴν ἡλικίαν ταύτην. γίνεται γὰρ ἤτοι διὰ μέγεθος ὑπερβάλλον τῆς ἐν τοῖς σπλάγχνοις φλεγμονῆς, ἢ σβεννυμένης τῆς ἐμφύτου θερμασίας. περὶ δὲ τῶν καθ' ὑποχόνδρια

GALENI COMMENTARIUS.

Incepisse quidem ipsi morbum ait ex lassitudinibus propter insuetas exercitationes E obortis. Scimus enim πόνους labores exercitationes eum vocare, quemadmodum etiam κόπους corporis affectus, in quibus etiamsi parum aliquis moveatur, tensivus vel ulcerosus ipsi sensus excitatur. Quia vero laboribus cursus addidit, superfluo labores adscripsisse videtur, qui cursibus ut genus in specie continetur. Ideo quidam pro πόνων πότων prolaboribus, potibus scripserunt ν, primum secundæ syllabæ in τ, mutato. Tota sequens enarratio eorum quæ adolescenti contigerint, ut exemplum est acuti morbi in ætatem maximè juvenum cadentis. Itaque cætera symptomata acuminis morbi F sunt. Unde vero quisque periculum vel mortem prænoverit primo quidem die dictum est urinæ subnigræ, & secundo aliquantulum sudavit, tertio die magna jactatio, omnibus autem diebus nihil prorsus dormivisse pronunciat. Hæc igitur periculosa; extrema partium livida, & frigida tertio die oborta, lethalia, atque etiamnum hac in ætate. Hoc autem fit aut propter excedentem magnitudinem phlegmones viscera obsidentis, aut caloris nativi extinctionem. De hypochondriorum autem con-

tensione submolli prius diximus Hippocratem tensionem citra tumorem per prolatam orationem indicare. Ostendit hujusmodi tensio nullum externorum corporum qui in abdomine sunt musculi, obsideri phlegmone, sed vel septum transversum, vel hepar, vel lienem, hæc nanque cum cæteris periculosa sunt. Mortis autem signum idoneum est extremarum partium tum livor, tum frigus tertio die in febre acuta vigesimo ætatis anno facta. Quapropter ad septimum usque diem suffecit adolescens. Atque fortassis aliam ob causam quod viribus esset natura validis non solum propter ætatem. Quæ itaque si quis ex hujus ægri historia ceperit, hæc sunt utilia. Quærere autem qua in civitate locus aliquis mendax vocetur, veluti Athenis astutorum aut Cercopum forum appellatum est, & quænam talia in singulis ægris nonnulli interpretes scripserunt, siquid in ipsis ad artis opera conferre viderem, non prætermitterem. Ὀξὺ *acutum*, in medio tum præscripti ægri, tum præscribendi scriptum est, assignari utrique valens, quod uterque acute ægrotasse videatur. Sed quoniam in præscripta ægra cynanchica ad finem adjectum est, aliisque nonnullis ægris ad explanationis finem quid tale adscriptum est, per quod historiæ utilitas appareat, rationi magis consentaneum ægro priori verbum ὀξὺ adscriptum esse. Forsan vero qui characteras adscripsit, hoc quoque adscripsit: sed paulopost decimo ordine in ægro de ita additis scripturis planè dicturus sum.

A ἐντάσεως ὑπολαμβάνω φθάνομεν εἰρηκότες, ὅτι τὴν χωρὶς ὄγκου τάσιν ὁ Ἱπποκράτης δηλοῖ, διὰ τῆς εἰρημένης λέξεως. ἐνδείκνυται δ' ἡ τοιαύτη τάσις τῶν μὲν ἔξω σωμάτων, ἃ περὶ οἱ κατ' ἐπιγάστριόν εἰσι μύες, οὐδὲν φλεγμαῖνον, ἤτοι δὲ τὰς φρένας, ἢ τὸ ἧπαρ, ἢ τὸν σπλῆνα. κινδυνώδη δὲ ταῦτα σὺν τοῖς ἄλλοις. τοῦ δὲ θανάτου σημεῖον, ἱκανὸν, ἡ πελίωσίς τε καὶ ψύξις τῶν ἄκρων ἐν τῇ τρίτῃ τῶν ἡμερῶν, ἐν ὀξεῖ πυρετῷ κατὰ τὴν εἰκοσαετῆ ἡλικίαν γενόμενα. διὰ τοῦτο δὲ, καὶ μέχρι τῆς ἑβδόμης ἡμέρας ἐξήρκεσεν ὁ νεανίας. ἴσως καὶ ἄλλως ἰσχυρὸς ὢν φύσει τὴν δύναμιν, οὐ μόνον διὰ τὴν B ἡλικίαν. ἃ μὲν οὖν ἄν τις ἐκ τῆς περὶ τὸν ἄρρωστον τοῦτον ἱστορίας λάβοι, χρήσιμα ταῦτ' ἐστί. τὸ δὲ ζητεῖν ἐν ποίᾳ πόλει καλεῖταί τι χωρίον ψευδὲς, καθάπερ Ἀθήνησιν ἡ τῶν Κερκώπων οὕτως ὠνόμασται, ὅσα τἄλλα τοιαῦτα καθ' ἕκαστον τῶν ἀρρώστων, ἔνιοι τῶν ἐξηγητῶν ἔγραψαν, οὐκ ἂν παρέβαινον εἴ τι χρήσιμον ἐν αὐτοῖς ἑώρων εἰς τὰ τῆς τέχνης ἔργα. ὀξὺ, τοῦτο γέγραπται μεταξὺ τοῦ προγεγραμμένου καὶ τοῦ μέλλοντος γραφήσεσθαι, δυνάμενον ἑκατέρῳ προσνέμεσθαι, φαινομένων γ' ἀμφοτέρων ὀξέως νενοσηκέναι. ἀλλ' ἐπεὶ καὶ κατὰ τὴν προγεγραμμένην ἄρρωστον τὴν κυναγχικὴν, ἐπὶ τῷ C τέλει πρόσκειται, ξ, καί τισιν ἄλλοις ἀρρώστοις ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως προσγέγραπταί τι τοιοῦτον, δι' οὗ τὸ χρήσιμον ἐμφαίνεται τῆς ἱστορίας, εὐλογώτερόν ἐστι τῷ προτέρῳ τῶν ἀρρώστων προσγεγράφθαι τὸ ὀξύ. τάχα δ' ὁ τοὺς χαρακτῆρας προσγράψας, καὶ τοῦτο προσέγραψε, καὶ μικρὸν ὕστερον ἐπὶ τοῦ δεκάτου κατὰ τὴν τάξιν ἀρρώστου, περὶ τῶν οὕτω προσγεγραμμένων εἰρήσεται τελέως.



DE ADJECTIS PRÆSCRIPTO ægro characteribus, Galenus.

Quia vero consultius esse auguror pestilentem statum ad tertium Commentarium servare, nonnulla prædictis adjiciam quæ apud Medicos in controversia versantur ex signis adolescentis enarrationi adscriptis die septimo morte perempti. Zeno nanque hos scripsit characteras, primum quidem omnium πι, lineam in medio rectam habens, *quod* πιθανοῦ *credibilis* perpetuo signum esse scriptum est. Secundum autem ξ, ac tertium ab ipso ζ, & quartum θ, πι, ξ, ζ, θ, ζ, itaque septimum diem significari; θ, vero θάνατον mortem: Sed hæc quidem in omnibus communia. Illud ξ, externum signum esse vult. Externum autem adolescenti fuisse ait in enarrationis principio ex lassitudinibus & cursibus præter consuetudinem ipsum in morbum incidisse. Quæ igitur adversus Zenonem pronunciata sunt de primo signo πι indicante, quoniam omnibus ægrotantibus existunt communia, paulo post, si videro adjiciam. Prius vero quæ in præsenti ægro privatim quæruntur, consideremus quod de re medica controversiam movisse videatur. Quum enim scripsisset (ut & antea narravi) primum Librum Zeno de characteribus, deinde alterum ipso majorem Apollonius Empiricus adversus ipsum scripsisset, mox postea rursum illi Zeno contradixisset, Apollonius cogno-



D

ΠΕΡΙ ΤΩΝ ΠΡΟΚΕΙΜΕΝΩΝ χαρακτήρων τῷ προγεγραμμένῳ ἀρρώστῳ.

Ἐπεὶ δὲ βέλτιον οἶμαι τὴν λοιμώδη κατάστασιν εἰς τὸ τρίτον ὑπόμνημα φυλάξαι, προσθήσω τοῖς προειρημένοις ἔνια τῶν ἠμφισβητημένων τοῖς ἰατροῖς περὶ τῶν προσγεγραμμένων σημείων τῇ διηγήσει τῇδε τοῦ μειρακίου κατὰ τὴν ζ'. ἡμέραν ἀποθανόντος. ὁ μὲν γὰρ Ζήνων ἔγραψε τοιούσδε τοὺς χαρακτῆρας. πρῶτον μὲν ἁπάντων τὸ πι. τὴν διὰ μέσου E γραμμὴν εὐθεῖαν ὀρθὴν ἔχον, ὃ τοῦ πιθανοῦ διὰ παντὸς εἶναι σημεῖον γέγραπται. δεύτερον δὲ ξ. καὶ τρίτον ἐπ' αὐτῷ ζ. καὶ τέταρτον τὸ θ. πι. ξ. ζ. θ. τὸ μὲν οὖν ζ. τὴν ἑβδόμην ἡμέραν φασὶ δηλοῦν, τὸ δὲ θ. τὸν θάνατον. ἀλλὰ ταῦτα μὲν ἐπὶ πάντων κοινά. τὸ δὲ ξ. ξένον σημεῖον εἶναι βούλεται. ξένον δὲ τὸ γεγονέναι φησὶ τῷ μειρακίῳ ἐν ἀρχῇ τῆς διηγήσεως ἐκ κόπων καὶ δρόμων παρὰ τὸ ἔθος, εἰς τὴν νόσον ἐμπεσεῖν αὐτόν. τὰ μὲν οὖν ἀντειρημένα τῷ Ζήνωνι περὶ τοῦ πρώτου σημείου τοῦ τὸ πιθανὸν δηλοῦντος, F ἐπειδὴ κοινὰ πάντων ἐστὶ τῶν ἀρρώστων, ὀλίγον ὕστερον ἐὰν δόξω, πρότερον δὲ τὰ κατὰ τὸν προκείμενον ἄρρωστον ἰδίως ἐζητημένα σκεψόμεθα, διότι περὶ πράγματος ἰατρικοῦ δοκεῖ τὴν ἀμφισβήτησιν εἰρηκέναι. γράψαντος γὰρ, ὡς καὶ πρόσθεν ἔφην, οὐ μικρὸν βιβλίον τοῦ Ζήνωνος περὶ τῶν χαρακτήρων, εἶθ' ἕτερον αὐτοῦ μεῖζον, Ἀπολλωνίου τοῦ Ἐμπειρικοῦ πρὸς αὐτὸν ἀντιγράψαντος, εἶθ' ὕστερον πάλιν ἐκείνῳ τοῦ Ζήνωνος ἀντειπόντος, Ἀπολλώνιος

ὁ Βιβλᾶς ἐπικληθεὶς, ἔγραψε μετὰ ταῦτα καὶ αὐτὸς ἤδη, τεθνεῶτος τοῦ Ζήνωνος, βιβλίον ὑπὲρ τῶν χαρακτήρων, οὐ μόνον διεσκευασμένους ἐλέγχων, ἀλλὰ καὶ τὸν καλούμενον παρεξέλεγχον ἐπ' αὐτοῖς τὸν Ζήνωνα ποιησάμενος. ὡς γὰρ μηδ' ἑρμηνεῦσαι δυνηθέντος αὐτοῦ καλῶς τὰ διεσκευασμένα πρὸς τοῦ Μνήμονος, ἀλλ' ἐν οἷς ἠπόρει πιθανολογίας, ὑπαλλάττοντος τοὺς χαρακτῆρας εἰς εὐπορίαν ἐξηγήσεως, οὕτω πεποίηται τὴν ἀντιλογίαν. οὔτε δὲ κατὰ τὴν βασιλικὴν βιβλιοθήκην εὑρεθὲν, οὔτε δὲ ἐκ τῶν πλοίων, οὔτε δὲ κατὰ τὴν ὑπὸ Βακχείου γενομένην ἔκδοσιν, ἔχειν φάσκων οὕτω τοὺς χαρακτῆρας, ὡς ὁ Ζήνων ἔγραψεν ἐπὶ τοῦ προκειμένου κατὰ τὸν λόγον μειρακίου. εἰς ταύτην δὴ οὐκ οἶδ' ὅπως τὴν ἀδολεσχίαν ὁ Ταραντῖνος Ἡρακλείδης ὑπεσύρη, καίτοι πειρώμενος ἀεὶ πρὸς τὸ χρήσιμον ἀνάγειν τὰς ἐξηγήσεις. ἀλλὰ νῦν γε φαίνεται φιλονεικεῖν τῷ Ζήνωνι μᾶλλον, ἢ τοῦ χρησίμου στοχάζεσθαι. ποιεῖται γοῦν τὴν τῶν χαρακτήρων ἐξήγησιν, ὡς διὰ τί ζ. πρὸ τοῦ τελευταίου θ. γέγραπται. τὸ δὴ ἕτερον ὃ τούτου προτέτακται, δηλοῦν φησὶ τὸ ζητητέον εἶναι διὰ τί κατὰ τὴν ζ. ἡμέραν ἀπέθανε, τῶν παροξυσμῶν αὐτῷ κατὰ τὰς ἀρτίους γεγονότων. » εὔλογον γὰρ ἦν, ὡς αὐτὸς ὁ Ἱπποκράτης λέγει, τὴν κρίσιν τοῦ » νοσήματος ἐν ταῖς παροξυντικαῖς ἡμέραις γεγονέναι. ὧν γὰρ οἱ παροξυσμοί φησιν ἐν ἀρτίαις, τούτων καὶ αἱ κρίσεις ἐν ἀρτίαις. ὡς δὴ ἐν περιτταῖς, καὶ τούτων πάλιν ἐν περιτταῖς ἡμέραις γίνεσθαι τὴν κρίσιν. ὑποπέπτωκε δὲ τῷ γενικῷ σημαινομένῳ τῆς κρίσεως, καὶ ὁ θάνατος. οὕτως μὲν Ταραντῖνος ἀποφήνατο περὶ τῶν χαρακτήρων. ἐπισκεψώμεθα δὲ, εἴ τις λέγει σοφόν· ὅτι μὲν γὰρ ἀποθνήσκειν ὡς τὰ πολλὰ κατὰ τὰς τῶν παροξυσμῶν ἡμέρας συμβαίνει, καὶ σπάνιόν ἐστι τοὐναντίον, ὁμολογητέον τ' ἐστὶ καὶ συγχωρητέον ἀληθεύειν τῷ Ταραντίνῳ, οὐ μὴν γε οὗτος ἐν ταῖς ἀρτίαις φαίνεται τοὺς παροξυσμοὺς ἐσχηκώς. ἐπὶ μὲν γὰρ πρώτης ἡμέρας ὁ Ἱπποκράτης ἔγραψε τὰ κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος γενόμενα. ταύτῃ δ' ἐφεξῆς φησὶ, πάντα παρωξύνθη, διὰ τὴν ἀνάβασιν τοῦ νοσήματος ὀξέως κινουμένου, κατὰ γοῦν τὴν τρίτην μᾶλλον αὐξηθῆναι δηλοῖ τὸ νόσημα. προειρηκὼς γὰρ ἐπὶ τῆς δευτέρας, τὸ, τ' οὐχ ὕπνωσε, καὶ τὸ, τὰ τῆς γνώμης ταραχώδεα, κατὰ τὴν τῆς τρίτης διήγησιν ἔγραψε. πρῶτον μὲν τὸ δυσφόρως, ὃ κατὰ τὴν πρώτην ἡμέραν οὐκ ἐγεγράφει. τούτῳ δ' ἐφεξῆς, τὸ διψώδης, εἶτα τὸ, ἀσώδης, εἶτα τὸ, πολὺς βληστρισμὸς, εἶτα τὸ ἀπορίη καὶ τούτων ἓν ἤρκει, καὶ ἐν τῇ τρίτῃ προσγενόμενον ἡμέρᾳ, χείρονα τῆς δευτέρας αὐτὴν ἐνδείξασθαι. τὸ μὲν γὰρ οὐχ ὑπνῶσαι κατὰ μίαν νύκτα, καὶ τὰ τῆς γνώμης ἔχειν ταραχώδη, συνεχῶς φαίνεται γινόμενα κατὰ τὰς ὀξείας νόσους, ἄνευ μεγάλου κινδύνου, τὰ δ' ἐν τῇ τρίτῃ γεγραμμένα, γέγονε πάντα κινδυνώδη. πλὴν διὰ τοῦτ' ὀνομάζει τῆς δευτέρας χείρονα τὴν τρίτην εἶναι, διότι κατὰ μὲν τὴν δευτέραν ἔγραψε τὰ τῆς γνώμης ταραχώδεα, κατὰ δὲ τὴν τρίτην, ἀλλά τέ τινα συμπτώματα τὰ μικρὸν ἔμπροσθεν εἰρημένα διηγήσατο γεγονέναι, καὶ τὰ κατὰ τὴν γνώμην οὐχ ἁπλῶς ταραχώδεα· μικρὸν γὰρ τὸ τοιοῦτον, ἀλλὰ παρακροῦσαί φησι. φαίνεται γὰρ δὴ καὶ κατ' αὐτὸ τοῦτο τὸ σύμπτωμα, χείρων ἡ τρίτη τῆς δευτέρας γεγονέναι, οὐ μὴν οὐθ' ὅτι προσέθηκεν ἐν αὐτῇ, ὑπολάπαρον ὑποχόνδριον, ἔντασιν οὐκ οὖσαν ἔμπροσθεν, ὑπονοήσειεν ἄν τις ἐκ τούτου, τὴν δευτέραν ἡμέραν αὐτῷ γεγονέναι μετριωτέραν. ὅ, τι γὰρ ἂν ἔμπροσθεν ἀπαθὲς ὂν σπλάγχνον, ἄρξηται πάσχειν ἔν τινι ἡμέρᾳ, ἐκείνην ἐνδείκνυται τῶν ἔμπροσθεν χείρονα. ἐν πᾶσι δὲ τοῖς εἰρημένοις, ὀλεθριώτατα φαίνεται κατὰ ταύτην

A minatus Biblas scripsit, & ipse mortuo jam Zenone, de characteribus Librum non solum apparatos reprehendens, sed etiam super reprehensionem vocatam in Zenonem confecit. Ut enim neque ipse probè à Mnemone apparata interpretari potuit; sed ubi sermone verisimili deficeret, characteras permutavit in explanationis abundantiam, ita contradictionem fecit, neque librum in bibliothecha regia inventum, neque navibus asportatum, neque juxta Bacchii publicationem habere dicens, ita characteras ut Zeno scripsit in proposito adolescente.

B In hanc vero futilem loquacitatem nescio quo pacto Heraclides Tarentinus impulsus est, quamquam perpetuo expositiones ad commoditatem reducere tentavit; sed nunc utique cum Zenone magis contendere videtur, quam utilitati operam præstare. Facit ergo characterum explicationem, ut cur ζ ante ϑ, quod in fine est, scriptum sit; alterum vero qui ante hunc ordinatus est, indicare ait quærendum esse, cur septimo die interierit, factis ipsi per dies pares exacerbationibus. Rationi nanque erat

C consonum, uti ipse loquitur Hippocrates, judicationem morbi exacerbationis diebus fuisse. Effatur enim: Quorum exacerbationes diebus paribus fiunt, horum & judicationes paribus; quorum vero imparibus, horum judicationes diebus imparibus contingunt. Subjecta est autem & generali judicationis significato mors: Sic sanè & Tarentinus de characteribus asseruit. Si quis autem præclari quiddam dicat, considerarimus; quod enim plerunque diebus exacerbationis interire plerunque accidat, rarumque sit contrarium fatendum, ac Tarentino vera di-

D cere concedendum est. Hic tamen æger exacerbationes diebus paribus habuisse non videtur: Primo siquidem die quæ in morbi principio facta sunt, scripsit Hippocrates; Secundo, inquit, omnia exacerbata sunt, ob morbi qui acutè movebatur, ascensum; Tertio autem die morbum magis auctum fuisse indicat. Quum enim in secundo prædixisset, non dormivit, mentis perturbationes erant; in tertii diei enarratione scripsit, primum quidem graviter affectus est, quod primo die non scripserat; postea sitibundus, mox anxius, deinde magna jactatio, postea angustia; atque horum unum erat satis, tertio die

E obortum, secundo die deteriorem ipsum indicare. Illud lenim non dormire una nocte; atque illud, mentem perturbatam habere in morbis acutis, citra magnum periculum assiduè fieri videntur: quæ verò tertio scripta sunt, periculosa fuerunt omnia. Præterea ob id asserit secundo die, tertio deteriorem esse, quod secundo mentis perturbationem scripserit; tertio vero & alia quædam symptomata paulo ante commemorata fuisse pronunciavit, & mentem non absolutè perturbatam (id enim exiguum est) sed deliras-

F se ait. Videtur profecto & propter hoc ipsum symptoma tertius dies secundo deterior fuisse; non tamen quod in ipso submollem hypochondrio contensionem non antea existentem, subintellexerit aliquis hinc secundum ipso moderatiorem fuisse. Quod enim viscus antea morbo vacans, cæperit die quodam affici illum ostendit prioribus deteriorem. At inter omnia commemorata symptomata hoc die perniciosa extitisse videntur, partium extremarum frigus &

livor. Quare (quod paulo ante dixi) mirari oportet quonam pacto adolescens quinto die non obierit. At medius-fidius fortassis aliquis Tarentinum patrocinatus enarratis subscripta esse consequentia profitebitur, quarto non dormivit, in deterius ruit affectus. Verùm hunc ipsum meminisse faciemus medici præcepti, nimirum quartum diem septimi indicem ab ipso Hippocrate pronunciatum esse, quod factorum in ipso bonorum vel malorum discessus non minus, imo & magis septimo quam sexto die oboriatur. Quomodo ergo Tarentinus profert rationi magis congruum esse, hunc adolescentem sexto interiisse die, quoniam diebus paribus exacerbationes haberet? Tertio nanque die plurima enarratorum symptomatum ipsi accidisse constat; quarto vero aucta fuisse; suffecisse vero, ac ad septimum usque diem restitisse. Fortassis quidem tum quod vires natura validas habuerit, tum præterea propter ætatem. Quod si hæc ipsi non affuissent, quinto interiisset die. Videtur sanè mihi Tarentinus adversus Zenonem studiose magis agendo, quam accuratè rem inquirendo hæc habere. Hoc idem passus est & Apollonius qui ipse quoque ζ literam secundo loco inter characteras positam explicat. Ipsum sequuti sunt & alii multi, & maximè quod primum quidem Medicum aliquod preceptum absque characteribus commodum exponere dicat; quod ipsis verum esse visum sit quod ab eo dictum est, ob id quidem obiisse adolescentem asserit, quod præter consuetudinem ex lassitudinibus, laboribus & cursibus febre correptus esset. Ego vero labores quidem & cursus, si plures exercitationes hac appellatione significentur, pertinaciter affirmavero nequaquam mortis causas fuisse, nisi morbosus in corpore apparatus ante extitisset. De potibus autem secundum nonnullos (ita nanque quosdam transcripsisse dixi) nihil habeo quod manifestè hoc in adolescente proferam, quod neque qualitatem, neque quantitatem potuum cognoscam, quum multa in ipsis differentia sit: Etenim tempore potus differunt; nonnulli quidem duobus & tribus diebus, quidam vero his multiplicatis fiunt, & quæ quotidie copia bibitur, non parvam sortitur differentiam. Rursum præter hec potus qualitas: nonnulli siquidem meracius bibunt, nonnulli vero aquosius, nonnulli denique temperatū; quidam etiam frigidum, quidam calidum, alii etiam horum utrunque aut ex consuetudine, aut præter consuetudinem interdum biberunt. Accedit & vinorum ipsorum non parva pro genere ac tempore diversitas: Non enim eundem affectum vinum novum ac vetus parit, neque crassum ac tenue, neque album, & nigrum, neque odoratum, ac graveolens, neque austerum ac dulce. Quapropter jure dixi me de oborta adolescenti læsione nihil certi enunciare posse. Commune tamen est immoderatiori vinorum omnium potui, quod & nervos & mentem feriat. Non tamen insignis in adolescentis morbo læsio dominata est: neque enim in convulsionem, neque tremorem lapsus est; imo neque phreniticus factus est; ob idque arbitror & potuum scripturam rationi minùs consonam esse. Est enim rationi magis consentaneum cruditates adolescenti præcessisse: fortassis quidem in

A γεγονέναι συμπτώματα, κατάψυξις καὶ πελίδνωσις τῶν ἄκρων. ἀνθ' ὅσον ὀλίγον ἔμπροσθεν ἔφην, θαυμάσαι χρὴ ὅπως οὐκ ἀπέθανε κατὰ τὴν πέμπτην ἡμέραν τὸ μειράκιον. ἀλλὰ νὴ Δία φησί τις ἴσως βοηθῶν τῷ Ταραντίνῳ, τοῖς εἰρημένοις ἐφεξῆς γέγραπται τετάρτῃ οὐχ ὕπνωσεν, ἐπὶ τὸ χεῖρον διάθεσις. τοίνυν αὐτὸν μνήμονα ποιήσω ἰατρικοῦ τοῦ θεωρήματος, ὅτι δήπου τετάρτη τῆς ἑβδόμης ἐπίδηλος ὑπ' αὐτοῦ Ἱπποκράτους εἴρηται, διότι τῶν ἐν αὐτῇ γινομένων ἀγαθῶν, ἢ κακῶν ἡ ἔκβασις οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἐπὶ τῆς ζ. ἢ τῆς ϛ. ἡμέρας γίνεται. B πῶς οὖν ὁ Ταραντῖνός φησιν, εὐλογώτερον εἶναι τεθνάναι τὸ μειράκιον τοῦτο κατὰ τὴν ϛ'. ἡμέραν, ἐπειδὴ τοὺς παροξυσμοὺς ἐν αὐταῖς ἀρτίαις εἶχεν. ἐν γὰρ τῇ τρίτῃ τῶν εἰρημένων φαίνεται τὰ πλεῖστ' αὐτῷ γεγονέναι συμπτώματα, κατὰ δὲ τὴν τετάρτην ηὐξῆσθαι, διαρκέσαι δὲ καὶ ἀντισχεῖν ἄχρι τῆς ζ'. ἡμέρας. ἴσως μὲν καὶ ὅτι τὴν δύναμιν φύσει εἶχεν ἰσχυράν, οὐ μὴν ἀλλὰ διὰ τὴν ἡλικίαν. ὡς εἴ γε μὴ ταῦθ' ὑπῆρχεν αὐτῷ, κατὰ τὴν ε. ἂν ἐτεθνήκει. φαίνεται δή μοι φιλοτιμούμενος πρὸς τὸν Ζήνωνα μᾶλλον, C ἢ ἀκριβῶς ἐξετάζων τὸ πρᾶγμα, ταῦθ' ὁ Ταραντῖνος ἐθηκέναι. ταὐτὸ δὲ τοῦτ' ἔπαθε καὶ ὁ Ἀπολλώνιος, ἐξηγούμενος καὶ αὐτὸς φιλοπόνως τὸ ζ. γράμμα, τὸ δεύτερον ἐν τοῖς χαρακτῆρσι γεγραμμένον. ἠκολούθησαν δ' αὐτῷ καὶ ἄλλοι πολλοί, καὶ μάλισθ' ὅτι πρῶτον μὲν ἰατρικόν τι θεώρημα λέγει χρήσιμον ἐξηγεῖσθαι χωρὶς χαρακτήρων, εἶθ' ὅτι καὶ ἀληθὲς αὐτοῖς ἔδοξεν εἶναι τὸ ῥηθέν· διὰ τοῦτο γὰρ ἀποθανεῖν φησὶ τὸ μειράκιον, ὅτι παρὰ τὸ ἔθος ἐν κόποις, καὶ πόνοις, καὶ δρόμοις ἐγένετο. ἐγὼ δὲ τοὺς μὲν πόνους καὶ δρόμους, D εἴπερ ἐκ τῆς προσηγορίας ταύτης δηλοῦται τὰ πλείω γυμνάσια, διατεινόμενος εἴποιμι χωρὶς τῆς ἐν τῷ σώματι προϋπαρχούσης νοσώδους κατασκευῆς, μηδέποτ' ἂν αἰτίους γενέσθαι θανάτου. περὶ τῶν κατ' ἐνίους ποτῶν, ἔφην γὰρ οὕτως μεταγράφειν τινάς, οὐδὲν ἔχω σαφὲς εἰπεῖν, ἐπί γε τοῦ μειρακίου τούτου, διότι μήτε τὴν ποιότητα τῶν γινομένων ποτῶν γινώσκω, καίτοι πολλῆς οὔσης ἐν αὐτοῖς διαφορᾶς. καὶ γὰρ ἐν τῷ χρόνῳ διαφέρουσιν οἱ ποτοί. τινὲς μὲν ἐν ἡμέραις δυσί, καὶ τρισίν, ἔνιοι δὲ πολλαπλασίοις τούτων γινόμενοι, E καὶ τὸ πινόμενον ἑκάστης ἡμέρας πλῆθος, οὐ μικρὰν ἔχει τὴν διαφοράν. ἔτι πρὸς τούτοις ἡ ποιότης τοῦ πόματος, ἔνιοι μὲν γὰρ ἀκρατέστερον, ἔνιοι δ' ὑδαρέστερον, ἔνιοι δ' εὔκρατον πίνουσι· καί τινες μὲν ψυχρόν, ἔνιοι δὲ θερμόν, καὶ τούτων γ' ἑκάτερον, ἤτοι γ' ἐξ ἔθους, ἢ παρὰ τὸ ἔθος ἔπιόν ποτε. προσέρχεται δὲ καὶ ἡ τῶν οἴνων οὐ μικρὰ διαφορὰ κατά τε τὸ γένος καὶ τὸν χρόνον· οὐ γὰρ τὴν αὐτὴν ἐργάζεται διάθεσιν ὁ νέος οἶνος καὶ ὁ παλαιός, οὐδ' ὁ παχὺς καὶ λεπτός, οὐδ' ὁ λευκὸς καὶ μέλας, οὐδ' ὁ εὐώδης καὶ δυσώδης, ὥσπερ οὐδ' ὁ αὐστηρὸς καὶ γλυκύς, ὥστ' εἰκότως ἔφην οὐκ ἔχειν ἀποφήνασθαι βέ- F βαιον οὐδὲν περὶ τῆς ἐξ οἴνου βλάβης γινομένης τῷ μειρακίῳ. τό γε μήν, ὡς τὸ πολύ, κοινὸν ἁπάντων οἴνων ἀμετροτέρας πόσεώς ἐστιν, ὅτι καὶ τῶν νεύρων ἅπτονται καὶ τῆς γνώμης, οὐ μὴν ἡ τούτων τελείη ἐπεκράτησε βλάβη, κατὰ τὴν τοῦ μειρακίου νόσον· οὔτε γὰρ σπασμώδης, οὔτε τρομώδης, ἀλλ' οὐδὲ φρενιτικὸν ἐγένετο, καὶ διὰ τοῦτ' οἶμαι καὶ τὴν τῶν ποτῶν γραφὴν ἀλογωτέραν ὑπάρχειν. εὐλογώτερον γάρ ἐστιν ἀπεψίας προηγεῖσθαι τῷ μειρακίῳ, τάχα μὲν καὶ κατὰ

τὴν κοιλίαν. εἰ δὲ μὴ, ἀλλά κατά γε τὰς φλέβας πάντως, ἐφ᾽ ἃς οὐκ ὀλίγων ὠμῶν χυμῶν ἠθροίσθη πλῆθος, ὡς ἐνδείκνυται τὰ οὖρα, καὶ τὰ διαχωρήματα, λεπτὰ μὲν οὐ μὴν χολώδη γινόμενα. Φαίνεται μέντοι καὶ χολώδης τὶς αὐτῷ χυμὸς ἐν ὅλῃ τῇ τοῦ σώματος ἕξει περιέχεσθαι, διὰ τοὺς γινομένους πόνους, ἐφ᾽ οἷς εὔλογόν ἐστι, καὶ παραφροσύνην τινὰ γενέσθαι, καὶ πυρετόν.

ventre: quod si non, saltem in venis omnino: in quibus non paucorum humorum copia collecta est, ut urinæ & dejectiones tenues quidem, non tamen biliosæ redditæ demonstrant. Videtur autem & biliosus aliquis ipsi humor in universo corporis habitu contineri propter labores à quibus consentaneum est desipientiam quandam ac febrem accessisse.



DE CHARACTERE ANTE CÆTEROS POSITO, QUO πιθανόν *, hoc est, probabile significari volunt.*

GALENI COMMENTARIUS.

Quandoquidem hoc in Libro Interpretum loquacitatibus plurimum usi sumus, haud deterius utique fuerit quiddam etiam exempli gratia de illo charactere scribere πι, qui πιθανὸν probabile significat. Quis enim illorum fortasse Librorum magnitudinem admirabitur, quos Zenonis, Apolloniique Sectatores conscripserunt. Si igitur in uno duntaxat charactere intelliges quo pacto ipsis in prolixitatem paulatim devenerit controversia, longi quoque sermonis causam facile perdiscere poteris: cavebisque (si mentis compos fueris) ne tuipse in ejusmodi nugas incidas. Itaque in primostatim charactere πι, quo πιθανὸν significari dicebant, proferunt nullo in alio libro solere unquam hac voce πιθανὸν uti Hippocratem; ob idque non decere nunc unico in Libro ejus vocis signo sæpenumero uti qui nunquam alibi ipso usus fuerit. Hanc autem rationem evertetens, qui cum Zenone sentiunt in maximè germano illo Libro qui de fracturis inscriptus est, dixisse proferunt, ubi de Solene instrumento disputat πιθανότερον. Quum enim priùsdixisset Hippocrates, Solenis instrumenti non esse utilitatem, subjunxit; At πιθανότερον probabilius est vulgo minus accusabilem fore Medicum, si Solen subjiciatur. Scitè ergo quum probabilem responsionem visi fuerint invenisse Zenonis fautores, tres ipsi ab adversariis objectiones factæ fuerunt, duæ quidem magis litigiosæ quàm veræ: tertia vero idonea admodum est, omnibusque illis satisfacit, quotquot Græcis literis bene instituti sunt. Prior itaque ex litigiosis responsionibus hæc est. Hippocrates illic πιθανότερον dixit, non πιθανόν: at isti ex hoc charactere πι, πιθανὸν indicari proferunt. quibus Zenonis adjutores respondent: Si quis apud Apollonium scriptum invenerit primitivum nomen, non jam statim ipsi concedimus derivata usurpare, nisi prius quendam nobis ostendat ipsis usum fuisse: qui autem derivativum invenerit, is audacter, & primitivo uti poterit. Nam quod ab aliquo genitum est, id ejus quod generavit substantiam indicat; quod vero à nullo, aliud generet necne, dubium est. Prima sanè pars fabulæ hic finiatur, quum nimirum ex prædictis apertum jam sit, quoquo modo in longissimam loquacitatem produci ipsa possit. Ad secundam vero (jam enim semel in fabulam nosmetipsos introduximus) accedamus. Aiunt igitur qui contra Zenonis sectatores dicunt eam quidem posse nonnunquam quæ semel dictio scripta est etiam ipsum scribentem latere, quippe in moris Græca lingua exquisitè loquentium oblitus, ac sola multorum consuetudine adductus sit. Uno vero in libro deinceps quoddam vocabulum sæpiùs usurpare ii soli possunt, qui aliàs eodem modo ipsi uti consueverunt. Quæ vero ad hæc respondeant Zenonis sectatores, narrare supervacaneum est, quod frigidiora longaque sint. Mihi enim sat fuerit ad tertiam fabulæ partem accedenti responsionum duntavat principia tangere. Tertia autem hæc est. Placere quidem posse, & vulgo & antiquioribus, si & δυνατὸν, & ἐνδεχόμενον, & εὔλογον, & εἰκὸς dicas impossibile, contingens, rationi consentaneum, decens & ipsum quoque πιθανὸν, quum fortè tunc in usu esset hæc dictio, sed rariori sanè, & apud idiotas potius: contra vero vocem secundùm conferendi modum, quo Grammatici comparativum nuncupant, ab εἰκὸς formatum Antiquis inusitatam esse. Verè enim diceremus εἰκότερον, rariusque omnino hoc comparativum invenies quemadmodum & ipsum πιθανόν. Constat autem Antiquorum multa admodum volumina illi volvenda esse, qui has controversias dijudicare voluerit. Neque enim aliter cognoscere potest, an πιθανὸν ab ipsis usitatum non sit, sed πιθανότερον: secus vero insolens εἰκότερον, trium εἰκός. Si quis vero ex iis qui artem medendi discere decreverunt ad lectionem se convertat antiquorum omnium Librorum quos Rhetores & Historici, aut Medici, aut denique Philosophi conscripserunt: in hoc certè tempus conteret, seque artem assequi posse diffidet, quum hoc ad morborum nec dignotionem, nec prænotionem conferat. Quamobrem satius fortasse fuerit fabulæ tres in partes diductæ finem constituere, ne longius tempus consumamus in duorum deinceps oppositione, quum præsertim tragœdiam, vel comœdiam agamus. Ad reliquos igitur ægrotos venientes (supersunt enim adhuc quatuor ante statum pestilentem descripti) hìc secundum Commentarium absolvamus. Tertium vero aggredi erit utilissimum.

A

Ileo acutissimo morbo mulierem correptam perniciosis symptomatibus ab intestinorum phlegmone, ilei causa, comitibus vexatam tertio aut secundo die interiisse. In thoracis, pulmonis, alvi & nervorum affectibus urinas accuratè perpendendas.

HIPPOCRATIS TEXTUS VI.

ÆGROTUS NONUS.

» *Apud Tisamenum jacebat mulier, cui ileus*
» *cum jactationibus concitatus est; vomitiones*
» *multæ; potum continere non potuit; dolores circa*
» *hypochondria; atque in inferioribus alvi locis*
» *dolores; tormina assidua; non sitibunda; incale-*
» *scebat; extrema perpetuò frigida, fastidiosa, in-*
» *somnis, urinæ paucæ, tenues; dejectiones crudæ,*
» *tenues, paucæ; nihil ampliùs prodesse potuit, obiit.*

GALENI COMMENTARIUS.

Malè nonnulli scribunt hac in muliere ὑλεώδεα per υ, quum εἰλεώδεα per ει scribendum sit: Ileus enim, hoc est, volvulus appellatur affectus, cujus symptomata mulierem vexasse scribit, multos vomitus & potus continere non posse, & dolores circa hypochondria esse, & tormina cum doloribus in ventre, quæ omnia volvulosis assident. Quod autem deinceps scripsit non eorum est ipsis assidentium; sed eorum quæ in malignum tendenti affectui superveniunt, potissimùm extremas partes perpetuo esse frigidas; pravum quoque est fastidium ciborum. Quin & urinas adscripsit, etiamsi affectus venis & humoribus non insederit, sed intestinis: quum enim in his magna cœperit phlegmone, prædicta symptomata oboriri consueverunt; vocatur autem affectus ileus. Parva igitur ex urinis, quum bonæ sunt, salutis spes est ita constitutis; sed non parvum ad exitium momentum si pravæ fuerint. Periclitantibus enim morbo laborantibus propter intestinorum phlegmonem, si & alia quædam in corpore affectio prava esse videatur, malum simul ægrotanti augebitur. Sic igitur consuevit Hippocrates, quum alicui spirabilium organorum inest affectio, urinas inspicere: si nanque ipsæ secundùm naturam sint, ex solis spirabilibus organis versatur periculum, si vero etiam pravæ appareant, malè habere significant quemadmodum & nunc nutritionis organum. Quanquam venter patitur, ipsiusque affectio ex dejectionibus cognoscitur, attamen & urinarum meminit, ut tenuium quæ humorum cruditatem in venis significant. At urinas semper memineris, simulque in ipsis ventris, thoracis, pulmonis, & nervorum affectibus, inspicias; quibus bonæ apparuerint, magnum ad salutem momentum præstant; quibus pravæ juvant etiam quadantenus adversus ægrotantis periculum. Existente autem omni ilio periculoso, qui in sublimibus intestinis consistunt ilei, his qui crassa occupant, sunt deteriores, ad sympathiam tum hepar, tum lienem deducentes. Dignosces autem ipsos tum ex vomituum assi-

Τὴν δὲ εἰλεῷ ὀξυτάτῳ παθήματι γυναῖκα ἐπιληφθεῖσαν τοῖς ὀλεθρίοις συμπτώμασιν ἀπὸ τῆς τῶν ἐντέρων φλεγμονῆς τοῦ εἰλέου αἰτίας ταύτῃ ἑπομένοις ἐνοχληθεῖσαν τρίτῃ ἢ τῇ δευτέρᾳ τεθνάναι. Ἐν τοῖς τοῦ θώρακος, καὶ πνεύμονος, καὶ τῶν νεύρων, καὶ τῆς κοιλίας πάθεσι τὰ οὖρα ἐπιβλέπειν δεῖν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

B

ΑΡΡΩΣΤΟΣ θʹ.

Παρὰ Τισαμενῷ, γυνὴ κατέκειτο, ᾗ τὰ εἰλεώδεα δυσφόρως ὥρμησεν, ἔμετοι πολλοί, ποτὸν κατέχειν οὐκ ἠδύνατο, πόνοι περὶ τὰ ὑποχόνδρια, καὶ ἐν τοῖσι κάτω κατὰ κοιλίην πόνοι, στρόφοι συνεχέες, ἐπεθερμαίνετο· ἄκρεα ψυχρὰ διὰ τέλεος. ἀσώδης, ἄγρυπνος· οὖρα ὀλίγα, λεπτά, διαχωρήματα ὠμά, λεπτά, ὀλίγα, ὠφελέειν οὐκέτι ἠδύνατο, ἀπέθανε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Κακῶς ἔνιοι γράφουσιν ἐπὶ τῆς γυναικὸς ταύτης ὑλεώ-
δεα διὰ τοῦ υ, δέον ἰλεώδεα διὰ τοῦ ι γράφειν. ἰλεὸς
γὰρ ὀνομάζεται τὸ πάθος, οὗ τὰ συμπτώματα γενέσθαι γράφει
τῇ γυναικί, πολλοὺς μὲν ἐμέτους, καὶ ποτὸν κατέχειν μὴ
δύνασθαι. πόνους δ' εἶναι περὶ τὰ ὑποχόνδρια, καὶ στρόφους
μετὰ πόνων ἐν τοῖς κατὰ τὴν κοιλίαν, ἅπερ ἅπαντα συνεδρεύει
τοῖς εἰλεώδεσιν. ὃ δ' ἐφεξῆς ἔγραψεν, οὐ τῶν συνεδρευόντων
ἐστὶν αὐτοῖς, ἀλλὰ τῶν ἐπιγινομένων κακοηθευομένῳ τῷ
πάθει, μάλιστα τὸ διὰ τέλεος εἶναι ψυχρὰ τὰ ἄκρα. μο-
D χθηρὸν δὲ καὶ τὸ ἀσῶδες. ἀλλὰ καὶ τὰ οὖρα προσέγραψε,
καίτοι γ' οὐκ οὔσης ἐν ταῖς φλεψὶ, καὶ τοῖς χυμοῖς τῆς δια-
θέσεως, ἀλλ' ἐν τοῖς ἐντέροις. ὅταν γὰρ ἐν τούτοις ἄρξηται μεγά-
λη φλεγμονή, τὰ προειρημένα συμπτώματα φιλεῖ γίνεσθαι,
καλεῖται δὲ τὸ πάθος εἰλεός. μικρὰ μὲν οὖν ἐκ τῶν οὔρων,
ὅταν ᾖ χρηστὰ πρὸς τὸ σωθῆναι τοὺς οὕτως ἔχοντας ἐλπίς, οὐ
μικρὰ δ' εἰς ὄλεθρον ῥοπὴ μοχθηρῶν γινομένων. κινδυ-
νευόντων γὰρ τῶν οὕτως νοσούντων διὰ φλεγμονὴν τῶν ἐντέ-
ρων, εἰ καὶ ἄλλη τις ἐν τῷ σώματι φαίνεται διάθεσις εἶναι
μοχθηρά, συνεπαύξεται τῷ κάμνοντι τὸ κακόν. οὕτως οὖν
E εἴωθεν ὁ Ἱπποκράτης, ὅταν περί τι τῶν ἀναπνευστικῶν ὀργά-
νων ἡ διάθεσις, ἐπιβλέπειν τὰ οὖρα. κατὰ φύσιν μὲν γὰρ ἐχόν-
των αὐτῶν, ἐκ μόνων τῶν ἀναπνευστικῶν ὁ κίνδυνος· εἰ δὲ καὶ
ταῦτα μοχθηρὰ φανείη, κακῶς ἔχειν ἐνδείκνυται καὶ τότε τὸ τῆς
τροφῆς ὄργανον καθάπερ καὶ νῦν. καίτοι τῶν κατὰ γαστέρα πεπον-
θότων, καὶ τῆς διαθέσεως αὐτῶν ἐκ τῶν διαχωρημάτων γνω-
ριζομένης, ὅμως καὶ τῶν οὔρων ἐμνημόνευσεν, ὡς λεπτῶν
ὄντων, ἅπερ ἀπεψίαν σημαίνει τῶν ἐν ταῖς φλεψὶ χυμῶν. ἀλλὰ
F περὶ μὲν τῶν οὔρων ἀεὶ μέμνησο, συνεπισκοπούμενος αὐτὰ
κἀν τοῖς κατὰ γαστέρα, καὶ θώρακα, καὶ πνεύμονα, καὶ νεῦρα
πάθεσιν, οἷς μὲν ἀγαθὰ φανείη, μεγάλην παρεχόντων
τὴν ῥοπὴν εἰς σωτηρίαν. εἰ δὲ μοχθηρά, συνεπισχυου-
σῶν καὶ αὐτῶν τι πρὸς τὸν τοῦ κάμνοντος κίνδυνον. ὄντος δὲ
παντὸς ἰλεοῦ κινδυνώδους, οἱ κατὰ τὰ μετέωρα τῶν ἐντέ-
ρων συνιστάμενοι, τῶν ἐν τοῖς παχέσι, χείρους εἰσίν, εἰς συμ-
πάθειαν ἄγοντες ἧπάρ τε καὶ σπλῆνα. διαγνώσῃ δ' αὐτούς,
ἔκ τε τῆς τῶν ἐμέτων συνεχείας τε καὶ σφοδρότητος, καὶ τοῦ μηδὲ

τὸ ποτὸν δύνασθαι κατέχειν. ἔτι δὲ μᾶλλον, ἐκ τοῦ μὴ διαχωρεῖν τι κάτω, καὶ οἱ στρόφοι δὲ, καὶ αἱ ὀδύναι συνενδείκνυνται, ὅταν ἐν τοῖς ὑψηλοῖς μέρεσι γίνονται. εἰ δὲ καὶ κόπρον ἐμέουσιν, ὁρᾶται γὰρ τοῦτο γινόμενον, ἐναργέστατον ἔστω σοι γνώρισμα τοῦ πεπονθέναι τὰ λεπτὰ τῶν ἐντέρων. ἔστι δ' ὀξύτατον τὸ πάθος, καὶ διὰ τοῦτο νῦν ἔγραψεν ὁ Ἱπποκράτης αὐτὸ, μετὰ τοῦ προσγράψαι, ὠφελεῖν οὐδὲν ἠδύνατο. μέμνησο δή μοι καὶ τούτου πρὸς τὸν περὶ τῆς φλεβοτομίας λόγον. οὐ γὰρ ἄλλο τι τῶν βοηθημάτων ἔγραψεν ἐπὶ τῶν ἐν τούτοις τοῖς βιβλίοις ἀρρώστων, οὔτ' ἐκείνην. οὐ δή που τῶν καμνόντων ἀβοηθήτων ἐρριμμένων, ἀλλ' ὡς οὐ χρῄζων γράφειν τὰ βοηθήματα καθ' ἕκαστον. εἰ μή τί που τῶν ἀσυνήθως εἴη γεγονότων, ὡς ἐπὶ τοῦ φλεβοτομηθέντος ὀγδοαίου. τὴν γε μὴν ἡμέραν καθ' ἣν ἀπέθανεν ἡ ἄρρωστος αὕτη παρέλιπεν εἰπεῖν, ὡς αὐτῆς τεθνεώσης εὐθέως κατὰ τὴν δευτέραν ἡμέραν, ἢ τὸ πλεῖστον, τὴν τρίτην διὰ τὴν ὀξύτητα τοῦ πάθους, ἣν ἐδήλωσεν αὐτὸς ἐν τῇ διηγήσει.

A duitate & vehementia, tum quod potum continere nequeant; atque etiamnum magis, quòd nihil per alvum dejiciatur; præterea tormina & dolores concitant quum sublimes partes obsident. Quod si ileosi etiam stercus evomant; id enim fieri conspicitur, evidentissimum tibi sit tenuium intestinorum affectorum signum. Est autem acutissimus affectus, ipsumque propterea nunc descripsit Hippocrates, unaque adscripsit, cui auxiliari nihil potuit. Memineris autem & hujus Libro de venæ sectione. B Nullum enim aliud auxilium scripsit in horum ægrorum Libris, neque illam, non sanè quod laborantes ab auxiliis dejecti adjuti non fuerint; sed quod singulis ægris auxilia scribere non oporteat; nisi quicquam eorum quæ rarò facta sunt, contigerit, ut cui octavo die vena secta est. Diem vero quo ipsa mortua est ægra, prætermisit, ut quæ secundo statim die obierit; aut quod plurimum tertio propter affectionis celeritatem, quam ipse in narratione declaravit.

C

Τὴν γυναῖκα ἐξ ἀποφθορᾶς νηπίου διὰ τοὺς μοχθηροὺς χυμοὺς ἐν τῇ κοιλίᾳ συναθροισθέντας γινομένης τῷ καύσῳ ἐπιληφθεῖσαν χαλεπωτάτοις συμπτώμασιν ἐνοχληθεῖσαν τῇ ἑβδόμῃ ἀποτεθνάναι.

Mulierem ex fœtus non maturi obortione ad pravos humores in ventre collectos oborta, causo correptam, gravibus symptomatis vexatam, septimo die interiisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

ΑΡΡΩΣΤΟΣ ι'.

Γυναῖκα ἐξ ἀποφθορῆς νηπίου, τῶν περὶ Παντιμίδην, τῇ πρώτῃ πῦρ ἔλαβεν· ἡ γλῶσσα ἐπίξηρος, διψώδης, D ἀσώδης, ἄγρυπνος· κοιλίη ταραχώδης πολλοῖσι λεπτοῖσιν, ὠμοῖσι· δευτέρῃ, ἐπερρίγωσεν, πυρετὸς ὀξὺς, ἀπὸ κοιλίης πολλὰ, οὐχ ὕπνωσε, τρίτῃ μείζους οἱ πόνοι· τετάρτῃ παρέκρουσεν, ἑβδόμῃ ἀπέθανεν, κοιλίη διὰ παντὸς ὑγρὴ, διαχωρήμασι πολλοῖσιν, λεπτοῖσιν, ὠμοῖσιν. οὖρα ὀλίγα, λεπτὰ, πυρετὸς καῦσος.

HIPPOCRATIS TEXTUS VII.

ÆGROTUS DECIMUS.

» *Mulierem ex iis quæ apud Pantimedem degebant, ex infantuli corruptivi obortione primo die ignis prehendit. Lingua arida, siticulosa, æstuabunda, insomnis. Alvus turbata copiosis, tenuibus & crudis. Secundo die superriguit, febris acuta, ab alvo copiosa, non dormivit. Tertio die vehementiores dolores. Quarto deliravit. Septimo mortua est. Alvus perpetuò lubrica dejectionibus multis, tenuibus, crudis; urinæ paucæ, tenues. Febris ardens.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ διά τι τῶν ἔξωθεν ἀποφθεῖραι τὴν γυναῖκα συνέβη ταύτην, αὐτὸς ἂν ὁ Ἱπποκράτης ἀπεσημήνατο. E δῆλον οὖν ἐστὶν ὡς διὰ τὸ νόσημα συνέβη τὴν ἀποφθορὰν γενέσθαι τῇ γυναικὶ, μοχθηροὺς ἠθροικυίᾳ χυμούς, πρόσκειται δὲ τῷ ἐξ ἀποφθορᾶς τὸ νηπίου, δηλοῦντος ὡς οἶμαι τῇ προσθήκῃ ταύτῃ, μικρὸν εἶναι τὸ ἀμβλωθέν. ὀνομάζουσι γὰρ οἱ ἄνθρωποι νήπια παιδία, τὰ μετὰ τὴν ἀποκύησιν, οὐ πολλοῦ χρόνου. κατὰ μεταφορὰν οὖν εἰκός ἐστι τὸν Ἱπποκράτην τὰ πάνυ μικρὰ τῶν κυουμένων παιδίων, οὕτως ὠνομακέναι. καὶ γὰρ καὶ μάλιστα διαφθείρεται ταῦτα, F τὴν μὲν ὀξύτητα καὶ τὸ μέγεθος τοῦ πυρετοῦ διὰ αὐτοῦ τε τοῦ φάναι, πῦρ ἔλαβεν, ἐδήλωσεν, κἀκ τοῦ προσθεῖναι, γλῶσσα ἐπίξηρος, διψώδης. τὸ δ' ἀσώδης, τῆς κακοηθείας γινομένου πυρετοῦ σημεῖόν ἐστι· πρόσεχε τὸν νοῦν ἐπιμελῶς τῇ τῶν διαχωρουμένων ἰδέᾳ. γράψαντος γὰρ αὐτοῦ κοιλίη ταραχώδης, λεπτοῖσιν, πολλοῖσιν, ὠμοῖσι, καίτοι γ' αὐτὸς εἰπὼν ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως, καῦσον αὐτῇ γεγονέναι. ὀνομάσας δὲ καὶ τὸν πυρετὸν, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ἀρξάμενον, παροξυνθέντα δ' ἐν τῇ δευτέρᾳ. προσθεὶς δ' ὅτι καὶ γλῶσσα ἐπίξηρος, καὶ οὐχ ὕπνωσε, καὶ διψώ-

GALENI COMMENTARIUS.

Si propter aliquam causam externam hanc mulierē abortire contigisset, ipse significaret Hippocrates. Constat itaque abortionem ob morbum factam esse mulieri, quæ pravos humores collegerat. Adjecit huic orationi ex corruptione factus τὸ νηπίου *infantuli* dictionem, indicantis, ut arbitror, hac adjectione parvum fuisse obortivum fœtum. Nominant enim homines puellos non multo post conceptionem natos infantulos. Per metaphoram igitur par est Hippocratem valde pusillos ex conceptis fœtus ita appellasse. Etenim hi potissimùm corrupti ejiciuntur. Febris acutiem & magnitudinem per id quod protulit, *ignis prehendit*, declaravit, & ex eo quod adjecit, *lingua arida*, sitibunda, & æstuabunda, malignitatis febris signum existit. Accuratè dejectionum formæ mentem adhibe. Nam ubi scripsit, alvus turbata tenuibus, copiosis, & crudis, etiamsi ipse pronunciaverit in narrationis fine causum ipsi incidisse, vocaverit autem & febrem quæ primo die cœperit, & secundo exacerbata fuerit, adjeceritque quod lingua inaruerit, & sitibunda

da fuerit; attamen ait cruda fuisse quæ dejiciebantur. Ardentem vero febrem ex biliosis humoribus fieri scimus. Consentaneum igitur est huic mulieri in tota corporis mole biliosum humorem acervatum fuisse: in primis autem venis Mesaræi scilicet & simæ jecoris cruda contenta. Præterea & urinas ait ipsi fuisse tenues & crudas, crudis dejectionibus similes, crudis redundantibus humoribus, non in primis venis solùm, verumetiam in gibba jecoris parte. Febris ardens ad hujus ægrotantis finem multis in exemplaribus, adscriptum est. At nonnulla non hoc duntaxat scriptum habent, sed & τὸ α additum, vel quod primam hanc ægram in causo fuisse intelligere oporteat, vel primam hujus causi speciem esse, quæ deinceps ab ipso scripta est in secunda muliere, cujus principium ita est; alteram ex abortione. Ego vero in octavo ægro, cujus principium extat: Adolescentem qui in Mendacium foro decumbebat, absolutiorem dixi me de ita ascriptis sermonem facturum, quum decimum ægrotum explicarem. Atque nunc ipsum explicaturus sum, ex his duobus suspicatus ascriptum esse verbum, causus, febris ardens, ab altero quodam, non ipso authore, quod primùm quidem non uni vel duobus ægris ad finem narrationis morbi formam adscripsisset; sed omnibus vel plurimis, si omnino & nos has docere voluisset, ut nonnulli post ipsum fecerunt. Sed ille tanquam his qui morbum dignoscere sciuissent, eorum quæ ægris contigerunt, enarrationem fecit. Videntur autem & alii Veteres suis in Operibus non eos contemplari qui nuper ad Libros accesserunt, sed qui jam in ipsis habitum consequuntur. Confirmat autem meam opinionem præter id quod prædictum est, secundum hoc quod in solo Epidemiorum tertio ascriptum est. Omnibus itaque hujus libri Interpretibus ab altero quodam qui apparatos nunc characteras illos ascripsit, & hæc jure ascripta. Nam in cynanchica jure quis concesserit ab Hippocrate adscriptum esse: interiit cynanchicâ, qui mulierem ipsam vellet interiisse ob cynanchen anginam. In hac quæ nunc dicitur obiisse, ita intelligi non potest. Nam posteaquam pronunciavit: Septimo obiit, intulit; alvus perpetuò liquida dejectionibus copiosis, tenuibus, & crudis; urinæ paucæ, tenues. Posteaque deinceps scriptum est, febris ardens; nonnullis autem & α adjacet; in quibusdam autem pro ipso scriptum est, *primus*, in aliis vero *prima*. Hunc siquidem Librum prorsus labefactarunt ejusmodi ascriptis plerique juniores Medici. Patet ergo non ut in cynanchicâ ad finem ascripsisse, obiit cynanchicâ. Eodem modo concedendum esse, & nunc scriptis adjectum, febris ardens. Non enim pronunciavit, obiit ardente febre detenta, quemadmodum in anginosa; obiit cynanchicâ. Sed hoc nomen causus recto casu scriptum comperitur. In medio vero tum hujus, tum obiit, est & alvus perpetuo liquida, & quæ huic continua existunt. Quoniam ergo neque mortua est ardente febre, imo neque deinceps hæc prorsus inter se cohærentia scripta sunt, manifestum evadit, ab aliquo intersertum fuisse, non autem ab ipso Hippocrate scriptum. Fortassis vero & aliquis ascripsit, suiipsius gratia, ut

A δης ἦν, ὅμως ὠμά φησιν εἶναι τὰ διαχωρούμενα. καῦσον δὲ πυρετὸν ἐπὶ χολώδεσι χυμοῖσι γινόμενον ἴσμεν. εἰκὸς οὖν τῇ γυναικὶ ταύτῃ, κατὰ μὲν ὅλον τὸν ὄγκον τοῦ σώματος ἠθροῖσθαι τὸν χολώδη χυμόν, ἐν δὲ ταῖς πρώταις φλεψὶ ταῖς κατὰ τὸ μεσάραιόν τε, καὶ τὰ σιμὰ τοῦ ἥπατος ὠμὰ περιέχεσθαι. καὶ μὴν καὶ τὰ οὖρά φησιν αὐτῇ γεγονέναι λεπτὰ παραπλησίως τοῖς ὠμοῖς διαχωρήμασιν, οὐ μόνον ἐν ταῖς πρώταις φλεψίν, ἀλλὰ καὶ κατὰ τὰ κυρτὰ τοῦ ἥπατος ὠμῶν πλεοναζόντων χυμῶν. ὁ δὲ καῦσος ἐπὶ τέλει τῆς ἀρρώστου ταύτης, ἐν πολλοῖς τῶν ἀντιγράφων προσγέγραπται καῦσος, ἔνια δ' οὐ τοῦτο μόνον ἔχει γεγραμμένον, ἀλλὰ καὶ τὸ α. προσκείμενον, ὡς ἤτοι πρώτην νοεῖσθαι τὴν ἄρρωστον ταύτην ἐν καύσῳ γεγονυῖαν, ἢ πρῶτον εἶδος εἶναι τοῦτο τοῦ καύσου. τὸ δ' ἐφεξῆς αὐτοῦ γεγραμμένον, δεύτερον ἐπὶ τῆς γυναικός, ἧς οὕτως ἄρχεται, ἑτέρην ἐξ ἀποφθορῆς. ἐγὼ κατὰ τὸν ὄγδοον ἄρρωστον, οὗ ἡ ἀρχή· τὸ μειράκιον ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τελεώτερον ἔφην ποιήσασθαι τὸν περὶ τῶν οὕτως προσγεγραμμένων λόγον, ὅταν ἐξηγῶμαι τὸν δέκατον ἄρρωστον, ἀποδώσω τε νῦν αὐτόν, ἐκ δυοῖν τούτοιν ὑποπτεύων προσγεγράφθαι τὸ, καῦσος ἀφ' ἑτέρου τινὸς οὐκ αὐτοῦ τοῦ συγγραφέως. ὅτι πρῶτον μὲν οὐχ ἑνί, ἢ δυοῖν τῶν ἀρρώστων ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως τὴν ἰδέαν τῆς νόσου προσέγραψε, ἀλλὰ πᾶσιν, ἢ τοῖς πλείστοις, εἴπερ ὅλως ἐβούλετο καὶ ταύτας ἡμᾶς διδάσκειν, ὡς ἔνιοι τῶν μετ' αὐτὸν ἐποίησαν. ὁ δὲ ὡς εἰδόσι διαγινώσκειν τὰ νοσήματα, τὴν διήγησιν ἐποιήσατο τῶν συμβάντων τοῖς ἀρρώστοις. φαίνονται δὲ καὶ οἱ ἄλλοι παλαιοί, μὴ στοχαζόμενοι κατὰ τὰ συγγράμματα, τῶν ἄρτι προσιόντων ταῖς βίβλοις, ἀλλὰ τῶν ἤδη καθ' αὐτὰς ἐχόντων ἕξιν. βεβαιοῖ δέ μου τὴν ὑπόληψιν ἐπὶ τῷ προειρημένῳ, δεύτερον τοῦτο, τὸ τῷ τρίτῳ τῶν ἐπιδημιῶν μόνῳ, προσγεγράφθαι. πᾶσιν οὖν τοῦτο τοῖς ἐξηγησαμένοις τὸ βιβλίον ἔδοξεν ὑφ' ἑτέρου τινὸς τοῦ τοὺς διεσκευασμένους τὸ νῦν ἐκείνους χαρακτῆρας προσγράψαντος, καὶ ταῦτ' εἰκὸς προσγεγράφθαι. κατὰ μὲν γὰρ τὴν κυνάγχην, εἰκότως ἄν τις συγχωρήσειεν ὑφ' Ἱπποκράτους αὐτοῦ προσγεγράφθαι, τὸ ἀπέθανε κυναγχικῇ, διὰ τὴν κυνάγχην αὐτὴν βουλόμενος τεθνάναι τὴν γυναῖκα· κατὰ δὲ τὴν ἐν τῷ νῦν τεθνάναι λεγομένην, οὐχ οὕτως ἀκοῦσαι δυνατόν. εἰπὼν γὰρ ἑβδόμῃ ἀπέθανεν, ἐπιφέρει· κοιλίη διὰ παντὸς ὑγρή, διαχωρήμασι πολλοῖσι, λεπτοῖσιν, ὠμοῖσιν, οὖρα ὀλίγα λεπτά, καὶ μετὰ ταῦτ' ἐφεξῆς γέγραπται, καῦσος. ἐνίοις δὲ καὶ τὸ α. πρόσκειται, κατά τινα δ' ἀντ' αὐτοῦ γέγραπται πρῶτος, ἐν ἄλλοις δὲ πρώτη. παντοίως γὰρ ἐλυμήναντο τῷ βιβλίῳ τούτῳ κατὰ τὰ προσγραφόμενα, πολλοὶ τῶν νεωτέρων ἰατρῶν. εὔδηλον οὖν ὅτι μή, ὡς ἐπὶ τῆς κυναγχικῆς ἐπὶ τέλει προσέγραψε, τό, ἀπέθανε κυναγχικῇ, κατὰ τὸν αὐτὸν τρόπον ἐγχωρεῖ, καὶ νῦν προσγεγράφθαι, τό, καῦσος. οὐ γὰρ εἶπεν ἀπέθανε καυσουμένη, καθάπερ ἐπὶ τῆς κυναγχικῆς, ἀπέθανε κυναγχική. ἀλλὰ τό τε, καῦσος, ὄνομα κατὰ τὴν εὐθεῖαν πτῶσιν εὑρίσκεται γεγραμμένον, ἐν τῷ μεταξὺ δὲ τούτου τε καὶ τοῦ ἀπέθανε, τό τε κοιλίη διὰ παντὸς ὑγρή, καὶ τὰ τούτῳ συνεχῆ. ἐπεὶ τοίνυν οὔτ' ἀπέθανε καυσουμένη, ἀλλ' οὐδὲ ἐφεξῆς ὅλως ἀλλήλων ταῦτα γέγραπται, δῆλον ὅτι παρεγγέγραπται τοῦτο πρός τινος, οὐχ ὑφ' Ἱπποκράτους αὐτοῦ γέγραπται. τάχα δέ τις καὶ προσέγραψεν, ἕνεκεν ἑαυτοῦ, καθάπερ

εἰώθαμεν ὑπόμνησιν ἐν τοῖς μετωπίοις τὰ τοιαῦτα παραγράφειν. εἶτά τις τῶν μεταγραφόντων βιβλίον, ὡς αὐτοῦ τοῦ συγγραφέως ὄν, εἰς τὸ ὕφος αὐτὸ μετέθηκεν.

A ad memoriam talia in marginibus ascribere consuevimus; deinde eorum qui Librum transcripserunt aliquis tanquam ipsius authoris esset, in texturam operis transtulit.

Τὴν τοῦ Οἰκέτεω γυναῖκα περὶ πεντάμηνον ἐξ ἀποφθορᾶς εἰς τὸν καῦσον ἐμπεπτωκέναι. Καὶ αὐτὴν πολλοῖς κακοηθέσι ὀλεθρίοις συμπτώμασι, τῇ ἑβδόμῃ φρενιτικὴν ἀποθανεῖν. Αἱ τῆς ἀποφθορᾶς αἰτίαι. Ταύτης συμπτώματα ἐξηγεῖται ὁ Γαληνός, καὶ μὲν ἐνταῦθα ὀλίγα, ἐν προγνωστικῷ δὲ τὰ πλεῖστα.

Mulierem Oeceti uxorem circa quintum mensem ex abortione in febrem ardentem incidisse, eamque multis vexatam symptomatis perniciosis, septimo die phreneticam interiisse. Abortionis causæ, symptomata explicat Galenus, & hîc pauca, & in B prognognostico plurima.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η′.

ΑΡΡΩΣΤΟΣ ια′.

Ἑτέρην δὲ ἀποφθορῆς περὶ πεντάμηνον, Οἰκέτεω γυναῖκα, πῦρ ἔλαβεν. Ἀρχομένη δὲ, κωματώδης, καὶ πάλιν ἄγρυπνος, ὀσφύος ὀδύνη, κεφαλῆς βάρος. δευτέρῃ κοιλίη ἐπεταράχθη, ὀλίγοισι, λεπτοῖσι ἀκρήτοισι τὸ πρῶτον· τρίτῃ πλείω καὶ χείρω, νυκτὸς οὐδὲν ἐκοιμήθη· τετάρτῃ παρέκρουσε, φόβοι, δυσθυμίαι, δεξιῷ ἴλλαινεν, ἵδρου περὶ κεφαλὴν ὀλίγῳ ψυχρῷ, ἄκρεα ψυχρά. πέμπτῃ πάντα παρωξύνθη, πολλὰ παρέλεγε, καὶ πάλιν, ταχὺ κατενόει, δίψος, ἄγρυπνος, κοιλίη πολλοῖσιν ἀκρήτοισι διὰ τέλεος, οὖρα ὀλίγα, λεπτά, ὑπομέλανα, ἄκρεα ψυχρά, ὑποπέλια. ἕκτῃ διὰ τῶν αὐτῶν. ἑβδόμῃ ἀπέθανε φρενιτική.

HIPPOCRATIS TEXTUS VIII.

ÆGROTUS UNDECIMUS.

Alteram ex abortione ad quintum mensem Oeceti uxorem prehendit. Incœpit autem comatosa, ac rursum insomnis; lumborum dolor; capitis gravitas. Secundo die alvus turbata est, primùm paucis, tenuibus, & sinceris dejectionibus. C Tertio die pluribus ac deterioribus; nocte nihil dormivit. Quarto deliravit; metus, mœstitia, oculus distortus est; sudor paucus, & frigidus circum caput, extremitates frigidæ. Quinto exacerbata sunt omnia: multum deliravit: iterumque celeriter mente constitit, siticulosa, insomnis, alvus per totum morbum copiosis ac sinceris dejectionibus fluxit: urinæ paucæ, tenues, subnigræ: extrema frigida, sublivida. Sexto die eadem. Septimo obiit phrenitica.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ μὲν πρὸ ταύτης γεγραμμένη, νήπιον ἔτι τὸ ἔμβρυον ἀπέφθειρε, καὶ χρὴ νήπιον, τὸ ἔμβρυον, ὡς ἔφην, ἀκούειν, ἑνός, ἢ δυοῖν μηνοῖν, ἢ τὸ μακρότατον τριῶν. ἡ δὲ νῦν οὐδὲ κατὰ τὸν ἐνεστῶτα λόγον, πεντάμηνον ἔμβρυον ἐξέτρωσεν, οὐδ᾽ αὐτὴ διά τι τῶν ἔξωθεν αἰτίων, ἀλλ᾽ ἐκ τῆς κατὰ τὸ σῶμα διαθέσεως. ἐνίοτε μὲν γὰρ πηδήσασαι σφοδρότερον, ἢ δείσασαί τι τῶν ὀφθέντων αὐταῖς φοβερῶν, αἰφνίδιον ἐκτιτρώσκουσιν αἱ γυναῖκες· ἐνίοτε δὲ καὶ δι᾽ ὀδύνην, ἢ ἀπεψίας σφοδράς, ἢ φαρμακώδους τινὸς ἐδωδήν, ἢ αὐτὴν ἁπλῶς φαρμάκου πόσιν, ἢ διὰ τὸ προσφέρεσθαί τι τῶν ἀμβλωθριδίων, ἀλλὰ καὶ διὰ φλεβοτομίαν, καὶ δι᾽ αἱμορραγίαν, ἐκ τραύματος, ἢ ἐξ αἱμορροΐδος ἀμέτρου, ἐξέτρωσαν ἔνιαι. οἶδα δέ τινας καὶ ἐξ αὐτοῦ τραχήλου τῆς μήτρας αἱμορραγησάσας ἐγκύμονας ἐπὶ πλέον, εἶθ᾽ ἑξῆς ἐκβαλούσας τὸ ἔμβρυον, ὧν ὅτι μηδὲν ἐγίνετο ταῖς κατὰ τόνδε τὸν λόγον ἐφ᾽ Ἱπποκράτους γεγραμμέναις γυναιξί, δῆλον, ἐξ αὐτοῦ τοῦ μὴ προσγεγράφθαι κατὰ τὴν διήγησιν αὐτῶν, καί τοι γ᾽ εἰωθότος αὐτοῦ μὴ παραλείπειν τὰ τοιαῦτα. πυρέξαι τοίνυν αὐταῖς, οὐ διὰ τὴν τῶν ἐμβρύων ἐγένετο φθοράν, ἀλλ᾽ ἔμπαλιν, „ ἀπεφθείρετο κύημα διὰ τὸν πυρετόν. ἔοικε δὲ καὶ αὐ„ τῆς τῆς γυναικὸς ὁρμηθεὶς ὁ γράψας τὸ προρρητικόν, „ οὕτως εἰπεῖν. οἱ κωματώδεις ἐν ἀρχῇσι μετὰ κεφαλῆς, „ ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί; δύναται δὲ καὶ αὐτὸς ἑτέραν, ἢ ἕτερον οὕτως ἔχοντα θεάσασθαι. τὴν δ᾽ οὖν προκειμένην ἐν τῷ λόγῳ γυναῖκα, κωματώδη τε, καὶ πάλιν ἄγρυπνον ἔφη

GALENI COMMENTARIUS.

D Mulier ante hanc descripta infantulum etiamnum fœtum corruptum elisit. Infantulus autem fœtus, ut dixi, unius aut duorum, aut longissime trium mensium intelligendus est. At quæ præsenti oratione narratur, trium mensium fœtum abortivit, neque ipsa propter aliquam externarum causarum, sed ex corporis affectione. Interdum enim mulieres ubi vehementiùs salierunt, aut ubi derepente viso aliquo, quod illis terrori sit, metuerint, abortiunt: Interdum vero propter dolorem, vel insignem cruditatem, aut rei cujusdam E venenosæ esum, aut omnino pharmaci potum, aut quod insit quiddam eorum quæ abortionem concitant: imo nonnullæ & propter venæ sectionem, & sanguinis ex vulnere eruptionem, vel ex immoderata hæmorrhoide abortierunt. Quasdam autem novi & ex ipsa uteri cervice sanguinem profudisse prægnantes jamdiu, moxque deinde fœtum ejecisse. Quorum, mulieribus hac in oratione ab Hippocrate scriptis, nullum fuisse ex eo constat quod in ipsarum explanatione non ascripserit, quum ipse talia prætermittere non consueverit. Ipsis ergo con-F tigit febricitare: non propter fœtus corruptionem; sed propter febrem abortiverunt. Videtur autem hac muliere concitatus qui prorrheticum scripsit, ita enunciare: qui comatosi per initia sunt cum capitis, lumborum, hypochondrii & cervicis dolore vigilantes num phrenitici? Potest autem ipse alteram, vel alterum ita habentem vidisse. Propositam igitur hac in oratione mulierem tum comatosam, tum rur-

ſus inſomnem fuiſſe profert, & capitis gravitatem habere, & lumborum dolorem: non tamen quicquam de cervice appoſuit. Ait & alvum perturbatam fuiſſe tenuibus & ſinceris dejectionibus, nihil hîc præterea de ipſarum colore adjecit. Datur namque mera pallida, & flava, & fulva, & rubra, æruginoſa, & nigra dejici, cognoſcentibus nobis Hippocratem ipſum mera vocare quæcunque familiarem colorem habent cum altero humore impermixtum, ut ſi quis finxerit bilioſas dejectiones meras, hoc eſt, vel colore flavas, vel fulvas. Nam æruginoſas & nigras adjecto colore dicere tum huic, tum cæteris Medicis conſuetudo eſt. Nos vero etiam citra additionem bilioſas quaſdam dejici dicere conſuevimus, de flava bile tali dictione uſi. Ex æruginoſa vero, vel nigra, vel altera quapiam bile, non ſimpliciter bilioſa dicimus, ſed ipſi coloris diſcrimen ipſis adjicimus. Atque hæc in omnibus conſuetudo invaluit, quod bilis tum pallida, tum flava aſſiduè tum vomatur, tum dejiciatur, non ſolùm ægrotantibus, ſed etiam bene valentibus, raro vero alia, in hiſce duntaxat qui morboſum affectum ſortiuntur. In tertii diei narratione quum pronunciaſſet; nocte nihil dormivit, comatis autem non ampliùs meminit, demonſtravit nobis ipſam paulo poſt deliraturam. Jure igitur ſerie narravit; quarto deliravit, metus, mœſtitia, oculus dexter diſtortus eſt, ſudor circum caput paucus, frigidus; phreniticam hominem oſtendit eſſe, proindeque pravè admodum habere. Quum autem enarratis tum ſignis, tum ſymptomatis extremitatum frigus adjeciſſet, etiamnum magis quidam ipſam mori expectavit. Etverò defuncta eſt prædictis comitata ſymptomatis, quibus quinto & ſexto die vexata eſt. Quæ vero ut fidem his facientia in prorrhetico ſcripta ſunt, etiamſi in Commentariis illum in Librum factis, prava priùs eſſe demonſtravimus, memoriæ tamen gratia, ipſa commemoraturus ſum, quanquam talios ſcribere deprecatus renuerim. Quum itaque dictum ſit in prorrhetico; ex lumborum recurſu oculorum perverſio, ob id mulieris hujus meminerunt, & in ipſius oratione dictionis prorrhetici. Sunt autem, ut demonſtratum eſt, talia omnia prava, ſcientibus nobis in univerſali oculorum perverſionem non bonum eſſe ſignum, ſive ex lumborum recurſu, ſive quovis modo fiat; malè præterea affectatam eſſe interpretationem, & ab Hippocratis dictione longè alienam. Nō enim pronunciavit: ex lumborum recurſu, ſed ut in prognoſtico, in hac dictione; Qui cum febre circa lumbos & inferas ſedes fiunt dolores, ſi ſeptum tranſverſum, inferis ſedibus relictis, attigerint, lethales admodum exiſtunt. Non tamen poteſt aliquis in præſenti ægra aſcenſum ad caput oſtendere, redundantium in lumbis humorum. Atque ut hæc temerè quidam Interpretum dixerunt: ſic & dictionem hanc malè ex prorrhetico nunc dictis inferunt ad ægræ præſentis explicationem, in qua profert; Ventris valde rubra proluvies, prava quidem in morbis omnibus, non minimè verò in propoſitis, quum non dixerit Hippocrates prærubram huic mulieri ventris fuiſſe proluviem. Abſurdius autem adhuc, & hujus dictionis ſunt memores. In febribus ardentibus, cum aliquan-

A γενέσθαι, κεφαλῆς τε βάρος ἔχειν, καὶ τῆς ὀσφύος ὀδύνην, οὐ μὴν περὶ τραχήλου προσέθετό τι. φησὶ δὲ καὶ τὴν κοιλίαν ἐπιταραχθῆναι λεπτοῖς καὶ ἀκράτοις, οὐδὲν ἐνταῦθα προσθεὶς ἔτι περὶ τῆς χρόας αὐτῶν. ἐγχωρεῖ γὰρ ἄκρατα, ὠχρά, καὶ ξανθά, καὶ πυῤῥά, καὶ ἐρυθρά, καὶ ἰώδη, καὶ μέλανα διαχωρεῖσθαι, γινωσκόντων ἄκρατα καλεῖν αὐτόν, ὅσα τὴν οἰκείαν χροιὰν ἄμικτον ἔχει πρὸς ἕτερον χυμόν. ὡς δ' ἄν τις εἰκάσειε, χολώδη διεχώρησεν ἄκρατα, τουτέστιν ἤτοι ξανθὰ κατὰ τὴν χρόαν, ἢ πυῤῥά· τὰ γὰρ ἰώδη, καὶ B μέλανα, μετὰ τοῦ προσθεῖναι τὴν χρόαν, ἔθος ἐστὶ καὶ τούτῳ καὶ τοῖς ἄλλοις ἰατροῖς. καὶ ἡμεῖς εἰώθαμεν ἄνευ προσθήκης, χολώδη διαχωρῆσαί τινα λέγειν, ἐπὶ τῇ χολῇ ξανθῇ τοιαύτῃ λέξει χρώμενοι. τὰ δὲ τῆς ἰώδους, ἢ μελαίνης, ἤ τινος ἑτέρας χολῆς οὐ λέγομεν ἁπλῶς χολώδη, τίθεμεν δ' αὐτοῖ, τὴν ἀπὸ τῆς χρόας διάκρισιν αὐτοῖς. καὶ τοῦτο γ' ἐν ἅπασι τὸ ἔθος ὑπῆρξε, διὰ τὸ συνεχῶς μὲν ἐμεῖσθαί τε καὶ διαχωρεῖσθαι τὴν ὠχράν τε καὶ ξανθὴν χολήν, οὐ μόνοις τοῖς νοσοῦσιν, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσι, σπανίως δὲ τὰς ἄλλας, καὶ μόνον ἐπὶ τῶν νοσώδη διάθεσιν ἐχόντων. κατὰ γοῦν τὴν τῆς τρίτης ἡμέρας διήγησιν εἰπὼν, C νυκτὸς οὐδὲν ἐκοιμήθη, τοῦ κώματος δὲ οὐκ ἔτι μνημονεύσας, ἔνδειξιν παρέσχεν ἡμῖν τοῦ μέλλειν ὅσον οὔπω παραφρονήσειν. εἰκότως γοῦν ἐφεξῆς ἐρεῖ, τετάρτῃ παρέκρουσε, φόβος, δυσθυμία, πρὸς δὲ καὶ τὸν δεξιὸν ἴλλαινεν· ἔτι τε τὸ, ἵδρου περὶ κεφαλὴν ὀλίγῳ ψυχρῷ, φρενιτικὴν τε ἤδη τὴν ἄνθρωπον ἐδήλωσεν εἶναι, καὶ πρὸς τοῦτο μοχθηρῶς ἔχειν πάνυ. προστεθέντων δὲ τοῖς εἰρημένοις σημείοις τε καὶ συμπτώμασι, τῆς ψυχρῶν ἀκρέων, ἔτι μᾶλλον ἄν τις αὐτὴν προσεδόκησεν τεθνήξεσθαι. καὶ τοίνυν ἀπέθανε ἀκόλουθον τοῖς εἰρημένοις συμπτώμασιν ἔχουσα τὰ κατὰ τὴν πέμπτην, καὶ τὴν ἕκτην. τὰ δὴ, D ὡς μαρτυροῦντα τούτοις ἐν προῤῥητικῷ γεγραμμένα, φθάνω δείξας ἐν τοῖς εἰς ἐκεῖνο τὸ βιβλίον, ὅπως ἐστὶ μοχθηρά. μνημονεύσομεν τοίνυν καὶ αὐτῶν ἀναμνήσεως ἕνεκα, καίτοι παραιτούμενοι τὰ τοιαῦτα γράφειν. εἰρημένου τοίνυν ἐν προῤῥητικῷ, ἐξ ὀσφύος ἀναδρομῆς, ὀφθαλμῶν ἴλλωσις; διὰ τοῦτο τῆς γυναικὸς ταύτης ἀναμιμνήσκουσιν, ἔν τε τῷ περὶ ταύτης λόγῳ τῆς ἐν τῷ προῤῥητικῷ λέξεως. ἔστι δ' ὡς ἐδείχθη, τὰ τοιαῦτα πάντα μοχθηρά, γινωσκόντων ἡμῶν, ἐν τῷ καθόλου τὴν διαστροφὴν τῶν ὀφθαλμῶν οὐκ E ἀγαθὸν εἶναι σημεῖον, ἐάν τ' ἐξ ὀσφύος ἀναδρομῆς, ἐάν θ' ὁπωσοῦν γένηται, μετὰ τοῦ κακόζηλον εἶναι τὴν ἑρμηνείαν, „ καὶ πόῤῥω τῆς Ἱπποκράτους λέξεως. οὐ γὰρ ἂν εἶπεν ἐξ „ ὀσφύος ἀναδρομῆς, ἀλλ' ὡς ἐν τῷ προγνωστικῷ κατὰ „ τήνδε τὴν λέξιν. αἱ δὲ σὺν πυρετῷ ὀδύναι γινόμεναι „ περὶ τὴν ὀσφὺν, καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι, ὀλέθριον κάρτα. οὐ μὴν οὐδ' ἔχει τις ἐπὶ τῆς προκειμένης ἀῤῥώστου δεῖξαι γεγονυῖαν F εἰς τὴν κεφαλὴν ἄνοδον τῶν κατὰ τὴν ὀσφὺν πλεοναζόντων χυμῶν· ὥσπερ καὶ ταῦτα μάτην εἶπόν τινες τῶν ἐξηγητῶν, οὕτω καὶ τήνδε τὴν ῥῆσιν κακῶς ἐκ τοῦ προῤῥητικοῦ ἐπιφέρουσι τοῖς νῦν εἰρημένοις εἰς ἐξήγησιν τῆς προκειμένης ἀῤῥώστου, καθ' ἣν φησι, κοιλίης περίπλυσις ἐξέρυθρος, κακὸν μὲν ἐν πᾶσιν, οὐχ ἥκιστα δὲ τοῖς προκειμένοις, οὐκ εἰρηκότος Ἱπποκράτους, ἐξέρυθρον τῇ γυναικὶ ταύτῃ γεγονέναι περίπλυσιν κοιλίης. ἔτι δὲ μᾶλλον ἀτόπως μνημονεύουσι „ καὶ τῆσδε τῆς ῥήσεως, ἐν πυρετοῖς καυσώδεσιν, ὑπο- „

« περιψύξεσι, καὶ διαχωρήμασιν ὑδατοχόλοισι συχνοῖς, » ὀφθαλμοῖσι λῆμαι σημεῖον κακὸν, ἄλλως τε καὶ ἢν κάτοχοι γίνωνται. διαφέρειν δ' οὐδὲν φασιν, ἢ κάτοχον εἰπεῖν, ἢ κῶμα, μὴ γινώσκοντες, ὡς αὐτὸς ὁ Ἱπποκράτης διαιρεῖ τὸ βαθὺ κῶμα, τοῦ μετ' ἀγρυπνίας. τὸ μὲν οὖν βαθὺ κῶμα κοινωνίαν ἔχει τινὰ, πρὸς τὴν καλουμένην κατοχὴν ὑπὸ τῶν περὶ τὸν Ἀρχιγένην τε καὶ Φίλιππον. οὐ μὴν ὅτι τὸ ἄγρυπνον, ὃ ταύτῃ τῇ γυναικὶ γενέσθαι φασὶν ἐν ἀρχῇ τοῦ νοσήματος, οὐ καθ' ὃν χρόνον ὁ ὀφθαλμὸς παρεσπάσθη. θαυμάσαι δ' ἐστὶ καὶ τούτων τῶν ἀμφοτέρας τὰς ῥήσεις γραψάντων ἐν ἐξηγήσει τῆς προκειμένης ἀρρώστου, καθ' ἣν φησι, κοιλίης περίπλυσις ἐξέρυθρος, καὶ τὸ διαχωρήμασιν ὑδατοχόλοισιν. οὐδετέραν μὲν γὰρ αὐτῶν ἔγραψεν ἐπὶ τῆς γυναικὸς ταύτης ὁ Ἱπποκράτης, οὐδὲ ὡς ἀμφοτέρας γράψαντος ἐξηγοῦνται, πρὸς τῷ μηδὲ δύνασθαι τὴν αὐτὴν διαχώρησιν ἐξέρυθρόν τε καὶ ὑδατόχολον εἶναι. παρατίθενται δὲ καὶ ἄλλας πολλὰς ῥήσεις, δι' ἀλλήλων ἐξηγούμενοι τό τε προῤῥητικὸν, καὶ τοὺς ἐν ταῖς ἐπιδημίαις ἀρρώστους. ἀλλὰ πάντ' ἐξελέγχειν ὅσα κακῶς ἔγραψαν οὐ καιρὸς, εἰρημένης γε σαφῶς τε ἅμα καὶ τελέως ἡμῖν, ἐν τοῖς εἰς τὸ προῤῥητικὸν ὑπομνήμασι, τῆς μοχθηρίας τῶν τοιούτων ἐξηγήσεων. Φρενῖτις, καὶ τοῦτο τῶν προσγεγραμμένων ἐστὶν, ὥσπερ ὁ καῦσος ἔμπροσθεν, οὐκ ἐν ἅπασιν αὖ τοῖς ἀντιγράφοις. οὔτε γὰρ ἐπ' ἄλλου τινὸς ἀρρώστου τοιοῦτόν τι προσέγραψεν, οὔτε προὔκειτο νῦν αὐτῷ διαγνώσεις γράφειν νοσημάτων, ὡς ἐν τοῖς περὶ νούσων ἐπιγεγραμμένοις ἐστὶν εὑρεῖν.

tulo frigore, dejectionibusque aquosis, biliosis, ac multis, oculorum lemæ signum malum est, tum aliàs, tum si catochi fiant; nihilque referre proferunt, si vel catochum dicas, ignorantes Hippocratem profundum coma à comate vigili distinguere. Itaque profundum coma aliquam habet ad vocatam catochen ab Archigene & Philippo, communitatem: non tamen vigil, quod huic mulieri accidisse narrant in morbi principio, & non quo tempore distortus est oculus. Porrò mirari licet eos utranque dictionem in præsentis ægræ explanatione scripsisse in qua profert: Alvi prærubra proluvies, &, dejectionibus aquosæ bilis: neutram etenim ipsarum hac in muliere scripsit Hippocrates, neque quod utranque scripserit explicant. Præterea quod neque eadem dejectio esse potuerit, tum prærubra, tum aquosa bilis. Interserunt autem & alias multas dictiones quæ vicissim tum prorrheticum interpretantur, tum ægros qui in epidemiis narrantur. Verum quæcunque vitiosè scripta sunt, arguere non licet, quum declarata sit in nobis dilucidè simul & absolutè in prorrheticum Commentariis ejusmodi interpretationum pravitas. Phrenitis hoc etiam inter ascripta connumeratur, quemadmodum etiam causus qui antea non in omnibus exemplaribus existit. Neque enim in alio quodam ægroto aliquid hujusmodi adscripsit, neque nunc ipse instituerat morborum dignotiones scribere, ut in Libris de morbis inscriptis reperire licet.

Τὴν παιδοτόκον ἄῤῥενος ἐκδεδομένου τῷ καύσῳ πυρετῷ ληφθεῖσαν τοῖς ὀλεθρίοις ἐνοχληθεῖσαν συμπτώμασι, τεσσαρεσκαιδεκάτῃ τεθνηκέναι.

Puerperam, masculo fœtu edito, vehementi febre ardente correptam perniciosis vexatam symptomatis, decimoquarto interiisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ.

ΑΡΡΩΣΤΟΣ ιβ.

Γυναῖκα ἣ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τεκοῦσαν γε τὸ πρῶτον ἐπιπόνως ἄῤῥεν, πῦρ ἔλαβεν, αὐτίκα ἀρχομένη διψώδης, ἀσώδης, καρδίαν ὑπήλγει, γλῶσσα ἐπίξηρος, κοιλίη ἐπεταράχθη, λεπτοῖσιν, ὀλίγοισιν, οὐχ ὕπνωσεν. δευτέρῃ, μικρὰ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, μικρὰ περὶ κεφαλὴν ἵδρωσε ψυχρῷ. τρίτῃ, ἐπιπόνως ἀπὸ κοιλίης ὠμὰ, πολλὰ, λεπτὰ διῄει. τετάρτῃ ἐπεῤῥίγωσε, πάντα παρωξύνθη, ἄυπνος. πέμπτῃ ἐπιπόνως. ἕκτῃ διὰ τῶν αὐτῶν, ἀπὸ κοιλίης ἦλθεν ὑγρὰ πολλά. ἑβδόμῃ ἐπεῤῥίγωσε, πυρετὸς ὀξὺς, δίψα πολλὴ, βληστρισμὸς, περὶ δείλην ἵδρωσε δι' ὅλου ψυχρῷ, ψύξις ἀκρέων, καὶ οὐκέτ' ἀνεθερμαίνετο, καὶ πάλιν εἰς νύκτα ἐπεῤῥίγωσε, ἄκρεα οὐκ ἀνεθερμαίνετο, οὐχ ὕπνωσε, μικρὰ παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει. ὀγδόῃ περὶ μέσον ἡμέρης ἀνεθερμάνθη, διψώδης, κωματώδης, ἀσώδης, ἤμεσε χολώδεα, μικρὰ, ξανθά, νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, οὔρησε πολὺ, ἀθρόον, οὐκ εἰδυῖα. ἐνάτῃ ξυνέδωκε πάντα, κωματώδης πρὸς δείλην, μικρὰ ἐπεῤῥίγωσε, ἤμεσε πικρὰ, χολώδεα. δεκάτῃ ῥῖγος, πυρετὸς παρωξύνθη, οὐχ ὕπνωσεν οὐδὲν, πρωῒ οὔρησε πολὺ ὑπόστασιν οὐκ ἔχον, ἄκρεα ἀνεθερμάνθη. ἑνδεκάτῃ ἤμεσεν ἰώδεα, χολώδεα, ἐῤῥίγωσεν οὐ μετὰ πολὺ, καὶ πάλιν ἄκρεα ψυχρά. εἰς δείλην ῥῖγος, ἱδρὼς, ἤμεσε

HIPPOCRATIS TEXTUS IX.

ÆGROTUS DUODECIMUS.

Quæ mulier in Mendacium foro decumbebat, eam primùm laboriosè masculum enixam vehemens prehendit febris; statim in principio sitibunda, fastidiosa, cardialgia laboravit; lingua perarida, alvus tenuibus & paucis perturbata, non dormivit. Secundo die aliquantulum riguit, febris acuta, paucus circa caput sudor manavit. Tertio laboriosè ab alvo cruda, copiosa, tenuia prodierunt. Quarto rigor obortus est, exacerbata sunt omnia, insomnis. Quinto molestè habuit. Sexto eadem ab alvo liquida copiosa secessere. Septimo riguit; febris acuta, sitis ingens, jactatio, circiter occasum, toto corpore sudor frigidus diffusus est, extremorum frigus quæ non recalescebant, iterumque sub noctem riguit, extrema non recalescebant, non dormivit, aliquantulum deliravit, ac rursum illico ad mentem rediit. Octavo circa meridiem recaluit, sitibunda, comatosa, nauseabunda: vomuit biliosa, pauca, flava; nocte jactatio, non dormivit, multum affatimque minxit inscia. Nono remissa sunt omnia, comatosa ad vesperam, pauxillum riguit, vomuit amara biliosa. Decimo rigor, febris exacerbata est, nihil dormivit, manè copiosum minxit sedimentum non habens; extrema recaluerunt. Undecimo vomuit æruginosa, biliosa, non multo post riguit; iterumque extrema frigida; ad occasum rigor, sudor, vomuit copiosa; nox la-

boriosa. Duodecimo vomuit copiosa, nigra, graveolentia; singultus multus; sitis laboriosa. Decimotertio nigra, graveolentia, copiosa vomuit, rigor, circa meridiem muta. Decimoquarto sanguis per naris effluxit, defuncta est. Huic per totum morbum alvus liquida, & horroris sensus adfuit, ætas annorum fere septemdecim.

A πολλά, νύκτα ἐπιπόνως. δωδεκάτη, ἤμεσε πολλά, μέλανα, δυσώδεα, λυγμὸς πολύς, δίψος ἐπιπόνως. τρισκαιδεκάτη, μέλανα, δυσώδεα, πολλὰ ἤμεσεν, ῥῖγος, περὶ δὲ μέσον ἡμέρης, ἄφωνος. τεσσαρεσκαιδεκάτη αἷμα διὰ ῥινῶν, ἀπέθανε· ταύτῃ διὰ τέλεος κοιλίη ὑγρή, φρικώδης, ἡλικίη περὶ ἔτεα ιζ΄.

GALENI COMMENTARIUS.

Sive Athenis in Astutorum foro hæc muliercula decumberet, sive alia in civitate, aliis inquirendum permittentes, quæ per totum acciderunt morbum contemplabimur, à quibus ipsi non concedebatur vivere. Omnia siquidem à principio erant lethalia, & magis quisquam admiratus fuerit quomodo ad decimumquartum suffecerit. Verùm mihi videtur ob id ad finem eorum quæ ipsi oborta sunt addidisse. *Ætas annorum ferè septemdecim.* Constat autem præterquamquod valida esset ætate, & ipsam per se naturæ imbecillæ non fuisse, aliàs non suffecisset. Quum enim neque aliud quicquam eorum quæ illi facta sunt, esset utile, ac derepente secundo die parum riguisset, acutè febricitasset, circa caput parum frigidum sudasset, mox rursum quarto exacerbata essent omnia, iterumque septimo riguisset, lingua inaruisset, & acutè febricitasset, habuissetque præterea extremitates frigidas, neque hæ ampliùs recalescerent, quomodo ipsam prorsus mori nono vel undecimo die nón oportuit? Producta est utique ad decimumquartum diem propter tum ætatem, tum robur naturæ, quæ robur idem declaravit, ac decimoquarto die sanguinis eruptionem excitavit At enim sanguinis vacuatio morbum certè maximum non erat sanatura. Demonstravit autem morbi magnitudinem præter alvi symptomata, graveolentia nigrorum vomitu rejectorum, perpetuo siquidem lethalia sunt graveolentia, quemadmodum & ipse in prognostico pronunciavit: omnes & putres & graveolentes odores in omnibus quæ vomitu rejiciuntur, mali. Quod in fine adscriptum est: causus similem absurditatem sortitur scripto ad calcem ante hanc ægram verbo, Phrenitis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴτ' Ἀθήνησιν ἐν τῇ τῶν Κερκώπων ἀγορᾷ κατέκειτο τοῦτο τὸ γύναιον, εἴτ' ἐν ἄλλῃ πόλει, ζητεῖν ἑτέροις παρέντες, σκεψώμεθα τὰ συμβάντα δι' ὅλου τοῦ νοσήματος, ἐφ' οἷς ἀδύνατον ἦν αὐτῇ ζῆσαι. πάντα γὰρ ἀπ' ἀρχῆς ἦν B θανάσιμα. καὶ μᾶλλον ἄν τις θαυμάσειε, πῶς ἐξήρκεσεν ἄχρι τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας. ἀλλά μοι δοκεῖ διὰ τοῦτο ἐπὶ τῷ τέλει τοῦ καθ' αὐτὴν, προσθεῖναι, τὸ ἡλικίη περὶ ἔτεα ιζ΄. δῆλον δ' ἐστὶ πρὸς τῷ τῆς ἡλικίας ἰσχυρᾷ, καὶ αὐτὴν καθ' ἑαυτὴν, οὐκ ἀσθενῆ τὴν φύσιν εἶναι, ἢ οὐκ ἂν ἐξήρκεσεν. ὅπου γὰρ οὔτ' ἄλλο τι τῶν γινομένων αὐτῇ χρηστὸν ἦν, εὐθέως τὰ κατὰ τὴν δευτέραν, ἐπιρριγώσασα μικρά, καὶ ὀξέως πυρέξασα, περὶ τὴν κεφαλὴν ἵδρωσεν ὀλίγον ψυχρόν, εἶτα πάλιν ἐν τῇ τετάρτῃ πάντα παρωξύνθη, καὶ κατὰ τὴν ζ΄. αὖθις ἐπερρίγωσεν, γλῶσσά τε ξηρὰ καὶ ὀξέως πυρέξασα, πρὸς τῷ ἴσχειν ἄκρεα ψυχρά, καὶ τὸ μηκέτ' ἀναθερμαίνεσθαι ταῦτα προσέλαβεν. πῶς οὐκ ἐχρῆν αὐτὴν ἀποθανεῖν μὲν πάντως, C ἤτοι κατὰ τὴν ἐνάτην, ἢ κατὰ τὴν ἑνδεκάτην ἡμέραν; ἐπεμέτρησεν οὖν ἄχρι τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας, διά τε τὴν ἡλικίαν καὶ τὴν ἰσχὺν τῆς φύσεως, ἥτις τὴν αὑτῆς ῥώμην ἐνεδείξατο κἂν τῷ τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ ποιῆσαι τὴν αἱμορραγίαν. ἀλλὰ γὰρ οὐκ ἔμελλε ἰάσασθαι τὴν νόσον οὖσαν μεγίστην ἡ κένωσις τοῦ αἵματος. ἐνεδείξατο δὲ τὸ μέγεθος αὐτῆς πρὸς τοῖς ἄλλοις συμπτώμασιν καὶ ἡ δυσωδία τῶν ἐμεθέντων μελάνων, ἀεὶ γὰρ ὀλέθρια τὰ δυσώδη, καθότι καὶ αὐτὸς ἐν προγνωστικῷ φησί. πᾶσαί τε αἱ ὑπόσαπροι » καὶ δυσώδεες ὀδμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖς ἐμουμένοισι. τὸ δ' » ἐπὶ τῷ τέλει προσγεγραμμένον, καῦσος, ὁμοίαν ἀτοπίαν » ἔχει, τῷ, κατὰ τὴν πρὸ ταύτης ἄρρωστον, ἐπὶ τέλει γεγραμμένῳ, φρενῖτις.

Commentarii II. in III. Epidemiorum finis.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

HIPPOCRATIS EPIDEMIORVM LIBER TERTIVS, ET GALENI IN EVM COMMENTARIVS TERTIVS.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

ΤΟ ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΡΙΤΟΥ ΤΜΗΜΑΤΟΣ.

Τὴν κατάστασιν νότιον θερμὴν, καὶ ὑγρὴν, καὶ λοιμώδη, καὶ τὰ ταύτῃ ἑπόμενα πάθη διαγράφει.

SECTIO TERTIA.

ARGVMENTVM SECTIONIS TERTIÆ.

Statum austrinum, calidum, humidum, ac pestilentem describit.


Η ΚΑΤΑΣΤΑΣΙΣ ΛΟΙΜΩΔΗΣ

Τί κατάστασις καθ' Ἱπποκράτην ἦ· καὶ ξηρὰν τὴν κατάστασιν τῆς ὑγρᾶς ἢ ἐπομβρείας ὑγιεινοτέραν εἶναι. καὶ κατὰ τὴν κατάστασιν ἐπομβρείαν τὰ νοσήματα, τοὺς πυρετοὺς μακροὺς, καὶ τῆς κοιλίας ῥύσεις, καὶ σηπεδόνας γίνεσθαι. A

STATVS PESTILENS.

Quid status sit ex Hippocrate: & siccum statum humido salubriorem esse. Ex pluvio statu diuturnas febres, alvi profluvia, & putredines oriri.

ΓΑΛΗΝΟΥ ΠΡΟΟΙΜΙΟΝ.



Οιμώδη κατάστασιν ἐνταῦθα γράφοντος Ἱπποκράτους, ὅσα πρὸς τὴν ἐξήγησιν τῶν ἑξῆς μέλλει χρήσιμά ἐστιν, ἐν τοῖς ἔμπροσθεν ὑφ' ἡμῶν ἐξειργασμένα, διὰ κεφαλαίων ὑπομνήσας, οὕτως ἐπὶ τὰς ῥήσεις αὐτοῦ παραγενήσομαι. πρῶτον μὲν, ὅτι

GALENI PRÆFATIO.



UUM pestilentem statum hîc scribat Hippocrates, quæ ad eorum dicturus est explanationem conferunt, superius à nobis elaborata per capita commentatus, ita ad ipsius contextus accedam. Primum quidem quod statum non solum ambien-

tis nos aëris temperamentum præter naturam, verumetiam omnem cujuscunque rei ideam ita appellare consueverit ad memoriam revocemus. Deinde quod sit quoddam secundùm naturam unicuique anni tempori temperamentum. Postea quod propter naturalis status in eum qui præter naturam est, eversionem nostris in corporibus morbi oboriantur. Cum his autem eorum meminerimus quæ in aphorismis scripsit hisce verbis usus. *Ex anni constitutionibus siccitates assiduis imbribus sunt salubriores, minusque lethales. Per assiduos autem imbres morbi plerunque oriuntur, febres longæ, alui profluvia, & putredines.* Recordemur quoque, & quæ in principio secundi Epidemicorum interpretatus scripsi. Quod si quis quæ protuli, accuratè ipsa legit; ad eorum quæ nunc nobis proposita sunt, explicationem perveniet.

A κατάστασιν, οὐ μόνην τὴν παρὰ φύσιν ἐν τῷ περιέχοντι κρᾶσιν, ἀλλὰ καὶ πᾶσαν ἰδέαν ἁπλῶς τοῦ πράγματος οὕτως εἴωθεν ὀνομάζειν, ἀναμνησθῶμεν· ἔπειτα δὲ ὅτι τις ἡ κατὰ φύσιν ἑκάστῃ τοῦ ἐνιαυτοῦ ὥρᾳ κρᾶσις· εἶθ', ὅτι διὰ τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπὴν αὐτῶν, ἐν τοῖς σώμασιν ἡμῶν γίνεται τὰ νοσήματα· σὺν τούτοις δὲ ἀναμνησθῶμεν ὧν ἐν τοῖς ἀφορισμοῖς ἔγραψεν αὐτὸς, λέγων ὧδε· τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβρίων ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες. νοσήματα δὲ ἐν τῇσιν
B ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίνεται, πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες. ἀναμνησθῶμεν δὲ καὶ ὧν εἰς τὴν ἀρχὴν τοῦ δευτέρου τῶν ἐπιδημιῶν ἐξηγούμενος ἔγραψα. μεμνημένος δέ τις ὧν εἶπον, ἀναγνοὺς ἐπιμελῶς, αὐτὰ πρὸς τὴν τῶν νῦν προκειμένων ἐξήγησιν ἀφικνείσθω.

Status hîc scriptus cum statu in libri secundi Epidemiorum principio posito comparatur, ubi quæ inter utrunque similia aut dissimilia fuere, conspiciuntur. Varias aërem subire temperaturas. Status calidos humidos faciliùs tum putredinum tum morborum esse causas; frigidos & siccos minus; Exquisitè siccos non putrere.

Η κατάστασις ἐνταῦθα γεγραμμένη τῇ καταστάσει τῇ κατὰ τὴν τοῦ βιβλίου δευτέρου τῶν ἐπιδημιῶν ἀρχὴν τεθειμένῃ προσβάλλεται, οὗ ὅσα μεταξὺ τῶν ἀμφοῖν ὅμοιά τε καὶ ἀνόμοια
C ἦν, ὁρᾶται. ποικίλας τὸν ἀέρα ὑποφέρειν κράσεις. τὰς καταστάσεις θερμὰς μὲν καὶ ὑγρὰς ῥᾳδίως τῶν σηπεδόνων τε, καὶ νοσημάτων αἰτίας εἶναι, τὰς δὲ ψυχρὰς καὶ ξηρὰς ἧσσον, τὰς δ' ἀκριβῶς ψυχρὰς μὴ σήπεσθαι.

HIPPOCRATIS TEXTUS I.

ANnus austrinus, pluvius, ventis minime perpetuo perflatus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α.

ΕΤος νότιον, ἔπομβρον, ἄπνοια διὰ τέλεος.

GALENI COMMENTARIUS.

PRimo quidem Epidemiorum libro tres status descripsit, hîc vero unicum hunc, qui nunc explicandus nobis proponitur: Et vero etiam secundo Epidemiorum tres alii scripti sunt. Verum Liber ille non ad editionem, quemadmodum tum primus, tum tertius creatus esse videtur. Non tamen quamprimum in principio narrationis eorum quæ facta sunt, prius illis in Libris status scriptis mandatus est: sed planè incipit ab expositione eorum quæ ab ipso tum in procreatis morbis, tum in ambientis nos aëris temperamento narrata sunt. *In Thaso itaque* (inquit) *autumno ad æquinoctium & sub vergilias aquæ multæ, continuæ, molles, flante austro.* At ex rei congruentia à sequentibus etiam duobus statibus incepit; in præsenti vero, status nomen in omnibus propè exemplaribus habetur, non tamen quo in loco hæc contigerint declaratur. Quum enim multis gentibus communis quædam pestis grassata fuerit, hujus historiam hoc in libro construit. In Dioscoridis quidem exemplaribus non solum ita simpliciter scriptum est *status*, sed additur, *calidus humidus* in medio paginæ totius scripti; quemadmodum cæteris exemplaribus, status, duntaxat. Quædam autem inveneris quæ neque id præscriptum in medio continent, ut & nonnulla in quibus nihil prorsus. Ex quibus auguratus fuerit nonnullus, non ipsum hoc status vocabulum in primis scripsisse, sed fortassis illos qui & characteras ad ægrorum narrationis finem scripserunt. Verum hoc quidem quovis modo habuerint, nullam vel læsionem, vel utilitatem,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΕΝ μὲν τῷ πρώτῳ τῶν ἐπιδημιῶν καταστάσεις ἔγραψε τρεῖς, ἐνταυθοῖ δὲ μίαν ταύτην, ἣν νῦν ἡμῖν ἐξηγεῖσθαι πρόκειται· καὶ μέν τοι κἂν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἰσί τινες ἄλλαι γεγραμμέναι. ἀλλ' οὐ δοκεῖ πρὸς ἔκδοσιν ἐκεῖνο καθάπερ τὸ πρῶτόν τε, καὶ τὸ τρίτον αὐτῷ πεποιῆσθαι. οὐ μὴν οὐδὲ προγέγραπται τῆς διηγήσεως τῶν γινομένων, εὐθέως ἐν ἀρχῇ, τὸ, κατάστασις, ἐν ἐκείνοις τοῖς βιβλίοις, ἀλλ' ἄντικρυς διηγήσεως ἄρχεται τῶν ἱστορημάτων αὐτῷ, κατά τε τὰ γινόμενα νοσήματα, καὶ τὴν
E τοῦ περιέχοντος κρᾶσιν. Εν Θάσῳ γοῦν, φησὶ, φθινοπώρου, περὶ ἰσημερίην, καὶ ὑπὸ πληϊάδας, ὕδατα πολλὰ, ξυνεχέα μαλθακῶς ἐν νοτίοισιν, ἀνάλογον δὲ καὶ τῶν ἑξῆς δυοῖν καταστάσεων ἤρξατο. κατὰ δὲ τὴν νῦν προκειμένην, αὐτὸ μὲν τὸ τῆς καταστάσεως ὄνομα σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις, οὐ μὴν ἐν τινί γε χώρᾳ ταῦτ' ἐγίνετο, δηλοῦται. κοινοῦ γάρ τινος ἔθνεσι πολλοῖς γινομένου λοιμοῦ, τὴν διήγησιν ἐν τῷδε ποιεῖται, ἐν μὲν τοῖς κατὰ Διοσκορίδην ἀντιγράφοις οὐ μόνον οὕτως ἁπλῶς γέγραπται κατάστασις, ἀλλὰ πρόσκειται, τὸ,
F θερμὴ, καὶ ὑγρὰ κατὰ τὸ μέσον τῆς σελίδος ὅλου τοῦ γεγραμμένου, καθάπερ ἐν τοῖς ἄλλοις ἀντιγράφοις, μόνον τὸ, κατάστασις. εὕροις δ' ἄν τινα μηδ' ἐν τῷ μέσῳ τὸ πρόγραμμα τοῦτο ἔχοντα, καθάπερ ἔν τισι μηδ' ὅλως, ἐξ ὧν ὑπονοήσειεν ἄν τις οὐκ αὐτὸν Ἱπποκράτην προγεγραφέναι, τὸ, κατάστασις, ἀλλ' ἴσως ἐκείνους, ὅσοι καὶ τοὺς χαρακτῆρας ἐπὶ τῷ τέλει τῶν κατὰ τοὺς ἀρρώστους διηγήσεων ἔγραψαν· ἀλλὰ ταῦτα μὲν ὅπως ἂν ἔχῃ, βλάβην ἢ ὠφέλειαν οὐδεμίαν

εἰς πρόγνωσιν, ἢ θεραπείαν φέρει. τρεπώμεθα δὴ ἐπὶ τὴν ἐξήγησιν ἐκείνων, ἐν οἷς ὠφέλειά τίς ἐστιν. ἔτος νότιον, ἔπομβρον, ἄπνοια διὰ τέλεος. ὁμοία τῇδε τῇ καταστάσει καὶ ἡ ἐν ἀρχῇ τοῦ δευτέρου τῶν ἐπιδημιῶν ἐστὶ, κατὰ τήνδε τὴν τάξιν εἰρημένη. ἄνθρηκες ἐν Κρανῶνι θερινοὶ, ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ δι᾽ ὅλου, ἐγίνοντο μᾶλλον νότῳ. διαφέρουσι δὲ ἀλλήλων αἱ καταστάσεις, ὅτι τε δι᾽ ὅλου τοῦ ἔτους ἐνταῦθά φησι γεγονέναι τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν, ἐν δὲ τῷ δευτέρῳ, κατὰ τὸ θέρος μόνον· ὅτι τε προσγέγραφεν νῦν, ἄπνοια διὰ τέλεος, ὅπερ οὐ προσγέγραφεν ἐκεῖ. λογίσαιτο δὲ ἄν τις ἐκ τοῦ προσγεγράφθαι κατ᾽ ἐκεῖνο τὸ βιβλίον, ἐγίνοντο μᾶλλον νότῳ, τοιοῦτόν τι δηλοῦσθαι, καὶ γὰρ οὖν κἀνταῦθα νότιόν τε ἅμα καὶ ἄπνουν ἔφη γεγονέναι ὅλον τὸ ἔτος, ὡς δυνατόν ἐστιν ἄπνουν τε ἅμα καὶ [νότιον ἢ] βόρειον εἶναί τε, καὶ λέγεσθαι τὸ ὅλον ἔτος, οὕτως ἡμῶν ἀκουόντων, διορισθήσεται γὰρ ὀλίγον ὕστερον τοῦτο. ἀναμνησθῶμεν δὲ ὅτι πολλὰς ἐν τῷ περιέχοντι κράσεις ἑωράκαμεν, ἠρεμίαν τε, καὶ νηνεμίαν ἐχούσας, οὐ μὴν ὁμοίως ἀλλήλαις, ἀλλὰ τὴν μέν τινα μαλακήν τε καὶ ὑγρὰν, τὴν δὲ, ξηράν τε, καί τι κρύους ἔχουσαν. αὕτη μὲν οὖν ἀκριβῶς αἴθριός ἐστιν. ἡ μαλακὴ δὲ ὁμιχλώδη τε ἔχει καὶ θολερὰν κατάστασιν, καὶ νότιον, ἔσθ᾽ ὅτε καὶ νεφελῶν οὖσαν πλήρη, ἡ δ᾽ ἐναντία αὐτῇ, βόρειος καὶ ὅτι μάλιστα μηδεμία φαίνοιτο κατὰ τὸν ἀέρα κίνησις, ἀλλ᾽ ἀκριβὴς εἴη, τὸ καλούμενον νήνεμον· τὸν αὐτὸν γὰρ τρόπον ἔοικεν ἔχειν τὰ κατὰ τὸν ἀέρα, τοῖς κατὰ θάλατταν. ὡς οὖν ἐν ἐκείνῃ, διὰ παντὸς μέν ἐστι ῥεῦμα κατὰ τὸ βάθος, μεῖζον, ἢ μεῖον, οὐ φαίνεται δ᾽ ἐνίοτε σαφὲς διὰ σμικρότητα, πλὴν εἰ στενὸν εἴη τὸ δεχόμενον αὐτὴν χωρίον, ὡς ἐν Χαλκίδι τε τῆς Εὐβοίας καὶ Μεσσήνῃ τῆς Σικελίας φαίνεται, κατὰ τὸν αὐτὸν λόγον ἐν τῷ περιέχοντι, παντελὴς μὲν ἀκινησία καὶ στάσις ἔοικεν οὐδέποτε γίνεσθαι, λανθάνει δ᾽ ἐνίοτε διὰ σμικρότητα· καὶ νέφη δὲ ὁρῶμεν ἐν ταῖς τοιαύταις ἀπνοίαις πολλάκις ἑστάναι μὲν δοκοῦντα, κινούμενα δὲ κατ᾽ ἀλήθειαν. ὁρᾶται οὖν ὀλίγον ὕστερον ἐν ἑτέρᾳ χώρᾳ τοῦ περιέχοντος, ὅπερ οὐκ ἂν αὐτοῖς ἐγίνετο μηδ᾽ ὅλως κινουμένοις. τοιαύτην οὖν τινα καὶ νῦν ἡγεῖσθαι χρὴ κατάστασιν ἐν ὅλῳ τῷ ἔτει γεγονέναι, τοσούτῳ διαφέρουσαν τῆς ἐν Κρανῶνι κατὰ τὸ δεύτερον βιβλίον εἰρημένης, ὅσῳ καὶ χρονιωτέρα. τό γε μὴν ἐν ἀμφοτέραις ταῖς καταστάσεσι κοινὸν πάθος σηπεδών ἐστι, κοινὴν ἔχουσα καὶ τὴν αἰτίαν, ὑγρότητα σὺν ἀπνοίᾳ. φαίνεται δὲ ἐξ ὕλης μὲν ὑγρᾶς πᾶσα γίνεσθαι σηπεδὼν, αἰτίας δὲ δραστικῆς, ἀλλοτρίου τε καὶ παρὰ φύσιν θερμοῦ, συνεπαύξεσθαι δὲ ὑπὸ τῆς ἀκινησίας. ὅτι μὲν οὖν οὐδὲν τῶν ἀκριβῶς ξηρῶν σήπεται, πάντες ἐναργῶς ὁρῶμεν. οὔτε γὰρ λίθος, οὔτε κέραμος, οὔτε χρυσὸς, οὔτ᾽ ἄργυρος, οὔτε χαλκὸς, οὔτ᾽ ἄλλο τι τοιοῦτον φαίνεται σηπόμενον· ὅτι δὲ καὶ τὰ φύσιν ἔχοντα σήπεσθαι, διαμένοντα μέχρι πλείστου φαίνεται κατὰ τὰς ψυχρὰς κράσεις, οὐδὲ τοῦτ᾽ ἀγνοεῖ τις, ἔτι δὲ μᾶλλον ὅταν ῥιπίζηται τοιούτοις ἀνέμοις· ἀμείβουσι καὶ τὴν ἐσθῆτα συνεχῶς τινάσσουσιν οἱ ἄνθρωποι, καὶ μάλισθ᾽ ὅταν ὑγρὸν καὶ θερμὸν ᾖ τὸ περιέχον,

A ad prænotionem vel curationem adferunt. Sed ad illarum rerum expositionem quibus quoddam inest emolumentum, convertamur. *Annus austrinus, pluviosus, ventis perpetuo minimè perflatus.* Huic statui similis est qui & in secundi Epidemiorum principio, hoc ordine pronunciatur; *Cranone carbunculi æstivi grassabantur; per ardores largo imbre pluebat per universum, sed hæc ab austro magis contingebant.* Hi vero status inter se differunt, tum quod per totum annum hîc dicat talem fuisse ambientis nos aëris temperaturam; in secundo vero, æstate duntaxat; tum
B quod scriptis hîc adjecit, *ventis perpetuo minimè perflatus*, quod illic non ascripsit. Sed perpendat quivis ex eo quod illo in libro ascripsit, *austro magis contingebant*, tale quiddam significari, hic scilicet totum annum pronunciat austrinum, simulque flatibus silentem. Nobis ita intelligentibus, ut & flatibus minimè perflatus, simulque borealis totus annus tũ esse, tum dici queat. Hoc autem paulo post definietur. Ad memoriam autem revocemus plerasque nos in aëre temperaturas conspexisse, quæ tum quie-
C tem, tum tranquillitatem sortirentur, non tamen eadem inter se ratione. Verum hanc tum mollem, tum humidam; illam vero tum siccam, tum quid frigoris habentem. Hæc itaque planè serena est; mollis vero nebulosa est, & turbulentum & austrinum statum consequitur, & interdum nebulis scatentem plurimis. Huic autem contraria borealis, & quod maximè nulla in aëre agitatio appareat, sed exquisitè fuerit quæ vocatur tranquillitas. Eandem enim rationem habere videtur aër in maris tempestatibus. Quemadmodum enim hic perpetuo
D quidem multo major, vel minor fluctus est; non tamen interdum ob parvitatem manifestè deprehenditur, nisi angustus fuerit qui ipsum recipit locus, ut in Chalcide Eubœæ, & Messina Siciliæ conspicitur: Eadem ratione in ambiente nos aëre plana quidem immobilitas & stabilitas nunquam esse videtur, occulta tamen interdum propter parvitatem. Nubes quoque & in talibus à vento tranquillitatibus sæpius conspicimus, quæ consistere quidem nobis videntur, sed revera moventur. Paulo post siquidem in altera aëris regione cernuntur, quod illis non
E contingeret, si nullo pacto moverentur. Talem itaque quandam etiam nunc existimare oportet in toto anno statum fuisse qui tanto ab eo differt qui Cronone fuit statu secundo in libro descripto, quanto diuturnior. Communis utroque in statu affectus est putredo communem quoque habens causam humiditatem, cum ventorum carentia. Videtur autem ex materia humida omnis fieri putredo; ex causa vero effectrice, & extraneo, & præter naturam calore; simul vero ab immobilitate augeri. Quod ita-
F que nihil quicquam exquisitè siccorum putrescat, omnes manifestè intuemur. Neque enim lapis, neque fictile, neque aurum, neque argentum, neque æs, neque quicquam aliud hujuscemodi videtur putrescere. Quod autem & quæ naturâ putrescere possunt, in temperamentis frigidis plurimum permanere videantur, neque hoc quisquam ignorat, quin etiamnum magis, quum hujusmodi perflantur ventis. Denique vestes assiduè commutant homines, ac maximè ubi calidus & humidus circunstans aer

aër fuerit, quod ipsas putrefaciat immobilitas, Sic & arteriarum motus in animalibus tum alia quædam utilia, tum auxilium tale præstant. Dicit autem & ipse Hippocrates in aphorismis, ut superius narravi, in imbribus fieri putredines. Quod itaque necesse erat corporum humiditates putruisse, ex his liquet; Videamus deinceps unumquodque particularium dictionem ipsius consequuti.

Ex naturalis & salubris status in insalubrem & præter naturam conversione non statim epidemios morbos oriri, cur, & quot ejus species. Superiorem statum siccum fuisse refert.

HIPPOCRATIS TEXTUS II.

„ *Quum autem squalores paulo superioribus*
„ *anni temporibus oborti fuissent, austris sub Arcturum spirantibus, pluviæ multæ*

GALENI COMMENTARIUS.

Didicisti jam in statibus libro primo descriptis, aëris temperamentum ex salubri & naturali ordine variasse. Didicisti etiam, qui hic sit status, & quatuor ejus esse præter naturam simplices, quatuor item alteras compositas conversiones. Simplices in calore tantum, frigore, humiditate, & siccitate: compositas in calore & humiditate, calore & siccitate, algore & siccitate, algore & humiditate. Nunc ergo horum, quæ didicisti, memor, subsequere hujus status narrationem. Hippocrates, cum paulo, inquit, superioribus temporibus squalores præcessissent, deinde adducit, sub Arcturum flante Austro multum pluit. Videtur etenim superiore jam anno aëris circumfusi non undequaque temperamentum constitisse naturale, non viguisse tamen ea tempestate ullus morbus, ut vocant, vulgaris. Nam in aphorismis didicisti, ubi sic dicitur: Ex anni autem statibus, ut semel dicam, squalores imbribus sunt salubriores, & minus lethales. Hoc etiam minus incidit ejusmodi aliquis morbus, quod siccitate tantum excelleret temperaturæ immutatio, præter ullam alterius oppositionis mutationem, à qua aut calidus fieret magnopere, aut frigidus aër. Verumenimuero illa vehemens conversio sub Arcturi videtur exortum se protulisse: qui aliquanto spatio autumnale æquinoctium præcedit. Jam vero qui illi autumnus, quæ deinde bruma successerit, postea quæ hanc exceperint tempora anni, si ejus persequamur dictiones, discemus.

Obscurum, & nebulosum autumnum explicat Galenus. Austrum non perpetuo humidum esse, sed interdum siccum, quem leuconotum appellat vulgus. Cur mollis auster vocetur.

HIPPOCRATIS TEXTUS III.

Autumnus obscurus, nebulosus, aquarum ubertas, hyems austrina, humida, mollis.

A ὡς τῆς ἀκινησίας σηπούσης αὐτήν. οὕτως δὲ καὶ ἡ τῶν ἀρτηριῶν κίνησις ἐν τοῖς ζώοις, ἄλλα τέ τινα χρηστὰ καὶ τὴν τοιαύτην ὠφέλειαν παρέχεται. λέγει δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐν τοῖς ἀφορισμοῖς, ὡς ἐν τοῖς ἔμπροσθεν ἔφην, ἐν ταῖς ἐπομβρίαις γίνεσθαι σηπεδόνας. ὅτι μὲν οὖν ἀναγκαῖον ἦν σαπῆναι τὰς ἐν τοῖς σώμασιν ὑγρότητας, ἐκ τούτων δῆλον. ἴδωμεν δ' ἐφεξῆς ἕκαστον τῶν κατὰ μέρος ἀκολουθήσαντες αὐτοῦ ταῖς ῥήσεσιν.

B Ἐκ τῆς κατὰ φύσιν τε καὶ τῆς ὑγιεινῆς καταστάσεως εἰς τὴν νοσώδη καὶ παρὰ φύσιν ἐκτροπῆς οὐκ εὐθὺς τὰ ἐπιδήμια νοσήματα γίνεσθαι. διά τι καὶ ὁπόσα ταύτης εἴδεα. τὴν πρόσθεν κατάστασιν ξηρὰν γενέσθαι λέγει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Αὐχμῶν δὲ γενομένων, τοῖς ὑποπρόσθεν χρόνοις ἐπ' ἐνιαυτὸν, ἐν νοτίοισι περὶ ἀρκτοῦρον, ὕδατα πολλά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Ἔμαθες ἤδη κατὰ τὰς ἐν τῷ πρώτῳ γεγραμμένας καταστάσεις, ὡς ἡ τοῦ περιέχοντος ὑπηλλάχθη κρᾶσις, ἐκ τῆς ὑγιεινῆς τε καὶ κατὰ φύσιν αὐτοῦ τάξεως. ἔμαθες δὲ καὶ ὁποία τίς ἐστιν ἡ κατάστασις ἥδε, καὶ ὡς τέτταρες μὲν αὐτῆς εἰς τὸ παρὰ φύσιν ἁπλαῖ, τέτταρες δ' ἄλλαι σύνθετοι γίνονται μεταβολαί. ἁπλαῖ μὲν αἱ κατὰ θερμασίαν μόνην καὶ ψύξιν, ὑγρότητά τε καὶ ξηρότητα. σύνθετοι δὴ, αἵ τε κατὰ θερμότητα καὶ ὑγρότητα, καὶ ψυχρότητα καὶ ξηρότητα, ψυχρότητα καὶ ὑγρότητα, θερμότητα καὶ ξηρότητα. D νῦν οὖν ἀναμνησθεὶς ὧν ἔμαθες, ἀκολούθει τῇ διηγήσει τῆς γενομένης καταστάσεως, εἰπόντος τοῦ Ἱπποκράτους, αὐχμῶν δὲ γενομένων, τοῖς ὑποπρόσθεν χρόνοις. εἶθ' ἑξῆς τούτου μνησθέντος, ἐν νοτίοισι περὶ ἀρκτοῦρον ὕδατα πολλά. φαίνεται μὲν γὰρ ἤδη τῷ πρόσθεν ἐνιαυτῷ, μὴ φυλαχθῆναι τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἀκριβὴς ἡ κατὰ φύσιν κρᾶσις, οὐ μὴν ἐν ἐκείνῳ γε τῷ χρόνῳ γενέσθαι τι νόσημα τῶν ἐπιδημίων ὀνομαζομένων. καὶ γὰρ καὶ κατὰ τοὺς ἀφορισμοὺς ἔμαθες αὐτοῦ γράψαντος ὧδε. τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες. ἔτι δὲ μᾶλλον, οὐδὲν ἐγένετο E νόσημα τοιοῦτον, διότι κατὰ τὸ ξηρὸν μόνον ἐπεκράτησεν ἡ ἐκτροπὴ τῆς κράσεως, οὐδεμίαν τῆς ἑτέρας ἀντιθέσεως μεταβολὴν λαβούσης, ὡς ἤτοι θερμὸν, ἢ ἄγαν ψυχρὸν ἀπεργασθῆναι τὸ περιέχον. ἀλλ' ἥγ' ἐπὶ τοὐναντίον ἀθρόα μεταβολὴ, περὶ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου φαίνεται γεγονυῖα. προηγεῖται δὴ αὕτη βραχὺ τῆς φθινοπωρινῆς ἰσημερίας. ὁποῖον δέ τι μετ' αὐτὴν ἐγένετο τὸ φθινόπωρον, εἶτα ὁ χειμὼν, καὶ μετ' ἐκεῖνον αἱ ἐφεξῆς ὧραι, ταῖς ῥήσεσιν ἀκολουθήσαντες αὐτοῦ μαθησόμεθα.

F Σκιῶδες καὶ ἐπινέφελον φθινόπωρον ἐξηγεῖται Γαληνός. τὸν νότον μὴ διὰ παντὸς ὑγρὸν εἶναι, ἀλλὰ ἐνίοτε ξηρὸν, ὃν λευκόνοτον ἰδιῶται προσαγορεύουσι. διά τι μαλθακὸς ὁ νότος, ὃ ἐνίοτε ψυχρὸς φαίνεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Φθινόπωρον σκιῶδες, ἐπινέφελον, ὑδάτων πλήθεα· χειμὼν νότιος, ὑγρὸς, μαλακός.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σκιῶδες εἶπεν ἐν ἴσῳ τῷ ζοφῶδες, ὅπερ σημαίνει τὸ μὴ λαμπρὸν, μηδὲ καθαρὸν, μηδ' ἀκριβῶς αἴθριον. εἰώθασι γὰρ ἔτι καὶ νῦν οἱ κατὰ τὴν Ἀσίαν Ἕλληνες ὀνομάζειν σκιώδη τε καὶ σκιαρὰ πάντα τὰ πρὸς τὸ μέλαν ἐκτετραμμένα. τοῖς τοιούτοις δὲ καὶ τὸ ζοφῶδες ἐπιφέρουσιν ὄνομα, καὶ τὸ φαιὸν ἐγγὺς τοῦ μέλανος ὄν. εὔδηλον δ' ὅτι τοιοῦτος ὁ ἀὴρ οὐκ ἂν γένοιτο χωρὶς τοῦ νέφη πολλὰ, καὶ ταῦτ' ἔχειν μὴ λαμπρά. περιείχετο μὲν οὖν δυνάμει κατὰ τὸ σκιῶδες, καὶ τὸ ἐπινέφελον. ἀλλ' ἔμαθες οὐ μόνον Ἱπποκράτει τῷ τοιούτῳ τρόπῳ τῆς ἑρμηνείας χρῆσθαι οἰκεῖον εἶναι, ἀλλὰ καὶ πλείστοις τῶν ἄλλων. ἐπιφέρει δὲ, χειμὼν νότιος ὑγρὸς, μαλακός. ἔνιοι τὸν νότον οἴονται διὰ παντὸς ὑγρὸν εἶναι, τὸ δ' οὐχ οὕτως ἔχει. φαίνεται γὰρ ἐνίοτε ξηρὸς γινόμενος, ὃν καὶ προσαγορεύουσιν οἱ ἰδιῶται λευκόνοτον, καὶ ὁ ποιητὴς λέγει.

Αὐτὰρ ἐγὼ ζεφύροιο, καὶ ἀργέσαο νότοιο.

Τὸν γὰρ καθαρὸν νότον, ὃν χωρὶς ὄμβρων ἴσμεν γινόμενον, οὕτως ὠνόμασεν. ἀλλὰ κἀν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὁ Ἱπποκράτης ἐπὶ τῆς πρώτης καταστάσεως ἔφη. γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετ' αὐχμῶν. ὁ μὲν οὖν τοιοῦτος νότος, ἐνίοτε μὲν καὶ σφοδρὸς γίνεται, σαφῆ δ' οὖν ἀεὶ τὴν κίνησιν ἔχει. μαλακὸς δ' ἄλλος ἐστὶ νότος, ὃς ἀναίσθητον ἔχει τὴν κίνησιν ἐν τῷ περιέχοντι, καὶ κατὰ τὰ νέφη. καὶ τοίνυν θερμὸς μὲν οὗτός ἐστι διὰ παντὸς, ὁ δὲ λευκόνοτος ἐνίοτε φαίνεται ψυχρός.

GALENI COMMENTARIUS.

Umbrosum dixit pro caliginoso: quod non lucidum significat, nec purum, neque omnino serenum. Nanque solent etiamnum qui Asiam incolunt Græci, σκιώδη & σκιαρὰ id est umbrosa, omnia, quæ ad nigrum declinant, appellare. His etiam dictionem. ζοφῶδες id est caliginosum attribuunt, & φαιὸν fuscum, quod prope ad nigrum accedit. Apertum est autem hujuscemodi non posse fieri aërem, nisi multis nubibus, iisque non splendidis, obducatur. B Nubilosum igitur virtute complectebatur umbrosus. Sed te non latet, eam loquendi rationem non Hippocrati tantum, sed multis etiam esse aliis veteribus familiarem. Jam etiam dixit, Hyems erat austrina, humida, & lenis. Sunt qui austrum semper ducant esse humidum: quod non est ita: videtur enim siccus aliquando esse, quem Leuconorum vulgus (Latini Carum) appellant. Et Poëta talem nobis austrum indicat dicens.

Αὐτὰρ ἐγὼ ζεφύροιο, καὶ ἀργέσαο νότοιο.

Si quidem purum austrum, quem fieri sine « imbribus scimus, eo vocavit nomine. At vero « primo etiam vulgarium morborum in primo « Hippocrates statu: Cum esset autem totus, « inquit: hic status austrinus, & cum squaloribus. « Atque is auster subinde vehemens est. « Semper ergo apertum habet motum. Lenis « alius est auster, cujus motum in aëre & nubibus « non sentias, qui calidus semper est. « Carus interim frigidus manifeste videtur. «

D

Τῇ καταστάσει νοτίῳ τὴν βόρειαν ἐναντίαν εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Μετὰ δὲ ἡλίου τροπὰς ὕστερον πολλῷ πλησίον ἰσημερίης, ὀπισθοχειμῶνες, καὶ ἤδη περὶ ἰσημερίην βόρεια, χιονώδεα χρόνον οὐ πολύν.

Austrino statui aquilonarem contrarium esse.

HIPPOCRATIS TEXTUS IV.

Longo post solstitium intervallo prope æquinoctium seræ hyemes, jamque sub æquinoctium aquilonares venti cum nivibus non diuturno tempore spirarunt. « « « «

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς ἐναντίας καταστάσεως μέρος τι τοῦτο, παρενέπεσεν, ὡς αὐτὸς εἶπεν, οὐκ ἐπὶ πολὺν χρόνον.

GALENI COMMENTARIUS.

Pars hæc quædam tempestatis contrariæ intercessit, ut hic dixit, non ita diu.

Τὴν νότιον ἔαρος κρᾶσιν τῇ βορείᾳ ὀπισθοχειμῶνος διὰ βραχέως ἐπιγενέσθαι διδάσκει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

Ἦρ πάλιν νότιον, ἄπνοον, ὕδατα πολλὰ, διὰ τέλεος, ἄχρι κυνός. F

Austrinam veris temperaturam aquilonari seræ hyemis brevi successisse docet.

HIPPOCRATIS TEXTUS V.

Ver rursus austrinum, sine ventis, aquæ multæ ad canem usque continentes. « «

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐδήλωσέ σοι χειμῶνα τὸν ἁπλοῦν ἐν τῷ γράψαι νῦν, ἔαρ πάλιν νότιον, ἄπνοον. τὸ γὰρ πάλιν ἔνδειξιν ἔχει τῆς μεταξὺ παρεμπεσούσης ἐναντίας καταστάσεως, αὖθις ἐπὶ τὴν αὐτὴν κρᾶσιν ἐπανελθεῖν τὴν περὶ τὸν ἀέρα κατάστασιν.

GALENI COMMENTARIUS.

Indicavit tibi lenem hyemem scribendo ad hunc modum, ver rursus austrinum, sine ventis, nam verbum rursus, ut contrarius status intervenit, innuit ad suum temperamentum rediisse aëris statum.

A

Æstatis ver superius sequentis status.

HIPPOCRATIS TEXTUS VI.

» *ÆStas serena, calida, æstus præfocantes, magni. Etesiæ pauci dispersim spiraverunt.*

GALENI COMMENTARIUS.

B Lenitas hyemis, & veris tranquillitas, cum æstate æstuosa suffocanteve congruunt. Nam cum sua sponte sit æstivum tempus calidum, si ventorum accesserit tranquillitas, necessario æstus, suffocatiove consequitur. Hoc fit, ubi neque prodromi (quos vocant) flant, neque qui eos sequuntur, quos Etesias appellant. Dirimit eos Canis ortus: Et ipse etiam Hippocrates addidit, etesiæ parvæ dispersim spirarunt.

C Ad imbrium per aquilones recidentium copiam hunc textum refert.

HIPPOCRATIS TEXTUS VII.

» *SVb Arcturum rursus spirantibus aquilonibus aquæ multæ.*

GALENI COMMENTARIVS.

D Rursus, ad pluviarum exundantiam, non ab Boream refertur. Nam superiore arcturi ortu multum pluerat, & subinde postea, Boreas vero rarus spiravit.

Statu austrino humido & molli annum siccum sequenti, homines non graviter per hyemem, præter tabidos, lædi.

HIPPOCRATIS TEXTUS VIII.

E » *QVum autem annus austrinus, humidus & mollis extitisset; per hyemem quidem sani degebant exceptis tabidis de quibus scribetur.*

GALENI COMMENTARIUS.

F Integrum statum, quod parvi omnino aquilones fuissent, ab dominantibus in eo humidum appellavit, & austrinum: nam quod tranquillum & calidum, lenem appellet, antea didicisti. Verum haud dum ea tempestas, licet esset repentina, mortales magnopere offendit; propter superioris anni squalidi temperamentum: At cæperunt affectus quibusdam tabifici, qui scilicet huic vitio parebant. Ipseque adeo posthac se recepit scripturum quæ illis acciderunt.

Ἡ τοῦ θέρους τῷ ἔαρι πρόσθεν ἑπομένου κατάστασις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Θέρος αἴθριον, θερμὸν, πνίγεα μεγάλα, ἐτησίαι σμικραὶ, διεσπασμένως ἔπνευσαν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μαλθακὸν τοῦ χειμῶνος, καὶ τὸ ἄπνουν τοῦ ἦρος, οἰκεῖα ταύτῃ γένους ἐστὶν τοῦ θέρους πνιγώδους. φύσει γὰρ οὔσης ἀεὶ τῆς θερινῆς ὥρας θερμῆς, ὅταν ἄπνοια προσγένηται, πνῖξ ἐξ ἀνάγκης ἕπεται. γίνεται δὲ τοῦτο, μήτε τῶν προδρόμων καλουμένων πνευσάντων, μήτε τῶν ἑπομένων αὐτοῖς, οὓς καλοῦσιν ἐτησίας. διαιρεῖ δ' αὐτοὺς καὶ ἡ τοῦ κυνὸς ἐπιτολή. καὶ αὐτὸς δ' ὁ Ἱπποκράτης προσέγραψεν, ἐτησίαι σμικραὶ διεσπασμένως ἔπνευσαν.

Τὴν ἐπὶ τὸ πλῆθος τῶν ὑδάτων ἐν βορείοις ἀναπιπτόντων ταύτην ῥῆσιν ἀναφορὰν ἔχειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Πάλιν δὲ περὶ ἀρκτοῦρον, ἐν βορείοισιν ὕδατα πολλά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ πάλιν, ἐπὶ τὸ πλῆθος τῶν ὑδάτων, οὐκ ἐπὶ τὰ βόρεια τὴν ἀναφορὰν ἔχει. πλῆθος μὲν γὰρ ὑδάτων ἐγένετο κατὰ τὴν ἔμπροσθεν ἐπιτολὴν ἀρκτούρου, καὶ πολλάκις ἐν τῷ μετὰ ταῦτα χρόνῳ, βόρεια δ' ὀλιγάκις.

Κατὰ τὴν κατάστασιν νότιον καὶ ὑγρὰν καὶ μαλθακὴν τῷ ἐνιαυτῷ ξηρῷ ἑπομένην οὐδὲν μέγα τοὺς ἀνθρώπους κατὰ χειμῶνα πλὴν τῶν φθινωδέων βλάπτεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

Γενομένου δὲ τοῦ ἔτεος νοτίου, καὶ ὑγροῦ, καὶ μαλθακοῦ, κατὰ μὲν τὸν χειμῶνα διῆγον ὑγιεινῶς, πλὴν τῶν φθινωδέων, περὶ ὧν γεγράψεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ δὲ τὸ βραχέα παντελῶς γεγενῆσθαι τὰ βόρεια, τὴν ὅλην κατάστασιν ἀπὸ τῶν κρατησάντων ἐν αὐτῇ, προσηγόρευσεν ὑγρὰν καὶ νότιον, ὅτι δὲ τὴν ἄπνουν καὶ θερμὴν ὀνομάζει μαλθακὴν, ἔμπροσθεν ἔμαθες. ἀλλ' ἥ γε τοιαύτη κατάστασις οὐδὲν οὐδέπω μέγα τοὺς ἀνθρώπους ἔβλαψε, καίτοι γε ἐξαιφνίδιος γενομένη, διὰ τὴν τοῦ προγεγονότος ἔτους αὐχμηρὰν κρᾶσιν. ἤρξαντο μέντοι τινὲς διαθέσεις φθινώδεις, ὅσοι δηλονότι παθεῖν ἦσαν ἐπιτήδειοι τὸ πάθος τοῦτο, καὶ γράψειν αὐτὸς τὰ κατ' αὐτοὺς ἐπαγγέλλεται ἐν τοῖς ἐφεξῆς.

Περὶ τριῶν τοῦ Ἐρυσιπέλατος τριπλοῦ, καὶ ἐπιεικέως, καὶ μοχθηροῦ, καὶ κακοήθους, ἢ σηπεδονώδους αἰτιῶν τῆς μὲν κατὰ φύσιν χολῆς ὠχρᾶς, καὶ τῆς παρὰ φύσιν, καὶ κακοήθους.

A De tribus Eryſipelatis benigni, pravi, & maligni putridi cauſis, bile flava naturali, præter naturam, & maligna.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Πρὸ δὲ τοῦ ἦρος, ἅμα τοῖσι γενομένοισι ψύχεσιν, ἐρυσιπέλατα πολλὰ, τοῖσι μὲν μετὰ προφάσιος, τοῖσι δ' οὐ. κακοήθεα πολλοὺς ἔκτεινεν.

HIPPPOCRATIS TEXTUS IX.

B *Ante ver autem una cum obortis frigoribus ignes ſacri multi, quibuſdam cum cauſa aliqua, quibuſdam vero non contingebant, atque hi maligni multos enecarunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὑπὸ χολώδους ῥεύματος ἔμαθες γίνεσθαι τὸ ἐρυσίπελας, οὐ μὴν ἀεί γε μοχθηροῦ καὶ σηπεδονώδους ὄντος αὐτοῦ· τοὐναντίον γὰρ ἅπαν ὅταν ἐπιεικὲς ᾖ τὸ ῥεῦμα, τὴν κατὰ φύσιν ἐν ἡμῖν γενομένην ἔχον ὠχρὰν χολὴν, ἐρυσιπέλατα μὲν εἴωθεν ἐργάζεσθαι, βλάβην δὲ οὐδεμίαν ἐπιφέρειν ἐξ αὐτῶν, ὅταν γ' ὀρθῶς τις αὐτὰ μεταχειρίζηται. οὐ μὴν νῦν γε τοιοῦτος ἦν ὁ γεννήσας χυμὸς τὸ ἐρυσίπελας, ἀλλὰ καὶ κακοήθης, καὶ διαβρωτικὸς, καὶ σηπτικὸς, ἐπὶ τῇ πλεονεξίᾳ τῆς ὑγρᾶς ἀπνοίας γεννηθεὶς ἐκείνοις μάλιστα τῶν ἀνθρώπων, ὅσοι φύσει τε χολωδέστεροι τῶν ἄλλων ἦσαν, ἢ τε δίαιτα χολώδης μᾶλλον αὐτοῖς ἤθροιζε χυμόν. αἱ γάρ τοι διαφοραὶ τῶν νοσημάτων ἐπὶ μὲν τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κράσει γίνονται, διὰ τὴν ἑκάστου φύσιν τε καὶ δίαιταν, ἣν ὑγιαίνων διαιτᾶται. λέγω δὲ δίαιταν οὐ τὴν ἐν τοῖς ἐσθιομένοις τε καὶ πινομένοις μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς ἄλλοις, οἷον ἀργίαις, γυμνασίοις, λουτροῖς, ἀφροδισίοις, ὕπνοις, ἀγρυπνίαις, ἅπασί τε τοῖς ὁπωσοῦν γινομένοις κατὰ τὰ τῶν ἀνθρώπων σώματα.

GALENI COMMENTARIUS.

Sacrum ignem didiciſti à billioſa fluxione oriri, at non illa ſemper tamen prava & putri. Planè enim contra, ubi mitis ſit fluxio bilem pallidam obtinens, quæ in nobis naturaliter gignitur, ſolet quidem ſacrum ignem facere, nullum tamen ex eo dare damnum, ſi quidem recte tractes. At non erat nunc talis, C qui ſacrum ignem excitavit, humor; ſed malignus, qui eroderet putrefaceretque ab exuperante humida ventorum tranquillitate generatus illis potiſſimum mortalibus, quibus, cum ſua ipſi ſponte aliis eſſent bilioſiores, etiam victus bilioſum magis eis ſuccum congeſſiſſet: Siquidem morborum proficiſcuntur differentiæ ab aëris circunflui temperamento, propter naturam cujuſque & victum quem ſanus ſervat. Victum (græce διαίταν) appello, non hunc tantum, qui cibo & potione conſtat, verumetiam qui omnibus aliis, ut ocio, exercitatio- D ne, balneo, venere, ſomno, vigiliis, & vero omuibus, quæ quovis fiunt modo in corporibus humanis.

Καταῤῥοῦ δὲ τῆς ἐμπλησθείσης κεφαλῆς ὁρμουμένου τὰς φάρυγγας πονέεσθαι, καὶ ἐντεῦθεν τὰς φωνὰς κακοῦσθαι.

Catarrho à repleto capite concitato, fauces laboraſſe, ac inde voces fuiſſe vitiatas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

Πολλοὶ φάρυγγας ἐπόνεον, φωναὶ κακούμεναι.

HIPPOCRATIS TEXTUS X.

Multi ex faucibus laborarunt; voces vitiatæ.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἷς εὐπλήρωτος ἦν ἡ κεφαλὴ φύσει, τούτοις νῦν ἐμπλησθεῖσα περιουσίας χυμῶν, ἤρξατο καταπέμπειν εἰς πνεύμονά τε καὶ γαστέρα ῥεύματα διὰ τοῦ φάρυγγος. εἰκότως δὲ καὶ τὰς φωνὰς ἔφη κακοῦσθαι τοῖς τοιούτοις. ὁρᾶται γὰρ καὶ τοῦτο συνεχῶς γινόμενον ἐπὶ καταῤῥόοις, ὅταν ἱκανῶς διαβρέξωσι τὰ περὶ τὴν φάρυγγα, καὶ τὴν λάρυγγα χωρία.

GALENI COMMENTARIUS.

Quibus caput ſua ſponte prompte replebatur, his in præſentia exundantia humorum plenum, in pulmonem cœpit, & ventrem, per fauces fluxiones demittere. Porro jure dicit voces etiam his affectas fuiſſe, nempe & hoc aſſidue fieri videtur in deſtillationibus, ubi abunde fauces & guttur irrigaverint.

F

Τὰ δὲ καύσου τε καὶ τῆς φρενίτιδος αἴτια.

Febris ardentis & phrenitidis cauſæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Καῦσοι φρενιτικοί.

HIPPOCRATIS TEXTUS XI.

Febres ardentes phreniticæ.

GALENI COMMENTARIUS.

Ardentes febres extiterunt invadentibus in jecur, & ventrem biliosis excrementis: phrenitici vero caput petentibus.

Pestilentis status effectus, aphtas, tubercula, lippitudines & carbunculos esse.

HIPPOCRATIS TEXTUS XII.

„Ora aphthosa, pudendis tubercula, lippitudines, carbunculi.

GALENI COMMENTARIUS.

Singuli hi affectus fere non sunt cacoëthes, uti de sacro igne diximus paulo ante: nonnunquam vero etiam sunt cacoëthes, uti nunc, quod putridus esset, qui abundabat, humor. Quare in omnibus, quos recenset morbis, hoc mihi semper memoria teneto, neque aphthas, puta, ægros tenuisse, vel quodcunque aliud incommodum de more, sed simul cum morborum putredine. Memineris etiam hanc communem rationem, ab eodem statu genitum omnibus putrem humorem non easdem obsidere partes, quod nec per naturam omnium in eadem conditione corpus esset eo statu, sed esset alia aliis pars infirmior. Aphthæ itaque frequentissime sollicitant puerorum ora, quæ exulcerationes sunt in somno, quia omnia eorum sunt molissima membra, & quasi mucosa: insuper os est omnino etiamnum insuetum cibariis & & poculis. Ubi ergo acrimonia quapiam lac fit mammæ præditum, aphthas generat: quæ facile sedatur, si infantis os modice astringas: Si vero humor affluat pravus, semper aphthæ prodeunt cacoëthes. Iam carbunculorum perpetuo est periculosus affectus, nam ex vitiosis constat humoribus. Quare nunc erat verisimile fuisse perniciosissimum eum, qui ultra nativam malignitatem, etiam quam status afferebat, adjunctam haberet. Verum satis de hujus est affectus origine dictum, cum principium secundi vulgarium morborum enarrabam. Reliqua hujus capitis clara sunt.

Status & rheumatis effectus ventris perturbationem & inappetentiam esse unde.

HIPPOCRATIS TEXTUS XIII.

„Alvi perturbatæ, cibos aversabantur.

GALENI COMMENTARIUS.

Ex vitioso humore, qui à capite defluxerat in fauces, quod in pulmonem invaserat tabificos constituebat affectus. Quod vero in ventrem derivatum erat, quia subibat mordicando, ventris profluvium concitabat: quod significavit hisce, verbis, alui turbatæ. In transitu item ventris, facultatem ciborum appetentem afflixit, unde cibos fastidiebant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καῦσοι μὲν ἐγένοντο, τῆς χολώδους περιουσίας κατασκηπτούσης εἰς ἧπάρ τε καὶ γαστέρα· φρενιτικοὶ δ', ἐπὶ κεφαλὴν ἀναφερομένης.

Τὰ τῆς λοιμώδους καταστάσεως ἐνεργήματα ἀφθώδεα, ἐν αἰδοίοις, φύματα, ὀφθαλμίας καὶ ἄνθρακας εἶναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Στόματα ἀφθώδεα, αἰδοίοις φύματα, ὀφθαλμίαι, ἄνθρακες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τούτων ἕκαστον τῶν παθῶν γίνεται μὲν καὶ συνήθως ἄνευ κακοηθείας, ὡς ἐπὶ τῶν ἐρυσιπελάτων, ὀλίγον ἔμπροσθεν εἴρηται. γίνεται δὲ καὶ κακοήθως ὥσπερ νῦν, ἐπεὶ σηπεδονώδης ἦν ὁ πλεονάζων χυμός. ἐπὶ πάντων οὖν ὧν καταλέγει νοσημάτων, ἀεὶ τούτου μοι μέμνησο, καὶ μήτ' ἄφθας ἄκουε γεγονέναι τοῖς πάσχουσι, μήτ' ἄλλο τι πάθημα κατὰ τὸν συνήθη τρόπον, ἀλλὰ μετὰ τοῦ σήπεσθαι τὰ μόρια. μέμνησο δὲ καὶ τοῦ κοινοῦ λόγου τοῦδε, τὸν σηπεδονώδη χυμὸν ὑπὸ τῆς αὐτῆς καταστάσεως ἅπασι γεννηθέντα, καταλαμβάνειν οὐ τὰ αὐτὰ μόρια, διὰ τὸ μηδὲ φύσει πᾶσιν ὡσαύτως ἔχειν ἐν τῇ τοιαύτῃ διαθέσει τὸ σῶμα, ἀλλ' ἄλλων ἄλλο ἀσθενέστατον. αἱ μὲν οὖν ἄφθαι, κατὰ τὸ στόμα γίνονται συνεχῶς τοῖς παιδίοις, ἑλκώσεις ἐπιπολῆς οὖσαι, διότι τε μαλακώτατα τὰ μόρια πάντ' ἐστὶν αὐτῶν, καὶ οἷον βρυώδη, καὶ πρὸς τούτοις ἔτι τὸ στόμα παντάπασιν ἀήθες ὁμιλίας ἐδεσμάτων τε καὶ πομάτων. ὅταν οὖν τὸ γάλα τῆς τιτθῆς ἔχῃ τινὰ δριμύτητα, τὰς ἄφθας ἐργάζεται, παυομένας ῥᾳδίως, ἐὰν μετρίως στύφῃ τις τὸ στόμα τοῦ βρέφους. ὅταν δέ τις ἐπιρρυῇ μοχθηρὸς χυμὸς, ἀεὶ κακοήθεις ἄφθαι συνίστανται. τὸ δὲ τῶν ἀνθράκων πάθος, ἀεὶ κινδυνῶδές ἐστιν, ὡς ἂν ὑπὸ μοχθηρῶν γινόμενον χυμῶν, ὥστε καὶ νῦν εὔλογον ἦν, ὀλεθριώτατον αὐτὸ γενέσθαι, προσλαβὸν τῇ συμφύτῳ κακοηθείᾳ τὴν ἐκ τῆς καταστάσεως. εἴρηται δ' ἱκανῶς περὶ τῆς τοῦδε τοῦ πάθους γενέσεως, ἡνίκ' ἐξηγούμην τὴν ἀρχὴν τοῦ δευτέρου τῶν ἐπιδημιῶν· τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

Τὰ λοιμώδους τῆς καταστάσεως καὶ τοῦ ῥεύματος διαθέσεις τὰς κοιλίας ταραχώδεας καὶ τὰς ἀποσιτίας εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

Κοιλίαι ταραχώδεες, ἀπόσιτοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦ καταρρυέντος ἐκ τῆς κεφαλῆς εἰς τὴν φάρυγγα μοχθηροῦ χυμοῦ, τὸ μὲν εἰς τὸν πνεύμονα χωρῆσαν, τὰς φθινώδεις εἰργάσατο διαθέσεις. τὸ δ' εἰς τὴν κοιλίαν ἐνεχθὲν, ὑπιὸν κάτω μετὰ δήξεως, ἐκτάραξιν αὐτῆς ἐποιεῖτο· ὅπερ ἐδήλωσεν, κοιλίαι ταραχώδεες. ἐν δὲ τῇ διόδῳ, τὴν ὀρεκτικὴν τῶν σιτίων δύναμιν ἐκάκωσε τῆς γαστρὸς, κἀντεῦθεν ἀποσιτίαι.

A

Διὰ τί τοῖς ἀῤῥώστοις τοῖς μὲν ἦν, τοῖς δὲ μηδεμία.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ.

Διψώδεες οἱ μὲν, οἱ δ' οὔ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ πλείους αἰτίας εἰκὸς ἦν οὔτ' ἀδίψους ἅπαντας, οὔτε διψώδεις γενέσθαι. φαίνεται μὲν γὰρ ὑγρότης ἠθροισμένη σηπεδονώδης ἅπασι, οὐ μὴν ἴση γε τὸ πλῆθος, ἢ ὁμοίως μοχθηρά. τινὰς μὲν οὖν ἀδίψους εἶναι δυνατὸν, ὥσπερ καὶ τοὺς ἀποσίτους ἐπὶ τῇ βλάβῃ τῆς ὀρεκτικῆς τῶν πομάτων δυνάμεως. εὔδηλον δ' ὅτι κακίστην οὗτοι διάθεσιν εἶχον*, μήτε κακοήθη αὐτοῖς συῤῥεῖν ὑγρότητα, ὡς μετρίως διψῆν. ἄλλοις δὲ διψώδεις εἶναι, συῤῥεούσης εἰς τὴν γαστέρα τῆς κακοχυμίας, μηδέπω τὸ στόμα αὐτῆς βεβλαφυίας ἄχρι τοσούτου, ὡς διεφθάρθαι τὴν ὀρεκτικὴν τῶν πομάτων δύναμιν.

* hic aliquid deest.

Cur ægris quibusdam sitis erat, aliis minimè.

HIPPOCRATIS TEXTUS XIV.

Hi quidem siticulosi erant, illi vero minimè.

GALENI COMMENTARIUS.

B Pluribus de causis nec siti caruisse omnes, nec fuisse sitibundos probabile est. Videtur humiditas omnibus putredinosa fuisse collecta, verum non pari quantitate, aut æque prava. Quamobrem fieri potuit aliquos non sitire, ut illi qui cibum fastidiebant, ob facultatis potus appetendi offensam: liquet autem pessimam fuisse horum affectionem, nec malignam illis humiditatem in ventrem confluxisse, alios verò sitibundos fuisse, quod conflueret in ventrem vitiosus humor, nec dum adeo læsisset ejus os, ut potionis appetens facultas jam corrupta C esset.

Ἐκ τῆς καταστάσεως τὰ οὖρα νοσούντων ταραχώδεα, πολλὰ, καὶ κακά.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε.

Οὖρα ταραχώδεα, πολλὰ, κακά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ μὲν οὖρα ταραχώδη γεγονέναι, κατὰ τὸν αὐτὸν τρόπον ἄκουε, καθ' ὃν ὀλίγον ἔμπροσθεν ἤκουες αὐτοῦ, κοιλίαι ταραχώδεες εἰπόντος. ὅσοις γὰρ ἔῤῥεψεν ἐπὶ νεφροὺς ἡ κακοχυμία, τούτοις ἀναγκαῖον ἦν οὖρα ταραχώδεα γίνεσθαι, τουτέστι μετὰ δήξεως καὶ πόνων διεξιόντα. τὸ δ' ἐφεξῆς αὐτοῦ γεγραμμένον, πολλὰ, κακὰ, δυνατὸν μὲν ἐστὶ καὶ περὶ τῶν οὔρων εἰρῆσθαι. δυνατὸν δὲ, καὶ αὐτὸ καθ' ἑαυτὸ, δι' ἑνὸς λόγου τοῦδε, πλῆθός τι συμπτωμάτων μοχθηρῶν ἐνδεικνυμένου γενέσθαι τοῖς τότε νοσοῦσι.

Ex statu urinas ægrotantium turbatas multas & malas fuisse. Cur.

HIPPOCRATIS TEXTUS XV.

Urinæ turbatæ, copiosæ, pravæ.

GALENI COMMENTARIUS.

D Lotia fuisse turbata ita accipe, ut dudum, cum diceret, alvi turbatæ, nam ad renes quibus vitiatus humor defluxit, his necessario lotia turbabantur, hoc est cum mordicatione & dolore pertransibant. Quod huic est annexum, *multa*, *mala*, potest etiam de lotiis dictum esse; potest etiam ipsum seorsum, ut una hac oratione multitudinem indicet symptomatum pravorum fuisse, & id temporis ægrotantes affectos.

Αἱ τοῦ κώματος, καὶ τῆς ἀγρυπνίας ἐνταῦθα αἰτίαι ἀναγινώσκονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ις'.

Κωματώδεες ἐπὶ πολὺ, καὶ πάλιν ἄγρυπνοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν ἄμικτον ἀγρυπνίᾳ κῶμα, δι' ὑγρότητα καὶ ψύξιν ἔμαθες ἐγκεφάλου γίνεσθαι· τὴν δ' ἄμικτον ἀγρυπνίαν κώματι, διὰ ξηρότητα καὶ θερμότητα. νῦν οὖν αὐξηθέντων τῶν χυμῶν, ὑγρότητα μὲν ἐπικρατοῦσαν ἐχόντων, οὐ μὴν δή γε δριμεῖαν ἅπασαν. ἡ μὲν ὑγρότης τὴν κωματώδη διάθεσιν, ἡ δ' ἐκ τῆς σήψεως δριμύτης, τὴν ἀγρυπνίαν εἰργάσατο, τῶν ἐναντίων συμπτωμάτων ἐπ' ἐναντίοις αἰτίοις εὐλόγως γινομένων.

E Comatis ac pervigilii causæ hîc leguntur.

HIPPOCRATIS TEXTUS XVI.

Comatosi plurimum; rursumque pervigiles.

GALENI COMMENTARIUS.

Coma vigiliis vacans ab humiditate didicisti, & refrigeratione fieri cerebri: Vigilias comati non commistas, ac siccitate & calore. Nunc ergo, cum, qui increvissent F humores, humiditatem obtinerent exuperantem, verum non eam tamen universam acrem, humiditas comatosum affectum: acredo ex putredine induxit vigilias. Itaque causæ contrariæ contraria merito symptomata peperere.

A

Ob cacochymiam nullas aut difficiles judicationes fuisse.

Διὰ τὴν κακοχυμίαν τὰς ἀκρισίας καὶ τὰ δύσκριτα ἀπηρχέναι.

HIPPOCRATIS TEXTUS XVII.

» A*Crisiæ multæ, aut perardua judicia.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζʹ.

Ἀκρισίαι πολλαί· τὰ δὲ δύσκριτα.

GALENI COMMENTARIUS.

QUæ erat humoris vitiositas, quidam morbi haudquaquam decreverunt, aliqui pravè.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Διὰ τὴν κακοχυμίαν, ἔνια μὲν τῶν νοσημάτων οὐδ' ὅλως ἔκρινετο, τινὰ δὲ μοχθηρῶς.

Pro diversis corporum ac diætæ eodem in statu diversos morbos, ut hîc hydropes oriri.

Κατὰ τὰς τῶν σωμάτων τε καὶ διαιτημάτων ἰδέας ἐν τῇ ὁμοίᾳ καταστάσει τὰ διάφορα παθήματα ὥσπερ ἐνταῦθα ὕδρωπας γίνεσθαι.

HIPPOCRATIS TEXTUS XVIII.

H*ydropes.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιηʹ.

Ὕδρωπες.

GALENI COMMENTARIUS.

VEl hoc pathema quosdam dicit ex abundantia pravorum humorum affecisse. Omnem enim hæc potest morbum concitare, alium alio in corpore, pro eorum naturalibus differentiis, & vivendi dissimili ratione, ut paulò ante est dictum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Καὶ τοῦτο τὸ πάθημα γίνεσθαί φησιν ἐνίοις ἐκ τῆς περιουσίας τῶν μοχθηρῶν ὑγρῶν. ἅπαν γὰρ αὕτη νόσημα δύναται γεννᾷν ἄλλο κατ' ἄλλο σῶμα, παρά τε τὰς φυσικὰς αὐτῶν διαφορὰς, καὶ τὴν τῆς διαίτης ἀνομοιότητα, καθάπερ ὀλίγον ἔμπροσθεν εἴρηται.

Ab austrino statu & rheumate multos tabidos extitisse.

D Ἀπὸ τῆς νοτίου καταστάσεως, καὶ ἐκ τοῦ ῥεύματος πολλοὺς φθινώδεας γενέσθαι.

HIPPOCRATIS TEXTUS XIX.

T*Abidi multi.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθʹ.

Φθινώδεες πολλοί.

GALENI COMMENTARIUS.

REtuli etiam supra, quod ex capite in fauces defluxerat, ubi per guttur in asperam arteriam, & pulmonem venisset, ejuscemodi vitia produxisse.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Λέλεκταί μοι καὶ πρόσθεν, ὡς τὸ καταῤῥυὲν ἐκ τῆς κεφαλῆς εἰς τὴν φάρυγγα, διὰ τοῦ λάρυγγος εἰς τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν πνεύμονα ἀφικόμενον, τὰς τοιαύτας διαθέσεις εἰργάσατο.

E

Quid morbus Epidimius, & pestilens.

Τί νόσημα ἐπιδήμιον καὶ τί λοιμῶδες.

HIPPOCRATIS TEXTUS XX.

A*Tque hi quidem morbi sunt, qui in vulgus grassabantur.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κʹ.

Τὰ μὲν ἐπιδημήσαντα νοσήματα ταῦτα.

GALENI COMMENTARIUS.

UNus de vulgaribus morbis & ipse pestilens est, ut in libro quoque de victus genere acutorum dictum est his verbis; Nam si quando nulla morbi pestilentis forma communis vulgetur, cæterùm dispersi sint morbi. Neque enim certi est morbi nomen vulgare, vel pestilens, cæterum quicunque uno in loco multo simul invaserit; vulgaris hic vocatur, qui simul si hoc habeat ut multos perimat, pestis est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Τῶν ἐπιδημιῶν νοσημάτων, ἕν τι καὶ τὸ λοιμῶδές ἐστιν, ὡς κἀν τῷ περὶ διαίτης ὀξέων ἐλέγετο. ὅταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι. οὐ γὰρ δὴ νοσήματός γέ τινος ὄνομά ἐστιν ἐπίδημοι, ἢ λοιμῶδες, ἀλλ' ὅ τι περ ἂν πολλοῖς ἐν ἑνὶ γένηται χωρίῳ, τοῦτο ἐπίδημον ὀνομάζεται. προσελθόντος δὲ αὐτῷ τοῦ πολλοὺς αἱρεῖν, λοιμὸς γίνεται.

A

Τὸν πολλῶν θάνατον τὸν ἐπιδήμιον λοιμὸν ἐκφαίνειν.

Multorum interitum Epidemiam pestem prodere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Ἑκάστου δὲ τῶν ὑπογεγραμμένων ἰδεῶν ἦσαν οἱ κάμνοντες, καὶ θνήσκοντες πολλοὶ, συνέπιπτε δ' ἐφ' ἑκάστοισι τούτων ὧδε.

HIPPOCRATIS TEXTUS XXI.

Ex delineatorum generum unoquoque multi laborabant, ac moriebantur, eorumque singulis nunc in modum accidit.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ μὲν τοῦ φάναι καὶ ἔθνησκον πολλοὶ, λοιμώδη τὰ ἐπιδημήσαντα νοσήματα γεγονέναι δηλοῖ, πολυειδῶν δὲ αὐτῶν γενομένων, ὑπὲρ ἑκάστου κατὰ μόνας εἰπεῖν ἐπαγγέλλεται διὰ τῶν ἐφεξῆς.

GALENI COMMENTARIUS.

Cum dicit, & complures moriebantur, pestilentes fuisse morbos, qui vulgarentur, demonstrat. Qui, quando diversi fuerunt, de singulis separatim infra se acturum promittit.

Τὸ Ἐρισίπελας ἐπιδήμιον πολλοῖς συμβῆναι, καὶ μᾶλλον τοῖς ἑξηκονταέτεσιν, οὗ τῆς θεραπείας ἀμεληθείσης μεγάλαι φλεγμοναὶ ἐγίνοντο καὶ τὸ σῶμα ἐπενέμετο. Ἅτινα ἦν τοῦ ἐρισιπέλατος αἴτια.

Erysipelas Epidemium multis accidisse & frequentius sexagenariis; cujus neglecta curatione, magnæ inflammationes succedunt, & corpus depascitur: quæ sint erysipelatis causæ.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Πολλοῖς μὲν τὸ ἐρισίπελας μετὰ προφάσιος ἐπὶ τοῖσι τυχοῦσι, καὶ πάνυ ἐπὶ σμικροῖσι τρωματίοισιν ἐφ' ὅλῳ τῷ σώματι, μάλιστα δὲ τοῖς περὶ ἑξήκοντα ἔτεα, περὶ κεφαλὴν, εἰ καὶ σμικρὸν ἀμεληθείη. πολλοῖσι δὲ καὶ ἐν θεραπείῃσιν ἐοῦσι, μεγάλαι φλεγμοναὶ ἐγίνοντο, καὶ τὸ ἐρισίπελας πολὺ, ταχὺ πάντοθεν ἐπενέμετο.

HIPPOCRATIS TEXTUS XXII.

Multis equidem erysipelas cum causis ex vulgaribus, valdeque parvulis ulcusculis in toto corpore, maximeque sexagenariis circum caput effloruit, si quoque paululum negligeretur. Multis autem etiam inter curationes magnæ inflammationes oriebantur, & erysipelas admodum celeriter undique populabatur.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗ πρώτου πάντων ἐμνημόνευσε πάθους, εἰκότως καὶ νῦν πρώτου γράφει τὰς κατὰ μέρος διαφοράς. ἐνίοις μὲν αὐτὸ γίνεσθαι λέγων ἐπὶ μικραῖς ἀφορμαῖς, ἃς προφάσεις ὠνόμασεν, ἐνίοις δ' ἐν θεραπείαις οὖσι μεγάλας τε φλεγμονὰς ἀκολουθῆσαι, ὡς νεμόμενον ἐπὶ πολὺ τὸ ἐρυσίπελας. τοῖς πλείοσι δὲ περὶ τὴν κεφαλὴν τοῦτο συμβῆναι, διὰ τὸ πληρωθῆναι μάλιστα ταύτην ἐν ταῖς νοτίοις τε καὶ θερμαῖς ἀπνοίαις. τὸ δὲ, τοῖς ἑξηκονταετέσιν αὐτὸ γίνεσθαι μᾶλλον, αἰτίαν ἔχει τήνδε. τὸ περιϊστάμενον ἔξωθεν παρὰ φύσιν θερμὸν, αἴτιον ἐγίνετο τοῦ σαπῆναι τοὺς ἐν τῷ σώματι χυμοὺς, ὡς τό γ' ἐν ἡμῖν θερμὸν, ὅταν ἀκριβῶς φυλάττῃ τὴν κατὰ φύσιν ἑαυτοῦ κρᾶσιν, αἷμα τῶν ἄλλων χυμῶν ἐργάζεται πλέον. ὅταν δ' ἐπὶ τὸ πυρωδέστερον ἐκτραπῇ, τὴν ὠχράν τε καὶ ξανθὴν χολήν. τὸ δ' ἔξωθεν θερμὸν, αἴτιόν ἐστι σηπεδόνος χυμῶν. ὕλη μὲν γάρ ἐστιν ἡ ὑγρότης, αἰτία δὲ δραστικὴ, τὸ παρὰ φύσιν θερμόν. οἱ τοίνυν γέροντες, ὑγρότητας μὲν ἀθροίζοντες ἀεὶ περιττὰς, διὰ τὴν ἀσθένειαν τῆς φύσεως, προσλαβόντες δὲ καὶ τὴν ἐκ τοῦ περιέχοντος θερμότητα, διὰ τὴν γινομένην τότε κατάστασιν, εὐαλωτότεροι τῶν νέων ἐγίνοντο τῇ σηπεδονώδει φθορᾷ τῶν χυμῶν.

GALENI COMMENTARIUS.

Cujus præ omnibus meminit primi pathematis, jure nunc primi etiam singulas reddit differentias: quod accidisse quibusdam dicit parvis de causis, quas vocavit occasiones; & multos qui à Medicis curabantur, magnas esse inflammationes consequutas, quò sacer ignis, scilicet plurimum depasceretur. Plurimis jam caput hunc sollicitasse, quando repletum hoc maximè in austrinis esset & calidis ventorum tranquillitatibus. Cur autem & sexagenarios hic præter cæteros tentaret, hoc in causa est. Foris ambiens præter naturam calor causa, quamobrem corporis putrescerent humores, fuit; sicut nativus calor, ubi suum nativum exactè temperamentum servat plus aliis humoribus sanguinis efficit: quando vero in magis igneum versus fuerit, pallidam & flavam bilem. At calor externus putredinis author humorum est; nam materia quidem humiditas est, causa efficiens calor præter naturam. Quare senes, qui superfluas semper humiditates ob naturæ imbecillitatem coacervant, ut his accessit aëris calor ex illa affectus tempestate, humorum putredinosæ corruptioni fuerunt juvenibus opportuniores.

E

F

A

Putrentis ac malignæ cacochymiæ indicia.

HIPPOCRATIS TEXTUS XXIII.

» *Plurimis igitur ipsorum abscessus in empiemata conciderunt; tum carnium, tum ossium, & nervorum prolapsus magni.*

GALENI COMMENTARIVS.

B

MAlignitas abundantis humoris ex magnitudine constitit putredinis, atque dictis subtexens dicit.

Corporis humores statu humido austrino, ventorum vacuitate fluere & putrere.

HIPPOCRATIS TEXTUS XXIV.

» *Erat autem rheuma consistens, non puri simile, verùm quiddam aliud, & fluxio copiosa, & varia.*

C

GALENI COMMENTARIUS.

HIppocrates apertè tibi indicavit, quod nos sæpè jam diximus, corporis humores propter humiditatem & aëris tranquillitatem computruisse, atque idcirco pus non generavit. Computrescebant vero ob pravos humidos humores solidæ partes. At variam esse fluxionem propter putrescentium diuersitatem ratio erat: nam à communi putredinis causa singula putrescentia peculiarem obtinent corruptionis speciem.

D

Pro ratione putridi ac maligni humoris in has aut illas partes decumbentis & vexantis, formidabiliora, aut deteriora esse symptomata.

HIPPOCRATIS TEXTUS XXV.

E

» *Quibus itaque circum caput hujusmodi aliquid fieri contingit, totius capitis & mentis glabrationes, ossiumque denudationes, & prolapsus acciderunt, multæque fluxiones. Et hæc tum in febribus, tum citra febres aderant. Atque ista plus terroris quàm periculi denunciant. Quibus nanque ad suppurationem talium maturatio devenit, eorum plerique superstites evadebant. A quibus vero inflammatio quidem, aut erysipelas recesserit, nullumque hujusmodi abscessum creaverit, eorum multi perierunt. Similiter quoque & quacunque corporis parte oberrarunt, ista contigerunt. Multis siquidem brachium ac totus decubitus defluxerunt. Nonnullis vero ista latera malè vexabant, aut anteriorum, aut posteriorum aliquod. Quibusdam vero totum femur, aut tibia, aut pes totus denudabatur.*

F

GALENI COMMENTARIUS.

HUmorum putredo, cujus est commune munus, ut illas partes in quas impingat, corrumpat, terribiliorem in capitis partibus

Τὰ τῆς σηπομένης καὶ κακοήθεος κακοχυμίας γνωρίσματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

ΤΟῖσι μὲν οὖν πλείστοισιν αὐτέων, ἀποστάσιες ἐς ἐμπυήματα ξυνέπιπτον, σαρκῶν τε καὶ ὀστέων, καὶ νεύρων ἐκπτώματα μεγάλα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗν κακοήθειαν τοῦ πλεονάζοντος χυμοῦ διὰ τοῦ μεγέθους τῆς σήψεως συνέστηκε, καὶ τοῖς εἰρημένοις ἐφεξῆς συνάπτων ἐρεῖ·

Τοὺς ἐν τῷ σώματι χυμοὺς κατὰ κατάστασιν νότιον καὶ ὑγρὰν, καὶ τὴν ἀπνοίαν ῥέειν τε καὶ σήπεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

ΗΝ δὲ καὶ τὸ ῥεῦμα συνιστάμενον, οὐ πύῳ ἴκελον, ἀλλὰ σηπεδών τις ἄλλη, καὶ ῥεῦμα πολὺ, καὶ ποικίλον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΥτὸς ἐδήλωσέ σοι σαφῶς, ὅπερ ἤδη πολλάκις ἡμεῖς ἔμπροσθεν εἴπομεν, ὡς οἱ ἐν τῷ σώματι χυμοὶ διὰ τὴν ὑγρότητά τε καὶ ἀπνοίαν τοῦ περιέχοντος, ἐσήποντο, καὶ διὰ τοῦτο, πύον μὲν οὐκ ἐγεννᾶτο, διεσήπετο δ' ὑπὸ τῶν μοχθηρῶν χυμῶν ὑγρῶν, τὰ στερεά. ποικίλον δ' εἶναι τὸ ῥεῦμα, διὰ τὴν τῶν σηπομένων διαφθορὰν, εὔλογον. ὑπὸ γὰρ κοινῆς αἰτίας, τῆς σηπεδόνος, ἕκαστον τῶν σηπομένων, ἴδιον εἶδος ἴσχει τῆς διαφορᾶς.

Κατὰ λόγον τῆς σαπρᾶς καὶ κακοήθεος εἰς ταῦτα, ἢ ἐκεῖνα μόρια κακοχυμίας ἀποῤῥεούσης καὶ κατακειμένης καὶ αὐτὰ ἐνοχλεούσης, τὰ φοβερώτερα ἢ κακίω εἶναι συμπτώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

ΟΙσι μὲν οὖν περὶ τὴν κεφαλὴν τοιοῦτον τι ξυμπίπτη γίνεσθαι, μάδησίς τε ὅλης τῆς κεφαλῆς ἐγίνετο, καὶ τοῦ γενείου, καὶ ὀστέων ψιλώματα, καὶ κοπώματα, καὶ πολλὰ ῥεύματα. ἐν πυρετοῖσι δὲ ταῦτα, καὶ ἄνευ πυρετῶν. ἦν δὲ ταῦτα φοβερώτερα, ἢ κακίω. οἷσι γὰρ εἰς ἐμπύημα, ὁ τῶν τοιούτων ἀφίκοιτο πεπασμὸς, οἱ πλεῖστοι τούτων ἐσώζοντο. ὅσοι δ' ἡ μὲν φλεγμονὴ, καὶ τὸ ἐρυσίπελας ἀπέλθοι, τοιαύτην δ' ἀπόστασιν μηδεμίαν ποιήσαιτο, τούτων ἀπόλλυται πολλοί· ὁμοίως δὲ καὶ ἄλλη τοῦ σώματος πλανηθῇ, ξυνέπιπτε ταῦτα. πολλοῖσι μὲν γὰρ βραχίων, καὶ πῆχυς ὅλος περιεῤῥύη, οἷσι δὲ τὰ πλευρὰ ταῦτ' ἐκακοῦτο, ἢ τῶν ἔμπροσθέν τι, ἢ τῶν ὄπισθεν, οἷσι δ' ὅλος μηρὸς, ἢ τὰ περὶ κνήμην ἀπεψιλοῦτο, καὶ ποὺς ὅλος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Η Σηπεδὼν τῶν ὑγρῶν ἔργον ἔχουσα κοινὸν, ἐκεῖνα τοῦ σώματος φθείρειν, εἰς ἅπερ ἂν κατασκήψῃ, φοβερωτέραν εἶχε φαντασίαν ἐν τοῖς περὶ κεφαλὴν μορίοις,

A διὰ τὸ κἂν βραχὺ τῆς παρὰ φύσιν ἐνταῦθα παραλλαχθείη, πλέον γίνεσθαι τὸ αἶσχος, ἢ κατὰ τὰ ἄλλα μόρια, μεγάλην ἐκτροπὴν εἰς τὸ παρὰ φύσιν ἔχοντα. μηροῦ μὲν γὰρ ἢ βραχίονος, ἢ κνήμης, ἢ πήχεως ἀποῤῥυὲν δέρμα, μικροτέραν ἔχει φαντασίαν, εἰ δὲ τῆς κεφαλῆς συναποπέσοιεν αἱ τρίχες τῷ δέρματι, καὶ πολὺ μᾶλλον ἡ τῆς γενείου σὺν αὐταῖς, ἡ μὲν φαντασία τοῦ πάθους γίνεται μεγάλη, ὁ κίνδυνος δὲ ἧττον, ἢ εἰ περὶ αἰδοῖα συμβαίη τὸ τοιοῦτον πάθος, ἢ λάρυγγα, καὶ θώρακα, καί τι τῶν κυρίων μορίων. οὐ μόνον δὲ τὰ περὶ τὴν κεφαλὴν οὕτως γινόμενα, φοβερὰ μᾶλλον ἦν, ἢ κακίω, ἀλλὰ καὶ B καθ' ὁποιοῦν ἄλλο μέρος οὕτως ἐκπίπτοντα. κακίω γὰρ ἦν, ἐφ' ὧν ἀπέστησεν εἰς τὸ βάθος, ὁ τὸ ἐρυσίπελας ἐργαζόμενος χυμὸς, ἐπειδὴ πρὸς τὰ σπλάγχνα, καὶ πρὸς τὰ κύρια μέρη χωρῶν, ἅμα τοῖς ἄλλοις συμπτώμασι, καὶ πυρετοὺς ὀξεῖς ἐγέννα. τινὲς μέντοι τῶν ἐπιπολῆς ἐχόντων τὴν τοιαύτην σηπεδόνα, καὶ χωρὶς πυρετῶν, διεφθάρησαν τὰ μόρια, καί τινες αὐτῶν διὰ τοῦτ' ἐσώθησαν, ἐκκριθείσης τῆς κακοχυμίας διὰ τῶν μορίων ὧν αὕτη διέσηψεν. ἐπλανᾶτο γὰρ, ὡς αὐτὸς ὠνόμασε, δι' ὅλου τοῦ σώματος τὸ ῥεῦμα, τουτέστιν ἀλόγως καὶ ἀτάκτως, καὶ ὡς ἔτυχεν ἐφέρετο, μηδὲ προγνῶναί τινος ἰατροῦ C δυναμένου τεχνικῶς ἐς ὅ τι κατασκήψειεν.

A speciem præbuit, propterea quod licet vel paululum de natura hîc deflectant, major fiat sugillatio quàm cæteris in partibus multum à natura divertentibus. Nam, à femore vel brachio, vel tibia, vel cubito, si cutis recesserit, minorem præbet mali speciem: at si capitis unà cum cute crines defluxerint, atque adeo menti cum illis vitii sit facies magna, periculum vero minus quàm si is pudenda affectus teneat, aut guttur, aut thoracem, aut aliam principalem partem. Neque tamen, quæ caput ita tentabant, formidabilia magis erant, quàm pejora; B verumetiam quæ cuilibet aliarum partium decidebant. Pejora enim erant, in quibus in profundum secessit humor ignem sacrum efficiens, quum in viscera se & principes partes conferens, præter alia symptomata, febres etiam acutas generabat: Quibusdam tamen, quibus in superficie erat ejusmodi putredo, partes etiam citra febres marcescebant: quorum quidam hac de re præcipuè incolumes evaserunt, vitiosis humoribus simul cum ipsis partibus, quas ii putrefecerant, emissis. Oberrabat enim, ut ipse vocavit, per totum corpus, hoc est, nulloque C ordine & casu vagabatur, ut præsagire Medicus arte, quo esset decubitura, non valeret.

Τοῖς αἰδοίοις τὴν φλεγμονὴν, ἢ τὸ ἐρυσίπελας χαλεπώτατον ἐνεῖναι.

Pudendis phlegmonem aut erysipelas inesse gravissimum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

ΗΝ δὲ πάντων χαλεπώτατον τούτων, ὅτε περὶ ἥβην καὶ αἰδοῖα γένοιτο.

HIPPOCRATIS TEXTUS XXVI.

D *HUjusmodi autem omnium gravissimum erat, quum pubem ac pudenda obsiderent.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ χωρὶς λοιμώδους καταστάσεως, ὅταν ἐν τούτοις τοῖς χωρίοις ἤτοι φλεγμονή τις, ἢ ἐρυσίπελας γένηται, ῥᾷστά τε σήπεται, καὶ συμπαθείας ἐργάζεται τῶν ὑπερκειμένων μορίων. διὸ καὶ πολλάκις ἀναγκαζόμεθα μετὰ τὸ περικόψαι τὰ σεσηπότα, τὴν χώραν ἐκκαίειν. οὐδὲν οὖν θαυμαστὸν, τοιαύτης καταστάσεως γινομένης, ὡς καὶ βραχίονα, καὶ πῆχυν, καὶ μηρὸν, καὶ κνήμην, πλευράν τε, καὶ κεφαλὴν διασήπειν, ἐπὶ πλεῖστον ἥκειν κακώσεως τὰ περὶ αἰδοῖα.

GALENI COMMENTARIUS.

ETiam absque pestilente statu, ubi has regiones inflammatio vel sacer ignis obsederit; facillimè putrescunt, unaque partes superiores afficiunt. Unde nobis est valde necesse ut putrida præcidamus, locum veluti radicem inurere. Nihil habet ergo admirationis ubi is esset status, ut brachium, cubitus, femur, tibia, latus, caput computrescant, si E plurimum offendantur pudenda.

Ἱπποκράτην περὶ τῶν νοσημάτων αὐτῶν τοιαύτης αἰτίας γινομένων ἐφεξῆς τὸν λόγον ποιησάμενον.

De morbis citra causam obortis deinceps orationem facturum esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

ΤΑ μὲν περὶ ἕλκεα, καὶ μετὰ προφάσιος τοιαῦτα.

HIPPOCRATIS TEXTUS XXVII.

ATque ea fuit eorum quæ cum ulcere aut causa externa contigerunt, conditio.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΧρι τοῦ νῦν ὁ λόγος αὐτῷ γέγονε περὶ τῶν ἐρυσιπελάτων, ὅσα δι' ἕλκωσιν, ἢ τι μικρὸν οὕτως ἄλλο τῶν ἔξωθεν αἰτίων συνέστη. ἐφεξῆς δὲ περὶ τῶν ἄνευ τοιαύτης αἰτίας γινομένων, ποιήσεται τὸν λόγον.

GALENI COMMENTARIUS.

F HActenus verba de sacro igne fecit, qui ex ulcere, aliamve ita parvam ob causam externam constitit. Posthac de iis quæ sine tali causa inciderunt, tractabit.

A

Epidemios morbos superiores, aut cum febre ardente vel post febrem ægros invasisse.

Τὰ ἐπιδήμια νοσήματα τὰ πρόσθεν, ἢ μετὰ πυρετοῦ, ἢ πρὸ, ἢ μετὰ πυρετὸν ἐπιβαίνεσθαι.

HIPPOCRATIS TEXTUS XXVIII.

Multis autem in febribus, aut ante febrem, " aut à febre contigerunt. "

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

Πολλοῖσι δὲ ἐν πυρετοῖσι, καὶ πρὸ πυρετοῦ, καὶ ἐπὶ πυρετῷ, συνέπιπτεν.

GALENI COMMENTARIUS.

Non ob ulcus his, aut alia de causa externa, quæ sit manifesta; sed ut consuevimus dicere, sua sponte provenit sacer ignis: atque partim simul cum febre invadebat, partim quum febres aut consequutæ sunt, aut præcesserunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Οὐδὲ δι' ἕλκος τούτοις, ἤτοι τῶν ἔξωθεν αἰτίων τῶν προφανῶν, ἀλλ' ὡς εἰώθαμεν λέγειν, αὐτόματος ἡ γένεσις ἀπήντησε τῶν ἐρυσιπελάτων, ἐνίοις μὲν ἅμα πυρετοῖς εἰσβαλλόντων, ἐνίοις δ' ἀκολουθησάντων πυρετῶν, ἢ προηγουμένων αὐτῶν.

Causas adfert quibus ægroti ab Epidemiis morbis solvebantur, aut interibant.

Τὰς αἰτίας ἐπιφέρει, δι' ὧν ἄρρωστοι ἀπὸ τῶν νοσημάτων ἐλύοντο, ἢ διέθνησκον.

HIPPOCRATIS TEXTUS XXIX.

At inter ea quæ abscessum fecissent per suppurationem, aut insignis quædam alvi perturbatio, aut probarum urinarum transmissio extitisset, per hæc solvebantur. Quibus autem nihil horum accidisset, verum citra significationem evanescerent, mortem inferebant.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Ἦν δὲ, ἐκ τούτων ὅσα μὲν ἀπόστασιν ποιήσαιτο διὰ τοῦ ἐμπυήματος, ἢ κατὰ κοιλίην ταραχή τις ἐπίκαιρος, ἢ χρηστῶν οὔρων διάδοσις γένοιτο, διὰ τούτων λελύσθαι. οἷσι δὲ μηδὲν τούτων συμπίπτοι, ἀσήμως δὲ ἀφανιζομένων, θανατώδεα γίνεσθαι.

GALENI COMMENTARIUS.

Paulo ante etiam causa reddita est, cur superstites essent magis, quibus per putridam partem malus humor unà cum illa de corpore decideret. Nec est obscurum quin si & per ventrem, & urinas expurgatus fuisset, molestus, dum excerneretur, fuerit; profuerit tamen universo corpori.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Ἐρρέθη καὶ μικρὸν ἔμπροσθεν ἡ αἰτία, τοῦ σώζεσθαι μᾶλλον, οἷσιν ἡ κακοχυμία διά τινος μορίου σαπέντος, ἅμ' ἐκείνῳ συνέπεσε τοῦ σώματος. εὔδηλον δ' ὅτι καὶ διὰ γαστρὸς, καὶ οὔρων ἐκκαθαρθεῖσα, δυσχέρειαν μὲν εἰργάζετο κατὰ τὰς ἀποκρίσεις, ὠφέλει δὲ τὸ σύμπαν σῶμα.

Cur erysipelata quædam veris initio orta, per æstatem & autumnum perseverarunt.

Διά τι ἐρυσιπέλατα ἐν ἀρχῇ τοῦ ἔαρος γινόμενα ἔνια διὰ θέρους, καὶ φθινοπώρου παρέμεινε.

HIPPOCRATIS TEXTUS XXX.

Vere longè plurimos exercebant sacri ignes: tenebantque sub æstate & sub autumnum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

E Πολὺ μὲν οὖν, τοῖσι πλείστοισι συνέπιπτε τὰ περὶ τὸ ἐρυσίπελας τοῦ ἦρος, παρείπετο δὲ καὶ διὰ θέρεος, καὶ ὑπὸ φθινόπωρον.

GALENI COMMENTARIUS.

Genuit quidem, ut dixi, vitiosos humores status difficulter transpirans, quæ humidus, calidusque erat, & ventis carebat, quos in corpore frigora concluserunt, ut etiam in primi libri vulgarium morborum prima tempestate est dictum. Meriro itaque vere varii morbi inceperunt paulo ante commemorati: nam hoc loco illi est de sacro igni sermo: quem, quando emicuit primus, primum quoque descripsit. Itaque de his, inquit, sacris ignibus, qui incesserunt initio veris, quidam totam æstatem duraverunt & autumnum. Quum autem utroque modo hæc verba intelligi possent, tenebantque æstate & sub autumnum, & quod quamvis ipsi in vere generarentur, eorum tamen subsistentia ad autumnum duraret: & quod

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐγέννησε μὲν ὡς ἔφην τὴν κακοχυμίαν ἡ δυσδιάπνευστος κατάστασις ὑγρὰ, καὶ θερμὴ, καὶ ἄπνους γινομένη. κατέσχον δ' αὐτὴν ἐν τῷ σώματι τὰ ψύχη, καθάπερ εἴρηται κἀν τῇ πρώτῃ καταστάσει τοῦ πρώτου τῶν ἐπιδημιῶν. εἰκότως οὖν ἤρξατο ποικίλα F νοσήματα, τὰ μικρὸν ἔμπροσθεν εἰρημένα, νυνὶ δ' ὁ λόγος αὐτῷ περὶ τῶν ἐρυσιπελάτων ἐστί. ταῦτα γὰρ πάντων πρῶτα γινόμενα, πρῶτα καὶ κατὰ τὴν διήγησιν ἔγραψε. τούτων οὖν φησὶ τῶν ἐρυσιπελάτων ἐν ἀρχῇ τοῦ ἦρος γινομένων, ἔνια παρέμεινε διὰ θέρους, καὶ φθινοπώρου. δυνατὸν δ' ὂν ἀκοῦσαι ἑκατέρως, τοῦ, παρείπετο δὲ, καὶ διὰ θέρεος, καὶ ὑπὸ φθινόπωρον, ἐπί τε τῶν γινομένων ἐρυσιπελάτων, ἐπί τε τῶν αὐ-

πόθεν γινομένων, τὴν ὕπαρξιν παραμεῖναι τοῖς ἐνίοις, ἄχρι τοῦ φθινοπώρου νοήσομεν, τήν τε γινομένων τὴν γένεσιν, ὡς ἄλλων μὲν τινων ἐν ἦρι γινομένων καὶ παυσαμένων, ἄλλων δὲ ἐν θέρει γινομένων. ὡσαύτως δὲ καὶ κατὰ τὸ φθινόπωρον, ἄμεινον ἀκοῦσαι κατὰ τὸ δεύτερον τοῦτο σημαινόμενον. οὐ γὰρ εὔλογον ἐν ἀρχῇ τοῦ ἦρος συστὰν ἐρυσίπελας, ἄχρι φθινοπώρου παραμεῖναι. πάντως γὰρ ἂν διέφθειρεν ἐν τῷ μεταξὺ, τὸν ἄνθρωπον, εἰ πάνυ κακόηθες ἦν, ἢ δι' αὐτῶν τῶν σηπομένων μορίων ἐκκαθαρθείσης τῆς σηπεδόνος, ἐπαύσατο.

A quum adhuc generarentur, eorum generatio usque ad autumnum duraret: itaut alii quidem vere generarentur, ac desinerent, alii æstate, alii itidem autumno generarentur ac desinerent, rectiùs secunda hac significatione accipias. Neque enim rationi consentaneum est, ineunte vere natum, ad autumnum usque productum esse sacrum ignem. Omnino enim interea hominem interemit, si magnopere esset cacoethes: vel per putrescentes partes putredine expurgata discussus sit.

B

Τὰ τῶν μορίων παθήματα μὴ μνημονευθέντα λέγει.

Affectus partium non commemoratos enarrat

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

ΠΟλλοὶ ταραχὴ ἦσι, καὶ τὰ περὶ φάρυγα φύματα, καὶ φλεγμοναὶ γλώσσης, καὶ τὰ παρ' ὀδόντας ἀποστήματα.

HIPPOCRATIS TEXTUS XXXI.

NOnnullis multa erat turbatio, tuberculaque ad fauces, linguæ inflammationes, abscessusque secundum dentes.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ παθήματα τῶν μορίων διεξέρχεται κατὰ τόνδε τὸν λόγον, ὧν ἔμπροσθεν οὐκ ἐμνημόνευσε.

GALENI COMMENTARIUS.

C AFfectus hoc loco persequitur partium, de quibus antea non meminit.

Αἱ φωναὶ κακούμεναι, καὶ κατειλοῦσαι τῇ μακρολογίᾳ διδάσκονται. αἱ τῆς φωνῆς κλαγγώδεις, καὶ τῆς ὀξείας, καὶ βραγχώδεις αἰτίαι.

Voces male affectæ, interceptæ longa oratione docentur. Vocis clangosæ, acutæ, & raucæ causæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

ΦΩναί τε πολλοῖς ἐπισήμαινον κακούμεναι, καὶ κατειλοῦσαι. πρῶτον μὲν τοῖσι φθινώδεσιν ἀρχομένοισιν, ἀτὰρ καὶ τοῖσι καυσώδεσιν, καὶ τοῖσι φρενιτικοῖσιν.

HIPPOCRATIS TEXTUS XXXII.

D *VOcesque multis innotescebant malè affectæ, ac interceptæ, primum quidem tabidis incipientibus, & febre ardente, & phrenitide laborantibus.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΓὼ μὲν, καὶ τὸ γεγραμμένον ἔμπροσθεν ἐπὶ τοῦ δωδεκάτου κατὰ τὴν τάξιν ἀρρώστου καθ' ὃν οὕτως ἔφη, δεξιὸς ἴλλαινεν, ὑπώπτευον ὡς παρεγγεγραμμένον. ὁ γάρ τοι τοῦ Ἡρακλείδου υἱὸς Ἱπποκράτης, οὗ καὶ τοὺς ἀφορισμοὺς καὶ τὸ προγνωστικὸν εἶναί φασι, φαίνεται συνηθεστάτοις τε, καὶ διὰ τοῦτο σαφέσι τοῖς ὀνόμασιν κεχρημένος, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ῥητορικοῖς πολιτικά. E τὸ δ' ἰλλαίνειν, οὐ τοιοῦτον, καὶ πολύ γε μᾶλλον αὐτοῦ, τὸ κατιλλαίνειν, ἢ κατιλλαίνουσαι, καὶ μάλιστά γε ἐπὶ τῶν φωνῶν οὐκ ἐπὶ τῶν βλεφάρων λεγόμενον. καὶ πρὸς τούτοις ἔτι διὰ τὸν χαρακτῆρα τῆς λέξεως, ἐνεργητικὸν οὐ παθητικὸν ὄντα. βέλτιον γὰρ ἦν, εἴπερ ὅλως, ἐπὶ τῆς φωνῆς, ἐβούλετο χρήσασθαι τοιαύτῃ προσηγορίᾳ, κατειλεύμεναι γράφειν, οὐ κατειλοῦσαι, καὶ πολύ γε βέλτιον τούτου τὸ, κατιλλαινόμεναι. περὶ γὰρ τὸ ἰλλαίνειν ἡ μετοχὴ κατὰ τοιοῦτον εἰρήσεται τόπον. ὀνομάζω δὲ νῦν δηλονότι μετοχὴν, κατὰ τὸ τῶν F γραμματικῶν ἔθος, ἀδιανόητον δέ ἐστι ἐπὶ τῶν φωνῶν λεγόμενον τὸ κατειλοῦσαι, καθάπερ ἔνιοι τῶν ἐξηγητῶν ἀκοῦσαι ἡμᾶς ἐθέλουσιν, ὡς ἐγκειμένου τοῦ ἰλλαίνειν ὀνόματος ὡς τὸ διαστρέφειν. τὸ γὰρ κατειλοῦσαι, τὸ, διαστρέφουσαι. τὸ δὲ κατειλούμεναι, τὸ καταδιαστρεφόμεναι. πολλὰ τοίνυν ἁμαρτήματα φαίνεται κατὰ μίαν λέξιν γεγονότα βουλομένων ἡμῶν ἀκούειν οὐ κατειλοῦσαι, καθότι πολλοῖς τῶν ἐξηγητῶν ἔδοξεν, ὡς ἀπὸ τοῦ ἰλλαίνειν γεγονότος τοῦ ὀνόματος. τὸ μὲν γὰρ ἐνεργητικὸν, ἰλλαίνουσα, τὸ δὲ παθητικὸν ἰλλαινόμεναι, καὶ μετὰ τῆς προθέσεως κατιλλαίνουσαι. τὸ δ' εἰλοῦσαι καὶ κατειλοῦσαι, παρὰ τὸ ἰλλαίνειν οὐ φαίνεται γεγονός,

GALENI COMMENTARIUS.

EQuidem etiam quod est supra in ægro qui ordine est undecimus, scriptum, ubi sic ait: δεξιὸς ἴλλαινεν (quod nos, dexter oculus erat distortus, vertimus) suspicabar esse ab alio inductum. Etenim Heraclidis filius Hippocrates, cujus etiam Aphorismos esse, & præsagia autumant, usitatissimis esse usus, & proinde claris vocabulis videtur, quæ vocare rhethorici civilia solent: At verò ἰλλαίνειν non est istius generis, eoque minus κατιλλαίνειν, vel κατιλλαίνουσαι, maximè quum de voce, non de palpebris dicitur. Ad hæc propter dictionis formam, quæ activa, non passiva est: rectius enim (siquidem prorsus voci statuerat adaptare hoc nomen) erat κατειλούμεναι scripturus, non κατειλοῦσαι: & multo quidem rectiùs hoc, κατελλαινόμεναι. Nam de ἰλλαίνειν participium ea deducas figura: appello autem hoc, scilicet participium, more grammaticorum. Atqui nullus sit sensus, si de vocibus dicatur κατειλοῦσαι, ut quidam intelligere nos interpretes voluerunt, tanquam tendat verbum ἰλλαίνειν ad distorquere. Nam κατειλοῦσαι significat distorquentes, κατειλούμεναι vero distortæ. Multi itaque una in dictione errores commissi videntur, dum κατειλοῦσαι accipere, ut multis est visum Interpretibus, volumus quasi à dictione ἰλλαίνειν descenderit. Etenim activum est ἰλλαίνουσαι, ἰλλαινόμεναι passivum, & adjecta propositione κατειλαίνουσαι. Atqui εἰλοῦσαι & κατειλοῦσαι ab ἰλλαίνω derivari non videntur:

nec verò etiam εἱλούμεναι & κατειλούμεναι. Per autem raro invenias apud Veteres hoc genus verba & nomina, ἰλλαίνειν dico & ἴλλος, à quo videtur Sophron comparativum quod vocant grammatici, fecisse, ἰλλότερον τανκύονα. Quare rectiùs dixeris, siquidem ab his velis nugari, non ἀπὸ τῆς ἰλλώσεως deductum εἱλοῦσαι; sed ab alio quodam, quod cùm Plato, tum Antipho usurpasse videtur. Plato quidem, cujus hæc sunt in Timæo verba: Hanc igitur circuitu totam cutem deurebat sulfur, qua vulnerata, quum humor per eam efflueret, humidum, & calidum, quod quidem sincerum erat, emanavit: mistum verò in quibus cutis erat; foras à corruptione productum, longum fiebat, subtiliter extensum ab impulsu. Quia vero sensim impellebatur ab aëris frigore, intro iterum ὑπὸ τὸ δέρμα εἱλούμενον κατερριζοῦτο, id est, sub cutem coactum firmabatur. Videtur enim pro conclusum vel repulsum in altum, εἱλούμενον hîc usurpasse. quo significato videtur etiam hæc ab eo esse scripta oratio. Terram verò nutricem nostram εἱλουμένην, id est, quæ restringitur, ad rationem in perpetuum constitutam. Est item apud Antiphontem in secundo libro de veritate invenire hoc scriptum vocabulum eo loco: ubi ergo in aëre imbres, & venti sibi mutuo adversentur, ibi cogitur aqua, & multum spissatur. Quod autem eorum, quæ committuntur, superius sit, hoc densatur & cogitur, ὑπό τε τοῦ πνεύματος εἱλούμενον, καὶ ὑπὸ τῆς βίας, id est, à vento contortum & à vi. Sanè & hic conclusum, vel contractum in se denotare per dictionem εἱλούμενον videtur. Nunquid igitur in libro, quem explicare instituimus, qui de vocibus scripsit κατειλοῦσαι, tale quid significari innuit, voces quasi occlusas, & coactas ostendens, ut accipiamus de vocibus esse dictum, quæ exire nequeunt: quando incidit iis, qui gracili sunt voce, an hoc minime convenit? Potuit enim sistentes, vel impeditas, vel tardas, vel aliquid tale scribere, qui significare volebat adeo impedita esse voce hominem, ut vix loqui posset. Jam etiam à vinculo licet veluti vinctam accipere vocem esse dictam hoc loco: adeoque indicat de vinculis se Poëta dixisse,

Ιλλασιν οὐκ ἐθέλοντα βίῃ δήσαντες, ἄγουσιν.

Ducunt vi vinclis religatum, qui renuebat.

Liquet porro rectius, si κατειλούμεναι sit scriptum quàm κατειλοῦσαι: qui quidem communis est omnis expositionis lapsus. Nam quicquid statuas à dictione κατειλοῦσαι significari, actionem significat, non passionem. Unde maximè suspiceris Hippocratis non esse dictionem; neque enim adeo erat Græci sermoni imperitus, ut in eo offenderet similiter, ut pueri qui modo literas discere ceperunt. Videtur enim passionem quandam vocis indicari; significatur tamen non passio, sed actio: passio vero utique significaretur, scripto vocabulo κατειλούμεναι. Præterea, si vel κατειλούμεναι scribamus, non est Hippocratis institutum inusitatis, & infrequentibus uti nominibus. Jam qui distortum significari putant, cum his hoc pugnat, quod ille in Præsagiis distortum interpretaturus, sic scripsit: si reflexa sit palpebra, aut labrum, aut nasus; sed neque reflexum, neque aliud ex dictis, propriè de vocibus dicatur. Quare quidam hujus Interpretes libri, omnibus quæ commemoravi-

A ὥσπερ γε οὐδὲ τὸ εἱλούμεναι, καὶ κατειλούμεναι. σπανίως δὲ πάνυ παρὰ τοῖς παλαιοῖς εὑρίσκεται τὰ τοιαῦτα ῥήματά τε καὶ ὀνόματα, λέγω δὲ τὸ ἰλλαίνειν, καὶ τὸ ἴλλος, ἀφ' οὗ καὶ ὁ Σώφρων δοκεῖ πεποιηκέναι τὸ συγκριτικὸν ὀνομαζόμενον παρὰ τῶν γραμματικῶν, ἰλλότερον τανκύονα. ἄμεινον δ' οὖν ἐστὶν εἰπεῖν, εἴπερ τις ἐθέλοι καὶ περὶ τῶν τοιούτων ἀδολεσχεῖν, οὐκ ἀπὸ τῆς ἰλλώσεως γεγονέναι τὸ κατειλοῦσαι νομίζειν, ἀλλ' ἐφ' ἑτέρου τινὸς, ᾧ καὶ Πλάτων φαίνεται καὶ Ἀντιφῶν κεχρημένος. ὁ μὲν Πλάτων ὧδέ πως εἰπὼν ἐν Τιμαίῳ. τοῦτο δὴ πᾶν τὸ δέρμα, «

B κύκλῳ κατέκαιε πυρὶ, τὸ θεῖον, τρωθέντος δὲ, καὶ τῆς ἰκμάδος « ἔξω δι' αὐτοῦ φερομένης, τὸ μὲν ὑγρὸν καὶ θερμὸν ὅσον εἰλι- « κρινὲς, ἀπῄει. τὸ δὲ μικτὸν, ἐξ ὧν καὶ τὸ δέρμα ἦν, αἰρόμενον « μὲν ὑπὸ τῆς φορᾶς ἔξω, μακρὸν ἐγίνετο, λεπτὴν τάσιν ἔχον « τῷ κατακεντήματι. διὰ δὲ βραδυτῆτα ἀπωθούμενον ὑπὸ « τοῦ περιεστῶτος κρύους, πάλιν ἐντὸς ὑπὸ τὸ δέρμα εἱλούμε- « νον, κατερριζοῦτο. φαίνεται γὰρ αὐτὶ τοῦ κατακλειόμενον ἢ ἀπωθούμενον εἰς τὸ βάθος ἐνειλούμενον, ἐνταῦθα κεχρῆσθαι τῷ εἱλούμενον ὀνόματι, καθ' ὃ σημαινόμενον δοκεῖ καὶ ἡ λέξις ὑπ'

C αὐτοῦ γεγράφθαι. γῆν δὲ τροφὸν μὲν ἡμετέραν εἱλουμένην τε, περὶ τὸν διὰ παντὸς πόλον τεταμένον. οὕτω δὲ καὶ παρ' Ἀντιφῶντι κατὰ τὸ δεύτερον τῆς ἀληθείας ἐστὶν εὑρεῖν γεγραμμένην τὴν προσηγορίαν ἐν τῇδε τῇ ῥήσει. ὅταν οὖν γίνωνται ἐν τῷ ἀέρι ὄμβροι τε καὶ πνεύματα ὑπεναντία ἀλλήλοις, τότε « συστρέφεται τὸ ὕδωρ, καὶ πυκνοῦται κατὰ πολλά. ὅτι δ' ἂν τῶν « ξυμπιπτόντων κρατήσῃ, τοῦτ' ἐπυκνώθη, καὶ συνεστράφη « ὑπό τε τοῦ πνεύματος εἱλούμενον, καὶ ὑπὸ τῆς βίας· καὶ γὰρ καὶ » οὗτος, τὸ κατακλειόμενον, ἢ συνειλούμενον εἰς ἑαυτὸ, φαί- «

D νεται δηλῶν διὰ τῆς εἱλούμενον φωνῆς. ἆρ' οὖν καὶ κατὰ τὸ προκείμενον ἡμῖν εἰς τὴν ἐξήγησιν βιβλίον, ὁ περὶ τῶν φωνῶν γράψας κατειλοῦσαι, τοιοῦτόν τι σημαινόμενον ἐνδείκνυται τὰς οἷον κατακλειομένας, ἢ ἐνειλουμένας ἐμφαίνων, ὡς νοεῖν ἡμᾶς, ἐπὶ τῶν ἐξιέναι μὴ δυναμένων φωνῶν λελέχθαι τὴν λέξιν, ὡς ἐπὶ τῶν ἰσχνοφώνων φαίνεται γινόμενον, ἢ καὶ τοῦτο πάνυ μοχθηρόν; ἐνῆν γὰρ ἰσχομένας, ἢ ἐπεχομένας, ἢ βραδυνούσας, ἤ τι τοιοῦτον γεγραφέναι, δηλῶσαί γε βουλόμενον, οὕτως ἐμπεποδίσθαι τὴν φωνὴν τοῦ ἀνθρώπου, ὡς μόλις φθέγγεσθαι· καὶ μὴν καὶ παρὰ τὸν δεσμὸν, τὴν οἷον δεδεμένην ἐστὶ νοεῖν εἰρῆσθαι φωνὴν

E ἐν τῇ προκειμένῃ ῥήσει, τοῦ ποιητοῦ γε δηλοῦντος εἰρηκέναι σαφῶς ἐπὶ τῶν δεσμῶν.

Ἴλλασιν οὐκ ἐθέλοντα, βίῃ δήσαντες ἄγουσιν.

Δῆλον δ' ὅτι κἀνταῦθα κατειλούμεναι, βέλτιον ἦν, οὐ κατειλοῦσαι γεγράφθαι· τοῦτο μὲν δὴ κοινὸν ἁπάσης ἐξηγήσεως ἁμάρτημα. πλὴν γὰρ ὃ ἂν ὑπόθηταί τις ἐκ τῆς κατειλοῦσαι λέξεως δηλοῦσθαι, τὴν ἐνεργητικὴν διάθεσιν, οὐ παθητικὴν ἐνδείκνυται, καὶ κατὰ τοῦτο μάλιστ' ἄν τις ὑποπτεύσειε τὴν φωνὴν ὡς οὐκ οὖσαν Ἱπποκράτους· οὐ γὰρ οὕτως ἦν ἀμαθὴς ἑρμηνείας Ἑλληνικῆς, ὡς ἁμαρτάνειν ἐν αὐτῇ, παισὶν ἄρτι μανθάνειν

F ἀρχομένοις, ἁμαρτήματα παραπλήσια. φαίνεται μὲν γὰρ πάθος τι φωνῆς δηλοῦσθαι τῆς κατειλουμένης γεγραμμένου. πρὸς δὲ κἂν εἰ κατειλούμεναι γράψαιμεν, οὐ κατὰ τὴν Ἱπποκράτους ἐστὶ συνήθειαν, ἀήθεσι καὶ σπανίοις ὀνόμασι χρῆσθαι. τοῖς δὲ, τὸ διεστραμμένον δηλοῦσθαι νομίζουσιν, ὅτι καὶ τοῦτο μάχεται, κατὰ τὸ προγνωστικὸν, αὐτὸς ἑρμηνεῦσαι τὸ διάστροφον βουληθεὶς, οὕτως ἔγραψεν. ἢν δὲ καὶ καμπύλον γένηται βλέφαρον ἢ χεῖλος, ἢ ῥίς. ἀλλ' ἐπί γε τῶν φωνῶν, οὔτε τὸ καμπύλον, οὔτ' ἄλλο τι τῶν εἰρημένων οἰκείως ἂν λέγοιτο. διὸ καί τινες τῶν ἐξηγησαμένων τὸ

καὶ καταλελῦσθαι

βιβλίου, ἁπάντων τῶν εἰρημένων καταγνόντες ἀντὶ τοῦ φωναὶ, γλῶσσαι, γράφουσιν, ἀξιοῦντες ἀκούειν κατειλυσας γλώσσας, τὰς οἷον καταδεδεμένας, καὶ δυσκινήτους. ἐχρῆν δὲ αὐτοὺς, ὥσπερ τὸ, φωναὶ, μετέγραψαν εἰς τὸ, γλῶσσαι, οὕτως καὶ τὸ, κατειλεῦσαι, μᾶλλον τοῦ, φωναὶ, μεταγράψαι, εἰς τὸ κατειλυμέναι. ἀλλὰ γὰρ ἅλις ἤδη μοι, καὶ τοῦ κατειλεῦσαι, μηδὲν ἡμᾶς μέγα, μηδ᾽ ἂν εὑρεθείη, μέλλοντος ὠφελεῖν. ἀρκεῖ γὰρ εἰδέναι μόνον ἐν τούτῳ γενικῶς λεγόμενόν τε καὶ νοούμενον. ὡς γὰρ διὰ τὸ γινόμενον αὐτοῖς ἐκ τῆς κεφαλῆς ῥεῦμα, βλαβέντες τὰ φωνητικὰ μόρια, καὶ τὰς φωνὰς ἐκακώθησαν. ὅτι γὰρ ἐπὶ ταῖς ὑγραῖς καταστάσεσι, καὶ θερμαῖς, ἡ κεφαλὴ πληρωθεῖσα ῥεύματος, τοῖς κατὰ γαστέρα καὶ θώρακα μέρεσιν ἐπιπέμπει, χρήσιμον ἐπίστασθαι. πρῶτον μὲν αὐτοῦ τοῦ διακρίνειν ἕνεκα, πότερον ἄλλη τις αἰτία τὸ τοιοῦτον πάθος εἰργάσατο τοῖς κάμνουσιν, ἢ τῶν ἐπιδημίων ἐστὶ νοσημάτων, ἔπειτα δὲ καὶ τοῦτο φυλάττεσθαι, μηδὲν παθεῖν τοιοῦτον. τὰς γὰρ ἐκ τοῦ περιέχοντος βλάβας ὁ προειδὼς ὅπη τε καὶ ὅπως γίνονται, φυλάττεσθαι δυνήσεται, τὴν ὅλην δίαιταν ἐξ ὑπεναντίου τῇ κρατούσῃ καταστάσει ποιούμενος, ἀλλ᾽ εἰ καὶ προλέγειν ἐθέλοις τὰ γενησόμενα, καὶ γὰρ καὶ τοῦτο χρήσιμον ἡμῖν ἐστιν, ὡς ἐν τῷ προοιμίῳ τοῦ προγνωστικοῦ δέδεικται, καὶ κατὰ τοῦτ᾽ ἀσκητέον σοι τὰς γινομένας ἐν τῷ σώματι διαθέσεις, ἐπὶ τῶν τοῦ περιέχοντος καταστάσεσιν ἁπάσαις ἐπίστασθαι. ἀρκεσθέντες οὖν, ὡς ἔφην, τῷ βεβλάφθαι τὰς φωνὰς, ὑπερβάντες δὲ τὸ κατειλεῦσαι, τὸ συνεχὲς αὐτῷ θεασώμεθα. πρῶτον μὲν γάρ φησι τοῖς φθινώδεσιν ἀρχομένοισι γενέσθαι τοιοῦτον σύμπτωμα, μετ᾽ αὐτοὺς δὲ, καὶ τοῖς καυσώδεσι, καὶ τοῖς φρενιτικοῖς. ἡγητέον οὖν, τοῖς μὲν φθινώδεσι κατὰ τὸν τοῦ πάθους λόγον αὐτὸ γεγονέναι. πολλαῖς μὲν καὶ ἄλλαις αἰτίαις τε καὶ διαθέσεσιν ἑπομένης τῆς φθίσεως, οὐχ ἧττον δὲ ἐκείνων, καὶ διὰ τὸν ἐκ τῆς κεφαλῆς κατάρρουν, ᾧ μάλιστα ἡ κάκωσις ἕπεται τῆς φωνῆς. καύσοις δὲ, καὶ φρενίτισι κατὰ μὲν τὸν ἴδιον λόγον, οὐχ ἕπεται τοιαύτη κάκωσις φωνῆς, οἷα τοῖς φθινώδεσιν ἀρχομένοις. ἐπεὶ δὴ ἐν τῇ καταστάσει ταύτῃ θερμῇ καὶ ὑγρᾷ, καὶ ἀπνόῳ διηνεκῶς γινομένῃ, συνέβη παθεῖν τὴν κεφαλὴν, ἠκολούθησε καὶ τοῖς φρενιτικοῖς καὶ τοῖς καυσώδεσι τοιοῦτον σύμπτωμα διὰ τὴν κοινὴν αἰτίαν, οὐ διὰ τὴν αὐτοῦ τοῦ πάθους ἰδίαν κατασκευήν. ξηραίνεται γὰρ μᾶλλον ἐν αὐτοῖς, οὐ διαβρέχεται τὰ φωνητικὰ μόρια, καθάπερ ἐν τῇ νῦν καταστάσει. καὶ τοίνυν, καὶ ἡ φωνὴ, κλαγγώδης μὲν, καὶ ὀξεῖα διὰ τὴν ξηρότητα τῶν φωνητικῶν ὀργάνων γίνεται, βραγχώδης δὲ, διὰ τὴν ὑγρότητα.

Ἐκ τῆς κοινῆς αἰτίας, καὶ τῆς τῶν μορίων διαφορᾶς, καθάπερ ἐκ τῆς χολῆς σηπομένης τὰ συγγενῆ νοσήματα ποικίλα γίνεσθαι, ὡς ἐρυσίπελας, φρενῖτιδα, καῦσον, ἃ τῇ περιέχοντος ἀέρος καταστάσει ἀνάλογῳ πλείονα, κακοήθεα, καὶ θανατώδεα γίνονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

Ἤρξαντο μὲν οὖν, καὶ οἱ καῦσοι, καὶ τὰ φρενιτικὰ, περὶ τοῦ ἦρος, μετὰ τὰ γενόμενα ψύχεα, καὶ πλεῖστοι τηνικαῦτα ἐνόσησαν. ὀξέα δὲ τούτοις, καὶ θανατώδεα ξυνέπιπτε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν γεγενημένην ἔμπροσθεν ἐκ τῆς τοῦ περιέχοντος κράσεως σηπεδόνα τῶν χυμῶν, εὔλογον ἦν ὑπὸ τοῦ γινομένου κρύους ἐπὶ τῇ τελευτῇ τοῦ χειμῶνος εἰς τὸ βάθος ὠθεῖσθαι, ἐργάζεσθαι νοσήματα παραπλήσια τοῖς ἐρυσιπέλασιν. ἀλλά τε οὖν ἵνα τούτου γινόμενα τῷ γένει διηγήσεται, καὶ ταῦτα τῇ τάξει

mus, abdicatis, pro, *voces*, *linguæ*, scribunt, exponentes linguas κατειλῦσας quasi devinctas, & difficulter motas. Quos quidem oportebat, ut voces mutauerunt in linguæ, ita vel potiùs quàm voces, dictionem κατειλῦσαι in κατειλυμέναι vertere. Verùm jam satis de dictione κατειλῦσαι, non magno usui, ut inventa sit, futura. Sat est enim nosse hîc generatim dici, & intelligi, propter destillationem, quæ illis ex capite descendebat, læsis vocis organis, simul vitiatam esse vocem. Nam in humidis tempestatibus, & calidis destillationem caput repletum ventri demittere, & thoraci, operæpretium est scire. Primum discernendi causa, utrum alia causa hoc ægris vitii induxerit, an ex vulgaribus sit morbis, deinde ut occurras ne in tale quid incurras: nam offensiones ex aëre si provideas, ubi & quemadmodum fiant toto victus genere à tempestate dominante diverso instituendo, declines, prædicere consequentia velis, id quod certe ex usu nobis est ut præfatione Præsagiorum ostensum est, vel ad hanc rem hoc commentabere, ut corporis, in omnibus ambientis aëris statibus affectiones cognoscas. Quare contenti, ut diximus, hoc læsas voces fuisse, præteritaque dictione κατειλῦσαι quod illi proximum est, inspiciamus. Primum enim hos ait qui cœpissent tabescere, incidisse in id symptoma: secundo loco ardente detentos febre, phreniticosque. Proinde censeas tabidis hoc, affectus ratione accidisse: nam quum multas alias causas, & corporis status tabes consequitur, tum præcipuè destillationem capitis, quam potissimum vocis vitium comitatur. Verùm febribus ardentibus & phrenitidi per se tale vocis vitium non succedit, ut incipientibus tabidis. Quia vero in hoc statu, quia calidus & humidus, & sine ventis fuerat, caput contigit affici, phreniticos & ardente detentos febre consequutum hoc est communi de causa symptoma, non propter privatam morbi molitionem. Desiccantur enim potiùs in illis, non irrigantur, partes voci attributæ, ut accidit in hac tempestate. Quamobrem vox clangosa, & acuta à siccitate efficitur vocalium organorum, rauca ab humiditate.

Ex communi causa & partium differentiis ut à bile putrente, congeneres morbos diversos procreari, ut Erysipelas, phrenitidem, causum, qui ambientis aëris statu analogo frequentiores, & lethales redduntur.

HIPPOCRATIS TEXTUS XXXIII.

Quin febres etiam ardentes, & phrenitis ante ver cœperunt post illa frigora quæ præcesserant, ac plurimi tum diu ægrotabant, acuta autem his, & lethalia contigere.

GALENI COMMENTARIVS.

Humorum putredinem, quam pridem pepererat aëris temperamentum, verisimile erat frigore succedente in extrema hyeme, impulsam in altum morbos concitaturam, sacro igni assimiles. Alios igitur quosdam, qui fuerunt hujus generis, exponet, hosque ordine ab

sacro igni primos jam scribit: hæ febres sunt ardentes, & phrenitis, ab eadem illa quidem profectæ causâ, sed differentes locis affectis: Nam quibus in jecinoris, & ventris regionem, maximéque in ejus os pravus humor decubuit, hos febres ardentes sollicitaverunt: quibus in cerebrum pervenit phrenitis.

Mores, status, & symptomata febrium ardentium quæ non à febris ardentis natura, sed ambientis statu nascebantur.

HIPPOCRATIS TEXTUS XXXIV.

Hic autem erat febrium ardentium quæ tum grassabantur, status. Incipientis coma, jactatio, horror comitabantur, febris non acuta, neque sitis vehemens, neque deliria.

GALENI COMMENTARIUS.

Quæ symptomata propter eam, quæ tunc erat, tempestatem, ardentibus febribus evenirent, non propria morbi ratione, hæc annotat. Quare quidam pro καυματώδεις, idest, comatosi, male scripserunt, κωματώδεις, idest, æstuosi: nam est hoc febribus ardentibus peculiare, ut etiam perpetuo sitire, nullumque prope dixeris eximium esse aliud febrium ardentium insigne: verùm abunde ex hisce duobus affirmaveris compleri, sitim assiduam, atque exurentem calorem, ægris sentientibus. Verum hic status cum caput multa humiditate impleret, comatosum aut omnibus aut plerisque utcumque laborantent, symptoma attulit: sub morbi invasionem, ubi pravi humores nondum eò devenerant acredinis, ut vigilias vehementes, deliria, phrenitimque concitare possent. Ac coma perraro febribus ardentibus est adjunctum, fastidium persæpe; non est perpetuum tamen, ut prædicta duo, assidua sitis, & deurens calor. Horrent vero, qui febre ardente tenentur, raro; quare hoc etiam annotavit. Quod jam sequitur, febris non acuta, aliqui simpliciter, absque negatione, febris acuta scribunt, alii cum negatione in hunc modum: febris non acuta, diversam utrique scripturam, ratione inducti probabili, habentes. Qui omittunt negationem, quia divelli ab ardente febre acuta febris nequeat, uti nec sitis: Alteri ideo scriptum cum negatione confirmantes, qui raro iis, & novo exemplo acciderit cùm coma, tum hæc febris. Quippe his quoque illum aiunt subjunxisse, neque magnopere erant siticulosi, tametsi sit etiam febribus ardentibus hoc peculiarissimum: Esse itaque consentaneum, sicut erant, non perinde sitibundi, sic eos non valde febricitasse acutè: Potuit etiam quod Hippocrates scripserat, febris non valde acuta, esse ab eo qui primus exscripsit, corruptum, errorque mansisse. Hic se offert non parva de omnibus Pathognomonicis signis quæstio: Nam si remotis ipsis, affectûs potest species conservari, alia his Pathognomonicis signis erunt nobis ad affectus cognoscendos certiora; quod qui constituat, volet illa merito pathognomica indicia appellare, & quæ antè vocabantur indicia pathognomonica, assidentia.

A πρῶτα μετὰ τὸ ἐρυσίπελας ἤδη γράφει. ταῦτα δ' ἦν καυσώδη τε, καὶ φρενιτικὰ, κοινὴν μὲν ἔχοντα τὴν αἰτίαν, διαφέροντα δὲ τοῖς πάσχουσι τόποις. οἷς μὲν γὰρ εἰς τὰ περὶ τὸ ἧπάρ τε καὶ τὴν γαστέρα χωρία, καὶ μάλιστ' αὐτῆς τὸ στόμα, κατέσκηψεν ἡ κακοχυμία, τούτοις τὰ καυσώδη νοσήματα συνέπεσεν, οἷς δ' ἐπὶ τὸν ἐγκέφαλον ἠνέχθη τὰ φρενιτικά.

Τὰ ἤθη, καὶ αἱ καταστάσεις, καὶ τὰ συμπτώματα τῶν καύσων, ἃ μὴ ἀπὸ τῆς καύσου φύσεως, ἀλλὰ ἀπὸ τῆς περιέχοντος

B καταστάσεως ἐγίνετο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

Ην δ' ἡ κατάστασις τῶν γινομένων καύσων ἥδε. ἀρχόμενοι κωματώδεες, ἀσώδεες, φρικώδεες, πυρετὸς ὀξὺς, οὐδὲ διψώδεες λίην, οὐδὲ παρέκρουσαν. πῦ καῦμα

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οσα τοῖς καύσοις ἐγένετο συμπτώματα διὰ τὴν κατάστασιν, κατὰ τὸν ἴδιον τοῦ πάθους λόγον, ταῦτ' ἐπισημαίνεται, διὸ κακῶς αὐτὶ τοῦ κωματώδεις ἔγραψαν ἔνιοι
C καυματώδεις. ἴδιον γὰρ τοῦτο τῶν καύσων, οἷς καὶ τὸ διψῆν ἀπαύστως, καὶ σχεδὸν οὐδ' ἂν ἄλλο τις ἐξαίρετον εἴποι γνώρισμα καύσων πυρετῶν, ἀλλ' ἐκ δυοῖν τούτων αὐτάρκως συμπληροῦσθαι φαίη δίψους ἀπαύστου, καὶ θερμασίας διακαιούσης αἰσθανομένων τῶν καμνόντων. ἀλλ' ἡ τότε κατάστασις, ὑγρότητος πολλοῖς πληρώσασα τὴν κεφαλὴν, τὸ κωματῶδες, ἢ πᾶσιν, ἢ τοῖς πλείστοις τῶν ὁπωσοῦν νοσησάντων, ἤνεγκε σύμπτωμα, κατὰ τὴν εἰσβολὴν τοῦ νοσήματος,
D οὔπω τῆς κακοχυμίας εἰς τοσοῦτον δριμύτητος ἡκούσης, ὡς ἀγρυπνίας τε σφοδρὰς, καὶ παραφροσύνας, καὶ φρενίτιδας ἐργάζεσθαι. τὸ μὲν οὖν καῦμα σπανίως πάνυ γὰρ κῶμα τοῖς καυσοῖς πυρετοῖς, τὸ δ' ἀσᾶσθαι, πάνυ πολλάκις. οὐ μὴν ἀχώριστόν γ' ἐστὶ, ὡς τὰ προειρημένα δύο, τό, τε ἄπαυστον τοῦ δίψους, καὶ τὸ τῆς θερμασίας διακαές. φρικώδεις γε μὴν πολλάκις οἱ καυσούμενοι γίνονται, διὸ καὶ τοῦτ' ἐπεσημήνατο. τὸ δ' ἐφεξῆς γεγραμμένον, πυρετὸς οὐκ ὀξὺς, ἔνιοι μὲν ἁπλῶς γράφουσι χωρὶς τῆς ἀποφάσεως πυρετὸς ὀξὺς, τινὲς δὲ μετὰ τῆς ἀποφάσεως οὑτωσὶ, πυρετὸς οὐκ
E ὀξὺς, ἀπό τινος ἑκάτεροι λόγου πιθανοῦ τὴν διαφέρουσαν ἔχοντες γραφήν. οἱ μὲν χωρὶς τῆς ἀποφάσεως, ὅτι τῶν ἀχωρίστων ἐπὶ καυσώδους νοσήματος ὀξὺς πυρετὸς, ὥσπερ καὶ δίψος. οἱ δὲ καὶ δι' αὐτὸ τοῦτο γεγράφθαι λέγοντες ἅμα τῇ ἀποφάσει, διότι σπάνιόν τι καὶ παράδοξον αὐτοῖς συνέβη καθάπερ τὸ τοῦ κώματος, οὕτω καὶ τὸ τοῦ πυρετοῦ. καὶ γὰρ οὖν καὶ τούτοις ἐφεξῆς αὐτὸν γεγράφθαι φασὶν, οὐδὲ διψώδεις λίην· καίτοι καὶ τοῦτο τὸ σύμπτωμα καύσων πυρετῶν ἐστὶν ἰδιαίτατον. εἰκὸς οὖν ὥσπερ οὐ λίην διψώδεις ἦσαν, οὕτως αὐτοὺς οὐ λίην ὀξὺ πυρέξαι.
F τάχα δὲ καὶ γεγραμμένον ὑφ' Ἱπποκράτους, ὁ πυρετὸς οὐ λίην ὀξὺς, ὑπὸ τοῦ πρῶτον ἐκγραψαμένου σφαλέντος, ἔμεινεν ἡμαρτημένον· ἀναφύεται δ' οὐ μικρὸν ζήτημα περὶ πάντων τῶν παθογνωμονικῶν σημείων, εἰ γὰρ ἐγχωρεῖ ποτὲ μὴ παρόντων αὐτῶν, ὅμως φυλάττεσθαι τὸ τοῦ πάθους εἶδος, ἕτερα, τῶν παθογνωμονικῶν ἡμῖν ἔσται πιστότερα πρὸς τὴν τῶν παθῶν διάγνωσιν, ἀλλ' εἴπερ τοῦθ' ὑποθοίμεθα, προσηκόντως τις ἀξιώσει μὲν ἐκεῖνα παθογνωμονικὰ καλεῖν.

ἃ δὲ ἔμπροσθεν ἐκαλεῖτο παθογνωμονικά, συνεδρεύοντα, ὧν τὰ μὲν ἀχώριστά ἐστι, καὶ ὡς ἄν τις φαίη τῆς τοῦ πάθους οὐσίας αὐτῆς συστατικά· τὰ δὲ συνεδρεύοντα, τῶν ὡς τὸ πολὺ γινομένων αὐτοῖς ἐστιν. εἰ οὖν ὁ κάμνων μὴ διψώδης, μήτε λίαν ὀξέως πυρέττων ᾖ, ἐκ τίνος ἔτι γνωρίσματος, ἐροῦμεν εἶναι τὸ νόσημα καῦσον; εἰ γὰρ καὶ πάνυ πολλοῖς τῶν καυσουμένων ἀποσίτοις εἶναι συμβέβηκεν, ἀλλ' οὐκ ἴδιόν γε τοῦ πάθους τοῦτο· πολλοὶ γὰρ καὶ ἄλλοι τῶν ὁπωσοῦν νοσησάντων, ἀπόσιτοι γίνονται. οὐδὲν γοῦν, ὅπερ ἐνίοις ἔδοξε τὰς τοιαύτας ἀπορίας οἰηθεῖσιν ἀποδράσασθαι, καὶ ἡμῖν ἔσται ῥητέον, ἐκ τῶν διαχωρουμένων μάλιστα γνωρίζεσθαι τὸν καῦσον εἰποῦσιν. οὔτε γὰρ ἄκρατα χολώδη μόνοις καύσοις ἐκκρίνουσιν αἱ γαστέρες, οὔτε συντήξεις μόνοις τούτοις, ἀλλ' ἔστι μὲν καὶ ταῦτα συμπτώματα κακοήθη τε καὶ διακαῶν πυρετῶν. ἐκκρίνοντες δ' ὅμως αὐτὰ πολλοί, καὶ διψῶσι μετρίως, καὶ τὰς τῶν πυρετῶν θερμασίας ἀνέχονται· κατὰ δὲ τὴν προκειμένην κατάστασιν, οὐδὲ τοιαῦτ' ἐγένετο διαχωρήματα· κοιλίαι γάρ φησι ταραχώδεις τοῖσι πλείστοισι τούτων, διαχωρήμασιν ὠμοῖσι, λεπτοῖσιν. ἔοικεν οὖν Ἱπποκράτης τὸν καῦσον γνωρίζειν, τῷ διηνεκεῖ τοῦ δίψους τε καὶ τῆς διακαοῦς θερμασίας, ὥσπερ τὴν φρενῖτιν, τῷ διηνεκεῖ τῆς παραφροσύνης. οὕτω γὰρ εἰ καὶ μὴ πάνυ διψώδεις εἶεν οἱ κάμνοντες, ἢ μὴ πάνυ σφόδρα διακαιόμενοι, δι' ὅλης δὲ τῆς νόσου τὰ λελεγμένα εἶεν δύο συμπτώματα, καῦσος εἶναι τὸ νόσημα λεχθήσεται, καὶ γενήσεται μέν τις αὐτοῦ θερμότερος πυρετός, ὡς καὶ συντήκειν τὸ σῶμα, καὶ διαχωρήσεις ἐργάζεσθαι χολώδεις, καὶ συντηκτικάς. οὐ λεχθήσεται δὲ καῦσος, ἂν μὴ διαμένοντα δι' ὅλης ἔχῃ τῆς νόσου τὰ εἰρημένα δύο μικρὸν ἔμπροσθεν, ἄπαυστόν τε τὸ δίψος, ὁπόσον ἂν τύχωσι πίνοντες, ἀηδῆ τε, καὶ καυσώδη, καὶ ἀσώδη τὴν θερμασίαν. ὡς τὸ πολὺ μὲν οὖν, καὶ δίψος σφοδρότατον αὐτοῖς ὑπάρχει, καὶ πυρετὸς διακαέστατος. ἐν δὲ τῷ σπανίῳ καθάπερ νῦν, ὅ, τε πυρετὸς οὐκ ἀκριβῶς ὀξὺς ἐγένετο, καὶ διψώδεις οὐ λίαν οἱ κάμνοντες ἦσαν, ἅπερ ἐπισημήνασθαι δεῖ αὐτὸ τοῦτο, καθάπερ καὶ τὸ μηδ' ὅλως αὐτοὺς γενέσθαι παραλήρους, ἐπειδὴ καὶ τοῦτο συμπίπτει τοῖς καύσοις. ὅτι δὲ μικρᾶς παραφροσύνης ἐστὶν ὄνομα τὸ, παράληροι, πρόσθεν εἴρηται.

quorum separari illa non possunt & affectus, ut ita dicam, constituunt essentiam: Assidentia vero ex his sunt, quæ sepe illis accidunt. Si æger ergo non sitibundus sit, nec magnopere febricitet acutè, qua jam nota esse morbum illum ardentem febrem dicemus? Quanquam enim permultis febre ardente affectis esse fastidiosis contingit; non est tamen hoc affectus proprium: quippe cum multi etiam alii quomodocunque ægrotantes, fastidiosi fiant. Quare neque, quod visum quibusdam est, qui sese duxerunt hujuscemodi dubitationes declaraturos, etiam nobis est pronunciandum, ab excrementis cognosci in primis febrem ardentem. Neque enim mera in solis ardentibus febribus biliosa alvi reddunt: neque his solis syntexis, id est, colliquatio accidit: verùm sunt hæc quidem symptomata maligna, & exurentium febrium: ista tamen qui excernunt, multi modicè sitiunt, & calores febris ferunt. Verùm in præsenti statu ne tales quidem erant dejectiones. Nam alvus, inquit, his plerisque turbata erat, atque dejectiones crudas excernebant, & multas & tenues. Videtur ergo Hippocrates febrem ardentem assiduitate cognoscere sitis, calorisque exurentis: sicut phrenitim perpetuo delirio. Sic enim quamvis non perinde sitiant ægri, neque validè exurantur, per totum autem morbum dicta duo sint symptomata, febris ardens esse dicetur morbus, existetque alia febris hac calidior, ut corpus fundat, reddatque dejectiones biliosas, & colliquativas. Sed non appellabitur ardens febris, nisi adjuncta perpetuo habeat per totum morbum paulo ante commemorata duo, irrequietam sitim, quantumlibet biberint: ac injucundum & ardentem fastidiosumque calorem. Proinde adest fere illis intensissima sitis, & febris fervidissima. At raro uti nunc, quum febris non esset acuta, etiam non perinde ægri erant sitibundi: quæ ob id ipsum signavit, sicut etiam hoc, nullo pacto fuisse deliros eos, quoniam hoc etiam ardentibus febribus accidit. Nam parvæ esse signum dementiæ delirium, ante docuimus.

Τὴν ἀπὸ ῥινῶν τοῦ αἵματος στάξιν μοχθηρὸν σημεῖον εἶναι.

Sanguinis è naribus distillationem pravum signum esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε΄.

Ἀπὸ ῥινῶν μικρὰ ἔσταζε.

HIPPOCRATIS TEXTUS XXXV.

A *Naribus distillarunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν ἐπιγινομένων τοῦτο τοῖς κακοήθεσι καύσοις, ὥσπερ αἱμορραγίαι τοῖς ἐπιεικέσιν. ἀλλὰ καὶ συλλήβδην εἰπεῖν, ἅπασα στάξις ἀπὸ ῥινῶν, μοχθηρόν ἐστιν σημεῖον, ὡς ἐμάθομεν.

GALENI COMMENTARIUS.

Hoc in comitibus est malignarum ardentium febrium, ut sanguinis eruptiones, lenium. Et ut breviter dicatur, omnis de naribus stilla, ut docuimus, pravum est signum.

Τοὺς ἐν τοῖς καύσοις παροξυσμοὺς ἀρτίαις ἡμέραις παρὰ λόγον γίνεσθαι.

In ardentibus exacerbationes paribus diebus præter rationem fieri.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ΄.

Οἱ παροξυσμοὶ τοῖσι πλείστοισιν, ἐν ἀρτίῃσι.

HIPPOCRATIS TEXTUS XXXVI.

E*xacerbationes plerisque diebus paribus.*

GALENI

A

GALENI COMMENTARIUS.

ET hoc quoque inter rara est. Nam febres ardentes solent, adeoque omnes, ita ut illæ, morbi multum acuti, accedere diebus imparibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν σπανίων καὶ τοῦτ' ἐστί. φαίνονται γὰρ οἵ τε καῦσοι, καὶ πάνθ' ὁμοίως αὐτοῖς τὰ λίαν ὀξέα νοσήματα, τοὺς παροξυσμοὺς ἐν περιτταῖς ἔχοντα.

Febris ardentis symptomata perniciosa.

Τὰ τοῦ καύσου ὀλέθρια συμπτώματα.

B

HIPPOCRATIS TEXTUS XXXVII.

CIrca ipsas exacerbationes, oblivio, exolutio, vocis defectus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ'.

Περὶ δὲ τοὺς παροξυσμοὺς, λήθη καὶ ἄφεσις, καὶ ἀφωνίη.

GALENI COMMENTARIUS.

ET oblivio manifesta est; & monstrata frequenter est de exitialibus esse. Languorem, id est, ἄφεσιν, veluti dissolutionem, & remissionem omnium corporis partium ipsum dicere par est, quum non aliter ac resolutis projectæ appareant. Quod quidem inter signa perniciosa esse didicisti, ut de aliis quoque symptomatis omnibus, quæ hoc libro recensuit. Quare hîc interpretanda sunt ea tantum quæ obscura videntur: & quæ demonstravimus aliàs, solum ad memoriam reuocabo, non autem absolutam tradam eorum doctrinam.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ἡ λήθη σαφής ἐστι, καὶ δέδεικται πολλάκις ἐκ τῶν ὀλεθρίων οὖσα. τὴν ἄφεσιν δὲ τὴν οἷον ἔκλυσίν τε καὶ πάρεσιν ἁπάντων τῶν μορίων τοῦ σώματος εἰκός ἐστι λέγειν αὐτὸν, ὅταν ὁμοίως τοῖς παραλελυμένοις ἐρριμμένα φαίνηται. C ὅτι δ' ὀλέθριον καὶ τοῦτ' ἐστὶ, μεμάθηκας. ὥσπερ καὶ περὶ τῶν ἄλλων ἁπάντων συμπτωμάτων, ὅσα γέγραπται κατὰ τὸ βιβλίον, ὡς ἐξηγεῖσθαι μόνον ἐν αὐτῷ χρὴ τὰ δοκοῦντα μὴ σαφῶς εἰρῆσθαι, τῶν ἀποδεδειγμένων ἐν ἑτέροις, ἀναμιμνήσκοντα μόνον, οὐ κατὰ διέξοδον διδασκαλίας αὐτῶν ποιούμενον.

Alia diversa perniciosa symptomata.

Ἄλλα ποικίλα καὶ ὀλέθρια συμπτώματα.

D

HIPPOCRATIS TEXTUS XXXVIII.

HIs manuum ac pedum extrema semper frigidiora, multoque maximè circa exacerbationes, ac rursus lenìè, neque probè recalescebant, iterumque & intelligebant & loquebantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Ἄκρεα ἀεὶ τούτοισί τε μὲν ψυχρότερα ποδῶν καὶ χειρῶν· πολὺ δὲ περὶ τοὺς παροξυσμοὺς μάλιστα, πάλιν τε βραδέως καὶ οὐ καλῶς ἀνεθερμαίνοντο, καὶ πάλιν κατενόουν, καὶ διελέγοντο.

GALENI COMMENTARIUS.

VArietatem symptomatûm, quæ morbi ejus tempestatis habebant, commemorat, quæ sunt omnia prava.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν ποικιλίαν τῶν γινομένων συμπτωμάτων τοῖς τότε νοσήμασι διηγεῖται, μοχθηρῶν ἁπάντων ὄντων.

E

Alia duo symptomata prope contraria, coma non somnolentum, & vigiliæ cum laboribus, quæ hæc sint docet Galenus.

Ἄλλα δύο συμπτώματα σχεδὸν ἐναντία, τὸ κῶμα οὐχ ὑπνῶδες, καὶ μετὰ πόνων ἀγρυπνία.

HIPPOCRATIS TEXTUS XXXIX.

EOs autem aut assiduè sopor non somnolentus detinebat, aut vigiliæ cum laboribus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

Κατεῖχε δὲ, ἢ τὸ κῶμα συνεχῶς, οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι.

GALENI COMMENTARIUS.

F

NEc hoc quidem obscurum est, qui ea habeat in memoria, quæ in Libro de Comate tradita sunt, & in prioribus Commentariis. Quum enim vigilare ægri apertis oculis non valent, sed connivent spe somni conciliandi, & vigiles tamen manent, vocitamus illud non somnolentum coma. Quibus si quis adsit dolor manifestè, vigilabunt magis ita affecti, adeo ut ne in phantasiam quidem tenuis somni deveniant. Siquidem istis, qui eo co-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σαφὲς καὶ τοῦτ' ἐστὶ τῷ μεμνημένῳ τῶν γεγραμμένων, ἔν τε τῷ περὶ τοῦ κώματος γράμματι, καὶ τοῖς ἔμπροσθεν ὑπομνήμασι. ὅταν γὰρ ἐγρηγορέναι μὲν ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς οἱ κάμνοντες μὴ δύνωνται, μύσαντες δ' αὖθις ἐλπίδι τοῦ κοιμηθῆναι, διαμένωσιν ἐγρηγορότες. τὸ τοιοῦτον καλοῦμεν οὐχ ὑπνῶδες κῶμα. εἰ δὲ καὶ πόνος τις αὐτοῖς παρείη, προδήλως ἀγρυπνήσουσι μᾶλλον οἱ οὕτως ἔχοντες, ὡς μηδ' εἰς φαντασίαν ὕπνου τε ἀφικέσθαι λεπτοῦ. γίνεται γάρ τι καὶ τοιοῦτον τοῖς οὕτω κω-

κατάστασιν, ὡς ἐν μεθορίῳ καθίστασθαι, τῶν τ' ἀκριβῶς ἐγρηγορότων καὶ τῶν κοιμωμένων.

A mate tenentur, usuvenit ejusmodi quiddam, ut medii inter planè vigiles intercedant & dormientes.

Τὰ συμπτωματικὰ διαχωρήματα κατὰ τὴν κατάστασιν, οὐ κατὰ καύσου φύσιν. ἅ τινα ταῦτα ἐστὶ διδάσκει Γαληνός.

Symptomaticæ dejectiones ex constitutione, non ex ardentis febris natura. Quæ sint hæ docet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

Κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι τούτων, διαχωρήμασιν ὠμοῖσι, πολλοῖσι, λεπτοῖσι.

HIPPOCRATIS TEXTUS XL.

B *Horum plerisque alvi dejectionibus crudis, tenuibus, copiosis turbabantur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εὔδηλον μὲν κἀκ τούτων ἐστὶν ὡς οὐ προσέχει τῇ τῶν διαχωρημάτων ἰδέᾳ, κατὰ τὴν τῶν καυσωδῶν νοσημάτων διάγνωσιν. ὠμὰ γοῦν ἔφη, καὶ λεπτὰ καὶ διαχωρούμενα τοῖς τότε καυσουμένοις γίνεσθαι, μήτε χολωδῶν ἀκράτων, μήτε συντήξεων μνημονεύσας, ἅ τινες οἴονται μέγιστα γνωρίσματα καύσων εἶναι πυρετῶν.

GALENI COMMENTARIUS.

Vel hinc liquet non attendere Hippocratem in dignoscendis ardentibus morbis speciem dejectionum. Cruda itaque dicit, & tenuia, qui tum tenebantur febre ardente dejecisse: nec verbum fecit de meris biliosis, vel colliquationibus, quæ quidam indicia esse febrium ardentium maxima existimant. C

Τὰ οὖρα ἐνταῦθα γεγραμμένα πολλὰ, λεπτὰ μηδὲ κρίσιμα, μηδὲ χρηστὰ, συμπτωματικὰ, ἐπιδημικὰ γεγόναι.

Urinas hîc scriptas multas tenues non decretorias inutiles, symptomaticas, ac epidemicas extitisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα'.

Οὖρα τὰ πολλὰ λεπτὰ, κρίσιμον οὐδὲ, χρηστὸν οὐδὲν ἔχοντα.

HIPPOCRATIS TEXTUS XLI.

Urinæ multæ, tenues, neque judicatorii, neque boni quicquam habebant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D

Ἐν ταῖς περὶ τῶν οὔρων διηγήσεσιν, εἴωθε τὰ συμβεβηκότα γράψας αὐτοῖς, μηκέτι προστιθέναι, πότερον ἀγαθοῦ τινός ἐστιν, ἢ κακοῦ σημεῖα, μεμνῆσθαι νομίζων ἡμᾶς ὧν ἐμάθομεν ἐν προγνωστικῷ καθόλου, περὶ κακίας τε καὶ ἀρετῆς οὔρων. ἐν ταῦθ' οὖν μοι δοκεῖ προστεθεικέναι, καί τοι προειρηκὼς αὐτὰ λεπτὰ, διότι προσέγραψεν αὐτοῖς τὰ πολλά. μεμνημένος γὰρ, ὅτι καὶ διὰ οὔρων πλήθους αὐτὸς ἡμᾶς ἐδίδαξε γίνεσθαί ποτε κρίσιν, ἐπεσημειώσατο νῦν ὅτι καὶ πολλῶν ὄντων αὐτῶν, ὅμως οὐδὲν ἦν κρίσιμον, οὐδὲ χρηστόν. οὐ γὰρ ἐκκαθαίρουσα τὸ σῶμα, καὶ κινοῦσα τὰ λυποῦντα, φαίνεται νῦν ἡ φύσις ἐργαζομένη τὸ πλῆθος τῶν οὔρων, ἀλλ' ὥσπερ ἔμαθες, ἱδρῶτας τε καὶ διαχωρήματα, ποτὲ μὲν ὡς συμπτώματα τῆς κατὰ τὸ σῶμα περιουσίας τῶν μοχθηρῶν χυμῶν ἐκκρίνεσθαι, ποτὲ δὲ ἐκκαθαιρούσης αὐτὰ τῆς φύσεως, οὕτω καὶ νῦν τὰ οὖρα, πλεοναζούσης ὑγρότητος ὀρρώδους ἐν τῷ σώματι σύμπτωμά ἐστι. διὰ τοῦτ' οὖν αὐτοῖς προσέθηκε τὸ, κρίσιμον οὐδὲν, οὐδὲ χρηστόν· ἐξεκρίνετο γὰρ, ἤτοι διὰ πλῆθος ἄμετρον, οὐ δυναμένων αὐτὰ τῶν περιεχόντων μορίων στέγειν, ἢ διὰ δῆξιν ἰσχυρὰν αἰσθομένων τε καὶ διὰ τοῦτο πρὸς τὴν ἀπόκρισιν ἐξορμώντων. τοιαῦτα δὲ κατὰ τὴν αὐτὴν ταύτην κατάστασιν ἐγίνετο, καὶ διὰ τῆς γαστρὸς ἐκκρινόμενα, καθότι προείρηται· καὶ δηλονότι καὶ οἱ ἱδρῶτες ἀνάλογον αὐτοῖς ἦσαν.

GALENI COMMENTARIUS.

Ubi de urinis agit, quæ acciderunt his solet tradere, nec addere, bonum an malum denuncient nos putans, quæ in præsagiis didicimus in universum de vitio, vel bonitate urinarum, memoria tenere. Hîc adjunxisse puto, quanquam eas dixerat tenues esse, quod illis adscripserit, multæ. Nam memor docuisse se multitudine urinarum interim judicium fieri, indicavit hoc loco, quamvis multæ essent, nihil tamen decretorii fuisse, nec boni. Neque E quo purgaret corpus, & infestantia amoveret, videtur nunc molita natura multam urinam; sed quemadmodum didicisti sudores, & dejectiones interdum, ut superfluitatis humorum in corpore malorum symptomata, excerni: Interdum expurgante natura: ita nunc abundantis in corpore serosi humoris sunt urinæ symptomata. Ideoque eis addidit, nihil decretorii quicquam, vel boni, siquidem reddebantur, quia ob nimiam copiam eas vasa sustinere non poterant: vel quod mordacitate vehementi offenderentur, itaque ad excernendum contenF derent. Hujusmodi etiam hac ipsa tempestate erant, quæ per ventrem excernebantur, ut est supra dictum: Etvero etiam sudores illis erant consentanei.

A

Symptomata causo epidemico succedentia, & causo febricitantium successus perniciosi produntur.

HIPPPOCRATIS TEXTUS XLII.

NEque quicquam aliud sic affectis decretorium apparebat; neque sanguis è naribus profluebat; neque abscessus alius ex consuetis judicatorius edebatur; moriebaturque unusquisque, uti sors ferebat, errabundè, plerunque circa judicationes, quidam longiùs producti, voce orbi, multi cum sudoribus. Ægris sanè perniciosè affectis hæc accidebant.

B

GALENI COMMENTARIUS.

QUi perniciosè habebant, hæc iis accidebant, quæ tibi hic collegit, nimirum symptomata eorum, qui febre ardente laborantes perniciosè habebant. Quorum symptomatum quodque jam audivisti antè frequenter, cur sit perniciosum; malê quidem habentibus hæc evenerit.

C

Quæ phreniticis acciderunt, ea, ut textuum superiorum dictiones docet.

HIPPOCRATIS TEXTUS XLIII.

ATque phreniticis consimilia fuere.

GALENI COMMENTARIUS.

D

FInita de ardentibus febribus oratione, transit ad ea, quæ phreniticis acciderunt. Itaque & his ejus verbis attendamus.

Cur Phrenitici non sitiebant Causas dat Galenus.

HIPPOCRATIS TEXTUS XLIV.

E

HI vero siti vacui prorsus erant.

GALENI COMMENTARIUS.

DE phreniticis agit: Fuisse eos dicit non sitibundos, non tam, quod illis multa humiditas in ore ventriculi afflueret, quàm quod quæ patiebantur, non intelligerent, & facultatem haberent stomachi appetitricem, quæ extinguebatur.

F

Phreniticos non vehementer insanivisse. Cur? Phrenitidis & maniæ causæ, & inter utranque differentia.

HIPPOCRATIS TEXTUS XLV.

NUllus phreneticorum furiosè insanivit, quemadmodum in cæteris accidit; sed alia quadam cataphora mala ac lenta graviter interibant.

Τὰ συμπτώματα τῷ καύσῳ ἐπιδημίῳ ἐπιγινόμενα, καὶ τῷ καύσῳ πυρεταίνουσιν ἐπιγινόμενα ὀλέθρια λέγονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβʹ.

ΟΥδ᾽ ἄλλο κρίσιμον οὐδὲν, τοῖσιν οὕτως ἔχουσιν ἐπεφαίνετο, οὔτε γὰρ ἡμοῤῥαγίη καλῶς, οὔτε τις ἄλλη, τῶν εἰθισμένων, ἀπόστασις ἐγίνετο κρίσιμος, ἔθνησκόν τε ἕκαστος ὡς τύχῃ, πεπλανημένως, τὰ πολλὰ περὶ τὰς κρίσιας. οὐκ πολλοὶ δέ τινες, ἄφωνοι ἱδρῶντες πολλοί. ἐφιδρῶντες

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν μὲν οὖν ὀλεθρίως ἐχόντων, ξυνέπιπτε ταῦτα, ἃ κατέλεξεν ἐνταῦθά σοι, τὰ τῶν ὀλεθρίως ἐχόντων καυσωδῶν συμπτώματα. παρακήκοας δὲ πολλάκις ἤδη, διότι τῶν εἰρημένων ἕκαστον ὀλέθριόν ἐστι· τοῖσι μὲν ὀλεθρίως ἔχουσι ξυνέπιπτε ταῦτα.

Τὰ τοῖς φρενιτικοῖς συμβεβηκότα, ταῦτα ὡς τὰς τῶν ῥήσεων προύσθεν λέξεις διδάσκει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγ.

ΠΑραπλήσια δὲ καὶ τοῖσι φρενιτικοῖσι. in quibusdam codd. hæc leguntur: τοῖσι μὲν ὀλεθρίως ἔχουσι ξυνέπιπτε ταῦτα. Π

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΣΥμπληρώσας τὸν περὶ τῶν καύσων λόγον, ἐπὶ τὰ συμβάντα τοῖς φρενιτικοῖς μεταβαίνει· προσέχωμεν οὖν κἀνταῦθα τῇ ῥήσει αὐτοῦ.

Διά τι φρενιτικοὶ ἦσαν ἄδιψοι, τὰς αἰτίας δίδωσι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη.

ΑΔιψοι δὲ πάνυ ἦσαν οὗτοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕρὶ τῶν φρενιτικῶν ὁ λόγος· ἀδίψους δ᾽ αὐτοὺς γεγονέναι φησὶν οὐχ οὕτως, διὰ τὸ πολλὴν ὑγρότητα πλεονάζουσαν ἔχειν ἐν τῷ στόματι τῆς γαστρὸς, ὡς διὰ τὸ μὴ παρακολουθεῖν οἷς ἔπασχον, καὶ νενεκρῶσθαι τὴν ὀρεκτικὴν τοῦ στομάχου αὐτοῖς δύναμιν.

Τοὺς φρενιτικοὺς οὐκ ἐκμεμηνέναι. διά τι. αἱ τῆς φρενίτιδος καὶ τῆς μανίας αἰτίαι, καὶ ἡ μεταξὺ ἀμφοτέρας διαφορά.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ με΄.

ΟΥδ᾽ ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ὥσπερ ἐπ᾽ ἄλλοισιν, ἀλλ᾽ ἄλλῃ τινὶ καταφορῇ κακῇ, νωθρῇ, βαρέως ἀπώλλυντο.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ χωρὶς τοῦ προειπεῖν ὅτι σφόδρα ἐξεμάνη τῶν φρενιτικῶν οὐδείς, ἁπλῶς εἰρήκει τοὺς τότε φρενιτικοὺς ἀπόλλυσθαι καταφορῇ νωθρῇ, πιθανὸν ἦν ἀκοῦσαι μεταπτώσεως εἰς λήθαργον αὐτοῖς γινομένης, οὕτω διαφθείρεσθαι. προειρημένου δὲ τοῦ, ὅτι σφόδρα ἐξεμάνη οὐδείς, εὐλογώτερόν ἐστι μετὰ καταφορᾶς αὐτοὺς ἀπόλλυσθαι μένοντας φρενιτικούς, ὅπερ ἐστὶ παραφρονοῦντας, ἐν τούτῳ γὰρ μόνῳ διηνεκῶς ὑπάρχοντι, μετὰ πυρετοῦ, τὴν φρενῖτιν νοοῦμεν, οὐδενὶ διαφέρουσαν ἄλλῳ τῆς μανίας, πλὴν τῷ πυρετῷ. φρενῶν μὲν γὰρ ἄμφω βλάβαι. τὸ δὲ χωρὶς πυρετοῦ, τῶν μαινομένων ἴδιον, ὥσπερ τὸ σὺν πυρετῷ, τῶν φρενιτικῶν. θαυμαστὸν οὖν οὐδὲν ἠθροισμένων ἐν τῷ σώματι χυμῶν ὠμῶν, ὡς τάγε διαχωρούμενα τὴν ἔνδειξιν ἐποιήσατο, κωματώδεις τε ἅμα καὶ παραφρονοῦντας γενέσθαι. κωματώδεις μὲν, διά τε τὸ πλῆθος καὶ τὴν ψυχρότητα τῶν ὠμῶν χυμῶν, παραφρονοῦντας δὲ, διότι σηπόμενοι, δριμύτητά τε καὶ θερμασίαν ἐγέννων. B

GALENI COMMENTARIUS.

SI non prædiceret, nec phreneticorum valde insanivit quisquam, sed simpliciter dixisset, præsentes phreniticos cataphora segni periisse, non erat absurdum accipere, eos, conversione in lethargum facta, ita defunctos esse. Nunc quum sit prædictum, nec valde insanivit quisquam, probabilius est periisse cum cataphora, manentes phreniticos, hoc est, dementes: hoc enim discrimine solo, cum febre, phrenitim accipimus, nulla re alia distantem à mania, id est, insania, quàm febre. Mentis siquidem utraque noxa est: sed proprium insanientium est febre liberos esse, ut febricitare phreniticorum: Non est igitur mirum in corpore crudis collectis humoribus, ut excreta commonstrarunt esse, comatosos illos simul, & dementes evasisse: comatosos quidem ex multitudine, & frigore succorum crudorum: dementes, quòd putrescentes acredinem pariebant & calorem.

Αὕτη ῥῆσις ἐπιφέρει τὴν φρενῖτιν, καὶ τὸν καῦσον εἶναι τῶν πυρετῶν εἴδη. C

Hic textus infert phrenitim & causum febrium esse species.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛʹ.

Ἦσαν δὲ καὶ ἄλλοι πυρετοί, περὶ ὧν γεγράψεται.

HIPPOCRATIS TEXTUS XLVI.

AT erant & aliæ febres, de quibus scribetur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀναμνησθῶμεν δὲ ὅτι προειπὼν, ἣν κατάστασις τῶν γινομένων καυσώδης, ἣν δὴ καὶ διηγησάμενος, ἐφεξῆς πάντ' αὐτοῖς τὰ συμβάντα, καὶ μετὰ ταῦτα πάλιν εἰπὼν, παραπλήσια δὲ καὶ τοῖσι φρενιτικοῖσιν. εἶτα καὶ τὸν περὶ τούτων λόγον ἅπαντα πληρώσας ἐξῆς ἐπήνεγκεν. ἦσαν δὲ καὶ ἄλλοι πυρετοὶ περὶ ὧν γεγράψεται. δηλοῖ γὰρ ἐκ ταύτης τῆς λέξεως, πυρετῶν εἴδη, τὸν καῦσον εἶναι, καὶ τὴν φρενῖτιν, καῦσον μὲν, ὃς ἂν διηνεκὲς ἔχῃ δίψος μετὰ διηνεκοῦς πυρώσεως πολλῆς· φρενῖτιν δὲ ὡς ἂν συνεχὴς ὤν, ἅμα καὶ παραφροσύνη γίνεται διηνεκεῖ. D

GALENI COMMENTARIUS.

REvocemus ad memoriam, quando postquam supra dixit, febrium ardentium, quæ vigebant, hæc erat natura: utque hanc narravit, & quæ illis acciderunt ordine omnia: & deinde rursus dixit, similia & phreniticis: postea jam disputatione de his peracta, intulerit, erant præterea aliæ febres, de quibus jam acturus sum. Nam his verbis febrium esse species, febrem ardentem, & phrenitim ostendit; Febrem ardentem quod perpetuam habeat sitim cum perpetuo & multo ardore; Phrenitim verò, ut quæ sit assidua, unaque dementiam perpetuam habeat.

--- E

Ὅτι τὰ πρότερον παθήματα κατὰ γένη ἀνήνεγκε, ταῦτα κατὰ μέρος ἀναλαμβάνει.

Quæ pathemata superius in genere retulit, ea in particulari repetit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζʹ.

Στόματα πολλοῖσιν ἀφθώδεα, ἑλκώδεα, ῥεύματα περὶ αἰδοῖα πολλὰ, ἑλκώματα, φύματα, ἔξωθεν, ἔσωθεν τὰ περὶ βουβῶνας.

HIPPOCRATIS TEXTUS XLVII.

ORa multis aphthosa, ulcerosa, fluxiones ad putenda multæ, u.cera, tubercula intus & extra circum inguina.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Εἰρήκει μὲν ἔμπροσθεν καὶ περὶ τούτων. ἀλλ' ἐν τῷ κατὰ μέρος ὑπὲρ ἑκάστου λέγει, μέχρι τοῦ φθινοπώρου, τὰς τῶν ἐρυσιπελάτων γενέσεις εἰπὼν προελθεῖν, εὔδηλός ἐστι καὶ περὶ τῶν νῦν ἐφεξῆς αὐτοῖς γραφομένων ἁπάντων ἐνδεικνύμενος ταὐτὸ κατὰ τὸ οὖν αὐτῆς ἐμνημόνευσε τῶν αὐτῶν.

GALENI COMMENTARIUS.

ET ante quidem de his sermonem habuit. Verùm, quia de unoquoque seorsum agit, posteaquam ad autumnum usque generationem productam sacri ignis dixit, planè de his quæ nunc post eum describuntur, omnibus idem ostendit. Hac ergo de causa eorundem iterum meminit.

A

De ophthalmiis humidis, longis, diuturnis, cum doloribus & palpebrarum ficis, earumque causæ.

Περὶ τῶν ὀφθαλμιῶν ὑγρῶν μακρῶν, καὶ χρονιῶν μετὰ πόνων, καὶ τῶν συκωτῶν βλεφάρων, καὶ τὰ τούτων αἴτια.

HIPPOCRATIS TEXTUS XLVIII.

Lippitudines humidæ, longæ, diuturnæ cum doloribus, epiphyses palpebrarum foris, intus adnascebantur, quæ multorum oculos perderent, quas ficos nominant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη΄.

Ὀφθαλμίαι ὑγραὶ, μακραὶ, χρόνιαι, μετὰ πόνων· ἐπιφύσιες βλεφάρων ἔξωθεν, ἔσωθεν, πολλῶν φθεί-
B ~~ροντες~~ τὰς ὄψιας· αἳ σῦκα ἐπονομάζουσιν. ουσαι

GALENI COMMENTARIUS.

Abundantis humoris superfluitas videtur duplicem habere speciem in crassitiei & tenuitatis differentia, ut fere in humidis, & tranquillis tempestatibus fieri semper solent. Nam nisi peculiaribus utens exercitationibus ventiles corpus, & totum lustres, concitesque, copiam acervabis crassorum humorum, & tenuium: crassorum, propter socordiam: tenuium, & aquosorum, quòd vacuati non sint. Tenuitatis igitur eorum conjecturæ sunt, ea quæ per alvum excernuntur tenuia, similesque urinæ: Crassitiei, quod omne producitur, & plurimis est assidens coma. His ergo merito, quibus ad oculos affluentia vergebat, humidas lippitudines fecit ob tenuitatem, & palpebrarum germina, causa crassitiei. Nam quod ex humore in oculos manante humidi exiret, fecit lippitudines, hoc est cum fluxione humida & aquosa: Crassius verò partibus adhærescens affectis, tubercula excitavit, collium modo. Quod verò crassi humoris in profundo oculorum erat, dolores peperit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ τοῦ πλεονάζοντος χυμοῦ περιουσία, διττὸν ἔοικεν ἔχειν εἶδος ἐν τῇ κατὰ πάχος καὶ λεπτότητα διαφορᾷ, καθάπερ εἴωθεν ἀεὶ σχεδὸν ἐφ' ὑγραῖς καὶ νηνέμοις γίνεσθαι καταστάσεσιν. εἰ μὴ γὰρ οἰκείοις τις τοῖς γυμνασίοις χρώμενος, ῥιπίζει τε ἅμα καὶ διακαθαίρει, καὶ κινεῖ τὸ σῶμα, πλῆθος ἀθροίζει χυμῶν, καὶ παχέων, καὶ λεπτῶν· παχέων μὲν διὰ τὴν ἀργίαν, λεπτῶν δὲ καὶ ὑδατωδῶν, διὰ τὸ μὴ κεκενῶσθαι. τῆς
C μὲν οὖν λεπτότητος αὐτῶν τεκμήρια, τά τε κατὰ τὴν γαστέρα διερχόμενα λεπτὰ, καὶ τὰ οὖρα γε τοιαῦτα γινόμενα· τοῦ δὲ πάχους, τό τε χρονίσαι πάνυ, καὶ τὸ συνεδρεῦον τοῖς πλείστοις κῶμα. καὶ τούτων οὖν εἰκότως οἷς εἰς ὀφθαλμοὺς ἔρρεψε τὸ πλῆθος, ὑγρὰς μὲν ὀφθαλμίας εἰργάσατο διὰ τὴν λεπτότητα. τὰς δὲ τῶν βλεφάρων ἐπιφύσεις, διὰ τὸ πάχος. τοῦ γὰρ ἐπιρρέοντος τοῖς ὀφθαλμοῖς χυμοῦ, τὸ μὲν ἐκκρινόμενον ὑγρὸν, ἐργάζεται τὰς ὀφθαλμίας, τουτέστι μετὰ ῥεύματος ὑγροῦ καὶ ὑδατώδους. τὸ δὲ παχύτερον ἐμπλαττόμενον τοῖς πάχροισι μορίοις,
D τὰς ὀχθώδεις ἐπαναστάσεις. ὅσον δὲ ἐν τῷ βάθει τῶν ὀφθαλμῶν ἐγένετο τοῦ παχέος χυμοῦ, τὰς ὀδύνας εἰργάζετο.

Præter ficos alios quoque in palpebris & pudendis surculos ut fungos enasci, quorum causæ hîc scribuntur.

Πρὸς τοῖς σύκοις, ἄλλας καὶ τὰς ἐν τοῖς βλεφάροις καὶ τοῖς αἰδοίοις ἐπιφύσεας φύεσθαι, ὧν αἰτίαι ἐνταῦθα γράφονται.

HIPPOCRATIS TEXTUS XLIX.

Enascebantur verò & in aliis ulceribus multa, & in pudendis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ΄.

Ἐφύετο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἑλκέων πολλὰ, καὶ ἐν αἰδοίοισι.

E

GALENI COMMENTARIUS.

Quæ materiæ crassitudine in palpebris excrescebant, non hîc tantum, verùm in pudendis quoque extitisse ait, & si qua pars alia fortè esset exulcerata: humorum crassitie, ut dictum est, ejusmodi efficiente excrescentias, quas fungos vulgo vocant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ διὰ τὸ πάχος τῆς ὕλης ἐπιφυόμενα τοῖς βλεφάροις, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ κἀπὶ τῶν αἰδοίων ἔφη γινέσθαι, καὶ εἴπου τι μόριον ἄλλο συνέτυχεν ἑλκωθῆναι, τοῦ πάχους τῶν χυμῶν, ὡς εἴρηται, τὰς τοιαύτας ἐπιφύσεις ἐργαζομένου· καλοῦσι δὲ αὐτὰς οἱ πολλοὶ, μύκητας.

Cur carbunculi æstate multi grassabantur, eorumque ortus & causæ.

F Διά τι ἄνθρακες κατὰ θέρος πολλοὶ ἐπεδήμεον, καὶ ἡ τούτων γένεσις καὶ αἰτίαι.

HIPPOCRATIS TEXTUS L.

Carbunculi æstate multi, & alia quæ putredines vocantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν΄.

Ἄνθρακες πολλοὶ κατὰ θέρος, καὶ ἄλλα, ἃ σῆψις καλέεται.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ διὰ τὸ χρονίζειν μὲν ἐν τῷ σώματι τὴν κακοχυμίαν, ἡ σηπεδὼν ηὔξανεν, τοῦ θέρους δὲ ἐπιλαβόντος, οὐδ' αὐτοῦ τοὺς ἐτησίας ἔχοντος, ἔτι καὶ μᾶλλον εἰς ἄκρον ἀφίκετο, καὶ διὰ τοῦτο θερμὰ νοσήματα πλείω τε, καὶ κακοηθέστερα τῶν ἔμπροσθεν ἐγένετο. δέδεικται γὰρ ὅτι καὶ ὁ ἄνθραξ, ἐκ θερμῆς μέν τοι πυρότητος, παχείας δὲ κατὰ τὴν σύστασιν ὕλης, ἔχει τὴν γένεσιν.

GALENI COMMENTARIVS.

Atque quod commoraretur in corpore pravus humor, putredo increscebat: æstate vero excipiente, neque ipsa etesias habente, multo magis evaluit. Ideoque calidi morbi plures, & prioribus maligniores viguerunt. Ostendimus enim carbunculum ex calido quidem fervore, verùm crassa materia constitui.

B

Περὶ τῶν ἐκθυμάτων μεγάλων ἐπιδημίων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Ἐκθύματά τε μεγάλα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πρόδηλον μὲν ὅτι παρὰ τὸ ἐκθύειν, ὅπερ ἐστὶν ἐξορμᾶν, ἡ προσηγορία τοῖς ἐκθύμασι γέγονεν, ἐπὶ τῶν αὐτομάτως ἐξανθούντων κατὰ τὸ δέρμα. γένεσις δ' αὐτοῖς ἐκ τῶν περιττῶν δηλονότι χυμῶν, ἀλλὰ καὶ τῇ ποιότητι προσηκόντως ἕπεται, τῶν μὲν χυμῶν λεπτῶν ἑλκώσεις ἐργαζομένων μᾶλλον, ἢ ὄγκους. τῶν δὲ παχέων εἰς ὄγκον ἐξαιρόντων τὸ δέρμα. πρόδηλον δ' ὅτι ταὐτοῦ γένους ἐστὶ τοῖς προειρημένοις, ἐπιφύεσθαι κατὰ τὰ βλέφαρα καὶ τὰ ἕλκη, καὶ τὰ νῦν ἐν τῷ δέρματι τὴν γένεσιν αὐτόματον ἔχοντα.

De pustulis epidemiis.

HIPPOCRATIS TEXTUS LI.

Pustulæ quoque magnæ.

GALENI COMMENTARIUS.

Apertum est ab ἐκθύειν, quod est ἐξορμᾶν, id est, erumpere, derivatum esse ἐκθύμασι, id est, papulis, nomen, in iis quæ sponte extuberant in cute. C Hæc constant superfluis scilicet humoribus. Atque qualitatem etiam non injuria subsequuntur, quum tenues humores exulcerationem potius, quàm tumores creent: at crassi in tumorem pellem attollant. Liquet autem, quæ nunc in cute sponte sunt genita, ejusdem esse generis cum illis quæ in palpebris & ulceribus prædixit excrescere.

Διὰ τί ἕρπητες ἐπιδήμιοι μεγάλοι καλοῦνται.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νβ'.

Ἕρπητες πολλοῖσι μεγάλοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μεγάλους, ἤτοι διὰ τὸ πολὺν ἐπιλαμβάνειν τόπον, ἢ διὰ τὸ μετ' ἀναβρώσεως κακοήθους γίνεσθαι, κέκληκεν. ἑκάτερον δ' ἀκολουθεῖ τῇ κατὰ τοὺς χυμοὺς εἰρημένῃ διαθέσει.

Herpetes epidemii cur magni vocentur.

HIPPOCRATIS TEXTUS LII.

Herpetes multis magni.

GALENI COMMENTARIUS.

Magnos, aut quod multum occuparent loci, aut quod adjunctam malignam exulcerationem haberent, appellavit: utrunque autem succedit dicto humorum vitio.

E

Περὶ τῶν τεινεσμῶν τῶν ἐπιπόνων, καὶ τῶν λειεντεριῶν ἐπιδημίων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νγ'.

Τὰ δὲ κατὰ κοιλίην, πολλοῖσι πολλὰ, καὶ βλαβερὰ συνέβαινε. πρῶτον μὲν τεινεσμοὶ πολλοῖσιν ἐπιπόνως. πλείστοισι δὲ παιδίοισι, καὶ πᾶσιν ὅσα πρὸ ἥβης, καὶ ἀπώλλυντο τὰ πλεῖστα τούτων, λειεντερικοὶ πολλοί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Καὶ διὰ τὴν ὑγρότητα τῆς ἡλικίας, καὶ διότι πλείω προσφερόμενα τὰ παιδία, διαφθείρει τὰς τροφὰς πολλάκις εἰκότως ἡλίσκετο τενεσμοῖς. ἔστι μὲν οὖν καὶ ἄλλως ὀδυνηρόν τε καὶ ὀχληρὸν τὸ πάθος. ὀδυνηρὸν μὲν διὰ τὴν τάσιν, ὀχληρὸν δὲ διὰ τὸ συνεχὲς τῆς ἐξαναστάσεως. ἐν δὲ τῇ νῦν καταστάσει, πληθωρικῇ τε ἅμα, καὶ κακοχυμίᾳ λεγομένῃ, πολλοὶ μᾶλλον λειεντερικοί· ἀρρωστούσης γὰρ τῆς καθεκτικῆς δυνά-

De tenesmis dolorificis, & lienteriis statum pestilentem sequentibus.

HIPPOCRATIS TEXTUS LIII.

Quæ ad alvum spectant, plerisque multa & noxia contigerunt, primùm quidem tenesmi multis molesti, plurimis vero pueris, omnibusque impuberibus, eorumque plurimi interierunt, lienterici multi.

GALENI COMMENTARIUS.

Tum humiditate ætatis, tum quia plus cibi sumentes pueri, nutrimenta sæpe corrumpunt, merito tenesmo corripiebantur. Qui cùm alioqui dolorificus est, & molestus affectus, dolorificus, propter tensionem, molestus quod assiduè desidendum sit: tum vero in hoc statu, quem plethoricum simul, & pravis humoribus fuisse exundantem diximus, multi magis lienteria tenebantur. Nam debilitata facultate re-

centrice, fieri lienterias didicisti. Est porro consentaneum, sicut extincta fere erat facultas ventris nutritiva, unde cibos prorsus ait paulo post eos fastidivisse, sic retentricem etiam fuisse læsam.

De dysenteria pestilenti non admodum molesta.

HIPPOCRATIS TEXTUS LIV.

Dysenteria laborabant, neque hi admodum molestè.

GALENI COMMENTARIUS.

Consentaneum erat inferri hoc prædictis quibusdam qui non dolorosè ægrotarant. Sed nullus is est prædictus. Immo vero contra magis, & priores omnes, qui & ante lientericos dicti sunt tenesmo laborasse, dolorosè ægrotarunt. Quare est fortasis scriptura corrupta; quo modo in multis libris aliæ mendæ multæ, à primo Librario commissæ, manserunt. Nam rectius scriptum sit: hique admodum dolorosè. Quidam vero dictum aiunt, neque hi admodum dolorosè, perinde ac multi dysenterici non fuerunt, volente indicare Hippocrate, ex hoc, *dolorosè*, generationem morbi, non modum. Quidam quod dysentericis nullo dolore affectis adjunctum sit, ideo dicunt, neque hi admodum dolorosè, ab eo esse adjunctum: ut intelligamus lientericos necessario esse dolore vacuos.

De dejectionibus biliosis, pinguibus, tenuibus, aquosis, & dolorificis quales status epidemius ac pestilens pariebat.

HIPPOCRATIS TEXTUS LV.

Dejectiones autem biliosæ; & pingues, & tenues & aquosæ. Ac multis quidem eò morbus ipse decubuit tum citra febres, tum in febribus. Tormina cum doloribus aderant; itemque sursum volvuli maligni. Multorumque prodeuntium, ac suppressorum exitus, at neque exeuntia dolores solvebant, multaque corporis partes patiebantur.

GALENI COMMENTARIUS.

Præsens sermo omne genus continet morbi, quatenus naturâ inter se homines, ætatibusque & victu distant. Ergo cum aliis alius abundaret succis, à statu aëris hunc, ut demonstravimus, auxit: tandem putredine excipiente, putrefactio pro humorum differentia collectorum variabat. Jam quia hæc in locum se cuique ægro natura imbecillimum conferebat, multis, quia satis multi homines essent, contingit partibus lædi. Proinde erat probabile naturâ biliosis, & iis qui in ætatis erant flore & sollicitis, iisque qui laboribus sese, & administrationibus conficerent, hæc abundasse. Pinguia colliquationis esse ipse signa docuit: aquosa, tenuis, & serosæ humiditatis. Porro multos di-

A μεως, ἔμαθες γινομένας τὰς λειεντερίας. εἰκὸς δὲ οὖν ὥσπερ ἡ θρεπτικὴ δύναμις τῆς γαστρὸς ἐνεκρώθη, δι' ἣν ἀποσίτους ἐσχάτως αὐτοὺς γενέσθαι φασὶν ὀλίγον ὕστερον, οὕτως καὶ τὴν καθεκτικὴν βλαβῆναι.

Περὶ τῆς δυσεντερίας λοιμώδους μὴ ἐπιπόνως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νδ'.

B Δυσεντεριώδεες, οὐδ' οὗτοι λίην ἐπιπόνως.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀκόλουθον ἦν ἐπιφέρεσθαι τοῖς προειρημένοις, ὅσιν οὐκ ἐπιπόνως νοσήσασι· προείρηται δ' οὐδεὶς οὗτος, ἀλλὰ τοὐναντίον μᾶλλον, οἵ τ' ἔμπροσθεν ἅπαντες, οἵ τε πρὸ τῶν λειεντερικῶν εἰρημένοι τεινεσμώδεις ἐπιπόνως ἐνόσησαν. μήποτ' οὖν ἡ λέξις ἡμάρτηται, καθάπερ καὶ ἄλλα C πολλὰ τῶν ἁμαρτημάτων ἐν πολλοῖς τῶν βιβλίων ἐφυλάχθη, τοῦ πρώτου γραφέως ἁμαρτόντος· ἄμεινον γὰρ ἦν γεγράφθαι, οὗτοί τε λίην ἐπιπόνως. ἔνιοι μέντοι φασὶν εἰρῆσθαι, τὸ, οὐδ' οὗτοι λίην ἐπιπόνως, ἐν ἴσῳ τῷ, πολλοὶ δυσεντεριώδεις οὐκ ἐγένοντο, δηλοῦν βουλομένου τἀνδρὸς, ἐκ τοῦ ἐπιπόνως, τὴν γένεσιν τοῦ νοσήματος, οὐ τὸν τρόπον. ἔνιοι δ' ὅτι τοῖς δυσεντερικοῖς ἀνωδύνως ἐνοχλουμένοις ἐφεξῆς εἴρηται, διὰ τοῦτό φασιν, τὸ, οὐδ' οὗτοι λίην ἐπιπόνως, ὑπ' αὐτοῦ προστεθεῖσθαι, νοούντων ἡμῶν τοὺς λειεντερικοὺς ἐξ ἀνάγκης ἀνωδύνους εἶναι.

D

Περὶ τῶν διαχωρημάτων χολωδέων, καὶ λιπαρῶν, καὶ λεπτῶν μετὰ πόνων, ὁποῖα ἡ κατάστασις ἐπιδήμιος καὶ λοιμώδης ἔτικτε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νε'.

Τὰ δὲ χολώδεα, καὶ λιπαρὰ, καὶ λεπτὰ, καὶ ὑδατώδεα, πολλοῖσι μὲν αὐτὸ τὸ νόσημα εἰς τοῦτον κατέσκηψεν, ἄνευ τε αὐτῶν πυρετῶν, καὶ ἐν πυρετοῖς, μετὰ πόνων στρόφοι, καὶ εἰλίσιες κακοήθεες, τῶν πολλῶν ἐνόντων τε, καὶ ἐπισχόντων E διέξοδοι. τὰ δ' ἐξιόντα, πόνους οὐ λύοντα, καὶ πάμπολλα μέρεα τοῦ σώματος ἔπαθον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τῷ προκειμένῳ λόγῳ, καὶ πᾶν εἶδος ἐν αὐτῷ συνέστηκε νοσήματος, ἐπειδὴ φύσει διαφέρουσιν ἀλλήλων οἱ ἄνθρωποι, καὶ ἡλικίαις, καὶ διαίταις. ἄλλος οὖν ἄλλον ἔχων πλεονάζοντα χυμὸν, ὑπὸ τῆς καταστάσεως ηὔξησε τοῦτον, ὡς ἐδείξαμεν, εἶτα τῆς σηπεδόνος ἐπιγινομένης κατὰ τὰς διαφορὰς F τῶν ἠθροισμένων χυμῶν, ἡ σῆψις ὑπηλλάττετο· καὶ μέντοι καὶ φερομένης αὐτῆς εἰς τὸν ἑκάστῳ τῶν παρόντων τόπον ἀσθενέστατον φύσει, πολλοῖς οὕτω συνέβη παθεῖν μορίοις, ὡς ἂν καὶ τῶν ἀνθρώπων ἱκανῶς πολλῶν γενομένων. εὔλογον οὖν ἦν τοῖς φύσει χολώδεσι καὶ κατὰ τὴν ἀκμαστικὴν ἡλικίαν οὖσιν, καὶ φροντισταῖς, καὶ ταλαιπωρουμένοις ἐν ἔργοις τε καὶ πράξεσι, ταῦτα πλεονάσαι. τὰ δὲ λιπαρὰ, συντήξεως αὐτὸς ἐδίδαξεν εἶναι σημεῖα. τὰ δ' ὑδατώδη, λεπτῆς καὶ ὀρρώδους ὑγρότητος. πολλοῖς δέ φησιν αὐτὸ

τοῦτο γενέσθαι τὸ νόσημα, τουτέστι τὸ διαχωρεῖν τὰ τοιαῦτα· καὶ γὰρ χωρὶς πυρετῶν, ἐνίοις τοῦτο γενέσθαι φησί. τὰς δὲ διεξόδους, τουτέστι τὰς κενώσεις αὐτοῖς συμβῆναι, πολλῶν ἐνόντων, καὶ ἐπισχόντων, ὅπερ ἴσως σημαίνει, πολλῶν ἔτι καὶ κατὰ τὸ σῶμα τῶν ἐνόντων, οὐδὲν ἧττον τὰς διεξόδους γενέσθαι πολλάς· καὶ διὰ τοῦτο, μηδὲ τοὺς πόνους λύειν τὰ διεξιόντα. πῶς γὰρ οἷόν τε λύειν αὐτὰ, πολλῶν ἔτι τῶν ἐπεχομένων ὄντων.

A cit hoc morbo laborasse, hoc est, dejecisse talia: etenim citra febres hoc dicit quibusdam accidisse. At exitus, hoc est vacuationes illis ait contigisse multorum, quæ inerant in corpore, & suppressa erant: quod fortasis significat quum etiamnum multa in corpore retinerentur, tamen multa exiisse, quominus exeuntia dolores solvisse. Nam quomodo solverent illa, quum quæ supprimerentur essent, etiam multa.

Ὅσοι τοῖς εἰρημένοις ἐπιδημίοις καὶ λοιμώδεσι νοσήμασι διατεθέντες τὰ προσφερόμενα βοηθήματα διαιτητικά τε καὶ φαρμακευτικὰ μὴ προσεδέχοντο, τούτους πολὺν χρόνον νοσῆσαι, ἢ ἀπολωλεκέναι.

B Qui dictis epidemiis ac pestilentibus morbis affecti oblata diætetica, aut pharmaceutica non admittebant, eos aut diu ægrotasse, aut interiisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νϛ'.

Τοῖσί τε προσφερομένοισιν δυσκόλως ὑπακούοντα. καὶ γὰρ αἱ καθάρσιες τοὺς πλείστους προσέβλαπτον. τῶν δὲ οὕτως ἐχόντων πολλοὶ μὲν ὀξέως ἀπώλλυντο, πολλοῖσι δὲ, καὶ μακρότερα διῆγεν.

HIPPOCRATIS TEXTUS LVI.

Oblatis etiam difficile auscultabantur. Etenim purgationes plurimos oblædebant. Qui vero ita afficiebantur, eorum plerique celeriter moriebantur. Multis quoque vita longior degebatur.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προσφερόμενα δύναται λέγειν, καὶ κοινῶς ἅπαντα τὰ βοηθήματα, καὶ ἰδίως τὰ ἐσθιόμενα, καὶ πινόμενα. τὰς δὲ καθάρσεις ὧν ἐμνημόνευσεν, ἐν ἑκατέροις τάξαι δυνατόν. ὅτι δ᾽ οὐκ ὠφελεῖ τὰ βοηθήματα τοὺς οὕτως ἔχοντας, εὔδηλόν ἐστιν, εἰ καὶ μηδὲν αὐτὸς εἰρήκει. πολλῶν γὰρ ἀποθνησκόντων, ἀνωφελῆ δηλονότι πᾶσιν αὐτοῖς τὰ βοηθήματα.

GALENI COMMENTARIUS.

Oblata potest dicere tum omnia in communi remedia, tum privatim cibum & potionem. Purgationes quarum fecit mentionem, utrisque possunt annumerari. Nam nihil contulisse ita affectis remedia, etiamsi ille nihil dixisset, in aperto est. Si quidem quum multi morerentur, nullius erant usus omnibus illis auxilia.

Τοὺς τούτοις ἐπιδημίοις καὶ λοιμώδεσι νοσήμασιν ἐνοχληθέντας πάντας τῇ συντήξει τῷ ἀχωρίστῳ τοῦ λοιμοῦ συμπτώματι τεθνάναι.

D Morbis his epidemiis ac pestilentibus affectos colliquatione inseparabili pestis symptomate omnes interiisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζ'.

Ὡς δ᾽ ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντες καὶ οἱ τὰ μακρὰ νοσέοντες, καὶ τὰ ὀξέα, ἐκ τῶν κατὰ κοιλίην, ἀπέθνησκον μάλιστα, πάντας γὰρ κοιλίη συναπήνεγκεν.

HIPPOCRATIS TEXTUS LVII.

Vt autem in summa dicam, omnes tum qui morbis longis, tum qui acutis ægrotabant, ex his maximè quæ per alvum secedebant, interierunt. Omnes enim alvus sustulit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Καὶ ὁ καθ᾽ ἡμᾶς γενόμενος ἔτος ὁ μακρότατος λοιμὸς, ἐκ τῶν διὰ τῆς κοιλίας κενουμένων, σχεδὸν ἅπαντας διέφθειρεν. ἦν δὲ σύντηξις τὰ κενούμενα, καὶ τοῦτ᾽ ἔοικεν ἀχώριστον εἶναι σύμπτωμα τοῦ καλουμένου λοιμώδους ἰδίως πυρετοῦ, καταλαμβάνοντος τοὺς ἀνθρώπους, καὶ χωρὶς λοιμοῦ.

GALENI COMMENTARIUS.

Et pestis quoque illa longissima, quæ nostra ætate vulgata est, ex iis quæ per alvum vacuantur, omnes prope peremit. Quæ evacuabantur, erat colliquatio: Quod quidem esse symptoma videtur in perpetuum febris, quam pestilentem privatim vocitant, quum mortales, vel citra pestem corripiat.

Τοὺς τῷ μακρῷ λοιμῷ νοσοῦντας σχεδὸν πάντας ἀποσίτους γεγονέναι ἐκ τῆς τοῦ γαστέρος κακίας. ὅσοι δὲ τὰ σιτία προσεφέροντο, τούτους σχεδὸν ἅπαντας σωθῆναι.

Longa peste laborantes omnes fere cibos aversatos fuisse ventriculi vitio. Qui vero cibos assumpserant, omnes fere servatos. F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη.

Ἀπόσιτοι δὲ πάντες μὲν ἐγένοντο, καὶ ἐπὶ πᾶσι τοῖσι προγεγραμμένοισιν, οἷς ἐγὼ οὐδὲ πώποτε ἐνέτυχον. πολλοὶ δὲ μάλιστα οὗτοι, καὶ οἱ ἐκ τούτων, καὶ ἐκ τῶν ἄλλων δὴ οἱ ὀλεθρίως ἔχοντες.

HIPPOCRATIS TEXTUS LVIII.

Omnes autem in quos sane incidi, præter præscriptos omnes morbos, quibus vexabantur, cibos equidem aversabantur. Plerique vero præcipueque hi ipsi, & qui eodem modo affecti erant; sed & ex aliis qui etiam perniciosè haberent.

GALENI

A

GALENI COMMENTARIUS.

Etiam hoc symptoma omnes cepit, qui in peste diuturna, quæ modo viguit, laborabant: quare factum est, ut multi morerentur. Fortiores ergo, qui vim sibi ipsi afferentes, cibum oblatum assumpserunt, omnes fere superstites fuerunt. Plurimi vero mori, quàm comedere quicquam prius duxerunt: atque hæc ipsa accidisse illis videntur, qui tum ægrotaverunt, maximè vitio ventris: etenim & hujus est opus ciborum appetentia.

Neque ægros omnes siticulosos esse, neque siti vacuos; nec à febre sola, nec ab alvi perturbatione sitim concitari. Sitis causæ.

HIPPOCRATIS TEXTUS LIX.

Siticulosi partim quidem erant, partim vero siti vacui.

GALENI COMMENTARIUS.

De iis hoc loco, qui ob alvi turbationem, ut ipse appellavit, citra febrem afficiebantur, sermonem habet: quod est ex his verbis clarum, quum subdit, ex his quos febres tenebant, aliaque, nemo circa potum intempestivus erat. Apertum est etiam ex illis, quæ suprà diximus, cur non essent sitibundi omnes, nec siti liberi. Crassitudo enim humorum, & tenuitas aquosa, erat acervata, frigida illa quidem sua sponte utraque, sed acquisititium à putredine calorem mutuans. Quare in quibus excellebat jam putredinosus calor, erant sitibundi: in quibus nondum, hi contra merito non sitiebant.

Sitim à febre concitatam potu tempestivè sedari.

HIPPOCRATIS TEXTUS LX.

Quos febris, aliaque vexabant, eorum nullus siticulosus potum intempestivè sumpsit, sed quoad potionem licebat quam vellet victus rationem instituere.

GALENI COMMENTARIUS.

Posteaquam priori capite dixit de iis qui ex ventre laborarunt, quod partim sitibundi, partim non essent, hîc nunc de ægrotantibus simul cum febre ait, non magnopere ullum fuisse sitibundum, neque ut Medicis non esset audiens. Quod hinc est factum, quoniam non perinde his tantùm putredinosæ saniei in ventrem, quantum prædictis, conflueret.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τοῦτο τὸ σύμπτωμα πάντας κατέλαβε τοὺς ἐν τῷ νῦν γενομένῳ λοιμῷ τῷ μακρῷ, καὶ δι' αὐτό γε τοῖς πλείστοις ἀποθανεῖν συνέβη. ὅσοι γοῦν ἀνδρειότεροι, βιαζόμενοι σφᾶς αὐτοὺς προσεφέροντο τὰ διδόμενα σιτία, σχεδὸν ἅπαντες ἐσώθησαν. οἱ πλεῖστοι δ' ἀποθανεῖν εἵλοντο μᾶλλον, ἢ προσενέγκασθαί τι. ταῦτ' οὖν ἔοικε συμβῆναι καὶ τοῖς τότε νοσήσασι τὰ κατὰ γαστέρα μάλιστα· καὶ γὰρ καὶ ταύτης ἔργον ἐστὶν, ὄρεξις σιτίων. B

Μήτε τοὺς ἀρρώστους πάντας διψώδεας εἶναι, μήτε ἀδίψους· μηδὲ καὶ ἀπὸ τοῦ μόνου πυρετοῦ, μηδὲ διὰ γαστρὸς ταραχὴν τὴν δίψαν παρακινεῖσθαι. αἱ τῆς δίψης αἰτίαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νθ'.

Διψώδεες οἱ μὲν, οἱ δ' οὔ.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν, ἄνευ πυρετῶν, διὰ γαστρὸς ταραχὴν, ὡς αὐτὸς ὠνόμασεν, ἐνοχλουμένων, ὁ λόγος αὐτῷ νῦν εἴρηται. δῆλον δ' ἐξ ὧν ἐπιφέρων εἶπε, τῶν δ' ἐν πυρετοῖσι, καὶ τοῖς ἄλλοις οὐδεὶς ἀκαίρως. φανερὸν δ' ἐξ ὧν εἰρήκαμεν ἀνωτέρω, καὶ διὰ τί μήτε διψώδεις ἅπαντες ἦσαν, μήτ' ἄδιψοι. πάχος τε γὰρ χυμῶν, καὶ λεπτότης ὑδατώδης ἠθροίσθη, ψυχρὰ μὲν ἄμφω κατὰ τὴν ἑαυτῶν φύσιν, ἐπίκτητον δὲ θερμασίαν ἐκ σηπεδόνος λαμβάνοντα· καὶ D τοίνυν, ἐφ' ὧν μὲν ἤδη τὸ σηπεδονῶδες θερμὸν ἐπεκράτει, διψώδεις ἦσαν. ἐφ' ὧν δ' οὐδέπω, καὶ οὗτοι πάλιν εὐλόγως ἦσαν ἄδιψοι.

Τὴν δίψαν ἀπὸ πυρετοῦ ἐξορμηθεῖσαν τῷ ποτῷ εὐκαίρως παύεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξ'.

E

Τῶν δὲ ἐν πυρετοῖσι καὶ τοῖς ἄλλοισιν, οὐδεὶς ἀκαίρως, ἀλλ' ἦν κατὰ ποτὸν διαιτᾷν, ὡς ἤθελες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰρηκὼς ἐν τῇ πρόσθεν ῥήσει περὶ τῶν κατὰ κοιλίαν ἐνοχληθέντων ἔτι διψώδεις ἦσαν, οἱ μὲν, οἱ δ' οὔ. νῦν ἤδη καὶ περὶ τῶν ἅμα πυρετοῖς νοσούντων, ἔφη μηδένα διψώδη γενέσθαι πάνυ σφόδρα, μηδ' ὥστε τοῖς ἰατροῖς F ἀπειθεῖν. ἐγένετο δὲ τοῦτο, διὰ τὸ μὴ συῤῥεῖν αὐτοῖς εἰς τὴν γαστέρα, τῶν σηπεδονωδῶν ἰχώρων τοσοῦτον ὅσον ἐπὶ τῶν προειρημένων.

A

Περὶ τῶν συμπτωματικῶν οὔρων κατὰ λοιμώδεα νοσήματα.

De symptomaticis pestilentium morborum urinis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξα.

Οὖρα δὲ πολλὰ μὲν, τὰ δὲ ἐξιόντα ἦν, οὐκ ἐκ τῶν προσφερομένων ποτῶν, ἀλλὰ πολλὸν ὑπερβάλλοντα. πολλὴ δέ τις καὶ τῶν οὔρων κακότης ἦν τῶν ἀπιόντων. οὔτε γὰρ πάχος, οὔτε πεπασμὸς, οὔτε κάθαρσις χρηστὴ εἶχε. ἐπὶ πολλοῖσι γὰρ, αἱ κατὰ κύστιν καθάρσιες χρησταὶ γινόμεναι, ἀγαθὸν ἐσήμαινον· τοῖσι δὲ πλείστοισιν, σύντηξιν, καὶ ταραχὴν, καὶ πόνους, καὶ χρόνους, καὶ ἀκρισίας.

HIPPOCRATIS TEXTUS LXI.

Vrinæ autem copiosæ quidem, sed quæ ex oblatis potionibus non vacuabantur, imo exuperabant. Verum ejectarum urinarum multa quædam erat pravitas. Neque enim erat crassitudo, neque concoctio, neque expurgatio bona. In multis B *nanque probæ per vesicam expurgationes factæ bonam, plurimis vero colliquationem, perturbationem & dolorem, & judicationes nullas portendebant.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σαφῆ πάντ᾽ ἐστὶ τὰ εἰρημένα καὶ δεῖται μνήμης, οὐκ ἐξηγήσεως. αὐτὸς γὰρ ἐνεδείξατο σαφῶς κατὰ τὸν ἔμπροσθεν λόγον ὃν ἐγὼ διῆλθον, ὡς ἐνίοτε λόγῳ συμπτώματος κενοῦται τὰ οὖρα, καθάπερ ἱδρῶτές τε, καὶ ἔμετοι, καὶ τὰ διὰ γαστρὸς ἀπιόντα.

GALENI COMMENTARIUS.

Quæ sunt dicta, clara omnia sunt, & memoriam, non interpretationem postulant. Ipse nanque superiori sermone, quem ego exposui, non obscurè ostendit, quod aliquando C urinæ symptomatis ratione vacuentur, sicut sudores, vomitiones, & dejectiones.

Τὸ κῶμα τὸ λοιμῶδες φρενίτιδί τε καὶ τῷ καύσῳ συνεπόμενον σύμπτωμα. Διὰ τί.

Coma pestilentis phrenitidis & causi comes symptoma. Cur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξβ΄.

Κωματώδεές τε, μάλιστα μὲν οἱ φρενιτικοὶ, καὶ οἱ καυσώδεες ἦσαν. ἀτὰρ καὶ ἐπὶ τοῖσιν ἄλλοισι νοσήμασι πᾶσι τοῖσι μεγίστοισιν, ὅτι μετὰ πυρετοῦ γίγνοιτο.

HIPPOCRATIS TEXTUS LXII.

Comate autem detinebantur, præcipuè quidem phrenitici, & qui causo febricitabant; quin & cæteris in omnibus maximis morbis, quod D *cum febre contingerent.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πάχος τῆς ὕλης εἰργάζετο τὸ κῶμα, καὶ μάλιστ᾽ ἐκείνοις ἐφ᾽ ὧν ἔπαθεν ἡ κεφαλή. πάθος δὲ, τοῖς μὲν φρενιτικοῖς, κατὰ πρῶτον λόγον, καύσοις δὲ, κατά τι συμβεβηκός. ἡ γὰρ θερμασία τοῦ πυρετοῦ, πρὸς τὴν κεφαλὴν ἀναφέρει τοὺς μοχθηροὺς χυμούς· ἐπλεόναζον δὲ νῦν οἱ ὠμοὶ καὶ ψυχροί.

GALENI COMMENTARIUS.

Coma creavit materiæ crassitudo, & præter cæteros iis, quibus erat affectum caput. Est autem phreniticis affectum per se, sed in ardentibus febribus per accidens. Nam febris calor pravos humores ad caput subvehit: abundabant autem tunc crudi & frigidi.

Τὸ μὲν πάχος καὶ τὸ πλῆθος τῆς ψυχρῆς ὕλης τοῦ κώματος, τὴν δὲ λεπτότητα διασεσηπομένην τοῦ μακροῦ τε καὶ λεπτοῦ ὕπνου αἰτίαν εἶναι.

E Crassitiem & copiam materiæ frigidæ coma, tenuitatem putrefactam somni tenuis & parvi causam esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξγ.

Διὰ παντὸς δὲ, τοῖσι πλείστοισιν, ἢ βαρὺ κῶμα παρείπετο, ἢ λεπτοὺς, καὶ μικροὺς ὕπνους κοιμᾶσθαι.

HIPPOCRATIS TEXTUS LXIII.

Perpetuo autem plurimos grave coma comitabatur, aut tenues & parvi somni.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Βαρὺ κῶμα, τὸ δυσδιέγερτον ἀκουστέον ἐστὶ, τὸ τῷ μικροὺς καὶ λεπτοὺς ὕπνους ἔχειν, ἐναντίον ἐστίν. ἐγίγνετο δὲ τὸ μὲν πρότερον, οἷς ἐπεκράτει τὸ πάχος καὶ τὸ πλῆθος τῆς ψυχρᾶς ὕλης, τὸ δὲ δεύτερον, οἷς ἡ λεπτότης διασεσηπομένη.

GALENI COMMENTARIUS.

F Grave coma, à quo ægrè quis excitetur, accipiendum est, cujus contrarium est, quod tenues & parvos somnos habeat. Quorum accidit primùm iis, quibus crassitudo, & copia exuperabat frigidæ materiæ, alteris quibus putrefacta tenuitas.

A

Multas alias ac diversas febrium species commemorat intermittentium, & continuarum quæ grassabantur.

HIPPOCRATIS TEXTUS LXIV.

PRæterea multæ aliæ febrium ideæ in vulgus grassatæ sunt, tertianarum, quartanarum, nocturnarum, assiduarum, diuturnarum; erraticarum, anxiarum, inconstantium.

B

GALENI COMMENTARIUS.

QUia humores noxii erant diversi, ideo quum alii morbi, tum plura jam inciderunt febrium genera. Meminit autem intermittentium, quæ numero tres sunt, quotidianarum, tertianarum, quartanarum: tertianarum quidem, & quartanarum nominatim primum, quotidianarum vero dicendo, nocturnarum. Nam earum quod duplex est differentia, quatenus hæ interdiu accedunt, illæ noctu, inde diversa nomina invenerunt. Hippocrates earum quæ tum vigebant, mentionem fecit, quod erant nocturnæ. C Memoria itaque repetamus etiam quod quum & primo libro & secundo morborum vulgarium, tum multos separatim ægros adduxerit, tum integras sit tempestates persequutus: nusquam nec quintanam, nec septimanam scripsit, vel aliam febrem multorum dierum. Nec verò etiam in tertio libro vulgarium morborum, neque ante, neque posthac ad finem usque. Unde mihi in mentem venit illa, quæ primo libro vulgarium morborum tradita sunt, infarcta ab alio suspicari, D ubi alias esse plurium dierum quàm sit quartana, statuit. At in prædicta oratione intermittentium genus propriâ appellatione non nominavit, quemadmodum, continuarum; sed & tantum omnes ejus species persequutus. Deinde communi nomine continuas indicavit, quarum febres ardentes prædixit, & phrenitidas. Postea longarum nomen, & vagarum prodidit, ubi mihi memor sis ejus, quod est initio propositæ orationis dictum, ipsum omnia, quæ collegit, febrium species appellare.

E

Perniciosa prædictarum febrium symptomata, & lethales ac diuturnos affectus recenset.

HIPPOCRATIS TEXTUS LXV.

AT hæ omnes cum multa perturbatione contingebant, etenim plurimis alvi turbabantur, horridæ; sudores nihil decernebant; urinæ quales descriptæ sunt. Eorum vero plerisque hæc erant diuturna. Neque enim his qui creabantur abscessus quemadmodum & in cæteris decernebant. F *Omnes quidem omnibus difficiles erant, aut nullæ judicationes, aut diuturnæ. His vero quammaximè judicabantur. Atque horum pauci ad octogesimum diem judicabantur: plurimos vero, ut sors tulit, reliquerunt. Horum etiam pauci ab hydrope stantes & erecti moriebantur. Multos denique etiam præter alios morbos tumores vexabant & quammaximè tabidos.*

Πολλὰ ἄλλα καὶ ποικίλα τῶν πυρετῶν εἴδεα διαμνήσει διαλειπόντων καὶ συνεχῶν, ὅσα ἐπεδήμησε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξδ'.

ΠΟλλὰ καὶ ἄλλα πυρετῶν ἐπεδήμησεν εἴδεα, τριταίων, τεταρταίων, νυκτερινῶν, συνεχῶν, μακρῶν, πεπλανημένων, ἀσώδεων, ἀκαταστάτων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΙα τὴν ποικιλίαν τῶν λυπούντων χυμῶν, τά τ' ἄλλα νοσήματα, καὶ τὰ τῶν πυρετῶν ἤδη πλείω συνέπεσε. ἐμνημόνευσε δὲ τῶν μὲν διαλειπόντων ἁπάντων τελῶν ὄντων, ἀμφημερινῶν, τριταίων, καὶ τεταρταίων· τριταίων μὲν καὶ τεταρταίων, ὀνόματι πρῶτον, ἀμφημερινοὺς δὲ ἐν τῷ φάναι, νυκτερινούς· διττῆς γὰρ οὔσης αὐτῶν διαφορᾶς, καθότι οἱ μὲν ἐν ἡμέρᾳ παροξύνουσιν, οἱ δ' ἐν νυκτὶ, καὶ διὰ τοῦτο καὶ τὰς προσηγορίας ἐντεῦθεν ἐπεκτήσαντο διαφόρους. ὁ Ἱπποκράτης τῶν τότε πλεοναζόντων ἐμνημόνευσε νυκτερινῶν ὄντων. ἀναμνησθῶμεν οὖν ἔτι καὶ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν, καὶ κατὰ τὸ δεύτερον, ἀρρώστων τε πολλῶν μνημονεύσας ἰδίᾳ, καὶ καταστάσεις ὅλας διηγησάμενος, οὐδαμόθι πεμπταῖον, ἢ ἑβδομαῖον, ἢ ἄλλον τινὰ πολυήμερον ἔγραψε πυρετόν. ὥσπερ οὐδ' ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, οὔτ' ἐν τοῖς ἔμπροσθεν, οὔτ' ἐν τοῖς ἐφεξῆς, ἄχρι τέλους, ἐκ τούτων ὑπέρχεταί μοι περὶ τῶν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰρημένων ὑποπτεύειν, ὥσπερ παραγεγραμμένων, ἐν οἷς βούλεται καὶ ἄλλους τινὰς εἶναι πολυημερωτέρους τοῦ τεταρταίου πυρετοῦ. ἐν δὲ τῇ προειρημένῃ ῥήσει, τὸ τῆς οἰκείας προσηγορίας, ὥσπερ τὸ τῶν συνεχῶν, τὰ δ' εἴδη πάντα διῆλθεν αὐτοῦ, μετὰ ταῦτα κοινῇ προσηγορίᾳ, τοὺς συνεχεῖς ἐδήλωσεν ὧν προειρήκει καύσους τε καὶ φρενίτιδας· ἐφεξῆς δὲ τινά τε τῶν μακρῶν καὶ τῶν πεπλανημένων ἔγραψε προσηγορίαν, ἔνθα μοι καὶ τοῦ κατ' ἀρχὰς εἰρημένου τῆς προκειμένης ῥήσεως μέμνησο, τοῦ, πυρετῶν εἴδη καλεῖν αὐτὸν ἅπαντα τὰ καταλελεγμένα.

Τὰ ὀλέθρια προειρημένων τῶν πυρετῶν συμπτώματα, καὶ θανάσιμα, ἢ πολυχρόνια τὰ πάθη καταλέγει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξε'.

ΑΠαντες δ' οὗτοι μετὰ πολλῆς ταραχῆς ἐγίνοντο, κοιλίαι τε γὰρ τοῖσι πλείστοισι ταραχώδεες, φρικώδεες, ἱδρῶτες οὐ κρίσιμοι, καὶ τὰ τῶν οὔρων ὡς ὑπογέγραπται. μακροὶ δὲ τοῖσι πλείστοισι τουτέων· οὐδὲ γὰρ αἱ γινόμεναι τουτέοισιν ἀποστάσιες ἔκρινον, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισιν· δύσκριτα μὲν πᾶσι πάντα ἐγίνετο, καὶ ἀκρισίαι, καὶ χρόνια, πολὺ δὲ μάλιστα τούτοισιν· ἔκρινε δὲ τουτέων ὀλίγοισι περὶ ὀγδοήκοντα, τοῖσι δὲ πλείστοισιν, ὡς ἔτυχεν, ἐξέλιπεν, ἔθνησκον δὲ τουτέων ὀλίγοι ὑπὸ ὕδρωπος ὀρθοστάδην· πολλοῖσι δὲ, καὶ ἐπὶ τοῖσιν ἄλλοισι νουσήμασιν οἰδήματα προσώχλει, πολὺ δὲ μάλιστα τοῖσι φθινώδεσιν.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς προειρημένους ἅπαντας πυρετοὺς μετὰ πολλῆς φησὶ γενέσθαι ταραχῆς, εἶθ' ἑξῆς αὐτὸς ἐξηγεῖται τί ἦν ἡ ταραχὴ, τὰ συμπτώματα γράφων αὐτῶν. καὶ τἄλλα δὲ τὰ ἐφεξῆς εἰρημένα πρόδηλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν.

GALENI COMMENTARIUS.

Prædictas dicit omnes febres adjunctam habuiſſe multam turbationem : mox ipſe quæ eſſet turbatio, exponit, deſcribitque earum ſymptomata. Reliqua, niſi priora exciderint, clara ſunt.

Περὶ φθίσεως λοιμώδους, ἧς ἡ γένεσις, καὶ αἰτίαι, καὶ συμπτώματα καταγράφονται.

B

De tabe peſtilenti, cujus ortus, cauſæ & ſymptoma deſcribuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξϛʹ.

Μέγιστον δὲ καὶ χαλεπώτατον, καὶ πλείστους ἔκτεινε τὸ φθινῶδες. πολλοὶ γάρ τινες ἀρξάμενοι κατὰ χειμῶνα, πολλοὶ μὲν, κατεκλίθησαν, οἱ δ' αὐτῶν ὀρθοστάδην ὑπεφέροντο, πρωῒ δὲ τοῦ ἦρος, ἔθνησκον οἱ πλεῖστοι τῶν κατακλιθέντων· τῶν δ' ἄλλων, ἐξέλιπον μὲν αἱ βῆχες οὐδενί· ὑφίεσαν δὲ κατὰ θέρος, ὑπὸ δὲ τὸ φθινόπωρον κατεκλίθησαν πάντες, καὶ πολλοὶ ἔθνησκον, μακρὰ δὲ τούτων οἱ πλεῖστοι διενόσεον. ἤρξατο μὲν οὖν τοῖς πλείστοισι τούτων ἐξαίφνης, ἐκ τούτων κακοῦσθαι.

C

Φρικώδεα δὲ πυκνὰ, πολλάκις πυρετοὶ ξυνεχέες, ὀξέες, ἱδρῶτες ἄκαιροι, ψυχροὶ, πολλοὶ διὰ τέλεος. πολλὴ δὲ ψύξις καὶ πάλιν μόλις ἀναθερμαινόμενοι, κοιλίαι ποικίλως ἐφιστάμεναι, καὶ πάλιν ταχὺ καθυγραινόμεναι, καὶ τῶν περὶ πνεύμονα πάντων διάδοσις κάτω, πλῆθος οὔρων οὐ χρηστῶν, ξυντήξιες κακαί. αἱ δὲ βῆχες, ἐνῆσαν μὲν διὰ τέλεος πολλαὶ, καὶ πολλὰ ἀνάγουσαι πέπονα καὶ ὑγρὰ, μετὰ πόνων δὲ, οὐ λίην. ἀλλ' εἰ καὶ ὑπεπόνεον, αὖθις πρηέως πᾶσιν ἡ κάθαρσις τῶν ἀπὸ πνεύμονος ἐγίνετο. φάρυγγες οὐ λίην δακνώδεες, οὐδ' ἁλμυρίδες, οὐδὲν ἠνώχλεον. τὰ μέντοι γλίσχρα, καὶ λευκὰ,

D

καὶ ὑγρὰ, καὶ ἀφρώδεα, πολλὰ ἀπὸ κεφαλῆς ἤσαν κατήει. πολὺ δὲ μέγιστον κακὸν παρείπετο, καὶ τούτοισι καὶ τοῖσιν ἄλλοισιν, τὰ περὶ τὴν ἀποσιτίην, καθάπερ ὑπογέγραπται· οὐ δὲ γὰρ ποτῶν, μετὰ τροφῆς, ἡδέως εἶχον, ἀλλὰ πάνυ διῆγον ἀδίψως.

HIPPOCRATIS TEXTUS LXVI.

Maximum quidem, & graviſſimum, & quod plurimos interemit tabes. Nam quum multi hyeme cœpiſſent, magna ex parte decubuerunt: partim recti eſſe ſuſtinuerunt. Verùm ante ver qui decubuerunt, ferè perierunt. Reliquorum tuſſes neminem reliquerunt, remiſſiores tantùm æſtate fuerunt. At ſub autumnum omnes decubuerunt, atque multi obierunt : quorum ægrotabant plurimi diu. Cœperunt igitur horum plurimis ſubito ex his deteriores, tum horrores crebri, ſæpe febres continuæ, acutæ : ſudores intempeſtivi, frigidi multi perpetuo. Multum vero erat frigus, & vix eis calor revocari poterat. Ventres variis modis ſubſiſterunt, rurſuſque ſtatim humectabantur. Quæ pulmonem infeſtabant, per alvum omnia reddebantur. Copia urinarum non bonarum, colliquationes malæ. Multæ tuſſes tenuerunt perpetuo, & multa excreantes cocta, & liquida, minus tamen cum labore : quæ etiamſi quando eſſent difficiliores, rurſus lenius omnibus purgabantur, quæ pulmoni incommodabant : fauces non admodum mordaces, neque ſalſugines quicquam moleſtabant : Lenta vero & alba & liquida, ſpumoſaque multa à capite veniebant: At multo maximum hos & alios comitabatur malum, faſtidium ciborum, ut ſuprà diximus : nam ne potum quidem libenter cum cibo ſumebant, ſed valde citra ſitim degebant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προείρηταί μοι καὶ πρόσθεν ὅτι πληρωθείσης, ἐν τῇ θερμῇ, καὶ ὑγρᾷ, καὶ ἀπνόῳ καταστάσει τῆς κεφαλῆς, ἡ φθινώδης ἐγίνετο διάθεσις ἐκ τοῦ καταφερομένου ῥεύματος εἰς τὸν πνεύμονα. μέρος δ' αὐτοῦ καὶ διὰ τοῦ στομάχου καταῤῥυὲν εἰς τὴν

E

γαστέρα, τὰς κατ' αὐτὴν ἤρξατο ταραχάς. ἃ δ' ἐφεξῆς εἴρηται, περὶ τῶν φθινωδῶν, δῆλα τοῖς μεμνημένοις τῶν προειρημένων ἐστίν. ὅμως δ' οὖν κἀγὼ περὶ ὧν ἂν ἐπισημήνασθαι δόξῃ κάλλιον εἶναι, πράξω τοῦτο. πρῶτον δ' ἐν αὐτοῖς ἐστὶ τοὺς πλείστους τῶν φθινωδῶν ἀποθανεῖν ἐν ἀρχῇ τοῦ ἦρος, ἐπὶ τῇ μεταβολῇ τοῦ ἀέρος· αὐτὸς γὰρ εἶπεν, ὀπισθοχειμῶνας γενέσθαι, καὶ ἤδη περὶ ἰσημερίην βόρεια χιονώδεα. χαλεπώταται δὲ αἱ τοιαῦται μεταβολαὶ τοῖς φθινώδεσι. καὶ διὰ τοῦτο, καὶ τὸ φθινόπωρον ὀλέθριον. αὐτὸς γοῦν

F

ἐν ἀφορισμοῖς ἔφη, τοῖσι φθίνουσι κακὸν εἶναι. καὶ ἄλλως μὲν τὰ βόρεια τῶν κατὰ θώρακα μορίων ἁπάντων εἰσὶ κακωτικά. φησὶ γοῦν αὐτὸς ἐν ἀφορισμοῖς βῆχάς τε, καὶ φάρυγγας, ὀδύνας τε πλευρῶν καὶ στηθέων, γίνεσθαι κατὰ τὰ βόρεια, πολὺ δὲ μᾶλλον οἷς ἤδη πέπονθε ταῦτα, καὶ ἡ κεφαλὴ πεπληρωμένη καταπέμπει τὸ ῥεῦμα, διὸ καὶ τοῦ θέρους ὑποδοῦναί φησι, τουτέστιν ἐνδοῦναι καὶ μετριάσαι τὰς βῆχας. ἐγένετο γὰρ, ὡς αὐτὸς ἔγραψε, τὸ θέρος ὑγρὸν καὶ θερμόν. ὥσπερ αὖ πάλιν

GALENI COMMENTARIUS.

Dixit etiam ſupra, repleto in calida & humida, ventiſque vacua tempeſtate, capite, ex deſtillatione in pulmonem deſcendente, tabidam affectionem conſtitiſſe : cujus etiam per ſtomachum portio in ventrem delata eum turbavit. Quæ deinde dixit de tabidis, etſi iis, qui prædictorum meminerunt, clara ſunt; faciam tamen, ut quæ videbuntur referenda, hæc declarem. Primum hoc inter ea eſt, ineunte vere, pleroſque tabidos obiiſſe, ex aëris immutatione. Dixit enim extremam fuiſſe hyemem aſperam, & circa æquinoctium jam Aquilone ſpirante minxiſſe : quæ tabidis mutationes infeſtiſſimæ ſunt, atque ob id autumnus etiam pernicioſus eſt : unde in Aphoriſmis eum ipſe dixit tabeſcentibus adverſarium eſſe. Et alioqui quidem Aquilo partibus thoracis officit univerſis. Quare in Aphoriſmis ait ; Tuſſes, fauces, laterum dolores & pectoris exiſtere, flante Aquilone : multo vero magis quibus jam ſunt hæc vitioſa, & caput repletum deſtillationem tranſmittit. Unde æſtate tuſſes dicit remiſſiores fuiſſe, hoc eſt imminutas & moderatiores. Nam fuit, ut ipſe ſcripſit, ſerena æſtas & calida, ut è diverſo

principium insequentis autumni tabidis inimicissimum. Dixit enim; Sub Arcturum, rursus flante Borea, multum pluit. Quod autem longo spacio producerent non solùm tabes, sed & alii morbi, in causa crassities fuit materiæ, nihil habentis suâ sponte acredinis & caloris; sed tempore à putredine mutuantis. Planissimum hoc fecit hisce verbis, fauces non perinde mordaces, neque salsugines quicquam molestabant; lenta vero & liquida, spumosaque multa à capite veniebant. Quod reliquum est hujus capitis, omne memori superiorum clarum est.

Unde comatosi corporis gravitas.

HIPPOCRATIS TEXTUS LXVII.

G*Ravitas corporis, comatosi.*

GALENI COMMENTARIUS.

SÆpe est dictum emoriente sustentatrice & motrice corporum facultate, quæ pridem ab ea ut levia ferebantur & movebantur, gravia videri.

Frigida incocta œdematis & hydropis causas esse.

HIPPOCRATIS TEXTUS LXVIII.

Q*Vibus fere omnibus œdemata fiebant, quæ in aquam inter cutem eruperunt.*

GALENI COMMENTARIUS.

NOn mirum si propter abundantiam inconcoctorum humorum ad hunc affectum quidam devenerunt.

Ex quo sub mortem horror & delirium.

HIPPOCRATIS TEXTUS LXIX.

H*Orrebant, & sub mortem delirabant.*

GALENI COMMENTARIUS.

CUm pravitas humorum ex putredine parta incresceret, horrore corripiebantur & delirio progressu temporis in quo etiam moriebantur.

Species pthisicorum in pestilenti statu publice apparentia, & de horum accidentium symptomatum temperamento.

HIPPOCRATIS TEXTUS LXX.

G*Enus erat tabidorum, glabrum, subalbum, pituitosum, subrubicundum, cæsium, leucophlegmaticæ, ac quibus scapulæ in morem alarum*

A ἡ ἀρχὴ τοῦ μετ' αὐτὸ φθινοπώρου, βλαβερωτάτη τοῖς φθινώδεσιν. αὐτὸς γὰρ ἔφη, πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοις, ὕδατα πολλά. τοῦ δὲ εἰς πολὺν χρόνον ἐκπεσεῖν, οὐ τὰς φθίσεις μόνον, ἀλλὰ καὶ τἆλλα νοσήματα, τὸ πάχος τῆς ὕλης αἰτιατέον τῆς οὐδὲν ἐχούσης, ὅσον ἐφ' ἑαυτῇ, δριμὺ καὶ θερμὸν, ἀλλ' ἐν τῷ χρόνῳ λαμβανούσης, ἐκ τῆς σήψεως. σαφέστατα δ' αὐτὸς ἐδήλωσε τοῦτο διὰ τῆς λέξεως, φάρυγγες οὐ λίην δακνώδεες, οὐδ' ἁλμυρώδεες, οὐδὲν ἠνώχλει, τὰ μέντοι γλίσχρα, καὶ λευκὰ, καὶ ὑγρὰ, καὶ ἀφρώδεα, ἀπὸ κεφαλῆς εἴη. τά γε
B μὴν ἄλλα πάντα τὰ κατὰ τὴν ῥῆσιν, δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν.

Πόθεν τὸ τοῦ σώματος κωματώδεος βάρος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξζ'.

Βάρος σώματος, κωματώδεες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Εἴρηται πολλάκις, ὡς νεκρουμένης βασταζούσης, καὶ κινούσης τὰ σώματα δυνάμεως, βαρέα φαίνεται, τὰ πρόσθεν ὑπ' αὐτῆς, ὡς κοῦφα, βασταζόμενά τε καὶ κινούμενα.

Τὰ ὑγρὰ ἄπεπτα τοῦ οἰδήματός τε, καὶ ὕδρωπος αἴτια εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξη'.

D Τοῖσι πλείστοισιν αὐτῶν οἰδήματα, καὶ εἰς ὕδρωπα περιίσταντο.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θαυμαστὸν οὐδὲν, εἰ διὰ τὴν τῶν ἀπέπτων ὑγρῶν περιουσίαν, εἰς τοῦτο τὸ πάθος ὑπηνέχθησάν τινες.

Ἐξ οὗ περὶ θάνατον ἡ φρίκη καὶ ὁ λῆρος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξθ'.

E Φρικώδεες, παράληροι περὶ θάνατον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς ἐκ τῆς διασήψεως κακοχυμίας αὐξανομένης, ἥ τε φρίκη καὶ ὁ λῆρος αὐτοῖς ἐγίγνετο, προσελθόντος τοῦ χρόνου καθ' ὃν ἤδη καὶ ἀπέθνησκον.

F Τὰ τῶν φθισικῶν εἴδεα τὰ ἐν τῇ λοιμώδει καταστάσει ἐπιδημείοντα, καὶ περὶ τούτων συμπτωμάτων τῶν κατὰ τὴν ἑκάστου κρᾶσιν γινομένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ο'.

Εἶδος δὲ τῶν φθινωδέων ἦν τὸ λεῖον, τὸ ὑπόλευκον, τὸ φλεγματῶδες, τὸ φακῶδες, τὸ ὑπέρυθρον, τὸ χαροπὸν, λευκοφλεγματίαι, πτερυγώδεες, καὶ γυναῖκες, οὕτω

τὸ μελαγχολικόν τε καὶ ὕφαιμον· οἱ καῦσοι, καὶ τὰ φρενιτικὰ, καὶ τὰ δυσεντεριώδεα τούτων ἥπτετο. τεινεσμοὶ νέοισι φλεγματώδεσι, μακραὶ διάῤῥοιαι, καὶ τὰ δριμέα διαχωρήματα, καὶ λιπαρὰ πικροχόλοισι.

A *prominebant, mulieresque. Itidem melancholicum genus & subsanguineum. Febres ardentes hos, & phrenitides, & dyssenteria tentabant: tenesmi juvenes pituitosos exercitabant: diuturna alvi profluvia, & acria excrementa, pinguiaque, biliosos.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑς ἰδέας τοῦ σώματος τῶν ἁλόντων τοῖς φθινώδεσι νοσήμασι διηγεῖται. τὸ μὲν οὖν λεῖον, ὅπερ ἐστὶν ἄτριχον, ἐνδείκνυται ψυχροτέραν εἶναι τῆς συμμέτρου τὴν κρᾶσιν, οὐκ ἐπὶ παιδίων, δηλονότι τοῦ λόγου γιγνομένου. ταῦτα γὰρ ἀεὶ θερμὰ διὰ τὴν ἡλικίαν, ἀλλ' ἐπὶ τῶν τελείων ὡς ἐν τοῖς περὶ κράσεως ἐδείκνυμεν. οὕτως δὲ καὶ ἡ λευκὴ χρόα, καὶ θαυμάζω διὰ τί προσέθηκε τὴν, ὑπὸ, πρόθεσιν, ὑπόλευκον εἰπών, ἐπὶ μὲν γὰρ τοῦ ἐρυθροῦ καλῶς εἴρηται, τὸ ὑπέρυθρον. ἔμαθες γὰρ ὅτι τὸ ἐρυθρὸν χρῶμα, θερμὴν κρᾶσιν ἐνδείκνυται. τὸ δ' ὑπέρυθρον, οὐχ ὁμοίως μὲν τῷ λευκῷ τὴν ψυχρὰν, οὐδέπω δ' οὐδ' αὖ τὴν θερμήν. οἱ δὲ λευκοφλεγματίαι πρόδηλοι δή που ψυχρᾶς κράσεως ὄντες, εἴ τι ἐπιμεμνήμεθα τῶν ἐν τοῖς περὶ κράσεως εἰρημένων. ἔστι δ' αὐτοῖς μαλακὴ καὶ ὑποιδής πως ἡ σὰρξ ἐγγὺς τῇ τῶν ἑαλωκότων ὑδέρῳ τῷ λευκῷ φλεγματίᾳ καλουμένῳ. οὗτοι μὲν οὖν ἅπαντες προδήλως εἰσὶ ψυχρᾶς κράσεως, οἱ φλεγματώδεις δ', ὡς ἔμαθες, κακόχυμοι. καὶ μὴν καὶ περὶ τῶν χαροπῶν, καὶ ὅλως περὶ τῶν κατὰ τοὺς ὀφθαλμοὺς χρωμάτων, ἔμαθες ἐν τοῖς περὶ κράσεως, ὡς οὐχ ἁπλῶς εἴη λαβεῖν ἐκ τοιούτου σημείου βέβαιον τεκμήριον κράσεως ὅλου τοῦ σώματος, ὅτι μὴ μόνων τῶν ὀφθαλμῶν, οὐδὲ τούτων ἐναργῶς ἐπὶ τῶν προειρημένων· πρῶτον μὲν γὰρ τοὺς χαροποὺς λεγομένους ὀφθαλμοὺς ὁποῖοί τινες εἰσὶν, ἐννοῆσαι χρὴ τῶν ὑπὸ τοῦ ποιητοῦ γεγραμμένων ἀναμνησθέντας, ἔνθα φησίν.

Ἄρκτοι τ', ἀγρότεροί τε σύες, χαροποί τε λέοντες.

Εἶτα θεασάμενον πολλοὺς λέοντας, οὕτω παραθέσθαι τῇ μνήμῃ τὸ χρῶμα τῶν ὀφθαλμῶν, ὡς ἐπ' ἀνθρώπων ἰδόντα, δύνασθαι ῥᾳδίως γνωρίσαι· κἄπειτ' ἐὰν φαίνωνται τοιοῦτοι καὶ τὴν κρᾶσιν, ὅσοι ἐπὶ τοῖς ὀφθαλμοῖς, θερμὴν καὶ ξηρὰν εἶναι φάναι· μάχεται δὲ τούτῳ κατὰ τὴν προκειμένην ῥῆσιν οὐκ ὀλίγα. πρῶτον μὲν γὰρ ἅμα τῇ ψυχροτέρᾳ κράσει, ἔταξε τὸ χαροπὸν, εἶθ' ἑξῆς ὠνόμασε τοὺς πικροχόλους ὡς ἑτέρους τούτων ὄντας, καίτοι φανερῶς οὗτοι θερμῆς καὶ ξηρᾶς κράσεως εἰσί. ἀλλὰ καὶ μέντοι καὶ τὰ γεγραμμένα πάθη μεθ' ὧν εἶπεν εἰδῶν τοῦ σώματος ἐνδείκνυται καὶ αὐτὰ, τοὺς μὲν πρώτους εἰρημένους ἅπαντας εἶναι ψυχροτέρους, τοὺς δ' ἐρυθροὺς, θερμοτέρους, τοὺς δὲ πικροχόλους ἱκανῶς θερμούς· φαίνεται γὰρ ἡ κατάστασις ἀθροίσασά τε πλῆθος ἐν τῷ σώματι, καὶ πληρώσασα τὴν κεφαλήν. καὶ τοῦτο μὲν κοινὸν ἁπάντων γενέσθαι τῶν νοσημάτων, ἀλλάξαι δὲ καθέκαστον ἰδίῳ νοσήματι κατὰ τὴν οἰκείαν φύσιν, ἄλλον ἄλλῳ, διαῤῥοίαις τε καὶ δριμέσι διαχωρήμασι, καὶ λιπαροῖς, τοὺς πικροχόλους. αὐτὸς γὰρ εἶπεν ἐν προγνωστικῷ, καὶ τὰς λιπαρότητάς τε τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας, μέμφεσθαι, συντήξεως γὰρ σημεῖον. οἱ μὲν οὖν πικρόχολοι συντηκτικοῖς πυρετοῖς εἰκότως ἑάλωσαν, ἠνοχλοῦντό τε τοῖς κατὰ τὴν γαστέρα διαχωρήμασιν. οἱ δ' ἐρυθροὶ, καὶ πρὸς μελαγχολίαν ἐπιτήδειοι, παχὺ καὶ θερμὸν ἔχοντες

GALENI COMMENTARIVS.

CORporis formas eorum, qui tabificis morbis corripiebantur, narrat. Glabrũ igitur Græcè λεῖον, quod est depile, indicat justo frigidius
B temperamentum. Nec hoc ad pueros refertur semper: sunt enim hi propter ætatem calidi; sed ad adultos, ut in Commentariis de temperamentis declaravimus. Itidem albus color: ubi quidem miror, quid propositionem, *sub*, addiderit, subalbum dicens. Nam in rubicundo rectè sanè dictum est subrubicundum. Didicisti namque rubentem colorem calidum denotare temperamentum; subrubrum non perinde ac album frigidum, non tamen etiam calidum. Qui verò alba pituita affluunt (quos Græci λευκοφλεγματίας appellant) si quam habe-
C mus traditorum in libris de temperamentis memoriam, citra controversiam sunt frigidi temperamenti. Est his molle corpus & tumidius quodam modo, propemodum ut aqua affectis inter cutem, quam Leucophlegmatiam appellant. Itaque omnes hi sunt planè frigidi temperamenti: pituitosi verò, ut audivisti, temperamenti malorum pleni humorum. Præterea de cæsiis, semelque de oculorum coloribus, in Commentariis de temperamentis didicisti, non esse existimandum pro certo ex tali signo de totius temperatura corporis, nisi solorum oculo-
D rum; sed neque quidem evidenter in prædictis. Nam primum oculos, qui χαροποὶ, hoc est cæsii vocantur, qui sint, considerandum, revocandumque ad memoriam, Poeta quæ scripsit, ubi ait,

Ἄρκτοι τ', ἀγρότεροί τε σύες, χαροποί τε λέοντες.

Id est,

Vrsique, agrestesque sues, charopique leones.

Deinde ubi videris multos leones, ita memoriæ color oculorum mandandus est, ut valeas, quum in hominibus conspiciatur, facilè agnoscere: quumque videantur illi tales esse, temperamentum quoque quod ad oculos
E attinet, calidum & siccum dices. At huic non parum multa in præsenti oratione repugnant. Primum enim cum frigidiore temperamento cæsium collocavit. Postea picrocholos, id est, biliosos appellavit, quasi ab his dissidentes; quum apertè sint hi temperamento calido & sicco. Immo verò ipsi morbi, quos descripsit à corporis formis, significant primo loco prolatos esse omnes frigidiores, rubicundos, cali-
F diores, biliosos, abunde calidos. Nam hæc tempestas in corpore videtur humores acervasse, & replesse caput, idque omnibus morbis commune fuisse; sed fuisse suo quemque morbo alium alio correptum pro sua cujusque natura. Alvi profluviis, acribus dejectionibus, pinguibusque biliosos. Nam ipse in Præsagiis dixit; Pinguedines innatantes similes aranearum telis, reprehendendas esse, indicant enim colliquationem. Quare biliosi merito in febres colliquativas inciderunt, offendebanturque alvi dejectionibus. Rubicundi vero & ad melancholiam appositi & crasso sanguine, calidoque præ-

diti, non injuriâ phrenitide sunt & febre ardente correpti, & etiam cruentis dysenteriis, ut par erat maximè. Duplices enim eas scimus esse intestinis exulceratione erosis, alteram differentiam: alteram, quum copiosus sanguis per venas, quæ ad intestina pertinent, evacuatur: quæ autem essent naturæ, vel calidiores tantùm vel frigidiores simul & humidiores, has par erat, utquæ nec facile febribus cedebant, nec biliosis affectibus in solas incidisse capitis destillationes, ideoque intabuisse. Quia vero scripsit Hippocrates: genus tabidorum erat glabrum, subalbum, pituitosum, subrubicundum, & sermoni etiam cæsios inseruit, dignum mihi hoc quæstione visum est. Consentaneum erat non cæsios, sed glaucos potiùs dicere, quia hi frigidi, illi humidi, alii pariter frigidi & humidi temperamenti esse videantur: quorum nihil cum præsente disputatione pugnat. Comparemus jam cum his infantes, Scythas, Gallos, & Germanos qui planè temperamento sunt humidiore, frigidiore vero non citra controversiam. Mihi igitur visum est operæpretium, ut de colore oculorum cæsiorum haberetur quæstio. Interpretes libri hujus Empirici quidem, unaque cum his Lycus, ut alia multa, sic hoc, missa causæ inquisitione, prætereunt: Hippocratici vero quidam, temperamenti esse calidi signum cæsium, quidam sicci dicunt. Sunt qui neutrum jam addant. Sabinus quidem hoc demum satis habuit dicere: Cæsium vero qui est valde siccum, opportunum est tabi, neque causam cur id scripserit, adducit: neque alia quibus hoc est adjunctum, esse omnia frigidioris temperamenti & humidioris signa. Num ergo pro glauco Hippocrates cæsium, falsus vocabulo scripsit? nam quid dicas aliud? Sed hoc in communi sit considerare propositum. Ad reliquam jam orationis partem accedamus. Nam in morbis tabificis unà cum prædictis, etiam πτερυγώδεις, id est, quibus scapulæ in modum alarum prominent, commemoravit; qui non propter temperamentum, sed propter vitiosam thoracis figuram, obnoxii tabi sunt. Probabile tamen est ejus figuram nativum calorem sequi. In fine, ubi de tabidis tractat, quando Hippocrates adjecit, & mulieres, animadvertendum est, utrùm hoc modo dixerit, quasi dicas, mulieres perinde ac viros tabe fuisse correptas, quæ erat eorundem generum; an, licet his votis carerent, frequentes tamen dicat in hunc affectum mulieres incidisse, quum humidiores sint, & frigidiores, ut qui affectus quosdam viros ex suo cujusque temperamento tentavit, ille idem permultas mulieres ex communi. Equidem utrunque censeo consentaneum esse. Nam est verisimile frequentiores viris mulieres, propter temperamentum suum commune, tabe captas esse; ac præ cæteris illas, quæ ejus erant generis, cujus recensuit viros. Quia vero subdit, melancholicum genus & subsanguineum, febribus ardentibus præcipuè fuisse & phrenitide affectum. Ad memoriam, quæ didicimus, revocemus. Quibus multus sanguis & calidus generatur, promptè ad melancholicorum humorum hos vitium devenire. Quare accipe non hos, qui atram jam multam bilem acervaverunt, sed qui ad generandum eam essent appositi; qui sanè, calidis ut arriperentur morbis, quod na-

A αἷμα, τοῖς φρενιτικοῖς τε καὶ καυσώδεσιν εἰκότως ἑάλωσαν νοσήμασι, καὶ δυσεντερίαις ταῖς αἱματηραῖς, ὡς εἰκὸς μάλιστα, μεμαθήκαμεν γὰρ ὅτι διτταί τινες εἰσίν. ἐξ ἑλκώσεως μὲν ἀναβρωθέντων τῶν ἐντέρων, ἑτέρα διαφορὰ, πολλοῦ δ' αἵματος ἐκκενουμένου διὰ τῶν εἰς ἔντερα καθηκουσῶν φλεβῶν, ἡ λοιπή. ὅσαι δὲ τῶν φύσεων ἤτοι θερμότεραι μόνον ἢ ψυχρότεραί τε ἅμα καὶ ὑγρότεραι, ταύτας εἰκὸς ἦν ὡς ἂν μήτε πυρετοῖς εὐαλώτους οὔσας, μήτε χολώδεσι παθήμασι, μόνοις τοῖς ἀπὸ κεφαλῆς ἁλῶναι ῥεύμασι, καὶ διὰ τοῦτο φθινωδῶς νοσῆσαι. B γεγραφότος δὲ τοῦ Ἱπποκράτους, εἶδος δὲ τῶν φθινωδέων ἦν τὸ λεῖον, τὸ ὑπόλευκον, τὸ φλεγματῶδες, τὸ ὑπέρυθρον, ἀναμίξαντος δὲ τῷ λόγῳ καὶ τοὺς χαροποὺς, ἄξιον ἔδοξέ μοι ζητήσεως εἶναι τὸ λελεγμένον. εὔλογον ἦν οὐ χαροποὺς, ἀλλὰ γλαυκοὺς μᾶλλον εἰρῆσθαι, δοκοῦντας εἶναι, τοὺς μὲν ψυχρᾶς, τοὺς δὲ ὑγρᾶς, τοὺς δ' ἅμα τε, ψυχρᾶς τε καὶ ὑγρᾶς κράσεως, ὧν οὐδὲν ἐναντιοῦται τῷ προκειμένῳ λόγῳ. παραθέντες γοῦν τά τε βρέφη, καὶ Σκύθας, καὶ Κελτοὺς καὶ Γερμανοὺς ὑγροτέρους μὲν ὄντας ὁμολογουμένως τῇ κράσει, ψυχροτέρους δ' οὐκέθ' ὁμολογουμένως. ἐμοὶ μὲν οὖν διὰ C ταῦτ' ἔδοξεν ἄξιον ζητήσεως τὸ περὶ τῶν χαροπῶν ὀφθαλμῶν χροιᾶς. τῶν δ' ἐξηγησαμένων τὸ βιβλίον, οἱ μὲν ἐμπειρικοὶ, καὶ σὺν αὐτοῖς δὲ ὁ Λύκος ὥσπερ ἄλλα πολλὰ, καὶ τοῦτο χωρὶς τοῦ ζητῆσαι τὴν αἰτίαν παριεῖσι. οἱ δ' Ἱπποκράτειοί τινες μὲν θερμῆς κράσεως εἰπόντες εἶναι γνώρισμα τὸ χαροπὸν, οἱ δὲ ξηρᾶς. εἰσὶ δ' οἱ καὶ ἀμφοτέρων, οὐδὲν ἔτι προστιθέασιν. ἤρκεσε γοῦν εἰπεῖν Σαβίνῳ τοῦτο μόνον, τὸ δὲ χαροπὸν πάνυ ξηρὸν ὂν, ἔχει ἐπικλινίαν πρὸς φθίσιν, οὔτε τὸν λογισμὸν εἰπόντι δι' ὃν τοῦτο ἔγραψεν, οὔθ' ὅτι τἄλλα, μεθ' ὧν γέγραπται τοῦτο, πάντ' ἐστὶ ψυχροτέρας τε καὶ ὑγροτέρας κράσεως γνωρίσματα. D μή τι οὖν ἀντὶ τοῦ γλαυκοῦ τὸ χαροπὸν ἔγραψεν ὁ Ἱπποκράτης παρενεχθεὶς ἐν τῇ προσηγορίᾳ. τί γὰρ ἂν ἄλλο τις εἴποι; τοῦτο μὲν οὖν ἐν κοινῷ προκείσθω σκοπεῖν. ἐπὶ δὲ τὰ κατὰ λοιπὰ τῆς ῥήσεως ἴωμεν. ἐν μὲν γὰρ τοῖς φθινώδεσι νοσήμασιν ἅμα τοῖς προειρημένοις, καὶ τοὺς πτερυγώδεις ἔγραψεν, οὐ διὰ τὴν κρᾶσιν, ἀλλὰ διὰ τὴν μοχθηρὰν διάθεσιν τοῦ θώρακος ἐπιτηδείως ἔχοντας εἰς φθίσιν ἐμπεσεῖν, ἐπειδὴ δ' εἰκός ἐστι καὶ τὴν διάπλασιν αὐτοῦ τῇ συμφύτῳ θερμότητι. κατὰ δὲ τὴν τελευτὴν τοῦ περὶ τῶν φθινωδῶν λόγου προσθέντος τοῦ Ἱπποκράτους, ἐπισκέψασθαι, καὶ γυναῖκες, οὕτως ἄξιον E πότερον οὑτωσί πως, εἶπεν, ὡς εἰ καί τις ἔφη, καὶ τὰς γυναῖκας ἁλῶναι τοῖς φθινώδεσι πάθεσιν ὁμοίως τοῖς ἀνδράσιν, ὅσαι τῶν αὐτῶν ἦσαν εἰδῶν, ἢ καὶ χωρὶς τοῦ ταῦτ' ἔχειν τὰ γνωρίσματα, πλεονάσαι φησὶ τὸ πάθος ταῖς γυναιξὶν, ὡς ἂν ὑγροτέραις τε καὶ ψυχροτέραις οὔσαις, ὥσπερ, ὅπερ ἐνίοις τῶν ἀνδρῶν διὰ τὴν ἰδίαν ἑκάστου κρᾶσιν ἐγένετο, τοῦτο πάνυ πολλαῖς τῶν γυναικῶν διὰ κοινήν. ἐμοὶ δ' οὖν ἑκάτερον δοκεῖ λόγον ἔχειν· πιθανὸν γάρ ἐστι πλείους τῶν ἀνδρῶν ἁλῶναι τὰς γυναῖκας τῷ φθινώδει πάθει, διὰ τὴν κοινὴν αὐτῶν κρᾶσιν. ἐξαιρέτως τε F παθεῖν αὐτὰς ὅσαι τοιοῦται τὸ εἶδος ἦσαν, οἵους κατέλεξε τοὺς ἄνδρας, ἐφεξῆς δ' εἰρηκότος αὐτοῦ, τὸ μελαγχολικὸν καὶ ὕφαιμον εἶδος ἁλῶναι μάλιστα καύσοις τε καὶ φρενίτισιν. ἀναμνησθῶμεν ὧν ἐμάθομεν, ὡς ἐν τοῖς αἷμα πολὺ καὶ θερμὸν γεννῶσιν, ἕτοιμόν ἐστιν εἰς μελαγχολικὴν ἀφικέσθαι κακοχυμίαν. ἄκουε τοίνυν, οὐ τῶν ἤδη τὴν μέλαιναν ἠθροικότων πολλὴν, ἀλλὰ τῶν ἐπιτηδείως ἐχόντων πρὸς τὴν γένεσιν αὐτῆς, εἰκότως δὲ τούτοις θερμοῖς ἁλῶναι συνέβη νοσήμασιν, ὡς ἂν

καὶ φύσει θερμοτέρους ὄντας. ἔμπροσθεν δ' εἰρηκὼς τοῖς φθινώδεσιν ἁλῶναι νοσήμασι τοὺς φλεγματώδεις, νῦν προσθεὶς τὸ τῆς ἡλικίας αὖθις, ἔφη, τεινεσμοὶ νέοισι φλεγματώδεσιν, ὡς οὐ μόνης τῆς φυσικῆς κράσεως γινομένης ἐπιτηδείου πρὸς τὸ ἐργάσασθαι τὸ τοῦ τεινεσμοῦ πάθος, ἀλλὰ καὶ τῆς ἡλικίας θερμῆς οὔσης, ἵνα διὰ δριμὺ καὶ σηπεδονῶδες φλέγμα, τὸν τεινεσμὸν γεγονέναι νοήσωμεν. τῇ γὰρ πρὸς τὸ ἀπευθυσμένον ἔντερον διεξόδῳ, τὸ τοιοῦτον φλέγμα βλάβην ἑλκώδη τοῦ μέρους ἐργαζόμενον, ἐπὶ τὴν ἀπόκρισιν ἠρέθιζε συνεχῶς τοὺς κάμνοντας. τάσεις δὲ καὶ προθυμίας ἀποκρίσεως σφοδροτέρας τῶν δυσεντερικῶν οἱ τεινεσμώδεις ἴσχουσι διὰ τὸ δυσέκκριτον τοῦ φλέγματος, ἐμπλάττεται γὰρ τοῖς σώμασι παχὺ καὶ γλίσχρον ὄν, οὐχ ὥσπερ ξανθὴ χολὴ ταχέως διεξέρχεται. περὶ δὲ τῶν πικροχόλων φύσεων ἔμπροσθεν ἔλεγον, εὐλόγως αὐταῖς, δριμέα μὲν εἶναι τὰ διαχωρούμενα διὰ τὴν ὠχράν τε, καὶ ξανθήν, καὶ πικρὰν ὀνομαζομένην χολήν, λιπαρὰν δὲ σύντηξιν, ἐφ' οἷς διαχωρήμασι μακρὰς διαρροίας γενέσθαι, διὰ τὸ πλῆθος τῆς ἀθροισθείσης κακοχυμίας.

A tura essent calidiore merito factum est. Posteaquam autem supra dixit pituitosos esse tabificis captos morbis, nunc addita his ætate, dicit, tenesmi juvenes pituitosos exercitabant; nempe quod non tantum naturale temperamentum esset ad committendum tenesmum pronum; sed ætas quoque calida esset; ut ex acri & putredinosa pituita tenesmum intelligamus ortum. Siquidem meatum ad jejunum intestinum ea pituita exulcerans, ad excretionem assiduam ægros irritavit. Tensiones autem, & desidendi B cupiditatem tenesmo laborantes vehementiorem habent, quàm dysenterici, propterea quod ægrè pituita excerni potest; corporibus enim præ crassitie & viscositate inhærescit, non ut flava bilis, statim permeat. De naturis autem biliosis antè dicebam, merito illis acres dejectiones esse propter pallidam, flavam & amaram, quam vocant bilem; pingues vero propter colliquationem; quibus dejectionibus, ob collectorum copiam vitiosorum humorum, longa successisse profluvia ventris.

C

Η ἀμοιβαία τριῶν τῆς πονηρᾶς καταστάσεως ὡρῶν ἀναλογία.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οα'.

Ἦν δὲ πᾶσι τοῖς ὑπογεγραμμένοις χαλεπώτατον μὲν τὸ ἔαρ, καὶ πλείστους ἀπέκτεινε. τὸ δὲ θέρος ῥήϊστον, καὶ ἐλάχιστοι ἀπώλλυντο· τοῦ δὲ φθινοπώρου, καὶ ὑπὸ πληϊάδα πάλιν ἔθνησκον οἱ πολλοὶ τεταρταῖοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Τῆς ἠθροισμένης κακοχυμίας εἰς τὸ βάθος τοῦ σώματος ἀπωσθείσης, ὑπὸ τῆς τοῦ περιέχοντος ψυχρότητος, ἣν ἔν τε τοῖς ὑστάτοις τοῦ χειμῶνος καὶ τοῖς πρώτοις τοῦ ἦρος εἶχεν, εἰκότως μάλιστα μὲν τοῖς φθινώδεσιν, ὡς ἔμπροσθεν εἶπεν, ἤδη δὲ καὶ τοῖς ἄλλοις συνέβη κατὰ τὸ ἔαρ ἀπόλλυσθαι, τοῦ δὲ θέρους αἰθρίου γενομένου, καὶ ξηροῦ, πάντας κουφισθῆναι, πάλιν δὲ περὶ ἀρκτοῦρον εἰς ὑγρότητα μεταβάλλοντος τοῦ περιέχοντος, εὐλόγως ἐν ὅλῳ τῷ φθινοπώρῳ μέχρι δύσεως πλειάδος ἀπέθνησκον πολλοὶ τεταρταῖοι, ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης καταστάσεως. E ἔνια μὲν τῶν ἀντιγράφων προσγεγραμμένα τὸ, τετάρτη, ἔνια δὲ τὸ, τεταρταῖοι. τὰ δὲ τούτων ἔτι παλαιότερα τὸ Δ'. γράμμα, ὃ μεῖζον τῶν ἄλλων γραμμάτων ἐστίν. ἔνια δ' οὐδ' ὅλως οὐδὲν ἔχει προσγεγραμμένον. ὅσοι μὲν οὖν μετὰ τοῦ ι'. γράφουσι τὸ τετάρτη, συνεμφαίνοντες αὐτὸ κατὰ δοτικὴν πτῶσιν εἰρῆσθαι, τοιαύτην τινὰ ποιοῦνται τὴν ἐξήγησιν, ἀπέθνησκον πολλοὶ τῇ δ'. τῶν ἡμερῶν. ὅσοι δὲ ἄνευ τοῦ ι'. προσγράφουσιν αὐτό, βούλονται παραπλησίαν εἶναι ταῖς ἔμπροσθεν εἰρημέναις ἐν τῷ α'. τῶν ἐπιδημιῶν βιβλίῳ καὶ δ'. ὑπάρχειν τὴν κατάστασιν ταύτην, συναριθμουμένων αὐτῇ δηλονότι τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ τριῶν F καταστάσεων. ἐν οἷς δ' ἀντιγράφοις ἀντὶ τοῦ τετάρτη, δ'. μόνον προσγέγραπται, ταὐτὸ μὲν σημαίνεται τῷ, τετάρτη. παραπλησίως δὲ τοῖς γραφεῖσιν ὑπὸ τοῦ Παμφίλου τοῦ Μνήμονος χαρακτῆρσι, καὶ αὐτὸ φαίνεται συμβολικῶς ἐπιτηδεύεσθαι, καὶ ταύτην γε μόνην τὴν γραφὴν ἴσασιν οἱ παλαιοὶ τῶν ἐξηγητῶν. ἔνιοι δὲ φυγεῖν ταῦτα βουλόμενοι, μεταγράψαντες ἐποίησαν τεταρταῖοι, τὴν λέξιν ὅλην οὕτως ἔχειν βουλόμενοι, καὶ ὑπὸ πλειάδα πάλιν ἔθνησκον πολλοὶ τεταρταῖοι.

Mutua trium malæ constitutionis horarum proportio.

HIPPOCRATIS TEXTUS LXXI.

Omnibus quos suprà descripsimus, ver erat infestissimum, plurimosque sustulit: æstas commodissima, paucissimique periere, autumno rursus & sub vergilias multi interierunt τεταρταῖοι.

GALENI COMMENTARIUS.

Vitioso humore qui collectus erat in corporis profunditate, retruso ab aeris frigore quo extrema hyeme, & ineunte vere erat infestus, haud injuriâ maximè quidem tabidis, ut antè dixit, & vero etiam aliis verè contigit perire; æstate quæ serena erat & sicca, omnes relevari; iterumque aere sub arcturum in humidum vertente, merito multi toto autumno usque ad occasum vergiliarum in fine præsentis status τεταρταῖοι, id est, quartani perierunt. Quædam exemplaria adscriptum habent τετάρτη, id est, quarto; alia τεταρταῖοι, id est, quartani; & quæ his sunt vetustiora, litteram Δ quæ aliis est major. Sunt quibus nihil est omnino ascriptum. Qui itaque quum ι scribunt τετάρτῃ, hoc est, quarto, quare dativo casu esse dictum judicent, hoc modo interpretantur, multi die quarto perierunt; qui sine ι esse id additum; similem esse hunc antè expositis in primo libro vulgarium morborum volunt, & quartum esse statum, commemoratis scilicet cum eo tribus illius libri statibus. At quibus in exemplaribus pro quarto, Δ tantum est ascriptum, idem significatur ac quarto: quod quidem non aliter atque notæ à Pamphilo Mnemone scriptæ, symbolicè videtur positum esse: atque hanc veteres unam lectionem agnoscunt. Quidam qui hæc deflectere studebant, commutatâ scripturâ fecerunt τεταρταῖοι, hoc est quartani: atque hanc esse totam orationem statuerunt. Autumno rursus & sub vergilias multi quartani interierunt. Itaque

A Itaque tantum legit in suis exemplaribus Capito: cui tamen subesse videtur mendacium, sive de ægrotantibus, sive de febribus accipias. Nam de ægrotantibus quidem prorsus est absurdum; neque enim probabile est, præsentem humoris statum adeo esse consecutos acutos morbos, ut quarto die perimerent ægros; de febribus vero verisimile erat, tum quoniam deustam diuturnitate crassam materiam probabile erat in melancholicum transisse excrementum; tum quod anni erat tempus autumnus.
B A febribus tamen vigentibus quartanis, non perissent multi; securam etenim scimus esse per se hanc febrem, ut de ea Hippocrates dixit.

A καὶ ὅγε Καπίτων ταύτην μόνην ἐν τοῖς ἰδίοις ἀντιγράφοις ἐποιήσατο τὴν γραφήν. ἔοικε δὲ ψευδές τι δηλοῦν, ἄν τ' ἐπὶ τῶν νοσούντων, ἄν τ' ἐπὶ τῶν πυρετῶν ἀκούῃ τις. τὸ μὲν οὖν ἐπὶ τῶν νοσούντων ἄντικρυς ἀπίθανον. οὐ γὰρ εἰκὸς ἦν ἐπὶ τῇ προκειμένῃ διαθέσει τῶν χυμῶν, οὕτως ὀξείας γενέσθαι τὰς νόσους, ὡς τεταρταίους ἀποθνήσκειν τοὺς νοσοῦντας. τὸ δ' ἐπὶ τῶν πυρετῶν, πιθανὸν, ὅτι τε πολλῷ χρόνῳ κατοπτημένης τῆς παχείας ὕλης, εἰκὸς ἦν εἰς μελαγχολικὸν περίττωμα μετάπτωσιν γενέσθαι, καὶ ὅτι τοῦ ἔτους ἡ ὥρα φθινόπωρον ἦν. ἀλλ'
B οὐκ ἂν ἀπέθνησκον πολλοὶ τεταρταίων πυρετῶν πλεοναζόντων· καὶ γὰρ ἡμεῖς ἀκίνδυνον ἴσμεν, ὅσον ἐφ' ἑαυτῷ, τὸν πυρετὸν τοῦτον ὡς ὁ Ἱπποκράτης ἀπεφήνατο περὶ αὐτοῦ.

DE IIS QUÆ AD EXITUM libri sunt adscripta.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΕΛΕΙ τοῦ βιβλίου γεγραμμένων.

C Primum quidem docet morbos unius anni horæ, alia diversa curari. Deinde Medicum consulit diligenter eorundem morborum statum indagare, ne in arte vacillet.

C Πρῶτον μὲν τὰ νοσήματα μιᾶς ἐνιαυτοῦ ὥρας τῇ ἄλλῃ ὥρᾳ ἀντικειμένῃ θεραπεύεσθαι διδάσκει. Εἶτα δὲ τὴν ὡρῶν ἐνιαυτοῦ καὶ νοσημάτων αὐτῶν κατάστασιν τὸν ἰατρὸν καταμανθάνειν ἀκριβῶς καὶ εἰδέναι συμβουλεύει, ὡς μὴ ἐν τῇ τέχνῃ σφάλληται.

A Pestilente tempestate sedecim narrat ægros ad finem usque libri. Inde sunt adscripta quædam, de quibus videtur rectè Dioscorides statuere, qui vult ea statim tempestati subtexta; huncque illis libri locum in sua editione attribuit. Itaque ea hîc nos exponemus,
D si priùs hoc tantùm dixerimus, quod videtur mihi hæc quoque alius adscripsisse, non ipse scripsisse Hippocrates; Verum illa mihi æstas videtur secundùm rationem profuisse. Nam æstivos morbos hyems succedens solvit; hyemales æstas insequens transmutat. Quanquàm ista per se æstas haud stabilis fuit; sed subito calida austrina, & à ventis silens evasit, profuit tamen ad aliam tempestatem transmutata. Enimvero revocemus ad memoriam quæ de æstate in narranda tempestate scripsit in hæc verba, æstas serena erat & calida, magni erant æstus; etesiæ parvi dispersim spiraverunt. Quare par erat mo-
E deratiores æstate morbos esse, ex humorum, ut dictum est, ortos exuperantia, qui ineunte vere, potissimum prodierunt. Quia illud frigidum humores in altum corporis repulerat: jam æstas quæ illud squalida & calida excepit, simul & ad cutem malum traxit humorem, & digessit ejus portionem non paucam. Quo tempore si Etesiæ spirassent, morborum humani corporis statum omnem abstersissent. Quia vero ejus supererat pars, moxque sub Arcturum,
F flante Borea multum pluebat, humores qui nimis per cutem manabant, rursus impediti sunt & in profundum corpus impulsi. Hinc de integro ægrotare, multique mori cœperunt. Hac ergo de causa ægrotantibus id temporis, æstas nonnihil profuit: non quia morbos qui hyeme cœperunt, cessare sit probabile æstate. Tametsi ita se habeat res, ut qui hyeme emerserint, æstate profligentur: & quos produxit æstas hyeme. Æstivi siquidem & hye-

ΜΕτὰ τὴν λοιμώδη κατάστασιν ἀρρώστων ἐστὶν ἑκκαιδέκα διήγησις ἄχρι τοῦ τέλους τῆς βίβλου. κἄπειτα προσγέγραπταί τινα περὶ ὧν ὀρθῶς μοι δοκεῖ γινώσκειν ὁ Διοσκορίδης, ἀξιῶν αὐτὰ μετὰ τὴν κατάστασιν εὐθέως γεγράφθαι· καὶ κατά γε τὴν ἰδίαν ἔκδοσιν ἐν τούτῳ τῷ χωρίῳ τοῦ συγ-
D γράμματος ἔταξεν αὐτὰ, καὶ ἡμεῖς οὖν ἐνταῦθα τὴν ἐξήγησιν αὐτῶν ποιησόμεθα, τοσοῦτον προειπόντες, ὡς φαίνεταί μοι καὶ ταῦτα προσγεγραφέναι τις ἕτερος, οὐκ αὐτὸς ὁ Ἱπποκράτης γεγραφέναι. δοκεῖ δέ μοι κατὰ λόγον προσωφελῆσαι τὸ γενόμενον θέρος. τὰς γὰρ θερινὰς νόσους χειμὼν ἐπιστὰς λύει, καὶ τὰς χειμερινὰς θέρος ἐπιγινόμενον. θέρος δὲ οὐκ εὐσταθῶς ἐγένετο· καὶ γὰρ ἐξαίφνης θερμὸν καὶ νότιον, καὶ ἄπνουν, ἀλλ' ὅμως πρὸς τὴν ἄλλην κατάστασιν ἀναλλάξαι ὠφελῆσαι. ἀναμνησθῶμεν δὲ ἃ περὶ τοῦ θέρους ἐν τῇ τῆς καταστάσεως διηγήσει γέγραπται κατὰ λέξιν ὧδε. θέρος αἴθριον, θερμὸν, πνίγεα με-
E γάλα, ἐτήσιαι μικραὶ, διεσπασμένως ἔπνευσαν. εἰκότως οὖν ἐμετρίασεν ἐν τῷ θέρει τὰ νοσήματα, κατὰ πλεονεξίαν τῶν, ὡς εἴρηται, γενομένων χυμῶν, συστάντα δ' ἐν ἀρχῇ μάλιστα τοῦ ἦρος, ἐπεὶ ψυχρὸν γενόμενον ἀπέστρεψεν εἰς τὸ βάθος τοῦ σώματος τοὺς χυμούς. αὐχμηρὸν γὰρ καὶ θερμὸν τὸ θέρος ἐπιγενόμενον, εἵλκυσέ τε ἅμα πρὸς τὸ δέρμα τὴν κακοχυμίαν, καίτοι καὶ διεφόρησεν αὐτῆς οὐκ ὀλίγον. εἰ δὲ καὶ τοὺς ἐτησίους ἐφήκει πνέοντας, ἀκριβῶς ἂν ἡ νοσώδης ἐν τῷ σώματι τῶν τότε ἀνθρώπων διάθεσις ἐξεκέκοπτο. παραμενόντος δ' αὐτῆς μέρους τινὸς,
F εἶτα περὶ ἀρκτοῦρον ἐν βορείοις πολλῶν ὑδάτων γενομένων, ἐπεσχέθησάν τε πάλιν οἱ λίαν διαπνεόμενοι χυμοὶ, καὶ πρὸς τὸ βάθος τοῦ σώματος ἀπεώσθησαν, ἐκ τούτου δὲ νοσεῖν αὖθις ἤρξαντο, καὶ ἀπέθνησκον πολλοί. διὰ τοῦτ' οὖν, τὸ θέρος ὠφέλησέ τι τοὺς τότε κάμνοντας, οὐχ ὅτι τὰς ἐν χειμῶνι νόσους ἀρξαμένας εἰκός ἐστι παύεσθαι θέρους. ἀληθὲς μὲν γὰρ, ὥσπερ γε καὶ τὰς θερινὰς χειμῶνι γενομένας, ἐν θέρει λύεσθαι, τὰς δ' ἐν θέρει γεννηθείσας, ἐν χειμῶνι. θερινὰς γὰρ καὶ

A χειμερινὰς νόσους ἀκούειν σε χρὴ τὰς ἐν τῷ κατὰ φύσιν ἔχοντι θέρει καὶ χειμῶνι, μᾶλλον τῶν ἄλλων γιγνομένας· οὕτως γὰρ εἶπεν αὐτὸς ἐν ἀφορισμοῖς· νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι, καὶ γίγνεται, καὶ παροξύνεται, μᾶλλον δὲ ἔνια κατ' ἐνίας αὐτῶν καὶ γίνεται, καὶ παροξύνεται. κἄπειθ' ἑξῆς, τίνα μὲν ἦρι πλεονάζει νοσήματα, τίνα δ' ἐν θέρει, καὶ φθινοπώρῳ, καὶ χειμῶνι, διῆλθεν, ὅταν δηλονότι μὴ νεωτεροποιηθῇ τι κατὰ τὴν τοῦ περιέχοντος κρᾶσιν· ὡς ἐάν γε τοῦ ἦρος τῆς αὐτῆς ἡμέρης ὅτε μὲν θάλπος, ὅτε δὲ ψῦχος ποιέῃ, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαί φησιν· οὐ γὰρ αἱ προσηγορίαι τῶν ὡρῶν, B ἀλλ' αἱ κράσεις αἴτιαι τῆς ἰδέας τῶν νοσημάτων εἰσίν· ὅταν οὖν ὑπαλλαχθῶσιν αὗται, καὶ τὰς νόσους αὐταῖς συμμεταβάλλειν ἀναγκαῖόν ἐστιν. ἡ δέ γε προκειμένη ῥῆσις, ἀξιοῖ τὰς ἐν χειμῶνι γεγενημένας νόσους, ἐν θέρει παύεσθαι, κἂν μοχθηρὸν τῇ κράσει γένηται τὸ θέρος. οἷον ἐν Κρανῶνι γενόμενόν ποτε, εὐθέως ἄνθρακας ἐγέννησεν. εἰ δέ γε καὶ νῦν ἐγεγόνει τοιοῦτον, πλείστους ἂν διεφθάρκει τὸ πλῆθος τῶν μοχθηρῶν τε καὶ διασηπομένων χυμῶν, αὐξηθέντων τε καὶ προσδιασαπέντων, ὥστε καὶ ψεῦδος εἶναι φαίνεται, καὶ παρὰ τὴν Ἱπποκράτους γνώμην, τὸ τὰς ἐν χειμῶνι γενομένας νόσους ἐν θέρει παύεσθαι πάντως, τοῦ C προσγράψαντος αὐτὸ, τίνας Ἱπποκράτης ἡγεῖται τῶν ὡρῶν ἑκάστης οἰκείας νόσους νοσήσοντας. οὐ μὴν οὐδὲ τὰ τούτων ἐφεξῆς γεγραμμένα τῶν ἀναγκαίων ἐστὶν ἐνταυθοῖ λελέχθαι δι' ἄλλων αὐτῷ καθόλου προηγγελμένα, διὸ καὶ παραλείψω τελέως αὐτά. καὶ γὰρ σαφῆ πάντα ἐστὶ, καὶ δι' ὧν προεξήγημαι βιβλίων, αὐτάρκως εἴρηται περὶ αὐτῶν.

A males morbi intelligendi sunt, qui æstate quæ in natura sua constat, & hyeme, præ cæteris existunt. Ita enim in Aphorismis Hippocrates dixit. At orbi omnibus omnes temporibus anni & existunt & exacerbantur. Sunt tamen, qui certis anni temporibus præcipuè emergant, exacerbenturque. Sub hæc quæ vere regnant ægritudines, quæ æstate & autumno, hyemeque recensuit: nimirum ubi nihil aëris temperamento innovetur. Nam si vere eodem die modo calor, modo algor intendatur, morbos ait autumnales impendere. Neque enim B temporum anni nomina, cæterum temperamenta, certas morborum formas committunt, quæ ubi varient, non possunt non una secum morbos commutare. Jam vero proposita oratio morbos vult qui hyeme extiterunt, æstate repelli, vel si vitioso sit æstas temperamento: cujusmodi quum aliquando in Cranone fuisset, carbunculos statim excitavit, qualis si in præsenti esset, plurimos malorum succorum & putrescentium abundantia aucta & jam putrefacta, peremisset. Quamobrem mendacium esse apparet, & præter Hippocratis mentem, hyemales morbos prorsus æstate discuti; quum qui C hoc proposuit, nesciverit quosnam morbos ducat Hippocrates singulis anni temporibus esse proprios. Nec vero etiam est necesse, quæ post hæc deinceps ab ipso scripta sunt, hoc loco referre, quum alibi ab ipso in universum tradita sint. Quare illa omnino præteribo. Plana namque sunt omnia & in libris quos antehac enarravi, abunde de his disputavi.

ΠΕΡΙ ΤΩΝ ΜΕΤΑ ΤΗΝ καταστασιν ἀρρώστων ἑκκαίδεκα. D

Ἑκκαίδεκα μετὰ τὴν κατάστασιν ἀρρώστους ἔγραψεν ὁ Ἱπποκράτης, ὡς μέν τινες οἴονται τὴν ἐν αὐτῇ νοσησάντων, ἐπειδὴ καὶ αὐτὸς εἶπεν ἐπὶ τῇ τελευτῇ τῆς διηγήσεως τῶν κατ' αὐτὴν γενομένων, οὕτως. ἦν δὲ πᾶσι τοῖς ὑπογεγραμμένοις χαλεπώτατον μὲν τὸ ἔαρ. ἐγχωρεῖ δὲ καὶ ἐπὶ τῶν προγεγραμμένων εἰρῆσθαι τὸ ὑπογεγραμμένον, οὔσης γε τοιαύτης χρήσεως παρὰ τοῖς πολλοῖς. ἐν γὰρ τοῖς ιε'. τούτοις E ἀρρώστοις ἕτερον εἶδός ἐστι νόσων παρὰ τὰς εἰρημένας ὑπ' αὐτοῦ κατὰ τὴν λοιμώδη κατάστασιν. ἐξηγήσεως δ' οὐκ ἔτι δεῖται μακρᾶς τὰ περὶ τῶν ἀρρώστων τούτων γεγραμμένα, τοῖς μεμνημένοις ὧν προεξηγησάμεθα. σχεδὸν γὰρ ἁπάντων ἤδη τῶν συμπτωμάτων τε καὶ σημείων ὧν ἐμνημόνευσεν ὁ Ἱπποκράτης οὐδὲν ὑπολείπεται κατὰ τοὺς λεχθησομένους ἀρρώστους ὃ μὴ καὶ πρόσθεν εἴρηται. διὰ κεφαλαίων οὖν οἷον ἐπιδρομήν τινα ποιούμεθα τῶν κατ' αὐτοὺς γεγραμμένων, εἴ πού τι παρεμπίπτοι τῶν ἔμπροσθεν οὐκ εἰρημένων, ἐκεῖνο μόνον ἐξεργασόμενοι. F

DE ÆGRIS POST TEMPESTATEM.

Sedecim post tempestatem ægros descripsit Hippocrates, qui, ut quidam censent, in ea laboraverunt: quando ipse ubi finem facit de iis quæ tum acciderant, narrandi, sic dixit, omnibus τοῖς ὑπογεγραμμένοις ver erat infestissimum. Potest tamen de supra descriptis dictum esse verbum hoc ὑπογεγραμμένοι: qui usus E apud multos est. Nam sedecim hos ægros aliud tenebat morborum genus, ac commemoratos ab eo in tempestate pestilenti. Verùm quæ de his ægris prodidit, non fusam jam requirunt interpretationem, si memoria, quæ antè exposuimus, teneas. Nam omnium prope symptomatum & signorum, quorum Hippocrates meminit in ægris, de quibus verba fient, reliquum, quod non sit ante dictum, est nullum. Itaque summatim percurremus ea, quæ in his sunt scripta: sicubi quid se offerat, quod F antea non habuimus, illud solum elaboraturi.

Parius continua & acuta febre correptus multis & variis symptomatibus hîc descriptis multum divexatus centesimovigesimo die mortuus est: nunc maximè agitur de urina oleaginosa, & biliosis dejectionibus.

A Ὁ Παρίων τῷ ὀξεῖ συνεχεῖ καὶ καυσώδει πυρετῷ ἐπιληφθεὶς, τοῖς πολλοῖς καὶ ποικίλοις συμπτώμασιν ἐνταῦθα γεγραμμένοις ἐπὶ πολὺ δεδονημένος τῇ ἑκατοστῇ εἰκοστῇ ἡμέρᾳ ἀπέθανεν. Νῦν μάλιστα λέγεται περὶ τοῦ ἐλαιώδους οὔρου καὶ τῶν διαχωρημάτων χολωδῶν.

ÆGROTUS PRIMUS.

HIPPOCRATIS TEXTUS LXXII.

IN Thaso Parium quendam, qui supra Dianæ ædem decumbebat, febris corripuit acuta, primò continua & ardens, in principio sitibundus erat, & comatosus, rursusque insomnis. Inter initia venter turbatus, urinæ albæ. Die sexto erat oleosa urina, dejectiones biliosæ, pingues; deliravit. Septima omnia exacerbata fuerunt, nihil dormivit, cæterum similes erant urinæ, & mens perturbata, ab alvo item biliosa, pinguiaque reddidit. Inde die octavo parum ex naribus stillavit, vomuit virulenta pauca, parum dormivit. Nono nihil est mutatum. Decimo cuncta fuerunt remissiora. Undecimo sudavit, at non toto corpore; circumfrixit, statimque recaluit. Duodecimo febris acuta; dejectiones biliosæ, tenues, multæ; urina suspensionem habebat, deliravit. Septimodecimo graviter laborauit; neque enim vel somni vel febris producebatur. Vigesimo undique sudavit, insomnis, dejectiones biliosæ, à cibo abhorrebat, comatosus erat. Quarto & vigesimo recidiua. Trigesimoquarto febre liber alvus non subsistit, atque calor rediit. Quadragesimo febre liber, alvus spatio parvo non subsistit, à cibo abhorrebat; rursusque levior, rursus statim repetebat; ferculis etiam multis, vitiosisque utebatur. Circa recidivas somni mali, deliravit; urinasque tum reddidit crassas illas quidem, cæterum turbatas & malas; alvus astricta, rursusque laxata; febriculæ continuæ; dejectiones multæ, tenues. Centesimo vigesimo die obiit. Erat huic alvus continenter ab initio ad finem usque lubrica, excrevitque biliosa, humida multa; cum subsisteret fervida, & inconcocta; urinæ perpetuo malæ, comatosus plurimum erat, cum doloribus insomnis erat, à cibo abhorrebat. Continenter ardente febre laborabat.

ΑΡΡΩΣΤΟΣ α'.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οβ'.

B ΕΝ Θάσῳ, τὸν Πάριον, ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, πυρετὸς ἔλαβεν ὀξὺς, κατ' ἀρχὰς συνεχὴς, καυσώδης, διψώδης, ἀρχόμενος κωματώδης, καὶ αὖθις ἄγρυπνος, κοιλίη ταραχώδης ἐν ἀρχῇσιν, οὖρα λευκά. ἕκτῃ οὔρησεν ἐλαιώδεα, παρέκρουσεν. ἑβδόμῃ παρωξύνθη πάντα, οὐδὲν ἐκοιμήθη, ἀλλ' οὖρά τε ὅμοια, καὶ τὰ τῆς γνώμης ταραχώδεα, ἀπὸ δὲ κοιλίης χολώδεα, λιπαρὰ διῆλθεν. εἶτα τῇ ὀγδόῃ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν, ἤμεσεν ἰώδεα, ὀλίγα, σμικρὰ ἐκοιμήθη. ἐνάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ πάντα ξυνέδωκεν, C ἑνδεκάτῃ ἵδρωσεν οὐ δι' ὅλου. περιέψυξε μὲν, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. δωδεκάτῃ πυρετὸς ὀξὺς, διαχωρήματα χολώδεα, λεπτὰ, πολλὰ, οὔροισιν ἐναιώρημα, παρέκρουσεν. ἑπτακαιδεκάτῃ, ἐπιπόνως, οὔτε γὰρ ὕπνοι, ὅ, τε πυρετὸς ἐπέτεινεν. ὁ' ἐπίχλιειν εἰκοστῇ ἵδρωσεν δι' ὅλου, ἄγρυπνος, διαχωρήματα χολώδεα, ἀπόσιτος, κωματώδης. εἰκοστῇ τετάρτῃ ὑπέστρεψεν. τριακοστῇ τετάρτῃ ἄπυρος, κοιλίη οὐ ξυνίστατο, καὶ πάλιν ἀνεθερμάνθη. τεσσαρακοστῇ ἄπυρος, κοιλίη ξυνέστη χρόνον οὐ συχνὸν, ἀπόσιτος, σμικρὰ πάλιν ἐπύρεξε, καὶ διὰ D παντὸς πεπλανημένως, ἄπυρος, τὰ μὲν, τὰ δ' οὔ. εἰ γάρ τι διαλείποι, καὶ διακουφίσειεν, αὐτίκα ὑπέστρεφεν, σιτίοισί τε πολλοῖσι καὶ φαύλοισι προσεχρῆτο. ὕπνοι κακοὶ περὶ τὰς ὑποστροφὰς, παρέκρουσεν, οὖρα πάχος μὲν ἔχοντα, οὖρει τηνικαῦτα ταραχώδεα δὲ, καὶ πονηρά. καὶ κατὰ κοιλίην συνιστάμενα, καὶ πάλιν διαλυόμενα, πυρέτια ξυνεχέα, διαχωρήματα πολλὰ, λεπτά. ἐν μὲν τῇ ἑκατοστῇ εἰκοστῇ ἡμέρῃ ἀπέθανεν. τούτῳ κοιλίη συνεχέως ἀπὸ τῆς πρώτης, ὑγρὴ χολώδεσιν, ὑγροῖσι, πολλοῖσιν ἦν. ἡ ξυνισταμένη ἐν ζέουσι καὶ E ἀπέπτοισιν, οὖρα διὰ τέλεος κακὰ, κωματώδης τὰ πλεῖστα μετὰ πόνων, ἄγρυπνος, ἀπόσιτος, συνεχέως καῦσος.

GALENI COMMENTARIUS.

CUriosè & hoc in loco rursus Interpretum quidam aiunt, ægri patriam non esse temerè adjectam. Etenim dictum esse ab Asclepiade, Parios maximum consequi à sanguinis missione emolumentum. Absurdum vero sit, quoniam nihil hic de sanguinis missione dixit Hippocrates: ideo ægro putare patriæ adscriptum esse nomen. Multo jam faciunt absurdiùs hi Interpretes, qui nunquam investigaverunt, cur in tanto numero ægrotorum semel Hippocrates sanguinis missionem meminerit, quod nos sumus commentati. Quare istis repudiatis, quæ juvenum interest audivisse, hæc referemus. Verbi gratiâ, quod de urina scripsit oleosa in præsente ægro, sexto die: Nam quidam pinguem urinam ita censuit ab eo dictam esse, quæ liquescente pinguedine

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕριέργως κἀνταῦθα πάλιν, τῶν ἐξηγητῶν ἔνιοι τὴν πατρίδα τοῦ κατακειμένου φασὶν οὐκ ἀργῶς προσκεῖσθαι, καὶ γὰρ ὑπ' Ἀσκληπιάδου λέγεσθαι τοὺς ἐν Παρίῳ μάλιστα ὑπὸ φλεβοτομίας ὀνίνασθαι. ἄτοπον δ' ἐστὶ μηδὲν εἰρηκότα Ἱπποκράτην ἐνταῦθα περὶ φλεβοτομίας, διὰ τοῦθ' ἡγεῖσθαι, προσγεγράφθαι τῷ κάμνοντι τὸ τῆς πατρίδος F ὄνομα. πολὺ δ' ἀτοπώτερον οἱ οὕτως ἐξηγούμενοι ποιοῦσιν, ὅτι μηδ' ἐζήτησαν ποτε, διὰ τί φλεβοτομίας ἅπαξ ὁ Ἱπποκράτης ἐμνημόνευσεν ἐν τοσούτοις ἀρρώστοις, ὅπερ ἡμεῖς ἐσκεψάμεθα. τὰ μὲν οὖν τοιαῦτα παραλείψομεν, ἃ δ' ὠφέλειαν παρέξει τοῖς νέοις ἀκουσθέντα, ταῦτ' ἐροῦμεν. ὥσπερ ἀμέλει τὸ περὶ τοῦ ἐλαιώδους οὔρου γεγραμμένον κατὰ τὸν προκείμενον ἄρρωστον ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν. ἔνιοι μὲν γὰρ ἡγοῦνται τὸ λιπαρὸν οὕτως ὑπ' αὐτοῦ λέγεσθαι, τηκομένης

πιμελῆς γιγνόμενον ἐν πυρώδει καὶ διακαεῖ νοσήματι, τινὲς δὲ τὸ, A καὶ τῇ χροιᾷ, καὶ τῇ συστάσει παραπλήσιον ἐλαίῳ, πολλάκις δὲ τοιοῦτον οὖρον ἐθεασάμην οὐρηθὲν ἐπ' οὐδενὶ κακῷ τοῦ κάμνοντος, ἀλλ' ἔσθ' ὅτε γε τοὐναντίον ἅπαν, ἐπὶ πέψει τοῦ νοσήματος. οὐ μὴν οὐδ' ὤφθη ποτ' οὖρον ὅλον οὕτω λιπαρὸν ὡς ἔλαιον. ὃ γὰρ ἄρτι διῆλθεν, οὖρον ἐοικὸς ἐλαίῳ κατὰ χροιὰν καὶ σύστασιν, ἥκιστα λιπαρὸν φαίνεται, καὶ αὐτὸς δὲ ὁ Ἱπποκράτης ἐν προγνωστικῷ φησί. καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας ἐπισκέπτεσθαι, συντήξεως γὰρ σημεῖον. ἄνωθεν μὲν οὖν ἐφισταμένας λιπαρότητας εἴδομεν πολλάκις, B οὔτε δι' ὅλου οὐρηθὲν ποτε τοιοῦτον οὖρον, οὔτε κατὰ τὸ μέσον αὐτὸ λιπαρότητας ἐμφερομένας, πολὺ δέ τι μᾶλλον, οὐδ' ὑποχωρούσας κάτω· φύσιν γὰρ ἔχει τὸ λιπαρὸν ἅπαν ἐποχεῖσθαι τοῖς ἄλλοις ὑγροῖς. οὐ μὴν οὐδ' ἔγραψέ τι περὶ τοιούτων οὔρων ὁ Ἱπποκράτης ἐν προγνωστικῷ, καί τοι τὰ ὅλα διῆλθεν ἀκριβῶς τε καὶ σαφῶς τὰ συνεμπίπτοντα τοῖς ὀξέσι νοσήμασι· καὶ μέν τοι καὶ κατὰ τὴν αὐτὴν ἡμέραν τὴν ς'. ἔφη διαχωρήματα γενέσθαι τῷ προκειμένῳ κατὰ λόγον ἀῤῥώστῳ, χολώδεα λιπαρά. ταῦτα μὲν οὖν ἄντικρυς φαίνεται τηκο- C μένης ὑπὸ τοῦ πυρετοῦ τῆς πιμελῆς γίνεσθαι, καὶ δόξει μαρτυρεῖν τοῖς λιπαρὰ νομίζουσιν εἶναι τὰ ἐλαιώδη οὖρα. δύναται δὲ καὶ πρὸς τοὐναντίον ἄγεσθαι· καὶ γὰρ τὰ οὖρα λιπαρὰ πάντως ἂν ὁ Ἱπποκράτης εἶπεν, εἴπερ ἦν, καὶ ταῦτα ἐλαίῳ παραπλήσια. διαφόροις δὲ τοῖς ὀνόμασι χρησάμενος, ἐπί τε τῶν οὔρων καὶ τῶν διαχωρημάτων, ἐπιδείκνυσθαι δόξει, καὶ τὸ σημαινόμενον αὐτῶν ἴδιον ἑκατέρου πεποιῆσθαι. ἐμοὶ μὲν οὖν εὐλογώτερον εἶναι δοκεῖ τὰ παραπλήσια κατὰ χροιάν τε καὶ σύστασιν ἐλαίῳ λέγεσθαι νῦν ἐλαιώδη. τὴν δ' ἐξήγησιν ἑκατέρως ποιήσομαι. εἰ γὰρ καὶ λιπαρότητά τινα εἶχε τὰ οὖρα, καθά- D περ καὶ τὰ διαχωρήματα, μοχθηρὰ μὲν αὐτὰ νομιστέον, οὐ μὴν ὀλέθριά γε πάντως, ὅτι μὴ ταὐτόν ἐστι σάρκα τε καὶ πιμελὴν συντήκεσθαι. πυρωδεστάτης μὲν οὔσης θερμασίας τῆς τὰς σάρκας συντηκούσης, μετριωτέρας δὲ τῆς τὴν πιμελήν, ἀμέλει καὶ τὰς διὰ τῆς γαστρὸς ἐκκρινομένας συντήξεις, ἅπαντες οἱ ἰατροὶ διαφέρειν ἡγοῦνται τῶν λιπαρῶν διαχωρημάτων. κατά γε τὸν ἐφ' ἡμῶν γενόμενον μακρότατον λοιμὸν, ἅπαντες σχεδόν τι συντήξεις ἐξέκρινον. ἔνιοι μὲν ἀκριβῶς πυῤῥάς, ἔνιοι δὲ, μετρίως, ἅπαντες δὲ δυσώδεις. ἀλλ' αἵ γε τοιαῦται διαχωρήσεις θανατώδεις εἰσὶ, καὶ χρόνον E οὐκ ἀναμένουσιν. ὁ δὲ Πάριος οὗτος κ'. ἐπὶ τῶν ἑκατὸν ἡμέραις ἐνόσησε μετὰ τοῦ διαιτᾶσθαι κακῶς. αὐτὸς γὰρ ὁ Ἱπποκράτης ἔγραψεν ἐπ' αὐτοῦ, σιτίοισί τε πολλοῖσι καὶ φαύλοισι προσεχρῆτο, ὥστε καὶ λιπαρὸν οὐρῆσαι κατὰ τὴν ς'. ἡμέραν καὶ τὰς ἐφεξῆς. οὐκ ἀναγκαῖον οὖν ἀποθανεῖν αὐτὸν ἐν τάχει. εἰ δ' οὐ λιπαρὸν ἦν τὸ οὖρον, ἀλλὰ κατά τε χρόαν καὶ πάχος ἐλαίῳ παραπλήσιον, ἔτι καὶ μᾶλλον οὔτ' ἀποθανεῖν αὐτὸν ὅλως εὔλογον, ὅσον ἐπὶ τοῖσδε τοῖς οὔροις. ὅ γε μὴν ἐπὶ τοῖς οὕτως οὐρουμένοις παρεφύλαξα χρησιμώτατον ὂν, ἤδη φράσω. καθάπερ γὰρ αὐτὸ τὸ ἔλαιον οὐκ ἀκριβῶς, μίαν οὔτε σύστα- F σιν, οὔτε χρόαν ἔχει, κατὰ τὸν αὐτὸν τρόπον, οὔτε τὸ ἐλαιῶδες οὖρον ὠχρὸν μὲν ἦν πάντως, ἀλλ' ἤτοι μᾶλλον, ἢ ἧττον. ὅσον μὲν οὖν αὐτοῦ πρὸς τὸ λευκότερον ῥέπει χρῶμα τῆς ὠχρᾶς χρόας ἐκλελυμένης, ὠμότητα χυμῶν ἐνδείκνυται. τὸ δ' ἐπιτεταμένον ὠχρὸν, ὡς ἐγγὺς εἶναι τοῦ ξανθοῦ χολώδη θερμασίαν· καὶ τίνι ὁ κίνδυνος ἐπὶ τοῖς τοιούτοις οὔροις, οὐ διὰ κακοήθειαν, ἀλλὰ διὰ σφοδρότητα γίνε-

per morbum fervidum, & adurentem fit: nonnulli colore & crassamento olei similem. Equidem talem sæpè urinam nullo ægri detrimento redditam conspexi, immo verò interim planè è contrario, ex morbi concoctione. Haud tamen est ita visa prorsus, ut oleum pinguis urina. Nam ea quam modo narravi, urina, oleum & colore & crassamento repræsentans, minimè pinguis videtur. Et ipse autem in Præsagiis Hippocrates dicit; Pinguitudines telis aranearum similes innatantes esse considerandas, nam colliquationis sunt signa. Nos vero pinguitudines fluitantes vidimus frequenter, verùm nunquam excretam talem prorsus urinam, neque in medio pinguia pendere, quo minus subsidere; nam ita est comparatum natura omne pingue ut reliquis humoribus invehatur. Ac ne in Præsagiis quidem Hippocrates verbum de his urinis fecit, quamvis omnia sit, quæ in acutos morbos cadunt, sedulò & apertè persecutus. Jam etiam die eodem sexto ægrum dicit, de quo loco agimus, biliosa atque pinguia dejecisse; quę videntur apertè liquanti pinguedinem febri esse consequentia. Atque videbitur iis, qui pinguem putant esse urinam oleosam, suffragari: Potest autem ad contrarium etiam referri. Nam omnino Hippocrates urinas pingues diceret, siquidem hæ quoque oleo similes sunt. Jam cum diversa in urinis, & excrementis nomina usurpaverit, innuere videbitur, & suam utrisque significationem illum tribuisse. Mihi ergo probabilius videtur, urinas olei referentes colorem & crassitiem, hîc oleosas dici. Eplanationem vero utroque modo faciam. Etenim si pinguitudinem quandam habuissent urinæ, quemadmodum & dejectiones, sint illæ censendæ quidem pravæ, at non omnino exitiales tamen; quod non perinde sit carnem colliquescere, ac adipem. Nam calor est ferventissimus, qui carnem fundit; moderatior, qui pinguedinem; nempe & colliquationes quæ per ventrem excernuntur, putant omnes Medici, à pinguibus dejectionibus distare. In peste quidem longissima nostræ ætatis, colliquationes cuncti prope excreverunt, quidam mere fulvas, quidam moderatius, omnes certè putidas. Verumenimvero eæ excretiones lethales sunt, nec tempus perferunt. Parius autem hic viginti dies ultra centum ægrotavit, idque quum malam haberet rationem victus. Nam ipse de eo Hippocrates scripsit: Et ferculis etiam multis, vitiatisque utebatur, quo est factum, ut pinguem urinam redderet die sexto & proximis. Non erat ergo eum cito mori necesse. Quod si non fuit pinguis urina, sed olei colore & crassitie assimilis, ut ab urina omnino erat etiam probabilius hominem non moriturum. Sed quod in ejusmodi observavi urinis, rem multò utilissimam, jam proferam. Nam ut non est ipsum oleum exquisitè unius neque coloris, neque crassitudinis, sic nec oleosa urina; pallida quidem omnino existens, sed aut plus aut minus. Quidquid igitur ipsius ad candidiorem tendit colorem, exoluto colore pallido, humorum denotat cruditatem: quod vero vehementer pallidum est, ut ad flavum accedat, biliosum calorem. Periculum igitur his urinis non ob malignitatem subest, sed ob vim

febris. Eorum aliqui si reliqua sunt cuncta salubria judicantur. Nihil habet ergo admirationis, si in talibus urinis quis longo tempore morbum traxerit, utro modo oleosas accipias. Non enim sunt illæ quidem salubres urinæ, non tamen magnopere perniciosæ. Porro ex iis, quæ in exitu scripsit historiæ, pravitas humorum quædam tenebat Parium biliosa & ventris, jecinorisque extinguebatur facultas. Nam ubi finem imponit his narrandis, quæ illi acciderunt, scripsit, perpetuo usque ab initio turbatam alvum fuisse dejectionibus biliosis & humidis: interim etiam suppressam fuisse, ferventibus, inconcoctisque dejectis. Hinc tibi humorum qui morbum induxerunt, liquet vitium. Itidem ex eo qui toto fere morbo comatosus fuit & insomnis. Jam quod extinguebatur naturalis facultas, ejus signum proprium est ipsa quæ in morbo evenit, inappetentia. Neque enim latet Hippocratem ἀποσίτους more antiquorum Græcorum, eos qui appetentia carent, appellare. Atqui videtur imbecilla fuisse natura, quæ judicium sæpe moliretur, nihil tamen proficeret, sed morbo esset inferior: huc accessit malus hominis victus, qui quidem non leve affert ad exitium momentum. At vero dierum decretariorum ratio exactè & hic observata videtur. Omnes enim decretorii motus & recidivæ in hosce dies ægro inciderunt. Etenim undecimi meminit, & quartidecimi, à quo decimi & septimi, postea vigesimi, & vigesimiquarti & trigesimiquarti, atque quadragesimi postremi omnium centesimi vigesimi, quo defunctum esse hominem ait. Quod vero dixi antè, non prætereibo hîc. Si quis errores Interpretum hujus libri refutet, in crimen incidet loquacitatis. Itaque ut illic quædam sum exempli gratia referre compulsus, ita hoc loco faciam. Sabinus ergo quid de ægri patria attulit, supra indicavi. Quæ vero de oleosa ille urina, hoc loco commemorabo: non parum enim refert hujusce rei consideratio. Itaque de ea in hæc » verba scribit; Oleosum igitur sunt qui bilem » dicant esse, verùm non est bilis, quando » quidem non ita esset perniciosum: nam » bilis frequenter exit, neque offendit quic» quam. Alii nervorum, ossium, & cartilagi» num dicunt liquationem esse, hujus enim » coloris hæc omnia esse. Sed falluntur ii, » qui colorem oleosum ossibus ferunt, & car» tilaginibus nervisque esse similem, neque » etiam tanta fuisset vitæ protractio solidis par» tibus marcescentibus. Vigesimo enim die » supra centesimum vita excessit, neque periit » quisquam, tali urina reddita. An verò pro» pterea potiùs hic est æger descriptus, ut » ideo ostendat, oleosa reddita urina nullam » esse mortis expectationem, sed aliquandiu su» stinere potuisse acuitatem, deinde mortuum » esse, itaque salutis spem fuisse nullam supe» rata morbi acuitate. Hîc prædictis Sabinus » mox adjungit. Quid est ergo oleosum? Ut » oleum ignem externum alit, ita nostræ natu» ræ quæ assimilis est igni, alimentum est co» ctorum ciborum adeps. Proinde oleosa uri» na nutrimentum est naturæ, ostenditque » naturam cibum non sentire, ideoque jam » interiisse, quia non nutritur natura. Lon-

A ται τοῦ πυρετοῦ· καί τινες αὐτῶν ὅταν ἐκ τῶν ἄλλων ἀποδόντων ἔχωσι σωτηρίας, ἐν τάχει κρίνονται. θαυμαστὸν οὖν οὐδὲν, εἰ ταῦτά τις οὐρήσας, εἰς χρόνου μῆκος ἐξέπεσεν, ὁποτέρως ἂν ἀκούσωμεν τῶν ἐλαιωδῶν. ἔστι μὲν γὰρ οὐκ ἀγαθὰ τὰ τοιαῦτα τῶν οὔρων, οὐ μὴν ὀλέθρια ὀξέως. ἐξ ὧν δ᾽ ἐπὶ τῷ τέλει τῆς διηγήσεως ἔγραψε, κακοχυμία τέ τις ἦν τῷ Παρίῳ χολώδης, ἥ τε κατὰ γαστέρα καὶ ἡ καθ᾽ ἧπαρ ἐξεκρούετο δύναμις. αὐτὸς γὰρ ἔγραψεν ἐπὶ τῇ τελευτῇ τῆς ὅλης διηγήσεως τῶν συμβαινόντων

B αὐτῷ, συνεχῶς μὲν ἀπὸ τῆς ἀρχῆς τὴν κοιλίαν ἐκταραχθῆναι, χολώδεσί τε καὶ ὑγροτέροις διαχωρήμασι, συνίστασθαι δ᾽ ἐνίοτε, ζέοντα καὶ ἄπεπτα διαχωρεῖσθαι. ἐκ τούτων μὲν οὖν ἔδειξέ σοι τῆς κακοχυμίας τοῦ νοσήματος, ὥσπερ γε κἀκ τοῦ καυματώδη τε καὶ ἄγρυπνον αὐτὸν γενέσθαι κατὰ πλεῖστα τῆς νόσου. τοῦ δὲ νεκροῦσθαι τὴν φυσικὴν δύναμιν αὐτοῦ σημεῖον ἴδιον, ἡ τοῦ νοσήματος ἀνορεξία γινομένη. μεμαθήκαμεν γὰρ ὡς ἀποσίτους καὶ κατὰ τὸ παλαιὸν ἔθος τῶν Ἑλλήνων τοὺς ἀνορέκτους φησί. φαίνεται γε μὴν ἄρρωστον ἐσχηκέναι τὴν φύσιν, ἐγχειρήσασαν μὲν τῇ κρί-

C σει, πολλάκις δὲ οὐδὲν ἀνύσασαν, ἀλλ᾽ ὑπὸ τοῦ νοσήματος νικηθεῖσαν, ἅμα καὶ τῷ κακῶς διαιτᾶσθαι τὸν ἄνθρωπον. οὐδὲν γὰρ οὐδὲ τοῦτο μικρὸν εἰς ὄλεθρον. ὁ δὲ τῶν κρισίμων ἡμερῶν λόγος ἀκριβῶς κἀνταῦθα φαίνεται πεφυλαγμένος, ἁπασῶν τῶν κριτικῶν κινήσεων ἐπί τε τῶν ὑποστροφῶν ἐν ταύταις ταῖς ἡμέραις τῷ κάμνοντι γινομένων. ια´. γὰρ ἐμνημόνευσε καὶ ιδ´. καὶ μετὰ ταύτην ιζ´. καὶ κ´. εἶτα ἡ. δ´. καὶ κ´. καὶ λ´. καὶ μ´, ὑστάτης δὲ ἁπασῶν ρ´. καὶ κ´. ἐν ᾗ φησὶν ἀποθανεῖν τὸν ἄνθρωπον. ὅπερ δ᾽ ἐν τοῖς ἔμπροσθεν

D εἶπον ἐρῶ καὶ νῦν, εἴ τις ἐλέγχοι τὰ εἰρημένα κακῶς τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὡς μακρολόγος ψεχθήσεται. δεῖ καθάπερ ἐπ᾽ ἐκείνων ἕνεκα παραδείγματος μνημονεύειν τινῶν ἠναγκάσθην, οὕτω κἀνταῦθα ποιήσω. Σαβῖνος τοίνυν περὶ τῆς πατρίδος τοῦ κάμνοντος εἴ τι εἶπεν, ἔμπροσθεν ἐπισημηνάμην. ἃ δὲ περὶ ἐλαιώδους οὔρου νῦν ἐρῶ. διαφέρει γὰρ οὐκ εἰς μικρὸν ἡ περὶ τούτου θεωρία, γράφει δὴ περὶ αὐτῶν κατὰ λέξιν ὧδε. τὸ οὖν ἐλαιῶδές τινες χολὴν λέγουσιν, ἀλλ᾽ οὐκ ἔστι χολή. ἐπεὶ οὐδ᾽ ἂν πάνυ ἦν ὀλέθριον, πολλάκις γὰρ ἀπαλλάσσεται χο-

E λὴ, καὶ οὐδὲν παραλυπεῖ. ἕτεροι δὲ λέγουσι νεύρων καὶ ὀστῶν καὶ χόνδρων εἶναι τηκεδόνα, ἅπαντα γὰρ ταῦτα τούτου εἶναι τοῦ χρώματος. πεπλανημένοι δ᾽ εἰσὶν οὗτοι, οἳ τὸ χρῶμα τὸ ἐλαιῶδες ὅμοιον ὀστοῖς, καὶ χόνδροις, καὶ νεύροις φάσκοντες εἶναι. οὔτε γὰρ τοσαύτη γε παράτασις ἐγίνετο τῆς ζωῆς τῶν στερεῶν ἀναλυομένων, ἑκατοστῇ γὰρ καὶ κ´. ἀπέθανε, οὔτε ἀπέθανέν τις τοιοῦτον οὐρήσας· καὶ μήποτε διὰ τοῦτο ἀνεγράφη ὁ ἄρρωστος, ἵνα δείξῃ διὰ τοῦτο, ὅτι οὐ χρὴ προσδοκᾶν θάνατον ἐλαιώδους

F ἀπορηθέντος, ἀλλὰ δυνατὸν, τὴν ὀξύτητα καὶ χρόνον τινὰ διαρκέσαι, ἔπειτα τελευτῆσαι, ὥστε οὐδεὶς ἦν ἐλπὶς σωθήσεσθαι ὑπερβεβηκότα τὴν ὀξύτητα. ταῦτα προειπὼν ὁ Σαβῖνος, ἐφεξῆς γράφει. τί οὖν ἐστι τὸ ἐλαιῶδες, ὥσπερ τῷ ἔξω πυρὶ τροφή ἐστι τὸ ἔλαιον, οὕτω καὶ τῇ ἡμετέρᾳ φύσει πυρὶ ὁμοιουμένῃ τὸ στέαρ τῶν λαμβανομένων πεσσομένων ἐστὶ τροφή. τὸ οὖν ἐλαιῶδες οὖρον, ἡ τροφή ἐστι τῆς φύσεως· καὶ δηλοῖ ἀσιτεῖν τὴν φύσιν, καὶ διὰ τοῦτ᾽ ἄρ᾽ ἀποθανεῖν, ὅτι μὴ τρέφεται ἡ φύσις. ἐχρῆ-

πισε δ' οὕτως εἰκότως, διὰ τὸ μοῖραν, καὶ μὴ πᾶσαν φέρεσθαι τῆς φύσεως τροφήν. αὕτη μὲν οὖν ἡ τοῦ Σαβίνου ῥῆσις, ἀξιοῦντος ὥσπερ τὸ ἐκτὸς τοῦτο πῦρ ἀπὸ τοῦ ἐλαίου τρέφεται, οὕτω καὶ τὸ ἐν ἡμῖν θερμὸν ὡς ἔλαιον ἐστί ποτε τοῖς βουλομένοις ἑαυτοὺς ἀναθρέψαι, πρὸς δὲ καὶ κατὰ χρόαν μὲν καὶ σύστασιν ἐοικέναι τὸ ἐλαιῶδες οὖρον τῷ ἐλαίῳ, μήτε δὲ κατὰ τὴν λιπαρότητα, μήτε κατὰ τὴν ὀσμὴν ἢ τὴν γεῦσιν. ἄξιον οὖν θαυμάσαι τῶν τὰ ἀλλότρια μὲν κακῶς ἐξελεγχόντων, ἀπερισκέπτως δὲ τὰ δόξαντα ἑαυτοῖς γραφόντων.

A gus vero hic morbus jure erat, quod pars tantum detraheretur, non universum naturæ alimentum. Hæc verba sunt Sabini, cujus est« sententia. Quemadmodum externus hic ignis oleo nutritur, sic insitum nobis calidum: itaque aliquando oleum est iis ex usu, qui corpus recuperare volunt: Ad hæc, ut colore & crassitie sit similis oleosa urina oleo, non pinguitudine tamen, vel olfactu, vel gustu. Quare mireris sane, hos, qui quum aliena malè reprehendant, sua placita nullo judicio literis pro-
B dunt.

Ἡ τῆς παιδοτόκου ἱστορία, τῆς παρὰ τὸ ψυχρὸν ὕδωρ κατακειμένης, ἣν τρίτη ἐκ τόκου θυγατέρα τεκοῦσαν καθάρσεως οὐ γινομένης πυρετὸς ὀξὺς, φρικώδης τριταία ἔλαβεν. ὃν αὐτὴ πολλοῖς συμπτώμασιν ἑπόμενον μέχρι τῆς ὀγδοηκοστῆς ἡμέρας ᾗ ἀπέθανε παρειλώεσκε.

Mulieris historia, quæ postquam filiam peperisset, & apud frigidam aquam ægrotaret, tertio à partu die non bene purgata febre acuta horrida est correpta; quæ multis symptomatibus auctu usque ad octogesimum quo mortua est perduraverit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ ξβ'.

ΑΡΡΩΣΤΟΣ β'.

ΕΝ Θάσῳ, τὴν κατακειμένην παρὰ τὸ ψυχρὸν ὕδωρ, ἐκ τοῦ τόκου, θυγατέρα τεκοῦσαν, καθάρσιος οὐ γινομένης, πυρετὸς ὀξὺς, φρικώδης, τριταίην ἔλαβε. ἐκ χρόνου δὲ πολλοῦ πρὸ τοῦ τόκου πυρετώδης ἦν, κατακλινὴς, ἀπόσιτος. μετὰ δὲ τὸ γινόμενον ῥῖγος, ξυνεχέες, ὀξέες, φρικώδεες οἱ πυρετοί. ὀγδόῃ πολλὰ παρέκρουσε, καὶ τὰς ἐχομένας καὶ ταχὺ πάλιν κατενόει, κοιλίη ταραχώδης πολλοῖσι λεπτοῖσιν, ὑδατοχόλοις, ἄδιψος. ἑνδεκάτῃ κατενόει, κωματώδης δὲ ἦν, οὖρα πολλὰ, λεπτὰ, καὶ μέλανα, ἄγρυπνος. εἰκοστῇ σμικρὰ περιέψυξε, καὶ ταχὺ πάλιν ἀνεθερμάνθη. μικρὰ παρέλεγεν, ἄγρυπνος, τὰ κάτω κοιλίης ἐπὶ τῶν αὐτῶν, οὖρα ὑδατώδεα, πολλὰ, εἰκοστῇ ἑβδόμῃ ἄπυρος, κοιλίη ξυνέστη. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἰσχίου δεξιοῦ ὀδύνη ἰσχυρὴ, χρόνον πολὺν, πυρετοὶ πάλιν παρείποντο, καὶ οὖρα ὑδατώδεα. τεσσαρακοστῇ τὰ μὲν περὶ τὸ ἰσχίον ἐπεκούφισεν. βῆχες δὲ ξυνεχέες, ὑγραὶ, πολλαὶ, κοιλίη ξυνέστη, ἀπόσιτος, οὖρα ἐπὶ τῶν αὐτῶν. οἱ δὲ πυρετοὶ τὸ μὲν ὅλον οὐκ ἐλλείποντες, πεπλανημένως δὲ παροξυνόμενοι, τὰ μὲν, τὰ δ' οὔ. ἑξηκοστῇ αἱ μὲν βῆχες ἀσήμως ἐξέλιπον. οὔτε γὰρ τις πτυέλων πεπασμὸς ἐγένετο, οὔτε ἄλλη τῶν εἰθισμένων ἀπόστασις. σιαγὼν δὲ ἡ ἐκ τῶν ἐπὶ δεξιὰ, κατεσπάσθη, κωματώδης, παρέλεγε πάλιν, καὶ ταχὺ κατενόει. πρὸς δὲ τὰ γεύματα ἀπονενοημένως εἶχεν ἡ σιαγὼν μὲν ἐπανῆκεν, ἡ κοιλίη δὲ χολώδεα σμικρὰ διέδωκεν, ἐπύρεσεν ὀξυτέρως, φρικώδης, καὶ τὰς ἐχομένας, ἄφωνος· καὶ πάλιν κατενόει, καὶ διελέγετο, καὶ ὀγδοηκοστῇ ἀπέθανε. ταύτῃ τὰ τῶν οὔρων διὰ τέλεος ἦν μέλανα, καὶ λεπτὰ, καὶ ὑδατώδεα, καὶ κῶμα παρείπετο, ἄσιτος, ἄθυμος, ἄγρυπνος, ὀργαὶ, δυσφορίαι, τὰ περὶ τὴν γνώμην μελαγχολικά.

HIPPOCRATIS TEXTUS LXII.

C ÆGROTUS SECUNDUS.

Mulier quædam quæ apud frigidam aquam in Thaso ægrotabat, postquam filiam peperisset, nec esse purgata, tertio à partu die febre correpta est, acuta, horrida. Multo tamen ante partum febriculosa decubuerat, cibumque fastidierat. Vt riguisset; febres fuerunt continuæ, acutæ, horridæ. Die octavo, proximisque diebus multum deliravit, rediitque statim ad mentem, alvus turbata multis tenuibus & aquosa bile mistis, non sitiebat. Vndecimo mentis erat compos; sed erat, comatosa; urinæ multæ, te-
D *nues, & nigræ, insomnis erat. Vigesimo aliquantum circunfrixit, statimque recaluit, nonnihil delirabat, insomnis erat, alvus eadem erat: urinæ aquosæ, & multæ, malæ. Vigesimoseptimo febre vacabat, substitit alvus: non multo post dextra coxendix graviter diu doluit; febres rursus comitabantur, & urinæ aquosæ. Quadragesimo coxendicis dolor remissus fuit; tusses vero assiduæ, humidæ, multæ, alvus est repressa, cibum fastidiebat; in urinis nihil est innovatum: at vero febres omnino non intermittebant, erraticæ, nunc accedebant, nunc non. Sexagesimo tusses*
E *sine signis evanuerunt; neque ulla enim sputorum erat concoctio, nec alius consuetus abscessus; dextra maxilla detracta est, comatosa, iterum deliravit, statimque resipuit, sed ad cibos averso animo se habuit, maxilla ad locum suum rediit, alvus biliosa, pauca reddidit: acutius febricitavit, inhorruit sequentibusque diebus obmutuit, rediitque ad mentem, & est locuta. Octogesimo obiit; Vrinæ hujus perpetuo nigræ erant tenuesque, & aquosæ; comaque consequebatur; cibum non sumebat; animo erat dejecto, insomnis, iracunda,*
F *implacida, animo melancholico.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄξιον ἐπισημήνασθαι, πῶς οὐδὲν εἶπον οἱ περὶ τὸν Σαβῖνον περὶ τοῦ, παρὰ τὸ ψυχρὸν ὕδωρ, ἐνὸν αὐτοῖς εἰπεῖν ὅτι διὰ τοῦτο καταψυχθείσῃ τῇ γυναικὶ νοσῆσαι συνέβη. πολλῷ γὰρ ἦν τοῦτο πιθανώτερον τῶν εἰρημένων εἴς τε τὸν Πάριον, καὶ τὸν ἐν τῷ

GALENI COMMENTARIUS.

ANnotandum puto, quî factum sit, ut nihil de hoc, apud frigidam aquam, Sabinus dixerit: quum ille dicere posset, has de re mulierculam refrigeratam in valetudinem incurrisse. Nam hoc multo erat probabilius iis, quæ in Parium sunt dicta, & in eum qui

in horto decumbebat, & qui prope ædem Dianæ, eumque qui propter nouum murum habitabat. Itaque videbitur, suppressa è partu purgatione, incidisse mulier in morbum, quippe menstruorum suppressio offendit, tamen non perinde ut si partu supprimantur, officit quod non abundantiam modo, sed insignem etiam humorum pariat pravitatem. Nam meliorem sanguinem ad se fœtus nutrimenti causâ alliciens, relinquensque deteriorem, causa est ut prægnantes pravis humoribus impleantur, quos à partu evacuat natura. Quod quum majores animadvertissent, λοχίων κένωσιν, id est puerperarum à partu vacuationem, excretionem sanguinis vocitaverunt. Est vero etiam menstrua vacuatio, non solùm vacuatio, sed purgatio: verùm non est æquabilis tamen multitudo vitiosorum humorum, neque pari spatio menstruis circuitibus congeritur, quanta dum partum gerit. In universum vero melancholicus apparet sanguis, quem à puerperio evacuant. Proinde etiam conspiciuntur urinæ omnibus infectæ esse, ut si fuligo quæpiam in eas incidisset. Quod utique Hippocrates & de hac scripsit muliere: undecimo die, dicens, urinæ multæ, tenues, nigræ. Equidem quandam novi quam talibus urinis magna copia evacuatis, auxilium percepit. Alias non est huic talis evacuata, nam in aquosa conversæ sunt ei urinæ multæ, tenues, nigræ. Quare in vigesimi diei scriptum est narratione, urinæ aquosæ, multæ, malæ, postea quadragesimo die in urinis nihil est innovatum. Quin nec aliam est illa vacuationem consecuta, nec abscessum. Itaque postquam diu laborasset, octogesimo die obiit. Nam ipse sic Hippocrates scripsit. Neque enim illa sputorum erat concoctio: nec alius solitus abscessus; licet studeret illico natura redundantiam ad coxendicem deponere, sed hæc videtur reciprocata; nam ille dicit, quadragesimo coxendicis dolor remissus est; tusses vero assiduæ, humidæ. Enimvero sæpius jam audivimus, quod thoraci consortium cum genitalibus sit. Habes eorum quæ huic mulieri acciderunt capita. De iis vero, quæ in proposita oratione sunt separatim scripta, alvi excrementa ὑδατόχολα, quidam per χ & λ scribuntur, quidam per χ & λ; atque illa esse quidem tenuia, ut aqua est (nam tenue utrunque nomen indicat) cæterum colore diverso; ὑδατόχλοα τῆς χλόης, id est graminis, reddere colorem, ὑδατόχολα τῆς χολῆς, id est bilis. Jam tertia etiam scriptura est per χ & ρ ὕδατος χρόα, id est, æquæ color, quæ nec in antiquis, & fidelibus exemplaribus, reperitur, estque planè mendosa. Nam aquosæ urinæ ex nominis argumento & materiam repræsentant tenuem, & colorem album. Porro in historia hujus ægræ Hippocrates est affectata quadam abusus dictione; alioqui clarissimè hoc libro omnia locutus. Scripsit ergo dictionem in hunc modum, πρὸς δὲ τὰ γεύματα ἀπονενοημένως εἶχεν, hoc est, sed ad cibos averso animo se habuit maximo appetitus defectu, & eorum odio ex voce una indicato; quod signum esse pravum frequenter est dictum. Operæpretium est autem mirari, cur nihil Sabinus de notis cuique ægro subditis dixerit: de quibus quia

A κήπῳ κατακείμενον παρὰ τῷ Ἀρτεμισίῳ, καὶ τὴν παρὰ τῷ τείχει κατοικοῦσαν. φαίνεται δ' οὖν ἐπισχεθείσης τῆς κατὰ τὸν τόκον καθάρσεως ἄρξασθαι τῇ γυναικὶ καὶ ἡ νόσος, νοσώδης μὲν γὰρ καὶ ἡ τῶν καταμηνίων ἐπίσχεσις· ἀλλ' οὐχ ὁμοίως βλαβερὰ τῇ μετὰ τὸν τόκον, ὅτι μὴ μόνον αὕτη πλῆθος, ἀλλὰ καὶ κακοχυμίαν ἱκανὴν ἐργάζεται· τὸ μὲν γὰρ χρηστότερον αἷμα τὸ ἔμβρυον ἕλκει εἰς ἑαυτὸ τροφῆς ἕνεκα, καταλείπει δὲ τὸ φαυλότερον, αἴτιον γίγνεται τῆς κακοχυμίας ταῖς κυούσαις, ἣν μετὰ τὸν τόκον ἡ φύ-
B σις ἐκκενοῖ· καὶ τοῦτ' ἐννοήσαντες οἱ παλαιοὶ, λοχίων κένωσιν, τὴν γινομένην μετὰ τὸν τόκον ἔκκρισιν τοῦ αἵματος, προσηγόρευσαν. ἔστι μὲν οὖν καὶ ἡ κατὰ μῆνα κένωσις οὐ μόνον κένωσις, ἀλλὰ καὶ κάθαρσις, οὐ μὴν οὔτ' ἴσον τὸ πλῆθος τῆς κακοχυμίας, οὔτ' ἐν ἴσῳ χρόνῳ ταῖς μηνιαίαις ἀθροίζεται περιόδοις, ὅσον ἐν τῷ τῆς κυήσεως χρόνῳ· καὶ τοὐπίπαν δὲ μελαγχολικὸν αἷμα φαίνεται τὸ κενούμενον αὐταῖς εἶναι μετὰ τὸν τόκον, ὥστε καὶ τὰ οὖρα πάσαις ὁρᾶται κεχρωσμένα, καθάπερ ἀσβόλης τινὸς ἐμπεπτωκυίας αὐτοῖς, ὅπερ ἀμέλει κἀπὶ ταύτης τῆς γυναικὸς
C ἔγραψεν ὁ Ἱπποκράτης ἐπὶ τῆς ια'. ἡμέρας εἰπών, οὖρα πολλὰ, λεπτὰ, μέλανα. καὶ οἶδά γέ τινα διὰ τοιούτων οὔρων πολλῶν ἐκκενωθέντων ὠφεληθεῖσαν, ἄλλο τι δὲ ταύτης οὐκ ἐξεκενώθη τὸ τοιοῦτον. μετέπεσε γὰρ αὖ αὖθις εἰς τὸ ὑδατῶδες τὰ οὖρα πολλὰ, λεπτὰ, μέλανα. γέγραπται οὖν ἐν τῇ τῆς κ'. ἡμέρας διηγήσει, οὖρα ὑδατώδεα, πολλὰ, κακά. εἶτα πάλιν ἐν τῇ μ'. οὖρα ἐπὶ τῶν αὐτῶν. οὐ μὴν οὐδὲ ἄλλη τις αὐτῇ κένωσις, ἢ ἀπόστασις ἐγένετο, καὶ διὰ τοῦτο χρόνῳ πολλῷ νοσήσασα, κατὰ τὴν ὀγδοηκοστὴν ἡμέραν ἀπέθανεν. αὐτὸς γοῦν ὁ Ἱπποκράτης ἔγραψεν οὕτω. οὔτε γὰρ πτυέλων τις πεπασμὸς ἐγένετο,
D οὔτ' ἄλλη τις τῶν εἰθισμένων ἀπόστασις, καίτοι πειραθείσης τῆς φύσεως εὐθέως τὸ περιττὸν ἀποθέσθαι περὶ τὸ ἰσχίον, ἀλλ' ἔοικε παλινδρομῆσαι. καὶ ταῦτά φησι γοῦν τεσσαρακοστῇ, τὰ μὲν περὶ τὸ ἰσχίον ἐκούφισε, βῆχες δὲ συνεχέες ὑγραί. πολλάκις δὲ ἀκηκόαμεν ἤδη περὶ τῆς κοινωνίας τοῦ θώρακος πρὸς τὰ γεννητικὰ μόρια. τὰ μὲν οὖν κεφάλαια τῶν συμβάντων αὐτῇ, ταῦτ' ἐστί. τῶν δὲ κατὰ μέρος ἐν τῇ προκειμένῃ ῥήσει γεγραμμένων, τὰ μὲν ὑδατόχολα διαχωρήματα, τινὲς μὲν διὰ τοῦ χ. καὶ λ. γράφουσιν. ἔνιοι δὲ διὰ τοῦ χ. καὶ ο. καὶ λ.
E καὶ λεπτὰ μὲν ὑπάρχειν αὐτὰ, καθάπερ καὶ τὸ ὕδωρ ἐστὶ λεπτὸν, ἐνδεικνυμένων ἀμφοτέρων τῶν ὀνομάτων, ὑπηλλαγμένα δὲ κατὰ τὴν χρόαν, τὰ μὲν ὑδατόχλοα τῆς χλόης ἐμφαίνειν αὐτὰ, τὰ δὲ ὑδατόχολα τῆς χολῆς. καὶ τρίτη δ' αὖ τις γραφὴ, διὰ τοῦ χ. καὶ ρ. ἡ ὕδατος χρόα, μήτ' ἐν τοῖς παλαιοῖς, μήτε ὅλως ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις εὑρισκομένη, φανερῶς τε οὖσα μοχθηρά. τὰ γὰρ ὑδατώδη τῶν οὔρων, ἐν αὐτῷ τῷ τοιαῦτα λέγεσθαι, καὶ τὴν σύ-
F στασιν ἐμφαίνει λεπτὴν καὶ τὴν χρόαν λευκήν. ἐχρήσατο δ' ἐν τῇ διηγήσει τῆς ἀρρώστου τῆσδε, κακοζήλῳ τινὶ λέξει ὁ Ἱπποκράτης· καίτοι ἅπαντα κατὰ τὸ βιβλίον ἡρμηνευκώς. γέγραπται δ' οὖν ἡ λέξις οὕτως. πρὸς δὲ τὰ γεύματα ἀπονενοημένως εἶχεν, ὑπερβολὴν ἀνορεξίας καὶ τὸ πρὸς αὐτὰ μῖσος ἐνδεικνυμένης τῆς φωνῆς, ὅπερ, ὅτι τῶν μοχθηρῶν ἐστι σημείων, εἴρηται πολλάκις. ἄξιον δὲ θαυμάσαι καὶ πῶς οὐδὲν εἶπον οἱ περὶ τὸν Σαβῖνον εἰς τοὺς προκειμένους χαρακτῆρας ἑκάστῳ τῶν ἀρρώστων, ὑπὲρ ὧν ἐγὼ μὲν

ἐκθέμενος ἐν τῷ β΄. τῶν ὑπομνημάτων λόγων, οὐκέτι δέομαι μνημονεύειν αὐτῶν. ὁ γε μὴν ἐφ' ἑκάστου τῶν ἀρρώστων παρεγχειρίζόμενος, ἐξελέγχειν πειρᾶσθαι τὴν μοχθηρίαν τῶν ἐξηγησαμένων αὐτάς.

A secundo commentario satis disputavi, nihil est etiam, quod hîc de eis faciam mentionem. Atqui ille in singulis ægris instituit, & detegere conatur Interpretum ineptias.

Ἡ Πυθίωνος ἐκ πόνων, καὶ κόπων, καὶ διαίτης ἀμελοῦς γενομένης περὶ ὀξὺ πυρετῷ κάμνοντος ἱστορία. ὃς τοῖς πλείστοις συμπτώμασι θανασίμοις, ἐνοχληθεὶς τῇ δεκάτῃ ἀπέθανε. τὸ τελευτῆσαι τὰ σημεῖά τε καὶ συμπτώματα ἀπὸ τῆς ἀρχομένης νόσου προσημῆναι διδάσκει τὸ ὑπόμνημα.

Pythionis historia ex laboribus & lassitudinibus & parum habita victûs ratione acuta febre laborantis, qui multis lethalibus symptomatibus commotus decimo die obiit. B Commentarius docet signa & symptomata ab initio morbi prænotasse interitum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οδ΄.

ΑΡΡΩΣΤΟΣ γ΄.

Ἐν Θάσῳ, Πυθίωνα ὃς κατέκειτο τοῦ Ἡρακλέους, ἐκ πόνων, καὶ κόπων, καὶ διαίτης γενομένης ἀμελέος, ῥῖγος μέγα, καὶ πυρετὸς ὀξὺς ἔλαβε. γλῶσσα ἐπίξηρος, διψώδης, χολώδης, οὐχ ὕπνωσεν, οὖρα ὑπομέλανα, ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο. δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων. τὰ περὶ χεῖρας καὶ κεφαλὴν μᾶλλον· ἄναυδος, ἄφωνος, βραχύπνοος ἐπὶ χρόνον πολὺν, ἀνεθερμάνθη, δίψαι, νύκτα δι' ἡσυχίης, ἵδρωσεν τὴν κεφαλὴν σμικρά. τρίτῃ ἡμέρῃ δι' ἡσυχίης· ὀψὲ δὲ, περὶ ἡλίου δυσμὰς, ὑπεψύχθη σμικρά, ταραχὴ νυκτὸς ἐπιπόνως, οὐδὲν ὕπνωσεν. ἀπὸ δὲ κοιλίης, ψυχρὰ, ξυνεστηκότα κόπρανα διῆλθε. τετάρτῃ πρωῒ, δι' ἡσυχίης. περὶ δὲ μέσον ἡμέρης, πάντα παρωξύνθη, ψύξις, ἄναυδος, ἄφωνος, ἐπὶ τὸ χεῖρον ἀνεθερμάνθη. μετὰ χρόνον οὔρησεν μέλανα, ἐναιώρημα ἔχοντα, νύκτα δι' ἡσυχίης ἐκοιμήθη. πέμπτῃ ἔδοξε κουφισθῆναι, κατὰ δὲ κοιλίην βάρος μετὰ πόνου, διψώδης, νύκτα ἐπιπόνως. ἕκτῃ, πρωῒ μὲν δι' ἡσυχίης, δείλης δὲ οἱ πόνοι μείζους παρωξύνθη. ἀπὸ δὲ κοιλίης, ὀψὲ, κλυσματίῳ καλῶς διῆλθε, νυκτὸς ἐκοιμήθη. ἑβδόμῃ ἡμέρῃ ἀσώδης, ὑπεδυσφόρει, οὔρησεν ἐλαιώδεα, νυκτὸς ταραχὴ πολλὴ, παρέλεγε, οὐδὲν ἐκοιμᾶτο. ὀγδόῃ, πρωῒ μὲν ἐκοιμήθη σμικρὰ, ταχὺ δὲ ψύξις καὶ ἀφωνίη, λεπτὸν πνεῦμα καὶ μινυθῶδες, ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη, παρέκρουσεν. ἤδη δὲ πρὸς ἡμέρην σμικρὰ ἐκουφίσθη, διαχωρήματα ἄκρητα σμικρὰ, χολώδεα, ἐννάτῃ κωματώδης, ὅτε διεγείροιτο, οὐ λίην διψώδης. περὶ δὲ ἡλίου δυσμὰς ἐδυσφόρει, παρέλεγε, νύκτα κακήν. δεκάτῃ, πρωῒ ἄφωνος, πολλὴ ψύξις, πυρετὸς ὀξὺς, πολὺς ἱδρὼς, ἔθανεν. ἐν ἀρτίῃσιν οἱ πόνοι τούτῳ.

HIPPOCRATIS TEXTUS LXXIV.

ÆGROTUS TERTIUS.

In Thaso Pythionem, qui supra Herculis fanum decumbebat, ex laboribus, lassitudinibus, parum habita victus ratione, magnus cœpit rigor, & febris acuta; Lingua inaruit, sitibundus erat, biliosus, non dormivit; urinæ subnigræ, suspensio C *sublimis, non subsidebat. Altero die sub meridiem extremæ partes frigebant, præter cæteras manus & caput; obmutuit, voce defectus est, diu brevispirus, rediit; Nocte quievit, circa caput modicum sudavit. Die tertio interdiu quievit; vesperi sub solis occasum aliquantùm friguit, turbatio: Nox laboriosa fuit, nihil dormivit; ab alvo pauca, compacta stercora descenderunt. Quarto mane quievit; ad meridiem omnia irritata sunt, frigus, mutus, sine voce, in deterius, calor rediit post paulo urinas nigras cum suspensione reddidit; nocte placidè dormivit. Quinto relevatus visus* D *est esse, ventrem tamen cum dolore gravitas tenuit; sitibundus. Noctem laboriosam habuit. Sexto mane quievit: Ad vesperum dolores increverunt, exacerbatus est; vesperi indito clystere commodè alvus reddidit; nocte dormivit. Septimo die fastidiosus implacidior erat, oleosum minxit, nocte est multum turbatus, delirabat, nihil dormiebat. Octavo mane aliquantum dormivit, moxque frigus eum cepit, ac vox eum defecit; spiritus exilis & imminutus; vesperi rursus calor rediit, deliravit; Iam antelucano aliquantò levius habuit; dejectiones meræ, paucæ, biliosæ. Nono quum excitare-* E *tur, comatosus erat, non valde sitibundus, sub Solis occasum graviter tulit, deliravit; noctem incommodam habuit. Decimo mane sine voce, multum frigus, febris acuta, multus sudor, obiit, diebus huic paribus labores.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τούτου πάνθ' εὑρήσεις ἀπ' ἀρχῆς, τά τε συμπτώματα καὶ τὰ σημεῖα, θανατώδη γενόμενα, καὶ τοὺς παροξυσμοὺς ἐν ἀρτίαις, ὡς αὐτὸς ὁ Ἱπποκράτης ἐπεσημήνατο, προσθεὶς τῇ τῆς ι΄. ἡμέρας διηγήσει, καθ' ἣν ἀποθανεῖν αὐτὸν ἔφη, ἐν ἀρτίῃσιν, οἱ πόνοι τούτῳ. καὶ γὰρ ὁ θάνατος ὑποπέπτωκε τῷ γενικῷ σημαινομένῳ τῆς κρίσεως ὡς ἐδείχθη. πεφύλακται δὲ καὶ κατὰ τοῦτον τὸν ἄρρωστον, τὸ, τὰς κρίσεις γίνεσθαι τούτοις, ἐν αἷς οἱ πόνοι μείζους. ἐν ἀρτίαις γὰρ αὐτῶν γενομένων ἠκολούθησε καὶ ὁ θάνατος ἐν ἀρτίᾳ. γέγραπται δ' ἐν τῇ διηγήσει τῶν συμβαινόντων αὐτῷ δύο ταῦτα, δεόμενα ἐξηγήσεως. ἔστι δ' αὐτῶν τὸ μὲν ἕτερον ἐπὶ τῆς ἀναπνοῆς, βραχύπνοος μὲν ἐν τῇ

GALENI COMMENTARIUS.

Vel hujus offendes omnia ab initio symptomata & signa lethalia fuisse, & acces- F siones diebus paribus, ut ipse indicavit Hippocrates, quum in decimi diei narratione, quo obiisse illum dicit, addidit, diebus huic paribus labores, etenim mortem generale judicii significatum amplectitur, ut est ostensum. Iam servatum in hoc etiam est ægro ut judicia iis essent ferè diebus, quibus graviores labores; nam quum in dies pares inciderent, mors quoque in die est consecuta pari. Porro in narratione symptomatum hujus duo sunt, quæ Interpretem requirunt, quorum in respiratione est alterum. Nam, βραχύπνοος, id est, brevi-

brevispirus, est in diei secundi expositione scriptus: & spiritus exilis, imminutusque, in octavi enarratione. Didicistis autem tum in primo de dyspnœa commentario, tum secundo in præsagia, ubi hanc dictionem sumus interpretati: Spiritus si frequens sit, dolorem significat, vel inflammationem supra septum transversum, parvum esse quendam pariter & rarum spiritum, qui, quum refrigeratur, & emoritur jam vitalis facultas, fit: quod symptomate quodam inseparabili indicavit, hisce verbis; Si frigidum è naribus & ore expiretur, exitiale jam est admodum. Eundem puta eum hìc dixisse, secundo die brevem, octavo exilem & imminutum. Nam quidam est alius præterea spiritus brevis simul, & frequens, dolorem denotans, ut demonstravimus, aut in respirationis partibus, aut illorum vicinis. Verum ambos si inter se compares, pauciorem multo foris aërem attrahi intro in altero offendes, quem parvum simul & rarum dixit fieri. Nam frequentia si ad brevitatem accedat, assiduitate defectum cujusque inspirationis resarcit, ut qui assiduè bibunt modicum: siquidem hos βραχυπότους, id est, modicum potantes, appellabis qui & parum bibunt, & magno interjecto spatio. Nam si parum quis & assiduè bibat, hunc simpliciter non βραχύποτον sed βραχὺ πίνοντα, id est, paulatim bibentem appellaveris. Haud aliter qui propriè brevispirus vocatur, quoties spiritum trahit, non parvum tantùm, verumetiam intervallo longo interposito, externum per guttur aërem attrahit. Quæras ergo fortassis cur quum Hippocrates primo die febrem prædixerit acutam fuisse, altero die hominem brevispirum fuisse dixerit: nam nos in vehementibus febribus demonstravimus, magnum spiritum & frequentem esse. Respondemus, Primo quidem die calorem per putrescentes humores succensum febrilem, ipsum quidem digestum esse, relictum vero nativum tantum adeo jam infirmum, ut jam priùs extingueretur, quam febrilis de integro accenderetur calor, veluti fervefactis, qui computrescerent, succis. Alterum vero diem frigoris dominantis attulisse signum. Cujus quidem est maxima demonstratio, quod brevispirum dicat, tum hominem fuisse & friguisse. Nam de secundo die ita scribit, altero die sub meridiem extremæ partes frigebant, præter cæteras manus & caput, mutus, voce defectus, diu brevispirus. Rursus de octavo die hæc tradit, octavo mane aliquantum dormivit, moxque frigus cœpit, & vox eum defecit, spiritus exilis & imminutus: Ubi mihi hoc quoque attende: Quum est refrigeratus, unà cum vitiata respiratione, voce esse eum defectum dicit, quod solet etiam interim extinctionem naturæ comitari. In quarto die quum scribit, frigus, mutus, sine voce, in deterius, ostendit; adjecto in deterius, etiam brevispirum illum fuisse. Reliquum ergo est hìc ut declaremus cur postea ἄναυδος, id est, mutus addiderit, voce defectus. Cujus hæc est ratio. Sermonem, Græcè αὐδὴν, nec orationem quando auditu propriè sentitur, antiqui vocare videntur; nec illud species ejus sit sola, quod de angustia per animantis emittitur os, in quo continetur fletus,

A τῆς β΄. ἡμέρας διηγήσει γέγραπται. λεπτὸν δὲ πνεῦμα καὶ μινυθῶδες ἔσχεν ἐν τῇ η΄. ἔμαθες δὲ ἔν τε τῷ α΄. περὶ δυσπνοίας κἀν τῷ β΄. τῶν εἰς τὸ προγνωστικὸν ὑπομνημάτων, ἔνθα τὴν ῥῆσιν ἐξηγούμην τήνδε. πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν, ὡς ἔστι τι σμικρὸν ἅμα καὶ ἀραιὸν πνεῦμα ψυχομένης, καὶ νεκρουμένης ἤδη τῆς ζωτικῆς δυνάμεως γιγνόμενον, ὃ διά τινος τῶν χωριστῶν συμπτωμάτων ἐδήλωσεν εἰπών. ψυχρὸν δ' ἐκπνεό-

B μενον ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίγνεται. τοῦτο γοῦν ἡγητέον αὐτὸν καὶ νῦν εἰρηκέναι, κατὰ μὲν τὴν β΄. ἡμέραν βραχὺ, κατὰ δὲ τὴν η΄. λεπτὸν καὶ μινυθῶδες. ἔστι μὲν γάρ τι καὶ ἄλλο πνεῦμα βραχύ τε ἅμα, καὶ πυκνὸν, ὀδύνην σημαῖνον, ὡς ἐδείκνυμεν, ἤτοι γε ἐν τοῖς ἀναπνευστικοῖς μορίοις, ἢ τοῖς παρεγκειμένοις αὐτοῖς. ἀλλ' ἐὰν ἀμφότερα παραβάλλῃς ἀλλήλοις, βραχύτερον πολὺ τὸν ἔξωθεν εἴσω ἑλκόμενον ἀέρα κατὰ τὸ ἕτερον εὑρήσεις, ὃν σμικρὸν ἅμα καὶ ἀραιὸν

C ἔφη γίγνεσθαι. τὸ γὰρ πρὸς τὸ βραχὺ πυκνὸν, ἀναπληροῖ τῇ συνεχείᾳ τὸ καθ' ἑκάστην εἰσπνοὴν ἐνδεὲς, ὡς οἱ συνεχῶς πίνοντες βραχύ. καὶ γὰρ τούτους, βραχυπότους ἐρεῖς, ὅσοι καὶ βραχὺ, καὶ διὰ πολλοῦ πίνουσιν. εἰ δέ τις βραχὺ μὲν ἀλλὰ συνεχῶς πίνει, τοῦτον ἁπλῶς οὐκ ἂν εἴποις βραχυπότην, ἀλλὰ μετὰ βραχὺ πίνοντα. κατὰ τὸν αὐτὸν οὖν τρόπον ὁ κυρίως ὀνομαζόμενος βραχύπνους, καθ' ἑκάστην εἰσπνοὴν, οὐ βραχὺ μόνον, ἀλλὰ καὶ διὰ πολλοῦ χρόνου τὸν ἔξωθεν ἀέρα διὰ τοῦ λάρυγγος ἐπισπᾶται. τάχ' οὖν ζητήσεις κατά τι προειρηκὼς ὁ Ἱπποκράτης ἐν τῇ α΄. τῶν

D ἡμερῶν πυρετὸν ὀξὺν γεγονέναι, τῇ β΄. βραχύπνουν ἔφη τὸν ἄνθρωπον εἶναι. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς σφοδροῖς πυρετοῖς πνεῦμα μέγα, καὶ πυκνὸν γιγνόμενον. φήσομεν ὅτι ἐν μὲν τῇ α΄. τῶν ἡμερῶν τὸ διὰ τοὺς σηπομένους χυμοὺς ἀναφθὲν πυρετῶδες θερμὸν, αὐτὸ μὲν διεφορήθη, κατελείφθη δὲ τὸ ἔμφυτον μόνον ἀσθενὲς ὑπάρχον, ὡς ἤδη σβέννυσθαι, πρὶν αὖθις ἀναφθῆναι τὸ πυρετῶδες θερμόν. ἐπὶ ζεσάντων τῶν σηπομένων χυμῶν, ἡ β΄. τῶν ἡμερῶν ἐνήνοχε τὸ τῆς ψύξεως σημεῖον. ἀπόδειξις δὲ τούτου μεγίστη. τηνικαῦτα γὰρ βραχύπνουν αὐτὸν γεγονέναι φησὶ καὶ κατεψῦχθαι. γράφει γοῦν ἐπὶ τῆς δευτέρας ἡμέρας ὧδε.

E δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων τὰ περὶ χεῖρας, καὶ κεφαλὴν μᾶλλον, ἄναυδος, ἄφωνος, βραχύπνοος ἐπὶ χρόνον πολύν. ἐπὶ δὲ τῆς η΄. πάλιν τάδε γράφει, η΄. πρωῒ μὲν ἐκοιμήθη μικρά, ταχὺ δὲ ψύξις, ἀφωνίη, λεπτὸν πνεῦμα καὶ μινυθῶδες. ἔνθα μοι καὶ τούτῳ πρόσεχε τὸν νοῦν, ὁπηνίκα κατεψύχθη μετὰ τῆς κακοπνοίας, καὶ τὴν ἀφωνίαν αὐτῷ γεγονέναι φησὶ, καὶ αὐτὴν εἰωθυῖαν πολλάκις ἐπὶ νεκρώσει τῆς φύσεως γίγνεσθαι. κατὰ τὴν δ΄. ἡμέραν ἡνίκα γράφει, ψύξις, ἄναυδος, ἄφωνος, ἐπὶ τὸ χεῖ-

F ρον, ἐμφαίνει διὰ τῆς ἐπὶ τὸ χεῖρον προσθήκης, καὶ τὸ βραχύπνουν αὐτὸν γεγονέναι. καταλείπεται τοίνυν ἐπὶ τούτου ἡμῖν ἐξηγήσασθαι διὰ τί προειπὼν ἄναυδος, ἐπήνεγκεν ἄφωνος. ἔστι δὲ καὶ τούτου λόγος τοιοῦτος. τὴν αὐδὴν οὔτε πᾶν τὸ τῆς ἀκοῆς ἴδιον αἰσθητὸν οἱ παλαιοὶ φαίνονται καλοῦντες, οὔτ' ἐκεῖνο τὸ εἶδος αὐτοῦ μόνον, ὅσον ἐκπέμπεται κατὰ προαίρεσιν τοῦ ζώου διὰ τοῦ στόματος, ἐν ᾧ περιέχεται καὶ τὸ κλαίειν, καὶ τὸ συρίττειν, οἰμώζειν τε καὶ βήττειν, καὶ ὅσα τἄλλα τοιαῦτα,

μόνην δὲ τὴν ἀνθρώπου φωνὴν καθ' ἣν διαλεγόμεθα πρὸς ἀλλήλους, αὐδὴν ὀνομάζουσιν. οὕτω γοῦν καὶ ὁ ποιητὴς ἡνίκα ἐποίησε τοῖς ἰδίοις ἵπποις διαλεγόμενον τὸν Ἀχιλλέα, τηνικαῦτά φησι τὸν ἕτερον αὐτῶν ἀμείψασθαι λόγοις χρησάμενον ἀνθρωπίνῃ διαλέκτῳ.

Αὐδήεντα (γάρ φησιν) ἔθηκε θεὰ λευκώλενος ἥρη.

Οὐχ ὡς ἄφωνον ὄντα πρότερον, οὐχ' ὡς οὐκ ἔχοντα τὴν κοινὴν τῶν ἵππων φωνὴν, ἀλλ' ὡς οὐκ ὀνομαζομένην αὐδὴν ἐκείνην. οὕτως οὖν καὶ θεὸν αὐδήεσσαν εἴρηκε, τὴν ἀνθρωπίνῃ διαλέκτῳ χρωμένην, ὅτι καὶ αὐτὴν ἀνθρωποειδῆ φασὶν εἶναι μὴ πάντων τῶν θεῶν τοιούτων ὑπαρχόντων. ἐναργῶς γοῦν ἥλιος, καὶ σελήνη, καὶ τὰ λοιπὰ τῶν ἄστρων ἀποκεχώρηκε πάμπολυ τῆς τῶν ἀνθρώπων ἰδέας. καὶ ὁ Ἱπποκράτης οὖν, ἄναυδον μὲν εἶπεν ἐπὶ τοῦ μὴ δυναμένου διαλέγεσθαι. τὸν δ' ἄφωνον, ἐπὶ τοῦ μηδ' οἰμῶξαι μηδὲ βοῆσαι δυναμένου, δῆλον δέ ἐστι τὸ τοιοῦτον μοχθηρότερον εἶναι, τῆς ὡς ἄν εἴποι τις ἀναυδίας. οἷς οὖν ἡ γλῶττα μόνη παραλέλυται, φωνεῖν μὲν μέγιστον ἐνίοτε δύνανται, διαλέγεσθαι δ' οὐ δύνανται. Εἰ δὲ μηδὲ ἐκφωνεῖν οἷοί τε εἶεν, ἐσχάτης νεκρώσεως ἐστὶ τὸ τοιοῦτον γνώρισμα τῶν οὕτως ἐχόντων, μὴ οἰμωζόντων, μήτε στεναζόντων, μήθ' ὅλως φθέγγεσθαι δυναμένων. Σαβῖνος δὲ καὶ ταυτὰ τοῖς ἄλλοις, τὸν μὲν οὐδ' ὅλως ἔχοντα φωνὴν οὐδεμίαν, ἄναυδον εἰρῆσθαι νομίζει. τὸν δ' ἄφωνον, ἐν ἴσῳ τῷ ἀπόπληκτον ὑπὸ τοῦ Ἱπποκράτους γεγράφθαι φησὶν, ὥσπερ οὐ δυναμένου καλέσαι τὸν οὕτω διακείμενον ἀπόπληκτον. οὐ μὴν οὐδὲ τἄλλα τὰ κατὰ διάθεσιν εἰρημένα, συνᾴδει τῷ γεγονέναι τὸν προκείμενον ἄρρωστον ἀπόπληκτον.

sibilus, luctus, tussis, & id genus alia; sed unam hominis vocem, qua inter nos colloquimur, sermonem, Græce αὐδὴν nominant. Itaque etiam Poëta, ubi suos equos alloquentem inducit Achillem, ibi alterum eorum ait respondisse lingua humana. Inquit enim,

Αὐδήεντα ἔθηκε θεὰ λευκώλενος ἥρη,

id est,

Hunc Regina loqui fecit Dea candida Iuno.

Non quod antea voce careret, neque communem equorum vocem haberet, cæterum quod non illam, quem sermonem Græce αὐδὴν appellant. Sic Deam dicit loqui, quum humana uteretur lingua; quod eam etiam humana esse forma ferant, quum dii ejus figuræ omnes non sint. Nam Sol plane & Luna reliquaque sidera longius ab humana forma recesserunt. Unde etiam Hippocrates obmutuisse quidem dixit, quod loqui non valeret; voce defectum esse, quod nec lugere, nec clamare; quod certe multo liquet esse deterius, quàm obmutuisse; Nam quibus sola est resoluta lingua, possunt interdum clamare altissimè, tamen loqui non valent; qui si ne vocem quidem mittere queant, extremæ est hoc extinctionis facultatis signum; ubi qui eo in statu sunt, neque lugent, neque gemunt, neque sonare omnino possunt. Sabinus, ita ut alii qui nullam omnino habet vocem, hunc arbitratur mutum esse dictum; voce vero defectum perinde ab Hippocrate ait scriptum esse, ac attonitum; quasivero ita affectum, attonitum vocare non potuisset. Atqui nec reliqua, quæ in hoc sunt affectu dicta, consentiunt, præsentem ægrotum attonitum fuisse.

Τὸ ὀξυτάτης φρενίτιδος παράδειγμα, ὃ θαυμάζει ὁ Γαληνὸς, καὶ αὐτὴν τῇ κυνῶν λύσσῃ, καὶ τῷ θανασίμῳ φαρμάκῳ παραβάλλει. ὅτι αὕτη τετάρτῃ ἡμέρᾳ τοῦτον φρενιτικὸν κατακτείνῃ, ἧς τὴν αἰτίαν εἶναι θέλει ἰώδεα κακοχυμίαν.

Acutissimæ phrenitidis exemplum quam miratur Galenus, & canum rabiei ac lethali veneno comparat, quod quarto die phreniticum hunc occiderit, cujus causam esse vult æruginosam cacochymiam.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οε'.

ΑΡΡΩΣΤΟΣ δ'.

Ο φρενιτικὸς τῇ πρώτῃ κατακλιθεὶς, ἤμεσε ἰώδεα, πολλὰ, λεπτὰ, πυρετὸς φρικώδης, πολὺς ἱδρὼς, ξυνεχὴς διόλου, κεφαλῆς καὶ τραχήλου βάρος, μετὰ ὀδύνης, οὖρα λεπτὰ, ἐναιωρήματα σμικρὰ, διεσπασμένα, οὐχ ἵδρωσεν. ἀπὸ δὲ κοιλίης διεχώρησεν ἀθρόα, πολλὰ παρέκρουσεν, οὐδὲν ὕπνωσεν. δευτέρᾳ, πρωῒ ἄφωνος, πυρετὸς ὀξὺς, ἵδρωσεν, οὐ διέλιπεν, παλμοὶ δι' ὅλου τοῦ σώματος, νυκτὸς σπασμοί. τρίτῃ παρωξύνθη πάντα, τετάρτῃ ἀπέθανεν.

HIPPOCRATIS TEXTUS LXXV.

ÆGROTUS QUARTUS.

Qui phreniticus primo die decubuit, æruginosa multa tenuia vomuit; febris horrida prehendit; sudor copiosus, assiduus per universum corpus; capitis & cervicis gravitas cum dolore; urinæ tenues, enæoremata parva, dispersa; non sudavit. Ab alvo affatim stercora dejiciebantur; multum deliravit; nihil dormivit. Secundo, mane vox defecit; febris acuta invasit; sudavit; non intermisit; palpitationes per totum corpus; nocte convulsiones. Tertio exacerbata sunt omnia. Quarto obiit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἄρρωστος ὀξυτάτης φρενίτιδός ἐστι παράδειγμα κατὰ τὴν πρώτην ἡμέραν εὐθέως συνεισβαλλούσης τῷ πυρετῷ, καὶ πάντας γε ἐθεασάμην ἐντὸς τῆς ζ'. ἡμέρας, ἀποθανόντας τοὺς οὕτω φρενιτίσαντας· ὀλίγοι δὲ πάνυ καὶ σπάνιοι ταύτην ὑπερέβαλον. ἄξιον καὶ θαυμάσαι τὴν τῶν τοιούτων νοσημάτων φύσιν, ὅπως ἐξαίφνης

GALENI COMMENTARIUS.

Acutissimæ phrenitidis hic æger est exemplum, primo statim die unà cum febre incessentis. Omnesque certe vidimus, qui quidem ita phrenitide perciti essent, intra septimum diem mortuos esse; Perpauci, hique rari, hunc superarunt. Est vero eorum morborum admiranda generatio, quonam pacto

commodè valentes subito invadat. Neque enim sicuti ipsorum generatio subita est, ita & generationis causa, ut si Medicamentum homo lethale sumpsisset, vel bestia eum virulentissima momordisset: sed pedetentim in corpore causæ, quæ sunt excitandis hujuscemodi malis, crescunt: quod morsis usuvenit, à rabidis canibus. Nam apertum est, quod canis venenum est (licet in morsis non ocietur, nec conquiescat) nullam suiipsius notam prodit multis interim proximis mensibus: Subito autem illis quum viderint aquam, formido incessit, posteaque brevî moriuntur. Longo enim tempore causa, quæ rabiem efficit, augetur: quæ ubi eò tandem pervenerit, mortem affert repentinam. Item in hac phrenitide vitiosus in corpore humor coacervatus fuit, veneno lethali assimilis, in corporibus vicinis aliquid paulatim agens; quæ quando vitio jam aliquo pacto opportuna erant, humorque ipse evaserat malignissimus, lethale repente apparuit symptoma. Nanque sic phreniticus initio statim vomuit virulenta, quod febribus adurentibus ferè est consequens. Itaque ut veneno epoto lethali quidam postridie vel tertio die moriuntur, qualitate ejus non copia mortem afferente, & item hic quoque æger statim tertio die censendus est obiisse, à qualitate succorum virulentorum, non à phrenitide peremptus: at phrenitis illum est subsecuta, symptomatis vice. Equidem quarto die & quinto acuta à primo statim correptos phrenitide vidi exanimatos esse, tertio non vidi; sic ne vigesimum diem attigisse. Quare hunc videtur Hippocrates ut velocissimè peremptum ob oculos nobis proponere: & alterum paulo post, qui præter omnium expectationem vitam produxit, de quo suo loco disseremus.

A ἐπιτίθεται τοῖς ἀμέμπτως ὑγιαίνουσιν. οὐ γὰρ δὴ ὥσπερ ἐξαιφνίδιος ἡ γένεσις αὐτῶν ἐστιν, οὕτω καὶ ἡ τῆς γενέσεως αἰτία. καθάπερ εἰ καὶ φάρμακον ἔλαβε θανάσιμον ὁ ἄνθρωπος, ἤ τι τῶν χαλεπωτάτων θηρίων ἔδακεν αὐτόν, ἀλλὰ κατὰ βραχύ πως ηὔξηται ἐν τῷ σώματι, τὴν τὰ τοιαῦτα πάθη δυναμένην αἰτίαν ἐργάσασθαι, καθάπερ ἐπὶ τῶν λυσσοδήκτων συμβαίνει. πρόδηλον γὰρ ὅτι κἀκείνοις οὐκ ἐνεργῶν οὐδ' ἡσυχάζων ὁ τοῦ κυνὸς ἰὸς, οὐδὲν ἑαυτῷ γνώρισμα παρέχει πολλῶν ἐφεξῆς ἐνίοτε μηνῶν. ἐξαίφνης δ' αὖθις συμβαίνει θεασαμένοις
B ὕδωρ φοβηθῆναι, κἀντεῦθεν ἤδη διὰ ταχέων ἀπόλλυσθαι. πολλῷ μὲν αὐξανομένης χρόνῳ, τῆς τὴν λύτταν ἐργαζομένης αἰτίας, ὅταν ἅπαξ εἰς τοῦτ' ἀφίκηται ταχεῖαν ἐπιφερούσης τὸν θάνατον. σχεδὸν οὖν κἀπὶ τῆς νῦν εἰρημένης φρενίτιδος ἠθροίζετό τις ἐν τῷ σώματι μοχθηρὸς χυμὸς ἰοῖς δηλητηρίοις παραπλησίως, ἐνεργῶν μέν τι κατὰ βραχὺ ἐπὶ τοῖς σώμασιν, οἷς ὁμιλῶν ἐτύγχανεν. ἐπεὶ δ' ἐκεῖνα προδιετίθετό πως, ὅ,τε χυμὸς αὐτὸς ἐπὶ πλεῖστον ηὐξήθη κακοηθείας, ἐξαιφνίδιον ἐφάνη θανατῶδες σύμπτωμα. καὶ γάρ τοι καὶ τῷ φρενιτικῷ, οὕτω κατὰ τὴν ἀρχὴν εὐθέως ἔμετος ἰωδῶν ἐγένετο, πυρετοῖς
C ἑπόμενος ὡς τὸ πολὺ διακαέσιν. ὥσπερ οὖν ἐπὶ τῶν θανασίμων φαρμάκων ἀποθνήσκουσιν ἔνιοι δευτεραῖοι καὶ τριταῖοι, τῆς ποιότητος αὐτῶν, οὐ τοῦ πλήθους, ἐργαζομένης τὸν θάνατον, οὕτω καὶ τὸν ἄρρωστον τοῦτον εὐθέως ἀποθανεῖν ἡγητέον τῇ τρίτῃ τῶν ἡμερῶν, ὑπὸ τῆς ποιότητος τῶν ἰωδῶν χυμῶν, οὐχ ὑπὸ τῆς φρενίτιδος διαφθαρέντα, παρακολουθῆσαι δὲ αὐτῷ τὴν φρενῖτιν, ὥσπερ τι σύμπτωμα. τεταρταίους μὲν οὖν καὶ πεμπταίους εἶδον ἀπολλυμένους ἐξ ἀρχῆς εὐθέως ἁλόντας ὀξείᾳ φρενίτιδι, τριταῖον δ' οὐκ εἶδον, ὥσπερ οὐδὲ μέχρι
D τῆς κ'. ἐκταθέντα. φαίνεται τοίνυν ὁ Ἱπποκράτης τοῦτον μὲν ὡς ὀξύτατα διαφθαρέντα δηλώσας ἡμῖν. ἕτερον δ', ὀλίγον ὕστερον ὡς παραλογώτατον χρονίσαντα, περὶ οὗ κατὰ τὸν οἰκεῖον λόγον ἐπισημανοῦμεν.

Calvum ex repentino femoris dolore in acutam febrem incidisse & symptomatis vexatum quarto die interiisse. Ad hunc aut similem morbum curandum, priùs causam externam, deinde internam dignosci vult Galenus.

Τὸν φαλακρὸν ἐκ τοῦ ἐξαιφνιδίου κατὰ μηρὸν πόνου εἰς τὸν ὀξέα πυρετὸν περιπεπτωκέναι, καὶ τοῖς ἐνοχληθέντα συμπτώμασι τῇ τετάρτῃ τεθνάναι. πρὸς τὴν τούτου ἢ ὁμοίου νοσήματος θεραπείαν ποιουμένην πρῶτον μὲν τὸ προκαταρκτικὸν αἴτιον, ἑξῆς δὲ τὸ προηγούμενον διαγινώσκεσθαι καὶ σκέπτεσθαι θέλει ὁ Γαληνός.

E

HIPPOCRATIS TEXTUS LXXVI.

ÆGROTUS QUINTUS.

CAlvo in Larissa femur dextrum derepente doluit, nihilque ex oblatis profuit. Primo die febris acuta, ardens sensim prehendit, doloresque concomitabantur. Secundo die femoris quidem dolores remiserunt, sed febris intensa est; submolestè patiebatur, non dormiebat, summa corporis frigebant, urinarum non bonarum copia profluxit. Tertio femoris quidem dolor cessavit, verùm mentis alienatio, perturbatioque, & multa jactatio accesserunt. Quarto circa meridiem celerrimè defuncta est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οα'.

ΑΡΡΩΣΤΟΣ ε'.

ΕΝ Λαρίσσῃ φαλακρὸς μηρὸν δεξιὸν ἐπόνεσε ἐξαίφνης, τῶν δὲ προσφερομένων οὐδὲν ὠφέλει. τῇ πρώτῃ πυρετὸς ὀξὺ, καυσώδης ἀτρεμέως. εἶχεν οἱ δὲ πόνοι παρείποντο. δευτέρῃ, τοῦ μηροῦ μὲν ὑφίεντο οἱ πόνοι, ὁ δὲ πυρετὸς ἐπέτεινεν, ὑπεδυσφόρει, οὐκ ἐκοιμᾶτο, ἄκρεα ψυχρὰ,
F οὔρων πλῆθος διῄει οὐ χρηστῶν. τρίτῃ, τοῦ μηροῦ μὲν ὁ πόνος ἐπαύσατο. παρακοπὴ δὲ τῆς γνώμης, καὶ πολὺς βληστρισμός. τετάρτῃ, περὶ μέσον ἡμέρης ἔθανεν ὀξυτάτως.

GALENI COMMENTARIVS.

HOc lecto ægro, siquidem animum dictis diligenter non advertas, in quovis dolore timidus eris: si vero diligenter atten-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟῦτόν τις τὸν ἄρρωστον ἀναγνοὺς, ἐὰν μὴ προσέχῃ τὸν νοῦν ἀκριβῶς τοῖς εἰρημένοις, δῆλος ἔσται πρὸς ἅπαν ἀλ-

γημα προσχών, οὔτε προπετῶς δειλὸς, οὔτε θαῤῥαλέος ἀλογίστως. ἀλλ' ὅταν γε ὁποιουοῦν μέρος ἀλγῆσαι τύχῃ, πρῶτον μὲν ἐπίσκεψαι μή τι τῶν ἔξωθεν αἰτίων ἐγένετο. καὶ γὰρ ἐν κινήσεσί γέ τισι, λεληθότως ἐβλάβησαν ἔνιοι, καὶ καθ' ὕπνον, οὐκ ἐπιτηδείως ἐσχηματισμένον τι μόριον ἔχοντες, ἔν τε περιαγωγαῖς τισὶ, καὶ περιστροφαῖς ἐξαιφνιδίοις τὰ μόρια ἐῤῥιγῶτα καὶ προκατεψυγμένα, σπάσμασί τε καὶ τύλμασιν ἁλισκόμενα, μεγάλας ὀδύνας φέρει, καθά δή γε καὶ τὰ ῥήγματα πολλοῖς ἐπώδυνα γὰρ, καὶ μᾶλλον ὅσοι ξηροὶ τὴν κρᾶσιν εἰσι, καὶ τούτων ἔτι μᾶλλον, ἐὰν πρεσβεύοντες, ἢ γέροντες ὦσιν. ὅταν οὖν μηδὲν τοιοῦτον φαίνηται τῆς ὀδύνης αἴτιον, ἑξῆς ἐπίσκεψαι τὴν προηγησαμένην δίαιταν, εἰ ἀργοτέρα παρὰ τὸ ἔθος ἐστὶν, ἢ σιτίοις ἐχρήσατο πλείοσιν ὁ ἄνθρωπος πολυτρόφοις, εἰ συνήθων ἐκκρίσεων ἐπίσχεσις αὐτῷ γέγονεν. εἰ γάρ τι τοιοῦτον, ἢ καὶ παντάπασιν φαίνεται πλῆθος αἴτιον τῆς ὀδύνης ἡγησάμενον, ὅτι τάχιστα κένωσον τὸν ἄνθρωπον. οὕτω γὰρ ἔξεστί σοι μετὰ πάσης ἀσφαλείας τοῖς ἀποκρούουσι τὰ ῥεύματα κατὰ τῶν ὀδυνωμένων χρήσασθαι μερῶν. εἰ δὲ πρὸ τοῦ κενῶσαί τι τούτων πράξεις, ἀποστρέψεις εἰς τὰ κυριώτατα μέρη τὸ πλῆθος. οὐ μὴν οὐδὲ θερμαίνειν τε καὶ παρηγορεῖν ἐστὶ θαῤῥεῖν τὰ πονούμενα μόρια, πρὶν κενῶσαι τὸ σῶμα· πολλάκις γὰρ εἰς ἄπαν ἐστὶ τὸ πεπονθὸς, ἐκ τῶν τοιούτων βοηθημάτων, ἕλκειν τὸ πλῆθος, ὡς καθ' ἕτερον τρόπον ἐν κινδύνῳ γενέσθαι τὸν ἄνθρωπον, ἀμέτρως φλεγμήναντος τοῦ μέρους. εἴρηκε δὲ καὶ αὐτὸ ὡς ἔμαθες, ἤδη περὶ τῶν τοιούτων ἀποστάσεων, αἷς, ἤτοι μὴ δύνηται δέξασθαι τὸ μέρος, ἢ δεξάμενον μὴ φέρειν. ἐὰν μέντοι ἐκ τῆς προηγησαμένης διαίτης ἐμφαίνηται μηδὲν εἶναι πλῆθος ἐν τῷ σώματι, τοῖς πρὸς τὰς ὀδύνας βοηθήμασιν ἀκίνδυνον χρῆσθαι, πυρίαις τέ τισι καὶ φαρμάκοις ὑγροῖς, καὶ θερμοῖς τὴν δύναμιν, ὧν τὴν ὕλην ἐν τοῖς περὶ τῶν φαρμάκων ὑπομνήμασιν ἔμαθες. εἰ δὲ πρὸς ταῦτα μὴ παύηται, κενωτέον ἐστὶν ὅλον τὸ σῶμα, πολλάκις γὰρ ἤθροισταί τι πλῆθος ἐν αὐτῷ κατὰ βραχὺ σωρευθὲν, οὐ παρακολουθήσαντος ἑαυτῷ ἀνθρώπου, τῇ τε ποσότητι καὶ ποιότητι τῶν ἐδεσμάτων. ἐνίοτε δὲ καὶ πυκνότερον ἑαυτοῦ τὸ δέρμα γενόμενον, ἔκ τινων αἰτίων λαθόντων, τῶν ἰδιωτῶν ἐπισχὸν τὰς διαπνοίας, αἴτιον ἐγένετο πληθωρικῆς διαθέσεως. διὰ τοῦτο οὖν ἐὰν ἡ ὀδύνη μὴ παύηται πρὸς τῶν βοηθημάτων, κενωτέον ἐστὶν ὅτι τάχιστα τὸν κάμνοντα. τὸ τοίνυν ἐπὶ τοῦ φαλακροῦ, οὐκ ἔχω συμβαλεῖν, εἴθ' ἐφλεβοτόμησέ τις αὐτὸν, εἴ τε μή. ὅσον γὰρ ἐπὶ τῷ φάναι τὸν Ἱπποκράτην, τῶν δὲ προσφερομένων οὐδὲν ὠφελεῖ, δύναται λέγειν ὁ μέν τις, ὡς ἐν τοῖς προσφερομένοις, καὶ τῆς φλεβοτομίας ἐμνημόνευσεν. ὁ δέ τις, ὡς οὐκ εἴη τῶν προσφερομένων αὐτῷ βοηθημάτων· ὅσον δὲ ἐπὶ τῷ παρακόψαι τε, καὶ διὰ τεσσάρων ἡμερῶν ἀποθανεῖν, ὅτι παρελείφθη τὰ βοηθήματα. προσγέγραπται δ' ἐπὶ τῇ τελευτῇ κατὰ τὰ διεσκευασμένα τῶν ἀντιγράφων, καὶ τούτῳ τῷ ἀῤῥώστῳ, καὶ τῷ μετ' αὐτὸν, πρότερον μὲν τὸ ὀξὺ, μετ' αὐτὸ δὲ, οἱ χαρακτῆρες, περὶ ὧν, ὡς ἔφην, οἱ μὲν περὶ τὸν Σαβῖνον ὀρθῶς φρονοῦντες, οὐδὲν εἶπον. ὁ δὲ Ζεῦξις διελέγχει καθ' ἕκαστον ἄῤῥωστον τοὺς ἐξηγησαμένους μοχθηρῶς. ἀλλ' ἡμῖν ἔδοξε πάντα τὰ οὕτω προσγεγραμμένα παραλιπεῖν ἐν τῷ νῦν ἐνεστῶτι λόγῳ. γενήσεται γὰρ, ἐὰν δόξῃ, βιβλίον ἰδίᾳ ὅλον τοῖς καὶ τὰ τοιαῦτα πολυπραγμονοῦσιν ἡδέως, ἐν ᾧ περὶ τῶν ἐν ἅπασι τοῖς ἀῤῥώστοις προσγεγραμμένων χαρακτήρων ὁ λόγος ἔσται, νῦν δ' οὐ προσήκει τοῖς χρησίμοις ἀναμιγνύναι τὰ ἄχρηστα.

deris, non præcipitanter timidus eris, neque temerè securus. Sed si qua forte pars doleat, primum, nunquid ob externam quandam caussam evenerit, animadvertas. Nanque in motibus quibusdam imprudentes quidam læsi sunt; & dormiendo qui minus commode partem aliquam composuerint; in convertendoque & contorquendo subito, partes rigentes, & antè refrigeratæ convulsionibusque & elisionibus correptæ, dolores maximos creant. Et vero rupturæ etiam quibusdam dolorem afferunt, præ cæteris, qui sicco sunt temperamento, atque adeo magis, si inclinata ætate, vel senes sint. Quod si nulla talis doloris videatur causa esse, proximum est considerare, quæ præcesserit ratio victus, ecquid ignavior præter institutum sit, aut cibo sit homo pleniore usus, magni nutrimenti, aut solitæ illi excretiones substiterint. Nam si quid tale sit, aut si omnino plenitudo causa doloris antegressa videatur, quamprimum hominem vacuato; tum enim securissimè fluxiones reprimentia partibus dolentibus applicueris. Nam si ante vacuationem id tentes, humorum abundantiam ad maxime principes partes retorquebis. Imo ne calefacere quidem & lenire ante corporis vacuationem partes dolentes licet: nam sæpe ad partem affectam omnino, ob ea remedia, allicitur humorum affluentia; Ita alterum homini discrimen accedit, ubi nimiùm sit inflammata pars. Etenim etiam ipse, ut jam nosti, verba fecit de istis abscessibus, quorum aut capax pars non sit, aut si sit, non ferat. Si nulla ex præcedente victus genere esse affluentia in corpore appareat, remediis ad dolorem facientibus tuto utaris licet, fomentisque ac medicamentis humidis & calidis facultate, quorum in commentariis de medicamentis materiam didicisti. Qui si his non cedat, relinquitur ut totum corpus vacuetur. Etenim sæpenumero in eo abundantia paulatim est coacervata, ubi apud se ciborum homo non animadvertat neque quantitatem, neque qualitatem. Aliquando vero etiam cutis seipsa densior reddita ab aliquibus causis hominem idiotam latentibus perspirationem cohibens, causa evasit plethoricæ affectionis. Quare dolorem si remedia non sedent, æger primo quoque tempore est vacuandus. Ego vero in calvo hoc certè, detractus ei sanguis sit, nec ne, non habeo conjicere. Nam quatenus dicit Hippocrates, nihil ex iis quæ offerebantur, juvabat, posset aliquis dicere, inter ea quæ offerantur, Hippocratem sanguinis missionem commemorasse. Alius dicat non esse de oblatis illi auxiliis; verùm quia mente excidit, in quatuorque diebus obiit, relicta auxilia esse. Porro ad finem in exemplaribus concinnatis, tum huic ægro, tum proximo est adscriptum, primùm quidem, acutum, deinde vero notæ illæ, de quibus, ut dixi, prudenter Sabinus nihil dixit; At Zeuxis in unoquoque ægro malos Interpretes reprehendit. Nobis vero adscriptitia illa præsenti sermone visum fuit præterire: Scribam enim, si visum fuerit, iis, qui in istis libenter curiosi sunt, separatim integrum librum, ubi de notis cuique additis ægro sermo habebitur, in præsenti utilibus admiscere non decet inutilia.

A

Periclem proponit Hippocrates tanquam ægrotum acuta febre laborantem qui signis judicatoriis significatus quarto die à morbo liberatus est.

HIPPOCRATIS TEXTUS LXXVII.

ÆGROTUS SEXTUS.

Abderæ Periclem febris acuta, continua cum dolore prehendit; sitis multa; anxietas & potum continere non poterat. Erat subsplenicus, & gravato capite. Primo die sanguis copiosus ex nare sinistra profluxit: vehemens tamen febris intendebatur: urinas copiosas reddidit, turbulentas, albas, quæ sedimentum non deponebant. Secundo exacerbata sunt omnia. Urinæ crassæ quidem erant, sed magis subsidebant, & remissa est anxietas, dormivit. Tertio febris remissa est; urinæ copiosæ, concoctæ, multumque sedimentum continentes: noctem quietam habuit. Quarto sub meridiem multum calidum per universum corpus sudavit, sine febre iudicatus est, neque morbus acutus reversus est.

GALENI COMMENTARIUS.

Exemplum hic æger est acutissimi morbi, horrendi illius quidem rudibus, cæterum brevî judicandi, prudentibus. Nam quum sublienoso primo statim die de sinistra nare copiosus erupisset sanguis: urinæ item crassæ essent, & non consisterent, & albo colore essent: tum altero die consisterent, melior erat de ægro spes. Ad hæc ubi secundo die hominem fastidium reliquisset, & dormivisset, certior jam brevî fore hominem incolumem spes erat. At postquam tertio die essent optimæ & copiosissimæ urinæ, clarum jam erat quarto die liberatum hominem iri morbo.

Περικλέα περιτίθησι Ἱπποκράτης ὥσπερ ἄῤῥωστον ὀξεῖ πυρετῷ νοσέοντα ὃς τοῖς σημείοις κριτικοῖς σεσημειωμένος τῇ τετάρτῃ ἀπὸ τῆς νόσου ἐλευθερώθη.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οζ'.

ΑΡΡΩΣΤΟΣ ϛ'.

B Ἐν Ἀβδήροισι Περικλέα πυρετὸς ἔλαβεν ὀξὺς, συνεχὴς μετὰ πόνου, δίψα πολλὴ, ἄση, ποτὸν κατέχειν οὐκ ἠδύνατο, ἦν δὲ ὑποσπλήνιός τε καὶ καρηβαρικός. τῇ πρώτῃ ἡμοῤῥάγησεν ἐξ ἀριστεροῦ, πολὺ μέντοι ὁ πυρετὸς ἐπέτεινεν, οὔρησε πολὺ, θολερὸν, λευκὸν, κείμενον οὐ καθίστατο. δευτέρα, πάντα παρωξύνθη, τὰ μέντοι οὖρα παχέα μὲν ἦν, ἱδρυμένα δὲ μᾶλλον. καὶ τὰ περὶ τὴν ἄσην ἐκούφισεν, ἐκοιμήθη. τρίτη, πυρετὸς ἐμαλάχθη, οὔρων πλῆθος, πέπονα, πολλὴν ὑπόστασιν ἔχοντα, νύκτα δι' ἡσυχίης. τετάρτῃ περὶ μέσον ἡμέρης ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος ἐκρίθη, οὐδ'

C ὑπέστρεψεν, ὀξύ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἄῤῥωστος παράδειγμά ἐστι νοσήματος ὀξυτάτου, φοβεροῦ μὲν τοῖς μὴ τεχνίταις, ἐν τάχει δὲ κριθησομένου τοῖς ἐπιστήμοσιν. ὄντος γὰρ ὑποσπληνίου, εὐθὺς μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἡμοῤῥάγησεν ἐξ ἀριστεροῦ μυκτῆρος πολὺ, τὰ δ' οὖρα παχέα μὲν ἦν, καὶ ἀκατάστατα, λευκὰ δὲ κατὰ τὴν χροιάν. ἐν δὲ τῇ β'. τῶν ἡμερῶν ἱδρύετο, μᾶλλον ἐλπὶς ἦν ἀγαθὴ περὶ τὸν κάμνοντα, παυσαμένης δὲ καὶ τῆς ἄσης αὐτοῦ, κατὰ τὴν β'. τῶν

D ἡμερῶν, καὶ ὕπνων γινομένων, ἔτι καὶ μᾶλλον ἐλπίσαι βεβαιότερον, ἐν τάχει σωθήσεσθαι τὸν ἄνθρωπον. ἐπὶ δὲ τῆς γ'. ἡμέρας, καλλίστων τε ἅμα καὶ πλείστων οὔρων γινομένων, ἐναργὲς ἦν ἤδη τὸ κατὰ τὴν τετάρτην ἡμέραν τοῦ νοσήματος ἀπαλλαγήσεσθαι τῆς νόσου τὸν ἄνθρωπον.

Virgo Abderita ex plethora in febrem acutam ardentem incidit quæ multis affecta symptomatibus, in surditate, pedum dolore, delirio, & cæteris descriptis, tandem vigesimo septimo sospes judicata est.

HIPPPOCRATIS TEXTUS LXXVIII.

ÆGROTUS SEPTIMUS.

Abderæ virginem quæ in sacro Templi vestibulo decumbebat, febris acuta & ardens prehendit. Erat autem sitibunda, & pervigil: ipsi primum muliebria profluxerunt. Sexto die vehemens oborta est anxietas, rubor, horror, iactatio. Septimo eadem perseverarunt: urinæ tenues quidem, sed probè coloratæ: alvus non infestabatur. Octavo surditas, febris acuta, insomnis, anxia, horrida, mentis compos; urinæ eadem. Nono ac proximis diebus eadem, permansitque surditas. Decimoquarto mentis perturbatio, febris remissio. Decimoseptimo multum è naribus effluxit, surditas nonnihil levata est, & sequentibus diebus anxietas, surditas aderat, delirabat-

E Ἐν Ἀβδήροις παρθένος ἐκ τῆς πληθώρας εἰς πυρετὸν ὀξέα καὶ καυσώδη περιέπεσεν, ἣ πόλλοις διατεθεῖσα συμπτώμασιν ἐν τῇ κωφώσει, καὶ ποδῶν ὀδύνῃ, καὶ παραλήρῳ, καὶ τοῖς ἄλλοις γεγραμμένοις, τέως τῇ εἰκοστῇ ἑβδόμῃ σῶα κέκριται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οη'.

ΑΡΡΩΣΤΟΣ ζ.

Ἐν Ἀβδήροισι, τὴν παρθένον, ἣ κατέκειτο ἐπὶ τῆς ἱερῆς εἰσόδου, πυρετὸς ὀξὺς, καὶ καυσώδης ἔλαβε. ἦν δὲ διψώδης,

F καὶ ἄγρυπνος, κατέβη δὲ τὰ γυναικεῖα πρῶτον αὐτῇ. ἕκτη, ἄση πολλὴ, ἔρευθος, φρικώδης, ἀλύουσα. ἑβδόμη διὰ τῶν αὐτῶν, οὖρα λεπτὰ μὲν, εὔχροα δὲ, τὰ περὶ τὴν κοιλίαν οὐκ ἠνώχλει. ὀγδόῃ κώφωσις, πυρετὸς ὀξὺς, ἄγρυπνος, ἀσώδης, φρικώδης, κατενόει, οὖρα ὅμοια. ἐνάτῃ διὰ τῶν αὐτῶν, καὶ τὰς ἑπομένας, οὕτω ἡ κώφωσις παρέμεινε. τεσσαρεσκαιδεκάτη, τὰ τῆς γνώμης ταραχώδεα, ὁ πυρετὸς ξυνέδωκεν. ἑπτακαιδεκάτη, διὰ τῶν ῥινῶν ἐῤῥύη πολὺ, ἡ κώφωσις σμικρὰ ξυνέδωκεν, καὶ καθ' ἡμέρας τὰς ἑπομένας, ἄση. κωφότης ἦν, καὶ παρα-

ληρος. εἰκοστῇ, ποδῶν ὀδύνη, κωφότης, παράληρος ἀπέλιπεν, ἡμορράγησε σμικρὰ διὰ ῥινῶν, ἵδρωσεν, ἄπυρος. εἰκοστῇ τετάρτῃ ὁ πυρετὸς ὑπέστρεψεν, κώφωσις πάλιν, ποδῶν ὀδύνη παρέμεινε, παράληρος. εἰκοστῇ ἑβδόμῃ ἵδρωσεν πολλά, ἄπυρος, ἡ κώφωσις ἐξέλιπεν, ἡ τῶν ποδῶν ὑπέμεινεν ὀδύνη. τὰ δ' ἄλλα τελέως ἐκρίθη.

que. Vigesimo pedum dolor cepit & surditas & delirium reliquerunt; paucus ex naribus sanguis prorupit; sudavit; à febre liberata est. Vigesimoquarto febris reversa est; iterumque surditas; pedum dolor permansit; delirium. Vigesimoseptimo copiosè sudavit; à febre immunis, surditas reliquit, pedum dolor aliquantulum moratus est; in cæteris perfectè judicata est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὕτη φαίνεται πληθωρικῶς νοσῆσαι, καὶ ὅσον γε ἐπὶ τοῖς ἀπ' ἀρχῆς αὐτῇ προσπεσοῦσι, κἂν ἔδεισέ τις ὥσπερ τεθνηξομένης. ἡ δὲ τῶν οὔρων εὐχροία μέγιστον σημεῖον ἐπὶ τοῖς πληθωρικῶς νοσοῦσι, ἐπεὶ δ' οὐκ ἦν παχέα, χρονιωτέραν ἐδήλου τὴν νόσον ἔσεσθαι. φαίνονται δέ, ὥσπερ ἐπὶ πάντων τῶν ἀρρώστων, οὕτω κἀνταῦθα τῶν κρισίμων ἡμερῶν περίοδοι σώζεσθαι. καὶ μέντοι καὶ ἡ φύσις ἐν ταύτῃ φαίνεται, κρίσιμα σημεῖά τε καὶ συμπτώματα προδεικνῦσα.

GALENI COMMENTARIUS.

EX humorum hæc abundantia videtur ægrotasse, & quantum portendebant prima symptomata, mortem certè huic timeres. Sed bonus urinarum color iis, qui humorum copiâ laborant, maximum est signum, quæ quia crassæ non erant, fore longinquiorem morbum denunciabant. Porro ut in omnibus ægris, & ita etiam videntur hîc servati decretoriorum dierum esse circuitus. Jam natura quoque in hac, decretoria signa & symptomata videtur prætulisse.

Τὸν Ἀναξίωνα Ἀβδηρίτην πυρετὸς ὀξὺς ἔλαβε μετὰ τῆς δεξιοῦ πλευροῦ ὀδύνης, καὶ βηχὸς ξηρᾶς, καὶ τῆς δίψης σφοδρᾶς, καὶ τῶν ἄλλων συμπτωμάτων, δι' ὧν μέχρι τῆς εἰκοστῆς ἡμέρας συνεχῶς ἐτρυχώθη, ἀφ' ἧς ἡμέρας μέχρι τῆς εἰκοστῆς ἑβδόμης ἄπυρος ἦν. καὶ τότε ἀνεστρέφετο ὁ πυρετός, ὃς τριακοστῇ τετάρτῃ τῷ ἱδρῶτι κριτικῷ ἐλύθη. Διατί τρεῖς ἐμνημόνευσε φλεβοτομίας ὁ Ἱπποκράτης τῇ ὀγδόῃ γενομένης.

Anaxionem Abderitam acuta febris prehendit cum dextri lateris dolore, tussi sicca, siti vehementi, & aliis symptomatibus quibus adusque vigesimum diem continenter vexatus est, à quo die febris ad vigesimumseptimum diem expers fuit; ac tum recidit febris, quæ trigesimoquatto, sudore critico soluta est. Cur ter meminit Hippocrates phlebotomiæ octavo die factæ?

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οθ'.

ΑΡΡΩΣΤΟΣ η'.

ΕΝ Ἀβδήροισιν Ἀναξίωνα ὃς κατῴκει παρὰ τὰς Θρηικίας πύλας, πυρετὸς ὀξὺς ἔλαβε, πλευροῦ δεξιοῦ ὀδύνη ξυνεχής, ἔβησσε ξηρά, οὐδ' ἔπτυε τὰς πρώτας, διψώδης, ἄγρυπνος, οὖρα εὔχροα, πολλά, λεπτά. ἕκτῃ παράληρος, πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. ἑβδόμῃ ἐπίπονος, ὁ γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν, αἵ τε βῆχες ξυνώχλεον, δύσπνοός τε ἦν. ὀγδόῃ, ἀγκῶνα ἔτεμον, ἐρρύη πολλόν, οἷον δεῖ, ξυνέδωκαν μὲν οἱ πόνοι, αἱ μέντοι βῆχες ξηραὶ παρείποντο. ἑνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοί, σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν, ἔτι βῆχες, καὶ τὰ ἀπὸ πλεύμονος ὑγρότερα. ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ πέπονα πτύειν, ἐκουφίσθη, διψώδης ἦν, καὶ τῶν ἀπὸ πλεύμονος, οὐ χρησταὶ αἱ καθάρσιες. Εἰκοστῇ, ἵδρωσεν ἄπυρος, μετὰ δὲ κρίσιν ἐκουφίσθη. εἰκοστῇ ἑβδόμῃ ὁ πυρετὸς ὑπέστρεψεν, ἔβησσεν, ἀνῆγε πέπονα πολλά, οὔροισιν ὑπόστασις πολλή, λευκή, ἄδιψος ἐγένετο, ὕπνοι. τριακοστῇ τετάρτῃ ἵδρωσεν δι' ὅλου, ἄπυρος, ἐκρίθη πάντα.

HIPPOCRATIS TEXTUS LXXIX.

ÆGROTUS OCTAVUS.

ABderæ Anaxionem ad Thracias portas decumbentem febris acuta prehendit; lateris dextrè dolor continuus; sicca tussivit; neque quicquam primis diebus expuebat; sitibundus; insomnis; urinæ probè coloratæ, copiosæ, tenues. Sexto die deliravit. Adfotus autem nihil remittebatur. Septimo dolores patiebatur, febris enim intendebatur, neque dolores remiserant, tussesque vexabant, difficile spirabat. Octavo venam in cubito secui, multum sane sanguinis, prout decebat, effluxit. Dolores certe: verùm tusses siccæ perseverarunt. Vndecimo remisit febris paucumque circa caput sudavit: etiamnum tusses, & quæ à pulmone educebantur, erant liquidiora. Decimoseptimo cœpit pauca cocta expuere, levatus est, sitibundus erat, & pulmonis aliquantulum probæ erant purgationes. Vigesimo sudavit febre vacuus; post crisim levatus est. Vigesimoseptimo febris reversa est: tussivit, cocta multa eduxit, urinis sedimentum copiosum, album, absque siti erat, somni accesserunt. Trigesimo quarto per universum corpus sudavit, febre solutâ, prorsus judicatus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τούτου μόνου τῶν ἀρρώστων ἐν τῷ α'. τε καὶ τῷ γ'. βιβλίῳ τῶν γεγραμμένων ἀρρώστων, ἐμνημόνευσε φλεβοτομίας ὁ Ἱπποκράτης, οὐχ ὡς μόνου φλεβοτομηθέντος, ἀλλ' ὡς κατὰ τὴν ἡμέραν μόνου. καὶ τῶν ἰατρῶν, ὥσπερ ἐκ νόμου τινός, οὐκέτι μετὰ τὴν δ'. ἡμέραν φλεβοτομούντων. ὅπου τοί-

GALENI COMMENTARIVS.

IN hoc uno ægrorum primo & tertio Libro descriptorum, de sanguinis missione Hippocrates fecit mentionem, ut non solo, cui sanguinem misisset, sed ut octavo die solo: Nam tum etiam Medici quasi lege certa, ultra quartum diem venam non secabant. Quando igi-

tur huic octavo die missus sanguis est, multo certe plures censeas sanguinis missionem requirentes, secundo, tertio, quarto die auxilio hoc esse usos. Reticuit autem Hippocrates, sicut remedia alia omnia: tamen necesse interdum habuit scribere, nihil eos ab iis, quæ offerebantur, adjutos fuisse, ut malignitatem suggereret morbi: neque enim lucubrationem hic curationis instituit, sed præsagitionis conscribere. Nonnullis etiam ægris videtur non fuisse ab initio præsto: quare adscribit interim, Huic perpetuo, postquam ego ipsum vidi, hoc & hoc accidit exactè. Ego vero ignorantibus, etiam horum ægrorum Libro primo De judiciis præscripsi usum ubi quo modo inconcoctum exquisitè morbum cognoscas: quomodo eum, qui jam primum maturescit: quo pacto qui progreditur in concoctione, quemadmodum qui jam perfectæ concoctioni proximus est: dilucide studui ostendere. Ideoque Anaxion hic, num semper tussiret, nihilque plane expueret, inconcoctissima conflictabatur pleuritide. Quum vero die undecimo expuere cœpisset, morbum significavit concoqui, deinde pedetentim tempore progrediente, ita scripsit Hippocrates in vigesimoseptimo die multa excreavit concocta, in urina multa subsidebant alba. Quamobrē trigesimoquarto est prorsus judicatus.

A νιῳ οὗτος ὀγδοαῖος ἐφλεβοτομήθη, πολὺ δήπου ἄλλοις ἡγητέον δεομένοις φλεβοτομίας περὶ β'. καὶ γ'. καὶ δ'. κεχρῆσθαι τῷ βοηθήματι. παρέλιπε δὲ ὁ Ἱπποκράτης ὥσπερ τῶν ἄλλων ἁπάντων βοηθημάτων, ἐφ' ὧν, ἀναγκασθεὶς ἐνίοτε γράφει, μηδὲν αὐτοὺς ὑπὸ τῶν προσφερομένων ὠφελῆσθαι, χάριν τοῦ τὴν κακοήθειαν ἐνδείξασθαι τοῦ νοσήματος. οὐ γὰρ θεραπευτικὴν αὐτῷ προὔκειτο ταύτην γράψαι πραγματείαν, ἀλλὰ προγνωστικήν. ἐπὶ τινῶν δ', οὐδ' ἀπ' ἀρχῆς φαίνεται παραγεγονὼς τοῖς ἀρρώστοις. ἐνίοτε γοῦν προσγράφει
B τοῦτο διὰ τέλεος, ἐξ οὗ κἀγὼ οἶδα, τὸ δέ τι καὶ τόδε συνέπεσε τελέως. τοῖς δὲ ἀγνοοῦσι, καὶ ἡ κατὰ τοῦτον τὸν ἄρρωστον ὠφέλειαι, δέδεικταί μοι διὰ τοῦ α'. περὶ κρίσεων, ἔνθα πῶς μὲν ἄν τις γνωρίσειε τὸ τελέως ἄπεπτον νόσημα. πῶς δὲ τὸ πέττεσθαι νυνὶ πρῶτον ἀρχόμενον, ὅπως δὲ τὸ προήκον ἐν τῇ πέψει, καὶ πῶς τὸ πλησίον ἤδη τῆς τελείας πέψεως ἐπειράθην ἐπιδεῖξαι σαφῶς. ὅγ' οὖν Αναξίων οὗτος, μέχρι μὲν οὖν βήττων ἦν, οὐδὲν δ' ἀπέπτυεν ὅλως, ἀπεπτοτάτην εἶχε τὴν πλευρῖτιν. ια'. δὲ ἡμέρα πτύειν ἀρξάμενος ἐδήλωσε πέττεσθαι τὴν νόσον, ἔπειτα κατὰ βραχὺ τῷ
C χρόνῳ προϊόντι, οὕτως ἔγραψεν ὁ Ἱπποκράτης κατὰ τὴν κζ'. ἀνῆγε πέπονα πολλά, οὔροισιν ὑπόστασις λευκή, καὶ διὰ τοῦτο, τελέως ἐκρίθη τῇ λ. καὶ δ'.

Heropitum Abderitam prævio dolore capitis acuta febre ardente correptum fuisse, fert historia, qui multis ac variis symptomatibus diu vexatus centesimo die perfecte salvus judicatus est.

Τὸν Ἡρόπυθον Ἀβδηρίτην προερχομένης κεφαλαλγίας ὑπὸ ὀξέος καυσώδη πυρετῷ ἐπιληφθῆναι φέρει ἱστορία, ὃς πόλλοις καὶ ποικίλοις συμπτώμασι διὰ πολλοῦ ἐνοχλη-
D θεὶς ἑκατοστῇ τελέως ἐκρίθη.

HIPPOCRATIS TEXTUS LXXX.

ÆGROTUS NONUS.

ABderæ Heropytus recto statu incedens capitis dolore correptus est. Non multo vero post tempore decubuit. (Is prope superiorem viam habitabat) quem febris ardens acuta prehendit. Per initia biliosa multa vomitu exclusa sunt, siticulosus, jactatio vehemens, urinæ tenues, nigræ, quibus inerat enæorema sublime, interdum quidem, interdum vero non, nox laboriosa, interdum varie febris exacerbabatur, & plurimum citra ordinem. Sub decimumquartum surditas, febres extensæ sunt, urinæ eadem. Vigesimo & proximis diebus multopere deliravit. Quadragesimo multus è naribus sanguis erupit, magisquè mente constitit, inerat quidem, sed minus surditas, remiserunt febres. Sequentibus diebus crebro & paulatim sanguis è naribus profluxit. Ad sexagesimum sanguinis eruptiones quidem cessarunt: verum ischii dextri dolor ortus est, ac febres intendebantur, neque vero multo post inferiorum partium dolores exorti sunt. Contigit autem aut febres majores & surditatem multam esse, aut hæc quidem remitti levarique, Ischii vero inferioris majores esse dolores. Iam vero ad octogesimum remiserunt quidem omnia, verum nihil dereliquit. Vrinæ siquidem boni coloris & copiosa sedimenta continentes descenderunt, & deliria sunt imminuta. Circiter centesimum alvus biliosis multis perturbata est, nec pauco tempore talia multa procede-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ π'.

ΑΡΡΩΣΤΟΣ θ'.

ΕΝ Ἀβδήροις, Ἡρόπυθος κεφαλὴν ἐπιπόνως εἶχεν ὀρθοστάδην. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατεκλίθη, ᾤκει πλησίον τῆς ἄνω ἀγωγῆς, πυρετὸς ἔλαβεν καυσώδης, ὀξύς, ἔμετοι τὸ κατ' ἀρχὰς πολλῶν χολώδεων, διψώδης, πολλὴ δυσφορίη, οὖρα λεπτὰ, μέλανα, ἐναιώρημα μετέωρον, ὁτὲ μὲν, ὁτὲ δ' οὔ. νύκτα ἐπιπόνως, πυρετὸς ἄλλο-
E τε ἀλλοίως παροξυνόμενος, τὰ πλεῖστα ἀτάκτως. περὶ δὲ τεσσαρεσκαιδεκάτην, κώφωσις, οἱ πυρετοὶ ὀξέτεινον, οὖρα διὰ τῶν αὐτῶν. εἰκοστῇ, πολλὰ παρέκρουσεν, καὶ τὰς ἑπομένας. τεσσαρακοστῇ, διὰ ῥινῶν ἡμορράγησε πολὺ, καὶ κατενόει. μᾶλλον ἡ κώφωσις ἐνῆν μὲν, ἧσσον δὲ, οἱ πυρετοὶ ξυνέδωκαν, ἡμορράγει τὰς ἑπομένας, πυκνὰ, καὶ κατ' ὀλίγον. περὶ δὲ τὴν ἑξηκοστὴν, αἱ μὲν αἱμορραγίαι ἀπεπαύσαντο. ἰσχίου δὲ δεξιοῦ ὀδύνη ἰσχυρὴ, καὶ οἱ πυρετοὶ ἐπέτεινον, οὐ πολλῷ δὲ χρόνῳ ὕστερον, πόνοι τῶν
F κάτω πάντων. ξυνέπιπτε δὲ, ἢ τοὺς πυρετοὺς εἶναι μείζους, καὶ τὴν κώφωσιν πολλὴν, ἢ ταῦτα μὲν ὑφιέναι, καὶ κουφίζειν, τῶν δὲ κάτω, περὶ ἰσχία, μείζους εἶναι τοὺς πόνους. ἤδη δὲ περὶ τὴν ὀγδοηκοστὴν, ξυνέδωκε μὲν πάντα, ξυνέλιπεν δὲ οὐδέν. οὖρα τε γὰρ εὔχροα, καὶ πλείους ὑποστάσιας ἔχοντα κατέβαινεν, οἱ παράληροί τε μείους ἦσαν. περὶ δὲ ἑκατοστὴν, ἡ κοιλίη πολλοῖσι χολώδεσιν ἐπεταράχθη, καὶ εἴη χρόνον οὐκ ὀλίγον πολλὰ τοιαῦτα. καὶ

πάλιν δυσεντεριώδεα μετὰ πόνου. τῶν δὲ ἄλλων ῥαστώνη. ὃ δὲ ξύνολον, οἵ τε πυρετοὶ ἐξέλιπον, καὶ ἡ κώφωσις ἐπαύσατο. ἐν ἑκατοστῇ τελέως ἐκρίθη καῦσος.

A *bant, tandemque dysenteria cum dolore vexavit, in aliis facilitas. In totum autem tum febres reliquerunt, tum surditas desiit. Centesimo planè judicatus est. Febris erat ardens.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἄνθρωπος ἄξιος μνήμης ἐξαρκέσας νοσήματι χαλεπῷ διὰ τὴν εὐρωστίαν τῆς δυνάμεως. ἀδύνατον γὰρ ἄλλως ἀντισχεῖν ἰσχυροῖς πάθη. καὶ πάντως ἦν ἐν τοῖς σφυγμοῖς αὐτοῦ ῥώμη τε ἅμα καὶ πάντα τἄλλα τὰ κατὰ τὴν φύσιν σωζόμενα· καί μοι λέλεκται, καὶ ἄλλοτε παραλελεῖφθαι δὲ μέρος τοῦτο τῆς ἐπὶ τῶν πυρεττόντων προγνώσεως ὑπὸ Ἱπποκράτους. φαίνεται δ' οὖν ὑπὸ κάμνοντι, καὶ τὰ περὶ τὴν ἀναπνοὴν τε καὶ τὴν ὄρεξιν ἄμεμπτα γεγονέναι, μεγάλην ἔχοντα δύναμιν εἰς σωτηρίαν, ὡς αὐτὸς ἐδίδαξεν. ὁ πυρετὸς δ' ἐν ἀρχῇ μὲν ὀξὺς εἰσέβαλεν. ἐξελύθη δὲ αὐτοῦ κατὰ τὸν ἑξῆς χρόνον ἡ ὀξύτης. ἔγραψε δὲ ἐπ' αὐτοῦ, πυρετοὶ ἄλλοτε ἀλλοίως, παροξυνόμενοι τὰ πλεῖστα ἀτάκτως. ἓν δὲ μόνον ἐγένετο χαλεπὸν τῷ κάμνοντι σημεῖον, ἡ τῶν οὔρων λεπτότης τε καὶ μελανότης. διὸ καὶ πολλῷ χρόνῳ μόγις ἡ φύσις ἐκράτησε τοῦ νοσήματος, αἱμορραγίαν τε κινήσασα κατὰ τὴν μ'. ἡμέραν ἐκ κρισίμων οὖσαν, ἰσχίου τε ὀδύνην, καὶ τῶν κάτω πάντων, ἐργασαμένη μετὰ ταῦτα. δέονται γὰρ τὰ μεγάλα τῶν νοσημάτων καὶ τῶν κρινόντων αὐτὰ γενναίων, ἀλλ' οὐδ' ἐπὶ τούτῳ ἐπαύσατο τελέως ἡ νόσος. περὶ δὲ τὴν π'. ἡμέραν ἐφάνη σημεῖα πεπασμοῦ αὐτῆς διὰ τῶν οὔρων, ἐφ' οἷς μετὰ βραχὺ μέχρι τῆς ρ'. πεφθεῖσα, τὴν παντελῆ λύσιν ἐποιήσατο.

GALENI COMMENTARIUS.

Hic vir memoratu dignus est, qui morbum gravem virium robore excepit, alioqui tanto morbo futurus impar. Et omnino pulsibus ejus inerat robur, simulque B reliqua omnia secundùm naturam constabant. Dixi vero & alibi Hippocratem præteriisse hanc partem in febricitantibus præsagitionis. Jam etiam respiratio videtur, & appetitus laboranti inculpatus fuisse: quæ magnæ sunt, ut ille ipse docuit, ad salutem, ponderis. At febris primo quidem acuta invasit, verùm ejus postea est acuitas retusa. De qua scripsit Hippocrates: febris aliàs aliter exacerbabatur, sed fere inordinate. Unum vero habebat æger periculosum signum, urinarum tenuitatem, & C nigritiem. Unde natura vix longo tempore morbum debellavit, sanguinis concitata eruptione die quadragesimo ex decretoriis uno, coxendicisque dolore, & omnium inferiorum partium, postea creato: Nempe enim magni morbi etiam quærunt, quæ judicent se, egregia. At neque hoc plane est dicussus morbus, sed citra diem octogesimum signa eluxerunt ex urinis ejus maturationis: postea usque ad centesimum diem paulatim concoctus, omnino est profligatus.

D

Ἡ τοῦ Ἀβδηρίτου Νικοδήμου ἱστορία, ὃς ἐξ ἀφροδισίων καὶ πότων τῷ πυρετῷ ἐπιληφθεὶς τοῖς πολλοῖς συμπτώμασιν ἐνοχληθεὶς τῇ εἰκοστῇ τετάρτῃ ὑπὸ πολλοῦ ἱδρῶτος δι' ὅλου γενομένου ἀπύρετος τελέως ἐκρίθη.

Abderitæ Nicodemi historia, qui ex Venere & Baccho febre correptus, multis symptomatibus vexatus vigesimoquarto die, copioso universi corporis sudore plane judicatus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν'.

ΑΡΡΩΣΤΟΣ β'.

ΕΝ Ἀβδήροισι, Νικόδημον, ἐξ ἀφροδισίων, καὶ πότων, πυρετὸς ἔλαβε. ἀρχόμενος δὲ ἦν ἀσώδης, καρδιαλγικὸς, διψώδης, γλῶσσα ἐπικεκαυμένη, οὖρα λεπτὰ, μέλανα. δευτέρῃ, ὁ πυρετὸς παρωξύνθη, φρικώδης, ἀσώδης, οὐκ ἐκοιμήθη, ἤμεσε χολώδεα, ξανθὰ, οὖρα ὅμοια, νύκτα δι' ἡσυχίης, ὕπνωσεν. τρίτῃ ὕφηκε πάντα, ῥαστώνη δὲ ἦν περὶ ἡλίου δυσμὰς, πάλιν ὑπεδυσφόρει, νύκτα ἐπιπόνως. τετάρτῃ ῥῖγος, πυρετὸς πολὺς, πόνοι πάντων, οὖρα λεπτὰ, ἐναιώρημα, παρέκρουσε πολλά. ἑβδόμῃ, ῥαστώνη. ὀγδόῃ τὰ ἄλλα ξυνέδωκε πάντα. δεκάτῃ, καὶ τὰς ἑπομένας, ἐνῆσαν μὲν οἱ πόνοι, ἧσσον δὲ πάντες. οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τούτῳ διὰ τέλεος ἐν ἀρτίῃσιν ἦσαν μᾶλλον. εἰκοστῇ οὔρησε λευκὸν, πάχος εἶχε, κείμενον οὐ καθίστατο, ἵδρωσε πολλῷ, ἔδοξεν ἄπυρος γενέσθαι. δείλης δὲ πάλιν ἐθερμάνθη, καὶ οἱ αὐτοὶ πόνοι, φρίκη, δίψα, σμικρὰ παρέκρουσεν. εἰκοστῇ τετάρτῃ οὔρησε πολὺ, λευκὸν, πολλὴν ὑπόστασιν ἔχον, ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἀπύρετος ἐκρίθη.

HIPPOCRATIS TEXTUS LXXXI.

ÆGROTUS DECIMUS.

E *Abderæ Nicomedum ex Venere & potu orta febris prehendit. Incipiens autem anxietate, cordolio & siti vexatus: lingua exusta est; urinæ tenues, & nigræ. Secundo die febris exacerbata est cum horore; anxius, nihil dormivit; vomuit biliosa flava; eædem urinæ; noctem quietam transegit; dormivit. Tertio remissa sunt omnia; & adfuit tranquillitas: sub solis occasum aliquantulum jactatus est; noctem molestè tulit. Quarto rigor invasit, febris multa, omnium dolores, urinæ tenues, enæorema, multum deliravit. Septimo levamentum. Octavo cætera omnia remiserunt, sequentibusque diebus dolores quidem tenuerunt, sed minores omnes: Hunc autem exacerbationes & dolores perpetuo diebus paribus invaserunt.* F *Vigesimo urinam reddidit albam crassamentum continentem quæ deposita non subsidebat, copiosè sudavit, absque febre visus est. Sub vesperam iterum recaluit, iidem dolores, horror, sitis, nonnihil deliravit. Vigesimoquarto copiosam minxit urinam albam, quæ copiosum sedimentum deponebat, copioso sudore calido per universum corpus effuso, à febre liber judicatus est.*

GALENI

A

GALENI COMMENTARIUS.

Et ipse Hippocrates significavit dicens: Accessiones & dolores diebus paribus, quare etiam à vigesimo die sudore est judicatus. Sigillatim vero qui omnia tenet memoria quæ antè exposuimus hoc Libro, & superioribus duobus, atque ante hos in præsagiis, & prædictionibus, invenire omnia ipse poterit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐπεσημήνατο λέγων, οἱ παροξυσμοὶ, καὶ οἱ πόνοι ἐν ἀρτίῃσι, διὰ τοῦτο γοῦν ἐκρίθη μετὰ τὴν κ΄. ἡμέραν ἱδρῶτι. τὰ δὲ κατὰ μέρος, ὁ μεμνημένος ἁπάντων, ὡς ἔμπροσθεν ἐξηγησάμην, ἔν τε τούτῳ τῷ βιβλίῳ, καὶ τοῖς πρὸ αὐτοῦ δυσὶ, καὶ πρὸ τούτων τῷ προγνωστικῷ τε καὶ προῤῥητικῷ, δυνατὸς ἂν εἴη πάντα ἐξευρίσκειν αὐτός.

Morosæ mulieris historia, quæ ex occasione mœrore oborto, in febrem continuam acutam incidit. Hæc multis symptomatibus vexata, mœroribus, deliriis, convulsionibus, doloribus, cataphora, vigiliis, tandem sudore copioso & profusis menstruis, salva judicata est.

B Ἡ τῆς γυναικὸς δυσηνίου ἱστορία· αὕτη μὲν μετὰ προφάσεως ἐκ τῆς λύπης γενομένης εἰς πυρετὸν συνεχῆ καὶ ὀξὺν περιέπεσεν. ἡ δὲ τοῖς πολλοῖς συμπτώμασιν ἐνοχληθεῖσα τοῖς φόβοις, ταῖς δυσθυμίαις, καὶ παραφροσύναις, καὶ σπασμοῖς, καὶ καταφορᾷ, καὶ ἀγρυπνίαις, τέως δὲ τοῦ πολλοῦ ἱδρῶτος γενομένου, καὶ καταχεχυμένων καταμηνίων, ὑγιὴς ἐκρίθη.

HIPPOCRATIS TEXTUS LXXXII.

ÆGROTUS UNDECIMUS.

In Thaso morosa mulier ex mœrore cum occasione rectà incedens, tum somni, tum cibi oblita & siti & jactatione premebatur. Habitabat autem prope Pyladis ædes in Plano. Primo die sub initium noctis metus; sermones multi; mæstitia, levis febricula, manè convulsiones multæ. Quum autem intermisissent convulsiones illæ multæ, delirabat; obscœna fabulabatur, dolores multi, magni, continui. Secundo eadem; nihil dormivit; febris acutior. Tertio quidem convulsiones cessarunt; coma vero & cataphora, & rursum vigiliæ infestaverunt; exiliit; continere se non potuit; multum deliravit; febris acuta. Nocte vero eadem; sudore copioso calido per universum corpus sudavit, à febre libera dormivit; omnino mente constitit, judicata est. Circa tertium diem urinæ nigræ, tenues, enæorema vero aliquandiu valde rotundum non subsidebat. Sub crisim muliebria multa prodierunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πβ΄.

C

ΑΡΡΩΣΤΟΣ ια΄.

Ἐν Θάσῳ γυνὴ δυσήνιος, ἐκ λύπης μετὰ προφάσιος, ὀρθοστάδην, ἐγένετο ἄγρυπνός τε καὶ ἄσιτος, καὶ διψώδης ἦν καὶ ἀσώδης, ᾤκει δὲ πλησίον τῶν Πυλάδου, ἐπὶ τοῦ λείου. τῇ πρώτῃ, ἀρχομένης νυκτὸς, φόβοι, λόγοι πολλοὶ, δυσθυμίη, πυρέτιον λεπτόν, πρωῒ σπασμοὶ πολλοὶ, ὅτε δὲ διαλίποιεν οἱ σπασμοὶ οἱ πολλοὶ, παρέλεγεν, ἠσχρομύθει, πολλοὶ πόνοι, μεγάλοι, ξυνεχέες. δευτέρα, διὰ τῶν αὐτῶν, οὐδὲν ἐκοιμᾶτο, πυρετὸς ὀξύτερος. τρίτῃ D οἱ μὲν σπασμοὶ ἀπέλιπον, κῶμα δὲ, καὶ καταφορὴ, καὶ πάλιν ἔγερσις, ἀνήισσε, κατέχειν οὐκ ἠδύνατο, παρέλεγε πολλὰ, πυρετὸς ὀξύς. ἐς νύκτα δὲ ταύτην, ἵδρωσε πολλῷ θερμῷ δι᾽ ὅλου, ἄπυρος ὕπνωσε, πάντα κατενόει, ἐκρίθη. περὶ δὲ τρίτην ἡμέρην, οὖρα μέλανα, λεπτὰ, ἐναιώρημα, δὲ ἐπὶ πολὺ στρογγύλον, οὐχ ἱδρύετο. περὶ δὲ κρίσιν γυναικεῖα πολλὰ κατέβη.

GALENI COMMENTARIUS.

Quid dictio δυσήνιος, id est, morosus, significet, docuit Critias: cujus sunt hæc verba; Morosus est, qui vilibus de rebus stomachatur, & de magnis, plus cæteris mortalibus, diutiusque. Erat ergo tristis vel tetrica, quam hic morosam Hippocrates vocat, quæ diu in tristitia persistebat: quod iterum paulo post de ea dicit, quæ Cyzici gemellas filias enixa erat: Tacita verò & tetrica, nec ad animi æquitatem perduci potuit. Verùm non possum non mirari, cur in hac muliere non addiderit, vel cohibitos omnino fuisse menses, vel non perfectè profluxisse. Nam acutè simul, & ex humorum abundantia videtur laborasse, atque tertio die sub noctem per sudores esse, & mensium excretionem judicata. Quin etiam multi menses post judicium evacuati, morbi decessionem confirmaverunt. Urina verò, licet esset niger, nihil attulit periculosi: quod retenti menses essent magis melancholici; unde mulier merito morosa evasit, & timida, interimque deliravit, & comate est detenta.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Τί ἡ δυσήνιος φωνὴ σημαίνει, Κριτίας ἐδήλωσε, γράψας ὧδε· δυσήνιός ἐστιν ὅ τις ἐπὶ τοῖς μικροῖς ἀνιᾶται, καὶ ἐπὶ τοῖς μεγάλοις, μᾶλλον ἢ οἱ ἄλλοι ἄνθρωποι, καὶ πλείω χρόνον, εἴη λυπηρὸς, ἢ σκυθρωπὸς, νῦν ὑφ᾽ Ἱπποκράτους εἰρημένη δυσήνιος, παραμεινάσης αὐτῇ τῆς λύπης ἐπὶ πλείονα χρόνον, ὅπερ πάλιν μετ᾽ ὀλίγων ἐπὶ τῆς ἐν Κυζίκῳ τὰς διδύμους θυγατέρας τεκούσης ἔφη. σιγῶσα δὲ καὶ σκυθρωπὴ, καὶ οὐ πειθομένη. θαυμάζω γε μὴν, πῶς οὐ προσέγραψεν ἐπὶ τῆς γυναικὸς ταύτης, ἤτοι γε ἐπεσχῆσθαι τὰ καταμήνια παντάπασιν, ἢ μὴ τελέως γεγονέναι. F φαίνεται γὰρ ὀξέως τε ἅμα καὶ πληθωρικῶς νοσῆσαι, καὶ τῇ γ΄. τῶν ἡμερῶν εἰς νύκτα διά ἱδρώτων τε κεκρίσθαι, καὶ καταμηνίων ἐκκρίσεως. ἀλλὰ καὶ μετὰ τὴν κρίσιν ἐκκενωθέντα πολλὰ, βεβαίαν εἰργάσατο τὴν γενομένην ἀπαλλαγὴν τοῦ νοσήματος. ἡ δὲ τῶν οὔρων χρόα, καίτοι μέλαινα γενομένη, χαλεπὸν οὐδὲν εἰργάσατο, διότι καταμηνίων ἐπίσχεσις ἦν μελαγχολικωτέρων, ἐφ᾽ οἷς εἰκότως ἡ γυνὴ δυσήνιος ἐγένετο, καὶ φοβερὰ, καὶ παρέκρουσεν ἐν μέρει ποτὲ, καὶ κωματώδης γενομένη.

A

Η τῆς παρθένου Λαρισσαίας ἱστορία ἣ διὰ τὸ Πληθώρεαν ὠ πυρετῷ καυσώδει ἐπιληφθεῖσα, πολλοῖς συμπτώμασι, καὶ πόνοις ταῖς ἀρτίαις ἡμέραις ἐνοχληθεῖσα, τῇ ἕκτῃ ἡμέρᾳ πολλῶν τῶν ἱδρώτων, καὶ καταμηνίων ἐκβαινόντων ὑγιὴς ἐκρίθη. τὰ τῆς πληθώρας σημεῖα. πότερον τὸ ἐναιώρημα μετέωρον τῆς παραφροσύνης σημεῖον.

Virginis Larissææ historia, quæ à Plethora, febre ardente detenta, multis symptomatibus & laboribus paribus diebus vexata, sexto die copioso sudore, & menstruis prodeuntibus salva judicata. Plethoræ signa. Utrùm enæorema sublime dementiæ signum sit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πγ'. B

ΑΡΡΩΣΤΟΣ ιβ'.

ΕΝ Λαρίσῃ τὴν παρθένον πυρετὸς ἔλαβε καυσώδης, ὀξὺς, ἄγρυπνος, διψώδης, γλῶσσα λιγνυώδης, ξηρὴ, οὖρα εὔχροα μὲν, λεπτὰ δέ. δευτέρα ἐπιπόνως, οὐχ ὕπνωσε. τρίτη πολλὰ διῆλθεν ἀπὸ κοιλίης ὑδατόχροα, καὶ τὰς ἐπομένας διὰ τοιαῦτα εὐφόρως. τετάρτη οὔρησε λεπτὸν, ὀλίγον, εἶχεν ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο, παρέκρουσεν ἐς νύκτα. ἕκτη δὲ ἀπὸ ῥινῶν λάβρον ἐῤῥύη πολὺ, φρίξασα, ἱδρῶσε C πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος ἐκρίθη. ἐν δὲ τοῖσι πυρετοῖσι καὶ ἤδη κεκριμένων, γυναικεῖα κατέβη πρῶτον τότε, παρθένος γὰρ ἦν. ἦν δὲ διὰ παντὸς ἀσώδης, φρικώδης, ἔρευθος προσώπου, ὀμμάτων ὀδύνη, καρηβαρική. ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη οἱ πόνοι ἐν ἀρτίῃσιν.

HIPPOCRATIS TEXTUS LXXXIII.

ÆGROTUS DUODECIMUS.

Larissæ virginem febris ardens & acuta prehendit; insomnis erat, sitibunda; lingua fuliginosa, arida; urinæ probè coloratæ, sed tenues. Secundo die laboriosè degebat; non dormivit. Tertio & sequentibus diebus multæ dejectiones aquei coloris ab alvo exclusæ sunt. Quarto urinam tenuem paucam reddidit quæ enæorema sublime habuit, neque subsidebat, sub noctem deliravit. Sexto per nares sanguis abundè copiosus effluxit, horruit, sudore copioso calido per totum corpus effuso, febre libera judicata est. In febre autem, & jam judicata tunc primum huic muliebria descenderunt; virgo siquidem erat. Erat autem & perpetuò anxia, horrida, cui faciei rubor, oculorum dolor, & capitis gravitas. Huic febris reversa; sed judicata, diebus paribus dolores invaserant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν ὥραν εἶχεν ἡ παρθένος καταμηνίων, δῆλόν ἐστιν ἐξ ὧν αὐτὸς ἔγραψεν εἰπὼν ὧδε· γυναικεῖα κατέβη. D τότε πρῶτον φαίνεται καὶ ἡ νόσος αὐτῇ γεγονέναι πληθωρική, καὶ κεκρίσθαι μὲν ἐπὶ τῆς ϛ'. ἡμέρας, διότι τοὺς πόνους εἶχεν ἀρτίαις, ὡς αὐτὸς ἔγραψε. παράδοξον δὲ τὸ μηδ' ὑποστρέψαι, καίτοι τῆς ϛ'. ἡμέρας μηδέ ποτε πιστῶς κρινούσης. ξένον οὖν τοῦτο καὶ πάνυ σπάνιον ἐπ' αὐτῆς γενόμενον ἐπεσημήνατο. γράψας, ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη, ὡς δέον ὑποστρέψαι. ἀλλὰ καὶ τὴν αἰτίαν ἔγραψε τοῦ μὴ ὑποστρέψαι, προσθεὶς ἐν τοῖσι πυρετοῖσι καὶ ἤδη κεκριμένων, γυναικεῖα κατέβη. τὸ γὰρ ἐπιμεῖναι τὴν κένωσιν αὐτῇ, μετὰ τὴν κρίσιν ἡμέραις ἱκανὸν ἐγένετο βεβαίαν φυλάξαι τὴν προηγησαμένην κρίσιν, ἐν E τῇ ϛ'. ἡμέρᾳ δι' αἱμοῤῥαγίας τε καὶ ἱδρώτων, καὶ μάλιστα ὅτι μήτε φλεγμονή τις ἐγένετο κυρίου μορίου, μήτε κακοῆθες ἦν τὸ πλῆθος. αὐτὸς γὰρ ἐπεσημήνατο, πληθωρικὴν εἶναι τὴν διάθεσιν ἐν ᾧ φησὶ διὰ παντὸς ἐσχηκέναι προσώπου μὲν ἔρευθος, ὀμμάτων δὲ ὀδύνην, καὶ καρηβαρίαν. εὔδηλον οὖν ἦν ὅτι κενώσεως ἐδεῖτο μόνης, καὶ ταύτην ἡ φύσις ἤρξατο μὲν ἐργάζεσθαι τῇ γ'. τῶν ἡμερῶν, συνεπλήρωσε δὲ κατὰ τὴν ϛ'. ὅτι δὲ τῷ λόγῳ τῆς φύσεως οὐχ ὡς σύμπτωμα τῆς νόσου διὰ τῆς γαστρὸς ἡ κένωσις ἐγένετο, σαφῶς ἐδήλωσεν αὐτὸς γράψας. τῇ τρίτῃ δὲ πολλὰ διῆλθεν ἀπὸ F κοιλίης ὑδατόχροα, καὶ τὰς ἐπομένας ἦν τοιαῦτα εὐφόρως. τοῦτο προσκείμενον ἐνδείκνυται τὴν λυποῦσαν γίνεσθαι τὴν ἔκκρισιν. ἐπισημήνασθαι δὲ τὴν κατὰ τὴν διήγησιν αὐτῆς εἰρημένων ἄξιόν ἐστι καὶ ταῦτα τὰ β'. πρὸς τοῖς εἰρημένοις, ἓν μὲν τὸ κατὰ τὴν ἀρχὴν γεγραμμένον, γλῶσσα λιγνυώδης, ξηρὴ, δεύτερον δὲ τὸ δ'. οὐρῆσαι λεπτὸν, ὀλίγον, εἶχεν ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο, παρέκρουσε. τὸ μὲν γὰρ

GALENI COMMENTARIUS.

ÆTatem puellam attigisse mensium, ex ipsis liquet Hippocratis verbis: menses tum primum provenerunt, & ipsum etiam fuisse morbum ex humorum copia, judicatumque die sexto esse, quod dolores in dies pares incurrissent, ut ipse scripsit. At mirum non revertisse, quum sextus dies non judicet unquam fideliter. Quare novum hoc & rarum illi accidisse indicavit, quum scripsit; huic non repetiit, sed judicata est tanquam debuisset repetere. At vero causam etiam cur non redierit, scripsit addendo, dum febricitaret, & jam judicata esset, menses primum illi provenerunt. Nam vacuationis perseveratio diebus post judicium satis erat ut firmum servaretur judicium, quod die sexto præcesserat per sanguinis eruptionem, & sudores, maximè quòd nulla esset princeps pars inflammata, neque maligna humorum abundantia. Ipse certè plethoricum vitæ esse significavit, quum dicit, perpetuo in facie ruborem fuisse, in oculis dolorem, in capite gravitatem. Planum ergo erat solam requiri vacuationem, quam natura tertio die incæpit, consummavit sexto. Nam per naturam, non ut morbi symptoma, ventris vacuationem accidisse ipse dilucide his verbis indicavit, tertio alvus multa reddidit aquei coloris, proximisque diebus talia commodè: hoc adjectum denotat, quæ offerebant, excerni, porro ex iis quæ sunt in ejus historia exposita, etiam hæc duo ad prædicta declaranda duxi, primum quando initio est scriptum, lingua fuliginosa & arida, alterum hoc, quarto urina tenuis & pauca habebat, suspensionem elatam, non subsidebat, deliravit. Nam horum

prius relatum utile tibi est, ut ne omnino putes fuliginosam linguam esse exitialem: sic autem appellat tinctam quasi fuligine quadam quæ sicca erat ex vaporibus: alterum, quia etiam in aliis ægris quum dixerit, suspensio elata, statim subjecit, deliravit, innuens quod ejusmodi suspensiones delirium comitatur, quanquam in præsagiis ubi omnia, quæ accidunt urinis, est persecutus, nullum fecit præsagium ex eis delirii. Quare signum hoc videtur per seipsum delirium nunquam denunciare, sed casu nonnunquam commonstrare, quia flatuosiorem esse sanguinem indicat: Nam, nullus plane si flatus insit, deferuntur ad ima vasa suspensiones.

αὐτῶν πρότερον εἰρημένον, χρήσιμόν ἐστιν εἰς τὸ μὴ παντελῶς ἡγεῖσθαι ὀλεθρίαν τὴν λιγνυώδη γλῶσσαν· ὀνομάζει δ' οὕτως τὴν ἐπικεχρωσμένην οἷον λιγνύϊ τινὶ, ξηρὰν οὖσαν ἐκ τῆς ἀναθυμιάσεως. τὸ δὲ β'. ἐπειδὴ καὶ κατ' ἄλλους ἀῤῥώστους εἰπὼν ἐναιώρημα μετέωρον, εὐθέως ἐπέζευξεν αὐτῷ, τὸ, παρέκρουσεν, ἐμφαίνων, τοῖς τοιούτοις ἐναιωρήμασιν ἕπεσθαι παραφροσύνην. καίτοι κατά γε τὸ προγνωστικὸν ἅπαντα τὰ περὶ τῶν οὔρων διελθὼν, οὐδεμίαν ἐξ αὐτῶν εἰς παραφροσύνην ἐποιήσατο πρόγνωσιν. ἔοικεν οὖν τὸ σημεῖον τοῦτο καθ' αὑτὸ μὲν, οὐδέποτε σημαίνειν παραφροσύνην, συνενδείκνυσθαι δέ ποτε κατὰ συμβεβηκὸς, ἐπειδὴ πνευματωδέστερον εἶναι δηλοῖ τὸ ἐναιώρημα· κατὰ γὰρ τὸ παντελῶς ἄφυσον, εἰς τὸ κάτω τῶν ἀγγείων φέρεται τὰ ἐναιωρήματα.

Apollonii Abderitæ historia, qui in recto statu incedens diuturnum hepatis dolorem ac tumorem passus ictericus, ob pravam diætam, & multis affectus symptomatibus hîc positis, trigesimoquarto obiit.

Ἡ τοῦ Ἀπολλωνίου Ἀβδηρίτου ἱστορία, ὃς ὀρθοστάδην τὴν πολυχρόνιον ἥπατος ὀδύνην, καὶ τὸν ὄγκον πεπονθὼς ἰκτερικὸς διὰ τὴν κακὴν δίαιταν, καὶ πολλοῖς κακωθεὶς συμπτώμασιν ἐνταῦθα τεθειμένοις, τῇ τριακοστῇ τετάρτῃ ἀπέθανε.

HIPPOCRATIS TEXTUS LXXXIV.

ÆGROTUS XIII.

Abderæ Apollonius recto statu diuturno tempore patiebatur. Erat autem viscerosus, & circa hepar consuetus dolor longo tempore comitabatur, ac tunc sanè etiam auriginosus factus est, flatulentus & coloris subalbi. Ex intempestiviore vero victu & carnis bubulæ esu aliquantulum primum incaluit, decubuit. Deinde usus lacte cocto & crudo, multo caprillo & ovillo, & vitioso victu læsiones omnium insignes sequutæ sunt. Nam & febres exacerbatæ sunt; venter ex ingestis, nihil effatu dignum reddidit; urinæ tenues & paucæ; somni non aderant; inflatio mala; sitis multa; comatosus; hypochondrii dextri tumor cum dolore; extrema undique subfrigida; aliquantulum delirabat; omnium quæ loquebatur, capiebat oblivio; exturbabatur. Ad decimumquartum à quo riguit, incaluit, decubuit, & vehementer insanivit; clamor; perturbatio; verba multa, & rursus sudor, tuncque accessit coma. Posthæc vero alvus perturbata multis, biliosis, meris, crudis; urinæ nigræ, paucæ, tenues; multa corporis jactatio, dejectiones variæ; aut enim nigræ & paucæ & æruginosæ; aut pingues & crudæ, & mordaces; Tandem vero etiam lacti similes reddi conspiciebantur. Sub vigesimumquartum mitigatione cætera quidem in iisdem perseverarunt; verùm aliquantulum mente valuit (ex quo vero tempore decubuit, nullus meminit) rursum vero cito deliravit; atque in deterius omnia ruebant. At circa trigesimum febris acuta invasit; stercora copiosa & tenuia dejecta sunt, delirus fuit; extrema frigida; voce captus est. Trigesimoquarto vita defunctus est. Ex quo eum ego vidi, huic perpetuo alvus turbulenta fuit; urinæ tenues, nigræ; comatosus, insomnis; extremitates frigidæ, per totum morbum deliravit, phrenitide periit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πδ'.

ΑΡΡΩΣΤΟΣ ιγ'.

Ἀπολλώνιος ἐν Ἀβδήροισιν, ὀρθοστάδην ὑπεφέρετο χρόνον πολύν. ἦν δὲ μεγαλόσπλαγχνος, καὶ περὶ ἧπαρ ξυνήθης ὀδύνη χρόνον πολὺν παρείπετο, καὶ δὴ τότε καὶ ἰκτερώδης ἐγένετο, φυσώδης, χροιῆς τῆς ὑπολεύκου· φαγὼν δὲ, καὶ πιὼν, ἀκαιροτέρως βόειον, ἐθερμάνθη μικρὰ τὸ πρῶτον, κατεκλίθη. γάλαξι δὲ χρησάμενος ἑφθοῖσι καὶ ὠμοῖσι, πολλοῖσιν αἰγείοισι, καὶ μηλείοισι, καὶ διαίτῃ κακῇ, πάντων αἱ βλάβαι μεγάλαι· οἵ τε γὰρ πυρετοὶ παρωξύνθησαν, κοιλίη τε τῶν προσενεχθέντων οὐδὲν διέδωκεν ἄξιον λόγου, οὖρα τε λεπτὰ καὶ ὀλίγα διῄει, ὕπνοι οὐκ ἐνῆσαν, ἐμφύσημα κακὸν, πολὺ δίψος, κωματώδης, ὑποχονδρίου δεξιοῦ ἔπαρμα ξὺν ὀδύνῃ, ἄκρεα πάντοθεν ὑπόψυχρα, σμικρὰ παρέλεγε, λήθη πάντων, ὅ, τι λέγοι, παρεφέρετο. περὶ δὲ τεσσαρεσκαιδεκάτην, ἀφ' ἧς ῥιγώσας ἀπεθερμάνθη, κατεκλίθη, καὶ ἐξεμάνη, βοὴ, ταραχὴ, λόγοι πολλοὶ, καὶ πάλιν ἵδρωσις, καὶ τὸ κῶμα τηνικαῦτα προσῆλθε. μετὰ δὲ ταῦτα κοιλίη ταραχώδης, πολλοῖσι χολώδεσιν, ἀκρήτοισιν, ὠμοῖσιν, οὖρα μέλανα, σμικρὰ, λεπτὰ, πολλὴ δυσφορίη, τὰ τῶν διαχωρημάτων ποικίλως· ἢ γὰρ μέλανα καὶ σμικρὰ, καὶ ἰώδεα, ἢ λιπαρὰ, καὶ ὠμὰ, καὶ δακνώδεα. κατὰ δὲ χρόνους ἐδόκεε καὶ γαλακτώδεα διδόναι. περὶ δὲ εἰκοστὴν τετάρτην, διὰ παρηγορίης. τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν, σμικρὰ δὲ κατενόησεν, ἐξ οὗ δὲ κατεκλίθη, οὐδενὸς ἐμνήσθη, πάλιν δὲ ταχὺ, παρενόει, ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. περὶ δὲ τριακοστὴν πυρετὸς ὀξὺς, διαχωρήματα πολλὰ, λεπτὰ, παρέλεγε, ἄκρεα ψυχρὰ, ἄφωνος. τριακοστῇ τετάρτῃ ἀπέθανε. τούτῳ διὰ τέλεος, ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ, μέλανα, κωματώδης, ἄγρυπνος, ἄκρεα ψυχρὰ, παράληρος, διὰ τέλεος φρενιτικός.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ περὶ τούτου πάλιν ὁ Ἱπποκράτης ὡς ἐπ' ἄλλων πολλῶν, αὖθις ἐπὶ τῷ τέλει τῆς διηγήσεως, ἐν κεφαλαίοις βραχέσιν ἐδήλωσε τὰ γενόμενα συμπτώματά τε καὶ σημεῖα, δι' ὧν ἄν τις προγνοίη τὸν ἐσόμενον θάνατον. ἔχει δὲ ἡ ῥῆσις ὧδε. τούτῳ διὰ τέλεος ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ, καὶ μέλανα, κωματώδης, ἄγρυπνος, ἄκρεα ψυχρὰ, παράληρος διὰ τέλεος. τῶν δὲ κατὰ μέρος οὐδέν ἐστιν ἀσαφὲς, εἴ τις τῶν προεξηγημένων B ἡμῖν μνημονεύει.

GALENI COMMENTARIVS.

Iam in hoc etiam Hippocrates, ut in aliis multis, in fine ipse narrationis brevibus capitibus symptomata & signa quæ acciderunt, docuit, ex quibus instare mortem prævideas. Habet autem dictio sic: huic perpetuo, postquam hominem ego vidi, alvus turbata fuit: urinæ tenues, & nigræ, comatosus ipse, & insomnis, extremæ partes frigidæ, delitus perpetuo. At singula clara sunt, si, quæ antè exposuimus, meministi.

Ἱστορία τῆς γυναικὸς Κυζικεῖας θυγατέρας διδύμους τεκούσης, ἣ ὅτι μὴ πάνυ καθαρθεῖσα ἀπὸ τῆς φλεγμανθείσης μήτρας, τῇ πρώτῃ τῷ πυρετῷ συνεχεῖ φρικώδει, ὀξεῖ ἐπιλήφθη, καὶ τοῖς πολλοῖς μεγάλοις συμπτώμασι κακωθεῖσα τεσσαρεσκαιδεκάτῃ ἀπέθανε φρενιτική.

Historia mulieris Cyzicìæ puerperæ quæ à partu gemellarum puellarum, quod non admodum purgata fuisset, & ab inflammato utero primo die febre continua cum horrore, acuta correpta est, & multis gravibus symptomatibus vexata decimoquarto die phrenitica mortua est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'. C

ΑΡΡΩΣΤΟΣ ιδ'.

Ἐν Κυζίκῳ, γυναικὶ θυγατέρας διδύμους τεκούσῃ, καὶ δυστοκησάσῃ, καὶ οὐ πάνυ καθαρθείσῃ τῇ μὲν πρώτῃ ἐπῆλθε. πυρετὸς φρικώδης, ὀξὺς, κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης, ἄγρυπνος ἐξ ἀρχῆς. σιγῶσα δὲ, καὶ σκυθρωπὴ, καὶ οὐ πειθομένη, οὖρα λεπτὰ, καὶ ἄχροα, διψώδης, ἀσώδης τὰ πολὺ, κοιλίη πεπλανημένως ταραχώδης, καὶ πάλιν ξυνισταμένη. ἕκτῃ εἰς νύκτα πολλὰ παρέλεγεν, οὐδὲν ἐκοιμήθη· περὶ δὲ ἑνδεκάτην D ἐοῦσα, ἐξεμάνη, καὶ πάλιν κατενόει, οὖρα μέλανα, λεπτὰ, καὶ πάλιν διαλείποντα, ἐλαιώδεα, καὶ κοιλίη πολλοῖσι λεπτοῖσι, ταραχώδεσι. τεσσαρεσκαιδεκάτῃ σπασμοὶ πολλοί, ἄκρεα ψυχρὰ, οὐδὲν ἔτι κατενόει, οὖρα ἀπέστη, ιϛ', ἄφωνος. ιϛ'. ἀπέθανε φρενῖτις.

HIPPOCRATIS TEXTUS XXXIX.

ÆGROTUS XIV.

Mulier in Cyzico gemellas puellas laboriosè peperit, quæ quum non admodum expurgata esset, primo die febre horrida & acuta correpta est. Capitis & cervicis gravitas prehendit cum dolore; vigil ab initio; taciturna autem & tetrica, & quæ suasionibus non cedebat, urina tenues, & decolores; sitibunda, anxia multopere; alvus inordinatè turbata, ac rursus constitit. Sexto ad noctem multum deliravit, nihil dormivit. Circiter undecimam vehementer insanivit; rursusque mente valuit; urinæ nigræ & tenues, rursus intermittentes, oleosæ; & ab alvo multa, tenues, & turbulenta dejectiones. Decimoquarto convulsiones multa, extrema frigida, neque amplius ad mentem rediit, urinæ restituerunt. Decimosexto voce captus est. Decimoseptimo phrenitide interiit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ μόνον ὅτι μὴ καλῶς ἐκκαθάρθη τὴν λόχειον κάθαρσιν, ὑπηγείρθη τῇ γυναικὶ ταύτῃ μελαγχολικώτερον αἷμα, διὸ κατ' ἀρχὰς μὲν ἦν σιγῶσα, καὶ σκυθρωπὴ, καὶ οὐ πειθομένη. μετὰ δὲ ταῦτα παρεφρόνησε σφοδρῶς, ὡς ἐκμανῆναι. ἀλλὰ καὶ διὰ τὴν δυστοκίαν φλεγμηνάσης τῆς μήτρας, ὁ πυρετὸς ηὐξήθη. δῆλον δ' ὅτι τῆς κακοχυμίας ἐπὶ τὴν κεφαλὴν ἀνενεχθείσης, ἥ τε παραφροσύνη μανιώδης ἐγένετο, καὶ οἱ σπασμοὶ συνηκολούθησαν. αἱ δὲ τῶν κρισίμων ἡμερῶν περίοδοι σώζονται κἀνταῦθα, καθάπερ ἐπὶ πάντων τῶν ἀρρώστων. εἰ δέ πού τι φαίνεται σπανίως διαφθειρόμενον, ἐκεῖνο μόνον ἐπισημαίνομαι.

GALENI COMMENTARIUS.

E

Non tantùm quia non probe fuit à partu purgata, superfuit mulieri huic sanguis magis melancholicus (quæ causa erat, cur initio tacita esset & tetrica, nec posset ad animi perduci æquitatem, & postea multum deliraret, aut valde insaniret) verumetiam propter difficilem enixum, inflammato utero, febris est aucta. In conspicuo porro est, vitiosis humoribus ad caput sublatis, delirium furiosum extitisse, simulque convulsiones consequutas esse. Decretoriorum dierum circuitus, ut in omnibus ægris, ita & hîc F conservantur. Sicubi videatur raro quicquam esse labefactatum, illud solùm adnotamus.

A

Vxoris Dealcis historia, quam ex mœrore febris cum horrore acuta prehendit; & quæ grauissimis symptomatibus vexata, ac ab initio phrenitide tandem vigesimoprimo obiit.

Η γυναικὸς Δεάλκους ἱστορία, ἣν ἐκ λύπης ὁ πυρετὸς φρικώδης ὀξὺς ἔλαβε. καὶ ἣ τοῖς μεγαλοτάτοις συμπτώμασι ταλαιπωρηθεὶς, καὶ ἀπὸ τῆς ἀρχῆς ποτὲ τῇ εἰκοστῇ πρώτῃ ἀπέθανεν.

HIPPOCRATIS TEXTUS LXXXVI.

ÆGROTUS XV.

IN Thaso Dealcis uxorem, quæ in Leio decumbebat, febris horrida & acuta ex mœrore prehendit. Ab initio autem contegebatur, & ad finem usque semper taciturna palpabat, euellebat, scalpebat, floccos legebat, lachrymæ, moxque risus, non dormiebat. Ab aluo irritamenta, sed nihil prodibat, paucum admonita bibebat, urinæ tenues, paucæ, febres ad manum leues, extremorum frigus. Nono die multùm delirauit, & rursus composita est & taciturna. Decimoquarto spiratio rara, magna per tempus, & rursus breuispira. Decimoseptimo ab aluo roritatio turbulenta, postea ipsa epota pertransibant, neque immorabantur: omnium sensum perdiderat, aridæ cutis circuntensio. Vigesimo verba multa, ac mox composita fuit, vox defecit, breuispira. Vigesimoprimo obiit. Huic ad finem usque fuit spiritus rarus, magnus, nihil omnino sentiebat, semper pannis contegebatur, aut verba multa, aut silens, perpetuò phrenitis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πϛ'.

ΑΡΡΩΣΤΟΣ ιε'.

B ΕΝ Θάσῳ Δεάλκους γυναῖκα, ἣ κατέκειτο ἐπὶ τοῦ Λείου, πυρετὸς φρικώδης, ὀξὺς, ἐκ λύπης ἔλαβεν. ἐξ ἀρχῆς δὲ περιεστέλλετο. καὶ διὰ τέλεος αἰεὶ σιγῶσα, ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐτριχολόγει, δάκρυα, καὶ πάλιν γέλως, οὐκ ἐκοιμᾶτο, ἀπὸ κοιλίης ἐρεθισμὸς, οὐδὲν διῄει, σμικρὰ ὑπομιμνησκόντων ἔπινεν, οὖρα λεπτὰ, σμικρὰ, πυρετοὶ πρὸς χεῖρα λεπτοὶ, ἀκρέων ψύξις. ἐνάτῃ, πολλὰ παρέλεγε, καὶ πάλιν ἱδρύνθη, σιγῶσα. τεσσαρεσκαιδεκάτῃ, πνεῦμα ἀραιὸν, μέγα διὰ χρόνου, καὶ πάλιν βραχύπνοος. ἑπτακαιδεκάτῃ ἀπὸ κοιλίης ἐρεθισμὸς
C ταραχώδεα, ἔπειτα τὰ ποτὰ οὐ διῄει, οὐδὲν ξυνίστατο, ἀναισθήτως εἶχε πάντων, δέρματος περίτασις καρφαλέου. εἰκοστῇ, λόγοι πολλοὶ, καὶ πάλιν ἱδρύνθη, ἄφωνος, βραχύπνοος. εἰκοστῇ πρώτῃ ἀπέθανεν. ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιὸν, μέγα, ἀναισθήτως πάντων εἶχεν, αἰεὶ περιεστέλλετο, ἢ λόγοι πολλοὶ, ἢ σιγῶσα, διὰ τέλεος φρενῖτις.

GALENI COMMENTARIUS.

A Primo hæc fuisse phrenetica videtur. Sunt autem tales, uti prius dixi, grauissimæ phrenitides: ac ocyssime, quotquot inuadunt, tollunt: sed nunc quidem hæc febricitans acutè, ad diem vigesimumprimum se sustentauit, fortasse quia modicè febricitaret. Proinde, ut insinuaret hoc, scripsit in hac una ægra, febres ad manum tenues. Sane videtur hæc delirii speciem ex melancholia & phrenitide habuisse mistam: nam hoc, aut multa loquebatur, aut perpetuo tacebat, ostendit ejusmodi mixtionem. At nescio, cur Hippocratis Interpretes nihil scripserint in hæc verba, ubi ait, spiritus rarus, quod est perinde, ac per interuallum: atque sane videtur deinceps idem dixisse. Forte ergo aut ut raritatis augmentum indicaret, per interuallum, addidit: ac si ita dixisset per magnum admodum interuallum: est enim interdum consuetum, ut magnum relinquatur, solumque usurpetur per interuallum. At non perpetuo, quemadmodum in aliis, immo nec diu mulierem hanc ita toto morbo spirasse indicat. Itaque subdit rursusque breuispira, indicans, & hic, ut antea ex frigore non paruo tantùm, sed magno interuallo etiam mulierem respirare, qui reuera est breuis spiritus. Nam rarus & magnus, quatenus rarus est, minor est frequente & magno: quatenus vero magnus, hactenus præstat paruo & raro. Secundùm utrunque igitur paruus est breuis spiritus & rarus. Videturque nunc quidem, quasi etiam ea refrigeratione fuisse muliercula hæc, qua, quæ apnœa, id est, suffocatione prehenduntur, tenentur. Itaque de ea scribit, vigesimo die

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΕΞ ἀρχῆς αὕτη φαίνεται φρενιτικὴ γενομένη. χαλεπώτατοι δ' εἰσὶν, ὡς καὶ πρόσθεν εἶπον, αἱ τοιαῦται φρενίτιδες, καὶ τάχιστα, πάντας οἷς ἂν γένωνται, διαφθείρουσιν. ἀλλὰ νῦν γε ὀξέως αὕτη ἄχρι τῆς κα'. ἡμέρας ἐξήρκεσεν ἴσως, ὅτι μετρίως ἐπύρεξε. καὶ διὰ τοῦτο ἐπεσημήνατο, κατὰ ταύτην τὴν ἄρρωστον μόνην γράψας πυρετοὶ πρὸς χεῖρας λεπτοί. καὶ φαίνεταί γε τὸ τῆς παραφροσύνης εἶδος αὐτῇ μικτὸν ἐκ μελαγχολίας καὶ φρενίτιδος γεγονέναι. τὸ γὰρ, οἱ λόγοι πολλοὶ, ἢ σιγῶσα διὰ τέλεος, ἐνδεικτικόν ἐστι τῆς τοιαύτης μίξεως. οὐκ οἶδα δ' ὅπως οἱ ἐξηγηταὶ τοῦ Ἱπποκράτους,
E οὐδὲν ἔγραψαν περὶ τῆς λέξεως ἐν ᾗ φησὶ, πνεῦμα ἀραιὸν, ὅπερ οὐχ ἕτερόν ἐστι τοῦ, διὰ χρόνου, καὶ φαίνεται δὲ ἐφεξῆς ταυτὸν εἰρηκώς. μήτις οὖν ἤτοι τῆς ἀραιότητος ἐπίτασιν δηλῶσαι βουληθεὶς, τὸ διὰ χρόνου προσέγραψεν, ὡς εἰ καὶ οὕτως εἰρήκει, διὰ πάνυ πολλοῦ χρόνου. καὶ γὰρ συνήθες ἐστιν ἐνίοτε παραλιπεῖν τὸ, πολλοῦ, καὶ μόνῳ χρήσασθαι τῷ, διὰ χρόνου, ἢ μὴ συνεχῶς, ὥσπερ ἐπ' ἄλλων ἄλλα. μηδ' ὡς τὸ τάχυ, τὸν ἄνθρωπον τοιοῦτον ἀναπεπνευκέναι δι' ὅλης τῆς νόσου δηλοῖ. ἐπιφέρων γοῦν ἐρεῖ, καὶ πάλιν βραχύπνοος, ἐνδεικνύμενος κἀνταῦθα καθάπερ ἔμπροσθεν ἐκ καταψύ-
F ξεως οὐ μόνον μικρὸν, ἀλλὰ καὶ διὰ πολλοῦ τὴν ἄνθρωπον ἀναπνεῖν, ὅπερ ὄντως ἐστὶ βραχὺ πνεῦμα. τὸ γὰρ ἀραιὸν, καὶ μέγα, καθόσον μὲν ἀραιόν ἐστιν, ἧττον ὑπάρχει τοῦ πυκνοῦ τε ἅμα καὶ μεγάλου, καθόσον δὲ μέγα, πλέον ἐστὶ ταύτῃ τοῦ μικροῦ, καὶ ἀραιοῦ, κατ' ἄμφω τοίνυν μικρὸν ἔσται τὸ βραχὺ καὶ ἀραιόν. καὶ φαίνεται καὶ νῦν, ὥσπερ καὶ σὺν καταψύξει τοιαύτῃ γεγονέναι τὸ γύναιον ἐν οἷς καὶ αὐτῇ ἀπνοίᾳ καταλαμβανόμεναι γίνονται. γράφει γοῦν ἐπ' αὐτῆς κ'.

λόγοι πολλοὶ, καὶ πάλιν ἰδίως ἐρεῖ, βραχύπνοος· ἡ δ' ἀφωνίη τουπίπαν ἅμα βραχεῖ καὶ ἀραιῷ γίνεται πνεύματι. ἀλλὰ τό γε διὰ χρόνου μετὰ τοῦ ἀραιοῦ γεγραμμένον, ἀντὶ τοῦ διὰ πάνυ πολλοῦ ἐκδέξασθαι χρή. τὸ γὰρ ἐν ὀλίγῳ τῆς νόσου χρόνῳ σημαίνειν οὐ δύναται, κατὰ τὴν τῆς ῥήσεως προσγράψας· ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιὸν, μέγα, τὸ γὰρ, διὰ τέλεος, εἴωθε λέγειν, ἀντὶ τοῦ δι' ὅλης τῆς νόσου μέχρι τῆς τελευτῆς. ὥσπερ δὲ τοῦτο τὸ διὰ τέλεος, οὕτω καὶ τόδε φησὶν, ἀεὶ περιεστέλλετο, ἢ λόγοι πολλοὶ, ἢ σιγῶσα διὰ τέλεος. τὸ μὲν γὰρ λόγοι πολλοὶ, φρενιτικὸν, τὸ δὲ σιγῶσα, μελαγχολικόν· τὸ δὲ περιεστέλλετο, κοινὸν ἀμφοῖν, εἰ μή που ἄρα καὶ διὰ τὴν κατάψυξιν ἐνίοτε περιεστέλλετο.

A multum locuta est, rediitque ad mentem brevispira. Vocis vero defectus fere adjunctus est cum brevi & raro spiritu. At vero per intervallum, cum raro scriptum, pro longo admodum intervallo est accipiendum. Nam pauco morbi tempore significare non potest, quando in fine historiæ scripsit hæc: huic perpetuo spiritus rarus & magnus erat, nam perpetuo, Græcè διὰ τέλεος, dicere pro toto morbi spatio ad finem usque solet. Et quemadmodum hoc, perpetuo, sic illud dicit, semper
B cooperiebatur, aut multum loquebatur, aut tacebat perpetuo. Nam multum loqui phreniticorum est, tacere melancholicorum: & cooperiri est commune utrisque, nisi quando & ex frigore cooperirentur.

Η τοῦ Μελιβοίῃ νεανίσκου ἱστορία, ὃς ἐκ πότων καὶ ἀφροδισίων πολλῶν βλαβέντος τῶν νεύρων καὶ τοῦ ἐγκεφάλου, μοχθηρὸν κακοχυμίας πλῆθος ἀθροίσας, εἰς πυρετὸν τὸν μὲν πρῶτον, μέτριον, εἶτα δὲ ἀμετριώτερον, καὶ τὴν φρενῖτιν περιέπεσε, ἑξῆς δὲ πολλὰ παθὼν συμπτώματα τῇ τεσσαρεσκαιδεκάτῃ φρενιτικὸς ἀπέθανεν.

Adolescentis Meliboei historia qui ex potu & venere oblæsis nervis ac cerebro, prava collecta plethora in febrem priùs moderatam, deinde immoderatiorem, ac phrenitidem incidit, postea multa passus symptomata vige-
C simoquarto phreniticus interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πζ'.

ΑΡΡΩΣΤΟΣ ιϛ'.

ΕΝ Μελιβοίῃ νεηνίσκος, ἐκ πότων, καὶ ἀφροδισίων πολλῶν, πουλὺν χρόνον θερμανθεὶς, κατεκλίθη. φρικώδης δὲ, καὶ ἀσώδης ἦν, ἄγρυπνος, καὶ ἄδιψος. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ πολλὰ κόπρανα διῆλθε σὺν περιῤῥόῳ πολλῷ, καὶ τὰς ἐπομένας, ὑδατόχλοα, πολλὰ διῄει, οὖρα λεπτὰ, ὀλίγα, ἄχροα, πνεῦμα ἀραιὸν, μέγα διὰ χρόνου, ὑποχονδρίου ἔντασις ὑπολάπαρος, παραμήκης ἐξ ἀμφοτέρων, καρδίης παλμὸς διὰ τέλεος, ξυνεχὴς, οὔρησεν ἐλαιώδεα. Δεκάτῃ παρέκρουσεν ἀτρεμέως, κόσμιός τε, καὶ ἥσυχος, δέρμα καρφαλέον καὶ περιτεταμένον, διαχωρήματα πολλὰ, καὶ λεπτὰ, ἢ χολώδεα, λιπαρά. ιδ'. παρεκρούσθη, πάντα παρωξύνθη, πολλὰ παρῆγεν. ὀΐδδη ἐξεμάνη, βληστρισμὸς, οὐδὲν οὔρει, μικρὰ ποτὰ κατείχετο. τῇ κδ'. ἀπέθανε, φρενίτις.

HIPPOCRATIS TEXTUS LXXXVII.

ÆGROTUS XVI.

Melibææ adolescens ex potu & venereis multis longo tempore incaluit & decubuit. Horridus autem & æstuabundus erat, insomnis, neque siti premebatur. Ab alvo primo die stercora multa dejecta sunt cum multo humorum affluxu, & sequentibus diebus aquei coloris multa
D *similia prodierant, urinæ tenues, paucæ, decolores; spiritus rarus, magnus & longis intervallis, hypochondriorum contensio submollis, utrinque oblonga, perpetua & continens, cordis palpitatio, urinam minxit oleosam. Decimo remisse deliravit, & compositius & taciturnus erat, cutis arida & circuntensa, dejectiones multæ, tenues vel biliosæ, pingues. Decimoquarto desipuit, exasperata sunt omnia, multopere deliravit. Vigesimo vehementer insanivit, jactatio, nihil minxit, modicos potus continebat. Vigesimoquarto obiit phreniticus.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙ μὲν πολλοὶ πότοι, τά τε νεῦρα βλάπτουσι, καὶ τὴν ἀρχὴν αὐτῶν, τὸν ἐγκέφαλον. τὰ δὲ ἀφροδίσια καὶ ταῦτα μὲν ἰκμάδας λυπεῖ, καὶ τὴν δύναμιν καταλύει τε, καὶ ἄρρωστον ἐργάζεται. μοχθηρὸν οὖν ἀθροίσας πλῆθος ὁ νεανίσκος οὗτος, εἰκότως ἤρξατο μὲν ἀπὸ πυρετῶν μετρίων. ἐπεὶ προϊόντι δὲ τῷ χρόνῳ, χείρων ἑαυτοῦ γινόμενος, ὕστερον εἰς φρενῖτιν ἀκριβῆ περιέπεσε. γίνεσθαι δὲ αὐτὴν ἐδήλου, τό τε μέγα καὶ ἀραιὸν πνεῦμα, καὶ τὸ κόσμιόν τε, καὶ ἀεὶ σιωπηλὸν εἶναι τὸν νοσοῦντα, παρακροῦσαι μέτρια. τοῖς μὲν γὰρ κούφοις καὶ ταραχώδεσιν ἀνθρώποις, ἐπὶ σμικραῖς προφάσεσιν αἱ παραφροσύναι γίνονται, τοῖς δὲ ἐναντίοις τὸ ἦθος, ἐπὶ μεγάλαις αἰτίαις. διὰ τί δὲ τῷ ἀραιῷ πνεύματι τὸ διὰ τοῦ χρόνου προσέγραψε, κατὰ τὸν ἔμπροσθεν ἄρρωστον ἐπισκεψάμεθα. καὶ περὶ τῶν καθ' ὑποχόνδρια παλμῶν, ἐν ἄλλοις τε κἀν τῷ προγνωστικῷ διῆλθον, ὥσπερ καὶ τὸ ὑπολαπάρου καθ' ὑποχόνδριον ἐντάσεως, ὅτι τὴν χωρὶς ὄγκου λέγει, καὶ γίνεται, τῶν μὲν μυῶν ἀπαθῶν ὄντων, ἐν διαθέσει δὲ τινι διακειμένων, τῶν ἔνδον τοῦ περιτοναίου μορίων.

E

GALENI COMMENTARIUS.

MUlta quidem pocula nervis nocent, & origini eorum cerebro. Venus vero cùm hæc satis lædit, tum vires elidit, & debilitat. Itaque adolescens hic vitiosa collecta humorum abundantia, merito à modicis febribus cœpit: qui quum in dies pejus haberet, in phrenitim tandem exquisitam incidit. Nam oriri illam magnus & rarus spiritus indicabat, & ejus modestia, & perpetua taciturnitas mo-
F dicè ægrum desipere, nam leves & turbulenti homines, deliri levibus de causis fiunt: qui contrariis sunt morbis, de magnis. Cur autem spiritui per intervallum, addiderit, in superiore ægro tractavimus. Et de hypochondriorum palpitationibus & alibi, & in præsagiis egi: Item de submolli hypochondrii contensione, illum eam, quæ tumore caret, appellare quæ fit: ubi nullo musculi in vitio sunt, sed offensæ sunt partes, quæ intra peritonæum sitæ sunt.

A

HIPPOCRATIS TEXTUS LXXXVIII.

Verum illa mihi æstas videtur secundùm rationem profuisse. Nam æstivos morbos hyems succedens solvit, hyemales æstas insequens transmutat. Quanquàm ista per se æstas haud stabilis fuit, sed subito calida, austrina, & à ventis silens evasit: profuit tamen ad aliam tempestatem transmutata. At in magna parte pono artis esse, rectè posse de iis quæ tradidimus, existimare. Is enim qui novit, & utitur his, non magnopere mihi in arte falli videtur posse. Singulos autem temporum anni status perdiscere est operæpretium, & morbos. Quid boni habeat status vel morbus commune, & quid mali, statui sit, vel morbo commune: Et qui longus morbus & lethalis, qui longus & sanabilis: qui acutus & lethalis, qui acutus & sanabilis. Series hinc dierum indecretoriorum observanda est & prædicendi hinc facultas scienti datur. Hinc scire est, quibus, quando, & quæ sit victus præscribenda ratio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πη'.

Δοκέει δέ μοι προσωφελῆσαι κατὰ λόγον, τὸ γενόμενον θέρος. τὰς γὰρ θερινὰς νόσους χειμὼν ἐπιγενόμενος λύει, καὶ τὰς χειμερινὰς, θέρος ἐπιγενόμενον μεθίστησι, καίτοι, αὐτό γε ἐπὶ ἑωυτοῦ, τὸ γενόμενον θέρος οὐκ εὐσταθὲς ἐγένετο, ἀλλὰ ἐξαίφνης θερμὸν, καὶ νότιον, καὶ ἄπνοον, ἀλλ' ὅμως πρὸς τὴν ἄλλην κατάστασιν μεταλλάξαν, ὠφέλησεν. μέγα δὲ μέρος ἡγεῦμαι τῆς τέχνης εἶναι, τὸ δύνασθαι σκοπεῖν, καὶ περὶ τῶν B γεγραμμένων ὀρθῶς. ὁ γὰρ γνοὺς καὶ χρώμενος τούτοις, οὐκ ἄν μοι δοκέῃ μέγα σφάλλεσθαι ἐν τῇ τέχνῃ. δεῖ δὲ καταμανθάνειν ἀκριβῶς τὴν κατάστασιν τῶν ὡρέων ἑκάστην, καὶ τὸ νόσημα ἀγαθὸν ὅ, τι κοινὸν ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ, καὶ ὅ, τι κοινὸν ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ μακρόν. ὅ, τι νόσημα καὶ θανάσιμον, μακρὸν, ὅ, τι καὶ περιεστηκός. ὀξὺ, ὅ, τι θανάσιμον ὀξὺ ὅ, τι περιεστηκὸς, τάξιν τῶν κρισίμων ἐκ τούτων σκοπεῖσθαι, καὶ προλέγειν ἐκ τούτων, εὐπορεῖται. εἰδότι περὶ τούτων ἔστιν εἰδέναι οἷς, καὶ ὅτε, καὶ ὡς δεῖ διαιτᾶν.

Commentarii III. in III. Epidemiorum Finis.





ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ
ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

HIPPOCRATIS
EPIDEMIORUM
LIBER QUARTUS.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Τοῦτο δὲ βίβλιον πολλοὺς τοὺς ἀρρώστους ποικίλοις τοῖς τοῦ ἔτους χρόνοις ἐνοχληθέντας νοσήμασι, καὶ τοῖς τῶν νοσημάτων συμπτώμασι, κοιμηθέντας ἔχει. τίνες τῶν νοσημάτων ἀποβάσιές τε, καὶ κρίσιες ἀπογίγνονται, διδάσκει.


ARGUMENTUM LIBRI.

Hic Liber permultos ægros diversis anni temporibus, variisque constitutionibus factos, diversisque morbis morborumque symptomatis vexatos complectitur. Qui præterea morborum eventus, & quæ crises acciderint edocet.

Η τοῦ ἔαρος κατάστασις περιγράφεται ὃ πολλὴν τῶν χυμῶν πληθώραν ἤνεγκε οἷς χολώδεσι, ὠμοῖσι, σηπεδονώδεσι ἡ κεφαλὴ πόνει, καὶ τοῖς εἰς κάτω μέρη κειμένοις, τούτῳ πρὸς οὖς, τούτῳ πόδα, τούτῳ κνήμην, ἢ τοὺς τοῦ ποδὸς δακτύλους, καὶ ἄλλοις πρὸς ἕτερον τοῦ ἀποστήματος μέρος κήλη ἢ ἕλκος τι ἐγένετο. ἐντεῦθεν τὰ ἀλγήματά τε καὶ πυρετοὶ, ἐξ ὧν ὁ θάνατος.

A Veris status describitur qui magnam humorum redundantiam attulit; quibus biliosis, crudis, acribus & putrentibus caput gravabantur; hisque in vicinas aut inferiores partes defluentibus ac decumbentibus huic ad aurem, illi ad pedem, aut tibiam, aut pedis digitos, illi ad aliam partem abscessus, tumor, vel ulcus, procurabatur. Hinc dolores & febres, à quibus interitus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α΄.



ΜΕτ' ἰσημερίην καὶ μετὰ πληϊάδα, οἷα τὰ ἀνεξαθιόμενα καὶ βλεννώδεα, ἃ τὴν κεφαλὴν ὦξε, ἀπῆλθεν ὑπὲρ τοῦ ὠτός. τῷ παρὰ Λεωκύδεος ἐν ποδὶ, Φανοδίτῳ οἱ δάκτυλοι οἱ ἐν τῷ ποδὶ, ἐπὶ τοῦ στήθεος. ὁ τμηθεὶς τὴν κνήμην, ταύτῃ μὲν καὶ ἐμελαίνθη. ἦν δὲ μέγα ἕλκος, ἐν τῷ ἔξω τῆς κνήμης, καὶ ἐκ τοὔπισθεν ἦεν. ἐπεὶ καθαρὸν ἐγένετο, πλευροῦ ὀδύνη καὶ στήθεος κατ' ἴξιν ἀριστεροῦ, καὶ πυρετοὶ, ἀπέθανεν, ἀπὸ τοῦ πυρετοῦ.

HIPPOCRATIS TEXTUS I.



B *POST æquinoctium, & post vergilias veluti exedentia & macula quædam quæ caput perruperunt, supra autem secesserunt; & qui apud Leocidem habitabat, huic in pedem decubuerunt; Phanodito in pedum digitos ad imam plantam. Qua parte cuidam in tibia sectio fuit, eaquidem illi denigrata est. Vlcus erat magnum, & extremam tibiæ partem ac posteriorem pervadebat. Quod ubi purum factum esset, pectoris & lateris sinistri è directo dolor & febres oriebantur, à febre interiit.*

Trium

A

Trium ægrorum exempla proponit restionis, senis, & stigmatiæ, quibus humorum decubitus abscessus fecit, ad quorum in rationem caustica admota fuere.

Τὰ τῶν τριῶν ἀῤῥώστων ἀποδείγματα προστίθησι σχοινοπλόκου, γέροντος καὶ τοῦ στιγματίας, οἷς ἡ τῶν χυμῶν πλῆθος ἀποστήματα πεποίηκε. διό τι τὰ καυστικὰ καταφερόμενα.

HIPPOCRATIS TEXTUS II.

Biliosus humor redundans Restioni decubuit, cui caustica admoventi circa æquinoctium sanguis deorsum affatim prodiit. Seni admodum vehementer abscessus factus decessit non ultra quatuordecim dies. Sigmatiæ vero ab Antiphilo inusto die septimo judicatio contigit, bilioso stupido. Tertio post judicationem die, aut eatenus sanguinem spuit, superstes extitit, postea recidiva facta est. Ad vergiliarum occasum primum, ut par erat, judicatus est. Ab occasu autem vergiliarum biliosus & ad insaniam adactus, judicatione circa nonum diem absque sudoribus facta est, superstes evasit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

ΤΟ χολῶδες τῷ σχοινοπλόκῳ κατακορὲς, καὶ τὰ καυστικὰ καταφερομένῳ περὶ ἰσημερίην, κάτω B αἷμα πολὺ διῆλθε. Γέροντι πάνυ σφόδρα ἀπεγένετο, οὐ πρόσω τεσσαρεσκαίδεκα ἡμερέων. Τῷ δὲ στιγματίῃ τῷ Αντιφίλου καυστικῷ κριθέντι ἑβδόμῃ, χολώδει τυφώδει. τρίτῃ μετὰ κρίσιν, ἢ οὕτως αἷμα ἔπτυσε, περιεγένετο, καὶ ὑποστροφὴ ὕστερον ἐγένετο. ἐκρίθη, ὡς εἰκὸς, περὶ πληϊάδων δύσιν τὸ πρῶτον. μετὰ δὲ πληϊάδων δύσιν, χολώδης εἰς μανίην κρίσις περιεγένετο περὶ ἐννάτην, ἄνευ ἱδρῶτος.

C

Trium ægrorum historiæ Chalcidonii, Aristodemi, & uxoris Acheloi. Priori ex ruptione ad mammam dextram dolenti sudor septimo die, & quadragesimo tubercula oborta sunt. Alterius pectori ob abscessum, causticum admotum est. Posteriori abortu laboranti decimoquarto crasis facta est.

Αἱ τῶν τριῶν ἀῤῥώστων ἱστορίαι Χαλκιδονίου, Ἀριστοδήμου, καὶ τῆς τοῦ Ἀχελώου· τῷ πρώτῳ περὶ μαζὸν δεξιὸν ὠδυνωμένῳ ἱδρὼς ἑβδόμῃ τῇ ἡμέρᾳ, καὶ τῇ τεσσαρακοστῇ τὰ φύματα γεγενημένα τῷ τοῦ θώρακος ἑτέρου διὰ τὸ ἀπόστημα καυστικὸν καταφερόμενον, τῇ δὲ ὑστέρᾳ δυστόκως νοσούσῃ τεσσαρεσκαιδεκάτῃ ἡ κρίσις γεγένηται.

HIPPOCRATIS TEXTUS III.

Sub æquinoctium Chalcidonius qui à portis in forum delatus, ex ruptione ad mammam dextram dolebat; aliàs atque aliàs ex virore pallescens aliquantulum spuebat, alvus egerebat, sudor incipiens septimo die fore ad octavum usque tenuit. Decimoquarto judicatus est. Sub quadragesimum vero ei tubercula ad utramque aurem sublata sunt. Non abs re credebatur suppurata fore, quod non extitit. Aristodemo ustio in pectore facta est, Philidis filio quum abscessus ex casu creatus esset, ipsi etiam pectus inustum est. Supra dolor aliquis præcesserat. Post æquinoctium autumnale morborum reversiones factæ sunt, atque aliàs adusque solstitium hyemale & cum sole æstivo. Acheloi uxor sexto die abortivit quum sanguine redundaret, horrores sentiret, & sudores tenerent. Crisis decimoquarto contigit. Quot mensium fœtus fuerit ignoro. Alium quoque masculum fœtum vigesimo post die abortu prodiisse dixit. An vera dixerit nescio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

ΠΕρὶ ἰσημερίην ὁ Χαλκιδόνιος, ἀπὸ πυλέων μετακομισθεὶς τῆς ἀγορῆς. ῥήγματος περὶ μαζὸν δεξιὸν D ὀδυνώμενος, ἔπτυεν ἄλλοτε καὶ ἄλλοτε ὑπόχλωρον. γαστὴρ, ἱδρὼς ἀρξάμενος ἑβδόμῃ, εἶχε τὰ πολλὰ, ἄχρις ὀγδόης, ἐκρίθη τεσσαρεσκαιδεκάτῃ, περὶ δὲ τεσσαρακοστὴν ἤρθη περὶ τὰ ὦτα οἱ ἀμφότερα, οὐκ ἀπεοικὸς ἐδόκει ἔμπυος ἔσεσθαι, οὐκ ἐγένετο. Στῆθος Ἀριστοδήμῳ ἐκαύθη. Τῷ Φιλίδος οἱ ὡς ἀπέβη ἐκ πτώματος καὶ τύπῳ, προϋπῆρχε δὲ ὀδύνη τις ἀνωτέρω. μετ' ἰσημερίας φθινοπωρινὰς, ὑποστροφαί. καὶ ἄλλως μέχρι τροπέων χειμερινῶν. μετ' ἡλίου τοῦ θερινοῦ ἡ Ἀχε- E λώου ἑκταίη ἀπέφθειρεν, αἱματώδης ἐοῦσα καὶ φρικώδης, καὶ ἱδρῶτες. κρίσις τεσσαρεσκαιδεκάτῃ. ὁποσάμηνον οὐκ οἶδα. ἄρσεν δὲ καὶ ἄλλο πρὸς τὰς εἴκοσιν ἔφη, εἰ ἀληθέα οὐκ οἶδα.

Aquilonius incipientis hyemis status, & morborum tunc ad solstitium usque grassantium.

Βορεία ἡ τῆς χειμερινῆς καταστάσεως, καὶ τῶν νοσημάτων τότε πρὸς τὴν τοῦ ἡλίου τροπὴν κρατούντων.

F

HIPPOCRATIS TEXTUS IV.

Sub solstitium hybernum aquilonares erant venti; ictero plerique frequenter corripiebantur; hi quidem cum horrore, illi vero minimè. Tertio die adustæ linguæ. Circa sextum & septimum molestiæ, quæ etiam diu producebantur. Decimoquarto alvi renitentes, nec medicamentis cedentes; nec pro ratione febrium ulli sudores. Quibusdam

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

ΠΕρὶ ἡλίου τροπὰς χειμερινὰς, βόρεια ἦν. ἰκτερώδεες ἐγένοντο κατακορέως, καὶ οἱ μὲν φρικώδεες, οἱ δὲ, οὔ. γλῶσσαι ξυγκεκαυμέναι τρίτῃ. καὶ ὄχλοι περὶ ἕκτην καὶ ἑβδόμην. καὶ οὗτοι μακρὰν ἀποτείνοντες, ιδ'. γαστέρες ἀπεχόμεναι, καὶ ἐν τῇσι φαρμακείῃσιν οὐχ ὑπακούουσαι. κατὰ λόγον

τῶν πυρετῶν καὶ ἀνιδρῶτες. πολλοῖς ἐστὶν οἷσι σμικροὶ, πρὸς ὑποχόνδρια δεξιὰ ἐκτεταμένοι, καὶ πρὸς χεῖρα ὑποβορβορύζοντες, αἱμόρροοι. καὶ οὔρεσιν ἡ κάθαρσις καὶ ἡ κρίσις. πολλῷ δὲ μᾶλλον, εἴχοντο κάτω. καὶ γὰρ τοῦτο ἐπελαμβάνετο ὑπὸ τοῦ χρόνου τοῦτον. οἷσι μὴ οὕτως ἦν, πολλοῖς δὲ ἐπηρμένοι, αἱμορραγίη δὲ ἐξ ἀριστεροῦ ῥινὸς ἐτράπετο.

A lienes parvi ad hypochondria dextra porrecti, & ad manum aliquod murmur edentes. Sanguinis profluvia, & per urinas purgatio ac judicatio. Multo vero magis deorsum tendebant; tunc enim hoc etiam contigit. At qui non isto modo se haberent: lienes vero etiam intumescebant; ii sanguinem ex nare sinistra profundebant.

Ἐπὶ τὰ χειμερινὰ πρὸς ἐγγυτάτης τῆς τῶν πλειάδων δύσεως, ἡ τοῦ χρόνου διάστασις πρῶτον μὲν νότια, εἶτα νίφετος, τότε ἰκτεριώδεες νόσοι. ῥεύματα πολλά.

A solstitio hyberno ad proximum vergiliarum occasum status temporis primum aquilonius B deinde austrinus, aquilonii imbres, nives tunc icterici reciderunt; fluxiones multæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε΄.

Τὰ χειμερινὰ χειμέριας ἐν βορείοισι. μετὰ δὲ ὀλίγον, νότια ἦν. ἐφ' ἡμέρας πεντεκαίδεκα. μετὰ δὲ ταῦτα, νιφετὸς ιδ΄. ἡμέρησιν, ἀμφὶ ταῦτα τὰ τοῦ ἔτεος ἰκτεριώδεες κατακορέες. οὐ κρινόμενοι εἰλικρινέως, φιλυποστροφώδεα. μετὰ δὲ χιόνας, νότια ὑπεγένετο, καὶ ὕετα, κόρυζαι κατερράγησαν, καὶ ξὺν πυρετοῖσι, καὶ ἄνευ πυρετῶν. ἑνὶ δέ τινι καὶ ἐς ὀδόντας, ἐκ τοῦ ἀπὸ μέσου περιηλγηκότι ἐπὶ δεξιὰ, καὶ ὀφρὺν, καὶ ὄμμα. ἦσαν δὲ καὶ βραγχώδεες, καὶ φάρυγγες φλεγμαίνουσαι, καὶ οἱ σπόγγοι καλεόμενοι ἀνεῖχον, καὶ τὰ παρὰ τὰ ὦτα καὶ γνάθον ἐπάρματα μαλθακὰ, καὶ ξὺν πυρετῷ καθίσατο. ἀρχομένοισι πυρεταίνειν, ἐγένετο ἐπάνω, καὶ ἐπὶ θάτερα τὰ πολλὰ τουτέων, καὶ οἱ σπόγγοι οἷσιν εἰσὶν ὑπὸ τὸ μετόπωρον καὶ χειμῶνα, ἀτὰρ καὶ τὰ πιτυρώδεα. καὶ ἀπέφθειραν πολλαὶ παντοίως, καὶ ἐδυστόκεον. ἕκτη τῇ παρθένῳ κριθέντα, ἕκτῃ ὑποτρόπιασεν. ἐκρίθη δὲ δι' ἕκτης, πάντα ἐν τούτοισι χρόνοισιν, ἑκταῖα, ὀγδοαῖα ἐκρίνετο.

HIPPOCRATIS TEXTUS V.

Peracto solstitio, bruma hybernis algoribus per flatus aquilonios extitit. Paulo vero post australis tempestas ad quindecim dies. Postea vero nives diebus quatuordecim. Hocce anni tempore aurigine abunde colorati, neque sincerè judicati in morbum reciderunt. Post nives austrini imbres successerunt, gravedines cum febribus & citra febres eruperunt. C *Uni cuidam in dentes decubuit, quum antea media corporis parte dolor esset in dextra & supercilium & oculum occupavit. Erant autem raucedines, & faucium inflammationes, earumque glandulæ spongiæ vocatæ intumescebant, & ad aures ac malas mollia tubercula, quæ etiam cum febre sedabantur. Febricitare incipientibus horum plerique supernè ad utranque partem enascebantur: quibusdam spongiæ sub autumnum & hyemem, quin etiam porrigines aderant. Multæ etiam cujusque modi abortu & partus difficultate periclitabantur.* D *Virgini sexto die judicata pathemata, sexto reciderunt. Iudicata vero est per sextum diem, hisce vero temporibus omnia sexto & octauo die judicabantur.*

Τριῶν τῶν γυναικῶν ἀρρώστων ἱστορίαι. πρώτη μὲν ἡ τῆς τοῦ Μεάνδρου εἰκοστῇ τῇ ἡμέρᾳ θανούσης. ἑτέρη ἡ τοῦ Τέστορος θεραπαίνης ἐξ ἱδρώτων ἕκτῃ ἡμέρᾳ κεκριμένης. ὑστέρα ἡ τοῦ Τεισάνδρου λευκοφλεγματίᾳ νοσούσης τῇ εἰκοστῇ ἡμέρᾳ οὐ τελέως κρινομένης.

Trium mulierum ægrotantium historiæ; Prior est Meandri uxoris quæ sub vigesimum diem obiit; Altera est famula Testoris, quæ sexto die sudoribus judicata est. Posterior Thessandri uxor quæ leucophlegmatia laborans vigesimo die non perfectè judicata est. E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. ς΄.

Περὶ πληιάδων δύσιας ἡ Μεανδρίου τοῦ τυφλοῦ, αὐτίκα χλωρὸν, καὶ αὐτίκα πυῶδες ἔπτυσε περὶ ἕκτην, καὶ ἥπατος ζύμωσις, καὶ κάτω ὑποχώρησις ὀλίγη. σαρκοπυώδεα ἄνω, ὀλίγα λευκὰ, πλατέα ἀνέπτυσεν, ἀπόσιτος, ἀπέθανεν ἐγγὺς εἰκοσταίη. Ἐκ τῶν γειτόνων Θέστορος οἰκέτις, ἐκ καυσικῶν, ὑποχωρήσιες χολώδεος, συχνῆς, ὑποχονδρίου ἐντεταμένου. τῇ ἕκτῃ δὲ ἐπισχέσιος ἡ κοιλίη λεπτὰ συχνὰ ἐς ἅπαξ διῆλθε, καὶ εὐθέως ἵδρωσε, καὶ ἐκρίθη, καὶ ἡ κοιλίη ἔστη. ἐς δὲ τὴν αὐτὴν ὥρην, ῥιγώσασα ἐπυρέπταινε, καὶ ἐς τὴν αὐτὴν ὥρην. Η Θερσάνδρου, λευκοφλεγματώδης οὐ πάνυ ἐοῦσα θηλάζουσα, ἐπυρέταινεν ὀξύ. ταύτῃ ἡ γλῶσσα ξυνεκαύθη τῶν ἄλλων ξυγκαιομένων. ὑπὸ τὸν χρόνον τοῦτον, γλῶσσά τε ἐτρηχύνετο, ὥσπερ χαλάζῃσι πυκνῇ, καὶ

HIPPOCRATIS TEXTUS VI.

Sub vergiliarum occasum Meandri cæci uxor statim ex virore pallescens, statimque purulentum circa sextum diem expuit. Fervida jecoris fermentatio, ac deorsum pauca dejectio, carnium purulentarum sursum sputa pauca, alba & lata expuebat, cibos aversata est, mortem obiit circa vigesimum. Ex vicinis Thestoris famulæ fuit ex ustione alvi dejectio biliosa, copiosa, F *& hypochondrii distensio. Ipsi sexto die ex suppressione alvus tenuia copiosa simul dejecit; statimque sudavit, & judicata est, & alvus restitit. Sub eandem autem horam rigore correpta febricitavit; & rursum sub idem tempus sudoribus judicata est. Thersandri uxor leucophlegmatia non admodum laboraret, lactans acuta febre correpta est. Huic ex reliquorum incendio lingua succensa est. Sub hoc tempus lingua etiam velut densa grandine exasperabatur; &*

ore rejecti lumbrici. Ad vigesimum vero diem non plane judicata est.

Metrophanti filius testa percussus caput, viciniæ ulceris frictione; nec suppurato ulcere, & pure in humerum translato, febricitavit; & vigesimoquarto die interiit.

HIPPOCRATIS TEXTUS VII.

Sub vergiliarum occasum Metrophanti filius ab altero puero testa caput ictus, quum ad duodecimum diem devenisset, febricitavit. Causæ vero ratio est, quod quum detergeret partes ulcus ambientes perfricuit, & perfrigeratus est; statimque ulceris labra intumuerunt. Cutis autem multis locis ulterius ab ulcere extenuata est. Secto vero non tardè, neque pus effluxit, neque levamen attulit; sed secundùm aurem ad maxillam sinistram pus colligi videbatur, hac enim parte ulcus extitit, tandem neque hoc etiam suppuravit, & humerus dexter celeriter suppuravit, & circiter vigesimumquartum vita defunctus est.

Historia Otalgiæ, cui successit dextri corporis impotentia, sine febre, & sudores, & oculi distortio cum dolore, & cervicis durities.

HIPPOCRATIS TEXTUS VIII.

Post vergiliarum occasum cui auris dolebat; is circa vicesimum diem postea voce captus est; & dextra corporis parte ad motionem impotens absque febre, sudavit; auris dextra, dexterque oculus non valde constiterunt, & quiddam ex inferiori parte attrahere videbatur. A sinistris autem oculus non valde gravi dolore distortus est. Cervix dura facta est; tertia post hora æqualiter doluit.

Famulus Attici ex quartana febre stupidus permansit. Alter Typhomania laboravit. Alter ex horrore & vomitionibus cibos aversatus est. Aliis lienis tumoribus affectis hæmorrhagiæ successerant.

HIPPOCRATIS TEXTUS IX.

Post vergiliarum occasum Attici famulus quartanâ correptus permansit. Alius eodem tempore vera typhomania correptus, ubi ad coxendicem & crura dolor venit, quievit. Quoto die, nescio. Eodem tempore, horroribus & vomitionibus vexati quidam post judicationem cibos aversabantur, bile lienis tumore, duritie, dolore & sanguinis fluore vexabantur. Quibusdam etiam sub idem tempus post vergiliarum occasum, ob lienis affectum sanguis ex virore pallidus è naribus profluxit.

A ἑλμίνθια κατὰ στόμα. περὶ δὲ τὴν κ΄. οὐ τελέως ἐκρίθη.

Ο Μητροφάντου ὀστράκῳ τὴν κεφαλὴν πληγεὶς ἔτριψε τὰ περὶ τὸ ἕλκος, τοῦτο δὲ οὐκ ἀπεπύη, καὶ πύου εἰς ὦμον φερομένου, ἐπύρεσε, καὶ τῇ κδ΄. ἡμέρᾳ ἀπέθανε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ΄.

Περὶ δὲ πλειάδων δύσιας, ὁ Μητροφάντου τὴν κεφαλὴν πληγεὶς ὑφ' ἑτέρου παιδὸς, ὀστράκῳ, καὶ B ἀπογενόμενος δωδεκαταῖος, ἐπύρεσε. πρόφασις δὲ, ὅτι σμήχων ἔτριψε τὰ περὶ τὸ ἕλκος, καὶ μετεψύχθη, καὶ ἐξήρθη τὰ χείλεα αὐτίκα, διεπλεύνθη τὸ δέρμα πολλαχῇ ἀπὸ τοῦ ἕλκεος πρόσω. τμηθέντι δὲ οὐ βραδέως, οὔτε πύον ἐῤῥύη, οὔτε ἐκουφίσθη. παρὰ δὲ τὸ οὖς ἐδόκει περιπυΐσκειν, ἐπὶ τῇ γένυϊ ἐπὶ τὰ ἀριστερὰ, ταύτῃ γὰρ καὶ τὸ ἕλκος. ἔπειτα τοῦτό τε οὐκ ἀπεπύη, καὶ ὁ ὦμος ὁ δεξιὸς ἐνέπυε, ταχέως, ἀπέθανε περὶ κδ΄.

C Η τῆς Ὠταλγίας ἱστορία ἣν ἠκολούθησε τοῦ δεξιοῦ σώματος ἀκρασία ἄνευ τοῦ πυρετοῦ, καὶ οὐχ ἱδρῶσι, ὀφθαλμὸς ἴλλαινεν σὺν ὀδύνῃ, καὶ τραχήλου σκληρότης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η΄.

Μετὰ πλειάδων δύσιας, ὁ τὸ οὖς ἀλγήσας, περὶ εἴκοσιν, ὕστερον ἄφωνος, τὰ ἐπὶ δεξιά τε ἀκρατής, ἀπύρετος ἵδρωσε· δεξιὸν οὖς, δεξιὸς ὀφθαλμὸς, ἐστήκει οὐ κάρτα, καὶ ἐφείλκετό τι ἐκ τοῦ κάτω μέρεος. D ἀριστερὰ δὲ ἴλλαινεν αἰνῶς ὁ ὀφθαλμὸς ὀδυνώμενος. τράχηλος σκληρὸς ἀπεγένετο. τρίτην ὥρην ἴσως ὠδυνήθη ὕστερον.

Ο τοῦ Ἀττικοῦ θεράπων ὑπὸ τεταρταίου πυρετοῦ ναρκώδης. ἄλλος τυφώδης γίνεται. ἄλλος φρικώδης τε, καὶ ἐμετώδης ἀπόσιτος. ἄλλοι σπληνώδεις τῇ αἱμοῤῥαγίᾳ κάμνουσι.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ΄.

Μετὰ πλειάδων δύσιν ὁ θεράπων ὁ τοῦ Ἀττικοῦ, ὑπὸ τεταρταίου ἁλισκόμενος. τυφώδης ἱδρύθη, ἕτερος τὴν αὐτὴν ὥρην ἀληθῶς τυφωμένη. ἐς ἰσχία καὶ σκέλεα ἦλθεν ὀδύνη ἐπαύετο, ποσταῖος οὐ γινώσκω. ταύτην τὴν ὥρην φρικώδεες, ἐμετώδεες, καὶ μετὰ κρίσιν ἀπόσιτοι καὶ χολώδεες, καὶ σπλῆνες μεγάλοι, σκληροὶ, ὀδυνώ- F δεες, καὶ αἱμοῤῥαγικοί. τοῖσι δὲ τὴν αὐτὴν ὥρην μετὰ πλειάδων δύσιας, ἐκ ῥινῶν αἷμα χολῶδες ἐπὶ σπλήνοισιν.

A

Ἡ τῆς Νικοκράτου ἱστορία πυρετῷ λειφθήσης καὶ ποικίλοις συμπτώμασι ἀλγούσης ἧς οὖρα ποικίλα· τίς δὲ τοῦ νώσου τέλος γίνηται, οὐ γράφεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

ΕΝ Κρανῶνι τῇ Νικοστράτου ληφθείσῃ, τεσσαρεσκαιδεκάτῃ ἔφθασεν αὐτίκα ἀκράτεια τραχήλου καὶ τῶν ἄλλων, καὶ σῖτος ἐγκατεκλείσθη μέχρι δεκάτης. πνεῦμα πυκνόν, σμικρόν, ἀκρασίη· ψηλαφῶσα δακτύλοις, παραλέγουσα, ἱδρῶτες, εἱλκύσθη ἐπὶ τὰ δεξιὰ, τράχηλος, στόμα, ὄμμα, ῥίς. οὔρων ὑπόστασις λευκή, ὀροβώδης, ἑτέρη λευκὴ, ξυσματώδης ἄλλη, ὑπόχλωρος, λεκιθώδης. ταύτῃ ἔστιν ὅτε, ὡς πιμελῶδες ἐφίστατο τοῦ ἀθρόον, οὐκ ἐπιπολὺ διεσκεδασμένον, οἷον τὸ ἐναιώρημα διεστηκός. οἷον ἔξω τῆς ὄϊος, οὐ τὸ ὑφιστάμενον ἔπειτα οὐρεῖται, καὶ τὸ μέν τι τοιοῦτον, τὸ δὲ ἱδρυμένον, ἄλλο τοιοῦτον ὀλίγον, ἐπὶ πλατὺ διεσκεδασμένον, ἄλλο τεταραγμένον. ἕτερον τοιοῦτον, ἐναιώρημα, νεφελίου ὑπομέλανος, δοκέοντος πάχος ἔχειν· χαῦνον δὲ ἄλλο λεπτὸν, ἄλλο ἐναιώρημα λεπτὸν τοιοῦτον, ἄλλο οἷον ἵππου, ἄλλο οἷον τὰ ζοφώδεα.

Uxoris Nicostrati historia febre correptæ & variis vexatæ symptomatibus; cujus urinæ diversæ extiterunt; quis vero fuerit morbi eventus non scribitur.

HIPPOCRATIS TEXTUS X.

CRanone Nicostrati uxorem febre correptam, decimoquarto die derepente colli & aliarum B *partium imbecillitas occupavit; & cibus ad decimum usque diem fuit inclusus. Spiritus densus, parvus, incontinentia, palpabat digitis, deliravit, sudores aderant. In dextram partem cervix, os, oculus, naris, contracta sunt. Vrinarum sedimentum album, ervi simile, aliud album, aliud ramentosum, subpallidum, viride, lentium farinæ simile. Huic interdum veluti adiposum quiddam in summo extabat, idque confertum, neque admodum velut enæorema disparatum, ovis velleri simile; postea verò etiam non subsidens meiebatur, & alia quidem talis erat, alia* C *verò sedimentum deponebat; quædam etiam in qua paucum hujusmodi in latitudinem dispersum; quædam returbata. Alia hujusmodi erat, ut enæorema nubeculæ aliquantulum nigræ simile, ut crassitudinem quandam habere videretur. Quædam verò mollis & tenuis; alia tale enæorema continens; alia qualis equina; alia denique, qualia caliginosa sunt.*

Ἡ τοῦ μειρακίου εἴκοσι ἐτῶν τοῦ πίειν ἄκρητον συχνὸν ἕνεκα εἰς πυρετὸν ἔμπεσε, παρέκρουσεν, καὶ ἐνδεκαταῖος ἀπέθανε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Ο Πρῶτος παρενεχθεὶς, μειράκιον, τούτῳ οὖρον καθαρὸν, λεπτόν. πάντων διαχώρησις λεπτὴ πολλὴ, γλῶσσα τρηχείη πάνυ, πυρετὸς περικαής, ἄγρυπνος, κοιλίη κυρτή. οὗτος παρέκρουσεν οἶμαι ὀγδόῃ, τρόπον τὸν ἀκόλαστον, ἀΐσσεσθαι, μάχεσθαι. αἰσχρομυθέειν ἰσχυρῶς, οὐ τοιοῦτος ἐών. τούτῳ ἀθρόων οὔρων πολλῶν ἐλθόντων λεπτῶν δὲ ἐπισχέσιος, ὕπνος ἐγένετο ξυνεχὴς καὶ ἱδρὼς, κρίσιμος δοκέων εἶναι ὁ τοιοῦτος. ἴσως περὶ δεκάτην, ἔπειτα ἐξεμάνη τε αὖθις, καὶ ἀπέθανε ταχέως, ἑνδεκαταῖος. προφάσιος οἶμαι τοῦ πιεῖν ἄκρητον συχνὸν, πρὶν ἐκμανῆναι. ὀλίγα ἔτεα αὐτῷ, εἴκοσι ἐγγύς.

Historia adolescentis viginti annorum qui vini potu in febrem incidit, deliravit, & unde- D cimo die interiit.

HIPPOCRATIS TEXTUS XI.

QVi primus mente captus est adolescens, huic urina pura, tenuis. Dejectio tenuis, copiosa, sine bile, lingua admodum aspera, febris perurens; insomnis; alvus gibbosa. Hic desipuit octavo, arbitror, die; lascivo modo exurgebat, pugnabat, valde obscœna loquebatur, quum ab iis natura abhorreret. Huic quum urinæ copiosæ, tenues ac multæ prodiissent, ex suppressione somnus obortus est, continuus, & sudor (idcirco quod E *talis esset judicatorius æstimatus) fere circa decimum diem: verùm postea rursus insaniit, & celeriter undecimo die mortuus est. Occasionem fuisse arbitror, quod merum copiosum potasset, priusquàm vehementer insaniret; ei pauci erant anni prope viginti.*

Περὶ τῆς τοῦ Εὐμένους, καὶ τῆς τοῦ φθινοπώρου καταστάσεως περὶ τὴν τῶν πληϊάδων δύσιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

ΤΟῦ φθινοπώρου ἤμεσε χολὴν μέλαιναν ἡ Εὐμένεος, καὶ αἱ ὀδμαὶ δὲ περίδηλοι, καὶ οἱ φρικώδεες πυρετοί, καὶ αἱ καρδιαλγίαι. χολώδεα βραχέα αἰεμοῦσα, καὶ τὸ ἑλμίνθιον. διαχωρήματα λεπτὰ πάντα τὸν χρόνον περὶ πληϊάδων δύσιος, ἔληγον περὶ αὐτάς. αἵ τε αἱμορραγίαι καὶ βραχύτεροι οἱ πυρετοὶ, καὶ ὑποστροφώδεες αὐτίκα, βραχέῃσιν ὑποστροφῇσι, καὶ ἀπόσιτοι, καὶ ἀσώδεες, καὶ καρ-

De Eumenis conjuge, ac de statu autumni ante vergiliarum occasum.

F HIPPOCRATIS TEXTUS XII.

EVmenis uxor autumno bilem atram vomuit. Eam verò etiam odores declararunt, & febres horridæ, & cordolia; biliosa pauca vomuit, & lumbricum. Dejectiones tenues erant per totum tempus. Ante vergiliarum occasum, & circa eas cessabant, sanguinisque eruptiones, & breviores febres erant, brevioribusque reversionibus recidebant, cibumque aversati, & velut excocti, ja-

ctatione, & cordolio: & lumbricis circa judicationes, tum rigore, tum bile vexabantur.

A ἀλγέες, καὶ θηριώδεες ἐν τῇσι κρίσεσι, καὶ ῥιγώδεες, καὶ χολώδεες.

Historia peregrini adolescentis febre correpti, hæmorrhagia aliisque symptomatibus vexati.

Ἡ τοῦ μειρακίου ξένου πυρέττοντος, αἱμοῤῥαγίᾳ ἠνωχληθέντος καὶ τοῖς ἄλλοις συμπτώμασι, ἱστορία.

HIPPPOCRATIS TEXTUS XIII.

Adolescens peregrinus, cui tertio, quarto & quinto die multus sanguis è naribus profluxit, sexto modestè consistebat, desipuit. Septimo die alvus restitit, sopore detinebatur. Tertio die morbi reversio, alvus reniti desiit, urinam non vidi. Sub crisim prout decebat, se gessit. At sub vergiliarum occasum mucosa, & crebra alvi recrementa dejiciebat, febris assidua vehemens, lingua arida. Sexto die judicatus est. Septimo rursus prehendit febris, eodem die cum tremore divisit. Sexto in autem sinistram fluxio glutinosa crassa decubuit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγʹ.

B Μειράκιον ξένον, τρίτη αἷμα ἐκ ῥινῶν πολὺ, καὶ τετάρτη, καὶ πέμπτῃ· ἔχλη ἵστατο κοσμίως, παρέκρουσεν. ἑβδομαῖος γαστὴρ ἐστήκει, κωματώδης ἦν, ὑποστροφὴ τριταίῳ, ἔξηιπε γαστὴρ ἀντεχομένη, οὖρον οὐκ οἶδα. περὶ κρίσιν οἷα ἔδει. περὶ δὲ πληϊάδων δυσίας νότια καὶ ὕετια ἦν, κατὰ τότε μειράκιον μυξώδεα, ὑπόχολα, πίπονα ὑπεχώρει, γλίσχρα, συχνὰ διαχωρήματα, πῦρ συνεχὲς, γλῶσσα ξηρὴ, ἐκρίθη ἑκταῖος. ἑβδομαῖον αὖθις ἔλαβεν. ἀφῆκεν αὐθημερὸν τρόμῳ. ὠτὸς ῥεῦμα κατ' ἀριστερὸν, γλίσχρον, παχὺ ἔχλη.

C

Duæ historiæ, prior pueri phagedæna, ac primorum dentium fluxione laborantis; altera pueri Athenæi dentium dolore vexati, cui sudato auris dextræ suppuratio successit.

Ἱστορία διττὴ, προτέρη ἡ τοῦ παιδὸς τοῦ φαγεδαινωθέντος ᾧ ἐμπρόσθιοι ὀδόντες πάχεες, δευτέρα δὲ τοῦ Ἀθηναίου τῇ τῶν ὀδόντων ὀδύνῃ ἠνωχληθέντος ᾧ ἱδρωμένῳ τοῦ δεξιοῦ ὠτὸς ἀποπύημα ἐπιγίνεται.

HIPPOCRATIS TEXTUS XIV.

Puero phagedænâ laboranti inferiores dentes, & ex superioribus primores emergebant, & cavitatem habebant. Quibus os à palato discedit, his medius nasus considet. Quibus verò superiores primores dentes, iis summus nasus latus est. Qui dens quintus ab anterioribus numeratur, quatuor radices habet, singulis paribus ad utrunque vicinum dentem connexis, extremitatibus omnibus ad internam partem reflexis. Ad tertium dentem plures suppurationes, quam ad cæteros omnes, & ex naribus fluxiones crassæ, & à temporibus dolores, inde maxime contingunt. Exeditur hic potissimùm quintus. Ex medio quidem condylum habebat. Ex duobus autem prioribus minor primus interna parte juxta duos erodebatur. Septimus radicem unam crassam acutam sortiebatur. Athenæo puero masculo sinistra parte dens inferior dextra superior doluit. Hujus auris dextra suppuravit, quum non amplius doleret.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδʹ.

Τῷ παιδίῳ τῷ φαγεδαινωθέντι, ὀδόντες οἱ ὑποκάτω, καὶ τῶν ἄνω, καὶ τοῦ κάτω οἱ ἐμπρόσθιοι, ἀνέ-
D πλεον. ἔγκοιλον εἶχον, ὀστέον ὧν μὲν ἐκ τῆς ὑπερῴης ἀπέρχεται, μέση ἵζει ἡ ῥίς. ὧν δὲ οἱ ἄνω ὀδόντες οἱ ἔμπροσθεν, πλατεῖα ἄκρη. ἀριθμούμενος ὁ πεμπταῖος ἀπὸ τῶν ἔμπροσθεν, τέσσαρας ῥίζας κατὰ δύο συνεζυγμένας, ὡς πρὸς ἑκάτερον τῶν γειτόνων ὀδόντων, ἄκρας ἀποκεκαμμένας εἰς τὸ εἴσω μέρος πάσας. παρὰ τὸν τρίτον ὀδόντα, ἀποπυήματα πλέω, ἢ παρὰ τοὺς ἄλλους πάντας, καὶ τὰ ἐκ ῥινῶν παχέα ῥεύματα, καὶ ἀπὸ κροτάφων ὀδύναι ἐκ τούτου μάλιστα γίνονται. ἐσθίεται οὗτος, μά-
E λιστα ὁ πέμπτος, ἐκ μέσου μὲν κόνδυλον εἶχεν. δύο δὲ ἔμπροσθεν ὁ μικρὸς, πρῶτος, ἔνδοθεν κατὰ τοὺς δύο ἐβέβρωτο. ῥίζαν μίαν παχέην ὀξέην εἶχεν ὁ ἕβδομος. τῷ Ἀθηναίῳ δὲ παιδίῳ ἄρσενι ὀδὼν ἐπ' ἀριστερὰ κάτω, ἄνω ὁ ἐπὶ δεξιά. τούτου οὖς δεξιὸν ἐνεπύησεν, οὐκ ἔτι ἀλγέοντος.

Status Cœli post vergilias, unde & quando crises, unde febrium reversiones & dysenteriæ nascebantur descriptio.

Ἡ μετὰ πληϊάδα τίνες εὐδίαι, ἐκ τίνος καὶ ὅτε κρίσεις, καὶ τῶν πυρετῶν ὑποστροφώδεες δυσεντερίαι ἐγίνοντο.

HIPPOCRATIS TEXTUS XV.

Post vergilias cælum placidum, nubilosum & caligines. Crises quinto, & sexto, & septimo die fiebant, prætereà vero etiam longiùs procedebant. Febrium reversiones aderant quæ ad erroneas vergebant, & cibum aversabantur, & biliosæ erant, & dysenteriæ cum ciborum fastidio, febriculosæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιεʹ.

F

Μετὰ δὲ πληϊάδα, εὐδίαι, ἐπινέφελοι, καὶ ὀμίχλαι. κρίσιες πεμπταῖαι, καὶ ἑκταῖαι, καὶ ἑβδομαῖαι, ἔτι δὲ μακρότεραι· ὑποστροφώδεες οἱ πυρετοί, καὶ ἐς τὸ πλανώδεες, καὶ ἀπόσιτοι, καὶ χολώδεες, καὶ δυσεντερίαι, ἀπόσιτοι, πυρώδεες.

A

Ἡ τῶν νοσημάτων περὶ πληϊάδων δύσιας ἐπομένων ἱστορία, καὶ δύοιν ἀῤῥώστων ῥάπτεός τε καὶ καπήλου, καὶ περὶ τῶν τῷ ἰατρῷ σκεπτέντων παραίνεσις.

Morborum austrinum flatum sub vergiliarum occasum sequentium historia, ac duorum ægrorum sutoris ac cauponis; & exhortatio ad ea quæ Medico consideranda sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ις'.

Περὶ πληϊάδων δύσιας, νότια ἰσχυρὰ ἦν, αἱμοῤῥαγίαι, καὶ τριταιοφυέες, καὶ ἠπιαλώδεες. ὁ ἐν τῷ σκυτείῳ ἡμοῤῥάγησε κατακορής· διαχώρησις ὀλίγη, ἐκρίθη, ἑβδομαῖος ῥίγει, ὁ παῖς ὁ παρὰ τὸ ἔσχατον καπηλεῖον, ἡμοῤῥάγησε τεταρταῖος, πολλὸν αὐτίκα ἐφλυήρει, γαστὴρ ἀπήχετο, ὑποχόνδριον ὀδυνῶδες σκληρόν. περὶ βουβῶνα ἕκτῳ ὑπῆλθεν κακὰ χλωρά. ἑβδόμῃ πρωΐ, ῥιπτασμός. πολλὴ βοή· φλεβῶν σφυγμοὶ περὶ ὀμφαλόν. ἐν τοῖσιν ὀξυτάτοισι τῶν πυρετῶν, οἱ σφυγμοὶ πυκνότατοι καὶ μέγιστοι. οἵη δὲ ἐς δείλην παροξύνεσθαι, τοιοῦτον ἐν πάσῃ τῇ νούσῳ. περὶ τὰς ἀρχὰς δὲ καὶ οἱ παροξυσμοὶ, καὶ τὸ περίτερον σκεπτέον, καὶ τὸ συνεχέον, καὶ τὸ τοῦ ἐνιαυτοῦ.

HIPPOCRATIS TEXTUS XVI.

Sub vergiliarum occasum austrini flatus vehementes erant; sanguinis eruptiones, & tritæophyæ, & epiadæ grassabantur. B *Qui in sutrina decumbebat, abunde sanguinem biliosum è naribus effudit; dejectio modica. Septimo die cum rigore judicatus est. Servus in extrema caupona quarto die sanguinem è naribus profudit; illico multa nugabatur; alvus restitabat, hypochondrium dolens ac durum. Sexto die glande subdita, mala pallidovirentia subierunt. Septimo manè jactatio, multus clamor, venarum ad umbilicum pulsationes ac veluti in acutissimis febribus pulsus densissimi & maximi; & qualis ad vesperam exacerbatio, talis per totum morbum movebatur. Cæterum ad dignoscenda principia & exacerbationes, & ipsa temporis tempestivitas consideranda sunt.* C

Μετὰ πληϊάδων δύσιας ἅινας προσήνεγκε τὰ παθήματα νότια, φλυκτένας, ὑποψωρώδεα, καὶ τρῆχεα, καὶ κνησμώδεα, καὶ τἄλλα τοιαῦτα.

Quos affectus attulerit status austrinus à vergiliarum occasu & circa vergilias, phlyctenas, scabiem, aspredines, prurigines, impetigines & alios.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

Μετὰ πληϊάδων δύσιας νότια, πέταλη κεινόμενα, διαλιπόντα μίαν, λαμβάνει. τὰ δὲ φολλικώδεα ἐπιφλυκταινούμενα, οἷα τῷ ἀκανθίῳ Λαπίθῃ. περὶ δὲ πληϊάδων δύσιας, ὑποψωρώδεα, καὶ τρηχέα, τὰ κνησμώδεα σὺν ἐπιδακρύοντα. μᾶλλον μὲν τοῦτον τὴν ὥρην. ἀτὰρ καὶ τὰ λειχηνώδεα ἐξαιρόμενα, ταῦτα ἦν οἱ, τῇ Πυθοδώρου καὶ τῷ καπηλίῳ ξὺν πυρετῷ ἅμα ἀρχομένῳ, σχεδὸν τῇ Πυθοδώρου, ἰσχία ἀκρατία.

HIPPOCRATIS TEXTUS XVII.

D *A vergiliarum occasu austrinus flatus. Quæ quinto judicabantur, uno intermisso, prehendebant. Quæ vero follicares erumpebant pustulæ quales Achanthio Lapito contigerunt. At circa vergiliarum occasum papulæ quædam subrubræ, asperæ, pruriginosæ lachrymis, vacuæ efflorescebant, & hac quidem tempestate liberalius. Quinetiam impetigines extumescebant. Hæc erant quæ Pythodori conjugi & Capelio unà cum febre contigerant sub cujus initia ferè Pithodori uxori coxendicum erat impotentia.*

Τὰ νότια μετὰ πλειάδων δύσιας, ὅτε τὰ ἐπιδήμια νοσήματα γενόμενα φρικώδεα, αἱμοῤῥαγίαι, ἐκεῖ αἱ τῶν ἀῤῥώστων ἱστορίαι τάχὺ καὶ ἐν ὀλιγοστοῖς ἀναγινώσκονται.

E Austrinus status post vergiliarum occasum quo Epidemii morbi fuerunt horror, hæmorragiæ, hîc ægrorum historiæ paucis leguntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. ιη'.

Μετὰ πληϊάδων δύσιας, φρικώδεες, αἱμοῤῥαγικοὶ ἐκ ῥινῶν. ὁ μέντοι σκυτεὺς ἐκρίθη ἑβδομαῖος, μίαν διαλιπὼν, μίην ἀλάμβανεν. αὖθις τετάρτῃ ἐκρίθη. ἄλλος τῶν παρὰ Λεωκύδεος, ἐκρίθη ἑβδόμῃ, ἄλλος τετάρτῃ. Μόσχος ἐνάτῃ πλάδερον ἐξ ἀριστεροῦ. βραχὺ δὲ, ἐκ δεξιοῦ μυκτῆρος, περὶ τὰς ιδ'. ἐς κρίσιν, ἣ ἔδει ἀρξάμενα προὐξύνετο ἁμαρτάδες βρωμάτων ιζ. ἐγένοντο. παρὰ δὲ οὖς ἐπὶ δεξιὰ σμικρὸν ἔσωθεν σκληρόν. ἔξωθεν σμικρὸν χαῦνον. ὀδυνῶδες, οὐδὲν ἐπιδιδοῦν, ιθ'. ἐπεγένετο φυκτίς. τοῖσι πάνυ χολώδεσιν, ἐκπύοις μάλιστα ὅλα ἴκελη ἡ κάθαρσις. οἷη ὁ τὴν σικύην προσβαλλόμενος ἐπεὶ ἐς τὸ ἰσχίον ὀδύνη τούτῳ ἐς σκέλος κάτω ἦλθε, καὶ ἐρήισεν.

HIPPOCRATIS TEXTUS XVIII.

Post vergiliarum occasum ægros tum horrores, tum sanguinis eruptiones è naribus invaserunt. Sutor quidem septimo die judicatus est; uno intermisso, altero recidit, rursus recidit; rursus quarto judicatus est. Alius ex his qui à Lycide venerant, septimo die judicatus est, alius quarto. F *Moscho nono die largus è nare sinistra, paucus ex dextra sanguis effluxit. In decimumquartum diem quatenus decebat, ad judicationem exordia concitabant. Decimoseptimo errata circa edulia deprehendebantur. Ad aurem dextram tuberculum parvum intus durum, foris paululum molle, dolens, nihil remittens decimonono exortum est. Admodum biliosis, suppuratis purgatio sepiæ atramento maximè similis. Neque secus ac is cui admota cucurbitula, quum dolor ad coxendicem esset, in crus descendit, levatus est.*

Ægri ab equo lapsi, & mulieris Tenediæ abortu facto ægrotantis historiæ.

HIPPOCRATIS TEXTUS XIX.

Qui ab equo fictili lapsus est, cui cucurbitula non statim admota fuit, intus ustus est, & vigesimo die malum recruduit; sanguinis profluvia, fæculenta & erodentia prodierunt. Mulier Tenedia quarto die masculum triginta dierum (prout narravit) abortivit. Alvus liquida, tenuia dejecit; exusta est lingua. Quarto die judicatio oborta est.

Quis post vergiliarum occasum status, ac morbi statum sequentes ut hiemis affectus hæmorrhagiæ, & quales urinæ?

HIPPOCRATIS TEXTUS XX.

Post vergiliarum occasum lienis affectus aderant, & ad quintum usque diem hæmorrhagiæ fluebant, judicatio obtigit. Cuidam septimo die urina veluti ervi loturâ, sibiipsi persimilis prodiit, deinde pura recidiva facta est. Intermisit quoque & Megarensis filio. Verùm sanguis non fluxit. Urina qualis Antigeni, alba, crassa, similis.

Cometæ insignis sideris visio; terræ motus & sequentes morbi, ac primùm uxoris Antigenis asthma.

HIPPOCRATIS TEXTUS XXI.

Sub solstitium hybernum sidus insigne visum est. Quinto autem post die terræmotus extitit. Quæ Antigenis uxor in Perintho morabatur, anhelosa perseveravit; Cui an utero gestaret nescienti, rubra menstrua comparuerunt; venterque aliàs atque aliàs parvus, aliàs magnus deprehendebatur. Semper tussiebat, ac si celerius iter confecisse contingeret. Mensis erat octavus quum constitit febre priùs tentata.

Trium mulierum historia, quarum prior septimo morbi die femellam abortivit & altera cum albo, posterior cum rubro fluore filiam peperit.

HIPPOCRATIS TEXTUS XXII.

Conjux fratris Apemanti septimo die (ut enunciavit) fœmellam sexaginta dierum abortivit. Ad nonum verò diem perturbata est. Post judicationem dextras partes dolebat, ac si ex reversione accidisset Hæc celeriter fœtum tum concipiebat, tum perdebat. Alia in albis fluoribus filiam peperit, alia in rubris, prout decebat.

A

Ἀρρώστου ἀφ' ἵππου καταπέσοντος, καὶ τῆς γυναικὸς Τενεδίης ἀπεφθειρήσας ἱστορίαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Ὁ ἀπὸ τοῦ κεραμέου ἵππου καταπεσὼν, ᾧ οὐ προσεβλήθη αὐτίκα σικύη, ἐκαύθη ἔσω, καὶ κ'. ἐπαλιγκότησεν, αἱμορραγικὰ, καὶ τρυγώδεα, καὶ ἐσθιόμενα. ἡ Τενεδίη τεταρταίη ἀπέφθειρεν, ὡς ἔφη, τριηκοσταῖον
B ἄρρεν, γαστὴρ ὑγρὰ λεπτὰ, ξυνεκαύθη γλῶσσα, κρίσις τεταρταίη.

Τίς μετὰ πληιάδων δύσιας στάσις, τινὰ δὲ τὴν τοῦ νοσήματος στάσιν ἑπόμενα τὰ παθήματα τὰ γενόμενα, αἱμορραγίαι, καὶ οἷα τὰ οὖρα;

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

C

Μετὰ πληιάδων δύσιας, σπληνώδεα, καὶ μέχρι πέμπτης ἔρρει, ἐκρίθη. ἑβδομαίῳ δὲ ἐόντι οὖρον, οἷον ὀρόβων πλύμα, ὅμοιον αὐτὸ ἑωυτῷ. ἔπειτα καθαρὸν, ὑποστροφή. διέλιπέ τε καὶ τῷ Μεγαρέος, πλὴν αἷμα οὐκ ἐῤῥύη. οὖρον οἷον τὸ Ἀντιγένεος, λευκὸν, παχὺ, ὅμοιον.

Κομήτου ἄστρου οὐ σμικροῦ ἡ δέρξις, σεισμὸς καὶ τὰ ἑπόμενα
D νοσήματα, καὶ πρῶτον τὸ τῆς Ἀντιγένεος ἆσθμα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Ἡλίου χειμερινέων τροπέων, ἄστρον οὐ σμικρόν. πέμπτῃ δ' ὕστερον ἑκάστων σεισμός. ἡ τ' ἐν Περίνθῳ ἔμεινε ἀσθματώδης ἡ Ἀντιγένεος, ἡ οὐκ εἰδυῖα εἰ εἶχε, ἐρυθρὰ ἐπιφαινόμενα, ἄλλοτε καὶ ἄλλοτε γαστὴρ σμικρὴ, ἄλλοτε μεγάλη. βήσσουσα γὰρ οἴομαι, ἐτύγχανεν. ὁδοιπορῆται θᾶσσον, μὴν ἦν ὄγδοος, ἱδρύθη προπυρεταίνουσα.

E

Ἡ τριῶν τῶν γυναικῶν ἱστορία, ὧν προτέρη ἑκτῇ τῇ ἡμέρᾳ ἀπέφθειρε θῆλυ, καὶ λευκῷ ἑτέρη, ἐρυθρῷ δ' ἑτέρη τὴν θυγατέραν ἔτεκεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Ἡ δὲ τοῦ Ἀπημάντου ἀδελφεοῦ γυνὴ, ἀπέφθειρεν ἑξήκονθ' ἡμερῶν, ὡς ἔφη, ἑβδομαίη θῆλυ. περὶ δὲ
F ἐνάτην ἐθορυβήθη. μετὰ δὲ κρίσιν, τὰ δεξιὰ ἤλγει, ὡς αἱ ὑπὸ ἀποστροφῆς, αὕτη εἶχε ταχέως, καὶ ἀπέφθειρεν. ἑτέρη λευκοῖς θυγατέρα ἔτεκεν, ἑτέρη ἐρυθροῖς, ὡς ἔδει.

A

Τὰ παθήματα ἀπὸ τῶν χειμερινῶν τροπέων ἑπόμενα. διττὴ τῶν ἀρρώστων ἱστορία τῆς τοῦ Απημάντου καὶ Αριστοφῶντος θυγατέρας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

ΦΡικώδεες, ἀσώδεες, ἀπόσιτοι, ὑποστροφώδεες, χολώδεες, αἱμορραγικοί, ὑποσπλήνιοι, ὀδυνώδεα τρόπον, ἐκ τῶν ἀριστερῶν οἱ πλεῖστοι. Τῇ Απημάντου, ἡ ἐς τραπέζω, ταύτη, τὸν ὀφθαλμὸν τὸν δεξιὸν, τὸν δὲ κενεῶνα, ἐπὶ τὰ ἕτερα. Η Αριστοφῶντος θυγάτηρ, τῇ τρίτη καὶ τῇ ε', ἐπυρέτηνε, ξηρὴ διετέλει τὰ πλεῖστα, γαστὴρ μέν τοι ταραχώδης ταύτη, δύσκριτα, ὑπὲρ τριήκοντα ἐπαύσατο.

Quæ pathemata solstitium hybernum sequuta sint. Duæ ægrotantium hystoriæ uxoris Apemanti; & filiæ Aristophontis.

HIPPOCRATIS TEXTUS XXIII.

Horroribus, jactationibus, ciborum aversionibus morborum, reversionibus, bilis redundantia, hæmorrhagiis, lienis affectibus, diversis dolorum modis plurimi à sinistris vexati ægrotabant. B *Apemanti uxori hac parte oculus distortus est dexter, ad alteram verò partem lateris mollitudo, Aristophontis filia tertio & quinto die febricitavit; sicca plurimum permansit; alvus tamen huic conturbata est; difficilis judicatio fuit, ultra triginta dies cessavit.*

Περὶ τῶν φλυκταινῶν, τοῦ ῥίγεος, καὶ ἡ Ζωΐλου τοῦ τέκτονος τῷ πυρετῷ ὀξεῖ ἠλθεσιωθέντος ἱστορία οὐ τελεσθεῖσα.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

ΦΛύκταιναι μὲν ἐκ κόπων οὐ κάρτα ἰσχυρῶν, ἀφικνοῦνται ἐς ἑβδόμην, ὑποπέλιοι. ῥίγος τῇ ὄπισθεν τοῦ Ηρωΐου παιδίσκῃ ἐγένετο. αἱ δὲ λευκαὶ μεγάλαι, οὐδ᾽ αὐταὶ πάνυ χρησταί, τῶν κατόχων καὶ ὑπνωδέων, καὶ μὴ ξυμπιπτόντων, καὶ χολῆς αὐτεχομένης, καὶ ἢν ὑγρὴ ἢ ἡ σκληρὴ, οὐ ξυμπίπτοντες. Ζωΐλου τοῦ τέκτονος, τρομώδεες σφυγμοί, νωθροί, οὔρησις καὶ κοιλία μετρίως ἄχροως, ἤτοι ἔντασις ἑκατέρωθεν ἐς ἰθὺ, μέχρις ὀμφαλοῦ ξὺν ὀξεῖ, ἀπόσιτος, διψώδης.

De phlyctænis, rigore, & catocho, at de Zoili fabri febre acuta correpti historia minimè peracta.

HIPPOCRATIS TEXTUS XXIV.

PHlyctænæ quidem ex laboribus non admodum vehementibus ad diem septimum perveniunt aliquantulum lividæ. Rigor ancillæ ponè Heroum habitanti obortus est. At albæ magnæ, neque ipsæ admodum bonæ sunt in catochis & somnolentis & non mole concidentibus, & bile reluctante, atque etiam sive lubrica fuerit alvus, sive dura non considentibus. Zoili fabri pulsus tremuli, tardi; lotium D *& alui recrementum moderatè decoloratum fuit, imi ventris contensio utrinque in directum ad umbilicum usque cum acuta febre; cibos aversabatur, siticulosus.*

Εν γαστρὶ ἐχομένης δυσγνωρίστης, χαλεποῦ τοῦ τόκου, τῶν μηνίων παύσεως καὶ ῥεόντων αἱμορραγιῶν ἱστορία.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

E

Η Παρὰ Τηκομαίῳ Αγορανόμου θυγάτηρ, ἐν γαστρὶ ἀσήμως ἐξαμένη, διμήνου ἔμετος φλεγματώδης, ὅ τε δὲ χολώδης, ἔῤῥηξε. χαλεπῶς ἔτεκε, τελέως ἐκαθάρθη, ἔμετος ὅμοιος μέχρι τριηκοστῆς, ἔπειτα γαστὴρ ἐταράχθη, καὶ ὁ ἔμετος ἐπαύσατο, λιεντερίη γυναικεῖα οὐκ ἐγένετο, δύο ἐτέων χρόνον ἔσχεν αἱμοῤῥοΐδας.

Inceptæ conceptionis, difficilis partus, diuturnæ menstruorum suppressionis dysenteriam & hæmorrhoidem profluentem excitantis historia.

HIPPOCRATIS TEXTUS XXV.

APud Tecomæum Agoranomi filiæ quum signis non pateret incepta conceptio, per duos menses vomitus pituitosus, interdum verò biliosus erupit, difficulter peperit, integrè purgata est. At trigesimum usque diem similis vomitus perseveravit, postea alvus perturbata, vomitus cessavit, lienteria orta est, neque menses prodierunt, per duos annos hæmorrhoidas habuit.

Τέσσαρες αἱ ἱστορίαι. α. δυοῖν τῶν ἀδελφῶν τοῦ Κέκροπος οἰκείων. β. τοῦ πυρετοῦντός τινος, τὸ ἄσθμα πῶς ἀπήνεγκε. γ. ἐκ τῶν μετάλλων τινος. δ. τοῦ Τεμενέου υἱοῦ ἀσθματικοῦ.

F

Quatuor historiæ. 1. Duorum fratrum Cerropis propinquorum. 2. Cujusdam febricitantis quo pacto asmum sustulerit. 3. Cujusdam ex fodinis. 4. filii Temenei pneumatici.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

ΟΙ δύο ἀδελφεοὶ, οἱ τοῦ Κέκροπος οἰκεῖοι, οἷσι τὰ μέλανα κατ᾽ ἀρχὰς διῄει, ὑπόσπυ-

HIPPOCRATIS TEXTUS XXVI.

DVo fratres Cecropis familiares, quibus per initia nigra prodibant, aliquantulum fæculenta,

lenta, aliquantulum, & condimentis ex sanguine paratis affinia, quæ ex bile saturatis & spumantibus cum virore pallescebant. Qui asinum ex pacto sustulit, ilico febricitavit, tertio die sanguinem è naribus profudit, & quarto, & quinto, & septimo, & octavo, alvo lubrica judicatus est. Vir metallicus hypochondrium dextrum contensum sortiebatur, lien magnus erat, & alvus distenta, subdura, flatulentus fuit, decolor. Huic in genu sinistrum decubuit, morbi reversio facta est, omnino judicatus est. Temenei filius quandam habuit spirandi difficultatem, adeout ex viridi pallesceret, qui color ad dorsum & manus transiit.

A γα, καρυκοειδέα, ἐκ κατακορέων ἀφρωδέων χολώδεα ἦσαν. Ος τὸν ὄνον ἐκ συνθήκης ἦρεν, ἐπυρέταινεν αὐτίκα, τριταίῳ ἡμορράγησεν, δ΄. καὶ ε΄. ζ΄. καὶ η΄. ἐκρίθη κοιλίη ὑγρή. Ο ἐκ μετάλλων, ὑποχόνδριον δεξιὸν ἐντεταμένον, σπλὴν μέγας, καὶ κοιλίη ἐντεταμένη, ὑπόσκληρα, πνευματώδης. ἄχροος τούτῳ ἐς γόνυ ἀριστερὸν, ὑποστροφή, δι' ὅλου ἐκρίθη. Ο Τημένεω εἶχέ τι πνεύματος ὡς χλοώδης εἰς νῶτα, ἐς χεῖρας χλοώδης.

B

Ægrorum historiæ. 1. Mariti puerperæ ictirici die octavo mortui. 2. Huic xoris septimestris partûs puerperæ, quæ multis symptomatibus vexata est. 3. Sororis cum rigore septimo die judicatæ. 4. Meandri vinitoris similis, qui septimo die urinis judicatus est.

Αἱ τῶν ἀρρώστων ἱστορίαι. α΄. τοῦ τῆς κυεοτόκου ἀνδρὸς ἰκτερικοῦ τῇ ὀγδόῃ τῇ ἡμέρᾳ ἀποθανόντος. β΄. τῆς τούτου γαμετῆς τὸ ἑπτάμηνον ἔμβρυον ἐκ πολλῶν τῶν συμπτωμάτων κεκακωμένης. γ΄. τῆς ἀδελφῆς σὺν τῷ ῥίγει ἑβδόμῃ τῇ ἡμέρᾳ κεκριμένης. δ΄. τοῦ Μενάνδρου γεωργοῦ εἰς τὸ ὁμοία ἑπτῇ ἡμέρᾳ κεκριμένου τοῖς οὔροις.

HIPPOCRATIS TEXTUS XXVII.

C

Puerperæ maritus apud Sitodochium ictericus, ad quem septimo die profectus sum, octavo moriebatur, qui neque mejebat neque dejiciebat. Hypochondria magna ac dura, densusque spiritus. Hic moriens ne præ dolore quidem frontem sudore madefecit. Hujus uxor femellam septimestrem septimo die ejecit, quarto autem comparuit. Hanc certè initio pedum dolor tenuit. Desinente verò febre, spiritus solutus non est, sed intus relictus. Manus & brachium dolor tentavit. Morbi reversio quamdiutissimè tenuit quibus urinæ ante judicationem suppressæ fuerint. Quæ apud Temeneum ipsius erat soror cum rigore judicata est. Statim autem desinente virore pallido, manus & humeri colorem perceperunt, atque his cessantibus caput. Superiores oculorum palpebræ intumuerunt, & lachrymæ profluebant, reliqua non novi. Septimo die primum judicata est. Eadem acta est vinitoris Meandri historia, præterquam quod alvus in principio tenuia reddidit, postea suppressa est, itemque urina judicata est. Septimo die non riguit, quod alvus antea turbata fuerit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ΄.

Ο τῆς λεχοῦς ἀνὴρ, ὁ παρὰ τὰ Σιτοδόκου, ὁ ἰκτεριώδης παρ' ὃν ἑβδομαῖον ἐσῆλθον, ὀγδόῃ ἀπώλετο, οὔτε οὐρῶν, οὔτε διαχωρέων. ὑποχόνδρια μεγάλα καὶ σκληρὰ, καὶ πνεῦμα πυκνόν. οὗτος ἀπολλύμενος, οὐδ' ὑπὸ πόνου, ἐνότισε τὸ μέτωπον. ἡ τούτου γυνὴ ἐξέβαλε θῆλυ ἑβδόμη ἑβδόμῳ μηνὶ, ἐφάνη δὲ τετάρτη. ταύτῃ μὲν ἐν ἀρχῇ, ποδῶν ὀδύνην εἶχε. λήγοντος δὲ τοῦ πυρετοῦ, πνεῦμα οὐκ ἐλύθη, ἀλλ' ἐγκατελείφθη ἐς
D χεῖρας ὀδύνη καὶ βραχίονα. ὑποστροφὴ διὰ μηκίστου ἔλαβεν οἷς ἐπέσχηντο οὖρα πρὸ κρίσιος. Η παρὰ Τιμένεῳ ἀδελφεὴ, ξὺν ῥίγει ἐκρίθη τοῦ χλώδεος δὲ λήγοντος ταχέως, χεῖρες καὶ ὦμοι· τούτων δὲ ληγόντων, κεφαλῆς· ὀφθαλμῶν τὰ ἄνω βλέφαρα ἐπήρθη, καὶ ἐδακρυρρόει, οὐκ οἶδα τὰ λοιπά· ἐκρίθη περὶ ζ΄. τοῦ πρώτου. Ο δὲ Μενάνδρου ἀμπελουργὸς ὡσαύτως, πλὴν γαστὴρ κατ' ἀρχὰς λεπτὰ ἐδίδου. ἔπειτα ἔστη, καὶ τὸ οὖρον ἐκρίθη. οὐκ ἐρρίγωσεν ἑβδόμῃ ἡμέρῃ, ὅτι ἡ γαστὴρ προεταράχθη.
E

De Potamonis filio, Hegesistratis, & de abscessibus, suppurationibus, & rigoribus Hippocratis sententia.

Περὶ τοῦ Ποταμῶνος υἱοῦ, καὶ Ηγησιστράτης, καὶ περὶ τῶν ἀποστημάτων, ἐκπυήσεων, ῥίγεων, ἡ τοῦ Ιπποκράτους νόησις.

HIPPOCRATIS TEXTUS XXVIII.

Potamonis filius, cui alvus septimo die non demisit, duobus ante judicationem diebus non riguit, quapropter neque urina supprimebatur. Hegesistratis, cui ad oculum suppuratio facta est, dens etiam extremus suppuravit, rursumque curatus est oculus, & per nares pus crassum descendit. Ad gingivam caruncula parvæ rotundæ discesserunt. Huic circiter tertium diem affutura suppuratio videbatur, deinde avertebatur, confertim autem maxilla & oculi intumuerunt. Quibus in febribus ardentibus ad oculos abscessus oriuntur, his prærubræ erant malæ, & sanguinem è naribus profundebant. Quinetiam quibus tumores ad aures exurgebant, fortassis autem potius ad articulos abscess-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη΄.

Ο Ποταμῶνος, τούτῳ κοιλίη οὐ διῆλθε ἑβδομαίῳ, πρὸ κρίσιος δύο ἡμέρας οὐκ ἐρρίγωσε, διὰ τοῦτο, οὐδὲ τὸ οὖρον ἔσχετο. Ο ὀδοὺς τοῦ Ηγησιστράτου, ὅτῳ
F ἀποπύημα παρ' ὀφθαλμὸν, καὶ ἀπεπύησε παρὰ τὸ ἔσχατον, καὶ αὖθις ἐξῃρέθη ὁ ὀφθαλμὸς, καὶ κατὰ ῥῖνας πῦον ἦκε παχὺ, παρὰ τὸ οὖλον, σαρκία σμικρὰ, στρογγύλα ἀπῆλθε, τούτῳ περὶ τὴν τρίτην ἐδόκει ἀποπυήσειν, ἔπειτα ἀπετρέπετο, ἐξαίφνης δὲ ᾤδησεν ἡ γνάθος, καὶ ὀφθαλμοί. οἷσιν ἐς τοὺς ὀφθαλμοὺς ἀποστάσιες ἐν καύσοις, ἐξέρυθροι γνάθοι, καὶ αἱμορραγικοί, ἀτὰρ καὶ οἷσι παρὰ τὰ ὦτα ἔστιν, ἴσως δὲ καὶ ἀποστάσιες ἐς ἄρθρα

μᾶλλον, οὐ μὴν σάφα οἶδα. Τὰ ῥίγεα τρομώδεσιν, A ὑποχονδρίου ἔντασις, γυναικεῖα ἐπεφάνη δεκάτῃ καὶ ἑβδόμῃ, ἐκρίθη διατελέος, εἴγε μὴν οὕτως ἐνέμεινεν, ἐκρίθη τρίτῃ, ἄλλῃ πέμπτῃ, ἄλλῃ ἑβδόμῃ ἐκρίθη.

sus colliegbantur, non tamen manifestè novi. Rigores tremulis aderant, & hypochondriorum distensio, muliebria decimoseptimo comparuerunt, judicatioque ita perpetuo oboriebatur. Quæ tamen si sic permansissent, tertio die, quædam quarto, quædam septimo judicabantur.

Αἱ τῶν ἀρρώστων ἱστορίαι. α'. Ἡγησιστράτου δυοῖν τῶν ὀδόντων ἀναβρώσει νοσοῦντος. β'. τῆς γυναικὸς ταῖς αἱμορραγίαις κεκριμένης. γ'. τῆς γυναικὸς σκυτικῆς. δ'. καὶ τοῦ σπληνικοῦ ἀνδρὸς μακρᾷ τῇ ὀφθαλμίᾳ νοσοῦντος. B

Historiæ ægrorum. 1. Egestrati duorum dentium erosione laborantis. 2. Mulieris hæmorrhagiis judicatæ. 3. Mulieris coriariæ. 4. Et viri splenici diuturna ophthalmia laborantis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

ΤΩι Ἡγησιστράτῳ οἱ δύο ὀδόντες οἱ ἔσχατοι, τὰ πρὸς ἀλλήλους ἐβέβρωντο, ὁ ἔσχατος εἶχεν ἄνωθεν τοῦ οὔλου δύο κονδύλους, ἕνα μὲν κατὰ βρῶμα, ἕνα δὲ ἐπὶ θάτερον. ᾗ δὲ οἱ δύο, ταύτῃ ῥίζαι πλατεῖαι ἴκελοι ἐκ δύο ξυνέπιπτον ἐπὶ τὰ ἕτερα, μία ἡμισεία, πρὸς στρογγύλη. γυναικὶ ἣ ἡμορράγησε δ' καὶ ς' ἑβδομαίη ἐκρίθη, ἐξέρυθρος. γυναικὶ καρηβαρικῇ ἰσχυρῶς, ταύτῃ ἐκρίθη περὶ εἰκοστήν. Εἰκοστῇ καυσώδης ὑποχόνδρια. ἑβδόμῃ οὐ κάρτα ἡμορράγησε, διαχωρήματα λεπτά. ἐς ὀφθαλμὸν δεξιὸν, περὶ ὀγδόην. C ἀνδρὶ ταυτά. πλὴν ἑβδόμῃ ἐκρίθη ὑποσπλήνιος ἐς τὰ ἀριστερά. ὀγδοηκοσταίῳ καὶ χρονιώτερα τούτῳ τὰ τοῦ ὀφθαλμοῦ, ἴσως ὅτι ὕστερον τῆς κρίσιος, καὶ ὅτι πολλά.

HEgesistrato postremi duo dentes invicem erodebantur. Postremus duos supra gingivam condylos sortiebatur, unum quidem juxta erosionem, alterum vero altera ex parte. Qua vero parte duo dentes se se contingebant, ibi radices latæ similes binæ sibi invicem respondebant, altera ex parte una erat medietas præterea rotunda. Mulier cui sanguis quarto & sexto die è naribus profluxit, septimo judicata est; rubicunda erat. Mulieri vehementer capitis gravitate laboranti circiter vigesimum diem contigit. Vigesimo hypochondria æstuabant. Septimo die non multus sanguis è naribus profluxit, dejectiones tenues. Ad octavum in oculum dextrum decubuit. Viro eadem contigerunt, nisi quod septimo die judicatio facta est, liene sinistris aliquantulum intumescente. Huic ad octogesimum diem, atque etiam diuturniores oculi affectus obvenerunt, fortassis quod à judicatione contigissent, quodque essent plurimi,

D

Η τῆς τοῦ Τημένεω γαμετῆς ἀπὸ τῶν ὀγκηρῶν τῶν ὑποχονδρίων νοσούσης πυρετοῦ, ἣ πολλὰ παθούσῃ τὰ συμπτώματα, πρὸς τὴν ἀντίχειρα καῦσις, ἀπόστημα ἑνδεκάτῃ ἡμέρᾳ, ἑκκαιδεκάτῃ δὲ δυσπνοῖος πυρετὸς, θάνατος ἐπὶ τὸ πέρας.

Historia uxoris Temenei ex inflatis ac distentis hypochondriis ægrotantis febre, cui multa passæ symptomata undecimo die ad manus pollicem inflammatio, abscessus, & decimo sexto febris dyspnæa, mors denique contigit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

ΤΗμένεω ἀδελφὴ πνευματώδης ὑποχόνδρια καὶ ἐντεταμένα ἐφάνη διὰ χρόνου. Εἰ δὲ καὶ εἶχέ τι νήπιον, E οὐκ οἶδα. γαστὴρ τὰ πρῶτα ἑστηκυῖα, καὶ ἐμετώδης τότε, ἔπειτα οὐκ ἔτι. γαστὴρ γὰρ διῄει πολλὰ γλισχρόχολα. ὑποχόνδριον, οὐκ ἐκώλυεν, ια'. ἐς τὸν μέγαν τῆς δεξιῆς, φλεγμονὴ, κατάρρηξις, καὶ ἐπεχώρει ἀμφοτέρω, τούτου γινομένου, βέλτιον ἐγίνετο, καὶ γὰρ καταφορὴ ἧσσον καὶ πυρετὸς, καί τινι καὶ εὐπνοωτέρη, ὅτι ἄνω ἤμει ἔμετον κακόν. ἑξκαιδεκάτῃ, ἰσχνὸν ἐγίνετο καὶ πνεῦμα πυκνὸν, καὶ πυρετὸς, ἀπέθανεν, αὕτη ἐπύρεξε πρὸ τῆς ἀποστάσιος. ἑβδόμῃ μετὰ τὴν ἀπόστασιν ἀπώλετο. ἦν δὲ αὕτη τὸ ἐξέρυθρον τρόπου. F

HIPPOCRATIS TEXTUS XXIX.

HIPPOCRATIS TEXTUS XXX.

TEmenei sori flatulenta, hypochondria etiam distenta, menses comparuerunt. An vero etiam infantem aliquem habuerit, haud scio. Alvus primùm suppressa est, ac tunc vomebat, postea non amplius. Multa nanque glutinosa & biliosa alvus demisit, neque obstabant hypochondria. Vndecimo die ad dextræ pollicem oborta est inflammatio: alvus affatim perrumpit, & superiore parte concessit; Quibus contingentibus melius habebat. Etenim in somnum delatio & febris minuebatur; & quodammodo etiam facilior erat spiratio, quod per superiora pravum quiddam vomuerat. Decimo sexto tenuis ac densus æstuabat spiritus, ac febris, mortua est. Hæc ante abscessum febricitavit, & septimo ante abscessum periit. Fuit etiam hæc quodammodo rubicunda.

A

Filio sororis Apemanti opere fatigato vigesimo die in pedes abscessus decubuit ex crisi: morbi reliquias post crisim recidivas facere, excrementa quoque, sputum præmaturum alvum, & vitæ intemperantiam.

HIPPPOCRATIS TEXTUS XXXI.

Qui filius erat sororis uxoris Apemanti, hypochondria magna, & lienem habuit. Huic spiritus densus; dejectio glutinosæ bilis, quibusdam stercoribus permixtis. Quum ex opere lassus esset, vigesimo die, in pedes abscessus decubuit; idque ex judicatione, quâ certè lassis ad articulos, non ad oculum abscessus decubuit. Hypochondria verò distenta erant, & sanè etiam tussicula quædam paululum sicca vexabat. Quæ relinquuntur post judicationem, recidivas faciunt, & quæ in ipsis morbis excernuntur, sputum præmaturum, alvus, intemperantia, & hujusmodi similia.

B

C

Tres historiæ Apemanti, Fabri, & Nicostrati, quorum duo sedis & ilium doloribus vexabantur cum mictu cruento; ultimus dissimili morbo afficiebatur.

HIPPOCRATIS TEXTUS XXXII.

Quem Apemantum sedis, & mollium dextri lateris ilium dolores vexabant, atque ad umbilicum paulo inferius pertingebant. Et dextrâ parte ante dolorem urinam cruentam meiebat; desiit tertio die. Et faber opposita parte ex eadem rectitudine dolorem sensit; & hic quoque cruentam urinam excernebat. Quæ ubi cessasset, ambo in urinis sedimenta continebant, idque tertio die. Apemantus autem plurimùm fovebatur, alter vero non sentiebat, nisi in dextra parte. Nicostrato etiam ad extremas partes dextras aliquid accidit, paulo inferiùs quàm quibus in sinistris. Oblongum vero quiddam supra ilium mollitudinem utrisque ad umbilicum usque extendebatur.

D

E

De ano leucophlegmatia laborante. De duris & albis tibiarum tumoribus curatu difficillimis. De coxendicis & cruris doloribus ab utero concitatis, topico Hippocratis discussis.

HIPPOCRATIS TEXTUS XXXIII.

Anus apud Sosileum leucophlegmate laborabat; tibiæ duris tumoribus, albis, & mollibus vexabatur; itemque pedes, verùm minùs, cui etiam partes infra femora pertingebant; etiamsi plerisque difficilis huc exitus pateat, quinetiam lumbos pervadebant, & venter tenuis erat; submollia hypochondria; anhelosa verò non admodum. Cessantibus autem plurimis etiam incumbebat cura, ubi oculorum acies cæsia reddebatur. At ipsa quidem oculorum cura paulò moderatior erat. Coxendicis autem & cruris dolores ex utero pendre videbantur; quos subdititio medicamento odorato, ex farina & unguento derepente discuti

F

Υἱὸς τῆς ἀδελφιδῆς τῆς Ἀπημάντου γυναικὸς ἐξ ἔργων κοπώδης εἰκοσταῖος ἐς πόδας, ἐκ τοῦ ἀποστήματος ἡσυχῆ. τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν ὑποστροφώδεα, καὶ τὰ ἐν αὐτῇσι τῇσι νούσοισι ἀποκρινόμενα, πτύαλον προεπεπαινόμενον, τὴν γαστέρα τὴν τοῦ βίου ἀκρασίαν παρέθηκεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα΄.

Ὁ Παῖς ὃς ἦν τῆς γυναικὸς τῆς τοῦ Ἀπημάντου ἀδελφῆς, ὑποχόνδρια μεγάλα καὶ σπλὴν, πνευματώδης διαχώρησις, γλισχρόχολος, ὑπόκοπρος. κοπώδης ἐξ ἔργων εἰκοσταῖος ἐς πόδας, καὶ κρίσις ἦεν τοῖσι κοπιώδεσιν ἐς ἄρθρα, καὶ οὐκ ἐς ὀφθαλμόν. τὰ ὑποχόνδρια δὲ ἐκτεταμένα ἦν, καὶ δὴ καὶ ἦν τι βηχίον ξηρὸν, ἡσυχῆ. τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν, ὑποστροφώδεα, καὶ τὰ ἐν αὐτῇσι τῇσι νούσοισι ἀποκρινόμενα, πτύαλον προεπεπαινόμενον, ἡ γαστὴρ, ἀκρασίαι καὶ τοιαῦτα.

Τρεῖς αἱ ἱστορίαι Ἀπημάντου, τέκτονος, καὶ τοῦ Νικοστράτου, ὧν μὲν δύω κενεῶνος, καὶ παρὰ τὸν ὄμφαλον ὀδύναις ἐνόσουν, αἱματῶδες προύρεον. ὕστερος ἄλλως νοσεῖ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ΄.

Ἀπημάντῳ, ᾧ τὰ ἐν τῇ ἕδρῃ ἀλγήματα ἐν τῷ δεξιῷ κενεῶνι, καὶ παρὰ τὸν ὀμφαλὸν κάτωθεν ὀλίγον· καὶ ἐκ δεξιοῦ πρὸ τοῦ ἀλγήματος, προύρει αἱματῶδες., ἔληξε τρίτῃ. καὶ ὁ τέκτων ἐπὶ τὰ ἕτερα, ἐκ τῆς αὐτῆς ἰξίος, καὶ οὗτος προύρει αἱματῶδες· λήγοντος, δὲ ἀμφότεροι ὑποστάσιας εἶχον καὶ τοῦτο τρίτῃ. ἐπεχλιαίνετο δὲ πλεῖστα Ἀπήμαντος, ὁ ἕτερος οὐκ ἐνόει, εἰ μὴ ἐπὶ τὰ ἀριστερά. καὶ Νικοστράτῳ προσεγένετό τι τὰ ὕστατα ἐκ τῶν δεξιῶν, κατώτερον ἢ οἷσι ἐν τοῖσιν ἀριστεροῖσι. πρόμακρα δὲ περὶ τοῦ κενεῶνος, μέχρι πρὸς ὀμφαλὸν ἀμφοτέροισιν.

Περὶ τῆς γραίης λευκοφλέγματος. περὶ τῶν κνημῶν σκληρῶν οἰδημάτων, λευκῶν τε καὶ δυσθεραπευθέντων· περὶ τοῦ ἰσχίου τε καὶ τοῦ σκέλεος ἀλγήματος ἀπὸ τῆς κοιλίας γεγενημένου, τῷ τοῦ Ἱπποκράτους ἐπικῷ τεθεραπευμένου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ΄.

Ἡ Γραίη ἡ κατὰ Σωσιλέω λευκοφλέγματος· κνήμαι σκληροῖσιν οἰδήμασι, λευκοῖσι, φολιδώδεσι, καὶ πόδες, ἧσσον δὲ, ἦν δὲ καὶ ἐν τοῖσι κάτω τῶν μηρῶν, τοῖσι δὲ πολλοῖσι δυσέξοδον τοῦτο. ἀτὰρ καὶ ὀσφὺς καὶ λεπτόγαστρος ὑποχόνδρια ὑπομαλακὰ, πνευματώδεες δὲ οὐ κάρτα. ἦν δὲ ληγόντων τῶν πλείστων, μήτε καὶ ἄλλη ἦν ἐγλαυκώθη ἡ ὄψις. ταύτη μὲν τῶν ὀμμάτων, ἡσυχώτερα δή τι σμικρὸν ἦν ἰσχίου δὲ καὶ σκέλεος, ὑστερικὰ ἦν, δοκέοντα ἀλγήματα εἶναι. προσθεμένη εὐώδες ἐξ ἀλήτου καὶ μύρου. ξυνέβη ταχέως ἀναδιδωθῆναι καὶ τελευτῆσαι, χρόνος

τῇ ἐς ὀφθαλμοὺς ἀποστάσει, ἐνιαυτός. περιομφακώδης, ᾧ καὶ τὰ ἐξανθήματα ἐξετάκη οὐ τελέως. ἔστι δὲ καὶ ἀπὸ τῶν συρμάτων τοιαῦτα.

A *ac desiisse contigit. Tempus autem abscessus ad oculum annuum fuit, quod circumcirca immaturus fuit; cui etiam pustulæ non integrè contabuerunt. Talia in desquamatis ulceribus oboriuntur.*

Ἐκ τῶν τοῦ παιδὸς Ἱππολόχου ὑποχονδρίων τινῶν σκληρῶν συλλαμβανόμενόν τι ὑπόλαμψιν ἐμφερῆ, ὁμαλὸν ὑπερεξηρμένον, καὶ περιφέρειαν ἐχόντων, ᾧ ὀμφαλὸς ἐμελάνθη, καὶ μέγα ἕλκος γίνεται, καὶ τὸ αἰδοῖον ἀκρόψιλον ἐγεγόνει, ἄρα περιέκαμνεν. ἀλλὰ ὕδωρ τε πολὺ πίνων, λήγοντός τε σπασμοῦ, καὶ διὰ τὴν τοῦ βίου ἀκρασίαν, ἔλαθεν ἀποσβείς. B

De pueri Hippolochi hypochondriis duris collectum quiddam splendidum, planum protuberans, & subrotundum continentibus, cui nigricans erat umbilicus, & profundum ulcus, extremum pudendi denudatum, tandem convaluit. Sed is larga aquæ potione, & vitæ intemperantia, jactationibus & convulsionibus vexatus, sedata convulsione inscius interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδʹ.

Ἐν τῇ Ἱππολόχου κώμῃ παῖς, ᾧ ἐν τοῖσιν ὑποχονδρίοισι τὸ περιλαμβανόμενον περὶ ἀμφότερα ἦν τὰ αὐτῷ, σκληρὸν δὲ καὶ κάτωθεν εἶχεν ὑπόλαμψιν ἐμφερῆ τῇ τοῦ χαλκέως, τῇ ὑδρωπιώδει, ἢ λεπτὰ ἐλθόντα, μέρος τι ἐλάπαξεν· ἦν δὲ καὶ αὐτὸ τοῦτο πρὸς τοῦ δεξιοῦ ὁμαλόν τι ὑπερεξηρμένον, τῶν ὑπό τι περιφέρειαν ἐχόντων. τούτῳ ὁ ὀμφαλὸς ἐκ γονῆς ἐμελάνθη, καὶ ἕλκος βαθὺ ἐγένετο, καὶ ὁ ὀμφαλὸς οὐ μάλα οὐλὴ ἐγεγόνει, καὶ τὸ αἰδοῖον ἀκρόψιλον ἐγεγόνει, οὐ τοιοῦτον αὐτίκα ἐόν, οὐδὲ ξυγγενικὸν, ἐπεί τε μᾶλλον ἐγένετο. οὗτος ἤμεε τὰ πλεῖστα, πυρετὸς, ἀποσιτίη, ὑγιάνθη· περὶ δὲ ζʹ. ἀπὸ τῆς κατακλίσιος, πρόσθεν γὰρ περιέκαμνεν, ὕδωρ τε πολὺ πίνων, καὶ ἴσως ἄλλως ὑποκαταφρονεῖ, ἐρριπτάζετο καί τι ἐσπᾶτο, λήγοντος δὲ τοῦ σπασμοῦ, ἔλαθεν ἀποσβείς. πρὸ δὲ τούτου, οὔρησεν ἀθρόον, καὶ φῦσαι διῆλθον ἐν βορβόρῳ, καὶ τὰ ἄνω οὐκ ἐλάπαξεν οὐδέν. ἀποψυχομένου τε εὐθέως, κεῖνά τε ἐλαπάχθη ἰσχυρῶς, καὶ τ' ἄλλα διεφοινίχθη, ὡς μάστιξι πᾶν τὸ σῶμα, πλὴν τούτου ᾗ μάλιστα τὸ ἔξαρμα ἦν, καὶ θερμὸς ἐπὶ συχνὸν ἦν. C D

HIPPOCRATIS TEXTUS XXXIV.

Servus in Hippolochi villa, cui in utrisque hypochondriis quiddam collectum continebatur quod durum erat, ac deorsum aliquantulum fulgidum, quale quid simile Fabri Ferrarii uxori Hydropicæ aderat; tenues procedentes dejectiones quadantenus mollitudinem attulerunt. Erat verò etiam hoc ipsum ad dextrum, planum quiddam supra ea quæ circunferentiam habent, elevatum. Huic umbilicus ab ortu denigratus fuit, & profundum erat ulcus, neque umbilicus fere cicatrice obductus fuit, pudendumque extrema parte denudatum erat, quum nihil hujusmodi statim extitisset, neque connatum esset, tandemque magis fieret. Hic plurima vomuit; febricitavit; cibum aversatus est; convaluit. At circa septimum à decubitu diem (antea nanque laboraverat) copiosa epota aqua, & alioqui fortassis negligentius se gerens, corporis jactatione torquebatur, & nonnihil convellebatur. Desinente convulsione, inscius extinctus est. Antea verò affatim minxit, & flatus cum strepitu prodierunt, superioresque partes nulla ex parte evacuatæ sunt. At statim ubi decessisset & illæ valenter emollitæ sunt; & alioqui totum corpus tanquam scuticis cæsum, rubore infectum est, præterquam qua parte præcipuè tumor sublatus fuit, multoque tempore calor perseveravit.

Περὶ τῶν βουβώνων τῷ δὲ κάτω, τῷ δὲ ἄνω γενομένων. περὶ τῶν γʹ οἰκετίδων. αʹ. ἀσθματικῆς. βʹ. τῆς τοῦ Ὀλυμπιοδώρου αἱμορροϊώδεος. γʹ. Ὕλης ῥᾳδίως καθαρθείσης. E

De tumoribus huic infernè, illi supernè eruptis. De tribus ancillis. 1. Asthmatica. 2. Olympiodori hæmorrhoica. 3. Hyle quæ octavo die medicamento facile purgata est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λεʹ.

Ὧι δ' ἐν Ἀβδήροις ἐρράγη κάτω. ᾧ δ' ἔμπροσθεν αἰδοῖα ἀπυρέτῳ. τὸ δὲ ἔπαρμα ψαυόμενον, ἴκελον ἐμπύῳ ἦν. Ἀσθματώδει οἰκέτιδι, ἔνθα ὅτε ἡ ἐπαγγεία ἡμορράγησε, τοῖσι ἐπιμηνίοισιν ἐγένετο δὲ ἄσθμα, κἀκεῖνα ἐπαύσατο, πυρετὸς ἐγένετο, μαζὸς ἐνεπύησεν, ἀριστερὸς ὕπερθεν, καὶ ἀπ' ἀρχῆς καὶ οὖς. τῇ Ὀλυμπιοδώρου παιδίσκῃ, αἷμα ἐκ τοῦ δεξιοῦ, καὶ ἐκρίθη ὡς εἰκοσταίη. οἷα καὶ τοῖσι πυρεταίνουσι, καὶ διαχωρήσιες, οἷαι καὶ τοῦ θέρεος ἐπιδήμησαν καὶ οἷα Ἱππώνακτος· καὶ Ὕλη οἰκέτις ἡ Ἀριστίδου ὀγδόη ἐν τῇ τῶν φαρμάκων καθάρσει, κάτω σημεῖα, οἷα εὐφόρως φέρουσι, κἂν μὴ παρὰ λόγον γίνηται, καὶ μήτε ἔπαφρα, μήτε ὕφαιμα, ἀλλ' οἷα ὠά ἐστιν, οἷα Ἡρακλείδεω ἐκαθάρθη πολλὰ, καὶ ῥηϊδίως ἔφερε. F

HIPPOCRATIS TEXTUS XXXV.

Abderæ cuidam deorsum erupit Cuidam autem anteriores partes absque febre tumescebant. Contactu tumor suppurato affinis erat. Asthmate laboranti famulæ quum vasa menstruum sanguinem funderent, tum anhelationes illæ cessabant, febris oriebatur, mamma sinistra supernè pus collegit; atque etiam auris per initia. Olympiodori famulæ sanguis ex nare dextra profluxit, & ad vigesimum judicata est; quemadmodum etiam febricitantibus contigit. Dejectiones etiam quales per æstatem in vulgus grassabantur, & quales Hipponacti contigerunt. Hyle Aristidæ ancilla octavo die pharmacorum purgatione deorsum signa dedit, qualia facilè ferentibus accidunt, si non præter rationem vires decidant, neque spumantia, neqne subcruenta, sed qualia ova sunt, qualia Heraclidæ uxori permultum purgata est & facile tulit.

A

Rubicundæ cujusdam mulieris febricitantis ex liene historia. Et unde maximè rubicundi fiant?

HIPPOCRATIS TEXTUS XXXVI.

Quæ in Bullogoræ vico perpurgata fuit, ex liene febricitare cœpit (qui verò dextrum hypochondrium quadantenus non sublime quidem, sed distentum habent, hi etiam magis rubicundi fiunt) rubicunda quum esset, alvum in principio perturbatam habuit, & ad oculum expectabatur decubitus. Huic septimo die salsuginosa & mordax prodiit lachryma, & per nares, & per fauces, & aurem sinistram. Decimoquinto cum rigore sudavit; non ante rigorem judicatio oborta est; admodum ex virore palluit; facies circuntensa, & collapsa est; auris è directo lieni & lateri respondens dolebat. B

Historia puerorum quibus primùm alvus perturbata est, postremo in humero abscessus factus. De fullonis torpore; maxilla distracta. De Lycini Grammatici febre biliosa. C

HIPPOCRATIS TEXTUS XXXVII.

In pueros alvus perturbata, & tusses siccæ grassabantur; interdum postremis diebus inter tussiendum pus ad humerum colligebatur. Fulloni cervix, caput, septimo manus obtorpuit; nono crus torpidum fuit, tussis cessavit. Cui maxilla distracta fuit: quinto mense in utero ad sinistram tractionem sentit. Cranone, Lycino Grammatico febre biliosa ob splenem affecto capitis gravitas accidit, stridebat lienis regio: in labris utrisque ulcera intus, rotunda, parva aderant. Deinde etiam paucum sanguinis è nare è directo manavit. D

Historia nuper emptæ cui in dextris scleroma magnum non valde dolorificum obortum est: venter quoque magnus & distentus, hæc malè colorata, cui menses à septem annis non processerant, quibus eruptis, ipsa convaluit. E

HIPPOCRATIS TEXTUS XXXVIII.

Famulæ quam nuper emptam vidi: cui scleroma magnum erat, non admodum dolorificum: etiam venter magnus ac circuntensus fuit, non hydropicæ similis, quæ alioquin opima ac mollis erat, neque admodum difficulter spirans, verùm decolor. Menses per septem annos non processerant, & dysenteria premebatur, tenesmo nequaquam. Atque sub hæc quod in dextris erat scleroma dolorem inferebat, febres lentæ tenebant, non tamen ultra septem dies, alvus quoque turbata fuit, quæ succino similia, glutinosa & copiosa ad aliquot dies dejiciebat, convaluit, & menses postea profluxerunt, & ventris partes, molles evaserunt, & quod scleroma crassum erat, & ipsi corporis color laudabilis. F

Περὶ τινος ἐρυθρῆς ἐούσης τῆς γυναικὸς ἐπὶ σπληνὶ πυρεταινούσης. καὶ ὁπόθεν μᾶλλον ἐρυθροὶ ἐῶσι?

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛʹ.

Τῇ ἐν τῇ Βουλαγόρεω κώμῃ, ἀποκαθαρθείσῃ, ἤρξατο πυρεταίνειν ἐπὶ σπληνὶ, ἔχουσιν δὲ καὶ δεξιὸν ὑπό τι, μετέωρον μὲν οὒ, ἐντεταμένον δέ. οὗτοι καὶ ἐξέρυθροι γίνονται, μᾶλλόν τι ἐξέρυθρος ἐοῦσα, κοιλίην ἐν ἀρχῇσι τεταραγμένην, προσδεχομένην ἐς ὀφθαλμὸν στήριξιν. ταύτῃ ἑβδόμῃ ἁλμῶδες ἐκ τῶν ὀφθαλμῶν ἦλθεν δάκνον δάκρυον, καὶ κατὰ ῥῖνα, καὶ κατὰ φάρυγα, καὶ οὖς ἀριστερόν. πεντεκαιδεκάτῃ ἵδρωσε σὺν ῥίγει, οὐκ ἐκρίνετο πρὸ τοῦ ῥίγεος, ἐχλωρίασε κάρτα, καὶ προσώπου περίτασις, καὶ σύμπτωσις. τὸ οὖς κατ' ἴξιν τοῦ σπληνὸς, καὶ τοῦ πλευροῦ ἤλγει.

Η τῶν παιδῶν ἱστορία οἷς πρότερον γαστέρες ταραχώδεες ἐγίνοντο. ἐν τῷ ὤμῳ ἀπόστημα. περὶ κνάφεος τῆς ναρκῆς, καὶ τοῦ σκέλεος. περὶ τοῦ Λυκίνου γραμματικοῦ ἐκ πυρετοῦ χολώδεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζʹ.

Τοῖσι παιδίοισι, γαστέρες ταραχώδεες, καὶ βῆχες ξηραὶ, ἐς ὦμον ἐστὶν ὅτε ἀποπύη ἐν τῇσι βήξεσι τῇσιν ὑστέρῃσιν. Ὁ κναφεὺς, τράχηλον, κεφαλὴ ἑβδόμῃ, χεὶρ ναρκώδης· ἐν τῇ θʹ. σκέλος ναρκῶδες, βὴξ ἐπαύσατο, ἡ τὴν γνάθον ἐρυσθεῖσα ἐν πέμπτῳ μηνὶ, ἐν γαστρὶ εἵλκυσε ἐς τὰ ἀριστερά. ἐν Κρανῶνι Λυκίνῳ γραμματικῷ ἐκ πυρετοῦ χολώδεως, ἐπὶ σπληνὸς καρηβαρίη, ἐκέρχανε τὰ σπληνῶα, ἐν χείλεσιν ἀμφοτέροισιν ἕλκεα, ἔνδοθεν στρογγύλα, σμικρὰ, ἔπειτά τι καὶ αἷμα ἐκ τοῦ κατ' ἴξιν σμικρὸν ἐρρύη.

Τῆς οἰκέτιδος νεωνήτου ἐούσης ἡ ἱστορία ᾗ τὸ σκλήρωμα οὐ κάρτα ὀδυνῶδες γεγένηται. γαστὴρ μεγάλη τε καὶ περιτεταμένη· δύσχροη αὐτὴ, ᾗ γυναικεῖα ἑπτὰ ἐτέων οὐκ ἐληλύθη, οἷς γενομένοις, ὑγιής.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ληʹ.

Τῇ οἰκέτιδι, τὴν νεώνητον ἐοῦσαν κατεῖδον, ᾗ τὸ σκλήρωμα ἐν τοῖσι δεξιοῖσι ἐνῆν μέγα, οὐ κάρτα ὀδυνῶδες, καὶ γαστὴρ μεγάλη, καὶ περιτεταμένη· οὐκ ἰκέλη ὑδατώδει, καί τ' ἄλλα λιπαρὴ, δὲ οὐ πάνυ δύσπνοος, ἄχροος δὲ, γυναικεῖα ἑπτὰ ἐτέων οὐκ ἐληλύθη. ἐγένετο δυσεντεριώδης, καὶ οὐ τεινεσμώδης. καὶ ὑπὸ ταῦτα, ὀδυνῶδες τὸ ἐν τῷ δεξιῷ ἦν, καὶ πυρετοὶ γλίσχροι, καὶ οὐ πλέον ἑπτὰ ἡμερέων, καὶ κοιλίη ἐταράχθη, ἠλεκτρειώδης, ὑπόγλισχρος, ὑπέρπολλος ἐς ἡμέρας τινὰς ὑγιής, καὶ γυναικεῖα μετὰ ταῦτα ἐγένετο, καὶ κατὰ τὴν γαστέρα λαπαρὴ, καὶ τὸ χρῶμα εὔχροον, καὶ παχὺ ἦν αὐτῇ.

A

Τὴν τῆς Μίνωος ἐκ τομῆς πιεσθέντων ἐσφακελισθεῖσαν. λέπτων τε καὶ παχέων περικαθαρμάτων ἀπὸ τῶν ῥινῶν θεραπευτικῶς ῥευσόντων σημεῖα.

Minois uxorem ex sectione ob oppressionem ab operatoribus factam in siderationem incidisse. Signa tenuium & crassorum excrementorum è naribus medicamento indito effluxurorum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθʹ.

Η Μίνωος ἡ ἐκ τομῆς πιεσθέντων, ἐσφακελίσθη, καθισταμένου ἐς πλεύμονα, ἐπεσήμαινε βραχέως, ὅσησι περιῆν, καὶ ἄλλο τι ἐς ἔνδον. τὰ ἐντεθέντα ἐς τὴν ῥῖνα ἢν πυρετήνωσιν, ἢ μὲν λυθῇ ἡ ὀδύνη, παχέα κατὰ τὸν μυκτῆρα ῥεῖ. ἢν δὲ μήτε ὀδύνη, μήτε ὁ πυρετὸς, λεπτὰ καὶ ἴσως πυρώδεα. οἷον τὸ μὲν λεπτὸν Ἡγησίππῳ ἐς νύκτα προστεθέμενον. τὸ δὲ παχὺ, τῷ ἐν τῷ Κορίνθῳ εὐνουχοειδεῖ, τῷ Κελευρέος ἦν.

HIPPOCRATIS TEXTUS XXXIX.

B *Minois uxor ex sectione ab operatoribus durius pressa, in siderationem incidit, malo ad pulmonem incumbente, brevi significationem de se dedit; quibus diebus superstes erat, etiam aliud quiddam intus delituisse. Quæ naribus imponuntur medicamenta, si tertio die febris adfuerit, aut dolor quidem solvatur, crassa per nares effluunt; si verò neque dolor, neque febris cesset, tenuia ac fortassis urentia. Tenue quidem velut Hegesippo, quum quid ad noctem appositum fuisset. Crassum verò huic aderat in Corintho Spadoni simili, Celeuris filio erat.*

C

Περὶ τῶν κριτικῶν πεπείρων ἐπὶ τῇσι νούσοισιν ἀποστασίων σημείων. περὶ τοῦ ἑλκώδεος ἐντέρου πρὸς ὦμόν τε καὶ τὴν ἕδρην μεταστάσεως. ἀπὸ τῶν φύσεων μετεωριζομένῳ γάλα τε καὶ οἶνον κακῶς, ναυσίην, πυρετὸν καὶ τὸ ἀπόστημα ἠνεγκέναι.

De criticis maturorum in morbis abscessuum signis. De ulcerati intestini ad humerum & sedem translatione. Ab ilium mollitudine tumente, & dolente lactis & meri potum nocuisse, nauseam, febrem & abscessum attulisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. μʹ.

Πέπειροι αἱ ἐπὶ τῇσι νούσοισιν ἀποστάσιες, εἰ κρίνουσι σημεῖον, ἢν πυρώδεα ἐόντα, μὴ πυρεταίνωσι, καὶ δύσφορα ἐόντα εὐφόρως φέρωσιν, οἷον τὰ ἐπὶ τῇ ἕδρῃ, Χάρωνι. τῷ δὲ Λεαμβίῳ ἑλκώδεος ἐντέρου δοκέοντος εἶναι, ἐν δυσεντερίῃ φαρμακευθέντι ὦμος καὶ ἕδρη ἀφηλκώθη ἀπυρέτου ἐν ἀριστερῷ. ὁ ἀπὸ τῶν φύσεων μετεωριζόμενος, ἐπῆρτο καὶ ὑπήλγει κενεῶνι, τούτῳ γάλα πλεῖον καὶ ἀκρητέστερον πιόντι καὶ ἐπικοιμηθέντι, αὐτίκα ναυσίη καὶ θέρμη ἐγένετο. ἔπειτα ἀνάψαντι, καὶ ἀντὶ σιτίων ἐσχαροπέπτων κριμνώδη ἀποφαγόντι, συνέστη ἡ γαστὴρ, καὶ πυῶδές τι ἐπεδίδου. ἕδρης δὲ ἐπιφλεγμηνάσης, ἀπύρετος καὶ ἀνώδυνος ἦν, ἱκανῶς τοῦτο λέγω.

HIPPOCRATIS TEXTUS XL.

D *Maturi in morbis abscessus an judicent, signum est si ferventibus malis ægri non febricitent, & arduam tolerantiam facile ferant, veluti quæ Charoni in sede contigerunt. At Leambio quum exulceratum esse intestinum existimaretur, medicamentis ad dysenteriam adhibitis, humerus & sedes parte sinistra exulcerata sunt citra febrem. Cui à flatibus ilium mollitudo in tumorem assurgebat, & aliquantulum dolebat, huic quum lac uberius, & vinum meracius bibisset, & insuper dormivisset, quamprimùm tum nausea, tum calor accessit. Deinde ubi accenso foco, prunis coctam farinam crassiorem pro cibariis comedisset, substitit alvus, & purulentum quid dejecit.*
E *At sede inflammata, febris omnino expers & doloris fuit, quod asseveranter dico.*

Ἡ τοῦ γέροντος ἱστορία τῶν κάτω ὀσφύων, μηρῶν, καὶ ποτὲ κνημῶν τε καὶ σκελέων ὀδύναις ἀλγήσαντος. πλεῖστα τὰ ἐν τοῖς ὀφθαλμοῖς, οὔτεσι, ῥισί, χερσί, καὶ τοῖς ἄλλοις μέρεσί τε καὶ πράγμασι τὰ τῶν κρίσεων σημεῖα εἶναι.

Historia senis partium inferiorum lumborum, crurum, femorum, & aliarum doloribus vexati. Plures pluribus inesse oculis, auribus, naribus, manibus & aliis partibus ac rebus judicationum notas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μαʹ.

Ὁ ἐν τοῖσι λιθίνοισι προπύλοισι πρέσβυς, ὀσφὺν ἤλγησε, καὶ σκέλεα ἄμφω, καὶ θάτερον κατέβαινεν ἐπὶ μηρούς, καὶ ποτὲ κνήμας, καὶ ποτὲ γούνατα, ἐγχρονιζούσης μάλιστα, πολλαὶ παλινδρομαὶ ἐγένοντο. οἴδημα ἐν ποσίν, ὀσφύϊ, κνήμῃ, βραχεῖς βουβῶνες, γαστὴρ σκληρὴ, καὶ ἔντασις ἤτρου ἡ πᾶσα, καὶ ὀδυνώδης τὰ πλεῖστα εὑρέθη ἔχων, καὶ κύστιν σκληρὴν καὶ ὀδυνώδεα, καὶ βλαστήματα, καὶ θέρμαι. ὅτι τοῖσιν ὄμμασι, τοῖσιν οἴασι,

HIPPOCRATIS TEXTUS XLI.

F *Senex in lapideis vestibulis decumbentis lumbos doluit & ambo crura, & utrinque dolor ad femora & tibias interdum, interdum etiam ad genua descendit. Quo diutissimè perseverante, multi recursus erant. Tumor in pedibus, lumbis, tibia, breves inguinum tumores, venter durus, totius imi ventris tensio cum dolore. Plerunque vesicam etiam duram ac dolentem habere compertus est; & progermina quædam, & calores aderant. At oculis, auribus, naribus, manibus*

A *judicationum notæ quædam insunt, & alia consideranda sunt, quibus cognoscimus an æger etiam sudet, aut tangat, aut olfecerit, aut gustaverit, & alia quoque advertenda sunt, pili color, cutis, venæ, nervi, musculi, carnes, ossa, medulla, cerebrum; & quæ ex sanguine proveniunt viscera, venter, bilis, reliqui humores, articuli. Deinde num circa aurem dolor obortus sit, & juxta ipsam collectum tuberculum, quod glandulam non attingat, neque os purulentum sit, & id sensim evanuerit, quibus statim febris accesserit. Pulsus, tremores, convulsiones, singultus, perspiratio, secessus,*
B *quibus cognoscimus, suppuratis oculis, si ipsi erumpant, magna fiunt ulcera, si secentur; profunda, & utroque modo oculi ulcerantur.*

τῇσι ῥισὶ, τῇ χροιῇ αἱ κρίσιες, καὶ τ' ἄλλα οἷσι γινώσκομεν. ὁ ἀσθενέων ἢ ἱδρῶν, ἢ θίγων, ἢ ὀσφρανθεὶς, ἢ γευσάμενος, τὰ δ' ἄλλα γνοὺς, τρίχες, χροιὴ, δέρματα, φλέβες, νεῦρα, μύες, σάρκες, ὀστέα, μυελὸς, ἐγκέφαλος, καὶ τὰ ἀπὸ τοῦ αἵματος, σπλάγχνα, κοιλίη, χολὴ, οἱ ἄλλοι χυμοὶ, ἄρθρα· καὶ μετὰ ταῦτα ἠλγήκει παρ' οὖς. ταὐτὸν σύστρεμμα ἀδένος οὐκ ἐπιψαύοντες, ὀστέον οὐκ ἀποπυοῦν, καὶ τοῦτο ἐμολιώθη, καὶ τότε εὐθὺς ἐπυρέτηνε. σφυγμοὶ, τρόμοι, σπασμοὶ, λύγγες, ἀμφίπνευμα, ἄφοδοι, οἷσι γινώσκομεν, τοῖσιν ἐμπύοισι τὰ ὄμματα, καὶ ἐκρηγνύμενα μεγάλα ἕλκεα γίνεται, καὶ τεμνόμενα βαθέα, ἀμφοτέρως αἱ ὄψιες ἑλκοῦνται.

Aristææ biliosi morbus. Quidam per initia morbi tremoribus affecti sunt, & effrænata linguæ volubilitate. Æger alius decimoquarto die judicatus.

Αριστείης τοῦ χολώδεος νόσημα. οἵτινες ἀρχόμενοι ὑποτρομώδεες καὶ ταχυγλωσσότεροι προπετέως. ἕτερος ὁ ἄῤῥωστος τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ κέκριται.

HIPPOCRATIS TEXTUS XLII.

C *ARisteas ex Amphiloci pago quarto die deliravit; alvus subviridia demisit; somni salubres aderant; & æger coloris erat candidi. Quibusdam per initia veluti subtremuli erant digiti; & interloquendum labia; itidemque aliæ partes, & effrænata linguæ volubilitas. His præcipuè facies rubescebat; & inebriabantur, aut vomitione probè usi intumescebant. Qui juxta Medosadæ ædes habitabat, cui tenuia, minimè biliosa, aquosa multa dejiciebantur; hypochondria cedentia & tumentia habuit; comatosus erat. Ad decimumquartum diem ad judicationem maximè procedenti rigor absque tremore accidit, dissolutio, remissio, col-*
D *lapsio, alvi dejectiones, sopore detentus, mente movebatur ex somno, non insanivit. Ad decimum quartum diem judicatus est, nihil decernentium quicquam contrarium extitit.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβʹ.

Ο Απ' Αμφιλόχου κώμης Αριστείης, τετάρτῃ παρέκρουσε, κοιλίη ὑπόχλωρα διῆκε, καὶ ὕπνοι ὑγιέες, λευκόχροος, ἀρχόμενοι δὲ ὑποτρομώδεες, καὶ δάκτυλοι καὶ χείλεα διαλεγόμενοι, καὶ τ' ἄλλα, καὶ ταχυγλωσσότεροι προπετέως. ἔρευθος ἐπὶ προσώπου μάλιστα τούτοισιν ἦν, οὗτοι ἐθώρηξαν, ἢ ἐμέτου χρηστῶς ἐμέσαντες ᾤδεον. Ο δὲ κατὰ Μηδοσάδεω ᾧ λεπτὰ, ἄχολα, ὑδατώδεα, πουλλὰ διεχώρει, ὑποχόνδριον ὕπακοδον καὶ κυρτὸν, κωματώδης ἐγένετο, περὶ τεσσαρεσκαιδεκάτην πρὸς κρίσιν μάλιστα ἐόντι. ῥῖγος ἄτρομον, διάλυσις, πάρεσις, σύμπτωσις, τὰ τῶν ἀπιόντων, κωματώδης παραφερόμενος ἐξ ὕπνου, οὐκ ἐξεμάνη, ἐκρίθη περὶ τεσσαρεσκαιδεκάτην.

Alter æger, cujus dejectiones per initia glutinosæ fuerunt, nono die judicatus est.

Αλλος ὁ ἄῤῥωστος οὗ ἐν ἀρχῇσιν ὑπόγλισχρα διαχωρήματα, ἐκρίθη περὶ ἐνάτην.

HIPPOCRATIS TEXTUS XLIII.

E *EOdem modo alter per initia aliquantulum glutinosa alvi recrementa demisit, ex quibus quod crassum erat, judicatorium fuit; insomnis, postea nonnihil glutinosa, aliquantulum biliosa, matura, biliosa, non tenuia prodierunt, quæ ubi compacta fieri cœpissent, celeres fuerunt judicationes. Circa sextum diem hypochondrium distendi apparuit, venarum distentarum modo; deinde circa septimum diem dormivit; ad nonum judicatus est. Vterque candidi, non fulvi coloris erat.*
F *Dejectiones aquosæ sub dio aliquando expositæ supernè leves, tenues, isatidi valde similes fuerunt; infernè vero sedimentum habebant.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγʹ.

ΟΥδὲν τῶν κρινόντων ἐναντίον, ὁμοίως ὁ ἕτερος ἐν ἀρχῇσιν ὑπόγλισχρα διαχωρήματα, ἐξ οἵων τὸ παχὺ κρίσιμον, ἄγρυπνος, μετὰ ταῦτα ὑπόγλισχρα, ὑπόχολα, πέπονα, χολώδεα, μὴ λεπτὰ, ἐπὴν δὲ ἄρξηται ξυνίστασθαι, ταχεῖαι αἱ κρίσιες. ὑποχόνδριον ἐντεταμένον ἐφάνη φλεβονώδεα τρόπον περὶ ἕκτην, ἔπειτα ἐκοιμήθη ἑβδόμη, ἐκρίθη περὶ ἐνάτην. λευκόχροοι οὐ πυῤῥοὶ, ἀμφότεροι. διαχωρημάτων ὑδατωδέων, ἐς αἰθρίην τεθέντων, λεῖον ἄνωθεν λεπτὸν, κάρτα ἴκελον ἰσατώδει, κάτωθεν γὰρ ὑπόστασιν εἶχον.

A

Τῆς ἐσομένης φρενίτιδος, καὶ τοῦ ἐμπυΐσκοντος τῶν βουβώνων οὐ πάνυ κακῶν σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδ'.

Οἷσι κατὰ τὰ δεξιὰ ὑπολάπαρος ἔντασις φρενιτικοὶ, ἢν μὴ λύηται, λήγοντος τοῦ πυρετοῦ. οἷσι δὲ ὑπὸ λαπαρότητος κοιλίης, ἐν αὐτῷ τούτῳ δεῖ ἐπιλαμβανόμενον, ἢ σκληρὸν ὀδυνῶδες γένηται, καὶ πάνυ κακόηθες, οὐκ ἐθέλει διαχεῖσθαι, ἴσως ἐκ τῶν τοιούτων ἐκπυΐσκονται. ἐν δὲ τοῖσι δεξιοῖσιν αἱ ἐπάρσιες, ὅσαι μὲν ἐπιπολὺ καὶ μάλα καὶ μάλιστα πιέζοντι, ἢν ὑποβορβορύζῃ, οὐ πάνυ τι κακοήθεις οἴκωτο. τῷ ἐν τοῖσι δεξιοῖσι ἀπ' Ἀμφιλόχου, καὶ τῷ κατὰ Μηδοσαδέῳ, οὗτοι κωματώδεες, καὶ ἐν τοῖσιν ὕπνοισι καταφερόμενοι.

Venturæ phrenitidis, puris creandi, tumorum non admodum malignorum signa.

HIPPOCRATIS TEXTUS XLIV.

B *Quibus in dextris distentis aliquantulum mollis fit, phrenitici evadunt, nisi febre desinente solvatur. Quibus vero præ ventris mollitudine in se velut quiddam collectum cum dolore durescit, & valde malignum est, neque dissipari solet; fortassis tale quid in pus vertitur. At in dextris sublati tumores qui magna quidem ex parte molles sunt, maximeque prementi si quid submurmurarit, non admodum maligni existimandi sunt. Quale quid in dextris ei accidit qui ex Amphilochi villa venerat; & ei qui juxta Medosadæ vicum habitabat, qui sopore detinebantur, & altiore somno corripiebantur.*

C Αἱ καταστάσιές τε, καὶ τῶν νούσων ἀκμαὶ, καὶ χρόνοι, καὶ χῶραι, καὶ περιοδῶν ἐν οἷσι τὰ κρίνοντα, καὶ τ' ἄλλα τῷ ἰατρῷ γινωσκόμενα, ἐκεῖ γεγράφαται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ με'.

Αἱ καταστάσιες, καὶ οἷαι ἐν ᾗσι μᾶλλον καὶ ἧσσον γίνονται ὥρησι, χώρησι, τὰς ἀκμὰς ὅτε τῶν νούσων, καὶ πρὸς κρίσιν, καὶ τὸ καθημερινὸν, καὶ τὸ προτέρων καὶ ὀψαίτερον, τρίτῃ, τετάρτῃ περιόδῳ, καὶ περιόδων ἐν ᾗσι τὰ κρίνοντα οἰδεῦντα, αἱμορραγέα καὶ μὴ, αἱ ἀποστάσιες ᾗσιν ὑποστροφαὶ, φλέβες κροτάφων καὶ συμπτώσιες, καὶ χροιῶν μεταβολαὶ, πρὸ τῶν κρισίων, καὶ οἷσι μὴ κρίνεται, καὶ οἱ ἀλυσμοὶ, περιτάσιες, χροιῶν μεταβολαὶ, ἐκ τοῦ ἐρυθροῦ ἐς χλωρὸν, ἢν μὴ κρίνῃ, καὶ αἱ δέρματος περιτάσιες, ἄνευ κρίσιος, καὶ σύμπτωσις ὄμματος, τοῦ σώματος ξηρὴ, οἱ μὲν ἑκόντες δακρύουσιν, οὐ κακόν.

Status aëris, accessiones & vigores morborum, & tempora, & regiones, & quæ per circuitus decernunt, & quæ cætera Medicum spectare oporteat, hîc scribuntur.

HIPPOCRATIS TEXTUS XLV.

Qui sint aëris status, & quibus temporibus ac regionibus magis aut minus oboriantur, considerandi sunt. Ad judicationem quoque morborum, vigores interdum spectare oportet, & accessiones quæ quotidie, aut maturiùs, aut seriùs tertio, quartove circuitu invadunt. D *Videndum etiam quibus in circuitibus quæ decernunt, intumescunt, sanguinem profundum, & contrà. Quibus etiam in abscessibus morborum reversiones fiant, temporum venæ & collapsiones, & colorum mutationes ante judicationes, & quibus judicatio minimè contingit. Item corporis anxietates, circuntensiones, colorum mutationes ex rubro in pallidum, ubi judicatio non fit, & cutis circuntensiones absque judicatione, oculi collapsio, & sicca corporis durities.*

E Τὰ ἐκ τῶν δακρύων, ὀδόντων, σκελῶν ἕλκους, καὶ τοῦ φρικώδεος τοῦ τῆς κεφαλῆς ἕλκος ἑπομένου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛ'.

Οἷσι δὲ ἀκούσιος παραῤῥεῖ, κακόν. οἷσι δ' ἐπὶ τῶν ὀδόντων περίγλισχρα γίνεται, κακὸν ὑποχάσκειν, ὃς ἐν τῇ κνήμῃ ἕλκος εἶχε, καὶ τῷ ἀττικῷ ἐχρήσατο, τούτῳ ἐξανθήματα ἐξαιρόμενα, ἐρυθρὰ, μεγάλα, τοῦτο διότι τῆς βηχὸς τὸ ὕστερον. οὐ γὰρ ἔβηξεν, τὸ δὲ πρότερον, ἐν αἰνῷ ὅσοι φρικώδεες, τρωματίαι κεφαλῆς, κακοήθεις καὶ ἐμπυητικοὶ, ἐκ τεινεσμοῦ ὁδοιπορήσει, ὀδύνη ποδῶν, καὶ ἐν τῇσι ταραχῇσιν οἱ κόποι. ὧν ἡ Κλινία ἀπόσιτος τηκομένη, πυώδες ἄλλοτε σμικρὸν αἱματῶδες, πυώδες ἐπίδεον.

Signa ex lachrymis, dentibus, tibiarum ulcere, & horrore vulneri capitis succedente.

HIPPOCRATIS TEXTUS XLVI.

Qui spontè fundunt lacrymas, non est malum. Quibus invitis effluunt lachrymæ, malum. Quibus autem dentes undequaque lentore obducuntur, malum suspectandum est. Qui ulcus in tibia habuit, & attico usus est, huic pustulæ sublatæ sunt, rubræ, magnæ, idque tussis vice, quæ postea accessit; priùs enim non tussivit. F *In æno horrorem sentiebant quicunque ex capitis vulnere laborabant, malignè ægrotabant, pus colligebant. A tenesmo ex via pedum dolor, & cum mentis perturbationibus lassitudines. Ex quorum numero Clinia cibos aversabatur, contabescebat, pus interdum paulo cruentum, interdum pus tumidum ejecit.*

Conjux

A

Conjux Hippei hydrope diuturnæ tussi succedente correpta, medicamentorum usu convaluit. Duo pueri dextræ paralysi laborarunt, quibus tussientibus, ipsa cessabat. Equites ac pedites exercitatos in lumborum aut femorum paralysin incidisse.

Η τοῦ Ἱππέως ἡ βὴξ τῇ ἐπομένῃ καμνούσῃ φαρμακευθεῖσα ἐῤῥήϊσεν. δύο οἱ παῖδες παραλυθέντες τὴν δεξιὴν ἀμφότεροι βήσσοντες, καὶ βὴξ παύεται. οἱ δὲ ἢ ἱππασάμενοι, ἢ ὁδοιπορήσαντες, ἐς ὀσφὺν καὶ μηρὸν πεπλήγασι.

HIPPOCRATIS TEXTUS XLVI.

B *Hippei conjux hydropica, quæ etiam per tres annos, vere incipiente, tussiebat, majorem autem puris copiam intro collegit; sub hyemem aquosa facta est. Ab illis verò medicamentis repurgata meliùs habuit. Ancilla mortua est. Ex tussientibus qui manibus laborabant, veluti servus ille qui sarmenta obtorquebat; & Amnytnæ filius, ambo sola dextra paralytici facti cessarunt; deinde tussientes hoc perpessi sunt. Qui verò aut equitarunt, aut iter fecerunt pedites, in lumbis ac femoribus resoluti sunt, plurimæ verò tusses erant siccæ; sin minùs, certè violentæ.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛʹ.

Η Ἱππέου ὑδρωπιώδης, ἣ καὶ ἐπὶ τρία ἔτεα ἦρος ἀρχομένου, ἔβησσεν, ἐπὶ πλέον διεπύησεν, ἐς χειμῶνα ἐξυδατώθη, κείνων δὲ φαρμακευθεῖσα, ἐῤῥήϊσεν. ἀπέθανεν ἡ παιδίσκη. τῶν βησσόντων οἱ μὲν τῇσι χερσὶ ταλαιπωρέοντες, οἷον ὁ παῖς ὁ τὰ κλήματα στρέφων, καὶ ὁ Ἀμύντεω, παραλυθέντες αὐτὴν μούνην τὴν δεξιὴν ἀμφότεροι, ἐπαύσαντο, ἔπειτα ἔπαθον τοῦτο βήσσοντες. οἳ δὲ ἢ ἱππασάμενοι, ἢ ὁδοιπορήσαντες ἐς ὀσφὺν, ἐς μηρὸν, ξηραὶ δὲ αἱ πλεῖσται, εἰ δὲ μὴ, βίαιοί γε.

C

De Enmyris uxore & stupore primùm, deinde tremore & aliis symptomatis prehensa. De nyctalopia laborantibus, quibus ad aures tubercula septimo aut octavo die erumpebant. De dente superiore exeso quem dolor, suppuratio, & ad aures tubercula comitabantur.

Περὶ τῆς τοῦ Ενμυείου πρῶτον μὲν τυφώδεος ἐούσης, καὶ τοῖς ἄλλοις συμπτώμασι πονούσης. οἱ περὶ τὴν νυκταλώπων ἐς τὰ ὦτα ἐπιπυρεταίνοντες περὶ ἑβδόμην, ἢ καὶ ὀγδόην. περὶ τοῦ ὀδόντος τοῦ ἄνω βεβρωμένου, ὃν ἡ ὀδύνη, ἡ ἐμπύησις καὶ πρὸς τὰ ὦτα βουβῶνες ἕποντο.

HIPPOCRATIS TEXTUS XLVII.

D *Enmyris uxor ægrotantium more minimè affecta absque febre stupida esse videbatur; deinde ad totius corporis tremorem res devenit, & colliquationem, & cibi fastidium, ac sitim, & erat frigida. Nyctalopes qui plurimam urinam reddebant, postea quiddam emittebant. Iis vero tussi atque insuper febre divexatis tubercula ad aures circa septimum aut etiam octavum diem erumpebant. Enmyris filia febricitabat, & ex aure purulentum fluebat; circa octavum an id contigerit apertè non novi. Quibusdam vero dens præcipuè tertius inter superiores exesus fuit, & hic præ omnibus exesus reperiebatur In hunc dolor, & quibusdam etiam circum pus colligebatur. Interdum vero vehementia ad aures tubercula exoriebantur, hique magis tussiebant, quàm illi; interdum etiam suppuratio fiebat cum febribus, & die septimo liberabantur.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζʹ.

Η Ενμύειος τρόπῳ οὐ νοσώδης, ἐδόκει ἄνευ πυρετοῦ, τυφώδης ἐοῦσα. ἔπειτα ἐς τρόμον ἦλθε παντὸς τοῦ σώματος, καὶ ἀποσιτίην, δίψαν, καὶ ψυχρὴ ἦν. οἱ δὲ νυκτάλωπες, οἱ πλεῖστον οὐρήσαντες, τὸ ὕστερον βραχύ τι. ἐς δὲ τὰ ὦτα βήσσοντες, καὶ ἐπιπυρεταίνοντες ἐκρηγνύμενα περὶ ἑβδόμην ἢ καὶ ὀγδόην. Η Ενμύειος παῖς ἐπυρέταινε, καὶ ἐξ ὠτὸς ἐῤῥύη πυῶδες, περὶ ὀγδόην οὐκ οἶδα σαφέως. ἔστι δ' οἷσι καὶ ὀδὼν ὑπῆρχε βεβρωμένος, μάλιστα ὁ τρίτος τῶν ἄνω, δι' ὅτι πάντων δὲ οὗτος εὑρίσκεται βεβρωμένος· E ἐς τοῦτον ὀδύνη, καὶ ἔστιν οἷσι καὶ περιπύημα. οἷσι δὲ ἐς ὦτα ἰσχυρῶς βήσσοντες μᾶλλον ἢ ἐκεῖνοι· οἷσι δὲ καὶ ἐς ἐμπύησιν σὺν πυρετοῖσι, καὶ ἀπαλλάσσει ἑβδόμη.

Cujusdam Hypochondrici exacerbationem solutio secuta non est. Alteri die septimo exacerbatio, judicatio vero decimoquarto contigit.

Ἐπεὶ παροξύνθη τὸ ὑποχόνδριον, οὐκ ἐλύθη περὶ δὲ ιδʹ. ἑβδόμῃ παρωξύνθη, ἐκρίθη ὁ ἕτερος μωλυόμενος.

F

HIPPOCRATIS TEXTUS XLVIII.

Qvum cuidam hypochondriorum tumens exacerbatum est, solutio nulla contigit. Alvo emollita inerant pauca, aliquantulum glutinosa, compacta, minimè bona. Lotium cruenti coloris, sputum spumosum spuebat. Ad quem me deduxit Cynicus, huic die septimo exacerbatio, decimo

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μηʹ.

Ἐπεὶ παρωξύνθη ὑποχόνδριον οὐκ ἐλύθη, μαλαχθείσης ἐνῆν τὰ σμικρὰ ὑπόγλισχρα, ξυστρέμματα οὐ χρηστά· οὖρον αἱμοχροῶδες. ἔπτυε δὲ ἀφρώδες, πρὸς ὃν Κυνικὸς εἰσήγαγέ με, ἑβδόμῃ παρωξύνθη, περὶ δὲ ιδʹ. ἐκρίθη. μωλυόμενα κακὰ,

καθαρὸς φάρυγγα, ὀλίγα, πλατεῖα, πέπονα ἀνέπτυσε· ἐκ ῥινῶν μικρὸν ἔσταξεν, ἐκαρηβάρει, χειρῶν καὶ σκελέων κατάλυσις, κοιλίη λυθεῖσα ὤνησε. πόδες ἀεὶ θερμοί, ὕπνοι ἦσαν οἱ, καὶ περὶ οὖς οὐ γίνεσθαι, ὅτι πέπονα ἔπτυσεν.

A *verò quarto judicatio oborta est. Quæ sensim marcescunt, mala protendunt. Purus erat faucibus; pauca, lata, & matura expuebat; paucus è naribus sanguis stillavit; capitis gravitas aderat; manuum ac pedum dissolutio; alvus soluta profuit; pedes semper caluerunt; somni ipsi aderant; nihilque ad aures extuberabat, quod natura expuisset.*

Τὴν τοῦ Δημαράτου ἐν τῇσι φρίκῃσι θερμοῖς τοῖς ποσὶ τεθνάναι. τὸν πρεσβύτην ἕλμινθος ἐλθούσης, ἐπαύσασθαι, ἀλλ' ἑτέροις τοῖς συμπτώμασι πονησάμενον εἰκοστὸν τεθνάναι.

B Demarati uxorem in horroribus, pedibus calidis interiisse. Senem lumbrico furiosè vexatum fuisse, quo excreto, convaluisse, sed aliis symptomatis affectum circa vigesimum interiisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

Η Δημαρέτου γυνή, πόδες καὶ ἐν τῇσι φρίκῃσι θερμοί. Εἴτε ἐς τὸ ἔμπυον, εἰ μή, ἀπώλετο. Εἶχεν πρεσβύτης, ὁ ἀπολλύμενος ἅμα ἀσθενῇ τῇ ἑωυτοῦ, ἤ κεκρυμμένον μανικόν τι ἐνῆν, ἐπεὶ δὲ ἐλθούσης ἕλμινθος ὑποπαχέης καὶ σίτου ὀλίγου, αὐτίκα ἐπαύσατο, καὶ ἐκοιμήθη, καὶ ὑγιὴς ἦν ὁ πρεσβύτης οὗτος, καὶ τοῦ σώματος περίτασις τοῦ δέρματος, ἄκρεα ψυχρά, λαπαρός, τρομώδης ἐν ἀρχῇσι καὶ χείλη καὶ χεῖρες, καὶ φωνῇ, περιωρίσθη κοσμίως, ἔχασκεν, οὐ πάνυ δύσπνοος ἦν, ἡμέρησιν οὐκ οἶδα πόσῃσιν εἴκοσιν, ἀπέθανεν.

HIPPOCRATIS TEXTUS XLIX.

Demarati conjunx in horroribus calidos pedes habuit, sive id ad suppurationem devenit, sive non, interiit. Qui senex vitâ decessit unà cum uxore sua ægrotabat, cui quid abditum furiosum inerat. At ubi prodiisset lumbricus ali- C *quantulum crassus, & paucus cibus, derepentè conquievit, dormivit, convaluit iste senex. Cutis corporis circuntensio; extrema frigida; mollis erat; ab initio tremulus tum labris, tum manibus, etiam voce; mente moderatè motus est; hiabat, neque admodum difficulter spirabat. Diebus haud scio quot ultra viginti mortuus est.*

Τά τισιν ὑποχόνδριά τε καὶ πιεζόμενα ἀλέα κωλωτοειδέα ὑποχωρέειν. πρότερον κρισίμων ἡμερέων, καὶ τὰ κακά, καὶ τἀγαθὰ σημεῖα γίνεσθαι. πτύαλα τοῖσι περιπνευμονικοῖσιν βραχέα νοσήματα παραγγέλλουσι.

Quibusdam ex hypochondriis & alvo compressis dejectiones stellionum tunicis similes prodiisse. Pridie judicatoriorum dierum bona vel mala accidere signa. Sputa peripneumo- D nicis morbum brevem denunciant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν'.

Οἷσιν ὑποχόνδρια καὶ κοιλίη ὑποχωρέει, πιεζόμενα ἀλέα, οὐ βορβορυγμοί, ὡς ἐν Ἀβδήροισι κωλωτώδεα, ὅτι ἐστὶ πρότερον κρισίμων ἡμερέων τῇ προτεραίῃ, καὶ τὰ κακά, καὶ τ' ἀγαθὰ σημεῖα γὰρ τὰς ἡμέρας ἦσιν ἐπιπαροξυνόμενοι χρονίζουσι, καὶ ᾗσι λήγοντες βραδύνουσι, καὶ τὰ ἄπιστα τῶν ῥιζόντων, καὶ τὰ δι' ἃ σφῶν αὐτῶν παροξύνονται. πτύαλον τοῖσι περιπνευμονικοῖσιν, οἷσι χολώδεα ὅταν μὴ ῥήγη λήγει, τὰ πάνυ ξανθά, βραχέα γίνεται, οἷα τὰ ἐν ἀρχῇσι ἐόντα τοιαῦτα ἐπιφαίνεται, οὐ πάνυ δοκέω ταῦτα ἐκπεπαίνεσθαι, ἀλλὰ κρίνειν, οἷα τῷ παρὰ τῷ διδασκάλῳ, καὶ ἄλλο τε οἷα εἶδον.

HIPPOCRATIS TEXTUS L.

Quibusdam hypochondria ac alvus compressa & conferta dejecerunt absque murmure, ut Abderis, stellionum tunicis similia. Id verò animadvertendum quod primum contingit pridie judicatoriorum dierum, quodque bona & mala signa his diebus eveniunt, quibus diutiùs ingravescunt, aut quibus desinendo tardius occupat. Tum quæ E *infidè allevant, tum ea per quæ seipsis morbi graviores fiunt. Sputa peripneumonicis quibusdam biliosa brevi cessaturum morbum, quæ valde flava breviorem fore indicant. Si qualia sunt per initia, talia postea appareant, ea non admodum concoqui existimo, sed judicationem facere; qualia ei qui apud præceptorem erat, contigit, & qualem aliàs interdum vidi.*

Τρεῖς ἀρρώστους διδάσκει, δύο μὲν ἐκ τοῦ ὀνειρωγμοῦ ἐν πυρετοῖσι πεπονημένους, ἐλευθέρους γενομένους, τόνδε τρίτον τῆς αἱμορραγίας θεραπευθείσης, εἰς μανίαν πεπτωκέναι, ἣ ἑπομένῳ τῷ ὀξεῖ πυρετῷ ἐθεραπεύθη.

Tres ægros docet, duos quidem ex onirogmo & insomniis in febribus vexatos soluta fe- F bre liberatos fuisse; & tertium hæmorroide curata, in insaniam incidisse, quæ acuta febre succedente, curata est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να'.

Νικίππῳ ἐν πυρετοῖσιν ἐξωνείρωσε, καὶ οὐδὲν ἐπέδωκεν ἐπὶ τὸ χεῖρον, καὶ τὸ αὐτὸ οἱ τοῦτο πλεονάκις ἐγίνετο, καὶ οὐδὲν ἔβλαψε, προερρέθη ὅτι παύσεται, ὅταν οἱ πυρετοὶ

HIPPOCRATIS TEXTUS LI.

Nicippus in febribus per somnum semen effudit, nihilque deterius processit, & hoc ipsum multoties ipsi contigit, nihilque læsit. Id illi cessaturum prædictum fuit solutis judicatione

febribus; & sic factum est. Critias in febribus ab insomniis, ut novimus, vexabatur, quibus etiam ipse unà cum judicatione liberatus est. Quum Alcippus hæmorrhoidas pateretur, curari prohibebatur; curatus in insaniam incidit, quæ febre acuta succedente cessavit.

A κειθῶσι· καὶ ἐγένετο οὕτως. Κριτίας ἐν πυρετοῖς ὑπὸ ἐνυπνίων ὠχλεῖτο ὑφ' οἵων οἴδαμεν, ἐπαύσατο καὶ αὐτὸς ἅμα κρίσει. Ἄλκιππος ἔχων αἱμοῤῥοΐδας, ἐκωλύετο θεραπευθῆναι, θεραπευθεὶς ἐμάνη, πυρετοῦ ὀξέος ἐπιγενομένου, ἐπαύσατο.

Acuta febre laborantibus siticulosis aquam frigidam, ut evomant prodesse. Nervos ad se trahere ex vulnerata manu probat, partium spirabilium cum genitalibus sympathia hic apertè significatur.

Ὕδωρ ψυχρὸν τοῖσιν ὀξέσι πυρετοῖσι ὠφελεῖ. ὅτι τὰ νεῦρα αὐτὰ ἐφ' ἑωυτὰ ἐκ τῆς χειρὸς τρωθείσης ἕλκεσθαι δοκιμάζει ἡ τῶν πνευματικῶν μερῶν σὺν ταῖς γοναῖς συμπάθεια ἐπιφαίνεται.

HIPPOCRATIS TEXTUS LII.

IN acutis febribus siticulosi, à Medicis, aut suâ sponte potu interdicto vexati, multum bibere posse sibi videntur. His aqua frigida data, ut vomitio provocetur conducit; biliosa nanque instabant. Nervos in seipsos trahere, signum est quod profecto, si manus nervi superiores sauciati fuerint, manus deorsum procumbet, dum ab inferioribus nervis trahitur. Si vero contrà, aliter continget. Quibus testes afficiuntur, sicca tussi vexantur; & ex tussi vena secta, ad testem solutio fit, & inflammati tussiunt. Quinetiam febribus ex inguinum tumoribus obortis tusses succedunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νβ'.

B ΕΝ τοῖσιν ὀξέσι πυρετοῖσι διψώδεες ὑπὸ ἰητρῶν πιεσμένοι τοῦ ποτῶ, ἢ καὶ ὑπὸ σφῶν αὐτῶν, δοκέουσι πολὺ ἂν ἐκπίνειν. ὕδωρ ψυχρὸν δοθὲν ἵνα ἀπεμέσῃ, ὠφελεῖ, χολώδεα γὰρ πρόσεστι, ὅτι τὰ νεῦρα αὐτὰ ἐφ' ἑωυτὰ ἕλκει σημεῖον. ἢν μὲν τὰ ἐν τοῖσιν ἄνω τῆς χειρὸς τρωθῇ νεῦρα, ἐς τὸ κάτω νεύσει ἡ χείρ, ὑπὸ τῶν κάτω νεύρων ἑλκομένη. ἢν δὲ τἀναντία, ἄλλως. βήσσουσι ξηρὰ οἱ τοὺς ὄρχιας, καὶ ἐκ τῆς βηχὸς ἐς ὄρχιν λύεται φλεβοτομηθέντα, καὶ φλεγμαίνοντες βήσσουσιν, οἱ ἐν τοῖς ἐπὶ βουβῶσι πυρετοῖς ἐπιβήσσουσι.

Libri IV. Epidemiorum Finis.





ΙΠΠΟΚΡΑΤΟΥΣ

ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

HIPPOCRATIS

EPIDEMIORVM

LIBER QUINTUS.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Τὰς τῶν νοσούντων ἱστορίας ἔχει, καὶ τὰ ἐκ τῶν ἐπιδοθέντων φαρμάκων ἵνα ὠφελῶσιν, ἢ οὔ. Καὶ ἵνα πρὸς τὴν ὑγιείαν μὲν, ἵνα δὲ πρὸς τὸν θάνατον ἔωσιν.

ARGUMENTUM LIBRI.

Medicas ægrotantium historias complectitur; & quæ ex adhibitis remediis profuerint; & quæ non profuerint; & qui morbi ad salutem, quique ad mortem processerint.

Ἡ τοῦ κηπωροῦ γυνὴ πυρετὸν ἐχούση συνέχεα, καὶ ταῖς τοῦ μακρορρίζου σκληρώματος ὀδύναις πονουμένη, τῇσι χέρσι, ἐλαίῳ βλημαθείσαις ὑπὸ ὑγιὴς ἐγένετο.

A Olitoris uxor assidua febre detenta, & scleromatis altissimi doloribus affecta, tum hæmorrhagia inferiore, tum manibus oleo illitis convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

ΕΝ Ἤλιδι ἡ τοῦ κηπωροῦ γυνή· πυρετὸς εἶχε αὐτὴν ξυνεχὴς, καὶ φάρμακα πίνουσα, οὐδὲν ὠφελέετο. ἐν δὲ τῇ γαστρὶ κάτωθεν τοῦ ὀμφαλοῦ, ἦν σκληρὸν, καὶ ὑψηλότερον τοῦ ἑτέρου, καὶ ὀδύνας παρεῖχεν ἰσχυράς. τοῦτο ἐβλημάσθη ἰσχυρῶς, τῇσι χερσὶ ὑπὸ ἐλαίῳ, καὶ μετὰ τοῦτο ἐχώρησεν αἷμα οἱ συχνὸν κάτω, καὶ ἐγένετο ὑγιὴς, καὶ ἐβίω.

HIPPOCRATIS TEXTUS I.

IPSAM olitoris uxorem in Helide febris assidua detinuit; neque quicquam epota medicamenta profuerunt. Infrà umbilicum in ventre quiddam durum extabat, & altius altero, quod vehementes dolores efficiebat. Hoc manibus oleo illitis valde expressum ac emollitum est; postea sanguis ipsi creber deorsum profluxit, incolumis evasit vixitque.

A

Historia Timocratis ex largiori potatione, ab atra bile, insaniâ correptus, periculosa perpessus symptomata, convaluit.

HIPPOCRATIS TEXTUS II.

IN Helide Timocrates liberaliùs potavit. Is autem ab atra bile, insaniâ correptus, epoto medicamento, purgatus est. Ea purgatione copiosam pituitam & atram bilem toto die demisit, atque sub vesperam cessavit purgatio, ubi multos dolores pertulisset. Hunc epota polenta somnus corripuit, & totam noctem tenuit adusque solis ortum. In somno vero præsentibus nihil respirare, sed mortuus esse conspiciebatur, & nihil, neque quid diceretur, neque quid ageretur sentiebat. At distento ac rigido erat corpore: vixit tamen & excitatus est.

Η τοῦ Τιμοκράτους ἱστορία πλέον πιόντος. μαινόμενος καὶ ὑπὸ χολῆς μελαίνης κινδυνώδεα τὰ συμπτώματα ἐπόνησε, καὶ ὑγιὴς ἐγένετο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

ΕΝ Ἤλιδι Τιμοκράτης ἔπιε πλέον, μαινόμενος δὲ ὑπὸ χολῆς μελαίνης, ἔπιε τὸ φάρμακον, καὶ ἐκαθάρθη· τὸ κάθαρμα πολὺ φλέγμα καὶ χολὴν μέλαιναν δι᾽ ὅλης τῆς ἡμέρης, καὶ πρὸς δείλην, ἐπαύσατο τῆς καθάρσιος, καὶ πόνον ἐπόνησεν. ἐν τῇ καθάρσει πουλὺν, καὶ πιὼν ἄλφιτον ὕπνος ἔλαβεν αὐτὸν, καὶ εἶχε τὴν νύκτα, μέχρις ἥλιος ἐγένετο. ἐν δὲ τῷ ὕπνῳ οὐκ ἐδόκεε τοῖς παρεοῦσιν ἀναπνέειν οὐδὲν, ἀλλὰ τεθνάναι, οὐδὲ ἠσθάνετο οὐδενὸς, οὔτε λόγου, οὔτε ἔργου· ἐτάθη δὲ τὸ σῶμα καὶ ἐπάγη, ἐβίω δὲ καὶ ἐξηγέρθη.

B

Quatuor ægroti qui interierunt. 1. est Scomphus pleuriticus. 2 Phœnix maxillæ & labri tumore correptus. 3. Andreas Phœnicis frater eodem morbo interiit. 4. Pyridamus peripneumonicus.

HIPPOCRATIS TEXTVS III.

SComphus in Oeneadis pleuritide detentus septimo die cum delirio mortuus est. Medicamentum autem deorsum purgans ebibit. Pridie purgationis mente constabat, neque multum purgatus est. In ipsa vero purgatione deliravit. In Oeniadis Phœnici & Andreæ fratribus altera maxilla intumuit, & quod labrum anterius maxillæ & oculo respondet, neque quicquam intro spectandi comparebat, neque foris suppurabat; sed aridâ putredine intumescebat, & mortuus est. Alter eadem quoque perpessus est. Hic autem interiit quidem septimo die, licet pharmacum biberit, quod nihil profuit. Phœnici circuitus putridus exectus est, & ulcus ante mortem magna ex parte expurgatum fuit, sed & hic quoque peremptus est ubi diutius vixisset. Pyridamus in Oeniadis peripneumonia laborans decimo die delirare cœpit, curatus ad mentem rediit, tum sputa puriora reddebantur, & morbus ad melius procedebat, ipsique somnus multus effusus est; ictterum oculi contrahebant, & circa vigesimum diem mortuus est.

C Οἱ τέσσαρες ἄρρωστοι ἀποθανόντες. α'. ἐστὶ ὁ Σκόμφος πλευριτικός. β'. Φοίνιξ γνάθους τε καὶ χείλους βουβῶνα ἔχων. γ'. Ἀνδρέας ὁ τοῦ Φοίνικος ἀδελφὸς τὰ αὐτὰ παθὼν ἀπέθανε. δ'. Πυρίδαμος περιπνευμονικός.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

ΣΚόμφος ἐν Οἰνιάδῃσι πλευρίτιδι ἐχόμενος, ἀπέθανεν ἑβδομαῖος παρακόπτων. φάρμακον δὲ ἔπιε κατωτερικόν. ταύτῃ τῇ ἡμέρῃ τῇ πρόσθεν κατανοέων, καὶ ἐκαθάρθη οὐ πολλὰ, καθαιρόμενος δὲ παρέκοψεν. Φοίνικι ἐν Οἰνιάδῃσι καὶ Ἀνδρέᾳ ἀδελφεοῖς, ἡ γνάθος ᾤδησεν ἡ ἑτέρη, καὶ τὸ χεῖλος τὸ πρὸς τῆς γνάθου καὶ ὀφθαλμοῦ, καὶ οὔτε ἔνδοθεν σκοπέοντι οὐδὲν ἐφαίνετο, οὔτε θύραθεν ἀπεπύει, ἀλλ᾽ οἰδέουσα σαπρὴ ἐγένετο ξηρῇ σηπεδόνι, καὶ ἀπέθανε, καὶ θάτερος τὰ αὐτά. ἀπέθανε δὲ ὁ μὲν ἑβδομαῖος, καὶ ἔπιε φάρμακον, καὶ οὐδὲν ὠφελήθη· τῷ Φοίνικι ἐξετμήθη κύκλος σαπρὸς, καὶ τὸ ἕλκος ἐκαθαρίσθη μὲν τὸ πλέον, πρὶν αὐτὸν ἀποθανέειν, ἀπέθανε δὲ καὶ οὗτος πλείονα χρόνον βιούς. Πυρίδαμος ἐν Οἰνιάδῃσιν ἐν περιπνευμονίῃ δεκαταῖος ἤρξατο παρακόπτειν, ἰητρευόμενος δὲ κατενόησέ τε καὶ πτύαλα ἐγένετο καθαρώτερα, καὶ προεχωρέουσα ἡ νοῦσος ἐπὶ τὸ βέλτιον, ὕπνος τε αὐτοῦ κατεχύθη πουλὺς, καὶ τὰ ὄμματα ἰκτερώδεα ἐγένετο, καὶ ἀπέθανε περὶ τὰς κ'. ἡμέρας.

D

E

Vir quidam in Oeniadis ab inedia diuturna morbo correptus est, qui ventris strepitum & vehementes dolores patiebatur, absumebatur, contabescebat. Is neque cibis, neque medicamentis levatus, sola sanguinis, quoad exanguis vena fieret, detractione liberatus est.

HIPPOCRATIS TEXTUS IV.

IN Oeniadis vir in morbum ab inedia lapsus est. In ventre strepitum & vehementem dolorem percipiebat, ciboque assumpto & contrito ubi post cibi assumptionem tempus aliquod intercessisset, non longè postea idem patiebatur, corpusque contabescebat, & paulatim absumebatur;

Ἀνήρ τις ἐν Οἰνιάδῃσιν νούσῳ εἴχετο ὅκοτε ἄσιτος εἴη ἔμυσεν αὐτοῦ ἐν τῇ γαστρὶ ἰσχυρῶς ὠδύνατο, ἐτήκετο, ἔφθινε οὔτε φάρμακα, οὔτε σιτία λαβὼν, οὐδὲν ὠφελέετο. φλεβοτομεύμενος δὲ μόνον, ἕως ἔξαιμος ἐγένετο, ἀπηλλάγη τοῦ κακοῦ.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

ΕΝ Οἰνιάδῃσιν ἀνὴρ νούσῳ εἴχετο, ὁκότε ἄσιτος εἴη. ἔμυσεν αὐτοῦ ἐν τῇ γαστρὶ ἰσχυρῶς καὶ ὠδυνᾶτο, καὶ ὅτε φαγόντι τὰ σιτία τριφθείη, καὶ χρόνος ἐπιγένοιτο μετὰ τὴν βρῶσιν τοῦ σιτίου, μετ᾽ οὐ πολὺ, ταὐτὸ τοῦτο ἔπασχε, καὶ ἔφθινε τὸ σῶμα, καὶ ἐτήκετο,

τροφὴ οὐκ ἐγένετο οἱ ἀπὸ τῶν σιτίων ἐσθίοντι, καὶ ὑπεχώρεεν ὁ σῖτος πονηρὸς καὶ συγκεκαυμένος. ὁκότε δὲ νεωστὶ βεβρωκὼς εἴη, αὐτὸν τοῦτον τὸν χρόνον ἥκιστα ἔμυζε, καὶ τὸ ἄλγος οὐκ εἶχεν αὐτόν. οὗτος φάρμακα πίνων παντοδαπὰ καὶ ἄνω καὶ κάτω, οὐδὲν ὠφελέετο. φλεβοτομεύμενος δὲ ἐν μέρει ἑκατέρην τὴν χεῖρα ἕως ἔξαιμος ἐγένετο, ἔπειτα ὠφελήθη, καὶ ἀπηλλάγη τοῦ κακοῦ.

A *neque alimentum ab assumptis cibis percipiebatur, & per alvum ciborum reliquiæ pravæ & exustæ secedebant. Quum autem recens cibum accepisset, tum minimè strepitum sentiebat, neque dolor detinebat. Hic sumptis cujusque generis medicamentis; tum sursum, tum deorsum purgantibus, nihil levabatur. Secta vero per vices utriusque manus vena donec exanguis fieret, tum demum & levationem, & mali liberationem sensit.*

Η τοῦ Ευπολέμου ἱστορία, ᾧ ὠδυνᾶτο ἰσχίον χαλεπῶς, καὶ οὐ τῷ πύῳ κενωθέντι τμηθεὶς πολλὰ τὰ συμπτώματα παθὼν ἀποθνήσκει. ἡ ὁμοίη τοῦ Λύκωνος ἱστορία.

B Eupolemi historia qui gravi ischiade vexatus, nec ampla puri vacuando venæ sectione sectus, multa perpessus mala interiit. Lyconis ferè similis historia.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ έ.

Ευπόλεμος ἐν Οἰνιάδῃσιν ὠδυνᾶτο ἰσχίον τὸ δεξιόν, καὶ τὸν βουβῶνα, καὶ τὴν πλησίον συμβολὴν πρὸς τοῦ ἰσχίου ἀπὸ τοῦ βουβῶνος, καὶ τοῦ ἰσχίου τὸ πρόσθεν. τούτῳ αἷμα ἀφῃρέθη ἀπὸ τοῦ σφυροῦ πουλὺ πάνυ, καὶ μέλαν, καὶ παχύ, καὶ φάρμακον ἔπιεν ἐλατήριον, καὶ ἐκαθάρθη πουλλά, καὶ ῥηΐων μέν τι ἐγένετο. αἱ δὲ ὀδύναι οὐκ ἐξέλιπον, ἀλλ' ἔμπυον ἔσχε τότε ἰσχίον, καὶ τὴν κοχώνην, καὶ τὸ ἀμφὶ τὸν βουβῶνα, ἅπερ ὠδυνᾶτο, τότε ἐπὶ πλέον. τὸ δὲ πῦον ἐγένετο πρὸς τὸ ὀστέον μᾶλλον, ἢ πρὸς τὸ σαρκὸς μέρος κατὰ βάθος, καὶ ἐλελήθη χρόνον οὕτως ἔχων, ἕως πάνυ ἀσθενὴς ἐγένετο. ἔπειτα ἐκαύθη ἐσχάραις πάνυ πολλαῖς, καὶ μεγάλαι ἐγένοντο, καὶ πλησίαι ἀλλήλων, καὶ πῦον ἐῤῥύη πουλὺ καὶ παχύ, καὶ ἔθανεν ὀλίγῃσιν ἡμέρῃσι μετὰ ταῦτα, καὶ ὑπὸ μεγέθεος τῶν ἑλκέων καὶ πλήθεος, καὶ ἀσθενείης τοῦ σώματος. οὗτος ἐδόκεεν ἂν εἰ ἐτμήθη εὔρεον μίαν τομὴν, καὶ πρὸς τόμον ἀφίκετο τὸ πῦον, καὶ εἰ προσέδει τομῆς ἑτέρης ταμεῖν εὔρεον, ταῦτα παθὼν ἐν τῇ ὥρῃ, ἐδόκεεν ἂν ὑγιὴς γενέσθαι. Λύκων ἐν Οἰνιάδῃσι τὰ μὲν ἄλλα ταὐτὰ ἔπασχεν· αἱ δὲ ὀδύναι καὶ ἐς τὸ σκέλος οὐ πάνυ διεφοίτων, καὶ οὐκ ἐγένετο ἔμπυος· ὑγιὴς δὲ πολλῷ χρόνῳ· φάρμακα δὲ ἔπινε καὶ σικύας προσεβάλλετο, καὶ ἐφλεβοτομεῖτο, καὶ ἐδόκεε ῥηΐων γίνεσθαι ταῦτα πάσχοντι.

HIPPOCRATIS TEXTUS V.

Eupolemus in Oeniadis ischii dextri, & inguinis & propinqua ischii juncturæ ab inguine & anteriore ischii positæ dolore vexabatur. Huic sanguis ex malleolo detractus copiosissimus, & niger, & crassus, epotoque pharmacho alvum deorsum purgante, tum multum purgatus est, tum melius quadantenus habuit. Dolores autem non
C *cessabant, sed tum ischium, tum cochonam, tum etiam inguinis regionem, quibus laboraverat etiam amplius dolebat. Pus autem os potius quàm carnem alte pervadebat, & aliquandiu sic se habere ignoratus est, donec admodum debilis extitit. Postea crustis permultis, iisque magnis ac densis inustus est; pusque multum & crassum effluxit, ac non paucis post diebus interiit, tum ex ulcerum magnitudine, & multitudine, tum ex corporis imbecillitate. Hic liberari posse videbatur, si unica ampla sectione sectus fuisset, ac per eam pus demissum esset; aut si altera sectione opus erat, eam*
D *amplam admovere, atque hæc in tempore facta esse oportebat. Lycon in Oeniadis reliqua quidem eadem patiebatur; dolores tamen ad crus non admodum pervadebant, neque suppuratus factus est, sed sanus longo tempore. Medicamenta autem ebibebat, cucurbiculas admovebat; & venam secabat. Atque is peractis melius habere videbatur.*

Αθήνῃσιν ἄῤῥωστοι δύο, ὧν ἄλλος τῷ τοῦ παντὸς σώματος, μάλιστα δὲ τῶν ὀρχίων τε καὶ μετώπου ξυσμῷ πονέων, ᾧ οὐδὲν ἐδύνατο ὠφελῆσαι τὸ φάρμακον, εἰς τὰ θερμὰ λουτρὰ μετιὼν τοῦ μὲν κνησμοῦ ἐπαύσατο, ὑδρωπιήσας δὲ ἀπέθανεν. Αλλον ἡ χολέρη ἔλαβεν, καὶ ὀδυνώμενος πολλὰ τὰ συμπτώματα, ἐβίωσε.

E Ægroti duo Athenienses, quorum alter pruritu totius corporis, ac præcipuè testium & frontis detentus, nullis levatus remediis ad calidas balneas profectus pruritu liberatus est, sed hydropicus interiit. Alter cholera correptus ac multa perpessus symptomata vixit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Αθήνῃσιν ἄνθρωπος, ξυσμῷ εἴχετο πᾶν τὸ σῶμα, μάλιστα δὲ τοὺς ὄρχιας καὶ τὸ μέτωπον· εἴχετο δὲ πάνυ σφόδρα, καὶ δέρμα παχὺ ἦν, καθ' ἅπαν τὸ σῶμα καὶ οἷον ὑπὸ λέπρῃ τὴν πρόσοψιν, καὶ οὐκ ἂν ἀπέλαβεν οὐδαμόθεν τοῦ δέρματος, ὑπὸ τῆς παχύτητος. τοῦτον οὐδεὶς ἠδύνατο ὠφελῆσαι· δὲ εἰς Μῆλον ἢ τὰ θερμὰ λουτρά, τοῦ μὲν κνησμοῦ ἐπαύσατο, καὶ τῆς παχυδερμίης· ὑδρωπιήσας δὲ ἔθανεν. Αθήνῃσιν ἄνδρα χολέρη ἔλαβεν, ἤμει τε καὶ κάτω διήει, καὶ ὠδυνᾶτο, καὶ στῆναι οὐκ ἠδύνατο, οὔτε ὁ ἔμετος, οὔτε ἡ ὑποχώρησις, καὶ ἥ τε

HIPPOCRATIS TEXTUS VI.

F *Homo Atheniensis, pruritu totius corporis, maximè vero testium & frontis detinebatur, ac vehementer admodum vexabatur. Cutis toto corpore crassa erat, & qualis in lepra conspiciebatur; neque ulla ex parte præ crassitudine apprehendi poterat. Hunc nemo curare potuit. In Melum autem, ad balneas calidas profectus à pruritu quidem & cutis crassitudine liberatus est, sed hydrope periit. Vir Atheniensis cholera prehensus, tum vomebat, tum deorsum demittebat, & doloribus premebatur; neque etiam vomitus, neque alvi dejectio sisti poterat, voxque*

defecerat, nec lecto moveri poterat; oculi caliginosi ac cavi erant; convulsiones detinebant, quæ ab intestinis profectæ ventriculum occupabant, & singultus. Dejectio vomitione longè copiosior erat. Hic veratrum in lentium succo bibit, etiam insuper alterum lenticulæ succum pro viribus ebibit, ac tandem post vomitum ipsi ambo coacta & suppressa sunt; verùm frigidus factus est. At calida admodum copiosa deorsum à pudendis tantoperè lotus est, ut etiam superiora incalescerent, & vixit; postridie vero polentam sumpsit aquâ temperatam.

A φωνὴ ὑπολελοίπει, καὶ κινέεσθαι ἐκ τῆς κλίνης οὐκ ἠδύνατο, καὶ οἱ ὀφθαλμοὶ ἀχλυώδεες, καὶ ἔγκοιλοι ἦσαν, καὶ σπασμοὶ εἶχον ὑπὸ τῆς κοιλίης ἀπὸ τοῦ ἐντέρου, καὶ λύγξ, ἡ δὲ ὑποχώρησις πολλῷ πλείων ἦν τοῦ ἐμέτου. οὗτος ἔπιεν ἐλλέβορον, ἐπὶ φακῶν χυλῷ, καὶ ἐπέπιεν φακῶν χυλὸν ἕτερον, ὅσον ἠδύνατο, καὶ ἔπειτα ἐπήμεσε, καὶ προσηναγκάσθη, καὶ ἔστη αὐτῷ ἄμφω, ψυχρὸς δὲ ἐγένετο. ἐλούετο δὲ μέχρι τῶν αἰδοίων κάτω πάνυ πολλῷ, ἕως καὶ τὰ ἄνω διεθερμάνθη, καὶ
B ἐβίω, τῇ δ᾽ ὑστεραίῃ ἄλφιτα ἔπιε λεπτὰ ἐφ᾽ ὕδατι.

Larissæa Gorgiæ uxor menstruis per quatuor annos suppressis puellam concepit, peperitque, in cujus puellæ ischio ulcus erat. Puerpera febricitavit, & quadragesimo die convaluit.

Ἐν Λαρίσσῃ γυναικὶ Γοργίου τὰ ἐπιμήνια διὰ δ´. ἐτέων ἴσχετο, καὶ ἀπελύθη τὸ παιδίον ἐννάτῳ, καὶ ἐν τῷ τῆς αὐτῆς ἰσχίῳ ἕλκος ἦν. τὴν μητέρα πυρετὸς εἶχεν, καὶ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ ὑγιὴς γεγένηται.

HIPPOCRATIS TEXTUS VII.

IN Larissa Gorgiæ uxori menstrua per quatuor annos suppressa erant, præter perpauca. Verùm utero quancunque in partem se inclinasset, pulsum ac ponderis sensum exhibebant. Hæc mulier concepit, & peperit, & puella (fœmineum animal) nono mense edita est, in ischio ulcus habens; & secundæ sequentes, & copiosus admodum sanguinis fluxus successerunt; postridieque, & tertio die, & quarto etiam sanguinis grumi concreti. Febris eam decem primis diebus detinuit, ac in posterum ei sanguis ruber prodiit. Facies, tibiæ, pedes ambo, & femur alterum vehementer tumescebant. Cibos aversabatur; sitim autem vehementem habebat, & aqua perfrigida conferebat, vinum autem nullo modo. At venter post primum fœtum exiguo quidem momento emollitus est; planè verò non concidit; imo durior erat; dolor autem oberat. Quadragesimo autem die post primum fœtus prodiit. Caro & venter simul contabuerunt, tumores omnes, & fluxus modicus & malè olens, tandem convaluit.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ´.

ΕΝ Λαρίσσῃ γυναικὶ Γοργίου τὰ ἐπιμήνια διὰ δ´ ἐτέων ἴσχετο, πλὴν ὀλίγων πάνυ. ἐν δὲ τῇ μήτρῃ ἐφ᾽
C ὁκότερα ἂν κλιθῇ σφυγμὸν παρεῖχε καὶ βάρος. αὕτη ἡ γυνὴ ἐκύησε, καὶ ἀπελύθη τὸ παιδίον ἐννάτῳ μηνὶ ζῶον θῆλυ ἕλκος ἔχον ἐν τῷ ἰσχίῳ, καὶ τὰ ὕστερα ἐπόμενα, καὶ αἵματος ῥεῦμα πολὺ πάνυ ἐπεγένετο, καὶ τῇ ὑστεραίῃ καὶ τῇ γ´. καὶ τῇ δ´. καὶ θρόμβοι πεπηγότες, καὶ πυρετὸς εἶχε μέχρι ἡμερέων δέκα τῶν πρώτων, ὑπεχώρεεν δὲ λοιπὸν αὐτῇ αἷμα ἐρυθρὸν, καὶ ᾤδεες τὸ πρόσωπον ἰσχυρῶς, καὶ τὰς κνήμας, καὶ τὼ πόδε, καὶ τὸν ἕτερον μηρὸν, καὶ σιτία οὐ προσίετο. δίψος δὲ εἶχεν ἰσχυρὸν, καὶ τὸ ψυχρότατον ὕδωρ ξυνέφερεν, οἶνος δὲ οὐδαμῶς, ἡ δὲ
D γαστὴρ μετὰ τὸ πρῶτον παιδίον, ὀλίγῳ μέν τινι ἐλαπάχθη, πάνυ δὲ οὐ ξυνέπεσεν, ἀλλὰ σκληροτέρη ἦν, ὀδύνη δὲ οὐ προσῆν. τεσσαρακοστῇ δὲ ἡμέρῃ ἀπὸ τῆς πρώτης, ἐξέπεσε τὸ ἐπικύημα. σὰρξ καὶ ἡ γαστὴρ ξυνέπεσε, καὶ τὰ οἰδήματα πάντα, καὶ τὸ ῥεῦμα λεπτὸν, καὶ τὸ ὄζον, καὶ ὑγιὴς ἐγένετο.

Historia duarum mulierum, quarum altera Pharæa erat, quæ cephalæa gravi detenta conceptu facto convaluit. Altera Larissæa, quæ gravida decimo mense hæmorrhagiam uterinam perpessa, decimoquarto die puerum mortuum eliminavit, cujus brachium dextrum lateri adhærebat.

Ἡ δύοιν τοῖν γυναικοῖν ἱστορία ἐν Φαίρησι, ὧν ἄλλην κεφαλὴν πολλὴν χρόνον περιωδυνωμένην, ὁκότε ἐκύησεν, ἐξέλιπον αἱ ὀδύναι. ἄλλη ἐν Λαρίσσῃ κύουσα τῷ δεκάτῳ μηνὶ αἷμα ἐχώρεεν, καὶ τὸ ἐκ τῆς γαστρὸς ἐξέπεσεν τεθνεὸς παιδίον ἔχον τὸν δέξιον βραχίονα τῇ
E πλευρῇ προσπεφυκότα.

HIPPOCRATIS TEXTUS VIII.

PHaris mulierem diuturno tempore obsidebat cephalæa, quam quivis nullo præsidio, neque purgato capite levare poterat. Melius autem habebat, quum ipsi menstrua facile prodierunt. Hæc quum caput graviter doleret, pessis odoratis ad uterum appositis opem percipiebat, & quadantenus purgata est; Et quum concepisset, caput dolores reliquerunt. Larissæa mulier prægnans erat, cui decimo mense copiosus sanguis per quatuordecim dies ante pueri editionem manavit. Decimoquarto puer mortuus utero excidit, cujus brachium dextrum lateri adhærescebat, tertio die noctu eadem quâ puer horâ prodiit, secundæ & purgamenta alba deciderunt, ac deinceps tribus diebus ac noctibus multa moderatè prodierunt; posteà febris per duos dies, totidemque noctes detinuit, dolorque totum ventrem & coxendices, fereque imum ventrem vexavit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η´.

ΓΥνὴ ἐν Φαίρησι, περιώδυνε κεφαλὴν πολλὴν χρόνον, καὶ οὐδεὶς οὐδὲν ἠδύνατο ὠφελῆσαι, οὔτε καθαιρομένη κεφαλήν. ῥηΐστη δὲ ἐγένετο ὁκότε τὰ ἐπιμήνια εὐχερῶς οἱ ἤει. αὕτη ὁκότε περιωδύνει τὴν κεφαλὴν, προστιθέμενα προσθετὰ εὐώδεα πρὸς τὴν μήτρην, ὠφέλει, καὶ ἀπεκαθάρθη ὀλίγον τι, καὶ ὁκότε ἐκύησεν, ἐξέλιπον αἱ ὀδύναι τὴν κεφαλήν. Γυνὴ ἐν
F Λαρίσσῃ κύουσα, τῷ δεκάτῳ μηνὶ αἷμα ἐχώρεεν αὐτῇ πουλὺ ιδ´. ἡμέρας. πλεῖστον δὲ τὰς γ´. τὰς περὶ τοῦ παιδίου τῆς ἀπολύσιος. τῇ ιδ´. ἐξέπεσεν ἐκ τῆς γαστρὸς τὸ παιδίον τεθνεὸς, ἔχον τὸν δεξιὸν βραχίονα προσπεφυκότα τῇ πλευρῇ. καὶ τὸ χωρίον τρίτῃ ἡμέρῃ, τῆς νυκτὸς τὴν αὐτὴν ὥρην, ὡς ὅτε τὸ παιδίον, καὶ τὰ λευκά. ἔπειτα μετὰ ταῦτα ἐχώρεεν τρεῖς ἡμέρας καὶ νύκτας μετρίως τι πολλά. μετὰ δὲ τοῦτο πυρετὸς ἔλαβε δύο ἡμέρας καὶ δύο νύκτας, καὶ ὠδυνᾶτο τὴν γαστέρα πᾶσαν, καὶ τὰ ἰσχία, τὸ δὲ ἦτρον μάλιστα.

Ἡ τοῦ Ἱπποσθένους ἱστορία ὃ ἡ περιπνευμονίη ἔχειν ἐδόκει. παλαίων ἔπεσε σκληρῷ χωρίῳ ὕπτιος· τῇ δὲ ὑστεραίῃ ἐπύρεξε πολλὰ τὰ συμπτώματα παθών. ὅσον τέσσαρες κοτύλαι ἡ αἱμορραγία ἐγένετο· ἐνδεκάτῃ ἔπανε.

Hipposthenis historia, qui peripneumonia laborare videbatur; in lucta tamen supinus elapsus est, febricitavit multa perpessus symptomata, ut ad quatuor heminas hæmorrhagiam, undecimo interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

ΕΝ Λαρίσῃ Ἱπποσθένην περιπλευμονίη ἐδόκεε τοῖσιν ἰητροῖσιν ἔχειν, ἦν δὲ οὐδαμῶς. ἀρχῇ μὲν παλαίων, ἔπεσε σκληρῷ χωρίῳ ὕπτιος, καὶ ἐπενέπεσεν αὐτῷ. καὶ ἐλούσατο ψυχρῷ, καὶ ἐδείπνησε, καὶ ἐδόκεε βαρύτερος γίνεσθαι, τῇ δὲ ὑστεραίῃ ἐπύρεξε, καὶ βὴξ εἶχε ξηροτέρη, καὶ τὸ πνεῦμα πυκνόν. πεμπταῖος δὲ αἱματῶδες ἐχρέμψατο, οὐ πολὺ, καὶ παρακόπτειν ἤρχετο. ὁκότε βήσσοι τότε ὠδυνᾶτο τὰ στήθεα καὶ τὸ νῶτον. ἑκταίῳ δὲ αἷμα ἐῤῥύη ἐκ τῶν ῥινῶν πταρέντι, ὅσον τέσσαρες κοτύλαι. πρὸς τὴν ἑσπέρην, οὔτε ἐφθέγγετο, οὔτε ᾐσθάνετο, οὔτε ἔργου, οὔτε λόγου, ἐνδεκαταῖος δὲ ἔθανε. τὰς δὲ πέντε ἡμέρας τότε μὲν εὔφρων ἦν, τότε δὲ οὔ. ἐγίνετο καὶ ἀπύρετος, σίαλον δὲ οὐδὲν ἀπεχώρεεν, οὐδὲ ῥέγχος εἶχεν, οὐ γὰρ ἦν σίαλον.

HIPPOCRATIS TEXTUS IX.

Larissæ Hipposthenes peripneumonia prehensus esse Medicis videbatur, sed nequaquam erat. Verùm principio quum luctaretur duro in loco cecidit supinus, adversario illi illapso. Frigida lavatus est; cœnavit; & gravior factus esse videbatur. Postridie verò febricitavit; eumque tenuit tussis siccior, ac densus spiritus. Quinto verò die cruentum non multum screavit, & delirare cœpit. Quum tussiebat, tum pectus, tum dorsum dolebat. Sexto ubi sternutasset, sanguis è naribus ad quatuor ferè heminas effluxit. Ad vesperam neque loquebatur, neque quid ageretur, aut quid diceretur sentiebat. Vndecimo mortuus est. Per quinque verò dies interdum bene sentiebat, interdum verò minimè. Erat quoque febris expers; sputum autem nullum excernebatur, neque stertor detinuit, non enim sputum extabat.

Σκάμανδρος ἐν Λαρίσῃ κατ᾽ ἰσχίον σφακελίσαντος. οὗτος καυσώδης ἐσπάσατο καὶ ὀγδόῃ μετὰ τὴν τοῦ σπασμοῦ ἐπίληψιν σπώμενος ἔθανε.

Scamandri Larissæi historia, ischium sideratum habentis: is ferro & igne operatione facta, convulsionibus correptus, & octavo post convusionis insultum die periit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

ΣΚάμανδρος ἐν Λαρίσῃ ἰσχίον ἐσφακέλισε, καὶ ὀστέον ἀφεστηκὸς χρόνιον. ὁ δὲ ἐτμήθη τομὴν μεγάλην καὶ πρὸς τὸ ὀστέον, καὶ ἔπειτα ἐκάη. τότε ἡμέρῃ δωδεκάτῃ ἤρξατο μετὰ τὴν τομὴν σπασμὸς, καὶ εἶχε μᾶλλον. ἐσπάσατο δὲ τὸ σκέλος τοῦτο μέχρι τῶν πλευρῶν, διεφοίτα δὲ καὶ ἐπὶ θάτερα ὁ σπασμός. συνεκάμπτετο δὲ τὸ σκέλος καὶ ἐξετείνετο, καὶ τ᾽ ἄλλα μέλεα ἐκίνει, καὶ αἱ γνάθοι ἐπάγησαν. οὗτος ἔθανε σπώμενος ὀγδόῃ μετὰ τὴν τοῦ σπασμοῦ ἐπίληψιν, ἐθεραπεύετο δὲ χλιάσμασιν ἀσκίοισι, καὶ πυρίῃσιν ὀρόβων ὅλον τὸ σῶμα, καὶ ὑπεκλύσθη, καὶ ὑπῆλθε πάλαι ἡ κόπρος ὀλίγη, καὶ τὸ κατακορὲς φάρμακον ἔπιε καὶ προσκατέπιε. καὶ ἐπῆλθε μὲν οὐδὲν δὲ ἀπὸ τοῦ καταπότου ὠφελήθη, καὶ ὕπνος ὀλίγος ἦλθε, καὶ αὖθις πιὼν τὸ κατακορὲς ἰσχυρὸν, ἑσπερινὸς, ἡλίου ἀνιόντος ἔθανεν, ἐδόκει δ᾽ ἂν πλείονα χρόνον διενεγκεῖν, εἰ μὴ κατὰ τοῦ φαρμάκου τὴν ἰσχύν.

HIPPOCRATIS TEXTUS X.

Larissæ Scamander ischium sideratum habuit, & os diu disparatum. Is magna sectione, etiam ad os ipsum sectus est; postea inustus, ac tum duodecimo post sectionem die cœpit convulsio, magisque detinuit. Huic autem crus adusque costas convellebatur; ad aliamque partem convulsio perveniebat. Crus autem inflectebatur, cæteraque membra movebat, & maxillæ riguerunt. Hic octavo post convulsionis insultum die convulsione periit; uterculis verò tepentibus & fomentis ex eruo toti corpori admotis curabatur, & ex infuso per clysterem immisso, tandem nonnihil stercoris deorsum prodiit; medicamentum confertim sinceram bilem purgans ebibit, & insuper catapotium deglutivit. Secessit quidem, nihil autem ex devorato medicamento levamenti sensit. Somnus venit modicus; rursusque epoto sub vesperam vehementi medicamento affatim sinceram bilem deturbante sub ortum mortuus est. Atque diutiùs morbum ferre potuisset, nisi vis medicamenti obstitisset.

Ἡ τοῦ Παλαμήδεος τοῦ Ἱπποκόμου ἱστορία κατὰ τοῦ μετώπου ὑπὲρ τὸν ὀφθαλμὸν δέξιον ὑφ᾽ ἵππου πληγέντος. τῇ δὲ πληγῇ ὁ ὀξὺς πυρετὸς καταβέβηκε. οὗτος ὁ ἄῤῥωστος θεραπευθεὶς ὑγιὴς γίνεται.

Equisonis Palamedis historia, qui ab equo in fronte supra oculum dextrum vulneratus est; vulneri supervenit febris continua; hic æger factis remediis superstes evasit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

ΙΠποκόμος Παλαμήδεος ἐν Λαρίσῃ ἑνδεκαετὴς ἐπλήγη κατὰ τοῦ μετώπου ὑπὲρ τὸν ὀφθαλμὸν τὸν δεξιὸν ὑφ᾽ ἵππου, καὶ ἐδόκεε τὸ ὀστέον οὐχ ὑγιὲς εἶναι, καὶ ἐπήδα ἐξ αὐτοῦ ὀλίγον αἷμα.

HIPPOCRATIS TEXTUS XI.

Hippocomus Palamedis filius Larissæ undecim annorum, ab equo in fronte supra oculum dextrum vulnus accepit, neque os sanum esse videbatur, ex eoque modicus sanguis exiliebat.

His

Hic sectione magna ad secundam usque laminam sectus est, & eo statu os ipsum curabatur, quod etiam antea statim os procreavit. Sub vig simum diem circum aurem tumor exortus est, & febris cepit, & rigor; atque interdiu magis intumescebat, dolebatque tumor, atque in principio febris ex rigore cepit, & oculi, & frons, & tota facies intumuerunt. Hæc quidem in dextra capitis parte magis patiebatur; sed tumor etiam ad sinistram progressus est; hic tamen nullam læsionem attulit. Ad extremum vero febris continua prehendit. Atque ista minora erant ad octavum usque diem. Vixit autem inustus, & catapotio purgatus, & cataplasmate tumori imposito. At ulcus malorum causa nulla est.

A οὗτος ἐτρίθη μέγα μέχρι τῆς διπλόης, καὶ ἰητρεύετο οὕτως ἔχον τὸ ὀστέον, ὃ καὶ πρόσθεν αὐτίκα τὸ ὀστέον ἔκυεν. ἐπὶ εἴκοσιν οἴδημα παρὰ τὸ οὖς ἤρξατο, καὶ πυρετὸς καὶ ῥῖγος, καὶ ἡμέρῃ μᾶλλον ᾠδίσκετο καὶ ὠδυνᾶτο τὸ οἴδημα, καὶ ἐπύρεσεν ἀρχόμενος ἐκ ῥίγεος, καὶ οἱ ὀφθαλμοὶ ᾤδησαν, καὶ τὸ μέτωπον, καὶ ἅπαν τὸ πρόσωπον, ἔπασχε δὲ ταῦτα ἐπὶ δεξιὰ μᾶλλον τῆς κεφαλῆς. περιῆλθε καὶ ἐς τὰ ἀριστερὰ τὸ οἴδημα, οὐδὲν δὲ οὕτω τοῦτο ἔβλαπτεν, τελευτῶν δὲ πυρετὸς ξυνεχὴς ἔσχεν, ἧσσον ταῦτα ἦν, μέχρι ἡμερῶν B ὀκτώ. ἐβίω δὲ καυθεὶς, καὶ καθηράμενος διὰ καταποτίου, καὶ περιπλασσομένου τὸ οἴδημα· τὸ δὲ ἕλκος τῶν κακῶν οὐδὲ αἴτιον ἦν.

Ægrotus Theophorbi filius, qui vesicæ lepra, ac dysuria laborans, epoto acri medicamento multa passus est symptomata, medicamenti diuretici acrimonia exulceratus est ventriculus, à cujus potione tertio die æger extinctus est.

Ὁ ἄῤῥωστος ὁ τοῦ Θεοφόρβου παῖς ἐλέπρα τὴν κύστιν, καὶ δυσουρίῃ κάμνων, καὶ πιὼν τὸ γλίσχρον, πολλὰ ἔπαθεν τὰ συμπτώματα. πιὼν τὸ διουρητικὸν δριμὺ, ἡ κοιλίη δὲ δριμύτητι ἐτρώθη, ἀποθνήσκει μετὰ τὴν πόσιν τριταῖος.

C

HIPPOCRATIS TEXTUS XII.

Larissæ Theophorbi filius scabiosa vesica laborabat, & glutinosam urinam meiebat, & dolebat tum incipiente, tum desinente mictu, & mentulam confricabat. Hic epoto acri medicamento urinam promovente, in vesicam quidem nihil processit, verùm pus multum & bilem evomuit, cæteraque ejusdem generis dejicie at; & ventrem dolebat, & interius ardebat. Reliquum vero corpus erat frigidum, & totus resolutus est, neque quicquam assumere voluit. Huic vi immoderatiore medicamenti ventriculus vehementer admodum ulceratus est, à cujus potione tertio die vita defunctus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβʹ.

ΕΝ Λαρίσσῃ Θεοφόρβου παῖς ἐλέπρα τὴν κύστιν, καὶ διούρει γλίσχρον, καὶ ὠδυνᾶτο, καὶ ἀρχομένου καὶ τελευτῶντος τῆς οὐρήσιος, καὶ ἔτριβε τὸ πρόσθιον. οὗτος πιὼν τὸ διουρητικὸν δριμὺ, ἐς μὲν τὴν κύστιν οὐδὲν ἐχώρησεν. ἐξήμεσε δὲ συχνὸν πυῶδες καὶ χολὴν, καὶ κάτω ἕτερα τοιαῦτα διεχώρεε, καὶ ὠδυνᾶτο τὴν γαστέρα. ἐκαίετο ἔνδοθεν, τὸ δὲ ἄλλο σῶμα ψυχρὸν ἐγένετο, καὶ παρελύθη D ὅλος, καὶ προσδέχεσθαι οὐδὲν ἤθελε. τούτῳ ἡλκώθη κοιλίη ἰσχυρῶς, ὑπὸ ἰσχύος τοῦ φαρμάκου ἄγαν, ἀποθνήσκει δὲ μετὰ τὴν πόσιν τριταῖος.

Uxoris Antimachi historia, quæ gravida in multa incidit gravitatis incommoda; febre prehensa valentius medicamentum purgans sumpsit, quo ipsi alvus ulcerata est, atque posteà noctu interiit.

Τῆς τοῦ Ἀντιμάχου γυναικὸς ἡ ἱστορία, ἣ κυούσῃ ἐπὶ τὰ πολλά, τε καὶ χαλεπώτατα κακὰ ἐνέπεσεν, καὶ πυρετῷ ληφθεῖσα ἐλατήριον καταπότιον ἰσχυρότερον τοῦ δέοντος, ᾧ ταύτης ἡ κοιλία ἡλκώθη, καὶ περὶ μέσην τὴν νύκτα, ἔθανε.

E

HIPPOCRATIS TEXTUS XIII.

Larissæ, Antimachi uxor ferè quinquaginta diebus conceperat, & reliquo tempore cibos fastidiebat, septemque diebus tum uteri, tum cordis dolore vexabatur, & febre correpta est. Eo tempore nihil per alvum secessit. Huic datum est catapotium deorsum purgans vehementius quàm decebat, & bilem præ inedia & febre combustam evomuit, nullo enim potu utebatur; paucam autem violenter & in grumos evomuit. Deinde ubi concitata fuit, eam demittebat, & debilitari visa est, & ab aqua epota vomere renuit. Postea vero dolor vehemens inferiorem ventrem detinebat. A medicamento nanque exulceratus erat, à quo statim post stercus subcruentum ramentum secessit. Perpetuo vero increscebat tum imbecillitas, tum cibi fastidium, atque purgatio ad quinque heminas processerat. Aqua multa ventri affusa restitit alvus, aliud quippe nihil potuit assumere. Circa mediam noctem mortua est. Videbatur autem vivere potuisse, si aquam bibere, aut statim ante potionem vomere potuisset.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγʹ.

ΓΥνὴ Ἀντιμάχου ἐν Λαρίσσῃ, ἐκυΐσκετο ἡμέρας ὡσεὶ νʹ, καὶ ἠσιτέετο τὸν ἄλλον χρόνον, καὶ ἡμέρας ζʹ ἤλγει τὰς ὑστέρας, καὶ ὠδυνᾶτο τὴν καρδίην, καὶ πυρετὸς ὑπελάμβανεν. οὐχ ὑποκεχωρήκει τοῦ χρόνου τούτου. ταύτῃ ἐδόθη ἐλατήριον καταπότιον ἰσχυρότερον τοῦ δέοντος, καὶ ἀπήμεσε χολὴν ξυγκεκαυμένην, ὑπό τε τῆς ἀσιτίης καὶ τοῦ πυρετοῦ, καὶ γὰρ οὐδὲ ποτῷ ἐχρῆτο οὐδενὶ, ὀλίγην δὲ καὶ ἀπήμεσε βιαίως, καὶ θρομβώδεα, κἄπειτ' ἀήσατο καὶ ἠφίει F αὐτὴν, καὶ ἐδόκεεν ἀσθενέειν, καὶ οὐκ ἤθελε πίνουσα ὕδωρ ἐξεμέειν, μετὰ δὲ τοῦτο, ὀδύνη ἴσχει ἰσχυρὴ τὴν κάτω κοιλίην. εἵλκωτο γὰρ ὑπὸ τοῦ φαρμάκου, καὶ ἐχώρεεν αὐτῇ μετὰ τὴν κόπρον αὐτίκα ὕφαιμον ξυσματῶδες. αἰεὶ δὲ πλέον ἐγίνετο, καὶ ἡ ἀσθένεια, καὶ ἡ ἄση, καὶ τοῦ καθάρματος ἦσαν εʹ. κοτύλαι. ἔστη δὲ ἡ κοιλίη ὕδατος καταχεομένου πολλοῦ κατὰ τὴν γαστέρα, ἄλλο δὲ οὐδὲν ἠδυνήθη προσδέξασθαι. ἔθανε περὶ μέσας νύκτας, ἐδόκεε δ' ἂν βιῶναι, εἰ ἠδύνατο πίνειν τὸ ὕδωρ, καὶ ἐμεῖν αὐτίκα πρὶν ἢ πιέναι.

A

Ἡ τῆς Ὀνησιδήμου τῆς οἰκέτιδος ἱστορία ἧς ἡ κοιλίη τε καὶ τὸ ἔντερον ὑπὸ χολῆς αὐτομάτης κινηθείσης. τρίτῃ δὲ ἡμέρᾳ πυρετοῦ πολὺ ἰσχυροῦ ἐπιλαβόντος, ἔθανε δείλης.

Ancillæ Onesidemi historia, cui ventriculus & intestinum exulcerata sunt à bile per se commota. Hæc tertio die vehementi febre correpta sub vesperum obiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Οἰκέτις Ὀνησιδήμου ἐν Λαρίσῃ, ἡλκώθη κοιλίην καὶ τὸ ἔντερον ὑπὸ χολῆς αὐτομάτης κινηθείσης, καὶ διεχώρεε, καὶ ἄνω καὶ κάτω χολή, καὶ αἷμα, καὶ πυρετὸς εἶχε. B ταύτῃ ἐδόθη ἀσθενεούσῃ, ἐλατήριον ἀσθενὲς ποτὸν ὑδαρὲς καὶ ὀλίγον, καὶ ἤμεσέ τε ἀπ᾽ αὐτοῦ πολύ, καὶ κάτω ὑπῆλθε πλέον, καὶ τῆς ἑσπέρης ἐπανῆλθε. τῇ δ᾽ ὑστεραίῃ πυρετὸς ἦν, ἀσθενὴς δέ. ἡ δὲ κοιλίη ἡλκωτό τε καὶ ἔτι ὑπεχώρεε ταὐτά. τρίτῃ δὲ ἔθανε δείλης, πυρετοῦ ἐπιλαβόντος πολὺ ἰσχυροῦ, αὕτη δὲ ἐδόκεεν ἀποθανέεσθαι πάντως. ἥκιστα δ᾽ ἂν ὕδωρ πίνουσα ψυχρόν, ἕως ἔμετος εἶχεν. ἐπεὶ δὲ ἐψύχθη ἡ ἄνω κοιλίη, ἀποκαθαρθεῖσα τῷ ὕδατι, χυλὸν μεταπιοῦσα ψυχρόν, οὕτω μετεκλύσθη. C

HIPPOCRATIS TEXTUS XIV.

Larissæ Onesidemi ancillæ alvus & intestinum exulcerata sunt à bile per se commota; tum sursum, tum deorsum bilis & sanguis prodibant febrisque detinuit. Huic imbecillæ medicamentum deorsum purgans imbecillum in potu exhibitum est, idque aquosum & paucum, & quo copiosè vomuit, & deorsum ampliùs dejecit, & vesperi rediit vacuatio. *Postridie febris aderat, verùm debilis. Alvus autem exulcerabatur, & adhuc eadem dejiciebat. Tertio die, vehementi admodum febre correpta sub vesperum obiit. Hæc prorsus peritura fuisse existimata est, minimè verò quandiu epota frigida, vomitus tenuit. Vbi vero venter superior perfrigeratus est aqua perpurgatus, post epotum ptisanæ succum frigidum, sic ex infuso sublata est.*

Ἡ τοῦ Εὐδήμου ἱστορία ἰσχυρὰς πάνυ καὶ χρονίας αἱμορροΐδας ἔχοντος, ὃ φάρμακον κατωρετικὸν πιών, ἀλλὰ πυρετῶν, οὐ θεραπευόμενος ἔθανε.

Eudemi historia vehementibus ac diuturnis hæmorrhoidibus profluentibus laborantis, qui epoto medicamento deorsum perpurgante, febre correptus, irrita omni curatione interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

Εὔδημος ἐν Λαρίσῃ αἱμορροΐδας ἔχων ἰσχυρὰς πάνυ, καὶ χρονίας ἔξαιμος ὤν, χολὴ ἐκινήθη, ἀλλ᾽ ἠπίως τῷ σώματι καὶ ἡ κοιλίη ἐταράχθη κάτω ὑπεχώρεε χολώδεα, καὶ D αἱμορροΐδες ἀνέσχον. φάρμακον κατωτερικὸν πιών, ἀπεκαθάρθη καλῶς, καὶ αὖθις μετέπιεν χυλόν, καὶ ἔτι ἐτετάρακτο, καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια προσίστατο. τούτῳ ἐπεχειρήθη τῇσιν αἱμορροΐσι τῆς κοιλίης οὐ καλῶς πως ἔχοντι. ἀλλὰ δεομένῳ θεραπείης ἔτι καὶ ἀπήμεσεν. ἔπειτα δὲ ἐπαλειφθέντος τοῦ καρκίνου, πυρετὸς ἐπέβαλε, καὶ οὐκ ἀφῆκεν πρὶν ἀπέκτεινεν. ὅτε δὲ καὶ ἀφῆκε ῥῖγος ὑπολαβόν, ἧκεν ὁ πυρετὸς καὶ ὑπεχώρησεν αὐτῷ χολή, καὶ φῦσα, ἡ μὲν διεξῄει, ἡ δὲ ἐνῆν, καὶ ὀδύνη ἐν τῇ κοιλίῃ. αἱ δὲ αἱμορροΐδες ἔξω ἦσαν τοῦ ἀρχοῦ. E ἀπὸ τῶν ἀποκαθαρσίων ἀρξάμεναι τὸν ἄλλον χρόνον, καὶ ἡ φῦσα διὰ ταύτας ἐπεγίνετο, καὶ πρὸς πταρμὸν ἐπεγίνετο ἡ ἀρχή.

HIPPOCRATIS TEXTUS XV.

Larissæ Eudemus hæmorrhoidas admodum vehementes ac diuturnas adeo patiebatur, ut exanguis esset, & bilis cõmota. Veruntamen corpore leniter quiescebat, & alvus deorsum conturbata biliosa dejiciebat & hæmorrhoides remittebant. Epoto medicamento deorsum purgante probè repurgatus, ac insuper ptisanæ succum ebibit, & amplius turbata est, dolorque ad hypochondria consistebat. Huic quum venter non probè haberet, sed etiamnum curatione indigeret, hæmorrhoidibus manus admotæ sunt, & vomuit. Postea quum cancer successisset, febris irruit; neque priusquam interiret, dimisit. Interdum etiam quum rigor subrepens dimisisset, febris irruit; ipsique bilis ex alvo secessit; flatus partim prodibat, partim intus morabatur, dolorque in ventre concitabatur. Hæmorrhoides autem extra anum eminebant, reliquo tempore à purgationibus auspicatæ, & per eas flatus prodibat, qui à sternutatione ortum ducebat.

Ἡ τοῦ ἐν Λαρίσῃ τοῦ ἀνδρὸς ἱστορία, ὃ λόγχῃ πλαθείη ἐτρωθεὶς διὰ τὸ ληφθὲν φάρμακον ἔθανε.

Viri Larissæi historia, qui ob vulnus ab hasta factum, & postridie ob assumptum pharmacum interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

F

Ἐν Λαρίσῃ ἀνὴρ ἐτρώθη ἐκ χειρός, λόγχῃ πλατείῃ ὄπισθεν, καὶ τὸ ἄκρον διήνεγκε κάτω τοῦ ὀμφαλοῦ, πελιὸν ἀποιδέον, καὶ διῆλθε χωρίον πολύ. ἐπεὶ δὲ ἐτρώθη, ἔπειτα ὀδύνη εἶχε τὰ πρῶτα ἰσχυρή, καὶ ἐπωδίσκετο ἡ γαστήρ. τούτῳ ἐδόθη τῇ ὑστεραίῃ κατωτερικόν, καὶ διεχώρησεν ὀλίγον ὕφαιμον, καὶ ἔθανεν. ἐδόκεε τούτου τὰ ἔντερα εἶναι οὐχ ὑγιέα καὶ αἵματος ἡ κοιλίη πλέη τυγχάνειν.

HIPPOCRATIS TEXTUS XVI.

Larissæ vir cominùs ex manu hasta lata à tergo sauciatus est, cujus summum infra umbilicum penetravit, & quod lividum tumebat, amplum spatium pervasit. Post acceptum vulnus deinceps dolor primo vehemens occupabat, & venter intumescebat. Huic postridie datum est pharmacum deorsum purgans, & paucum subcruentum dejecit, & mortuus est. Hujus intestina non esse sana, venterque impleri videbantur.

A

Apellæi Lariſſæi morbo catarrhoico per duos annos laborantis hiſtoria, cujus finis eſt ægroti interitus.

HIPPOCRATIS TEXTUS XVII.

Apellæus Lariſſæus ætatem annorum propemodum triginta conſequebatur, aut paucis deficientibus. Quo vero detinebatur morbo, & noctu magis per ſomnum, quam interdiu afficiebatur. Per duos autem annos ante mortem ægrotabat. Bilem flavam interdum movebat experrectus, atram quoque vomebat. Hic vehementi admodum capitis purgatione, & longo tempore purgatus, atque etiam bis epoto medicamento, ſex menſes tranſegit. Erat autem edax, & bilioſo donatus corpore, multopere luctatus, vehementi rigore correptus eſt, ac eum febris invaſit, noctuque morbus vexavit. Poſtridie vero, rurſuſque perendie ſanus eſſe ſibi videbatur: ſubſequenti autem nocte cœnatum à primo ſomno morbus invaſit, qui noctu, & interdiu ad cœnæ tempus uſque tenebat. Priuſquam ad ſe rediret, interiit. Primùm corporis dextra ac facies, reliquumque corpus convulſionibus jactabatur; deinde ſiniſtra pervadebat, quumque quietus eſſe videretur, ſopore & ſtercore detinebatur, rurſumque morbus excipiebat.

Ἡ τοῦ Ἀπελλαίου Λαρισσαίου ἱστορία δύο ἔτεα νοσοῦντος καταῤῥοϊκῶς, οὗ τέλος ἐστὶ τοῦ ἀῤῥώστου ὁ θάνατος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

Ἀπελλαῖος Λαρισσαῖος εἶχε μὲν ἡλικίην, ὡσεὶ ἐτέων τριήκοντα, ἢ ὀλίγον ἀπέλιπεν, εἴχετο δὲ τῇ νούσῳ, ἐλαμβάνετο δὲ τὰς νύκτας μᾶλλον τῶν ἡμερέων ἐν τῷ ὕπνῳ. ἐνόσει δὲ ὡς δύο ἔτεα, πρὸ τοῦ θανάτου. ἤμεε δὲ χολὴν B πυῤῥὴν ἐνίοτε ἐπεὶ διεγείροιντο, ἤμεε δὲ καὶ μέλαιναν· οὗτος ἀπὸ τῆς κεφαλῆς καθάρσιος ἰσχυρῆς πάνυ καὶ ἐπὶ πολὺν χρόνον καθαιρόμενος, καὶ φάρμακον δὶς πιὼν, ἓξ μῆνας αὐτὸν διῆγεν. ἦν δὲ πολυφάγος. ἔχων δὲ τὸ σῶμα ἐπίχολον, παλαίσας πολλὰ μάλα ἐῤῥίγωσε, καὶ πυρετὸς ἐπέλαβε, καὶ ἡ νοῦσος ἐς νύκτα. τῇ δ' ὑστεραίῃ, ἐδόκεεν ὑγιὴς εἶναι. αὖ καὶ τῇ ἑτέρῃ, τῇ δὲ ἐπιούσῃ νυκτὶ, ἡ νοῦσος ἐπέλαβε δεδειπνηκότα ἀπὸ πρώτου ὕπνου, καὶ εἶχε τὴν νύκτα καὶ τὴν ἡμέρην, καὶ μέχρι δορπηστοῦ, ἔθανε πρὶν ἐμφρονῆσαι. ἐσπᾶτο περὶ τὰ δεξιὰ πρῶτον, τό, τε πρόσωπον καὶ τὸ C ἄλλο σῶμα. ἔπειτα ἐπὶ τὰ ἀριστερὰ καὶ ὅτε δοκέοι διαπεπαῦσθαι, κῶμα εἶχε καὶ ἔῤῥεγχε, καὶ αὖθις ἐξεδέχετο ἡ νοῦσος.

Eumeli Lariſſæi hiſtoria, qua ipſe rigidus artubus & maxillis deſcribitur, qui vigeſimo die ſedens ſupinus in lapidem decidit, quo caſu vulneratus convaluit.

HIPPOCRATIS TEXTUS XVIII.

Eumelo Lariſſæo crura, manus, & maxillæ riguerunt, neque eas partes extendere, neque flectere poterat, niſi alius extenderet, aut flecteret; ut nec maxillas diducere, niſi quis diduceret. Neque vero alia corporis parte dolorem ſentiebat, neque quicquam edebat præter mazam, & mulſum potabat. Vigeſimo die ſedens ſupinus decidit, & caput ad lapidem vehementer offendit, ipſique vertigo caliginoſa offuſa eſt, & paulo poſt ſurrectus convaluit ſolutis omnibus liberatus, præterquamquod ubi è ſomno excitaretur, articuli aliquantulum colligati eſſe videbantur. Ætatis autem erat jam duodecim & tredecim annorum, menſibus vero tribus aut quatuor ægrotavit.

Ἡ τοῦ Εὐμήλου Λαρισαίου ἱστορία ἐπάγεντος τὰ σκέλεα καὶ χεῖρας ὁ εἰκοσταῖος ὕπτιος πέπτει καθήμενος ᾧ ἐγκομμένος ὑγιὴς ἦν.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

Εὔμηλος Λαρισσαῖος, ἐπάγη τὰ σκέλεα, καὶ χεῖρας, καὶ γνάθους, καὶ οὐκ ἠδύνατο οὔτε ἐκτείνειν, οὔτε ξυγκάμπτειν, ἢ μὴ ἕτερος ξυγκάμπτοι καὶ ἐκτείνοι, οὔτε τὰς γνάθους διαίρειν, εἰ μὴ ἕτερος διαίροι. ἄλλο δὲ οὐδὲν οὔτε ὠδυνᾶτο, οὔτε ἤσθιεν, εἰ μὴ μᾶζαν καὶ μελίκρητον ἔπινεν. Εἰκοσταῖος ὕπτιος πίπτει καθήμενος, καὶ τύπτει τὴν κεφαλὴν πρὸς λίθον σφόδρα, καὶ αὐτοῦ σκότος κατεχύθη, καὶ ὀλίγον ὕστερον ἀναστὰς, ὑγιὴς ἦν, καὶ ἐλέλυτο πάντα E πλὴν μετὰ τὸν ὕπνον, ὅτε ἐξεγείροιτο, ὀλίγον τι συνεδέδετο τὰ ἄρθρα ἔτεα καὶ ἦν ἤδη ιβ'. ἢ ιγ'. ἔκαμνε δὲ μῆνας γ'. ἢ δ'.

Lariſſæa virgo poſt cruentum vomitum purulenta evaſit, & febre correpta tertio menſe mortua eſt.

HIPPOCRATIS TEXTUS XIX.

Quæ Lariſſæa virgo ſanguinem vomuit non multum, purulenta facta eſt, & febribus correpta non ante mortem liberata eſt, quæ tertio menſe contigit. At ipſa ante mortem auditu privata, nec liberata eſt, niſi quis valde acclamaret. Verùm ante ſanguinis vomitum jam debilis erat.

Ἐν Λαρίσσῃ παρθένος αἷμα ἐμέσασα ἔμπυος γενομένη, πυρετῶν ἐπιλαβόντων τρίτῳ μηνὶ ἀπέθανε.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Ἐν Λαρίσσῃ παρθένος αἷμα ἐμέσασα οὐ πολὺ, ἔμπυος γενομένη, πυρετῶν ἐπιλαβόντων, οὐκ ἀπηλλάσσετο πρὶν τελευτῶσα, ἀπέθανε τρίτῳ μηνὶ, πρὸ δὲ τοῦ θανάτου, ἐκωφώθη τὰ ὦτα, καὶ οὐκ ἐσήκουεν, εἰ μή τις πάνυ μέγα βοήσειε, πρὸ δὲ τοῦ ἐμέτου τοῦ αἵματος προησθένει.

A

Ἡ παιδίσκη ἐν Λαρίσῃ νέη ὁκότε λαγνεύοιτο, περιωδύνεε ἰσχυρῶς, ἄλλως ἀνώδυνος. περὶ δὲ μέσου ἡμέρης πράσα τρώγουσαν πολλὰ ὠδύνη ἔλαβεν ἰσχυροτάτη, γυνὴ ἑτέρη καθεῖσα τὴν χεῖρα, λίθου ὅσον σπόνδυλον ἀτράκτου ὑγιὴς αὐτίκα ἦν.

Ancilla Dyseridis juvencula in usu veneris vehementer doloribus vexabatur, quos aliàs non sentiebat, ac tandem sub sexagesimum annum porrhi esu vehementioribus doloribus cruciata, & imposita mulieris manu, calculus asper extractus est, & convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κʹ.

HIPPOCRATIS TEXTUS XX.

Ἀμφίπολος ἐν Λαρίσῃ Δυσέριδος νέη ἐοῦσα, ὁκότε λαγνεύοιτο περιωδύνεε ἰσχυρῶς, ἄλλως δὲ ἀνώδυνος ἦν, ἐκύησε δὲ οὐδέποτε. ἑξηκονταέτης δὲ γενομένη, ὠδυνᾶτο ἀπὸ μέσου ἡμέρης ὡς ὠδίνουσα ἰσχυρῶς. πρὸ δὲ μέσου ἡμέρης αὕτη πράσα τρώγουσα πολλά, ἐπειδὴ ὀδύνη αὐτὴν ἔλαβεν ἰσχυροτάτη τῶν πρόσθεν, ἀναστᾶσα ἐπέψαυσέ τινος τρηχέος ἐν τῷ στόματι τῆς μήτρης. ἔπειτα ἤδη λειποψυχούσης αὐτῆς, ἑτέρη γυνὴ καθεῖσα τὴν χεῖρα, ἐξεπίεσε λίθου ὅσον σπόνδυλον ἀτράκτου τρηχύν, καὶ ὑγιὴς τότε αὐτίκα καὶ ἔπειτα ἦν.

B. *Larissæ Dyseridis ancilla juvencula existens quum venere uteretur, vehementer doloribus vexabatur, aliàs vero dolorem non sentiebat, neque concepit unquam. At quum esset sexagenaria, à meridie tanquam parturientis doloribus vehementer cruciabatur. Hac comesis ante meridiem porrhis multis, ubi ipsam dolor prehendit priorum vehementissimus, exurgens asperum quiddam in uteri orificio deprehendit. Deinde quum ipsa jam in animi deliquium incideret, alia mulier immissa manu, asperum calculum fusi verticillo propemodum æqualem expressit, exclusitque; ac tunc derepente convaluit, ac sana deinceps perseveravit.*

C

Ἡ τοῦ Μηλιέως ἱστορία, ᾧ ἅμαξα ἐπῆλθε ἄχθος ἔχουσα ἐπὶ τὰς πλευράς, δι' ἣν ὅλου τοῦ τε νοσήματος καὶ τῶν συμπτωμάτων θεραπεύσις φαίνεται.

Maliensis costarum fractura à plaustro onusto facta laborantis historia, qua tum totius morbi, tum symptomatum patet curatio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ καʹ.

HIPPOCRATIS TEXTUS XXI.

Ὁ Μηλιεὺς, ἅμαξα αὐτῷ ἐπῆλθε ἄχθος ἔχουσα, ἐπὶ τὰς πλευράς, καὶ κατῆξε τῶν πλευρέων, καὶ χρόνον αὐτῷ ὑπέστη πῦον κάτωθεν τῶν πλευρέων, ὑπὸ τὸν σπλῆνα καυθεὶς, ἔμμοτος ὤν, ἀφίκετο εἰς δέκα μῆνας. ἀνατμηθὲν τὸ δέρμα ὀπὴ ἐφάνη ἐς τὸ δέρτρον ἐπὶ θάτερα ἀφίκουσα, καὶ πρὸς τὸν νεφρὸν καὶ πρὸς τὰ ὀστέα ἐπῆλθε σαπρά. τούτου, ἥτε φύσις τοῦ σώματος παρέλαθεν ἐπίχολος οὖσα, καὶ ἐν τῷ σώματι ἡ σηπεδὼν ξηρὴ τοῦ δέρτρου πολλὴ, καὶ ἄλλων σαρκῶν ἃς ἔδει αὐτίκα ἐμβάλλειν, εἴ τις ἐδύνατο ξηρῷ φαρμάκῳ, ἕως ἰσχύν τινα εἶχεν ὁ ἄνθρωπος. ἀπὸ γὰρ τῶν ὑγρῶν οὐδὲν ἐπεδίδου, ἀλλ' ἐσήπετο. ἀπὸ δὲ τῶν μοτῶν ἱσταμένου τοῦ ὑγροῦ ῥῖγος ἐλάμβανε καὶ πυρετὸς, καὶ ἐσήπετο μᾶλλον. ὑπέρρει δὲ αὐτοῦ σαπρόν τι ὑπομέλαν δυσῶδες· πρὶν δὲ ἐπιχειρέειν ἰητρεύειν, ὅσον ἑκάστης ἡμέρης συχνὸν διεπέρα ἔξω, ἦν δὲ οὐκ εὔροον. ἐγνώσθη τὸ εἶναι πορρωτέρω τὴν φύσιν τοῦ νοσήματος ἢ ὑπὸ τὸ δέρμα. πάντα ἂν ὀρθῶς πάσχων ὅμως οὐκ ἂν ἐδόκεε σωθῆναι, καὶ διάρροια κἂν ἐπέλαβεν.

Maliensis est æger, cui plaustrum quod onus gestabat, supra costas illapsum est, costasque confregit, ac per tempus ipsi sub costis incubuit, D *subter lienem penicillis ac linamentis curatus ad decem menses pervenit. Secta cute foramen apparuit ad omentum utrinque procedens, & ad renem & ossa putredo accedebat. Latuit nos hujus corporis habitus biliosus, & quæ corpori inerat, multa omenti putredo sicca & aliarum carnium quas statim oportebat, si quis potuisset, medicamento sicco invadere, dum homini vires quædam suppetebant. Humidis nanque nihil proficiebatur, sed putredo invalescebat. Sub linamentis vero subsistente humore rigor corripiebat, & febris, & putredo augebatur, illuc autem putridum quiddam, subnigrum & graveolens affluebat.* E *Priusquam vero curatio susciperetur, fere quotidie multum foràs trajiciebat, quod nec facile fluebat. Innotuit morbi natura altius quàm sub cutem remota esse; adeout omnibus ritè administratis, servari tamen non posse videretur, etiamsi diarrhœa invasisset.*

Αὐτονόμου ἡ ἱστορία ἐκ τῆς κεφαλῆς τρώματος λίθῳ ἐκ χειρὸς βληθέντος σπασμὸς ἦλθεν, καὶ πυρετῷ πόνῳ γενομένῳ ἑκκαιδεκάτῃ ἡμέρας ἔθανε. τοῦτο τὸ ἕλκος δεόμενον πρισθῆναι ἔκλεψαν τὴν τοῦ Ἱπποκράτους γνώμην, καὶ αἱ ῥαφαὶ τῆς κεφαλῆς.

Autonomi historia qui ex capitis vulnere ab immisso cominùs lapide facto, convulsionibus & febre correptus decimosexto die interiit. Hoc vulnus terebræ sectione non indigere F Hippocratis erat opinio quam fefellerunt capitis suturæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβʹ.

HIPPOCRATIS TEXTUS XXII.

Αὐτόνομος ἐν Ὀμίλῳ ἐκ κεφαλῆς τρώματος ἔθανεν ιϛʹ. ἡμέρῃ, θέρεος μέσου λίθῳ ἐκ χειρὸς βληθεὶς κατὰ τὰς ῥαφὰς ἐν μέσῳ τῷ βρέγματι. τοῦτο παρέλαθέ με δεόμενον πρισθῆναι. ἔκλεψαν δέ μου τὴν γνώμην αἱ ῥαφαὶ

Autonomus in Omilo ex capitis vulnere mortuus est decimosexto die, æstate media lapide ad-suturas ex manu in medio sincipite ictus. In quo me latuit eum sectione indigere. Opinionem vero meam fefellerunt suturæ in se teli læsionem

continentes. Id nanque postea conspicuè patuit. Primum sanè ad claviculam; deinde vero ad latus dolor admodum vehemens ortus est, & ad utramque manum convulsio pervenit. Vlcus enim medium caput & sinciput occupabat. Sectus est decimo quinto die, neque pus multum prodiit. Cerebri vero membrana citra putredinem apparebat.

A ἔχουσαι ἐν σφίσιν ἑωυτῇ τῆς βήξεως τὸ σίνος, ὕστερον γὰρ καταφανὲς γίνεται). πρῶτον μὲν ἐς τὴν κληῖδα, ὕστερον δὲ ἐς τὴν πλευρὴν, ὀδύνη ἰσχυρὴ πάνυ, καὶ σπασμὸς ἐς ἄμφω τὼ χεῖρε ἦλθεν. ἐν μέσῳ γὰρ εἶχε τῆς κεφαλῆς καὶ τοῦ βρέγματος τὸ ἕλκος. ἐπρίσθη δὲ ιε. καὶ πῦον ἀπῆλθεν οὐ πολὺ ἡ δὲ μῆνιγξ ἀσαπὴς ἐφαίνετο.

Famulæ capitis vulnere ab impingente janua facto laborantis historia, cui terebræ sectura quâ indigere innotuit, facta non satis est, hæc febre primùm, deinde convulsionibus sinistræ manus prehensa decimoquarto die mortua est.

B Παιδίσκης ἐκ τρώματος κεφαλῆς θύρης αὐτῇ ἐμβαλλούσης πεπονημένης, τῆς πρίσεως δεομένης ἱστορία, ἢ ἐπρίσθη οὐκ εἰς τὸ δέον, ῥῖγος πυρετὸς αὐτὴν ἐπέλαβεν, καὶ σπασμὸς χειρὸς τῆς ἀριστερῆς, καὶ τεσσαρεσκαιδεκάτῃ ἀπέθανεν ἡμέρᾳ.

HIPPOCRATIS TEXTUS XXIII.

IN Omilo famula fere duodecim annos nata, decimoquarto die, æstate media moritur. Quidam ipsi januam impulerat, tum os contuderat, tum ruperat. Suturis vulnus inerat. Quare terebræ sectura opus esse probè animadversum est. Sectum est autem non quantum oportebat, sed quod in ipso relictum, illud in pus factum est. Octavo die rigor, febris invasit. Habebat autem non ut decebat, sed prout etiam prioribus diebus, quum febre vacaret. Nono vero die residuum exectum est; & pus paucum admodum cum sanguine subesse apparuit, & meninx pura extabat, ac somnus quidem cepit; febris vero posthac non dimittebat. Convulsio autem manum sinistram occupabat, quod dextra parte ulcus potius haberet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγʹ.

ΠΑιδίσκη ἐν Ομίλῳ ἐκ τρώματος κεφαλῆς, ὡς δωδεκαέτης θνήσκει ἐν μέσῳ θέρει ιδʹ. ἡμέρῃ, θύρην τις αὐτῇ ἐνέβαλε, καὶ τὸ ὀστέον φλᾷ, καὶ ῥήγνυσιν, αἱ δὲ ῥαφαὶ ἐν τῷ ἕλκει ἦσαν. τοῦτο ἐγνώσθη ὀρθῶς πρίσεως δεόμενον. ἐπρίσθη C δὲ οὐκ εἰς τὸ δεόν, ἀλλ' ὅσον ὑπελείφθη πῦον ἐν αὐτῷ ἐγένετο ὀγδόῃ ῥῖγος, πυρετὸς ἐπέλαβεν. εἶχε δὲ οὐκ εἰς τὸ δέον, ἀλλ' ὅσον καὶ τῶν πρόσθεν ἡμερέων, ὅτε πυρετὸς οὐκ εἶχεν. ἐννάτῃ δὲ τὸ λοιπὸν ἐξεπρίσθη, καὶ ὑποφαίνη ὀλίγον πάνυ πῦον ξὺν αἵματι, καὶ ἡ μῆνιγξ καθαρὴ ἦν, καὶ ὕπνος μὲν ἐπέλαβεν. ὁ δὲ πυρετὸς αὖθις οὐκ ἠφίει, σπασμὸς δὲ χεῖρα τὴν ἀριστερὴν ὑπελάμβανεν, ἐν γὰρ τοῖσι δεξιοῖσι μᾶλλον εἶχε τὸ ἕλκος.

Tres historiæ. 1. Cyrenii suppurati, qui tardiùs operatione suscepta, interiit. 2. Hecastricis qui eadem causa & prava diæta obiit. 3. Hecasonis alterius ischiade ab impuritate, & prava purgatione orta prehensus interiit.

D Αἱ τρεῖς ἱστορίαι. αʹ. Κυρηνίου ἐμπύου τοῦ δέοντος, ὕστερον θεραπευθέντος ἀποθανόντος. βʹ. Εκάσονος τούτου ἕνεκεν νεκροῦ. γʹ. ἑτέρου Εκάσονος ἀπὸ ἀκαταρσίης, καὶ πονηρῆς καθάρσιος θανόντος.

HIPPOCRATIS TEXTUS XXIV.

IN Omilo Cyrenius suppuratus factus, inferiorem ventrem ustus est triginta diebus seriùs quàm oportuit; & molestè se habebat, resiccatumque pus in ventre fuit. Calidissima vero anni tempestate ex pomorum, aliorumque inutilium eduliorum esu febris prehendit ac diarrhœa, atque interiit. Hecason in Omilo quemadmodum & alter seriùs inustus est, pauco tamen excepto, totus venter resiccatus est. Dysenteria vero correptus, ubi eam effugisset, quidvis edebat, donec totus intumuit, eique pus per inferiora erupit; & alvi profluvio peremptus est. Hecasoni in Omilo ex impuritate non purgata, & prava purgatione acutus in ischium dolor incubuit. Eo quidem dimittente, febribus correptus est; diuque lectulo decumbens neque bibebat quicquam, neque sitiebat; debilis autem erat, & horroribus jactatus. Huic commodè quidem, ut conveniebat, morbus ablatus est. Opem autem corpus ex oblatis percipiebat. Tandem verò morbus per inferiora erupit, ac totus cum multa bile secessit, & mente motus interiit. Videbatur autem morbum evasisse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδʹ.

ΚΥρήνιος ἐν Ομίλῳ ἔμπυος γενόμενος, τὴν κάτω κοιλίην ἐκαύθη ὕστερον ἐν ἡμέρῃσι τριάκοντα τοῦ δέοντος, καὶ ἔσχεν ἐπιεικέως, καὶ ἐξηράνθη τὸ πῦον ἐν τῇ κοιλίῃ, ἐν δὲ τῇ θερμοτάτῃ ὥρῃ ἐσθίων ὀπώρην, καὶ ἄλλα E σιτία ἀξύμφορα, πυρετὸς ἐπέλαβε, καὶ διάῤῥοια, καὶ ἔθανεν. Εκάσων ἐν Ομίλῳ ὥσπερ καὶ ὅγε ἕτερος ὕστερον ἐκαύθη, ὅμως δὲ ἐξηράνθη, πλὴν ὀλίγου ἡ κοιλίη. δυσεντερίη δὲ ὑπέλαβε, καὶ αὐτὴν ἀποφυγὼν, ἠσθίετο πολὺ, ἕως ὅλος ᾤδησε, καὶ ἐῤῥάγη αὐτῷ πῦον κάτω, καὶ διάῤῥοια ἔθανεν. Εκάσων ἐν Ομίλῳ ἀπὸ ἀκαθαρσίης καὶ πονηρῆς καθάρσιος ἐς τὸ ἰσχίον ἐπέστη αὐτῷ ὀδύνη ὀξείη, καὶ αὕτη μὲν ἀπηλλάγη. πυρετοὶ δὲ αὐτὸν ὑπέλαβον, F καὶ χρόνον πουλὺν κλινοπετὴς ὤν. οὔτε πίνων οὐδὲν, οὔτε διψῶν. ἀσθενής τε ὢν καὶ φρικώδης. τούτῳ ἀφῃρέθη μὲν τὸ νόσημα χρηστῶς, ὡς ἔδει. ὠφελεῖτο δὲ τὸ σῶμα ἀπὸ τῶν προσφερομένων. τελευτῶντι διεῤῥάγη τὸ νόσημα κάτω καὶ ἐχώρεε πάνυ, ὑπὸ πολλῇ χολῇ, καὶ παρέκοψε, καὶ ἔθανε. ἐδόκεε δ' ἂν ἐκφυγεῖν τὸ νόσημα.

A

Αἱ τρεῖς ἱστορίαι. α΄. τοῦ ἐν Σαλαμῖνι περὶ τὴν ἄγκυραν περιπεσόντος, ἐπὶ γαστέρα διατρωθέντος. β΄. Τῆς γυναικὸς ἣ ἀπέσφαξεν αὐτήν. γ΄. τοῦ ἐξ Εὐβοίης νεανίσκου, ὃ οὐδὲν καὶ κακῶς καθαρθεὶς ἔθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε΄.

ΕΝ Σαλαμῖνι ὁ περὶ τὴν ἄγκυραν περιπεσὼν, ἐπὶ γαστέρα διετρώθη. περιωδύνεε δέ. φάρμακον δὲ ἔπιε, καὶ οὐ διεχώρησε κάτω, οὐδ᾽ αὐήμεσεν. Η γυνὴ ἣ ἀπέσφαξεν αὐτὴν, ἐπνίγετο, καὶ ἐδόθη αὐτῇ ὕστερον πολλῷ καταπότιον ἐλατήριον, καὶ ἐξεχώρησεν αὐτῇ. Ο ἐξ Εὐβοίης ἐλθὼν νεανίσκος, πολὺ κάτω κεκαθαρμένος διαλιπὼν, πεπαυμένος ἐπύρεσεν. εἶτα δοκέων ἄνω δέεσθαι, ἔπιεν ἀσθενὲς, ῥίζαν ἐλατήριον, καὶ μετὰ τὴν πόσιν, τεταρταῖος ἔθανεν, ἐκκαθαρθεὶς οὐδὲν, ἀλλ᾽ ὕπνος εἶχε, καὶ οὐκ ἠδύνατο παύσασθαι ἡ δίψα.

Tres historiæ. 1. Salaminei ab elapsa anchora in ventre vulnerati. 2. Mulieris quæ seipsam jugulavit. 3. Eboici adolescentis, qui malè purgatus interiit.

HIPPOCRATIS TEXTUS XXV.

Qui Salamine in anchoram incidit, in ventre vulnus accepit, & vehementissimis doloribus B *afficiebatur. Epotum autem medicamentum neque deorsum dejectiones, neque sursum vomitiones excitavit. Quæ seipsam jugulaverat mulier suffocabatur. Cui longè postea medicamentum deorsum purgans datum, ipsique secessum est. Adolescens Eubœa veniens, quum multum esset deorsum purgatus, intermissione facta, quietus in febrem incidit. Deinde quum sibi videretur per superiora purgandus, medicamentum deorsum purgans imbecillum veratri scilicet radicem bibit, & à potione quarto die interiit nihil expurgatus. Verùm somnus ipsum tenebat, neque sitis sedari poterat.*

C

Αἱ τῶν πέντε ἀῤῥώστων ἱστορίαι. α΄. Δούλης τῆς βαρβάρης ἣ ἀπὸ καταπότου ἀπέθανε. β΄. Εὐβίου ἀνθρώπου πίοντος ἐλατήριον, τέθνηκε. γ΄. Συμμάχου παιδὸς φάρμακον πίοντος ἀποθανόντος. δ΄. τοῦ περὶ τὸν δρόμον οἰκοῦντος ὃ αἷμα ἐμέσας τῇ ὑστεραίῃ ἔθανεν. ε΄. τοῦ παιδίου ὃ ὑπὸ ὀρέος πληγὴν ἀπέθανε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ΄.

D

Η Δούλη ἣ ἀπὸ καταπότου ἄνω μὲν ἐχώρησεν ὀλίγα, καὶ ἔπνιγε· κάτω δὲ πολλὰ τῆς νυκτὸς δὲ ἔθανε βάρβαρος δὲ ἦν. Ο Εὐβίου ἄνθρωπος πιὼν ἐλατήριον, τρεῖς ἡμέρας ἐκαθαίρετο, καὶ ἔθανε, τὴν δὲ χεῖρα ἔμπυον εἶχε μέχρι, τοῦ ἀγκῶνος. Ο Συμμάχου παῖς, ὑπὸ χολῆς ἀπεπνίγη, νύκτωρ καταδαρθάνων, καὶ πυρετοῦ ἐπέχοντος. Φάρμακον δὲ πιὼν, οὐ κατέχεν, οὐ δὲ καθῄρετο ἡμερῶν καὶ πρὶν ἀποθανέειν ἕξ. Ο περὶ τὸν δρόμον οἰκέων τῆς νυκτὸς αἷμα ἐμέσας, τῇ ὑστεραίῃ ἔθανεν αἷμα ἐμέων πολὺ, καὶ πνιγόμενος, ἐς σπλῆνα δὲ καὶ κάτω, αἱματῶδες αὐτῷ ἐχώρεε πουλύ. Παιδίον ὑπὸ ὀρέος πληγὲν τὴν γαστέρα καὶ ἧπαρ, ἀπέθανε τῇ τετάρτῃ. ὃ δὲ πνεῦμα πυκινὸν εἶχε, καὶ οὐ κατενόει, καὶ πυρετὸς εἶχεν.

Quinque ægrorum historiæ. 1. Servæ barbaræ quæ epoto medicamento purgante mortua est. 2. Eubiensis qui ab epoto pharmaco interiit. 3. Symmachi pueri qui ab epota purgatione etiam obiit. 4. Cujusdam prope curriculum habitantis, qui sanguinis vomitu & suffocatione è vivis discessit. 5. Pueri qui mulo ictus quarto die obiit;

HIPPOCRATIS TEXTUS XXVI.

Serva cui ex deglutito pharmaco pauca per superiora prodierunt quæ suffocabant; per inferiora verò multa; nocte mortua est. Erat autem barbara. Eubiensis quidam epoto elaterio tribus diebus purgabatur, ac mortuus est. Manum autem purulentam ad cubitum usque habebat. Symmachi puer à bile præfocabatur, noctu interdormiendum, & quum febris eum detineret. Epotum autem medicamentum non continuit, neque purgatus est sex etiam ante mortem diebus. Qui propè curriculum habitabat quum noctu sanguinem vomuisset, postride cum multa sanguinis vomitione & suffocatione E *morti occubuit. Ad lienem vero & deorsum copiosius secedebat. Puer à mulo ventrem & jecur percussus quarto die obiit. Densum autem spiritum habebat, neque intelligentia valebat, & febris eum detinebat.*

Ερμοφίλου υἱὸν πυρετὸς καῦσος εἶχε, ἀφωνία, ῥέγκος, ὃ τῆς χολῆς ἐμετὸς, ἑνδεκάτῃ δὲ ἡμέρᾳ τετελεύτηκε. ἡ τῆς Αριστίονος παιδίσκη τῇ τοῦ λοιμοῦ ἐκπλήξει ἀπέθανεν.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ΄.

Ο Ερμοφίλου υἱὸς ἔκαμνεν ἡμέρας ἕνδεκα. πυρετὸς δὲ εἶχε, καὶ οὐκ ὑπήει τὰ σιτία, καὶ πρῶτον μὲν παρενόησε. τῆς δὲ νυκτὸς ἐπαύσατο, τῇ δὲ ἐπιούσῃ ἡμέρῃ ἄφωνος ἔκειτο ῥέγχων, διεστραμμένα ἔχων τὰ ὄμματα, πυρέσσων. πτερὸν δὲ καθιεμένου, ἤμεσε χολὴν μέλαιναν, καὶ κλυσθέντος κόπρος

Hermophili filius febre continua prehensus delirio, aphonia, stertore atræ bilis vomitione undecimo die interiit. Serva Aristionis pestis sideratione mortua est.

HIPPOCRATIS TEXTUS XLVIII.

Hermophili filius diebus undecim ægrotavit. Febris eum detinebat; neque deglutiebantur cibi, ac primùm deliravit, noctu verò cessavit delirium verò die voce captus cum stertore jacuit, distortis oculis febricitabat. Immissa in os penna bilem atram vomuit, & injecto clystere stercus

multum prodiit. Servæ Aristionis pes sua sponte, sideratione affectus est juxta pedis medium introrsum ex obliquo, & ossa putrida facta abscesserunt, & paulatim evadebant, & diarrhœa succedente, mortua est.

A ὑπῆλθε πολλή. Ἀριστίωνος δούλης, αὐτόματος ὁ ποὺς ἐσφακέλισε, κατὰ μέσον τοῦ ποδὸς ἔνδοθεν ἐκ πλαγίου, καὶ τὰ ὀστέα περισφακελισμένα ἀπέστη, καὶ ὀξέως κατὰ μικρὸν συνερρύη ... ἐπεγένετο, καὶ ἔθανεν.

Mulieris sanæ historia, quæ conceptûs gratiâ deglutito pharmaco, gravissimis symptomatibus ita vexata, ut exanimata quinquies mortua conspiceretur. Vixit tamen aquæ frigidæ irrigationibus.

Η τῆς γυναικὸς ὑγιαινούσης ἱστορία. κυήσιος εἵνεκεν αὐτὴ ὀδύνην εἶχε τὴν γαστέρα, καὶ στρόφος ἐς τὸ ἔντερον ὤδυσε, ἐξέθανε πεντάκις, καὶ τεθνάναι δοκεῖ, ὅμως ἐβίω τοῖς τοῦ ὕδατος ὑγράνσεσι. B

HIPPOCRATIS TEXTUS XXVIII.

Mulier sana & crassa catapotio conceptus gratia deglutito, ventris dolore, & intestinorum torminibus afficiebatur, ac intumuit. Spiritus autem prosistebat, & cum dolore erat desperatio; sanguinem non copiosum vomuit; & quinquies prope emortua est, uti vita decessisse videretur. At neque vomitu ex aqua frigida dolor urgens, ac respiratio remittebat. Frigidæ vero fere amphoræ triginta corpori affusæ sunt, quod sane unicum opem ferre videbatur, bilisque postea copiosa deorsum secessit. Urgente vero dolore, nihil secedere poterat; vixit tamen.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη΄.

Γυνὴ ὑγιαίνουσα, παχεῖα, κυήσιος εἵνεκεν ἀπὸ καταποτίου, ὀδύνην εἶχε τὴν γαστέρα, καὶ στρόφος ἐς τὸ ἔντερον, καὶ ᾤδησε. πνεῦμα δὲ παρίστατο, καὶ ἀπορίη ξὺν ὀδύνῃ, καὶ αἷμα ἤμεσεν οὐ πολὺ, καὶ ἐξέθανε πεντάκις, ὡς τεθνάναι δοκέειν, καὶ οὔτε ἐμέσασα ἀπὸ ὕδατος ψυχροῦ ἐχάλα, οὔτε τῆς ὀδύνης ἐπιούσης, οὔτε τὴν πνοιήν. ὕδατος δὲ κατεχύθησαν ψυχροῦ ἀμφορέες ὡς τριάκοντα κατὰ τοῦ σώματος, καὶ ἐδόκεε ἄρα τοῦτο μόνον ὠφελέειν, καὶ ὕστερον κάτω ἐχώρησεν χολὴ συχνή. ὅτε δὲ ἡ ὀδύνη εἶχεν, οὐδὲν ἐδύνατο χωρῆσαι, καὶ ἐβίω. C

Antandri historia, qui deglutito catapotio, multa passus symptomata interiit.

Η τοῦ Ἀντάνδρου ἱστορία ἀπὸ καταποτίου ἐξολώτεος, ὃ τὰ πολλὰ συμπτώματα παθὼν ἀπέθανε.

HIPPOCRATIS TEXTUS XXIX.

Antander à catapotio deglutito, in cæteris sanus erat. Verùm circa vesicam dolorem habere videbatur. Ipsa statim multo recremento purgata est. Post meridiem dolor vehemens admodum obsidebat; ac in posterum diem suffocatio, desperatio, jactatio. Vomebat etiam, nihilque dejiciebat; & noctu patiebatur; neque somnus invasit. Postridie vero multum dejiciebat, ac demum sanguinem, atque interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ΄.

D Ἄντανδρος ἀπὸ καταποτίου ἐξ αὐτῆς ἐὼν τἄλλα, περὶ δὲ τὴν κύστιν ἐδόκεεν ἄλγος ἔχειν. ἐκαθήρατο αὐτίκα ὀξέως πουλὺ κάθαρμα. καὶ ἀπὸ μέσης ἡμέρης ὀδύνη ἔσχεν ἰσχυρή. πολὺ καὶ ἐς τὴν ὑστεραίην πνῖγμα καὶ ἀπορίη, καὶ ῥιπτασμὸς, καὶ ἤμει, καὶ ἐχώρεεν οὐδὲν, καὶ τὴν νύκτα ἔπασχε, καὶ ὕπνος οὐκ ἐπῄει. τῇ δ' ὑστεραίῃ ἐχώρεε πολλὸν, ὕστερον αἷμα καὶ ἔθανεν.

Tres historiæ. Prima pueri Athenadæ phagedæna laborantis qui salvus evasit. Secunda Cerdonis qui ex subula altius in femur ducta vulneratus tertio die interiit. Tertia cujusdam sagitta vulnerati, qui spiculo in parte vulnerata relicto, præter expectationem servatus est, sexto verò post anno spiculum inventum eductum est.

E Αἱ τρεῖς ἱστορίαι. α΄. Ἀθηνάδεω παιδὸς ἄρρενος φαγεδαινωθέντος, ὃ ὑγιὴς γεγένηται. β΄. ἡ σκυτέως ὃν ἐκέντησεν κέντρον ἐπ' ἄνω τοῦ γόνατος ἐς τὸν μηρὸν ἐξωθὴν, καὶ γ΄ ἡμέρῃ ἀπέθανεν. γ΄. τις παρὰ τὸν βουβῶνα πληγεὶς τοξεύματι παραδοξότατα ἐσώθη, τῆς δὲ ἀκίδος ἑόντων ἐτέων ἓξ εὑρισκομένης ἀπηλλάχθη.

HIPPOCRATIS TEXTUS XXX.

Athenadæ puero masculo, ulcere phagedæna laboranti, à sinistra parte dens inferior, à dextra vero superior doluit. Hujus auris dextra suppurata est, non amplius urgente dolore. Cerdo in Pityo calceum pungendo assuens seipsum supra genu in femur pepugit, & fere digiti longitudine subulam adegit. Huic nihil quicquam sanguinis effluxit. Vulnus autem derepente coaluit. Totum autem femur intumescebat; & tumor ad inguen & mollitudinem extendebatur. Is tertio die mortuus est. Quidam juxta inguen sagitta percussus, quem

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ΄.

F Τῷ Ἀθηνάδεω παιδὶ ἄρρενι τῷ φαγεδαινωθέντι, ὀδὼν ὁ ἐν ἀριστερᾷ κάτω, ἄνω δὲ ὁ ἐν δεξιᾷ οὖς τὸ δεξιὸν ἐνεπύησεν, οὐκ ἔτι ἀλγέοντος. Ὁ σκυτεὺς κάσσυμα κεντῶν ὁ ἐπὶ τῷ Πιθύῳ, ἐκέντησεν αὐτὸν ἐπάνω τοῦ γόνατος ἐς τὸν μηρὸν, καὶ ἔβαψεν ὡς δάκτυλον. τούτῳ αἷμα μὲν οὐδὲν ἐῤῥύη, τὸ δὲ τρῶμα ταχὺ ἔμυσεν. ὁ δὲ μηρὸς ὅλος ἐμετεωρίζετο, καὶ διέτεινεν ὁ μετεωρισμὸς, ἔς τε τὸν βουβῶνα, καὶ τὸν κενεῶνα. οὗτος τῇ τρίτῃ ἀπέθανεν. Τὶς παρὰ τὸν βουβῶνα πληγεὶς τοξεύματι, ὃν ἡμεῖς

ἑωράκαμεν, παραδοξότατα ἐσώθη. οὔτε γὰρ ἀκὶς ἐξῃρέθη, ἦν γὰρ ἐν βάθει λίην· οὔτε αἱμορραγίη οὐδεμίη ἐγένετο ἀξίη λόγου· οὔτε φλεγμονὴ, οὔτε ἐχώλευσεν. τὴν δὲ ἀκίδα εὑρίσκοντες ἡμεῖς, ἀπηλλαττόμεθα ἑτέων ἐόντων ἓξ ἀφ' οὗ περ ἐτρώθη. ὑπενοεῖτο δὲ τοῦτο μεσηγὺ τῶν νεύρων κεκρύφθαι καὶ τὴν ἀκίδα, φλέβα τε καὶ ἀρτηρίαν οὐδεμίαν διαιρεθῆναι. A

nos vidimus, præter omnem ferè expectationem servatus est. Neque enim spiculum, quod altiùs descenderat, eductum fuit, neque alia memoratu digna sanguinis eruptio, aut inflammatio aderat, neque claudicavit. Nos autem inventum spiculum sexto demum anno, à quo sauciatus erat, eduximus. Hæc autem suspicio erat, spiculum inter medios nervos latuisse, nullamque venam aut arteriam sectam fuisse.

Αἱ τρεῖς ἱστορίαι. α'. τινὸς τοῦ πληγέντος ὀξεῖ βέλει ἐς τοὔπισθεν μικρὸν κάτω τοῦ τραχήλου, δευτέρῃ ἡμέρῃ ἔθανεν. β'. τοῦ νεηνίσκου, ὃ ὁδὸν τρηχεῖαν διαχάσας ἤλγεε τὴν πτέρνην, εἰκοστῇ ἀπέθανεν. ὑστέρη ἑτέρου ἐς τὸν ὀφθαλμὸν πληγέντος ἀπὸ τοῦ δρόμου, καὶ μακαρίη θεραπευσίῃ ὑγιὴς ἐγένετο. B

Tres historiæ. Prior cujusdam qui paulò infra cervicem jaculo acuto vulneratus postridie interiit. Altera adolescentis, qui calcis dolore ex cursu excitato prehensus vigesimo periit. Posterior cujusdam qui cuspide in palpebra vulnus accepit, & felici curatione citò convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Ο πληγεὶς ὀξεῖ βέλει ἐς τοὔπισθεν μικρὸν κάτω τοῦ C τραχήλου, τὸ μὲν τρῶμα ἔλαβεν οὐκ ἄξιον λόγου εἰσιδεῖν, οὐ γὰρ ἐν βάθει ἐγένετο. μετὰ δὲ οὐ πολλὸν χρόνον ἐξαιρεθέντος τοῦ βέλεος ἐπιταίνετο ἐς τοὔπισθεν ἐρυσθεὶς ὡς οἱ ὀπισθοτονικοὶ, καὶ αἱ γένυες ἐδέδεντο· καὶ εἴ τι ὑγρὸν ἐς τὸ στόμα λάβοι, καὶ τοῦτο ἐγχειρέοι καταπίνειν, πάλιν ἀνεκυκλεῖτο ἐς τὰς ῥῖνας, καὶ τὰ λοιπὰ αὐτίκα ἐκακοῦτο, καὶ δευτέρῃ ἡμέρῃ ἔθανεν. Νεηνίσκος ὁδὸν τρηχεῖαν διαχάσας ἤλγεε τὴν πτέρνην· μάλιστα τὸ κάτω μέρος· ἀπόστασιν δὲ ὁ τόπος οὐκ ἐλάμβανεν οὐδεμίην, ὡς ξυνάγων ὑγρὸν, ἀλλὰ τεταρταίῳ τε ἐόντι αὐτῷ, ἐμελαίνετο πᾶς ὁ τόπος, D ἄχρι τοῦ ἀστραγάλου καλεομένου, καὶ τοῦ κοίλου τοῦ κατὰ τὸ στῆθος τοῦ ποδὸς, καὶ τὸ μελανθὲν οὐ περιερράγη, ἀλλὰ πρότερον ἐτελεύτα, τὰς πάσας δὲ ἐβίου ἡμέρας ἀπὸ τοῦ δρόμου, εἴκοσιν. Ο δὲ ἐς τὸν ὀφθαλμὸν πληγεὶς, ἐπλήγη μὲν κατὰ τοῦ βλεφάρου, ἔδυ δὲ ἡ ἀκὶς ἱκανῶς, ὁ δὲ αἰθὴρ προσυπερεῖχε.

HIPPOCRATIS TEXTUS XXXI.

Qui acuto jaculo retrorsum paulo infra cervicem sauciatus est, vulnus quidem accepit aspectu, minimè effatu dignum; non enim altè penetrabat. Verum non longo postea tempore, evulso jaculo distendebatur in posteriora contractus ut opisthotonici, & maxillæ convinciebantur. Et si quid liquidum in os sumere ac deglutire tentaret, id in nares regerebatur; & quamprimum cætera deteriora reddebantur; & altero die mortuus est. Adolescens per asperam viam cursu facto calcis dolore correptus est, præsertim inferiori parte. Abscessum autem qui humorem cogeret nullum locus accepit. Quarto tamen die locus universus nigricabat adusque talum astragalum appellatum & adusque cavitatem ad pedis planum positam. Quod denigratum fuit, non diruptum erat. Verum prius è vivis sublatus est. Dies autem à cursu viginti vixit. Ad oculum sauciatus in palpebra quidem vulnus accepit; cuspis vero altè satis introierat. Spiculum autem extremum ulterius exstabat. Secta palpebra, cuncta exempta sunt; nihil mali relictum est. Oculus nanque remansit, ac brevi sanus evasit, sanguis autem liberaliter & abunde profluxit.

E

Η τῆς καλῆς παρθένου τῆς τοῦ Νερίου ἱστορία, ἡ ὑπὸ γυναικὸς φίλης παιζούσης πλατεῖ πληγείσῃ, καὶ πολλοῖς τοῖς συμπτώμασι πονουμένη τῷ ἐννάτῳ μηνὶ ἀπέθανεν.

Virginis pulchræ Nerii filiæ historia, quæ ab amica muliercula ludente lata manu in sinciput percussa, & multis cruciata symptomatibus, nono interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Η παρθένος ἡ καλὴ ἡ τοῦ Νερίου, ἦν μὲν εἰκοσαέτης, ὑπὸ δὲ γυναικὸς φίλης παιζούσης, πλατείῃ τῇ χειρὶ ἐπλήγη τὸ κατὰ τὸ βρέγμα, καὶ τότε μὲν ἐσκοτώθη, καὶ ἄπνοος ἐγένετο, καὶ ὅτε ἐς οἶκον ἦλθε, αὐτίκα τὸ πῦρ εἶχε, καὶ ἤλγει τὴν κεφαλὴν, καὶ ἔρευθος ἀμφὶ τὸ πρόσωπον F ἦν. ἑβδομαίῃ δὲ ἐούσῃ, ἀμφὶ τὸ οὖς τὸ δεξιὸν, πῦον ἐχώρησε δυσῶδες, ὑπέρυθρον, πλέον κυάθου, καὶ ἔδοξεν ἄμεινον ἔχειν, καὶ ἐκουφίσθη. πάλιν ἐπετείνετο τῷ πυρετῷ, καὶ κατεφέρετο, καὶ ἄναυδος ἦν, καὶ τοῦ προσώπου τὸ δεξιὸν μέρος εἵλκετο, καὶ δύσπνοος ἦν, καὶ σπασμὸς, καὶ τρομώδης ἦν, καὶ γλῶσσα κατείχετο, καὶ ὁ ὀφθαλμὸς καταπλήξ, ἐνάτῃ ἔθανεν.

HIPPOCRATIS TEXTUS XXXII.

Pulchra erat virgo Nerii filia. Erat quidem annorum viginti. Verùm ab amica muliercula ludente, lata manu in sinciput percussa est, ac tunc sanè tenebricosa vertigine prehensa est, non spirabat, quumque domum pervenisset, eam ilico febris vehemens prehendit, & capitis dolor vexavit, & faciem rubor colorabat. Septimo die ad aurem dextram pus graveolens aliquantulum rubrum cyatho amplius prodiit, meliusque habere videbatur, ac levata est. Rursus increscente febre in soporem deferebatur, neque loqui poterat, faciei pars dextra contrahebatur, spirandi difficultas aderat, & cum tremore convulsio, & lingua detinebatur, & oculus stupefactus est. Nono interiit.

Tres

A

Tres historiæ. 1. Pueri Cleomenis cibi fastidio, & corporis extenuatione laborantis. 2. Coci ex phrenitide gibbosi facti. 3. Cujusdam quæ epoto obortivo medicamento quarto die obiit.

Αἱ τρεῖς ἱστορίαι. α'. Τοῦ Κλεομένεος ἀποσίτου καὶ συντήκοντος. β'. Τοῦ μαγείρου ἐκ φρενίτιδος κυφωθέντος. γ'. Τίνος ἀπόφθαρμα πιούσης, ἣ τετάρτῃ ἔθανεν.

HIPPOCRATIS TEXTUS XXXIII.

Cleomenis filius hyeme cœpit cibos aversari absque febre extenuabatur, & cibos & pituitam vomebat, ac per duos menses cibi inappetentia consequuta est. Coquo ex phrenitide spinæ gibbus obortus est. Huic nulla medicamenti purgantis potio contulit; sed vinum & panis in cibo; balneis abstinuisse, leviter confricari, neque vehementi, sed blando fomento calefieri. Cuidam quæ circa vigesimum ætatis aunum ab epoto pharmaco abortum promovente dolor accidit; biliosorum multorum, pallidorum, & porraceorum vomitus. Quum bibisset, eam convulsio invadebat; & linguam mandebat. Quarto die ad eam accessi, ipsi lingua erat magna, nigra; oculorum alba rubescebant; insomnis erat, quarto die sub noctem mortua est. Origanum potu exhibitum, oculis & dentibus noxium est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

B Ο τοῦ Κλεομένεος παῖς χειμῶνος ἀρξάμενος ἀπόσιτος, ἄνευ πυρετοῦ ἐξέχετο, καὶ ἤμεε τὰ σιτία καὶ φλέγμα, δύο μῆνας ἀσιτίην παρείπετο. Τῷ μαγείρῳ ἐν ἀκάνθῃ δὲ κύφωμα ἐκ φρενίτιδος ἐγένετο· τούτῳ φαρμακοποσίην οὐδεμίην συνήνεγκεν· οἶνος δὲ μέλας καὶ ἀρτοσιτίη, λουτρῶν ἀπέχεσθαι καὶ ἀνατρίβεσθαι, λείως θάλπεσθαί τε μήτε πολλῷ πυριήματι, ἀλλὰ πρηέως. Τῇ κατὰ δὲ εἰκοσὸν τῆς ἡλικίης ἀπόφθαρμα πιούσῃ, ξυνέβη πόνος, ἔμετος χολωδέων πολλῶν, ὠχρῶν, καὶ πρασοειδέων· ὅτε πίῃ, σπασμὸς εἶχε, γλῶσσαν κατεμασᾶτο· πρὸς τεταρταίην εἰσῆλθον, καὶ αὐτῇ ἦν ἡ γλῶσσα μεγάλη, μέλαινα, τῶν ὀφθαλμῶν δὲ τὰ λευκὰ ἐρυθρὰ ἦν, ἄγρυπνος, τῇ τετάρτῃ δὲ ἔθανεν ἐς νύκτα. C Ο ὀρίγανος ὀφθαλμοῖσι κακὸν γινόμενος, καὶ ὀδοῦσιν.

Puellæ historia, quæ casu læsa, & multis affecta symptomatibus servata est.

Η τῆς κόρης ἱστορίη, ἣ πεσοῦσα, πολλοῖς πονοῦσα συμπτώμασι, περιεγένετο.

HIPPOCRATIS TEXTUS XXXIV.

Quæ puella ab eminente loco decidit, voce capta est, corporis jactatio prehendit; & sub noctem copiosum sanguinem vomuit, qui sinistra parte in quam deciderat, copiosior effluxit. Mulsam laboriosè deglutiebat; stertor; spiritus densus velut moribundus aderat; in facie venæ distentæ; supinus decubitus; pedes tepidi; febris imbecilla; vocis interceptio. Septimo die vox erupit; calores parciùs tenuerunt; convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

Η ἀπὸ τοῦ κρημνοῦ κόρη πεσοῦσα ἄφωνος, ῥιπτασμὸς εἶχε, καὶ ἤμεσεν ἐς νύκτα αἷμα πουλύ, κατὰ ἀριστερὰ D πεσούσης, συχνότερον ἐρρύη, μελίκρητον χαλεπῶς κατέπινεν, ῥέγκος, πνεῦμα πυκνὸν ὡς τῶν θνησκόντων, φλέβες ἀμφὶ δὲ πρόσωπον τεταμέναι, κλίσις ὑπτίη, πόδες χλιεροί, πυρετὸς βληχρός, ἀφωνίη· ἑβδομαίη φωνὴν ἔρρηξεν, αἱ θέρμαι λεπτότερον ἔσχον, περιεγένετο.

Pythoclem lac aquæ permixtum ægris concessisse. Pernionum curatio. Lentis, pomorum dulcium, & olerum esum oculis noxium esse. Aquam marinam & acetum doloribus calida admota mederi.

E Τὸν Πυθόκλεα γάλα ὕδατι μιγνύμενον τοῖς κάμνουσιν δεδωκέναι. χιμέτλων ἡ θεραπεία. τὴν τῆς φακῆς τε καὶ γλυκέων ὀπωρῶν, καὶ λαχάνων βρῶσιν πονηρήν. τὴν θαλάσσην, καὶ ὄξος, θέρμα ταῦτα καταιονεῖν.

HIPPOCRATIS TEXTUS XXXV.

Pythocles lac multa aquâ permixtum ægrotantibus exhibebat. Perniones eliciendi, & pedes calefaciendi sunt, sicut maximè igne & aqua excalefacias. Oculis lens, poma dulcia, & olera noxia sunt. Lumborum, crurum & coxendicis doloribus ex laboribus obortis aquæ marinæ acetique fomentum calidum confert, itaut profundas, aut spongiam his imbutam admoveas. Deligare vero oportet lanis succidis, & agninis pellibus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε'.

Πυθοκλῆς τοῖς κάμνουσιν γάλα πολλῷ ὕδατι μιγνὺς ἐδίδου. Χιμέτλων κατασπᾶν, διαθερμαίνειν τοὺς πόδας ὧδε, μάλιστα ἐκθερμαίνειν πυρὶ καὶ ὕδατι. ὀφθαλμοῖς ὡς ἡ πονηρὸν ἡ φακὴ, ὀπώρη, καὶ γλυκέα, καὶ λάχανα. Τοῖσι καὶ περὶ ὀσφὺν καὶ σκέλεα, καὶ ἰσχίον ἀλγήμασιν ἐκ πό- F νων, θαλάσσῃ, ὄξει, θερμοῖσι καταιονεῖν, καὶ σπόγγους βάπτοντα πυριῶν. Ἐπικαταδεῖν δὲ εἰρίοισιν οἰσυπηροῖσι καὶ ῥινικοῖσι.

A

Αἱ τρεῖς ἱστορίαι. α΄. δυοῖν γναφέων οἱ βουβῶνες ἐφυματοῦντο, καὶ ἐν τῷ τραχήλῳ ὅμοια, καὶ ἀπέθανον. β΄. τινὸς τὴν κεφαλὴν λίθῳ πεπληγότος, ὃ τρίτῃ τῇ ἡμέρᾳ ἔθανεν. γ΄. Ενιήτου ἀκοντίῳ πεπληγότος ὄπισθεν τοῦ πλευροῦ, ὃ μετὰ τὰς πέντε ἡμέρας ἐτελεύτησε.

Tres historiæ. 1. Duorum fullonum, qui tuberculis in inguinibus & collo exortis interierunt. 2. Cujusdam qui lapide percussus quinto die mortuus est. 3. Eniatis qui in latus sinistrum jaculo percussus quinto die obiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ΄.

B

Γναφέων οἱ βουβῶνες ἐφυματοῦντο σκληροὶ, καὶ ἀνώδυνοι καὶ περὶ ἥβην καὶ ἐν τραχήλῳ, ὅμοια μεγάλα, πυρετὸς, πρόσθεν μὲν βηχώδης. τρίτῳ μηνὶ ἢ τετάρτῳ, γαστὴρ ξυνετάκη, θέρμαι ἐπεγένοντο, γλῶσσα ξηρὴ, δίψα, ὑποχωρήσιες αἱ κάτω χαλεπαὶ, ἔθανον. Ὁ τὴν κεφαλὴν ὑπὸ Μακεδόνος λίθῳ πληγεὶς, ἔπεσε, τρίτῃ ἄφωνος ἦν, ῥιπτασμὸς, πυρετὸς οὐ πάνυ σφυγμὸς ἐν κροτάφοις, ἤκουεν οὐδὲν οὐδόλως, οὐδὲν ἐφρόνει, οὐκ ἀτρεμέει, ἀλλὰ τῇ τετάρτῃ, ἐκινέετο. νότις περὶ μέτωπόν τε καὶ ὑπὸ ῥῖνα, καὶ ἄχρις ἀνθερεῶνος, καὶ ἔθανεν. C Ὁ Ενιήτης ἐν Δήλῳ ἀκοντίῳ πληγεὶς ὄπισθεν τοῦ πλευροῦ κατὰ τὸ μὲν ἕλκος ἄπονος. τρίτῃ δὲ γαστρὸς ὀδύνη δεινὴ, οὐχ ὑπεχώρεε, κλυσθέντι δὲ κόπρος ἐς νύκτα, οὐ κόπος διαλιπὼν, ἔδρη εἰς τοὺς ὄρχιας. τετάρτῃ καὶ ἥβην καὶ κοιλίην πόνος κατεῖχε, ζῶν ἀτρεμέειν οὐκ ἠδύνατο, χολώδεα ἤμεσε κατακορέα, ὀφθαλμοὶ, οἷοι τῶν λιποθυμεόντων. μετὰ τὰς πέντε δὲ ἐτελεύτησε. θέρμη λεπτή τις ῥοίη.

HIPPOCRATIS TEXTUS XXXVI.

Fullonibus inguina extuberabant dura & sine febre, circaque pubem, & in collo similia erant magnitudine tubercula. Antea quidem febris tussiculosa tenuerat. Tertio aut quarto mense venter contabuit; calores accesserunt; lingua arida, sitis, alvi dejectiones molestæ, mortui sunt. Qui lapide in caput à Macedone percussus est, cecidit. Tertio die voce destituebatur; corporis erat jactatio, febris tenuit; non admodum inerat pulsus temporibus, nihil prorsus audiebat; nihil sapiebat; neque quiescebat; sed quarto die movebatur. Mador tum circa frontem, tum sub naso ad mentum usque exudabat, & mortuus est. In Delo Eniates retro in latus sinistrum ictus jaculo, ulcus sine dolore quidem habuit. Tertio verò die vehemens ventris dolor prehendit, nihil ex alvo secedebat; verùm prolato per clysterem sub noctem stercus prodiit; neque dolor intermittebat; sed & ad testes prominebat. Quarto die dolor ad pubem & ventrem detinebat, vivens quiscere non poterat, biliosa vomuit abundè colorata; oculi quales sunt animo deficientibus. Post quintum diem defunctus est. Tenuis quidem calor inerat.

D

Αἱ ἱστορίαι. α΄. Τινος τοῦ καθ' ἧπαρ ἀκοντίῳ πεπληγότος ὃς εὐθὺς ἔθανεν. β΄. Τῆς τοῦ Πολεμάρχου κυναγχικῆς ἣ ἐννάτῃ τῇ ἐτελεύτησε.

Historiæ. Prima cujusdam jaculo in jecur percussi, qui citò interiit. Altera uxoris Palemarchi, quæ anguina correpta nono die mortua est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ΄.

Τῷ δὲ καθ' ἧπαρ πεπληγότι ἀκοντίῳ εὐθὺς τὸ χρῶμα κατεχύθη νεκρῶδες, τὰ ὄμματα κοῖλα, ῥιπτασμὸς, δυσφορίη. ἔθανε πρὶν ἀγορὴν λυθῆναι, ἅμ' ἡμέρῃ πληγείς. E Τῇ Πολεμάρχου χειμῶνος κυναγχικῇ, οἴδημα ὑπὸ τὸν βρόγχον, πολὺς πυρετός. ἐφλεβοτομήθη, ἔληξεν ὁ πνιγμὸς ἐκ τοῦ φάρυγγος. ὁ πυρετὸς παρείπετο, περὶ πέμπτην γούνατος ἄλγημα, οἴδημα τοῦ ἀριστεροῦ, καὶ κατὰ τὴν καρδίην ἐδόκει τι συλλέγεσθαι αὐτῇ, καὶ ἀνέπνεεν ὡς ἐκ τοῦ βεβαπτίσθαι ἀναπνέουσι, καὶ ἐκ τοῦ στήθεος ὑπεψόφεεν, ὥσπερ αἱ ἐγγαστρίμυθοι λεγόμεναι, τουτό τι ξυνέβαινε, περὶ δὲ τὰς ἑπτὰ, ἢ ἐννέα ἐς νύκτα κοιλίη κατεῤῥάγη. ὑγρὰ πολλὰ κακὰ νομιζόμενα, ἤδ' ἀφωνίη ἐτελεύτησεν.

HIPPOCRATIS TEXTUS XXXVII.

Qui jaculo in jecur percussus est, huic derepente cadaverosus calor affusus est, oculi concavi, anxietas, corporis jactatio, interiit priusquam concio solveretur, prima luce vulneratus. Polemarchi conjugi per hyemem angina laboranti, gutturi tumor subortus est. Multa febris invasit, vena secta est, faucium suffocatio cessavit, febris comitabatur, sub quintum diem tumor ad sinistrum genu cum dolore subortus est, ipsique ad cordis regionem quiddam colligi videbatur: respirabat velut aquis immersi respirant, ex pectore strepitum edebat ceu quæ Engastrimythi ventriloquæ appellantur; *quibus vatidicis mulieribus ita contingebat. Circiter septimum aut nonum diem sub noctem alvus affatim prorupit, & liquida multa prava existimata dejecit. Ipsa voce intercepta mortua est.*

F

Ὅταν οἱ κάμνοντες κάτω ἢ ἄνω ὑποκαθαίρεσθαι ὠφελήσωσιν.

Quando ægri sursum aut deorsum purgandi sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη΄.

Ὑποκαθαίρειν τὰς κοιλίας χρὴ ἐν τοῖσιν νουσήμασιν, ἐπὰν πέπονα ᾖ, τὰς μὲν κάτω, ἐπὴν ἱδρυμένα ἴδῃς, σημεῖον ἦν μὴ ἀσώδεες, ἢ καρηβαρικοὶ ἔωσι, καὶ ὅταν αἱ θέρμαι

HIPPOCRATIS TEXTUS XXXVIII.

Ventres in morbis purgandi sunt; deorsum quidem, ubi materiam concoctam & consistentem videris, signum est, si neque anxietate, neque capitis gravitate divexentur ægri, & quum calores

mitissimi extiterint. Sursum vero in ipsis paroxysmis. Tunc enim humores etiam sua sponte in sublime feruntur, quum ægri & anxietate, & capitis gravitate, aut corporis jactatione vexantur.

A περιίται), ἢ ὅταν λήγωσι μετὰ τοὺς παροξυσμούς· τὰ δὲ ἄνω, ἐν τοῖσι παροξυσμοῖσι. τότε γὰρ καὶ αὐτόματα μετεωρίζεται ἐπὴν ἀσώδεες καὶ καρηβαρίες, καὶ ἀλύοντες ἔωσιν.

Cujusdam ex casu cubiti vulnere sauciati historia. Pus colligentibus horrorem & febrem fieri.

Ἡ τινὸς ἐκ πτώματος τρωθέντος ἱστορία. πυομένοισι τοῖσι φρίκην τε, καὶ πυρετὸν γίνεσθαι.

HIPPOCRATIS TEXTUS XXXIX.

Ex casu vulnerato cubito ob siderationem cubitus pus colligit, quod quum jam maturuit, glutinosa sanies exprimitur, qualis etiam Leogenisco & Demarcho Agleutelis filio. Eodem vero modo neque admodum ex iisdem pus ullum effluxit, quale quid Æschyli filio contigit. Plerisque pus colligentibus horror & febris accedebat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

B Ἐκ πτώματος τρωθέντος πήχεος ἐπὶ σφακελισμοῦ, πυοῦται πῆχυς, πεπυονωμένου δὲ ἤδη, γλίσχρος ἰχὼρ ἐκθλίβεται, ὡς καὶ Λεογενίσκῳ καὶ Δημάρχῳ τοῦ Ἀγλευτέλεος, ὁμοίως δὲ καὶ πάνυ ἐκ τῶν αὐτῶν πῦον οὐδὲν, οἷον τῷ Αἰσχύλου παιδὶ ξυνέβη. πυομένοισι δὲ τοῖσι πλείστοισι, φρίκη καὶ πυρετὸς ἐπεγίνετο.

De pueri Parmenisci surditate; de tumore maxillæ uxoris Aspasii ex odontalgia; de colli tuberculo filii Callimedontis; & de dolorifico gingivæ Mellissandri tumore; ac de eorum affectuum præsidiis.

Περὶ τοῦ Παρμενίσκου παιδὸς κωφότητος. περὶ τοῦ τῆς Ἀσπασίου ἐκ ὀδονταλγίας τῆς γνάθου βουβῶνος. περὶ τοῦ Καλλιμέδοντος υἱοῦ τοῦ ἐν τῷ τραχήλῳ φύματος, καὶ περὶ
C Μελισάνδρου τοῦ οὔλου ἐπωδυνίου, καὶ τῆς τούτων τῶν παθημάτων θεραπείας.

HIPPOCRATIS TEXTUS XL.

Parmenisci filio surditas obtigit, cui contulit aurem clysterio non eluere, sed lana solùm indita expurgare, & oleum aut netopum infundere. Deambulationes quoque imperare, manè surgere, & vinum album bibere. Aspasii uxori ex vehementi dentis dolore maxillæ in tumorem sublatæ sunt. At ex castorio & pipere colluere juvabatur. Callimedonis filio ad tuberculum in collo ortum, durum, magnum, immaturum ac dolorificum contulit brachii venæ sectio, & torrefactum lini semen vino albo subactum, & oleo imbutum cataplasmate impositum, ac deligatum, valdeque coctum; aut in aqua mulsa cum fænugræci, hordei aut tritici farina decoctum. Melissandro vehementi gingivæ dolore ac tumore laboranti vena in brachio secta est. Alumen in principio amandat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

Τῷ Παρμενίσκου παιδὶ κωφότης, συνήνεγκε μὴ κλύζειν, διακαθαίρειν δὲ ἐρίῳ μοῦνον, καὶ ἐγχεῖν ἔλαιον ἢ νέτωπον· κελεύειν δὲ περιπατέειν, ἐγείρεσθαι πρωΐ, οἶνον πίνειν λευκόν. Τῇ Ἀσπασίου ὀδόντος δεινὸν ἄλγημα καὶ γνάθοι ἐπήρθησαν, καστόρειον δὲ καὶ πέπερι διακλυζομένῃ, ὠφελέετο. Τῷ Καλλιμέδοντος ξυνήνεγκε πρὸς τὸ φῦμα τὸ
D ἐν τῷ τραχήλῳ σκληρὸν ἐὸν, καὶ μέγα, καὶ ἄπεπτον, καὶ ἐπώδυνον, ἀποσχάσις βραχίονος λίνον καταπλάσσειν πεφυρημένον ἐν οἴνῳ καὶ λευκῷ ἐλαίῳ δεύοντας. ἐπιδέειν δὲ ἑφθὸν ἄγαν, ἢ ξὺν μελικρήτῳ ἑψεῖν καὶ ἀλεύρῳ τήλιος, ἢ κριθῶν, ἢ πυρῶν. Μελισάνδρῳ τοῦ οὔλου ἐπιλαβόντος, καὶ ὄντος ἐπωδυνίου, σφόδρα ξυνοιδέοντος, ἀποσχάσις βραχίονος. στυπτηρίη ἐν ἀρχῇ παραστέλλει.

Hydropici remedia. Biantis cholerâ laborantis causæ. Timochari catarrho in nares defluentis historia.

Τὰ τοῦ ὑδρωπιώδεος φάρμακα. αἱ τοῦ Βίαντος εἰς τὰ πάθεα χολερικὰ ἐμπεσόντος αἰτίαι. ἡ τοῦ Τιμοχάρους καταῤῥοῦ
E εἰς τὰς ῥίνας ἐπιπονοῦντος ἱστορία.

HIPPOCRATIS TEXTUS XLI.

Hydrope laborantem decet laboribus exercere, sudare, panem calidum in oleo maceratum edere, non multum bibere, caput tepide lavare; vinum quoque tenue, ac somnus auxiliatur. Bianti natura voraci accidit in choleram morbum incidere ex carnium, potissimum vero suillarum crudiorum esu, & vini fragrantis ebrietate; bellariis ac dulciariis ex melle, cucumere, pepone, lacte, & polenta recenti. Æstate vero cholera morbus & febres intermittentes vigent. Timochari hyeme catarrhus in nares præcipuè ruit; cui post veneris usum cuncta resiccata sunt; lassitudo, calor successit; sudor à capite copiosus manabat. Erat autem & per sanitatem sudoribus obnoxius. Tertio die convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα'.

Ὑδρωπιώδεα δέον ταλαιπωρέειν, ἱδροῦν, ἄρτον ἐσθίειν θερμὸν, ἐν ἐλαίῳ, πίνειν μὴ πολὺ, λούεσθαι καὶ κεφαλὴν χλιαρῷ. οἶνος δὲ λευκὸς καὶ λεπτὸς, καὶ ὕπνος ἀρήγει. Βίαντι τῷ πύκτῃ, φύσει πολυβόρῳ ἐόντι ξυνέβη ἐμπεσεῖν ἐς πάθεα χολερικὰ, ἐκ κρεοφαγίης, μάλιστα δὲ ἐκ χοιρείων ἐναιμοτέρων, καὶ μέθης εὐώδεος, καὶ πεμμάτων,
F καὶ μελιτωμάτων, καὶ σικύου, πέπονος, καὶ γάλακτος, καὶ ἀλφίτων νέων. ἐν θέρει δὲ τὰ χολερικὰ, καὶ οἱ διαλείποντες πυρετοί. Τιμοχάρει χειμῶνος καταῤῥόοις μάλιστα ἐς τὰς ῥίνας ἀφροδισιάσαντι ἐξηράνθη πάντα, κόπος, θέρμη ἐπεγένετο, κεφαλὴ βαρέα, ἱδρὼς ἀπὸ κεφαλῆς πουλύς· ἦν δὲ καὶ ὑγιαίνων ἱδρώδης, τεταρταῖος ὑγιής.

A

Ἡ τοῦ θέρεος ἀποτελευτῶντος σύστασις, ᾗ οἱ πυρετοὶ ἐγίνοντο ἱδρώδεες. Ἀπόδειγμά ἐστιν ὁ Πολυκράτης, οὗ ἡ ἱστορία ἀναγνώσκεται.

Status æstatis desinentis quo febres & sudores vigebant; Exemplo est Polycrates; cujus historia legitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβ'.

Μετὰ κύνα οἱ πυρετοὶ ἐγίνοντο ἱδρώδεες, καὶ οὐ περιεψύχοντο παντάπασι μετὰ τὸν ἱδρῶτα, πάλιν δὲ ἐπεθερμαίνοντο, καὶ μακροὶ, καὶ ἐπιεικέως ἄκριτοι, καὶ οὐ πάνυ διψώδεες· ὀλίγοισιν ἐν ἑπτὰ καὶ ἐννέα ἐπαύοντο· ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ εἰκοσταῖοι ἐκρίνοντο. Πολυκράτει πυρετὸς ἐπήει, καὶ τὰ τοῦ ἱδρῶτος οἷα γέγραπται, ἀπὸ φαρμάκου κάθαρσις κάτω ἐγένετο καὶ τὰ τοῦ πυρετοῦ ἤπια, πάλιν ἐν κροτάφοις ἱδρώτια, καὶ περὶ τράχηλον ἐς δείλην, εἶτα ἐς ὅλον, καὶ πάλιν ἐπεθερμάνθη. περὶ δὲ τὰς δώδεκα καὶ τεσσαρεσκαίδεκα ἐπέτεινεν ὁ πυρετὸς, καὶ ὑποχωρήματα βραχέα. ῥοφήμασι μετὰ τὴν κάθαρσιν ἐχρήσατο. περὶ δὲ τὰς πεντεκαίδεκα γαστρὸς ἄλγημα κατὰ σπλῆνα, καὶ κατὰ κενεῶνα ἀριστερόν· θερμῶν προσθέσιες, ἧσσον ἢ ψυχρῶν προσωφέλεον· κλύσματι δὲ μαλθακῷ χρησαμένῳ, ἔληξεν ἡ ὀδύνη.

HIPPOCRATIS TEXTUS XLII.

Post canem febres cum sudoribus grassabantur, neque prorsus à sudore perfrigebant; sed rursus incalescebant; longæque ac leniter citra judicationem erant; neque admodum siticulosæ; paucis septi- B *mo aut nono die cessabant. Vndecimo, decimoquarto, decimoseptimo & vigesimo judicabantur. Polycratem febris invadebat, & sudor qualis scriptus est. A medicamento purgatio deorsum facta est, & febris lenis erat. Denuo sub vesperam in temporibus & circa cervicem parvi sudores; deinde etiam toto corpore dimanabant; rursusque incaluit. Ad duodecimum & decimumquartum diem febris intendebatur; dejectiones paucæ. A purgatione sorbitionibus usus est. Circa decimumquintum diem ventris dolor ad lienem & mollitudinem sinistram* C *prehendit, cui admota calida minus quàm frigida profuerunt. Emollientis denique clysteris usu dolor sedatus est.*

Τρεῖς οἱ ἄρρωστοι οἱ ὀπισθοτόνῳ πονούμενοι ἀπέθανον. α'. ὁ τοῦ πλοίου δίοπος λιχανῷ δακτύλῳ τρωθεὶς ὀπισθοτονωθεὶς ἕκτῃ τῇ ἡμέρᾳ ἀπέθανεν. β'. Τελεφάνης μεγάλου τοῦ δακτύλου ἐξαρθρήματι ὀπισθοτονικὸς τριταῖος ἔθανεν. γ'. Θείνων περὶ κνήμης ἕλκος ἔχων ὀπισθοτονικὸς ἐτελεύτα.

Tres ægroti qui opisthotono correpti interierunt. 1. Naviculator qui indicis contusibus læsus opisthotonicus sexto die defunctus est. 2. Telophanes qui pollicis luxatione læsus opisthotonicus tertio die mortuus est. 3. Trinon qui tibiæ ulcere laborans opisthotonicus occubuit. D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγ'.

Τῷ ἐκ τοῦ μεγάλου πλοίου διόπῳ ἡ ἄγκυρα λιχανὸν δάκτυλον καὶ τὸ κάτω ὀστέον ξυνέφλασε δεξιῆς χειρός. φλεγμασίη ἐπεγένετο, καὶ σφάκελος, καὶ πυρετός. ὑπεκαθάρθη μετρίως, θέρμαι ἤπιοι, καὶ ὀδύναι, δακτύλου τι ἀπέπεσε· μετὰ τὰς ἑπτὰ ἐξήει ἰχὼρ ἐπιεικής, μετὰ ταῦτα γλώσσῃ οὐ πάντα ἔφη δύνασθαι ἑρμηνεύειν. πρόῤῥησις ὅτι ὀπισθότονος ἥξει· ξυνεφέροντο αἱ γνάθοι συνερειδόμεναι, εἶτα ἐς τράχηλον. τριταῖος δὲ ὅλος ἐσπᾶτο ἐς τὸ ὀπίσω ξὺν ἱδρῶτι. ἑκταῖος ἀπὸ τῆς προῤῥήσεως ἔθανεν. Ὁ δὲ Ἁρπάλου ἐκ τῆς ἀπελευθέρης Τηλεφάνης, στρέμμα κάτω μεγάλου δακτύλου ἔλαβεν, ἐφλέγμηνε καὶ ἐπώδυνος ἦν, καὶ ἐπεὶ ἀνῆκεν, ᾤχετο ἐς ἀγρόν. ἀναχωρέων, ὀσφὺν ἤλγησεν ἐλούσατο· αἱ γένυες ξυνήπτοντο ἐς νύκτα, καὶ ὀπισθότονος παρῆν· τὸ σίελον ἀφρῶδες, μόλις διὰ τῶν ὀδόντων ἔξω διήει, τριταῖος ἔθανεν. Θείνων ὁ τοῦ Δάμωνος περὶ κνήμης σφυρὸν ἕλκος, κατὰ νεῦρον δὴ καθαρὸν τούτῳ δηχθέντι ὑπὸ φαρμάκου, ξυνέβη ὀπισθοτόνῳ θανεῖν.

HIPPOCRATIS TEXTUS XLIII.

Magnæ navis præfecto anchora manus dextræ digitum indicem & os inferius collisit, fregitque. Successit inflammatio, sideratio, febris. Moderatè deorsum purgatus est. Calores & dolores lenes extiterunt. Aliquid ex digito decidit. Post septimum diem sanies laudabilis exibat. Postea linguâ se non posse omnia explicare dixit. Prædictio facta est opisthotonum adventare. Ad hoc E *conferebant maxillæ consertæ; deinde ad collum rigidæ. Tertio vero die totus in posteriorem partem cum sudore convellebatur. Sexto à prædictione mortuus est. Harpali filius ex liberta Telephane luxationem in pollice deorsum accepit; inflammatio cum vehementi dolore insequuta est. Quo remisso in agrum profectus est, unde rediens lumbis doluit, lavit; sub noctem maxillæ conserebantur, & opisthotonos aderat. Saliva spumosa vix per dentes foras prodibat. Tertio die mortuus est. Thrinon Damonis filius circa tibiæ malleolum ulcus habe-* F *bat. juxta nervum sanè jam purum. Huic à medicamento erodente admoto contigit opisthotono mortem oppetere.*

A

In empyematis, & oculorum affectibus noctu dolores fieri. Per hyemem flante austro, tusses excitari. Eutychidis cholerâ morbo laborantis historia.

Ἐν ἐμπυήμασι, καὶ τοῖς τῶν ὀφθαλμῶν παθήμασι ἐς νύκτα τοὺς πόνους γίνεσθαι. τὰς βῆχας ἐν νοτίοισι χειμῶνος γίνεσθαι. ἡ τοῦ Εὐτυχίδου ἐκ χολερικῶν νοσοῦντος ἱστορία.

HIPPOCRATIS TEXTUS XLIV.

Profecto in omnibus suppurationibus, & oculorum affectibus noctu dolores fiunt. Tusses per hyemem vigent, præcipuè vero per austrinum flatum; crassa & multa alba screantibus; & febres leniter succedebant, & quinto die cessabant. Tusses autem sub quadragesimum, quale quid Hegesipoli contigit. Eutychides ex cholera morbo in cruribus ad nervorum distensionem desiit unà cum dejectione deorsum. Bilem copiosam abunde coloratam & vehementer rubram ad tres dies & noctes vomuit, tum impotens erat, tum anxius. Nihil autem continere poterat, neque multa suppressio, ejusque transitus deorsum. Per vomitum fæx mollis prodiit, & deorsum quoque erupit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδʹ.

B Ἦρά γε ἐν πᾶσι ἐμπυήμασι, καὶ τοῖσι περὶ ὀφθαλμὸν ἐς νύκτα οἱ πόνοι, αἱ βῆχες χειμῶνος, μάλιστα δ' ἐν νοτίοισι παχέα καὶ πολλὰ λευκὰ, καὶ χρεμπτομένοισι πυρετοὶ ἐπιγίνοντο ἐπιεικέως, καὶ πεμπταῖοι ἐπαύοιτο, αἱ δὲ βῆχες, περὶ τὰς τεσσαράκοντα, οἷον Ἡγησιπόλει. Εὐτυχίδης ἐκ χολερικῶν ἐπὶ τῶν σκελέων ἐς τετανώδεα ἔληξεν, ἅμα τῇ κάτω ὑποχωρήσει καταπορέα χολὴν πολλὴν ἤμεσεν ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας, καὶ λίην ἐρυθρὴν, καὶ ἀκρατὴς ἦν καὶ ἀσώδης. οὐδὲν δὲ κατέχειν ἠδύνατο, οὔτε ἐκ τῶν ποτῶν οὔτε ἐκ τῶν σιτίων, καὶ τοῦ οὔρου πολλὴ σχέσις, καὶ τῆς κάτω διεξόδου. διὰ τοῦ ἐμέτου τρὺξ μαλθακὴ ἦλθε, καὶ κατέρριψε κάτω.

C

Androphanis historia qui primum aphoniâ & delirio prehensus est, quibus solutis, multis annis superstes recidit, & multa passus symptomata, mortuus est.

Τοῦ Ἀνδροφάνεος ἱστορία, ᾧ ἡ ἀφωνίη πρῶτον καὶ λήρησις, λυθέντων δὲ τούτων, περιῆν ἔτη συχνὰ, καὶ πολλὰ παθῶν συμπτώματα, ἐτελεύτα.

HIPPOCRATIS TEXTUS XLV.

Androphanem vocis interceptio, ignorantia, delirium prehendit. His solutis per multos annos superfuit; & recidivæ oboriebantur. Lingua vero toto tempore permanebat arida; & nisi collueretur, loqui non poterat, & plerunque admodum erat amara. Interdum quoque cordis dolor vexabat, quem solvit venæ sectio. Huic aqua potus, aut mulsa contulit. Veratrum nigrum ebibit, neque biliosum nisi paucum prodiit. Tandem hyeme decumbens mente movebatur; & linguæ affectiones similes. Calor exilis sine dolore; lingua decolor; vox peripneumonica; è pectore vestem exuebat, seque educi jubebat, nihil vero apertè loqui poterat; sub noctem mortuus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μεʹ.

Ἀνδροφάνει ἀφωνίη, ἀνεπιστημοσύνη λήρησις, λυθέντων δὲ τούτων, περιῆν ἔτη συχνὰ, καὶ ὑποστροφαὶ ἐγίνοντο. ἡ δὲ γλῶσσα διετέλει πάντα τὸν χρόνον ξηρὴ, καὶ εἰ μὴ διακλύζοιτο διαλέγεσθαι οὐχ οἷός τε ἦν, καὶ πικρὴ λίην ἦν τὰ πολλά. D ἔστι δ' ὅτε καὶ πρὸς καρδίην ὀδύνη, ἣν φλεβοτομίη ἔλυσε. ταύτῃ ὑδροποσίη, ἢ μελίκρητον συνήνεγκεν, ἐλλέβορον ἔπιε μέλανα, οὐδὲ τὸ χολῶδες διῄει, ἀλλ' ὀλίγον· τέλος δὲ χειμῶνος κατακλιθεὶς, ἔξω ἐγένετο, καὶ τὰ τῆς γλώττης παθήματα ὅμοια, θέρμη λεπτὴ, ἄπονος, γλῶσσα ἄχροος, φωνὴ περιπνευμονική. ἀπὸ στήθεος εἷμα ἀπεδύετο, καὶ ἐξάγειν ἐκέλευεν, οὐδὲν δὲ ἠδύνατο σάφα εἰπεῖν, ἐς νύκτα ἐτελεύτα.

E

Tres historiæ. Prior est Nicanoris qui noctu tibicinæ metu ita afficiebatur, ut tibiarum voces citra terrorem non ferret. Altera Democlis qui sibi cæcutire & exoluto ita esse corpore videbatur, ut prærupta & profunda loca & pontes metueret. Tertia Phœnicis qui quid ex dextro oculo ceu fulgur elucere putabat.

Τρεῖς αἱ ἱστορίαι. ἡ πρώτη ἐστὶ τοῦ Νικάνορος, ὃς ἐν νυκτὶ φωνῆς αὐλοῦ ἀρχομένης ἀκούσων ὑπὸ δειμάτων ὄχλων. Ἡ δὲ ἑτέρη τοῦ Δημοκλέους ὃ οἱ ἀμβλυώσσειν καὶ λυσισωματεῖν ἐδόκεε, καὶ οὐ παρῆλθε παρὰ κρημνὸν οὐδ' ἐπὶ γεφύρης οὐδὲ τοὐλάχιστον βάθος. Ἡ δὲ τρίτη τοῦ Φοίνικος, ᾧ ἐκ τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ τὰ πολλὰ ὥσπερ ἀστραπὴ ἐδόκεε λάμπειν.

HIPPOCRATIS TEXTUS XLVI.

Is erat Nicanoris affectus quum ad convivium accederet, tibicinæ metus. Quum voce tibiæ incipiente, tibia canere in convivio audiret, eum terroribus obsidebat perturbatio; idque vix oborta nocte perferre posse protulit; interdiu vero audiens nihil commovebatur. Democles qui cum illo erat, cæcutire & exoluto esse corpore videbatur, qui neque per præruptum locum iter facere, neque per pontem, ac ne minimè quidem per scrobis altitudinem transgredi, sed per ipsam scrobem adire poterat. Hæc

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛʹ.

F Τὸ Νικάνορος πάθος, ὁπότε ἐς πότον ὥρμητο, φόβος τῆς αὐλητρίδος, ὁκότε φωνῆς αὐλοῦ ἀρχομένης, ἀκούσειεν αὐλεῖν ἐν συμποσίῳ ὑπὸ δειμάτων ὄχλοι, μόλις ὑπομένειν ἔφη ὅτε εἴη νὺξ, ἡμέρης δὲ ἀκούων, οὐδὲν διετρέπετο. τοιαῦτα παρείπετό οἱ συχνὸν χρόνον. Δημοκλῆς ὁ μετ' ἐκείνου ἀμβλυώσσειν, καὶ λυσισωματεῖν ἐδόκεε, καὶ οὐκ ἂν παρῆλθε παρὰ κρημνὸν, οὐδ' ἐπὶ γεφύρης, οὐδὲ τοὐλάχιστον βάθος τάφρου διαπορεύεσθαι, ἀλλὰ δι' αὐτῆς τῆς τάφρου

δὲ ἦν. ταῦτα χρόνον τινὰ ξυνέβη αὐτῷ. Τὸ Φοίνικος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ, τοιοῦτόν τι ἦν, τὰ πολλὰ ὥσπερ ἀστραπὴν ἐδόκεε λάμπειν· οὐ πολὺ δὲ ἐπισχόντι, ὀδύνη ἐς τὸν κρόταφον τὸν δεξιὸν ἐνεστήκει, ἢ ὄπισθεν τῶν σπονδύλων καὶ ξύντασις, καὶ σκληρότης ἀμφὶ τοὺς ὀδόντας, καὶ διαχάσκειν ἐπειρᾶτο ξυντεινόμενος. ἔμετοι ὁπότε γινόμενοι, ἀπέτρεπον τὰς εἰρημένας ὀδύνας, καὶ ἠπιωτέρας ἐποίεον. ἀλλὰ μὴν καὶ φλεβοτομίη ὠφέλεε, καὶ ἐλλεβοροποσίη ἀνῆγε παντοδαπὰ, οὐχ ἥκιστα δὲ πρασοειδέα.

A *ipsi aliquandiu contigerunt. Phœnicis hic erat affectus. Ex oculo dextro plerunque velut fulgur coruscare videbatur. Huic non diu malum detinenti dolor in dextris temporibus insidebat, & posteriorum colli vertebrarum contensio aderat, ac circum dentes durities, quos distentus diducere conabatur. Vomitiones consequutæ commemoratos dolores avertebant, & leniores efficiebant. Sed & venæ sectio auxiliabatur, & veratri potio cujusque modi humores, maximè vero porraceos eduxit.*

B Η τοῦ Παρμενίσκου μελαγχολία. τῆς τοῦ Κόνωνος θεραπαίνης κεφαλαλγία ἢ αὐτὴν ἔκτανεν. Η τοῦ νεανίσκου ἱστορία, ᾧ ὄφις ἐς τὸ στόμα παρεισεδύετο, σπασθεὶς ἔθανεν. τῇ τοῦ Τιμοχάρεος θεραπαίνῃ τὸ ὅμοιον πάθημα συμβέβηκεν.

Parmenisci melancholia. Famulæ Cononis cephalalgia quæ ipsam peremit. Adolescentis historia, qui serpente devorato, convulsione interiit. Similis accidit famulæ Timocharis affectus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζ'.

Παρμενίσκῳ καὶ πρότερον ἐνέπιπτον ἀθυμίαι, καὶ ἀπαλλαγῆς βίου ἐπιθυμίη, ὁτὲ δὲ πάλιν εὐθυμίη. Η δὲ Κόνωνος θεράπαινα ἐκ κεφαλῆς ὀδύνης ἀρξαμένης, ἔκτοσθεν ἐγένετο, βοὴ, κλαυθμοὶ πολλοὶ, ὀλιγάκις ἡσυχίη. περὶ δὲ τὰς τεσσαράκοντα ἐτελεύτησε. τὰς ὅτε δὲ ἔθνησκε δέκα ἡμέρας, ἄφωνος καὶ σπασμώδης ἐγένετο. Νεανίσκος δέ τις πολὺν ἄκρητον πεπωκὼς, ὕπτιος ἐκάθευδεν ἔν τινι σκηνῇ. τούτῳ ὄφις ἐς τὸ στόμα παρεισεδύετο ἀργής, καὶ ὃ δὴ ὅτε ᾔσθετο οὐ δυνάμενος φράσασθαι, ἔβρυξε τοὺς ὀδόντας, καὶ παρέτρωγε τοῦ ὄφιος, καὶ ἀλγηδόνι μεγάλῃ εἴχετο, καὶ τὰς χεῖρας προσέφερεν, ὡς ἀγχόμενος, καὶ ἐρρίπτει ἑωυτὸν, καὶ σπασθεὶς ἔθανεν. καὶ ὁ τοῦ Τιμοχάρεος θεράπων ἐκ μελαγχολικῶν δοκέων εἶναι, καὶ τοιούτων, καὶ τοσούτων ἔθανεν ὁμοίως περὶ τὰς αὐτὰς ἡμέρας.

HIPPOCRATIS TEXTUS XLVII.

Parmenisco etiam priùs mœrores oboriebantur, & decessus vitæ cupiditas; interdum vero redibat lætitia. Cononis serva ex capitis dolore incœpto, C *mente abalienata fuit, clamor audiebatur, frequens ejulatus; raro quies. Sub quadragesimum diem mortua est. Decem ante mortem diebus voce destituta, & convulsionibus vexata est. Quidam autem adolescens post multum meri potum in quodam umbraculo supinus dormiebat, huic in os serpens Arges appellatus ingressus est. Quod sane quum sensisset, neque loqui posset, dentibus stridit, & serpentem devoravit, summoque dolore detentus, velut strangulatus manus prætendebat, seseque jactabat & convulsione mortuus est. Timocratis servus ex melancholicis affectibus ipsum detentum esse iisdem* D *ac totidem apparentibus, eodem modo, ac iisdem ferè diebus interiit.*

Ο τοῦ Νικολάου ἐκ ποτῶν ἔφριξεν, καὶ ἐπυρέτηνεν, τρίτῃ δὲ ἡμέρᾳ ἰάθη. ἡ τοῦ Διοφήθους ἀδελφεὴ ἡμιτριταίῃ τῇ καρδιαλγίᾳ ἐπόνησε. ἡ Ἐπιχάρμου πρὸ τοῦ τεκεῖν δυσεντερίη, τεκοῦσα ἰάθη.

Nicolai filius ex compotationibus horrore & febre correptus tertio die liberatus est. Diopethis soror semitertiana cum cardialgia laboravit. Epicharmi uxor ante partum dysenterica, post partum convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

Τῷ Νικολάου παιδὶ, περὶ ἡλίου τροπὰς, ἐκ ποτῶν ἔφριξεν ἐς νύκτα, πυρετοὶ τῇ ὑστεραίῃ, ἔμετος χολώδης ἄκρητος, ὀλίγος. τῇ τρίτῃ ἀγορῆς ἔτι πλήρεος ἐούσης, ἱδρὼς ὅλου τοῦ σώματος ἔληξεν. Τῇ Διοπείθεος ἀδελφεῇ ἐν ἡμιτριταίῳ, καὶ ἡ καρδίη περὶ τὴν λῆψιν δεινὴ, καὶ ξυμπαρείπετο ὅλην τὴν ἡμέρην, καὶ ἡ τοιαύτη καρδιαλγίη, καὶ τῇσιν ἄλλῃσι παραπλησίως, πλὴν ἀλλ' ὑπὸ πληϊάδος δύσιν, ἀνδράσι σπανιώτερα ἐγίνετο τὰ τοιαῦτα. Η Ἐπιχάρμου πρὸ τοῦ τεκεῖν, δυσεντερίη ἦν, ὁ πόνος σφοδρὸς, ὑποχωρήματα ὕφαιμα, μυξώδεα, τεκοῦσα παραχρῆμα ἰάθη.

HIPPOCRATIS TEXTUS XLVIII.

Nicolai filio circa solstitium hybernum ex potationibus horror obortus est; sub noctem febris; E *postero die vomitus biliosus, sincerus, modicus. Tertio die fori concione adhuc plena, sudor universi corporis cessavit. Diopetis sorori semitertiana laboranti sub accessionem cardialgia vehemens contigit, totoque die concomitabatur. Hujusmodi quoque cardialgia cæteris etiam similiter aderat, exceptis tamen sub vergiliarum occasum viris, quibus talia rariùs contingebant. Vxorem Epicharmi antequam pareret, dysenteria detinebat, dolor obsidebat vehemens; dejectiones aliquantulum cruentæ & mucosæ. Quum peperisset, derepentè sanata est.*

F Η τοῦ Πολεμάρχου ἰσχίου ἀλγήματι ἐξ αἰτίης γυναικείων μὴ γινομένων πεπόνηκε. Ἐπίχαρμος δὲ τοῦ ὤμου ἀλγήματι ἐνόσησε. ὁ τοῦ Εὐφράνορος τοῖς ἐξανθήμασι ἐν βραχεῖ ἤλγησε.

Polemarchi uxor vehementi ischii dolore ob menstruorum suppressionem vexata est. Epicharmus humeri dolore ægrotavit. Euphranoris filius exanthematis brevi laboravit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

Τῇ Πολεμάρχου ἐν ἀρθριτικοῖς ἰσχίου ἄλγημά τι δεινὸν, ἐξ αἰτίης γυναικείων μὴ γινομένων, ἡ φωνὴ

HIPPOCRATIS TEXTUS XLIX.

Polemarchi uxori arthritide laboranti quidam vehemens coxendicis dolor contigit, cujus causâ

fuere minimè profluentes menses. Per totam noctem adusque meridiem vox intercepta fuit. Audiebat tamen, & sapiebat, & manu indicabat coxendicis regioni dolorem inesse. Epicharmo sub vergiliarum occasum humeri dolor, & ad brachium gravitas contigit. Stupor aderat, crebræ vomitiones; & aquæ potus. Euphranoris filio pustulæ culicum morsibus similes effluxerunt; verùm pauco tempore; postridie febricitavit.

A ἴσχετο, νύκτα ὅλην μέχρις μέσου ἡμέρης, ἤκουε δὲ καὶ ἐφρόνεε, καὶ ἐσήμαινε τῇ χειρὶ, ὅτι περὶ τὸ ἰσχίον εἴη τὸ ἄλγημα. Ἐπιχάρμῳ περὶ πληϊάδος δύσιν, ὤμου ὀδύνη, καὶ βάρος ἐς βραχίονα, νάρκη, ἔμετοι συχνοὶ, ὑδροποσίη. Τῷ Εὐφράνορος παιδὶ, τὰ ἐξανθήματα οἷα τὰ τῶν κωνώπων δήγματα, ὀλίγον δὲ χρόνον, τῇ ὑστεραίῃ ἐπυρέτηνεν.

Sudorificas febres & tubercula æstus magnos & ventos calidos subsequi. Tychonis historia qui catapultâ in pectore vulneratus, gravibus symptomatibus prehensus tertio die convulsionibus interiit.

B Πυρετοὺς ἱδρώδεις καὶ φύματα πνίγεα μεγάλα καὶ θερμὰ πνεύματα ἕπεσθαι. ἡ τοῦ Τύχωνος ἱστορία πληγέντος, ὑπὸ καταπέλτου εἰς τὸ στῆθος, ὃ τοῖς μεγάλοις συμπτώμασι καταληφθεὶς τῇ τρίτῃ ἅμ᾽ ἡμέρῃ σπασθεὶς ἀπέθανεν.

HIPPOCRATIS TEXTUS L.

Post favonium adusque autumnale æquinoctium squalores multi facti sunt. Sub canem æstus magni, venti calidi; febres sudatoriæ, aurium tubercula multis oborta sunt. Tychon in obsidione circa Datum, à catapulta in pectus vibrata vulneratus est; & paulo post risus erat circa ipsum tumultuosus. Videbatur autem mihi Medicus quum lignum eximeret in septum transversum aliquam spiculi partem reliquisse. Quumque ipsi videretur, sub vesperum clysterem injecit, & medicamentum deorsum purgans exhibuit. Noctem primam molestè transegit; sub diluculum vero & Medico & cæteris melius se habere videbatur. Prædictio facta est accedente convulsione celeriter periturum. Itaque sequenti nocte jactabatur insomnis, in ventrem plerunque decumbens. Sub tertii diei exortum convellebatur, ac tum vita defunctus est.

ΙΠΓΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν'.

Αὐχμοὶ πολλοὶ μετὰ ζέφυρον ἐγένοντο, μέχρις ἰσημερίης φθινοπωρινῆς, ὑπὸ κύνα, πνίγεα μεγάλα, θερμὰ, πυρετοὶ ἱδρώδεες, φύματα παρ᾽ οὖς
C συχνοῖς ἐγένοντο. Τύχων ἐν τῇ πολιορκίῃ περὶ Δάτον, ἐπλήγη ὑπὸ καταπέλτου ἐς τὸ στῆθος, καὶ μετ᾽ ὀλίγον, γέλως ἦν περὶ αὐτὸν θορυβώδης. ἐδόκεε δέ μοι ὁ ἰητρὸς ἐξαιρέων τὸ ξύλον, ἐγκαταλιπεῖν τι τοῦ δόρατος, κατὰ τὸ διάφραγμα. δοκέοντος δὲ αὐτοῦ πρὸς τὴν ἑσπέρην ἔκλυσέ τε καὶ ἐφαρμάκευε κάτω. νύκτα διήγαγε τὴν πρώτην δυσφόρως. ἅμ᾽ ἡμέρῃ δὲ ἐδόκεε καὶ τῷ ἰητρῷ, καὶ τοῖσιν ἄλλοισι βέλτιον ἔχειν. πρόῤῥησις ὅτι σπασμοῦ γενομένου, ταχέως ἀπολεῖται. τῇ γοῦν ἐπιούσῃ νυκτὶ, δύσφορος ἄγρυπνος, ἐπὶ γαστέρα τὰ πουλλὰ κλινόμενος, τῇ τρίτῃ
D ἅμ᾽ ἡμέρῃ ἐσπᾶτο, καὶ τηνικαῦτα ἐτελεύτησεν.

Strepitu Billi vulnus, quà spiritus cum sanguine prorupit, sanatum esse. Philes filium ex osse denudato interiisse. Phaniæ & Evergete ex luentibus ossibus cutim discessisse.

Τοῦ Βίλλου τὴν πληγὴν ἐξ ἧς ἡμοῤῥάγει τὸ πνεῦμα πουλὺ καταδεθεὶς ἰάθη. ὁ τῆς Φίλης παῖς ψιλώματος ἐν μετώπῳ γενομένου ἔθανεν. καὶ τῷ Φανίου καὶ τῷ Εὐεργήτου δέρμα τὸ ἀπὸ τῶν ὀστέων ἀφίστασθαι.

HIPPOCRATIS TEXTUS LI.

Billo in dorsum vulnerato spiritus multus cum strepitu per vulnus processit, sanguis erumpebat. Deligato vero medicamento cruentis vulneribus admovendo sanatus est. Accidit & Philes filio ex ossis denudatione in fronte facta, nono die febris eum detinuit, os livorem contraxit, mortuus est. Phaniæ quoque & Evergetæ liberis, liventibus ossibus & febricitantibus, cutis ab osse discessit, neque pus comparuit.

ΙΡΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να'.

Τῷ Βίλλῳ πληγέντι ἐς τὸ νῶτον, τὸ πνεῦμα πουλὺ κατὰ τὸ τρῶμα μετὰ ψόφου ἐχώρεεν, ἡμοῤῥάγει, τῷ δὲ
E ἐναίμῳ καταδεθεὶς ἰάθη. Τῷ τῆς Φίλης παιδὶ, ψιλώματος ἐν μετώπῳ γενομένου, ἐνναταίῳ πυρετὸς ἔλαβεν, ἐπελιδνώθη τὸ ὀστέον, ἐτελεύτησεν. Καὶ τῷ Φανίου καὶ τῷ Εὐεργέτου, πελιαινομένων τῶν ὀστέων καὶ πυρεταινόντων, ἀφίσταται τὸ δέρμα ἀπὸ τοῦ ὀστέου, καὶ πῦον οὐ φαίνεται.

Aristippi historia qui ventriculi ex sagitta vulnere septimo die interiit. Similem esse Neapolis historiam.

Η τοῦ Ἀριστίππου ἱστορία εἰς τὴν κοιλίην τοξευθέντος, ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν τελευτήσαντος. ὁμοίην τὴν τοῦ Νεαπόλεως ἱστορίαν εἶναι.

F

HIPPOCRATIS TEXTUS LII.

Aristippus in ventriculum sagitta sursum violenter & graviter percussus est. Vehemens dolor, celeriterque ardor aderat; nihil vero deorsum dejiciebat, jactabatur; biliosa abundè colorata vomitu excludebat; quumque vomuisset, melius habere videbatur. Paulo post rursus vehementes dolore vexabant, venterque velut in volvulis affectus

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νβ'.

Ἀρίστιππος ἐς τὴν κοιλίην ἐτοξεύθη ἄνω βίῃ χαλεπῶς, ἄλγος κοιλίης δεινὸν, καὶ ἐπεμετεωρίσατο ταχέως, κάτω δὲ οὐ διεχώρεεν, ἀσώδης ἦν, χολώδεα κατακορέα, καὶ ὅτε ἐπήμεσεν ἐδόκει ῥήϊον εἶναι. μετ᾽ ὀλίγον δὲ πάλιν τὰ ἀλγήματα δεινὰ, καὶ ἡ κοιλίη ὡς ἐν εἰλεοῖσι,

θέρμαι δίψαι, καὶ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἐτελεύτησεν. Ὁ δὲ Νεάπολις πληγεὶς ὁμοίως ταῦτ᾽ ἔπαθεν, κλυσθέντι δ᾽ ἐν δριμεῖ, κοιλίη κατεῤῥάγη, χρῶμα κατεχύθη λεπτὸν, ὠχρὸν, μέλαν ἐὸν, ὄμματα αὐχμηρὰ, ναρκώδεα, ἐνδεδινημένα, ἀτενίζοντα.

A erat, calores urgebant, sitis premebat; & intra septem dies vitam finivit. Neapolis similiter percussus eadem passus est. Acri clystere proluta alvus deorsum prorupit; colore tenui, pallido, nigricante suffusus est; oculis erat squalidis, stupore rigidis; intus revulsis ac defixis.

Αἱ τέσσαρες ἱστορίαι. α΄. Τοῦ Μητροδώρου παιδὸς σιαγὼν καὶ οἱ γόμφοι ἐξέπεσον. β΄. Ἐν Ἀβδήροισι τῆς γυναικὸς ἣ ἐκ καρκινώματος ἔθανεν. γ΄. Ἐκ καταῤῥόου καμνόντων πολλοὶ τεθνήκασι. δ΄. Τῆς ἐν τόκῳ σεισθείσης περὶ ἡμέρας ἑπτὰ ἐτελεύτησε. B

Historiæ quatuor. 1. Pueri Metrodori, cujus ex odontalgia maxilla & dentes molares deciderunt. 2. Abderites mulieris quæ ex carcinomate mortua est. 3. Catarrhoicorum quibus multa occiderunt. 4. Parturientis, quæ concussa septimo die mortua est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νγ΄.

Τῷ Μητροδώρου παιδὶ ἐξ ὀδόντος ὀδύνης, σφακελισμὸς τῆς γνάθου, καὶ οὔλων ὑπερσάρκωσις, μετρίως ἐξεπύησεν, ἐξέπεσον οἱ γόμφοι καὶ ἡ σιαγών. Γυναικὶ ἐν Ἀβδήροισι, καρκίνωμα ἐγένετο περὶ τὸ στῆθος, καὶ διὰ τῆς θηλῆς ἔῤῥεεν ἰχὼρ ὕφαιμος, ἐπιληφθείσης δὲ τῆς ῥύσιος, ἔθανεν. Ἐκ καταῤῥόου κατὰ τὸ ἥμισυ τῆς κεφαλῆς ἐπόνεον καὶ κατὰ ῥῖνας ὑγροῦ χωρέοντος, ἐπυρέταινον ἐπιεικέως, ἐν τῇσι πέντε ἡμέρῃσι, περιεψύχοντο. Τῇ ἐν τόκῳ σεισθείσῃ, ἄλγημα περὶ στῆθος ἐγένετο καὶ πλευρὸν, ἀποχρέμψιες πυώδεες, φθίσις κατέστη, ἓξ ἡμέρας οἱ πυρετοὶ, πάλιν διάῤῥοια. παῦσις, πυρετοὶ, κοιλίη ἔστη, καὶ περὶ ἡμέρας ἑπτὰ ἔθανεν. C

HIPPOCRATIS TEXTUS LIII.

Metrodori puero ex dentis dolore, maxillæ sideratio, & supercrescens in gingivis caro, ac moderata suppuratio contigit, tum molares, tum maxilla deciderunt. Abderæ mulieri in pectore carcinoma obortum est; & ex papilla subcruenta sanies fluebat; intercepta vero fluxione mortua est. Plerique ex catarrho per dimidiam capitis partem concitato dolebant; & humore per nares secedente, leniter febricitabant, & per quinque dies perfrigerabantur. In partu concussæ circa pectus & latera dolor obortus erat; excreationes purulentæ; tabes constitit; sex dies febris detinuit; rursus diarrhœa; cessatio, febres, alvi remora, tandemque septimo mortua est.

Αἱ ἱστορίαι. Τῆς Κυναγχικῆς ἡ ἑκταίη ἔθανε. Τῆς ἑτέρης ἡ περιπνευμονίη τέθνηκε. Καὶ ὑδρωπικοῦ ὁ ἐκφρὼν ἐτελεύτησε.

Historiæ. Anginosæ quæ sexto die mortua est. Alterius quæ peripneumonica interiit. Et hydropici quæ decipiens interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νδ΄. D

Ἡ Κυναγχικὴ χεῖρα δεξιὴν καὶ σκέλος ἤλγησε, πυρετὸς ἐπεῖχε βληχρὸς, ὁ δὲ πνιγμὸς τριταίῃ ἐχάλασεν, τετάρτῃ σπασμώδης, ἄφωνος, ῥέγχος, ὀδόντων συντριψις, γνάθων ἔρευθος, ἔθανε πεμπταίη ἢ ἑκταίη. σημεῖον περὶ χεῖρα ὑποπέλιον. Καὶ ἑτέρη ἐπὶ τοῦ ὑπερώου ῥεγχώδης, γλῶσσα ξηρὴ περιπλευμονίη ἔμφρων ἔθανεν. Καὶ ἐν Ὀλύνθῳ ὑδρωπικὸς, ἐξαίφνης ἄφωνος, ἔκφρων νύκτα καὶ ἡμέρην, ἔθανεν.

HIPPOCRATIS TEXTUS LIV.

Anginosa dextram manum & crus doluit; imbecilla febris detinebat; suffocatio tertio die remisit; quarto convulsionibus vexata, voce capta; stertor, dentium contritio, malarum rubor, quinto aut sexto die mortua est. Signum ad manum sublividum apparuit. Alia quoque in palato stertorosa, lingua arida, peripneumonica, mente constans interiit. Olynthi etiam hydropicus derepente voce captus est; per diem ac noctem desipiens otcubuit.

Finis Commentarii I.





ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ
ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ
ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ.

HIPPOCRATIS
EPIDEMIORVM
LIBER SEXTVS,
ET GALENI IN EVM
COMMENTARIVS PRIMVS.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΠΡΩΤΟΥ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Μήδενα τοῦτο βιβλίον ἕκτον ἐπιδήμια νοσήματα, ἀλλὰ καὶ ἀφοριστικὰς τῆς ἰατρικῆς διανοίας ἀπὸ τοῦ Ἱπποκράτους, ἢ ἐκ τοῦ Ἱπποκράτους ἀπὸ τοῦ Θεσσαλοῦ συνῃλεγμένας περιλαμβάνει· δι' ὧν τὰ περιφανέα καὶ ὑγιεινὰ θεωρήματα σημειωτικά τε καὶ θεραπευτικὰ καταλαμβάνεται. Τὸ προκείμενον βιβλίου τοῦ Γαληνοῦ ἐφεξῆς προοίμιόν ἐστι.

ARGVMENTVM LIBRI SEXTI.

Nullos hic ſextus Liber Epidemios morbos, ſed conciſas duntaxat & Aphoriſticas Medicinæ ſententias ab Hippocrate, aut ex Hippocrate à Theſſalo collectas complectitur, quibus præclara & ſalubria præcepta tum ad ſemeioticen, tum ad therapeuticen ſpectantia deprehenduntur. Libri argumentum ſequens Galeni præfatio eſt.

GALENI PRÆFATIO.

Sextum Epidemiorum ſeu morborum vulgarium ſpurium eſſe, ac meritò epidemium vocari Galenus docet.

SEXTUM Hippocratis librum de popularibus morbis multi explanatores corruperunt, alii aliter (ut quiſque ſe veriſſimiliter explanaturum eſſe ſperabat) ipſius verba permutantes. Quamobrem propter hoc

A

ΓΑΛΗΝΟΥ ΠΡΟΟΙΜΙΟΝ.

Τὸ ἕκτον τῶν ἐπιδημίων νόθον εἶναι, καὶ μὴ ἐνδίκως ἐπιδήμιον καλεῖσθαι ὁ Γαληνὸς διδάσκει.

ΕΙΣ τὸ ἕκτον τῶν ἐπιδημιῶν Ἱπποκράτους συγγραμμάτων ἐλυμήναντο πολλοὶ τῶν ἐξηγητῶν, ἄλλοι ἄλλως ὡς ἕκαστος ἤλπισε πιθανῶς ἐξηγήσασθαι, τὴν κατὰ τοῦτον λέξιν ὑπαλλάττων, ὥστε ἠναγκάσθην

ἐγὼ διὰ τοῦτο, τήν τε παλαιότητα τῶν ἀντιγράφων ἐπιζητῆσαι, τά τε ὑπομνήματα τῶν πρώτων ἐξηγησαμένων τὸ βιβλίον, ἐν οἷς καὶ Ζεῦξίς ἐστιν ὁ Ταραντῖνος, καὶ ὁ ἐρυθραῖος Ἡρακλείδης, καὶ πρὸ αὐτῶν Βακχεῖός τε καὶ Γλαυκίας. εἰ μὲν οὖν μετὰ τὸ δηλῶσαι τὴν παλαιὰν γραφὴν ἔλεγον ἡμαρτῆσθαι τὴν λέξιν, εἰκὸς εἴη ἂν καὶ διὰ τοῦτο ἐπινοεῖν αὐτοὺς τὴν Ἱπποκράτους γραφὴν εἶναι τήνδε τινα, κἂν ἀπεδεξάμην αὐτοὺς, εἴγε μετὰ τὴν ἐπανόρθωσιν, ἑώρων διδάσκοντάς τι χρήσιμόν τε ἅμα, καὶ τῆς γνώμης ἐχόμενον τοῦ παλαιοῦ. ἐπεὶ δὲ ἐνίοτε καὶ κατ' ἄμφω σφάλλονται, πολὺ βέλτιον ἔδοξέ μοι φυλάττοντι τὴν ἀρχαίαν γραφὴν, ἀεὶ μὲν σπουδάζειν ἐκείνην ἐξηγεῖσθαι, μὴ δυνηθέντι δέ ποτε τοῦτο πρᾶξαι, πιθανὴν τὴν ἐπανόρθωσιν αὐτῆς ποιεῖσθαι, καθάπερ ὁ Ἡρακλείδης ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἐποιήσατο, κατὰ τὴν λέξιν ἐκείνην ἐν ᾗ γέγραπται, πρὸς δὲ τὸ ἀφροδίσιον αἱ οὐραὶ ἔβλεπον. Ἐπειδὴ γὰρ τοῖς ἐξηγησαμένοις τὴν, οὐραὶ, γραφὴν ἀπιθάνως εἴρηται, τάχα φησὶ, θύραι μὲν ἦν γεγραμμένον διὰ τοῦ θ'. τῆς μέσης δὲ γραμμῆς ἐν αὐτῇ διαφθαρείσης, ἔδοξεν ὁ βιβλιογράφος οὐραὶ γεγράφθαι. δυνατὸν γὰρ δὴ οὕτω, καὶ λεπτῆς ἶνες ἀπολωλυίας, συναπόλλυσθαι τὴν γραμμὴν ταύτην, καὶ μιᾶς αὐτῆς ἐκφυγείσης, καὶ κατ' ἀρχὰς εὐθὺς αὐτῆς ἀμυδρᾶς γραφείσης, ἐξίτηλον αὐτὴν ὑπὸ τοῦ χρόνου γενέσθαι. πάντων δὲ τῶν ὑπαλλαξάντων τὰς παλαιὰς γραφὰς, τολμηροτάτοις τοῖς περὶ Καπίτωνα, καὶ Διοσκουρίδην, εὑρίσκω πράξαντας τοῦτο. πότερον μὲν οὖν ἄμεινόν ἐστιν ἁπάντων αὐτῶν, ἢ μόνων τῶν εὐλόγως μεταγραψάντων, ἢ μηδενὸς ὅλως μεμνῆσθαι, σκοπούμενος εὗρον, εἰ μὲν τῷ μήκει τῶν ὑπομνημάτων οὐδεὶς ἔμελλεν τῶν ἀναγνωσομένων αὐτὰ δυσχεραίνειν, ἁπάντων μεμνῆσθαι κάλλιον εἶναι· μεμφομένων δὲ πολλῶν, οὐ τούτοις μόνον, ἀλλὰ καὶ τοῖς συμμέτρως ἔχουσι, καὶ μόνα σπουδαζόντων τὰ χρήσιμα, μέσην τινὰ τούτων ἀμφοτέρων ποιήσασθαι τὴν ἐξήγησιν, καὶ τοῦτο εὐθέως ἐν τῇ ἀρχῇ προεῖπον, ὅπως ἀπαλλάττωνται τῶνδε τῶν ὑπομνημάτων, οἱ μὴ χαίροντες τούτοις. ἐγὼ μὲν γὰρ, ὥσπερ καὶ τἄλλα πάντα, πολλοῖς τῶν δεηθέντων ἑταίρων χαριζόμενος ἐποίησα, καὶ τὰς ἐξηγήσεις ταύτας ἐκείνων ἕνεκα συνέθηκα. θεωρῶν δὲ εἰς πολλοὺς ἐκπίπτον τὰ γραφόμενα, προοιμίων τοιούτων ἐδεήθην. ὥσπερ οὖν τοῦτο προεῖπον, οὕτω καὶ τόδε προειπεῖν ἀναγκαῖόν ἐστιν, ὡς τὸ τῆς ἑρμηνείας εἶδος ἐν τῷ βιβλίῳ, πάμπολυ διαλλάττει τοῦ κατὰ τὸ πρῶτον καὶ τρίτον τῶν ἐπιδημιῶν, ἃ σχεδὸν ἅπαντες ἡγοῦνται γεγράφθαι πρὸς ἔκδοσιν, ὑφ' Ἱπποκράτους, μόνα. τῶν δὲ ἄλλων πέντε, τὸ μὲν πέμπτον τε καὶ ἕβδομον ἐναργῶς εἶναι νόθα. τὸ δὲ ἕκτον τοῦτο, καὶ πρὸ αὐτοῦ τὸ δεύτερον, ἐξ ὧν αὐτὸς Ἱπποκράτης ἑαυτῷ παρεσκευάσατο, φασὶν ὑπὸ Θεσσαλοῦ τοῦ υἱέος αὐτοῦ συντεθῆναι. καί τινες μὲν ἡγοῦνται καὶ αὐτόν τι παραγράψαι τὸν Θεσσαλὸν, τινὲς δὲ ἄλλους τῶν μετ' αὐτόν. ἐν μὲν οὖν τῷ πρώτῳ καὶ τῷ τρίτῳ τῶν ἐπιδημιῶν καταστάσεις τέ τινας γράφει τοῦ περιέχοντος,

A & ego veteres codices indagare, & eorum Commentaria, qui primi librum hunc explanaverunt, evolvere coactus ſum. Inter quos & Zeuxis Tarentinus & Erythræus Heraclides cenſentur: ante quos etiam Bacchius, & Glaucias extiterunt. Iſti ſanè, ſi veterem priùs ſcripturam edocentes, locum eſſe mendoſum poſtea dicerent, conſentaneum eſſet propterea, & ipſos veram Hippocratis ſcripturam hanc aut illam eſſe cogitare: eorumque mihi diligentia probaretur, ſi poſt loci caſtigationem, eos aliquid utile unà, & cæteris magiſtri opi- B nioni conſentiens edocere perſpicerem. Quapropter quum illi nonnunquam in utroque aberrent, illud mihi longè ſatius fore viſum eſt, ſi antiquam lectionem ſervans, eam ſemper interpretari ſtuduero; quod ſi hoc interdum facere nequiverim, ipſam aliqua veriſimili caſtigatione emendavero, quemadmodum Heraclides in ſecundo Libro de morbis popularibus fecit loco illo, ubi ſcriptum eſt, ad Aphoriſium autem uræ, Græcè οὐραὶ, ſpectabant. Quoniam ab explanatoribus hæc dictio οὐραὶ, minimè probabiliter declarata eſt, forſan, inquit, C prius θυραὶ per litteram θ ſcriptum erat: linea vero, quæ in ipſo media erat, abolita, Librarius οὐραὶ ſcriptum fuiſſe exiſtimavit. Fieri nanque hoc modo potuit, ut membrana tenui deleta ſimul & hæc linea deleretur: & ab initio protinus ipſam debilius, obſcuriuſque ſcriptam, temporis longinquitate prorſus evanuiſſe. Inter omnes autem qui veteres ſcripturas perverterunt, Capitonem & Dioſcoridem ad hoc faciendum audaciſſimos invenio. Ego itaque conſiderans, num omnium iſtorum, an eorum D tantummodo qui rectè ſcripturas commutarunt, an nullius prorſum, meminiſſe æquiùs foret, mecum ita conſtitui, ſi nullus eorum, qui Commentaria hæc lecturi ſunt, ipſorum longitudinem ægrè laturus eſſet, omnium meminiſſe rectius fore; ſed multi quum ſint, qui non hujuſmodi ſolùm Commentaria, verumetiam moderatiora vituperent, ſolumque utilibus ſtudeant, mediam quandam inter utraque hæc extrema explanationem facere. Atque id ſtatim ab initio teſtatus ſum, ut ab hiſce Commentariis recedant, qui ipſis non delectantur. Ego etenim, quemadmodum alia multa rogantibus E amicis obtemperans confeci, ita & haſce explanationes illorum cauſâ facere aggreſſus ſum: Ea verò quæ à me ſcriberentur, in vulgus exire conſiderans, his procemiis opus habui. Quemadmodum igitur hæc præfatus ſum, ita & iſtud præfari neceſſum eſt, loquutionis videlicet genus hoc in libro longè ab eo eſſe diverſum, quo in primo & tertio de morbis popularibus Libro Hippocrates uſus: quos fere omnes conſentiunt, ſolos ab Hippocrate, ut emitterentur, fuiſſe conſcriptos, ex aliis au- F tem quinque, quintum & ſeptimum proculdubio ſpurios eſſe ac ſubdititios. Sextum vero hunc quem in præſentia habemus in manibus, & ante ipſum, ſecundum Librum, ex illis quæ ſibi ipſe Hippocrates collegerat, Theſſalum ejus filium aiunt conflaviſſe: quin & nonnulli ipſum Theſſalum aliquid ex propria ſententia adſcripſiſſe opinantur: nonnulli vero poſt ipſum, alios. In primo ſane atque tertio Libro quaſdam aëris conſtitutiones Hippocrates exponit,

post quas morbi in vulgus grassati enumerantur: hanc enim dictionem ἐπιδημήσαντα illis attribuere Hippocrates conspicitur, & hanc ob causam librorum inscriptionem talem fecit, populares ipsos appellans, Græcè ἐπιδημίους quia de morbis in populum passim sævientibus in ipsis agitur; non autem ἐπιδημιῶν, hoc est de ipsius Hippocratis peregrinationibus quibus multas civitates peragravit. In duobus autem his libris, hæc est exigua portio, sed plurima doctrinæ portio aphorismi quidam esse videntur, singuli propria circunspectione separati. Quare duo hi libri cum propria inscriptione carerent, aliorum communem suscepisse dicuntur, ut & ipsi videlicet populares vocarentur, quum minimum in iis contineretur, quod ipsi inscriptioni consentiret. Quartus autem liber istis locutionis forma persimilis, contemplationis utilitate longè superatur. Quicunque vero librum hunc sextum Thessali constitutiones appellaverunt, manifestè falluntur. Hæc mihi prædixisse satis sit, quum & alia non pauca à quibusdam explanatoribus scripta fuerint, quæ ne longior essem, congruens fuit prætermittere.

A ἐφ' αἷς τὰ ἐπιδημήσαντα νοσήματα διηγοῦνται. ταύτῃ γὰρ ἐπ' αὐτῶν αὐτὸς φαίνεται τῇ λέξει χρώμενος, καὶ διὰ τοῦτο καὶ τὸ ἐπίγραμμα τοῖς βιβλίοις τοῦτο ἐποιήσατο, τῶν ἐπιδημίων νοσημάτων διδασκαλίας αὐτοῖς γινομένης, οὐ τῶν αὐτοῦ τοῦ Ἱπποκράτους ἐπιδημιῶν, ἃς ἐποιεῖτο κατὰ τὰς πόλεις, ἐνταυθοῖ δὲ τοῦτο μὲν ὀλίγον ἐστίν. τὸ δὲ πλεῖστον εἶδος τῆς διδασκαλίας, ἀφορισμοί τινες εἶναι φαίνονται, κατὰ περιγραφὴν, ἕκαστος ἰδίαν γεγονότες, ὥστε δι' ἀπορίαν οἰκείας ἐπιγραφῆς. B καὶ ταῦτα τὰ δύο βιβλία συγκεχρῆσθαί φασι τῇ τῶν ἐπιδημιῶν, ὀλίγιστον ἔχοντα τὸ τῆς ἐπιγραφῆς οἰκεῖον. ἐοικὸς δὲ αὐτοῖς ὅσον ἐπὶ τῷ χαρακτῆρι τῆς λέξεως, τὸ τέταρτον, ἀπολείπεται πάμπολυ τῷ χρησίμῳ τῆς θεωρίας. ὅσοι δὲ Θεσσαλοῦ καταστάσεις ἐπέγραψαν τὸ προκείμενον βιβλίον τοῦτο, προδήλως ἥμαρτον. ἀρκεῖ γάρ μοι ταῦτα προειρῆσθαι, γεγραμμένων ἐνίοις τῶν ἐξηγητῶν, καὶ ἄλλων οὐκ ὀλίγων, ἃ διὰ τὸ μὴ βούλεσθαι μηκύνειν, ἀκόλουθον ἦν παραλιπεῖν. C

Sua cuique liceat loquutione & scriptura, sola voce aut figura discrepante uti citra rei labefactationem.

Ἑκάστῳ κατὰ τὴν οἰκείαν διάλεκτον καὶ γραφὴν χρῆσθαι ἐξέστω, τοῦ μόνου φθόγγου ἢ σχήματος διαφέροντος ἄνευ τοῦ καὶ τὰ πράγματα μετακινεῖν.

HIPPOCRATIS TEXTUS I.

Quibuscunque ex abortu.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

D ΟΚόσῃσιν ἐξ ἀποφθορῆς.

GALENI COMMENTARIUS.

COmmunem aliquem sermonem de re communi semel tamen facere constitui: cuivis autem lecturo, suam propriam linguam, ut libuerit scribere liceat. Nonnulli quidem ὅσῃσι primam dictionem ex tribus syllabis constantem scripserunt, aliqui vero ὁκόσῃσι ex quatuor, quidam non per κ scribunt ὁκόσῃσιν, sed per π secundam syllabam, quemadmodum Capito non in hoc modo, verumetiam in omnibus aliis hujusmodi nominibus fecit. Nihil autem artis operum, hoc an illo modo scripseris, interest. Quocirca meliùs esse mihi persuasi, si eas solum scripturas in meis commentariis attulero, quæ sententiæ significationem permutant: quæ vero solis verbis, sententia minimè violata, dissentiunt, eas cujusque arbitrio scribendas ac proferendas permisero. Rursum igitur ab altero initio supra positam dictionem repetens, ad ipsius explanationem me convertam.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΠαξ εἰπεῖν τινὰ κοινὸν λόγον ἐπὶ κοινῷ πράγματι διέγνωκα. τῶν δὲ ἀναγνωσομένων ἑκάστῳ κατὰ τὴν οἰκείαν διάλεκτον, ὅπως ἂν ἑαυτὸν πείσῃ γράφειν ἐξέστω. τινὲς μὲν γὰρ ὅσῃσι διὰ τριῶν συλλαβῶν, ἔνιοι δὲ ὁκόσῃσι διὰ τεσσάρων ἔγραψαν. ἔνιοι δὲ οὐ διὰ τοῦ κ. γράφουσιν ὁκόσῃσιν, ἀλλὰ διὰ τοῦ π. τὴν δευτέραν συλλαβὴν, καθάπερ ὁ Καπίτων, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πάντα τὰ τοιαῦτα. διαφέρει δὲ οὐδὲν, ὡς πρὸς τὰ E τῆς τέχνης ἔργα, γράφειν οὕτως ἢ ἐκείνως, ὥστ' ἄμεινον ἔδοξέ μοι μόνας ἐκείνας τῶν γραφῶν προχειρίζεσθαι κατὰ τὸν λόγον, ὅσαι τὸ δηλούμενον ὑπαλλάττουσι. τὰς δὲ ἐν αὐτῇ μόνῃ τῇ λέξει διαφερομένας, ἄνευ τοῦ καὶ τὰ πράγματα μετακινεῖν, ἐπιτρέπειν ὡς ἂν ἐθέλῃ γράφειν, καὶ λέγειν ἑκάστῳ. αὖθις οὖν ἀφ' ἑτέρας ἀρχῆς ἀναλαβὼν τὴν προγεγραμμένην ῥῆσιν, ἐπὶ τὴν ἐξήγησιν αὐτῆς τρέψομαι.

F

A

Ἐκ τοῦ ἀμβλώματος, καὶ τοῦ τῆς ὑστέρας οἰδήματος τὴν καρηβαρείαν καὶ τὰς κεφαλαλγίας γίνεσθαι· ταύτας τε καὶ τὰς ἄλλας τῆς ὑστέρας διαθέσεις εἰς ἰσχίον τελευτᾶν κατὰ μῆνας η΄. ἢ ι΄. διὰ τί, τὰ τοῦ ἀμβλώματος συνώνυμα. τὰ φάρμακα τὸ ἄμβλωμα προκαλοῦντα ἀμβλωτικὰ λέγεσθαι. τί οἴδημα σημαίνει. τρία εἶναι νευρώδεων σωμάτων γένη, ὁ σύνδεσμοι, τὸ νεῦρον καὶ τὸ τένοντα. διὰ τί ἡ οὐρὰ, καὶ ὑστέρα, καὶ κύστις τὰ μέρη νευρώδεα λέγεται. διὰ τί τοῖς ὑστερικοῖς παθήμασι ἡ κεφαλὴ διαπληροῦται. B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β΄.

Ὁκόσῃσιν ἐξ ἀποφθορῆς, περὶ ὑστέρην, καὶ οἰδήματος, ἐς καρηβαρίην τρέπεται, καὶ κατὰ τὸ βρέγμα, αἱ ὀδύναι, καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων, ταύτῃσιν ἐν ὀκτὼ ἢ δέκα μησὶ εἰς ἰσχίον τελευτᾷ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὃ καλοῦσιν ἄμβλωσιν οἱ Ἀττικοὶ, τοῦτο συνήθως Ἱπποκράτης ἀποφθορὰν ὀνομάζει, καὶ τὰ ῥήματα δὲ τὰ προσκείμενα τῇ προσηγορίᾳ τῇδε, καὶ τὰς ὑπὸ τῶν γραμματικῶν ὀνομαζομένας μετοχὰς, ἀνάλογον αὐτῇ γράφει. τὸ δὴ ἀμβλώσκειν, ἴσως γάρ τις ἀγνοεῖ καὶ τοῦτ' αὐτὸ, κατὰ τῆς ἀτελοῦς τῶν ἐμβρύων ἐκπτώσεως ἐπιφέρουσιν, ὅπως ἂν ᾖ γεγονυῖα, καὶ τὰ φάρμακα δὲ τὰ τοῦτο ἐργαζόμενα καλοῦσιν ἀμβλωτικά. τὸ μὲν οὖν σημαινόμενον ὑπὸ τῆς λέξεως, ἅπαξ εἰρῆσθαι νῦν ἀρκέσει. τῶν δὲ χρησίμων ἀρκτέον ἤδη, τοσοῦτον ἐπισημηναμένους, ὡς ταύτην τὴν ῥῆσιν οἱ παλαιοὶ τῶν ἐξηγητῶν ἐν τῇδε τῇ λέξει γράφουσιν. C ὁκόσῃσιν, ἀπὸ φθορῆς περὶ ὑστέρας, καὶ οἰδήματος, εἰς καρηβαρίας τρέπεται. φθορὰν, οὐκ ἀποφθορὰν βουλόμενοι δηλονότι τὴν ἄμβλωσιν ὀνομάζειν. οἱ δὲ προστιθέντες τὴν, ἐξ, πρόθεσιν, ἀποφθορὰν δηλονότι αὐτὴν ἐβουλήθησαν καλεῖσθαι. καὶ φαίνεται μὲν οὖν οὕτω πολλάκις ὀνομάζειν Ἱπποκράτης. εἰ μὲν τοι καὶ νῦν, ἄδηλον· ὥσπερ δὴ ἐν τούτῳ, κἂν διαφέροντας γράφωσι, τὴν αὐτὴν τοῦ λόγου φυλάττουσι διάνοιαν, οὕτω κἂν τὰς περὶ ὑστέρας, πληθυντικῶς, ἢ ὑστέρην ἑνικῶς, ἢ καρηβαρίην, ἢ καρηβαρίας πληθυντικῶς, οὐχ ὑπαλλάττουσι τὴν τοῦ λόγου διάνοιαν. D ὅθεν ἐγὼ Γαληνὸς παρῃτησάμην καὶ τὰς τοιαύτας ἐν τῇ λέξει διαφωνίας κρίνειν, ὅσαι τῶν δηλουμένων πραγμάτων οὐδὲν ὑπαλλάττουσι. τὸ γοῦν λεγόμενον ὑφ' Ἱπποκράτους τοιοῦτόν ἐστιν. αἷς ἂν γυναιξὶν, ἐπὶ διαφθορᾷ τῶν ἐμβρύων, οἰδήματα ἐχούσαις, ἐν τῇ μήτρᾳ, κατὰ συμπάθειαν ἀκολουθήσῃ καρηβαρία, ταύταις κατὰ τὸ βρέγμα γίνεσθαι τὴν ὀδύνην. ὡσαύτως δὲ καὶ ἄλλας καρηβαρίας, ὅσαι διὰ τὰ τῆς μήτρας πάθη γίνονται, κατὰ τὸν αὐτὸν λόγον ἐρειδούσας ἔχειν τὰς ὀδύνας εἰς τὸ βρέγμα. E πρῶτον μὲν οὖν ἀναγκαῖόν ἐστιν ἐπισκέψασθαι, τί ποτε σημαίνει τὸ τοῦ οἰδήματος ὄνομα. φαίνεται γὰρ ὁ Ἱπποκράτης ἀεὶ, καθότι δέδεικται πολλάκις, ἅπαντας τοὺς παρὰ φύσιν ὄγκους οὕτως ὀνομάζειν. ἐάν τε ἀνώδυνοι, καὶ σκληροὶ τυγχάνουσιν ὄντες, οὓς ὀνομάζουσιν ἰδίως σκίρρους, ἐάν τε ὀδύνην ἔχωσιν, οὓς ὀνομάζουσιν ἰδίως φλεγμονάς, F

Ex abortu & uteri tumoribus capitis gravitatem & syncipitis dolores fieri, atque os & alios uteri affectus in ischium & coxam finiri octo vel decem mensibus, cur. Abortus synonyma. Medicamenta abortum provocantia ἀμβλωτικὰ dici. Quid œdema significet. Tria esse nervosorum corporum genera, ligamentum, nervum, tendonem. Cur colis uterus & vesica partes nervosæ dicantur. Cur hystericis affectibus caput repleatur.

HIPPOCRATIS TEXTUS II.

Quibuscunque ex abortu & uteri tumoribus ad capitis gravitatem convertuntur affectus, iis ad sinciput maximè dolores fiunt; & quicunque cæteri ab uteris oriuntur, iis octo aut decem mensibus in ischium desinunt.

GALENI COMMENTARIUS.

Quod Attici ἄμβλωσιν, id est, abortum vocant, id Hippocrates ἀποφθορὰν, hoc est, deperditionem appellare consuevit, & verba vero huic appellationi congruentia, & à Grammaticis vocata participia, ipsi proportione quadrantia scribit; ἀμβλώσκειν autem, hoc est abortiri (fortassis enim quispiam & idipsum ignorat) de imperfecta fœtuum emissione, utcunque facta fuerit, pronunciant: medicamenta quoque id præstantia, amblotica, id est abortivum facientia nuncupant. Significatum quidem dictionis semel nunc dixisse abundè sit: mox utiliora incipiemus. Illud tantum priùs admonebimus veteres explanatores dictionem illam in hac parte ita scripsisse, quibuscunque à perditione circa uteros, & tumoribus in capitis gravitates convertitur, perditionem, non deperditionem, volentes ipsum abortum nominare. Alii vero, *de*, præpositionem adjungentes, deperditionem scilicet ipsum appellare voluerunt, atque ita sæpius Hippocrates appellavisse deprehenditur: num vero & hoc loco ita fecerit, obscurum est. Quemadmodum autem in hac dictione, & si variis modis scribant, eadem tamen orationis sententia retinetur, ita si quis uteros plurali numero, aut uterum singulari, & capitis gravitatem, aut gravitates dixerit, orationis minimè sententiam variat. Qua de causa & ego Galenus has in loquutione dissensiones quia rerum significatarum nullam permutant, recensendas examinandasque nequaquam judicavi. Quod igitur ab Hippocrate dicitur, hoc est: Quibus mulieribus ex fœtuum abortu œdemata, id est, tumores in utero passis per consensum gravitas capitis acciderit, his in sincipite dolorem excitari: necnon & alias capitis gravitates, quæcunque ex uteri affectibus oriuntur, eadem ratione sincipiti adhærentes dolores concitare. Primum igitur quid œdematis nomen significet, considerare opus est. Videtur enim semper Hippocrates, ut plerunque ostensum est, omnes præter naturam tumores hoc vocabulo nominare, sive dolore careant, durique sint, quos propriè scirrhos Græci appellant, sive dolorem inferant, quos phlegmonas,

id est, inflammationes propriè vocant: sive absque dolore laxi atque molles sint, hos verò solos œdemata Græci appellant. In præsentia sanè videtur eorum tumorum meminisse, quæ diutius permanere, & capiti gravitatem inferre valent. Quod in abortibus quidem id evenire soleat, res ipsa sensibus apparens testatur: verùm quid sit in causa, quare inter alias capitis partes sinciput magis dolore afficiatur quidam hujus Libri explanatores indagare conati, inter se dissentiunt. Alii enim situm è regione, quæ Græci κατ' ἴξιν vocant, causantur: lumborum nanque & planè dorsi partibus affectu aliquo divexatis, in posterius cerebrum situs rectitudinem pertinere affirmant: nonnulli, & ipsius uteri posterioribus partibus affectis occiput, prioribus sinciput affectum participare testantur. Verùm alii situs rectitudinem, quam & κατ' ἴξιν Hippocrates nominat, dimittentes, cerebrum in consensum uteri affectuum duci contendunt, utpote quæ nervosa particula sit, cerebrum verò nervis originem præbeat, atque iccirco capitis gravitates oriri; sed quum plurima cerebri pars in sincipite locetur, propterea eo maxime loco dolorem sentiri. Alii partem hanc capitis infirmissimam esse dicentes, ideo & magis quàm alias obnoxiam esse vitiis affirmant. Cæterum qui ex mediis cerebri partibus in sincipite positis in utero nervos descendere aiunt, neque ut ipsorum mentio fiat digni sunt; sicut neque etiam illi fortasse, qui asserunt quia nervosus uterus est, ideo ipso patiente, simul & nervorum principium affici: cur nanque peritonæon utero vicinius, intestina, ventriculus, septum transversum, quod & ipsa nervosa sunt, non in affectuum uteri participationem trahuntur? Quàm isti, adhuc illi magis damnandi sunt, qui unà cum testibus cerebrum affici tradunt, quoniam & ipsi ex eadem materia, ex qua cerebrum, creati sunt: atque ideo nihil mirum, si ut uteri affectus cerebrum sentiat, quandoquidem & utero testes inhærescant. Quòd si adhuc rudiores istis recensuero, forsitan me quispiam increpuerit & eorum quæ supra posui, immemorem appellaverit. Satius igitur fuerit ipsorum nugis semel posthabitis, nequaquam amplius eorum quæ dixerint, meminisse. At eorum sermo qui nervosum esse uterū prædicant, secundùm aliquam significationē verus, secundùm aliquā falsus esse putandus est. Tria enim similarium corporum in animalibus genera sunt, quæ & exanguia, & sinu carentia videntur: horum aliqua ex ossibus, aliqua ex cerebro & dorsi medulla, aliqua ex musculis prodeunt. Horum primum genus ab Hippocrate quidem omninò copula nominatur, secundum nervus & tonus, tertium vero tendo. Sed certi quidem homines omnia hæc nervos appellantes, ob eam, quam dixi, similitudinem, primum ipsorum genus colligatorium esse aiunt, secundum autem sentiens, atque electorium, tertium aponeurosim, hoc est nerveam propaginem cognominant. Ex nullo istorum trium generum uterus nervos multos suscipit Sed quoniam ipsius corpus latissimè distendi, contraque in brevissimum spatium contrahi cernitur, quod à nullo carnoso membro, aut pingui, præstatur, hac ratione uterum nervosum esse ex quadam similitudine dici-

A ἐάν τε ἀνώδυνοι εἰσὶ καὶ χαῦνοι, καλοῦσι δὲ μόνους τούτους οἰδήματα. νυνὶ μὲν τοι φαίνεται τοιούτων οἰδημάτων μνημονεύειν, ὅσα τε χρονίσαι δύναται, καὶ καρηβαρίαν ἐργάσασθαι, τουτέστι τῆς κεφαλῆς. ὅτι μὲν οὖν ἐπὶ ταῖς διαφθοραῖς τῶν ἐμβρύων εἴωθε γίνεσθαι τοῦτο, τὸ φαινόμενον αὐτὸ μαρτυρεῖ. τίς δ' ἐστὶν ἡ αἰτία τοῦ μᾶλλον τῶν ἄλλων τῆς κεφαλῆς μερῶν, ὀδυνᾶσθαι τὸ βρέγμα, πειρασθέντες εὑρεῖν ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἀλλήλοις διηνέχθησαν. ἔνιοι μὲν τὸ κατ' ἴξιν, ὅπερ ἐστὶ B τὸ κατ' εὐθυωρίαν αἰτιασάμενοι. τοῖς μὲν γὰρ κατ' ὀσφὺν τε καὶ ὅλως τὴν ῥάχιν, ἐν πάθει τινὶ γινομένοις μορίοις, ἐπὶ τὸν ὀπίσθιον ἐγκέφαλον ἀνήκειν φασὶ τὴν εὐθυωρίαν. τινὲς δὲ καὶ τῆς μήτρας αὐτῆς, τοῖς μὲν τὰ ὄπισθεν πάσχουσι, τὰ κατὰ τὸ ἰνίον φασὶ συμπάσχειν, τοῖς δὲ τὰ πρόσω, τὰ κατὰ τὸ βρέγμα. τινὲς δὲ ἀποχωρήσαντες ἀπὸ τῆς κατ' εὐθυωρίαν, ὃ δὴ καὶ κατ' ἴξιν ὁ Ἱπποκράτης ὀνομάζει, συμπάσχειν φασὶ τῇ μήτρᾳ τὸν ἐγκέφαλον, ὡς ἂν νευρώδει μορίῳ νεύρων ἀρχὴν ὄντα αὐτὸν, καὶ διὰ τοῦτο γίνεσθαι τὰς καρηβαρίας. ἅ C τε δὴ πλείστου κατὰ τὸ βρέγμα κειμένου τοῦ ἐγκεφάλου, κατὰ τοῦτο διασημαίνειν μάλιστα τὴν ὀδύνην. ἔνιοι δὲ ἀσθενέστατον εἶναι τοῦτο τὸ μέρος τῆς κεφαλῆς εἰπόντες, εἰκότως φασὶ μειζόνως τῶν ἄλλων αὐτὸ πάσχειν. ὅσοι μὲν γὰρ ἀπὸ τῶν μέσων τοῦ ἐγκεφάλου τῶν κατὰ τὸ βρέγμα ἐπὶ τὰς μήτρας νεῦρα πεφυκέναι λέγουσι, τούτων οὐδὲ μεμνῆσθαι καλὸν, ὥσπερ ἴσως οὐδὲ τῶν φασκόντων, διότι νευρώδης ἡ μήτρα, διὰ τοῦτο αὐτῇ συμπάσχει τῶν νεύρων ἡ ἀρχή. πῶς γὰρ οὐκ D ἂν ἐγγὺς μᾶλλον ὂν τὸ περιτόναιον, καὶ τὰ ἔντερα, καὶ ἡ γαστὴρ, καὶ τὸ διάφραγμα συνεπάθησεν αὐτῇ, νευρώδη γε ὄντα καὶ αὐτά. τούτων δὲ ἐπὶ χείρους, οἱ λέγοντες τοῖς ὄρχεσι τὸν ἐγκέφαλον συμπάσχειν. ἐπειδὴ καὶ αὐτοὶ τὴν αὐτὴν ἔχουσιν οὐσίαν ἐγκεφάλῳ, καὶ διὰ τοῦτο, καὶ τῇ μήτρᾳ, καὶ γὰρ, καὶ ταύτην ὄρχεις ἔχειν. ἐὰν δὲ καὶ τῶν ἔτι φαυλοτέρων ἢ κατὰ τούτους μνημονεύω, τάχ' ἄν τις ἐγκαλέσει μοι, καὶ φήσει μηδ' ὧν ὀλίγον ἔμπροσθεν ἔγραψα, μεμνῆσθαί με. κάλλιον οὖν ἦν παρῃτημένον τὰς φλυαρίας αὐτῶν ἅπαξ, μηδ' E ὅλως ἔτι μνημονεύειν ὧν εἰρήκασι. τῶν δὲ λεγόντων νευρώδη τὴν μήτραν εἶναι, κατὰ μέν τι σημαινόμενον ἀληθῆ τὸν λόγον ῥητέον εἶναι, καθ' ἕτερον δὲ, ψευδῆ. τρία γάρ ἐστι γένη σωμάτων ὁμοιομερῶν ἐν τοῖς ζώοις ἄναιμά τε, καὶ ἀκοίλια φαινόμενα. τὰ μὲν ἐξ ὀστῶν, τὰ δ' ἐξ ἐγκεφάλου, καὶ νωτιαίου, τὰ δὲ ἐκ μυῶν φυόμενα. ὀνομάζεται δὲ ὑπὸ μὲν Ἱπποκράτους τούτων τὸ μὲν πρῶτον αὐτῶν εἰρημένον σύνδεσμος, τὸ δὲ δεύτερον, νεῦρόν τε καὶ τόνος, τὸ δὲ τρίτον, τένων. ἔνιοι δὲ νεῦρα πάντα καλέσαντες δι' ἣν F εἶπον ὁμοιότητα, τὸ μὲν πρῶτον αὐτῶν γένος, συνδετικὸν εἶναί φασι, τὸ δὲ δεύτερον, αἰσθητικόν τε καὶ προαιρετικὸν, τὸ δὲ τρίτον, ἀπονεύρωσιν ὀνομάζουσιν. ἀλλ' οὐδ' ἐξ ἑνὸς τῶν τριῶν τούτων γενῶν, ἡ μήτρα μετέχει νεύρων πολλῶν. ἐπεὶ δ' ἔκτασίν τε καὶ συστολὴν ἄχρι πλείστου τὸ σῶμα αὐτῆς φαίνεται ποιούμενον, ὃ μήτε τοῖς σαρκώδεσι, μήτε τοῖς πιμελώδεσι μορίοις ὑπάρχει, κατὰ τοσοῦτον νευρώδη προσαγορευόμενον αὐτήν, ἀπό τινος ὁμοιότητος.

κἂν ταῦτα παράγωγον ὄνομα τῶν νεύρων ποιησάμενοι, καθάπερ ἀμέλει καὶ τὴν κύστιν οὕτω προσαγορεύειν εἰώθασι, καὶ τἆλλα πάντα τὰ λευκὰ, καὶ ἄναιμα κατὰ τὴν οὐσίαν, ὅταν ἐκτείνεσθαί τε μέχρι πλεῖστον, καὶ πάλιν εἰς ἑαυτὰ συνιζάνειν φαίνεται. κατὰ τοῦτο γοῦν αὐτὸ, καὶ τὴν τοῦ καλουμένου καυλοῦ φύσιν ἐν τοῖς τῶν ἀῤῥένων αἰδοίοις, νευρώδη φασὶν εἶναι, καὶ τῆς μήτρας τὸν τράχηλον. εἰσὶ δ᾽ οἳ καὶ σαρκῶδές τε νεῦρον ὀνομάζουσι τὸν καυλὸν τοῦ αἰδοίου, καὶ δι᾽ ἐκεῖνον, καὶ ὅλον αὐτὸ νευρῶδες καλοῦσι. κἄπειτα ἐπιλαβόμενοι τῆς ὁμοιότητος, οὐ κατὰ τὴν δύναμιν τῶν ὄντως νεύρων, ἀλλὰ κατὰ τὴν σωματικὴν οὐσίαν αὐτῆς οὔσης, ζητοῦσι, διὰ τί συμπαθείας οὐ φέρει μεγάλας, ταῖς τῶν νεύρων ἀρχαῖς ὁ καυλός. ἀρχαὶ δὲ δηλονότι νεύρων ἐγκέφαλόν τε καὶ νωτιαῖον λέγω, καὶ κατὰ τὴν μήτραν τοίνυν ἐμφύεται μέν τινα νεῦρα πάντως, ἢ οὐκ ἂν ᾐσθάνετο. μικρὰ δ᾽ ἐστὶ πάνυ ταῦτα παραβαλλόμενα τοῖς μεγέθεσι τοῦ μορίου, καὶ διὰ τοῦτο ζητήσεως οὐ μικρᾶς ἐστιν ἄξιον, ἐάν τις θέλῃ φυσιολογεῖν τὰ τοιαῦτα. τί δή ποτε ἔνιαι τῶν ὑστερικῶν ὀνομαζομένων γυναικῶν συνολκαῖς καὶ τάσεσι σπασμῷ παραπλησίαις ἁλίσκονται. ἀλλ᾽ ἐπί τε φλεγμαινούσης μήτρας, οὐ πάνυ τι φαίνεται τοῦτο γινόμενον, ὥσπερ οἱ πυρετοὶ πάνυ σφοδροὶ καὶ θερμοὶ, δι᾽ οὓς ἡ γλῶττα γίνεται λιγνυώδης, ὡς αὐτὸς ἐξῆς ἐρεῖ κατὰ τοῦτο τὸ βιβλίον. ἐχρῆν οὖν καὶ ταῦτα ζητῆσαι πρότερον, ὅσοι περὶ συμπαθείας τι τῆς κεφαλῆς, ἣν πρὸς τὴν μήτραν ἴσχει λέγειν ἐπιχειροῦσιν. ὅτι μὲν γὰρ θερμοὺς καὶ σφοδροὺς ἐπιφέρει πυρετοὺς, οἱ τοῖς ἔργοις ὁμιλήσαντες ἴσασιν, οὐχ ὡς οἵ γ᾽ ἐν Ἀλεξανδρείᾳ σοφιστεύσαντες, ὑφ᾽ ὧν ἐπληρώθη μάλιστα μακρῶν καὶ ψευδῶν λόγων τὰ βιβλία, τοῖς ἐξ ἀγέλης ἥκουσι τοὐπίπαν ὁμιλοῦσι μειρακίοις, μήθ᾽ ἑωρακόσιν ἀῤῥώστους, μήτ᾽ αὐτοὶ τετριμμένοι περὶ τοῦτο· πάνυ γὰρ ἠμέληται τοῖς ἐκεῖ πᾶσιν ἀνθρώποις, τὰ κατὰ δίαιταν. ὅσοι τοίνυν ἑωράκασιν ἐπὶ μήτρᾳ φλεγμαινούσῃ νοσούσας γυναῖκας, ἴσασιν ὅπως θερμοὶ καὶ σφοδροὶ πυρετοὶ καταλαμβάνοντες ὅλον τὸ σῶμα, διακαίονται τὴν κεφαλὴν ὁμοίως τοῖς, καὶ χωρὶς τοῦ παθεῖν τι τὴν μήτραν, τοιούτοις γινομένοις. ἀλλὰ κἂν μὴ πυρέττωσιν ἐπιδήλως, αἷς ἐπέχηται τὰ καταμήνια, κίνδυνός ἐστιν ἐν τάχει πυρέξαι, καὶ ταύταις ἡ κεφαλὴ βαρεῖα, καὶ πλήρης ἀτμῶν τε καὶ θερμῶν χυμῶν γίνεται, καὶ διὰ τοῦτο, αὐτῶν ἔνιαι κωματώδεις εἰσὶν, εἴ τε πυρέξουσιν, εἴ τε μή. ταῦτα μὲν οὕτω φαίνεται γινόμενα. τίς δ᾽ ἐστὶν αἰτία, δι᾽ ἣν ἐπὶ ταῖς τοιαύταις διαθέσεσι τῆς ὑστέρας ἡ κεφαλὴ πληροῦται, μετὰ ταῦτα ἐχρῆν ζητεῖν. εὐχόμενον μὲν εὑρεῖν, εἰ δὲ μὴ, ἀλλὰ τό γε φαινόμενον ἐκ τῆς ἐμπειρίας φυλάττοντά τε καὶ μεμνημένον. ἐπιχειρήσομεν οὖν ἡμεῖς εἰπεῖν τινὰς περὶ τῶν οὕτως φαινομένων αἰτίας, ἐντεῦθεν ἀρξάμενοι· τῶν κατὰ τὸ σῶμα ἁπάντων μορίων, πλείστας τε καὶ μεγίστας φλέβας ἔχουσιν αἱ μῆτραι, καὶ ὅταν γε κακοπραγῶσιν ἐξ ἐπισχέσεως καταμηνίων, ἢ λοχείων, ἢ διά τινα φλεγμονὴν ὁπωσοῦν γινομένην, ἀναγκαῖον αὐτὰς αἵματος ἐμπίπλασθαι, κἂν ἐπ᾽ αὐτῷ σηπομένῳ πυρετὸς ἀνάπτηται, ἀπὸ τοῦ

A mus, derivatum à nervis nomen ei quoque imponentes: quemadmodum sane & vesicam & reliqua omnia alba, & exangui materia, ita nuncupare soliti sunt, quando plurimum extendi, rursumque in seipsa retrahi, & subsidere videntur. Hac eadem itaque ratione, & vocatum colem in marium genitalibus, & uteri cervicem, nervosos esse confirmant; nonnulli vero & carnosum nervum penis colem appellant, ab eoque penem, & ipsum totum nervosum dicunt. In hunc itaque modum non secundùm proprie nervorum potentiam, verùm
B secundùm corpoream substantiam, similitudinem accipientes, deinde quærunt, quid est, quare collis affectus nervorum principia non simul vehementer afficit: principia nervorum autem cerebrum, dorsique medullam appello. Atqui in uterum nervi quidem plane inseruntur: alioqui enim quo modo sentiret? sed admodum pusilli sunt isti, si cum membri magnitudine comparentur. Quamobrem non levi consideratione dignum est, si quis ista physicè speculari voluerit, cùrnam aliquæ ex istis mulie-
C ribus quas ob frequentes uteri affectus uterarias vocant, contractionibus, ac distentionibus nervorum convulsioni similibus, corripiantur: quum tamen in uteri phlegmone, haud ita multum id accidere cernatur, licet febres valde vehementes & calidæ concitentur, ob quas lingua, ut ipse deinceps hoc in Libro narrabit, veluti à fuligine denigrescat. Oportebat igitur eos hæc prius explorare, quicunque de capitis, uterique in affectibus societate dicere aliquid aggrediuntur. Calidas autem vehemen-
D tesque febres ab utero provenire neminem in artis operibus versatum præterit. Nam in Alexandria sophisticam artem edocentes, à quibus potissimum Libri longis falsisque sermonibus referti sunt, inter adolescentulos à gregibus & armentis venientes, & ad ægrotos nunquam accedentes, ipsi quoque hac in re minime exercitati plerunque versantur: ab omnibus enim istic hominibus victus ratio valde neglecta est. Quisquis igitur ex uteri phlegmone laborantes mulieres conspexit, quomodo calidæ magnæque febres omne corpus occupantes caput haud aliter exurant, atque illæ, quæ sine uteri vitio si-
E miles oriuntur, apprime novit. Cæterùm etsi nec adhuc evidenter illi febricitent, quibus menstrua purgamenta suppressa sunt, periculum tamen impendet, ne cito in febrem incidant: istarumque caput grave redditur, & halitibus calidisque humoribus repletur, quocirca & ipsarum nonnullæ febrim habeant postea, aut non habeant, sopore opprimuntur. Hæc sane ita fieri sensu percipitur. Quæ causa vero sit, propter quam ab hujusmodi uteri affectibus caput repletur, postea quærere oportuit notis quidem invenire expetentem, sin minus, at illud saltem quod
F experientia ostendit, observantem memoriterque tenentem. Igitur nos aliquas id genus affectuum sensibus apparentium causas assignare conabimur, atque hinc initium capere decrevimus. Inter omnes corporis partes plurimas maximasque venas uteri habent. Quumque eos aut menses, aut à partu purgamenta suppressa, aut phlegmone aliqua utcunque orta, male accipiunt, ipsos sanguine compleri necessum est. Quo dein putrescente, si febris

excitetur, inter synochorum species ipsam connumerari opus est, nam id genus febrium ex putrescente sanguine accendi ostensum est: hæ vero calentium vaporum vim haud parvam in caput submittunt. Verùm capite quavis de causa horum vaporum pleno, gravitates maximè in sincipite hominem vexantes, apparere, illi quibus artis opera curæ sunt, priusquàm à me audiverint, notum habuerunt. At quæ hujus eventi causa sit, forsan scire aves: tibi igitur eam quæ mihi verisimillima visa fuerit, exponam, neque hanc unicam, sed plures. Primum quidem vapores illos calidos proximè dictos, per arterias in caput subvolare ratio ostendit: ipsas quoque arterias per collum ab utraque vocati infundibuli parte recta in sinciput discurrentes videre licet. Præterea & omni sanitatis tempore tenuia & halituosa cerebri excrementa maximè per sinciput difflari solere affirmamus: siquidem in ipso suturæ laxissimæ sunt, & ipsa calvaria subtilissima, plurimisque meatibus pervia: ad hæc & multa sentientia corpora juxta suturas sunt: membranulæ enim quædam crassum cerebri involucrum pericranio vocatæ tunicæ connectunt, & multitudo tenuium conceptaculorum per suturas exiliunt: æquos autem magnitudine affectus magis censoria naturaliter corpora percipiunt, magis vero sentientia ab inferentibus dolorem causis magis cruciantur. His sanè de causis in sincipite dolores fiunt, modò illa inveniẽda causa superest, propter quam octo, aut decem mensibus mulieribus ita malè habitis in coxendice finit, hoc est, irruit morbus. Verùm quoniam nonnulli, non octo aut decem mensibus, sed octavo, aut decimo scribendum censent: dicuntque in multis, & potissimum vetustissimis codicibus, hoc græcum elementum & hoc η reperiri, ι quidem loco hujus dictionis octo, ι loco decem scriptum esse: ulterius quæ & in istis sit differentia, perpendamus. Si enim ita legamus, octo aut decem mensibus in coxendicem finire, ab abortu, non à conceptu menses numerabimus: si vero octavo mense, aut decimo, sic à conceptu tempus significari affirmabimus. Mihi sane id fieri posse videtur, ut suam utranque lectionem, utroque modo sententia accipiatur; at hujus quod dicitur, judicium experientiæ committendum est: quemadmodum ego & in omnibus id genus, & id eo, de quo nunc loquimur, semper feci. Atque observanti mihi, nonnunquam quadraginta diebus, nonnunquam duobus mensibus, aut quatuor morbus finiri, atque aboleri visus est: quibusdam vero & in plures menses productus fuit: & nonnullæ revera ad octavum mensem, aliæ & ad decimum pervenerunt. Vidi quoque ex utero in coxendicem migrare, colligique materiam: id vero haud in multis, quamvis multas ex utero malè habente diu laborantes spectaverim. Ejus itaque investigare causam gravabar, quod nondum an re vera ita eveniret, certior factus essem. Aristoteles nanque, an est, priùs firmè cognito; deinde propter quid est, quæri oportere præcepit, quod si quis antequàm, an est, firma notitia perceperit, propter quod sit, investigaverit, homo iste nugari, garrireque maluisse, quamvis veritatem explorare videtur. Igitur qui & nunc propositæ rei causam reddere conati

A ἰδέας τῶν συνόχων, ἀναγκαῖον αὐτὴν τίθεσθαι. δέδεικται γὰρ ἐφ' αἵματι σηπομένῳ τοὺς τοιούτους ἀνάπτεσθαι πυρετοὺς, ἀτμῶν θερμῶν πλῆθος οὐκ ὀλίγον ἀναπέμποντας ἐπὶ τὴν κεφαλήν. ὅτι δὲ ὑφ' ἧς ἂν αἰτίας ἡ κεφαλὴ πληρωθῇ τοιούτων ἀτμῶν, αἱ καρηβαρίαι, μάλιστα κατὰ τὸ βρέγμα φαίνονται, λυποῦσαι τὸν ἄνθρωπον, οἷς τῶν ἔργων τῆς τέχνης φροντὶς ἐγένετο, φθάνουσι γινώσκοντες πρὶν παρ' ἡμῶν ἀκοῦσαι. ἀλλὰ τίς ἡ αἰτία τοῦ συμβαίνοντος, ἴσως ἀκοῦσαι ποθήσεις· ἐρῶ τοίνυν γέ σοι, τὴν

B γε μοι δοκοῦσαν εἶναι πιθανωτάτην, καὶ ταύτην οὐ μίαν, ἀλλὰ πλείους. πρῶτον μὲν γὰρ, ὅτι τοὺς εἰρημένους θερμοὺς ἀτμοὺς εὔλογόν ἐστι διὰ τῶν ἀρτηριῶν ἐπὶ τὴν κεφαλὴν ἀναφέρεσθαι, καὶ ταύτας ἐστὶν ἰδεῖν κατ' εὐθὺ τοῦ βρέγματος ἀνερχομένας, ἐκ τοῦ τραχήλου τῆς καλουμένης χοάνης, ἑκατέρωθεν. ἔπειτα δὲ, ὅτι καὶ διαπνεῖσθαι καθ' ὅλον τὸν τῆς ὑγιείας χρόνον εἴπομεν τὰ λεπτὰ καὶ ἀτμώδη τῶν τοῦ ἐγκεφάλου περιττωμάτων, κατὰ τὸ βρέγμα μάλιστα, καὶ γὰρ κατὰ τοῦτο ἀραιόταταί εἰσιν

C αἱ ῥαφαὶ, καὶ τὸ κράνιον αὐτὸ λεπτότατόν τε καὶ σηραγγωδέστατον, ἔτι τε πρὸς τούτοις αἰσθητικὰ σώματα, κατὰ τὰς ῥαφάς ἐστι πλείω· καὶ γὰρ ὑμένες τινὲς συνάπτουσι τὴν παχεῖαν μήνιγγα τῷ περικρανίῳ, καὶ πλῆθος ἀγγείων λεπτῶν διεξέρχεται. τῶν δ' ἴσων κατὰ τὸ μέγεθος παθημάτων μᾶλλον αἰσθάνονται τὰ αἰσθητικώτερα φύσει. τὰ δὲ μᾶλλον αἰσθανόμενα, μᾶλλον ὑπὸ τῶν ὀδυνηρῶν αἰτίων ἀνιᾶται. διὰ ταῦτα μὲν δὴ κατὰ τὸ βρέγμα εἰσὶν αἱ ὀδύναι· καταλείπεται δὲ τὴν αἰτίαν εὑρεῖν, δι' ἣν ἐν ὀκτὼ ἢ δέκα μησὶν ἐς ἰσχίον τε-

D λευτᾷ, τουτέστι κατασκήπτει τὸ νόσημα ταῖς οὕτως ἐχούσαις. ἐπεὶ δὲ ἀξιοῦσιν ἔνιοι οὐκ ἐν ὀκτὼ καὶ δέκα μησὶν, ἀλλ' ἐν ὀγδόῳ, ἢ δεκάτῳ, καί φασιν ἐν πολλοῖς τῶν ἀντιγράφων εὑρίσκεσθαι, καὶ μάλιστα τῶν παλαιοτάτων, τὸ στοιχεῖον τὸ η'. καὶ πάλιν τὸ ι'. στοιχεῖον, η'. μὲν ἀντὶ τῶν ὀκτὼ γεγραμμένον, ι'. δὲ ἀντὶ τῶν δέκα, προεπισκεψώμεθα καὶ τὴν ἐν τούτοις διαφοράν. ἐὰν μὲν γὰρ ἐν ὀκτὼ, ἢ δέκα μησὶ λέγωμεν ἐς ἰσχίον τελευτᾶν, ἀπὸ τῆς ἀμβλώσεως, οὐκ ἀπὸ τῆς συλλήψεως ἀριθμήσομεν. ἐὰν δὲ ἐν ὀγδόῳ ἢ δεκάτῳ μηνὶ, τὸν ἀπὸ τῆς συλλήψεως οὕτω χρόνον δηλοῦσθαι φήσομεν.

E ἐμοὶ δ' οὐκ ἀδύνατον τοῦτο φαίνεται, καθ' ἑκατέραν τῶν λέξεων ἑκατέρως ἀκούειν, καὶ χρὴ τοῦ λεγομένου τὴν κρίσιν ἐπὶ τῇ πείρᾳ καὶ μείρᾳ τίθεσθαι, καθάπερ ἐγὼ διὰ παντὸς ἐπὶ πάντων τε τῶν τοιούτων ἐποίησα, καὶ τοῦδε τοῦ νῦν εἰρημένου. καί μοι παραφυλάττοντι ποτὲ ἐν μ. ἡμέραις, ἐνίοτε δ' ἐν δύο μησὶν, ἢ τέτταρσιν, ἐφάνη τελευτῆσαν τὸ νόσημα. τισὶ δὲ καὶ μέχρι πλειόνων ἐξετάθη, καί τινες ὄντως ἐς ὄγδοον ἦλθον μῆνα, καὶ ἄλλαι τινὲς ἐς δέκατον. ἐθεασάμην δὲ καὶ τὴν εἰς ἰσχίον ἐκ μήτρας

F ἀπόστασιν, ἀλλ' οὐκ ἐπὶ πολλῶν, καίτοι πολλὰς ἐφ' ὑστέρᾳ κακοπραγούσῃ χρονίως παθούσας εἶδον. ὀκνηρῶς οὐκ εἶχον ζητεῖν τὴν αἰτίαν, τοῦ μήπω τὴν ὕπαρξιν εὑρεῖν ἀληθευομένην. ὁ γὰρ Ἀριστοτέλης ἀξιοῖ προεγνωσμένου βεβαίως τοῦ ὅτι, ζητεῖσθαι χρῆναι τὸ διότι. πρὶν δ' ὅτι γνῶ, βεβαίως μαθεῖν, εἴ τις ζητεῖν, τὸ διότι, φανερός ἐστι ἀδολεσχεῖν τε καὶ ληρεῖν προῃρημένος, οὐκ ἀληθὲς εὑρεῖν ὀρεγόμενος. οἱ γοῦν ἐπιχειρήσαντες εἰπεῖν καὶ τοῦδε τὴν

αἰτίαν, τοιαῦτα λέγουσιν. ὅσοι μὲν γὰρ ἀπὸ τοῦ τῆς ἀμβλώσεως χρόνου εἰς ὀκτὼ ἢ δέκα μῆνας ἀριθμεῖν ἀξιοῦσι, τὴν ὑστέραν φασὶν εἰθίσθαι κακοπαθεῖν, ἐν δυσὶ τούτοις χρόνοις, ὀγδόῳ καὶ δεκάτῳ μηνί. κατὰ μὲν γὰρ τὸν ὄγδοον μῆνα στρέφεσθαι τὸ ἔμβρυον, ἀποκυΐσκεσθαι δ' ἐν τῷ δεκάτῳ. καὶ νῦν οὖν ταῖς αὐταῖς προθεσμίαις, τὴν τῶν λυπούντων ἀπέκρισιν ποιεῖσθαι δι' ἀποσκήμματα εἰς χωρίον πλησίον τε κείμενον, καὶ δέξασθαι τὰ πεμπόμενα δυνάμενον. ὅσοι δ' ἀπὸ τοῦ τῆς συλλήψεως χρόνου κελεύουσιν ἀριθμεῖν, εὐλογώτερον εἶναί φασιν, ὡς εἰ καὶ μηδεμία μεταξὺ φθορὰ περὶ τὸ ἔμβρυον ἐγεγόνει, νεωτέραν δ' αὖ τινα κίνησιν ἡ μήτρα περὶ αὐτὸ κατὰ τοὺς χρόνους τούτους ἔσχεν, ἢ στρεφόμενον, ἢ ἐκκρινόμενον, οὕτω καὶ νῦν ἴσχειν. ἑκάτεροι δ' ἁμαρτάνουσι, τὰς κινήσεις τοῦ ἐμβρύου ταῖς ὑστέραις ἀνατιθέντες. ἐπεί τε γὰρ στρέφεται κατὰ τὸν ὄγδοον μῆνα, πάντως δήπου τὴν κίνησιν ταύτην ἐξ ἑαυτοῦ ποιεῖται. τήν τ' ἀποκύησιν, ὅταν κινούμενον ἰσχυρότερον ἀπορρήξῃ τινὰ τῶν περιεχόντων ὑμένων, λαμβάνει, τοῦτο γὰρ κἀν τῷ περὶ παιδίων φύσεως εἴρηται κατὰ τήνδε τὴν λέξιν·
» Ὅταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγίνηται, συμβαίνει τότε
» τῷ παιδίῳ κινουμένῳ, καὶ ἀσκαρίζοντι, καὶ χερσὶ, καὶ ποσὶ
» ῥῆξαί τινα τῶν ὑμένων τῶν ἐσωτάτω. ῥαγέντος ἑνὸς, οἱ λοι-
» ποὶ ἀκινδυνωτέρην δύναμιν ἔχουσι, καὶ ῥήγνυται πρῶ-
» τος μὲν ὁ ἐκείνου ἐχόμενος, ἔπειτα ὁ ὕστατος. ὅταν
» οὖν μηκέτι ἐν τῇ μήτρᾳ περιέχηται τὸ παιδίον ἀμ-
» βλωθὲν, οὐδὲ τὰς κινήσεις αὐτοῦ σώζεσθαι δυνατόν ἐστιν.
ὁμοίως δὲ τούτοις εἰσὶν ἀπίθανοι, καὶ ὅσοι φασὶ τὸν ἕβδομον μῆνα, καὶ τὸν ἔννατον τὰς ἀποκυήσεις τῶν ἐμβρύων ἔχειν. τὸν δὲ ὄγδοον καὶ δέκατον, τὰς παρὰ φύσιν ἀποστάσεις ὑστεριζούσας ἑνὶ μηνὶ, τῶν κατὰ φύσιν, ὅπερ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν εἰρῆσθαί φασι, κατ' ἐκείνην τὴν λέξιν, ἐν ᾗ φησι, τῇ ὑστεραίῃ, ὡσπερεὶ τῷ ὑστέρῳ χρόνῳ, ἢ μηνί. προεξηγησάμεθα δὲ τοῦτο κατ' ἐκεῖνο τὸ βιβλίον, ἐγὼ δὲ εἰ λεγόμενον αὐτὸ πρότερον ἑωράκειν οὕτως ἔχον, ἐζήτουν ἂν αὐτοῦ φιλοπονώτερον τὴν αἰτίαν. ἐπεὶ δ' ἐν πολλαῖς χρόνων προθεσμίαις ἐθεασάμην τὰ τῆς ὑστέρας πάθη κρινόμενα, καὶ συμφωνοῦντά γε ταῖς τῶν κρισίμων ἡμερῶν περιόδοις, ἃς αὐτὸς ἐδίδαξεν ἐν προγνωστικῷ, καταλείπω τὴν ζήτησιν τῆς αἰτίας, οὔτε διὰ παντὸς ὁρῶν τὸ εἰρημένον οὕτως ἔχον, οὔθ' ὡς πολύ. τεθεαμένον δ' ἴσως κατὰ τύχην ἐπὶ δυοῖν ἢ τριῶν γυναικῶν τὸν ταῦτα γράψαντα συμβὰν οὕτως, εἴθ' ὁ Ἱπποκράτης αὐτός ἐστιν, εἴ τε Θεσσαλὸς, εἴ τ' ἄλλος τις, ἀποφήνασθαι προπετέστερον ἡγοῦμαι καθολικὴν ἀπόφασιν ἐπὶ πράγματι, μήτε διὰ παντὸς, ὡς ἔφην, μήτε πολλάκις γινομένῳ. ταῦτα μὲν οὖν ἡμῖν τέλος ἐχέτω. μνημονεύσωμεν δὲ τῶν προστεθέντων ἐν τῇ γραφῇ τὸν, καὶ, σύνδεσμον ἐν τῷ μεταξὺ τοῦτο, ἐς καρηβαρίην τρέπεται, καὶ τὰ κατὰ τὸ βρέγμα ὀδύναι, καὶ ποιήσωμεν ὅλην τὴν γραφὴν τοιάνδε. Ὅσῃσιν, ἀπὸ φθορῆς, περὶ ὑστέρην, καὶ οἰδημάτων, ἐς καρηβαρίην τρέπεται, καὶ κατὰ τὸ βρέγμα ὀδύναι, καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων, ταύτῃσιν ἐν ὀκτὼ, ἢ δέκα μησὶν ἐς ἰσχίον τελευτᾷ. ἰατρικὸν γάρ τινα διορισμὸν εἰς πρόγνωσιν χρήσιμον, οὐκ αἰτιολογικὸν ἐπισυνάγουσι τῷ πρόσθεν λόγῳ, τοιαύτην ἀξιοῦντες εἶναι τὴν διάνοιαν. ὅσαις γυναιξὶν,

A sunt, hæc in medium afferunt. Quicunque enim à tempore abortus, usque ad octo aut decem menses numerare dignum putant, uterum duobus temporibus, octavo scilicet mense & decimo, malis tolerandis assuevisse dicunt: octavo enim mense fœtum converti, decimo autem in lucem edi: sic igitur, & in præsentia iisdem statis temporibus contristantes humores excerni, quæ in locum vicinum, suscipereque transmissa potentem, irruerunt, asseverant. At qui à conceptionis tempore nume-
B randum esse jubent, rationi magis consentaneum esse dicunt, ut quemadmodum etsi tempore intermedio fœtus nullo vitio tentatus sit, novum tamen aliquem motum uterus circa ipsum temporibus istis, dum aut convertitur, aut partu editur; habuerit, ita & nunc habeat. Cæterùm utrique falluntur, qui fœtus motiones utero tribuant. Quando enim octavo mense convertitur, hunc sanè motum omnino ex seipso ciet, atque tunc pariter, cum vehementius commotus, aliquam ex continentibus membranis effregerit, hoc enim & in libro de
C pueri natura hisce verbis testatum est: Quum vero mulieri partus tempora adveniunt, tunc puero, commoto manibusque & pedibus sese agitanti aliquando, intimarum membranarum dirumpere accidit: una effracta, reliquæ imbecilliorem facultatem habent: atqui prima fœtum ambiens laceratur, deinde ultima. Quando igitur, nec dum utero fœtus per abortum ejectus continetur, neque ut motus ipsius incolumes serventur, fieri potest. Perinde vero atque isti, neque illi fide digni sunt, qui septimum mensem, ac nonum fœtuum partus efficere: octavum vero, ac decimum egressiones
D propter naturam uno mense naturalibus tardiores efficere asserunt: quod secundo popularium morborum Libro dictum esse volunt in illis verbis, ubi dixit, Postero; ac si dixisset posteriorem tempore, aut mense; sed hoc priùs in eo Libro declaravimus, at ego si hoc dictum, ita se habere prius vidissem, perquisivissem utique ipsius causam diligentius: sed quoniam per multa stata tempora uteri affectus judicari, & judicatoriorum dierum circuitibus consonare perspexi, ut ipse in Libro de præsagiis
E docuit, causæ inventionem relinquo, quum neque semper, neque plerunque ita fieri videam. Verùm scriptorem hunc, sive Hippocrates sit, sive Thessalus, sive alius quispiam, in duabus forsan, aut tribus mulieribus, ita evenisse fortuito conspicatum, inconsultius de re neque semper, neque crebrius incidente, ut diximus, in universum pronunciasse existimo. Sed de his hactenus à nobis dictum esto. Eorum autem meminerimus, quæ in narratione Hippocrates conjunctionem, &, interjecerunt,
F inter eam partem, in capitis gravitatem vertitur, & eam in sincipite dolores, totamque scripturam ita constituemus. Quibuscunque à perditione circa uterum & tumoribus, in capitis gravitatem commutatur, & in sincipite dolores, & quicunque alii ab uteris, iis octo mensibus, aut decem in coxendicem desinit. Medicinalem sanè quandam præscriptionem ad præsagiendum utilem non causas reddentem priori sermoni adjungunt, talem judicantes esse sententiam: quibuscunque mulieribus in utero

utero, ex abortu tumoribus excitatis in capitis gravitatem fit commutatio, & in sincipite iisdem dolores fiunt, istis octo & decem mensium spatio in coxendicem uterum vexantia recumbunt; tanquam non omnibus uteri tumoribus sincipiti dolorem inferentibus, neque omnibus in coxendicem abscedentibus, sed illis, tantummodo qui in sincipite dolores creant. Verum quum id quoque ego observaverim, haud ita fieri compertum habui. Quin etiam neque ipsi hujusce rei aliquam rationem afferunt: cur enim soli illi uteri tumores, qui sincipiti dolores intulerunt, in coxendicem ab iis migrare putentur, assignari causa non potest. Quamobrem neque nos ipsis crediderimus, utpote neque ab experientia, neque ex rei natura indicatoriè sermonis hujus affirmationem consequuti. Illud quoque in confesso est, eam partem quam ita scripsit Hippocrates, & quæcunque aliæ, ab uteris, duobus modis explanari. Quidam sanè ad uteri affectus sermonem referunt, tanquam omnibus ipsis aut minus, quàm prædictus, capitis gravitates, & in sincipite dolores evenientes habentibus. Alii vero ad capitis affectus sermonem referunt ac si ita omnem verborum seriem scripsisset: quibuscunque à perditione & tumoribus in capitis gravitatem vertitur, in sincipite dolores sunt, & alii quoque capitis affectus ab utero exorti, in sincipite maximè sese ostendunt. Alios affectus intelligamus capitis gravitati proportione respondentes; aliquos autem ex ipsis cephalæas vocant, aliquos hemicranias, aliquos cephalalgias, id est, capitis dolores simpliciter.

A οἰδημάτων ἐν ταῖς μήτραις, ἐπ' ἀμβλώσει γινομένων, ἐς καρηβαρίαν τρέπεται, καὶ κατὰ τὸ βρέγμα αὐταῖς ὀδύναι γίνονται, ταύταις ἐν ὀκτὼ, ἢ δέκα μησὶν ἐς ἰσχίον μετάστασίς ἐστι τῶν τὰς μήτρας λυπούντων, ὡς οὔτε πάντων τῶν κατὰ τὰς ὑστέρας οἰδημάτων, κατὰ τὸ βρέγμα τὰς ὀδύνας ἐργαζομένων, οὔτε πάντων ἐς ἰσχίον κατασκηπτόντων, ἀλλ' ἐκείνων μόνον ὅσα κατὰ τὸ βρέγμα ποιεῖται τὰς ὀδύνας. ἀλλ' οὐδὲ τοῦτο παραφυλάξας εὗρον οὕτω γινόμενον, οὐ μὴν οὐδ' αὐτοί τινα λόγον αὐτοῦ λέγουσι. διὰ τί γὰρ ἐκεῖνα μόνα τῶν κατὰ τὰς μήτρας οἰδημάτων ἐς ἰσχίον B ἀποσκήπτειν ἀξιοῦσιν ὅσα κατὰ τὸ βρέγμα τὰς ὀδύνας ἐποιήσατο, λέγειν οὐκ ἔχουσιν. οὐδ' ἡμεῖς οὖν αὐτοῖς πιστεύσομεν, ὡς ἂν μήτε δι' ἐμπειρίας εἰληφότες τοῦ λόγου τὴν πίστιν, μήτ' ἐκ τῆς τοῦ πράγματος φύσεως ἐνδεικτικῶς. εὔδηλον δ' ὅτι καὶ τὴν λέξιν ἐκείνην, καθ' ἣν, καὶ ἄλλαι ἀπὸ ὑστερέων, ὁ Ἱπποκράτης ἔγραψεν, ἐξηγοῦνται διττῶς. ἔνιοι μὲν ἐπὶ τὰς ἐν τῇ μήτρᾳ διαθέσεις ἀναφέροντες τὸν λόγον, ὡς οὐδὲν ἧττον, ἁπασῶν αὐτῶν, τῆς προειρημένης τῆς καρηβαρίας τε καὶ κατὰ τὸ βρέγμα μάλιστα γινομένας ὀδύνας, ἑπομένας ἐχουσῶν. ἔνιοι δ' ἐπὶ τὰς τῆς C κεφαλῆς διαθέσεις ἀναφέρουσι τὸν λόγον, ὡς εἰ καὶ οὕτως ἔγραψεν. ὅσαις ἀπὸ φθορῆς καὶ οἰδημάτων, ἐς καρηβαρίαν τρέπεται, κατὰ τὸ βρέγμα εἰσὶν ὀδύναι, καὶ ἄλλαι δὲ τῆς κεφαλῆς διαθέσεις αἱ ἀπὸ ὑστερῶν γινόμεναι κατὰ τὸ βρέγμα μάλιστα διασημαίνουσιν. ἄλλας διαθέσεις ἀκούσωμεν, τὰς ἀναλόγους τῇ καρηβαρίᾳ, καλοῦσι δὲ τὰς μέν τινας αὐτῶν κεφαλαίας, τὰς δὲ ἡμικρανίας, τὰς δὲ κεφαλαλγίας ἁπλῶς.

Hîc laudabilis & vitiosa docetur conformatio & magnitudo capitis, cervicis, & thoracis. Quod perfectum ac laudabile caput sit; quid acuminatum: laudabilis capitis acuties quæ? Quid sit palatum. Quid palatum concavum & quibus sit. Qui sint dentes perversa serie positi. His caput dolore continuò & aures fluere.

D Ἐνταῦθα ἐπαινετὴ καὶ μοχθηρὰ διάπλασις διδάσκεται, καὶ τὸ κεφαλῆς μέγεθος, καὶ τραχήλου, καὶ θώρακος. τί τέλεια καὶ ἐπαινετὴ ἡ κεφαλή. τί φοξόν. ἡ ἐπαινετὴ τῆς κεφαλῆς ὀξύτης ὁποῖα. τί ἡ ὑπερῷον. τί ὑπερῷον κοῖλον, καὶ οἷς ἐνῇ. οἱ τίνες ὀδόντες παρηλλαγμένοι, τούτοις συνεχῶς κεφαλαλγέας τε καὶ ὠτορρύτους εἶναι.

HIPPOCRATIS TEXTUS III.

Qui acuminato sunt capite, & valida quidem cervice; tum cæteris, tum ossibus robusti sunt. Qui vero caput dolent; fluentes habent aures, his palatum concavum est, & dentes perversa serie positi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

E Οἱ φοξοὶ, οἱ μὲν κρατεραύχενες, ἰσχυροὶ καὶ τἄλλα, καὶ τοῖσιν ὀστέοισιν. οἱ δὲ κεφαλαλγέες, καὶ ὠτόρρυτοι, τουτέοισι ὑπερῷαι κοῖλαι, καὶ ὀδόντες παρηλλαγμένοι.

GALENI COMMENTARIUS.

Hoc loco etiam nihil refert, utrum crateauchenes Græca voce per quinque syllabas; aut cratrauchenes per quatuor quispiam scripserit: robustis enim cervicibus homines utraque vox significat. Macrauchenes vero, id est longicolli, ut nonnulli veterem scripturam permutantes scribunt, non eandem rem significat. Valida enim cervix robusta nominatur, ob duritiam, magnitudinemque ossium, plerunque talis existens: ita quoque se habent ipsi circunpositi musculi, tendones, & copulæ: at longæ cervices, tantum abest, ut vi aliqua polleant, ut etiam prorsus vitiosæ sint, perinde atque angustum longumque pectus, quan-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κἀνταῦθα πάλιν οὐδὲν διαφέρει, πότερα κρατεραύχενες ἐν πέντε συλλαβαῖς, ἢ κρατεραύχενες ἐν F τέτρασί τις γράψειε. τοὺς γὰρ κρατεροὺς ἔχοντας τοὺς αὐχένας, ὅπερ ἐστὶν ἰσχυρούς, ἑκατέρα τῶν φωνῶν σημαίνει. τὸ μέντοι μακραύχενες ὅπερ ἔνιοι γράφουσι, τὴν παλαιὰν ὑπαλλάττοντες γραφὴν, οὐ ταὐτὸν δηλοῖ. κρατερὸς μὲν γὰρ αὐχὴν ὁ ἰσχυρὸς ὀνομάζεται, διὰ σκληρότητα καὶ μέγεθος ὀστῶν τοιοῦτος γινόμενος τοὐπίπαν. οὕτως δ' ἔχουσι καὶ οἱ περικείμενοι τοῖς ὀστέοις μύες τε καὶ τένοντες, καὶ σύνδεσμοι. μακροὶ δ' αὐχένες, οὐχ ὅπως ἐν ἀρετῆς μέρει γίνονται, ἀλλὰ καὶ μοχθηροὶ οὕτω τοὐπίπαν εἰσὶ, παραπλησίως τῷ στενῷ καὶ μακρῷ θώρακι, καὶ

γὰρ καὶ τοῦτον εὐρὺν εἶναι προσῆκεν, οὐ πλατὺν μόνον, ἢ μακρόν. εὐρὺς δ' ἐν τῇ κατὰ βάθος τε καὶ πλάτος διαστάσει, καὶ θώραξ, καὶ αὐχὴν, καὶ πᾶν ὁποῖον ἄλλο γίνεται μόριον, ἐπειδὰν ἀνάλογον ἀλλήλοις αὐξηθῇ ταῦτα. πάντως δ' ἐπ' αὐτῶν ἐστι καὶ τὸ μῆκος, ἤτοι μεῖζον, ἢ ἴσον γε τοῖς συμμέτρως ἔχουσιν. ὁ μὲν οὖν θώραξ τῶν ἐντυγχανόντων ἡμῖν ἀνθρώπων οὐ φαίνεται, πρὶν γυμνωθῆναι τὸ σῶμα. τὴν δὲ κεφαλὴν εὐθέως ὁρῶμέν τε καὶ γνωρίζομεν ὅ, τι περ ἂν ἔχῃ, κατά γε τὴν διάπλασιν, καὶ τὸ μέγεθος, σφάλμα. κατὰ μὲν τὸ μέγεθος, εἴτε σμικροτέρα τοῦ προσήκοντος, ἢ μείζων γεγονυῖα. κατὰ δὲ τὴν διάπλασιν ἢ ἀκριβῶς στρογγύλην, τήν τε κατὰ μέτωπον ἐξοχὴν, καὶ τὴν κατὰ τὸ ἰνίον ἀπολωλεκυῖα τελέως, ἢ φοξὴ, προμηκεστέρας τοῦ δέοντες ἔχουσα τὰς ἐξοχὰς, ἤτοι γ' ἀμφοτέρας, ἢ τὴν ἑτέραν, ἢ μίαν ἔχουσα μόνην, ἀπολωλεκυῖα δὲ τὴν ἑτέραν. ἐπὶ μὲν οὖν τῆς μείζονός τε καὶ φοξῆς ἐπισκέπτεσθαι προσήκει τό τε ποσὸν τῆς ὑπεροχῆς, καὶ τὴν τοῦ αὐχένος ὑπεροχὴν, εἰς τὸ διαγνῶναι πότερον ἄμεινον αὐτοῖς, ἢ χεῖρον, ἡ κεφαλὴ κατεσκεύασται. δέδεικται γὰρ ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασιν, οὐ μικρὰ χρεία γινομένη τοῖς ἰατροῖς ἔκ τε τοιαύτης γνώσεως, εἰς φυλακὴν τῆς τοῦ μέρους ὑγιείας, καὶ τὴν ἐσομένην ἐπανόρθωσιν, εἰ φθάσειέ ποτε μαθεῖν. ἐπὶ δὲ τῆς ἐναργῶς μικρᾶς, ἐγνωκέναι μὲν χρὴ τὴν σμικρότητα, προσεπισκέπτεσθαι δὲ ἐκ περιουσίας καὶ τὰ κατὰ τὸν τράχηλον. ἐπειδὴ στέλεχος παραπλησίως ἡ ῥάχις ὡς ἐκ ῥιζώσεως πέφυκε τῆς κεφαλῆς. ἐμάθετε γὰρ, ἐξ ἐγκεφάλου τὸν νωτιαῖον μυελὸν, τήν τε τῆς γενέσεως ἀρχὴν εἶναι, καὶ τὴν τῶν δυνάμεων χορηγίαν. περιέχουσι δὲ τοῦτον οἱ σπόνδυλοι, λεπτὸν μὲν ὄντα, μικροὶ, παχὺν δὲ γενόμενον, εὐρεῖς. ὥσπερ οὖν ὁ μέγας μὲν θώραξ εὐρυχωρίαν τε μεγάλην ἔνδοθεν ἔχει, καθ' ἣν ἄθλιπτα καὶ μεγάλα δύο σπλάγχνα περιέχεται πνεύμων, καὶ καρδία. ὁ δὲ σμικρὸς, ἀνάλογον αὐτῷ καὶ ταῦτα ἔχει σμικρά τε καὶ στενοχωρούμενα. κατὰ τὸν αὐτὸν τρόπον ἡ κεφαλὴ, καὶ ἡ ῥάχις ἀνάλογον ἑαυταῖς ἔχουσιν ἐγκέφαλόν τε καὶ νωτιαῖον. ἐπειδὰν μὲν εἰς μέγεθος ἐπιδῶσιν, αὐτούς τε μεγάλους, εὐρείας τε τὰς τοῦ πνεύματος χώρας ἐν αὐτοῖς ποιοῦσιν, αἱ δὲ σμικραὶ, τἀναντία. φαίνεται δὲ καὶ τὰ τῆς διανοίας βεβλαμμένα τοῖς ἐναργῶς ἔχουσιν, ἤτοι πάνυ μεγάλας, ἢ πάνυ σμικρὰς τὰς κεφαλάς. ἀλλ' αἱ μὲν σμικραὶ, μοχθηραὶ διὰ παντός. αἱ δὲ μεγάλαι, γένοιντ' ἄν ποτε κατὰ τὸ σπάνιον ἐπὶ ῥώμῃ τε τῆς κατὰ ταῦτα δυνάμεως, καὶ πλήθει τῆς ὕλης, ἐξ ἧς διεπλάσθησαν, ὅπερ ὑπάρξαι φασὶ καὶ Περικλεῖ τῷ Ἀθηναίῳ συνετωτάτῳ γενομένῳ. σκώπτεται γοῦν ὑπὸ τῶν κωμικῶν ἐπὶ μεγέθει κεφαλῆς. ἔτι δὲ μᾶλλον, ἐὰν καὶ τὸ κατὰ φύσιν σχῆμα φυλάττῃ, καὶ τὸν αὐχένα κρατερὸν ἔχῃ, καὶ τοὺς ὀφθαλμοὺς δεδορκότας δριμὺ, γνωστέον ἄριστα διακεῖσθαι τὴν τοιαύτην κεφαλήν. αἱ δὲ φοξαὶ, καὶ γὰρ καὶ τούτων ἔφην τινὰς οὐκ εἶναι μεμπτὰς, γίνονται μὲν ὑπαλλαττομένης κατά τι τῆς ἀρίστης διαπλάσεως, ἥ τις ἔοικε προμήκει σφαίρᾳ τεθλιμμένῃ καθ' ἑκάτερον οὔσῃ. ἤτοι δὲ λείπουσιν ἔχουσι τὴν κατ' ἰνίον, ἢ μέτωπον, ἐξοχὴν, ἢ περαιτέρω

A doquidem id amplum esse, non latum duntaxat aut longum, oportet. Amplum autem in lati profundique dimensione, pectus, collum, & aliud quodque membrum consistit, cùm proportione inter se congrua ea aucta fuerint, in ipsis verò prorsus, & longitudo aut major est, aut æqualis iis quæ moderate se habent. Hominum quidem nobis obviam venientium pectora non priùs apparent, quàm eorum corpora nudata fuerint: sed caput illico aspicimus, & quodnam in formatione, ac magni-
B tudine vitium habeat cognoscimus: in magnitudine, si minus sit, aut majus quàm conveniat: in formatione, si exquisitè rotundum sit, frontis, occipitiique prominentia carens penitus, aut acutum productiores, quàm deceat, eminentias habens, aut utrasque, aut altera tantum: aut una duntaxat eminentia præditum, altera vero privatum. In majore itaque capite, & acuto & excessûs quantitas consideranda est, & ipsius cervicis excellentia, ut ipsis meliùs ne, an deteriùs caput formatum sit, dignoscere valeamus. Declaratum est enim in
C libris de tuenda sanitate, non mediocrem utilitatem medicos ex hujusmodi cognitione percipere, & ad servandam membri sanitatem, & ad futuram vitii emendationem, si quando didicisse prius acciderit. Sed in capite evidenter parvo parvitatem quidem novisse opus est, & ea præterea, quæ ad collum pertinent, ex abundanti consideranda, quoniam perinde, ac truncus, dorsi spina ex capite, tanquam ex radice prægerminat. Alibi enim didicistis, medullæ dorsi à cerebro & ortus initium, & facultatum copiam suggeri: hanc medullam ver-
D tebræ includunt tenuem quidem, pusillæ: crassiorem autem factam, ampliores. Quemadmodum igitur magnum pectus, ampla interiùs cavitate inane est, in qua duo magna viscera pulmones scilicet atque cor nulla ex parte compressa continentur: perinde & exiguum pectus proportione sibi respondentia hæc viscera continet, exigua videlicet, & in angustiis versantia: haud aliter caput, & dorsi spina magnitudine respondentia & cerebrum, & medullam includunt. Quum enim membra hæc grandiora sunt, & cerebrum & medullam ampliores, latioresque spiritus cavernas in ipsis ef-
E ficiunt: at si pusilla fuerint, contrarium evenit. Vis præterea cogitandi iis, qui aut nimis magna capita, aut nimis exigua evidenter possident, oblæsa est: Sed exigua capita semper prava sunt: magna vero, licet rarò, nonnunquam tamen, & bona fuerint, & ob facultatis eorum formatricis robur, & ex materiæ, unde creata sunt, ubertate, quali capite Pericles Atheniensis vir prudentissimus fuisse traditur: unde & Comici ejus capitis magnitudinem dicteriis lacessunt. Præterea vero magis
F grande caput bonum sit, si & naturalem figuram retineat, & cervicem validam, & oculos acutè cernentes habeat: tunc enim optimè hujusmodi caput sese habere sciendum est. Verùm acuta capita (nam & ex his quædam non esse improbanda affirmavimus) optima figura aliquantulum permutata fieri dicimus. Optima enim capitis figura oblongo orbi utrinque compresso similis est, deficit autem acuto capiti, aut occipitii, aut frontis eminentia, aut ultra,

quam deceat, productam habet. Plerunque igitur, ut dixi, quemadmodum magnum caput, ita & hujusmodi acuta, mendosa, improbaque reperies: raro tamen & ex his aliqua bona fuerint, facultate materiam, ex qua homo in utero creatus est, efformante admodum valida, neque sanguinis in uterum defluentis multitudine superata, sed contra ejus vim sustinere, resistere, eleganterque effingere potens fuit. Quando igitur ob alterutrius eminentiæ defectum, aut excessum acuta capita redduntur, primum quidem te illud animadvertere decet, utrum aucta aut diminuta prominentia, acutum caput evaserit: vitiosum enim semper est ex comminuta mucronatum caput: non semper malum ex adaucta. Verum autem præterea considerare convenit, in primis quidem decoram incrementi formā: deformia enim incrementa prava sunt: secundo utrùm capitis excessus, qui in eo occipitio est, plusquam ea, quæ à facie est, pars excreverit: melius enim putandum est, occipitii eminentiam majorem esse, ibi nanque & nobilissimus cerebri sinus & dorsi medullæ exortus, locati sunt. Postea deinceps cervicem considerato, imbecilla-ne sit an robusta; nam si eminētia, neque indecora fuerit, neque ultra modum grandis, validumque eam collum sustineat, hujusmodi capitis acumen probato: hos enim homines & aliorum membrorum, sed ossium præcipuè viribus pollere comperies. Sed hoc loco & illud perpendito, quid sibi voluerit, quum dixerit & aliis: num intellexerit pectus & jecur, ut ejusmodi hominibus tria generosa principia insint, non solùm cerebrum: an & alia, illa sola dicat, quæ primum initium & ortum ex capite habent; ea verò sunt dorsi medulla, & nervi, & cum ipsis ossium musculorumque materia, qui necessario unà cum capite augescunt & roborantur. Hæc membra verò plerunque insimul augeri comperies. Quando enim sanguis, ex quo capitis partes creatę sunt, multus atque bonus est, vitalem quoque potentiam, quam ex corde prodire ostendimus, nutricemque vocatam quam ex jecore in venas promanare didicisti, statim ab initio robustas esse credibile est: atqui hujusmodi animali prima veluti fundamenta totius corporis magnifica esse, ac generosa necesse est. At in capite contra deformi effigie, & exiguitate vitiosa, præterea & in ore palatii partes inspicito; ita verò appellant in eo altioris spatii partem illam, quæ supra foramina è naribus in ipsum pertinentia, sublimis est: invenies enim & hanc partem illis cavam, quorum acutum valde caput, ac deforme est: hos autem præcipuè vocant homines φοξούς, hoc est, acuti capitis. In multis quoque dentes male positi videntur, id est, non rectè è regione superiores cum inferioribus committuntur, neque incisores cum incisoribus, neque canini cum caninis, neque molares cum molaribus; sed veluti revulsum juxta atque distortum in ipsis os apparet. Hos igitur crebro dolore capitis vexari conspicies, ipsorumque aures distillatione laborare, nonnunquam sanie quadam tenui & liquida, nonnunquam ceu purulento humore, ac fœtido emanante: imbecilla nanque membra multum planumque excrementum colligere consueverunt. Igitur quum jam scriptoris sermo explanatus fuerit,

τοῦ προσήκοντος ηὐξημένην. ὡς τὸ πολὺ μὲν οὖν, ἔφην, ὥσπερ τὴν μεγάλην, οὕτω καὶ ταύτας εὑρήσεις μεμπτάς. ἐν δὲ τῷ σπανίῳ γίνονται, καὶ τούτων τινὲς ἀγαθαί, τῆς διαπλαττούσης δυνάμεως τὴν ὕλην, ἐξ ἧς ἐγεννήθη κυούμενος ὁ ἄνθρωπος, ἰσχυρᾶς ὑπαρχούσης, ὡς μὴ νικηθῆναι τῷ πλήθει τοῦ ῥυέντος ἐπὶ τὸ χωρίον αἵματος, ἀλλ' ἐξαρκέσαι τε, καὶ ἀντισχεῖν αὐτῷ, καὶ διαπλάσαι καλῶς. ἐπεὶ τοίνυν, ἤτοι διὰ τὴν ἔνδειαν ὁποτέρας τῶν ἐξοχῶν, ἢ διὰ τὴν ἐπαύξησιν αἱ φοξαὶ γίνονται κεφαλαί, πρῶτον μέν σε χρὴ προσέχειν τὸν νοῦν, πότερον αὐξηθείσης, ἢ μειωθείσης τῆς ἐξοχῆς, ἡ φοξότης ἐγένετο. μεμπτὸν μὲν γὰρ ἀεὶ τὸ μειωθείσης, οὐ μεμπτὸν δ' ἀεί, τὸ προσαυξηθείσης. ἀλλὰ συνεπισκέπτεσθαι χρὴ τηνικαῦτα, πρῶτον μὲν τὴν εὐσχημοσύνην τῆς ἐπαυξήσεως. αἱ γὰρ ἀπρεπεῖς ἐπαυξήσεις εἰσὶ μοχθηραί. δεύτερον δέ, πότερον ἡ κατ' ἰνίον ἐξοχὴ τῆς κεφαλῆς αὐτῆς γέγονε μείζων, ἢ τὸ κατὰ πρόσωπον μέρος ηὔξηται, βέλτιον εἶναι νομίζοντα αὐξηθῆναι τὸ κατ' ἰνίον. αὐτίκα γὰρ ἥ τε κυριωτάτη τῶν κοιλιῶν ἐστι τοῦ ἐγκεφάλου, καὶ ἡ τοῦ νωτιαίου μυελοῦ ῥίζωσις. εἶτα καθεξῆς σκοπεῖν τὸν αὐχένα, πότερον ἀσθενὴς ἢ κρατερός ἐστιν. ἐὰν γὰρ ἥ τ' ἐξοχὴ μήτ' ἀσχήμων ᾖ, μήθ' ὑπερβαλλόντως μεγάλη, γενναῖός τε αὐτὴν ἐκδέχηται τράχηλος, ἀποδέχου τὴν φοξότητα τῆς τοιαύτης κεφαλῆς. ἰσχυροὺς γὰρ εὑρήσεις τούτους, τά τε ἄλλα κἂν τοῖς ὀστοῖς. ἐπίσκεψαι δ' ἐνταῦθα τίνα λέγει τὰ ἄλλα, πότερα τὰ κατὰ θώρακα καὶ ἧπαρ, ὡς εἶναι τὰς τρεῖς ἀρχὰς τοῖς τοιούτοις γενναίας, οὐ μόνον τὴν κατὰ τὸν ἐγκέφαλον· ἢ τ' ἄλλα μόνα λέγει διὰ τὰ τὴν πρώτην ἀρχήν τε καὶ γένεσιν ἐκ τῆς κεφαλῆς ἔχοντα. ταῦτα δέ ἐστι νωτιαῖος, καὶ νεῦρα, καὶ σὺν αὐτοῖς ἡ τῶν ὀστῶν οὐσία, καὶ ἡ τῶν μυῶν, ἅπερ ἐξ ἀνάγκης συναυξάνεται, καὶ συγκρατύνεται τῇ κεφαλῇ. καὶ ταῦτα δὲ εὑρήσεις, ὡς τὸ πολὺ συναυξανόμενα. τοῦ γὰρ αἵματος, ἐξ οὗ διεπλάσθησαν τὰ κατὰ τὴν κεφαλήν, ὄντος πολλοῦ τε καὶ εὐχρήστου, καὶ τὴν ζωτικὴν δύναμιν, ἣν ἐκ καρδίας ἐδείξαμεν ὁρμᾶσθαι, καὶ τὴν φυσικήν τε καὶ θρεπτικὴν ὀνομαζομένην, ἣν ἐξ ἥπατος ἔμαθες ἐπιρρεῖν ταῖς φλεψίν, εὔλογον ὑπάρχειν εὐθὺς ἐξ ἀρχῆς ἰσχυράς. καὶ δὴ τῷ τοιούτῳ ζώῳ τὰ οἷον θεμέλια τοῦ παντὸς σώματος ἀναγκαῖον εἶναι γενναῖα. τῆς δ' ἐναντίως ἐχούσης κεφαλῆς, κατά τε τὸ μοχθηρὸν σχῆμα καὶ τὴν μικρότητα, προσεπισκέψασθαι τά τε καθ' ὑπερῴαν ἐν τῷ στόματι χωρία. καλεῖται δ' οὕτως τὸ μέρος ἐκεῖνο τῆς ὑψηλῆς χώρας αὐτοῦ, ὅσον ὑπὲρ τὰς ἐκ τῆς ῥινὸς εἰς αὐτὸ συντρήσεις ἐστὶ μετέωρον. εὑρήσεις γὰρ οὖν καὶ τοῦτο κοῖλον, ἐφ' ὧν ἡ φοξότης ὀξεῖα τε καὶ ἀσχήμων ἐγένετο. καὶ γὰρ οὖν καλοῦσιν οἱ ἄνθρωποι τούτους μάλιστα φοξούς. ἐπὶ πολλῶν δέ, καὶ ὀδόντες παρηλλαγμένοι φαίνονται, τουτέστιν οὐ κατ' εὐθὺ τοῖς ἄνωθεν, οἱ κάτωθεν, οὔθ' οἱ τομεῖς τοῖς τομεῦσιν, οὔθ' οἱ κυνόδοντες τοῖς κυνόδουσι, οὔθ' αἱ μύλαι ταῖς μύλαις, ἀλλ' οἷον ἀνεσπασμένον τε ἅμα καὶ διεστραμμένον αὐτοῖς φαίνεται τὸ στόμα. τούτους οὖν εὑρήσεις κεφαλήν τε συνεχῶς ἀλγοῦντας, καὶ ῥευματιζομένους τὰ ὦτα, ποτὲ μὲν ἰχῶρι λεπτῷ καὶ ὑγρῷ, ποτὲ δέ, οἷον πυώδει τε καὶ δυσώδει, τῶν ἀσθενῶν μορίων, εἰωθότων καὶ πολὺ καὶ μοχθηρὸν περίττωμα γεννᾶν. ὁπότ' οὖν σαφὴς ἐγένετο ἡ ῥῆσις,

μικρόν τι προσθεὶς, ἐπ' ἄλλην μεταβήσομαι. τὸ δὲ μικρὸν τοῦτ' ἐστὶν, ἀνάμνησις ἑνὸς τῶν εἰρημένων μοι κατὰ τὴν ἀρχὴν τοῦδε τοῦ λόγου. φαίνεται γὰρ ἤδη σαφῶς, ὑπομνήματι μᾶλλον ἢ συγγράμματι, τὸ προκείμενον ἐοικέναι βιβλίον, ἑαυτῷ τινὰ γράφοντος εἰς ἀνάμνησιν, τοῦ Ἱπποκράτους, ὡς ἕκαστον ἔτυχεν ἤ τοι θεασάμενος, ἢ διὰ λογικῆς σκέψεως ἐξευρών. οὐδὲν γὰρ οὐδ' ἐγγὺς οἰκεῖόν ἐστι τῇ προτέρῃ ῥήσει πρὸς τὴν δευτέραν, καθάπερ οὐδὲ τῇ τρίτῃ πάλιν πρὸς ταύτας.

A paucis quibusdam additis, aliam partem transibo. Ea verò pauca hujusmodi sunt, reminiscentia, scilicet unius, quod à me hujus sermonis initio dictum fuit; videtur enim jam apertè Liber iste commentario magis, quàm justo volumini, similis esse, Hippocrate sibi ipsi, ut memoriæ subveniret, non nulla scribente, prout unumquodque aut experientia comprehendisset, aut rationali meditatione excogitasset. Nulla enim cognatio, vel propinquitas primæ parti cum secunda intercedit, B quemadmodum rursus neque tertiæ cum istis.

Τί καὶ ὅθεν ἡ σιμότης. τὰ τῆς ῥινὸς ὀστέα, διάφραγμα, πτερύγια, μεσόφρυον, καὶ δύο πόροι.

Quid & unde simitas. Nasi ossa, interseptum, alæ, intercilium, & duo foramina.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

ΟΣοισιν ὀστέον ἀπὸ ὑπερῴης ἀπῆλθε, τουτέοισι μέση ἵζει ἡ ῥίς. ὅσοισι δὲ, ὅθεν οἱ ὀδόντες, ἄκρη σιμοῦται.

HIPPOCRATIS TEXTUS IV.

QVibus os à palato discessit, iis medius considit nasus. Quibus vero unde dentes procedunt, inde summus nasus simus efficitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ διάφραττον ὀστοῦν τοὺς δύο πόρους τῆς ῥινὸς ἐστήρικται κατ' ἄλλου τινὸς ὀστοῦ λεπτοῦ, τὴν μὲν ἀρχὴν ἔχοντος ἄνωθεν ἐκ τοῦ μεσοφρύου, τελευτῶντος δ' ἐπὶ τὸ πέρας τῆς ῥινὸς, ἔνθα τὰ πτερύγια. κατὰ τοῦτο μὲν οὖν τὸ μέρος ἐπίκειται τὸ διάφραγμα τῆς ῥινὸς, ἐκείνοις τοῖς χωρίοις, εἰς ἃ τὰ πέρατα τῶν τομέων ὀδόντων ἀνήκει. τὸ δ' ἀνωτέρω τούτων, ὑπερῴα μὲν ὀνομάζεται, στηρίζεται δ' ἐπ' αὐτῆς τὸ μέσον τοῦ διαφράγματος τῆς ῥινός. ἔνθα ἂν οὖν ἀπόληταί τι τῶν στηριζόντων ὀστῶν, καταπῖπτον ἐνταῦθα τὸ διάφραγμα κοίλην ἐργάζεται κατ' ἐκεῖνο τὸ μέρος τὴν ῥῖνα, καὶ καλεῖται ταύτης τὸ σύμπτωμα σιμότης.

C GALENI COMMENTARIUS.

QUod os duo nasi intersepit foramina, id alio quodam osse tenui fulcitur sursum ab intercilio principium habente & in extremum nasi, ubi alæ sitæ sunt, desinente. In ea igitur parte positum est nasi interseptum illis in locis ad quæ incisorum dentium extrema perveniunt. Pars autem his superior palatum quidem nominatur; ea vero medium nasi interseptum nititur. Itaque ubi fulcientium ossium aliquod decidens perierit, ibi interseptum illa D in parte nasum concavum efficit, atque id ejus symptoma simitas vocatur.

Κατὰ τὰς τῶν νηπίων ἐκλάμψεις τὰς ἐπιληψίας καταλαμβάνεσθαι. διὰ τί ἡ ἐπιληψία τοῖς νηπίοις οἰκεία. τὴν ἐπιληψίαν ἐν τοῖς ἡβάσκουσιν ὑγιάζεσθαι, ἀλλὰ μὴ πᾶσαν. τὰς ἐκλάμψεις ἐνταῦθα διασαφηνίζονται. ἀπὸ τοῦ πλήθους τὸ βαρὺ τῶν νεφρῶν ἄλγημα τοῖς παίδεσι ἐπιγίνεσθαι.

Per fulgores puerorum eclampses, epilepsias intelligi. Cur epilepsia puerilis morbus. Epilepsiam pubescentibus sanescere, sed non omnem. ἔκλαμψις hîc explicatur, à repletione gravem renum dolorem oboriri pueris.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

ΑΙ τῶν νηπίων ἐκλάμψιες ἅμα ἥβῃ, ἔστιν οἷσι μεταβολὰς ἴσχουσι, καὶ ἄλλας καὶ ἐς νεφρὸν ὀδύνη βαρεία, ὅταν πληρῶνται σίτου.

HIPPOCRATIS TEXTUS V.

E *PVerorum fulgores unà cum pubertate in quibusdam mutationes habent, atque etiam alias; & ad renem urget dolor gravis, quum cibis implentur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑύτην τὴν γραφὴν ἁπάντων μὲν τῶν ἐξηγητῶν εἰδότων, ἁπάντων δὲ τῶν παλαιῶν ἀντιγράφων ἐχόντων, ἔνιοι τῶν νεωτέρων μεταγράφειν ἐπεχείρησαν, ἄλλος ἄλλως. οἱ μὲν ἐπιλήψιες γράφοντες, οἱ δὲ καταλήψιες, οἱ δὲ ἐπιλάμψιες. ἡ δ' ἐξήγησις αὐτῶν ἐπιληψίαν αὐτοῦ βούλεται δηλοῦσθαι, παυομένην ὡς τὰ πολλὰ τοῖς ἐκ νηπίου ἔχουσιν αὐτὴν, ἐν τῇ τῆς παιδικῆς ἡλικίας εἰς τὴν ἡβικὴν μεταβολῇ. καὶ γὰρ φαίνεται γινόμενον οὕτως ἐὰν μή τις ἐν τῷ χρόνῳ τούτῳ πλημμελῶς διαιτώμενος, αἴτιος αὐτοῦ γένηται τοῦ

GALENI COMMENTARIVS.

HAnc omnibus explanationibus scripturam cognoscentibus, & omnibus antiquis codicibus eam habentibus, nonnulli recentiores F alius aliter eam mutare conati sunt. Quidam enim epilepsies scribunt, aliqui catalepsies, alii epilampsies, hoc est, effulgescentiæ. Ipsorum autem interpretatio ab ipso morbum comitialem significari vult, qui plerunque ab infantia laborantibus in ipso à puerili ætate ad pubertatem transitu evanescere consuevit. Etenim id ita fieri compertum est, nisi quispiam eo temporevitiosa victus ratione utens, sibiipsi con-

servandi morbi auctor fuerit. Oritur sanè plerumque ob frigidam cerebri temperaturam, humiditate adjuncta frequenter, idque sæpius accidit, quoniam raro ex alicujus membri vitio provenit. Finitur autem quo tempore pubescunt, si & in aliis, ægrotus, ut decet, se gesserit, quia totius corporis temperamentum ad siccius, calidiusque convertitur. Quo enim pacto juvenis puero calidior sit, in Libris de temperamentis didicisti: ubi etiam quo modo puer juvene sit calidior, declaravimus; juvenis quidem absolutè calidior, puer verò non absolutè; sed eo quod plus innati calidi possideat. Illi itaque qui seipsos Hippocraticos nominant, ipsum fulgores calidi dicere volunt, per translationem ab externa flamma, quæ quum materiam vicit, eamque sibiipsi omnem assimilavit, effulget, manifestaque omnibus redditur, quum prius humidam materiam exiccans occultaretur. At Zeuxis, & cum ipso pariter nonnulli Empyrici, fulgorem haud ita interpretantur; sed altero quodam modo: intelliges autem ex Zeuxidis sermone in hunc modum descripto: Infantes usque ad pubertatis annos appellat Hippocrates, isti autem pubescendi tempore effulgent. Atque hic magnam vim exprimendi habente translatione usus est; tunc enim magis carnosi fiunt, & adultiores, coloreque & forma gratiores, viribus ingenioque præstantiores. Repentè autem ac simul hæc omnia eveniunt, eorumque qui naturâ formosi sunt, tunc magis effulget pulchritudo. Idem iste autem Zeuxis infantes appellari omnes pueros, inquit, quemadmodum & Herophilus ipsos appellavit: de hac enim re hunc in modum scribit hisce verbis; videtur Hippocrates infantes nominasse usque ad pubertatis annos, non eos tantùm, qui nuper nati sunt, ad quinque vel sex annos, ut plerique nunc intelligere solent. Contentus fuit autem & Herophilus tam grandes natu, infantes vocare per hæc verba; infantibus non erumpunt semina multa, neque menstrua purgamenta, iidem non concipiunt, non calvescunt. Neque enim prædictam ætatem natis hæc accidere negat, hoc est à primo statim ortu, ut nonnulli accipientes ipsum derident, tanquam res omnibus notas edocentem, è quorum numero est etiam Callimachus; sed illis qui ad pubertatem usque pervenerunt, quod nonnulli & in istis ea fieri opinarentur. Hactenùs Zeuxis loquutus est; At mihi quid per infantes significari videatur, & antea quidem dixi, & nunc iterum manifestiori sermone repetam. Comitialis affectus aut à naturali imtemperie provenit, cùm humidum valde cerebrum est, tuncque morbus iste puerilis appellatur, quemadmodum ipse in Libro de aquis, aëre & locis ita scribens significavit. Pueris accidere convulsiones, & suspiria, sive anhelitus; quæ putant puerilem efficere & sacrum morbum esse. In his verbis clarè patet illi dictioni, *puerilem*, subintelligendum esse affectum, ut loquutio ita se habeat; quæ putant puerulum affectum efficere, & sacrum morbum esse. Accidit autem hic idem affectus pueris etiam ob errata Medici orationem postulans. Quando verò ob humiditatem oritur, planè infantes statim invadit, desinitque ætatis conversione, nullum nobis negotium facescens. Quapropter quoscunque pueros non à prima

A διαμεῖναι τὸ νόσημα. γίνεται μὲν οὖν, ὡς τὸ πολύ, διὰ ψυχρὰν ἐγκεφάλου κρᾶσιν, συνεζευγμένης ὑγρότητος αὐτῇ τὰ πολλά. σπάνιοι γάρ, αἱ ἐκ μορίου τινὸς ὁρμώμεναι. θεραπεύεται δ' ὅταν ἡβάσκωσιν, ἐὰν καὶ τἄλλα τις ὡς προσήκει πράττῃ, διὰ τὴν ἐπὶ τὸ ξηρότερόν τε καὶ θερμότερον μεταβολὴν τῆς κράσεως ὅλου τοῦ σώματος· ὅπως γὰρ ὁ ἀκμάζων θερμότερός ἐστι τοῦ παιδός, ἔμαθες ἐν τοῖς περὶ κράσεων, ἔνθεν καὶ ὅπως ὁ παῖς τοῦ ἀκμάζοντός ἐστι θερμότερος. ὁ μὲν ἀκμάζων ἁπλῶς θερμότερος, ὁ δὲ B παῖς οὐχ ἁπλῶς, ἀλλ' ὅτι πλεῖον ἔχει τὸ ἔμφυτον θερμόν. ἐκλάμψεις οὖν τοῦ θερμοῦ βούλονται λέγειν αὐτόν, οἱ καλέσαντες ἑαυτοὺς Ἱπποκρατείους, ἐκ μεταφορᾶς ἀπὸ τῆς ἐκτὸς φλογός, ἥτις ὅταν ἐπικρατήσῃ τῆς ὕλης, ὥστε ἑαυτῇ συνεξομοιῶσαι πᾶσαν, ἐξέλαμψέ τε καὶ φανερὰ πᾶσιν ἐγένετο, καταχεκρυμμένη πρόσθεν, ἡνίκα τὴν ὕλην ὑγρὰν οὖσαν ἐξήραινεν. ὁ δέ γε Ζεῦξις, ὡσαύτως δ' αὐτῷ καὶ τῶν ἐμπειρικῶν τινες, οὐχ οὕτως ἀκούουσι τὴν ἔκλαμψιν, ἀλλ' ἑτέρῳ τινὶ τρόπῳ· μαθήσῃ δὲ τῆς τοῦ C Ζεύξιδος ῥήσεως παραγραφείσης ὧδε. νήπια λέγει ὁ Ἱπποκράτης τὰ μέχρι ἥβης. ταῦτα δὲ κατὰ τὸν τοῦ ἡβάσκειν χρόνον ἐκλάμπει, ἐμφατικῶς ἄγαν τῇ μεταφορᾷ χρησάμενος. καὶ γὰρ σαρκοῦται τὰ τηνικαῦτα μᾶλλον, καὶ εὐερνέστερα γίνεται, καὶ τῷ χρώματι καὶ τῷ εἴδει χαριέστερα, καὶ τῇ δυνάμει, καὶ λογισμῷ βελτίονα. ἀθρόως δὲ γίνεται τοιαῦτα ὥστε καὶ τῶν εὐειδῶν φύσει, τότε μᾶλλον ἐκλάμπει τὸ κάλλος. ὁ δ' αὐτὸς οὗτος Ζεῦξις νήπιά φησιν εἰρῆσθαι πάντα τὰ παιδία, καθότι καὶ Ἡρόφιλος ὠνόμασεν αὐτὰ οὕτως. καὶ γὰρ περὶ τούτου γράφει τόνδε τὸν τρόπον, διὰ D ταύτης τῆς λέξεως. φαίνεται νήπια λέγων ὁ Ἱπποκράτης τὰ ἕως ἥβης, καὶ οὐχὶ τὰ νεογνὰ μέχρι τῶν πέντε ἢ ἓξ ἐτῶν, ὡς νῦν οἱ πλεῖστοι λέγουσιν. ἤρκει δὲ καὶ ὁ Ἡρόφιλος τὰ τηλικαῦτα λέγων νήπια, δι' ὧν φησι. τοῖς νηπίοις οὐ γίνεται σπέρματα μεγάλα, καταμήνια, κύημα, φαλακρότης. οὐ γὰρ τοῖς μέχρι τῆς προειρημένης ἡλικίας παραγινομένοις λέγει μὴ γίνεσθαι ταῦτα, τουτέστιν ἀπὸ τῆς πρώτης εὐθέως γενέσεως, ὅπερ τινὲς δεχόμενοι καταγελῶσιν αὐτοῦ, ὡς τὰ πᾶσι γιγνωσκόμενα διδά-E σκοντος, ὧν ἐστι καὶ ὁ Καλλίμαχος, ἀλλὰ τοῖς μέχρις ἥβης, ἐπειδή τινες ὑπέλαβον, καὶ ἐν τούτοις ταῦτα γίνεσθαι. ταῦτα μέν σοι καὶ τὰ τοῦ Ζεύξιδος· ἐμοὶ δ', ὅπως εἰρῆσθαι δοκεῖ τὰ νήπια, καὶ πρόσθεν μὲν εἶπον, ἀναλήψομαι δὲ καὶ νῦν ἔτι σαφέστερον τὸν λόγον. τὸ τῆς ἐπιληψίας πάθος, ἤτοι κατὰ φυσικὴν γίνεται δυσκρασίαν, ὅταν ὑγρὸς ὁ ἐγκέφαλος ἱκανῶς ᾖ, καὶ τηνικαῦτά γε καὶ παιδίων ὀνομάζεται τὸ νόσημα, καθάπερ αὐτὸς ἐδήλωσεν ἐν τῷ περὶ ὑδάτων, καὶ ἀέρων, καὶ τόπων, ὧδέ πως γράψας. Τοῖς παιδίοις συμπίπτειν σπασμούς τε, καὶ ἄσθματα, ἃ νομίζουσι τὸ παιδίον ποιέειν, καὶ νοῦσον ἱερὴν εἶναι. F κατὰ ταύτην τὴν ῥῆσιν εὔδηλον ὅτι προσυπακούεσθαι δεῖ τὸ παιδίων πάθος, ὡς εἶναι τὴν λέξιν ταύτην, ἃ νομίζουσι τὸ παιδίων πάθος ποιεῖν, καὶ ἱερὴν νοῦσον εἶναι. γίνεται δὲ καὶ δι' ἁμαρτήματα τοῖς παιδίοις ταὐτὸ τοῦτο πάθος, ἰατρικῆς θεραπείας δεόμενον. ὅταν δὲ δι' ὑγρότητα γίνεται, νηπίοις οὖσιν εὐθὺς ἄρχεται, καὶ παύεται μηδὲν ἡμῶν πραγματευομένων ἐν τῇ τῆς ἡλικίας μεταβολῇ, ὡς οἷς ἂν ἄρξηται παιδίοις,

μὴ κατὰ τὴν πρώτην εὐθὺς ἡλικίαν, βρέφεσιν οὖσιν, ἀλλ' ἐν τῷ προϊέναι, δῆλόν ἐστιν ἐξ ἁμαρτημάτων, τούτοις τῶν κατὰ τὴν δίαιταν, ἢ τινος ἔξωθεν αἰτίας ἑτέρας, ἐγηγερκὸς τὴν γένεσιν, ἐφ' ὧν οὐ χρὴ τὴν μεταβολὴν τῆς ἡλικίας ἀναμένειν, ἀλλὰ τὴν γεγονυῖαν τὴν διάθεσιν ἐν αὐτοῖς νοσώδη θεραπεύειν. ἐκεῖνό γε μὴν ἄξιον οὐ σμικρᾶς ζητήσεώς ἐστιν, ἐὰν κατὰ τὴν παλαιὰν γραφὴν ἐκλάμψιας ἀκούσωμεν, ὡς ὁ Ἱπποκράτης, καὶ ὁ Ζεῦξις ἤκουσεν. ὁ γὰρ » λόγος ἐστὶ τοιοῦτος. αἱ τῶν νηπίων, ὅταν ἡβάσκωσιν » ἐκλάμψιες οὐ θερμοῦ, καὶ ἄλλας μὲν τινας ἐν αὐτοῖς » ἴσχουσι μεταβολάς, καὶ μέντοι καὶ τὴν τῶν νεφρῶν πῆ» σιν ἣν αὐτὸς ἐφεξῆς διηγεῖται. παραλέλειπται γὰρ ἐν τῷ τοιούτῳ λόγῳ τὸ τῆς ἐπιληψίας ὄνομα, καὶ κατὰ τοῦτο φαίνονταί τινες οὐκ ἀλόγως ἐπιλήψιας γράφοντες, ὥσπερ ἔνιοι καταλήψιας. ἐχρῆν δὲ αὐτοὺς ὡς οὐχ εὑρόντας οὕτω γεγραμμένον, ἀλλ' ὡς ἄμεινον οὕτω γράφειν, εἰπόντας, ἐπὶ τὴν εἰρημένην ἐξήγησιν ἀφικνεῖσθαι. προσκειμένου δὲ τοῦ, καὶ, συνδέσμου, τοῦτον πάλιν ἀφαιροῦσιν ἔνιοι, δύο βουλόμενοι λόγους εἶναι κατ' οὐδὲν ἀλλήλοις κοινωνοῦντας, ἕνα μὲν, ἐκ τῆσδε τῆς ῥήσεως αὐτάρκως δηλούμενον. αἱ τῶν νηπίων ἐκλάμψιες ἅμα ἥβῃ, ἔστιν οἷσι μεταβολὰς ἴσχουσι καὶ ἄλλας. ἕτερον δὲ τοιόνδε, ἐς νεφρὸν ὀδύνη βαρεῖα ὅταν πληρῶνται σίτου. καὶ τὰ τούτοις συνεχῆ περὶ νεφρίτιδος αὐτοῦ διδάσκοντος, ἀφ' ἑτέρας ἀρχῆς, οὐχ ὡς τοῖς παιδίοις ὅταν ἡβάσκῃ εἰς τοῦτο τὸ νόσημα τῆς ἐπιληψίας μεθισταμένης. οὐ γὰρ φαίνεται κατὰ τὴν ἡλικίαν ταύτην νεφρίτις γινομένη, καθάπερ ὁ κατὰ τὴν κύστιν λίθος. οὗτος μὲν γὰρ παιδίοις μᾶλλον, νεφρίτις δὲ τοῖς παρακμάζουσι γίγνεται. παραγράψωμεν οὖν ἐφεξῆς τὰ περὶ νεφρίτιδος ὑπ' αὐτοῦ λεγόμενα.

A statim ætate, quum adhuc sunt infantuli, sed annorum progressu vexare inceperit, proculdubio ob peccata in victus ratione commissa, aut ob aliam quampiam externam causam, exortus est; in quibus ætatis conversionem præstolari non convenit; sed factum morbosum affectum discutere. Illud utique non exigua consideratione dignum est, si secundùm antiquam lectionem fulgores acceperimus, ut Hippocrates & Zeuxis acceperunt; oratio enim hujusmodi est; Infantium quum pubescunt, fulgores
B calidi, & alias quidem nonnullas in ipsis mutationes habent, quin etiam renum affectionem, quam ipse deinceps explanat. Prætermittetur enim & in hoc sermone epilepsiæ nomen. Atque ideo nonnulli haud absque ratione scribere videntur, epilepses quemadmodum & alii, catalepses. At hos decebat tanquam non ita scriptum invenientes; sed quod melius esset ita scribere dicentes, ad prædictam explanationem accedere. Quum verò hæc vox, & apposita sit, hanc rursum alii adimunt, duas orationes nullo vinculo inter se connexas esse volentes;
C unam hisce verbis satis declaratam, infantium fulgores, simulatque pubescunt, in nonnullis mutationes habent & alia; alteram hoc modo dicentes, in renem dolor gravis cum cibo replentur, & reliqua quæ sequuntur, de renum vitiis ipso tradente, ab altero initio; non quod in pueris, quum pubescunt, in hoc vitium comitialis morbus transeat, haud enim ea ætate renum morbus creari videtur, quemadmodum vesicæ lapis; iste nanque in pueris magis, renum autem affectus in declinante potiùs ætate contingit. Adscribamus igitur ea deinceps,
D quæ de renum vitiis in hunc modum ab eo tradita sunt.

Τί βαρεῖα νεφροῦ ὀδύνη, καὶ αἱ τῆς αὐτῆς αἰτίαι, τὸ τῶν σίτων πλῆθος, καὶ ἡ τῶν νεφρῶν λιθίασις καὶ φλεγμονή, ἐνταῦθα δὲ σῖτος ἐμπλεόνερος. διὰ κενώσεως καὶ ἔμετον τὸν παροξυσμὸν, καὶ μὴ τὴν νόσον λύεσθαι. τί σῖτος ἐνταῦθα καταλαμβάνεται. τὰ οὖρα σανδαραχίνα, ὀροβώδεα, καὶ πυῤῥά. τὰ συμβαίνοντα τοῖς νεφριτικοῖς διῆλθεν ὁ Ἱπποκράτης, καὶ τῆς θεραπείας νεφρῶν πεπονθότων ὑποτύπωσιν δίδωσι.

Quid gravis renis dolor, ejusque causæ, ciborum repletio, reni calculi, & phlegmone; sed hic cibus plenior vacuatione per vomitum accessionem non morbum solvi. Quis cibus hîc intelligitur, urinæ sandarachinæ, eruinæ, & fulvæ. Quæ Nephriticis accidunt, percurrit Hippocrates, datque formulam curationis renum. E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Ἐς νεφρὸν ὀδύνη βαρεῖα, ὅταν πληρῶνται σίτου, ἐμέουσί τε φλέγμα. ὅταν δὲ πλεονάζωσιν αἱ ὀδύναι, ἰώδεα καὶ ῥάους μὲν γίνονται. λύονται δὲ ὅταν σιτίων κενωθῶσιν, ψαμμία τε πυῤῥὰ ὑφίσταται, αἱματώδεις τε οὐρέουσι· νάρκη μηροῦ τοῦ κατ' ἴξιν. ἐλινύειν οὐ ξυμφέρει, ἀλλὰ γυμνάζεσθαι, μὴ ἐμπίπλασθαι. τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, οὐρητικοῖς καθαίρειν, λεπτύνειν, καὶ ἁπαλύνειν.

HIPPOCRATIS TEXTUS VI.

In renem dolor gravis procidit quum cibo replentur; vomuntque pituitam. Quum vero ubertim excreverint, æruginosa meiunt, & leviores quidem evadunt. Solvuntur autem dolores, vacuati cibis, arenulæ fulvæ subsident, & cruentam urinam meiunt; femoris è regione positi stupor percipitur. Quiescere non confert, sed exerceri, non repleri. Iuvenes veratro purgare oportet; poplitis venam incidere; urinam cientibus expurgare, attenuare ac emollire. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀδύνην βαρεῖαν, ἤτοι τὴν, ὡς βαρέος τινὸς ἐγκειμένου κατὰ τὸ χωρίον, αἴσθησιν φέρουσαν, ἢ τὴν χαλεπὴν ἀκούειν οἷόν τ' ἐστίν. ἀληθὲς γὰρ ἑκάτερόν ἐστι, κατὰ διαφέροντας χρόνους ἐν τοῖς νεφροῖς γινόμενον. ἐπεὶ σφοδρόταται μὲν ὀδυνῶνται κατά τε τὰς γενέσεις, καὶ διεξόδους τῶν

GALENI COMMENTARIUS.

Dolorem gravem, aut tanquam alicujus rei gravis loco incumbentis sensum inferentem, aut acerbum intelligere possumus. Siquidem utrumque verum est, diversis tamen temporibus, in renibus fieri: in calculorum enim creatione, atque exitu acerbissimè do-

lent, reliquo autem tempore, ut rei cujuspiam gravis loco incumbentis dolorem percipiunt. Quicunque igitur in renum cavis lapillos concrescere arbitrantur, in solo per urinarios meatus transitu laborantes dolere aiunt; At quicunque in ipsa renum carne calculos creari sibi persuaserunt, non solùm inter exeundum; verumetiam creationis tempore eo in loco dolorem ipsos inferre testantur; deinde & quando in renum sinus pervadunt. Calculos autem in renum carnibus generari, proportione tophis in articulorum morbo genitis respondentes, orationem in testem adducunt ex Libro de natura hominis, & victûs ratione ita se habente. Quibuscunque arenosum subsidet, aut tophi in urinis, istis ab initio tubercula secundùm venam crassam orta sunt, & suppuraverunt. Postea verò non celeriter ruptis tuberculis, tophi ex pure concreti sunt, qui foras per venas cum lotio in vesicam truduntur. Hæc est sane Hippocratica narratio. Cæterum renum calculi utroque fieri modo possunt, & nuper dicto, & eo, quem paulo ante declaravimus, quum in ipsorum sinibus temporis intervallo exustum, arefactumque, crassum & viscidum humorem, ad tophi spissitudinem redigi asserebamus. Eodem quoque tempore si obstructio aliqua in ipsis fiat, aut mediocris phlegmone, gravitatis magis quàm doloris sensus efficitur, quemadmodum & in jecore, propterea quod ut renes, ita & jecur perexiguis nervis præditum est. Dolores autem eo potissimum tempore in renibus excitari dicit, quod replentur cibo. Quumque duo ab hac voce, *cibus* apud ipsum significentur, in utroque significato veridica oratio est, sive de assumptis cibariis, ex quibus sanguinis multitudo creatur, sive de alimenti recrementis, quæ in intestinis colliguntur, intelligas; nonnunquam enim & ita cibos nuncupat, ut in Libro de ratione victus in acutis, ita inquiens. Quibus enim cibus in intestinis occlusus est, nisi quis alvum prius ducens, sorbitionem dederit, vehementer lædet. Dolor itaque à cibo ita significante excitatus in renibus qui multitudine pondereque excrementorum premantur, onerenturque, simulatque ista deleta, expulsaque fuerint, remittitur atque planè finitur. At dolor ex sanguine in venis contracto proveniens, quando in renes incubuerit, etiamsi venam cæcideris, haud illico discutitur, & ob renum corporis densitatem, & quoniam ob multa ipsis superinjecta corpora, exterius appositorum remediorum facultas ad renes jam debilior affecta pervenit. Solvit autem ipsorum dolores non id solum, verumetiam & per superiorem ventrem facta excretio: quæ tam coli, quàm renum dolore vexatis commune quoddam symptoma est; continenter enim renes laxo intestino, & laxum intestinum renibus per tunicam peritonæum vocatam copulantur. Inter initia itaque pituitosi vomitus fiunt; hujusmodi enim succus in ventriculo creatur plerunque ex ciborum multitudine, ac multo magis, si isti crassi naturaque pituitosiores extiterint. Quod si increscant perseverentque affectus, iis ita patientibus, vomitus æruginosus supervenit, ob dolores ac vigilias corrupto sanguine, idque ma-

A λίθων, ἐν δὲ τῷ λοιπῷ χρόνῳ τὰς ὀδύνας ὡς βαρέος τινὸς ἐγκειμένου κατὰ τὸν τόπον ἔχουσιν. ὅσοι μὲν οὖν ἡγοῦνται κατὰ τὴν κοιλίαν τῶν νεφρῶν συνίστασθαι τοὺς λίθους, ἐν τῇ διεξόδῳ μόνῃ τῇ κατὰ τοὺς οὐρητῆρας ὀδυνᾶσθαί φασι τοὺς πάσχοντας. ὅσοι δὲ ἐν αὐτῇ τῇ σαρκὶ τῶν νεφρῶν, οὐκ ἐν μόναις ταῖς διεξόδοις, ἀλλὰ καὶ καθ' ὃν γίνονται χρόνον ἐνταῦθα, καὶ καθ' ὃν εἰς τὴν κοιλίαν τῶν νεφρῶν διεξέρχονται. τοῦ δὴ ἐν ταῖς σαρξὶν αὐτῶν συνίστασθαι B τοὺς λίθους, ἀνάλογον τοῖς ἐπὶ τῶν ἀρθριτικῶν πώροις, ἐπάγονται μάρτυρα τὴν ἐκ τοῦ περὶ φύσεως ἀνθρώπου καὶ διαίτης λέξιν, ἔχουσαν οὕτω. ὁκόσοισι ψαμμοειδὲς ὑφίσταται, ἢ πῶροι ἐν τοῖσιν οὔροισι, τούτοισι τὴν ἀρχὴν φύματα ἐγένετο πρὸς τῇ φλεβὶ τῇ παχείῃ, καὶ διεπύησεν. ἔπειτα δὲ οὐ ταχέως ῥαγέντων τῶν φυμάτων πῶροι συνεστάθησαν ἐκ τοῦ πύου, οἵτινες ἔξω θλίβονται διὰ τῆς φλεβὸς σὺν τῷ οὔρῳ εἰς τὴν κύστιν. αὕτη μὲν οὖν ἡ Ἱπποκράτειός ἐστι ῥῆσις, οὐκ ἀδύνατον δὲ ἑκατέρως γίνεσθαι τοὺς ἐν τοῖς νεφροῖς λίθους κατά τε C τὸν ἄρτι εἰρημένον τρόπον, καὶ τὸν ὀλίγον ἔμπροσθεν, καθ' ὃν, ἐν ταῖς κοιλίαις αὐτῶν, ἔφαμεν, ἐξοπτώμενον ἐν τῷ χρόνῳ καὶ ξηραινόμενον παχὺν καὶ γλίσχρον χυμὸν, εἰς πωρώδη σύστασιν ἀφικνεῖσθαι. κατὰ τὸν αὐτὸν χρόνον, ἐάν τ' ἔμφραξις ᾖ κατ' αὐτοὺς, ἐάν τε μετρία φλεγμονὴ, βάρους μᾶλλον οὐκ ὀδύνης αἴσθησις γίνεται, καθάπερ ἤ κἀν τῷ ἥπατι διὰ τὸ βραχυτάτων νεύρων, ὥσπερ τοὺς νεφροὺς, οὕτω καὶ τὸ ἧπαρ μετέχειν, τὰς δὴ ὀδύνας ἐν τοῖς νεφροῖς μάλιστα γίνεσθαί φησι, καθ' ὃν χρόνον πληροῦνται σίτου. δύο δὲ σημαινούσης τῆς, σῖτος, φωνῆς D παρ' αὐτῷ, καθ' ἑκάτερον τῶν σημαινομένων ἀληθὴς ὁ λόγος ἐστίν. ἐάν τε ἐπὶ τῶν ἐσθιομένων ἀκούηται σιτίων ἐξ ὧν αἵματος ἀθροίζεται πλῆθος, ἐάν τ' ἐπὶ τῶν ἐν τοῖς ἐντέροις περιττωμάτων τῆς τροφῆς. ὀνομάζει γάρ ποτε καὶ ταῦτα σῖτα, ὡς ἐν τοῖς περὶ διαίτης ὀξέων. οἷσι γάρ φησιν, ἐγκατακέκλεισται σῖτος τοῖς ἐντέροις, ἢν μή τις ὑποκενώσας τὴν γαστέρα τὸ ῥόφημα δοίη, βλάψει μεγάλως. ἡ μὲν οὖν διὰ τὸ οὕτω λεγόμενον σῖτον ὀδύνη γινομένη κατὰ τοὺς νεφροὺς, ἐπὶ τὸ θλίβεσθαί τε, καὶ βαρύνεσθαι πρὸς τὸ πλήθους τε, καὶ βάρους τῶν περιττωμάτων, E εὐθέως ἅμα τῷ διαχωρῆσαι κάτω ταῦτα, καθίστασθαί τε, καὶ παύεται τελέως. ἡ δὴ ἐκ τοῦ κατὰ τὰς φλέβας ἀθροισθέντος πλήθους, ὅταν εἰς τοὺς νεφροὺς κατασκήψῃ, κἂν φλεβοτομηθῶσιν, οὐκ εὐθέως λύεται, διά τε τὸ πυκνὸν τῆς τῶν νεφρῶν οὐσίας, καὶ ὅτι διὰ πολλῶν αὐτοῖς ἐπικειμένων σωμάτων, ἡ τῶν ἔξωθεν ἐπιτιθεμένων βοηθημάτων ἀφικνουμένη δύναμις ἐκλύεται. λύει δὲ αὐτῆς τὰς ὀδύνας οὐ μόνον, ἀλλὰ καὶ ἡ διὰ τῆς ἄνω γαστρὸς ἔκκρισις, ἣ γίνεται κοινόν τι σύμπτωμα τοῖς κῶλον πάσχουσι καὶ νεφρόν. καὶ γάρ τοι καὶ συνεχῶς οἱ νεφροὶ, τῷ κώλῳ, καὶ τὸ F κῶλον τοῖς νεφροῖς συνάπτονται αὐτὰ τοῦ περιτοναίου, κατὰ κατ' ἀρχὰς μὲν οὖν οἱ ἔμετοι φλεγματώδεις γίνονται. τοιοῦτος γὰρ ἐν τῇ γαστρὶ γεννᾶται χυμὸς, ὡς τὸ πολὺ διὰ πλῆθος σίτου, καὶ μᾶλλον ἐὰν παχέα ταῦτα, καὶ φύσει φλεγματωδέστερα τύχῃ, ἐὰν δὲ αὔξαιντό τε, καὶ παραμένῃ τὰ πάθη, προσγίνεται τοῖς οὕτω πάσχουσι ἰώδης ἔμετος, ἐπί τε ταῖς ὀδύναις, καὶ ταῖς ἀγρυπνίαις διαφθειρομένου τοῦ αἵματος, καὶ μάλισθ' ὅταν

ἅμα τούτοις πυρέξωσι καὶ ἀσιτήσωσι. καὶ ῥᾴοις μὲν, φησιν, ἐπὶ τοῖς ἐμέτοις γίνονται, παύονται δὲ τῶν παροξυσμῶν, οὐ γὰρ δὴ τῆς γε διαθέσεως, ὅταν σιτίων κενωθῶσιν. ἑκατέρως δὲ καὶ νῦν ἔνεστι δέξασθαι τὸ τῶν σιτίων ὄνομα, καὶ μᾶλλον ἐπὶ τὴν κατὰ τὴν γαστέρα, καὶ τὰ ἔντερα. ψαμμία δὲ πυῤῥά φησιν, ὑφίστανται δηλονότι τοῖς οὔροις. καὶ γὰρ καὶ φαίνεται τοῦτο γινόμενον, ἐὰν τὸ πυῤῥὸν ἀκούσῃς τοιοῦτον εἶναι τὴν χρόαν ὁποία καὶ ἡ σανδαράχη καλουμένη, διὸ καί τινες μὲν τῶν ὁμιλησάντων ἐπιμελῶς τοῖς ἔργοις τῆς τέχνης ὀροβοειδεῖς ὑποστάσεις γίνεσθαί φασιν αὐτοῖς, ἔνιοι δὲ σανδαραχώδεις, ἔστι δ' ὅτε καὶ ὄντως πυῤῥάς. αἱ μὲν οὖν πρότεραι δύο, καὶ τοῖς ἡπατικοῖς συνεδρεύουσι πάθεσιν, ἡ τρίτη δὲ τοῖς κατὰ τοὺς νεφρούς, ὥσπερ κἀπειδὰν οἷαί περ αἱ ψάμμοι κατὰ τὴν χρόαν ὑποστάσεις γίνονται. ἀλλήλων μὲν γὰρ διαφέρει τὰ χρώματα τῶν ὑφισταμένων τοῖς οὔροις παρὰ μᾶλλον καὶ ἧττον. γίνονται δ' ἐξ ὕλης παχείας μὲν καὶ γλίσχρας πάντως. ἤτοι δὲ τὸ παχὺ πλέον, ἢ τὸ γλίσχρον ἐχούσης, ἰσάζον πάντως ἀλλήλοις. ἐὰν μὲν οὖν ἐκ φλέγματος γλίσχρου μόνου, καὶ παχέος, ἡ σύστασις γένηται, τεφρώδης ἐστὶ χρόα, παραπλησία τῇ τοῖς ἄλλοις ὑπαρχούσῃ πώροις, ὅσοι κατά τε τὰ θερμὰ φύσει τῶν ὑδάτων ἐν πολλοῖς χωρίοις ὁρῶνται τοῖς λίθοις ἐπιτρεφόμενοι, καὶ ἄλλως ἐν ἀγγείοις ἔνθα θερμαίνεται τὸ ὕδωρ. γένοιτο δ' ἄν ποτε κἀκ τῆς πυώδους ὑγρότητος, ἢ μικτῆς ἐκ πυώδους καὶ φλεγματώδους ἐν σώματι ζώου τοιοῦτος πῶρος, ὥσπερ καὶ τοῖς ἀρθριτικοῖς. ὁ γὰρ αὐτὸς τρόπος τῆς γενέσεως πάντως ἐστὶ τούτοις, καὶ τοῖς ἐν νεφροῖς συνισταμένοις λίθοις. ἐὰν μέν τοι μιχθῇ τισι ὀλίγον αἵματος, φλέγματι παχεῖ τε, καὶ γλίσχρῳ, κατὰ τὴν ἐπικράτειαν ἡ χρόα γίνεται τῶν ὑφισταμένων τοῖς οὔροις. ἐνίοτε μὲν οἷον ὠχρόλευκος, ἢ ἐρυθρόλευκος, ἢ ξανθόλευκος, ἔστι δ' ὅτε δὲ πυῤῥά, συντελοῦντος εἰς τὰς τῶν χρωμάτων διαφορὰς, καὶ αὐτοῦ τοῦ κατὰ τὸ αἷμα χρώματος. οὐ γὰρ ἀκριβῶς ἐρυθρόν ἐστι ἀεὶ τοῖς ἀνθρώποις, ἀλλ' ἐνίοτε μὲν ἐπὶ τὸ μελάντερον, ἐνίοτε δ' ἐπὶ τὸ ξανθότερόν τε καὶ πυῤῥότερον ῥέπον. ἢ τοίνυν ἁπάσας ἃς εἶπον ἄρτι διαφορὰς τῶν χρωμάτων πλὴν τῆς τεφρώδους, ἡγητέον ὑπὸ τῆς, τοῦ, πυῤῥὸν, δηλοῦσθαι φωνῆς, εἰπόντος αὐτοῦ, ψαμμία πυῤῥὰ ὑφίστασθαι, ἢ τὸ προκείμενον τὸ αἱματῶδες ἀπὸ κοινοῦ δεκτέον εἰρῆσθαι. λέγω δὲ τὸ ποτέ. ὥσπερ γὰρ αἱματῶδες αὐτοῖς φαίνεταί ποτε γινόμενον τὸ οὖρον, οὔτε διὰ παντὸς, οὔτ' ἐπὶ πάντων τῶν νεφριτικῶν ὑπάρχον τοιοῦτον παραπλησίως καὶ ψαμμία ποτὲ φαίνεται πυῤῥὰ τοῖς οὔροις ὑφιστάμενα. δέδεικται μὲν γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἕλκειν εἰς ἑαυτὸν, ὁ νεφρὸς ὅσον ἐν ταῖς φλεψὶν ὀῤῥῶδές τε καὶ λεπτὸν ἀναμέμικται τῷ αἵματι. τῶν δὲ ἐς τὴν κοιλίαν αὐτοῦ διηθούντων τὸ τοιοῦτον πώρων, ἐπὶ πλέον ἀναστομωθέντων, συνδιηθεῖταί τι καὶ τῶν παχυτέρων. ὅταν οὖν τοῦτο θερμαινόμενον ἐν τῇ κοιλίᾳ τοῦ νεφροῦ, πωροειδῆ λάβῃ σύστασιν, ἐὰν μὲν ἡ τῶν νεφρῶν ἀποκριτικὴ δύναμις διώσηται πᾶν αὐτὸ σὺν τοῖς οὔροις, αἱ ψαμμώδεις ἐν αὐτοῖς ὑποστάσεις γίνονται. ἐὰν δὲ ἐμπεπιλημένον τε, καὶ δυσαπόλυτον ᾖ τῇ κοιλίᾳ τοῦ νεφροῦ, δεχομένου ἑαυτῷ τι παραπλήσιον ἕτερον ἐκ τῆς κοίλης φλεβὸς, ἐπὶ πλέον αὐξάνεται. προσπλάττεται

A ximè, quum unà febricitaverint, & inedia macerati fuerint. Et melius quidem, inquit, à vomitibus habent; ab accessionibus quidem liberantur; sed non ab affectu, cùm cibis vacuati sint. Utroque autem modo, & nunc cibi nomen accipere possumus; sed potius de ventris intestinorumque excrementis intelligere debemus. Arenulæ autem rufæ, inquit, subsident, hoc est, in urinis; id enim accidere evidens est, si rufum colorem talem esse intellexeris, qualis est & sandaracha quæ vocatur. Quapropter & nonnulli in artis operibus diligenter B versati, subsidentias oroboides appellant, hoc est erui similes; alii sandarachodes, id est, sandarachæ colorem referentes: interdum & re vera rufas nominant. Nempe duæ priores & jecinoris affectus comitantur; tertia renum morbos sequitur; quemadmodum & quando veluti arenæ colore subsidentiæ evadunt. Nam in urinis subsidentium colores majoris, minorisque ratione inter se differunt; verùm ex materia crassa tenacique modo crassitudinem majorem, modo tenacitatem, modo utranque paribus omnino portionibus habente, plane fiunt. C Itaque si ex sola pituita crassa & viscida subsidentia facta sit, color cinereus erit, aliorum tophorum colori similis qui in aquis sponte calidis, multis in regionibus lapidibus adnasci, accrescereque cernuntur; & in vasis alioqui, ubi aqua calefit. Quinetiam in animalis corpore ex purulento humore, & ex purulento, pituitosoque composito, hujusmodi tophus nonnunquam creari potest, quemadmodum & in articulorum morbis accidere consuevit; eodem enim prorsus modo in his & renum affectibus lapides concrescunt. At si quibusdam parum D sanguinis cum pituita crassa lentaque mistum sit, urinarum subsidentiæ color pro succi majore copia evadet, nonnunquam veluti ex pallido, alboque mistus, aut ex rubro & albo, aut ex flavo & albo. Nonnunquam verò & rufus erit, & ipso sanguinis colore ad colorum differentias faciente; neque enim sanguis hominibus exquisitè ruber semper est, sed interdum quidem ad atrius, interdum ad flavius & rufius vergit. Aut igitur omnes, quas modo recensui, colorum differentias præter cinereum E ab hac voce, rufum, significari putandum est, ipso dicente arenulas rufas subsidere: aut adjectam illam vocem, sanguinem, ex communi sensu dictam fuisse accipiendum est. Dico autem nonnunquam, quemadmodum enim cruentum ipsis interdum lotium emittitur, non semper tamen, neque in omnibus renum affectibus, pariter & interdum arenulæ rufæ in urinis subsidentes apparent. In Commentariis nanque de naturalibus potentiis, quicquid in venis serosi, tenuisque cum sanguine permistum est, renem ad seipsum attrahere demonstravimus, meatibus autem id in renis ventricu- F lum percolantibus latius patefactis, aliquid etiam ex crassioribus succis illabitur. Quando igitur istud calefactum in renis cavo ad tophi consistentiam redactum fuerit, si renum vis expulsoria omne id unà cum lotio extruserit, arenosæ in ipso subsidentiæ fiunt: quod si renis cavo impactum tenaciùs inhærescat, aliquid aliud ejusdem materiæ ex vena cava suscipiens, sibique apponens, plus augetur, semper enim

enim quod recens influit, priori circumaffigitur, atque ita insigni magnitudine tophus grandescit. Verùm nonnulli inquiunt, cur sanguinem meiunt? quoniam calculus egrediens quum angulosus sit, proximas particulas vulnerat, & cruorem evocat. Quod si ex vena cava in renem pertinens meatus patentior fiat, sanguis autem liquidus sit, neque multus, neque viscidus, cruentum ita lotium redditur. At dolorem stupidum in crus descendentem, propter vasorum dorso incumbentium, cavæ scilicet venæ, magnæque arteriæ cum renibus & cruribus conjunctionem, ortum habere putandum est. Maximæ nanque in ipsos renes expullulant: post eas quædam haud magnæ in lumbos inseruntur: posteà utrunque conceptaculum bipartito divisum in utrunque crus delabitur, per ipsumque totum distribuitur. Quicunque verò per meatus urinarios, aut quasdam membranas, aut nervos, vel etiam peritonæum cum cruribus sociari asseverant, dissecandorum corporum planè imperiti sunt. Quænam igitur renum laborantibus accidant, hactenus narravit Hippocrates. Deinceps vero de ipsorum curatione hisce verbis loquitur; quiescere non conducit, sed exercitationes, non impleri, juvenes veratro purgare, poplitem cædere, urinariis evacuare, tenuare, & mollire. Sibiipsi formulam quandam renum curationis hisce verbis per capita constituit, nonnulla quidem omnis ætatis corporisque habitus communia, nonnulla juuenum & robustorum propriè scribens. Communia sunt autem quæ primo scripta sunt, & quiescere, quod ipse ἐλινύειν vocat, quod ociosè vivere significat, quod ipsis non conducere ait, & exercitationes: has enim conducere arbitratur tanquam multitudinem evacuantes, & pituitosum, crassum, immaturumque omnem ad maturitatem ducentes & attenuantes, & corporis omnes particulas roborantes. Sed te animadvertere oportet, ipsum non prorsum magnas exercitationes in præsentia dicere, veluti equitationes, aut armis aut lucta, aut pancratio certare, aut humum fodere, aut id genus aliud facere; sed omnem absolutè motionem, quæ pro ætatis, habitus, roborisque renibus ægrotantis ratione corpus exercere valeat. Verumetiam non impleri, cujusque ætatis & corporis habitus commune documentum est. Quæ sequuntur, juvenibus, ut ipse ait, congruentia scribit, ita dicens, Juvenes veratro purgare, poplitem incidere. Veratro quidem purgare, si valde antiquus affectus sit, & ceu vectibus (ut ita dixerim) extrudendus: ad hujusmodi enim morbos veratro utimur: venam autem cædere, ubi sanguis aut multus aut crassus in venis abundet. Quod si utroque auxilio ipse homo indigeat, à venæ sectione incipiendum esse patet. Aliàs autem didicisti, membra supra jecur cubiti venæ sectionem postulare: infra vero, crurum, in poplitibus venas nobis cædentibus, aut omnino saltem juxta malleolos. Quod deinceps dixit; Urinariis mundare omnibus utile est: neque simpliciter dixit urinariis utendum esse, sed hoc verbum, mundare, adjiciens, modum adjumenti ab ipsis provenientis declaravit, non solùm tenacia, & crassa renibus inhærentia purgantibus, verumetiam cum ipsis & ea, quam in venis præter

A γὰρ ἀεὶ τὸ ἐπιῤῥέον τῷ προϋπάρχοντι, καὶ οὕτως ὁ πῶρος ἀξιόλογος τὸ μέγεθος συνίσταται. τινὲς δὲ εἰρήκασι· διά τι αἷμα οὐροῦσιν; ὅτι ἐπειδὴ ὁ λίθος ἐξιὼν, ὅταν τραχυειδής ἐστι, πλήττει τὰ παρακείμενα μόρια, καὶ αἷμα ποιεῖ ἐκκρίνεσθαι. ἐὰν δὲ ἀραιωθῇ μὲν ἡ εἰς τὸν νεφρὸν ἐκ τῆς κοίλης φλεβὸς εἴσοδος, ὑγρὸν δ' ᾖ τὸ αἷμα, καὶ μήτε πολὺ, μήτε γλίσχρον αἱματῶδες οὕτω τὸ οὖρον γίνεται. τὴν δ' εἰς τὸ σκέλος διήκουσαν ὀδύνην ναρκώδη, διὰ τὴν τῶν ἐπικειμένων ἀγγείων τῇ ῥάχει τῆς κοίλης φλε-
B βὸς, καὶ τῆς μεγάλης ἀρτηρίας, πρός τε τοὺς νεφροὺς, καὶ τὰ σκέλη κοινωνίας ἡγητέον γίνεσθαι. μέγισται γὰρ εἰς αὐτοὺς τοὺς νεφροὺς ἀποπεφύκασι, μεθ' ἃς οὐ μεγάλαι τινὲς ἐν ὀσφύϊ, κἄπειθ' ἑκάτερον τῶν ἀγγείων δίχα σχισθὲν, εἰς ἑκάτερον ἀφικνεῖται τῶν σκελῶν, εἰς ὅλον αὐτὸ διανεμόμενον. ὅσοι δὲ διὰ τῶν οὐρητήρων, ἢ τινων ὑμένων, ἢ νεύρων, ἢ καὶ τοῦ περιτοναίου λέγουσι κοινωνίαν εἶναι τοῖς νεφροῖς πρὸς τὰ σκέλη, παντάπασιν ἀπείρως ἔχουσιν ἀνατομεῖν. τὰ μὲν οὖν συμβαίνοντα τοῖς νεφριτικοῖς ἄχρι δεῦρο τοῦ λόγου διῆλθεν ὁ Ἱπποκράτης. ἐφεξῆς δὲ περὶ
C τῆς ἰάσεως αὐτῶν γράφει κατὰ τὴν ἐχομένην ῥῆσιν. ἐλιννύειν οὐ συμφέρει, ἀλλὰ γυμνάσια, μὴ ἐμπίπλασθαι, τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν, οὐρητικοῖσι καθαίρειν, λεπτῦναι καὶ ἁπαλῦναι. ὑποτύπωσιν ἑαυτῷ διὰ κεφαλαίων ἐν τῇδε τῇ ῥήσει πεποίηται τῆς τῶν νεφρῶν ἰάσεως. τὰ μὲν κοινὰ πάσης ἡλικίας τε καὶ σώματος ἕξεως γράψαι, τὰ δὲ ἴδια νέων τε, καὶ ἰσχυρῶν. ἔστι δὲ κοινὰ τὰ μὲν πρῶτα γεγραμμένα, τό τ' ἐλιννύειν, ὅπερ ἡσυχίαν ἄγειν δηλοῖ, καί φησιν αὐτοῖς ἀσύμφορον εἶναι, καὶ τὰ γυμνάσια. ταῦτα γὰρ ἡγεῖται συμφέρειν, ὡς ἂν δηλονότι, καὶ τὸ
D πλῆθος κενοῦντα, καὶ τὸ φλεγματῶδές τε καὶ παχὺ, καὶ ἄπεπτον ἅπαν εἰς πέψιν τε ἄγοντα, καὶ λεπτύνοντα, καὶ ῥωννύντα τὰ μόρια τοῦ σώματος ἅπαντα. νοῆσαι δέ σε χρὴ νῦν αὐτὸν λέγειν, οὐ πάντως τὰ μεγάλα γυμνάσια, εἶναι ἱππασίας, ἢ ὁπλομαχίας, ἢ τὸ παλαίειν, ἢ παγκρατιάζειν, ἢ σκάπτειν, ἢ τι τοιοῦτον πράττειν ἕτερον. ἀλλ' ἅπασαν ἁπλῶς κίνησιν, ἥτις ἂν ἱκανὴ διαπονῆσαι τὸ σῶμα κατὰ ἀναλογίαν τῆς τε ἡλικίας, καὶ τῆς ἕξεως, καὶ τῆς ῥώμης τοῦ νεφριτικοῦ. ἀλλὰ καὶ τὸ μὴ ἐμπίπλασθαι, κοινὸν ἁπάσης ἡλικίας, καὶ σώματος ἕξεώς ἐστι παράγ-
E γελμα. τὰ δὲ ἐφεξῆς τοῖσδε, τοῖς νέοις, ὡς αὐτὸς εἶπεν, ἁρμόττοντα γράφει λέγων ὧδε. τοὺς νέους ἐλλεβορίζειν, ἰγνύην τάμνειν. ἐλλεβορίζειν μὲν ἐὰν πάνυ χρόνιον ᾖ τὸ πάθος, καὶ ὡς ἂν εἴποι τις μοχλείας δεόμενον, εἰς ταῦτα γὰρ ἐλλεβόρῳ χρώμεθα. φλεβοτομίαν δὲ ἐπὶ τῶν αἷμα πλέον, ἢ παχὺ κατὰ τὰς φλέβας ἠθροικότων. εἰ δὲ ἀμφοῖν αὐτὸς ἄνθρωπος δέοιτο τῶν βοηθημάτων, εὔδηλόν ἐστιν ὡς ἀπὸ φλεβοτομίας ἀρκτέον ἐστί. ἔμαθες δ' ὅτι τὰ μὲν ἄνω τοῦ ἥπατος μόρια τῆς ἀπ' ἀγκῶνος δεῖται φλε-
F βοτομίας. τὰ δὲ κάτω, ἀπὸ τῶν σκελῶν, ἐν ταῖς ἰγνύαις τεμνόντων ἡμῶν τὰς φλέβας, ἢ πάντως γε παρὰ τὰ σφυρά. τὸ δ' ἐφεξῆς εἰρημένον, οὐρητικοῖσι καθαίρειν, ἐπὶ πλεῖστον ἐστὶ χρήσιμον, οὐχ ἁπλῶς δὲ εἶπεν, οὐρητικοῖς χρῆσθαι δεῖν, ἀλλὰ προσθεὶς τὸ καθαίρειν, ἐνεδείξατο τὸν τρόπον τῆς ἀπ' αὐτῶν γινομένης ὠφελείας, ἐκκαθαιρόντων οὐ μόνον τὰ κατὰ τοὺς νεφροὺς ἐμπεπλασμένα γλίσχρα καὶ παχέα, σὺν αὐτοῖς δὲ καὶ τὰ κατὰ τὰς φλέβας

ἐμφερόμενα τῷ αἵματι παρὰ φύσιν. τὸ δὴ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, λεπτῦναι, χρήσιμόν ἐστιν ἅπασι τοῖς νεφριτικοῖς. ὅσοις τε παρασκευάζομεν εἰς ἐλλεβόρου λῆψιν, ὅσοις τε χωρὶς τούτου, καὶ διὰ φλεβοτομίας θεραπεύομεν, ἢ καὶ μετὰ τὴν τούτου προσαγωγήν, εἴρηται δὲ τὸ μὲν λεπτῦναι περὶ τῶν χυμῶν. τούτοις γὰρ προσήκει λεπτῦναι, τὸ δὲ ἁπαλῦναι, περὶ τῶν στερεῶν. ἑκάτερον γὰρ χρήσιμον ἐπὶ τῶν τὸν ἐλλέβορον ληψομένων εἰς τὸ τῆς καθάρσεως ἀκίνδυνον. ἐὰν οὖν αὐτὸς τοὺς προλεπτῦναι τοὺς χυμοὺς, ἢ τὰ σώματα μαλακῶσαι δι' ὧν ὁ ἔμετος, καὶ πρὸς τὰς ἐντάσεις, καὶ τοὺς σπαραγμοὺς εὐάγωγα παρασκευάσαι, δῶμεν ἐλλέβορον, εἰς κίνδυνον ἄξομεν πνιγμοῦ, διὰ τὸ πάχος τῶν χυμῶν. ἤτοι δὲ σπασθήσεται διὰ τὸ σκληρὸν ἐν τοῖς σπαραγμοῖς ὁ καθαιρόμενος, ἢ ἀγγεῖόν τι ῥήξει, καὶ χωρὶς δὲ τοῦ διδόναι τὸν ἐλλέβορον, ἄριστόν ἐστι, τοὺς μὲν χυμοὺς λεπτοὺς εἶναι, μαλακὰ δὲ πρὸς τὴν διέξοδον αὐτῶν ἐπιτήδεια τὰ τῶν νεφρῶν σώματα. τὴν ἀρχὴν γὰρ οὐδὲ γεννηθήσεταί ποτε λίθος ἐν αὐτοῖς, ἐὰν ἀμφότερά τις αὐτὰ διαφυλάττῃ.

A naturam sanguini mista innatant, educentibus. Quod autem in calce narrationis dictum est, tenuare, omnibus renum vitio laborantibus usui est, & quos ad veratri sumptionem præparamus, & quos sine hoc per sanguinis missionem curamus, vel etiam post ejus assumptionem. Dictum est autem, tenuare, de humoribus; hos enim tenuare convenit: mollire, de membris solidis: siquidem utrunque veratrum hausturis percommodum est, ut tuto purgatio fiat. Igitur nisi humores pertenuati B fuerint: & membra, per quæ fit vomitus, mollia reddita sint, & ad distensiones, detractionesque, antequam demus veratrum, tractabilia effecta: in suffocationis discrimen, ob húmorum crassitiem ægrum adducemus: aut nervorum convulsiones in vellicationibus, ob membrorum in dilatando duritiam quæ purgatur, capietur: aut vasculum aliquod dirumpetur. Quin etiam licet veratrum non præbeatur, optima res est humores tenues esse, & renum ipsorum corpora mollia, ut per ipsa transire C facile humores possint: nam ab initio, neque calculus in ipsis unquam generabitur, si quis hæc ambo diligenter observet.

Τί κατὰ τὰς ὑδαταινούσας ἀκοῦσαι δεῖ. πότερον τὰς τῷ ὕδερῳ διατεθείσας, ἢ τὸ ὑδατῶδες, καὶ λεπτὸν αἷμα ἐχούσας. Τί κατὰ ἐπὶ πολὺ, χρονιώτερον, ἆρα πρὸς τὰς ἡμέρας, ἢ πρὸς ἔτεα ἀναφέρηται. τὰ γυναικεῖα ἐπὶ πολὺ παραμένοντα τὰ οἰδήματα ποιεῖν.

Quid per ὑδαταινούσας intelligere oporteat, an affectas hydero, ac aquosum ac tenuem sanguinem habentes? Quid per ἐπὶ πολὺ diutius, an ad dies, an ad annos referatur. Menstrua diutius remorantia tumores efficere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Γυναικεῖα τῇσιν ὑδαταινούσῃσιν ἐπὶ πολὺ παραμένει. ὅταν δὲ μὴ ταχὺ ἴῃ, ἐποιδέει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὑδαταινούσας ἔνιοι μὲν ἤκουσαν τὰς ἐχούσας ἐπιτηδείως ἁλῶναι τῷ κατὰ τὸν ὕδερον πάθει, τινὲς δὲ τὰς φύσει λεπτὸν, καὶ ὑδατῶδες ἐχούσας αἷμα. δυνατὸν δέ ἐστιν ἐπ' ἀμφοτέρων ἀκοῦσαι τοῦ λελεγμένου, καὶ μᾶλλόν γε ἐφ' ὧν φύσει τὸ αἷμα λεπτόν ἐστι, μηδεμιᾶς νοσώδους διαθέσεως ἑτέρας ὑποτρεφομένης ἐν τῷ σώματι. ταύταις γὰρ ἡ ἔμμηνος κάθαρσις, ἣν γυναικεῖα κέκληκεν, ἐπὶ πολὺ παραμένει. διττὸν γάρ ἐστι καὶ αὐτὸ τοῦτο τὸ ἐπὶ πολὺ δυνάμενον ἀκούεσθαι, τὸ μὲν ἕτερον ἐπὶ τῶν ἡμερῶν ἐν αἷς αἱ τοιαῦται γυναῖκες καθαίρονται, τὸ δὲ ἕτερον, ἐπὶ τῆς ἡλικίας αὐτῶν. ἐπὶ μὲν οὖν τῶν ἡμερῶν ἀκουόμενον, δηλώσει πλείοσιν ἐφεξῆς ἡμέραις καθαίρεσθαι ταύτας τῶν ἄλλων γυναικῶν, ἐπὶ δὲ τῆς ἡλικίας, ἄχρι πλειόνων ἐτῶν. ὄντως γὰρ ἀθροίζεται ταύταις πολὺ καὶ λεπτὸν αἷμα, καθάπερ ταῖς ἐναντίως διακειμέναις ὀλίγον τε, καὶ παχύ. λευκαὶ μὲν οὖν εἰσὶν αἱ πρότεραι, καὶ μαλακαὶ, μέλαιναι δὲ, καὶ σκληραὶ, καὶ λεπταὶ, πάντως αἱ τὸ μελαγχολικώτερον αἷμα γεννῶσαι, καὶ πρόδηλον ὅτι ταῖς ἐξ ἀρχῆς κράσεσιν ἐναντίως ἔχουσιν. αἱ μὲν γὰρ ὑδαταίνουσαι νῦν ὑπ' αὐτοῦ λεγόμεναι, τῆς ὑγροτέρας τε, καὶ ψυχροτέρας. αἱ δὴ ἐναντίαι, τῆς ξηροτέρας τέ εἰσι, καὶ θερμοτέρας κράσεως. ἐὰν δὲ κατὰ πάθος ὑδαταίνωσιν, οὐ πάσαις καταμήνια πλείοσιν ἡμέραις γίνεται. ἐνίοτε γὰρ αὐτὸ τὸ

HIPPOCRATIS TEXTUS VII.

D

Mulíebria aquâ laborantibus diutius perseverant; quum vero non celeriter prodeant, tumores efficiunt.

GALENI COMMENTARIUS.

Aqua laborantes nonnulli intelligunt eas, quæ ut aquâ inter cutem corripiantur, idoneæ sunt: nonnulli eas quæ tenuem naturaliter, aquosumque sanguinem habent. Potest autem & de utrisque dictum esse intelligi, sed magis de illis quarum sanguis naturâ subtilis E est, nullo alio morboso affectu corpus infestante: in istis enim menstrua purgatio, quam muliebria vocavit, *diu*, permanet. Dupliciter enim & id ipsum diu intelligi potest, aut de diebus, quibus ejusmodi mulieres purgantur, aut de ipsarum ætate: si de diebus intelligas, significabit, pluribus deinceps diebus istas, quàm alias mulieres purgari: si de ætate, per plures annos menstrua excrementa durare; nam revera in istis multus, tenuisque sanguis colligitur, quemadmodum contrario modo affectis F paucus & crassus. Albæ quidem sunt priores & molles, nigræ autem duræ & graciles omnino eæ, quæ atrabilarium sanguinem procreant, clarumque est istas ab initio contrariis inter se temperaturis constare; nam quæ ab ipso nunc aquâ laborantes vocantur, humidioris sunt, ac frigidioris temperamenti; his contrariæ siccioris atque calidioris. Quod si ex morbo, aquâ abundaverint, non omnibus menses pluribus diebus feruntur; interdum enim

ipsa suppressio morbi earum causa est: rursus suppressio ob oculorum uteri obstructionem, sanguinisque crassitiem efficitur. Quapropter nonnulli arbitrantes dictum hoc de mulieribus ex morbo aquâ abundantibus accipiendum esse, loco verbi permanent, permanere legunt, sic muliebria aquâ laborantibus permanere diu, subintelligere nos, conveniens, jubentes, ac si ita dixisset, muliebria aqua laborantibus diu convenit permanere, ut consultorius juxta & curatorius sermo sit, ejus tantum, quod fit, narrationem in se continens. Huic sententiæ consentire aiunt id, quod in calce sermonis dictum est, quum vero celeriter non ferantur, intumescunt. Velle enim ipsum dicunt, pluribus diebus, ita & brevi tempore, hujusmodi mulieres expurgari, quoniam tardè exeuntibus menstruis purgamentis, tumores fiunt. Atqui hoc etiam, & in habentibus aquosum sanguinem contingere ait: istis etenim carnes aquosiores generantur, haud statis temporibus accedente purgatione.

A ἐπέχεσθαι, τοῦ πάθους αὐταῖς αἴτιον γίνεται. πάλιν δὲ, τὸ ἐπέχεσθαι διά ἐμφράξιν τε τῶν κατὰ τὴν μήτραν στομάτων γίνεται, καὶ διὰ πάχος τοῦ αἵματος. ὅθεν ἔνιοι τῶν ἀξιούντων ἐπὶ τῶν κατὰ πάθος ὑδατωμένων τὸν λόγον εἶναι, τῷ παραμένει ῥήματι κατὰ τὴν τελευταίαν συλλαβὴν προσθέντες τὸ ν· γράφουσι, γυναικεῖα τῇσιν ὑδατωμένῃσιν ἐπὶ πολὺ παραμένειν, ὑπακούειν κελεύοντες ἡμᾶς τὸ προσῆκον, ὥσπερ καὶ οὕτως εἰρήκει, γυναικεῖα τῇσιν ὑδατωμένῃσιν ἐπὶ πολὺ χρὴ παραμένειν, ἵνα συμβουλευτικός τε καὶ θεραπευτικὸς ὁ λόγος ᾖ, τοῦ γινομένου μόνον ἐπ' αὐτοῦ περιέχων διήγησιν. B ὁμολογεῖν δὲ τούτῳ φασὶ καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον, ὅταν δὲ μὴ ταχὺ ἴῃ, ἐποιδέει. βούλεσθαι γὰρ αὐτὸν, ὥσπερ ἐν πλείοσιν ἡμέραις, οὕτως καὶ δι' ὀλίγου χρόνου καθαίρεσθαι τὰς τοιαύτας γυναῖκας, ἐπειδὴ βραδυνόντων τῶν καταμηνίων οἰδήματα γίνεται, καί τοι τοῦτο κἀπὶ τῶν ὑδατῶδες ἐχουσῶν αἷμά φησι συμβαίνειν. καὶ γὰρ καὶ ταύταις αἱ σάρκες ὑδατωδέστεραι γίνονται, μὴ κατὰ προθεσμίαν ἀπαντώσης τῆς καθάρσεως.

C

Quid per dolores vetustos ac recentes, calidos & frigidos intelligat Hippocrates docet Galenus.

Τί κατὰ τὰς ὀδύνας παλαιὰς καὶ νεαρὰς, καὶ θερμὰς, καὶ ψυχρὰς ἀκούει ὁ Ἱπποκράτης, διδάσκει Γαληνός.

HIPPOCRATIS TEXTUS VIII.

Cranone vetusti dolores frigidi; recentes calidi. Eorum plerique à sanguine creabantur. Quæ etiam ab ischio exoriebantur pathema, frigida.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

ΕΝ Κρανῶνι, αἱ παλαιαὶ ὀδύναι ψυχραὶ, αἱ δὲ νεαραὶ, θερμαί. αἵματι δὲ αἱ πλεῖσται, καὶ τὰ ἀπὸ ἰσχίου ψυχρά.

GALENI COMMENTARIUS.

HÆc quoque sibiipsi scripsisse videtur Hippocrates reminiscentiæ causâ sub brevi compendio, propter quod & obscurior oratio est. Dubium est enim, dolores ne tantum in Cranone factos fuisse dicat, eosque in ventrene, an etiam in alia quapiam parte, an vero affectus cum dolore conjunctos. Illud autem antiquos dolores frigidos esse, novos autem calidos, etsi clare dictum esse videatur, obscurum tamen nonnihil atque ambiguum est. Aut enim antiquos dicit, qui jampridem excitati fuerunt, aut diu perseverantes: quemadmodum & recentes, aut nunc excitatos, aut cito desinentes, & frigidos, aut frigoris sensum inferentes, aut qui à calidis mitigantur: pariter & calidos, aut caloris sensum facientes, aut qui à frigidis sopiantur. Quidam etiam dolores frigidos vocatos esse dicunt, qui leves sunt; calidos, qui vehementes: aut secundùm usitatum Græcis loquendi morem significationes has accipientes. Verùm quo anni tempore Hippocrates hæc facta fuisse scripserit, nos ignorantes, neque etiam quando excitati sint, aut quomodo, aut quandiu permanserint dolores, evidenter invenire possumus. Sed novos quidem dolores prorsus sanguine creatos esse idem est, ac si dixisset ex sanguine calido videlicet ac multo: at de antiquis doloribus loquens, quum succum non adjecerit, signum est ab altero quodam succo frigido ipsos ortos fuisse, & ea quæ ex coxendice frigida ipsis oborta esse ait, ut affectus dicens, aut dolores, frigido scilicet & istos humores concitan-

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ ταῦτα ἑαυτῷ φαίνεται γεγραφὼς ὁ Ἱπποκράτης, ἀναμνήσεως ἕνεκεν ἐν κεφαλαίῳ βραχεῖ, διὸ καὶ ἀσαφέστερος ὁ λόγος ἐστίν. ἄδηλον γὰρ, εἴ τε ὀδύνας μόνον ἐν Κρανῶνι γεγονέναι φησὶ, καὶ ταύτας ἤτοι κατὰ τὴν κοιλίαν, ἢ καὶ ἄλλο τι μέρος, εἴ τε ὀδυνώδη πάθη. τὸ δ' οὖν, τὰς μὲν παλαιὰς ὀδύνας ψυχρὰς γενέσθαι, τὰς δὲ νεαρὰς, θερμὰς, καίτοι δοκοῦν σαφῶς εἰρῆσθαι, περιέχει καὶ αὐτό τινα ἀσάφειαν· ἤτοι γὰρ παλαιὰς λέγει τὰς πάλαι γεγονυίας, ἢ τὰς χρονιζούσας, E ὥσπερ γε καὶ τὰς νεαρὰς, ἤτοι τὰς νῦν συνισταμένας, ἢ τὰς ταχέως παυομένας, καὶ ψυχρὰς, ἤτοι τὰς ψύξεως αἴσθησιν φερούσας, ἢ τὰς ἀπὸ τῶν θερμαινόντων παρηγορουμένας. ὡσαύτως δὲ καὶ θερμὰς, ἤτοι τὰς θερμότητος αἴσθησιν ἐχούσας, ἢ παρηγορουμένας ὑπὸ τῶν ψυχόντων. ἔνιοι δὲ ψυχρὰς μὲν εἰρῆσθαί φασι τὰς βραχείας, θερμὰς δὲ τὰς μεγάλας, οὐ συνήθως τοῖς Ἕλλησιν ἀκούοντες τῶν σημαινομένων. ἐν τινι δὲ τοῦ ἔτους ὥρᾳ ὁ Ἱπποκράτης ταῦτα ἔγραψεν, F ἀγνοοῦντες ἡμεῖς, οὐδὲ περὶ τοῦ πότε συνέστησαν, ἢ πῶς, ἢ μέχρι, πόσου παρέμειναν αἱ ὀδύναι δυνάμεθα σαφῶς εὑρεῖν. τὸ δ' οὖν τὰς νεαρὰς μὲν αὐτῷ αἵματι γίνεσθαι ταὐτόν ἐστιν ἐν ἴσῳ, τοῦ ὑφ' αἵματος θερμοῦ τε δηλονότι καὶ πολλοῦ, ἐπὶ δὲ τῶν παλαιῶν μὴ προσθεῖναι τὸν χυμὸν, ἐνδεικτικόν ἐστι τοῦ, τὰς παλαιὰς ὑφ' ἑτέρου τινὸς χυμοῦ γίνεσθαι ψυχροῦ, καὶ τὰ ἀπὸ ἰσχίου δὲ ψυχρὰ γεγονέναι φησὶν αὖθις, ἤτοι πάθη λέγων, ἢ ἀλγήματα, ψυχροῦ δηλονότι καὶ ταῦτα ἐργαζομένου χυμοῦ. θαυμάσαι

δ' ἐστὶ πολλοὺς τῶν ἐξηγητῶν, εἰς μὲν τὰς τοιαύτας ῥήσεις, ἐν αἷς οὐδὲν ἐστὶ βεβαίως εὑρεῖν, ἀναποδείκτως γράφοντας πολλά. καθ' ἃς δὲ ἀποδεῖξαί τι δυνατόν ἐστι, καὶ χρήσιμον εὑρεῖν, ἤτοι μηδὲν ὅλως γράφοντας, ἢ βραχέα καὶ ἀναπόδεικτα, καθάπερ προστάγματα.

A te. At multos explanatores demirari licet in hujusmodi locutiones, de quibus nihil affirmari potest, multa sine demonstratione scribentes: ubi vero aliquid demonstrari, & utiliter inveniri potest, aut nihil penitus, aut pauca, & sine demonstratione; tanquam mandata scribentes.

Τὰ ῥίγεα ἰσχυρὰ ἐγγὺς ἀκμῆς πραΰνεσθαι. τί τὸ ῥῖγος ἰσχυρὸν, αἱ τούτου αἰτίαι τὸ φλέγμα, ἢ τὸ ὑγρὸν μελαγχολικόν. ἆρα μὲν ἐνταῦθα ἐγγὺς ἀκμῆς παροξυσμοῦ, ἢ τοῦ νοσήματος ἀκούει Ἱπποκράτης τὰ ῥίγεα πραΰνεσθαι. οὗτος ἀφορισμὸς περὶ πυρετῶν εἰς τὰ ῥίγεα ἰσχυρὰ ἀφικνουμένων ἀκούεσθαι ὀφείλει.

Vehementes rigores prope vigorem mitescere. Quid rigor vehemens, ejus causæ pituita vel humor melancholicus. B An hîc prope statum accessionis vel morbi intelligat Hippocrates rigores mitescere. Hic aphorismus de febribus ad rigores vehementes pervenientibus intelligi debet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

ΤΑ ἐς ῥίγεα ἰσχυρὰ ἰόντα οὐ πάνυ τι πρηΰνεται, ἀλλ' ἐγγὺς ἀκμῆς.

HIPPOCRATIS TEXTUS IX.

QVi affectus ad vehementes rigores procedunt, non admodum nisi prope statum mitescunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥτως ἴσασι γεγραμμένην τὴν ῥῆσιν οἱ παλαιότεροι τῶν ἐξηγητῶν. οἱ δὲ νεώτεροι πρὸς τὸ σαφέστερον ὑπαλλάξαντες αὐτὴν ὧδέ πως γράφουσι· τὰ ῥίγεα ἰσχυρὰ ἐόντα οὐ πάνυ τι πρηΰνεσθαι, ἀλλ' ἐγγὺς ἀκμῆς. καὶ βούλονται τὴν λέξιν τήνδε διδάσκειν ἡμᾶς, ὅσα τοῖς νοσοῦσιν ἰσχυρὰ γίνονται ῥίγη, μὴ πάνυ τι ταῦτα πραΰνεσθαι κατ' ἄλλον τινὰ καιρὸν τῆς νόσου, ἀλλὰ μόνον ὅταν ἐγγὺς ᾖ τῆς ἀκμῆς. κατὰ δὲ τὴν προτέραν γραφὴν, τὰ ἐς ῥίγεα ἰσχυρὰ ἰόντα, τουτέστι ἀφικνούμενα πάθη, προσυπακοῦσαι γὰρ δεῖ τὸ πάθος, προσήκει αὐτὸν ἀκοῦσαι μὴ πραΰνεσθαι ταῦτα πρὸ τῆς ἀκμῆς. ἔνιοι μὲν οὖν ἀκμῆς αὐτὸν μεμνῆσθαί φασι τοῦ ὅλου καιροῦ τοῦ νοσήματος, ἔνιοι δὲ τῶν κατὰ μέρος παροξυσμῶν. ὡς τὸ ῥῖγος, ὅταν ἰσχυρὸν ᾖ, μὴ παυόμενον πρὸ τοῦ πλησιάσαι τὸν τῆς ἀκμῆς καιρόν. φαίνεται μὲν οὖν τοῦτο γινόμενον ἐνίοις, καὶ καλοῦμεν αὐτὸ ῥῖγος δυσεκθέρμαντον, οὐκ ἰσχυρόν. ἐγχωρεῖ δὲ καὶ κατὰ τὴν δύναμιν ἰσχυρὸν αὐτὸ φάναι, κακοηθέστερον γάρ ἐστι πολὺ τοῦ σφοδροῦ μὲν ὑπερβάλλοντος, ἐν τάχει δὲ παυομένου. τὴν δὲ ὅλην τοῦ νοσήματος ἀκμὴν ἀκούοντί σοι, μάλιστα ἐπὶ τεταρταίων πυρετῶν ὁ λόγος ἐστὶ χρήσιμος. ἐάν τε γὰρ ἅμα ῥίγεσιν ἰσχυροῖς ἐμβάλλωσιν οἱ παροξυσμοὶ, μηδὲν ἐνδιδόντων αὐτῶν, ἀδύνατόν ἐστιν ἤδη τὴν ἀκμὴν ἀπειληφέναι τὸ νόσημα, καὶ δηλονότι πολὺ μᾶλλον, οὐδὲ τὴν παρακμὴν ἐλπίζειν χρὴ τοῦ τοιούτου τεταρταίου λυθήσεσθαι, πρὶν λωφῆσαι τὸ ῥῖγος, ὥστε ὁ λόγος ἐστὶ προγνωστικὸς ἐπὶ τῶν εἰς ῥίγη σφοδρὰ πυρετῶν ἰόντων, ἂν οὐχ οἷόν τε λύσιν γενέσθαι πρὸ τοῦ πραϋνθῆναι τὸ ῥῖγος, καὶ τοῦτο γίνεσθαι πλησίον τῆς ἀκμῆς. συμβαίνει δὲ τὰ τοιαῦτα ῥίγη διὰ ψυχρὸν πάνυ φλέγμα τὸ ὑαλῶδες ὀνομαζόμενον, ἢ τὸν μελαγχολικὸν χυμόν. ἀλλ' ἐπὶ μὲν τῷ ψυχρῷ φλέγματι τὸ δυσεκθέρμαντον, οὐ τὸ σφοδρὸν γίνεται ῥῖγος. ἐπὶ δὲ τῷ μελαγχολικῷ ποτὲ μὲν ἀμφότερα, ποτὲ δὲ θάτερον. ἀλλ' ὁ μὲν τοιοῦτος χυμὸς διὰ τετάρτης φέρει τὸν παροξυσμόν. ὁ δὲ ὑαλώδης, τὸν ἀμφημερινόν. οὐδὲν μὲν οἱ ἐξηγηταὶ τῶν τοιούτων διαιροῦσιν. ἀλλ' ἐν οἷς οὐδὲν ὠφελοῦσι τοὺς μαθη-

GALENI COMMENTARIUS.

C ITa scriptum esse hunc sermonem antiqui explanatores agnoscunt. At recentiores ipsum in clariorem permutantes ita scribunt, rigores validi existentes non admodum mitigantur, sed prope statum: hancque locutionem id nos docere volunt, omnes validos in morbo rigores non admodum ullo alio morbi tempore mitescere, præterquam quum prope statum est. Secundùm priorem autem scripturam qui in rigores validos tendunt, hoc est perveniunt affectus (subintelligendus est enim affe- D ctus) oportet ipsum intelligere, hos ante statum non mitescere. Quidam sane ipsum, status, qui universi morbi pars est meminisse dicunt: alii vero ejus, qui in privatis exacerbationibus invenitur: ut rigor quum vehemens est, antequam tempus status adventet, non desinat. Id quidem nonnullis evidenter accidit, istumque appellamus rigorem *anecthermanton*, Græco vocabulo, hoc est, calefieri nequeuntem, non autem validum. Contingit autem & vi rigorem ipsum fortem dicere: multo enim malignior est, quàm qui immodicè E vehemens sit, & celeriter desinat. Quod si universæ ægritudinis statum intelligas, maximè in quartanis febribus sermo iste utilis fuerit. Nam si cum validis rigoribus accessiones invadant, si nihil remittantur rigores, fieri non potest ut ad statum morbus pervenerit: quin etiam multo minus hujusce quartanæ declinationem fore sperandum est prius, quàm rigor sedatus fuerit. Quare sermo prognosticus est de febribus ad rigores vehementes ascendentibus, qui priusquàm rigor sedatus sit, discuti nequeunt: id autem prope statum efficitur. At F id genus rigores, ex frigidissima pituita vitrea nominata, aut ex atræ bilis succo proveniunt: verùm ex prægelida pituita rigor fit non vehemens, sed ægrè incalescens, ex succo autem melancholico nonnunquam utroque modo, nonnunquam alterutro; sed hujusmodi succus quarto quoque die accessionem facit, vitreus vero quotidie. Nihil planè hujuscemodi rerum interpretes declarant; sed illa uberrimè, accuratissiméque persequuntur, quæ nullum ne-

nitus fructum auditoribus ferunt: nam & in sequenti sermone, plurimum medicinalis eruditionis continente, nullum ex celeberrimis præceptis scire deprehenduntur.

A ταῖς, ἐπὶ πλεῖστον ἐκεῖνα διήρχοντο. καὶ γὰρ οὖν καὶ κατὰ τὴν ἑξῆς ῥῆσιν ἰατρικωτάτην οὖσαν, ἐλέγχονται τῶν ἀξιολογωτάτων θεωρημάτων οὐδὲν ἐπιστάμενοι.

Sabinum & Rufum Ephesinum in Hippocraticis Libris non obiter versatos fuisse viros. Certa rigoris critici futuri signa, urinæ suppressionem, noctem implacidam, & diem criticum esse. Prænotionem ex urinis esse certissimam. Unde urinæ suppressio. Quæ nox medicatorium diem præcedit, ipsam implacidam esse.

Τὸν Σαβῖνον καὶ Ῥοῦφον Ἐφέσιον ἐν τοῖς Ἱπποκράτους συγγράμμασιν ὡμιληκέναι ἄνδρας οὐ παρέργως. Τὰ βέβαια τοῦ ῥίγους κριτικοῦ ἐσομένου σημεῖα εἶναι. τὴν τῶν οὔρων ἐπίσχεσιν, τὴν νύκτα δυσάρεστον, καὶ τὴν ἡμέραν κριτικήν. τὴν πρόγνωσιν ἐκ τῶν οὔρων εἶναι βεβαιοτάτην. ὅθεν ἡ τῶν B οὔρων ἐπίσχεσιν. ἡ νὺξ τὴν κριτικὴν ἡμέραν προβαίνουσα, αὐτὴν δυσάρεστον εἶναι.

HIPPOCRATIS TEXTUS X.

ANte rigorem urinarum suppressiones, si cum bonis signis processerint, & alvus dejecerit, somnique affuerint. Fortassis vero tum febris modus, tum etiam fortassis quæ ex lassitudinibus oboriuntur, consideranda sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι΄.

ΠΡὸ ῥίγεος αἱ ἐπισχέσιες τῶν οὔρων ἢν ἐκ χρηστῶν ἴωσι, καὶ κοιλίη διῆθη, καὶ ὕπνοι ἐνίωσιν, ἴσως δὲ καὶ ὁ τρόπος τοῦ πυρετοῦ, ἴσως δὲ καὶ τὰ ἐκ κόπων.

GALENI COMMENTARIUS.

PEr deos quid dicere debeam, nescio, quando utilissimum præceptum, milliesque in laborantibus deprehensum, Libri hujus Interpretes ignorant. Sed alios quispiam minus demiretur: Sabinus vero, Rufusque Ephesius, viri in Libris Hippocratis diligentissimè versati, magna profectò admiratione digni sunt, nisi frequenter judicatorio rigori urinæ suppressionem antecessisse viderint: de qua in præsentia Hippocrates meminit, nos judicatorium rigorem in morbo futurum præsagire edocens. Si in acuta febre & alia signa tibi salubria videantur, & judicationem paulò pòst fore speres, te scire oportet, suppresso lotio, judicatorium rigorem necessariò futurum. Quod si & nox difficilis antecesserit, & dies judicatorius sit, certius futurus rigor prædici poterit. At si nota ex arteriæ pulsatu (ut didicisti) idem tibi ostenderit, non rigorem modò, verumetiam acerbissimum rigorem, indubitanter fore expectato. Illud igitur, ex bonis, aut urinis solis, aut etiam ex aliis bonis signis unà cum ipsis urinis, te intelligere oportet. Tanta nempe signorum ab urina in acutis febribus vis est, ut & soli ipsi credendum sit: aliis verò accedentibus etiam, divinatio tibi erit firmissima, perpetuoque veridica. Verùm urina etiam, alvo multa excernente, supprimitur: illuc enim serosam humiditatem vergere signum est, cujus redundantis triplicem evacuationem esse didicisti, per alvum, per lotium, per sudores. Igitur si alvus plura dejecerit, urinæ suppressæ ad futurum rigorem præsentiendum fidere non convenit; at si alvus fluxa non sit, proximaque esse morbi judicationem prænoveris, ægrotum rigere, sudareque necesse est. Quid sibi volunt autem verba illa: *Et somni adsint?* nam si unum quiddam ex bonis signis adductum est, maximè dictis in præsentia quadrabit. Illud vero, si ex bonis fluxerint, velut exemplum quoddam dictum est. Quòd si hoc tanquam futuri rigoris signum sit, non simpliciter id à te intelligendum est; plerunque enim nox judicationem antecedens, antecedens, inquam rigori & judicationi post ipsum factæ, molesta est, quando firmissimam cum antedictis rigoris futuri præsensionem habebis. Interdum autem, sed raro cum somnis placidis tranquilla nox est,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C ΟΥκ οἶδα ὅτι εἴπω, μὰ τοὺς θεούς, ὅταν ὠφελιμώτατον θεώρημα μυριάκις ἐπὶ τῶν νοσούντων φαινόμενον, ἀγνοῶσιν οἱ τὸ βιβλίον ἐξηγησάμενοι. τοὺς μὲν οὖν τῶν ἄλλων ἧττον ἄν τις θαυμάσειε. τὸ δὲ Σαβίνου, καὶ Ῥούφου τοῦ Ἐφεσίου, τοῖς Ἱπποκράτους συγγράμμασιν ὡμιληκότων ἀνδρῶν οὐ παρέργως, ἄξιον ὄντως ἐστὶ θαύματος, εἰ μὴ πολλάκις ἐθεάσαντο ῥίγους κρισίμου προηγησαμένην ἐπίσχεσιν οὔρου. περὶ ἧς νῦν ὁ Ἱπποκράτης γράφει, προγινώσκειν ἡμᾶς διδάσκων ἐσόμενον ἐν νόσῳ κρίσιμον ῥῖγος. D ἐὰν ἐν ὀξεῖ πυρετῷ τἄλλα σοι σημεῖα σωτήρια φαίνηται, καὶ κρίσιν ἐλπίζῃς ἐγγὺς ἔσεσθαι, γινώσκειν σε χρὴ τῶν οὔρων ἐπισχεθέντων ἐξ ἀνάγκης ἔσεσθαι τὸ κρίσιμον ῥῖγος. ἐὰν δὲ καὶ ἡ νὺξ προηγήσηται δύσφορος, ἥ τε ἡμέρα κρίσιμος ᾖ, βεβαιότερόν ἐστι προσδοκᾶν ἔσεσθαι τὸ ῥῖγος. ἐὰν δὲ τὸ διὰ σφυγμοῦ σημεῖον ὡς ἔμαθες ἐνδείξηταί σοι ταὐτόν, μὴ μόνον ἔσεσθαι τὸ ῥῖγος, ἀλλὰ καὶ σφοδρὸν ἔσεσθαι βεβαίως ἔλπιζε. τὸ τοίνυν, ἐκ χρηστῶν, ἤτοι τῶν οὔρων μόνων, ἢ καὶ τῶν ἄλλων ἅμα αὐτοῖς τῶν ἀγαθῶν σημείων ἀκούειν σε χρή. τηλικαύτη μὲν E ἡ δύναμίς ἐστι τῶν ἐν τοῖς οὔροις σημείων ἐν τοῖς ὀξέσι πυρετοῖς, ὥστε καὶ μόνῃ πιστεύειν αὐτῇ. προσερχομένων δὲ καὶ τῶν ἄλλων, πρόγνωσις ἔσται σοι βεβαιοτάτη καὶ ἀμετάπτωτος, ὡς τὸ διηνεκὲς ἔχειν. αἱ μέντοι τῶν οὔρων ἐπισχέσεις γίνονται, καὶ τῆς κοιλίας ἐκκρινούσης πολλά. δηλοῦται γὰρ ἐνταῦθα ῥέπειν ἡ ὀρρώδης ὑγρότης, ἧς ἔμαθες, ὅταν πλεονάζῃ, τρεῖς εἶναι κενώσεις, τὴν διὰ γαστρός, τὴν δι' οὔρων, τὴν δι' ἱδρώτων. ἐὰν μὲν οὖν ἡ κοιλία πλείω διαχωρήσῃ, τῇ τῶν οὔρων ἐπισχέσει θαρρεῖν οὐ προσήκειν εἰς τὴν τοῦ ῥίγους πρόγνωσιν. ἐὰν δὲ καὶ αὕτη μηδ' ὅλως προχωρήσῃ προεγνωκότι σοι F τὸ νόσημα πλησίον εἶναι κρίσεως, ἀναγκαῖόν ἐστι ῥιγῶσαί τε καὶ ἱδρῶσαι τὸν κάμνοντα. τί ποτε οὖν σημαίνει τὸ, καὶ ὕπνοι ἐνέωσιν. εἰ μὲν γὰρ ὡς ἕν τι τῶν ἀγαθῶν σημείων εἴρηται, τὸ μέγιστον εἰς τὰ προόντα συμφωνήσει. τὸ δὲ ἢν ἐκ χρηστῶν ἴωσιν ὥσπερ τι παράδειγμα λελεγμένον. εἰ δ' ὡς καὶ τοῦτο τοῦ γενησομένου ῥίγους ὂν σημεῖον, οὐχ ἁπλῶς σε χρὴ γινώσκειν περὶ τοῦδε. πολλάκις μὲν γὰρ ἡ προηγησαμένη τῆς κρίσεως νύξ, τοῦ τε ῥίγους, καὶ τῆς ἐπ' αὐτῷ κρίσεως, γίνεται δύσφορος, ὁπότε βεβαιοτάτην ἕξεις σὺν τοῖς εἰρημένοις τὴν τοῦ γενησομένου ῥίγους πρόγνωσιν. ἐνίοτε δὲ ἐν

τῇ σπανίᾳ μετ' ὕπνων χρηστῶν εὔφορος γὰρ ἡ νύξ, καὶ φαίνεται τούτοις οὐχ ὁ τοῦ ῥίγους δηλωτικὸς σφυγμὸς, ἀλλ' ὁ τῆς ἐκκρίσεως. ἔμαθες δὲ περὶ τούτων ἱκανῶς ἐν τῇ τῶν σφυγμῶν πραγματείᾳ. προσεπισκοπεῖσθαι δὲ καὶ τὸν τρόπον τοῦ πυρετοῦ κελεύει σε, τουτέστι, εἰ θερμὸς καὶ χολώδης, καὶ καυσώδης, ἢ τῶν ἄλλων τις. ὅσα γὰρ ἐν τοῖς ὀξέσι πυρετοῖς, καὶ μάλιστα τοῖς καυσώδεσι γίνεται ῥίγη κριτικὰ, ταῦτα ἔμαθες ἐπὶ τῇ ξανθῇ χολῇ, διὰ τῶν αἰσθητικῶν σωμάτων φερομένῃ πρὸς τὸ ἐκτὸς, ἀποτελεῖσθαι· διὰ τοῦτο καὶ οἱ ἐκ κόπων πυρετοὶ, χολωδέστατοι τὴν κρᾶσιν ὄντες, εἰς τὴν πρόγνωσίν σοι καὶ αὐτοὶ συντελοῦσιν. αὕτη μὲν οὖν ἡ ἀπὸ τῶν προκαταρκτικῶν αἰτίων εἰς τὴν πρόγνωσιν ὠφέλεια. λελεγμένη μὲν, ὡς ἐπὶ παραδείγματος ἑνὸς, ἐσομένη δέ σοι χρήσιμος, κἀπὶ τῶν ἄλλων αἰτίων τῶν προκαταρκτικῶν, ὅσα χολωδέστερον ἐργάζεται τὸ σῶμα. ταῦτα δέ ἐστιν ἐγκαύσεις τε, καὶ ἀγρυπνίαι, καὶ φροντίδες, καὶ λῦπαι, καὶ θυμοὶ, καὶ τροφῆς ἔνδεια, καὶ τῶν χολωδῶν ἐδεσμάτων πλεονεξία. πρώτη μέν σοι καὶ ἀσφαλεστάτη διάγνωσις εἰς τὸν τρόπον τοῦ πυρετοῦ ἀπὸ τῶν φαινομένων κατὰ τὸ σῶμα γίνεται, καθάπερ ἔμαθες ἐν τοῖς περὶ διαφορᾶς τῶν πυρετῶν. ἐφεξῆς δὲ καὶ ἡ ἀπὸ τῶν προκαταρχόντων αἰτίων, εἰς ἀσφαλεστέραν πίστιν ὧν εὗρες, οὐ σμικρὰ συντελεῖ. θαυμαστὸν οὖν ὅπως τοῦτο τὸ θεώρημα χρησιμώτατον ὂν, ἐλάθη τοὺς ἐξηγητάς.

Μετὰ τοῦ ῥίγεος τοῖς πυρεταίνουσι σπανίως τὰς ἀποστάσεις γίνεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Ἀποστάσιες οὐ μάλα, οἷσι ῥίγεα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

Σπανίως ἀποστάσεις γίνονται τοῖς μετὰ ῥίγεος πυρέττουσιν, ὥσπερ ἐν τεταρταίοις πυρετοῖς, καὶ τριταίοις. αἱ γὰρ ἐν ταῖς παρακμαῖς τῶν τοιούτων παροξυσμῶν ἐκκρίσεις, κενοῦσι τὸ πλῆθος, ὥστε πάνυ χρὴ πολλὴν εἶναι τὴν περιουσίαν τῶν λυπούντων χυμῶν, ἵν' ἡ φύσις ἀποστάσεως δεηθῇ.

Τί τῶν σκελῶν ἐκθηλυώσιες ὁδοιπορήσαντι ἐπιγινόμεναι σημαίνουσι, πότερον τὰς ἀσθενείας μόνας, ἢ τὰς σὺν ἀτροφίᾳ, ἤτοι ἐκλύτους τὰς ἐνεργείας ἐργάσασθαι τῶν σκελῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

Αἱ τῶν σκελέων ἐκθηλυώσιες, οἷον ἢ πρὸ νόσου ὁδοιπορήσαντι, ἢ ἐκ νόσου αὐτίκα, διότι ἴσως τὸ ἐκ κόπων εἰς ἄρθρα ἀπέστη, δι' ὃ αἱ τῶν σκελέων ἐκθηλυώσιες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἔστι γνῶναι σαφῶς, πότερον τὰς ἀσθενείας μόνας ἐκθηλυώσεις εἴρηκεν, ἢ τὰς σὺν ἀτροφίᾳ τῶν σκελῶν ὅλων γινομένας. ὅσον μὲν γὰρ ἐπὶ προτέρῳ τῶν προειρημένων παραδειγμάτων, εἴρηκε, καὶ τὰς σὺν ἀτροφίᾳ νοεῖν. ὅσον δ' ἐπὶ τῷ δευτέρῳ, καθ' ὅ φησι, διότι ἴσως τὸ ἐκ κόπων εἰς ἄρθρα ἀπέστη, τὰς ἰσχνότητας οὐκ ἄν τις

A atque in istis non rigorem, sed excretionem significans pulsus apparet. Sed de istis abunde in voluminibus de pulsibus actum est. Te prætereà jubet Hippocrates, & modum febris contemplari, hoc est, an calida sit & biliosa, & ardens, an ex aliis quæpiam; nam quæcunque in acutis febribus & potissimùm ardentibus rigores judicatorii fiunt, hos ex bile flava extra venas, per sensoria corpora delata excitari didicisti. Propterea & febres ex lassitudinibus provenientes temperaturæ biliosissimæ ad præsensionem tibi & ipsæ conducent. Hæc itaque est ab externis B causis ad divinationem percepta utilitas, unico quidem veluti exemplo explicata, tibi autem & in aliis externis causis, quæcunque biliosius corpus efficiunt, futura percommoda. Hæ sunt autem, moræ sub sole æstivo, vigiliæ, cogitationes, angores animi, ira, alimenti inopia, biliosorum cıborum nimius usus. Primam sanè tutissimamque naturæ febrium notitiam ex iis quæ in corpore apparent, acquirentes: quemadmodum in Commentariis de differentia febrium didicisti; secunda vero, & ab externis causis notitia ad eorum quæ invenisti, certiorem fidem C haud parum expediet. Mirandum est igitur quonam pacto hæc utilissima contemplatio explanatores latuerit.

Cum rigore febricitantibus raro abscessus fieri.

HIPPOCRATIS TEXTUS XI.

Abscessus non admodum quibus rigores oboriuntur.

D

GALENI COMMENTARIUS.

Raro abscessus illis, qui cum rigore febricitant, eveniunt; quemadmodum in quartanis, tertianisque febribus videre licet. In istarum enim accessionum remissionibus excretiones multitudinem educunt; propter quod permultam esse oportet vexantium humorum abundantiam, ut naturæ abscessum facere necesse sit.

E Quid crurum effœminationes incedenti obortæ significent, an enervationes solas, an debilitates cum atrophia, an exolutas crurum functiones?

HIPPOCRATIS TEXTUS XII.

Crurum effœminationes veluti aut ante morbum, aut statim à morbo iter facienti fiunt, atque ideo fortaßis, quod ex laßitudinibus aliquid in articulos absceßit, ex quo etiam crurum effœminationes.

GALENI COMMENTARIUS.

F

Evidenter cognosci nequit, utrùm solas imbecillitates effœminationes dixerit, an eas quæ ex penuria nutrimenti omnium crurum fiant. Quantum enim ad prius ex antedictis exemplis pertinet, & eas quæ per inopiam alimenti fiant, intelligere licet: quantum verò ad secundum spectat, quum dicit, eo quod fortasse id, quod ex lassitudinibus, in articulos decubuit, extenuationes quispiam rectè

intelligere nequeat, sed absolutè imbecillitates, quæ & citra maciem crurum actiones debilitare, vel etiam abscessus excipere queunt. Quod in calce autem sermonis adjectum est, ex quo crurum effœminationes, dictum fuit & ab initio: quapropter nonnulli eorum quæ deinceps scripta sunt, istud antecedens faciunt, primum quidem hæc verba, *ex quo*, auferentes, unaque cum iis aliqua ex sequentibus permutantes. Verùm quod ab initio dixi, & nunc repetam. Hoc est autem hujusce Libri sententias variè ac multifariàm scriptas esse, quemadmodum & hanc, quarum præterea nonnullæ haud rectè disjunctæ sunt; aliæ contra haud congruè copulatæ. Quorum omnium si meminerim, simulque errantes confutare velim, in immensam longitudinem producetur oratio.

A διαλέγως ἀκούσειεν, ἀλλ' ἁπλῶς τὰς ἀσθενείας, αἵτινες δύνανται καὶ χωρὶς ἰσχνότητος, ἤτοι ἐκλύτους τὰς ἐνεργείας ἐργάσασθαι τῶν σκελῶν, ἢ τὰς ἀποστάσεις ὑποδέξασθαι. τὸ δὲ ἐπὶ τῷ τέλει προσκείμενον, δι' ὃ αἱ τῶν σκελῶν ἐκθηλύνσιες, εἴρηται καὶ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως. ὅθεν ἔνιοι τῶν ἐφεξῆς γεγραμμένων ἡγούμενον αὐτὸ ποιοῦσι. πρῶτον μὲν ἀφαιροῦντες τὸ δι' ὅ, συμμετακοσμοῦντες δὲ αὐτῷ τινὰ καὶ τῶν ἐκ τῆς ἑπομένης ῥήσεως· ὅπερ δὲ καὶ τὴν ἀρχὴν εἶπον ἀναμνήσω καὶ νῦν, ἔστι δὲ τοῦτο τὸ πολυειδῶς B γεγράφθαι τὰς ἐν τούτῳ τῷ βιβλίῳ ῥήσεις, ὥσπερ καὶ τήνδε, μετὰ τοῦ διεσπάσθαι τινὰς οὐκ ὀρθῶς, ἢ συνῆφθαι πάλιν οὐ προσηκόντως. ὧν εἰ μνημονεύσαιμι πάντων, ἅμα τῷ διελέγχειν τοὺς ἁμαρτάνοντας, εἰς ἄπειρον ἐκταθήσεται μῆκος ὁ λόγος.

Quid sit tuberculum? cur & unde phymata nomen habet, phymata meliora, deteriora. Varias phymatum differentias esse.

Τί ἡ φῦμα. διὰ τί καὶ ὅθεν φύματα ὄνομα ἔχουσι. τὰ φύματα ἀμείνω, τὰ χείρονα. τὰς ποικίλας τῶν φυμάτων διαφορὰς εἶναι.

HIPPOCRATIS TEXTUS XIII.

Quæ tubercula foras protulerant, acuminata, æquabiliter commaturescentia, neque in ambitu dura, deorsum tendentia, neque bifida meliora sunt. Contraria mala: & quæ plurimùm contraria, pessima.

C ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

Φύματα ἔξω ἐξοιδέοντα, καὶ τὰ ἀπόρεα, καὶ τὰ κορυφώδεα, καὶ τὰ ὁμαλῶς ξυμπεπαινόμενα, καὶ μὴ περίσκληρα, καὶ καταῤῥοπα, καὶ τὰ μὴ δίκραια ἀμείνω. τὰ δ' ἐναντία κακά, καὶ ὅσῳ πλείστως ἐναντία, κάκιστα.

GALENI COMMENTARIUS.

A Biis, quæ ex terra progerminant, Græci homines phymata vocaverunt, hoc est, tubercula, eos præter naturam tumores, qui prorsus sine causa externa proveniunt, sed potissimum eos hoc nomine vocant, qui extra corporis superficiem extuberant. Verùm ob nominis alterius inopiam, interdum & latos, pauloque naturalibus partibus elatiores, hoc eodem nomine appellant, quod & Hippocrates hoc loco fecit, bona esse tubercula extumescentia dicens, hoc est, quibus insignis tumefactio inest, aut quæcunque non introrsum, sed extrorsum versus augescunt, quemadmodum in Libro præsagiorum scribens dixit; quæcunque exterius vergunt, optima sunt, quammaximè extrorsum spectantia, & in aciem turbinata: sed quæcunque, ait, introrsum rumpuntur, optima sunt, quæ externas partes minimè attingunt. Melius quidem est extrorsum vergere; sed si intro declinent, melius rursum in istis omnibus est ipsorum eruptionem in interiores locos fieri. Tuberculorum sane generatio in abdomine, atque etiam pectore est, istis enim inanes cavitates subsunt tuberculorum introrsum spectantium præter naturam tumorem excipientes. Sed ex iis, quæ exterius intumescunt, acuta ac turbinata latis meliora sunt, utpote ex calidioribus tenuiorisque materiæ succis procreata, & iccirco celeriter suppurantia: nam ex crassis tenacibusque constantia, utpote frigidis, & lata sunt, & ægrè coquuntur, quinetiam putrescunt potius quàm coquantur longiori tempore. Præterea laudat & æquabiliter suppurantia. Nam quæ ex aliqua parte suppurant, reliquum vero totum non suppurans habent, primum quidem eo quod

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀπὸ τῶν ἐν τῇ γῇ φυομένων, οἱ ἄνθρωποι φύματα κεκλήκασι τοὺς παρὰ φύσιν ὄγκους ὅσοι D τὸ πάμπαν ἄνευ τῆς ἔξωθεν αἰτίας γίνονται, μάλιστα δὲ ὀνομάζουσιν οὕτω τὰ πρὸς τὸν ἐκτὸς τόπον ἐπηρμένα. τῷ δ' οὐκ ἔχειν ἕτερον ὄνομα, καὶ τὰ πλατέα, καὶ βραχεῖ τοῦ κατὰ φύσιν ὑψηλότερα, καὶ ταῦθ' ὡσαύτως ἐνίοτε προσαγορεύουσιν, ὥσπερ καὶ Ἱπποκράτης ἐποίησεν, ἀγαθὰ μὲν εἶναι λέγων τὰ ἐξοιδέοντα, τουτέστιν ἐφ' ὧν ἀξιόλογος ἡ ἐξόγκωσις, ἢ ὅσα τὴν αὔξησιν οὐκ ἐς τὴν ἔσω χώραν, ἀλλ' εἰς τὴν ἔξω ποιεῖται, καθάπερ ἐν προγνωστικῷ γράφων εἶπεν. Ὅσα « μὲν ἔξω τρέπεται, ἄριστά ἐστιν ὡς μάλιστα ἐκκλίνοντα, « E καὶ εἰς ὀξὺ ἀποκορυφούμενα. ὅσα δὲ, φησὶν, ἔσω ῥήγνυται, « ἄριστά ἐστιν ἃ τῶν ἔξω χωρίων μηδὲν ἐπικοινωνεῖ, κάλλιον μὲν γὰρ ἔξω ῥέπειν. εἰ δὲ ἔσω ῥέπει, βέλτιον πάλιν ἐν τούτοις ἐστὶν ἅπασιν (ἁπάσαν) αὐτῶν τὴν ῥοπὴν ἐς τὴν ἔσω χώραν πεποιῆσθαι. τῶν μὲν οὖν φυμάτων ἡ γένεσις ἐν ἐπιγαστρίῳ τέ ἐστιν, ἢ καὶ κατὰ θώρακα. τούτοις γὰρ ὑπόκεινται χῶραι κεναὶ, τὸν παρὰ φύσιν ὄγκον ἐκδεχόμεναι τῶν ἔσω ῥεψάντων φυμάτων. αὐτῶν δὲ τῶν ἐξοιδούντων ἔξω, τὰ ἀπόξεα καὶ κορυφώδη, κρείττονα τῶν F πλατέων ἐστὶν, ὡς ἂν ὑπὸ θερμοτέρων τε καὶ λεπτοτέρων τῇ συστάσει γινόμενα χυμῶν, καὶ διὰ τοῦτο ταχέως ἐκπυϊσκόμενα. τὰ γὰρ ὑπὸ παχέων, καὶ γλίσχρων γινόμενα ὡς ἂν ψυχρῶν ὄντων, πλατέα τέ ἐστι, καὶ δύσπεπτα, καὶ σήπεται μᾶλλον, οὐ πέττεται χρόνῳ πλείονι, σὺν τούτοις δὲ ἐπαινεῖ καὶ τὰ ὁμαλῶς ἐκπυϊσκόμενα. τὰ γὰρ ἐκ μέρους μέν τινος ἑαυτῶν ἐκπυήσαντα, τὸ λοιπὸν δὲ ἅπαν ἀνεκπύητον ἔχοντα, πρῶτον μὲν αὐτὰ τὰ

χρονιώτερα τῶν ἄλλων ἐκπυησάντων εὐθέως, εἶναι μοχθηρά, δεύτερον δὲ τῷ δυσχερεῖ τῆς θεραπείας. ἄλλων μὲν γὰρ δεῖται τὰ διαπυήσαντα τῶν ἰαμάτων, ἄλλων δὲ τὰ ἀνέκπυητα. καὶ τὰ μὴ περίσκληρα δὲ, βελτίω τῶν περισκλήρων ἐστίν. ὀνομάζει δὲ περίσκληρα τὰ τὸ μέσον ἑαυτῶν ἔχοντα μαλακὸν, καὶ διαπυΐσκον. ὅσον δὲ ἐν κύκλῳ τούτου σκληρὸν καὶ δυσεκπύητον, ἢ ὅλως ἀνεκπύητον. ἐπαινεῖ δὲ καὶ τὰ κατάρροπα φύματα. ταῦτα δέ ἐστιν ὅσα κατὰ τὴν κάτω χώραν τὴν κορυφὴν ἑαυτῶν ἴσχει τῆς ἐκπυήσεως. ἐνταῦθα γὰρ ἀναστομωθέντα, τὰς ἀπορρύσεις εὐπετεῖς λαμβάνει, εἰ μὴ λάθοι γε δέ σε τῶν ἀνωμάλων ὄντα. καὶ τούτοις γὰρ τὸ μέν τι χρηστὸν ὑπάρχει, τὸ δέ τι μοχθηρόν. ὅσα δὲ τὴν ἐκπύησιν ὁμαλὴν ἔχον ἔχοντα, τὴν κορυφὴν ἐν τοῖς κάτω μέρεσι ποιεῖται, ταῦτα ἄριστα. καὶ τὰ μὴ δίκραια δὲ, βελτίω τῶν δικραίων εἶναί φησιν. εὑρίσκεται γὰρ τῶν δικραίων τὸ μέσον οὐκ ἀπαθὲς μὲν, ἀνέκπυητον δὲ καὶ σκληρόν. εὔδηλον δ' ὅτι τῶν ἐναντίως ἀλλήλοις διακειμένων φυμάτων ὧν διῆλθον, ὅσα πλεῖστον ἀλλήλων διαφέρει ταῖς ἰδέαις, ταῦτα καὶ ταῖς δυνάμεσι, καὶ τοῖς ἤθεσι διαφέρει πάμπολυ. πλάτος γὰρ ἱκανὸν ἐχουσῶν τῶν εἰρημένων διαφορῶν, ἀναγκαῖον εἶναι μέν τι μέσον τῶν ἐναντίων. ἀποκεχωρηκέναι δὲ τοῦ μέσου, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον, οἷον ἐπὶ τῶν σκληρῶν καὶ μαλακῶν· ἐπὶ μιᾶς γὰρ ἀντιθέσεως ὡς ἐπὶ παραδείγματος ἀρκέσει τὸν λόγον ποιήσασθαι. τὸ μὲν σκληρὸν τοῦ μαλακοῦ φαυλότερόν ἐστιν. αὐτοῦ δὲ τοῦ σκληροῦ, τὸ μᾶλλον σκληρόν. εἰ δέ ἐστι σκληρότερον, εἴη χαλεπώτατον, οὕτω δὲ καὶ τὸ μὲν μετρίως μαλακὸν, ἀγαθὸν μετρίως ἐστί· τὸ δὲ τελέως μαλακὸν, ἀγαθὸν καὶ τοῦτο τελέως. ὥσπερ οὖν ταύτης τῆς ἀντιθέσεως ἤκουσας, ἐπὶ τὰς εἰρημένας ἁπάσας γε μεταφέρεις.

aliis statim suppurantibus diuturniora sunt, secundo verò quòd difficilius curantur, pejora censentur, aliis enim auxiliis suppurantes partes egent, aliis non suppurantes. Non circundura autem circunduris mitiora sunt. Circundura vocat autẽ, quæ in medio mollia suppurantiaque sunt, circum vero dura, & ægrè, aut nequaquam suppurantia. Laudat præterea & tubercula declivia: hæc sunt autem deorsum versus aciem suæ suppurationis habentia. Hoc enim loco adaperta facile defluere materias sinunt, nisi ea ex inæqualibus esse te latuerit, in iis enim aliquid boni inest, & aliquid mali: verùm quæcunque æqualiter suppurantia aciem in inferioribus habent, hæc omnium optima. Non bifida etiam bifidis meliora esse nos admonet: in bifidis enim medium non sine vitio invenitur, sed crudum atque durum. At clarè patet, ex tuberculis, quæ diximus, contrario inter se modo habentibus, quęcunque plurimum inter se formis dissident, hæc viribus, ac moribus etiam longè distare. Nam satis magnam latitudinem prædictis differentiis habentibus, aliquod inter contraria medium esse necesse est: & à medio aliud magis, aliud minus recedere: ut in duris ac mollibus (in una siquidem oppositione tanquam exemplo sermonem facere satis erit) durum quidem molli pejus est, inter dura, magis durum: durissimum vero pessimum est. Ita sane mediocriter molle, mediocriter bonum est: & perfectè molle, perfectè bonum. Quæ itaque in hac oppositione audivisti, ad prædictas omnes applicare poteris.

Τοῦ φθινοπώρου τὸ θηριῶδες, καὶ φρικῶδες, τὸ μελαγχολικὸν, καὶ τὰς καρδιαλγίας γίνεσθαι. τί κατὰ θηριῶδες ἤκουεν Ἱπποκράτης.

Autumno procreari ferinum horrorem, melancholicum, & cardialgiam, quorum causæ describuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Τὸ θηριῶδες φθινοπώρου, καὶ αἱ καρδιαλγίαι, καὶ τὸ μελαγχολικόν.

HIPPOCRATIS TEXTUS XIV.

Ferinum autumno, & cardialgiæ, & horridum, & melancholicum procreantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴ τε τὰς ἀσκαρίδας, εἴ τε τὰς ἕλμινθας λέγει τὸ θηριῶδες, εἴ τε ἐλέφαντα, καὶ καρκίνον, εἴ τε φθίσιν ὥς τινες ἤκουσαν, εἴ τε πᾶν τὸ κακόηθες. εἰκότως ἐν φθινοπώρῳ τὰ τοιαῦτα γίνεται πλεῖστα, διά τε τὴν κακοχυμίαν τῆς ὥρας, καὶ τὴν τοῦ περιέχοντος ἀνώμαλον κρᾶσιν. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ καρδιαλγίαι, καὶ τὸ φρικῶδες, καὶ τὸ μελαγχολικὸν ἐπικρατεῖ κατὰ τὴν φθινοπωρινὴν ὥραν. ἅπαντα γὰρ ἕπεται ταῦτα τοῖς προειρημένοις αἰτίοις. εἴρηται δὲ ἡμῖν ἐπὶ πλέον ἐν τῇ τοῦ δευτέρου τῶν ἐπιδημιῶν ἐξηγήσει περὶ τῶν κατὰ τὸ φθινόπωρον ἁπάντων.

GALENI COMMENTARIUS.

Seu ventris vermiculos, qui ascarides dicuntur, & lumbrici, ferinum vocet: seu elephantem, & cancrum, seu phthisin, ut nonnulli voluerunt, seu omne malignum vitium: jure autumno hæc omnia procreantur, & ob mali succi, tunc temporis abundantiam, & ob aëris inæqualitatem, temperiem. Nihil igitur mirum, si & cordis dolores, & horrores, & atra bilis, autumnali tempore abundè generantur: omnia enim hæc antedictas causas comitantur. Cæterum in enarratione secundi voluminis de morbis vulgaribus latissimè de omnibus autumno grassantibus morbis disputavimus.

Hæc ſententia ad autumnum refertur, autumnaleſque morbos explicat, qui ut ſunt graviſſimi, ita fere acceſſiones ſub veſperam movent.

Αὕτη ῥῆσις ἐς τὸ φθινόπωρον ἀναφέρεται, καὶ τὰ φθινοπωρινὰ νοσήματα δηλοῖ, ἃ ὥσπερ εἰσὶ βαρύτατα, οὕτως σχεδὸν τοὺς παροξυσμοὺς εἰς δείλην κινοῦσι.

HIPPOCRATIS TEXTUS XV.

IN principiis exacerbationes conſiderandæ ſunt, ac in omni morbo; qualis eſt ſub veſperam exacerbationis motus, & num annus in veſperam vergat, & aſcarides ferociant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

Πρὸς τὰς ἀρχὰς, τοὺς παροξυσμοὺς ἐπισκέπτεσθαι, καὶ ἐν ἁπάσῃ τῇ νούσῳ, οἷον, τὸ ἐν δείλῃ παροξύνεσθαι, καὶ ὁ ἐνιαυτὸς εἰς δείλην, καὶ αἱ ἀσκαρίδες.

GALENI COMMENTARIUS.

ET ſecundo de morbis popularibus Libro hoc modo ſcriptum eſt: Ad initia morborum conſiderandum, ſi confeſtim florent; utitur enim interdum Hippocrates hac voce ad initia, quemadmodum & hoc in ſermone uſus eſt: ad initia morborum refert conſiderare, num ſtatim floreant, quemadmodum & in dicendo, quod & ad calfaciendum, & refrigerandum, & ſiccandum, & humectandum, multa ſanè quiſpiam hujuſmodi invenerit; neque enim ut adverſans, neque ut contradicens, his verbis utitur; ſed ut ad calfaciendum, refrigerandum, ſiccandum, & humectandum juvantia, multa, inquit, hujuſmodi invenire quiſpiam poſſit: id verò & à nobis in illis commentariis declaratum eſt, quibus ſecundum librum de morbis vulgaribus explanavimus. Quod niſi quis ita velit dictionem accipere, ita neceſſario intelligenda hæc verba ſunt, ad initia, hoc eſt, ſecundùm initia, aut circa initia. Neque tamen in ſolis initiis id conſiderandum eſſe nos admonet, ſed in morbis univerſis. Deinde exemplum adjecit, quod bifariàm legi poteſt, uno quidem modo ad veſperam exacerbari, & annus, deinde ab altero principio, ad veſperam & aſcarides; alio item modo ut ad veſperam exacerbari, & annus ad veſperam, deinde ab alio principio, & aſcarides. Diem nanque toti anno proportione reſpondere cenſet, ut matutino tempori ver ſimile ſit, meridiei æſtas, veſperi autumnus, nocti hyems. Dictum eſt autem & de his uberius, ubi ſecundi morborum popularium voluminis eam partem declaravimus, cujus initium eſt, Aſcarides veſperi.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κἀν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν οὕτως ἐγέγραπτο, πρὸς τὰς ἀρχὰς τῶν νούσων σκεπτέον εἰ αὐτίκα αἰθεῖ. χρῆται γὰρ ἐνίοτε τῇ πρὸς τὰς ἀρχὰς φωνῇ ὁ Ἱπποκράτης, ὥσπερ καὶ κατὰ τήνδε τὴν λέξιν εἶπε. πρὸς τὰς ἀρχὰς τῶν νούσων διαφέρει τὸ σκέπτεσθαι εἰ αὐτίκα αἰθεῖ, καθάπερ κἂν τῷ φάναι, τὸ, καὶ πρὸς τὸ θερμαίνειν, ὧν καὶ ψύχειν, καὶ ξηραίνειν, καὶ ὑγραίνειν, πολλὰ ἄν τις εὕροι τοιαῦτα. οὐ γὰρ ὡς ἐναντιούμενος, οὐδ᾽ ὡς ἀντιλέγων, ἀλλ᾽ ὡς συνεργοῦντα πρὸς τὸ θερμαίνειν, καὶ ψύχειν, καὶ ξηραίνειν, καὶ ὑγραίνειν χρῆται, πολλά, φησιν, ἄν τις εὕροι τοιαῦτα. δέδεικται δὲ καὶ τοῦθ᾽ ἡμῖν, ἐν οἷς ἐξηγούμεθα τὸ δεύτερον τῶν ἐπιδημιῶν. εἰ δ᾽ οὐχ οὕτως ἐθέλοι τις ἀκούειν τῆς ὅτι λέξεως, ἀναγκαῖόν ἐστι τὸ, πρὸς τὰς ἀρχὰς, ἀντὶ τοῦ κατὰ τὰς ἀρχὰς, ἢ περὶ τὰς ἀρχὰς ἀκούειν. οὐ μὴν ἐν ταῖς ἀρχαῖς γε μόναις τοῦτο παραινεῖ σκοπεῖν, ἀλλ᾽ ἐν ὅλαις ταῖς νόσοις. εἶτα παράδειγμα προσέθηκεν ὃ δυνατόν ἐστιν ἀναγνῶναι διττῶς. καθ᾽ ἕνα μὲν τρόπον, τὸ ἐς δείλην παροξύνεσθαι, καὶ ὁ ἐνιαυτὸς, εἶτ᾽ ἀφ᾽ ἑτέρας ἀρχῆς ἐς δείλην, καὶ αἱ ἀσκαρίδες. καθ᾽ ἕτερον δὲ τρόπον, οἷον τὸ ἐς δείλην παροξύνεσθαι, καὶ ὁ ἐνιαυτὸς ἐς δείλην. εἶτα ἀπ᾽ ἄλλης ἀρχῆς, καὶ ἀσκαρίδες. ἀνάλογος γὰρ ἵνα ἔχειν ἡγεῖται τὴν ἡμέραν πρὸς ὅλον τὸν ἐνιαυτόν. ὡς, τῷ μὲν ἑωθινῷ καιρῷ, τὸ ἔαρ ἐοικέναι, τῇ δὲ μεσημβρίᾳ, τὸ θέρος, τῇ δὲ ἑσπέρᾳ, τὸ φθινόπωρον, τῇ δὲ νυκτὶ, τὸν χειμῶνα. λέλεκται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον ἐν οἷς ἐξηγούμεθα τὴν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ῥῆσιν, ἧς ἀρχὴ, αἱ ἀσκαρίδες δείλης.

Tuſſiculam, ventris perturbationem, & febrem aſſiduam tumoris in infanti bimeſtri articulos decubituri eſſe ſigna.

Τὸ βήχιον, καὶ τὴν γαστρὸς ταραχὴν, καὶ τὸν πυρετὸν συνεχῆ τὰ τοῦ οἰδήματος ἐν νηπίῳ διμηνιαίῳ ἐς ἄρθρα ἐσομένου σημεῖα γίνεσθαι.

HIPPOCRATIS TEXTUS XVI.

INfantibus oborta tuſſicula cum ventris perturbatione & febre aſſidua, ſignificat poſt judicationem bimeſtri in totum vigeſimo die ad articulos etiam tumores fore.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

Νηπίοισι βηχίον ξὺν γαστρὸς ταραχῇ, καὶ πυρετῷ ξυνεχεῖ, σημαίνει μετὰ κρίσιν διμηνιαίῳ, τὸ ξύμπαν εἰκοσταίῳ, καὶ οἰδήματα ἐς ἄρθρα.

GALENI COMMENTARIUS.

OMnes Enarratores ſcriptis ſimiliter credunt, nec eorum quæ laudant, quæpiam intelligunt, ſiquidem nonnulla (& ſi affectare

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἅπαντες ὁμοίως πιστεύοντες τοῖς γεγραμμένοις οἱ ἐξηγησάμενοι, μετὰ τοῦ μηδὲ νοεῖν, ὧν ἐπαινοῦσιν, ἔνια. καί τοι, ἵνα μὲν, εἰ καὶ κακοζηλό-

περὶ εἰπεῖν, οἷον νεῦρα τῆς τέχνης ἐστίν. τινὰ δὲ πάνυ σμικρὰν ἔχειν τὴν ὠφέλειαν, ἔνια δὲ οὐδὲ σμικράν, ὥσπερ καὶ τὸ κατὰ τὴν προκειμένην ῥῆσιν. ἐγὼ γὰρ ὅσα μὲν ἀεὶ φαίνεται γινόμενα κατὰ τοὺς ἀρρώστους, ὡσαύτως ἀξιομνημόνευτα νομίζω, καὶ τούτων αὐτῶν μάλιστα, τὰ μεγάλην ἔχοντα τὴν χρείαν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἔλεγον, ἐπὶ τῆς κατὰ τὸ ῥῖγος προγνώσεως. ἐν σφοδροτάτῳ γὰρ ἐνίοτε πυρετῷ μετ᾽ ἀγρυπνίας, καὶ ἄσης, καὶ δίψους, καὶ δυσφορίας, ἔσθ᾽ ὅτε δὲ καὶ παραφροσύνης, ἁπάντων ταραττομένων, καὶ κλαιόντων τῶν οἰκείων τοῦ κάμνοντος, ἔνεστιν ἐπιστημονικῶς προειπόντα ῥῖγός τε, καὶ ἱδρῶτα, καὶ λύσιν τοῦ νοσήματος, Ἀσκληπιὸν εἶναι δοκεῖν. ἐπὶ δὲ τοῦ νῦν λεγομένου, πρῶτον μὲν οὐ σαφές ἐστιν ὃ λέγει. δεύτερον δὲ κἂν ἁπάσας αὐτοῦ τὰς πιθανὰς ἐκδοχὰς ὑπόθηταί τις ἔχεσθαι τῆς τοῦ γράψαντος γνώμης, οὐδὲν ἐξ αὐτῶν ἐστι προειπεῖν. ὑποκείσθω γάρ τι νήπιον βῆττον, ἅμα γαστρὸς ταραχῇ, καὶ πυρετῷ συνεχεῖ, κἄπειτα κρινόμενον ὁποσοῦν ἐν ᾗ περ ἂν ἡμέρᾳ βούληταί τις. εἴτ᾽ οὖν ὀγδοηκοστῇ μετὰ τὴν ἀποκύησιν, εἴθ᾽ ἑξηκοστῇ, διττῶς γὰρ ἐξηγήσαντο τὴν λέξιν τήνδε, διμηνιαίῳ τὸ σύμπαν εἰκοσταίῳ, τινὲς μὲν δὲ ἀπὸ γενετῆς διμηνιαῖον εἶναι βουλόμενοι, καθ᾽ ἣν ἡμέραν κρίνεται τὸ παιδίον, εἰκοσταῖον δ᾽ ἀφ᾽ ἧς ἡμέρας ἤρξατο νοσεῖν. τινὲς δὲ διμηνιαίῳ γινομένῳ τὴν νόσον ἀρξαμένην κριθῆναι μεθ᾽ ἡμέρας εἴκοσι, καὶ τούτων οὕτως ἐχόντων, ἡμᾶς προλέγειν, ὅτι τούτῳ τῷ παιδίῳ καὶ ἀπόστασίς τις εἰς ἄρθρα γενήσεται μετὰ τὴν κρίσιν, καὶ μὴν οὔτε διὰ παντὸς οὔθ᾽ ὡς τὸ πολὺ συμβήσεται τοῦτο. χρὴ δὲ τὰς προῤῥήσεις, ἢ ἀμεταπλαίσους εἶναι διὰ παντὸς ἢ σπανιάκις σφάλλεσθαι. τὸ δ᾽ ὀλιγάκις μὲν ἐπιτυγχάνειν, πλεονάκις δ᾽ ἀποτυγχάνειν, οὐ τεχνικόν.

A dixerim) veluti artis nervi sunt, alia perexiguam utilitatem afferunt, alia vero neque exiguam, quemadmodum id quod in præsenti parte proponitur. Etenim ego, quæcunque in ægrotantibus eodem semper modo fieri videntur, memoratu digna censeo, & ex his ipsis, ea potissimùm quæ magno usui sunt, quemadmodum paulo ante de præsensione ex rigore dicebam. Interdum nanque in vehementissima febre adjuncta vigilia, fastidio, siti, impatientia, nonnunquam & delirio, omnibus ægrotantis domesticis perterritis ac flentibus, quempiam licet B rigorem, & sudorem, morbique solutionem scienter prædicentem, Æsculapium esse videri. Sed in proposita sententia primùm quidem quid dicat, obscurum est: deinde etsi omnes ipsius Scriptoris verisimiles intellectus habere quispiam se crediderit, nihil tamen ex ipsis prædicere poterit. Esto enim infans aliquis tussiens, ventre perturbato, cum febre perpetua: deinde utcunque, quo quis velit, die judicetur, sive octogesimo à partu, sive sexagesimo; duobus enim modis sermo iste declaratus est, bimestri, prorsus vigesimo, nonnulli quidem ab ortu bimestrem C esse volentes, quo die infans judicatur, vigesimum autem à die quo ægrotare incepit: at nonnulli aiunt duos menses nato morbum accidisse, atque viginti dies post initium judicatum esse: hisque hunc in modum habentibus, nos prædicere posse, puerulo isti à judicatione abscessum aliquem in articulos impetum esse facturum. Atqui neque semper, neque plerunque istud eveniet. Prædictiones autem aut veraces esse in perpetuum decet, aut raro mentiri, nam raro veritatem assequi, & plerunque aberrare nequaquam artificiosum est. D

Τὰς ἀποστάσιας ἐκ τῶν ὑγρῶν ἄνωθεν κάτω ἐς ἄρθρα κάτω τοῦ ὀμφαλοῦ κατακειμένων γινομένας, ἀγαθὰς εἶναι, ἐναντίας δὲ μὴ ἀγαθάς, ἢν μὴ ἐκπυήσῃ.

Abscessus ex humoribus supernè deorsum in articulos infra umbilicum decumbentibus procreatos bonos esse, contrarios vero malos, nisi suppuraverint.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ΄.

Ἢν μὲν κάτω τοῦ ὀμφαλοῦ καταστῇ, τὰ ἄνω, ἐν τοῖσι κάτω ἄρθροισιν, ἀγαθόν. ἢν δὲ ἄνω, οὐχ ὁμοίως λύει τὴν νοῦσον, ἢν μὴ ἐκπυήσῃ.

HIPPOCRATIS TEXTUS XVII.

Quod si supernè quidem deorsum infrà umbilicum in inferioribus articulis constiterint, bonum; si vero infernè *sursum*, *non peræque morbum solvunt, nisi suppuraverint.* E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν ἔτι περὶ τῶν παιδίων λέγει ταῦτα, δῆλόν ἐστι διὰ τῶν ἐφεξῆς εἰρησομένων. ὁ γε μὴν λόγος οὗτος οὐ τῶν ἐπὶ μέρους ἐστίν, ἀλλὰ τῶν καθόλου, καὶ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν, καὶ κατὰ τοὺς ἀφορισμούς, καὶ κατὰ τὸ προγνωστικὸν εἰρημένος, ἃ προεξηγησάμεθα. βούλεται γὰρ τὰς μὲν ἐκ τῶν ἄνω χωρίων, εἰς τὰ κάτω τοῦ ὀμφαλοῦ γινομένας ἀποστάσεις, ἀγαθὰς εἶναι, τὰς δὲ μὴ τοιαύτας, οὐκ ἀγαθάς. ἐκλύει δ᾽ αὐτῶν τι τῆς κακίας, ἐὰν ἐκπυήσῃ τὰ οἰδήματα. κέχρηται δὲ κἀνταῦθα τῇ προσηγορίᾳ τοῦ οἰδήματος, ἐπὶ τοῦ γενικοῦ σημαινομένου τῶν παρὰ φύσιν ὄγκων, ὡς καὶ πρόσθεν εἴρηται.

GALENI COMMENTARIUS.

Quod de pueris adhuc ista loquatur, ex inferius dicendis constat. Verùm sermo iste non de particularibus est, sed de communibus, & in secundo de morbis popularibus & in Aphorismis, & in Libro Præsagiorum repertus, quos omnes locos dudum explanavimus. Vult enim Hippocrates ex superioribus F locis in inferiora umbilico factos abscessus salubres esse: non hujusmodi autem, haud salubres; sed eorum malignitas aliquantulum obtunditur, si œdemata suppuraverint. Usus est autem & hoc loco œdematis appellatione in communi significato omnium præter naturam tumorum, ut & antea dictum est.

A

Suppuratos tumores in humeris puerorum, iis mustellina brachia, hoc est, tenuia & brevia efficere. Quid mustellinum brachium.

Τὰ οἰδήματα ἐκπυέοντα ἐν τοῖς νηπίων ὤμοις, τούτοις γαλιαγκῶνας, τουτέστι λεπτά τε, καὶ βραχύτερα ποιεῖν· τί γαλιάγκων.

HIPPOCRATIS TEXTUS XVIII.

Qui vero tumores in humeris suppurantur tantulis, iis mustellina brachia efficiunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

ΤΑ δ' ἐν ὤμοισιν ἐκπυέοντα, τοῖσι τηλικούτοισι γαλιάγκωνας ποιέει.

B

GALENI COMMENTARIUS.

Quod de infantibus adhuc disputet, ipse declaravit inquiens, tantulis, dignum censens, & modo dicta, ad initium sermonis referre. Verum quomodo isti breviori humero reddantur, in Libro de articulis, nostrisque in ipsum Commentationibus didicisti.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι περὶ τῶν νηπίων ἔτι διαλέγεται, σαφὲς αὐτὸς ἐποίησεν εἰπὼν, τοῖσι τηλικούτοισιν, ἀξιῶν ἡμᾶς ἐπὶ τὴν ἀρχὴν ἀναφέρειν τοῦ λόγου καὶ τὰ νῦν εἰρημένα. κατὰ τίνα δὲ τρόπον γαλιάγκωνες οἱ τοιοῦτοι γίνονται, μεμάθηκας ἔν τε τῷ περὶ ἄρθρων αὐτοῦ συγγράμματι, καὶ τοῖς ἡμετέροις ὑπομνήμασιν εἰς αὐτό.

C Quæ ulcusculorum eruptiones pueris maximè salutares sint, aut perniciosæ.

Τὰς μὲν ἑλκυδρίων ἐκθέσεις τοῖς μάλιστα παιδίοις σωτηρίας, τὰς δὲ ὀλεθρίας εἶναι.

HIPPOCRATIS TEXTUS XIX.

Solvet autem ulcusculorum in partes inferiores eruptio, nisi rotunda, & profunda fuerint. Hujusmodi nanque tunc maximè pueris perniciosa sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

ΛΥσιε δ' ἂν, καὶ ἑλκυδρίων κάτω ἔκθυσις, ἢν μὴ στρογγύλα, καὶ βαθέα ᾖ· τὰ δὲ τοιαῦτα ὀλέθρια, καὶ ἄλλως παιδίοισιν.

GALENI COMMENTARIUS.

D Ab hoc Græco verbo ἐκθύειν, quod erumpere significat, vocabulum ἔκθυσιν, hoc est eruptionem derivavit Hippocrates, mediâ syllabâ productâ: perinde ac si cum impetu exitum dixisset. Ipsa vero affectus abscessu egentes discutere inquit, nisi rotunda & profunda sint, hoc est, nisi summopere maligna fuerint. Infesta nanque infantibus sunt, neque dolores, neque curationem ferre potentibus: quin & alioqui ægrè sanabilia hujusmodi ulcera sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΑρὰ τὸ ἐκθύειν, ὅπερ ἐστὶν ἐξορμᾶν, τὴν ἔκθυσιν εἴρηκεν, ἐκτεινομένης τῆς μέσης συλλαβῆς, ὥσπερ καὶ ἐξόρμησιν εἴρηκε. λύειν δ' αὐτά φησι τὰς ἀποσκήμματος δεομένας διαθέσεις, ἢν μὴ στρογγύλα, καὶ βαθέα ᾖ, τουτέστιν εἰ μὴ κακοήθη μάλιστα γένοιτο· καὶ γὰρ ἀνιαρὰ τοῖς βρέφεσιν, οὐ δυναμένοις φέρειν, οὔτε τὰς ὀδύνας, οὔτε τὴν θεραπείαν, καὶ ἄλλως δυσίατα τὰ τοιαῦτα.

E Sanguinis profluvium pueris adultioribus potissimùm auxiliari, quibus in morbis docet Galenus.

Τὴν αἵματος ῥύσιν τοῖς παιδίοις μάλιστα τελειοτέροις ὠφέλιμον εἶναι, ἐν οἷς νοσήμασι διδάσκει ὁ Γαληνός.

HIPPOCRATIS TEXTUS XX.

Solvet etiam morbum sanguinis profluvium, quod magis in adultioribus proditur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

ΛΥσιε δ' ἂν καὶ αἷμα ῥυὲν, μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται.

GALENI COMMENTARIUS.

F Sanguinem profecto emanantem omnibus id genus vitiis prodesse sæpiùs jam didicimus; in infantibus autem, de quibus sermonem facit, ab initio neque sanguis apparet, præterquam raro. Ideo & ipse addidit: frequentius autem perfectioribus id incidit, hoc est, iis, qui sunt adultioris ætatis. Qui affectus autem sint, qui per abscessus quos dixit, & sanguinis profluvia, & ulcuscula, in infantibus judicantur, non clare admodum aperuit: initium enim sermonis erat, infantibus tussi-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν αἷμα ῥυὲν πᾶσι τοῖς τοιούτοις ὠφέλιμόν ἐστι, πολλάκις ἤδη μεμαθήκαμεν. ἐπὶ δὲ τῶν νηπίων περὶ ὧν διαλέγεται τὴν ἀρχὴν, οὐδὲ ἐπιφαίνεται τὸ αἷμα, πλὴν εἴ που σπανίως. διὸ καὶ προσέθηκεν αὐτὸς, μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται, τουτέστι τοῖς ἐπὶ πλέον ηὐξημένοις. τίνα δ' ἔστι πάθη τὰ δι' ὧν εἶπεν ἀποστάσεών τε, καὶ αἱμορραγιῶν, καὶ ἑλκυδρίων κρινόμενα τοῖς νηπίοις, οὐ πάνυ σαφῶς ἐδήλωσεν. ἡ γὰρ ἀρχὴ τῆς ῥήσεως ἦν, νηπίοισι βηχίον συνὸ

γαστρὸς ταραχῇ καὶ πυρετῷ συνεχεῖ. δύναται δὲ καὶ τὰ κατὰ τὸ πλευρόν τε, καὶ πνεύμονα, καὶ τὸ καθ' ἧπάρ τε, καὶ γαστέρα, δι' ὧν εἶπε συμπτωμάτων δηλοῦσθαι.

A cula cum ventris perturbatione, & febre continente: potest autem ex iis quæ dixit, symptomatibus, & de lateris, pulmonis, jecinoris, atque ventriculi affectibus intelligi.

Τὰ δάκρυα ἐν τοῖς ὀξέσι ἑκούσια μὲν χρηστά, ἀκούσια δὲ κακὰ εἶναι.

Spontaneas in acutis lachrymas bona, involuntarias malas esse signa.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Δάκρυα, ἐν τοῖσι ὀξέσι, τῶν φλαύρως ἐχόντων, ἑκόντων μὲν χρηστόν, ἀκόντων δὲ παραρρέοντα, κακόν.

HIPPOCRATIS TEXTUS XXI.

B *Lachrymæ in acutis malè habentibus spontaneæ quidem, bonæ; involuntariæ vero præterfluentes, malæ.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν τοιούτων δακρύων εἴρηται μὲν κἀν τῷ προγνωστικῷ, καὶ ἐν τοῖς ἀφορισμοῖς. ἀλλὰ τελεώτερον ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἔνθα φησίν, ὁκόσοισιν, » ἐν πυρετοῖς ὀξέσι, μᾶλλον δὲ καυσώδεσιν, ἀέκουσι δά» κρυα παραρρεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμορραγίην προσ» δέχεσθαι, ἢν μήτ' ἄλλο ὀλεθρίως ἔχωσιν. ἐπὶ τοῖσι δὲ » φλαύρως ἔχουσιν, οὐχ αἱμορραγίην, ἀλλὰ θάνατον ση» μαίνει. καὶ ἡμεῖς ἐξηγησάμεθα τὴν ῥῆσιν, ἐν τοῖς εἰς ἐκεῖ» νο τὸ βιβλίον ὑπομνήμασιν.

GALENI COMMENTARIUS.

De lachrymis hujusmodi dictum sane est, & in Libro Præsagiorum, & in Aphorismis; sed accuratiùs in primo volumine de morbis popularibus, ubi ait; Quibuscunque in acutis febribus, magis autem in ardentibus, involuntariè lachrymæ cadunt, his de naribus sanC guinis profluvium expectandum est, nisi alia perniciose habeant; in male autem habentibus non sanguinis profluvium, sed mortem significant. Et nos in ejus Libri explanationibus hunc sermonem declaravimus.

Περιτεταμένον βλέφαρον ἐν ὀξέσι κακὸν σημεῖον εἶναι.

Circuntensam palpebram in acutis malum signum esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Οἷσι περιτείνεται βλέφαρον, κακόν.

HIPPOCRATIS TEXTUS XXII.

D *Quibus circuntenduntur palpebræ, malum significatur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ αὐτὴ διάθεσις ἐργάζεται τὸ τοιοῦτον βλέφαρον, τὴν κατὰ τὸ προγνωστικὸν εἰρημένην. δέρμα τὸ περὶ τὸ » μέτωπον σκληρόν, καὶ περιτεταμένον. ὅτι δὲ ἐπὶ τῶν ὀξέων » νοσημάτων λέγεται καὶ τοῦτο, καὶ τἄλλα τὰ ἐφεξῆς αὐτοῦ, κατὰ τὸ προγνωστικὸν ὑπ' αὐτοῦ δεδήλωται, καὶ κατὰ τήνδε τὴν ῥῆσιν εἰπόντος. δάκρυον ἐν τοῖς ὀξέσι τῶν φλαύρως ἐχόντων, ἑκόντων μὲν χρηστόν, ἀκόντων δὲ παραρρέον, κακόν.

GALENI COMMENTARIUS.

Idem affectus talem palpebram efficit, qualis in Præsagiorum Libro descriptus est. Cutis circa frontem dura & prætensa. Quod autem de cutis morbis hoc, & alia deinceps in Prognosticorum volumine dicta sint, ab ipso deE claratum fuit, & hisce in verbis dicente. Lacrymæ in acutis male habentium voluntarie quidem emanantes bonæ sunt, involutariæ autem malæ.

Τὰ λημύδρια κατὰ τοὺς ὀφθαλμοὺς ἐπιξηραινόμενα, κακόν.

Lemulas oculis inarescere malum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

Κακὸν δέ, καὶ τὸ ἐπιξηραινόμενον, οἷον ἄχνη.

HIPPOCRATIS TEXTUS XXIII.

Malum quoque quod in oculis inarescit veluti arida spuma. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φαίνεται γινόμενον καὶ τοῦτο ἐν τοῖς ὀξέσι νοσήμασιν, ὅταν ἐσχάτως ᾖ ξηρά, σὺν ἀρρωστίᾳ δυνάμεως, μικρῶν πάνυ λημυδρίων ἐκπιπτόντων κατὰ τοὺς ὀφθαλμούς, εἶτ' αὖθις ἐπιξηραινομένων.

GALENI COMMENTARIUS.

Id quoque in morbis acutis fieri cernitur, quum summe aridi sunt, & vires imbecillæ, perexiguis lachrymulis ab oculis excidentibus, deinde ibi inarescentibus.

A

Cur in acutis oculorum hebetatio malum.

HIPPOCRATIS TEXTUS XXIV.

OCulorum quoque hebetatio ac retusio malum.

GALENI COMMENTARIUS.

IN acutis morbis obscurari oculorum aciem infirmitatem, & interitum visoriæ potentiæ significat.

B

In acutis oculorum squalorem malum esse.

HIPPOCRATIS TEXTUS XXV.

SQualor etiam malum.

GALENI COMMENTARIUS.

C

ERat quidem & habens veluti spumam squalidum, sed nunc, etiamsi sine spuma sit, malum esse significavit.

Corrugatos oculos malum denunciare.

HIPPOCRATIS TEXTUS XXVI.

QVique intro corrugantur, malum denunciant.

D

GALENI COMMENTARIUS.

QUando membrana musculis oculum moventibus agnata, ad circulum usque coronam appellatum porrecta, dissoluta, relaxataque fuerit, tunc oculos interiùs corrugari accidit: nam, si exteriùs corrugati fuerint, erit sane cutis ipsius hæc affectio. Imbecillitatis autem, ac refrigerationis hoc signum esse testimonio est id, quod in valde senibus contingit; ipsorum enim oculi rugosi esse cernuntur.

E

Oculos concretos, immobiles, & vix versiles motricis musculorum cadaverationem; obtortos desipientiam & musculorum tremorem, & principii læsionem significare.

HIPPOCRATIS TEXTUS XXVII.

COncreti etiam oculi, quique vix vertuntur, & intro convoluti, malum.

F

GALENI COMMENTARIVS.

DE oculis hæc quoque disseruit. Nam concreti, hoc est immobiles, perfectissimam ejus potentiæ extinctionem significat, à qua musculi, quum naturaliter affecti erant, movebantur. Illud autem, & vix versiles, proximum isti affectum declarat; obtorti autem oculi, aut delirium, aut tremorem ipsos mo-

Διὰ τί ἐν ὀξέσιν ἡ τῶν ὀφθαλμῶν ἀμαύρωσις, κακόν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ΄.

ΚΑὶ τὸ ἀμαυρὸν, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τοῖς ὀξέσι νοσήμασι, τὸ ἀμαυροῦσθαι τὰς ὄψεις, ἀῤῥωστίαν καὶ νέκρωσιν σημαίνει τῆς ὀπτικῆς δυνάμεως.

Τὸν ἐν ὀξέσι αὐχμὸν ὀφθαλμῶν κακὸν εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε΄.

ΚΑὶ τὸ αὐχμηρὸν, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΝ μὲν καὶ τὸ, οἷον ἄχνην ἔχον, αὐχμηρὸν, ἀλλὰ νῦν, ὅτι κἂν χωρὶς ἄχνης ᾖ, μοχθηρόν ἐστιν, ἐδήλωσε.

Τοὺς ῥυπιδουμένους ὀφθαλμοὺς κακὸν σημαίνειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ΄.

ΚΑὶ οἱ ῥυπιδούμενοι ἔνδοθεν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤαν ὁ ἐπιπεφυκὼς ὑμὴν τοῖς κινοῦσι τὸν ὀφθαλμὸν μυσὶν, ὁ μέχρι τῆς στεφάνης ἐκτεινόμενος, ἔκλυτος καὶ χαλαρὸς γένηται, ῥυπιδοῦσθαι συμβαίνει τοῖς ὀφθαλμοῖς ἔσωθεν. εἰ γὰρ ἔξωθεν ῥυπιδωθεῖεν, εἴη ἂν οὕτω γε τοῦ δέρματος τὸ πάθος. ὅτι δὲ ἀσθενείας, καὶ καταψύξεώς ἐστι σημεῖον, τὸ τοιοῦτον δηλοῖ, καὶ τὸ συμβαῖνον ἐπὶ τῶν πάνυ γερόντων, ὁρῶνται γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ ῥυπιδούμενοι.

Τοὺς ὀφθαλμοὺς πεπηγότας καὶ ἀκινήτους καὶ μόγις στρεφομένους τῆς κατὰ τοὺς μῦς κινητικῆς δυνάμεως νέκρωσιν τελειοτάτην, τοὺς δὲ ἐνδεδινημένους, παραφροσύνην ἢ τῶν μυῶν τρόμον, καὶ τῆς ἀρχῆς κάκωσιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ΄.

ΟΙ πεπηγότες, καὶ οἱ μόγις στρεφόμενοι, καὶ οἱ ἐνδεδινημένοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕρὶ τῶν ὀφθαλμῶν, καὶ ταῦτα διῆλθεν. οἱ μὲν γὰρ πεπηγότες, ὅτι ἐστὶν ἀκίνητοι, τελεωτάτην ἐνδείκνυνται νέκρωσιν τῆς κατὰ τοὺς μῦς δυνάμεως, ὑφ᾽ ἧς ἐκινοῦντο πρόσθεν ὅτ᾽ εἶχον κατὰ φύσιν. οἱ δὲ μόγις στρεφόμενοι, πλησίον ἥκουσι τῆς τοιαύτης διαθέσεως. οἱ δὲ ἐνδεδινημένοι, παραφροσύνην, ἢ τρόμον ἐνδείκνυν-

ται τῶν τὸ ὀφθαλμὸν κινούντων μυῶν. πάντα δὲ τὰ τοιαῦτα ταῦτα ἐν ὀξέσι νοσήμασι κινδυνώδεσι, διὰ τὴν τῆς ἀρχῆς κάκωσιν.

A ventium musculorum indicant. Hæc omnia vera in acutis & periculosis morbis, ob principis membri noxam, oboriuntur.

Τὰ σημεῖα κακὰ, καὶ ὀλέθρια ἤκουσεν Ἱπποκράτης κατὰ ταύτην ῥῆσιν.

Signa mala & perniciosa intelligit Hippocrates per hunc textum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη΄.

ΚΑὶ ὅσα ἄλλα παρεῖται.

HIPPOCRATIS TEXTUS XXVIII.

ET quæ cætera prætermittuntur.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τίνα ταῦτ' ἐστὶν ἃ λέγει παρεῖσθαι τῶν συμβαινόντων τοῖς ὀφθαλμοῖς, ἢ δηλονότι τὰ κατὰ τὸ προγνωστικὸν εἰρημένα κατὰ τήνδε τὴν ῥῆσιν. ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν, » ἢ δακρύωσιν, ἢ διαστρέφωνται, ἢ ὁ ἕτερος τοῦ ἑτέρου, » ἐλάσσων γίνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ πε- » λιδνὰ, ἢ μέλανα φλέβια ἐν ἑωυτοῖσιν, ἢ λῆμαι περὶ » τὰς ὄψιας, ἢ ἐναιωρεύμενοι φαίνωνται, ἢ ἐξίσχοντες, ἢ » ἔγκοιλοι ἰσχυρῶς γινόμενοι. προεξηγησάμεθα δὲ ἐν ἐκεί- » νῳ τῷ βιβλίῳ σὺν τοῖς ἄλλοις ἅπασι καὶ ταῦτα.

GALENI COMMENTARIUS.

QUænam sunt hæc, quæ oculis evenientia omissa esse dicit? an scilicet ea, quæ in Præsagiorum volumine per hæc verba enumerata sunt? Si lucem enim fugiant, aut lachrymentur, aut invertantur, aut alter altero minor sit, aut alba rubra appareant: aut in ipsis venulas lividas aut nigras habeant, aut lippitudines circum oculos, aut si suspensi videantur, aut prominentes, aut valde cavi. C Prius autem in eo Libro cum aliis omnibus & hæc explanavimus.

Τὰς πλείστας εἶναι διδάσκει τῶν πυρετῶν διαφοράς. τὰς μὲν ἀπὸ τῆς οὐσίας, ἄλλας δὲ ἀπὸ τοῦ συμβεβηκότος, ἄλλας δὴ ἀπὸ τῆς ποσότητος, ποιότητος, χροίας, καὶ τοῦ χυλοῦ καταληφθείσας, καὶ διὰ τῶν πυρετῶν ἄλλας εἶναι διαφορὰς, τὰς μὲν οὐσιώδεις, τὰς δὴ ἐπουσιώδεις πολλαπλασίας.

Plures docet febrium esse differentias, alias à substantia, alias à quantitate, qualitate, colore, & sapore deductas; proindeque febrium differentias alias esse essentiales, alias accidentales multiplices.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ΄.

ΠΥρετοὶ, οἱ μὲν δακνώδεες τῇ χειρὶ, οἱ δὲ πρηέες, οἱ δὲ οὐ δακνώδεις μὲν, ἐπαναδιδόντες δέ. οἱ δὲ ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρός. οἱ δὲ περικαέες μὲν εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροὶ, ξηροί· οἱ δὲ ἁλμυρώδεες, οἱ δὲ πεμφυγώδεες, ἰδεῖν δεινοί. οἱ δὲ πρὸς τὴν χεῖρα νοτώδεες, οἱ δὲ ἐξέρυθροι, οἱ δὲ ἔξωχροι, οἱ δὲ πελιοὶ, καὶ τὰ ἄλλα τοιαῦτα τοιουτότροπα.

HIPPOCRATIS TEXTUS XXIX.

FEbrium quædam manui mordaces sunt; quædam vero mites. Quædam non mordaces quidem apparent, sed insurgentes. Aliæ autem acutæ quidem, sed quæ manui cedant. Quædam ilico perurentes; quædam semper debiles & aridæ; quædam etiam salsuginosæ.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ ταῦτα πάλιν ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προσέθηκε, καὶ τὰ ἄλλα τοιαῦτα, διὰ τὸ μόνας αὐτοὺς τὰς ἀξιολόγους διαφορὰς τῶν πυρετῶν ὑποτετυπῶσθαι. πρώτας μὲν οὖν ἔγραψε τὰς κατ' αὐτὴν τὴν οἰκείαν τῶν πυρετῶν οὐσίαν, οὐσία δὲ αὐτῶν ἐστὶ, οὐ καθ' Ἱπποκράτην μόνον, καὶ τοὺς ἀρίστους ἰατρούς, ἀλλὰ, καὶ κατὰ τὴν κοινὴν πάντων ἀνθρώπων ἔννοιαν, ἡ παρὰ φύσιν θερμασία, μάλιστα μὲν εἰς ὅλον ἐκτεταμένη τὸ ζῶον. εἰ δὲ μὴ, ἀλλὰ πάντως, ἤ τοί γε ἐν τοῖς πλείοσι μορίοις, ἢ ἐν τοῖς κυριωτάτοις ὑπάρχουσα· καὶ πολλάκις γε τὸ μὲν ἅπαν δέρμα θερμασίαν οὐδεμίαν σαφῆ ἔχειν φαίνεται παρὰ φύσιν, οὔθ' ἡμῖν τοῖς ἔξωθεν ἁπτομένοις, οὔτε τοῖς κάμνουσιν. αἰσθάνονται δὲ αὐτῆς οἱ τοσοῦτες ἐν τῷ βάθει, καὶ φασὶ διακαίεσθαι τὰ σπλάγχνα, καὶ πρὸς τούτῳ γε ἔνιοι, καὶ ἀσώδεις εἰσὶ καὶ διψώδεις, καὶ ἄγρυπνοι. νῦν οὖν ὁ Ἱπποκράτης τὰς διαφορὰς τῶν πυρετῶν γράφει, ὅσαι διαγινώσκονται τοῖς ἰατροῖς. οὐκ ἐξ ὧν οἱ κάμνοντες λέγουσι,

GALENI COMMENTARIUS.

RUrsum & hoc loco in fine sermonis adjecit, & id genus alia, quoniam ab ipso solæ febrium insignes differentiæ designatæ sunt. Primas itaque differentias scripsit ab ipsa propria febrium essentia acceptas. Essentia vero febrium est, non secundùm Hippocratem modo, atque præclarissimos Medicos, sed etiam secundùm communem omnium hominum notionem, præter naturam caliditas; maximè quidem in totum animal effusa; sin minus, at F omnino vel in plurimis partibus, vel in nobilissimis accensa. Sæpius nanque universa cutis nullam evidentem præter naturam caliditatem, neque nobis exterius tangentibus, neque ipsis laborantibus, præ se ferre videtur; sed in profundo corpore ipsam ægrotantes sentiunt, visceraque sibi incendio flagrare aiunt: nonnulli præterea & fastidio afficiuntur, & siticulosi sunt, atque pervigiles. Nunc igitur Hippocrates febrium differentias, quæcunque à Medicis dignoscuntur, non ex iis, quæ laborantes

referunt; sed ex iis, quæ ipsi tactu, visuque evidenter percipiunt, enumerat. Primæ autem sunt & præcipua, & ex propria (ut dixi) febrium essentia acceptæ, quæ per calorem traduntur; neque enim arteriarum motu febrium essentia continetur; hac in re nanque quo modo Erasistratus, & Crysippus hallucinati sunt aliàs didicisti. Febrilis igitur caliditas febricitantia corpora tangentibus aut acrem mordacemque, aut mediocriter molestam sese offeret: suave enim illud, atque familiare, quale naturali calori inest, nequaquam habet. Quemadmodum igitur & alia pleraque majoris minorisque ratione inter se differentia adstantibus gratiora loquendo, quàm veriora, explicamus; ita & caliditatem parum molestam interdum nihil molesti tristisque habere dicimus, ipsam scilicet calori valde infesto comparantes. Itaque nonnunquam caliditas plurima juxta atque acerrima videtur, plerunque vero non paucâ quidem, sed ab acerrima differens: aut rursum acerrima quidem, sed non multa. Et hæ singulæ, quas dixi interdum aliquo tempore post, non primo statim manus impositu apparent: quemadmodum & quæ primo tactu magnæ acresque visæ sunt, nonnunquam per longum tempus, injecta in ægrotantem manu, diminui videbuntur. Igitur squalida interdum, atque valde arida caliditas apparet perinde atque si lapidem aliquem calefactum tangamus: plerunque vero roridam se, humectatam & halituosam repræsentat, ut halitus quidam permultus ex laborantium corpore emanans perspicuè sentiatur. Atque horum rursus ipsorum quemadmodum & prædictorum, quædam statim ab initio apparentia perseverant, nonnulla vero aut augescentem, aut decrescentem, quæ ab initio apparuit, qualitatem habent, nonnulla & alteram nequaquam à principio visam, ac penitus ab iis, quæ à principio apparuerunt, differentem. Differentiæ itaque ab ipsa febrium essentia acceptæ hujusmodi sunt. De reliquis autem posteriùs videbimus: prius enim bene est enumeratas differentias Hippocratis verbis accommodare. Quum dicit igitur, febres quidem aliæ manui mordaces, aliæ vero mites, tibi significat ab ipso de febribus in totum mordacibus, aut mitibus apparentibus, sermonem fieri. Subjiciens igitur, inquit, aliæ non mordaces quidem, sed post insurgentes, per hæc verba significans, febres initio mordaces diutius inhærente manu, mordacitatis sensum inferentes: contra vero atque istæ, illæ se habent, de quibus dicit; aliæ acutæ quidem, sed à manu victæ, initio enim acutæ quum apparuerint, paulatim remittuntur. Eam autem dictionem acutæ, de caliditate celeriter manui occurrente, suumque ipsius velocem motum ostendente, te intelligere opus est: quemadmodum acutos aliquos & acres nominamus, quod idem est ac si celeres dixeris. Acutos etiam morbos dicimus, quicunque propria tempora usque in finem velociter pertranseunt. Sive autem manibus, sive manui dicas, ad cognoscendas prædictas differentias nihil refert; quandoquidem mentem sanam habenti clarum est, id genus differentias non oculis, sed manibus sensiles esse. Adjiciunt autem & omnes homines quandoque hujusmodi appendices, ad hoc

A ἀλλ' ἐξ ὧν αὐτοὶ διά τε τῆς ἁφῆς, καὶ τῆς ὄψεως ἐναργῶς αἰσθάνονται. πρῶται δέ εἰσι, καὶ κυριώταται, καὶ κατὰ τὴν οἰκείαν οὐσίαν, ὡς ἔφην, τῶν πυρετῶν, αἱ διὰ τῆς θερμασίας. οὐ γὰρ ἐν τῇ τῶν ἀρτηριῶν κινήσει ἡ τῶν πυρετῶν ἐστὶν οὐσία. τοῦτο γὰρ ὅπως ἡμάρτηται τοῖς περὶ τὸν Ἐρασίστρατόν τε καὶ Χρύσιππον, ἤδη μεμάθηκας. ἡ τοίνυν πυρετικὴ θερμασία τοῖς ἁπτομένοις τῶν πυρεττόντων σωμάτων ἤτοι δριμεῖα καὶ δακνώδης ἐστὶν, ἢ μετρίως ἀνιαρά. τὸ γὰρ ἡδὺ, καὶ οἰκεῖον, ὁποῖον ὑπάρχει τῇ κατὰ φύσιν, οὐδέποτε ἔχει. B καθάπερ οὖν καὶ ἄλλα πολλὰ, κατὰ τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἀλλήλων διαφέροντα, τοῖς πέλας ἑρμηνεύομεν εὐφημότερον, οὐκ ἀληθέστερον. οὕτω καὶ περὶ τῆς βραχέως ἀνιαρᾶς θερμασίας ἐνίοτέ φαμεν, ὡς οὐδὲν ὅλως ἀνιαρὸν ἔχει παραβάλλοντες αὐτὴν τῇ σφοδρὸν ἐχούσῃ τὸ λυπηρόν. ἐνίοτε μὲν οὖν ἡ θερμασία φαίνεται πλείστη τε ἅμα, καὶ δριμυτάτη. πολλάκις δὲ ὀλίγη μὲν, οὐκ ἀπολειπομένη δὲ τῆς δριμυτάτης, ἢ πάλιν δριμυτάτη μὲν, οὐ μὴν πολλή γε. καὶ τούτων ἕκαστον ὧν εἶπον ἐνίοτε φαίνεται μετ' ὀλίγον χρόνον, οὐ κατὰ τὴν C πρώτην ἐπιβολὴν τῆς χειρός. ὥσπερ γε καὶ μειοῦσθαι, τὰ κατὰ τὴν πρώτην ἐπιβολὴν φανέντα κατὰ μέγεθός τε καὶ δριμύτητα, δόξει σοί ποτε μέχρι χρόνου πλείονος ἐπιβεβλημένης τῷ κάμνοντι τῆς χειρός. καὶ τοίνυν ἐνίοτε μὲν αὐχμηρὰ, καὶ κατάξηρος φαίνεται ἡ θερμασία, καθάπερ εἰ λίθου τινὸς ἡψάμεθα θερμοῦ. πολλάκις δὲ φαντασία τῇ νοτιώδει καὶ ὑγρᾷ πάνυ ἀτμώδης, ὥστ' αἰσθάνεσθαι σαφῶς ἀναφερομένου τινὸς, ἐκ τοῦ τῶν καμνόντων σώματος ἀτμοῦ παμπόλλου, καὶ τούτων πάλιν αὐτῶν ὥσπερ D καὶ τῶν προειρημένων, ἔνια μὲν εὐθὺς ἐξ ἀρχῆς φανέντα διαμένει, τινὰ δὲ ἤτοι προσαυξανομένην ἢ διαλυομένην ἔχει τὴν ἐξ ἀρχῆς φανεῖσαν διαφοράν. ἔνια δὲ καὶ γινομένην ἑτέραν οὐδ' ὅλως ἐξ ἀρχῆς πεφυκυῖαν, καὶ διαφθειρομένην τελείως τῶν ἐξ ἀρχῆς ἑωραμένων. αἱ μὲν οὖν κατ' αὐτὴν τῶν πυρετῶν τὴν οὐσίαν διαφοραὶ, τοιαῦταί τινές εἰσι. περὶ δὲ τῶν ἄλλων ἐφεξῆς ὀψόμεθα, πρότερον γὰρ ὀρθῶς ἔχει τὰς εἰρημένας ἐφαρμόσαι τῇ λέξει τοῦ Ἱπποκράτους. ἐν τῷ μὲν τοίνυν φάναι, πυρετοὶ μὲν οἱ δακνώδεις τῇ χειρὶ, οἱ δὲ πρηέες. ἐνδείκνυταί σοι τὸν λόγον αὐτῷ γίνεσθαι περὶ τῶν διὰ E παντὸς, ἤτοι δακνωδῶν, ἢ πρηέων φαινομένων. ἐπιφέρων γοῦν λέγει, οἱ δὲ οὐ δακνώδεες μὲν, ἐπαναδιδόντες δὲ, δηλῶν ἐνταῦθα τοὺς ἐξ ἀρχῆς μὲν οὐ φανέντας δακνώδεις ἐπικειμένης τῇ χειρὶ μέχρι πλείονος, αἴσθησιν ἐργαζομένους δακνώδη. τούτοις δὲ ἔμπαλιν ἔχουσιν ἐφ' ὧν φησιν. οἱ δὲ ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρός. ἐν ἀρχῇ γὰρ φανέντες ὀξεῖς, ἐκλύονται κατὰ βραχύ. τὸ δὲ ὀξέες ἐπὶ τῆς ταχέως ἀπαντώσης τῇ χειρὶ θερμασίας, ἐνδεικνυμένης τε τὴν ἑαυτῆς κίνησιν ὠκεῖαν, ἀκούειν F σε χρὴ, καθάπερ ὀξεῖς τινὰς ὀνομάζομεν δριμεῖς, ἐν ἴσῳ τῷ, ταχεῖς. ὀξέα τε νοσήματα λέγομεν, ὅσα ταχέως διεξέρχεται τοὺς ἰδίους καιροὺς, ἄχρι τῆς τελευτῆς, εἴ τε χερσὶν, εἴ τε χειρὶ λέγεις πρὸς τὸ τὰς εἰρημένας διαφορὰς γινώσκειν, οὐδὲν διοίσει. δῆλον μὲν γὰρ ἦν τῷ γε νοῦν ἔχοντι, τὰς τοιαύτας διαφορὰς, οὐ τοῖς ὀφθαλμοῖς, ἀλλὰ ταῖς χερσὶν αἰσθητὰς εἶναι. προστιθέασι δὲ ἅπαντες ἄνθρωποι καὶ τὰς τοιαύτας προσθήκας, ἐνίοτε

φύσει πρὸς τῶν ἁπτόμενοι, συναυξανούσας τὴν ἐνέργειαν τῶν λεγομένων, καὶ μάλιστα ἐπ' ἐκείνων τῶν πραγμάτων, ἐφ' ὧν ἐστὶ διὰ τεκμηρίων τινῶν, καὶ σημείων εὑρεῖν τὸ ζητούμενον, οὐκ αἰσθητὴν ποιήσασθαι τὴν διάγνωσιν. οὕτως οὖν καὶ ὁ Ἱπποκράτης οὐ μόνον ἐν ἀρχῇ τοῦ λόγου τῶν χειρῶν ἐμνημόνευσεν, ἀλλὰ κἀν τῷ φάναι, οἱ δέ, ὀξέες μέν, ἠπιώμενοι δὲ τῆς χειρός. ἐφεξῆς δὲ τὴν κατὰ μέγεθος αὐτῶν διαφορὰν ἐνδεικνύμενος ἔφη, οἱ δὲ περικαέες εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροί. κατά τι μὲν οὖν ἡ τοιαύτη φαντασία γίνεται τοῖς ἁπτομένοις, ὡς ἤτοι πολλὴν εἶναι δοκεῖν, ἢ ὀλίγην τὴν θερμασίαν, αὖθις ὀψόμεθα. νυνὶ δ' ὅτι φαίνεται μόνον εἰπεῖν ἀρκέσει. καθάπερ γὰρ ἐκτὸς εἰ καὶ τοὺς ὀφθαλμούς τις ἐγκαλύψας ἅψαιτο φλογός, ἤτοι πολλῆς αἰσθάνεται τῆς κατ' αὐτὴν οὐσίας, ἢ ὀλίγης, οὐδεμιᾶς ἐν τῇ ποιότητι τῆς θερμασίας αἰσθανόμεθα διαφορᾶς, οὕτως ἔχει κἀπὶ τῶν πυρετῶν. ἐνίοτε γάρ, ἡ μὲν κατὰ τὴν ποιότητα διάγνωσις τῆς θερμασίας, ἡ αὐτὴ φαίνεται τῇ καθ' ἕτερόν τι σῶμα. διαφέρειν δ' ἀλλήλων δοκοῦσι ποσότητι. τῶν δ' ἐφεξῆς εἰρημένων, τὸ μὲν ξηροὶ σαφὲς ἱκανῶς ἐστί, τὸ δ' ἁλμυρώδεες ἀσαφές. οὐ γὰρ ἁφῆς αἰσθητόν, ἀλλὰ τῆς γεύσεως μόνης τὸ ἁλμυρόν ἐστι. ἔστι δὲ μᾶλλον ἀσαφὲς τὸ ἐφεξῆς εἰρημένον, ἔνθα φησίν, οἱ δὲ πεμφιγώδεες, ἰδεῖν δεινοί. εὑρίσκομεν δὲ ἐνταῦθα διαφορὰν τῆς γραφῆς. ἐν μὲν τοῖς πλείστοις τῶν ἀντιγράφων προκειμένου τοῦ, ἰδεῖν, τῷ πεμφιγώδεες. ἐν ὀλίγοις δὲ μετὰ τό, ἰδεῖν, καὶ τό, δεινοὶ προσγεγραμμένον. μόνον δὲ τῶν ἐξηγητῶν εὗρον οὕτως γεγραμμένον εἰπόντα Σαβῖνον, ᾧ καὶ Μητρόδωρος ἠκολούθησεν. ὅσοι τ' ἀπ' αὐτῶν εἰσὶ μέχρι νῦν καὶ μὴν κατ' ὀλίγιστα τῶν ἀντιγράφων εὗρον ἁπλῶς γεγραμμένον. οἱ δέ, πεμφιγώδεες, οὔτε τοῦ ἰδεῖν, οὔτε τοῦ δεινοί, προσγεγραμμένου. τοὺς μὲν οὖν ἁλμυρώδεας ἐπὶ τὴν ἁφὴν ἄγων τις, ἐρεῖ τοὺς ὀδαξυσμόν τινα ποιοῦντας εἶναι τοῖς ἁπτομένοις, ὥσπερ ὑφ' ἅλμης τε, καὶ πάντων τῶν ἁλμυρῶν γίνεται σωμάτων. τοὺς δὲ πεμφιγώδεις, τοὺς πνευματώδεις. αἰσθανόμεθα γὰρ πολλάκις ἀναφερομένης διὰ τοῦ τῶν πυρεττόντων δέρματος ἀερώδους τινὸς ἀπορροῆς, ὡς εἴ γε μὴ τούτους, ἀλλὰ τοὺς μετὰ φλυκταινῶν λέγει, παραλελοιπὼς ἂν εἴη τῶν ἀναγκαίων τινὰ διαφορὰν, ἐκ τοῦ γένους τῶν προειρημένων, ὅσας ἔφη εἶναι κατ' αὐτὴν μάλιστα τὴν οὐσίαν τῶν πυρετῶν. ὡς γὰρ δακνῶδες ἰσχυρῶς, ἢ σφοδρόν, ἢ ξηρόν, ἢ αὐχμηρὸν εἶναι φαίνεται τὸ τῆς θερμασίας εἶδος ἐπὶ πολλῶν πυρετῶν, οὕτω καὶ πνευματῶδες, αἰσθανομένης τῆς χειρὸς ἀναφερομένου τινὸς ἐπ' αὐτὴν πνεύματος, ἐνίοτε μὲν ἀτμώδους, ἐνίοτε δὲ ξηροῦ. πλείω δὲ σημαίνοντος τοῦ τε πέμφιγος ὀνόματος, ἄλλος ἄλλων τῶν ἐξηγητῶν προχειρισάμενος, ὡς ἓν μόνον ἐκεῖνο σημαῖνον, ὅπερ αὐτὸς βούλεται, πιθανὸς εἶναι δοκεῖ τοῖς ἀκούουσιν. ἤρκει μὲν οὖν ἴσως εἰρῆσθαι πεμφιγώδεις πυρετούς, τοὺς πνευματώδεις. ὅτι τε τοῦ γένους ἐστὶ τῶν ἄχρι δεῦρο γεγραμμένων διαφορῶν, ὅτι τε παραλελοιπέναι δόξει ταύτην, εἰ μή τις ἀκούσειεν οὕτως. ἀλλὰ καὶ τὸ προσκεῖσθαι κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων τὸ ἰδεῖν, τῷ πεμφιγώδεες, ἀναγκαῖον ἡμῖν γίνεται καὶ γραμματικῆς ἀδολεσχίας ἐφάψασθαι, χρησίμης ἐνίοτε καὶ αὐτῆς εἰς τὰ τοιαῦτα γινομένης. ἀκριβέστερον μὲν οὖν περὶ τῶν ζη-

A natura ducti, quæ dictorum evidentiam augeant, & in illis rebus maximè, in quibus per conjecturas quasdam & signa, non per sensoriam cognitionem, quod quæritur, invenire licet. Ita ergo & Hippocrates non solùm sermonis initio manuum meminit, sed etiam cùm dixit; aliæ acutæ quidem, sed quæ à manu vincuntur. At deinceps febrium in magnitudine differentiam demonstrans, inquit, aliæ statim perurentes, aliæ in totum debiles, ob quid igitur hujusmodi imago tangentibus sese offerat, ut multa, aut pauca caliditas videatur, in posterum rejiciamus: nunc solùm quod ita appa- B reat, dixisse abundè est. Quemadmodum enim in externis, si oculis quis velatis flammam tetigerit, aut multam sentiet, ipsius substantiam, aut paucam, nullam in clarioris qualitate differentiam percipiens. Hoc itidem modo in febribus habet; interdum nanque caloris secundùm qualitatem dignotio eadem cum illa apparet, quæ in alio corpore fit, sed multitudine inter se differre videntur. Ex verbis autem sequentibus illud aridæ, satis clarum est: sed illud, salsuginosæ, obscurum; ne- C que enim salsum tactu, sed tantùm gustatu, sensibile est. Est verò adhuc magis obscurum, quod sequitur, quum dicit, aliæ πεμφιγώδεες, aspectu terribiles; nam hoc loco diversam scripturam reperimus. In plurimis quidem codicibus huic voci; πεμφιγώδεες, adjacet hæc; aspectu; in paucis post hanc vocem, aspectu & hæc, terribiles, adjecta est. Solum autem inter Explanatores Sabinum inveni, qui exemplar ita scriptum agnosceret, quem Metrodorus sequutus est, & quicunque ab ipsis usque ad .... derivati sunt, nihilominus tamen in paucissimis D codicibus simpliciter scriptum inveni, aliæ πεμφιγώδεες, neque hac voce, aspectu, neque hac, terribiles, addita. Salsuginosas autem febres ad tactum aliquis redigens, eas esse dicet, quæ pruritum aliquem ac morsum tangentibus inferunt, ut à muria, & reliquis salsis corporibus excitari solet. Pemphigodees autem febres, hoc est, spiritibus affluentes interpretamur; sentimus enim plerunque per febricitantium cutem aëreum quendam halitum effluentem. Quod nisi tales, sed eas quæ cum pustulis sunt, E pemphigodees febres quis esse velit, aliquam ex necessariis differẽtiis prætermiserit, ex prędictarũ videlicet genere, quas ab ipsa maxime febrium essentia assumi diximus. Ut enim mordax valde aut vehemens, aut arida, aut squalens in multis febribus caloris species esse videtur, ita etiam flatuosa manu quendam in ipsam spiritum exilientem nonnunquam halituosum, nonnunquam aridum, percipiente. Verùm quum plura hoc vocabulum pemphix significet, aliud alius Explanator accipiens, tanquam unum illud solum quod ipse posuit, significet, F probabilis audientibus esse videtur. Forsan igitur satis esset dixisse, pemphigodees febres flatuosas esse, sicque in genere hactenus dictarum differentiarum censeri; & eum, qui non ita intellexerit, hanc differentiam prætermisisse videri. At quum in plerisque exemplaribus hæc vox, aspectu, isti, pemphigodees, adjecta sit, necesse nobis est grammaticam garrulitatem interdum, & ipsam ad hæc utilem attingere. Sed exactiùs quidem de obscuris apud

apud Hippocratem dictionibus alibi proprio opere egimus. In præsentia verò satis erit, me grammaticorum dicta sequutum secundùm eorum placita de vocis hujus, *pemphix*, significatis aliquid dicere. Videtur enim Sophocles ipsum in Colchis pro flatu accipere, ita dicens;

Abduxit pemphix, non prope venti secundi.

Et idem in Salamine satyris :

Et fore utique ceraunia
Pemphigibus tonitrui & tetri odoris occupaverint.

Æschilus autem in Prometheo :

Devincte recta ,
Rependo autem , & quamprimùm quidem
Boreæ veneris ad flatus cave
Fremitum irruentem ne
Te rapiat procellosa pemphige convertens repente.

Et pro radiis ipsis uti videtur hac voce, pemphix , Sophocles in Colchis, hisce carminibus :

Et utique admiratus sum hoc
Contemplans pemphiga auream intuitus.

Ita & Æschylus :

Ex adverso neque pemphix Solis aspicitur, neque sydereum
Os Latoniæ puellæ.

Pro gutta autem idem accepit in Prometheo :

Bene cave, ne tibi incidat
Pemphix : amara enim & pro vita halitus.

In Pentheo quoque :

Ne sanguinis vero pemphiga in solum sparseris.

Pro nebula etiam posita esse videtur hoc in carmine apud Sophoclem in Salamine satyris.

Pemphige omnem tarde ridens ignis.

Et apud Hibicum ;

Densas Pemphigas epoti.

Dictus est autem ab eo sermo iste per quandam comparationem de iis quæ procella jactantur, dici solitam. Iccirco , & plurimi ex iis qui futura præsagiunt, de stillis quæ per imbres cadunt, dictas esse pemphigas aiunt. Sed Callimachus hunc in modum ait : ne per pemphigas inducentibus permitte. Sed Euphorion ita inquit : Floribus pemphiges admurmurant mortuis. Pemphigis itaque significata jam recensuimus, deque duobus ex istis supra mentionem fecimus , quod omnes videlicet optimi explanatores Hippocratem secundùm illa sermonem suum fecisse voluerunt. At nunc modo dictis significatis, & aliud tertium adjecisse convenit, ut pemphigodees febres eas intelligamus, quæ veluti scintillarum exilientium , manuique nostræ occursantium imaginem reddunt , atque hujusmodi febres ex duabus simplicibus jam prædictis compositæ fuerint ; flatuosis scilicet atque igneis. Huic autem declarationi solum illud adversabitur, si huic dictioni pemphigodees , adjiciatur hæc, aspectu. Non immerito igitur quidam hanc abstulerunt. Qui non abstulerunt autem ; aut febres cum tuberculis intellexerunt, aut eas, quæ animam vitiant. Et quoniam cum tuberculis febres à symptomate cognominantur , probabiliter sanè à symptomate ipsum pestilentes febres denominare intelligere possumus: est enim revera & hæc una febrium species. Quod autem in ipsa tubercula oriantur , & Thucidides testatur , ita scribens : Et exteriùs

A πυμένων παρ' Ιπποκράτει λέξεων, ἑτέρωθι πεπραγματεύμεθα. νυνὶ δ' ἀρκέσει τοῖς γραμματικοῖς ἀκολουθήσαντα, κατὰ τὴν ἐκείνων διάταξιν εἰπεῖν τι περὶ τῶν κατὰ τὴν πέμφιγα σημαινομένων. δοκεῖ μὲν γὰρ αὐτὴν ἐπὶ τῆς πνοῆς, Σοφοκλῆς ἐν Κολχίς λέγειν, αὐτῆς

Απῆξε πέμφιξιν οὐ πέλας φόρου,

καὶ αὐτὸς ἐν Σαλαμῖνι Σατύροις,

Καὶ τάχ' ἂν κεραύνια
Πέμφιξι, βροντῆς, καὶ δυσοσμίας λάβοι.

B Αἰσχύλος, δὲ ἐν Προμηθεῖ, δεσμώτη

εὐθεῖαν ἕρπε
τὴν δὲ καὶ πρόπιστα μὲν
Βορεάδας, ἥξεις πρὸς πνοαῖσιν, εὐλαβοῦ
Βρόμον καταιγίζοντα μή
σ' ἀναρπάσῃ δυσχειμέρῳ πέμφιγι τρέφας ἄφνω.

ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν, δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι, Σοφοκλῆς ἐν Κοχλοῖς, κατὰ τάδε τὰ ἔπη.

κἂν ἐθαύμασα τῆδε
Σκοπῶν τάδε πέμφιγα χρυσέαν ἰδών.

C οὕτω καὶ Αἰσχύλος,

Εξ ἀντιαίας, οὔτε πέμφιξ ἡλίου προσδέρκεται οὔτ' ἀστέρων
στόμα Λητώας κόρης.

ἐπὶ δὲ τῆς ῥανίδος ὁ αὐτός φησιν ἐν Προμηθεῖ.

Εξευλαβοῦ δὲ μή σε προσβάλλη στόμα
Πέμφιξ, πικρὰ γὰρ, καὶ οὐ διὰ ζοῆς ἀτμοί.

καὶ ἐν Πενθεῖ·

Μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς.

ἐπὶ δὲ τοῦ νέφους δοκεῖ τετάχθαι κατὰ τόδε τὸ ἔπος, ἐν τοῖς

D Σαλαμῖνι Σατύροις παρὰ Σοφοκλεῖ,

Πεμφίγι πᾶσα ὀψιαγέλων πυρὸς,

καὶ παρ' Ιβυκῷ,

Πυκινὰς πέμφιγας πιόμενοι.

λέλεκται δὲ οὕτως ὁ λόγος αὐτῷ κατά τινα παραβολὴν ἐπὶ χειμαζομένων εἰρημένην. διὸ καὶ τῶν προγνωστικῶν οἱ πλεῖστοι ἐπὶ τῶν κατὰ τοὺς ὄμβρους σταγόνων εἰρῆσθαί φασι τὰς πέμφιγας. ὁ δὲ Καλλίμαχος ὧδε, Μὴ διὰ πεμφίγων ἐπάγουσιν ἔα. ὁ δὲ Εὐφορίων οὕτως εἶπε, δ' ἄνθη πέμφιγες ἐπιβρύζουσι θανόντα. τὰ μὲν οὖν ἐκ τοῦ, πέμφιγος

E σημαινόμενα, καὶ δὴ λέλεκται, προείρηται δὲ καὶ περὶ τῶν δύο σημαινομένων ἐξ αὐτῶν, ἐπειδὴ πάντες τὴν ἐξήγησιν οἱ ἄριστοι καὶ κατὰ ταῦτα ἐδέξαντο τῇ λέξει κεχρῆσθαι τὸν Ιπποκράτην. νυνὶ δὲ τῶν εἰρημένων σημαινομένων ἐγχωρεῖ προσθεῖναι καὶ ἄλλο τρίτον, ἵνα πεμφιγώδεις ἀκούσωμεν εἰρῆσθαι, τοὺς, οἷον σπινθήρων ἐξαλλομένων, καὶ ἀπαντώντων τῇ χειρὶ, φαντασίαν ἀποτέλλονται· καὶ εἶεν ἂν οἱ τοιοῦτοι πυρετοὶ συνθετοί τινες ἐκ δυοῖν ἁπλῶν τῶν ἤδη προειρημένων, τοῦ τε πνευματώδους, καὶ πυρώδους. ἐναντιωθήσεται δὲ τῇ ἐξηγήσει ταύτῃ μόνον ἓν γ', εἰ προσκέοιτο

F τῷ, πεμφιγώδεες, τὸ ἰδεῖν. εἰκότως οὖν ἀφῃρήκασιν αὐτὸ τινες. οἱ δὲ οὐκ ἀφελόντες, ἤτοι τοὺς μετὰ φλυκταινῶν ἤκουσαν, ἢ τοὺς τῆς ψυχῆς ἀπολλυμένους. ἐπεὶ δὲ οἱ μετὰ φλυκταινῶν, ἀπὸ συμπτώματος ὀνομάζονται, πιθανῶς ἂν ἀκούωμεν ἀπὸ συμβεβηκότος οὕτως αὐτὸν ὀνομάζειν τοὺς λοιμώδεις πυρετούς. ἔτι γὰρ ἀληθὲς καὶ τοῦθ' ἕν τι πυρετῶν εἶδος. ὅτι δ' ἐν αὐτῷ φλύκταιναι γίνονται, καὶ ὁ Θουκυδίδης μαρτυρεῖ γράφων οὕτως. καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ «

„ σῶμα, οὔτε ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν, ἀλλ' ὑπέρ-„ υθρον, πελιδνὸν, φλυκταίναις μικραῖς, καὶ ἕλκεσιν ἐξανθηκός. ὅσοι δὲ τοὺς τῆς ψυχῆς ἁπτομένους πυρετοὺς, εἰρῆσθαί φασι πεμφιγώδεις, πόῤῥω τῆς προκειμένης τῶν πυρετῶν διαφορᾶς ἀπεχώρησαν. ὠνόμαζον γὰρ ἔνιοι τῶν παλαιῶν, καὶ φρενιτικόν τινα πυρετὸν, ὥσπερ ἀμέλει, καὶ ληθαργικὸν, καὶ πλευριτικὸν, καὶ περιπνευμονικόν. ἀλλ' ὁ νῦν προκείμενος τῇ ῥήσει κατάλογος τῶν πυρετῶν, ἀπὸ τῆς κατὰ τὴν θερμασίαν διαφορᾶς ἐστι, ἐν ᾗ δύναται καὶ ὁ λοιμώδης περιέχεσθαι, σηπεδονῶδες ἔχων τὸ θερμόν. ὁ φρενιτικὸς δὲ, οὐ δύναται, διά τε τὸ μὴ σύνηθες εἶναι καθάπερ ἄλλοις, οὕτω καὶ τῷ Ἱπποκράτει, πυρετοῦ ἰδέαν ὀνομάζειν τὴν φρενῖτιν, οὔτε ἀπὸ συμπτώματος, ὥσπερ ὁ τὰς φλυκταίνας γεννῶν, εἰκῆ λελεγμένος, ἐν ταῖς εἰρημέναις διαφοραῖς αὐτὸν περιέχεσθαι, καθάπερ καὶ τοὺς ἄλλους ὧν ἀρτίως ἐμνημόνευσεν. εὑρίσκεται γὰρ ὁ τῶν φρενιτικῶν πυρετὸς τὴν θερμασίαν ἔχων δακνώδη διὰ παντὸς ὁμοτόνως, ἐν παντὶ χρόνῳ τῆς ἐπιβαλλομένης ἁφῆς, ὡς εἰρῆσθαι πρῶτον ἁπάντων αὐτῶν. οὐκοῦν οὐδ' ὅσοι τοὺς ἁλμυρώδεις πυρετοὺς εἰρῆσθαί φασιν, ἀπὸ τῆς αὐτοῖς τοῖς κάμνουσιν ἐν τῷ στόματι γινομένης αἰσθήσεως, ἀποδεξόμεθα τὴν ἐξήγησιν αὐτῶν. φαίνεται γὰρ ὁ Ἱπποκράτης ἁπάσας ἐφεξῆς τὰς πρὸς χεῖρα διαγνώσεις εἰρηκέναι, κατὰ τὴν τῆς θερμασίας διαφορὰν, ἐν ᾗ τὸ γένος ὅλον ἐστὶ, καὶ ἡ οὐσία τῶν πυρετῶν. εἰ γὰρ καὶ τὸν λοιμώδη δεξαίμεθα λέγεσθαι πεμφιγώδη, τὴν μὲν προσηγορίαν ἀπὸ συμβεβηκότος ἕξει. τὸ δ' εἶδος αὐτὸ, κατὰ τὴν οἰκείαν οὐσίαν τῶν πυρετῶν. κατὰ τὸν αὐτὸν δὲ λόγον, οὐδὲ οἱ τοὺς ἁλμυρώδεις εἰρῆσθαι φάσκοντες, ὅσοι πάνθ' ὅσων ἂν ὁ κάμνων γεύηται φαίνεσθαι ποιοῦσιν ἁλμυρὰ, τῶν προκειμένων ἐν τῇ νῦν διδασκαλίᾳ διαφορῶν τοῦ πυρετοῦ μνημονεύουσι, καὶ εἴπερ ἐν τῇ τῶν πυρετῶν διαφορᾷ, καὶ τούτους ὁ Ἱπποκράτης ἐτίθετο, πάντως ἂν κἀκείνους ἅμ' αὐτοῖς εἶπεν, ἐφ' ὧν καὶ τὸ σίαλον αὐτὸ, καὶ πάνθ' ὅσων ἂν γεύηται, πικρὰ φαίνεται. ταύτας μὲν οὖν τὰς διαφορὰς, οὐκ ἐν ταῖς τῶν πυρετῶν, ἀλλ' ἐν ταῖς τῶν χυμῶν διαγνώσεσιν ἄμεινον τίθεσθαι, τοὺς δὲ πυρετοὺς, ἐν τῇ τῆς θερμασίας. ὥσπερ γὰρ οἱ χυμοὶ τῆς γεύσεως εἰσὶν αἰσθητὰ, κατὰ τὸν αὐτὸν λόγον οἱ πυρετοὶ τῆς ἁφῆς. ὅτι δὲ τὸ δεινοὶ, καλῶς προσετέθηκεν οἱ περὶ τὸν Σαβῖνον οὕτως γράψαντες τὴν λέξιν. οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοὶ, καὶ πρόσθεν μὲν εἶπον, ἀλλὰ καὶ νῦν ἀναμνήσω. δεινοὺς γὰρ ἰδεῖν αὐτοὺς εἰρῆσθαι, πρὸς ἡμῶν μὲν, ἐὰν μετὰ φλυκταινῶν καὶ ἑλκώσεων γίνωνται. κατ' αὐτοὺς δὲ, ὅταν παρακόπτωσι, καὶ φοβερὸν ἐμβλέπωσι. περὶ δὲ τούτων ἀμφοτέρων ἥν τινα χρὴ γνώμην ἔχειν, προειρήκαμεν. ὁμοίως δὲ ἥμαρτον, καὶ οἱ πνευματώδεις μὲν αὐτοὺς εἰρῆσθαι λέγοντες, οὐ πρὸς τὴν ἁφὴν τὴν διάγνωσιν ἀναφέροντες, ἀλλ' ἐπὶ δυσπνοίας εἴδη, ἐν ᾗ μέγα καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. πιθανώτατον οὖν ἐστὶν, ἢ πρὸς τὴν ἁφὴν πνευματώδη νομίζειν, ἢ τὸν λοιμώδη λέγεσθαι πεμφιγώδη. προστεθέντος δὲ κατὰ ῥῆσιν, τῷ πεμφιγώδες, τοῦ δεινοὶ, ὁ λοιμώδης μόνος ἐστὶ δηλούμενος, οὗ τὸ πρὸς ἄλλους διαφέρον ἐστὶ τὸ σηπεδονῶδες εἶναι τὸ θερμὸν, οἷόνπερ καὶ τῷ νῦν γινομένῳ πολυχρονιωτάτῳ λοιμῷ. διὰ

A quidem tangenti corpus, neque valde calidum erat, neque viride, sed subrubrum, lividum, tuberculis exiguis & ulceribus efflorescens. At quicunque febres animam lædentes pemphigodees appellatas esse contendunt, longè à proposita febrium divisione aberrant; nonnulli enim veteres Medici & febrem quandam phreniticam appellaverunt: quemadmodum sanè & lethargicam, & pleuriticam, & peripneumonicam. Sed febrium enumeratio nunc in præsenti sermone proposita à differen-B tia caloris accipitur, sub qua & pestilens febris putridum calorem habens contineri potest: Phrenitica non potest, quum non, ut aliis, ita & Hippocrati mos sit febris speciem phrenitim asserere; neque à symptomate nuncupata, qualis ea est, quæ pustulas excitat, in dictis differentiis ab ipso includitur; quemadmodum neque aliæ, quarum proximè mentio facta est. Phreniticorum nanque febris calorem habere mordacem invenitur in omne corpus æquabiliter, & omni injectæ manus tempore perfusum; quare prima omnium ipsarum di-C cta est. Itaque neque eorum interpretationem admittimus, qui salsas febres, à qualitate ægrotantium ipsorum ore, sensu percepta nomitas esse confirmant. Hippocrates nanque omnes, quæ ad tactum spectant, notitias secundùm caloris differentiam, in quo genus febrium universum, atque essentia consistit, deinceps enumerasse visus est. Etenim si pestilentem febrem pemphigodea nominatam esse probaverimus, appellationem quidem ab accidente, speciem vero ipsam secundùm propriam febrium essentiam sortita erit. Eadem D quoque ratione, & salsas febres esse dicentes, quæ omnia, quotquot gustet ægrotans, salsa videri efficiant, neque isti propositarum in præsenti doctrina febris differentiarum meminerunt. Quod si inter febrium differentias & istas Hippocrates collocasset, omnino & illas unà cum his enumerasset, in quibus & ipsa saliva, & omnia quæ gustet febricitans, amara videantur. Has quidem differentias non inter febrium, sed potius inter saporum notitias collocare satius est; febres autem inter caloris differentias enumerandæ sunt; quemadmodum E enim sapores gustatu, ita & febres tactu sentiuntur. Verùm quod neque Sabinus rectè hanc vocem, terribiles adjecerit, ita seriem verborum scribens, aliæ pemphigodees aspectu terribiles antea dixi, & nunc in memoriam revocabo, nempe terribiles aspectu ipsos dictos esse, à nobis quidem, si cum pustulis, & ulceribus sint; ab ipsis autem si insaniant, & torvè intueantur. De his autem ambobus quid sentire oporteat, antè retulimus. Pari modo peccaverunt & illi, qui febres istas spirituosas dictas esse voluerunt, non ad tactum F notitiam referentes, sed ad difficilis respirationis speciem, in qua magnus, creberque spiritus redditur. Igitur verisimillimum est, febrem pemphigodea dictam esse, aut spirituosam, quæ ad tactum referatur, aut pestilentem. In sermone autem quum huic voci, pemphigodees, hæc, terribiles adjecta sit, sola pestilens febris denotatur; cujus ab aliis calor per putredinis excellentiam differt; sicut in hac nostræ tempestatis longissima pestilentia visum est. Atque

iccircò neque calidi & perurentes, qui peste laborabant, tangentibus videbantur, quamvis interiùs magno flagrarent incendio; quemadmodum & Thucydides aiebat; & exteriùs quidem tangenti corpus, neque valde calidum erat, neque viride, sed subrubrum, lividum, pustulis exiguis, & ulceribus efflorescens; interiora autem ita urebantur, ut neque valde subtilium vestimentorum, neque linteolorum velamenta, neque aliud quicquam præter nuditatem ferre possent. Dicta est sane pemphix, & in Gnidiis sententiis, quas Eriphonti Medico attribuunt hisce verbis: Mingit parum subinde & urit, & supernatat pemphix, ut olei viridis instar araneæ. Videntur sane isti pemphiga vocare non totam ampullam; sed solum id, quod ipsam exterius araneæ instar circumscribit. Quum absolvisset igitur Hippocrates maximè proprias, & principes febrium differentias, deinceps ad eas, quæ à colore sumuntur, trangressus, inquit: Aliæ valde rubræ, aliæ valde pallidæ, aliæ verò lividæ. Valde rubras dixit, non simpliciter rubras: & post has deinceps iterum, valde pallidas, non pallidas: lividas vero simpliciter, nihil ipsis incrementi significativum adjiciens, ut si & ipsas lividissimas dixisset; semper enim color iste malus est, sed ruber ac pallidus usitati, & familiares sunt. Febres autem valde rubentes vehementissimam caliditatem indicant, & materiam esse sanguinem, quemadmodum valde pallidæ pallidam bilem testantur. In ipsis vero dejectiones considera; nam si eas bile tinctas inveneris, ex ejus effusione naturalem colorem permutatum esse cognoueris; at si sine, in differentia febris colorem ponito. Hujusmodi febres profecto nisi cum rigore atque sudore aliquando præjudicatæ fuerint, tabem inferunt. Valde rubræ autẽ inter synochos numerantur, & venæ sectione ad animi usque defectum ducente juvantur, ut in voluminibus de arte curatrice didicisti; ubi & magna utilitas ex hujusmodi differentiarum cognitione percipitur, ipsis videlicet singulis propriam medicationem requirentibus. At lividæ febres à calore sane & ipsæ cognomen adeptæ sanguineum succum deficere nunciant, & cum ipso itidem ingenitum calidum; atque iccircò mortiferæ sunt; ex quibus nonnullæ syncopas evacuationem sequentes efficiunt; de quibus in Libris de arte curatrice notitiam accepisti. Id genus febres Euriphon lividas nominat ita scribens: Livida febris habetur, & sinciput aliàs & aliàs caput dolet: & viscera dolor torquet, & vomit bilem: & quum dolor cruciat, intueri nequit, quoniam gravatur: & venter siccus redditur, & cutis tota livida: & labia, qualia exesis moris esse solent, oculorum alba livescunt: aspicit perinde ac si stranguletur, interdum vero minus id patitur, sæpius etiam commutat. Quin etiam & in Libro de morbis Hippocrati adscripto, quem Dioscorides ab altero Hippocrate Tessali filio scriptum esse voluit, de quodam morbo livido mentio fit; Libri autem initium tale est, multam urinam facit, quando caput excalfactum fuerit. Sed de livido morbo ad verbum hæc scribit; Morbum lividum febris arida comitatur, & horror aliàs & aliàs capitis dolor; & viscera dolor male habet;

A τοῦτο οὖν οὐδὲ θερμοί, καὶ διακαεῖς ἐνεφαίνοντο τοῖς ἁπτομένοις οἱ λοιμώττοντες, καίτοι τά γ' ἔνδον ἰσχυρῶς διακαιόμενοι, καθάπερ καὶ ὁ Θουκυδίδης ἔφη. καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα. οὔτ' ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν ἦν, ἀλλ' ὑπέρυθρον, πελιτνόν, φλυκταίναις σμικραῖς, καὶ ἕλκεσιν ἐξηνθηκός. τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥστε μηδὲ τῶν πάνυ λεπτῶν ἱματίων, καὶ σινδόνων τὰς ἐπιβολὰς, μήτ' ἄλλο τι, ἢ γυμνοὶ ἀνέχεσθαι. εἴρηται γε μὴν ἡ πέμφιξ, κἀν ταῖς ἰδίαις γνώμαις ἃς εἰς Εὐρυ- κνι
B φῶντα τὸν ἰατρὸν ἀναφέρουσι, καὶ τήνδε τὴν λέξιν. οὐρέει ὀλίγον ἑκάστοτε, καὶ καίει, καὶ ἐφίσταται πέμφιξ, οἷον ἐλαίου χλωρῆς ὥσπερ ἀράχνιον. ἐοίκασι γοῦν οὗτοι πέμφιγα καλεῖν, οὐχ ὅλην τὴν φλύκταιναν, ἀλλὰ μόνον τὸ περιγράφον αὐτὴν ἔξωθεν ἀραχνίῳ παραπλήσιον. συντελέσας δὴ οὖν ὁ Ἱπποκράτης τὰς οἰκειοτάτας τε καὶ πρώτας διαφορὰς τῶν πυρετῶν. ἑξῆς ἐπὶ τὰς κατὰ χρόαν μεταβὰς φησιν, οἱ δὲ ἐξέρυθροι, οἱ δὲ ἔξωχροι, οἱ δὲ πελιοί. ἐξερύθρους μὲν εἶπεν οὐχ ἁπλῶς ἐρυθρούς, καὶ μετὰ τούτους ἑξῆς πάλιν ἐξώχρους, οὐκ ὠχρούς, πελιοὺς δ' ἁπλῶς
C οὐδὲν αὐτοῖς ἐπιτάσεως τοῦ δηλουμένου προσθείς, ὡς εἰ καὶ πελιδνοτάτους τούτους εἰρήκει. τοῦτο μὲν γὰρ ἀεὶ μοχθηρὸν τὸ χρῶμα. τὸ δὲ τῶν ἐρυθρόν τε καὶ ὠχρὸν, συνήθες. οἱ δὲ ἐξέρυθροι, τουτέστιν οἱ σφοδρῶς ἐρυθροί, σφοδροτάτην μὲν ἐμφαίνουσι τὴν θερμασίαν, τὴν δ' ὕλην, αἷμα, καθάπερ οἱ ἔξωχροι τὴν ὠχρὰν χολήν. ἐπισκέπτου δὲ ἐπ' αὐτῶν, τὰ διαχωρούμενα, κἂν μὲν σὺ μετὰ χολῆς εὑρίσκῃς, ἐξ ἀναχύσεως αὐτῆς γίνωσκε τὴν κατὰ φύσιν χροιὰν ὑπηλλάχθαι. ἐὰν δὲ ἄνευ χολῆς τὴν ἐν διαφορᾷ
D πυρὸς τίθεσο τὴν χρόαν. οὗτοι μὲν οὖν οἱ πυρετοί, μαρασμὸν ἐπιφέρουσιν, ἐὰν μὴ φθάσωσί ποτε μετὰ ῥίγους καὶ ἱδρῶτος κριθῆναι. οἱ δὲ ἐξέρυθροι, τῶν συνόχων εἰσὶν ὑπὸ φλεβοτομίας ὠφελούμενοι, τῆς ἄχρι λειποψυχίας ἀγούσης, ὡς ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ μεμάθηκας, ἔνθα καὶ ἡ χρεία μεγάλη φαίνεται τῆς τῶν τοιούτων διαφορῶν γνώσεως, ἰδίαν ἑκάστης αὐτῶν ἐχούσης θεραπείαν. οἱ δὲ πελιοὶ τῶν πυρετῶν, ἀπὸ τῆς χρόας καὶ οὗτοι δηλονότι τὴν ἐπωνυμίαν εἰληφότες, ἐλλείπειν σημαίνουσι τὸν αἱματικὸν χυμόν. καὶ δηλονότι σὺν αὐτῷ, καὶ τὸ ἔμφυτον
E θερμόν, καὶ διὰ τοῦτο εἰσιν ὀλέθριοι. ὧν ἔνιοι καὶ τὰς διὰ κενώσεως ἐπιφερομένας συγκοπὰς ἐπιφέρουσι, περὶ ὧν ἔμαθες ἐν τῇ θεραπευτικῇ μεθόδῳ. τοὺς τοιούτους πυρετοὺς Εὐρυφῶν ὀνομάζει πελιὰς γράφων ὧδε.. πελιὰς πυρετὸς ἴσχει καὶ βρεγμὸς ἄλλοτε καὶ ἄλλοτε, καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὰ σπλάγχνα ὀδύνη ἴσχει, καὶ ἐμέει χολήν, καὶ ὅταν ὀδύνη ἔχει, ἐνορᾶν οὐ δύναται, ὅτι βαρύνεται, καὶ ἡ γαστὴρ ξηρὴ γίνεται, καὶ ὁ χρὼς πελιὸς ἅπας, καὶ τὰ χείλεα οἷάπερ μόρα τρώξαντι, καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πελιά, καὶ ἐξορᾷ ὥσπερ ἀπαγχόμενος, ὅτε δὲ ἧσσον τοῦτο
F πάσχει, καὶ μεταβάλλει πολλάκις. ἀλλὰ κἂν τῷ περὶ νούσων Ἱπποκράτει γεγραμμένῳ τῷ δοκοῦντι τοῖς περὶ τὸν Διοσκορίδην ὑφ' Ἱπποκράτους γεγράφθαι τοῦ Θεσσαλοῦ υἱέος, εἴρηταί τις νόσος πελιή. τοῦ βιβλίου δέ ἐστιν ἡ ἀρχὴ ἥδε. οὐρέεται πολλόν, ὅταν ὑπερθερμανθῇ ἡ κεφαλή. περὶ δὲ τῆς πελιῆς νόσου κατὰ λέξιν οὕτω γράφει. πελιὴν πυρετὸς ἴσχει ξηρός, καὶ φρὶξ ἄλλοτε, καὶ ἄλλοτε καὶ τὴν κεφαλὴν ἀλγεῖ, καὶ τὰ σπλάγχνα ὀδύνη ἴσχει,

καὶ ἐμέει χολήν, καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, οὐ δύναται ἐνορᾷν, ἀλλὰ βαρύνεται, καὶ ἡ γαστὴρ ξηρὰ γίνεται, καὶ ἡ χρόα πελιδνή, καὶ τὰ χείλεα, καὶ τῶν ὀφθαλμῶν τὰ λευκὰ πελιδνά, καὶ ἐξορᾷ ὡς ἀγχόμενος ἐνίοτε, καὶ τὴν χρόαν μεταβάλλει, καὶ ἐκ πελιδνοῦ ὑπόχλωρος γίνεται. τινὲς δὲ πάλιν ἐνταῦθα μοχθηρῶς ἐξηγήσαντο πελιὸν πυρετόν, ἐφ' οὗ τὰ διαχωρήματα πελιὰ φαίνεται. τούτοις γὰρ ἀκόλουθόν ἐστι, καὶ μέλανα καλεῖν πυρετόν, ἐφ' οὗ μελαίνων ἔκκρισις γίνεται. καταλείπεται οὖν ἔτι τὸ τέλος τῆς ῥήσεως ἐξηγήσασθαι, γεγραφότος αὐτοῦ, καὶ τὰ ἄλλα, καὶ τὰ τοιαῦτα, τουτέστι τοῖς εἰρημένοις. εἰρήκει δὴ ὑστέρας τὰς κατὰ τὴν χρόαν διαφοράς, οὐ κατὰ τὴν οὐσίαν αὐτὴν οὔσας τῶν πυρετῶν, ἐγγυτέρω γε μὴν τῶν ἄλλων τῶν ἀπό τινος συμβεβηκότος γινομένων, ὥσπερ ὅταν ἤτοι διαλείποντας, ἢ συνεχεῖς λέγωμεν εἶναι τοὺς πυρετούς. καὶ τῶν διαλειπόντων, τὸν μὲν τριταῖον, τὸν δὲ ἀμφημερινόν, τὸν δὲ τεταρταῖον, καὶ τῶν συνεχῶν, τὸν μὲν ἡμιτριταῖον, τὸν δὲ καυσώδη, τὸν δὲ κρυμώδη, τὸν δὲ τυφώδη, τὸν δὲ λοιμώδη, τὸν δὲ ἑλώδη, τὸν δὲ ἠπίαλον. ὁ δὲ Πραξαγόρας, καὶ φρενιτικούς, καὶ ληθαργικούς, καὶ πρός γε τούτοις, ἰκτερικούς τινας ὀνομάζει πυρετοὺς ἐν ταῖς διαφοραῖς τῶν ὀξέων. οἱ δὲ νεώτεροι, καὶ συνοχόν τινα καλοῦσι πυρετὸν οὐ μόνον συνεχῆ, καὶ διαφοράς γε αὐτοῦ τίθενται τόν τε ὁμότονον, ἢ ἀκμαστικὸν ὀνομαζόμενον, καὶ τὸν ἐπακμαστικόν, καὶ τὸν παρακμαστικόν. καθ' ἑκατέραν δὴ αὖ τομὴν κοινήν, καὶ πρὸς τὰς ἄλλας νόσους, ἐνίους μὲν ὀξεῖς πυρετοὺς ὀνομάζομεν, ἐνίους δὲ χρονίους, καὶ κατ' ἄλλην, εὐήθεις τε καὶ κακοήθεις. καὶ μέντοι καί τινας μὲν τεταγμένους, ἢ ἀτάκτους, ἄλλους δὴ αὖ πάλιν περιοδίζοντας, καὶ πεπλανημένους. ἔνιοι δὲ τῶν παλαιῶν καὶ τοὺς ἀπὸ διαφερόντων μορίων ἀναπτομένους, ἀπ' ἐκείνων ὠνόμαζον, πλευριτικόν τινα πυρετὸν λέγοντες, ἡπατικόν τε καὶ σπληνικόν. ἑτέρους δὴ ἀπὸ συμπτώματος, κωματώδεις, καταφορικόν, ληθαργικόν, φρενιτικόν, ἰκτερικόν. ὑπὲρ ὧν ἁπάντων ἐν ταῖς περὶ αὐτῶν πραγματείαις ἔμαθες. ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ τὰ τῆς ἐξηγήσεως αὐτάρκως πεπέρανται. πρὸς γὰρ τὸ τὴν ἐμὴν γνώμην ἀποφήνασθαι, καὶ τῶν ἐνδόξων ἐξηγητῶν ἐμνημόνευσα, τοὺς ἄλλους ἅπαντας παραλιπὼν ὅσοι περὶ διαφορᾶς πυρετῶν ἀπεφήναντο χωρὶς ὑπομνημάτων ἐξηγητικῶν, ἐν οἷς ἐστι καὶ Ἀρχιγένης ὧν ἐν ἑτέρᾳ πραγματείᾳ μνημονεύσω.

ἑτέραν

A & bilem vomitu rejicit: qumque dolor vexat, nequit intueri, sed gravatur: & venter aridus redditur, & cutis livida: & labia, & oculorum alba livent, aspicitque ac si stranguletur: interdum & colorem mutat, atque ex livido subviridis efficitur. Alii vero rursum hoc loco lividam febrem malè interpretati sunt, eam scilicet, in qua lividæ dejectiones apparent: istis nanque pari ratione conveniret & nigram febrem eam appellare, in qua nigræ materiæ expulsio fit. Superest nempe adhuc extremum dictionis Hippocraticæ explanandum,
B ubi, inquit, & alia similia, prædictis scilicet similia. Recensuit autem postremas secundùm colores differentias, non secundùm ipsam febrium essentiam, aliis tamen quæ ab aliquo accidente proveniunt propinquiores: quemadmodum cùm aut intermittentes, aut continuas febres esse dicimus: & intermittentium hanc tertianam, illam quotidianam, aliam vero quartanam: at continuarum aliam semitertianam, aliam ardentem, aliam gelidam, aliam succensam, aliam pestilentem, aliam palustrem, aliam hepialam. Cæterum Praxagoras
C inter acutarum febrium differentias & phreniticas, & lethargicas, præterea & ictericas quasdam nuncupavit. At recentiores Medici non solùm continuam, sed etiam synochum febrem quandam appellaverunt: ejusque differentias posuerunt omotonam videlicet, seu acmasticam vocatam, & epacmasticam, atque paracmasticam. Item, secundùm aliam divisionem aliis quoque morbis communem, nonnullas acutas febres appellamus, nonnullas diuturnas. Alia quoque divisione boni moris febres, & mali moris dicimus: quinetiam alias ordina-
D tas, aut inordinatas: Præterea quasdam statum circuitum servantes, & erraticas. Quidam autem Veteres à diversis membris accensas febres ab illis cognominabant, lateralem febrem aliquam vocantes, & jecorariam, & lienariam: aliàs vero à symptomate soporificam, somnolentam, lethargicam, phreniticam, æruginosam. De quibus omnibus in propriis de ipsis Libris latè notitiam adeptus es: sed in præsenti sermone, quæ ad explanationem pertinent, abundè tractata sunt. Non meam enim solùm sententiam protuli, verumetiam illustrium In-
E terpretum mentionem feci, alios omnes silentio involvens, quicunque de febrium differentia seorsum ab explanatoriis commentariis aliquid prodiderunt: inter quos est & Archigenes: de quibus in alio volumine sermonem faciam.

Τοῦ συντεταμένου τὸ κεχαλασμένον, καὶ σκληροῦ τὸ μαλακὸν ἐναντίον ἐστί. τί συντεταμένον. τί κεχαλασμένον, καὶ αἱ ἀμφοτέρου αἰτίαι. τί τὸ σκληρὸν καὶ μαλακόν, καὶ αἱ ἀμφοτέρου αἰτίαι. ἡ τοῦ μαλακοῦ καὶ τοῦ ἐκλύτου ἀναλογία σώματος. αἱ τῶν ἄρθρων ἢ μᾶλλον τῶν μελῶν κατακλάσεις. ἀῤῥώστου κατάκλισις ἐπαινετή τε καὶ μοχθηρά. ἐνταῦθα σημεῖα μοχθηρά.

Distenso relaxatum, & duro molle contraria. Quid distensum, quid relaxatum, & utriusque causæ. Quid durum & molle, & utriusque causæ. Mollis & exoluti corporis analogia.
F Articulorum vel potius artuum confractiones. Ægri decubitus laudabilis & vitiosus. hîc signa sunt vitiosa.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

ΑΙ ξυντάσιες τοῦ σώματος, καὶ οἱ σκληρυσμοὶ τῶν ἄρθρων κακόν, καὶ αὐτὸς διαλελυμένος, καὶ αἱ κατακλάσιες τῶν ἄρθρων, κακόν.

HIPPOCRATIS TEXTUS XXX.

Contensiones corporis, articulorumque durities malum. Et æger ipse exolutus, & artuum confractiones malum portendunt.

A

GALENI COMMENTARIUS.

Contenso relaxatum contrarium est, duro molle: quare ipse deinceps dicturus est, cutis duræ mollitio, contensæ relaxatio. Sive cutem contensam, sive articulum, sive corpus dicat, ad naturaliter affectum ipsum conferentes, ita dictum fuisse intelligemus. Secundùm naturam autem se habet, quod neque contensum, neque laxatum, sed mediocriter se habet. Contensa sanè interdum per proprium affectum contenduntur, interdum à quibusdam aliis attracta: per proprium quidem affectum, cum aut vehementi frigore conglaciata, aut ab aliqua exsiccante causa arefacta fuerint, sunt enim, ut novisti, plures: distenduntur autem quædam à continuis particulis, quum arefiunt, aut inflammantur, aut congelascunt. Contrà quædam ultrà naturales fines relaxantur multo humore, sine frigore madentia. Obdurescunt autem quæ dura fiunt frigore siccessentia, aut scirrho, aut siccitate: phlegmone nanque non durum, sed resistentem tumorem efficit, perinde atque utres sunt lividæ materiæ, atque aëris pleni. Quemadmodum autem renitens duro simile apparet, ob commune accidens (nam durum quoque renitens est) longè tamen secundùm propriam naturam differt, ita & molli corpori exolutum simile quum sit aliquantulum, quantum ad sensibilem apparentiam pertinet, non eodem tamen affectu præditum est: siquidem ægrotantium corpora potentia musculorum motrice debilitata, exoluta, & abjecta jacere cernuntur. Hunc itaque affectum manifestavit dicens: & ipse dissolutus, deinceps verò manifestè subdidit, & articulorum cataclasies, hoc est confractiones. Sed quidam tertiam syllabam non per a scribunt, cataclasies, sed per i cataclisies, hoc est decubitus. Utro modo autem melius fuerit scribere, facile inveniemus, si eorum reminiscemur, quæ in Libro de præsagiis, de decubitu per hæc verba tra- »didit; Ægrotantem vero à Medico deprehendi oportet in dextrum latus, aut sinistrum decumbentem, & crura manusque paulum inflexas habentem. Animadverte vero hîc, crura, & manus paulum inflexas habentem; nam aut nequaquam, aut plusquam conveniat, inflexas esse, utrunque malum est, quia præter naturam sint. Ipse igitur dixit, ita enim & plurimi rectè valentium cubant, iccirco »postea subjunxit; Supinum autem jacere manibus cruribusque extentis minus bonum. Tibi verò declaratum est facultatis infirmitatem ab hujusmodi decubitu indicari, & adhuc magis ab eo, qui deinceps his verbis exprimitur; At si pronus fuerit, è lectuloque ad pedes delabatur, gravius est. Tales igitur decubitus in præsenti sermone per hæc verba significavit: & ipse dissolutus, siquidem manus, & crura parum inflexas habere laudabile est: quod ultra hos fines transit, majorem articulorum fractionem indicat: Ita nanque ipsam appellavit: at »in Libro de præsagiis in his verbis; Morti- »ferum est autem ore aperto dormire, crura- »que supini jacentis inflexa esse, & explicita, »quod significat latissimè distantia. Sive autem

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῷ μὲν οὖν συντεταμένῳ, τὸ κεχαλασμένον ἐστὶν ἐναντίον τῷ σκληρῷ, τὸ μαλακόν. αὐτὸς γοῦν ἐν τοῖς ἑξῆς ἐρεῖ δέρματος σκληροῦ μάλθαξις, συντεταμένου χάλασις. εἴ τε δέρμα συντεταμένον, εἴ τε ἄρθρον, εἴ τε σῶμα λέγοιτο, πρὸς τὸ κατὰ φύσιν ἔχον, αὐτὸ παραβάλλοντες, οὕτως εἰρῆσθαι νοήσομεν. ὅπερ οὔτε συντεταμένον, οὔτε κεχαλασμένον, ἀλλὰ συμμέτρως
B ἔχον ἐστί. συντείνεται μὲν οὖν τὰ συντεινόμενα, ποτὲ μὲν δι' οἰκείαν διάθεσιν, ἔστι δ' ὅτε πρός τινων ἑτέρων ἑλκόμενα· διὰ μὲν τὴν οἰκείαν διάθεσιν, ὅταν ἤτοι παγῇ διὰ ψύξιν ἰσχυρὰν, ἢ ξηρανθῇ, διά τι τῶν ξηραινόντων αἰτίων. ἔστι γὰρ ὡς ἔμαθες πλείω, τείνεται δὲ ὑπὸ τῶν συνεχῶν, ἔνια ξηραινομένων, ἢ φλεγμαινόντων, ἢ πηγνυμένων· ἔμπαλιν δὲ χαλαρὰ γίνεταί τινα, παρὰ τὸ κατὰ φύσιν, ὑγρότητι πολλῇ διαβρεχόμενα, χωρὶς ψύξεως. σκληρύνεται δὲ τὰ σκληρυνόμενα, ξηραινόμενα διὰ ψύξιν, ἢ σκίρρον, ἢ ξηρότητα. φλεγμονὴ γὰρ, οὐ
C σκληρὸν, ἀλλ' ἀντίτυπον ἐργάζεται τὸν ὄγκον, ὁμοίως τοῖς πεπληρωμένοις ἀσκοῖς ὑγρᾶς οὐσίας, ἢ ἀέρος. ὥσπερ δὲ τῷ σκληρῷ παραπλήσιον φαινόμενον τὸ ἀντίτυπον, ἀπὸ κοινοῦ συμβεβηκότος, ἐπειδὴ καὶ τὸ σκληρὸν ἀντίτυπόν ἐστι, πάμπολυ διαλλάττει κατὰ τὴν οἰκείαν φύσιν, οὕτως καὶ τῷ μαλακῷ σώματι, τὸ ἔκλυτον ὁμοιότητά τινα ἔχον, ὡς πρὸς τὴν αἰσθητὴν φαντασίαν, οὐ τὴν αὐτὴν ἔχει διάθεσιν. ἀρρωστούσης γὰρ τῆς τοὺς μῦς κινούσης δυνάμεως, ἔκλυτά τε καὶ πάρετα φαίνεται κείμενα τὰ τῶν
D ἀρρώστων σώματα. ταύτην μὲν οὖν τὴν διάθεσιν ἐδήλωσεν εἰπὼν, καὶ αὐτὸς διαλελυμένος. ἐφεξῆς δὲ σαφῶς ἔφη, καὶ αἱ κατακλάσιες τῶν ἄρθρων. ἔνιοι δὲ τὴν τρίτην συλλαβὴν, οὐ διὰ τοῦ α΄. γράφουσι, κατακλάσιες, ἀλλὰ διὰ τοῦ ι΄. κατακλίσιες. ὅπως δὲ ἄμεινόν ἐστι γράφειν εὑρήσομεν, ἀναμνησθέντες τῶν εἰρημένων ἐν τῷ προγνωστικῷ περὶ κατακλίσεως ἐν τῇδε τῇ ῥήσει. κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ « ἰατροῦ ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν, καὶ « τὰς χεῖρας, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα. «
E πρόσχες δὲ ἐνταῦθα τῷ, τὰς χεῖρας, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντι. τὸ γὰρ ἤτοι μηδ' ὅλως, ἢ πλέον τοῦ προσήκοντος ἐπικεκάμφθαι, μοχθηρὸν ἑκάτερον. ὅτι μὴ κατὰ φύσιν, αὐτὸς γοῦν εἶπεν, οὕτως γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται), διὰ τοῦτο ἐφεξῆς ἐρεῖ. ὕπτιον δὲ κεῖσθαι, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον « ἀγαθόν. ἐδείχθη δέ σοι, δυνάμεως ἀρρωστίαν, ἡ τοιαύτη « κατάκλισις ἐνδείκνυσθαι, καὶ ταύτης ἔτι μᾶλλον ἡ ἐφεξῆς εἰ- « ρημένη, κατὰ τήνδε τὴν λέξιν. εἰ δὲ καὶ προπετὴς γίνοιτο, καὶ « καταῤῥέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστιν. «
F ταύτας οὖν τὰς κατακλίσεις ἐν τῇ νῦν προκειμένῃ ῥήσει, διὰ τῆσδε τῆς λέξεως ἐδήλωσε, καὶ αὐτὸς διαλελυμένος, εἴ γε τὸ τὰς χεῖρας, καὶ τὰ σκέλη ὀλίγον ἐπικεκαμμένα ἔχειν, ἐπαινεῖται, τὸ περαιτέρω τοῦδε, μείζονα κόλασιν ἐμφαίνει τῶν ἄρθρων, οὕτως γὰρ αὐτὴν ὠνόμασεν. ἐν δὲ τῷ προγνωστικῷ κατὰ τήνδε τὴν λέξιν. θανατῶδες δὲ, τὸ κεχηνότα καθεύδειν, καὶ « τὰ σκέλεα ὑπτίου κειμένου συγκεκαμμένα εἶναι, καὶ δια- « πεπλεγμένα, ὅπερ σημαίνει τὸ, διεστῶτα μέχρι πλείονος. εἰ

τὰ δὲ συγκεκαμμένα, εἴ τε διαπεπλεγμένα γράφοι, καθ' A ἑκάτερον ἐμφαίνεται κεκλάσθαι τὰ ἄρθρα. καὶ διὰ τοῦτο ἄμεινόν ἐστι γράφειν ἐνταῦθα, κατακλάσιες τῶν ἄρθρων διὰ τοῦ α'. τὸ γὰρ διὰ τοῦ ι'. κατακλίσιες, οὐ πάνυ τι καλῶς ἐπὶ τῶν ἄρθρων λέγεται, τῷ παντὶ σώματι τὰς τοιαύτας προσηγορίας εἰθισμένου τοῦ Ἱπποκράτους, οὐ τοῖς ἄρθροις ἐπιφέρειν.

inflexa, sive explicita scribat, utroque modo articulos confractos esse indicat. Atque ideo melius hoc loco fuerit cataclasies articulorum per a scribere, hoc est confractiones: nam per i scribere cataclisies, hoc est decubitus, non admodum rectè articulis quadrat, universo corpori hujusmodi appellationes non articulis Hippocrate attribuere solito.

Τὰ ὀλέθρια ἐκ τῶν ὀφθαλμῶν τῆς παρακρούσεως σημεῖα. ὄμματος θράσος, καὶ ῥίψις, καὶ κατάκλασις. B

Signa ex oculis perniciosa delirii, oculi ferocitas inordinata projectio, ac perversio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Ὄμματος θράσος παρακρουστικὸν, καὶ ῥίψις, καὶ κατακλάσεις, κακόν.

HIPPOCRATIS TEXTUS XXXI.

Oculi ferocitas delirium portendit; crebræ quoque ac inordinatæ projectiones, perversionesque malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν θράσος, παρακρουστικόν ἐστι σημεῖον, καὶ μάλιστα ὅταν ἀναιδημόνως γίνηται, καθότι λέλεκται πολλάκις. ἡ δὲ ῥίψις τῶν ὀμμάτων, ἐναντίον σύμπτωμά ἐστι C τῷ θρασεῖ βλέμματι. δηλοῖ γὰρ τοὺς μὴ δυναμένους ἐπὶ πλέον ἀναπεπταμένους ἔχειν τοὺς ὀφθαλμοὺς, ὑπ' ἀρρωστίας τῆς διοικούσης τὰ βλέφαρα δυνάμεως. κατάκλασιν δὲ λέγει τῶν ὀφθαλμῶν, ὅταν διαστρέφηται τὰ βλέφαρα. καθάπερ ἐν τῷ προγνωστικῷ διῆλθεν εἰπών. ἢν καὶ καμπύλον γίνηται, ἢ πελιὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, κακόν.

GALENI COMMENTARIUS.

Audacia quidem nota est delirii, maximéque quum impudens est, sicuti pluries dictum est. Oculorum autem abjectio audaci aspectui contraria est, declarat nanque præ facultatis palpebras regentis imbecillitate oculos diutius apertos patere non posse. Infractionem vero oculorum appellat, quum palpebræ invertuntur, ut in Libro de præsagiis narravit, inquiens: Sin incurva fuerit, aut livida palpebra, aut labium, aut nasus, malum.





ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ
ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ
ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.
ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

HIPPOCRATIS
EPIDEMIORVM
LIBER SEXTVS,
ET GALENI IN EVM
COMMENTARIVS SECVNDVS.
SECTIO SECUNDA.

ΤΟ ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ.

Τοῦτο δεύτερόν ἐστιν εἰς ἕκτον Ἱπποκράτους μεγάλου ἐπιδημιῶν βιβλίον τοῦ Γαληνοῦ ὑπόμνημα δεύτερον, ὃ θεωρήματα θεραπευτικὰ, χειρουργικά τε καὶ φαρμακευτικὰ περιλαμβάνει, δι' ὧν τετηρημένων τὰ νοσήματα καταβάλλονται καὶ ὑγεία τοῖς ἀρρώστοις ἐπανορθοῦται.

ARGVMENTVM SECTIONIS SECVNDÆ.

Hic ſecundus eſt in ſextum Hippocratis Magni Epidemiorum Librum, aut Libro ſexti ſectionem ſecundum Galeni Commentarius ſecundus, qui præcepta Therapeutica Chirurgica & Pharmaceutica complectitur, quibus obſervatis plures morbi profligantur, ac ſanitas ægris reſtituitur.

Contraria contrariis morbis præſidia congruere; dilatatis condenſatis dilatantia. Condenſata tum aperire, tum rarefacere mediocriter calefacientibus; aperta vero cogere aſtringentibus & refrigerantibus oportet.

A Τὰ τοῖς ἐναντίοις παθήμασιν ἐναντία βοηθήματα ἁρμόττειν. τοῖς μὲν εὐρυσμένοις πυκνοῦντα, καὶ τοῖς πεπυκνωμένοις εὐρύνοντα. καὶ χρὴ τὰ μὲν πεπυκνωμένα διοίγειν, καὶ ἀραιοῦν τοῖς μετρίως ἐκθερμαίνουσι, τὰ δὲ ἀναπεπταμένα συνάγειν τοῖς στύφουσι καὶ ψύχουσι.

HIPPOCRATIS TEXTUS I.

DILATARE, conſtringere, hæc quidem certè, illa vero minimè.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

ΕΥΡΥΝΑΙ, στενυγρῶσαι, τὰ μὲν, καὶ τὰ δὲ μή.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θεραπειῶν εἰσὶ καὶ οὗτοι τρόποι, τοῖς ἐναντίοις ἁρμόττοντες παθήμασιν. εὐρῦναι μὲν γὰρ δεῖ τὰ πεπυκνωμένα, πυκνῶσαι δὲ τὰ παρὰ τοῦ προσήκοντος εὐρυσμένα. διὸ καὶ τὴν δευτέραν συλλαβὴν τοῦ στενυγρῶσαι, ψιλοῦντες, οὐ δασύνοντες ἀναγνωστέον ἐστίν. οὐ γὰρ ἔγκειται τὸ ὑγρὸν ἐν τῇ λέξει καθάπερ ἄν τις οἰηθείη, μὴ γινώσκων ὑπὸ τῶν Ἰώνων τὸ στενὸν ὀνομάζεσθαι στενυγρόν. ἀλλὰ τοῦτό γε μαρτύριόν ἐστιν αὔταρκες, τὸ παρὰ τῷ Σιμωνίδῃ γεγραμμένον, ἐν τοῖσδε τοῖς ἔπεσιν.

Οὐκ ἄν τις οὕτω δή ἀσκίοις ἐν οὔρεσιν,
Ἀνὴρ λέοντ' ἔδεισεν, οὐδὲ πάρδαλιν,
Μοῦνος στενυγρῇ συμπεσὼν ἐν ἀτραπῷ.

Ταυτὸν σημαίνει τῷ στενῇ. στενοῦνται δὲ καὶ εὐρύνονται παρὰ τὴν κατὰ φύσιν συμμετρίαν, ἐνίοτε μὲν ἀγγείων τινῶν, ἢ μορίων αἰσθητὰ στόμια, πολλάκις δὲ λόγῳ θεωρητά, κατά τε τὸ δέρμα κἀν τῷ βάθει· καὶ χρὴ τὰ μὲν πεπυκνωμένα διοίγειν καὶ ἀραιοῦν, μετρίως ἐκθερμαίνοντα, τὰ δὲ ἀναπεπταμένα συνάγειν, στύφοντά τε καὶ ψύχοντα. τέλειον δὲ ἔχετε τὸν περὶ τούτων λόγον, ὥσπερ καὶ τῶν ἄλλων θεραπευτικῶν λογισμῶν εἰρησόμενον ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ.

GALENI COMMENTARIVS.

Curationum & isti modi sunt contrarii affectibus convenientes; dilatare nanque densata oportet; densare autem, quæ ultra decens amplificata sunt. Ideo secundam syllabam hujus vocis στενυγρῶσαι cum tenui spiritu, non cum crasso legendum est: neque enim cum hac dictione ὑγρὸν, ut quis forsan putare posset, composita est: nam ignorat iste ab Ionibus angustum stenygron appellari. Hujus
B autem rei testis locuplex Simonides fuerit in his carminibus ita scribens;

Non sane quisquam sic umbrosis in montibus
Vir leonem timuit, neque pardalim,
Solus stenigro, id est, angusto occurrens tramite.

idem enim significat, quod arcto. Arctantur autẽ & dilatantur ultra naturalem modum interdum vasculorum quorundam, aut membrorum sensilia oscula: plerunque verò & ratione visibilia tam in cute, quam in profundo corpore posita: atque densata aperire, & rarefacere mediocriter calefaciendo, patentia verò cogere astrin-
C gendo, ac refrigerando opus est. Sed perfectum de his sermonem, sicut & de aliis curativis præceptis, in Libro de arte curandi faciendum habebitis.

Τοὺς μὲν κακοὺς τοῦ σώματος χυμοὺς ἢ πλεονάζοντας ἐκκενοῦν δεῖ, δι' ὧν δὲ τῶν κενοῦν τρόπων διδάσκει ὁ Γαληνός. τοὺς δὲ χρηστοὺς λείποντας χυμοὺς ἐνθεῖναι καὶ γεννῆσαι τῇ τῶν σίτων καὶ ποτῶν εἰσφερομένων πέψει, καὶ ἀναδόσει, καὶ προσθέσει.

Pravos aut redundantes corporis humores vacuandos esse, quibus vero vacuandi modis docet Galenus. Probos autem humores deficientes inserere ac procreare ciborum inge-
D storum coctione, distributione, appositione.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Χυμοὺς, τοὺς μὲν ἐξῶσαι, τοὺς δὲ ξηρᾶναι, τοὺς δὲ ἐνθεῖναι. καὶ τῇ τι δὲ μή.

HIPPOCRATIS TEXTUS II.

Humores hos quidem expellere, illos vero exiccare decet; alios autem addere; & hac quidem parte; illa vero minimè.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ νῦν περὶ χυμῶν ἐμάθετε περὶ τούτων τελεώτερον, ὥσπερ κἀν τοῖς ἡμετέροις θεραπευτικοῖς, ὥς ποτε μὲν αἰσθητῶς ἐκκενοῦν προσήκει τοὺς πλεονάζοντας χυμοὺς, ἢ ἐμέτοις, ἢ κλυστῆρσιν, ἢ διὰ καθαιρόντων φαρμάκων, ἢ δι' οὔρων, ἢ δι' ἱδρώτων, ἢ διὰ φλεβοτομίας, ἢ δι' αἱμορροΐδος, ἢ διὰ μήτρας, ἢ ἀποσχάζοντας. ἐνίοτε δὲ διαφορεῖν τοῖς ἔξωθεν ἐπιτιθεμένοις φαρμάκοις, ὧν ὠνόμαζε, τοῦτο μὲν ξηρᾶναι, τὸ πρότερον δὲ, ἐξῶσαι. κοινοῦ δὲ ἀμφοτέροις ὄντος τοῦ κενῶσαι, τὸ ἐναντίον τῷ τρίτῳ ἔγραψεν, ὀνομάσας ἐνθεῖναι, τουτέστι γεννῆσαι τοὺς λείποντας χυμούς. εὔδηλον δή ὅτι διὰ τῶν ἐσθιομένων, καὶ πινομένων ἐντίθεμεν τούτους. ἐκλεγόμενοι τάς τε προσηκούσας ποιότητας αὐτῶν, καὶ τὰς ποσότητας, καὶ φροντίζοντες ὅπως πεφθῇ τε καὶ ἀναδοθῇ, καὶ προστεθῇ τοῖς σώμασι. τὸ δὲ καὶ τῇ τι μὲν, τῇ τι δὲ μὴ, κἂν εἰ μὴ ἐλέλεκτο, σαφὲς ἦν. ἐνίοτε μὲν γὰρ ἐφ' ἑνὸς ἀνθρώπου τινὰ μὲν εἰς ὄγκον ἠρμένα μόρια κενώσεως δεῖται, τινὰ δὲ ἀτροφοῦντα, προσθέσεως.

GALENI COMMENTARIUS.

Et in Libro de succis istorum doctrinam accuratius traditam didicistis, quemadmodum & in nostris de curatione Libris prodi-
E tum est. Quod videlicet nonnunquam redundantes humores sensibiliter evacuare convenit, aut vomitionibus, aut clysteribus, aut purgatoriis medicinis, aut per lotia, aut per sudores, aut per venæ scissionem, aut per ani sanguifluas vocatas venas, aut per uterum, aut scarificando: interdum vero digerere, exteriùs adhibitis medicamentis oportet: ex quibus modis hunc exiccare appellavit, priorem verò expellere. Quumque utrique commune sit evacuare, quod tertio contrarium erat, scripsit, ipsum addere vel imponere nominans, hoc est,
F deficientes humores creare. Clarum est autem nos per cibos, potusque ipsorum qualitates idoneas, & modum seligentes, utque concoquantur, digerantur, corporibusque imponantur, procurantes istos reparare. Illud autem, partim quidem sic, partim vero non, etsi non dictum fuisset, manifestum erat: interdum enim uno in homine aliquæ particulæ in tumorem elatæ evacuationis, aliquæ nutrimento carentes repletionis indigent.

Extenuata

A

Extenuata incrassanda, incrassata extenuanda esse, vas, universum corpus, cutim, carnes, humores.

Τὰ μὲν λελεπτυσμένα παχῦναι, τὰ δὲ πεπαχυσμένα λεπτῦναι χρή, τὸ τεῦχος, ὅλον τὸ σῶμα, τὸ δέρμα, τὰς σάρκας, καὶ τοὺς χυμούς.

HIPPOCRATIS TEXTUS III.

Vas, corpus, cutem, carnes extenuare, incrassare oportet, atque alia; & hæc quidem, illa vero minimè.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ΄.

Λεπτῦναι, παχῦναι, τεῦχος, δέρμα, σάρκας, καὶ τἄλλα, καὶ τὰ μὲν, τὰ δὲ μή.

GALENI COMMENTARIUS.

B

Per vas totum corpus intelligendum est: nam ipsum immodicè crassum extenuare, & emaciatum plenius reddere, haud raro nobis propositum est: plerunque vero non totum; sed aut carnes aliquas, aut cutem solam, interdum & humores, quos significavit illa verba adjiciens, *& alia*. Illud vero, *& hæc quidem, ea vero non*, eo modo intelligendum est, quo proximum sermonem explanavi.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τεῦχος μὲν ἀκουστέον ἐστὶν ὅλον τὸ σῶμα· καὶ γὰρ λεπτῦναι πεπαχυσμένον ἀμέτρως αὐτὸ, καὶ παχῦναι λελεπτυσμένον, οὐκ ὀλιγάκις ἡμῖν πρόκειται. πολλάκις δ᾽ οὐχ ὅλον, ἀλλ᾽ ἤτοι σάρκας τινὰς, ἢ τὸ δέρμα μόνον. ἐνίοτε δὲ τοὺς χυμοὺς, οὓς ἐδήλωσε προσθεὶς, καὶ τὰ ἄλλα. τὸ δὲ καὶ τὰ μὲν, τὰ δὲ μὴ, κατὰ τὸν αὐτὸν εἴρηται λόγον, ὡς ἐπὶ τῆς πρὸ ταύτης ῥήσεως ἐξηγησάμην.

C

Lævigatas, aut lenitas præter naturam partes exasperare, exasperatas verò lenire convenit. Sic induratas mollire, & mollitas indurare. Quæ partes exasperantur, ac leniuntur; quæ indurantur ac emolliuntur, præter naturam.

Ὥσπερ τὰ λεῖα ἢ λελειωμένα παρὰ φύσιν μόρια τραχῦναι, τὰ δὲ τετραχυσμένα λεᾶναι δεῖ. Οὕτω τὰ ἐσκιρρωμένα μαλάξαι, καὶ τὰ μαλθακισθέντα σκληρῦναι δεῖ. ἅτινα μόρια ἐκτραχύνονται, καὶ λειαίνονται, ἃ σκληρύνονται καὶ μαλθακίζονται παρὰ φύσιν.

HIPPOCRATIS TEXTUS IV.

Lenire, exasperare, indurare, emollire, & hæc quidem, illa vero minime.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ΄.

D Λεῆναι, τρηχῦναι, σκληρῦναι, μαλθάξαι, τὰ μὲν, τὰ δὲ μή.

GALENI COMMENTARIUS.

Commune, & in universum medicamentum propositum quum ab ipso didiceris, singula omnia curationis præcepta consequi poteris. Nam si contrariorum contraria sunt medicinæ, præter naturam exasperata complanare, lævia exasperare opus erit. Asperantur sanè fauces plerunque sensibiliter & aspera arteria, & os, & universa cutis in scabiosis leprosisque affectibus, & pustulis quibusdam milii granulorum instar, aliquibus minoribus, aliquibus majoribus. Asperantur quoque & ventris partes plerunque quum per ipsas biliosus succus merus copiosusque excernitur, interdum verò & ex acribus erodentibusque alimentis id sequitur. Atque hinc evidens est per medicamina asperitatem tollentia curationem esse faciendam, quod ipse, complanare, appellavit. Contra autem, atque hæc se habent, quibus exasperatio convenit. In cute quidem & circa barbæ, capitisque pilos id accidit: circa pilos quidem capiti, ut in alopeciis vocatis, & ophiasi, & mydriasi: in barba vero quum tardè, vixque pili exoriuntur, in quibus & ipsi omnia medicamina ad alopecias facientia experti sumus. At in aliis corporis particulis, ubi sunt cava ulcera, & integri sinus, abstersorias medicinas infundentes, locos illos exasperamus. Et ventriculum tenaci pituita refertum exasperantibus medicamentis nonnunquam detergemus. Ejusdem generis sunt

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κοινὸν, καὶ καθόλου σκοπὸν ἰαμάτων παρ᾽ αὐτοῦ μεμαθηκὼς, ἕπεσθαι δυνήσῃ τοῖς λεγομένοις ἐν μέρει πᾶσι θεραπευτικοῖς λογισμοῖς. Εἰ γάρ ἐστι τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, λεῆναι μὲν δεήσει τὰ τετραχυσμένα παρὰ φύσιν, τραχῦναι δὲ τὰ λεῖα γεγονότα. τραχύνεται μὲν οὖν καὶ φάρυγξ πολλάκις αἰσθητῶς, καὶ ἀρτηρία τραχεῖα, καὶ στόμα, καὶ ὅλον τὸ δέρμα κατά τε τὰς ψωρώδεις, καὶ
E λεπρώδεις διαθέσεις, ἐξανθήμασί τέ τισι, τοῖς μὲν κεγχρώδεσιν, τοῖς δ᾽ ἐλάττοσι τούτων, ἢ μείζοσι. τραχύνεται δὲ καὶ τὰ κατὰ γαστέρα πολλάκις, ὅταν δι᾽ αὐτῶν ἐκκρίνεται πλείων χολώδης χυμὸς ἄκρατος. ἔσθ᾽ ὅτε δὲ καὶ ἐξ ἐδεσμάτων δριμέων τε καὶ δακνωδῶν γίγνεται τοῦτο. καὶ δηλονότι διὰ τῶν ἰωμένων τὰς τραχύτητας φαρμάκων τὴν θεραπείαν ποιεῖσθαι χρὴ τῶν τοιούτων, ὅπερ ὠνόμασε λεῆναι. τοῖς δὲ εἰρημένοις ἐναντίως διακείμενα τὰ τραχυνθῆναι δεόμενα, κατὰ μὲν τὸ δέρμα, περί τε τὰς τῆς κεφαλῆς, καὶ
F τοῦ γενείου τρίχας γίγνεται. περὶ μὲν τὰς τῆς κεφαλῆς, ἐν ἀλωπεκίαις καὶ ὀφιάσεσι, καὶ μυδριάσεσιν. ἐπὶ δὲ τοῦ γενείου, τῶν βραδέως αὐτοῦ, καὶ μόγις φυόντων, ἐφ᾽ ὧν καὶ αὐτῶν ἐπειράθημεν ἁπάντων πρὸς ἀλωπεκίας ἁρμοζόντων φαρμάκων· ἐν δὲ τοῖς ἄλλοις μερέσι τοῦ σώματος, ἔν τε τοῖς κοίλοις ἕλκη, ἢ κόλποις ὅλοις, ἐνιέντες φάρμακα ῥυπτικὰ, τραχύνομεν τὰ μόρια. καὶ τὴν γαστέρα γλίσχρου φλέγματος ἐμπεπλησμένην, ἐνίοτε τραχυντικοῖς φαρμάκοις διαρρύπτομεν. ἐν τ᾽ αὐτῷ δὲ

ἐστὶ τῷ γένει, καὶ τῶν αἱμοῤῥοΐδων καθάρσεων προκλητικοὶ πεσσοί. καὶ μέντοι τὰς ἐν τοῖς βλεφάροις συκώσεις προτραχύνοντες, οὕτω πρότερον οὕτως ἐπαλείφομεν τὰ καθαιρετικὰ φάρμακα, πράττοντες τοῦτο, χάριν τοῦ παραδέξασθαι τὴν δύναμιν αὐτῶν εἰς τὸ βάθος τὰς ἡλκωμένας ἐξοχάς. ἴστε γοῦν ἐμὲ χρώμενον ἐπ' αὐτῶν δέρμασι θαλαττίων κητῶν τραχέσι, καὶ σηπίας ὀστράκοις, καὶ κισσήρει, καὶ τούτων μὴ παρόντων, αὐτῷ τῷ κυαθίσκῳ τῆς μήλης, στενὸν ἐχούσης, οὐκ εὐρὺ καὶ πέρας. ἀλλὰ τὸ τοὺς ἀχῶρας, καὶ τὰ κηρία καλούμενα, καὶ τὰς μυρμηκίας, ὅσα τε ἄλλα τοιαῦτα φαρμάκοις ἐκτῆξαι βουλόμεθα, προτραχύνοντες, ἤτοι διὰ τῶν ἡμετέρων ὀνύχων μετρίως, ἢ δι' ὀθόνης σκληρᾶς, ἢ διά τινος τῶν προειρημένων, οὕτως ἐπιτίθεμεν αὐτοῖς τὰ φάρμακα· σκληρῦναι, μαλθάξαι, καὶ τούτων ἡμῖν χρεία γίνεται, πολλάκις μὲν ἐφ' ὅλου τοῦ σώματος, ἐνίοτε δὲ ἐφ' ἑνὸς μορίου. τοὺς μὲν γὰρ ὑποιδόν τε καὶ ὑδερικὴν ἔχοντας ὅλην τὴν ἕξιν τοῦ σώματος, σκληρύνομεν, διά τε σινδόνων προανατρίβοντες, καὶ σκληρᾷ τρίψει χρώμενοι, καὶ γυμνάζοντες ἐν κόνει. τοὺς δ' οὐ φέροντας ταῦτα, φαρμάκοις ξηραίνουσι προσπλαστοῖς, ἀλουσίᾳ τε, καὶ ταῖς εἰρημέναις τρίψεσι, πρὸς δύναμιν δηλονότι, καὶ κατὰ βραχὺ χρώμενοι ταῖς παραυξήσεσιν αὐτῶν, ἓν δὲ μόριον ἐνίοτε διακείμενον οὕτως, ἀνάλογον οἷς εἴρηκα, θεραπεύομεν. ἐπὶ δὲ τῶν κώλων μάλιστα φαίνεται συνεχῶς τοῦτο γινόμενον, ἀλλὰ καὶ τῶν ἑλκῶν πάντων ὅταν σαρκωθῇ, τὴν ἐπούλωσιν οὕτω ποιούμεθα, σκληρυνομένη γὰρ ἡ σὰρξ δερματοῦται, καὶ οὐλὴ γίνεται. πάλιν δὲ ἐκ τῶν ἐναντίων μαλθάσσεται τά γε τετυλωμένα, καὶ τῶν φλεγμονῶν αἱ σκιῤῥούμεναι, καθ' ὃν τρόπον καὶ ἡ τοῦ σκιῤῥουμένου σπληνὸς ἴασις γίνεται. καὶ τὸ παχυνόμενον δέρμα κατὰ τὸ πάθος ὃ καλοῦμεν ἐλέφαντα, καὶ τῶν οὐλῶν δὲ, καὶ τὰς σκληροτέρας τοῦ προσήκοντος μᾶλλον μαλάσσομεν, ὥσπερ τὰς πάνυ μαλακὰς σκληρύνομεν.

A & pessi per sanguifluas venas purgationes proritantes. Quinetiam palpebrarum tubercula, Græci sycoses vocant, prius aliquo exasperantes, ita detractoriis medicamentis oblinimus: idque facimus, ut ulcerata tubercula in profundum vires medicaminum accipiant. Novistis sanè in istis me marinarum bestiarum, quæ cete vocantur, coriis asperis, & sepiæ testis, & punice utentem: hisque non præsentibus ipso parvo cyatho scalpelli, angustum non latum extremum habentis. Verumetiam B achoras, & vocatos favos, & myrmecias verrucas, & quæcunque id genus alia medicamentis discutere volumus, aut nostris unguibus, aut duriore linteolo, aut aliquo ex antedictis prius mediocriter fricantes, deinde ipsis medicamina superdamus. Obdurare, mollire, hęc nobis quoque usu veniunt, plerunque in omni corpore, nonnunquam in parte una. Nam eos, qui universo corporis habitu subtumido, & in hydropem vergente sunt, duriores reddimus linteis prius fricantes, & aspera frictione utentes, atque in pulvere exercen- C tes: hæc autem non ferentes, medicamentis emplasticis arefaciunt Medici, & lavationis abstinentia, & dictis frictionibus, pro viribus scilicet, atque paulatim eas augentes. Verùm unam interdum particulam ita affectam secundùm ea quæ dixi, curabimus. In extremis autem membris potissimum id fieri assiduè cernitur. Ulcerum quoque omnium, cùm carne repleta sunt, cicatricem hoc modo facimus; durescens enim caro cutis naturam induit, cicatrixque efficitur. Iterum per contraria, callosa & in scirrhum versæ phlegmonæ molliuntur, quemadmodum & obdurati lienis D medela perficitur: & crassescentem cutem in affectu, quem elephantem vocamus, & cicatrices, quàm conveniat, duriores remollimus: sicut molliores induramus.

Τοῦ ὕπνου ποτὲ ἐπεγεῖραι κατὰ σφοδρὰς ὀδύνας, ποτὲ ναρκῶσαι δεῖ.

A somno interdum excitare, in gravissimis doloribus interdum stupefacere oportet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

Ἐπεγεῖραι, ναρκῶσαι.

HIPPOCRATIS TEXTUS V.

E *Excitare, stupefacere.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν ἐπεγεῖραι τὴν αἴσθησιν καὶ τὴν κίνησιν τῶν ἐκλελυμένας ἐχόντων αὐτὰς, εὔδηλόν ἐστιν οὐ σμικρὰν χρείαν παρέχον τοῖς ἰατροῖς. τὸ δὲ ναρκῶσαι, κατὰ μόνας τὰς σφοδρὰς ὀδύνας γίνεταί ποτε χρήσιμον, ἡνίκα τὰ δι' ὀπίου, καὶ μανδραγόρου, καὶ ὑοσκυάμου, φάρμακα προσφέρομεν. αὐτὸς γὰρ εἶπε, νάρκη δὲ μετρίη, ὀδύνης λυτική. ἐὰν γοῦν τις σφοδροτέροις, ἢ πλείοσι χρήσηται τοῖς ναρκωτικοῖς φαρμάκοις, καταψύχεταί τε καὶ νεκροῦται τὰ σώματα.

GALENI COMMENTARIUS.

Excitare sensum; & motum in iis qui eos debilitatos habeant, non mediocrem usum medicis præbere omnibus notum est. At stupefacere in solis vehementibus doloribus interdum ex usu fuerit, cum medicamenta ex opio, mandragora, & alterco exhibemus: nam ipse dixit: *Stupor vero moderatus dolorem solvit.* F Quod si quis potentioribus, aut pluribus medicamentis stupefactoriis utatur, refrigerantur, extinguunturque corpora.

A

Per alia similia prædictis contrariis contraria intelligit quæ Galenus explicat therapeutica.

Κατ' ἄλλα ὁμοία προειρημένοις ἐναντίοις ἐναντία ἃ Γαληνὸς δηλοῖ θεραπευτικά.

HIPPOCRATIS TEXTUS VI.

Et cætera quæcumque sunt hujusmodi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Καὶ τὰ ἄλλα ὁκόσα τοιαῦτα. τὰ μὲν τά τε μή-

GALENI COMMENTARIUS.

Illa dicit, quæ per contrarietatem antedictis similem fiunt, aut refrigerando, aut calefaciendo, aut humectando, aut exiccando, aut intrusa expellendo: aut illud excidendo, quod toto genere inimicum est corpori: aut abscindendo, quod magnitudine naturalem modum excedit, aut contortum dirigendo, aut obstructum recludendo, aut reliqua quæcunque in arte curativa dicta sunt; Quorum omnium commune propositum est contraria affectibus adhibere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Τὰ κατὰ τὴν ὁμοίαν τοῖς προειρημένοις γινόμενα ἐναντιώσιν λέγει, θερμαινόντων, ἢ ψυχόντων, ἢ ὑγραινόντων, ἢ ξηραινόντων, ἢ ἐμβαλλόντων τὸ ἐκπεπτωκὸς, ἢ ἐκτεμνόντων τὸ παρὰ φύσιν ὅλῳ τῷ γένει τοῦ σώματος, ἢ ἀποτεμνόντων τῷ μεγέθει παρὰ φύσιν, ἢ τὸ διεστραμμένον ἐξευθυνόντων, ἢ ἐκφραττόντων τὸ ἐμπεφραγμένον, ἢ τἄλλα ὅσα κατὰ θεραπευτικὴν εἴρηται πραγματείαν· ἅπαντα κοινὸν ἔχοντα σκοπὸν, τὴν τῶν ἐναντίων τοῖς πάθεσι προσαγωγήν.

C

Modos therapeuticos humorum docet, ac potissimum derivationem & revulsionem.

Τοὺς τρόπους ἐπὶ χυμοῖς θεραπευτικοὺς διδάσκει, καὶ μάλιστα τὴν παροχέτευσίν τε, καὶ ἀντίσπασιν.

HIPPOCRATIS TEXTUS VII.

Derivare.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Παροχετεύειν.

GALENI COMMENTARIUS.

Curationum modos ad succos pertinentes hîc docere incipit, in Libro De succis accurratius descriptos: sed nunc quoque reminiscentiæ causâ narrabuntur. Derivationem sanè appellare consuevit Hippocrates, quando succus aliquis evacuationis indiget, neque per convenientem regionem ferri inceperit, neque tamen valde procul à convenienti, neque ad remotissimum locum. Ut si per lotii vias exire tentaverit vitiata vesica, aut renibus: tunc enim per alvum derivare satius fuerit. Quemadmodum etiam si per alvum vitiatis intestinis ferri inclinauerit: contra enim in istis succum evacuandum ad urinarios meatus dirigemus. In mulieribus verò nonnunquam ad uterum, aut è contrario interdum uteri profluvium ad urinæ vias, ac alvum, derivabimus. At si in aliqua id genus evacuatione vomitum citaverimus, revulsionem hanc nominat, ut si vomitus etiam retraxerimus, ad uterum, aut vesicam, aut sedem incitantes.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Τρόπους θεραπειῶν ἐπὶ χυμοῖς ἐνταῦθα διδάσκειν ἄρχεται, γεγραμμένους τελειότερον ἐν τῷ περὶ τῶν χυμῶν, εἰρήσονται δὲ καὶ νῦν ἀναμνήσεως ἕνεκα. παροχετεύειν μὲν ὀνομάζειν εἴωθεν ὁ Ἱπποκράτης, ὅταν χυμός τις δεόμενος κενώσεως, μὴ καθ' ὃ δεῖ χωρίον ὁρμήσῃ φέρεσθαι. καὶ μέντοι μηδὲ πόρρω πάνυ τοῦ προσήκοντος, μηδ' εἰς τὸν ἐναντιώτατον τόπον. ἀλλ' οἷον εἰ δι' οὔρων ὁρμήσῃ ἐκκενοῦσθαι, κεκακωμένης κύστεως, ἢ νεφρῶν. παροχετεύειν γὰρ ἄμεινον ἐνταῦθα διὰ τῆς γαστρὸς, ὥσπερ εἰ καὶ διὰ γαστρὸς τὴν ὁρμὴν ποιοῖτο φέρεσθαι, κεκακωμένων ἐντέρων. E ἔμπαλιν γὰρ ἐπὶ τούτων εἰς οὖρα προτρέψομεν ἔρχεσθαι, τὸν χρῄζοντα κενώσεως χυμόν. ἐπὶ καὶ γυναικῶν ἐνίοτε διὰ μήτρας, ἢ κατὰ τοὐναντίον ἐστὶν, ὅτε τὸν διὰ μήτρας ῥοῦν γινόμενον, ἐπ' οὖρα, καὶ γαστέρα παροχετεύσομεν. Εἰ δὲ ἐπί τινος τῶν τοιούτων κενώσεων, ἐμέτους κινήσαιμεν, ἀντίσπασιν ὀνομάζει τοῦτο. καθάπερ εἰ καὶ τοὺς ἐμέτους ἀντισπάσομεν, ἐρεθίζοντες ἐπὶ μήτραν, ἢ κύστιν, ἢ ἕδραν.

F

Quomodo revulsionem aliquis optimè facturus sit, docetur.

Ὅπως ἄν τις ἄριστα ποιήσαιτο τὴν ἀντίσπασιν διδάσκεται.

HIPPOCRATIS TEXTUS VIII.

Derivare, cedentem statim revellere, renitentia emollire.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

Παροχετεύειν, ὑπείξαντα ἀντισπᾶν αὐτίκα, ἀντιπίπτοντα ὑπεῖξαι.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ προοχετεύειν, ἀκόλουθον ἦν, ἐπενεχθῆναι τὸ ἀντισπᾶν, ἔπειτα δ' οὕτω διδάσκειν ὅπως ἄν τις ἄριστα ποιήσαιτο τὴν ἀντίσπασιν. ὁ δ' Ἱπποκράτης παρελθὼν τὸ ἀντισπᾶν εἰπεῖν, εὐθέως ἧκεν ἐπὶ τὸ χρησιμώτατον ἐγνῶσθαι τοῖς μέλλουσι καλῶς ἀντισπᾶν τοὺς κακῶς ἐπί τι μόριον ὁρμήσαντας χυμούς. οὐ γὰρ ἐπιμένειν χρή γε τοῖς ἀντισπῶσι βοηθήμασι διὰ παντὸς, ἀλλὰ παρεντεθῆναι τινὰ χρόνον, ἀργὸν τῶν ἀντισπώντων, ἵνα, τὸν φθάσαντα χυμὸν ἐσπεῖσθαι κατὰ τὸ πάσχον μόριον, ἐάσωμεν ἐκκριθῆναι. διαμείνας γὰρ ἐν αὐτῷ διττῶς ἀνιάσει. τὸ μέν τι τῷ πλήθει διατείνων, τὸ δέ τι τῇ ποιότητι λυπῶν. ἐὰν δὲ ἐάσῃς ἐκκριθῆναι τοὺς φθάσαντας ἐπὶ τὸ μόριον ἐνεχθῆναι χυμοὺς, ἐλευθερώσεις αὐτὸν τοῦ πόνου. ῥᾷον τ' ἀνύσεις τι τοῖς ἀντισπαστικοῖς βοηθήμασιν, οὐκέτ' ἐφ' ἑαυτὸ διὰ τὸν πόνον ἐρεθίζοντος τοὺς χυμοὺς τοῦ μορίου, πρὸς τὴν ῥοπὴν ἣν ἐξ ἀρχῆς οὐκ ὀρθῶς ἐπεποίηντο.

GALENI COMMENTARIUS.

Consentaneum erat, ut derivationi revulsionem subjungeret, sicque deinde pro quo modo quis optime revulsionem faceret, edoceret. Sed Hippocrates revulsionem silentio præteriens, illico ad illud se contulit, quod, bene revulsuris humores male in membrum aliquod irruentes, utilissimum cognitu erat. Neque enim semper in retrahentibus auxiliis permanendum est; sed aliquod tempus, quod retrahentibus vacet, interponere oportet: ut succum, B qui in affecto membro prius inhæserit, excerni permittamus: in membro enim remanens, ipsum bifariam contristabit, & multitudine distendens, & qualitate discrucians. At si humores in particulam prius illatos exire permiseris, ipsam dolore liberabis, faciliusque revulsoriis auxiliis aliquid proficies, non amplius in seipsum membro propter dolorem succos proritante, ultra eam, quam à principio non recte acceperant, inclinationem.

Τὸν χυμὸν κακὸν τοῖς σώμασιν ἐμμένοντα ἄγειν δεῖ. τὰ μὲν ἧττον ἰόντα παρορμᾷν. τὰ δὲ ἀμετρίως ἐόντα, ἢ περιμένειν, ἢ ἐπέχειν. μετρίως δὲ ῥέοντα, ἐᾷν. τί κατὰ τὰς ἐκχυμώσεις ὁ Γαληνὸς δηλοῖ. πότερον τὴν ὀδύνην παύει ὀδύνη. τὰ ζητήματα περὶ τῆς λέξεως ἐς καταφρόνησιν καὶ σμικρὰ εἶναι. πότερον τὰ ἐναντία τοῖς ἐναντίοις θεραπεύονται, καὶ μὴ τοῖς ὁμοίοις. πότερον ἔμετος τῷ ἐμέτῳ θεραπεύεται, καὶ τὰ δακνώδεα διαχωρήματα τῷ δριμεῖ κλύσματι. Οργασμός.

C Humorem vitiosum corporibus immorantem educendum, parciùs prodeuntem validius concitandum; immoderatiùs profluentem aut expectandum aut supprimendum, moderatè fluentem sinendum esse. Quid per ecchymoses explicat Galenus. Utrum dolorem dolor sedet. Quæstiones de dictione exiles ac fere inutiles esse. Utrum contraria contrariis curentur, non similibus. Utrum vomitus vomitu curetur, mordaces dejectiones acri clystere, humorum orgasmus.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Ἄλλον χυμὸν μὴ τὸν ἰόντα ἄγειν, τὸν δὲ ἰόντα συνεκχυμοῦν, ἐργάσασθαι τὸ ὅμοιον, οἷον, ὀδύνη ὀδύνην παύει. τὰ ἀνόμοια, ἢν ῥέπῃ ἄνωθεν ἀρθέντα, κάτωθεν λύειν, καὶ τὰ ἐναντία ταῦτα, οἷον κεφαλῆς κάθαρσις, φλεβοτομίη, ὅτε οὐκ εἰκῇ ἀφαιρέεται.

HIPPOCRATIS TEXTUS IX.

Humorem alium nonprodeuntem educere oportet, prodeuntem vero unà ex vasis effundere, simile quoddam opus facere, velut si dolor dolore sedetur. Dissimilia si sursum sublata tendant per inferiora soluere convenit, atque his contraria facere, veluti purgatio, venæ sectio, si quando non inconsulto detrahatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

Τὸ μὲν ἄλλον χυμὸν, μὴ τὸν ἰόντα ἄγειν, εὔδηλόν ἐστιν ἐξ ὧν ἐμάθομεν ἐν ἀφορισμοῖς τε καὶ ἐν περὶ χυμῶν. ἐὰν μὲν γὰρ ὁ λυπῶν ἐκκρίνηται συμμέτρου τῆς κενώσεως οὔσης, δέχεσθαι χρὴ μηδὲν αὐτὸν περιεργαζόμενον. ὥσπερ εἰ καὶ μὴ συμμέτρως γίνοιτο πράττειν αὐτὸν τι, ποτὲ μὲν ἐπέχοντα τὸ πλῆθος, ποτὲ παροξύνοντα τὸ τῆς κενώσεως ἐλλιπὲς, ὅπερ ὠνόμασεν αὐτὸς, τὸν ἰόντα συνεκχυμοῦν. ἐκχυμώσεις γὰρ εἴωθε τὰς ἐκ τῶν ἀγγείων ἐκχύσεις καὶ κενώσεις ὀνομάζειν, τὸ δὲ ἐργάσασθαι μεμάθηκας ἐπὶ τοῦ μεταλλάττειν, ἢ μιγνύναι λεγόμενον. ἄδηλον δέ ἐστιν εἴ τε τῷ προειρημένῳ συντακτέον, εἴ τε τῷ ἑξῆς εἰρημένῳ αὐτὸ προσακτέον, ἑκατέρως γὰρ οὐκ οἰκείως φαίνεται λέγεσθαι. διὸ καί τινες μὲν ὡς ἑπόμενον αὐτὸ τοῖς προειρημένοις ἐκείνοις συνῆψαν, εἶτ' ἀφ' ἑτέρας ἀρχῆς, τὸ ὅμοιον, οἷον ὀδύνην ἡ ὀδύνη παύει. τινὲς δὲ ἀρχὴν ἐποιήσαντο τῆς ἐφεξῆς τὸ,

GALENI COMMENTARIUS.

Alium quidem succum non exeuntem ducere, ex iis patet, quæ in Aphorismis, & in Libro de succis tradita sunt. Nam si humor infestans excernatur, cum moderata est evacuatio, id nihil aliud curantem admittere oportet: quemadmodum si immodica fuerit, ipsum medicum aliquid facere necesse est, nonnunquam evacuationis redundantiam supprimentem, nonnunquam ejus defectum incitantem, quod ipse nominavit exeuntem F συνεκχυμοῦν hoc est una effundere. Consuevit enim ecchymoses appellare ex vasculis effusiones, & inanitiones: facere autem, idem, quod permutare, aut miscere, significare didicisti. Ambiguum vero est, utrum antedictis connectendum sit, an deinceps dicto applicandum: utroque enim modo non proprie dici videtur: atque ideo nonnulli ipsum tanquam consequens antedicta, cum illis conjunxerunt: deinde ab altero principio posuerunt, simile, ut dolorem

dolor sedat. Verum alii sequentium principium hoc fecerunt, facere simile. Quoniam vero (ut dixi) utroque modo dictum neutro verisimile est, multi ad ipsius scripturam permutandam se converterunt: quemadmodum & alia, quæcunque uno in nomine obscuritatem continent. Et nonnulli quidem per ο & ρ primam syllabam, secundam vero per γ & ι scribunt, ὀργίσασθαι, idest irasci: alii primam syllabam per ε & ρ secundam per γ & α, ἐργάσασθαι hoc est facere. Deinde aiunt, deinceps loco exempli additum fuisse illud, veluti dolorem dolor sedat. Sanè ita in multis codicibus scriptum reperitur: sed recte in Dioscoridis exemplaribus scriptum non est: videtur enim ab aliquo explanationi adjectum fuisse, postea vero inter auctoris ipsius verba ab libri scriptore fuisse insertum. Verum, quod per γ & ι scriptum est, ὀργίσασθαι, id est irasci, affectatum admodum, & ab Hippocratis elocutione longe alienum est, sive de nobis ipsis, sive de iis quæ curantur, membris, sive de humoribus idcatur: nam ipsa veluti ad iram concitare, & ad expulsionem stimulare significari aiunt per hoc verbum, ὀργίσασθαι. Sed hæc contemnenda exiliaque sunt, quemadmodum & reliqua omnia, quæ incolumi rerum veritate de vocabulis disputantur. Quod si & ipsæ res labefactentur, hujusmodi à nobis scripturæ fugiendæ sunt: sicut hoc loco omnibus ferè Interpretibus curationes quasdam interdum per similia fieri concedentibus, & non semper à contrariis: quod ipse Hippocrates suspicatus alioquin quosdam opinaturos, unico exemplo eorum deceptionem indicavit in Aphorismis scribens; Quandoque in nervorum distensione sine ulcere juveni carnoso, æstate media, frigidæ multæ infusio caloris revocationem facit: calor autem hæc sanat. Frigidum namque affectum nervorum distensionem simili auxilio se curare quispiam putaverit, si frigidâ ipsum aquâ consperserit: id verò haud ita habet, nam retractionem caloris efficiens juvat, quam nisi efficeret, summam noxam inferret. Atqui sicuti hoc auxilium frigidum esse cum videatur, calfaciendo nonnumquam frigidum morbum nervorum distensionem tollit, ita alia contra calefacientia ex accidenti refrigerant, igneum calorem digerentia: de his verò mihi in omnibus de methodo curativa Libris late disputatum est, per auxilia affectui adversantia semper curationem fieri declaranti. Sed qui majori dolore minorem curari arbitrantur, mirifice falluntur: neque enim dolor dolorem curat, sed remedium, quod cum dolore affectum doloris auctorem delet. Nam alibi didicisti, nulli symptomati primario, sed ipsum creanti affectui, curationem semper deberi. Quòd si quis neutiquam primò, sed interdum ex accidenti similia similibus curari per media illa, quæ primò contraria sunt, dixerit, iste vera dicit; idque ita esse, & ex Libro de ratione curandi per scientiam didicisti, & adhuc ex nostris in Aphorismos Commentariis. Quod verò aliqui dicunt quempiam, coxâ adustâ, ut in coxendicis morbo contingit, dolore dolorem sanavisse, nimirum perspicue absurdum est: neque enim à dolore, sed ab exustione, cui forte dolor adjunctus erat, ægritudo sanata fuit. Nam si quispiam contudisset, aut secuisset, aut quo-

A ἐργάσασθαι τὸ ὅμοιον. ἐπεὶ δὲ, ὡς ἔφην, ἑκατέρως λεγόμενον, οὐδετέρως ἐστὶ πιθανὸν, ἐπὶ τὸ μεταγράφειν αὐτὸ παρεγένοντο πολλοί. καθάπερ καὶ τὰ ἄλλα ὅσα καθ' ἓν ὄνομα τὴν ἀσάφειαν ἔχει. καὶ τινὲς μὲν τὴν δευτέραν συλλαβὴν διὰ τοῦ γ. καὶ ι. γράφουσιν, ὀργίσασθαι, τινὲς δὲ τὴν πρώτην διὰ τοῦ ε. καὶ ρ. τὴν δὲ δευτέραν διὰ τοῦ γ. καὶ α. ἐργάσασθαι τὸ ὅμοιον. εἶτ' ἐφεξῆς φασιν ἐν παραδείγματος μοίρᾳ λέγεσθαι τὸ, οἷον, ὀδύνη ὀδύνην παύει. γέγραπται μὲν οὖν τοῦτο κατὰ πολλὰ τῶν ἀντι-
B γραφέων, ὀρθῶς δὲ ἐν τοῖς κατὰ Διοσκουρίδην οὐ γέγραπται. φαίνεται μὲν γὰρ ὡς ἐξηγήσει προσγραφὲν ὑπό τινος, αὖθις δὲ, εἰς τοὔδαφος ὑπὸ τοῦ βιβλιογράφου μετατεθεῖσθαι. τό γε μὴν διὰ τοῦ γ. καὶ ι. γραφόμενον ὀργίσασθαι, πάνυ κακόζηλόν ἐστι, καὶ πόρρω τῆς Ἱπποκράτους ἑρμηνείας, ἐάν τε ἐφ' ἡμῶν αὐτῶν, ἐάν τε ἐπὶ τῶν θεραπευομένων λέγηται μορίων, ἐάν τε ἐπὶ τῶν χυμῶν. τὸ γὰρ οἷον εἰς ὀργὴν αὐτὰ προτρέψαι, καὶ ἐπεγεῖραι πρὸς τὴν ἔκκρισιν, ἡγοῦνται δηλοῦσθαι διὰ τοῦ ὀργήσασθαι ῥήματος. ἀλλὰ ταῦτα μὲν εὐκαταφρόνητα,
C καὶ σμικρὰ, καθάπερ καὶ πάνθ' ὅσα περὶ τῆς λέξεως ἐξήγηται, τῆς τῶν πραγμάτων ἀληθείας φυλαττομένης. ἐὰν δὲ κἀκεῖνα κινῆται, φευκτέον ἡμῖν ἐστὶ τὰς τοιαύτας γραφὰς, ὥσπερ κἀνταῦθα, σχεδὸν ἁπάντων τῶν ἐξηγητῶν προσιεμένων, θεραπείας τινὰς ἐνίοτε διὰ τῶν ὁμοίων γίνεσθαι, καὶ μὴ διὰ παντὸς ὑπὸ τῶν ἐναντίων, ὅπερ αὐτὸς ὁ Ἱπποκράτης ὑπονοήσας τινὰς οἴεσθαι, δι' ἑνὸς παραδείγματος ἐνεδείξατο τὴν ἀπάτην αὐτῶν, ἐν ἀφορισμοῖς γράψας. ἔστιν ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος, νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ, κατάχυσις
D ἐπανάκλησιν θέρμης ποιέεται, θέρμη δὲ ταῦτα ῥύεται. ψυχρὸν γὰρ πάθος ὄντα τὸν τέτανον, ὁμοίῳ βοηθήματι « δόξει τις λύεσθαι, ψυχρὸν ὕδωρ καταχέων αὐτῷ. τὸ δ' « οὐχ οὕτως ἔχει, θερμασίας γὰρ ἐπανάκλησιν ποιησάμενον ὠφελεῖ, ὡς εἴ γε μὴ ποιήσαιτο ταύτην ἐσχάτως βλάψει. ὥσπερ δὲ τοῦτο, δοκοῦν εἶναι βοήθημα ψυχρὸν, τῷ θερμαίνειν, ὠφελεῖ ποτὲ πάθος ψυχρὸν, τὸν τέτανον, οὕτως ἕτερα θερμαίνοντα, κατὰ συμβεβηκὸς ψύχει, διαφοροῦντα τὴν πυρώδη θερμασίαν. καί μοι περὶ τούτων ἐν
E ὅλῃ τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ γέγραπται, διὰ τῶν ἐναντίων βοηθημάτων τοῖς πάθεσι τὴν θεραπείαν ἐπιδεικνύοντι γίνεσθαι διὰ παντός. οἱ δὲ δι' ὀδύνης μείζονος ἡγούμενοι θεραπεύεσθαι τὴν ἐλάσσονα, μέγιστόν τι παρορῶσιν. οὐ γὰρ ἡ ὀδύνη τὴν θεραπείαν ἐργάζεται τῆς ὀδύνης, ἀλλὰ τὸ σὺν τῇ ὀδύνῃ βοήθημα τοῦ ποιοῦντος αὐτὴν πάθους. ἔμαθες γὰρ ὡς οὐδενὸς συμπτώματος ἡ θεραπεία γίνεται πρώτως, ἀλλ' ἀεὶ τῆς ἐργαζομένης αὐτὸ διαθέσεως. εἰ δέ τις οὐδὲ
F ποτε μὲν πρώτως, ἐνίοτε δὲ κατὰ συμβεβηκὸς φαίη τὰ ὅμοια τῶν ὁμοίων εἶναι θεραπευτικὰ, διὰ μέσων τῶν πρώτως ἐναντίων, ἀληθῆ τέ φησι, καὶ μεμάθηκας ἐπιστημονικῶς αὐτὸ διά τε τῆς θεραπευτικῆς πραγματείας, καὶ προσέτι διὰ τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων. ὃ δὲ λέγουσί τινες ὡς καύσας τις ἰσχίον, ὡς ἐπὶ τῶν ἰσχιαδικῶν, δι' ὀδύνης ὀδύνην ἐάσατο, πρόδηλον ἔχει τὴν ἀτοπίαν. οὐ γὰρ διὰ τὴν ὀδύνην ἐθεραπεύθη τὸ πάθος, ἀλλὰ διὰ τὴν καῦσιν, ᾗ συμβέβηκε κατὰ τύχην ὀδύνη. θλάσας γέ τοί τις, ἢ τεμὼν, ἢ ὅπως

ἑτέρως εἰς ὀδύνην ἀγαγὼν τὸ μόριον, οὐκ ἂν ἰάσαιτο. καίτοι γ' εἴπερ ἦν ἡ ὀδύνη τῆς ὠφελείας αἰτία, διὰ παντὸς ἂν ἐθεράπευσε ἰσχιάδας. οὕτω δὲ καὶ τὸν ὀδυνώμενον ὀδόντα δι' ὀδοντάγρας κομισάμενός τις, ἀνώδυνον εἰργάσατο τὸν ἄνθρωπον, οὐ διὰ τὴν γινομένην ὀδύνην διαιρουμένου τοῦ ὀδόντος, ἀλλὰ διὰ τὴν διαίρεσιν ᾗ συνυπῆρχεν ἡ ὀδύνη, ὡς εἴ γε καὶ χωρὶς ὀδύνης ἦν ἐξελεῖν αὐτὸν, ὁμοίως ἂν ὁ κάμνων ἀνώδυνος ἐγένετο. καθάπερ γε καὶ χωρὶς ἐξαιρέσεως, ἐὰν θλίβων τις ἢ διακινῶν αὐτὸν ὀδυνήσῃ, τὸ μὲν ἄλγημα σφοδρότερον ἐποίησεν, οὐδὲν δὲ ὠφέλησεν. ἑκατέρωσε τοίνυν εὔδηλόν ἐστιν ἀνωφελῆ τοῖς ὀδυνωμένοις εἶναι τὴν ὀδύνην, ὅσον ἐφ' αὑτῇ. διά τε γὰρ τῶν ἀνωδύνων βοηθημάτων, πολλὰ θεραπεύεται τῶν ὀδυνωμένων μορίων. ἐφ' ἑτέρων τε πολλάκις ὀδύναι μεγάλαι, διὰ τῶν προσφερομένων ἔξωθεν γινόμεναι, παῦλαν οὐδεμίαν τοῖς διά τι πάθος ὀδυνωμένοις ἐπιφέρουσιν. ἓν γὰρ μόνον ἐστὶ τὸ ἰώμενον ὅπερ ἂν ἐκκόπτῃ τὴν διάθεσιν ὁπωσοῦν, ἐάν τε χωρὶς ὀδύνης, ἐάν τε σὺν ταύτῃ. κατὰ δὲ τὸν αὐτῆς λόγον, ὀδύνη παύειν ὀδύνην οὐ πέφυκεν, ἀλλὰ τοὐναντίον ἅπαν, παροξύνειν. τοῦτο μὲν οὖν τὸ παράδειγμα φανερῶς ἐστὶ κίβδηλον, ἐφ' ἕτερον δέ τι μεταβάντες ὧν εἰρήκασι, καὶ τὴν κατ' ἐκεῖνον μοχθηρίαν θεασώμεθα. φασὶν οὖν ἔμετον ἐμέτῳ θεραπεύεσθαι πολλάκις, καὶ κλυστῆρι δριμεῖ διαχωρήματα δακνώδη. ἔστι δὲ κἀνταῦθα μία μὲν ἴασις ἐκκόψαι τὴν διάθεσιν, ὑφ' ἧς ἤτοι ναυτιώδεις εἰσὶν, ἢ συνεχῶς ἐξανίστανται δακνόμενοι. γίνεται δὲ τοῦτο διττῶς, ὡς ἔμαθε, καθ' ἕνα μὲν τρόπον ἐκκενωσάντων ἡμῶν τοὺς χυμοὺς, ὅσοι τήν τε ναυτίαν, καὶ τὴν τῶν ἐντέρων δῆξιν εἰργάσαντο. καθ' ἕτερον δὲ, πεψάντων τε καὶ μεταβαλόντων εἰς ποιότητα χρηστὴν, ἢ ἐπικερασάντων. ἐδείχθη δὲ κἀπὶ τούτων ἡ ἴασις ὑπὸ τῶν ἐναντίων γινομένη. τό τε γὰρ ὅλως ἐκκενῶσαι τὸν ἀλλότριόν τε καὶ παρὰ φύσιν χυμὸν, ἐναντίον ἐστὶ τῇ ἴσχειν, ἥ τε κατὰ ποιότητα μεταβολὴ, διὰ τῆς ἐναντίας γίνεται ποιότητος. ἀλλ' οὐ χρὴ ζητεῖν ἐνταῦθα, δεδειγμένου καθ' ὅλην τὴν θεραπευτικὴν μέθοδον, ἀεὶ διὰ τῶν ἐναντίων γίνεσθαι τὴν θεραπείαν. ἐπεὶ δὲ πολλάκις ἀπό τε τῶν ἐμπειρικῶν, καὶ τῶν μεθοδικῶν λόγων ἀναγόμενοι διαβάλλειν ἐπιχειροῦσιν αὐτὸ, παραπλησίους λέγοντες λόγους, οἷς ἀρτὶ διῆλθον, ἴσως ἄμεινόν ἐστι μετὰ τὸ συμπληρῶσαι τὴν ἐξήγησιν τοῦ προκειμένου, ποιῆσαί τι βιβλίον ἐν ᾧ δειχθήσεται τὰ ἐναντία τῶν ἐναντίων ἰάματα ὑπάρχοντα μόνα πρώτως τε καὶ καθ' ἑαυτά. κατὰ συμβεβηκὸς γὰρ, καὶ φαλακρὸς ἰατρὸς φαλακρὸν ἄνθρωπον, ὅμοιος ὅμοιον ἰᾶσθαι δύναται, καὶ φοξὸς φοξὸν, καὶ χωλὸς χωλόν. τὸ δὲ γινόμενον βιβλίον ἐπιγραφήσεται περὶ τοῦ καλῶς ὑπὸ Ἱπποκράτους εἰρῆσθαι, τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. νυνὶ δ' ἀφικώμεθα πάλιν ἐπὶ τὴν τῆς προκειμένης ῥήσεως ἐξήγησιν, ἐν ᾗ διὰ τοῦ ε. καὶ ρ. τὴν πρώτην συλλαβὴν ἔφην ἐν τοῖς παλαιοῖς ἀντιγράφοις γεγράφθαι, μετὰ τοῦ καὶ τοὺς παλαιοτάτους ἐξηγητὰς ἐπίστασθαι ταύτην. ἐφυλάξαντο δὲ αὐτὴν καὶ οἱ περὶ τὸν Διοσκουρίδην, καίτοι πολλὰς τῶν ἀρχαίων γραφῶν ὑπαλλάττοντες. εἴη ἂν οὖν ὁ Ἱπποκράτης ὡς ἐν ὑπομνήματι, γεγραφὼς ἑαυτῷ,

A cunque alio modo dolorem membro intuliſſet, nequaquam ipſum ſanare potuiſſet: atqui ſi dolor ſanitatis auctor eſſet, undelibet excitatus coxendicis morbum tollere debuiſſet. Eodem modo & dentem dolore vexatum ſi quis evellens, hominem dolore liberet, non per dolorem in extrahendo dente concitatum, ſed per extractionem, cui dolor conjunctus erat, id aſſecutus fuit, quoniam ſi citra dolorem etiam dentem eximere potuiſſet, pariter ęgrotans à dolore liber evaſiſſet: quemadmodum ſi & abſ- B que evulſione quis dentem premens, aut quatiens dolorem irritet, dolorem quidem acerbiorem reddiderit, nihil tamen levamenti attulerit. Utrinque apparet igitur, quantum in ipſo eſt inutilem dolentibus eſſe dolorem. Etenim per auxilia anodyna vocata, hoc eſt dolorem ſedantia, multa dolentia membra ſanantur: in aliis verò plerumque dolores magni per exteriùs adhibita illati ex aliquo affectu, dolentibus nullum laxamentum præbuerunt: unum enim ſolum eſt, quod medeatur, quod affectum utcunque, ſive citra dolorem, ſive cum dolore exſcindit: dolor verò ſuapte natu- C râ non dolorem ſedare, ſed contra omnino irritare idoneus eſt Hoc igitur exemplum evidenter falſum eſt: verùm ad alterum quoddam eorum, quæ iſti dicunt, tranſeuntes, illius quoque abſurditatem contemplemur. Dicunt igitur vomitum vomitu, & acri clyſtere mordaces dejectiones ſæpe curari. Eſt verò, & in hoc caſu una ſanè curatio affectum exſcindere, ob quem vel nauſeabundi ſunt, vel crebro inteſtinorum morſu ſtimulati, ad exonerandum ventrem conſurgunt. Id autem, ut didiciſtis, bifariàm fit, uno quidem modo nobis D eos humores evacuantibus, qui & nauſeam ſtomacho, & inteſtinis morſum inferunt: altero autem eos cum coquentibus, & in optimam qualitatem mutantibus, aut contemperantibus. Oſtenſum verò eſt, & in his medicationem per contraria fieri: nam prorſus evacuare alienum, naturæque inimicum humorem, ejuſdem retentioni contrarium eſt: & qualitatis mutatio per contrariam qualitatem fit. Cæterum hujuſmodi quæſtionis agitandæ hic locus non eſt, cùm in omnibus curativæ methodi voluminibus ſemper à contrariis curationem fieri demon- E ſtraverimus. At quoniam ſæpius Empiricorum, Methodicorumque rationibus adducti quidam hoc medicinæ fundamentum impugnare, atque evertere conantur, rationes proxime dictis ſimiles afferentes, fortaſſe melius fuerit, poſtquam præſentis Libri explanationem abſolvero, libellum aliquem componere, in quo apertiſſimè demonſtretur, contraria ſola, primò atque per ſe, contrariorum eſſe remedia, ex accidenti namque calvus medicus calvum ægrotantem, F ſimilis ſimilem medicari poteſt, & oblongi acutique capitis medicus, oblongi acutique capitis ægrotantem, & claudus claudum. Futuri autem Libri inſcriptio talis erit: Quòd recte ab Hippocrate dictum ſit contrariorum contraria eſſe remedia. Nunc iterum ad propoſitæ vocis declarationem revertamur, in qua per ε, & ρ, primam ſyllabam in veteribus codicibus ſcriptam eſſe, & hanc vetuſtiſſimos Interpretes agnoſcere dicebamus. Hanc verò & Dioſcoridis ſectatores ſervaverunt, quamvis multas ex anti-

quis scripturis permutarent. Hippocrates igitur, ut per Commentarium sibi ipsi, quemadmodum & alia multa conjecturaliter ac breviter, ita & hoc forte scripsit, facere simile, cum prædixisset, nonnunquam melius esse iis quæ vacuantur, auxiliari, subdidit, efficere simile, hoc est, commiscere cum eo, qui bene evacuetur humore, alium similem. Possumus autem & quod sequitur, dissimilia, in eadem sententiam interpretari: & enim dissimiles quoque humores unà cum iis, qui congrue evacuantur, exhaurire convenit. Si quis autem, operari, vel efficere, ita explanare velit, hoc est, mutare, & alterare: & concoquere, ita quoque medicinalem sententiam sermo habuerit. Si enim succus aliquis merito excernatur, συνεκχυμῶσαι τούτῳ, id est, isti similes reddere, unáque evacuationis indigentes succos excernere convenit, sive ipsi aliquo modo similes, sive dissimiles sint. Possumus quoque & sermonem dividentes, finem prioris facere, efficere simile; posterioris autem rursum principium hoc statuere; dissimilia si sursum vergant elata per inferna solvere, ut hujusmodi sententia sit, Humores membris in totum dissimiles sursum versus petentes deorsum trahere; si verò deorsum vergant, sursum revellere: nobis ea dissimilia dicta esse intelligentibus, quæ à locis aliena sunt. Eodem modo & alteram scripturam explanabimus, ubi prima dictionis syllaba per ο, & ρ scripta est. Nam, irritare simile, id significare dicemus, ut scilicet unusquisque nostrum ut humores effundantur æquè, atque ij qui evacuantur, efficere debeat: pariter autem & dissimiles reddendi. Sed forsan (ut nonnulli crediderunt) hoc verbum, irritare, per translationem ab animalibus turgentibus, hoc est in venerem concitatis dictum esse poterit: ita enim ipse uti videtur, cum dixit in aphorismis, Medicari in valde acutis, si turgeat, eodem die, nam in humoribus ad exitum paratissimis, & ad evacuationem properantibus, in proxime dicto, & in aliis aphorismis hac voce, *turgere*, uti videtur. Ita igitur & hoc loco, aiunt, par est ab eo de humoribus irritare, dictum esse, hoc est, ad expulsionem habiles ipsos efficere. Rursum itaque ab altero initio ad aliquod utile, quoad ejus fieri potest, orationem convertamus. Postquam enim dixit sursum elata deorsum solvere, & contraria itidem, elata quidem idem quod concitata significare putandum est: ut de primo affectus exortu ipsi sermo fiat, jubenti ad contraria loca statim retrahere deorsum quidem in iis quæ superius ortum habent, sursum verò in iis quæ inferius: ut eadem regula utentes opem feramus, & ad differentia loca abducamus. Igitur si in pedes & crura fluxionem decumbere senserimus ex cubiti venis sanguinem mittemus, aut vomitu purgabimus; non, ut quidam putant, nequaquam sursum retrahendum est, licet, ad inferiora proruentibus succis, magnus aliquis in ipsis morbus futurus sit. Potest autem intelligi & illud, sursum elata, de humoribus superiora petentibus, ut ea vox, *elata*, magis proprie dicta sit: sententia verò & nunc eadem remanet. Humores namque sursum elatos, hoc est sublime petentes, deorsum versus retrahere haud recte impetum facientes oportet, & contra decurrentes in oppositum ducendi sunt, ut in capite vitiato purgatione per alvum, & sectione venæ cubiti utendum est: utrunque enim

A καθάπερ ἄλλας πολλὰς, συμβολικῶς τε καὶ βραχέως, οὕτω καὶ τὸ ἐργάσασθαι τὸ ὅμοιον. προχειρικῶς, ὡς ἐνίοτε βέλτιόν ἐστι συμπαραλάττειν τοῖς κρινομένοις, ἐπήνεγκεν ὁρμῆσαι τὸ ὅμοιον, τουτέστιν ἀναμίξαι τῷ κενουμένῳ καλῶς χυμῷ τὸ ὅμοιον. ἐγχωρεῖ δὲ καὶ τὸ ἐπιφερόμενον αὐτῷ, τὰ ἀνόμοια, κατὰ τὴν αὐτὴν διάνοιαν ἐξηγήσασθαι. καὶ γὰρ καὶ τοὺς ἀνομοίους χυμοὺς συνεκχυμοῦν προσήκει τοῖς καλῶς κενουμένοις. εἰ δὲ κἀπὶ τοῦ μεταβάλλειν, καὶ ἀλλοιῶσαι, καὶ πέψαι βούλοιτό τις ἀκούειν τὸ, ἐργάσασθαι, καὶ οὕτω μὲν B ἔχοι νοῦν ἰατρικὸν ἡ λέξις. ἐὰν γὰρ ἐκκρίνηταί τις καλῶς χυμὸς, συνεκχυμῶσαι τούτῳ, τουτέστιν ἐξομοιῶσαί τε καὶ συνεκκρῖναι προσήκει τοὺς δεομένους κενώσεως, ἐάν τε ὁμοιότητά τινα ἔχωσι πρὸς αὐτὸν, ἐάν τε ἀνομοιότητα, δυνατόν ἐστι καὶ διελόντα τὴν λέξιν, ὡς τελευτὴν ποιήσασθαι τῆς προτέρας, ἐργάσασθαι τὸ ὅμοιον, τῆς δὲ δευτέρας, ἐπ' αὐτὴν πάλιν ἀρχὴν ποιήσασθαι τήνδε. τὰ ἀνόμοια, εἰ ῥέποι ἄνω ἀρθέντα, κάτω λύειν, ὡς εἶναι τὴν διάνοιαν τοιάνδε, τὰ ἀνόμοια ὑγρὰ τοῖς μορίοις εἰς ἅπαν, ἄνω μὲν ἀρθέντα, κάτω λύειν, εἰ δὲ κάτω ῥέ-C ψειεν, ἀντισπᾷν ἄνω, νοούντων ἡμῶν ἀνόμοια λέγεσθαι τὰ τοῖς τόποις οὐκ οἰκεῖα. τὴν δὴ αὐτὴν ἐξήγησιν ποιησόμεθα καὶ κατὰ τὴν ἑτέραν γραφὴν, ἐφ' ἧς ἡ πρώτη συλλαβὴ διὰ τοῦ ο. καὶ ρ. γέγραπται. τὸ γὰρ ὀργάσασθαι τὸ ὅμοιον, ἐροῦμεν δηλοῦν ἕκαστον ἡμῶν ἐργάσασθαι χρῆναι ἐκχυμουμένους χυμοὺς, ὁμοίους τοῖς κενουμένοις, ὡσαύτως δὲ, καὶ τοὺς ἀνομοίους, ὁμοίους ποιητέον. δύναται δὴ ἴσως ὥσπερ ᾠήθησαν ἔνιοι ὀργάσασθαι ἐκ μεταφορᾶς ἀπὸ τῶν ὀργώντων εἰρῆσθαι ζώων. καὶ γὰρ φαίνεται χρώμενος αὐτῷ οὕτως ὅταν εἴπῃ, φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν, ἢν D ὀργᾷ, αὐθημερόν. ἐπὶ γὰρ τῶν ἑτοιμοτάτων εἰς ἔκκρισιν ἐπειγομένων τε πρὸς κένωσιν ὑγρῶν, ἐνταῦθά τε καὶ κατ' ἄλλους ἀφορισμοὺς φαίνεται χρώμενος τῇ ὀργᾷν φωνῇ. οὕτως οὖν καὶ νῦν εἰκός φασιν εἰρῆσθαι περὶ τῶν χυμῶν, ὀργάσασθαι, τὸ πρὸς ἔκκρισιν ἑτοίμους αὐτοὺς παρασκευάσαι, πάλιν οὖν ἀφ' ἑτέρας ἀρχῆς εἴς τι χρήσιμον ἀγάγωμεν ὡς οἷόν τε τὸν λόγον. ἐπεὶ γὰρ ἔφη τὰ ἄνω ἀρθέντα, κάτω λύειν, καὶ τὰ ἐναντία τὸ αὐτὸ, τὰ μὲν ἀρθέντα, τὰ οἷον ὁρμήσαντα δηλοῦν ἡγητέον, ἵνα περὶ τῆς πρώτης γενέσεως τοῦ πάθους ὁ λόγος αὐτῷ γίνηται, κελεύοντι E πρὸς τοὺς ἐναντίους τόπους ἀντισπᾷν αὐτίκα, κάτωθεν μὲν ἐπὶ τῶν ἄνωθεν ἐχόντων τὴν γένεσιν, ἄνωθεν δὲ, ἐπὶ τῶν κάτωθεν. ὅπως τῷ μὲν αὐτῷ λογισμῷ χρώμενοι, τὴν βοήθειαν ποιώμεθα, πρὸς διαφέροντας δὲ ἄγωμεν τόπους. ἐὰν γοῦν αἰσθώμεθα κατασκῆπτον εἰς πόδας καὶ σκέλη ῥεῦμα, διὰ τῶν κατ' ἀγκῶνα φλεβῶν, ἀφαιρήσομεν αἵματος, ἢ καθαίρωμεν ἐμέτοις. οὐχ ὥσπερ ἔνιοι νομίζουσι μηδέ ποτε ἀντισπᾷν ἄνω, κἂν εἰς τὰ κάτω χωρία τὴν ὁρμὴν τῶν χυμῶν ποιησαμένων μέγα τι μέλλῃ γενέσθαι πάθος ἐν αὐτοῖς. ἔστι F δὲ καὶ τὸ ἄνωθεν ἀρθέντα ἴσον εἰρῆσθαι κατὰ τῶν ὁρμησάντων χυμῶν ἄνω, ἵνα τὰ ἀρθέντα κυριώτερον ᾖ λελεγμένον. ἡ μέν τοι διάνοια ἡ αὐτὴ καὶ νῦν μένει. τοὺς μὲν γὰρ αἰρομένους ἄνω χυμοὺς, τουτέστι μετεωριζομένους, ἀντισπᾷν χρὴ κάτω μὴ καλῶς ὁρμῶντας. τοὺς δὴ ἔμπαλιν, ἐναντίως, οἷον ἐπὶ κεφαλῆς κάθαρσιν διὰ ὑπηλάτου φαρμάκου, παραλαμβάνοντας καὶ φλεβοτομίαν ἀπ' ἀγκῶνος. ἀμφότερα γὰρ ἐκκενοῦσι, καὶ ἀντισπῶσι κάτω. τι-

φανὸν δέ ἐστι καὶ τἀναντία λέγεσθαι πρὸς αὐτοῦ κατὰ τοιαύτην τινὰ διάνοιαν. τὰ ἄνωθεν ἀρθέντα, καὶ γενηθέντα πάθη, κάτω μὲν ἀντισπᾶν εὐθέως ἐν ἀρχῇ προσήκει. καὶ τἀναντία δὲ τούτων πράττειν ἐφεξῆς. ὅπερ ἐστὶ τοπικῶς κενοῦν, οἷον ἐπὶ κεφαλῆς. τῷ γοῦν ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ ἐν μετώπῳ ἡ ὀρθὴ φλὲψ τμηθεῖσα ὠφελεῖ, τοπικὸν οὖσα βοήθημα.

A evacuat, retrahitque deorsum. Verisimile autem fuerit & contraria ab ipso in hujusmodi sensum dicta esse: Superius elatos humores & creatos affectus ad inferiora statim ab initio retrahere convenit, & contraria his deinceps facere, quod est à loco evacuare: ut in capite, posteriora capitis dolentem recta frontis vena incisa juvat: quæ locale remedium est.

Τὰς ἀποστάσεις κατὰ μόρια ὅθεν γίνονται, ἄλλας μὲν εὐήθεας, ἄλλας δὲ κακοήθεας εἶναι.

B Abscessus pro partium unde procreantur ratione, alios benignos, alios malignos esse, ut bubones.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

HIPPOCRATIS TEXTUS X.

ΑΙ ἀποστάσιες οἷον βουβῶνες σημεῖον μὲν τῶν τὰ βλαστήματα ἐχόντων, ἀτὰρ καὶ ἄλλων. μάλιστα δὲ περὶ τὰ σπλάγχνα κακοήθεες δὲ οὗτοι.

Abscessus quales bubones, signa quidem sunt locorum propagines habentium, tum aliorum, tum præcipuè viscerum; at hi maligni sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIUS.

ΠΝεῦμα δὲ πυκνὸν μὲν ἐὸν, ὀδύνην σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις. μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει, ψυχρὸς δ' ἐκ τῶν μυκτήρός τε καὶ στόματος προσερχόμενον ὀλέθριον κάρτα ἤδη γίνεται.

C SPiritus autem creber phlegmonem in partibus supra interseptum significat. Magnus verò, & longo temporis intervallo post rediens delitium ostendit. Frigidus verò, si ex naso & ore prodierit, jam valde perniciosus est.

Πέντε τὰς αὕτη ῥῆσις περιέχει τῆς δυσπνοίας διαφορὰς τὰς ὑπὸ τοῦ Γαληνοῦ ἐπιλυμένας.

Quinque hic textus complectitur difficiles spirandi differentias quas explicat Galenus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

D

HIPPOCRATIS TEXTUS XI.

ΠΝεύματα σμικρὰ, πυκνά· μεγάλα, ἀραιά· σμικρὰ ἀραιά· πυκνὰ, μεγάλα· εἴσω μεγάλα, ἔξω σμικρά· τὸ μὲν ἐκτεῖνον· τὸ δὲ κατεπεῖγον. διπλῆ ἔσω ἐπανάκλισις οἷον ἐπιπνέουσι θερμὸν, ψυχρόν.

SPiritus parui, densi; magni, rari; parui, rari; densi, magni; intus magni, extrà parui; hic extendens, ille urgens. Dupla intrò revocatio, qualis superspirantibus. Calidus, frigidus.

Sententia hæc diffuse explicatur in 7. tom. l. 3. cap. 3. de difficult. respir. *fol.* 270.

Τὸ χασμέων ἰητήριον.

E

Oscitationum medela.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

HIPPOCRATIS TEXTUS XII.

ΙΗτήριον χασμέων συνεχέων μακρόπνοιη.]

ASsiduarum oscitationum longa spiratio medela est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIUS.

ΚΑὶ ταύτην τὴν ῥῆσιν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἐξηγησάμεθα.

HUnc quoque textum in secundo Epidemiorum Libro explanavimus.

--- F

Τοῖς ἀπότοις, καὶ μόγις πίνουσι βραχύπνοιαν τὸ χάσμης ἰητήριον εἶναι.

Non bibentibus aut vix bibentibus oscitationum medelam brevem spirationem esse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

HIPPOCRATIS TEXTUS XIII.

ΕΝ τοῖσιν ἀπότοισι, καὶ μόγις βραχύπνοοι.

NOn, aut vix bibentibus brevis spiratio.

GALENI

GALENI COMMENTARIUS.

QUemadmodum in Epidemiorum secundo plurima exemplaria textum ita scriptum continent. *Non, aut vix bibentibus longa respiratio:* sic hîc, *brevis respiratio.* A nobis autem de utraque lectione, in commentariis secundi Epidemiorum abundè dictum est.

Motus naturæ in morbis spectandos esse secundum rectitudinem fieri.

HIPPOCRATIS TEXTVS XIV.

IN directum laterum dolor, præcordiorum distentiones; lienis tumores, & ex naribus eruptiones fieri debent. In auribus item directio, & magna ex parte talia in oculis spectanda sunt.

GALENI COMMENTARIUS.

IN plurimis exemplaribus ita præstat lectio, prout nunc scripta est. Hanc tamen & rarò inveneris doloris laterum, tensionis hypochondriorum, tumoris lienis, & ex naribus eruptionis. Quam lectionem ego quoque ut medicam & dilucidam admitto. Et sanè quod ex altera lectione significatur, idem est. Et antea in secundo Epidemiorum hanc lectionem explicavimus. In præsenti sanè supervacaneum est quod de auribus & oculis additur, quòd hæ partes his subjaceant quæ secundum rectitudinem fiunt duobus modis. Interdum enim ex seipsis in alias quasdam partes secundum rectitudinem depositiones efficiunt; interdum verò & aliis affectis in oculos vel aurem hæ decumbunt.

An omnia, ut abscessus, secundum rectitudinem fiant, infernè sursum, & supernè deorsum.

HIPPOCRATIS TEXTUS XV.

COnsiderandum sanè utrùm omnia secundum rectitudinem fiant, an ea quidem quæ infernè sursum, qualia quæ circa maxillas, aut oculos, aut aurem fiunt. An verò quæ supernè deorsum non in directum tendant? Quamquam anginæ tumores rubicundi, laterumque dolores secundùm rectitudinem fiunt.

GALENI COMMENTARIVS.

IN secundo de morbis popularibus non est adjecta hæc dictio, per quam dubitat, utrum ex inferioribus in superiora abscessu facto, semper membri rectitudo utiliter servetur: ex superioribus autem in inferiora corrumpantur, ac fiant quidam non secundùm regionem abscessus. Ignotum verò est, utrùm secundus, iste vero sextus Liber inscriptus sit, ex eo illius sententias prius scriptas fuisse putandum est. In illis enim, quæ ab ipso, ut divulgarentur, scripta sunt, rationabiliter hujusmodi ordo apparet: in commentariis autem non itidem. Scripta nan-

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΩΣπερ ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν τὰ πλεῖστα τῶν ἀντιγράφων ἔχει τὴν ῥῆσιν οὕτω γεγραμμένην, ἐν τοῖσιν ἀπότοισι, καὶ μόγις μακρόπνοοι, οὕτως ἐνταῦθα, βραχύπνοοι. Εἴρηται δὲ αὐτάρκως ἡμῖν ὑπὲρ ἑκατέρας τῆς γραφῆς ἐν τοῖς εἰς τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπομνήμασι.

B

Τὰς τῆς φύσεως κινήσεις τε καὶ φορὰς ἐν τοῖς νοσήμασιν ἐπιτελέας κατ' ἴξιν εἶναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

ΚΑτ' ἴξιν, αἱ πλευρέων ὀδύναι, καὶ συντάσιες ὑποχονδρίων, καὶ σπληνὸς ἐπάρσιες, καὶ ἐκ ῥινῶν ῥήξιες, καὶ ὦτα κατ' ἴξιν· τούτων τὰ πλεῖστα ταῦτα καὶ εἰς ὀφθαλμούς.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τοῖς πλείστοις τῶν ἀντιγράφων ἡ λέξις οὕτως ἔχει καθότι νῦν γέγραπται. σπανίως δ' ἂν εὕροις αὐτὴν ὧδε, κατ' ἴξιν καὶ πλευρέων ὀδύνη, καὶ τῶν ὑποχονδρίων τάσιος, καὶ σπληνὸς ἐπάρσιος, καὶ ἐκ ῥινῶν ῥήξιος, ἣν δὴ κἀγὼ προσίεμαι γραφὴν οὖσαν ἰατρικήν τε καὶ σαφῆ. καὶ μέντοι δηλούμενον κἀκ τῆς ἑτέρας λέξεως ταυτόν ἐστι, καὶ προεξηγησάμεθά τε κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν ταύτην τὴν ῥῆσιν. νυνὶ μέντοι περιττότερον

D προσκεῖται τὸ, τῶν ὤτων, καὶ τῶν ὀφθαλμῶν, ὡς καὶ τούτων τῶν μορίων ὑποπεπτωκότων τοῖς κατ' ἴξιν, ὥσπερ καὶ τὰ ἄλλα διττῶς. ἐνίοτε μὲν γὰρ, ἐξ ἑαυτῶν εἰς ἕτερά τινα μόρια τὰς ἀποθέσεις ποιεῖται κατ' εὐθυωρίαν, ἐνίοτε δὲ ἑτέρων παθόντων, εἰς ὀφθαλμοὺς, ἢ εἰς οὖς ταῦτα ἀποσκήπτει.

Πότερον πάντα ὥσπερ αἱ ἀποστάσεις κατ' ἴξιν γίνηται κάτωθεν ἄνω, καὶ ἄνωθεν κάτω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

E

ΠΟτερον μὲν ἄρα πάντων, ἢ τὰ μὲν κάτωθεν ἄνω, οἷα τὰ περὶ γνάθοις, ἢ καὶ ὀφθαλμὸν, ἢ καὶ οὖς. τὰ δὲ ἄνωθεν κάτω, οὐ κατ' ἴξιν· καίτοι αἱ τὰ συναγχικὰ ἐρυθήματα, καὶ πλευρῶν ὀδυνήματα, κατ' ἴξιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τῷ δευτέρῳ τῶν ἐπιδημιῶν οὐκέθ' ἡ λέξις αὕτη πρόσκειται καθ' ἣν ἀπορεῖ. πότερον ἐκ μὲν τῶν κάτω τῆς ἀποστάσεως ἄνω γινομένης χρησίμως, ἀεὶ φυλάτ-

F τεται τὰ κατ' εὐθυωρίαν. ἐκ δὲ τῶν ἄνωθεν κάτω, διαφθείρονταί τε καὶ γίνονταί τινες οὐ κατ' ἴξιν ἀποστάσιες. ἄδηλον δ' οὖν ἐστὶν ὁποτέρα γέγραπται πρότερον τὰ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν, ἢ ταῦτα. οὐ γὰρ δή που ἐκ τοῦ, δεύτερον μὲν ἐκεῖνο, τοῦτο δ' ἕκτον ἐπιγεγράφθαι, πρότερον τὰ κατ' ἐκεῖνο γεγράφθαι νομιστέον. ἐν μὲν τοῖς πρὸς ἔκδοσιν ὑπ' αὐτοῦ γεγονόσιν, εὐλόγως τῆς τοιαύτης λέξεως ἐμφαινομένης, ἐν δὲ τοῖς ὑπομνήμασιν οὐκ ἔτι.

τὰ γὰρ ἐν διαφόροις, ἢ χάρταις, ἢ δέλτοις ὑφ' Ἱπποκράτει γεγραμμένα, τὸν υἱὸν αὐτοῦ Θεσσαλὸν ἀθροίσαντά φασι ταυτὶ τὰ δύο βιβλία συνθεῖναι, τό τε δεύτερον καὶ τὸ ἕκτον, ἔνιοι δὲ, καὶ τὸ τέταρτόν φασι. πρὸς ἔκδοσιν δ' ὁμολογεῖται γεγονέναι τὸ πρῶτόν τε καὶ τρίτον. διὸ καί τινας ἐπὶ προτέροις τοῖς κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν, ὕστερα γέγραπται τὰ κατὰ τοῦτο τὸ ἕκτον, εἰκός ἐστι θεασάμενον ὕστερον αὐτὸν ἀπόστασιν εἰς τὰ κάτω γινομένην ἐπ' ἀγαθῷ, μὴ κατ' ἴξιν, οὕτως γράψαι τὰ κατὰ τήνδε τὴν ῥῆσιν. εἰ δ' ἀπορῶν μὲν ἐνταῦθα, κρίνας δὲ ὕστερον ὑπὲρ ὧν ἀπορεῖ, βεβαίως ἀπεφήνατο κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν ἐκείνοις μᾶλλόν ἐστι πιστευτέον. ἐν δ' οὖν τούτοις οἷς νῦν γράφει, καίτοι τὰ κυναγχικὰ ἐρυθήματα, καὶ πλευρέων ὀδυνήματα, κατ' ἴξιν ἀκοῦσαι χρὴ περὶ μεταστάσεως, οὐ τῆς ἐκ τῆς πλευρᾶς εἰς τὰς κυναγχικὰς, ἀλλὰ τῆς ἐκ τῶν κυναγχικῶν εἰς τὰς πλευρὰς εἶναι τὸν λόγον. αὕτη γὰρ ἄνωθεν κάτω γίνεται, περὶ ἧς ἀπορῶν προειρήκει, τὰ δὲ ἄνωθεν κάτω οὐ κατ' ἴξιν. ταῦτ' οὖν ἀνθυπενέγκας ἑαυτῷ, μετὰ ταῦτα ἐπιφέρει τὰ κατὰ τὴν ἑξῆς ῥῆσιν οὕτως ἔχοντα.

τίνες φάσιν ὅτι εἰ

A que ab Hippocrate in diversis vel chartis, vel tabulis ejus filium Thessalum collegisse aiunt, duosque hos Libros, secundùm videlicet, atque sextum integrasse, nonnulli & quartum addunt. Primum verò atque tertium, ut ederentur, compositos esse constat. Atque ideo quidam dicunt, si quæ in secundo libro continentur, prius: ea, quæ in sexto, posterius scripta sunt, Hippocratem par est, cum postea abscessum in inferiora non è regione utiliter factum vidisset, ita præsentem sententiam conscripsisse: sin autem hoc loco dubitans, posterius ea de quibus dubitavit, dijudicans, B constanter in secundo de morbis popularibus libro sententiam tulit, illis potius credendum est. In his igitur quæ nunc scribit, atqui & anginæ, rubores, & costarum dolores secundùm rectum, de transmutatione, non ex costarum morbo in anginam, sed ex angina in costarum vitium, sermonem esse intelligendum. Hæc enim à superioribus in inferiora fit, de qua ambigens prædixerat, quæ à superis in inferiora, non secundùm rectum. Hæc itaque cum sibi ipsi objecta subintulisset, postea ea C infert, quæ in sequenti oratione ita se habent.

Σκεπτέον καὶ εἶναι πότερον ἐν τούτοις τὰς κάτω ἥπατος ἀφισταμένοις κατ' ἴξιν ἡ τῆς φύσεως κίνησις διὰ παντὸς σκέπτεσθαι δύναται, οἷον ἐν τούτοις, τοῖς ἐς ὄρχεας, καὶ κιρσοῖς κατακειμένοις, ἢ ἐς ταῦτα τὰ ἐς μήτρας, ἢ τὴν κοιλίαν φερόμενα. τὰς ἀποστάσεις ἐπαινετέρας εἶναι, τὰς κατ' ἴξιν οὔσας.

Considerandum esse an in his quæ infra jecur abscedunt, in directum naturæ motus semper spectari queat; ut in his quæ in testes, aut varices decumbunt, aut in ea quæ per uterum aut alvum feruntur. Eos abscessus laudabiliores esse, qui secundùm directionem sunt.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

Ἢ Καὶ τὰ κάτω τοῦ ἥπατος, ἄνωθεν διαδιδόντα, οἷον, εἰς ὄρχιας, καὶ κιρσοῖς.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ·

Τοῖς κυναγχικοῖς τὰς τῶν πλευρῶν ὀδύνας κατ' ἴξιν γίνεσθαι προειπὼν, ἑξῆς ζητεῖ πότερα καὶ περὶ τῶν εἰς τὰ κάτω τοῦ σώματος ἀποστάσεων ἀεὶ φυλάττεται τὸ κατ' ἴξιν, ἢ οὔ, καθάπερ ἐν τῇ πρὸ ταύτης ῥήσει διηπόρησεν. ἀλλ' ἐκεῖ μὲν ἔφη τὰς εἰς τὰ κάτω τοῦ ἥπατος, ὅρον ὡς ἔοικε τιθέμενος τὸ ἧπαρ τῶν ἄνω τε καὶ κάτω τοῦ σώματος ἁπάντων μορίων. ἔζευκται γὰρ αὐτοῦ τὰ κυρτὰ τῷ διαφράγματι, καὶ διὰ τοῦθ', ὅσα τοῦ ἥπατός ἐστιν ἄνω, ταῦτα καὶ τοῦ διαφράγματος ἄνω τετύχηκεν ὄντα, τὰ κατὰ τὴν καρδίαν δηλονότι, καὶ πνεύμονα, καὶ τὸν ταῦτα περιέχοντα θώρακα, καὶ πολὺ μᾶλλον ἔτι τὰ κατὰ τὸν τράχηλόν τε καὶ κεφαλήν. τὰ δ' ἄλλα πάντα κάτω τοῦ σώματός ἐστι, πρὸς ἄλληλα μέντοι παραβαλλόμενα, καὶ αὐτῶν τῶν ἄνω τὰ μὲν μᾶλλόν ἐστιν ἄνω, τὰ δ' ἧττον. ἔθος δ' ἐστὶν ἡμῖν ἐν τοῖς οὕτω λεγομένοις πᾶσιν, ἐνίοτε, τὸ μὲν ἧττον ἄνω, κάτω λέγειν, ὡς πρὸς τὸ ὑπερκείμενον αὐτοῦ παραβάλλουσι· τὸ δ' ἧττον κάτω, καὶ τοῦτ' ἄνω πρὸς τὰ κάτωθεν αὐτοῦ, καὶ διὰ τὴν ἀμέλειαν τῆς τοιαύτης ἑρμηνείας εἰς ἔθος οὐκ ὀλίγον ἐκτεταμένης, ὁμωνυμία τέ τις γίνεται καὶ ταραχὴ κατὰ τοὺς λόγους, ἧς δὴ μεμνη-

HIPPOCRATIS TEXTUS XVI.

An quæ supernè infra jecur distribuuntur, qualia quæ in testes, & varices decumbunt, hæc quoque spectanda sunt.

GALENI COMMENTARIUS.

Angina laborantibus costarum dolores secundùm rectum fieri præfatus, deinceps quærit, in abscessibus ad inferiora corporis depulsis, semper situs rectitudo servetur, nec ne, E quemadmodum in proximo ante hunc sermonem dubium revocavit. Sed ibi dixit, abscessus, qui ad inferiora; nunc dixit, abscessus infra jecur, superiorum inferiorumque omnium corporis partium, jecur, ut videtur, terminum statuens. Ipsius enim devexum transverso septo adnexum est, quocirca & quæcunque supra jecur sunt, hæc eadem & supra septum extant, cor scilicet, pulmo, & hæc ambiens pectus, adhucque multomagis collum & caput: reliqua omnia in inferioribus corporis esse dicuntur. F Eorum etiam, quæ superius sunt, si inter se conferantur, aliqua magis supra sunt, aliqua minus. Nobis verò est consuetudo in omnibus ita dictis, interdum, quod minus supra est, infra esse dicere, ut ad superius ipso comparantibus: quod autem minus infra est, & id inferioribus comparantes, superiùs esse diximus. Ac propter hujusmodi locutionis incuriam consuetudine longinqua confirmatam, nobis ambiguitas quædam atque confusio in sermoni-

bus oritur, quam memoria complectentes, cum Hippocratem dicentem audiverimus, abscessus in inferioribus corporis partibus obortos meliores esse, considerare debemus, secundùm quem significationis modum, inferius esse, acceperit, simulque membrorum dignitates definiemus. Ideo namque utplurimùm abscessus in superioribus excitati difficiliores sunt, quòd membra illa majus, quam inferiora discrimen afferunt, cum utraque eodem affectu vexata sunt. Sive enim cerebrum, sive guttur, aut gula, aut pulmo, aut pectus, aut cor inflammata sint, mortifera ægritudo, membris infra jecur inflammatis pauci admodum pereunt, potissimum si recta curatio adhibeatur. Quin etiam jecoris ipsius devexum concavo longe periculosius est, & nonnulli ipsum inter superiores corporis totius partes, quemadmodum & os ventriculi, reponunt. Hæc itaque à nobis obiter dicta sint, & si non præter propositum sint: reliquum verò explanationis in propositum sermonem deinceps absolvamus. Quærere namque videtur Hippocrates, utrùm quæ infra jecur ex superioribus delabuntur, ut in testes & varices, è regione fieri melius sit: aut, licet non è regione fiant, superiorum tamen partium vitiis æque auxiliari queant. In nonnullis planè neque an è regione facta sint, dignosci potest: ut quod varices è regione facto abscessu furorem curaverint, neque enim perspicere licet, in dextris-ne cerebri partibus, an in sinistris, affectu oborto, in furorem acti fuerint, quemadmodum neque diutius tussientibus sine lateris dolore abscessus in testiculum fiat. Atqui forsan & in his locis recta oppositio servatur, etsi utra pulmonis, aut cerebri pars affecta sit, haud certo sciamus: quoniam & melancholiam, sanguinis per venas sedis effusio plerumque sanare potest, neque tunc nobis loci passi rectam oppositionem cognoscentibus. Sanguinis quoque ex utero copiosum profluvium multos curare morbos omnibus in aperto est: sed neque hîc an ex dextri uteri venis, an ex sinistri, an ex utroque excretio facta sit agnoscere possumus. In his itaque affectibus cognitu difficilis est, aut omnino ignota languentis membri recta oppositio: in quibus verò ipsam dignoscere licet, & in iis Hippocrates, ut videtur, considerandum esse ait, num semper ex abscessibus ad inferiora transmutatis, meliores illi sint, qui secundùm rectam oppositionem fiunt.

A μένοι, ὅταν ἀκούσωμεν λέγοντος αὐτοῦ τὰς εἰς τὰ κάτω, τῶν ἀποστάσεων ἀμείνους εἶναι, σκέπτεσθαι χρὴ κατά τινα τρόπον χρήσεως εἴρηκε κάτω, μετὰ τοῦ καὶ προσδιορίζεσθαι τὰ τῶν μορίων ἀξιώματα. διὰ τοῦτο γὰρ, ὡς ἐπὶ τὸ πλεῖστον αἱ ἄνω τῶν ἀποστάσεων, εἰσὶ χαλεπώτεραι, διότι κινδυνωδέστερα ταῦτά ἐστι τὰ πάσχοντα τὸ αὐτὸ πάθος, τοῖς κάτωθεν. ἐάν τε γὰρ ἐγκέφαλος, ἐάν τε λάρυγξ, ἢ στόμαχος, ἢ πνεύμων, ἢ θώραξ, ἢ καρδία φλεγμήνῃ, θανατῶδες γίνεται τὸ νόσημα. B τῶν δὲ κάτω τοῦ ἥπατος φλεγμηναίνων, ὀλίγοι πάνυ διαφθείρονται, καὶ μάλιστα ἐὰν ὀρθῶς θεραπεύωνται· καὶ αὐτοῦ δὲ τοῦ ἥπατος τὰ κυρτὰ τῶν σιμῶν πολὺ κινδυνωδέστερα· καί τινες, αὐτὰ τῶν ἄνω μερῶν τοῦ σώματος ὅλου τίθενται, καθάπερ καὶ τῆς γαστρὸς τὸ στόμα. ταῦτα μὲν οὖν ἡμῖν ὡς τὸ πάρεργον εἰρήσθω, καίτοι γ' οὐκ ὄντα πάρεργα. τὸ δὴ ὑπόλοιπον τῆς εἰς τὴν προκειμένην ῥῆσιν ἐξηγήσεως ἐφεξῆς ποιησόμεθα. ζητεῖν γὰρ ἔοικεν ὁ Ἱπποκράτης, ἢ καὶ τὰ κάτω τοῦ ἥπατος ἐκ τῶν ἄνω διαδιδόντα. οἷον τὰ εἰς ὄρχεις, καὶ κιρσοὺς, ἄμεινόν ἐστι γίνεσθαι C κατ' ἴξιν, ἢ κἂν μὴ κατ' ἴξιν γένηται, δύναται βοηθεῖν αὐτοῖς ὁμοίως. ἐπί τινων μὲν οὐδὲ δυνατὸν γνῶναι τὸ κατ' ἴξιν. οἷον ὅτι κιρσοὶ μανίαν ἰάσαντο, κατ' ἴξιν γινομένης τῆς ἀποστάσεως. οὐ γάρ ἐστι διακρῖναι πότερον ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ ἐγκεφάλου τῆς διαθέσεως γινομένης, ἐμάνησαν, ἢ ἐν τοῖς ἀριστεροῖς. ὥσπερ οὐδ' ἂν βηττόντων χρονίως ἄνευ πλευρᾶς ἀλγήματος, ἀπόστασις εἰς ὄρχιν γένηται. καίτοι τάχα κἀπὶ τούτων διαφυλάττεται τὸ κατ' ἴξιν, εἰ καὶ μὴ γινώσκομεν ἡμεῖς βεβαίως ὁπότερον μέρος τοῦ πνεύμονος ἢ τοῦ ἐγκεφάλου πέπονθεν. ἀλλὰ καὶ μελαγχο- D λίαν αἱμοῤῥοῒς ἰάσατο πολλάκις, οὐδ' ἐνταῦθα γινωσκόντων ἡμῶν τὸ κατ' ἴξιν. ὅτι δὲ καὶ διὰ μήτρας αἵματος κένωσις δαψιλὴς πολλὰ τῶν νοσημάτων ἰᾶται, πρόδηλον. ἀλλ' οὐδ' ἐνταῦθα δυνατὸν γνῶναι πότερον διὰ τῶν τῆς δεξιᾶς μήτρας φλεβῶν ἡ ἔκκρισις, ἢ διὰ τῶν τῆς ἀριστερᾶς, ἢ δι' ἀμφοτέρων ἐγένετο. ταύτῃ μὲν οὖν δυσδιάγνωστον ἢ ἄγνωστον ἔχει τὸ κατ' ἴξιν. ἐφ' ὧν δὴ ἐστι διαγνῶναι τὸ κατ' ἴξιν κἀπὶ τούτων ὡς ἔοικεν ὁ Ἱπποκράτης σκεπτέον εἶναί φησιν, ἢ διὰ παντὸς, ἐπὶ τῶν εἰς τὰ κάτω μόρια γινομένων E ἀποστάσεων, ἀμείνους εἰσὶν αἱ κατ' ἴξιν.

In abscessibus tria spectanda esse, quo, unde, & quamobrem.

Κατὰ τὰς ἀποστάσεις τρία σκεπτέα εἶναι, ὅπῃ, καὶ ὅθεν, καὶ διότι.

HIPPOCRATIS TEXTUS XVII.

HÆc animadvertenda, quo, unde, & quamobrem.

F ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

ΣΚεπτέα ταῦτα, ὅπῃ, καὶ ὅθεν, καὶ διὰ τί.

GALENI COMMENTARIUS.

SOlisne ultimis, an in prædictis omnibus de abscessibus tum his qui secundum rectitudinem, tum his qui non è regione decumbunt, hoc illatum sit, abditum est. Quod autem dicit hujusmodi, ipsum est. Considerandus, inquit,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΔηλον εἴ τε μόνοις τοῖς ὑστάτοις, εἴ τε πᾶσι τοῖς προειρημένοις περὶ τῶν κατ' ἴξιν τε καὶ οὐ κατ' ἴξιν ἀποστάσεων ἐπενήνεκται τοῦτο. τὸ δὴ οὖν λεγόμενον αὐτὸ τοιόνδε ἐστίν. ἐπισκέπτεσθαί φησι χρῆναι τότε χωρίον εἰς ὃ ἡ ἀπόστασις

γίνεται. τοῦτο γὰρ ἐκ τοῦ, ὅπῃ σημαίνεται, οὐ μόνον δὲ τοῦτο ἀλλὰ καὶ ἐξ οὗ. καὶ τοῦτο γὰρ ἐκ τοῦ, ὅθεν, δηλοῦται, καὶ πρὸς τούτοις ἔτι τὴν αἰτίαν δι' ἣν ἀπόστασις γίνεται. τοῦτο γὰρ αὖ πάλιν ἐκ τοῦ, διὰ τί, σημαίνεται. χρὴ γὰρ εἰδέναι πότερον ὑπὸ τῆς φύσεως, ἐπὶ πέψει τοῦ νοσήματος, ἢ μεταρρυέντος ἀπέπτως τοῦ λυποῦντος, ἐξ ἑτέρου μέρους εἰς ἕτερον, ἡ ἀπόστασις ἐγένετο. δύναται δέ τις καὶ χωρίζειν ἀπὸ τῶν προειρημένων τὴν ῥῆσιν ταύτην, ἀρχὴν τῶν ἐφεξῆς εἰρημένων ποιεῖσθαι κατὰ τὸν προγεγραμμένον τρόπον.

A locus est, in quem decumbit abscessus. Hoc enim voce, *quo*, significatur. At non solùm hoc, sed etiam pars, ex qua manat consideranda quod per, *unde*, declaratur. Præterea causa qua abscessus oritur spectanda est; hoc etiam rursus ex dictione *quamobrem* significatur. Scire namque oportet, utrum à natura morbi coctione, aut vexante humore incocto ex una parte in alteram transfluente abscessus oboriatur. Potest aliquis hunc textum à prædictis separare, ac deinceps dicendorum initium in præscriptum modum facere. B

Τί κατὰ χλώερασμα λαμπρὸν ἀκούειν προσήκει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

Σκεπτέα ταῦτα ὅπῃ, καὶ ὅθεν, καὶ διὰ τί φλέβες κροτάφων, οὐχ ἱδρυμέναι, οὐδὲ χλώερασμα λαμπρόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἶπον ὅτι καὶ οὕτως δύναταί τις διαιρεῖν τὴν ὅλην ῥῆσιν, ὥσπερ γε καὶ κατ' ἄλλον τινὰ τρόπον τόνδε. φλέβες κροτάφων οὐχ ἱδρυμέναι, οὐδὲ χλώερασμα λαμπρόν, ἢν πνεῦμα ἐγκαταλείπηται, καὶ τὰ ἐφεξῆς. καὶ γὰρ εἰ μὴ τὸ χλώερασμα λαμπρὸν ἐνέκειτο τῷ λόγῳ, δυνατὸν ἦν πολυειδῶς διαιρεῖν ὡς ἂν ὑπομνήματος ὄντος, οὐ συγγράμματος, ἤκουσεν γὰρ ἤδη περὶ τούτου. προσεγκειμένου δὲ καὶ τοῦ, χλώερασμα λαμπρόν, ἔτι καὶ μᾶλλον ἀσαφὴς γίνεται ὁ λόγος. εἴπομεν γὰρ ἤδη ὅτι καὶ τὰς ἄλλας ῥήσεις ἐν αἷς τὸ χλωρὸν ὄνομα γέγραπται, μὴ δύνασθαι γνωσθῆναι σαφῶς, ὁποῖόν τι χρῶμα δηλοῦται δι' αὐτοῦ. καθάπερ οὐδ' εἰ χλόασμα εἴη γεγραμμένον, ὥσπερ ἔνιοι γράφουσιν. ὁρῶμεν γὰρ καὶ νῦν ἔτι καθάπερ κατὰ τὴν Κῶ αὐτὴν τὴν Ἱπποκράτους πατρίδα, καὶ πᾶσαν τὴν ἡμετέραν Ἀσίαν, χλωρὰ μὲν ὀνομαζόμενα καὶ λάχανα, καὶ δένδρα, καὶ φυτὰ τὰ οἷον χλοερά. χλωράζειν τε τὰ κτήνη λέγομεν, τὰ τὴν ἐαρινὴν βοτάνην ἐσθίοντα. λέγουσί γε μὴν καὶ τῶν ἀνθρώπων ἐνίους χλωρούς, οὐκ ἔχοντας ὁμοίαν τῇ χλόῃ τὴν χρόαν, ἀλλὰ μᾶλλον ὠχράν. ἄδηλον οὖν ἐστί, πότερον τὴν ὕπωχρον χρόαν ὁ Ἱπποκράτης ὀνομάζει χλωράν τε καὶ χλοεράν, ὅπερ ὁρᾶται πάνυ πολλοῖς συμβαῖνον, ἢ τὴν χλόῃ παραπλησίαν, ὃ πάνυ σπανίως φαίνεται γινόμενον. οὔσης οὖν ἀσαφοῦς καὶ αὐτῆς ταύτης λέξεως, ἔτι μᾶλλον ἀσάφεια γίνεται προσκειμένου τοῦ, λαμπρόν. ἄπορον γὰρ εὑρεῖν ὅ τί ποτε βούλεται δηλοῦν ἐκ τοῦ γράψαι χλώερασμα λαμπρόν. καὶ διὰ τοῦτ' ἄρα πᾶσαν τὴν τοιαύτην ἀσάφειαν θελήσαντές τινες φυγεῖν τῶν ἐξηγητῶν, ἔγραψαν, οὐ χρῶμα λαμπρόν, ἀκούειν τέ φασι δεῖν ἐπὶ τοῦ κατὰ φύσιν τοῦ κάμνοντος χρώματος τὸ λαμπρόν. οὕτω δὲ καὶ οἱ περὶ τὸν Σαβῖνον διενοήθησαν.

Quid per virorem pellucidum intelligere deceat.

HIPPOCRATIS TEXTUS XVIII.

HÆc consideranda, quo, unde, & quamobrem venæ temporum non firmentur, neque viror pellucidus sit.

C GALENI COMMENTARIUS.

Dicebam & hunc in modum totum sermonem dividi posse, quemadmodum & alio quodam modo, eo videlicet, venæ temporum non firmæ, neque viriditas splendida, si spiritus in ipsis relinquatur, & alia deinceps. Nisi enim viriditas splendida, in oratione interjecta esset, multiformiter dividi posset, quippe quod Commentarius non liber sit: superiùs enim intellexisti de hoc. Hoc autem interjecto, viriditas splendida, adhuc etiam magis D obscura oratio reddita est. Alibi enim etiam superiùs diximus, ubi hæc, *viride*, scripta est, qualisnam per ipsam color significetur, non posse manifestè intelligi, quemadmodum, neque si, *chloasma* scriptum sit, ut nonnulli scribere consueverunt. Videmus enim etiamnum hac tempestate, ut in Co ipsa Hippocratis patria, ita & in tota nostra Asia, viridia quidem appellari olera, & arbores, & stirpes, veluti χλωεᾲ, id est, herbida: & pecudes Græci χλοεᾲ dicunt, quod significet herbas verno tempore pabulari. Dicunt quidem & homines quosdam virides, non quòd herbæ similem co- E lorem habeant, sed potiùs pallidum. Incertum est igitur utrùm Hippocrates subpallidum colorem viridem atque herbaceum dixerit, quod permultis accidere conspicitur: an herbæ coloris similem, quod perraro accidisse visum est. Igitur, quum vox hæc per se obscura sit, adjecta hac dictione, *splendida*, major adhuc obscuritas oritur: difficile nanque est excogitare, quidnam per hæc verba significare voluerit, *viriditas splendida*. Atque idcirco nonnulli Interpretes hanc omnem obscuritatem evitare F cupientes, hoc modo scripserunt, *neque color splendidus*, intelligendumque esse aiunt splendidum de ægrotantis nativo colore: ita quoque & Sabinus opinatus est.

A

Abscessus in articulos decumbentis signa.
Quid tussis sicca, quid ferina.

HIPPOCRATIS TEXTUS XIX.

Venæ temporum non consistentes, neque viror splendidus sit, si spiritus intus deficiat, aut tussis sicca ferina non fuerit, ut in articulos decumbat expectare oportet, plurimumque secundùm distentionum ventris rectitudinem.

GALENI COMMENTARIUS.

Iam dixi & sine prima hujus sermonis parte, istam per se hunc in modum legi posse, si spiritus intus relinquitur, & quæ deinceps scripta sunt. Spiritum verò nunc intelligemus eum, qui quòd naturaliter conveniat, major sit, ut oratio in hunc modum se habeat: Si in morbo aliqui sublevati temporum venas habeant non firmatas, hoc est latius distentas, & non genuinus color sit, ac reliqua deinceps enarrata, istis in articulos abscessus expectandus est. Quæ sequuntur verò hujusmodi sunt, primum quidem hoc, arida tussis, secundùm autem illud, non ferina. Aridam tussim eam, per quam nihil expuitur, appellare mos est. Istud sanè, ita in Libro accuratè composito conscriptum, auctorem ænigmatica locutione gaudere apertè demonstrat: at sibiipsi adumbrationem quandam per Commentarium scribentem nullus jure utique reprehendat; multa enim sic nobis ipsis per quasdam notas designare consuevimus. Forsan igitur & nunc sibi ipsi hæc scripsit Hippocrates de pluribus affectibus sermonem faciens, hoc quidem loco de tussi arida in pulmonem, & costarum inflammationibus: nam & hæc vox, *spiritus*, illis astipulatur; sed superius dicta, quum de iis, quæ in facie contingunt, scriberet, de febribus calidis & perurentibus intelligenda sunt; cæterùm & illa de pectoris, pulmonumque affectibus dicta esse possunt. Integra igitur oratio talis erit; Si diutius unà cum antedictis tusses aridæ sint, abscessum in articulos expectare convenit. Sed conditionem quandam tussibus obscuram adscribens, quæstionem alteram excitavit, quænam sint ferinæ tusses. Nonnulli sanè lumbricos intestinorum, quum ad ostiolum ventriculi repentes ipsum mordeant, aridas tusses excitare aiunt; quod si revera ita accidere compertum foret, nulla prorsus quæstio esset; sed millies absque ulla tussi lumbricos os ventriculi infestantes vidimus. Quocirca plures Explanatores ad alias interpretationes se converterunt; Quidam hanc vocem, ferinæ, de phthisicis dictam esse volentes, quoniam ipsorum ungues, ut ferarum, incurvantur; nonnulli de maligno morbo; in judicatoriis nanque abscessibus, ut crudum, ita & sanabilem esse morbum oportet; concoctus enim citra abscessum solutionem nunciat, perniciosus autem neque ullum judicatorium abscessum fore promittit. At si diutius, & crudus morbus perduret, neque malignus sit, tunc aliquem fore abscessum expectandum est. Quòd autem crudus unà, & malignitate carens diutius mor-

Τὰ τῆς ἀποστήσεως εἰς ἄρθρα κατακειμένης σημεῖα.
τί ἡ βὴξ ξηρά, τί θηριώδης οὔ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Φλέβες κροτάφων οὐχ ἱδρυμέναι, οὐδὲ χλώασμα λαμπρόν, ἢν πνεῦμα ἐγκαταλείπηται, ἡ βὴξ ξηρή, μὴ θηριώδης, εἰς ἄρθρα στηρίζειν προσδέχεσθαι δεῖ καὶ
B ἴξιν τῶν ἐντασίων τῶν κατὰ τὴν κοιλίην, ὡς ἐπὶ τὸ πολύ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἶπον ὅτι καὶ χωρὶς τοῦ πρώτου μέρους τῆς ῥήσεως ἀναγινώσκειν ἐστὶ δυνατὸν αὐτὸ καθ' ἑαυτό, ἢν πνεῦμα ἐγκαταλείπηται, καὶ τὰ ἐφεξῆς αὐτῷ γεγραμμένα. πνεῦμα δὲ δηλονότι νῦν ἀκουσόμεθα τὸ πλέον τοῦ κατὰ φύσιν, ἵν' ὁ λόγος ᾖ τοιοῦτος. ἐὰν ἐν νόσῳ ῥαστωνήσαντές τινες,
C ἔχωσι τάς τε τῶν κροτάφων φλέβας οὐχ ἱδρυμένας, ὅπερ ἐστὶν ἐπὶ πλέον διαστελλομένας, καὶ τὸ χρῶμα μὴ κατὰ φύσιν, ἥ τ' ἀναπνοὴ πλείων ᾖ, καὶ τὰ ἄλλα τὰ ἐφεξῆς εἰρημένα, τούτοις εἰς ἄρθρα τὴν ἀπόστασιν ἔσεσθαι προσδοκᾶν χρή, τὰ δὲ ἐφεξῆς εἰρημένα τάδε ἐστί. πρῶτον μὲν τὸ ξηρὴ βήξ, δεύτερον δὲ τό, μὴ θηριώδης, ἡ μὲν οὖν ξηρὰ βήξ, λέγεται συνήθως ἐφ' ἧς οὐδὲν ἀναπτύεται. τοῦτο δ' οὕτως ῥηθέν, ἐν μὲν συγγράμματι προφανῶς ἐνδείκνυται τὸν γράψαντα χαίρειν αἰνιγματώδει λέξει. τὸν δ' αὐτὸν τινὰ ὑπογραφὴν ἐν ὑπομνήματι πεποιημένον, οὐκ ἄν
D τις μέμψαιτο. πολλὰ γὰρ οὕτως εἰώθαμεν ἡμῖν αὐτοῖς ὑποτυποῦσθαι συμβολικῶς. ἴσως οὖν καὶ νῦν ἑαυτῷ ταῦτ' ἔγραψεν ὁ Ἱπποκράτης, ἐπὶ πλειόνων παθῶν ποιούμενος τὸν λόγον. ἐνταυθοῖ μὲν ἐπὶ τῆς ξηρᾶς βηχός, ἐν περιπνευμονίαις, καὶ πλευρίτισι, καὶ γὰρ καὶ τὸ πνεῦμα τούτοις ὁμολογεῖ. τὰ δ' ἔμπροσθεν ἡνίκα περὶ τῶν κατὰ τὸ πρόσωπον ἔγραφεν ἐπὶ πυρετῶν θερμῶν, καὶ διακαῶν. ἐγχωρεῖ δὲ καὶ περὶ τῶν κατὰ τὸν θώρακα καὶ πνεύμονα λελέχθαι κἀκεῖνα. γενήσεται τοιγαροῦν σύμπας λόγος τοιόσδε. ἐὰν ἐπὶ πλέον ἅμα τοῖς εἰρημένοις αἱ βῆχες ὦσι ξηραί,
E προσδέχεσθαι τὴν ἀπόστασιν εἰς ἄρθρα. διορισμὸν δέ τινα ταῖς βηξὶ προσγράψας ἀσαφῆ, ζήτησιν ἑτέραν εἰργάσατο. τίνες εἰσὶν αἱ θηριώδεις βῆχες. ἔνιοι μὲν οὖν ἐπὶ ταῖς ἕλμινσιν ὅταν ἐπὶ τὸ στόμα τῆς κοιλίας ἀνενεχθεῖσαι δάκνωσι, τὰς βῆχάς φασι γίνεσθαι ξηράς, ὅπερ εἰ ὄντως ἐφαίνετο συμβαῖνον, οὐκ ἂν ἦν ζήτημα. νυνὶ δὲ μυριάκις εἴδομεν ἄνευ βηχῶν ἕλμινθας ἐνοχλούσας τὰ κατὰ τὸ στόμα τῆς γαστρός, καὶ διὰ τοῦθ' οἱ πλείους τῶν ἐξηγητῶν ἐπ' ἄλλας ἐξηγήσεις ἐτράποντο. τινὲς μὲν τὸ θηριῶδες ἐπὶ τῶν φθισικῶν εἰρῆσθαι λέγοντες, ἐπειδὴ γρυποῦνται
F τοὺς ὄνυχας ὥσπερ τὰ θηρία, τινὲς δὲ ἐπὶ κακοήθους. ἐν γὰρ ταῖς κρισίμοις ἀποστάσεσιν ὥσπερ ἄπεπτον εἶναι χρὴ τὴν νόσον, οὕτω καὶ περιεστηκυῖαν. ἥ τε γὰρ πεπεμμένη χωρὶς ἀποστάσεως, ἐπαγγέλλεται τὴν λύσιν, ἥ τε ὀλέθριος, οὐδὲ γενήσεσθαί τινα κρίσιμον ἀπόστασιν. ἐὰν δὲ ἐπὶ πλέον ἄπεπτόν τε διαμένῃ τὸ νόσημα καὶ μὴ κακόηθες ᾖ, προσδέχεσθαι χρὴ γενήσεσθαί τινα ἀπόστασιν. ὅτι δὲ ἀπεπτοῦντι ἅμα καὶ περιεστηκὸς τὸ νόσημα, χρὴ δια-

μβύειν ἄχρι πλείονος, ἵν' ἐλπίσωμβυ ἀπόςασιν ἔσεσθαι, σαφῶς αὐτὸς ἐδήλωσεν ἐν προγνωςικῷ γράψας οὕτως. Ὅσοι δ' αὖ οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πολὺν χρόνον, ἤν τ' ἄλλα ὡς περιεσομβύοισι σημεῖα ᾖ, τούτοισιν ἀπόςασιν δεῖ προσδέχεσθαι εἰς τὰ κάτω τῶν φρενῶν χωρία. γίνεται τοιγαροῦν ὁ σύμπας λόγος τοιοῦτος. ἐὰν ἄπεπτον διαμβύῃ τὸ κατὰ θώρακα καὶ πνεύμονα νοσημάτων τι, καὶ μηδὲν ἔχῃ κακόηθες, ἀπόςασιν χρὴ προσδέχεσθαι. τοῦ δ' ἄπεπτον εἶναι σημεῖον ἡ ξηρὰ βήξ. ἐὰν γὰρ ἀναπτύωσί τι, πέψεως ἐςὶ γνώρισμα. τοῦτο δ' αὖ τὸ ἀναπτυόμβυον, εἰ μὲν ὑγρὸν καὶ λεπτὸν εἴη, μετρίας· εἰ δὲ παχὺ, τελείας. εἴρηται δὲ ἐπὶ πλέον περὶ τούτων ἔν τε τοῖς εἰς τὸ περὶ διαίτης ὀξέων ὑπομνήμασι, κἀν τοῖς περὶ κρίσεων, οὐδὲν ἧττον κἀπὶ τῶν ἐν ταῖς νόσοις καιρῶν. ὃ δ' ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψεν, ἔνθα φησὶ, τῶν ἐντάσεων τῶν κατὰ τὴν κοιλίαν, οἱ πλεῖστοι μὲν τοῖς προειρημβύοις. ἔνιοι δὲ, καὶ καθ' ἑαυτὸ μόνον, ἰδίαν ἔχειν φασὶ τὴν διάνοιαν. ἐὰν μὲν οὖν συνάψαντες αὐτὸ τοῖς προειρημβύοις ἀναγνῶμβυ, ὁ λόγος ἔςαι τοιοῦτος. ὅταν ἐπὶ τοῖς προειρημβύοις ἐλπίσῃς ἀπόςασιν ἔσεσθαι, τὰς κατὰ κοιλίαν ἐντάσεις προσεπίβλεπε. δυνήσῃ γὰρ ἐκ τούτων εὑρεῖν, ἢ εἰς τὸ δεξιὸν μέρος τοῦ σώματος, ἢ εἰς τὸ λαιὸν ἡ ἀπόςασις ἔςαι τοῦ νοσήματος· αἱ γὰρ ἐντάσεις αὗται κατ' ἴξιν ἑαυτῶν ἀγγέλλουσιν ἔσεσθαι τὰς ἀποςάσεις. ἐὰν δὲ πάλιν αὐτό τις ἀναγινώσκῃ τὸ κατ' ἴξιν τῶν κατὰ τὴν κοιλίαν ἐντάσεων, ὁ λόγος ἔςαι τοιοῦτος. ὥσπερ ὅταν ἐπὶ τοῖς ἀναπνευςικοῖς ὀργάνοις πάσχουσιν, ἀπέπτως τε καὶ περιεςηκῶς ἀποςάσεις ὁρῶμβυ γινομβύας, οὕτως κἀπὶ τῶν κατὰ τὴν κοιλίαν, εὑρήσεις συμβαῖνον. ἔσονται δὲ αὗται κατ' ἴξιν τῶν πεπονθότων μορίων.

A bus perseverare debeat, ut abscessum fore sperandum sit, manifestè ipse in Libro de Præsagiis, ita scribens declaravit; Quicunque sanè lotia tenuia, & cruda multum temporis fecerint, sin alia perdurationis signa adsint, in istis abscessum ad partes intersepto inferiores expectare oportet. Erit itaque tota oratio hujusmodi; Si aliquis pectoris, aut pulmonis morbus crudus permaneat, nihilque malignitatis habeat, abscessus expectandus est. Quòd crudus sit, signum est arida tussis; nam si quid expuant, concoctionis indicium est. Id autem quod expuitur, si liquidum, ac tenue sit, mediocris; si crassum, perfectæ concoctionis nota erit. Verum de his & Commentariis Librorum De ratione victus in acutis, & in Libris de judicationibus, uberius disputatum est, neque minus etiam in Libello de quatuor morbi temporibus. Sed quod in calce hujus partis adjecit dicens, distensionum, quæ in ventre, plurimi quidem cum antedictis copulant; nonnulli vero, & per se solum propriam habere sententiam asserunt. Igitur si quidem cum antedictis conjungentes legerimus, sermo talis erit; Quum jam antedictis abscessum fore speraveris, ventris distensiones prætereà conspice: ex his enim comprehendere poteris, utrùm in dextram corporis partem, an in sinistram, morbi abscessus futurus sit; hujusmodi nanque distensiones secundùm ipsarum rectum situm abscessus fore nunciant. Quod si iterum istud per se aliquis legat, secundum earum, quæ in ventre fiunt, distensionum rectum situm, sententia erit; Quemadmodum in spirabilibus instrumentis quodam morbo, & sanabili laborantibus, abscessus fieri cernimus, & in ventris partibus incidere comperies; erunt autem, & ipsi è regione passorum membrorum.

Εν ἀριθμῷ τῶν τῆς ἀποςάσεως ἐς ἄρθρα κατακειμβύης σημείων τοῖς πλείοσι τὸ πρόσωπον τῇ φύσει λευκοχροώτερον πάνυ ἐξέρυθρον εἶναι, καίτοι μηδὲν τι, ἢ ὀλίγον τι τοῦ αἵματος ῥῖνες αἱμορραγέωσι.

Inter abscessus in articulos decumbentis signa, plerisque faciem natura candidiorem impense rubere, licet nihil quicquam aut paucum sanguinis profundatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κʹ.

Ἔχουσι δὲ οὗτοι οἱ πλεῖστοι, καὶ ἐξέρυθρα, καὶ τῇ φύσει τοῦ λευκοχρωτέρου τρόπου, καὶ οὐχ αἱμορραγέουσι ῥῖνες, ἢ σμικρὰ αἱμορραγέουσι.

HIPPOCRATIS TEXTUS XX.

E *Horum autem plerisque qui natura candidioris sunt habitus, etiam facies impense rubet, neque sanguis ex naribus, aut paucus profluit.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ πρόσωπα δηλονότι προσυπακουςέον ἔχειν αὐτοὺς ἐξέρυθρα κατὰ τὰς νόσους, εἶναί τε φύσει τοῦ λευκοχρωτέρου τρόπου. ἐν γὰρ τοῖς πολλοῖς τῶν μελλόντων ἀπόςασίν τινα ἕξειν, ἐν νοσήμασι περιεςηκῶς χρονίζουσι, διαμβύει τὸ πρόσωπον ἐρυθριῶν, καὶ μάλιςα ὅταν ἡ ἀπόσκηψις ἔσεσθαι μέλλοι πρὸς τὰ ὦτα. τίσι δὲ φαίνεται τῶν οὕτως ἐχόντων τὸ πρόσωπον ἐξέρυθρον, ἐδήλωσεν εἰπὼν, εἶναι τοῖς τοιούτοις ἀνθρώποις τοῦ λευκοτέρου τρόπου. τοῖς γὰρ μελαντέροις φύσει, κἂν πλεονάσῃ ποτὲ αἷμα, κατὰ τὸ πρόσωπον οὐ διασημαίνει σαφῶς. ἐν δὲ τοῖς λευκοῖς σώμασι κἀπὶ τῶν ἐκτὸς ὅταν βραχύ τι παρεμπίπτῃ χρόας ἑτεροίας, εὐθέως εὔδηλον γίνεται. τοῦτο μὲν οὖν αὐτὸ προσέγκειται, τὸ δὲ τοῦ λόγου συνεχές ἐςι τοιόνδε, τούτοις ἐξέρυθρον ἔχουσι τὸ

GALENI COMMENTARIUS.

Subintelligendum planè est, ipsos in morbis facies valde rubicundas habere, ac naturaliter albioris esse coloris: siquidem multi in morbis salubriter longis, quum futurus abscessus est, facie diu rubescunt, præcipuéque si secundùm aures excitari debeat. Quibus verò F ita se habentibus facies ita rubescat, declaravit inquiens hujusmodi homines albioris esse coloris: nigrioribus enim natura, etsi nunquam sanguis in facie exuberet, non tamen evidenter apparet: at in alba corpora, & in ista externa quum exiguum quippiam alterius coloris inciderit, statim omnibus conspicuum est. Hoc quidem ipsi adjectum est. Sed orationis continuitas talis fuerit: Istis valde rubentem faciem habentibus, quum salubris ægritudo

perdurat, per abscessus judicationem fore sperandum est, nisi de naribus sanguinis profluvium redundantem sanguinem evacuatione prævertat, qui in aliquem articulum impetum facturus erat. At quibuscunque ita habentibus, aut nihil penitus sanguinis, aut modicum neque morbi magnitudine dignum effluxerit, hunc in modum abscessus eveniunt.

πρόσωπον, ὅταν περιεστηκὸς χρονίζῃ τὸ νόσημα, δι' ἀποστάσεων ἐλπιζέτω κρίσιν γενέσθαι. πλὴν εἰ φθάσειεν αἱμορραγία διὰ ῥινῶν γινομένη, κενῶσαι τὸ μέλλον κατασκήψαι εἴς τι τῶν ἄρθρων περιττὸν αἷμα. ὅσοι δ' οὕτως ἔχοντες ὡς εἶπον, ἢ οὐδὲν ὅλως αἱμορραγοῦσιν, ἢ σμικρά, καὶ οὐκ ἀξία τῆς ὑπερβολῆς τοῦ νοσήματος, οὕτως τὰς ἀποστάσεις ἴσχουσι.

Duplex Galeni explicatio datur propter textus dictionem μέν.

B Διττὴ ἡ τοῦ Γαληνοῦ ἐξήγησις δίδοται διὰ λόγου λέξιν, τὸ μέν.

HIPPOCRATIS TEXTUS XXI.

ET quidem si quid ex his quæ effluunt, intus relinquatur, promptus est ad abscessum morbus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

ΚΗ καὶ ἢν μὲν ῥυέντων, ἐγκαταλείπηται, ἑτοῖμον.

GALENI COMMENTARIUS.

NIsi ea conjunctio, *quidem*, scripta fuisset, perspicua narratio esset. Nam quum dixisset faciem valde rubicundam habentibus non effuso de naribus sanguine, aut pauco effuso, abscessus excitari, meritò subjunxit, si effuso aliquid relinquitur, ad abscessum morbus paratus est. At quoniam ea conjunctio *quidem*, adjecta est, subintelligere præterea convenit, sin autem intus aliquid non relinquitur, abscessus non erit. Non solum autem in commentariis, quos sibi ipsi homines conscribunt, hujusmodi locutiones juvare licet, sed etiam in Libris accuratè scriptis, ut conjunctione, *quidem*, præposita, nihil præterea ipsi respondens subjungatur. Id autem maximè Dioscoridis sectatores animadvertisse novimus; quippe qui se magis quàm alios, grammaticæ peritos esse jactant, & veterem lectionem tuentur, quam omnes Explanatores agnoscunt, & omnes codices retinent. Aut si conjunctio, *quidem*, planè supervacua visa fuisset, ipsam expungere quam in hanc vocem, *non*; convertere maluissent. Hæc enim locutio, etsi non effusis intus relinquitur, paratus est, secum ipsa pugnat, hac voce, intus relinquitur, ea, quæ non in totum, sed ex parte evacuata sunt, significante; ea vero etsi non effusis, contrarium indicante, sicut & hac copiosè fluxisse. Quemadmodum igitur hoc loco, intus relinquitur, dicere non convenit, ita & neque ubi nihil prorsus effluxit. Nam nisi de vexante humore, intus relinqui dictum esse, ut nonnulli voluerunt, acceperimus, isti enim ad morbum orationem referunt, quod in sanguinis parcis effusionibus accidere solet, hæc pars, intus relinquitur, insinuat: Effuso enim sanguine, sed non quantum satis est, imperfectæ morborum judicationes fiunt, in quibus istud, intus relinquitur, dicere conveniens est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C ΗΝ χωρὶς τοῦ, μέν, ἐγέγραπτο συνδέσμου, σαφὴς ἡ λέξις ἦν. εἰρηκὼς γὰρ ὅτι τοῖς ἐξέρυθρον ἔχουσι τὸ πρόσωπον αἱ ἀποστάσεις γίνονται, μὴ ῥυέντος αἵματος ἐκ ῥινός, ἢ σμικροῦ ῥυέντος, εἰκότως δὴ ἐπήνεγκεν, ἐάν, λείπηταί τι ῥυέντος, ἑτοιμόν ἐστι τὸ νόσημα πρὸς ἀπόστασιν. ἐπεὶ δὲ ὁ, μέν, σύνδεσμος πρόσκειται, προσυπακοῦσαι προσῆκεν, ἢν μὴ ἐγκαταλείπηται, οὐκ ἔσται ἡ ἀπόστασις. οὐ μόνον δὲ ἐν τοῖς ὑπομνήμασιν, ἅπερ ἀναγράφουσιν ἑαυτοῖς οἱ ἄνθρωποι, τοιαύτας ἐστὶ λέξεις εὑρεῖν, ἀλλὰ καὶ ἐν συγγράμμασιν, ὡς τοῦ, μέν, συνδέσμου προειρημένου, D μηκέτ' ἀνταποδοθῆναι μηδὲν αὐτῷ, καὶ τοῦτ' ἔγνων μάλιστα τοὺς περὶ τὸν Διοσκορίδην εἰδότας, ἐπεὶ καὶ γραμματικώτεροι τῶν ἄλλων εἶναι προσποιοῦνται, φυλάξαι τὴν παλαιὰν γραφήν, ἣν οἵ τ' ἐξηγηταὶ πάντες ἴσασι, καὶ τὰ ἀντίγραφα πάντ' ἔχουσι. ἢ εἴπερ ἐδόκει περιττὸς ὁ, μέν, σύνδεσμος εἶναι, περιγράφειν αὐτὸν τολμητέον μᾶλλον, οὐ μεταγράφειν εἰς τὸ μή. τὸ γὰρ, καὶ ἢν μὴ ῥυέντων ἐγκαταλείπηται, ἕτοιμον, ἑαυτῷ μάχεται. τοῦ μὲν ἐγκαταλείπηται, τὰ μὴ τελέως, ἀλλ' ἐκ μέρους κενούμενα δηλοῦντος. E τοῦ δὲ καί, ἢν μὴ ῥυέντων, τοὐναντίον ἐμφαίνεται, ὥσπερ καὶ τοῦ, δαψιλῶς ῥυῆναι. καθάπερ οὖν ἐπὶ τούτου, τὸ ἐγκαταλείπηται, λέγειν οὐ προσῆκον, οὕτως οὐδ' ἐφ' οὗ μηδ' ὅλως ἐρρύη. καὶ γὰρ εἰ μὴ ἐπὶ τοῦ λυποῦντος χυμοῦ δεξάμεθα, τὸ, ἐγκαταλείπεσθαι λελέχθαι, καθάπερ ἔνιοι βούλονται, πρὸς τὸ νόσημα μεταφέροντες τὸν λόγον, ὡς ἐν ταῖς ἐλλιπέσιν αἱμορραγίαις, ἐγκαταλείπεται, νοοῦ ἐξῆς. ῥυέντος γὰρ αἵματος, οὐ μὴν αὐτάρκως, ἐλλιπεῖς αἱ κρίσεις γίνονται τῶν νόσων, ἐφ' ὧν προσήκει λέγεσθαι F τὸ, ἐγκαταλείπεσθαι.

A

Τὰ τῶν ἐγκαταλειφθέντων κακῶν σημεῖα δίψα, καὶ στόματος ἐπιξηρασίη, ἀηδίη, καὶ ἀποσιτίη.

Signa reliquiarum affectus remanentium, sitis, oris siccitas, insuavitas, & inappetentia.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβʹ.

Δίψα ἐγκαταλειφθεῖσα, καὶ στόματος ἐπιξηρασίη, καὶ ἀηδίη, καὶ ἀποσιτίη, τοῦτον τὸν λόγον.

HIPPOCRATIS TEXTUS XXII.

Eadem ratione si sitis remaneat, orisque siccitas, & insuavitas, & cibi fastidium.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν τοῦ πυρετοῦ παυσαμένου, μείνῃ τινὰ τῶν συμπτωμάτων, ἐγκαταλείπεσθαί τι λέγεται τῆς νόσου λείψανον. ἐμνημόνευσεν οὖν ὁ Ἱπποκράτης ὡς ἐν παραδείγματι, τῶν κυριώτατα ὑπολειπομένων, δίψης, καὶ στόματος ξηρότητα, καὶ ἀηδίας, καὶ ἀποσιτίας, τουτέστιν ἀνορεξίαν, ὥστε ἐξήγησις αὕτη ἡ ῥῆσίς ἐστι, τοῦ προειρημένου κατὰ τὴν ἔμπροσθεν ῥῆσιν, ἔνθα φησὶ, καὶ τῶν μὲν ῥυέντων ἐγκαταλείπηται. διχῶς γὰρ ἀκούομεν τοῦ, ἐγκαταλείπεσθαι· καθ' ἕνα μὲν τρόπον, ἐπὶ τοῦ νοσοποιοῦντος χυμοῦ, καθ' ἕτερον δὲ, ἐπὶ τῆς νοσώδους διαθέσεως. ἐξηγεῖται οὖν τὰ γνωρίσματα τῆς ἐγκαταλειπομένης διαθέσεως νοσώδους.

GALENI COMMENTARIUS.

B Quando finita febre, altera symptomata remanent, aliquid intus relinqui morbi reliquiarum dicitur. Hippocrates igitur eorum exempli causa meminit, quæ inter remanentia principatum obtinent, sitis videlicet, & oris siccitatis, & insuavitatis, & inappetentiæ, id est, privationis appetitus. Quare hujusmodi sermo id, quod in antecedente comprehensum est, enucleat, ubi aiebat: etsi quidem effusis intus relinquatur. Bifariàm enim intus relinqui intelligimus, uno quidem modo humorem morbi auctorem, altero autem morbosum affectum: nunc morbosi affectus intus relicti signa explanat. C

Οὐ τοὺς ὀξεῖς πυρετοὺς, οἳ ὅτι ταχέως κρίνονται, καὶ δι' ἐκκρίσεων ἴσχουσι τελέαν τὴν λύσιν· ἀλλὰ χρονίζοντες καὶ πολλῇ τῇ φλεβοτομίᾳ μὴ παύονται, δευτέραν ἔκκρισιν ἐποίησεν.

Non acutas febres, quæ quod cito judicentur; & per excretionem perfectam solutionem sortiantur; sed aliàs quæ quòd cunctentur, neque liberali excretione perfectè solvantur, recidivæ sunt abscessuum procreatrices.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγʹ.

Πυρετοὶ δὲ οὐκ ὀξεῖς, οἱ τοιοῦτοι, ὑποστροφώδεες δέ.

D

HIPPOCRATIS TEXTUS XXIII.

Febres autem non acutæ hujusmodi sunt; sed quæ reversiones faciunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τοῦθ' ἕν ἐστι τῶν συντελούντων εἰς τὴν τῶν ἐσομένων ἀποσκημμάτων πρόγνωσιν. οἱ γὰρ ὀξεῖς πυρετοὶ, καὶ ταχέως κρίνονται, καὶ δι' ἐκκρίσεων ἴσχουσι τελέαν τὴν λύσιν. οἱ δ' οὐκ ὀξεῖς καλούμενοι, ὑποστροφώδεες, καὶ χρονίζουσι, καὶ λύσεις ἐλλιπεῖς ποιησάμενοι, μετὰ ταῦτα πάλιν ὑποστρέφουσι, καὶ δευτέραν ἔκκρισιν ἐξ ἀποσκήμματος, ἴσχουσι τελέαν τὴν λύσιν.

GALENI COMMENTARIUS.

Et hoc unum ex iis est, quæ ad futurorum abscessuum præsentionem faciunt: siquidem acutæ febres cito judicantur, & per excretionem ex toto consumuntur: non acutæ autem, quæ revertentes nominantur, & diuturnæ sunt, & imperfectas solutiones habent: postea rursum exoriuntur, & per secundam in E abscessum expulsionem integrè solvuntur.

Τὰ τῶν νοσημάτων ἐγκαταλειπόμενα μετὰ κρίσιν τὰς ὑποστροφὰς ποιεῖν ἐγκαταλιμπανόμενα.

Reliquias morborum post crisin recidivas facere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδʹ.

Τὰ ἐγκαταλειπόμενα μετὰ κρίσιν, ὑποστροφώδεα.

HIPPOCRATIS TEXTUS XXIV.

Quæ post judicationem relinquuntur, recidivas facere consueverunt.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ αὐτὴ ῥῆσις ἤδη κἀν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν γέγραπται, καὶ μετὰ ταύτην ἄλλαι μέχρι τῆς, ὅσοι τριταιοφυεῖς, ἃς ὑπερβησόμεθα διὰ τὸ προεξηγήσασθαι.

GALENI COMMENTARIUS.

Hic idem sermo, & in secundo de morbis popularibus libro scriptus est, & post hunc alii ad eum usque, quæcunque tertianæ naturam habent, quos supra declaratos præteribimus.

Reliquias

HIPPOCRATIS TEXTUS XXV.

Primum itaque lienum tumores, nisi in articulos desinant, vel sanguis à naribus profluat; aut dextri hypochondrii contensio, nisi urinæ exierint, & vias sibi fecerint. Ipsa nanque utrorumque interceptio, horum jure quodam recidivas faciet. In his igitur abscessus procurare convenit, si non fiant; qui vero jam fiunt, declinare, eos autem, qui, quales, & qua oportet prodierunt, recipere. Qui vero non satis prodeunt, eos juvare decet; alios vero prorsus inutiles advertere, & maximè qui futuri sunt, alioqui quum recens cœperint.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε΄.

Τὸ γοῦν πρῶτον σπλὴν αἱ ἐπάρσιες, ἢν μὴ ἐς ἄρθρα τελευτήσῃ, ἢ αἱμορραγίη γένηται, ἢ δεξιοῦ ὑποχονδρίου ἔντασις, ἢν μὴ ἐξοδεύῃ οὖρα. αὕτη γὰρ ἡ ἐγκατάληψις ἀμφοτέρων αἱ ὑποστροφαὶ τουτέων εἰκότως. ἀπόστασιν οὖν ποιέεσθαι αὐτῶν, μὴ γινομένας· τὰς δὲ ἐκκλίνειν γινομένας, τὰς δὲ ἀποδέχεσθαι ἢν ἴωσιν, οἷαι δεῖ, καὶ ᾗ δεῖ. ὁκόσαι δὲ μὴ σφόδρα ξυνδρᾶν, τὰς δὲ ἀποτρέπειν, ἢν πάντῃ ἀξύμφοροι ὦσι. μάλιστα δὲ ταύτας μελλούσας· εἰ δὲ μὴ ἀρχομένας ἄρτι.

COMMENTARIUS NON GALENI.

Deest huic texturæ Hippocratis Galeni Commentarius, quem ad Commentarium in secundum Epidemiorum retulit, ut antea dictum est, ubi eadem fere dictio à Galeno reperitur, ut ipse refert, jam explicata. Constituit autem Hippocrates lienis tumorem, aut, si mavis, hypochondrii sinistri distensionem inter ea quæ in morbis relicta sunt; atque quod solvetur, inquit, per sanguinis eruptiones è naribus, nisi prius in articulos abscessus fiat, vel per distensionem dextri hypochondrii, nisi copiosa urina ab hujusmodi distentione liberaverit. Solent enim humores à liene ad jecur repere, & distensionem in ipso efficere, nisi prævertat sanguinis è naribus eruptio, aut copiosa fluat urina. Nam quæ gibba maximè pars recipit, per urinæ meatus vacuantur. Urina autem copiosa amborum viscerum intercipit redundantias; quæ si non copiosè fluat, causa est reversionis horum. Cætera manifesta conspiciuntur.

HIPPOCRATIS TEXTUS XXVI.

Quæcunque tertianæ naturam habent, his nox ante accessionem molesta est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κς΄.

Ὅσοι τριταιοφυέες, τούτοισιν ἡ νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ.

GALENI COMMENTARIUS.

Quasnam febres tertianæ naturam habentes intelligat, explanatum fuit, semitertianas videlicet & extensas tertianas. In uno enim solo recentiores Medici concordant, dum prædicta vocabula enucleant, in exquisitis scilicet tertianis, quod intra duodecim horarum spatium tertianæ exacerbatio conscribitur, reliquæ autem horæ febre vacant: de methodicorum nanque menstruoso semitertianarum nominis abusu, neque ulla mentio facienda est. At si exquisita tertiana minorem quàm duodecim horarum accessionem habet, cujus accessio quindecim horarum spatio continetur, ea tertiana simpliciter absque ulla adjectione vocabitur, ac si quis accuratius loqui velit, tertiana non exquisita. Atqui si ipse Hippocrates » pronunciavit: Febres, quæcunque non inter» mittentes tertio quoque die vehementiores » evadunt, omnes malæ: quocunque autem » modo intermittant, nullum instare periculum » signum est, omnes tertio quoque die exacerba» tæ, in integritatem autem desinentes, discri» mine vacabunt. Quòd si mentem Hippocratis sequentes has discrimine vacare dixerimus, semitertianam verò ipse non sine discrimine esse cognovit, ex intermittentium numero febris ista non fuerit: Sed febres, quarum integritatis tempus non brevius horis vigintiquatuor est, omnes simpliciter tertianæ vocabuntur: quibus verò integritatis intervallum hoc tempore brevius est, exacerbationes vero longiores, istæ protensæ tertianæ dicuntur. Verùm quum quatuor omnia intervalla sint, omnino ad tria usque

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

\+ Τίνας ποτὲ λέγει τριταιοφυέας, ἐξήγηται. διότι δὲ περὶ τῶν ἡμιτριταίων τε καὶ τῶν παρεκτεταμένων τριταίων. ἓν γὰρ μόνον ὡμολόγηται τοῖς νεωτέροις ἰατροῖς, ἐν τῇ τῶν εἰρημένων ὀνομάτων ἐξηγήσει, τὸ κατὰ τῶν ἀκριβῶν τριταίων, ὡς ἐντὸς τῶν δώδεκα ὡρῶν αὐτὸν περιγράφεσθαι, τὰς δὲ ὑπολοίπους ὥρας, ἀπυρέτους εἶναι. τῆς γὰρ τῶν μεθοδικῶν ἀλλοκότου χρήσεως τοῦ τῶν ἡμιτριταίων ὀνόματος, οὐδὲ μεμνῆσθαι καλόν. εἴπερ δὲ ὁ ἀκριβὴς τριταῖος ἐλάττονα τῶν δώδεκα ὡρῶν ἔχει τὸν παροξυσμόν, ὁ πέντε καὶ δέκα ὥρας παροξυνόμενος, ἅπαντα τὸν ὑπόλοιπον ἔχων χρόνον ἀπύρετον, ὀνομασθήσεται τριταῖος ἁπλῶς ἄνευ προσθήκης. εἰ δὲ βούλοιτό τις ἀκριβολογεῖσθαι, τριταῖος οὐκ ἀκριβής. καὶ εἴπερ αὐτὸς ὁ Ἱπποκράτης εἶπεν, « πυρετοὶ ὁκόσοι μὴ διαλείποντες, διὰ τρίτης ἰσχυ« ρότεροι γίνονται, πάντες κακοί. ὅτῳ δ' ἂν τρόπῳ « διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνον. ἅπαντες οἱ διὰ « τρίτης μὲν παροξυνόμενοι, παυόμενοι δὲ εἰς ἀπυρεξίαν, ἀκίνδυνοι γενήσονται. ἀλλ' εἴπερ ἀκινδύνους τούτους εἶναι φήσομεν ἑπόμενοι τῇ γνώμῃ τοῦ Ἱπποκράτους. οὐκ ἀκίνδυνον δὲ τὸν ἡμιτριταῖον αὐτὸς οἶδεν, οὐκ ἔσται τῶν διαλειπόντων ὁ πυρετὸς οὗτος. ἀλλ' οἱ μὲν οὐκ ἔλαττον τῶν εἰκοσιτεσσάρων ὡρῶν ἔχοντες τὸ τοῦ διαλείμματος, ἅπαντες ἁπλῶς τριταῖοι λεχθήσονται. οἷς δὲ τὸ μὲν διάλειμμα τοῦ χρόνου τούτου βραχύτερον, οἱ δὲ παροξυσμοὶ μακρότεροι, οὗτοι παρεκτεταμένοι τριταῖοι. προσηκόντως δὲ τοὔπιπτον εἰς τὰ τρία διαστήματα, τεττάρων τῶν πάντων

\+ videtur hic comment. sine principio.

διάλειμμα

ὄντων κατὰ τὴν διὰ τρίτης ἡμέρας περίοδον. δύο μὲν γὰρ ἡμέραι, δύο δὲ νύκτες, ἐν τῷ μεταξὺ τῶν δύο παροξυσμῶν γίνονται πᾶσι τοῖς διὰ τρίτης παροξυνομένοις. σπανίως δὴ εὕρεσις τὸν ὑπὲρ τὰ τρία διαστήματα παροξυνόμενον εἰς ἀπυρεξίαν ἀφικνούμενον, ὃν οἱ περὶ τὸν Ἀγαθῖνον εἰώθασι μέγαν ἡμιτριταῖον ὀνομάζειν. ὥσπερ γε μέσον μὲν, ᾧ χρόνος ἴσος γίνεται παροξυσμοῦ τε καὶ διαλείμματος, ᾧ μείων ὁ τοῦ παροξυσμοῦ χρόνος. ᾧ δὴ ἐντὸς τῶν εἰκοσιτεσσάρων ὡρῶν ὁ χρόνος περιγράφεται τοῦ παροξυσμοῦ, μικρὸν ἡμιτριταῖον ὀνομάζουσι τοῦτον, ὥστε οὔτε τριταῖον, οὔτε παρεκτεταμένον ὀνομάζει ποτὲ τριταῖον. εἰ γὰρ ὁ μὲν ἀκριβὴς τριταῖος οὐχ ὑπερβάλλει τὰς δώδεκα ὥρας, ὁ δὴ ὑπὲρ ταύτας εὐθύς ἐστι μακρὸς τριταῖος, οὐδεὶς ἔσται τριταῖος ἁπλῶς. ἔτι δὲ μᾶλλον οὐδ' ἐκτεταμένος τριταῖος, οὐχ ὑπαρχόντων δὲ τούτων, οὐδ' ἀκριβῆ τριταῖον ὀνομάζειν ἀναγκαῖον ἔσται. μηδενὸς γὰρ ἀκριβοῦς ὄντος, ἡ προσθήκη ματαία. πῶς οὖν ὁ Ἱπποκράτης ἀκριβῆ τριταῖον εἴωθε καλεῖν, ἐνὸν ἁπλῶς ὀνομάζειν τριταῖον, εἴπερ οὗτος μόνος ἐστὶ τριταῖος ὁ τῶν δώδεκα ὡρῶν ὀλιγοχρονιώτερον ἔχων τὸν παροξυσμόν. εὔδηλον οὖν ὅτι τοῦτον μὲν ἀκριβῆ καλεῖ, καὶ μᾶλλόν ἐστι τὸν καὶ τὰ ἄλλα ἔχοντα γνωρίσματα τὰ γεγραμμένα πρὸς ἡμῶν ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασιν. ἁπλῶς δὲ τριταῖον τὸν ὑπὲρ τὰς δώδεκα ὥρας ἐκτεταμένον ἔχοντα τὸν παροξυσμόν. ἐὰν δὲ τὰς εἴκοσι τέσσαρας ὑπερβάλλῃ, τριταῖον μακρὸν, ἢ ἐκτεταμένον ὀνομάσομεν τοῦτον. ὅστις δ' αὖ ὑπὲρ τὰ τρία διαστήματα τὸν παροξυσμὸν ἐκτείνῃ, τοῦτον ὀλιγάκις ἂν εὕρεσις εἰς τὴν καλουμένην εἰλικρίνειαν ἀφικνούμενον. οὐ μὴν οὐδ' ἡμιτριταῖον ἤδη καλέσομεν αὐτὸν, ἐὰν μήτε τὰς ἐπαναλήψεις ποιῆται φρικώδεις, μήτε ἐν τῇ ἑτέρᾳ τῶν ἡμερῶν ἕτερον ἔχῃ παροξυσμὸν ἐπαναλήψεως χωρίς. τοῦτον μὲν οὖν ἡμιτριταῖον ὀνομάσομεν· ἐὰν δέ τις διὰ τρίτης παροξύνηται πυρετὸς, οὐδὲ βραχὺ διάλειμμα ποιούμενος ὡς δοκεῖν ἐν αὐτῷ πλησίον εἶναι τὸν κάμνοντα τῆς εἰλικρινοῦς ἀπυρεξίας, τοῦτον ὀξὺν ὀνομάσομεν πυρετὸν, αὐτὸ τοῦθ' ὅπερ ὑπάρχει περὶ αὐτοῦ λέγοντες, ὡς διὰ τρίτης παροξύνεται. μόνος οὖν ἔτι τῶν διὰ τρίτης παροξυνομένων ὀνομασθήσεται τριταιοφυὴς, ὁ πλησίον ἀπυρεξίας ἀφικνούμενος. εἰ δέ τις καὶ τοὺς ἄλλους ἅπαντας ὀξεῖς πυρετοὺς, ὅσοι διὰ τρίτης παροξύνουσι, τριταιοφυεῖς ὀνομάζειν θέλει, δόξει τάχα καὶ αὐτὸς οὐκ ἀλόγως ἐπὶ ταύτην ἀφῖχθαι τὴν δόξαν. οὐ μὴν τῶν γε εἰς ἀπυρεξίαν ληγόντων τινὰ πυρετῶν ὑφ' Ἱπποκράτους, ἡμιτριταῖον ὀνομάζεσθαι συγχωρήσομεν. ἀκίνδυνοι μὲν γὰρ οὗτοι, κινδυνώδης δὲ ἡμιτριταῖος. ἐν τῷ μεταξὺ δ' αὐτῶν εἰσὶν αὐτοὶ τριταιοφυεῖς, οὓς φησι δύσφορον ἔχειν τὴν πρὸ τοῦ παροξυσμοῦ νύκτα. πάντως μὲν γὰρ ἐκείνοις ὑπάρχει τοῦτο. τοῖς δ' ἐκτεταμένοις τριταίοις, οὐ πᾶσιν. ὅπως δὲ μὴ πράγματ' ἔχοιμι, πολλάκις ὑπὲρ τοῦ κατὰ τὸν ἡμιτριταῖον σημαινομένου, καὶ γράφων, καὶ τοῖς πυνθανομένοις ἀποκρινόμενος, ἐν ἰδίᾳ περὶ τούτου ἔγραψα βιβλίον· ἐν μέντοι τοῖς ἀφορισμοῖς χωρὶς τῶν τριταιοφυῶν μνημονεύσας, φησὶν ἁπλῶς ὁ Ἱπποκράτης. » Ὅσοισι δὲ κρίσις γίνεται, τουτέοισιν

A perveniunt secundùm eum, qui tertio quoque die fit, circuitum. Duo nanque dies, duæque noctes, inter duas accessiones interponuntur in omnibus, quam tertio quoque die exacerbantur: raro autem febrem ultra tria intervalla exacerbatam, & ad integritatem finientem reperies: quam Agathinus magnam semitertianam appellare consuevit, quemadmodum illam mediam, cujus accessionis integritatisque tempora æqualia sunt: cujus accessionis tempus brevius est, & cui intra quatuor, & viginti B horarum spatium accessionis tempus concluditur, hunc parvam semitertianam vocat: quare neque tertianam, neque protensam tertianam, unquam nominat. Nam si exacta tertiana duodecim horas non superat, has autem superans illicò longa tertiana est, nulla erit tertiana simpliciter: adhuc vero magis, neque extensa tertiana: quibus haud positis, neque exactam tertianam nominare necesse fuerit: quum nulla enim sit non exacta, adjectio hæc vana erit. Quonam igitur pacto exquisitam ter- C tianam Hippocrates appellare consuevit, quum tertianam simpliciter appellare liceret, siquidem ea sola tertiana est, quæ duodecim horis breviorem accessionem habet? Constat igitur hanc ab eo exquisitam tertianam esse vocatam, adhuc magis eam, quæ & alias notas à nobis in Commentariis de judicationibus scriptas habeat: simpliciter vero tertianam ultra duodecim horas extensam accessionem habentem: quod si quatuor & viginti horas excesserit, tertianam longam, aut extensam hanc appellabimus. Quæ vero ultra tria intervalla D exacerbationem producat, raro in vocatam integritatem desinere invenietur: verùm neque semitertianam statim istam vocabimus, si neque repetitiones horridas faciat, neque altero die accessionem alteram sine repetitione habeat: hanc quidem semitertianam appellabimus. Sed si qua febris tertio quoque die exacerbetur, neque per minimum intervallum, ita mitescat, ut in eo febricitans prope sinceram integritatem esse videatur, hanc acutam febrem nominabimus id ipsum, E quod est, de ipsa dicentes, quod videlicet tertio die exacerbatur. Sola igitur adhuc ex his, quæ tertio die exasperantur, tritæophyes, hoc est tertianæ naturam sapiens, nominabitur, quæ fermè in integritatem remittitur. Si quis vero & alias omnes acutas febres, quæcunque alternis diebus irritantur, tritæophyes nominare velit, forsan & ipse non sine ratione in hanc sententiam descendisse videbitur: non tamen quampiam ex febribus in integritatem desinentibus ab Hippocrate semitertianam vocari concedemus; istæ nanque securæ sunt, semitertiana vero periculosa; F inter quas tritæophyes appellatæ mediæ sunt, quas noctem ante accessionem molestam habere dicit; prorsus enim hoc ipsis proprium est; extensis vero tertianis non omnibus. Cæterum, ut ne molestiâ afficiar sæpius de semitertianæ significato scribens, interrogantibusque respondens, unum hac de re Libellum separatim composui. In libris sane aphorismorum nullam de febribus, tritæophyes, quæ vocantur, mentionem Hippocrates faciens absolutè dixit, Quibuscunque iudicatio fit, his

nox molesta, quæ ante accessionem; subsequens autem, tolerabilior plerunque. Judicationem vero aliqui eam intellexerunt, in qua repentina quædam atque insignis mutatio fit: aliqui simpliciter accessionem significari voluerunt. In omnibus autem fermè tertio quoque die accessionem habentibus febribus, præter exquisitas tertianas, nox ante accessionem revera molesta esse solet. Quod si & in exactis tertianis id nonnunquam eveniat, judicationem sequenti die futuram portendit, potissimumque si & reliqua futuræ judicationis indicia consentiant.

A ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη, ὡς ἐπὶ τὸ πολύ. κρίσιν δή οἱ μὲν ἤκουσαν, ὑφ' ἧς ὀξύρροπός γίνεται μεταβολή τις ἀξιόλογος, οἱ δή, ἁπλῶς τὸν παροξυσμόν. εἴωθε δὲ ὄντως ἡ νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ, γίνεσθαι σχεδὸν ἅπασι τοῖς διὰ τρίτης παροξυνομένοις πυρετοῖς, αὐτῶν τῶν ἀκριβῶν τριταίων. εἰ δέ ποτε κἀπὶ τούτων γένηται, κρίσιν ἔσεσθαι σημαίνει κατὰ τὴν ἐπιοῦσαν ἡμέραν, καὶ μάλιστ' εἰ καὶ τὰ ἄλλα σημεῖα τοῦ γενήσεσθαι τὴν κρίσιν, ὁμολογεῖ.
B

HIPPOCRATIS TEXTUS XXVII.

TVsses aridæ parum irritantes in febribus ardentibus, etsi non secundùm proportionem siticulosæ, neque linguæ valde torrefactæ, non ferino; sed spiritu: Constat autem: Quando enim loquuntur, aut os hiat, tunc tussiunt. Quando non loquuntur, neque hiant, non tussiunt: hoc vero in febribus laboriosis maximè evenit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

Βῆχες ξηραὶ, βραχέα ἐρεθίζουσαι, ἐν πυρετοῖσι καυσώδεσι, κἂν οὐ κατὰ λόγον διψώδεες, οὐδὲ γλῶσσαι καταπεφρυγμέναι, οὐ τῷ θηριώδει, ἀλλά τῷ πνεύματι, δῆλον δέ. ὅταν γὰρ διαλέγωνται, ἢ χάσκωσι,
C τό τε βήσσουσιν· ὅταν δὲ μὴ, οὔ. τοῦτο δή ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι μάλιστα γίνεται.

GALENI COMMENTARIUS.

ET in aphorismis de iisdem hoc pacto scripsit: Quoscunque diutius tusses aridæ parum irritant in febribus ardentibus, non admodum siticulosi sunt. Id igitur, non admodum siticulosi, id significat, quod non secundum proportionem siticulosi: In ardentibus nanque febribus sine arida tussi magnopere sitiunt: quod si tussis arida accedat, siti quidem carere non possunt, sed ipsorum sitis acrimonia retunditur, ut aliquantum planè, sed non secundum febris magnitudinem sitiant. Illud autem, parum irritantes tusses excitari, non frustra adjicitur: nam vehementes si fiant, pectoris, pulmonisque partes calefaciunt, atque inde febrem, sitimque adaugent, ac, si pusillæ tusses sint, & per longiora intervalla excitentur, tantisper membra commovent, dum in ipsa humor aliquis delabatur, atque ita evenit neque tusses vehementer agitare, neque febrem accendere, humoreque particulas irrigare, ad ipsas modica tussi commotas defluente, propter quem laborantes minus siticulosi reddentur. Siccis autem tussibus ex aliqua etiam morbi malignitate nascentibus, quam deinceps qualis nam sit dicam, ab eis has, de quibus tunc loquitur, distinguens, ait, non ferino, sed spiritu. Aliqui verò simpliciter ipsum omnem malignitatem, ferinum, vocare arbitrantur; sed alii quidem phthisim, quoniam curvescentibus unguibus feris, quantum ad hoc attinet, similes esse videntur; alii verò, cum in os ventriculi lumbrici ascenderint, tunc ipsos tusses excitare aiunt, neque tamen ratione hoc, neque experientia demonstrare possunt. Ferinum igitur satius est malignum intelligere, sive ex capite humore destillante, sive ex alicujus spirabilium viscerum ulcere, sive ex aliquo in iisdem orto abscessu, sive ob ea, quæ vocantur empyemata, tussiant: aliæ verò tusses sunt ab eis diversæ .·. ·.· quæ malignæ non sunt, aut ex instrumentorum

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ κατὰ τοὺς ἀφορισμοὺς ἔγραψεν περὶ τῶν αὐτῶν ὧδέ πως. Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ, βραχὺ ἐρεθίζουσιν ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεές εἰσι. τὸ τοίνυν, οὐ πάνυ τι διψώδεες, ἴσον δύναται τῷ, οὐ κατὰ λόγον
D διψώδεες. ἐν γὰρ τοῖς καυσώδεσι πυρετοῖς αὐτῶν ξηρᾶς βηχὸς, ἰσχυρῶς γίνονται διψώδεις. ἐὰν δὲ προσγένηται ξηρὰ βὴξ, ἄδιψοι μὲν οὐ δύνανται γενέσθαι. θραύεται δ' αὐτῶν τὸ σφοδρὸν τοῦ δίψους, ὡς διψῆν μὲν ἔτι, μὴ μέντοι κατὰ τὴν ἀναλογίαν τοῦ πυρετοῦ. τὸ δ' ἐρεθιζούσας βραχέα γίνεσθαι τὰς βῆχας, οὐκ ἀργῶς πρόσκειται. σφοδραὶ γὰρ γινόμεναι, διαθερμαίνουσι τά κατὰ θώρακα καὶ πνεύμονα μόρια. κἀκ τούτου τόν γε πυρετὸν ἐπαύξουσι, καὶ τὴν δίψαν. μικραὶ δ' εἰ γὰρ εἶεν αἱ βῆχες ἐκ διαλειμμάτων τε μακροτέρων γινόμεναι, μέχρι τοσούτου κινοῦσι τὰ μόρια, μέχρι τοῦ παραγενέσθαι τινὰ εἰς αὐτὰ ὑγρότητα· καὶ οὕτω συμβήσεται, μήτε ταράττειν αὐτὰς ἰσχυρῶς,
E μήτε ἐξάπτειν τὸν πυρετὸν, ὑγρότητά τε παρέχειν τοῖς μορίοις, πρὸς τὰ κινούμενα κατὰ τὰς βῆχας ἀφικνουμένην μετρίας, δι' ἣν οἱ κάμνοντες ἀδιψότεροι γενήσονται. γινομένων δὲ βηχῶν, καὶ διά τινα κακοήθειαν τοῦ νοσήματος, ἣν ἐφεξῆς ὁποία τίς ἐστιν ἐρῶ, ταύτης ἀφορίζων τὰς ἐν τῷ νῦν λόγῳ βῆχας, οὐ τῷ θηριώδει φησὶν αὐτὰς, ἀλλὰ τῷ πνεύματι γίνεσθαι. τινὲς δή οὐχ ἁπλῶς τὸ κακόηθες ἅπαν ἡγοῦνται λέγειν αὐτὸν θηριῶδες, ἀλλ' ἔνιοι μὲν, τὴν φθίσιν. ἐπὶ γὰρ γρυπουμένων τῶν ὀνύχων, θηρίοις, κατά γε τοῦτο, ἐοικότες φαίνονται.
F τινὲς δὲ θηρίωμα καλεῖσθαί φασιν ἰδίως τὸ ἐν τῷ πνεύμονι ἕλκος. ἔνιοι δ' ὅταν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ἀνέλθωσιν ἕλμινθες, ἐρεθίζειν αὐτὰς φασὶ βῆχας, μήτε λόγῳ τοῦτο ἀποδεῖξαι δυνάμενοι, μήτε τῇ πείρᾳ. τὸ κακόηθες οὖν, ἄμεινον ἀκούειν θηριῶδες, ἐάν τε ἀπὸ κεφαλῆς καταφερομένου ῥεύματος βήττωσιν, ἐάν τε ἐφ' ἕλκει τῶν κατά τι τῶν ἀναπνευστικῶν, ἢ τοῖς κατὰ ταῦτα γινομένοις ἀποστήμασιν, ἐάν τε ἐπὶ τοῖς καλουμένοις ἐμπυήμασιν. ἕτεραι δὲ τούτων εἰσὶν αἱ κακόηθες οὐκ ἔχου-

σαι, διὰ δυσκρασίαν τῶν ἀναπνευστικῶν ὀργάνων, ἢ τραχύτητα τοῦ φάρυγγος, ἢ τῆς τραχείας ἀρτηρίας ἀποτελούμενα, ποτὲ μὲν ἐξ ἐδεσμάτων, ἢ πομάτων τραχυνόντων, ἐνίοτε δὲ κατὰ τὴν τοῦ περιέχοντος ἀέρος. ἐν γοῦν ἀφορισμοῖς αὐτὸς ἔγραψεν. » Ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκλη- » ραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. Ὁ γὰρ εἰσπνεόμενος ἀὴρ, ὅταν ἱκανῶς ᾖ ψυχρὸς, ἐνίοτε μὲν τὰ κατὰ τὴν φάρυγγά τε καὶ τὴν τραχεῖαν ἀρτηρίαν μόρια τραχύνει τε καὶ καταψύχει, ποτὲ δὲ καὶ τῷ πνεύμονι παντὶ, καὶ τῷ θώρακι δυσκρασίαν ἐργάζεται· πολλάκις δὲ ἀμφότερα τὰ εἰρημένα συμπίπτει, καὶ βήσσουσι μετρίας ἐπ' αὐτοῖς βῆχας ξηράς. σημεῖον δὲ τοῦ οὕτως ἐχόντων ἐστὶ τὸ ἐρεθίζεσθαι κατὰ τὰς εἰσπνοάς. ὅταν ἀθρόως δ' ἐμπίπτῃ διαλεγομένοις τε καὶ χάσκουσι, καὶ διὰ τοῦ στόματος εἰσπνέουσιν. ὅταν δὲ διά τε τῶν ῥινῶν εἰσπνέωσι, καὶ θερμὸν τὸν ἔξωθεν ἀέρα κατὰ τὸν οἶκον αὐτῶν ἐργάσηταί τις, ἢ παντάπασιν ἐλάχιστα βήσσουσιν, ἢ οὐδ' ὅλως, διὸ καὶ περὶ τὴν ῥῖνα ὀθόνιον ἔνιοι περιθέντες οὕτως εἰσπνέουσι, πεπειραμένοι παροξύνεσθαι τὰς βῆχας, ὅταν ἀθρόως ὁ ψυχρὸς ὁ ἔξωθεν ἀὴρ ὁμιλεῖ τοῖς προκαταψυγμένοις τε καὶ τετραχυσμένοις μορίοις· μάλιστα δέ φησιν ἐν τοῖς κοπιώδεσι πυρετοῖς τοῦτο γίνεσθαι. τίνας δὲ κοπιώδεις ὀνομάζει πυρετοὺς, ἄδηλον. ἆρά γε τοὺς διὰ τὰς σφοδρὰς κινήσεις γινομένους, ἢ κἂν αὐτόματοι συστῶσι, τὴν κοπιώδη φέροντας αἴσθησιν. τὰς μὲν δὴ τοιαύτας σχεδὸν οὐδὲ παραφυλάττει τις ἰατρὸς, οὔτε τῶν νῦν ὄντων, οὔτε τῶν ἔμπροσθεν γεγονότων, καίτοι παράδειγμα τῶν Ἱπποκράτους ἔχοντες ἀκριβειῶν, ἢ ἐχρῆν μιμεῖσθαι, τοὺς ἀλήθειαν ἀντιποιουμένους αὐτῆς δι' ἑαυτὴν, οὐ διὰ δόξαν, ἢ χρηματισμόν. ἐγὼ δὲ οὖν ἐννοήσας ἄμεινον εἶναι τῇ πείρᾳ βασανίσαι τὸ λεγόμενον. τοῖς μὲν ἀπὸ τῶν ἔξωθεν πόνων κοπιώδεσι πυρετοῖς, εἶδον ἐπιγινόμενα τοιαῦτα βηχία. τοῖς δ' ἄλλοις οὐ πάντως τι, καὶ αὐτοῖς δὲ τοῖς διὰ τοὺς ἔξωθεν πόνους οὐχ ἁπλῶς, ἀλλὰ τοῖσγε ἐν κρύει κάμνουσι, καὶ τοῖς ἐν θάλπει σφοδρῷ, καὶ μάλιστα δι' ὁδοῦ κόνιν ἐχούσης, ὥστε καὶ κατὰ συμβεβηκός τι μᾶλλον, οὐ διὰ τὴν κοπιώδη διάθεσιν ἐφαίνοντό μοι βήττειν. τῷ γὰρ τραχυνθῆναι τὰ περὶ τὴν φάρυγγα χωρία, διὰ κρύος ὡς ἔφην, ἢ κόνιν, ἢ τὴν ἐκ τοῦ περιέχοντος αὐτοῖς ἐγγινομένην ἄμετρον ξηρότητα, καὶ πρὸς τούτοις ἔτι, διὰ τὴν δυσκρασίαν τῶν αὐτῶν ὀργάνων, οὗτοι βήττουσιν. ἐμάθετε γὰρ ὅτι καὶ διὰ δυσκρασίαν γίνονται βῆχες.

A spirabilium intemperie, aut faucium, arteriæve asperitate obortæ, nonnunquam etiam ex alimentis, potionibusve exasperantibus, aliàs verò & ex ambientis aëris qualitate concitatæ. In aphorismis enim ipse scripsit: Si verò aquilonia tempestas fuerit, tusses, fauces, ventres duri, difficultates urinæ, horridi, dolores costarum, pectorum. Aër namque admodum frigidus inspiratus interdum faucium, asperæque arteriæ loca exasperat atque refrigerat, nonnunquam & toti pulmoni, pectorique intemperiem affert, sæpius verò & ambo hæc contingunt, modiceque ex his aridâ tussiculâ vexantur. B Quod hæc ita se habeant, signum est, ipsos cum spiritum attrahunt ad tussim provocari, cum multus simul aër ipsis loquentibus, & hiantibus, & ore spiritum ducentibus, intraverit, sed cum per nares attrahunt, & aërem externum quispiam in ædibus ipsorum calefecerit, tunc aut omnino parum, aut nequaquam tussiunt. Quocirca & ob nares quidam panniculum ponentes, ita inspirant, exacerbari tussim experti, cum aër externus frigidus multus simul membris prius refrigeratis atque exasperatis obvius fiat. C Maxime autem laboriosis febribus id accidere inquit: quas autem laboriosas febres vocet, ignotum est, num eas quæ ex vehementibus motionibus accenduntur: an eas quæ sponte lassitudinis sensum inferentes exoriuntur: Hujusmodi sanè differentias nullus fere aut nostræ tempestatis medicus, aut antiquus observat, etsi exemplum Hippocraticæ habeant, quam imitari eos deceret, qui veritatem ipsam propter se, non gloriæ aut lucri causa, consequi student. Ego verò, quod dictum est, experientia examinare satius esse animadverti. D Laboriosis quidem febribus ab externis fatigationibus ortis hujusmodi tussiculas accidere conspexi, aliis verò non omnino. Quin & ipsis febribus ab externis laboribus ortis non simpliciter, sed per frigus aut vehementem æstum, & maxime in via pulverulenta laborantibus. Quamobrem & ex accidente quodam potius, quàm ex laborioso affectu, tussire mihi videbantur. Nam propterea, quod faucium loca, ob frigus (ut dixi) aut pulverem, aut immodicam ariditatem ipsis ab aëre circunfuso genitam, exasperata sint, ad hæc etiam E propter ipsorum instrumentorum intemperiem, isti tussi divexantur: siquidem & propter intemperiem tusses existere alibi didicistis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

Μηδὲν ὑπερορᾶν, μηδὲν εἰκῇ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο μὲν καὶ αὐτὸ καθ' ἑαυτὸ λεγόμενόν τε καὶ γραφόμενον, οὐδὲν δεῖται πρὸς πίστιν ἢ νόησιν ἑτέρων, ἤτοι προειρημένων, ἢ ἐπιφερομένων. ἐνταυθοῖ μέντοι καὶ πάντως προσηκόντως ἐπὶ τῷ προκειμένῳ τέτακται. τὰ γὰρ τοιαῦτα θεωρήματα σμικρὰ, καὶ λεπτὰ, καὶ οὐδενὸς ἄξια φαίνεται τοῖς πολλοῖς, καὶ διὰ τοῦτο ὑπερορῶσιν αὐτῶν, ὥστε μὴ τῷ λόγῳ σκέπτεσθαι, μήτε τῇ πείρᾳ περὶ φύσεως τοιούτων πραγμάτων. ὥσπερ δὲ τὸ μηδὲν

HIPPOCRATIS TEXTUS XXVIII.

Nihil contemnere, nihil temere.

GALENI COMMENTARIUS.

F Id quidem & ipsum per se dictum & scriptum nullo alio ex prædictis, aut ex subsequentibus indiget ut intelligatur, aut ipsi fides adhibeatur; hoc verò loco omnino apposite ad id, de quo agitur, hæc sententia collocata est. Hujusmodi namque præcepta plerisque exigua, vilia, nulloque pretio digna videntur, atque propterea ab ipsis contemnuntur, ut neque ratione, neque experientia, harum rerum naturam contemplentur. Quemadmodum verò, quod nihil

despicere oporteat, prædictus sermo exemplum est, ita etiam quod nihil temere, nihil inconsiderate affirmandum sit, ut ego ipse in oratione, quæ ante hanc est, & in aliis omnibus feci. Neque id in Hippocratis solum scriptis, sed & in aliis omnibus Antiquorum Libris observo, ut non temere, quæ quisque ipsorum dixerit, approbem: sed experientia, & ratione, verumne, an falsum sit, quod scripserunt, examino. At, qui se unius auctoris doctrinæ veluti servos, aut libertinos addixerunt; simulatque ab eo scriptum aliquod invenerunt, inconsiderate, ac temere credunt: Ut in hoc dicto maxime, laboriosis febribus aridas tusses excitari, neque in quibus laboriosis id fieret, quæsiverunt: numquid ab fatigationibus, & externa vexatione, an & citra hæc eundem affectum habentibus, neque utrum simpliciter, an ex accidenti lassitudo ipsis evenerit. Quod verò in his, id etiam in aliis infinitis contingere sciatis, & ipsis, qui libros conscripserunt, & iis, qui eos interpretati sunt, & adhuc multo magis illis medicis, qui quotidie in civitatibus circumcursant, sola irrationabili exercitatione utentes. Multa enim isti velut exigua despiciunt, nescientes multis interdum exiguis conjunctis unam ex ipsis summam haud contemnendam integrari, temereque alicujus viri scriptis assentiunt, cui ipse seipsum unusquisque servum tradiderit. Sin autem quis id non fecerit, at alio certè modo ei nonnumquam, quod primo imaginationis captu verisimile visum fuerit absque longioris temporis, & per se, & unà cum aliis contemplatione assentiens, rem raro visam, perinde ac si plerumque, aut assidue conspiceretur, temere celebrat. Atqui sectarum dissidia hinc maxime orta esse par est, hominibus sapientiæ opinionem affectantibus, sibique nimium tribuentibus, quæ verisimilia visa fuerint, non sæpius unà cum multis considerata, vera esse credentibus. Quemadmodum verò nunc de significativo præcepto exempli loco sermonem fecimus, ita quoque in curativis nullum eorum, quæ pusilla esse videantur, spernendum est, neque temere atque inexplorate dictis ipsorum facultatibus credendum, ut in Libris de methodo curandi præcepimus.

A δεῖν ὑπερορᾶν, παράδειγμά ἐστιν ὁ προειρημένος λόγος, οὕτω καὶ τοῦ μηδὲν προπετῶς, μηδὲ ἀπερισκέπτως συγκατατίθεσθαι, καθάπερ αὐτὸς ἐγὼ κατ᾽ αὐτὴν τὴν πρὸ ταύτης ῥῆσιν ἐπέδειξα, κἀν ταῖς ἄλλαις ἁπάσαις. οὐ γὰρ Ἱπποκράτους μόνον, ἀλλὰ κἀν τοῖς ἄλλοις παλαιοῖς, οὐχ ἁπλῶς οἷς ἂν εἴποι τις αὐτῶν πιστεύω. βασανίζω δὲ καὶ αὐτοὺς τῇ τε πείρᾳ, καὶ τῷ λόγῳ, πότερον ἀληθές ἐστιν, ἢ ψεῦδος ὃ γεγράφασιν. ὅσοι δ᾽ ἂν πρὸς ἑνὸς, ἑαυτοὺς, ἤτοι δούλους, ἢ ἐξελευθέρους ἀπεφήναντο, εὐθέως ἅμα τῷ γε-
B γραμμένον εὑρεῖν τι παρ᾽ αὐτῷ, πιστεύουσιν ἀπερισκέπτως τε, καὶ εἰκῇ. καθάπερ καὶ ἐπὶ τοῦ μάλιστα, καὶ τοῖς κοπιώδεσι ξηρὰς γίνεσθαι βῆχας, οὔτε ὁποίοις κοπιώδεσιν εἶπεν, ἐζήτησαν. ἆρά γε τοῖς ἀπὸ καμάτου τε καὶ τῆς ἔξωθεν ταλαιπωρίας, ἢ καὶ τοῖς χωρὶς τούτων ἴσχουσι τὴν αὐτὴν διάθεσιν, οὔτε πότερον ἁπλῶς, ἢ καὶ κατὰ συμβεβηκὸς ὁ κόπος αὐτοῖς ἐγένετο. ὥσπερ δὲ ἐπὶ τούτων, τοῦτο κἀπὶ μυρίων ἄλλων ἴσθι συμβαῖνον, αὐτοῖς τε τοῖς τὰ συγγράμματα γράψασι, καὶ τοῖς ἐξηγησαμένοις αὐτὰ, καὶ πολὺ μᾶλλον ἔτι τούτου τοῖς ὁσημέραι
C περιτρέχουσιν ἐν ταῖς πόλεσιν ἰατροῖς, ἀλόγῳ τριβῇ μόνῃ χρωμένοις. καὶ γὰρ ὑπερορῶσι πολλῶν ὡς μικρῶν, οὐκ εἰδότες ὅτι πολλῶν ἐνίοτε σμικρῶν συνερχομένων, ἕν δέ τι αὐτῶν κεφάλαιον ἀξιόλογον ἀθροίζεται, προπετῶς τε συγκατατίθενται τοῖς γεγραμμένοις ὑπό τινος ἀνδρὸς, οὗπερ δὴ αὐτὸς ἑαυτὸν ἕκαστος ἀποφήνῃ δοῦλον. εἰ δὲ μὴ τοῦτό τις ποιήσειεν, ἀλλὰ κατ᾽ ἕτερόν γε τρόπον ἐνίοτε τῷ φανέντι πιθανῷ κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς φαντασίας συγκατατιθέμενος, ἄνευ τοῦ χρόνῳ πολλῷ σκέψασθαι, καθ᾽ ἑαυτόν τε καὶ μετ᾽ ἄλλων ἀπεφήνατο προπετῶς ὑπὲρ τοῦ
D σπανίως ὀφθέντος, ὡς πολλάκις, ἢ διηνεκῶς φαινομένου· καὶ ταί γε ἐν ταῖς αἱρέσεσι διαφωνίαι ἐντεῦθεν εἰκὸς μάλιστα γεγονέναι, δοξοσόφων τε καὶ φιλαύτων ἀνθρώπων τὰ πιθανὰ, χωρὶς τοῦ μετὰ πολλῶν πολλάκις ἀνασκέψασθαι, πιστευσάντων ὑπάρχειν ἀληθῆ. καθάπερ δὲ νῦν ἐπὶ σημειωτικοῦ θεωρήματος ὡς ἐπὶ παραδείγματος ἐποιήσαμεν τὸν λόγον, οὕτω κἀπὶ τῆς θεραπευτικῆς, οὐχ ὑπερορᾶν τινὸς χρὴ τῶν δοκούντων εἶναι μικρῶν, οὔτ᾽ εἰκῇ καὶ ἀβασανίστως πιστεύειν ταῖς εἰρημέναις αὐτῶν δυνάμεσιν, ὡς ἐν τῇ θεραπευτικῇ πραγματείᾳ μεμαθήκαμεν.

E

HIPPOCRATIS TEXTUS XXIX.

Per adjectionem contraria adhibere, & interquiescere.

GALENI COMMENTARIUS.

Curativum consilium, atque salubre hoc tibi appellare licet, Hippocratemque illud, quod prius dixerat, nihil negligere, & nihil temere, in hoc sermone, veluti exemplo, declarare. Consuetudines igitur, ut rem pusillam nonnulli medicorum despiciunt, nullam ab ipsis indicationem, quæ medelam commutet, oriri arbitrantes. At alii non contemnunt quidem, à pravis verò consuetudinibus quosdam ad contrarias repente traducere conantes non modico errore tenentur, quandoquidem neque ipsas negligere, neque statim traducere convenit; sed paulatim, & ipsos interquiescere

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ΄.

Ἐκ προσαγωγῆς, τἀναντία προσάγειν, καὶ διαναπαύειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θεραπευτικὴν συμβουλὴν καλεῖν ἔξεστι ταύτην, καὶ ὑγιεινὴν αὐτὴν ἐπιδεικνύναι, τό τε μηδὲν ὑπερορᾶν,
F καὶ τὸ μηδὲν εἰκῇ, καθάπερ ἐπὶ παραδείγματός τινος τούτου τοῦ λόγου. τῶν γοῦν ἐθῶν, ὡς μικροῦ παραδείγματος ὑπερορῶσιν ἔνιοι τῶν ἰατρῶν, μηδεμίαν ἀπ᾽ αὐτῶν ἔνδειξιν εἰς διαφορὰν θεραπείας ἡγούμενοι γίνεσθαι. τινὲς δ᾽ οὐχ ὑπερορῶσι μὲν, ἀπὸ δὲ μοχθηρῶν ἐθῶν ἐνίους ἐπὶ τὰ ἐναντία μετάγειν ἐπιχειροῦντες ἀθρόως, οὐ σμικρὰ σφάλλονται. χρὴ δὲ οὔτε ὑπερορᾶν αὐτῶν, οὔτ᾽ ἀθρόως μετάγειν, ἀλλὰ καὶ κατὰ βραχὺ, καὶ μετὰ τοῦ διαναπαύειν

αὖθις. διττῶς δέ ἐστι τοῦ, διαναπαύειν, ῥήματος ἀκοῦσαι. καθ' ἕνα μὲν τρόπον, ἵνα μὴ μόνον, τοὐναντίον ἔθος κατὰ βραχὺ μετάγωμέν τινας, ἀλλὰ καὶ μεταξὺ διαναπαύωμεν ὅλην τὴν μεταβολήν. οἷον ὅταν ἐξ ἀργίας ἄγωμεν εἰς τὰ γυμνάσια, πρῶτον μὲν ἀπὸ τῶν βραχυτάτων ἀρξόμεθα, καὶ κατὰ βραχὺ ταῦτα παραυξήσομεν, εἶτα παραβαλοῦμέν ποτε μίαν, ἢ καὶ δύο ἡμέρας ἀργαί. καθ' ἕτερον δὲ τρόπον ἐστὶ ἀκοῦσαι τοῦ διαναπαύειν, ὡς ἀντιδιῃρημένου τῷ προσάγειν. ἵν' ἐφ' ὧν μὲν, οὐκ ὂν ἔμπροσθεν ἔθος ἐμποιῆσαι βουλόμεθα, προσάγωμεν αὐτὸ κατ' ὀλίγον. ἐφ' ὧν δὲ τὸ πρότερον ὑπάρχον, καταλῦσαι, κατὰ βραχὺ πάλιν ἐπὶ τούτων ἀναπαύωμεν.

A permittendo. Bifariàm autem verbum, *interquiescere*, intelligere possumus: Uno quidem modo, ut non solùm in contrariam consuetudinem paulatim aliquos transferamus, sed & antequam universa mutatio facta sit, inter mutandum quiescamus, ut quando ex ocio ad exercitationes convertimus, primum quidem à brevissimis incipiemus; atque paulatim has adaugebimus, deinde nonnunquam unum vel etiam duos ociosos dies interponemus: Altero modo hæc vox, *interquiescere*, intelligenda est, tanquam illi verbo, *adhibere*, contraria sit: ut in
B quos, quæ prius haud inerat, consuetudinem inducere volumus, ipsam paulatim inducamus: à quibus verò prius servatam removere, paulatim rursum, & istos quiescere, hoc est, desinere jubeamus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

Τῷ ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα, ὠφέλησεν.

HIPPOCRATIS TEXTUS XXX.

Posteriora capitis dolentem in fronte recta vena incisa juvit.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙ παλαιότεροι τῶν ἐξηγητῶν, ὠφέλησεν, ἐπὶ παρεληλυθότος χρόνου γεγραμμένον ἐπίστανται. καί φασί γε τὸ μὲν, ὠφελεῖ κατὰ τοὺς ἀφορισμοὺς γεγράφθαι, καθολικὴν ἀπόφασιν ἐν τούτοις ποιησαμένου τοῦ παλαιοῦ. τὸ δὴ ὠφέλησεν, ἐνταῦθα πρὸς ὑπόμνησιν αὐτῷ γεγραφότος ἐπί τινος ἑνός. ἵνα ὅταν ἐπὶ πολλῶν πειραθῇ τοῦ βοηθήματος, ἀποφήνασθαι τολμήσῃ καθόλου περὶ αὐτοῦ. δῆλον δ' ὅτι καὶ τοπικόν ἐστι τὸ βοήθημα τοῦτο, καὶ ἀντισπαστικὸν ἐπὶ τἀναντία. τὴν δὲ ὀρθὴν ἐν μετώπῳ φλέβα, καὶ πρὸ τῆς ἀνατομῆς ἐναργῶς ἐστιν ἰδεῖν, ἡ δὲ ἀνατομὴ συρρέουσαν ταῖς ἑκατέρωθεν αὐτὴν ἐπιδείκνυσιν. οὐκ ὀρθῶς οὖν ἔνιοι περὶ τῆς τομῆς ᾠήθησαν λελέχθαι τὸ, ὀρθήν. οὐ γὰρ διὰ τὸ σχῆμα τῆς τομῆς ἡ ὠφέλεια γίνεται τοῖς ὀδυνωμένοις, ἀλλὰ διὰ τὴν κένωσιν τοῦ αἵματος.

GALENI COMMENTARIUS.

Veteres Interpretes hoc verbum, *juvit*, in tempore præterito scriptum agnoscunt, dicuntque in Aphorismis *juvat*, in præsenti tempore scriptum esse, antiquo magistro in eo volumine communem sententiam pronunciante. Hoc autem loco eum ad propriæ memoriæ præsidium de uno quodam, *juvit*, scripsisse, ut postea, cùm in multis hoc remediũ expertus esset, ipsum in universam promulgare auderet, constat
D autem remedium hoc locale esse, & ad contraria revulsorium. Rectã autem in fronte venã, & ante dissectionem evidenter conspicere licet: istam vero unà cum iis, quæ utrinque adjacent, confluentem esse dissectio ostendit. Haud bene igitur quidam hanc vocem, *recta*, de incisione dictam esse autumant, neque enim propter sectionis figuram, sed propter sanguinis effusionem, dolentibus utilitas affertur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

ΑΙ διαδέξιες τῶν ὑποχονδρίων, ἐξ οἵων εἰς οἷα, καὶ ἄλλαι, καὶ τῶν σπλάγχνων τῶν φλεγμονῶν οἷα δύναται, εἴ τ' ἐξ ἥπατος σπλὴν, καὶ τἀναντία, καὶ ὅσα τοιαῦτα.

HIPPOCRATIS TEXTUS XXXI.

E *Exceptiones præcordiorum, ex quibus & aliæ & viscerum inflammationum, qualia possunt, sive ex jecore lien, & è contrario, & quæcunque hujusmodi.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ μόνον ἐξ οἵων καὶ, ἄλλαι, γεγραμμένον εὑρίσκομεν, ἀλλὰ καὶ ἐξ οἵων οἷα ἀλλοιοῦσι, καὶ ἐξ οἵων οἷα ποιοῦσι· καὶ τὴν μὲν προτέραν γραφὴν, οἵ τε παλαιοὶ τῶν ἐξηγητῶν ἴσασι, καὶ Ῥοῦφος. τὴν δ' ἐξ οἵων οἷα ἀλλοιοῦσιν, οἱ περὶ Σαβῖνον, καὶ Διοσκορίδην. τὸ δ' ἐξ οἵων οἷα ποιοῦσιν, οἱ περὶ τὸν Λύκον. ἔστι δὲ τῆς παλαιᾶς γραφῆς ἡ διάνοια καθολικόν τι διδάσκουσα, τῶν δ' ἄλλων, ἐν μέρει. περὶ γὰρ τῶν καθ' ὑποχόνδριον διαδοχῶν ἀποφαίνονται μόνον, οὐ περὶ πασῶν. ἄμεινον δὲ ἐν οἷς ἐγχωρεῖ, καὶ ἀληθές ἐστι, τὸ καθόλου μᾶλλον ἡγεῖσθαι διδάσκειν αὐτὸν οὐ τὸ κατὰ μέρος. ὁ μὲν οὖν καθόλου λόγος ἐστὶ τοιοῦτος.

GALENI COMMENTARIUS.

Non solùm, ex qualibus, & aliæ, scriptum invenimus, sed etiam, ex qualibus qualia alterant, & ex qualibus qualia faciunt. Ac primam quidem lectionem veteres Enarratores agnoscunt, & Rufus: hanc vero,
F ex qualibus qualia alterant, Sabini, Dioscoridisque sectatores: Lyci autem discipuli, ex qualibus qualia faciunt. Sed antiquæ lectionis sententia commune quoddam edocet, aliæ vero privatum: de exceptionibus enim solum, quæ in præcordiis fiunt, non de omnibus, loquuntur. Satius est autem, ubi fieri potest, verumque est, arbitrari Hippocratem commune potius, quam privatum documentum tradere. Communis itaque sermo talis est:

Exceptiones autem considerare convenit, & A in præcordiis, & in aliis omnibus membris ortas, ex quibus affectibus, aut locis, in quos affectus, & loca fiant, ut in jecore, ac liene. Ipse enim istorum exempli causa meminit, nobis scientibus ex liene in jecur exceptiones periculosas esse, discrimine autem vacare, potiusque utiles esse, quæcunque morborum transumptiones ab jecore in lienem fiunt. Omnia vero, quæ ad abscessus pertinent, & quos natura sola per se, quosque nos aut unà cum ipsa, moliri consuevimus, & in Libro B de succis, & in secundo de morbis popularibus superiùs explanavimus. Aliæ quoque lectiones sunt præter eas, quas in hoc, & in aliis multis locis ascripsi: sed ego initio statim me paucas interpretationes, lectionesque memoraturum esse promisi, ne hujusce Libri multa fierent Commentaria.

τὰς δὲ διαδοχὰς ἐπισκέπτεσθαι προσήκει, τάς τε κατ' ὑποχόνδριον, καὶ τὰς ἄλλας ἁπάσας, ἐξ οἵων γίνονται παθῶν, ἢ μερῶν, εἰς οἷα μέρη τε καὶ πάθη, καθάπερ ἐφ' ἥπατός τε καὶ σπληνός. αὐτὸς γὰρ ἐμνημόνευσε τούτων ἕνεκα παραδείγματος, εἰδότων ἡμῶν ἐπικινδύνους μὲν εἶναι τὰς εἰς ἧπαρ ἐκ σπληνός, ἀκινδύνους δὲ καὶ πρὸς ἀγαθοῦ μᾶλλον, ὅσαι διαδοχαὶ νοσημάτων ἀφ' ἥπατος εἰς σπλῆνα γίνονται. πάντα δὲ τὰ περὶ τῶν ἀποστάσεων ἅς τε ἡ φύσις εἴωθε μόνη ποιεῖσθαι καθ' ἑαυτήν, ἅς θ' ἡμεῖς ἢ μετ' ἐκείνης, ἢ μόνοι, κατά τε τὸ περὶ χυμῶν, καὶ τὸ δεύτερον τῶν ἐπιδημιῶν προεξήγημαι. καὶ ἄλλαι δέ τινές εἰσι γραφαὶ παρ' ἃς ἔγραψα, κατά τε τήνδε καὶ πολλὰς ἄλλας ῥήσεις. ἀλλ' ἐγὼ κατ' ἀρχὰς εὐθέως ὀλίγων ἔφην μνημονεύειν ἐξηγήσεών τε καὶ γραφῶν, ὅπως μὴ πολλὰ γίνωνται τὰ τοῦ προκειμένου γράμματος ὑπομνήματα.

HIPPOCRATIS TEXTUS XXXII.

Revellere, si, quo non oportet, vergat: sin C *autem, quò oportet, his oportet aperire, quemadmodum singula vergunt.*

GALENI COMMENTARIUS.

ALiàs jam & hæc didicisti, ducenda planè esse quò vergunt, per conveniẽtes regiones: avertenda autem, atque revellenda, quæ non bene vergant. Aperire autem dixit nunc, non ut in abscessibus dicere consuevimus, pro eo, quod est scalpro dividere; sed in communiori significato accipitur, sub quo & recludere continetur & venas nobis in mariscis, & ve- D nas nasi, atque uteri, quum per hæc itinera evacuamus, recludentibus, & fistulas aliquas satis longo tempore patere consuetas, sed aliqua de causa obstructas. Et aliquo per aures cerebri purgamenta ejicere solito, si repente evacuatio suppressa sit, ac proinde vertigo, oculorumque tenebræ supervenerint, si ad aures materiam per aperientia medicamenta incitemus, statim hominem sublevatum noverimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Ἀντισπᾶν, ἢν μὴ ᾗ δεῖ ῥέπῃ, ἢν δὲ ὅπῃ δεῖ, τουτέοισι δεῖ στομοῦν, οἷας ἕκαστα ῥέπῃ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐμάθες ἤδη καὶ περὶ τούτων, ὡς ἀκτέα μέν ἐστιν ᾗ ῥέπει τῶν συμφερόντων χωρίων, ἀποτρεπτέα δὲ, καὶ ἀντισπαστέα τὰ μὴ καλῶς ῥέποντα. τὸ δὲ, στομοῦν, εἴρηκε νῦν, οὐχ ὡς ἐπὶ τῶν ἀποσκημμάτων εἰώθαμεν λέγειν, ἀντὶ τοῦ διελθεῖν σμίλῃ, κοινότερον δὲ τοῦτο, καθὸ καὶ τὸ ἀναστομοῦν περιέχεται, καὶ φλέβας ἡμῶν ἀναστομούντων ἐν αἱμορροΐσι, καὶ τὰς διὰ ῥινῶν, ἢ μήτρας κενώσεις. καί τινας σύριγγας ἐκ χρόνου μὲν ἱκανοῦ συνήθεις, ἐστεγνωμένας δὲ κατά τινα καιρόν. καὶ δι' ὤτων δέ τινος ἐκκαθαιρομένου συνήθως τὰ κατὰ τὸν ἐγκέφαλον, ἐπισχεθείσης ἀθρόως τῆς κενώσεως ἰλίγγου καὶ σκοτώσεων ἐπιγινομένων, ἐρεθίσαντες εἰς ὦτα διὰ τῶν ἀναστομωτικῶν φαρμάκων, εἴδομεν εὐθέως ὠφεληθέντα τὸν ἄνθρωπον.

E

HIPPOCRATIS TEXTUS XXXIII.

LÆtæ pustulæ non admodum pruruginosæ, quales Simon hyeme habebat: qui quum ad ignem inungeretur, aut calida lavaretur, juvabatur. Vomitus non juvabant. Puto, si quis calida fomenta adhibuisset, utilitatem percepisset.

GALENI COMMENTARIUS.

VT de tuberculis dicebamus, quæcunque F ex calido humore nascuntur, celeris videlicet ea judicationis esse, ac minimè lata: ex frigido vero, lata atque diuturna: eadem ratione, & de pustulis differendum est: neque enim toto genere, sed humoris ipsas generantis qualitate à tuberculis differunt. Egerminant autem natura corporis altiores sedes repurgante, ut nonnunquam per excretionem, ita & per depositionem ad cutaneas partes. Subtilio-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

Τὰ πλατέα ἐξανθήματα, οὐ πάνυ τι κνησμώδεα, οἷα Σίμων εἶχε χειμῶνος, ὃς ὅτε πρὸς πῦρ ἀλείψαιτο, ἢ θερμῷ λούσαιτο, ὠνίνατο, ἔμετοι οὐκ ὠφέλεον, οἴομαι εἴ τις ἐξεπυρία ὀνίνασθαι ἄν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὡς ἐπὶ φυμάτων εἴπομεν ὅσα ὑπὸ θερμοῦ γίνονται χυμοῦ, ταχὺ κρίσιμά τε εἶναι καὶ ἥκιστα πλατέα. τὰ δὲ ὑπὸ ψυχροῦ, πλατέα καὶ χρόνια. κατὰ τὸν αὐτὸν λόγον ἐπίστασθαι χρὴ καὶ περὶ τῶν ἐξανθημάτων. οὐ γὰρ ὅλῳ τῷ γένει διαφέρει τῶν φυμάτων, ἀλλὰ τῇ ποιότητι τοῦ γεννῶντος αὐτὰ χυμοῦ. γίνονται δὲ, καθαιρούσης τὸ βάθος τοῦ σώματος τῆς φύσεως, ὥσπερ ἐνίοτε δι' ἐκκρίσεως, οὕτω καὶ δι' ἀποθέσεως ἐπὶ τὸ δέρμα. τοῖς μὲν γὰρ λεπτο-

τέροις τε καὶ ὑδατωδεστέροις χυμοὺς διαφορεῖ λεπτύνουσα. τῶν δὲ παχυτέρων ἐμπλαττομένων τῷ δέρματι, καὶ μᾶλλον κατὰ τὴν ἐπιδερμίδα πυκνὴν οὖσαν, ἐξανθήματα γίνονται. καὶ τοῦτο συμβαίνει μᾶλλον ἐκείνοις, ὅσοις πυκνότερόν τε καὶ σκληρότερόν ἐστι τὸ δέρμα. δυσχερὴς γὰρ ἡ δι' αὐτοῦ γίνεται τῶν παχυτέρων τε καὶ γλισχροτέρων χυμῶν διέξοδος. οὕτως οὖν καὶ τῷ Σίμωνι τοῦ χειμῶνος ἐξανθήματα πλατέα γίνεσθαι, καθ' ὃν ἂν χρόνον ἀξιολόγως θερμανθῇ τὸ σῶμα, λουτροῖς χρησαμένῳ, ἢ ἀλειψαμένῳ παρὰ πυρί. τῷ δ' ἄλλῳ χρόνῳ κατὰ τὸ βάθος ἔμεινον οἱ τῶν τοιούτων ἐξανθημάτων αἴτιοι χυμοί. Εἶτα φησὶ μηδὲν αὐτὸν ὑπὸ τῶν ἐμέτων ὀνίνασθαι. πότερον δ' αὐτὸς ὁ Ἱπποκράτης ἦν ὁ συμβουλεύσας χρῆσθαι τοῖς ἐμέτοις, ἢ ἄλλος τις, οὐκ ἐδήλωσεν, οὐ μὴν οὐδ' ἀναγκαῖον ἡμῖν ἐπίστασθαι. μόνον γὰρ ἀρκεῖ τὸ γνῶναι, τοὺς πρὸς τὸ δέρμα ῥέψαντας χυμοὺς, δι' ἐκείνου χρῆναι κενοῦν. ἐπεὶ πόῤῥω πάλιν αὐτοῖς ἐστὶν ἡ εἰς τὸ βάθος ἀντίσπασις, ὡς διὰ γαστρὸς, ἢ ἐμέτων ἐκκενοῦσθαι. ἴσως οὖν οἰήσῃ με λέγειν μηδέποτε καθάρσει χρῆσθαι τῇ διὰ γαστρὸς ἐπὶ τῶν τοιούτων· ἐγὼ δ' οὐ φημὶ τοῦτο, μεμαθήκατε γὰρ ἐν τοῖς θεραπευτικοῖς, ὠφελίμους εἶναι τὰς καθάρσεις, ἐφ' ὧν ἡ περιουσία τῶν χυμῶν ἐστὶ παμπόλλη. πρὶν γὰρ οὕτω κενῶσαι, τὸ πλεονάζον αὐτῆς, ἢ διὰ φλεβοτομίας, ἢ διὰ καθάρσεως, ἐάν τις ἐκπυριῶν μόνον, ὅπερ ἐστὶ τοῖς θερμαίνουσι χρώμενος, ἐπιχειρῇ διαφορεῖν, ἐπισπάσεται μᾶλλον, ἢ κενώσει διὰ τοῦ δέρματος· ἀλλ' ἥ γε τῶν ἐμπεπλασμένων τῷ δέρματι, πάντως θεραπεία ἐστὶ διὰ τῶν ἐκπυριώντων τε καὶ θερμαινόντων φαρμάκων, καὶ μάλιστα ὅταν ᾖ πλατέα. δηλοῦται γὰρ ὁ γεννῶν αὐτὰ χυμὸς, οὐ θερμὸς, οὐδὲ λεπτὸς ὑπάρχων, ἀλλ' ἱκανὸς παχὺς, ἢ ψυχρός. ἐμάθετε δ' ἤδη καὶ περὶ τῶν φυμάτων ἔμπροσθεν, ὡς τὰ μὲν ἀποκορυφοῦντα εἰς ὀξὺ, καὶ οἷον ὀργῶντα, θερμῶν χυμῶν ἐστιν ἔγγονα, τὰ δ' ἐναντία, ψυχροτέρων. τὸ δ' ὀργᾶν αὐτὰ, διά τε τῶν κνησμωδῶν, καὶ τῆς ὀδύνης ἔνεστι διαγινώσκειν. τὰ μὲν γὰρ μετρίως θερμὰ, κνησμοὺς μόνον ἐργάζεται. τὰ δ' ἐπὶ πλέον ἥκοντα τοῦ θερμαίνειν, εὐθέως δάκνει καὶ ἀνιᾷ.

res siquidem, dilutioresque succos extenuans natura discutit: crassioribus autem cuti, sed potius pelliculæ, epidermis quæ vocatur, utpote densiori inhærescentibus pustulæ exoriuntur: idque magis illis incidit, quicunque densiore ac duriore cute sunt: difficilis est enim per ipsam pinguiorum, tenaciorumque succorum transitus. In hunc modum igitur, & Simoni hyeme latas pustulas effloruisse narrat, quo tempore corpus lavationibus uso, aut prope ignem peruncto insigniter calefactum fuit: alio tempore autem succi, id genus pustularum auctores interius latitabant. Deinde, inquit, ipsum nullum ex vomitibus fructum percepisse. Utrum vero Hippocrates an alius quispiam vomitionibus uti consuluerit non declaravit: verùm neque id scire nobis necesse est: tantum illud novisse satis sit, succos ad cutem vergentes per eam esse evacuandos: nam iterum ad intima corporis revulsio ipsis valde longinqua est, ut per alvum, aut vomitum evacuentur. Sed forsan me dicere putabis nunquam purgatione per alvum in talibus utendum esse. Ego vero non id dico: nam in Libris de arte curandi, in quibus corporibus permulta humorum copia est, iis utiles esse purgationes didicisti: priusquam enim ita redundantem materiam, aut venæ scissione, aut purgatione quis eduxerit, si fovens, hoc est calidis utens, ipsam discutere conetur, plus attrahet, quàm per cutem evacuabit. Sed cuti inhærentium succorum curatio prorsum per fotus, & calida medicamenta præstatur: ac præcipuè si latæ pustulæ fuerint: signum est enim earum succum non calidum, non tenuem; sed admodum crassum, ac frigidum esse. Jam vero & tuberculorum superius notitiam habuistis, quod videlicet in acutum fastigiata, & veluti turgentia calidorum succorum germina sunt, contra sese habentia, frigidorum. Ipsa vero turgere ex pruritu atque dolore dignoscere licet: moderatè enim calida pruritus solùm excitant; sed vehementius calefacientia statim mordent, atque contristant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

Ὁκόσα πεπαίνεσθαι δεῖ, ἐγκατακεκλεῖσθαι δεῖ, τὰ δ' ἐναντία δὲ, ξηραίνειν, καὶ ἀναστομοῦσθαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ περὶ τούτου πολλάκις ἀκηκόατε, καὶ μάλιστα ἐν τοῖς περὶ τῶν ἐκπυισκόντων φαρμάκων, ὡς οὐ χρὴ διαφορητικὴν αὐτῶν εἶναι τὴν δύναμιν, ἀλλὰ τὴν ὀνομαζομένην ἐμπλαστικήν. ταῦτα γὰρ ἀποστέγει, καὶ συνέχει, καὶ ἀποκλείει τὸ ἔμφυτον θερμὸν, οὐκ ἐῶντα διαπνεῖσθαι. πέττεται δ' ὑπὸ τούτου τὰ περιττώματα· πάλιν δ' κἀνταῦθα μή παρακούσητε, μηδ' οἰηθῆτε πάντα με λέγειν τὰ δύσπεπτα, καὶ ἴσχοντα πύον, μηδ' ὅλως, οὕτω θεραπεύεσθαι. σήπεται γὰρ ἔνια τῶν τοιούτων ὑπὸ ἐμπλαστικῶν φαρμάκων, ἢ διὰ μοχθηρίαν τῶν ἐργαζομένων αὐτὰ χυμῶν, ἢ δι' ἀσθένειαν τοῦ πάσχοντος μορίου, τὸ ἔμφυτον θερμασίαν οὕτως ἔχοντος ὀλίγην τε καὶ ἄῤῥωστον, ὡς μηδ' ἐπιχειρεῖν τῇ πέψει τῶν κατασκηψάντων ἐπ' αὐτὸ χυμῶν:

HIPPOCRATIS TEXTUS XXXIV.

Quæcunque concoqui opus est, occludi convenit: contraria vero exiccare, atque aperire.

GALENI COMMENTARIUS.

Et de his sæpius nostram sententiam audivistis, & maximè ubi de ducentibus ad suppurationem medicamentis loquuti sumus, non oportere scilicet eorum facultatem discussoriam esse, sed retentoriam, atque inhæsoriam, à Græcis emplasticam appellatam: hæc enim impediunt, retinent, atque occludunt insitum calidum, ipsum difflari non permittentia: ab hoc verò excrementa concoquuntur. Cæterùm me rursum hoc loco obaudite, ac nolite putare me omnia concoctu difficilia nullùmque pus habentia, ita curari dicere. Nonnulla enim ex his ab emplasticis istis medicamentis putrefiunt, aut propter humorum ipsa creantium pravitatem, aut ob affecti membri imbecillitatem ingenitum calo-

rem, ita pusillum ægrumque habentis, ut neque humorum in ipsum delapsorum concoctionem aggrediatur. Porro in horum curatione scarificationibus altissimis cutem rescindimus, & plerunque usque ad profundum in multis affecti membri partibus dissecamus, medicaminibusque siccantissimis utimur. Hujusmodi nanque inflammationibus gangræna impendet, ab ipsis devicto jam ac prope ad perfectam extinctionem accedente calore ingenito. In quibus igitur inflammationibus, aut omnino quibus in tumoribus, innatum calidum, non ut extinguatur, funditusque aboleatur, periculum subiit, atque ideo remedio adhibito, vincere humores potest, ad id genus vitia medicamentis emplasticis utimur: quæ per hæc verba manifestè declaravit inquiens, quæcunque concoqui opus est. At quæ ad id devenerunt, ut mox in gangrænam casura sint, & quæ jam computrescunt, statim neque concoctionem postulant. Iccirco alia quidem, ut dixi evacuationibus per scarificationes, & incisiones, medicamentisque valentissimis curamus; alia verò jam putria recidimus, atque perurimus. Rectè itaque adjecit, contraria vero exiccare, ac aperire, hoc est, suppuratione non egentia: opus est enim in non admittentibus suppurationem omnes exitus recludere, affectaque membra arefacere. Ex his itaque patet, non rectè à quibusdam scriptum esse, quæcunque exiccari opus est, jacere oportet, hoc est, jacentia quiescere: præter id enim quod exiguum quoddam est, ac manifestum, ut accurate de ipso Hippocratem scribere opus non esset, & oppositio ipsa declarat, quæ non verbo, *jacere*, sed voci, *occlusa esse*, respondet: occlusis nanque, & cohibitis contraria sunt, quæ digeruntur, atque siccantur. Huic sermoni quidem sequentem copulant, & maxime qui post vocem hanc, *quemadmodum*, scriptam esse volunt, ut tota oratio, ita se habeat: quæcunque concoqui opus est, occludi convenit, contraria vero exiccare, atque aperire.

A ἐπὶ τούτων οὖν ἀμυχαῖς τε βαθυτάταις ἀνοίγομεν τὸ δέρμα, καὶ πολλάκις γε καὶ διατέμνομεν ἄχρι βάθους, κατὰ πολλὰ μέρη τοῦ πεπονθότος μορίου, φαρμάκοις τε χρώμεθα ξηραντικωτάτοις. ἐφεδρεύει γὰρ ταῖς τοιαύταις φλεγμοναῖς ἡ καλουμένη γάγγραινα, νενικημένης καὶ αὐτῆς ἤδη, καὶ πλησίον ἡκούσης τοῦ τελέως ἀποσβεσθῆναι, τῆς ἐμφύτου θερμασίας. ἐφ' ὧν οὖν φλεγμονῶν, ἢ ὅλως ὄγκων ὡντινωνοῦν, οὐκ ἐν κινδύνῳ σβέσεώς ἐστι, καὶ τελείας ἀπωλείας, ἡ ἔμφυτος θερμασία, καὶ διὰ τοῦτο δύναται βοηθείας B τυχοῦσα κρατῆσαι τῶν χυμῶν, ἐπὶ τούτων χρώμεθα τοῖς ἐμπλαστικοῖς φαρμάκοις, ἅπερ ἐν αὐτῷ τούτῳ σαφῶς ἐδήλωσεν εἰπών. ὅσα πεπαίνεσθαι δεῖ, τὰ δ' ἐγγὺς ὄντα τοῦ γαγγραινοῦσθαι, καὶ τὰ ἤδη σηπόμενα, τὴν ἀρχὴν οὐδὲ δεῖται πεπαίνεσθαι. διὸ τὰ μὲν, ὡς ἔφην κενώσεσί τε διὰ ἀμυχῶν, καὶ τομῶν, καὶ φαρμάκοις ἰσχυροτάτοις θεραπεύομεν. τὰ δ' ἤδη σηπόμενα τέμνομέν τε καὶ καίομεν. καλῶς οὖν προσέθηκε, τὰ ἐναντία δὲ ξηραίνειν, καὶ ἀνεῷχθαι, τουτέστι τὰ μὴ δεόμενα διαπυΐσκεσθαι. χρεία γάρ ἐστιν ἐπὶ τῶν διαπυησόντων, ἀνεῷχθαί τε τὰς ἐκροὰς C ἁπάσας, καὶ ξηραίνεσθαι τὰ πεπονθότα μόρια. δῆλον οὖν ἐκ τούτων, οὐκ ὀρθῶς ὑπ' ἐνίων γεγράφθαι, ὅσα ξηραίνεσθαι, κατακεῖσθαι δεῖ, τουτέστιν ἡσυχάζειν κατακείμενα. πρὸς γὰρ τῷ σμικρὸν εἶναι τοῦτο, καὶ πρόδηλον ὡς μὴ δεῖσθαι πεφροντισμένως ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους γράψαι, καὶ ἡ ἀντίθεσις ἐδήλωσε, μὴ πρὸς τὴν κατάκλεισιν, ἀλλὰ πρὸς τὸ κατακεκλεῖσθαι γεγονυῖαν. τοῖς γὰρ κατακεκλεισμένοις, καὶ ἀποστεγομένοις, ἐναντία τὰ διαφορούμενά τ' ἐστὶ, καὶ τὰ ξηραινόμενα. ταύτῃ τῇ ῥήσει τινὲς συνάπτουσι τὴν ἐφεξῆς, καὶ μάλισθ' ὅσοι βούλονται γεγράφθαι μετὰ D ταύτην, τὸ οἷον, ὡς τὸν ὅλον τὸν λόγον εἶναι τοιοῦτον. ὅσα πεπαίνεσθαι δεῖ, ἐγκατακεκλεῖσθαι δεῖ. τἀναντία, καὶ ξηραίνειν, καὶ ἀνεῷχθαι.

HIPPOCRATIS TEXTUS XXXV.

Sicut oculis fluxu laborantibus, si aliter videtur conducere, in fauces retrahere convenit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε'.

E Οἷον ὀμμάτων ῥοωδέων, ἢν ἄλλως φαίνηται συμφέρειν, ἀντισπᾶν εἰς φάρυγγα.

GALENI COMMENTARIUS.

Atqui quod hæc verba docent prædicto simile non est: siccare enim & aperire aliud est, quàm retrahere. Quomodo igitur, quum prædixerit, contraria exciccare oportet, & aperire, poterit exempli loco de oculis fluxione vexatis dicere, *retrahere in fauces?*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καίτοι γε οὐχ ὅμοιόν ἐστι τὸ κατὰ τήνδε τὴν λέξιν διδασκόμενον, τῷ προειρημένῳ. τὸ γὰρ ξηραίνειν καὶ ἀνεῷχθαι, διαφέρει τοῦ ἀντισπᾶν. πῶς οὖν προειρηκὼς, τἀναντία δεῖ ξηραίνειν καὶ ἀνεῷχθαι, δύναιτ' ἂν ὡς παράδειγμα λέγειν ἐπὶ τῶν ῥοωδῶν ὀμμάτων ἀντισπᾶν εἰς F φάρυγγα.

HIPPOCRATIS TEXTUS XXXVI.

Et ubi eructatio confert, & quæcunque alia ejusmodi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ'.

Καὶ ὅπη ἔρυξις λυσιτελεῖ, καὶ ὅσα ἄλλα τοιαῦτα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τι τῶν καὶ εἶδος ἀντισπαστικῶν βοηθημάτων, τοῦτ' ἐστι συμβουλεύοντος ἡμῖν αὐτοῦ τὰ χρόνια τῶν ὀφθαλμῶν ῥεύματα μετάγειν, ἀντισπῶντας ἐπὶ φάρυγγα, διὰ φαρμάκων δηλονότι δριμέων, οἷς διαχρίειν τε δεήσει τὸν οὐρανίσκον, ἀνακογχυλίζεσθαί τε κελεύειν, ἐάν γε μηδὲν ἐκ τούτου μέλλωμεν ἐργάσασθαι χεῖρον. ἐφ' ὧν γὰρ εὐλαβούμεθα μή πως εἰς τὴν τραχεῖαν ἀρτηρίαν, καὶ τὸν πνεύμονα τραπῇ τὸ ῥεῦμα, φυλαξόμεθα τὴν τοιαύτην ἀντίσπασιν. ὥσπερ οὖν ἐπὶ τούτου συνεβούλευσεν, οὕτω κἀπὶ τῶν ἄλλων ἀξιοῖ σε προορᾶσθαι, μή τι τῶν μορίων εἰς ἃ τὴν ἀντίσπασιν ἐργάζῃ, κινδυνεύσῃ μεγάλως βλαβῆναι. τινὲς δ' ἐπὶ τῶν καλουμένην ῥοιάδα καὶ ὀφθαλμὸν ἐχόντων, τὸν λόγον τοῦτον αὐτῷ γεγονέναι φασίν, ὥσπερ καὶ ὁ Λύκος, ὃς ἀποτείνας μακρὸν λόγον, ἐκ τῶν ὀφθαλμῶν εἰς ὑπερῴαν φησὶ διήκειν πόρον, ἐκκενοῦντα ταύτῃ τὸ καὶ αὐτοῖς γινόμενον περίττωμα. κεῖσθαι δὲ τὸν πόρον τοῦτον παρὰ τὸν μέγαν κανθὸν, καὶ γίνεσθαι ῥοιάδα κατὰ τρόπους τρεῖς. ἤτοι τοῦ πόρου μύρου μύσαντός πως, ἢ φραχθέντος, ἢ τοῦ περιττώματος πολλοῦ συλλεγομένου κατὰ τὸν ὀφθαλμὸν, ὡς ὑπερχεῖσθαί τι, μὴ δεχομένου παντὸς αὐτὸ τοῦ πόρου διὰ φυσικὴν στενότητα. καὶ κατὰ τρόπον ἄλλον ὅταν οὐλὴ κατὰ τὸν κανθὸν γινομένη, τυφλώσῃ τὸν πόρον, ἣν καὶ μετὰ τὰς ἐκτομὰς τῶν ἀκανθίδων γίνεσθαί φησι, καὶ ἄλλως, ἑλκωθέντος τοῦ τόπου. ταύτην μὲν οὖν ἀνίατον εἶναι, τὰς δ' ἄλλας ἰασίμας, ἀντισπώντων ἡμῶν εἰς φάρυγγα. τὸ δὲ, καὶ ὅπῃ ἔρευξις λυσιτελεῖ, προσκείμενον συμβολικῶς ἑαυτῷ γράψαντος τοῦ Ἱπποκράτους. ὅτι μὲν γὰρ ἔνθα λυσιτελής ἐστιν ἔρευξις, ἐνταῦθα χρὴ κινεῖν ἐρυγὰς, εὔδηλον. ἐπὶ τίνων δ' ἐστὶ λυσιτελὴς, οὐκ εἶπε, ἀλλ' οὐδὲ κατὰ τοὺς ῥοιώδεις ὀφθαλμοὺς ὅμοιόν ἐστι τούτῳ, διὸ καὶ παρεγκείμενον ἀτάκτως, ἀσάφειαν εἰργάσατο. περὶ μὲν γὰρ τῶν ῥοιωδῶν ὀφθαλμῶν, ἀντισπαστικὸν ἔγραψε βοήθημα. τὸ δ', ὅπῃ ἔρευξις λυσιτελεῖ, δυοῖν θάτερον, ἤτοι γ' ἐπὶ τῶν ῥοιωδῶν ὀφθαλμῶν εἰρῆσθαι χρὴ, καὶ φαίνεται μηδὲν ἐρυγὴ συντελοῦσα πρὸς τὴν ἴασιν αὐτῶν, ἢ τινὸς ἀρχὴν ἑτέρου λόγου. διὸ καί τινες ἠναγκάσθησαν χωρίσαντες τῶν προειρημένων αὐτὸ, ἑτέραν ῥῆσιν ποιήσασθαι τοιάνδε. καὶ ὅκου ἔρευξις λυσιτελεῖ, καὶ ὅσα ἄλλα τοιαῦτα τὰς ἐφόδους ἀνεσομῶσθαι. ἀλλ' οὐδὲ τοῦτο πάλιν οἰκείως ἐπιφέρεσθαι δόξει, οἷον ῥῖνες, καὶ τὰ ἄλλα ὧν δεῖ, καὶ τὰ ἐφεξῆς. ὅσοι τοίνυν αὐτὸ καθ' ἑαυτὸ μόνον ὑποτετυπῶσθαί φασιν ἑαυτῷ τὸν Ἱπποκράτην. τὸ ὅκου ἔρευξις λυσιτελεῖ, νομίζουσιν αὐτὸν ἀξιοῦν ἐρυγὰς ἐνίοτε συμβουλεύειν κινεῖν. καὶ ἁρμόττειν γε αὐτάς φασιν ἐπὶ τῶν ἐμπνευματουμένων τὴν γαστέρα, καὶ μάλιστα ἐφ' ὧν οὐ διέρχεται κάτω τὸ φυσῶδες πνεῦμα. καὶ μέντοι καὶ τὸν στόμαχον ἀτονοῦντά φασι ῥώννυσθαι διὰ τῶν ἐρυγμῶν, ὡς δι' οἰκείου γυμνασίου, καὶ κινεῖν γε τὰς ἐρυγὰς συμβουλεύουσιν οὐ μόνον διὰ φαρμάκων, ἀλλὰ καὶ αὐτὸν ἐπιτηδεύοντα συνεχῶς ἐρυγγάνειν, κἂν ὀλίγου τινὸς αἰσθάνηται πνεύματος ἐν τῷ στομάχῳ. Σαβῖνος δὲ, ἐκ βομβυλίου στενοστόμου πίνοντα, κελεύει κινεῖν ἐρυγάς. ἔνιοι δὲ καὶ τὰς κενώσεις τοῦ φυσώδους πνεύματος, ὁπό-

GALENI COMMENTARIUS.

AUxiliorum revellentium hæc una quædam species est, ipso nobis consulente diuturnas oculorum fluxiones traducere, ad fauces videlicet per acria medicamenta retrahentibus: quibus palatum inungere; atque gargarizent, jubere conveniet, si nihil ex hoc pejus effecturi sumus. Nam in quibus suspicamur, ne forte in asperam arteriam, & pulmones fluxio
B divertat, tunc ab hujusmodi revulsione cavemus. Quemadmodum igitur hoc loco consuluit, ita & in aliis te animadvertere jubet, ne quod ex membris, ad quæ materiam retrahis, magnum detrimentum subire periclitetur. Aliqui vero de oculis vitio, quod rhyas vocatur, laborantibus, ab ipso sermonem hunc factum esse aiunt, quemadmodum & Lycus voluit: qui longam orationem contexens, ab oculis in palatum usque meatum quendam pertinere dicit, illorum excrementa per hanc regionem evacuantem: hunc meatum prope majorem angulum situm
C esse: Ac morbum eum, rhyada quem nominant, tribus modis suboriri, aut foramine aliquo modo clauso, aut obstructo, aut multo excremento in oculo: alio item modo, quum cicatrix in angulo affecta meatum obcæcaverit: quam & post acanthidum collecto, adeo ut effundatur, neque untemeatu ob naturalem angustiam ipsum totum continere: vocatarum achantidum excisionem, & aliter ulcerato loco, obduci ait: hanc insanabilem esse, alias vero curabiles, nobis ad fauces materiam retrahentibus. Illud autem & ubi eructatio confert, adjectum est,
D Hippocrate per notas quasdam sibiipsi conscribente. Quod enim ubi eructatio conducit, ibi ructus citare conveniat, satis constat: quibus autem conducat, non dixit. Sed neque in oculis rhyade laborantibus quicquam huic simile est propterea & sine ordine interpositum obscuritatem peperit: ad oculos enim rhyade vexatos revulsivum auxilium scripsit. Hæc autem verba, & ubi eructatio confert, & de oculis rhyade tentatis dicta esse convenit, (sed nihil ad ipsorum medicationem eructatio conferre videtur) aut alterius esse orationis initium. Propterea &
E nonnulli coacti sunt, ipsa à superiorius dictis separantes, alteram locutionem hunc in modum instituere, & ubi eructatio confert, & quæcunque alia ejusmodi, transitus aperiri: verùm neque item hæc quæ subjiciuntur, ut nares, & alia quibus opus est, & reliqua, isti locutioni respondere, ac propria esse videntur. Itaque quicunque Hippocratem istud solum per se sibi ipsi notasse aiunt, ubi eructatio confert, ipsum censere putant, ut interdum ructus movendos este consulamus: hosque illis, quorum
F venter inflatus est, convenire affirmant, atque illis potissimum, in quibus flatuosus spiritus per inferna exhalare non potest. Quinetiam & os ventriculi infirmum per eructationes, tanquam per propriam exercitationem corroborari aiunt: eructationesque citare consulunt non per medicamina solum, sed etiam ipsum assidue ructare studentem, quum quemlibet exiguum spiritum in ore ventriculi sentiat. At Sabinus ex vasculo angusti oris bibentem ructus movere jubet. Alii vero flatuosi spiritus

A expulsiones undecunque sanè, & utcunque fiant, eructationem ipsum appellasse contendunt: secundùm quorum sententiam tussis, sternutatio, singultus, ventris crepitus, atque per omne corpus spiritus difflationes, eructationes vocabuntur. Nonnulli autem, & omnem excretionem non spiritus modo, verumetiam aliquorum humidorum, eructationem appellatam esse dicunt, Poetæ verba in testimonium recitantes, ubi inquit:

Eructante mari foràs,

B Hancque vitiosam explanandi viam aperiunt. Nam si à Poetis raro, & quodam poetico modo dicta, ut propria accepta quis interpretetur, etiam omnia dilucidè narrata pervertere poterit.

θεν αὖ γίνωνται, καὶ ὁπωσοῦν, ἐρεύξιν αὐτὴν ὠνομακέναι φασί. καθ' οὓς, καὶ βὴξ, καὶ πταρμὸς, καὶ λύγξ, καὶ φῦσα δι' ἕδρας ἐκκρινομένη, καὶ αἱ καθ' ὅλον τοῦ σώματος διαπνοαὶ τοῦ πνεύματος, ἐρεύξεις κληθήσονται. τινὲς δὲ καὶ πᾶσαν ἔκκρισιν ὠνομάσθαι φασὶν ἔρευξιν, οὐ μόνον ἐὰν πνεύματος, ἀλλὰ κἂν τινῶν ὑγρῶν ᾖ, τὴν τοῦ ποιητοῦ λέξιν ἐπαγόμενοι μαρτύριον ἔνθα φησίν.

Ἐρευγομένης ἁλὸς ἔξω,

μοχθηρὰν ὁδὸν ἐξηγήσεως ταύτην τεμνόμενοι. τὰ γὰρ ὑπὸ τῶν ποιητῶν σπανίως εἰρημένα κατά τινα τρόπον ποιητικὸν, ἐὰν ὡς κυρίως λελεγμένα τις ἐξηγῆται, διαστρέφειν δυνήσεται καὶ τὰ σαφῶς εἰρημένα πάντα.

HIPPOCRATIS TEXTUS XXXVII.

Transitus aperiri, ut nares, & alia quibus opus est, & ut convenit: & qualia, & ubi, & quando, & quantum oportet; ut sudores, & alia planè omnia.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ'.

Τὰς ἐφόδους ἀνεσομένας, οἷον ῥῖνας, καὶ ἄλλα, ὧν δεῖ, καὶ ὡς δεῖ, καὶ οἷα, καὶ ὅπη, καὶ ὅτε, καὶ ὅσα δεῖ, οἷον
C ἱδρῶτας, καὶ τἄλλα δὴ πάντα.

GALENI COMMENTARIUS.

ID per se quidem memoratu dignum est: conducit enim omnes supervacuorum excretorios meatus aperiri. Et cum superioribus verbis conjungi potest, duplicem sic utilitatem præbens, propriam quidem in oculis rhyade morbo vexatis: communem vero omnium, in quibus retrahere, aut derivare convenit. Nam si revulsione quidem opus sit, ipsam autem facere vereamur, derivare sanguinem, ac totum
D corpus inanire convenit; sed quæ deinceps scripta sunt, persæpe jam ab ipso in omni evacuatione commoda esse didicimus. Oportet enim quum evacuatio requiritur, non simpliciter ad ipsam accedere; sed prius definientem, qua ratione facienda sit, & quæ debeat esse evacuanda materia, per quam regionem, quo tempore, & qua mensura. Nunc vero etiam remiscentiæ causâ, de singulis breviter agamus. Istud quidem, ut convenit, tale quoddam significat: Transitus recludendi sunt, non simpliciter quidem, ac utcunque, sed ut convenit: id vero modum significat, quo evacuationes facimus, ut in
E iis quæ in ventre sunt, per clysterem, per glandulam, per subducens medicamentum: & in horum singulis per quædam certa: nam & clysteres, & glandulæ, & subducentia vocata medicamenta multiformiter componuntur. Eæ igitur particulæ, *ut convenit*, tale quiddam significant: hæ verò *qualia* evacuandorum qualitatem innuit, hoc est nunquid aquosa, & tenuia evacuare melius sit, an pituitosum succum, an biliosum, an melancholicum: & horum num aliquem, an & omnes. Ea
F vox, *ubi* partem corporis, per quam evacuare oporteat, indicat. Etsi nanque per inferiora faciendam esse evacuationem cognoscamus, nihilominus, per quam ex inferioribus partibus facienda sit, definire opus est. Propterea & quidam loco hujus vocis, *ubi*, *quà*, scripserunt, per quam partem significantes, utrum per vesicam, an alvum, an uterum: item per superiora, utrùm per nares, aut os: est quædam etiam per omne corpus evacuatio, & quæ per sudores, & quæ per

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο καθ' ἑαυτὸ μὲν ἄξιόν ἐστι μνημονεύεσθαι. συμφέρει γὰρ ἀνεσομένας τοὺς ἐκκριτικοὺς πάντας πόρους τῶν περιττωμάτων, καὶ τοῖς προειρημένοις δὲ συνάπτεσθαι δύναται, διττὴν χρείαν παρεχόμενον. ἰδίαν μὲν, ἐπὶ τῶν ῥοιωδῶν ὀμμάτων, κοινὴν δὲ πάντων ἐφ' ὧν ἀντισπᾶν ἢ παροχετεύειν προσήκει. ἐὰν γὰρ ἀντισπάσεως μὲν ᾖ χρεία, φοβούμεθα δὲ αὐτὴν ποιήσασθαι, παροχετεύειν τὸ αἷμα προσήκει, καὶ κενὸν ὅλον ἐργάζεσθαι τὸ σῶμα. τὰ δὲ ἐφεξῆς γεγραμμένα πολλάκις ἤδη παρ' ἑαυτοῦ μεμαθήκαμεν ἐπὶ πάσης κενώσεως ὄντα χρήσιμα. δεῖ γὰρ οὐχ ἁπλῶς ὅταν ᾖ χρεία κενώσεως, ἐπ' αὐτὴν παραγίνεσθαι, ἀλλὰ προδιελεσάμενον ὅπως ταύτην ποιήσασθαι χρή. καὶ ὁποῖα προσήκει εἶναι τὰ κενωθησόμενα, καὶ καθ' ὅ τι χωρίον, ἐν τίνι τε καιρῷ, καὶ μέχρι πόσου. λεκτέον δὲ καὶ νῦν ἀναμνήσεως ἕνεκα περὶ ἑκάστου διὰ βραχέων. τὸ μὲν ὡς δεῖ, τοιόνδε τι σημαίνει, τὰς ἀφόδους ἀναστομωτέον, οὐ μὴν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ὡς δεῖ. τοῦτο δὲ σημαίνει τὸν τρόπον δι' οὗ ποιούμεθα τὰς κενώσεις, οἷον ἐπὶ τῶν κατὰ γαστέρα διὰ κλυστῆρος, διὰ βαλάνου, δι' ὑπηλάτου φαρμάκου, καὶ καθ' ἕκαστον αὐτῶν, δι' ὧντινων. καὶ γὰρ καὶ κλυστῆρες πολυειδῶς σκευάζονται, καὶ βάλανοι, καὶ τὰ καλούμενα ὑπήλατα φάρμακα. τὸ μὲν οὖν ὡς δεῖ, τοιόνδε τι σημαίνει. τὸ δὲ, οἷα, τὸ ποιὸν τῶν κενουμένων δηλοῖ, τουτέστι, πότερά γε ὑδατώδη καὶ λεπτὰ κενοῦν ἐστι βέλτιον, ἢ φλεγματώδη χυμὸν, ἢ πικρόχολον, ἢ μελαγχολικὸν, ἢ τινὰ τούτων, ἢ καὶ πάντας. τὸ δὲ, ὅπη, τὸ μέρος τοῦ σώματος ἐνδείκνυται, δι' οὗ χρὴ κενοῦν. κἂν γὰρ, ὅτι διὰ τῶν κάτω κενῶσαι προσήκει, γνῶμεν, ἀλλὰ δι' οὗ γε τῶν κάτω χωρίων, προσδιελέσθαι δεῖ, διὸ καὶ τινὲς ἀντὶ τοῦ, ὅπη, τὸ, οὗ δεῖ, γεγράφασιν, ἐνδεικνύμενοι τὸ δι' οὗ, πότερα διὰ κύστεως, ἢ διὰ γαστρὸς, ἢ δι' ὑστέρας. καὶ πάλιν αὖ, πότερα διὰ ῥινῶν, ἢ διὰ στόματος. ἔστι δέ τις καὶ δι' ὅλου τοῦ σώματος κένωσις, ἥ τε διὰ τῶν ἱδρώτων, καὶ ἡ διὰ τῆς

ἀδήλου καλουμένης διαπνοῆς. τό γε μὴν, ὅτε, σαφῶς τοῦ καιροῦ δηλωτικόν ἐστιν ἐν ᾧ χρὴ κενοῦν. ἆρα γε κατ' ἀρχὰς πρὶν πεφθῆναι τὴν νόσον, ὅταν, ὡς αὐτὸς ἔλεγεν, ὀργᾷ, καὶ πρὸς τὴν ἔκκρισιν ἐπείγεται τῶν ὑγρῶν ἡ διοικοῦσα τὰ ζῷα φύσις, ἢ μετὰ τὸ πεφθῆναι τοὺς λυποῦντας χυμούς. καὶ γὰρ καὶ τοῦτο αὐτὸς ἐδίδαξεν, ὥσπερ καὶ τὸ πρότερον, ἐν ἀφορισμοῖς. τὸ δὲ, ὅσα δεῖ, κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, ἐνδείκνυται τὴν ποσότητα τῶν κενουμένων ἧς αὐτῆς ἐστοχάσθαι δεῖ τὸν ἰατρόν. εἶτ' ἐν παραδείγματος μοίρᾳ πρόκειται τὸ, οἷον ἱδρῶτες. καίτοι γὰρ ὠφέλιμος εἶναι δοκῶν τοῖς νοσοῦσιν ὁ ἱδρὼς, ὅμως καὶ αὐτὸς συμμετρίας χρήζει. τὸ γοῦν ἄμετρον αὐτοῦ, διαλύει τὴν δύναμιν. ὅπου δὴ ἐπὶ τῶν ἱδρώτων, ἡ ὑπερβολὴ τοῦ πλήθους ἐστὶ βλαβερά. πολλοῦ δή τοι μᾶλλον ἐπὶ τῶν ἐμουμένων, ἢ διαχωρουμένων, ἢ δι' αἱμορροΐδων, ἢ διὰ μήτρας κενουμένων.

A latentem vocatam transpirationem. Ea vox, *quando*, evidenter tempus quo sit evacuandum, declarat, utrum scilicet ab initio, ante morbi concoctionem: quando, ut ipse inquit, materia turget, & natura animalia regens ad humorum excretionem compellitur; an post vexantium humorum concoctionem; nam & hoc ipse, quemadmodum, & prius dictum, in aphorismis docuit. Illud verò, *& quantum convenit*, in calce sermonis dictum, materiæ evacuandæ quantitatem ostendit, quam sibi proponere, & conjecturâ percipere Medicum oportet. Deinde B loco exempli illud ponitur, *ut sudores*. Quamvis enim ægrotantibus conducere sudor videatur, attamen & ipse modo eget: immodicus enim vires debilitat. Quum in sudoribus verò excessus multitudinis noxius sit, multo sanè magis in iis quæ evomuntur, aut dejiciuntur, aut per mariscas aut uterum evacuantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Ἐπὶ τοῖσι μεγάλοισι κακοῖσι, πρόσωπον ἢν ᾖ χρηστὸν, σημεῖον χρηστόν. ἐπὶ δὲ τοῖσι σμικροῖσι, τοὐναντίον σημαῖνον τῇ εὐσημείῃ, κακόν.

HIPPOCRATIS TEXTUS XXXVIII.

C *In ingentibus malis facies si sit bona, signum optimum: In parvis autem contraria bonæ significationi significans, malum.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ταύτης τῆς ῥήσεως τὸ δεύτερον μέρος ἄλλος ἄλλως γράφει, τῶν ἐξηγησαμένων τὸ βιβλίον. εἰ δὲ προσθείη τις αὐτῇ τὸ, τῇ, ἄρθρον, οὐδὲν ἕξει ζήτημα τοιάδε γινομένη. ἐπὶ δὲ τοῖς μικροῖς τοὐναντίον σημαῖνον τῇ εὐσημείῃ, κακὸν, ἵνα καὶ ὁ σύμπας λόγος ᾖ τοιοῦτος. ἐπὶ τοῖς μεγάλοις κακοῖς, εἴτ' οὖν πάθεσιν, ἢ συμπτώμασιν, ἐὰν ᾖ τὸ πρόσωπον χρηστὸν, τουτέστιν ὅμοιον τῷ κατὰ φύσιν, ἀγαθόν ἐστι σημεῖον. ἐπὶ δὲ τοῖς μικροῖς, πάλιν οὖν κἀνταῦθα πάθεσιν, ἢ συμπτώμασιν, ἐὰν τοὐναντίον σημαῖνον γένηται τὸ πρόσωπον τῇ προειρημένῃ εὐσημείῃ, κακόν τι δηλώσει. τινὲς μὲν οὖν ἄντικρυς ὡς ἐξ ἀρχῆς γινομένης τῆς λέξεως μετὰ τοῦ ἄρθρου, τὴν ἐξήγησιν ἐποιήσαντο, μὴ δηλώσαντες ὅτι τὰ παλαιὰ τῶν ἀντιγράφων, οὐκ ἔχει τὸ, τῇ, γεγραμμένον πρὸ, εὐσημείῃ, τάχα τοῦ πρώτου γράψαντος τὸ βιβλίον ἁμαρτόντος. ἔνιοι δ' οὐ μόνον ἑτέρως ἔγραψαν, ἀλλὰ καὶ τὴν ἐξήγησιν οὐ προσήκουσαν ἐποιήσαντο. φυλαττόμενος δ' ἐγὼ καθάπερ ἐν ἀρχῇ προεῖπον, εἰς μῆκος ἐκτείνειν τὰ ὑπομνήματα, παραλιπεῖν ἔγνωκα τὰ πολλὰ τῶν οὐκ ὀρθῶς εἰρημένων. ἱκανὸς γὰρ εἶναί μοι δοκεῖ σκοπὸς ἐξηγήσεως, ἐὰν ἀληθῆ τε διδάσκῃ τις ἐν αὐτῇ, καὶ κατὰ τὴν γνώμην τοῦ παλαιοῦ. καθάπερ καὶ νῦν ἔνεστι ποιησάμενον ἀπηλλάχθαι πολυλογίας, ἐὰν γὰρ μεγάλων ὄντων τῶν παθῶν, τὸ πρόσωπον ἐὰν ᾖ συμπεπτωκὸς ἀξίως τοῦ νοσήματος, χρηστὸν εἶναι σημεῖον. ἐπὶ δὲ τοῖς μικροῖς ἐξ ὑπεναντίου, κακόν τι σημαίνειν, ἔξεστιν οὖν καὶ τούτοις εἴ τις ἀρέσκοιτο, χρῆσθαι. ἐγὼ δ' ἐπὶ τὴν παλαιὰν γραφὴν, καὶ τοῖς ἄλλοις ἅπασιν ἐξηγηταῖς ὁμολογουμένην μεταβήσομαι.

GALENI COMMENTARIVS.

Et istius orationis secundam partem ex Libri Enarratoribus alius aliter scribit: at si quis ipsi articulum, τῇ, addiderit, omnis quæstio tolletur, hunc in modum, in parvis autem contraria significans τῇ εὐσημείῃ τῇ, hoc est D bonæ significationi, malum; ut & integra oratio talis sit: In ingentibus malis, sive affectibus, sive symptomatibus, si sit facies bona, hoc est naturali similis, bonum est signum: in parvis verò (rursum & hîc affectibus, aut symptomatibus intellige) si facies fuerit significans contraria bonæ significationi, malum aliquod significabit. Nonnulli quidem palam, tanquam ab initio lectio articulum, τῇ, haberet, ita explanaverunt, non edocentes, vetera exemplaria eum articulum bonæ significationi adjectum non habere, fortasse primo Libri scriptore de- E cepto. Alii non solum aliter scripserunt; sed etiam absurdam explanationem commenti sunt. Ego verò, ut ab initio dixi, cavens ne longius Commentaria producerem, multa minus rectè dicta silentio præterire decrevi. Satis nanque congruens explanationis propositum mihi esse videtur, si & vera quis in ipsa, & ad veteris mentem edoceat: quemadmodum & nunc facienti à loquacitate discedere licet. Nam si in magnis affectibus pro eorum magnitudine facies collapsa non sit, bonum signum est: in F parvis autem, è contrario malum quoddam significat. Licet igitur & his, si cui placeant, uti: ego verò ad veterem lectionem, & ab omnibus aliis Explanatoribus concessam me recipiam.

HIPPOCRATIS TEXTUS XXXIX.

Apud magnum, ubi mulier post heroum, arquato superveniente.

GALENI COMMENTARIUS.

Sive superioris locutionis finis est hæc particula, *apud magnum*, aut loci alicujus index, illis quærendum relinquam, qui medicinalia prætereuntes, ut Grammatici quàm Medici interpretari maluerunt. Satis est enim de his vocibus, *apud magnum*, illud tantum dixisse, quod veteres Interpretes dixerunt, aut theatrum, aut odion, id est locum, ubi poemata recitabantur, aut gymnasium heroum, aut domum aliquam, aut quodlibet aliud hujusmodi, ab hac voce, *magnum*, significari. Transgressum autem deinceps ad artis opera, illa considerare utile est. Quod per Heroum, aut post Menelaum (quidam enim ita scribunt) ægrotus ille jaceret, nihil quicquam utilitatis habet; quemadmodum neque quod deinceps dictum est, arquato superveniente, & si quammaxime ipsi Hippocrati ad reminiscentiam utile foret, fortasse quidem prædictorum: forte verò & ipsum per se; affectus enim aut coloris arquati mulieri supervenientis memoriam revocat. Et hoc loco apud veteres Explanatores, & in vetustis codicibus, verba hæc in margine dicta sunt: secundùm alios quosdam etiam Interpretes his vocibus, *arquato superveniente*: hæc adjecta est, permansit, quemadmodum & apud quosdam alios cum negatione, non permansit: nonnulli vero, & hanc vocem, ipsi apponunt. Sed istud quidem in locutione differentiam, non in sententia facit, at priora sensum in contrarium mutant: nam quum arquatum affectum, aut colorem altera lectio permansisse significet, altera non permansisse affirmat. Per se igitur præsens sermo scriptus neque si permansit, dicat, neque si, non permansit, quicquam utilitatis nobis afferre potest, quomodo ægrotaret, aut quo modo affecta esset ignorantibus. At si supra scriptis annectatur, prorsum supervacuus est: satis est enim hoc solum dictum esse, arquato superveniente, hoc exemplo citra faciem apparente, tanquam alia exigua esse, si sola dicta forent, viderentur: at ipse contrarium significavit, quoniam valde à naturali statu mutata est. Quod enim infertur hoc me testari docebit, ad quod alias præsentis sermonis explanationes dimittentem transire jam tempus est. Fortassis enim & ea quæ nunc dicta sunt, præter nostrum propositum longiora fuerunt: quum prætermittere decreverim, quæcunque legentibus ipsa adolescentibus nihil ad artem profutura sunt. Neque enim ad sophisticam facultatem, quam prorsus odio persequor, eos præparare constituo; sed artis opera in præsagiendo atque curando, in quibus etiam me semper exercui.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ΄.

Παρὰ τὸ μέγα, οὗ ἡ γυνὴ ὄπισθεν τῶν ἡρώων, ἰκτεριώδεος ἐπιγινομένου.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴ τε τῆς προγεγραμμένης ῥήσεως ἐστὶ τέλος τὸ παρὰ τὸ μέγα οὗ, τουτὶ τὸ λεξίδιον, εἴ τε τόπου τινὸς B δηλωτικὸν, ἐάσω ζητεῖν τοῖς τὰ μὲν ἰατρικὰ παρεξέρχουσιν, ὡς γραμματικοῖς δὲ μᾶλλον, ἢ ὡς ἰατροῖς ἐξηγεῖσθαι προαιρουμένοις. ἀρκεῖ γὰρ ἐπὶ μὲν τοῦ, παρὰ τὸ μέγα, τοσοῦτον εἰπεῖν, ὅσον οἱ παλαιοὶ τῶν ἐξηγητῶν εἶπον, ὡς ἤτοι θέατρον, ἢ ᾠδεῖον, ἢ γυμνάσιον ἡρώων, ἢ οἴκημά τι δηλοῦται, διὰ τῆς μέγα λέξεως, ἢ ὁποιοῦν ἄλλο τι τοιοῦτον. μεταβαίνοντα δ' ἐφεξῆς, εἴ τι πρὸς τὰ τῆς τέχνης ἔργα χρήσιμόν ἐστιν, ἐκεῖνο σκοπεῖν, ὅτι τῶν ἡρώων ὄπισθεν, ἢ ὅτι, τοῦ Μενελάου, τινὲς οὕτω γράφουσιν, ὁ ἄρρωστος ἐκεῖνος κατέκειτο, χρήσιμον ἔχει τι, C καθάπερ οὐδὲ τὸ τούτων ἐφεξῆς εἰρημένον, ἰκτεριώδεος ἐπιγινομένου. εἰ καὶ ὅτι μάλιστα χρήσιμον ἦν αὐτῷ τῷ Ἱπποκράτει, πρὸς ἀνάμνησιν, ἴσως μὲν τῶν προειρημένων, ἴσως δὲ καὶ αὐτὸ καθ' ἑαυτό. πάθους γὰρ, ἢ χρώματος ἰκτεριώδους ἐπιγινομένου τῇ γυναικὶ ἐπιμέμνηται, κἀνταῦθα παρά τε τοῖς παλαιοῖς ἐξηγηταῖς, καὶ τοῖς ἀντιγράφοις ἡ ῥῆσις παραγέγραπται. καὶ ἄλλους δέ τινας ἐξηγητὰς, πρόσκειται τῷ ἰκτεριώδεος ἐπιγινομένου, τὸ παρέμεινεν. ὥσπερ αὖ καθ' ἑτέρους μετὰ τῆς ἀποφάσεως τὸ, οὐ, παρέμεινεν. ἔνιοι δὲ τὸ, αὐτῇ, προστιθέασιν. D ἀλλὰ τοῦτο μὲν τῇ λέξει τὴν διαφορὰν, οὐκ ἐν τῇ διανοίᾳ λαμβάνει. τὰ δὲ πρότερα, τὴν διάνοιαν ἐπὶ τοὐναντίον ὑπαλλάττει, τὸ γὰρ ἰκτεριῶδες πάθος, ἢ χρῶμα τῆς ἑτέρας γραφῆς παραμεῖναι δηλούσης, ἡ ἑτέρα φησὶ μὴ παραμεῖναι. καθ' ἑαυτὴν οὖν γεγραμμένης τῆς προκειμένης ῥήσεως, οὔτ' εἰ παρέμεινεν, οὔτ' εἰ μὴ παρέμεινεν, ἔχει τι χρήσιμον ἡμῖν τοῖς οὐκ εἰδόσιν ὅπως ἐνόσησεν, ἢ τίνα διάθεσιν ἔσχεν. εἰ δὲ τοῖς ἐπιγεγραμμένοις συνάπτοιτο, περιττὴ ὅλως ἐστίν. ἀρκεῖ γὰρ εἰρῆσθαι μόνον τὸ, ἰκτερώδεος ἐπιγινομένου, παραδείγματος τούτου τοῦ E περὶ τὸ πρόσωπον φανέντος, ὡς τῶν ἄλλων δοκούντων μικρῶν εἶναι μόνων, ἐδήλωσε τοὐναντίον, ἐπειδὴ μεγάλως ἐξετράπη τοῦ κατὰ φύσιν. καὶ γὰρ τὸ ἐπιφερόμενον τοῦτό με διδάξει διαμαρτυρεῖν, ἐφ' ὃ μεταβαίνειν ἤδη καιρὸς ἐάσαντα τὰς ἄλλας ἐξηγήσεις τῆς προκειμένης ῥήσεως. ἴσως γὰρ, καὶ τὰ νῦν εἰρημένα, παρὰ τὴν ἐμαυτοῦ προαίρεσιν μηκύνει, παραλιπεῖν ἐγνωκότος ὅσα τοὺς ἀναγινώσκοντας αὐτὰ νέους οὐδὲν εἰς τὴν τέχνην ὀνίνησιν. οὐ γὰρ σοφιστικὴν παρασκευὴν πρόκειταί μοι παρασκευάζειν αὐτοῖς, ἣν ἐμίσησα διὰ παντὸς, ἀλλ' ἐπὶ τὰ τῆς τέχνης F ἔργα, κατά τε πρόγνωσιν καὶ θεραπείαν, ἃ κἀμοὶ διὰ παντὸς ἠσκήθη.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα΄.

Ο Παρὰ Τιμηνέω ἀδελφιδῆ, ὗτος μελάγχροος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ πρὸς τὰ περὶ τοῦ προσώπου λελεγμένα καὶ τοῦτ' ἀναφέροι τις, ἕξει τι χρήσιμον ὡς ἐν παραδείγματος μοίρᾳ λελεγμένον. Εἰκὸς γὰρ καὶ τοῦτον ἐπὶ μικροῖς τοῖς ἄλλοις ἐκτροπὴν τοῦ σώματος εἰς τὸ παρὰ φύσιν ἐσχηκότα μεγάλην, ἀποθανεῖν, ἢ κινδυνεῦσαι διὰ τοῦτο μόνον. εἰ δὲ καὶ μελάγχλωρος εἴη γεγραμμένον, ἀντὶ τοῦ μελάγχροος, ὡς ἐν ἐνίοις τῶν ἀντιγράφων εὕρομεν, ἔτι καὶ μᾶλλον δόξει κάκωσίν τινα μεγάλην ἐνδείκνυσθαι τοῦτο μόνον τὸ χρῶμα, καίτοι τῶν ἄλλων μικρῶν γινομένων τῷ κάμνοντι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβ΄.

Ἐν Περίνθῳ τὸ γονοειδὲς, τὸ τοιοῦτον ὅτι κρίσιμον, καὶ τὰ περὶ ἦτρον τὰ τοιαῦτα. ὅτι αἱ οὐρήσιες ῥύονται, ὅτι οὔτε φύσης πολλῆς, οὔτε κόπρου πολλῆς γλίσχρης διϊδούσης ἐλαπάσσετο. οὐ γὰρ δὴ μέγα ἦν τὸ ὑποχόνδριον. κράμβην ἑβδομαῖος ἔφαγεν, ἔτι δύσπνοος ὤν, τὰ περὶ τὸ ἦτρον ἐλαπάσσετο, εὔπνοος ἐγένετο, ἡ κοιλίη αὐτοῦ ἐξεπίναξεν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἀρχὴν τῆς προκειμένης ῥήσεως, ἀλλὰ τελευτὴν τῆς προτέρας οἱ περὶ Σαβῖνον ἡγοῦνται τὸ, ἐν Περίνθῳ· καθόλου μὲν γάρ φησι τὸν νῦν λόγον εἶναι, ἐν μέρει δ' ἐκεῖνον, εἰωθότα δὲ τοῖς ἐν μέρει λόγοις τὸν Ἱπποκράτην προσγράφειν, ἤτοι τὰ τῶν χωρίων, ἢ τὰ τῶν παθόντων ὀνόματα. καίτοι οὗτος ὁ νῦν λεγόμενος λόγος, ὅτι τῶν ἐπὶ μέρους ἐστὶ, δῆλον ἐξ ὧν ἐπιφέρων αὐτὸς εἶπεν ὁ Ἱπποκράτης, ὅτι οὔτε πολλῆς φύσης, οὔτε κόπρου πολλῆς γλίσχρης διϊδούσης ἐλαπάσσετο· πολλὰ δὴ ἐν τοῖς τῶν ἐπιδημιῶν γέγραπται μὲν ἐπί τινων ἑωραμένα κατὰ μέρος, ὑποπέπτωκεν δὲ καθολικοῖς θεωρήμασιν, ἤτοι διηνεκέσιν, ἢ ὡς τὸ πολὺ γινομένοις. οὕτως οὖν καὶ νῦν γονοειδὲς, εἴτε οὖρον, εἴτε διαχώρημα γινόμενον ἐν Περίνθῳ κρίσιμον ἐφάνη, πότερον ἢ ὀλίγοις ἢ πολλοῖς, ἢ ἑνὶ τὸ τοιοῦτον συμβαίνει, κατὰ τὴν λέξιν αὐτοῦ τοῦ Ἱπποκράτους οὐ διώρισται. πιθανώτερον δὴ ἐστὶν ἐπὶ πολλῶν αὐτὸ πεφυκέναι κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιδημῆσαι, ἡνίκα ἔγραφεν ὁ Ἱπποκράτης ταῦτα. ὅταν μὲν γὰρ ἐφ' ἑνός τινος γινόμενόν τι γράφει, προστίθησιν, ἤτοι τὸν τόπον τῆς πόλεως ἐν ᾧ τὸν ἄνθρωπον εἶδε κατακείμενον, ἢ τὴν ἡλικίαν, ἢ τοὔνομα. τῶν πόλεων δὴ εἴωθε μνημονεύειν ὀνομαστὶ, κατ' ἐκείνας τὰς διηγήσεις ἐν αἷς πολλοὺς ἐθεάσαντο παθόντας ταῦτα. τοῦτο μὲν οὖν, οὐ μεγάλην ἔχει διαφορὰν, ὡς πρὸς τὰ τῆς τέχνης ἔργα, καὶ συναπτέτω τις οἷς βούλεται, τὸ ἐν Περίνθῳ. τὸ γονοειδὲς δὲ οὖρον, ἢ καὶ διαχώρημα γένοιτ' ἄν ποτε κρίσιμον, ὅταν ὁ καλούμενος ὑπὸ Πραξαγόρου χυμὸς ὑαλώδης ἐκκενοῦται. τὸ δὲ καὶ τὰ περὶ ἦτρον τὰ τοιαῦτα, δεῖται μὲν οὖν τὸ προειρη-

A

HIPPOCRATIS TEXTUS XLI.

QVi apud Timenei neptem, iste nigro viridique colore suffusus.

GALENI COMMENTARIUS.

SI ad ea, quæ de facie dicta sunt, & hoc quis refert: aliquid utilitatis percipiet, ac si loco exempli dictum sit. Par est enim, & hunc, cum B alia essent exigua, corpore à naturali statu longe permutato, propter id solum aut mortuum esse, aut in mortis discrimine versatum. Quòd si μελάγχλωρος, scriptum sit, pro eo, quod est μελάγχροος, hoc est nigræ cutis, ut in quibusdam codicibus reperimus, adhuc etiam magis solus iste color magnam quandam noxam significare videbitur, quamvis alia in ægrotante exigua forent.

HIPPOCRATIS TEXTUS XLII.

C *IN Perintho seminis speciem referens, tale judicatorium: Et quæ circa abdomen talia, quia mictus liberant: quoniam neque flatu multo, neque stercore multo tenaci dejecto evacuabatur; neque enim magna erant præcordia. Brassicam septimo die comedit, adhuc ægrè spirans, partes circa abdomen purgatæ sunt, rectè spirans effectus est, aluus ipsi expulit.*

GALENI COMMENTARIUS.

D NOn præsentis sermonis initium, sed prioris finem has voces, in Perintho, Sabinus esse censet: hunc enim sermonem communem, illum privatum esse dicit: consuevisse autem Hippocratem, privatis sermonibus aut locorum, aut ægrotantium nomina adjicere. Atque presens sermo quod in parte sit, ex his cõstat, quæ ipse Hippocrates subdens ait, quod neque multo flatu neque stercore multo tenaci dejecto evacuabatur. Multa verò in voluminibus de morbis popularibus in quibusdam particulatim visa scripta sunt, universalibus autem præceptis, aut ple- E rumque veris subjecta sunt. Sic igitur & nunc gonoides, hoc est seminis speciem referens, sive lotium, sive alvi recrementum ejectum, in Perintho judicatorium apparuit: Utrùm paucis, an uni, istud acciderit, non est ex ipsius Hippocratis verbis definitum: sed verisimilius est istud ea tempestate, qua hæc Hippocrates scribebat, in multos grassans apparuisse. Quando enim aliquod in uno quopiam fieri scribit, aut locum civitatis, in quo hominem decumbentem vidit, aut ætatem, aut nomen apponit. Ci- F vitatum autem nomine proprio meminisse in illis narrationibus solitus est, in quibus multos eadem passos conspicatus est: hoc verò, quantum ad artis opera pertinet, non multum refert: & hoc, in Perintho, cum quibus velit quispiam, conjungito. At seminis speciem referens lotium, vel etiam dejectio, fuerit sanè judicatorium, quoniam humor à Praxagora vitreus nominatus evacuatus est: Sed hoc, *& quæ circa abdomen talia,* ad antedictum sanè referri de-

bet: talia enim ad alterum referri dicuntur, nihil autem de abdominibus prædictum est. Forsassis igitur cum primum exemplar ex Hippocratis Commentariis describeretur, aliquod hujusmodi scriptum omissum fuit: aut ipse sibi ipsi hoc, quod ad primum ægrotum referatur, memoriæ causâ scripsit, de quo id solum prædixerat: qui apud Timenei neptem, iste nigræ cutis erat. Verum nonnulli propter hanc ambiguitatem sic sanè duplicem lectionem explanabant, *judicatorium*, & quæ citra abdomen, perinde ac si ita scriptum esset: Seminis speciem referens urina judicatoria est, & ab affectibus abdominis extrahi oportet: iterumque ab alio initio dicatur, talia quia mictus sanant, ut intelligamus, *talia*, quæ in abdomine fiunt. Atque hujus rei testimonium deinceps scripsit, quod neque multo flatu, neque stercore multo tenaci dejecto evacuabatur, hoc est, nullo alio affecto, quod abdominis tumorem dissolvere posset, per sola seminis similia lotia morbus judicatus est. Forsan enim tale quoddam abdomen erat, quale in præsagiorum libro ipse per hæc verba narravit: Ex præcordiis dolores, & tumores, si recentes sint, & absque inflammatione, solvit strepitus in præcordiis ortus, & maxime quidem cum stercore, & lotio, & flatu egressus: si verò ipse non transgressus sit, juvat saltem & in inferiores partes descendens. Neque enim phlegmonem aut aliquod aliud ipsa etiam contumacius, in jecore, aut intestinis, aut ventriculo conflatum, seminis simile lotium solum redditum discutere potuisset. Propterea igitur ipse intulit: neque enim magna erant præcordia; quoniam si magna fuissent, non utique per urinæ semini similis excretionem, dissolvi atque attenuari potuissent. Cæterum quoniam quod subditur, cum ita prædictis non admodum concordare videtur, iccirco nonnulli ab alio initio ipsum legebant, hanc vocem, οὗ cum spiritu crasso scribentes, & articulum masculinum genitivi casus facientes, ut si & ejusmodi oratio esset: Cujus enim hominis magna erant præcordia, brassicam is septimo die comedit, adhuc ægre spirans: postquam verò abdomen purgatum est, recte spirans fuit, hoc est, bene spirans, & naturaliter spiritum ducens. Non scripsit tamen, utrum ducens alvum brassica subsidio fuit, an digestionis ratione. Sed quidam hanc vocem, recte respirans, explanaverunt, orthopnoicon vocatum difficilis spirationis modum ab ipsa significari dicentes. In ænigmaticis enim sermonibus quicquid libuerit, quisque dicere potest, nullam insignem utilitatem nobis ex illis percipientibus, in quibus neque certam Hippocratis mentem, sed Explanatorum, perdiscere licet.

A μένον ἀναφέρεσθαι, τὰ γὰρ τοιαῦτα πρὸς ἕτερον ἀναφέρεσθαι λέγεται· προείρηται δὲ οὐδὲν περὶ τῶν ἤτρων. ἴσως οὖν, ἢ ἐν τῷ γράφεσθαι τὸ πρῶτον ἀντίγραφον ἐκ τῶν ὑπομνημάτων τοῦ Ἱπποκράτους παρελείφθη τι τοιοῦτον γεγραμμένον, ἢ αὐτὸς ἑαυτῷ τοῦθ᾽ ὑπεμνημονεύσατο πρὸς τὸν πρῶτον ἄρρωστον ἀναφερόμενον, ὑπὲρ οὗ προεῖπε τοῦτο μόνον, ὁ παρὰ Τιμηνέῳ ἀδελφιδῇ, οὗτος μελάγχροος. ἔνιοι δὲ διὰ ταύτην τὴν ἀπορίαν, ὧδέ πως διπλῆν διῆλθον τὴν ῥῆσιν, ὅτι κρίσιμον, καὶ τῶν ἤτρων, ὥσπερ καὶ οὕτως B ἐγέγραπτο. τὸ γονοειδὲς οὖρον ὅτι κρίσιμόν ἐστι, καὶ τῶν κατὰ τὸ ἦτρον παθῶν ἐπισπᾶσθαι χρὴ, καὶ πάλιν ἀπ᾽ ἄλλης ἀρχῆς. τὰ τοιαῦτα ὅτι αἱ οὐρήσιες ῥύονται ἵν᾽ ἀκούσωμεν τὰ τοιαῦτα, τὰ κατὰ τὸ ἦτρον γινόμενα· καὶ τούτου γε μαρτύριον ἐφεξῆς ἔγραψεν, ὅτι οὔτε ἡ φύσης πολλῆς, οὔτε κόπρου πολλῆς γλίσχρης διελθούσης, ἐλαπάσσετο, τουτέστιν οὐδενὸς ἄλλου γινομένου, τοῦ κατὰ τὸ ἦτρον ὄγκον λῦσαι δυναμένου, ἐπὶ μόνοις τοῖς γονοειδέσιν οὔροις ἐκρίθη τὸ νόσημα. τάχα γὰρ τοιοῦτόν τι τὸ ἦτρον ἦν ὁποῖον καὶ ἐν τῷ προγνωστικῷ διῆλθεν αὐτὸς C ἐν τῇδε τῇ λέξει. τοὺς δ᾽ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν νεαρά τε ᾖ, καὶ μὴ σὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεξελθὼν σὺν κόπρῳ τε καὶ οὔρῳ, εἰ δὲ μὴ καὶ αὐτὸς διαπεραιωθεὶς, ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία. οὐ γὰρ δὴ φλεγμονὴν, ἤ τι ταύτης ἔτι δυσλυτώτερον ἐν ἥπατι συστὰν, ἢ ἐν ἐντέροις, ἢ ἐν γαστρὶ, γονοειδὲς οὖρον ἔλυσεν ἂν μόνον γινόμενον, διὰ τοῦτ᾽ οὖν ἐπήνεγκεν αὐτός· οὐ γὰρ δὴ μέ- D γα ἦν τὸ ὑποχόνδριον, ὡς εἴ γε ἦν μέγα, μὴ ἂν λυθέντος αὐτοῦ, διὰ τῆς τοῦ γονοειδοῦς ἐκκρίσεως. ἐπεὶ δὲ τὸ ἐπιφερόμενον οὐ πάνυ τι φαίνεται συνᾴδειν τοῖς οὕτω προειρημένοις, διὰ τοῦτό τινες ἀπ᾽ ἄλλης ἀρχῆς ἀνέγνωσαν αὐτὸ, δασύνοντες κατὰ τὴν πρώτην συλλαβὴν τὴν οὗ, καὶ ποιοῦντες ἄρθρον ἀρσενικὸν πτώσεως γενικῆς, ὥσπερ καὶ οὕτως εἶπεν. οὗ γὰρ δὴ ἀνθρώπου μέγα ἦν τὸ ὑποχόνδριον, κράμβην ἑβδομαῖος ἔφαγεν, ἔτι δύσπνοος ἐών. ἐπεὶ δὲ τὸ ἦτρον ἐλαπάχθη, εὐθύπνοος ἐγένετο, τουτέστιν εὔπνοός τε, καὶ κατὰ φύσιν ἀναπνέων. οὐ μὴν ἔγρα- E ψε πότερον ὑπαγαγοῦσα τὴν κοιλίαν ἡ κράμβη τὴν ὠφέλειαν ἐποίησεν, ἢ κατὰ τὸν τῆς ἀναδόσεως λόγον. ἔνιοι δὲ ὡς κληθέντος αὐτοῦ, τὴν εὐθύπνοος λέξιν ἐξηγήσαντο, σημαίνεσθαι λέγοντες ἐξ αὐτῆς τὸν ὀρθοπνοϊκὸν καλούμενον τῆς δυσπνοίας τρόπον. ἐν γὰρ ταῖς αἰνιγματώδεσι ῥήσεσιν ὅ τι ἄν τις ἐθέλῃ, δύναται λέγειν, οὐδὲν ἡμῶν ἀξιόλογον ὠφελουμένων ἐν αὐταῖς. ἐν αἷς οὐδὲ τὴν Ἱπποκράτους γνώμην ἔνεστι μαθεῖν ἀκριβῶς, ἀλλὰ τὴν τῶν ἐξηγητῶν.

HIPPOCRATIS TEXTUS XLIII.

De sanguine ichoroide, quòd in pavidis talis, aut in vigilantibus, & sive malus, sive bonus.

F ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγʹ.

Περὶ τοῦ αἵματος τοῦ ἰχωροειδέος, ὅτι ἐν τοῖσι πτοώδεσι τὸ τοιοῦτον, ἢ ἐν τοῖσιν ἠγρυπνηκόσιν, καὶ εἴ τε φαῦλον εἴ τε χρηστόν.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ἁπλῶς τὸ λεπτὸν, καὶ ὑδατῶδες αἷμα, καλεῖν αὐτὸν ἰχωροειδὲς ὑποληπτέον ἐστὶν, ἀλλὰ τὸ μετά τινος ἰώδους, καὶ κακοήθους δυνάμεως. ἐν γὰρ τῷ δευτέρῳ τῶν ἐπιδημιῶν αὐτὸς ἔγραψε, καὶ ὑπὸ τῷ δέρματι ἰχῶρες ἐγίνοντο, ἐγκαταλαμβανόμενοι δὲ ἐθερμαίνοντο, καὶ κνησμὸν ἐνεποίουν, εἶτα φλυκταινίδες, ὥσπερ πυρίκαυστοι ἀνίσταντο, καὶ ὑπὸ τὸ δέρμα καίεσθαι ἐδόκεον. εὔδηλον οὖν ὅπως ὑπὸ τῶν ἰχώρων οὐ σμικρὰ συμπτώματα γίνεσθαί φησι. καὶ ὁ Πλάτων δὲ ἐν τῷ Τιμαίῳ τοῦτόν τι σημαίνει, διὰ τῆς ἰχώρων προσηγορίας ὧδέ πως λέγων. » ἰχὼρ δὲ ὁ μὲν αἵματος ὀῤῥὸς, πρᾶος. ὁ δὲ μελαίνης χο» λῆς, ὀξείας δὲ, ἄγριος. ἰχωροειδὲς οὖν αἷμα καλεῖται τὸ περιέχον ἐν ἑαυτῷ μοχθηρὰν ὑγρότητα λεπτὴν, οὐχ ὑδατώδη, καὶ ἄδηκτον, ἀλλὰ δακνώδη καὶ διαβρωτικήν. εἰπόντος δὲ τοῦ Πλάτωνος, ἰχὼρ δὲ ὁ μὲν αἵματος ὀῤῥὸς πρᾶος. ὁ δὲ μελαίνης χολῆς, ὀξείας δὲ, ἄγριος. εὔδηλον ἐγένετο ἡμῖν, καθάπερ ἐπὶ τοῦ γάλακτος ὀῤῥώδης τίς ἐστιν ὑγρότης οἷον περίηθημα, καὶ περίχυμα τοῦ παχυτέρου ἐν ἑαυτῷ, τὸν αὐτὸν τρόπον, ἐπὶ πάντων εἶναι χυλῶν τε καὶ χυμῶν, ὀῤῥώδη τινὰ καὶ λεπτὴν ὑγρότητα. διοίσουσιν οὖν ἀλλήλων δηλονότι κατὰ τὰς φύσεις τῶν χυμῶν ὧν εἰσιν ὀῤῥοὶ, καὶ γενήσεται χαλεπώτατος μὲν, ὁ τῆς μελαίνης χολῆς, ἧττον δὲ χαλεπὸς, ὁ τῆς ξανθῆς, καὶ τούτου μᾶλλον ὁ τοῦ φλέγματος. ἐπιεικέστατος δὲ πάντων ὁ τοῦ αἵματος ὀῤῥός τε καὶ ἰχώρ. οὐδὲ γὰρ ἐν τῷ παρόντι διοίσει λέγειν οὕτως ἢ ἐκείνως, ἀλλ' ἐπειδὴ διττῶς τὸ αἷμα λέγομεν, ἐνίοτε μὲν ἀντιδιαιρούμενοι πρὸς τοὺς ἄρτι λεγομένους χυμοὺς, ἐνίοτε δὲ κατ' ἐπικράτειαν ὅλον τὸν ἐν τοῖς ἀγγείοις χυμὸν, ἰχωροειδὲς αἷμα νῦν ἀκουστέον ἐστὶ τὸ κατὰ τὸ δεύτερον σημαινόμενον, ὥσπερ καὶ λέγειν ἐστὶ καὶ συνήθες ἅπασι τοῖς ἰατροῖς ἐν ταῖς φλεβοτομίαις. ἐνίοτε μὲν ὀῤῥῶδες, ἐνίοτε δὲ μελαγχολικὸν, ἢ φλεγματῶδες, ἢ χολῶδες, ἔστι δ' ὅτε κατὰ φύσιν ἔχον ἐκκεχεῖσθαι τὸ αἷμα. διὰ παντὸς <u>μὲν ἐστι</u> πτοώδεις, ὅπερ ἐστὶ τεταραγμένους μετὰ φόβου, ποιήσει τὸ ἰχωροειδὲς αἷμα, καὶ ἀγρύπνους γε προσέτι. ἐὰν δὲ καὶ μοχθηροῦ χυμοῦ τινὸς, μὴ μόνον τοῦ αἵματος ὀῤῥὸς ἐν τοῖς αἱματικοῖς ἀγγείοις περιέχηται, καὶ παραφροσύνας, καὶ φρενίτιδας, καὶ μανίας ἐργάσεται. ἀλλὰ νῦν γε τοῦ αἱματώδους ἔοικεν ὀῤῥοῦ μνημονεύειν, ἀνάμνησιν ἑαυτῷ τινὰ γράφων τήνδε. δειλίαν μὲν ἐργάζεσθαι τὸν φλεγματικὸν ὀῤῥὸν εἰκός ἐστιν, οὐ μὴν ἀγρυπνίαν, ἢ ταραχὴν, ἢ κίνησιν ψυχῆς πτοώδη. τὸ νωθρὸν γὰρ αὐτῷ καὶ ψυχρὸν ὑπάρχει μόνον, οὐ τὸ δακνῶδές τε καὶ κακόηθες. εἰ μή ποτ' ἄρα καὶ τοῦτο διαφθαρὲν, ὀξὺ ἢ ἁλμυρόν τε γένοιτο. ἀλλ' ἐκεῖνό γε ζητήσεως ἄξιόν ἐστιν ὅπερ ἔφη, καὶ εἴ τε φαῦλον, εἴ τε χρηστόν. εἰ μὲν γὰρ ἁπλῶς τι ἀποφαίνοιτο φαῦλον εἶναι τὸ ἰχωροειδὲς αἷμα, καλῶς δόξει λέγειν. τὸ γὰρ οὕτω λεγόμενον πᾶν, πρὸς τὸ κατὰ φύσιν παραβάλλεται· εἰ δέ τις τοῖς τῶν ἄλλων χυμῶν ἰχῶρσιν ἀντιπαραβάλλων τὸν τοῦ αἵματος ἰχῶρα, μὴ πονηρὸν, ἢ ἀγαθὸν εἶναι λέγοι, καὶ οὗτος ἀληθεύειν ὀρθῶς νομισθείη. πολλάκις δ' εἰώθασι, καὶ οἱ νῦν ἄνθρωποι, καὶ οἱ παλαιοὶ τὸ ἧττον μοχθηρὸν ὀνομάζειν ἀγαθὸν, ἢ χρηστὸν, ἢ

μὲν οὖν

GALENI COMMENTARIUS.

NOn ſimpliciter tenuem, & aqueum ſanguinem ab ipſo ichoroidea vocari ſuſpicandum eſt, eſt ſed eum, qui venenoſa aliqua & maligna facultate præditus ſit. In ſecundo namque de morbis popularibus ipſe ſcripſit: Et ſub cute ichores creabantur, incluſi autem caleſcebant, & pruritum excitabant: deinde puſtulæ, ut ambuſtis, exurgebant, & ſub cute uri ſe putabant. Conſtat igitur, ut ex ichoribus haud exigua ſymptomata oriri dicat. Plato etiam in Timæo per hanc vocem, *ichores*, tale quiddam ſignificat, hæc inquiens: Ichor autem, ſanguinis quidem ſerum, mitis: nigræ verò bilis, ſed acidæ, ferus. Ichoroides itaque ſanguis vocatur, in ſe pravam, ac tenuem humiditatem continens, non aqueam & morſu carentem, ſed mordacem, & erodentem. Dicente autem Platone, Ichor verò, ſanguinis quidem ſerum, mitis: nigræ verò bilis, ſed acidæ, ferus, nobis declaratum eſt, quemadmodum in lacte ſeroſa quædam humiditas eſt, veluti colamentum, & circumfluitans craſſiorem ejus partem, eodem ſanè modo in omnibus ſuccis & humoribus ſeroſum quendam, at tenuem liquorem reperiri. Different autem inter ſe ſecundum eorum ſcilicet humorum naturas, quorum ſerum eſſe diceretur, & erit infeſtiſſimum atræ bilis ſerum: minus infeſtum flavæ: minus item, quàm hoc, pituitæ: ſed omnium mitiſſimum eſt ſanguinis ſerum, & ichor; nihil enim in præſentia referet hoc aut illo modo dicere. Verum quoniam bifariàm ſanguinem appellamus, interdum eum à nuper dictis humoribus diſtinguentes, interdum à ſuperante omnes in vaſculis ſuccos ſanguinem vocantes, ichoroides ſanguis nunc in ſecunda ſignificatione accipiendus eſt: quemadmodum & omnes medici in venæ ſectione dicere aſſolent, interdum ſeroſum, interdum melancholicum, aut pituitoſum, aut bilioſum, nonnunquam & naturalem ſanguinem effluxiſſe dicentes. Omnino quidem pavidos, hoc eſt cum terrore perturbatos, præterea etiam vigiles, ichoroides ſanguis efficiet: quod ſi vitioſa alicujus ſucci non modo ſanguinis ſerum in ſanguinariis vaſculis contineatur, & deliria, & phrenitidas, & furores pariet: ſed hoc loco ſanguinei ſeri meminiſſe videtur, quoddam ſibi ipſi memoriæ ſubſidium ſcribens. Timiditatem quidem, pituitæ ſerum facere par eſt, non tamen vigiliam, aut perturbationem, aut animi motum cum terrore: torpor enim ipſi & frigus ineſt ſolum, non mordacitas atque malignitas: niſi forte & ipſa planè vitiata, acida, aut ſalſa evaſerit Sed illud profectò quæſitu dignum eſt, quod ipſe inquit, *& ſive malus, ſive bonus*: nam ſi quis abſolute malum eſſe ichoroidea ſanguinem aſſerat, rectè dicere videbitur: omnis enim ſanguis ita vocatus naturali comparatur. At ſi quiſpiam aliorum ſuccorum ichoribus ſanguinem comparans, non pravum eum, aut bonum eſſe dicat, iſte quoque verum dicere haud injuriâ putabitur. Plerumrunque autem & noſtræ tempeſtatis homines, & antiqui, minus malum, bonum, aut probum, aut laudabile, aut aliqua id genus voce appellare

lare consueverunt, & præsertim cùm magnus quidam excessus fuerit valde pravi ab eo, quod modice à naturali statu discesserit. Quare, & ichoroides sanguis, quærente Hippocrate, malus ne an bonus sit, possumus nos ita ferre sententiam. Optimo quidem sanguini comparatus, malus est: aliis verò omnibus, quibus alterius cujusdam vitiosi succi ichor admistus fuerit, longe melior, & optabilior, atque iccirco bonus est.

HIPPOCRATIS TEXTUS XLIV.

Quibus lienis est declivis, pedes, & manus, & genua calida; nasus, & aures frigidæ semper: num propter hoc, quod sanguis? num & naturâ talem isti habent?

GALENI COMMENTARIUS.

Quòd declivis lienis deorsum vergens dicitur, & ex ipsa voce discere licet. Utrùm autem ob ipsius tumores in partibus inferioribus excitatos, an cùm in ipsas inferiores corporis partes vitiosos in se contentos humores depellit, iccirco declivem lienem appellaverit; hoc non item ex voce hac percipi potest. Possumus quidem, quantum ad rerum naturam petinet, secundum utrumque dictum modum, declivem lienem ab ipso vocatum esse intelligere: pedes enim, inquit, & manus, & genua calida: nasus autem, & aures frigidæ. Genua quidem, & pedes declivi liene calida apparere rationabile est, quemadmodum & nares, & aures frigidas: manus autem in declivi morbo calidas esse nulla ratio demonstrat, potius enim quispiam ipsas inter superiores partes collocaverit; sin minus, at saltem neque inter inferiores. Quòd igitur aures, & nasus frigidi sint, inferiores verò partes calidæ, causam speculans Hippocrates inquit, utrum propterea, quod tenuem habent sanguinem, cum lienes declives sunt? Aliqui verò non lienis contra respondere istud aiunt, num & naturâ talem isti habent? sed illi, quod postea scriptum est, totumque sermonem, ita constituunt, num, & naturâ talem isti habent, ut suppurationibus? Considerandum igitur deinceps exquisitius de ipso erit, an, ut suppurationibus, cum istis prædictis ita scribentes copulent: sed qui hoc deinceps scriptorum initium esse volunt hanc vocem, *ut*, auferunt, ac talem orationem faciunt: suppurationibus terminus, suppuraturis ventres perturbantur, suppuratorum indicium ventris perturbationem statuentes. Non de omnibus autem suppurantibus, sed de iis solis, quæ per intestinorum excretionem erumpunt, signum hoc scribit Hippocrates. Quòd verò sine distinctione, de quibus intelligat, narrationem fecerit, nihil mirum, si ejus, quod à principio dictum est, meminerimus, ipsum videlicet sibi ipsi hæc ut materiam quandam ad libros conficiendos præscribere: solum enim ad eorum, quæ significare sibi ipsi vult, reminiscentiam pertinet in scriptura positum, istud scilicet, ventres perturbantur, ipso dicente, ventres in hujusmodi suppurationibus perturbari, quæ cum erupturæ sunt, ichor quidam tenuis ex pure prius exudat, à quo intestina

A ἐπαινετὸν, ἤ τι τοιοῦτον, καὶ μάλιστα ὅταν ἡ μεγάλη τις ὑπεροχὴ τοῦ πάνυ μοχθηροῦ, πρὸς τὸ μετρίως ἀποκεχωρηκὸς τοῦ κατὰ φύσιν, ὥστε καὶ τὸ ἰχωροειδὲς αἷμα ζητοῦντος τοῦ Ἱπποκράτους, εἴ τε φαῦλον, εἴ τε χρηστόν ἐστι, δυνάμεθα ἂν ἡμεῖς ἀποφήνασθαι, τῷ μὲν ἀρίστῳ παραβαλλόμενον αἵματι, φαῦλον ὑπάρχειν αὐτό. τοῖς δὲ ἄλλοις ἅπασιν, οἷσιν ἰχὼρ ἑτέρου τινὸς ἀναμέμικται χυμοῦ μοχθηροῦ, πολλῷ βέλτιόν τε καὶ αἱρετώτερον, καὶ διὰ τοῦτο χρηστόν.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδ΄.

Οἷσι σπλὴν καταῤῥοπος, πόδες, καὶ χεῖρες, καὶ γούνατα θερμὰ, ῥὶς καὶ ὦτα ψυχρὰ ἀεί. ἆρα διὰ τοῦτο ὅτι λεπτὸν τὸ αἷμα, ἢ ἆρα καὶ φύσει τὸ τοιοῦτον οὗτοι ἔχουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν καταῤῥοπος σπλὴν ὁ κάτω τὴν ῥοπὴν ἔχων, C λέγεται, καὶ δι' αὐτῆς τῆς φωνῆς ἐστι μαθεῖν. εἴτε δ' ἐπὶ τῶν κατ' αὐτὸν ὄγκων ἐν τοῖς κάτω μέρεσι συνισταμένων, εἴτε δ' ὅταν εἰς αὐτὰ τὰ κάτω μόρια τοῦ σώματος ὠθεῖ τοὺς ἐν αὐτῷ μοχθηροὺς χυμοὺς, ὠνόμασε καταῤῥοπον σπλῆνα, τοῦτο οὐκέτι οἷόν τε πρὸς τῆς φωνῆς διδαχθῆναι. δυνατὸν γε μὴν ἐστιν ὅσον ἐπὶ τῇ τῶν πραγμάτων φύσει, κατ' ἄμφω τὰ εἰρημένα δέξασθαι καταῤῥοπον ὑπ' αὐτοῦ λελέχθαι τὸν σπλῆνα. πόδες γάρ φησι, καὶ χεῖρες, καὶ γούνατα θερμὰ, ῥὶς δὲ καὶ ὦτα ψυχρά. τὰ μὲν οὖν γόνατα καὶ τοὺς πόδας, ἐν καταῤῥόπῳ σπληνὶ θερμὰ φαίνεσθαι, λόD γον ἔχει, καθάπερ καὶ τὰς ῥῖνας, καὶ τὰ ὦτα, ψυχρά. τὰς δὲ χεῖρας οὐκ ἔστιν εὔλογον θερμὰς ὑπάρχειν ἐν καταῤῥόπῳ νοσήματι. μᾶλλον μὲν γὰρ ἄν τις αὐτὰς τῶν ἄνω θείη μορίων. εἰ δὲ μὴ, ἀλλ' οὐ τῶν κάτω. τοῦ δ' οὖν ὦτα μὲν καὶ ῥῖνας εἶναι ψυχρὰ, τὰ κάτω δὲ θερμὰ, σκοπῶν τὴν αἰτίαν ὁ Ἱπποκράτης ἔφη. ἆρά γε διὰ τοῦτο ὅτι τε λεπτὸν ἔχουσι τὸ αἷμα, ἢ ὅταν σπλῆνες γίνωνται καταῤῥοποι. τινὲς δ' οὐ τοῖς σπλησὶν ἀντιδιαιρεῖσθαί φασι τὸ, ἆρα καὶ φύσει τὸ τοιοῦτον οὗτοι ἔχουσιν; ἀλλὰ τῷ μετ' αὐτὸν γεγραμμένῳ, καὶ ποιοῦσιν ὅλην τὴν λέξιν E τοιαύτην. ἆρα καὶ φύσει τὸ τοιοῦτον οὗτοι ἔχουσιν, ἢ τοῖς ἐμπυήμασιν; ἐπισκεπτέον οὖν ἐφεξῆς ἀκριβέστερον ὑπὲρ αὐτοῦ, ἢ τοῖς ἐμπυήμασι, τούτοις προειρημένοις συνάπτουσιν οἱ οὕτω γράφοντες. ὅσοι δ' ἀρχὴν αὐτὸ βούλονται τῶν ἐφεξῆς γεγραμμένων, τὸ, ἢ ἀφαιροῦσι, καὶ τοιάνδε τινὰ ποιοῦσι τὴν λέξιν. τοῖς ἐμπυήμασιν ὅρος, τοῖσι μέλλουσιν ἐκπυΐσκειν, αἱ κοιλίαι ἐκταράσσονται. γνώρισμα τῶν μελλόντων ἐκπυΐσκειν τιθέμενοι τὴν ταραχὴν τῆς γαστρός. εἴη δ' ἂν οὐ πάντων τῶν ἐκπυϊσκόντων, ἀλλὰ μόνων ὅσα ῥήγνυται διὰ τῶν ἐν- F τέρων ἔκκρισιν, τὸ σημεῖον τοῦτο γράφων ὁ Ἱπποκράτης. εἰ δ' αὖ οὐ διορίσασθαι περὶ ποίων λέγει, τὴν ἑρμηνείαν ἐποιήσατο, θαυμαστὸν οὐδὲν, ἐὰν τοῦ κατ' ἀρχὰς εἰρημένου μεμνήμεθα τοῦ γράφειν ἑαυτῷ ταῦτα, παρασκευάς τινας εἰς συγγράμματα. μόνον γὰρ ἥκει πρὸς ἀνάμνησιν ὧν βούλεται δηλοῦν ἑαυτῷ, προσκείμενον ἐν γραφῇ τὸ, κοιλίαι ἐκταράσσονται. λέγοντος αὐτοῦ κοιλίας ἐπιταράσσεσθαι τοῖς τοιούτοις ἐμπυήμασιν, ὧν μελλόντων ῥήγνυσθαι προδιϊδρουταί τις ἰχὼρ λεπτὸς ἐκ τοῦ πύου, δι' ὧν δακνόμενα τὰ ἔντερα, ταραχήν τινα τῆς γαστρὸς ἐρ-

τι δήποτε τὰ προειρημένα

γάζεται, τουτέστι δήξεις τε καὶ προθυμίας συνεχεῖς ἐπ' ἀποκρίσεις. ἔνιοι δὲ καὶ τοιάνδε τινὰ γραφὴν ἴσασι.

A demorsa conturbationem ventri inferunt, hoc est, morsus, & assiduas excernendi cupiditates. Aliqui verò & hanc lectionem agnoscunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδ'.

ΤΟῖσιν ἐμπυήμασιν ὀμφαλὸς ὅρος, οἷσι μέλλουσιν ἐκπυΐσκειν, κοιλίαι ταράσσονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΒΟυλόμενος δηλῶσαι συντόμως τὸ διὰ τοῦ προγνωστικοῦ σαφῶς εἰρημένον. ἥκιστα δὲ τὰ ὑπὸ κάτω τοῦ ὀμφαλοῦ εἰς διαπύησιν τρέπεται. οἷς μέντοι μέλλει διαῤῥήγνυσθαι τὸ ἐμπύημα, κοιλίαι προεπιταράσσονται. πολυειδῶς δὲ καὶ ἄλλως γράφουσι, καὶ διαιροῦσιν οὐ ταύτην μόνον τὴν ῥῆσιν, ἀλλὰ καὶ τῶν ἄλλων τὰς πλείστας, ἐξηγησάμενοι τοῦτο τὸ βιβλίον, ὡς ἀπεῤῥύσαι τινα τῶν ἐπὶ τὰ τῆς τέχνης ἔργα σπευδόντων. φαίνονταί τινες ποιεῖν ὅπερ ὁ Τίμων εἶπεν,

Εἰκάζων τί θέλεις, ὀλίγον κρέας ὀστέα πολλά.

Τινὲς δὲ καὶ τὴν ἑξῆς ῥῆσιν ἧς ἀρχὴ, σπλὴν σκληρὸς οὐ τὰ ἄνω, ταύτῃ συνάπτουσιν, ἵνα ἐπὶ τῆς κατὰ σπλῆνα διαφορᾶς, ὁ λόγος ᾖ γινόμενος αὐτῷ. μεταβάντες οὖν ἐπ' ἐκείνην, ἴδωμεν τὰς διαφορὰς, ἔχουσι γάρ τι χρήσιμον.

HIPPOCRATIS TEXTUS XLIV.

SVppurationibus umbilicus terminus: quibus suppuraturis ventres turbantur.

GALENI COMMENTARIUS.

B VOluit brevibus docere, quod in præsagiorum libro clarè dictum fuit: minimè verò quæ infra umbilicum, in suppurationem vertuntur: at quibus eruptura suppuratio, ventres priùs conturbantur. Verùm & aliter multis modis scribunt, ac dividunt non hæc solùm verba, sed etiam alia plurima hujusce libri Interpretes, ut quis ad artis opera festinans multum retardetur: ac nonnulli id facere videntur, quod Timon per similitudinem dixit,

Quid vis? pauca caro ossa multa.

C Quidam autẽ & sequentẽ sermonem, cujus initiũ est, *lienis durus* non superius cum præsenti conjungunt, ut de lienis differentiis oratio ipsi habita sit. Transeuntes igitur ad ipsum differentias istas videamus, aliquid enim utilitatis continent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ με'.

ΣΠλὴν σκληρὸς οὐ τὰ ἄνω, κάτω στρογγύλος, πλατὺς, παχὺς, μακρὸς, λεπτός.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν ἐν σπληνὶ παρὰ φύσιν ὄγκων ἐν ταύτῃ τῇ ῥήσει διαφορὰς ἔγραψεν, ὑποτυπούμενος ἑαυτῷ τάχα, διότι καταῤῥόπου σπληνὸς ἐμνημόνευσεν. ἡ γοῦν πρώτη διαφορὰ, μία τοῦ τοιούτου σπληνός ἐστιν, ὁπόταν μὲν σκληρὸς ᾖ μὴ μέντοι τὰ ἄνω, πρόδηλον ὅτι τὸ κάτω σκληρός ἐστιν. ἡ δευτέρα δὲ ὧν εἶπεν ἐν τῇ προκειμένῃ ῥήσει διαφορὰ, τῶν καταῤῥόπων σπληνῶν αὐτῶν πάλιν ἐστὶν ἰδία. τούτων γὰρ τῶν καταῤῥόπων σπληνῶν κοινὸς ἐχόντων, τὰ μὲν ἄνω μέρη μὴ ἔχειν σκληρὰ, τὰ κάτω δὲ ἔχειν, ὁ μέν τις ἐστὶ στρογγύλος, ὁ δὲ πλατύς. ὁ δὲ ἐπὶ μῆκος ηὐξημένος, ἤτοι σὺν ὄγκῳ παρὰ φύσιν, ἢ χωρὶς τούτου μόνην ἐσχηκὼς τὴν κατὰ τὸ μῆκος ἐπίδοσιν. ἐδήλωσεν δὲ τὴν μὲν προτέραν ἐν τῷ φάναι, παχὺς, μακρός. τὴν δὲ δευτέραν, ἐν τῷ, μακρὸς, λεπτός. δὶς γὰρ τοῦ, μακρὸς, ὑφ' Ἱπποκράτει γεγραμμένου καθάπερ ἄν τις εἰκάσειε. τὸ ἕτερον ἀφεῖλον οἱ ἐγγραφόμενοι, καὶ τοιαύτην ἐποίησαν τὴν ῥῆσιν, οἵαν ἄρτι προύγραψα. κατὰ λόγον δὲ ἐστι πρώτης μὲν αὐτὸν μεμνημονευκέναι διαφορᾶς καθ' ἣν ἔφη, σπλὴν σκληρὸς οὐ τὰ ἄνω, τουτέστι τὰ κάτω σκληρὸς, ὥσπερ καὶ καταῤῥοπός ἐστιν. εἶτα πάλιν αὐτοῦ διαφορὰς τέσσαρας εἴρηκε. μίαν μὲν ἐν ᾗ στρογγύλος ἐστὶ, δευτέραν δὲ, ἐν ᾗ πλατύς. ἀμφοτέρων τούτων ἐχουσῶν κοινὸν, τὸ μὴ προσηυξῆσθαι κατὰ μῆκος τὸν σπλῆνα. δύο δὲ ἄλλας διαφορὰς, τὴν μὲν ἑτέραν καθ' ἣν μακρὸς καὶ παχὺς γίνεται, τὴν δὲ ὑπόλοιπον καθ' ἣν μακρὸς καὶ λεπτός. δὶς γὰρ, ὡς ἔφην, γεγραμμένου τοῦ, μακρὸς, εἰκός ἐστιν ὡς περιττὸν ἀφαιρεθῆναι

HIPPOCRATIS TEXTUS XLV.

LIenis durus non superius, inferius teres, latus crassus, longus, tenuis.

D

GALENI COMMENTARIUS.

TUmorum lienis præter naturam differentias his verbis scripsit, sibi ipsi fortasse designans, quoniam declivis lienis paulò antè meminerat. Prima igitur differentia hujusmodi lienis est, quum durus fuerit, sed non superius, manifestum est, quod in ima parte durus est. Secunda vero ex iis quas in propositis verbis recensuit, differentia iterum ipsorum declivium lienum propria est: Istorum enim delirium lienũ E commune quum sit, superiores partes non duras habere, sed imas, aliquis teres est, aliquis latus, aliquis in longitudinem excrevit, aut cum tumore præter naturam, aut sine eo, solum longitudinis incrementum habens. Priorem quidem differentiam innuit dicens, crassus, longus: secundam verò quum dixit, longus, tenuis. Nam quum vox hæc, *longus*, bis ab Hippocrate, ut quis conjicere potest, scripta foret, alteram exemplaris scriptores ademerunt, talemque orationem, qualem nuper ante scripsi, reddiderunt. Rationi autem consentaneum F est ipsum primæ differentiæ meminisse, ubi, inquit, lienis durus non superius, hoc est ab ima parte durus, quemadmodum & declivis est. Deinde rursum ipsius quatuor differentias enumeravit, unam per quam teres est: secundam, per quam latus: quibus ambabus commune est, in longitudinem protensum non esse lienem: duas reliquas differentias ponit, unam quidem longi & crassi lienis: alteram longi, & tenuis. Quum bis enim, ut dixi, hæc vox, *longus*, scripta esset, par est eum qui ex

veteribus codicibus descripsit, hanc, ut supervacuam omisisse. Vetus quidam lectio talis est, in qua vocem hanc, *longus*, ab Hippocrate bis positam, semel à Librario fuisse descriptam, ego contendo. Forsan autem etsi ab ipso Hippocrate semel inter has voces, *crassus & tenuis*, scripta esset, à communi sensu intelligi posset, & cum prædicta, & cum sequenti conjungi: nam & multa id genus alia apud Veteres reperiuntur. Verùm Explanatores ego demiratus sum, hæc verba multis modis alium aliter transcribentes. Si quis enim prorsum à veteri lectione discedere audeat, aliqua verisimili de causa id facere debet, sicut ego nunc rationabile esse dixi, quum dictio hæc, *longus*, bis scripta foret, alteram esse omissam. Quod hujusmodi autem lectionem omnes veteres Explanatores agnoscant, & Zeuxis locupletissimus testis est. Ipse nanque Glauciam utpote male præsentia verba interpretatum, nihil quantum ad lectionem pertinet, reprehendit, quamvis, & ista locutio ipsi ambigua videatur; sed quod dictis negationes addiderit, vitiò vertit: ipsum enim hæsitantem, & proposita verba enucleare nequeuntem, omnibus prædictis negationes adjecisse inquit, perinde ac si ita scripsisset Hippocrates, inferius teres, non latus, non crassus, non longus, non tenuis. Glaucias nanque lienem omnia hæc vitia suscipere non posse arbitrabatur, quæ unà consistere minimè valerent: quasi in uno homine omnia hæc intelligenda esse necesse foret, & non sibi ipsi deinceps differentias memoriæ causa Hippocrates persecutus esset, ut antea difficilis spirationis, & febrium, ita & nunc tumorum præter naturam in declivibus lienibus. Quòd si affirmativè dictis negationes addere licet, hoc modo aliquis omnia placita depravabit, nullamque veterum sententiam stabilem conservabit.

A τὸν ἀντιγραφόμενον ἐκ τῶν ἀρχαίων ὑπομνημάτων. ἡ μὲν οὖν παλαιὰ γραφὴ τοιαύτη τίς ἐστιν, ἐν ᾗ τὸ, μακρὸς, ἐγώ φημι δὶς ὑφ' Ἱπποκράτει εἰρημένον, ἅπαξ γεγράφθαι πρὸς τοῦ βιβλιογράφου. δυνατὸν δ' ἴσως ἐστὶ κἂν ἅπαξ ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους ᾖ γεγραμμένον ἐν τῷ μεταξὺ, τοῦ τε παχὺς, καὶ λεπτὸς, ἀπὸ κοινοῦ, δέξασθαι, συνῆφθαι τῷ τε προειρημένῳ, καὶ τῷ μετ' αὐτὸ λεγομένῳ. πολλὰ γὰρ καὶ ἄλλα τοιαῦτα τοῖς παλαιοῖς εὑρίσκεται. τοὺς δ' ἐξηγητὰς ἐθαύμασα πολυειδῶς μεταγράψαντας τὴν ῥῆσιν, ἄλλον ἄλλως. B εἴπερ γὰρ ὅλως ἀποχωρεῖν τις τολμᾷ παλαιᾶς γραφῆς, κατά τι πιθανὸν χρὴ τοῦτον πράττειν ὥσπερ ἔφην ἐγὼ νῦν εὔλογον εἶναι, ἐφ' ὧν, δὶς γεγραμμένου τοῦ, μακρὸς, παραλελεῖφθαι τὸ ἕτερον. ὅτι δ' οὕτως ἔχουσαν τὴν γραφὴν ἐπίστανται πάντες οἱ παλαιοὶ ἐξηγηταὶ, μαρτυρία καὶ περὶ τοῦ Ζεύξιδος ἂν εἴη ἀρίστη. οὗτος γὰρ ὡς κακῶς ἐξηγησαμένου τοῦ Γλαυκίου τὴν προκειμένην ῥῆσιν, οὐδὲν μὲν ἐγκαλεῖ περὶ τῆς γραφῆς, καίτοι γ' ἀπόρου καὶ ταύτης τῆς λέξεως φαινομένης αὐτῷ. ὅτι δὲ προσέθηκεν ἀποφάσεις τοῖς εἰρημένοις, μέμφεται. φησὶ γὰρ, C ἀπορούμενον αὐτὸν, καὶ μὴ δυνάμενον ἐξηγήσασθαι τὴν προκειμένην ῥῆσιν, ἅπασι τοῖς προειρημένοις ἀποφάσεις προστεθεικέναι, ὡς εἰ καὶ οὕτως ἔγραψεν ὁ Ἱπποκράτης. κάτω στρογγύλος, οὐ πλατὺς, οὐ μακρὸς, οὐ λεπτός. ἡγεῖτο γὰρ Γλαυκίας ἀδύνατον εἶναι τὸν σπλῆνα ταῦτα τὰ πάθη δέξασθαι, μὴ δυνάμενα συνυπάρχειν, ὥσπερ ἀναγκαῖον ὂν ἐφ' ἑνὸς ἀνθρώπου πάντων ἀκούειν αὐτῶν. ἀλλ' οὐ διαφορὰς ἐφεξῆς αὐτῶν γράψαι τὸν Ἱπποκράτην πρὸς ἀνάμνησιν ὡς ἔμπροσθεν ἔγραψε, δυσπνοίας τε καὶ πυρετῶν, οὕτω νῦν τῶν ἐν τοῖς καταρρόποις σπληνὶ παρὰ φύσιν ὄγκων. εἰ δ' ἔξεστι προστι- D θέναι τοῖς καταφατικοῖς εἰρημένοις ἀποφάσεις, ἅπαν οὕτω τις διαφθερεῖ δόγμα, καὶ γνώμην οὐδεμίαν φυλάξει τῶν παλαιῶν βεβαίαν.

HIPPOCRATIS TEXTUS XLVI.

M*inus capitis gravedine laborantibus.*

GALENI COMMENTARIUS.

NIhil aliud intelligere possumus, quam quod vitia lieni accidere dicta minus capitis gravedine laborantibus eveniunt. Hujus vero causam, & Ruffus, & Sabinus dicunt, quia sanguis per gravedinem repurgatur: propterea enim putant nihil in lienem descendere. At satius fuerit ad communem rationem, non ad privatam, hæc verba redigere: Perrarum enim est in omni corpore duo aliqua membra æqualiter esse debilia: Nam in plurimis unum planè ejusmodi esse deprehenditur, in quod seu plenitudo, seu vitiosi humores in corpore contracti sunt, omnia supervacua feruntur; unum autem si hæc præoccupaverit, reliqua membra in naturali statu permanent. Non solùm itaque capitis gravedine affectis, sed etiam aliquam spirabilium partium, aut secundùm renes, & jecur, & ventriculum, infirmam naturaliter habentibus, eam magis quàm lienem vitiis obnoxiam esse reperies. Hoc verò commune cùm sit, & universale, proprium eorum, quæ nunc dicuntur, adjiciat. In quibus pitui-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛʹ.

Ἧσσον τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Οὐδὲν ἄλλο ἔχομεν νοεῖν, ἢ ὅτι τὰ εἰρημένα τῷ σπληνὶ συμβαίνειν ἧττον γὰρ τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσι. αἰτίαν δὲ τούτου καὶ Ῥοῦφός φησι, καὶ Σαβῖνος, διότι τὸ αἷμα καθαίρεται τῇ κορύζῃ. διὰ τοῦτο γὰρ οἴονται τὸ μηδὲν ἥκειν ἐπὶ τὸν σπλῆνα. βέλτιον δ' εἰς καθολικὸν ἀνάγεσθαι λόγον, οὐκ εἰς κατὰ μέρος αὐτό. πάνυ γὰρ ἐστὶ σπάνιον ἐν ὅλῳ τῷ σώματι δύο τινὰ μόρια παραπλησίως ἔχειν ἀσθενῆ. τοῖς πλείστοις γὰρ ἕν γε τοιοῦτον φαίνεται γινόμενον, εἰς ὃ κἂν πληθώρα, κἂν κακοχυμία τις ἐν τῷ F σώματι γένηται, πάντα συρρεῖ τὰ περιττά. φθάσαντος δ' ἑνὸς αὐτὰ δέξασθαι, τὰ λοιπὰ κατὰ φύσιν ἔχοντα διαμένει. οὐ μόνον οὖν τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσιν, ἀλλὰ καὶ τοῖς τῶν ἀναπνευστικῶν τι μορίων, ἢ τῶν κατὰ νεφροὺς, καὶ ἧπαρ, ἢ κοιλίαν ἀσθενὲς ἔχουσι φύσει, μᾶλλον ἐκεῖνο πάσχον εὕροις ἂν, ἢ τὸν σπλῆνα. τούτου δὲ ὄντος κοινοῦ καὶ καθόλου, προσθείη ἄν τις ἴδιον τῶν νῦν λεγομένων, ἐφ' ὧν ἀθροίζεται φλεγματῶδες ὑγρὸν, ἢ

λεπτὸν καὶ ὑδατῶδες, οἷοί περ εἰσὶ καὶ οἱ ἀπὸ κεφαλῆς κορυζώδεις, τούτοις μὴ πάνυ τι τοὺς παρὰ φύσιν ὄγκους ἐν σπληνὶ συνίστασθαι, παχέσι καὶ μελαγχολικοῖς ἑπομένους χυμοῖς.

A tosus humor aut tenuis, & aqueus colligitur, quales profecto & illi sunt, qui capitis gravedine vexantur, istis haud ita sæpè præter naturam tumores, qui ex crassis melancholicisque humoribus constant, in liene procreari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Η περὶ τὸν νοσέοντα οἰκονομίη, καὶ αἱ ἐς τὴν νοῦσον ἐρωτήσιες, ἃ διηγεῖται, οἷα, ὡς ἀποδεκτέον οἱ λόγοι, τὰ πρὸς τὸν νοσέοντα, τὰ πρὸς τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.

HIPPOCRATIS TEXTUS XLVII.

B *Circa ægrotantem administratio, & de morbo interrogationes. Quæ narrat, qualia, ut accipiendi sermones. Quæ ad ægrotantem, quæ ad astantes, quæ ad externos.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐξεῦρεν οἰκεῖον ὄνομα τῶν μελλόντων ῥηθήσεσθαι λόγων, οἰκονομίαν εἰπών. οὐ γὰρ ὡς ἐν τοῖς ἄλλοις σχεδὸν ἅπασι συγγράμμασιν, ἤτοι διαγνώσεις παθῶν, ἢ θεραπείας, ἢ προγνώσεις τῶν ἐσομένων ἔγραψεν, οὕτω καὶ νῦν. ἀλλ' ὅπως ἄν τις ἐπιδεξίως, οἷς ἐμάθομεν ἰατρικοῖς θεωρήμασι χρῷτο, διέρχεται κατὰ τὴν προκειμένην ῥῆσιν, οὐ κατὰ μέρος ἐν αὐτοῖς, ἀλλὰ τὰ καθόλου κεφάλαια μόνον γράφων. καὶ πρώτου γε μέμνηται κατὰ ταῦτα τῶν ἐρωτήσεων ἃς ὁ ἰατρὸς δηλονότι ποιεῖται πρὸς τὸν κάμνοντα, δευτέρου δὲ τῶν διηγήσεων αὐτοῦ. πολλὰ γὰρ εἰώθασιν οἱ κάμνοντες διηγεῖσθαι, δυνάμενα τὴν γνώμην ἐνδείξασθαι τοῦ λέγοντος. ὡς εἴ γε μὴ πρότερον εἰδείημεν αὐτὸν ἐξ αὐτῶν ὧν ἂν διηγήσαιτο, συνήσομεν, ὁποῖός τις ἐστὶν, οὕτως αὐτῷ προσφέρεσθαι. φρόνιμον μὲν γὰρ εἰ γνωρίσαις εἶναι τόνδε τινὰ τὸν ἄνθρωπον, ἔτι τε μὴ δειλὸν, ἀληθεύειν πειραθήσῃ, μηδὲν ὑποστελλόμενον τῶν κατὰ τὴν νόσον ἐσομένων. ἄφρονα δὲ, καὶ δειλὸν, ὧν ἂν εὐθυμότερος γένοιτο, πάντα ταῦτα ἐρεῖν μετὰ τοῦ μηδὲν μέγα ψεύδεσθαι. κἂν ἀναγκασθῇς δέ ποτε διὰ δειλίαν ἐσχάτην τοῦ κάμνοντος ἐπαγγείλασθαι σωτηρίαν αὐτῷ βεβαίαν. ἀλλ' ἐξελθών γε, τοῖς κηδομένοις αὐτοῦ, τἀληθῆ φράζε. πειρῶ δὲ καὶ αὐτοῖς τοῖς κάμνουσι, κἂν ἄκρως εἰσὶ δειλοὶ, μὴ καθάπερ οἱ προχείρως ψευδόμενοι τὴν σωτηρίαν ἐπαγγέλλεσθαι χωρὶς τοῦ προσθεῖναί σε τὴν ἀρχὴν ἔσεσθαι ταύτην, ἅπαντα πράττοντος αὐτοῦ καλῶς, καὶ πειθομένου τοῖς προστάγμασι τῶν ἰατρῶν. οὕτω γὰρ, οὔτ' ἐκεῖνος ἀθυμήσει, καὶ σὺ πολλάκις ἀληθεύσεις· τὰ γὰρ πλεῖστα τῶν ἐπισφαλῶν νοσημάτων, ἀναιροῦσι τοὺς κάμνοντας ἀπειθοῦντας τοῖς ἰατροῖς. ὡς ὀλίγα πάνυ τὰ πάντως ἀναιρεθήσεται, ἐὰν μήθ' ὁ ἰατρὸς ἁμαρτάνοι, μήθ' ὁ νοσῶν, μήθ' οἱ ὑπηρέται, μήτ' ἄλλο τι τῶν ἔξωθεν ἐκ τύχης ἀπαντῆται βλαβερόν. ὅσοι γὰρ ἐν σφαλεροῖς νοσήμασι, πλέον ἢ προσῆκεν τοὺς κάμνοντας εὐθύμους ποιοῦσι, πολλαπλασίαν αὖθις ἀθροίζουσι δυσθυμίαν ἐν ταῖς ἑξῆς ἡμέραις, ὅταν ἤτοι χεῖρον φαίνεται τὸ νόσημα γινόμενον, ἢ χρονίζῃ παρὰ τὴν ἐπαγγελίαν τῶν ἰατρῶν. ἀλλὰ καὶ θαρρήσαντες, ὡς ἀκινδύνως νοσοῦντες οἱ πλείους τῶν ἀνθρώπων, οὐ πάνυ κατήκοοι γίνονται τῶν ἰατρῶν. ἄμεινον μὲν οὖν ἐπίστασθαι τὸ τοῦ κάμνοντος ἦθος, ἔμπροσθεν ὅθ' ὑγίαινε πεπειραμένον. εἰ δὲ νῦν αὐτῷ πρῶτον ἐντυγχάνομεν, ἐξ ὧν διηγεῖται συνήσομεν ὁποῖός τις ἐστίν. ἐφ' ὧν δὲ προγινώσκομεν, ἐξὸν μέν τι πρὸς τὴν νόσον

GALENI COMMENTARIUS.

Proprium dicendorum nomen invenit, œconomiam, id est, administrationem inquiens. Neque enim, ut in aliis ferè omnibus Libris, aut affectuum notitias, aut curationes, aut futurorum præsentiones scripsit, ita & in præsentia fecit; sed quo quis modo medicinalibus, C quæ didicit, præceptis commodè uteretur, in proposito sermone declarat, non ipsa singula; sed communia tantum capita describens. Atque inter hæc primo de interrogationibus, quibus Medicus scilicet ægrotantem interrogat, mentionem facit; secundo de laborantis sermonibus. Multa enim laborantes dicere consueverunt, quæ dicentis mentem patefacere possunt; ut, nisi prius ipsum noverimus, ex his quæ narraverit, qualecunque sit ipsius ingenium, ita nos ipsi accommodare sciamus. Nam si prudentem hominem hunc, præterea non ti- D midum esse cognoveris, vera ipsi dicere conaberis, nihil eorum quæ in morbo futura sunt, subtrahens, neque dissimulans; at si stultum atque timidum, omnia ea, quibus ipse meliori animo futurus sit, dicito, neque tamen magnopere mentiaris. Quod si interdum ob extremam laborantis formidinem ipsi certam salutem polliceri coactus fueris, egressus saltem, ejus curam gerentibus vera dicito. Ipsis quoque laborantibus, etsi maxime timidis, ne, ut aperte mentientes faciunt, salutem polliceri tentato, nisi illud addideris in primis, Sanitatem quidem affuturam, omnia ipso recte E agente, & Medicorum præceptis obtemperante. Ita enim neque ille animum despondebit, & tu plerunque vera retuleris; nam plurimi periculosi morbi ægrotos Medicis morem haud gerentes necant; quandoquidem perpauci admodum prorsus mortiferi sunt, si neque Medicus erret, neque ægrotus, neque ministri, neque aliud quicquam extrinsecus fortuito noxium inciderit. Quicunque enim in periculosis morbis plus, quam deceat, ægrotantes hilares, & bonæ spei plenos reddunt, in multo F majorem conjiciunt tristitiam sequentibus diebus, quum aut in pejus, morbus cecidisse videtur, aut ultra promissa Medicorum producitur. Quinetiam plures homines confisi, perinde ac si sine periculo ægrotent, Medicis non obtemperant. Itaque laborantis ingenium prius quum recte valebat, expertos scire melius est; at si nunc primum ipsi occurrimus, de ejus locutione, qualisnam sit, percipiemus. Ex iis, vero, quæ præscimus, aliquid ad morbum

utile invenire licet; nam si natura modestus audacter respondet, prudens item natura si loquendo imprudens deprehenditur, hinc ejus mentem læsam esse nobis indicabitur, quemadmodum etiam si sobrius cogitabundus, aut pervigil & natura loquax, in locutionibus atque responsionibus tardus, torpensque appareat. Item ex ipsa voce aliquando de morbo conjectura deprehendi potest: quidam enim vix vocem edunt, aliqui raucam aut acutam ipso morbi tempore, nonnulli balbi ac blæsi sunt: hæc singula quid significent, alibi didicisti: Ex his planè Medicus aliquid ad ægroti notitiam pertinens elicere poterit, qualis videlicet sit ejus mens, atque mores, & ipsius morbi quæ species sit. Rursum verò ipse & ægroto & astantibus qualis in arte medica sit, ex ipsis interrogationibus demonstrabit. Nam quispiam in acuto morbo nasum acuminatum, oculos cavos, temporaque subsidentia intuitus, interrogat, num evacuatio aliqua ipsi acciderit, aut vigilia, & mœror, num ciborum abstinentia, & fatigatio magna. Sin autem faciem minimè contabuisse inspexerit, sciscitabitur, num aliqua ex usitatis excretionibus suppressa sit, num præter morem ociosè, & largo cibo usus vitam duxerit. Poterit item & de frigore, æstu, nimio vini potu, & id genus aliis omnibus apposite percuntari, ut in hoc ipso primum à præsentibus laudetur. Etenim si præterita & ægrotanti, astantibusque præscita Medicus interrogando vestiget, statim ipsum admirantur, quemadmodum damnare solent, quando aliqua iis quæ facta sunt, contraria perquisivit. Verumetiam si eorum aliqua quæ ægrotis acciderunt, priusquàm ab ipsis audivit, in media locutione in interrogando, ac respondendo ipse forte dixerit, magnam sui admirationem concitat. Hæc sane omnia à nobis alibi tradita sunt, & hoc loco, ut dictum est, hæc sola primaque capita, recensente Hippocrate, nos quoque secundùm primam quandam divisionem ipsa narravimus, quæ si omnia singulatim dicere voluero, & in prognostica explanationes, & de judicationibus Commentaria huc transferre coactus fuero. Sed præterea ad œconomiam, usumque conducunt quædam ab Herodoto inscripta in Libro, quem ipse Medicum inscripsit: à nobis vero, & ubi de præsagiendo sermonem fecimus, dicta sunt. Igitur rursum ab initio orationis nostræ capita repetentes, ad aliquod eorum, quæ primo scripta sunt, transeamus. Quemadmodum in vita omnia opportuna possidere, vestes dico, utensilia, servos, jumenta, & alias pecudes, ædes item, frumentum, legumina, bellaria, vinum, oleum, aliaque id genus omnia, ab eorum convenienti usu, quem œconomiam vocant, longè differt. Sic & in medicina artem didicisse, & ijs, quæ quis didicit, apposite uti haud idem est: ut ipse in tempore interrogare, & dicere sciat: in tempore aliquid ab ægrotante, aut ejus familiaribus audire, ipsosque edocere, ut ad servitia utilissimi sint, & extrinsecus incidentia animadvertant, quæ à Medicis, & ægroti domesticis negliguntur. Inter quæ maxime utilia sunt, quæ ad decubitus pertinent: vel ad ædes prorsus malas: vel ad cubicula, in quibus ægroti jacent, propter odorem tetrum, aut aërem calidum, seu frigidum valde, aut situ, aut putre-

A ἐξευρίσκειν. εἰ γὰρ κόσμιος ὢν φύσει, θρασέως ἀποκρίνεται, καὶ φρόνιμος ὤν, ἄφρων φαίνεται κατὰ τὴν διήγησιν, ἔνδειξις ἡμῖν ἐντεῦθεν ἔσται τοῦ βεβλάφθαι τὴν διάνοιαν αὐτοῦ. καθάπερ εἰ καὶ νήφων, καὶ φροντιστὴς, ἢ ἀγρυπνητικὸς εἴη, καὶ φύσει χαίρων τῷ διηγεῖσθαι μακρὰ, νωθρὸς φαίνοιτο περὶ τὰς διηγήσεις, ἢ τὰς ἀποκρίσεις, κἀξ αὐτῆς δὲ τῆς φωνῆς ἔνεστί τι τεκμήρασθαι περὶ τῆς νόσου. τινὲς μὲν γὰρ μόγις φθέγγονται, τινὲς δὲ βραγχῶδες, ἢ ὀξὺ περὶ τὸν τῆς νόσου καιρόν. ἔνιοι δὲ ψελλίζουσί τε καὶ τραυλίζουσιν, ὧν ἕκαστον ὁποῖόν τι σημαίνει, μεμαθήκας ἐν ἑτέροις. B ἐκ μὲν δὴ τῶν τοιούτων ὁ ἰατρὸς γνώσεταί τι περὶ τοῦ νοσοῦντος, ὁποῖος τὴν γνώμην, καὶ τὸ ἦθος, αὐτῆς δὲ τῆς νόσου τίς θ' ἡ ἰδέα. πάλιν δ' αὐτὸς ἐπιδείξεται τῷ τε κάμνοντι, καὶ τοῖς ἀμφ' αὐτὸν, ὁποῖός τίς ἐστι τὴν τέχνην ἐξ αὐτῶν τῶν ἔργων. καὶ ῥῖνα μὲν γὰρ ὠξυμμένην, καὶ ὀφθαλμοὺς κοίλους, καὶ κροτάφους συμπεπτωκότας ἰδών τις ἐν ὀξεῖ νοσήματι, πυνθάνεται μή τις κένωσις αὐτῷ γέγονεν, ἢ ἀγρυπνία, καὶ λύπη, μὴ σιτίων ἔνδεια, καὶ κόπος ἰσχυρός. εἰ δ' ἀσύμπτωτον θεασάμενος, ἐρήσεται μή τις συνήθων ἐκκρίσεων ἐπίσχεσις, ἢ παρὰ τὸ ἔθος, ἀργίας, C καὶ πλησμονῆς δίαιτα λήθη. διωνήσεται δὲ καὶ περὶ ψύξεως, ἐγκαύσεώς τε, καὶ οἰνοπόσεως πολλῆς, ὅσα τε ἄλλα τοιαῦτα πυνθάνεσθαι κατὰ τρόπον, ὥστε ἐν αὐτῷ τούτῳ πρῶτον ἐπαινεθῆναι πρὸς τῶν παρόντων. ἐὰν γὰρ τὰ προγεγονότα, καὶ τὰ προγινωσκόμενα, τῷ τε κάμνοντι, καὶ τοῖς ἀμφ' αὐτὸν, ὁ ἰατρὸς πυνθάνηται, θαυμάζουσιν εὐθέως αὐτὸν, ὥσπερ εἰ καί τινα τῶν ἐναντίων τοῖς γεγενόσιν ἐρωτᾷ, καταγινώσκουσιν. ἀλλὰ καὶ τῶν συμβεβηκότων τοῖς κάμνουσιν ἔνια, πρὶν ἀκοῦσαι παρ' αὐτῶν, ἐν μέσῳ σχήματι λέξεως, ἐρωτήσεώς τε καὶ ἀποφάσεως, ἐὰν εἰπὼν ἐπι- D τύχῃ, θαυμάζεται. λέλεκται δ' ἅπαντα ταῦθ' ἡμῖν ἑτέρωθι, καὶ νῦν, ὡς ἔφην Ἱπποκράτης αὐτὰ μόνα, τά τε πρῶτα κεφάλαια διερχομένου, καὶ ἡμεῖς κατά τινα πρώτην τομὴν αὐτὰ διήλθομεν. εἰ δὲ τὰ κατὰ μέρος ἅπαντα λέγοιμι, τά τε εἰς τὸ προγνωστικὸν ὑπομνήματα, καὶ τὰ περὶ κρίσεων, ἐνταῦθα μεταφέρειν ἀναγκασθήσομαι. τὸ πᾶν δ' ἔξωθέν ἐστιν εἰς τὴν οἰκονομίαν τε καὶ χρῆσιν ὠφελοῦντα, καὶ τῶν ὑφ' Ἡροδότου γραφέντων ἔνια κατὰ τὸ βιβλίον ὃ ἐπέγραψεν αὐτὸς, ἰατρόν. εἴρηται δὲ καὶ πρὸς ἡμῖν ἐν οἷς καὶ περὶ τοῦ προγινώσκειν διερχόμεθα. ἀναλαβόντες οὖν E αὖθις ἐξ ἀρχῆς τὰ κεφάλαια τοῦ λόγου, μεταβαίνωμεν ἐπί τι τῶν ἐξ ἀρχῆς γεγραμμένων· ὥσπερ ἐν τῷ βίῳ τὸ κτᾶσθαι τὰ προσήκοντα πάντα, λέγω δὲ ἐσθῆτα, καὶ σκεύη, καὶ οἰκέτας, ὑποζύγιά τε καὶ ἄλλα θρέμματα, καὶ οἰκίας, καὶ σῖτον, καὶ χέδροπα, καὶ τραγήματα, καὶ οἶνον, καὶ ἔλαιον, ὅσα ἄλλα τοιαῦτα, διαφέρει, πάμπολυ τοῦ χρῆσθαι τούτοις προσηκόντως, ὅπερ ὀνομάζουσιν οἰκονομίαν. οὕτω καὶ κατὰ τὴν ἰατρικὴν οὐ ταυτόν ἐστι τὸ μαθεῖν τὴν τέχνην, τῷ χρήσασθαι προσηκόντως οἷς ἔμαθέ τις, ἐπιστάμενος ἐν F καιρῷ μὲν αὐτὸς ἐρωτήσειν καὶ εἰπεῖν, ἐν καιρῷ δ' ἀκοῦσαί τι τοῦ κάμνοντος, ἢ τῶν οἰκείων αὐτοῦ, διαλεχθῆναί τε αὖθις ὅπως εἰς τὴν ὑπηρεσίαν ὡς χρησιμώτατοι γίνονται. προνοήσασθαί τε τῶν ἔξωθεν, ἃ παρορᾶται τοῖς ἰατροῖς, καὶ τοῖς οἰκείοις τοῦ κάμνοντος. ὧν μάλιστα χρήσιμα τὰ περὶ τὰς κατακλίσεις εἰσὶν, ἢ τῶν οἰκιῶν ὅλων μοχθηρῶν οὐσῶν, ἢ τῶν οἴκων ἐν οἷς οἱ νοσοῦντες κατάκεινται δι' ὀσμὴν μοχθηρὰν, ἢ ἀέρα θερμὸν, ἢ ψυχρὸν ἰσχυρῶς, ἢ θύρατος πλήρη. καὶ περὶ

τῆς ἐνοχλήσεως ἢ τὸ ἐκ τῶν γειτνιώντων, ἢ τὸ τῶν παριόντων A κατὰ τὰς δημοσίας ὁδοὺς, προνοήσασθαι χρὴ τὸν ἰατρὸν, διαλεχθῆναι δὲ περὶ τούτων ἁπάντων τοῖς οἰκείοις τε, καὶ φίλοις νοσοῦντος. αὕτη γάρ ἐστι, καὶ τοιαύτη τις ἡ περὶ τοὺς κάμνοντας οἰκονομία.

dine vitiatum. Præterea molestiæ, ac vexationibus, quæ à vicinis, aut iis qui in publicis viis versantur, ægrotis adhibentur, Medicum prospicere convenit, ac de his omnibus cum familiaribus amicisque ægrotantis disserere. Hæc est enim, atque hujusmodi circa laborantes vocata œconomia, id est, administratio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

Ὅτι ἐν θερμοτέρῳ στερεωτέρων, ἐν τοῖσι δεξιοῖσι, καὶ B μέλανες διὰ τοῦτο, καὶ εἴξω αἱ φλέβες, καὶ χολωδέστεροι μᾶλλον.

HIPPOCRATIS TEXTUS XLVIII.

Quoniam in calidiore firmiorum, in dextris & nigri. Iccirco & extra venæ, & longè biliosiores.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐδὲν θαυμαστόν ἐστι κἀνταῦθα παραλελεῖφθαι τὸ συνέχον μάλιστα τὸν ὅλον λόγον. οὐ γὰρ σύγγραμμά ἐστι τὸ βιβλίον τοῦτο πρὸς ἔκδοσιν γεγονὸς, ἀλλὰ παρασκευαί τινες, ἢ ὑποτυπώσεις ὁποίας ἑαυτοῖς εἰώθαμεν ποιεῖσθαι, ὡς, εἴ γε σύγγραμμα ἦν, οὕτως ἂν ἀρχόμενος ὡς ἐν τοῖς ἀφορισμοῖς ἔγραψε, προσέθηκε τὰ ἐφεξῆς, τὸν ὅλον λόγον C » ποιησάμενος τοιοῦτον. ἔμβρυα τὰ μὲν ἄρρενα ἐν τοῖσι δεξιοῖσι » μέρεσι τῆς μήτρας, μᾶλλον εὑρίσκεται συνιστάμενα. τὰ δὲ θήλεα κατὰ τὸν ἕτερον κόλπον αὐτῆς τὸν ἀριστερόν. εἰκὸς γάρ ἐστιν ἐν τῷ θερμοτέρῳ μέρει τῆς μήτρας τὸ θερμότερον συνίστασθαι. θερμότερον δέ ἐστι τὸ ἄρρεν, ὡς δηλοῖ, καὶ τὸ τῶν φλεβῶν μέγεθος ἐν αὐτῷ, καὶ ἡ χρόα. μελάντεροι γάρ τοὐπίπαν οἱ ἄνδρες τῶν γυναικῶν. οὕτω μὲν, εἰ σύγγραμμα ἔγραφεν ὁ Ἱπποκράτης, ὁμοίως τῷ περὶ ἀγμῶν, καὶ ἄρθρων, καὶ προγνωστικῷ, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ἐπεποίητο τὴν ἑρμηνείαν. ἐπεὶ δὲ, ὡς ἔφην ἑαυτῷ μόνῳ ταῦτα ὑπετυπώσατο, D διὰ τοῦτο παραλέλειπται τὸ κεφάλαιον τοῦ λόγου, μὴ δηλώσαντος αὐτοῦ περὶ τῶν κατὰ τὴν κύησιν ἀρρένων λέγεσθαι ταῦτα. τὸ μέν τοι ἄρρεν ἐν τῷ δεξιῷ μέρει τῆς μήτρας κυΐσκεσθαι, καὶ ἄλλοι τῶν παλαιοτάτων ἀνδρῶν εἰρήκασιν. ὁ μὲν γὰρ Παρμενίδης οὕτως ἔφη, Δεξιτεροῖσι μὲν κούρους, λαιοῖσι δ' αὖ κούρας. ὁ δ' Ἐμπεδοκλῆς οὕτως.

Ἐν γὰρ θερμοτέρῳ τὸ κατ' ἄρρενα ἔπλετο γαίης.

καὶ μέλανες διὰ τοῦτο καὶ ἀνδρωδέστεροι ἄνδρες, καὶ λαχνήεντες μᾶλλον. ὅτι δὲ ἀληθὴς ἡ περὶ τῆς κράσεως τοῦ ἄρρενος E ὡς θερμοτέρου, δόξα, τελέως ὁ λόγος ἐν τοῖς περὶ κράσεως ὑπομνήμασιν ἐξείργασται. νυνὶ δ' ὡς πολλάκις εἶπον, οὐκ ἀποδεικνύναι τὰ δόγματα πρόκειται τὰ Ἱπποκράτεια, ὅτι μὴ πάρεργον, ἀλλὰ τὴν λέξιν ἐξηγεῖσθαι. καὶ ταύτην οὖν τινες τῶν νεωτέρων ἐξηγητῶν ἐτόλμησαν μεταγράφειν τὸ στερεωτέρων καὶ ποιῆσαι στερεώτεροι. δοκεῖ γὰρ αὐτοῖς ἄλογον ἐν τὸ δεξιὸν μέρος τῆς μήτρας, ὥσπερ θερμότερον, οὕτω καὶ στερεώτερον λέγεσθαι. φαίνεται γὰρ ὁμοίως ἔχον ὅσον ἐπὶ στερεότητι, καὶ διὰ τοῦτο χρῆναι γράφειν φασὶν, ὅτι F θερμοτέροις στερεώτερον ἐν τοῖσι δεξιοῖσι, καὶ μέλανες διὰ τοῦτο. δηλούσης τῆς λέξεως ἐν τῷ θερμοτέρῳ τῆς μήτρας μέρει ἠνίκεσθαι στερεώτερον. ἐν ἴσῳ τῷ, ἰσχυρότερον καὶ εὐρωστότερον, ἐπειδὴ καὶ θερμότερόν ἐστι φύσει. περὶ δὲ τῆς ἀληθείας τοῦ δόγματος, οὐ νῦν, ὡς ἔφην ἐστὶ, λέγειν καιρός. ἐπεὶ δ' ἔνιοι πρὸς τοὺς εἰπόντας ἅπαντα δεξιὰ μέρη τῶν ἀριστερῶν εἶναι θερμότερα, καὶ ἰσχυρότερα διὰ τὴν τοῦ ἥπατος θέσιν, ἀντιλέγοντες ἔφασαν.

GALENI COMMENTARIUS.

Hoc quoque loco id, quod maxime totam orationem continuat, omissum esse nihil mirum esto: neque enim Liber iste compositio est; ut divulgetur, edita; sed apparatus quidam, vel annotationes, quales nobis ipsi conficere solemus. Nam, si integer liber esset, ita sane incipiens, ut in Aphorismis scripsit; C quæ consequuntur adjecisset, totam orationem talem reddens; Fœtus masculi quidem in dextris uteri partibus consistere magis inveniuntur, fœminæ in altero ejus sinu; sinistro videlicet. Decens enim est in calidiore uteri parte calidiorem fœtum coalescere: calidior est autem masculus, ut ipsius venarum magnitudo & color indicat: nigriores enim plerunque viri mulieribus sunt: Ita nanque, si exactum opus scripsisset Hippocrates, quale est de fracturis, de articulis, de præsagiis, atque id genus, alia locutione usus fuisset: quoniam verò, ut dixi, D hæc sibi ipsi veluti delineavit, iccirco orationis caput omissum est, ipso non significante de masculis utero contentis hæc dicta esse: Marem sane in dextra uteri parte concipi, & alii « vetustissimi viri testati sunt. Parmenides enim « ita inquit; In dextris quidem pueros, sinistris « vero puellas. At Empedocles sic; «

In calidiori enim parte terræ masculus fuit.

Et nigri iccirco & viriliores viri & hirsuti magis. « At opinionem de maris temperatura, ut calidiore E veram esse exquisite in Commentariis de temperamentis explicavimus: Nunc verò, ut sæpius repetivimus, Hippocratica decreta, nisi obiter, ratione confirmare non decrevimus, sed ejus tantum verba interpretari. Verùm & hanc lectionem nonnulli recentiores Explanatores immutare ausi sunt, hanc dictionem, *firmiorum*, in hanc, *firmius* convertentes: istis nanque rationabile esse videtur dextram partem uteri, ut calidiorem, ita & firmiorem esse debere: similiter enim quantum ad firmitudinem pertinet, F sese habere videtur. Atque ideo scribendum esse aiunt, quoniam in calidioribus firmius in dextris, & nigri, hoc significantibus verbis, in calidiore vulvæ sinu conceptum esse firmius; quod idem significat, ac valentius, & robustius, quandoquidem & calidius est naturâ. De veritate autem hujusce placiti in præsentia, ut dixi, non est tempus disserendi. Cæterùm quoniam nonnulli adversus dicentes omnes dextras partes sinistris ob jecoris situm calidiores esse, ac valentiores, contradicentes inquiunt:

At in læva parte cor ponitur, neque dexter oculus exactius quàm sinister cernere, neque dextra auris audire, aut dextrum crus melius ambulare, cognoscitur; sed in dextra manu solum id verisimile esse videtur: Iccirco pauca in istos dicentur: maxima nanque demonstratio, quod plurimi mares in dextra parte concipiantur, illud est, quod ex animalium dissectione conspicitur. Duos quidem sinus habente utero per cervicem ambobus communem copulatos, mares sane plerunque in dextro, fœminæ verò in altero concipi deprehenduntur. Quare satius erat hujusce rei sensui apparentis causam explorare, & non veritatem subvertere causæ ignoratione conari. Sed vos & causam in Libro de dissecandi arte didicistis, ad dextram uteri partem per renes sanguinem repurgatum, ad sinistram vero immundum adhuc atque seorsum, descendere intuiti: cor etiam in medio pectore non in sinistris collocatum esse vidistis. In hac autem parte quidam ipsum magis situm esse haud injuriâ crediderunt, quoniam pulsus hoc in loco percipitur, nempe sinistro cordis ventriculo sese in ipso commovente.

ἀλλ' ἔκ τε τῶν ἀριστερῶν ἡ καρδία κεῖται, καὶ φαίνεται μήθ' ὁ δεξιὸς ὀφθαλμὸς τοῦ ἀριστεροῦ μᾶλλον βλέπων, μήτε τὸ οὖς ἀκοῦον, ἢ τὸ σκέλος βαδίζον, ἀλλ' ἐπὶ τῆς χειρὸς μόνης τὸ τοιοῦτον δοκεῖ πιθανὸν εἶναι, διὰ τοῦτο, ὀλίγα πρὸς αὐτοὺς εἰρήσεται. μεγίστη γὰρ ἀπόδειξις τοῦ τὰ πλεῖστα τῶν ἀρρένων ἐν τοῖς δεξιοῖς μέρεσι κυΐσκεσθαι, τὸ ἐκ τῆς ἀνατομῆς τῶν ζώων φαινόμενον. δύο γοῦν ἐχούσης κόλπους τῆς μήτρας συναπτομένους, κατὰ τὸν αὐχένα κοινὸν ἀμφοῖν ὄντα,
B τὰ μὲν ἄρρενα τοὐπίπαν ἐν τῷ δεξιῷ φαίνεσθαι κυϊσκόμενα, τὰ θήλεα δ' ἐν θατέρῳ, κάλλιον ἦν τούτου φαινομένου ζητῆσαι τὴν αἰτίαν, οὐκ ἀνατρέπειν πειρᾶσθαι τὸ ἀληθές, ἀγνοίᾳ τῆς αἰτίας. ἀλλ' ὑμεῖς γε καὶ τὴν αἰτίαν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν ἐμάθετε, θεασάμενοι πρὸς μὲν τὸ δεξιὸν μέρος τῆς μήτρας, μετὰ τὸ καθαρθῆναι τὸ αἷμα, κατὰ τοὺς νεφρούς, ἀφικνούμενον· εἰς δὲ τὸ ἀριστερὸν ἀκάθαρτόν ἐστι, καὶ ὀρρῶδες. ἐθεάσασθε δὲ καὶ τὴν καρδίαν ἐν τῷ μέσῳ τοῦ θώρακος κειμένην, οὐκ ἐν τοῖς ἀριστεροῖς. οἰηθῆναι δέ τινας ἐνταῦθα κεῖσθαι μᾶλλον αὐτήν, εἰκός ἐστιν, ἐκ τοῦ
C διασημαίνειν τὸν σφυγμὸν κατὰ τοῦτο τὸ μέρος, ὡς ἂν τῆς ἀριστερᾶς ἐν αὐτῇ κοιλίας σφυζούσης.

HIPPOCRATIS TEXTUS XLIX.

Concretum est, constitutum est, citius motum est, inquinatum est, & tardius augetur, & per longius tempus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

ΣΥνεκρίθη, συνέστη ὀξύτερον, κινηθὲν ἐμολύνθη, καὶ βραδύτερον αὔξεται, καὶ ἐπὶ πλείω χρόνον.

GALENI COMMENTARIUS.

CRebrius dixi, hoc in Libro mille esse lectionum modos, propter obscuritatem alii aliter ipsas concinnantibus, ut cuicunque explanatio verisimilis fore visa fuerit. Sed ego veteres scripturas præpono, etsi minime verisimiles esse videantur, majoremque legentibus ambiguitatem præbeant. Ob id enim ipsum quispiam eas ita dictas fuisse credat, quoniam licet sit explanatio dubia, nihilominus inter vetustissimos Interpretes de his convenit: sin ipsas autem mutare ausi essent, in clariorem locutionem permutassent, ut ipsa interpretatio verisimilior foret. Propositis igitur verbis ita nunc in antiquis codicibus scriptis, & vetustis Explanatoribus hujusmodi lectionem agnoscentibus plurimi recentiorum hanc vocem, *inquinatum est*, exemerunt: aliqui vero ei voci, motum est, eam tardius addiderunt, ut locutio ejusmodi sit, concretum est, constitutum est citius, motum tardius augetur. Item alii has voces; & propter hoc, orationi præposuerunt, ut talis fiat, & propter hoc concretum est, constitutum est. Sententia quidem in omnibus his lectionibus haud ita multum diversa est; volunt enim Interpretes marem, quam fœminam, citius concrescere, atque constitui eo quod calidior sit; atque ob hoc idem, ipsum citius moveri aiunt; quin etiam inter omnes fere Medicos marem quàm fœminam non solùm conformari, sed etiam moveri citius constat. De his autem & in Libro de natura pueri aperte narratum est, quemadmodum & apud Dioclem in voluminibus de mulierum morbis. Ruffus autem solum Apolloniatem Diogenem in contrariam habere sententiam, inquit, in secundo

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΠΟλλάκις εἶπον ἐν τούτῳ τῷ βιβλίῳ μυρίας εἶναι γραφάς, διὰ τὴν ἀσάφειαν, ἄλλων ἄλλως αὐτὰς ῥυθμιζόντων, ὡς ἂν ἑκάστῳ δόξῃ τὸ τῆς ἐξηγήσεως ἔσεσθαι πιθανόν. ἀλλ' ἐγὼ τὰς παλαιὰς γραφὰς προαιροῦμαι, κἂν ἀπίθανοι δοκῶσιν εἶναι, καὶ μείζονα τὴν ἀπορίαν ἔχοιεν. δι' αὐτὸ γὰρ πιστεύσοι ἄν τις αὐτὰς οὕτως εἰρῆσθαι. διότι καίτοι γ' ἀπορίας οὔσης περὶ τὴν ἐξήγησιν, ὅμως οἱ παλαιότατοι τῶν ἐξηγητῶν ἐν ταύταις ὁμολογοῦσιν. εἰ δέ γ' ἐτόλμων αὐτὰς μεταγράφειν, εἰς εὐπορωτέραν ἂν ὑπήλλαττον λέξιν ὥστε πιθανὴν γενέσθαι τὴν ἐξήγησιν. εἰ τοίνυν τῆς
E προκειμένης ῥήσεως οὕτως νῦν γεγραμμένης ἐν τοῖς παλαιοῖς ἀντιγράφοις. εἰδότων δὲ καὶ τῶν παλαιῶν ἐξηγητῶν οὕτως αὐτὴν ἐχόντων, ἐξεῖλον οἱ πλεῖστοι τῶν νεωτέρων τὸ, ἐμολύνθη. τινὲς δὲ καὶ τῷ κινηθὲν, προσέθηκαν τὸ, βραδύτερον, ὡς γενέσθαι τὴν λέξιν τοιαύτην, συνεκρίθη, συνέστη ὀξύτερον, κινηθὲν βραδύτερον αὔξεται. τινὲς δὲ τὸ, καὶ διὰ τοῦτο, προὔταξαν τῆς λέξεως ὡς γενέσθαι τοιάνδε. καὶ διὰ τοῦτο συνεκρίθη, συνέστη. τό γε μὴν τῆς διανοίας οὐ μέγα παραλλάττει κατὰ πάσας τὰς γραφάς.
F βούλονται γὰρ οἱ ἐξηγηταὶ συγκριθῆναι, καὶ συστῆναι διὰ τοῦτο θᾶττον τὸ ἄρρεν τοῦ θήλεος, ὅτι θερμότερόν ἐστι, καὶ κινηθῆναι δὲ θᾶττον αὐτὸ, διὰ τοῦτό φασιν. καὶ μέντοι καὶ ὡμολόγηται σχεδὸν ἅπασι τοῖς ἰατροῖς, οὐ μόνον διαπλάττεσθαι θᾶττον, ἀλλὰ καὶ κινεῖσθαι τὸ ἄρρεν τοῦ θήλεος. εἴρηται δὲ περὶ τούτων σαφῶς κἂν τῷ περὶ φύσεως παιδίου, ὥσπερ γε καὶ παρὰ Διοκλεῖ κατὰ τὰ περὶ γυναικείων συγγράμματα. Ροῦφος δέ φησι Διογένει τὸν Ἀπολλωνιάτην μόνον ἐναντίως ἀποφήνασθαι κατὰ τὸ περὶ φύσεως

δεύτερον· ἐγὼ δὲ οὐκ ἐνέτυχον τῷ βιβλίῳ. μαρτυροῦσί γε μὴν καὶ περὶ αὐτῶν τῶν κυουσῶν, καὶ θᾶττον ἀρχόμενα κινεῖσθαι, καὶ πλείονας, καὶ σφοδροτέρας κινήσεις φαίνεσθαι κινούμενα τὰ ἄῤῥενα. λέγεται δὲ ἐν τῇ προκειμένῃ ῥήσει, ὅτι μὲν θᾶττον ἐκινήθη τε, καὶ συνέστη, τουτέστιν ἐπάγη τε, καὶ ἐστερεώθη. μετὰ ταῦτα δὲ αὔξεται βραδύτερον τοῦ θήλεος τὸ ἄῤῥεν, αὔξησιν δὲ πότερον τὴν κυούμενον ἔτι μόνην, ἢ τὴν ἐφεξῆς λέγει νῦν, ἄδηλον. ἀληθὲς δέ ἐστιν ὅτι καὶ μετὰ τὴν ἀποκύησιν αὔξεταί τό τε θῆλυ θᾶττον, καὶ ἵσταται πρότερα τὰ τῆς αὐξήσεως αὐτῷ. τοῦ μὲν αὔξεσθαι θᾶττον, μαλακότης αἰτία τοῦ σώματος. ῥᾷον γὰρ ἐπιδίδωσιν διατεινόμενα τὰ τοιαῦτα σώματα πρὸς τὰς τρεῖς διαστάσεις, μῆκος, βάθος, καὶ πλάτος. ἵστασθαι δὲ, καὶ παύεσθαι τὴν αὔξησιν αὐτοῖς, προτέροις τῶν ἀῤῥένων, οὐκέτι διὰ τὴν μαλακότητα τοῦ σώματος, ἀλλὰ διὰ τὴν ἀσθένειαν ὑπάρχει· δύναμις γάρ ἐστιν ἐν τοῖς ζώοις φυσική, τὴν αὔξησιν αὐτῶν ἐργαζομένη, δι' ἣν ἀῤῥωστοτέρα μὲν οὖσα, ἐπὶ πλέον αὐξεῖται, θᾶττον δὲ παύεται τῆς αὐξήσεως, ἀσθενοῦς ὑπαρχούσης. εἴπερ οὖν ὁ Ἱπποκράτης αὐτὸς ἔγραψε τὸ, ἐμωλιώθη, τοιοῦτον ἂν φαίνοιτο σημαίνειν, οἷον κἀν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἔνθα φησίν· ἀριστερὸν παρ' οὖς οἴδημα, τῇ δ' ὑστεραίῃ καὶ δεξιόν. ἧσσον δὲ τοῦτο καὶ συνελειαίνετο ταῦτα, καὶ ἐμωλιώθη, καὶ οὐκ ἀπεπυήσατο. τὸ γὰρ, τῆς ὀξείας κινήσεως, καὶ μεταβολῆς παυσάμενον, καὶ ἀποψυχθὲν, οὕτως ὠνόμασεν.

A Libro de natura; sed Liber ille in manus nostras non venit. Quinetiam & ipsæ uterum gerentes, mares, & citius moveri incipere, & pluribus, validioribusque motibus agitare apparere testantur. Dicitur autem in propositis verbis, quod citius concretus est, & constitutus est; hoc est, compactus & firmus factus est. Postea verò mas, quàm fœmina, tardiùs crescit: incrementum autem, utrum id, quod in utero solùm fit, an quod à partu, in præsentia dicat, in obscuro est: sed illud verum est, quod à partu fœmina, quum velociùs adolescit, tum B priùs incrementum in ipsa finitur. Quod celeriùs augescat, corporis mollitudo in causa est: ejusmodi nanque corpora in tres distantias, longum scilicet profundum, ac latum exporrecta, facilè incrementum suscipiunt. Verum quod incrementum in ipsis prius, quàm in maribus desinat, ac finem sumat, non item ob corporis mollitudinem; sed propter imbecillitatem id accidit: facultas est enim in animantibus naturalis, quæ ipsorum incrementi effectrix est, propter quam imbecilliorem quidem plus augescunt; sed citius crescere ob ejus im- C becillitatem desinunt. Si quidem igitur ipse Hippocrates hanc vocem, *inquinatum est*, scripsisset, tale quiddam significare videtur, quale & in secundo de morbis vulgaribus, ubi ait; Secundum aurem sinistram tumor, postero autem die, & secundum dextram, minor verò iste: & complanabantur hi, & inquinati sunt, & non suppuraverunt: nam à celeri motu, transmutationeque desinens, ac refrigeratum, ita nominavit.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν'.

Ὅτι ἐστερεώθη, καὶ χολωδέστερόν τε, καὶ ἐναιμότερον, τοῦτο θερμότερόν ἐστι τὸ χωρίον τῷ ζώῳ.

HIPPOCRATIS TEXTUS L.

Icirco solidus factus est; & biliosior, & magis sanguinosus, quia iste calidior est locus animali.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τοῦτό, φησι, τὸ ἄῤῥεν στερεώτερόν τε καὶ χολωδέστερον, καὶ ἐναιμότερον γίνεσθαι, διότι καὶ τὸ χωρίον ἐν ᾧ κυΐσκεται τοιοῦτον ὑπάρχει. λέγει γὰρ δηλονότι τὸν δεξιὸν κόλπον τῆς μήτρας, καὶ ταύτην τὴν ῥῆσιν ἄλλος ἄλλως γράφει. πάντες μέντοι τὴν αὐτὴν διάνοιαν φυλάττουσι, διότι καὶ τὸ λίαν ἀκριβῶς ζητεῖν, ὁποία τίς ἐστιν ἡ ὄντως Ἱπποκράτους λέξις περιττόν. ἄμεινον γὰρ οὐ τοῦτο σκοπεῖν, ἀλλ' εἰ τὸ λεγόμενον ἀληθές. ἡ δὲ ἀλήθεια διὰ τῶν ἀνατομῶν, ὡς ἔφην, εὑρίσκεται, τῶν ἀῤῥένων τοὐπίπολυ ἐν τῷ δεξιῷ κόλπῳ τῆς μήτρας κυϊσκομένων. εἴρηται δὲ καὶ ἡ αἰτία τοῦ θερμότερον εἶναι τοῦτο, καὶ αὐτὴ διὰ τῆς ἀνατομῆς ἐγνωσμένη.

GALENI COMMENTARIUS.

Propter hoc inquit, marem solidiorem, biliosiorem, & sanguinis pleniorem creatum esse, quoniam locus, in quo gignitur, ejusmodi E est: dicit autem dextrum uteri sinum. Hæc quoque verba alius aliter scribit, omnes tamen eundem sensum servant: quandoquidem, & accurate nimis, quænam sit vera Hippocratis dictio, inquirere supervacuum est: melius est enim non hoc speculari, sed an id, quod dicitur, verum sit. Veritas autem, ut diximus, per dissectiones exploratur, maribus plerunque in dextra uteri parte conceptis. Causa quoque, quod hæc pars calidior sit, tradita est, & ipsa, per dissectionem cognita.

F



ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ
ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ
ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.
ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

HIPPOCRATIS
EPIDEMIORVM
LIBER SEXTVS,
ET GALENI IN EVM
COMMENTARIVS TERTIVS.
SECTIO TERTIA.

HIPPOCRATIS TEXTUS I.

Cutis raritas, ventris densitas. Cutis colligatio, carnium incrementum. Ventris torpor, omnium confusio. Vasculorum immunditia. Cerebri consumptio, ideo & calvities. Instrumentorum attritio.

GALENI COMMENTARIUS.

Nonnulli hanc à Medicis dignoscendorum enumerationẽ esse putant: sed potius quędã res inter se junctæ conjugatim dictæ esse videntur. Prima autem conjugatio dicta est, ubi inquit, cutis raritas, ventris densitas: nonnulli enim propterea ventrem densum, hoc est suppressum, & astrictum habent, quoniam per cutem evacuantur multa; sicut contra alteri per superficiem ægre difflabiles multam urinam faciunt, alvumque exonerant. Item altera deinceps conjugatio scripta est, cutis colligatio, carnium incrementum, unde innuitur cutis coi-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

A Ἡ δέρματος ἀραιότης, ἡ κοιλίης πυκνότης· ἡ δέρματος ξυνώδεσις, ἡ σαρκῶν αὔξησις· ἡ κοιλίης νάρκωσις, ἡ τῶν ὅλων σύγχυσις· ἡ τῶν ἀγγείων ἀκαθαρσία, ἡ ἐγκεφάλου ἀνάλωσις, διὸ καὶ φαλακρότης. ἡ τῶν ὀργάνων τρῖψις.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνιοι μὲν ἡγοῦνται κατάλογον εἶναι τῶν γνωστέων τοῖς ἰατροῖς. φαίνεται δὲ μᾶλλον ἐν συζυγίᾳ λέγεσθαι τινὰ τῶν ἐζευγμένων ἀλλήλοις πραγμάτων, καὶ πρώτη μὲν εἴρηται συζυγία, καθ' ἣν φησιν ἡ δέρματος ἀραιότης, ἡ κοιλίης πυκνότης.
B ἔνιοι γὰρ διὰ τοῦτο πυκνὴν ἔχουσι τὴν κοιλίην, τουτέστιν ἐπεχομένην τε καὶ στεγνὴν, ὅτι διὰ τοῦ δέρματος ἐκκενοῦται πολλά. καθάπερ αὖ πάλιν ἕτεροι δυσδιαφόρητοι κατὰ τὴν ἐπιφάνειαν ὄντες, οὐροῦσί τε πολλὰ, καὶ διαχωροῦσι κάτω. ἑτέρα δὲ πάλιν ἐφεξῆς γέγραπται συζυγία, ἡ δέρματος συνώδεσις, ἡ σαρκῶν αὔξησις, ἔνθα δηλοῦται τὴν συναγωγὴν

καὶ σφίγξιν τοῦ δέρματος, αἰτίαν γίνεσθαι πολλάκις ἀμέτρου A σαρκῶν αὐξήσεως. ἄλλη δὲ ταύτης ἐχομένη συζυγία, γέγραπται κατὰ τήνδε τὴν λέξιν, ἡ κοιλίης νάρκωσις, ἡ τῶν ὅλων σύγχυσις. νάρκωσιν δ' ἀκούσομεν, τὴν περὶ τὸ πέττειν τὰς τροφὰς ἀρρωστίαν τῆς γαστρὸς, ἁπάντων δὴ ταύτην τῶν κατὰ τὸ σῶμα παθῶν αἰτίαν γίνεσθαι. τὸ δ' ἐφεξῆς εἰρημένον, ἡ τῶν ἀγγείων ἀκαθαρσία, δύναται μὲν καὶ ταύτῃ τῇ συζυγίᾳ συνάπτεσθαι. τὸ γὰρ μὴ καλῶς πεφθὲν ἐν τῇ γαστρὶ, τῆς τῶν ἀγγείων ἀκαθαρσίας πολλάκις αἴτιον γίνεται. δύναται δὲ, καὶ χωρὶς τοῦ συνάπτεσθαι τῇ ναρκώσει τῆς κοιλίας, ἀκούεσθαι τῆς κατὰ τὰς B φλέβας μοχθηρᾶς πέψεως. ἵν' ὥσπερ, ἡ κατὰ τὴν γαστέρα πέψις οὐ καλῶς ἐπιτελουμένη, πολλὰ συγχεῖ καθ' ὅλον τὸ ζῶον, οὕτω καὶ ἡ κατὰ τὰς φλέβας ἀποτυγχανομένη, πρότερον μὲν ἀκαθαρσίαν ἐν ταῖς φλεψὶ ποιῇ, τουτέστι μοχθηρῶν χυμῶν πλεονεξίαν. εἶτα δὴ καὶ βλάβην μεγάλην, ὥστε, τὸ μεταξὺ, τῆς τε κοιλίας νάρκωσις, καὶ τῆς, τῶν ἀγγείων ἀκαθαρσία, κοινὸν ἀμφοῖν εἶναι, ὅπερ αὐτὸς ὠνόμασε τῶν ὅλων σύγχυσιν. τὸ δ' ἐφεξῆς εἰρημένον, ἡ ἐγκεφάλου ἀνάλωσις, διὸ καὶ φαλακρότης, ἐμοὶ μὲν δοκεῖ τοιόνδε τι δηλοῦν, ὅταν ὁ ἐγκέφαλος C ἐλάττων ἑαυτοῦ γίνηται κατὰ πολὺ, συμβαίνει δὲ τοῦτο τοῖς ξηρότερον αὐτὸν ἔχουσι φύσει, τότ' ἀφίσταται τῶν ὑπερκειμένων ὀστῶν, ἃ καλοῦσιν οἱ ἀνατομικοὶ βρέγματα. ἔστι δὲ δύο ταῦτα, περιγραφόμενον, ἑκάτερον δὲ εὐθείαις γραμμαῖς τέτταρσι. μία μὲν τῇ κατὰ τὸ μῆκος ῥαφῇ, κοινῇ οὔσῃ ἀμφοτέροις τοῖς ὀστοῖς. ὄπισθεν δὲ, ταῖς πλευραῖς τοῦ λαμβδοειδοῦς, ἔμπροσθεν δὲ, τῆς τῆς στεφανιαίας, ἑκατέρωθι δὲ, ταῖς λεπιδοειδέσι. τῶν δ' ἄλλων μερῶν τοῦ κρανίου, μάλιστα μὲν οὐδ' ἀφίσταται πλέον ὁ ἐγκέφαλος. εἰ δὲ καὶ ἀποσταίη ποτὲ, διά γε τοι τὰς ὑποκειμένας τοῖς ὀστοῖς τὰς σάρκας οὐκ ἀπόλλυται παντά- D πασιν ἡ τοῦ δέρματος ὑγρότης, ὡς οὐδὲ τρίχες. ἐμάθετε γὰρ ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν, μήτ' ἐκ τοῦ ἐνύγρου δέρματος φύεσθαι τρίχας, μήτ' ἐκ τοῦ ξηρανθέντος σφοδρῶς. ὑγρὸν μὲν οὖν ἐστὶ τὸ περὶ τὴν κεφαλὴν δέρμα παισὶ, καὶ γυναιξὶ, καὶ τοῖς εὐνούχοις. ξηρὸν δ' ἀμέτρως τοῖς φαλακροῖς. ὅτι δὲ ἐγκέφαλος, ἐπὶ μὲν τῶν νέων ψαύει τοῦ κρανίου, μαλακὸς ὢν καὶ ὑγρὸς, ἅπασάν τε τὴν ἔνδον εὐρυχωρίαν κατείληφε, τοῖς γηρῶσι δ' ἀφίσταται, ξηραινόμενός τε καὶ συνιζάνων, ἐθεάσασθε πολλάκις ἐν ταῖς τῶν ζώων ἀνατομαῖς. νυνὶ δ' οὐκ ἀπόδειξις πρόκειται γράφειν τῶν Ἱπποκράτους δογμά- E των, ὅτι μὴ παρ' ἔργον, ἀλλ' ἐξηγεῖσθαι τὴν ἀσαφῆ λέξιν. ἅμα καὶ τῷ διὰ κεφαλαίων ἐνίοτε τὰς αἰτίας προστιθέναι, κατὰ τὴν ἀκολουθίαν τῶν ἀποδεδειγμένων δογμάτων. ὅτι δ' ἀνάλωσιν, ἐγκεφάλου τὴν τελείαν ἀπώλειαν, ὡς ἐκδαπανηθῆναι παντάπασιν αὐτὸν, οὐδ' ἐπινοῆσαι δυνατὸν ἐν ζῶντι ζώῳ γενέσθαι, παντὶ πρόδηλον. καὶ μὴν εἰ μὴ τοῦτο, λείποιτ' ἂν ἀκούειν ἀνάλωσιν ἐγκεφάλου τὴν μείωσιν, ἣν διὰ ξηρότητα γίνεσθαι τοῖς φαλακρουμένοις ἔφην, ὥστε τὰ τοῦ βρέγματος ὀστᾶ χαυνότερα, καὶ ἁπαλώτερα τῶν ἄλλων ὄντα, καὶ ἄνωθεν ἐπικείμενα, γίνεσθαι ξηρὰ διὰ τὴν ἔνδειαν τοῦ ἐγκεφάλου, μήκετ' ἐξι- F κνουμένου πρὸς αὐτὰ, μήθ' ἅπτεσθαι δυναμένου. συνιζάνει τε γὰρ καὶ καταπίπτει ταπεινούμενος ἐπὶ τὴν ἑαυτοῦ βάσιν. ἀκόλουθον δέ ἐστι τῶν ὀστῶν τούτων ξηρανθέντων, ξηραίνεσθαι καὶ τὸ περιτεταμένον αὐτοῖς δέρμα καὶ φαίνεταί γε καὶ αὐτῇ τῇ αἰσθήσει πάνυ ξηρὰ ἐπὶ τῶν φαλακρῶν, ὡς μηδὲ δεῖσθαι ἀποδείξεως λογικῆς. ὅταν γε μὴν ἐπὶ πλέον τύχῃ ξηρανθεὶς ὁ ἐγκέφαλος, ὡς ἐπί τινων ἐν ἐσχάτῃ γήρᾳ συμ-

tionem', adstrictionemque immodici carnium incrementi plerunque causam esse: Tertia huic proxima conjugatio per hæc verba scripta est, ventris torpor, omnium confusio: torporem autem intelligemus in concoquendis cibis ventriculi infirmitatem, omnium planè corporis vitiorum causam esse. Sed quod deinceps dictum est, vasculorum immunditia, potest quidem & cum modò dicta conjugatione conjungi. Quod enim in ventriculo male concoctum est, plerunque vasorum immunditiæ causa fit: potest verò etiam præterquam quòd cum ventris torpore conjungatur, & de venarum depravata concoctione intelligi, ut, quemadmodum ventriculi non rectè cedens concoctio, multa in toto animali confundit, sic & in venis non ad bonum finem perducta, primum in ipsis immunditiam contrahit, hoc est vitiosorum succorum copiam, deinde & magnàm noxam affert. Quare quod est inter hanc clausulam, ventris torpor, & hanc, *vasculorum immunditia*, commune ambabus est, quod ipse appellavit, omnium confusionem. Quod deinceps autem dictum est, cerebri consumptio, ideo & calvities, mihi quidem istud significare videtur. Cum cerebrum se ipso longe minus evadat (istud verò ipsum naturaliter siccius habentibus evenit) tunc ab ossibus superjacentibus recedit, quæ ab artis dissectoriæ Professoribus Græco nomine bregmata vocantur, Latini sinciput dicunt. Hæc verò duo sunt, utrumque rectis quatuor lineis circunscriptum, una quidem per suturam in longum porrectam utrique ossi communem; posterius autem lambdalis suturæ lateribus, anterius verò coronariæ vocatæ, utraque autem parte squammosis commissuris. Verum ab aliis calvariæ partibus potissimùm quidem cerebrum non admodum recedit. Quòd si & quandoque recesserit, at saltem ob carnes ossibus subjectas haud prorsum cutis humiditas exarescit: quocirca neque crines defluunt, quandoquidem in Commentariis de temperaturis didicistis, neque ex præhumida cuti, neque ex valde arida pilos enasci. Capitis sanè cutis pueris, mulieribus & eunuchis humida, calvariam tangere; omnemque interiorem inanitatem complere, in senibus verò siccescens, subsidensque ab ea distare, sæpius in animalium dissectionibus conspexistis. At nunc Hippocratis decretorum ostensiones afferre, nisi obiter, non est propositum; sed obscura verba illustrare, simulque per capita interdum causas adjicere, demonstrata placita consequentes. Consumptionem autem cerebri, hoc est perfectum interitum, ut ipsum ex toto absumptum sit, neque cogitari posse in vivo animante fieri, omnibus in confesso est. Quamobrem si id non sit, hoc superest intelligendum, consumptionem cerebri, comminutionem esse, quam ex siccitate in calvescentibus fieri diximus: ut sincipitis ossa aliis fistulosiora & molliora, ac superincumbentia ob cerebri defectum exarescant, cùm ad ipsa usque non pertineat, neque ea attingere possit: subsidet enim, in suamque ipsius basim depressum cadit. Consequenter igitur ossibus istis resiccatis, & ipsis prætenta cutis inarescit, atque ipsi sensui valde sicca in calvis apparet, ut rationali demonstratione non egeat. Quando igitur valde cerebrum exaruit, ut quibusdam in extrema senecta con-

tingit, tunc & nervorum exortus inarescere necesse est: quare neque perinde, ut prius, ut videre licet, neque audire, neque aliud quicquam per sensus, & voluntarios motus valenter perficere: sed omnia istarum actionum instrumenta, per quæ illæ fiebant prius, exoluta, infirma, atque debilia redduntur, quod par est ipsum instrumentorum attritionem appellasse, per translationem à vestibus attritis, & vasis appellationem accipientem: & hæc enim post diuturnos usus se ipsis aridiora evasisse cernuntur, quoniam ipsa attrita esse dicimus. Quidam sanè hæc scripta conjugatè intelligi nequaquàm putantes, & singula prædictorum separatim accipientes, hisce verbis Hippocratem consulere aiunt, ut ipsorum facultates per se consideremus. Ut statim cutis raritas (prima enim hæc scripta est) cognoscere quod valeat, convenire aiunt, ut ipsam, cum usus postulat, faciamus, cumque opus non fuerit, amoveamus. Scriptum est quidem, inquiunt, & in libro de alimento, Raritas corporis ad difflationem: quibus plus adimitur, salubriores: quibus verò minus, morbosiores. Sed his repugnat, quod inter hæc scriptum est, ventris densitas, cutis colligatio, si quidem erat rerum Medico scitu utilium enumeratio. Quin etiam & quod post hæc ita scriptum est, *ventris torpor, omnium confusio*, ipsum omnia ea scribere indicat, quæ in unum naturâ coire apta sunt: & non simpliciter qui sint in corpore affectus orientes, quos cognoscere opus sit. Istud enim, *omnium confusio*, non est affectus ullius, sed malorum ex affectu pravo nascentium indicatorium.

HIPPOCRATIS TEXTUS II.

Detractio cursibus, luctationibus, quiete, multis ambulationibus, velocibus: quibus, elixa maza, plerumque panis paucus.

GALENI COMMENTARIUS.

Evacuationis nomen de solis liquidis dicitur: Detractionis, de solidis quidem magis, interdum verò & de liquidis: nempe modò dicta liquidorum solidorumque minutionis communia sunt, cum sine purgatione, aut sanguinis evacuatione, ipsam facere in sanis scilicet voluerimus. Ægrotum enim nullus cursibus, & luctationibus curaverit, nam his aliisque similibus exercitationum genus commune est, discorum, telorumque jactus comprehendens, item saltus, halteras, armatorum certamina, & omnia vitæ munia, præsertim quæcunque in agricultura exercent arantes, metentes, ac fodientes. Omnes igitur exercitationes, & carnium, & adipis, & succorum abundantiam minuunt. Unum autem corpus omnibus istis uti non potest; sed secundùm habitus, & ætates, & vires, & consuetudinem, singulis idoneam exercitationem invenire convenit, ut in libris De tuenda sanitate didicistis. Nunc enim ex Hippocratis voluminum explanatione medicinæ præcepta non discitis, cum hæc prius ordinatim in propriis Libris didiceritis: in quibus omnibus, & ipsius placita cum demonstratione cognovistis, & placitis consentanea particula-

A βαίνει, καὶ τὰς τῶν νεύρων ἐκφύσεις ἀναγκαῖον ἀποξηραί-
νεσθαι τηνικαῦτα. διὰ τοῦτο μήθ' ὁρᾶν ὁμοίως ἔστι, μήτ'
ἀκούειν, μήτ' ἄλλο τι τῶν κατὰ τὰς αἰσθήσεις, ἢ τὰς καθ' ὁρ-
μὴν κινήσεις ἐῤῥωμένας ἐπιτελεῖν, ἀλλ' ἔκλυτα πάντα καὶ
ἀμυδρὰ, καὶ ἄῤῥωστα γίγνεται τὰ κατὰ ταύτας ὄργανα, δι' ὧν
ἐπετέλουν τὸ πρότερον, ὅπερ εἰκὸς αὐτὸν ὠνομακέναι κα-
τάτριψιν ὀργάνων ἐκ μεταφορᾶς τῶν τριβομένων ἱματίων
καὶ σκευῶν, χρησάμενον τῇ προσηγορίᾳ. καὶ γὰρ καὶ ταῦτα
φαίνεται ξηρότερα σφῶν αὐτῶν γινόμενα, μετὰ τὰς πολυ-
χρονίους χρήσεις, ἡνίκα κατατετρῖφθαι λέγομεν αὐτά. τινὲς
B μέντοι τὸ κατὰ συζυγίαν ἀκούειν τῶν γεγραμμένων οὐκ ἐν-
νοήσαντες ὅλως, ἕκαστόν τε τῶν προειρημένων, ἰδίᾳ προχει-
ριζόμενοι. συμβουλεύειν ἐν τῇ ῥήσει ταύτῃ τὸν Ἱπποκράτην
φασὶ, τὰς δυνάμεις αὐτῶν ἐπισκέπτεσθαι, οἷον εὐθέως ἡ τοῦ
δέρματος ἀραιότης, πρώτη γὰρ αὕτη γέγραπται, γινώσκειν
φασὶ προσήκειν τί δύναται, χάριν τοῦ καὶ ποιεῖν αὐτὴν ὁπό-
τε χρείαν ἔχομεν. ἀναιρεῖν δ' ὁπότ' οὐκ εἴη χρεία. γέγραπται
γοῦν, φασὶ, κἂν τῷ περὶ τροφῆς ἀραιότης σώματος ἐς
διαπνοὴν, οἷς πλεῖον ἀφαιρεῖται, ὑγιεινότεροι, οἷς δ' ἔλατ-
τον, νοσερώτεροι. ἀλλὰ τούτοις γε μάχεται τὸ, μεταξὺ γε-
C γράφθαι, τὸ κοιλίης πυκνότης, τοῦ δέρματος σύνδεσις, εἴπερ
ἦν κατάλογος πραγμάτων εἰς γνῶσιν χρησίμων ἰατρῷ. καὶ μέν-
τοι καὶ τὸ τούτων ἐφεξῆς, οὕτως εἰρημένον ἡ κοιλίης νάρκωσις,
ἡ τῶν ὅλων σύγχυσις, ἐνδεικτικόν ἐστι τοῦ γράφειν αὐτὸν ὅσα
συνυπάρχειν ἀλλήλοις πέφυκεν, οὐχ ἁπλῶς τινές εἰσι δια-
θέσεις ἐν τῷ σώματι συνιστάμεναι, γινώσκεσθαι δεόμεναι. τὸ
γὰρ ἡ τῶν ὅλων σύγχυσις, οὐ διαθέσεώς ἐστι δηλωτικὸν, ἀλλὰ
τῶν ἐπὶ διαθέσει μοχθηρᾷ γινομένων κακῶν.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Καθαίρεσις δρόμοισι, πάλῃσιν, ἡσυχίῃσι, πολλῇσι περιπάτοισι ταχέσιν, οἷσιν ἑφθὴ μάζα, τὸ πλεῖον, ἄρτος ὀλίγος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν τῆς κενώσεως ὄνομα κατὰ μόνον τῶν ὑγρῶν λέγεται·
τὸ δὲ τῆς καθαιρέσεως, μᾶλλον μὲν ἐπὶ τῶν στερεῶν, ἐνίοτε
δὲ κἀπὶ τῶν ὑγρῶν. καὶ μέντοι καὶ τὰ νῦν εἰρημένα κοινὰ τῆς
E τε τῶν ὑγρῶν, καὶ τῆς τῶν στερεῶν μειώσεώς ἐστιν, ὅταν ἄνευ κα-
θάρσεως, ἢ κενώσεως αἵματος αὐτὰς ποιήσασθαι βουληθῶ-
μεν, ἐπὶ τῶν ὑγιαινόντων δηλονότι. νοσοῦντα γὰρ, οὐδεὶς δρό-
μοις καὶ πάλαις θεραπεύσει. κοινὸν γὰρ καὶ τούτων καὶ τῶν ἄλ-
λων ἐστὶ τῶν ὁμοίων αὐτοῖς, τὸ τῶν γυμνασίων γένος, ἐκτετα-
μένων ἐπί τε δίσκων, καὶ ἀκοντίων βολὰς, ἅλματά τε, καὶ
ἁλτῆρας, ὁπλομάχας τε, καὶ πάντα τὰ κατὰ τὸν βίον ἔργα, καὶ
μάλισθ' ὅσα κατὰ γεωργίαν πονοῦσιν, ἀροῦντές τε καὶ θερί-
F ζοντες, καὶ σκάπτοντες. ἅπαντ' οὖν τὰ γυμνάσια, καὶ τῶν σαρ-
κῶν, καὶ πιμελῶν, καὶ χυμῶν πλῆθος μειοῖ. χρῆσθαι δ' ἐφ' ἑνὸς
σώματος αὐτοῖς ἀδύνατον, ἀλλὰ κατὰ τὰς ἕξεις, καὶ κατὰ τὰς ἡλι-
κίας, καὶ τὴν δύναμιν, καὶ τὸ ἔθος, ἐξευρίσκειν ἑκάστῳ προσήκει
τὸ ἐπιτήδειον γυμνάσιον, ὡς ἐν τοῖς ὑγιεινοῖς ἐμάθετε. νυνὶ
γὰρ ἐκ τῆς τῶν Ἱπποκράτους συγγραμμάτων ἐξηγήσεως, οὐ τὰ τῆς
ἰατρικῆς θεωρήματα μανθάνετε, προμεμαθηκότες ταῦτα
κατὰ τάξιν ἐν ταῖς οἰκείαις πραγματείαις, ἐν αἷς ἅπαντάς τε τὰ
δόγματα αὐτοῦ μετὰ ἀποδείξεως ἔγνωτε, καὶ τὰ τοῖς δόγμασιν

ἀκόλουθα κατὰ μέρος ἅπαντα. βουληθέντες δὲ τῶν εἰρημένων ὑπ' αὐτοῦ τὴν ἱστορίαν προσκτήσασθαι, ταῦτα ἠξιώσατέ με τὰ ὑπομνήματ' ὑμῖν ποιήσασθαι, καίτοι μὴ προῃρημένον. αἱ γὰρ ἀσαφεῖς λέξεις, ἐπιστημονικὴν ἐξήγησιν οὐ προσίενται. νυνὶ γοῦν εὐθέως ἐφεξῆς γεγραμμένου τοῦ, ἡσυχίῃσιν, οὐκ ἔστι γνῶναι σαφῶς ὃ βούλεται δηλῶσαι διὰ τῆς φωνῆς ταύτης ὁ Ἱπποκράτης. στοχάζεσθαι δὲ χρὴ, καθάπερ ἐν ταῖς ἄλλαις ἀσαφέσι λέξεσιν, οὕτως κἀν ταύτῃ· τὸ μέν τι τοῖς δὲ φαίνεσθαι πιθανώτερον εἶναι, τὸ δὲ, τοῖσδε. καὶ γὰρ καὶ πέφηνε, καὶ ἄλλος ἄλλως ἐξηγεῖται τὴν ἡσυχίαν. ἐγχωρεῖ γοῦν, ἐπί τε τῶν μεταξὺ διαναπαύσεων ἐν τοῖς γυμνασίοις, εἰρῆσθαι, καθάπερ ἐν ἀφορισμοῖς εἶπεν. ὁκόταν ἄρξηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον. ἐγχωρεῖ δὲ κἀπὶ τῶν ταῖς ὅλαις ἡμέραις ἐσομένων ἡσυχιῶν, ἐν τοῖς μεταξὺ λελέχθαι. δύναται δὲ καὶ τελείαν ἡσυχίαν ἐπί τινων σωμάτων συμβουλεύειν. εἰ γὰρ οὕτως αὐτὸς εἶπε, κίνησις κρατύνει, ἀργίη τήκει· δύναιτ' ἂν ποτε καὶ βίος ἀργὸς λεπτῦναι τὸ σῶμα. καὶ γὰρ τεθεάμεθά τισιν οὕτω συμβᾶσαι, ἐκ μεταστάσεως εἰς ἀργίαν τῶν γυμνασίων. ἀλλὰ διορισμῶν ἀκριβῶν ἐστὶ χρεία, τίνες εἰσὶν, οἱ τούτων δεησόμενοι λεπτύνσεως ἕνεκεν, οὐ γὰρ δεῖ κενώσεώς γε πλεοναζόντων ὑγρῶν. οὐδέποτε γὰρ ἀργία τοῦτο ποιεῖν πέφυκεν. εἰκότως οὖν ἔνιοι περὶ καθαιρέσεως σαρκῶν τὸν λόγον αὐτῷ νῦν εἶναί φασιν, οὐ κενώσεως ὑγρῶν ὡς ἐν πληθώραις τε καὶ ταῖς ὑδαρώδεσιν ἕξεσι γίνεται. δυνατόν γε μὴν, ἐπ' ἀμφοτέρων αὐτοῦ τὸν λόγον πεποιημένου, κατάλογον εἶναι πάντων τῶν βοηθημάτων, ὅσα τε κοινὰ τῶν καθαιρέσεων ἀμφοτέρων ἐστὶ, καὶ ὅσα τε καθ' ἑτέραν αὐτῶν ἴδια. δύναται δὲ, μετὰ τὰ γυμνάσια τὴν ἡσυχίαν γεγραφέναι, περὶ τῶν καθ' ἑκάστην ἡμέραν γυμνασίων, καὶ τῆς ἐπ' αὐτοῖς ἡσυχίας ποιούμενος τὸν λόγον, ἵνα γυμνασάμενοι μὴ προσφέρωνται τὰ σιτία εὐθέως καθάπερ ἔθος ἐστὶ, διασώζοντες ἐν τῷ σώματι τὴν ἐκ τῶν γυμνασίων θερμασίαν, ἀλλὰ τελέως ἀπεψυγμένοι. καὶ γὰρ τοῦτ' ἐν τοῖς ὑγιεινοῖς ἐμάθετε λελεγμένον ὀρθῶς, ἄλλοις τε, καὶ τῷ Ἐρασιστράτῳ, ὥστε κἀκ τούτου δῆλον γίνεσθαι, πολὺ τὸ στοχαστικὸν ἐν ταῖς ἐξηγήσεσιν εἶναι τῶν διὰ συντομίαν ἀσαφῶς ἡρμηνευμένων. ὅταν δὲ καὶ γράφειν τὴν λέξιν, ὡς ἂν ἐθέλῃ τις ἐξῇ, πολὺ δή που μᾶλλον ἄδηλον γίνεται τὸ τῆς γνώμης τοῦ παλαιοῦ. νυνὶ γοῦν ἐν τῇ προκειμένῃ ῥήσει γράφουσιν ἔνιοι, ἡσυχίῃσι πολλῇσιν, οὔτε τῶν παλαιῶν ἀντιγράφων, οὔτε τῶν πρώτων ἐξηγησαμένων τὸ βιβλίον ἐπισταμένων τὴν γραφὴν ταύτην. εἰ δ' ἀναγκάζει τις ἡμᾶς αὐτὴν ἐξηγήσασθαι τὴν μετὰ τὰ γυμνάσια γινομένην ἡσυχίαν, φήσομεν ἀξιοῦν αὐτὸν ποιεῖσθαι πολλήν. ἀλλὰ ταύτην μὲν ἐατέον, τὴν δ' ὁμολογουμένην ἅπασι γραφὴν ἐξηγούμενοι, συμβουλεύειν αὐτὸν ἐροῦμεν, πολλοῖς περιπάτοις καὶ ὀξέσι χρῆσθαι. παχύνουσι γὰρ οἱ βραδεῖς, ὥσπερ καὶ τὰ βραδέα γυμνάσια. καὶ θαυμάζω γέ πως ἐπ' ἐκείνων παρέλιπε τοῦ, ταχέσι. καὶ γὰρ δρόμοι ταχεῖς, καὶ γυμνάσια τοιαῦτα, καὶ σαρκῶν ὄγκον καθαιρεῖ, καὶ χυμῶν πλῆθος κενοῖ, καὶ σχεδὸν ἅπασιν ὁμολογεῖται τοῦτο καὶ γυμνασταῖς, καὶ ἰατροῖς. ὁ δ' οὖν Ἱπποκράτης ἐφεξῆς ἔγραψε περὶ τῆς ἐπιτηδείου τροφῆς, τοῖς καθαιρέσεως δεομένοις, ὡς εἴωθεν, ἐκ τοῦ παραδείγματος ἑνὸς, ἑαυτῷ ὑπόμνησιν ποιησάμενος τῶν καθόλου πᾶσιν ἁρμοττόντων.

A tim omnia habuistis. Cæterum vos dictorum ab ipso seriem assequi studentes, hæc me vobis Commentaria conficere, etsi id facere non statuissem, rogatum voluistis; obscuræ namque dictiones scientificam explanationem non admittunt. Nunc itaque statim hac voce deinceps scripta, quiete, aperte cognoscere non licet, quid per ipsam Hippocrates significare voluerit, sed quemadmodum in aliis obscuris locutionibus, ita & in ista, per conjecturas agere opus est, ut hoc isti, illud aliis verisimilius B videatur, quemadmodum & visum: est & alius aliter quietem interpretatur. Potest enim & de cessationibus, quæ exercitationibus interponuntur, dicta esse, sicut in aphorismis dixit: Cum inceperit lassescere, quietem agere, statim lassitudinem tollit. Potest etiam & de cessationibus per integros interjectos dies futuris intelligi. Potest autem & integram quietem aliquibus corporis consulere. Nam si ipse ita dixit, motus roborat, ocium tabefacit; posset sanè & ociosa vita corpus attenuare: ita enim quibusdam ab exercitationibus ad ocium traductis evenire conspeximus. Sed certas distin- C ctiones statuere opus est, ut sciamus quinam sint, qui istis extenuandi causâ indigeant: neque enim ob abundantium humorum evacuatione opus est: nunquam enim id præstare ocium potest. Jure itaque nonnulli de carnium detractione sermonem ipsi nunc esse aiunt, non de humorum inanitione, ut in plenitudine, & aquosis habitibus fit. Potest quidem de ambabus ipso sermonem faciente, omnium auxiliorum enumeratio esse, & quæ utrique detractioni communia sunt, & quæ alteri ipsarum pro- D pria. Potest autem & post exercitationes quietem scripsisse, de singulorum dierum exercitationibus, quieteque ipsis succedente sermonem faciens, ne exercitati cibaria (ut moris est) ilico assumant, in corpore adhuc ab exercitatione calorem servantes, sed postquam exactè refrigerati sunt: nam & hoc in libris salubus, & ab aliis, ab Erasistrato recte dictum didicistis. Quare & ex hoc constat, multum conjecturæ in dictorum ob brevitatem obscurorum interpretationibus inesse: præterea cùm verba, ut lubet, scribere liceat, longe sanè obscurior Veteris sententia redditur. Nunc qui- E dem in proposito sermone aliqui scribunt, *quiete multa*, neque vetustis codicibus, neque illis, qui primum volumen hoc interpretati sunt, hujusmodi lectionem agnoscentibus. Si quis verò hanc nos explanare cogat, quietem post exercitationes multam interponi debere, ipsum præcipere dicemus. Verum hæc omittenda est: & ab omnibus concessam scripturam declarantes, ut ambulationibus multis, ac celeribus quis utatur, ipsum consulere affirmabimus: tardæ enim, quemadmodum & tardæ F exercitationes, corpora pinguiora efficiunt. Atqui demiror, cur de illis loquens, omisit hanc particulam, *velocibus*: siquidem veloces cursus, exercitationesque similes, & carnium molem detrahunt, & succorum exuperantiam inaniunt, fereque ab omnibus & hoc exercitatoribus, & medicis conceditur. Hippocrates igitur deinceps detractione egentibus aptam alimoniam descripsit, ab uno exemplo (ut solitus est) ejus, quod communiter omnibus convenit,

sibi ipsi Commentarium faciens. Istis autem in universum alimenta multum nutrientia non danda sunt, qualis est suilla caro; sed parum nutrientia, qualis est ovilla caro, quæ sanè pecudis est, & placenta sanè, quæ Græce maza dicitur, inter modice alentia reponitur: quo circa ipsius quidem plurimum, panis verò exiguum accipi jubet.

A ἔστι δὲ, τούτοις καθόλου τροφὰς διδόναι μὴ τροφίμους, ὁποῖόν ἐστι τὸ χοίρειον κρέας, ἀλλ᾽ ὀλιγοτρόφους ὁποῖόν ἐστι τὸ τοῦ οἰός, ὅπερ ἐστὶ τοῦ προβάτου, καὶ ἡ μάζα δὲ τῶν ὀλιγοτρόφων ἐστὶ· διὰ τοῦτ᾽ οὖν ταύτης μὲν τὸ πλεῖστον, ὀλίγον δὲ τοῦ ἄρτου λαμβάνειν κελεύει.

HIPPOCRATIS TEXTUS III.

D*etractionis signum, eandem horam diei servare: repente enim trahitur.*

GALENI COMMENTARIUS.

PRæsentia verba cum ante scriptis, ubi, detractio ut facienda esset, edocebat, congiungi clarum est. Ut igitur cognoscamus, num ejus modum recte conjectura assecuti fuimus, hujusce rei signum nunc tradit. Sed iste sermo propter eam, quam sæpe jam diximus causam, nobis obscurus redditus est, quòd videlicet non emitteretur, hunc Librum scripsit, sed ut formulam quandam, & apparatum sibi ipsi moliretur: ad eruditionem enim scribens, utique omnino declarasset, quam diei horam eam dicat, in qua detractionis signum observare oporteat. Cum igitur ipse non scripserit, quid aliud quisquam probabilius intelligere possit, quam quod eadem diei hora eum ducentes ad exercendum, qui detractionis indigeat, observemus, ut jussit nunquid de repente subtrahatur, hoc est, moles quidem corporis concidat, cadat autem, & debilitetur facultas: nam haud dubie hæc vox εἰρύεσθαι trahi significat. Potest autem & ab illo ad hæc transferri, propter rerum naturam, de quibus verba fiunt: quibus, ut sæpius dixi, in obscuris narrationibus, quæ prius ipsi novimus, adaptamus. At quidam loco hujus vocis, εἰρύεσθαι hoc est trahitur, hanc scribunt ἐρείπεται hoc est cadit, rei declarationem ex hac voce magis lucidam fore sperantes: sed antiqua scriptura hanc vocem, εἰρύεται, hoc est trahitur, habet.

B ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ΄.

Καθαιρέσιος σημεῖον, τὴν αὐτὴν ὥρην τῆς ἡμέρης φυλάσσειν, ἐξαπίνης γὰρ εἰρύεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἄδηλόν ἐστι συνῆφθαι τὴν ῥῆσιν ταύτην τῇ προγεγραμμένῃ, καθ᾽ ἣν ἐδίδασκεν ὅν τινα τρόπον χρὴ ποιεῖσθαι τὴν καθαίρεσιν. ὅπως οὖν γνῶμεν εἰ τοῦ ποσοῦ τοῦ κατ᾽ αὐτὴν ἀκριβῶς ἐστοχασάμεθα, σημεῖον νῦν γράφει τούτου. γέγονε δὲ ὁ λόγος ἐπὶ ἀσαφὴς, ὡς πρὸς ἡμᾶς, C διὰ τὸ, καθάπερ ἔφην ἤδη πολλάκις, οὐ πρὸς ἔκδοσιν αὐτῷ γεγράφθαι τὸ βιβλίον τοῦτο, ἀλλ᾽ εἰς ὑποτύπωσίν τε καὶ παρασκευὴν ἑαυτῷ. πρὸς ἔκδοσιν δὲ γράφων, οὕτως εἶπεν ἂν πάντως, ἥν τινα λέγει τῆς ἡμέρας ὥραν, τὴν αὐτὴν ἐν ᾗ τὸ τῆς καθαιρέσεως σημεῖον ἐπιτηρεῖν χρή. μὴ γεγράφοντος οὖν αὐτοῦ τι ἂν ἄλλο τις ἀκούειν ἔχοι πιθανώτερον, ἢ ὅτι τὴν αὐτὴν ὥραν τῆς ἡμέρας, ἄγοντες ἐπὶ τὰ γυμνάσια τὸν τῆς καθαιρέσεως χρῄζοντα, παραφυλάξωμεν ὡς ἐκέλευε. μή τι γὰρ ἐξαπίνης εἰρύεται, τουτέστι συμπίπτει μὲν D τὸν ὄγκον τοῦ σώματος, καταπίπτειν δὲ καὶ ἀῤῥωστεῖν τὴν δύναμιν. αὕτη γὰρ ἡ λέξις μὲν γὰρ ἕλκεσθαι σημαίνει τὸ εἰρύεσθαι. δύναται δ᾽ ἀπ᾽ ἐκείνου κἀπὶ ταῦτα μεταφέρεσθαι, διὰ τὴν τῶν πραγμάτων φύσιν ὑπὲρ ὧν ὁ λόγος ἐστίν. οἷς ὡς ἔφην πολλάκις, ἐν ταῖς ἀσαφέσιν ἑρμηνείαις, ἃ φθάνομεν αὐτοὶ γινώσκειν ἐφαρμόττομεν. ἔνιοι δ᾽ ἀντὶ τοῦ, εἰρύεται, γράφουσιν ἐρείπεται, σαφεστέραν τὴν δήλωσιν τοῦ πράγματος ἐκ τῆς λέξεως ταύτης ἐλπίσαντες ἔσεσθαι. ἀλλ᾽ ἥ γε παλαιὰ γραφὴ τὴν, εἰρύεται, φωνὴν ἔχει.

E

HIPPOCRATIS TEXTUS IV.

R*emittito labores, aut defluet.*

GALENI COMMENTARIUS.

ET hoc loco nonnulli scribunt, subtrahito ex laboribus, aut defluet. Orationis autem vis hæc est, omnis evacuatio, nisi paulatim fiat, vires prosternit, & corporis habitum subito valde digerit. Propterea igitur quidam scripserunt, submittito labores, aut defluet, copiosam repente evacuationem per hoc verbum, *defluet*, significare volentes. Alii vero scribunt ἢ εἰρύεται, id est, quatenus consumitur, literam η addentes, & circunflectentes, atque item iota subscribentes, ut significetur, ita ex laboribus subtrahere, ut homo consumatur. Hoc verbum autem εἰρύεσθαι de corporis consumptione, viriumque casu ab ipso dictum fuisse, aiunt: ut

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ΄.

Ἀφεῖναι τῶν πόνων, ἢ ῥυήσεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κἀνταῦθα γράφουσί τινες ὑφεῖναι τῶν πόνων, ἢ ῥυήσεται. ἡ δ᾽ οὖν τοῦ λόγου δύναμίς ἐστι τοιάδε. πᾶσα κένωσις ἐὰν μὴ κατὰ βραχὺ γίνηται, τήν τε δύναμιν καταλύει, F καὶ τὴν τοῦ σώματος ἕξιν ἀθρόως διαφορεῖ. διὰ τοῦτ᾽ οὖν ἔνιοι μὲν ἔγραψαν ὑφεῖναι τῶν πόνων, ἢ ῥυήσεται, τὴν ἀθρόαν κένωσιν ἐκ τοῦ ῥυήσεσθαί γε δηλοῦσθαι βουλόμενοι. τινὲς δὲ ἢ εἰρύεται γράφουσι, προστιθέντες τὸ ἦτα, καὶ περισπῶντες, καὶ μετὰ ἰ. ὑπογράφοντες, ἵνα σημαίνηται, τῶν πόνων ὑφεῖναι, ἢ ὑφιέναι, καθότι ἂν εἰρύηται ὁ ἄνθρωπος. αὐτὸ δὲ τὸ εἰρύεσθαι, κατά τε τῆς τοῦ σώματος συμπτώσεως, καὶ κατὰ τῆς ἐν τῇ δυνάμει καταπτώσεως εἰρηκέναι φασὶν, ὡς

γενέσθαι τὸν λόγον τοιοῦτον· ὑφεῖναι τὸν πόνων, ὁπόταν ἥ τε δύναμις καταπίπτῃ, καὶ τὸ σῶμα διαφορῆται. καὶ μέν τοι καὶ οἱ τὸ ἐρείψεται γράφοντες, ἐπὶ τὴν τῆς δυνάμεως κατάπτωσιν φέρουσι τὸν λόγον. A

ejusmodi oratio sit. Minuas labores quum vires prosternuntur, & corpus digeritur. Quin etiam, & qui ἐρείψεται, hoc est, labetur, scribunt, ad virium casum orationem referunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε.

Ὁμοίως γὰρ ὅλον συμπίπτει.

HIPPOCRATIS TEXTUS V.

Similiter enim totum concidit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῇ προγεγραμμένῃ ῥήσει ταύτην ἐφεξῆς εὗρον ἐν τοῖς παλαιοῖς ἀντιγράφοις πάλιν. ἴσασι δὲ αὐτὴν οὕτως ἔχουσαν, καὶ οἱ παλαιοὶ τῶν ἐξηγητῶν· καὶ μέν τοι καὶ τῶν νεωτέρων οἱ περὶ Σαβῖνον, οὐ μὴν εἰρήκασί γέ τινα ἐξήγησιν εἰς αὐτήν. ὅλην γὰρ τὴν προκειμένην ῥῆσιν προσγράψαντες, εἶτ' ἐξηγησάμενοι τὰ κατὰ μέρος ἐν αὐτῇ, ταύτης τῆς λέξεως τὴν ἐξήγησιν οὐκ εἶπον, ὥσπερ οὐδὲ Ζεῦξις, ἐκ τῶν παλαιῶν ἐξηγητῶν εἷς ὢν καὶ αὐτός. ἔνιοι δέ φασιν εἰρῆσθαι πρὸς Ἱπποκράτους· τὸ ὁμοίως γὰρ συμπίπτει, τοιοῦτόν τι δηλοῦν βουλομένου, ὥσπερ ἡ πλήρωσις βλάπτει, καὶ διὰ τοῦτο δεῖ καθαιρεῖν αὐτήν, οὕτω καὶ ἡ περαιτέρω τοῦ προσήκοντος κένωσίς ἐστι βλαβερά, παραπλησίως τῇ πληρώσει. συμπίπτει γὰρ ὑπ' αὐτῆς τὸ σῶμα βλαβερῶς, ὡς ἐπὶ τῆς πληρώσεως, εἰς ὄγκον αἴρεται. μεμψάμενοι δή ἔνιοι τὴν ἐξήγησιν ταύτην, ὡς ἀπίθανον, ἤτοι οὐδ' ὅλως ἔγραψαν τὸ μέρος τοῦτο τῆς ῥήσεως, ἢ μετέγραψαν εἰς τήνδε τὴν λέξιν. ἀθρόως γὰρ αὖ ῥυήσεται· παρακελεύεσθαι βουλόμενοι τὸν Ἱπποκράτην προσέχειν ἡμᾶς ἀκριβῶς τῇ καθαιρέσει τοῦ σώματος. ἀθρόως γὰρ αὐτοῖς γίνεσθαι, διαφορεῖσθαι καὶ ῥεῖν, ἐν τοῖς γυμνασίοις ὅταν ἐφεξῆς ἡμέραις πολλαῖς ἐπιμείνῃ τις γυμνάζων μὲν αὐτὸν ἀξιολόγως, διαιτῶν δὲ λεπτῶς.

B

GALENI COMMENTARIUS.

Hanc partem post superiorem in antiquis exemplaribus omnibus inveni: quam ita se habere veteres etiam Explanatores asserunt, necnon, & ex recentioribus Sabini sectatores: nullam tamen ejus interpretationem attulerunt. Totam enim antepositam dictionem quum adscripsissent, deinde singula ejus verba interpretati, hujusce partis explanationem non dixerunt, quemadmodum neque Zeuxis ex antiquis Interpretibus unus, & ipse. Quidam sane aiunt ab Hippocrate dictum fuisse; similiter enim totum concidit; tale quid innuere volente: Ut repletio nocet, ideoque ipsam detrahere oportet, sic & præter modum evacuatio æquè, ac repletio, noxia est: ob ipsam enim corpus detrimentose tabescit, sicut ex plenitudine mole nimia turget. Sed quidam hanc interpretationem, ut incredibilem vituperantes, aut nullo pacto hanc partem scripserunt, aut in hæc verba transmutarunt; subito enim valde fluet, Hippocratem nobis præcipere volentes, ut diligenter corporis detractionem observemus. Repente enim ipsis magna digestio, ac defluxio in exercitationibus accidit, quum deinceps pluribus diebus aliquis ipsos valde exercuerit, tenuiterque cibos exhibuerit.

C

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Ὅταν δή ἤδη συμπέσωσι προσάγειν ὕεια ὀπτά.

HIPPOCRATIS TEXTUS VI.

Cum vero jam contabuerint, præbere suillas assas oportet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τῶν προειρημένων, ἀξιοῖ φυλάττεσθαι τὴν ἀμετρον καθαίρεσιν. ἐπεὶ δ' ἔσθ' ὅτε συμβαίνει περιπίπτειν ἀκουσίως, βούλεται καὶ πρὸς ταῦτα χρῆν παρεσκευάσθαι τὸν ἰατρόν. ἐάν ποτε καθαίρεσις ἀθρόα γένηται, διδόναι τηνικαῦτα συμβουλεύει κρέα ὕεια ὀπτά. κρέα μὲν ὕεια, διότι πολύτροφα. τὰ δὲ ὀπτά, διότι στερεάν, καὶ συνηγμένην εἰς ὀλίγον ὄγκον, οὐχ ὑγράν, οὐδὲ πλαδαρὰν ἐργάζεται τὴν σάρκα. τινὲς δὲ ἀντὶ τοῦ προσάγειν, προσφέρειν ὕεια ὀπτὰ γράφουσι, τὴν αὐτὴν μὲν φυλάττοντες ἔννοιαν, ὡς κυριωτέρῳ δὲ ῥήματι τῷ προσφέρειν, ἀντὶ τοῦ προσάγειν χρώμενοι.

E

F

GALENI COMMENTARIUS.

Per antedicta immodicam detractionem cavere nos jubet. Sed quoniam interdum invitum in eam incidere contingit, vult & ad ea Medicum paratum esse debere, siquando repente magna detractio facta sit: tuncque suillas carnes tostas exhibere consuluit: suillas quidem carnes, quod multum nutriant: tostas vero, quod solidam, & in exiguam molem astrictam, non humidam laxamque carnem creent. At quidam loco hujus verbi, *præbere*, offerre suillas assas, scribunt, eandem quidem sententiam servantes, sed ut magis proprio verbo, *offerre*, loco istius, *præbere*, utentes.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Ὅταν δὲ πληρῶνται, σημεῖον αὖθις, τὸ σῶμα ἀνθηρὸν γάρ.

HIPPOCRATIS TEXTUS VII.

Cum replentur autem, signum rursus, floridum corpus est.

A

GALENI COMMENTARIUS.

ET id ipſum brevibus deſcripſit omnis refectionis commune ſignum. Floridum enim corpus evadit, & in exercitationibus, & illis alioqui, qui ex bono ſanguine inſtaurantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ τοῦτ' αὐτὸ διὰ βραχέων ὑπεγράψατο, κοινὸν ἁπάσης ἀναθρέψεως ὑπάρχον σημεῖον. ἀνθηρὸν γὰρ γίνεται τὸ σῶμα, κατά τε τὰ γυμνάσια, καὶ ἄλλως τοῖς ἐξ αἵματος χρηστοῦ τὴν ἀνάθρεψιν ἴσχουσιν.

HIPPOCRATIS TEXTUS VIII.

B

IN exercitationibus ſignum, ſudor ſtillatim, ut ex aquæductibus exit, aut depreſſio ex elatione.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

ΕΝ γυμνασίοισι σημεῖον ὁ ἱδρὼς, ὁ στάγδην ῥέων ἐξέεισιν ὥσπερ ἐξ ὀχετοῦ, ἢ σύμπτωσις ἐξ ἐπάρσιος.

GALENI COMMENTARIUS.

ET hoc loco ſermoni deeſt caſus, aut detractionis, aut id genus aliquid. Quocirca ipſum nonnulli addentes tanquam principio, ita ſcriptum non dubitarunt interpretari, talem orationem reddentes: In exercitationibus collapſionis ſignum, ſudor, ut ex aquæductibus effluens: deinceps autem ſignum aliud eſt, depreſſionem magnam ſubito ex elatione: oportet enim, & hîc ſubintelligere, ſubitaneam, ac magnam, licet modo ſcriptum non ſit, ipſo ſuperius dicente, repente nanque trahitur. Hæc autem corpore immodicè digeſto evenire palam eſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΛΕίπει κἀνταῦθα τῇ λέξει, τὸ συμπτώσεως, ἢ καθαιρέσεως, ἤ τι τοιοῦτον. διὸ καί τινες οὐκ ὤκνησαν αὐτὸ προσθέντες, ὡς γεγραμμένον οὕτως ἐξ ἀρχῆς ἐξηγεῖσθαι, τοιάνδε τὴν λέξιν ποιούμενοι. ἐν γυμνασίοις σημεῖον συμπτώσεως ὁ ἱδρὼς ὁ ῥέων ὥσπερ ἐξ ὀχετοῦ

C

ἐφεξῆς δὲ ἄλλο σημεῖον γίνεσθαι τὴν ἀθρόαν σύμπτωσιν ἐξ ἐπάρσεως. χρὴ γὰρ κἀνταῦθα προσυπακοῦσαι τὸ, ἀθρόον, εἰ καὶ μὴ γέγραπται νῦν, ἔμπροσθεν εἰρηκότος αὐτοῦ, ἐξαπίνης γὰρ εἰρύεται. ὅτι δὲ ταῦτα διαφορουμένου τοῦ σώματος ἀμέτρως, γίνεται, πρόδηλον.

HIPPOCRATIS TEXTUS IX.

D

MVlier, quam primo in Cranoni curavi, lienis magnus naturâ, febris ardens, valde rubra, ſpiritus decimo die, ſudor multus ſuperius, verumetiam inferius decimoquarto die.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Η Γυνὴ, ἣν τὸ πρῶτον ἐθεράπευσα ἐν Κρανῶνι· ὁ σπλὴν μέγας φύσει, πυρετὸς καυσώδης, ἐξέρυθρος, πνεῦμα δεκάτῃ, ἱδρὼς, τὰ πολλὰ ἄνω, ἀτὰρ τοι καὶ κάτω. ιδ'.

GALENI COMMENTARIVS.

NIhil notatu dignum in his verbis diſcere nobis licet. Admiratus autem eſſem ſi & ipſe Hippocrates omiſſa urinæ mentione, ita ſcripſiſſet: quoniam ſi adjeciſſet, aliquid plus ad reminiſcentiam lucratus fuiſſet, ac nobis etiam eadem ratione profuiſſet. Et hoc quoque dictionis hujus initio ſcriptum obſcurum eſt, quam primo curavi: nam quæſtione dignum eſt, utrum ſua ipſius cauſa, ut nominum, & locorum, in quibus ægroti jacebant, meminiſſe conſuevit, ita & nunc adſcripſerit, quam primo curavi, quò nominis mulieris memor eſſet: an nunc ex recidiva hominem ægrotaſſe ſignificet. Ita vero qui decimo die accidiſſe ſcriptus eſt, obſcuritatem parit, num quamlibet ſimpliciter ſpirationis difficultatem, an ſolum incitatam, & valde crebram ægrè ſpirandi ſpeciem ſignificet. Sed quidam & in ventre multum ſpiritum collectum eſſe per hæc verba ſignificari putant. Hæc quidem, quantum ad verba pertinet, obſcura ſunt. Alia vero quantum ad ſolam ſententiam, non minus difficultatis continent. Utrum enim ex ſolo male affecto liene mulieri acciderit, & ardenti febre, & ſpirationis anguſtia, ſeu ventris inflatione laborare, & colore pertrubro eſſe: an & alius quiſpiam febrilis affectus ipſam vexaverit, ob quem in hæc mala inciderit, incertum eſt. Sed

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥδὲν ἀξιόλογον ἐκ ταύτης τῆς ῥήσεως ἔνεστιν ἡμῖν μαθεῖν. θαυμάσαιμι δ' ἂν εἰ καὶ αὐτὸς ὁ Ἱπποκράτης οὕτως ἔγραψεν αὐτὸ τοῦ προσγράψαι τὰ οὖρα, ὡς εἴ γε προσεγέγραπτο πλέον ἂν ἐκ τούτου εἰς ἀνάμνησιν εἶχέ τι. πρὸς ἡμᾶς δ', ἐξ ἐπιμέτρου, καὶ τοῦτ' ἔστιν

E

ἀσαφές τό τε κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως γεγραμμένον, ἣν τὸ πρῶτον ἐθεράπευσα. ζητήσεως γὰρ ἄξιόν ἐστι, πότερον ἑαυτοῦ χάριν, ὡς ὀνομάτων καὶ τόπων ἐν οἷς οἱ νοσοῦντες κατέκειντο μνημονεύειν εἴωθεν, οὕτω καὶ νῦν προσέγραψεν, ἣν τὸ πρῶτον ἐθεράπευσα, διὰ τὸ μεμνῆσθαι τὸ ὄνομα τῆς γυναικὸς, ἢ δηλωτικόν ἐστι τοῦ, νῦν ἐξ ὑποστροφῆς νοσῆσαι τὸν ἄνθρωπον, οὕτω δὲ καὶ τὸ πνεῦμα, τὸ τῇ δεκάτῃ τῶν ἡμερῶν γεγονέναι γεγραμμένον, ἀσαφές ἐστι, εἴ τε δυσπνοίαν ἁπλῶς σημαίνει ἡντινοῦν, εἴ τε μόνον τὸ διεσπωγμένον, καὶ μέγα πυκνὸν εἶδος τῆς δυσ-

F

πνοίας. ἔνιοι δὲ, καὶ τὸ κατὰ τὴν γαστέρα πνεῦμα πλέον ἠθροῖσθαι, νομίζουσιν ἐκ τῆς λέξεως δηλοῦσθαι. ταῦτα μὲν οὖν κατὰ τὴν λέξιν ἔχει τὴν ἀσάφειαν, ἀλλὰ δὲ κατὰ μόνην τὴν διάνοιαν. πότερον γὰρ ἐπὶ μόνῳ τῷ σπληνὶ πάσχοντι, συνέβη τὴν γυναῖκα, καὶ πυρετὸν καυσώδη ἔχειν, καὶ τὴν δυσπνοίαν, ἢ τὴν ἐμπνευμάτωσιν τῆς γαστρός. ἐξέρυθρόν τε τὴν χρόαν, ἢ καί τις ἄλλη πυρετώδης αὐτῇ διάθεσις ἐγένετο, δι' ἣν ταῦτα συνέπεσεν, ἄδηλόν ἐστι. μέγι-

σον δὴ ὡς ἔφην, τὸ μὴ γινώσκειν ἡμᾶς ὁποῖα τὰ οὖρα μέχρι κρίσεως ἐγένετο, καὶ διὰ τί, κατὰ τὴν δεκάτην ἡμέραν ἐπεσήμηναν οἱ ἱδρῶτες. εἴωθε γὰρ αὐτὸς ἐν αἷς ἡμέραις οἱ παροξυσμοὶ σφοδρότεροι γίνονται προσγράφειν, ἵν' εἰδῶμεν, ὡς ἐκ πολλῆς τῆς κατὰ μέρος πείρας ἤθροισε τὴν ἐμπειρίαν, ἀφ' ἧς ἀπεφήνατο καθόλου περὶ πάντων νοσημάτων. ὧν οἱ παροξυσμοὶ ἐν περιτταῖς ἡμέραις γίνονται, τούτων καὶ τὰς κρίσεις ἐν περιτταῖς ἡμέραις ἀποτελεῖσθαι. ὃ δὲ πάντων ἐστὶν ἀτοπώτατον ἐν τῇ προκειμένῃ ῥήσει, καὶ δὴ φράσω, πότερον ἀπέθανεν, ἢ ὑγίανεν ἡ γυνὴ, παραλελεῖφθαι. διὸ καὶ τὸ μεταξὺ ταύτης τε καὶ τῆς μετὰ ταύτην γεγραμμένης τὸ, ἧσσον, ἔνιοι μὲν ταύτῃ προστιθέασιν, ἔνιοι δὲ ἐκείνης ἡγούμενον ποιοῦσιν. εἰ μὲν οὖν ἐγέγραπτο κατὰ τὴν ιδ'. ἐπ' ἀγαθῷ κεκρίσθαι τὴν γυναῖκα, λόγον ἂν εἶχε μὴ προσγράφειν ταύτῃ τῇ ῥήσει τὸ, ἧσσον. εἰρηκὼς γὰρ ἐν τῇ δεκάτῃ ἡμέρᾳ ἱδρῶτας γεγονέναι τῇ γυναικὶ τὰ πολλὰ ἄνω, κᾄπειθ' ἑξῆς ἐπιφέρων, ἀτάρ τοι καὶ κάτω τεσσαρεσκαιδεκάτῃ, πῶς ἂν ἐπ προσέγραψε τὸ, ἧσσον εἴπερ ὅλως ἐσώθη τὸ γύναιον. εὔλογον οὖν ἐστὶ μᾶλλον ἐκταθῆναι δι' ὅλου τοῦ σώματος τοὺς ἱδρῶτας, ἀγαθῆς τῆς κρίσεως γινομένης. ἐὰν τ' αὖ πάλιν ὑποθῆταί τις ἐπὶ κακῷ γεγονέναι τοὺς ἱδρῶτας, ἀποθανούσης τῆς γυναικὸς, τὸ ἧσσον, εὐλόγως ἐπὶ τῇ τελευτῇ τάξει τῆς προκειμένης ῥήσεως, ἵν' ᾖ τὸ λεγόμενον, ἵδρωσε μὲν καὶ τῇ δεκάτῃ τὰ ἄνω μᾶλλον, ἀτάρ τοι καὶ κάτω, ἵδρωσε δὲ καὶ τῇ τεσσαρεσκαιδεκάτῃ ἧσσον τὰ κάτω. ἐπὶ τὴν ἑξῆς οὖν ῥῆσιν ἤδη μεταβαίνωμεν. ἴσως γὰρ ἐν ἐκείνῃ τι σαφέστερον εὑρήσομεν ὁποτέρᾳ χρὴ συντάττειν τὸ ἧσσον, εἴτε τῇ νῦν προκειμένῃ κατὰ τὴν τελευτὴν, εἴτε τῇ μετ' αὐτὴν ἐπὶ τῆς ἀρχῆς.

permagni, ut dixi, interest, nos lotia, qualia A
usque ad judicationem fuerint, & cur decimo die sudores apparuerint, ignorare. Ipse namque quibus diebus accessiones vehementiores sint, ascribere solitus est; ut ipsum sciamus, ex multa in singulis experientia peritiam acquisivisse, ex qua in universum sententiam hanc de omnibus morbis protulit. Quorum accessiones imparibus diebus fiunt, eorum & judicationes imparibus diebus absolvi. Quod omnium verò in proposita parte absurdissimum est, id utique dicam, mortua-ne, an sanata sit mulier, prætermissum esse. B. Iccirco & eam vocem, *minus*, quæ inter hunc, & sequentem sermonem scripta est, quidam sanè huic adjiciunt, alii sequenti præponunt. Profectò si scriptum fuisset, decimoquarto die mulieri bonam judicationem factam esse, rationi consentaneum utique foret, huic orationi eam vocem, *minus*, non adjicere. Cum dixisset enim, decimo die sudores mulieri emanasse majori ex parte superius, ac postea deinceps subjecerit, verum & inferius decimoquarto, quomodo profectò, si omnino liberata est mulier, hanc particulam, *minus*, abscribere potuit? C Igitur verisimile magis est bona judicatione factâ, per omne corpus effusos esse sudores. Rursum, si quis mortua muliere, pernicosos fuisse sudores crediderit, jure præpositi sermonis calci hanc voculam, *minus*, adjecerit, ut oratio talis sit. Sudavit quidem & decimo die superius magis, verumetiam inferiùs; sudavit autem & decimoquarto, inferiùs minus. Ad sequentem igitur dictionem jam descendamus: in ipsa enim fortasse aliquid clarius inveniemus, unde, quo loco eam particulam, *minus*, ponere debeamus, an in propositæ nunc D calce, an in sequentis initio, percipere valeamus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

Ἧσσον, τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσι, καὶ βραγχώδεσιν, ἐπιπυρετήνασιν, ὡς οἶμαι, ὑποστροφαί.

HIPPOCRATIS TEXTUS X.

Minus iis, qui ex capite gravedine laborant, & raucitate, cum febre correpti sunt, ut puto, recidivæ fiunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

Ὑπακοῦσαι χρὴ παυσαμένου τοῦ πυρετοῦ. πῶς γὰρ ἂν ἄλλως ἧττον αὐτοῖς εἶναι νομίσωμεν ὑποστροφὰς, ἢν μὴ παύσαιτο πρότερον. εἰ δὴ ἀφέλοιμεν τὸ, ἧσσον, ἀπὸ ταύτης τῆς ῥήσεως, ὡς ἐνίοις ἔδοξεν, ὕστατον τοῖς προηγουμένοις αὐτὸ τάξασι, τὴν ἐναντίαν τῇδε διάνοιαν ὁ λόγος ἕξει τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσι, καὶ βραγχώδεσιν ἐπὶ πυρετήνασιν, ὑποστροφὰς γίνεσθαι νομιζόντων ἡμῶν. ὅπερ οὖν ἐν ἅπασι ποιοῦμεν, οὐ τῇ τοῦ λόγου πιθανότητι τὰ ζητούμενα διακρίνοντες, ἀλλὰ τοῖς ἐναργῶς ἐπὶ τῶν ἀρρώστων ὁρωμένοις, F ἐὰν καὶ νῦν ποιήσωμεν, εὑρήσομεν ὀρθῶς προτεταγμένον τῆς ῥήσεως τῆσδε, τὸ ἧσσον. ὁ γὰρ πυρετὸς ἐπιγινόμενος κορύζαις καὶ βράγχοις, βεβαιοτέραν αὐτῶν ποιεῖται πέψιν. ὡς μηκέτ' αὖ ὑποστροφὴν γίνεσθαι ῥᾳδίως, μηδ' ἂν ἁμάρτωσι τι, τῶν ἄλλως τοῦ πυρέττειν αὖθις τοιαύτης αἰτίας, ὑποστροφαῖς ἁλισκομένων ἐπὶ τοῖς ἁμαρτήμασι. διὰ τί δὲ πρόσκειται τῷ λόγῳ τοῖς ἀπὸ κεφαλῆς

πυρετώδων

GALENI COMMENTARIUS.

Subintelligere oportet, finita febre, quî enim aliter ipsis recidivas minus accidere putabimus nisi prius febris desierit? Quòd si hanc vocem, *minus*, ab his verbis abstraxerimus, ut quibusdam eam superiori orationi subjungentibus visum est, huic contraria verborum sententia erit, ii videlicet, qui ex capite gravedine laborant, & raucitate, cum febre correpti sunt, recidivas fieri nobis intelligentibus. Igitur, quod in omnibus facimus, non orationis verisimilitudine, sed iis, quàm evidenter in ægrotis cernuntur, quæsita dijudicantes, sic nunc faciemus; hanc particulam, *minus*, verbis istis rectè fuisse præpositam inveniemus. Febris namque post gravedines, & raucitates veniens, ipsas firmius, & certius concoquit: ut non iterum facile revertantur, etiamsi aliquid erroris commissum sit, aliis sine febre ob aliquam ejusmodi causam affectis post commissos errores in morbum recidentibus. Sed cur in sermone hoc additum est, iis, qui ex capite gravedine

gravedine laborant? neque enim ab alio membro gravedines oriuntur? An sermo iste ita dictus esse potest, ut in his verbis etiam dictum fuit, vertebræ autem, quæ in dorso? Potest quoque has particulas, *ex capite*, addidisse, quoniam de raucitate laborantium in ipsis verbis meminerat: nam & alia ratione raucitates fiunt: Potest quoque ex capite, adjectum esse, ipso sibi ipsi reminiscentiæ causâ breviter scribente, quo à gravedinibus, quæ ab externa aliqua exigua causa proveniunt, ipsas distingueret, ut indicaret de illis à se sermonem fieri, qui ob naturalem capitis imbecillitatem eo vitio facile caperentur: hos enim quispiam jure ex capite gravedinosos appellat, non à frigore, aut æstu, aut aliqua simpliciter externa causa. Illud autem verbum, *puto*, in quibusdam codicibus additum est, significans, ipsum, de quibus rebus loquebatur, ambigere; sed consentaneum est, & sine illo verbo, *puto*, scribi posse, cum verum sit id, quod dicitur. In sequentibus autem verbis, quæ recte dixerat, ratione corroborat. Ad ipsa igitur jam transeamus.

A κορυζώδεσιν, οὐ γὰρ δὴ ἀπ' ἄλλου τινὸς γίνονται μορίου κορυζώδεις. ἐξαρχῆς μὲν οὖν καὶ οὕτως εἰρῆσθαι τὸν λόγον, ὡς κατὰ τῷδε τὴν ῥῆσιν εἴρηται, σπόνδυλοι δὲ, οἱ κατὰ ῥάχιν. ἐξαρχῆς δὲ, διότι τῶν βραγχωδῶν ἐν αὐτοῖς ἐμνημόνευσε, προσθεῖναι τὸ, ἀπὸ κεφαλῆς, ἐπειδὴ καὶ ἄλλως γίνονται βράγχοι. δυνατὸν δὲ καὶ τοῖς ἀπὸ κεφαλῆς εἰρῆσθαι, γράψαντος αὐτοῦ πρὸς ἀνάμνησιν ἑαυτῷ συντόμως, ἕνεκα διορισμοῦ, πρὸς τὰς ἀπό τινος ἔξωθεν αἰτίας μικρᾶς γινομένας κορύζας, ἵν' ἐνδείξηται περὶ τούτων εἶναι τὸν λόγον, ὅσοι διὰ φυσικὴν ἀσθένειαν τῆς κεφαλῆς, ἑτοίμως ἁλίσκονται τῷ B παθήματι. τούτους γὰρ ἄν τις εἰκότως ἀπὸ κεφαλῆς ὀνομάζει κορυζώδεις, οὐκ ἀπὸ ψύξεως, ἢ ἐγκαύσεως, ἤ τινος ἁπλῶς τῆς ἔξωθεν αἰτίας. τὸ δὲ, οἶμαι, κατά τινα τῶν ἀντιγράφων προσκείμενον, δηλοῖ ἐπαμφιβάλλειν αὐτὸν περὶ ὧν ἀπεφήνατο. λόγον δὲ ἔχει καὶ χωρὶς τοῦ, οἶμαι, γράφειν, ἀληθοῦς γε ὄντος τοῦ λεγομένου. διὰ δὲ τῆς ἐφεξῆς γεγραμμένης ῥήσεως, ἀπόδειξιν ὧν ὀρθῶς ἀπεφήνατο προσέθηκεν. ἐπ' αὐτὴν οὖν ἤδη μεταβῶμεν.

C

HIPPOCRATIS TEXTUS XI.

Quicquid suppurat, non recidit. Ipsamet enim concoctio, & judicatio, simul & abscessus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια´.

ΠΑν τὸ ἐκπυέον, ἀνυπόστροφον. ἑωυτὸς γὰρ πεπασμὸς, καὶ κρίσις ἅμα, καὶ ἀπόστασις.

GALENI COMMENTARIUS.

HAud obscura oratio est memoriâ tenentibus ea, quæ sæpius jam de concoctione dixit. Nunc vero & eorum (ut dixi) superiorum verborum causâ meminit, ut integra oratio talis sit: Et gravedinosis, & raucis ob destillationes ex capite, cum superaddita febre, frigida juxta atque humida fluxio concocta fuerit, & concocta fuerit expulsa, firmam morbi judicationem fuisse, neque hominem denuo ægrotaturum spera.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥκ ἀσαφὴς ἡ ῥῆσις τοῖς μεμνημένοις περὶ ὧν ἤδη πολλάκις εἴρηκε πεπασμόν· ἐμνημόνευσε δὲ καὶ νῦν αὐτῶν ἕνεκα τῶν προειρημένοιν ὡς ἔφην, ἵνα ὁ σύμπας λόγος D γένηται τοιοῦτος, καὶ τοῖς κορυζώδεσι, καὶ βραγχώδεσιν ἀπὸ τῶν ἐκ τῆς κεφαλῆς καταῤῥόων, ὅταν ἐπιγινομένου τοῦ πυρετοῦ πεφθῇ, τὸ ψυχρὸν ἅμα καὶ ὑγρὸν ῥεῦμα, καὶ πεφθὲν ἐκκριθῇ, βεβαίαν ἔλπιζε τὴν κρίσιν τοῦ νοσήματος γεγονέναι, καὶ μηκέθ' ὑποτροπιάσαι τὸν ἄνθρωπον.

HIPPOCRATIS TEXTUS XII.

ALiquibus, cum venere utuntur, inflatur venter, ut Damagoræ. Aliquibus verò in eo strepitus. Arcesilao tumebat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ´.

ΟΙσιν, ὅταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ, ὡς Δαμαγόρᾳ, οἷσι δὲ ἐν τούτοισι ψόφος, ὡς Ἀρκεσιλάῳ. E

GALENI COMMENTARIUS.

HÆc quoque verba alius aliter scribit. Et quidam ipsis hæc addunt, cum incipiunt venere uti, inflatur venter: Voluntque isti incipientibus venerea, hoc est primùm aggredientibus opus illud, ea quæ in sermone deinceps traduntur, accidere: tametsi lectionem hanc neque liber aliquis antiquus, neque Explanator agnoscit. Nihilominus Sabini sectatores de coire incipientibus ipsi sermonem esse aiunt, quamvis Hippocrates nomine proprio hominis unius Damagoræ meminerit. Id autem facere consuevit, cùm paucis res, quam narrat, acciderit. Atqui præterquam quod de his quicquam Hippocrates scriberet, experientia oportuit, quid appareret, addiscere: neque enim primum venere uti incipientibus ventrem inflari, aut strepitum in ipso personare contingit. Sed qui-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑύτην τὴν ῥῆσιν ἄλλος ἄλλως γράφει, καί τινες προστιθέασιν αὐτῇ, τὸ, ὅταν ἄρχωνται, τὸ, κατὰ τὴν ἀρχὴν εἰρημένον, οἷσιν, ἀφαιροῦντες, καὶ ποιοῦντες τὴν λέξιν τοιαύτην. ὅταν ἄρχωνται ἀφροδισιάζειν, φυσᾶται ἡ γαστὴρ, βουλόμενοι τοῖς ἀρχομένοις ἀφροδισίων, τουτέστι τοῖς πρῶτον ἐπιχειροῦντας τῷ ἔργῳ τούτῳ πάσχειν τὰ τῆς ῥήσεως ἐφεξῆς δηλούμενα. καίτοι τὴν γραφὴν ταύτην, οὔτε βιβλίον τι παλαιὸν, οὔτ' ἐξηγητὴς F οἶδεν. ἀλλ' ὅμως οἱ περὶ τὸν Σαβῖνον ἐπὶ τῶν ἀρχομένων ἀφροδισιάζειν, τὸν λόγον αὐτοῦ εἶναί φασιν. καίτοι μνημονεύσαντος ὀνόματι τοῦ Ἱπποκράτους ἑνὸς ἀνθρώπου τοῦ Δαμαγόρου. τοῦτο δὲ εἴωθε ποιεῖν ὅταν ὀλίγοις τισὶ γινόμενον πρᾶγμα διέρχεται. καὶ χωρὶς δὲ τοῦ γεγραφέναι τι περὶ τούτων Ἱπποκράτει, τὸ φαινόμενον ἐχρῆν ἐκ τῆς πείρας μαθεῖν. οὐ γὰρ συμβαίνει τοῖς ἀρχομένοις ἀφροδισίων ἐμφυσᾶσθαι τὴν κοιλίαν, ἢ ψόφον ἴσχειν ἐν αὐτῇ, ἀλλὰ

μᾶλλον ἐνίοις, ἐν τῷ αὐχμῷ, τῶν παρακμαζόντων τε, καὶ τὸ καλούμενον πάθημα φυσῶδές τε, καὶ ὑποχονδριακόν, καὶ μελαγχολικὸν ἐχόντων, ἐμφυσᾶσθαι συμβαίνει μᾶλλον τὴν γαστέρα, ὅταν ἀφροδισίοις χρῶνται. τοῖς δ' αὐτοῖς τούτοις ὑπάρχει καὶ τὸ συνεχὲς ὀρέγεσθαι μίξεως. ὅπερ οὖν πολλάκις ἤδη προεῖπον, ἐάν τε παραλείπω τὰς γραφὰς ἃς ἐποιήσατο κατὰ τήνδε τὴν ῥῆσιν, ἐάν τ' εἴπω πάσας, ἑκατέρως μέμφονται πολλοί, ταῖς ἑαυτῶν ἐπιθυμίαις κρίνοντες τὸ σύμμετρον ἐν τοῖς λόγοις, οὐ τῇ τῶν πραγμάτων φύσει. καὶ μέντοι κἂν τινα μὲν εἴπω τῶν εἰρημένων τε καὶ γεγραμμένων, τινὰ δὲ παραλείπω, καὶ οὕτως ἔσονταί τινες οἱ μεμψόμενοι. τινὰ μὲν τῶν εἰρημένων, ὡς ἐχρῆν παραλελεῖφθαι, καὶ ταῦτα ληρώδη γε ὄντα, τινὰ δὲ τῶν παραλελειμμένων, ὡς ἐχρῆν εἰρῆσθαι, μὴ χείρω τῶν εἰρημένων ὄντα. κατὰ μὲν γὰρ τὰς ὁσημέρας γινομένας συνουσίας, ὁποίαν τινὰ βούλωνται τὴν ἐξήγησιν ἀκούειν οἱ παρόντες, αὐτῶν ἐκείνων πυθόμενοι, ἁρμόττεσθαι πειρώμεθα ταῖς βουλήσεσιν αὐτῶν. ἐν βιβλίῳ δ' οὐκ ἔστι πρᾶξαι τοῦτο. διόπερ εἵλομαι ἐν μὲν ταῖς πλείσταις τῶν ῥήσεων, ἢ μηδ' ὅλως μνημονεύειν τῶν ὑπαλλαττόντων τὴν ἀρχαίαν γραφήν, ἢ παντάπασιν ἀλλοκότως ἐξηγησαμένων. ἐπὶ τινων δέ, ἤτοι τὰ μὴ παντάπασιν ἀπιθάνως εἰρημένα μεμνῆσθαι χρὴ τοὺς ἀναγινώσκοντας τὰ ὑπομνήματα, καθ' ἑκάστην τῶν ῥήσεων ἀναμιμνήσκειν αὐτῶν ἐπαχθές. ὅπερ οὖν ἔλεγον οἱ μὲν περὶ τὸν Σαβῖνον ὡς πρώτην τοῖς τῶν ἀφροδισίων πειρωμένοις, συμβαίνει τὰ κατὰ τὴν ῥῆσιν εἰρημένα, πάσχειν, ὡς ἀληθὲς ὑποθέμενοι πειρῶνται λέγειν τὴν αἰτίαν αὐτοῦ. τινὲς δ' ἔμπαλιν τοῖσδε, τὴν γραφὴν τῆς λέξεως ἐποιήσαντο τοιάνδε. εἰσὶν οἷσιν ὅταν ἀφροδισιάζωσι φυσᾶται ἡ γαστήρ. οἱ μὲν περὶ τὸν Σαβῖνον οὐκ ἀλόγως φασὶ τοῖς ἀφροδισιάζειν ἀρχομένοις τοῦτο συμβαίνειν. πρῶτον μέν, ὅτι μέγας ὁ ξενισμὸς γὰρ περὶ τὸ σῶμα. γράφουσι γὰρ οὕτως αὐτοί, δι' ὃν ξενισμόν, φῦσαν, ἐπιληψίαν τε, καὶ νεφρίτιδας αὐτοῖς, ἕτερά τε χρόνια γίνεσθαι. ἔπειτα δὲ καὶ ὅτι Δημόκριτος εἶπεν, ἄνθρωπος ἐξ ἀνθρώπου ἐν ταῖς συνουσίαις ἐκθόρνυται. καὶ μέντοι καὶ διότι φασὶ πολὺν ὀδαξησμὸν διὰ τὴν ἀλήθειαν τοῦ θερμοῦ, καὶ τὴν δριμύτητα πάσχουσι, καὶ κοινοῦ γε ὡς λέγουσιν ὄντος τοῦ λόγου θηλειῶν τε καὶ ἀρρένων, ἐπὶ θηλειῶν φασὶ σαφῆ τὴν αἰτίαν εἶναι. τῇ γὰρ ὑστέρᾳ τὸ μὲν ἔντερον ὑποστόρεσται, ἡ κύστις δ' ἐπίκειται. εἰκὸς οὖν ἐντεινομένην αὐτήν, καὶ σφριγῶσαν, ἐπέχειν τῶν ἀμφοτέρων ἀπόκρισιν. ἐναπολαμβανομένης οὖν τῆς φύσης συνεχῶς ἐμπνευματοῦσθαι, καὶ τοῦ οὔρου δὲ κατεχομένου, τὸ ἐπιγάστριον οἰδεῖν. ταῦτα μὲν οὖν οἱ περὶ τὸν Σαβῖνον λέγουσιν, ἀπιθάνους αἰτίας ἀποδιδόντες τῶν μὴ γινομένων. οὐ γὰρ συμβαίνει ταῦτα τοῖς ἀρχομένοις ἀφροδισίων μειρακίοις, ἀλλὰ τοῖς μελαγχολικοῖς, καὶ φυσώδεσιν ὀνομαζομένοις. οἱ καὶ μετὰ τὴν παρακμαστικὴν ἡλικίαν, τὰ τοιαῦτα πάσχουσιν. ὅλως γὰρ τὸ φύσης ἐμπίπλασθαι δι' ἀσθένειαν γὰρ τῆς ἐμφύτου θερμασίας. ἐρρωμένης γὰρ ταύτης, τῶν τοιούτων οὐδὲν συμβαίνει. Ἀριστοτέλης δ' ἐν τοῖς προβλήμασι καὶ τὴν αἰτίαν ζητεῖ, δι' ἣν ἀφροδισιαστικοὺς συμβαίνει γίνεσθαι τοὺς μελαγχολικούς. ἀθροίζεσθαί τε πνεῦμά φησιν αὐτοῖς ἐν ὑποχονδρίοις φυσῶδες οὐκ ὀλίγον, διὸ πνευματώδη τε καὶ ὑποχονδριακὰ προσαγορεύεσθαι τὰ τοιαῦτα πάθη, καὶ Διοκλῆς τε, καὶ Πλειστόνικος, ἕτεροί τε πολλοὶ τῶν ἰατρῶν οὕτως ὀνομάζεσθαί φασιν αὐτά. οὐ χεῖρον δὲ καὶ λέξιν τινὰ τῶν παρ' Ἀριστοτέλει

A busdam potius rarò, jam inclinante ætate, & affectu flatuoso vocato, præcordiali, & melancholico vexatis, cum venere utuntur, inflari magis ventrem contingit: iisdem quoque ipsis, ut assidue coitum oppetant, evenit. Quod igitur plerunque jam antea dixi, sive scripturas varias, quas in his verbis fecerunt, omittam, sive omnes recenseam, utrunque multi reprehendent, ex suis ipsorum cupiditatibus, non ex rerum natura, modum in orationibus æstimantes. Quin etiam si quædam ex dictis, & scriptis dixero, B quædam prætermisero, sic etiam nonnulli, qui accusent, inveniuntur, quòd aliqua dixerim prætermittenda, præsertim cum nugatoria sint: aliqua dicenda subticuerim, quæ dictis deteriora non essent. In congressibus utique quotidianis quamcunque explanationem, qui intersunt, audire velint, ab eis ipsis percunctati eorum voluntatibus nos aptare, & assentiri respondentes, conamur: at in Libro id facere non licet: propterea mihi constitutum est in pluribus quidem Hippocratis sermonibus, aut nequaquam meminisse veterem scripturam C permutantium, aut absurde prorsus interpretantium. In quibusdam verò, quæ dicta sunt, non omnino à veritate abhorrentia, eorum commentaria legentibus mentionem facere oportet: in singulis enim partibus eadem repetere pergrave est. Quod igitur dicebant Sabini sectatores, quod primùm venerem expertis, in propositis verbis dicta eveniant, ut verum credentes, ipsius causam afferre conantur. At alii contra, quam hi, verborum lectionem hanc faciunt: sunt quibus, cum venere utuntur, inflatur venter. Sabini quidem sequaces non præter ratio- D nem coire incipientibus id accidere asserunt; primum quidem, quam magna innovatio, ac permutatio in corpore fit: scribit enim sic ipse: ob quam immutationem, flatus, comitialis morbus, renum affectus, aliaque longa vitia procreantur: postea verò quoniam & Democritus inquit, homo ex homine in coitibus proseminatur; quin etiam quoniam, inquiunt, multum pruritum, ac morsum, obseminis salsuginem atque acrimoniam, patiuntur. Cumque fœminarum (ut aiunt) & marium communis ratio sit, in fœminis evidentem causam esse E dicunt: utero nanque intestinum subjicitur, vesica superjacet; par est itaque ipsum distentum, & in venerem concitatum utriusque excretionem retinere; flatu igitur incluso assiduè inflari, atque lotio retento, abdomen intumescere. Hæc sanè à Sabini sequacibus haud verisimiles causas eorum quæ non fiunt, assignantibus, referuntur: neque enim hæc adolescentulis coire incipientibus, sed atra bile vexatis, & flatuosis nominatis, eveniunt: qui quidem, & post declinantem ætatem hujusmodi vitiis F afficiuntur: prorsus enim flatu repleri ab ingeniti caloris debilitate provenit: eo nanque recte valente, horum nihil exoritur. Nam Aristoteles in. Libro suo de Quæsitis & causam quærit, ob quam melancholicis libidinosis esse contingat: dicitque in ipsorum præcordiis haud paucum spiritum flatuosum excitari, atque ideo ejusmodi vitia spirituosa, præcordialiaque nominari. Diocles etiam Plistonicus, aliique multi medici, sic ipsa vocari dicunt. Verùm haud malum fuerit quædam verba ab Aristotele

ſcripta retuliſſe. Hæc ita ſe habent: Cur melancholici libidinoſi ſunt? an quod ſpiritu abundant? ſemen enim ſpiritus excretio eſt: cum iſte igitur copioſus ſit, neceſſe eſt ipſius purgandi ſæpius inceſſat cupiditas, levantur enim: Propterea & Rufus ∴ pro hac voce, *ſtrepitus*, maluit ſcribere, *timor*, ut Hippocrati de melancholicis ſermo ſit, quorum maxime proprius timor eſt: Aliud enim alii formidoloſum videtur, unum quoddam ſaltem ipſis ſingulis omnino, quando planè modicè contriſtantur: Si verò immodicè, & duo, & plura, & permulta: quibuſdam etiam ipſorum omnia. Erit itaque ſecundùm Rufum lectio hujuſmodi, quibuſdam: cum venere utuntur, inflatur venter, ut Damagoræ, unde his timor. Verùm ſecundùm veteres Interpretes ita ſe habet, ut ab initio ſcriptum eſt: illorum enim ſcripturam ſemper adjicio, etſi ab illis primis Librariis corrupta fuiſſe videatur: ſatius eſt enim, ut jam ſæpius repetivi, lectionem, ut inventa eſt, enarrantes, ita deinde ipſos aliquid ulterius excogitantes addere, idque ipſum nos facere admonere. Hactenus Sabini explanatio tradita eſt. Capito autem ita ſcripſit: Aliquibus nonnunquam, cum venere utuntur, inflatur venter, ut Damagoræ, aliquibus verò in his ſtrepitus. Dioſcorides verò ſic: Aliquibus quidem, cum venere utuntur, inflatur venter, ut Damagoræ, aliquibus, in his ſtrepitus: iſte enim particulam, *verò*, abſtulit. Quin & in nomine hoc, *ſtrepitus*, explanando, inter ipſos Explanatores non convenit. Nonnulli quidem murmur ſignificari dicunt, quidam ructum, alii flatus per ſedem exhalantes: item alii quodlibet iſtorum ſimpliciter, qualiſcunque in inteſtinis motus ſit, qui ab auribus ſentiatur: ſunt enim & alii quidam præter murmura in inteſtinis motus, ac ſtrepitus, nonnulli quidem ſonis perſimiles, aliqui verò ſibilis, aut alicui alii hujuſmodi voci. At Arceſilao, inquit, non modò venter inflabatur, ſed etiam tumebat, hoc eſt, œdema id eſt, tumorem habebat. Dixi autem aliàs ſæpiùs œdema ab ipſo vocari omnem præter naturam tumorem, ſive phlegmonis, ſive eryſipelatis, ſive ſchirri naturam ſapiat, cùm recentiores Medici ſolum laxum tumorem œdema vocent. Cæterum qualemnam Arceſilao tumorē excitatum eſſe dicat, quæſtio haud parva eſt. Mihi ſanè œdema propriè à junioribus acceptum dixiſſe videtur: non tamen incredibile eſt aut eryſipelas, aut phlegmonem, aut ſcirrhum, aut ejuſmodi aliquid coitus tempore, vel paulo poſt, exortum fuiſſe, rurſumque haud ita multo poſt, id reſediſſe: ab Interpretibus autem tota hæc ſpeculatio ſilentio prætterita eſt. Hujus quidem Arceſilai, & alio hujus libri loco mentionem fecit Hippocrates, ubi ait: In acceſſibus quibuſdam ſtrepunt, ut Arceſilaus. Manifeſtum eſt igitur hujuſmodi hominibus ventrem flatu eſſe repletum, huncque præ contentione in coeundo facta, excerni contingere. At Dioſcorides ita hæc verba ſcripſit: Arceſilao autem male olebat flatuoſum, pro eo, quod eſt, malum odorem exhalabat flatuoſum: ita enim ſcriptum eſſe voluit. At reliqui omnes hanc vocem, *flatuoſum*, ſequentis partis initium eſſe voluerunt, ut deinceps ſcriptum eſt.

A γεγραμμένων εἰπεῖν ἔχουσιν ὧδε. Διὰ τί οἱ μελαγχολικοὶ « εἰσὶν ἀφροδισιαστικοί; ἢ ὅτι πνευματώδεις, τὸ γὰρ σπέρμα « πνεύματος ἔξοδός ἐστι. διότι οὖν πολὺ τὸ τοιοῦτον, ἀνάγκη πολλάκις ἐπιθυμεῖν καθαίρεσθαι, κουφίζονται γάρ. διὰ τοῦτ' οὖν καὶ Ροῦφος ἔλεγεν, ἀντὶ τοῦ, ψόφος, εἵλετο γράφειν φόβος, ἵνα ὁ λόγος ᾖ τῷ Ἱπποκράτει περὶ τῶν μελαγχολικῶν, οἷς ἐστιν ἰδιαίτατος ὁ φόβος, ἄλλο μὲν γὰρ ἄλλο φοβερόν. ἓν γοῦν τι πάντως καθ' ἕκαστον αὐτῶν, ὅταν γε τὰ μέτρια δυσθυμοῦσιν. εἰ δὲ μὴ, καὶ δύο, καὶ πλείω, καὶ πάνυ πολλὰ, καί τισιν αὐτῶν ἅπαντα. B γενήσεται οὖν κατὰ μὲν τὸν Ροῦφον ἡ λέξις οὕτως ἔχουσα. οἷσιν, ὅταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ ὡς Δαμαγόρα, ὅθεν τούτοις ὁ φόβος. κατὰ δὲ τοὺς παλαιοὺς ἐξηγητὰς, ὡς ἐν ἀρχῇ γέγραπται, τὴν γὰρ ἐκείνων γραφὴν ἀεὶ προστίθημι, κἂν ἡμαρτῆσθαι δοκῇ κατὰ τοὺς πρώτους ἀντιγραψαμένους. ἄμεινον γὰρ, ὡς εἶπον ἤδη πολλάκις, ὅπως εὑρέθη γεγραμμένον εἰπόντας, οὕτως ἤδη προσεπινοεῖν αὖθίς τι δηλοῦντας αὐτὸ τοῦτο. λέλεκται δὲ καὶ ἡ περὶ τὸν Σαβῖνον ἐξήγησις. Καπίτων δὲ οὕτως ἔγραψεν, οἷς ἐστιν, ὅταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ ὡς Δα- C μαγόρα, οἷσι δ' ἐν τούτοισι, ψόφος. Διοσκορίδης δὲ οὕτως. οἷσι μὲν ὅταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ ὡς Δαμαγόρα, οἷσιν ἐν τούτοισι ψόφος, ἀφεῖλε γὰρ οὗτος τὸ, δ'. οὐ μὴν οὐδὲ κατὰ τὴν ἐξήγησιν τοῦ, ψόφος, ὀνόματος ὡμολογήκασιν ἀλλήλοις οἱ ἐξηγηταί. τινὲς μὲν βορβορυγμὸν δηλοῦσθαι λέγοντες, ἔνιοι ἐρυγήν· ἔνιοι δὲ τὰς κάτω διεξιούσας φύσας, ἔνιοι δ' ὅ τι ἂν ᾖ τούτων ἁπλῶς. εἴ τις οὖν ἐν τοῖς ἐντέροις κίνησις αἰσθητὴ ταῖς ἀκοαῖς, εἰσὶ γὰρ καὶ ἄλλαι τινὲς, ἔξωθεν τῶν βορβορυγμῶν, ἐν τοῖς ἐντέροις κινήσεις τε καὶ ψόφοι, τινὲς μὲν ἤχοις ἐοικότες, τινὲς δὲ συριγμοῖς, ἤ τινι τοιούτῳ D ἑτέρῳ ψόφῳ. Ἀρκεσίλαος δέ φησιν οὐ μόνον ἐφυσᾶτο ἡ γαστὴρ, ἀλλὰ καὶ ᾤδει, τουτέστιν οἴδημα εἶχεν. εἴρηκα δὲ ἤδη πολλάκις, οἴδημα καλεῖν αὐτὸν ἅπαντα τὸν παρὰ φύσιν ὄγκον, εἴ τε φλεγμονώδης, εἴ τ' ἐρυσιπελατώδης, εἴ τε σκιρρώδης εἴη, τῶν νεωτέρων μόνον, τὸν χαῦνον ὄγκον, οἴδημα καλούντων. ἀλλά γε ποιόν τινα λέγει τὸν ὄγκον γενέσθαι τῷ Ἀρκεσιλάῳ, ζήτημά ἐστιν οὐ σμικρόν. ἐμοὶ μὲν οὖν δοκεῖ, τὸν ἰδίως ὑπὸ τῶν νεωτέρων ὀνομαζόμενον εἰρηκέναι. οὐκ ἔστι δ' ἀπίθανον ἐρυσίπελας, ἢ φλεγμονὴν, ἢ σκίρρον, ἤ τι τῶν τοιούτων γενέσθαι περὶ τὸν τῶν ἀφροδισίων καιρὸν, ἢ σμι- E κρὸν ὕστερον, αὖθίς τε μετ' οὐ πολὺ καθίστασθαι τοῦτο. τοῖς δ' ἐξηγηταῖς ὅλον τοῦτο παραλέλειπται τὸ σκέμμα. τοῦ μέντοι Ἀρκεσιλάου τούτου, καὶ καθ' ἕτερον τόπον τοῦ βιβλίου μέμνηται ὁ Ἱπποκράτης, ἔνθα φησίν. ἐν τοῖσι προσόδοισιν οἷς ψοφοῦσιν, ὡς Ἀρκεσίλαος. εὔδηλον οὖν ὅτι τοῖς τοιούτοις φύσης ἐστὶν ἡ γαστὴρ μεστὴ, καὶ ταύτην ὑπὸ τῆς γινομένης συντονίας ἐν τοῖς ἀφροδισίοις ἐκκρίνεσθαι συμβαίνει. Διοσκορίδης δὲ οὕτως ἔγραψε τὴν ῥῆσιν· Ἀρκεσιλάῳ δὲ κακὸν ὦζε τὸ φυσῶδες, ἀντὶ τοῦ κακὸν F ὦζετο τὸ φυσῶδες, ὧδε γεγράφθαι βουλόμενος. οἱ δ' ἄλλοι πάντες ἀρχὴν τῆς δευτέρας ῥήσεως ἐποιήσαντο, τὸ φυσῶδες, ὡς ἐφεξῆς γέγραπται.

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

Τὸ φυσῶδες συναίτιον ἐν τοῖσι πιτυρώδεσι, καὶ γὰρ εἰσὶ φυσώδεις.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τίνας λέγει πιτυρώδεις ἄπορον εὑρεῖν, ἐάν τέ τις μὴ καθάπερ Ἡροδότου καὶ Κτησίου μόνον, ὡς ἱστορίαν ἀναγινώσκῃ τὰ βιβλία τῶν παλαιῶν ἰατρῶν, ἀλλ' ἕνεκα τοῦ πλεῖόν τι ἔχειν εἰς τὰ τῆς τέχνης ἔργα. πολλοὶ δὲ τῶν ἐξηγητῶν ἀμελήσαντες τούτου, καὶ μάλισθ' ὅσοι τὸ σοφιστικὸν εἶδος ζηλώσαντες, ἐπὶ τὸ πρόχειρον ἀφικνοῦνται τῆς ἐξηγήσεως, ὃ κατὰ τὴν τῆς λέξεως ἔνδειξίν ἐστιν, οὐκέτι βασανίζοντες ἐπὶ τῶν νοσούντων, τὴν τῶν λεγομένων ἀλήθειαν. οὕτω γοῦν καὶ νῦν πιτυρώδεις λελέχθαι δεξάμενοι τοὺς πίτυρα συνεχῶς ἐν τῇ κεφαλῇ γεννῶντας, ἀποδιδόναι τούτου τὴν αἰτίαν πειρῶνται, λέγοντες ἀπὸ περιττωμάτων ἐν τῇ κεφαλῇ ἀναφερομένων, γίνεσθαι τὰ πίτυρα, φέρεσθαί τε αὐτά φασι πρὸς τὰ μετέωρα ὑπὸ πνεύματος θερμοῦ, καὶ διὰ τοῦτο φυσώδεις τοὺς τοιούτους. μοχθηρὸς δή ὁ λόγος αὐτῶν ἐστι, πρῶτον μὲν ὅτι τὸ φαινόμενον οὐκ ἔχει μαρτυροῦν. μυρίους γὰρ οἴδαμεν ἥκιστα φυσώδεις, οἷς ἐν τῇ κεφαλῇ συνεχῶς γίνεται πίτυρα. δεύτερον δέ, εἰ καὶ τὸ φαινόμενον αὐτοῖς ἐμαρτύρει, πάντων τῶν περιττώματα τρεφόντων θερμά, κοινὸς ὁ λόγος ἐγίνετο, καὶ τρίτον πρὸς τούτοις, ὅτι τῆς κεφαλῆς αὐτῆς, ὡς τὰ πολλά, διὰ τὴν οἰκείαν κρᾶσιν, ἐστὶ σύμπτωμα, τὸ γεννᾶν πίτυρα, κατὰ φύσιν ἐχόντων τῶν χυμῶν. Εἰκότως οὖν ἔνιοι τὴν παλαιὰν γραφὴν ὑπαλλάξαντες, ἔγραψαν τὸ φυσῶδες συναίτιον τοῖσι πτερυγώδεσι. ἐμάθετε δή ὅτι, πτερυγώδεις ἔθος ἐστὶ τοῖς ἰατροῖς ὀνομάζειν, τοὺς ὁμοίως ὀρνίθων πτέρυξι τὰς ὠμοπλάτας ἔχοντας ἐκκειμένας τε, καὶ προηκούσας εἰς τοὐπίσω. τούτοις οὖν φασι συναίτιον εἶναι τὸ φυσῶδες ἐμπίπτειν εἰς τὸ πάθος ὥσπερ ἐμπίπτουσι, τουτέστιν εἰς τὴν ἀναγωγὴν τοῦ αἵματος, καὶ γὰρ εἶναι φυσώδεις αὐτούς. ὅτι μὲν οὖν εἰς τὸ ῥαγῆναί τι κατὰ τὸν πνεύμονα, συναίτιόν ἐστι τὸ φυσῶδες, οὐκ ἄδηλον. εἰ δὲ καὶ φυσώδεις εἰσὶν οἱ στενοθώρακες, τοῦτο διὰ τῆς πείρας βασανιστέον ἡμῖν ἐπιμελῶς. ἐμοὶ μὲν γὰρ ἐφάνησαν, ὀλίγου δεῖν, ἅπαντες τοιοῦτοι, καὶ τάχα διὰ τὴν ἔνδειαν τῆς ζωτικῆς θερμασίας, ἣν ἐκ τῆς καρδίας ὁρμᾶσθαι μεμαθήκατε. μικρὰν οὖν ἔχοντες οἱ πτερυγώδεις τὴν καρδίαν, ἀκολούθως ταύτῃ, καὶ τὴν ἅπαντι τῷ σώματι θερμασίαν ἐξ αὐτῆς ἐπιρρέουσαν, ἔχουσιν ἀσθενῆ. διά γέ τοι τὴν ἀσθένειαν ταύτης, ἐξ ἀρχῆς αὐτῆς, ἡ καρδία γέγονεν, ὡς ἐμάθετε μικρά. τινὲς δ' οὐ πτερυγώδεσιν, ἀλλὰ πυρετώδεσιν γράφουσι, τὴν λέξιν ποιοῦντες τοιάνδε. τὸ φυσῶδες συναίτιον τοῖς πυρετώδεσι, καὶ γάρ εἰσι φυσώδεις. οὐκ ἀληθεύουσι δ' οὐδ' αὐτοὶ πάντας τοὺς πυρετώδεις φυσώδεις εἶναι νομίζοντες. ὅ γε μὴν Διοσκορίδης ὡς ὀλίγον ἔμπροσθεν ἔφην, ἐπὶ τῇ τελευτῇ τῆς προγεγραμμένης ῥήσεως γράψας τὸ φυσῶδες, ὧδέ πως ἔγραψε τὴν νῦν προκειμένην ῥῆσιν. συναίτιον οἱ πτερυγώδεες, ὡς εἶναι τὸ συνεχὲς ὅλως αὐτῆς, τοιόνδε. Ἀρκεσιλάῳ δὲ κακὸν ὦζε τὸ φυσῶδες. εἶθ' ἑξῆς ἀπ' ἄλλης ἀρχῆς. συναίτιον οἱ πτερυγώδεες, καὶ γὰρ εἰσὶ φυσώδεες, ἅλις δ'
μὲν οὖν ἤδη καὶ τῶν φυσωδῶν, ἵνα μὴ τῷ λόγῳ νῦν ἀεὶ παραι-
lo τῶμαι τοῦ γράφειν πολλά, τῷ δ' ἔργῳ καταφανὴς γίνωμαι, μηκύνων περιττῶς.

HIPPOCRATIS TEXTUS XIII.

Flatuosum in furfurosis simul causa est. Etenim flatuosi sunt.

GALENI COMMENTARIUS.

Quos furfurosos dicat, inventu difficile est, modo quis ne, velut Herodoti, & Ctesiæ tanquam historiam, veterum Medicorum Libros evolvat, sed quò ad artis opera magis proficiat. B Multi autem Interpretes id negligunt, & maxime quicunque sophisticam doctrinæ speciem æmulati, ad eam explanationem deveniunt, quæ ad manum est, quamque verba ipsa præ se ferunt: neque præterea in ægrotantibus dictorum veritatis periculum faciunt. Igitur ita quoque nunc eos furfurosos dictos esse intelligentes, quibus assidue in capite furfures creantur, istius rei causâ referre conantur, dicentes, ab excrementis caput subeuntibus furfures provenire, excrementaque in sublime à calido spiritu ferri, ob idque istos flatuosos C esse. At ipsorum improbus sermo est. Primo quidem, quoniam evidentis rei testimonio caret: mille enim minime flatuosos novimus, quibus in capite perennis furfurum proventus est: Secundo, & si res ipsa testimonium ipsis favens præberet, omnibus calida excrementa contrahentibus communis hæc ratio esset: Et tertio ad hæc, quòd ipsius capitis plerunque, ob propriam ejus temperiem, symptoma est furfures creare, etsi humores naturaliter affecti sint. Jure igitur quidam veterem lectionem commutantes scripserunt, flatuosum causa simul est alatis: medicis autem consuetudinem esse, eos alatos nominare, D qui scapulas eminentes, avium alarum instar, retrorsumque productas habent, vos non latet. Istis igitur inquiunt flatuosum simul esse causam, ut in affectum incidant, quemadmodum incidunt, hoc est ejectionem sanguinis, ipsos enim flatuosos esse: Quòd quidem ad frangendum aliquid in pulmone, adjuvans causa sit flatuosum, neminem præterit: an verò & angusti pectoris homines flatuosi sint, id experientia nobis curiose investigandum est. Mihi quidem ferè omnes ejusmodi visi sunt, & forsan ob vitalis caloris penuriam, quem ex corde emanare E didicisti. Igitur alati exiguum cor habentes, secundùm quoque hujus proportionem, & calorem ab ipso in omne corpus emanantem imbecillum habent: ob hujus nanque in ipsa origine infirmitatem cor (ut didicistis) exiguum creatum est. Quidam autem non, alatis, sed febriculosis, scribunt, locutionem hujusmodi facientes, flatuosum simul causa est febriculosis, etenim flatuosi sunt: verum neque ipsi recte sentiunt, omnes febriculosos flatuosos esse arbitrantes. Dioscorides sanè, ut paulo ante dicebam, in calce præpositæ F sententiæ hanc vocem, *flatuosum*, collocans, ita proposita verba scripsit; simul causa alati, ut tota ipsa continuata locutio, ita se habeat: Arcesilao autem male olebat flatuosum: postea deinceps ab alio initio, simul causa alati, etenim sunt flatuosi. Abunde igitur de flatuosis jam dictum esto: ne oratione in præsentia, & semper multa scribere devitem, re autem vera nimis verbosus esse deprehendar.

A

HIPPOCRATIS TEXTUS XIV.

Frigidum valde venas frangit, & tussim citat, ut nix, glacies: & contrahit ut pherea, & gongronæ. Simul causa duritiæ.

GALENI COMMENTARIUS.

Et in Libro de liquidorum usu, ut in Aphorismis fusius disputatum est, qualisnam frigidi facultas sit: B nunc quoque aliqua ipsius opera per quandam veluti designationem relata sunt, ad ejus communem vim explorandam utilia futura: Quantum enim in ipso est, omnia quæ attingit frigidum, cogit, densat, stringit, coarctat: quocirca, & sensum latentes corporum difflationes, & sensiles effluxus intercludit. Sic igitur & in Aphorismis scripsit: In istis verò frigido uti, quum sanguis erupturus est, non in ipsa, sed circa ipsa, unde effluit, & quæcunque deinceps opera propriæ frigidi facultatis, quando nullo intercedente medio agit, enumeravit: item quum dixit; C Frigida ut nix glacies, pectori inimica, tussium excitatoria, sanguinis profluvii provocatoria, distillationum inductoria. Illud quidem, pectori inimica, secundùm ipsius frigidi facultatem dixit: Illud autem tussium excitatoria, sanguinis profluvii provocatoria, per interventum aliorum: Quoniam enim in seipsa compinguntur, atque coarctantur vasculorum sanguinem continentium corpora, propterea nonnunquam ipsorum tunicas frangi contingit, ut quod à contento in laxis receptaculis fit, id à non multo distentis inveniat. Ideo igitur in propo- D sitis verbis non absolutè frigidum venas frangere, sed valde frigidum dixit. Eandem sententiam innuentia verba, & in Aphorismis scripsi inquiens; Frigida ut nix glacies, per exempla, quænam sint valde frigida, interpretatus. Item quum in Aphorismis dixerit; Ulceribus frigidum mordax, cutem obdurat, nunc dixit; Frigidum contrahendi vim habet, quod idem est ac copulandi. Sic igitur & in nervosis membris tumores creat, & in nervis ganglia quæ vocantur, & alias quasdam tensiones, alias E oblongiores, alias rotundiores. Mihique videtur oblongiores vocasse *pherea*, rotundiores autem gongronas; Pherea quidam eas vocans, quæ φηρεῶν similitudinem habent: ita enim quidam Jones satyros appellarunt, quos pingunt finguntque oblongos apud aures excessus habentes: Gongronas verò rotundiores cum duritia excessus, quales in quibusdam arboribus appendices sunt, quas *gongros* vocant: ut etiam Theophrastus in primo de stirpibus ad verbum ita scripsit: Non multæ verò habent, F & vocatos à quibusdam gongros, aut ipsis proportione respondentia, ut olea. Dicunt & aliqui nunc etiam in Thessalia se quosdam audivisse tales duritias, quum in collo creatæ sunt, gongronas appellantes. Verùm quenquam pherea dicentem, neque ipse usquam gentium audivi, neque aliquem, qui audiverit, novi; quamvis nonnulli Explanatores Hippocratem dicant pherea vocare, quæ Pheris Peloponnesi civitate abundant. Alii per epsilon primam syl-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ΄.

Τὸ ψυχρὸν πολὺ, φλεβῶν ῥηκτικὸν, καὶ βηχῶδες, οἷον χιὼν, κρύσταλλος, καὶ συστρεπτικὸν, οἷον τὰ φήρεα, καὶ αἱ γογγρῶναι, συναίτιον, καὶ αἱ σκληρότητες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται μὲν ἐπὶ πλέον, ἔν τε τῷ περὶ ὑγρῶν χρήσιος, κἀν τοῖς ἀφορισμοῖς, ὁποία τίς ἐστιν ἡ δύναμις τοῦ ψυχροῦ. λέλεκται δέ τινα καὶ νῦν αὐτοῦ τῶν ἔργων, ὡς ἐν ὑποτυπώσει χρήσιμα πρὸς τὴν τῆς καθόλου δυνάμεως εὕρεσιν. ὅσον μὲν γὰρ ἐφ᾽ ἑαυτῷ, συνάγει, καὶ πυκνοῖ, καὶ πιλεῖ, καὶ σφίγγει τὸ ψυχρὸν, ἅπανθ᾽ ὅσοις ἂν πλησιάζῃ, καὶ διὰ τοῦτο τάς τε ἀδήλους αἰσθήσει διαπνοὰς τοῦ σώματος, καὶ τὰς αἰσθητὰς ἐκροὰς κωλύει. οὕτω γοῦν κἀν ἀφορισμοῖς ἔγραψεν. ἐν τούτοισι δὲ, τῷ ψυχρῷ χρῆσθαι, ὅταν αἱμοῤῥαγέειν μέλλῃ, μὴ ἐπ᾽ αὐτὰ, ἀλλὰ περὶ αὐτὰ, ὅθεν ἐπιῤῥεῖ. καὶ ὅσα τούτων ἐφεξῆς εἴρηκεν ἔργα τοῦ ψυχροῦ τῆς οἰκείας δυνάμεως, ὅταν διὰ μέσου μηδενὸς ἐνεργῇ· πάλιν δ᾽ ὅταν εἴπῃ, τὰ ψυχρὰ, οἷον χιὼν, κρύσταλλος, στήθει πολέμια, βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καὶ καταῤῥοϊκὰ, τὸ μὲν, στήθεσι πολέμια, κατὰ τὴν οὐκ αὐτοῦ τοῦ ψυχροῦ δύναμιν εἶπεν. τὸ δὲ βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, διὰ μέσων ἑτέρων. ἐπεὶ γὰρ εἰς ἑαυτὰ συνάγεται, καὶ σφίγγεται τὰ σώματα τῶν περιεχόντων ἀγγείων τὸ αἷμα, διὰ τοῦτο ἐνίοτε συμβαίνει ῥήγνυσθαι τοὺς χιτῶνας αὐτῶν, ἵν᾽, ὅπερ ὑπὸ πολλοῦ τοῦ περιεχομένου γίνεται ἐν τοῖς χαλαροῖς ἀγγείοις, τοῦτο ὑπὸ τοῦ μὴ πολλοῦ συμβαίνει τοῖς τεταμένοις. διὰ τοῦτο οὖν οὐχ ἁπλῶς εἶπεν ἐν τῇ προκειμένῃ ῥήσει, τὸ ψυχρὸν εἶναι φλεβῶν ῥηκτικὸν, ἀλλὰ τὸ πολὺ ψυχρὸν ἔφη. ταυτὸ δὲ τοῦτο, δυνάμει κἀν τοῖς ἀφορισμοῖς ἔγραψεν ἐν τῷ φάναι, τὰ ψυχρὰ, οἷον χιὼν, κρύσταλλος, ἐξηγησάμενος διὰ τῶν παραδειγμάτων, τίνα τ᾽ ἐστὶ τὰ πάνυ ψυχρά. πάλιν δ᾽ ἐν ἀφορισμοῖς εἰπών. ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, νῦν εἶπε τὸ ψυχρὸν συστρεπτικὸν, ἐν ἴσῳ τῷ, συναπτικόν. οὕτως οὖν ἐργάζεται καὶ τοὺς ἐν τοῖς νευρώδεσι μορίοις ὄγκους. καὶ κατά γε τὰ νεῦρα, τά τε γαγγλία καλούμενα, καί τινας ἄλλας τάσεις, τὰς μὲν παραμηκεστέρας, τὰς δὲ στρογγυλωτέρας. καί μοι δοκεῖ τὰς παραμηκεστέρας ὠνομακέναι φήρεα, τὰς δὲ στρογγυλοτέρας γογγρώνας, φήρεα μὲν εἰπὼν, τὰ μὲν ἐμφέρειαν ἔχοντα φηρεῶν. οὕτω γὰρ ὠνομάκασιν ἔνιοι τῶν Ἰώνων σατύρους, οὓς γράφουσί τε καὶ πλάττουσι παραμήκεις ἐξοχὰς ἔχοντας παρὰ τοῖς ὠσὶ, γογγρώνας δὲ, τὰς περιφερεστέρας ἐξοχὰς μετὰ σκληρότητος, οἷαί περ εἰσὶν αἱ γινόμεναί τισι τῶν δένδρων ἐπιφύσεις, ἃς καλοῦσι γόγγρους, ὡς καὶ Θεόφραστος ἐν τῷ πρώτῳ τῶν περὶ φυτῶν ἔγραψε λέξιν οὕτως. ἔνια δὲ ἴσχει τοὺς καλουμένους ὑπό τινων γόγγρους, ἢ τὸ ἀνάλογον οἷον ἐλαία. λέγουσι δ᾽ ἔνιοι καὶ νῦν ἔτι κατὰ Θετταλίαν, ἀκηκοέναι τινῶν γογγρώνας ὀνομαζόντων τὰς τοιαύτας σκληρότητας, ὅταν ἐν τραχήλῳ συστῶσιν, οὐ μὴν τά γε φήρεα λέγοντός τινος, οὔτ᾽ αὐτὸς ἤκουσα, κατά τι τῶν ἐθνῶν, οὔτε τινὸς ἀκηκοότος ἐπυθόμην· καί τοί τινες τῶν ἐξηγητῶν φασὶ τὸν Ἱπποκράτην φήρεα καλεῖν, τὰ ἐν Φηραῖς τῆς Πελοποννήσου πλεονάζοντα. τινὲς δὲ διὰ τοῦ ε. τὴν πρώτην συλ-

λαβὴν γράφοντες ἅμα τῷ φ'. δηλονότι, Φέρεά φασιν αὐτὸν ὀνομάζειν τὰ ἐν Φεραῖς τῆς Θετταλίας πολλάκις γινόμενα. τὸ μέντοι τὰς παραμήκεις ἐξοχὰς ὀνομάζειν φήρεα, μαρτύριον εἶναι δοκεῖ καὶ τὸ γεγραμμένον ἐν τῷ τῶν ἐπιδημιῶν ἑβδόμῳ κατὰ λέξιν οὕτως. ἐπεδήμησαν βῆχες, μάλιστα δὲ παιδίοις, τὰ περὶ τὰ ὦτα, πολλοῖσιν οἷα τοῖς σατύροις. » τὸ δὲ ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης ῥήσεως, συναί- » τιον καὶ αἱ σκληρότητες, τοιοῦτον σημαίνει· τοῖς τῶν εἰρημένων παθῶν γενέσεσιν ὑπὸ τοῦ ψυχροῦ, συναίτιόν ἐστι καὶ ἡ σκληρότης τοῦ σώματος ἐν ᾧ συνίσταται τὰ πάθη, τουτέστιν ὅταν ὁ ἄνθρωπος ᾖ φύσει σκληρὸν ἔχων τὸ δέρμα. διὰ γὰρ τὴν αὐτὴν αἰτίαν, τό τε ψυχρὸν, αἴτιόν ἐστι τῆς τῶν εἰρημένων παθῶν γενέσεως, τό τε δέρμα τὸ σκληρόν. ὅτι γὰρ, ὡς αὐτὸς ἔφη, τὸ ψυχρὸν, δέρμα περισκληραίνει, διὰ τοῦτο τὰ τοιαῦτα πάθη γεννᾷ. διεξέρχεσθαι δι' αὐτοῦ, τῶν ὑπ' αὐτῷ συναθροιζομένων χυμῶν, μὴ δυναμένων. οἷς οὖν ἐστι φύσει σκληρὸν τὸ δέρμα, τούτοις συναίτιον καὶ αὐτὸ γίνεται, τοῦ μήτε διαφορεῖσθαι, τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς, ἀθροιζομένους δ' ὑπ' αὐτῷ, τοὺς εἰρημένους σκληροὺς καὶ σκιρρώδεις ὄγκους ἐργάζεσθαι. ὅτι δὲ καὶ φλεβῶν ῥῆξις ἐν τοῖς φύσει σκληροτέροις ἔσται, διὰ τὴν τοῦ ψυχροῦ βίαν, οὐκ ἄδηλόν ἐστιν. εἰ γὰρ ὑπὸ τοῦ περιεχομένου κατὰ τὰς φλέβας αἵματος ἡ ῥῆξις γίνεται τῶν ἀγγείων, ἐν τοῖς τοιούτοις ἔσται μᾶλλον, ὅσα διὰ σκληρότητα δυσχερῶς, καὶ μόγις ἀνευρύνεται. τὰ γὰρ ἐπὶ πλέον ἐκτείνεσθαι πεφυκότα, κἂν πολὺ τὸ περιεχόμενον ἐν αὐτοῖς ᾖ, στέγει τοῦτο μὴ ῥηγνύμενα, καὶ βῆχες δ' ἂν εἰκότως ἐν τοῖς φύσει σκληροτέροις σώμασι γίνοιντο. λέλεκται γὰρ, ὅτι τῶν μαλακῶν, ῥᾷον ταῦτα τραχύνεται. γεγραφότων δέ τινων κατὰ τὴν ῥῆσιν ἀντὶ τοῦ, βηχώδες, φυσώδες, εἰπεῖν τι καὶ περὶ τούτου προσήκει. φαίνεται γὰρ ὁσημέραι, τὰ κατὰ τὴν γαστέρα, πνεύματος φυσώδους ἐμπιπλάμενα τοῖς ψυχθεῖσιν, ἀλλ' ἥ γε παλαιὰ γραφὴ τῆς ῥήσεως, οὐ τὸ φυσῶδες, ἀλλὰ τὸ βηχῶδες ἔχει, καὶ κατὰ τοὺς ἀφορισμοὺς, ὡς ἔφην, ἄρτι, τῶν ψυχροτάτων ὑλῶν ἐν παραδείγματι μνημονεύσας, οὐ προσέθηκεν αὐταῖς τὸ φυσῶδες. τὰ γὰρ ψυχρά, φησιν, οἷον χιὼν, κρύσταλλος, στήθει πολέμια, βηχῶν κινητικὰ, αἱμορροϊκὰ καὶ καταρροϊκά. διδάσκει τε καὶ τὴν νῦν προκειμένην ἡμῖν ῥῆσιν, καὶ κατὰ τὸν εἰρημένον ἀφορισμὸν, οὐχ ἁπλῶς ὅσα γίνεται διὰ τὸ ψυχρὸν, ἀλλ' ὅσα διὰ τὸ λίαν ψυχρόν. ἐνταῦθα μὲν εἰπὼν, τὸ ψυχρὸν πάνυ, φλεβῶν ῥηκτικόν. ἐν δὲ τοῖς ἀφορισμοῖς τὸ, οἷον χιὼν, κρύσταλλος. ὅτι δὲ μετέχειν τινὸς δεῖται θερμασίας τὰ φυσώμενα καθάπερ τε καὶ τὰ . . .

A labam scribentes unà cum ph, scilicet, pherea, dicunt ipsum appellare quæ Pheris Thessaliæ urbe plerunque oriuntur. At quod ipse longiores excessus pherea nominet, illud etiam quod in septimo de Uulgaribus morbis ad verbum ita scriptum est: in vulgus grassabantur tusses, maximè verò in pueros, quæ secundùm aures multis, qualia satyris, testimonium dictis nostris præbere videtur. Sed quod in calce propositi sermonis scribitur, simul causa, & duritiæ id significat, dictorum vitiorum à frigore creationes adjuvant causa, & corporis, in quo affe- B ctus oriuntur, duritia, id est cum homo dura naturaliter cute sit: eadem enim ratione, & frigidum, & dura cutis, positorum affectuum originis causæ sunt. Nam quoniam, ut ipse inquit, frigidum cutim obdurat, ideo hujusmodi affectus creat, succis sub cute contractis per ipsam transire nequeuntibus. Quibus igitur naturâ cutis dura est, istis & ipsa adjutrix causa fuerit, ut ne crassi lentique humores digerantur: sub ipsa verò congesti duros vocatos, & scirrhosos tumores efficiant. Quod etiam vena- C rum diruptio ob frigidi vim naturâ durioribus eventura sit, nemini dubium est. Nam si à sanguine in venis incluso effractio vasculorum fit, in illis plus fiet, quæcunque præ duritia ægrè vixque dilatantur. Quæ enim latius extendi apta sunt: & si, quod in ipsis continetur, multum sit, id tamen citra scissuram includunt, & cohibent. Item & tusses in naturâ durioribus corporibus jure excitantur: siquidem dictum est, ea faciliùs, quàm mollia, exasperari. Quum quidam verò in hoc sermone pro hac voce βηχῶδες, id est, tusses excitans: φυσῶδες, id est, D flatuosum, scripserint, aliquid & de hoc dicere convenit: quotidie nanque refrigeratis corporibus flatuoso spiritu ventrem repleri cernuntur. Verùm antiqua lectio non φυσῶδες, id est, flatuosum; sed βηχῶδες, id est, tussiculosum, ut verbum verbo reddam, agnoscit. Atque in Aphorismis, ut paulo ante retuli, frigidissimarum rerum loco exempli, mentionem faciens, ipsis non addit, flatuosum. Frigida enim, inquit, ut nix, glacies, pectori inimica, tussium excitatoria, sanguinis effluvii provocatoria, & destillationes commoventia. Ad propositis in verbis & in narrato aphorismo, non simpliciter, E quæ à frigido, sed quæ à valde frigido fiant, edocet hoc loco dicens, frigidum valde venas rumpit: in aphorismis, ut nix, glacies. Quod autem aliquam caliditatem participare debeant, quæ inflantur, sæpe didicistis, sicut & quæ . . .

Deficiunt aliqua.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

ΤΟ μετ' οὔρησιν σύναγμα, παιδίοισι μᾶλλον, ἢ ἄρα ὅτι θερμότερα. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ὍΤι μὲν ὁ λόγος ὅδε περὶ τῶν λιθιώντων παιδίων ἐστὶν, ἅπαντες εἰρήκασιν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, οὐ μὴν τὸ διὰ τί προσέθηκε, τὸ μετ' οὔρησιν, ἐνὸν ἁπλῶς γράψαι τὸ σύναγμα παιδίοισιν, ἐπεσκέψαντο, καθάπερ οὐδὲ διὰ

HIPPOCRATIS TEXTUS XXV.

Post mixtum concretio puerulis magis. Num quoniam calidiores?

GALENI COMMENTARIUS.

QUòd de calculosis pueris hîc sermo sit, omnes Libri Explanatores asseruerunt; sed cur, *post mictum*, adjecerit, quum simpliciter scribere liceret, concretio puerulis, haud perinde contemplati sunt: sicut neque illud etiam,

cur dubitativam conjunctionem adjecerit, non simpliciter dicens, concretio puerulis, quoniam calidiores: iste enim loquendi modus, num quia calidiores: pro certo affirmare non audientis indicativus est. Atqui in aphorismis absolutè protulit, Augescentes plurimum habent insitum calidum. Nomen quidem concretionis, in solo septimo de morbis vulgaribus Libro inveni, ejus Libri Scriptore dicente: Et concretio apparebat in aqua, qua manus lotæ sunt. Sed quare, *post mictum*, aut quare, *num*, adjecerit, deinceps considerabimus. Ac primum de dubitatione, etsi secunda scripta sit, videamus. Aut igitur adhuc dubitans hæc scripsit; temporis autem spatio aliqua demonstratione comperta firmam de crescentium temperatura sententiam tulit: aut quod & melius est, & à nobis in Commentariis de temperamentis, & in aphorismis decretum fuit, non absolutè puer adulto calidior est, sed insito calore calidior. Calidum autem non ingenitum eo absolutè calidius esse monstratum est, quo adulti plus abundant: quocirca par erat ab eo potius calido in vesica lapidem concrescere. Propterea igitur haud injuriâ anceps est. Veritas autem est, calculos pueris in vesica ob urinæ crassitudinem procreari. Porro urinas crassissimas à pueris reddi, & ab omnibus ante nos Medicis concessum est; sed cur tales reddantur, ipsum quidem per se speculatione dignum est, ad rem autem propositam nihil facit. Crassas enim urinas excerni, & evidenter apparet, & rerum testimonio declaratum est: hujusmodi nanque crassitudo multa collecta, & in unum coiens, quum semel aliquando non opportunè excreta, intus diutius manserit, coagmentandi, concrescendique initium capit. Eo verò principio facto, facile postea quicquid iterum reliqui crassi in vesicam delabitur, priori agglutinatur, majorque inde tophosus calculus redditur: quemadmodum extra, & in calidis aquis sponte nascentibus, & in vasis ubi calefit aqua quotidie, lapis coalescere cernitur. Igitur urinarum crassitudo creandorum calculorum prima potissimaque causa est; caliditas verò etiam mediocris ad hujusmodi materiam spissandam satis est: nempe & in calidis aquis scaturientibus, etsi moderatis tepidiores sint, tophi concrescentes apparent. Hac itaque ratione Hippocrates hanc vocem, *num*, adjecisse mihi videtur, quoniam & tanta caliditas, quam ingenitam pueri habent, ad coagmentandum aliquid facit: verùm non ipsa præcipuè, sed materiæ, ex qua fit lapis, qualitas, ipsius compactionis causa existit. Cæterùm cur, post mixtum, adjecit, & non absolutè dixit, concretio puerilis? quoniam de calculis in vesica, & non in renibus, nunc sermonem facit. Fit autem lapillorum in vesica concretio post mictum, in renibus ante mictum. At pueris in vesica, jam declinanti verò ætate hominibus in renibus lapillos provenire nos haud præterit. Ergo, quod dudum dicebam, rem ita se habere, quod sensibus apparet, manifestat: quænam verò causa sit, per ocium quærere licet. Quare explanationi jam finis factus est: causam autem, ut in superioribus, ita & modo quasi superpondium afferemus, si prius illos reprehenderimus, qui propter ea in pueris

A τί τὸν ἀπορητικὸν σύνδεσμον προσέθηκεν, οὐχ ἁπλῶς εἰπὼν τὸ σύναγμα παιδίοισιν ὅτι θερμότερα. τὸ γὰρ ἆρά γε θερμότερα, τοῦ μὴ τεθαρρηκότος ἀποφήνασθαι βεβαίως ἐστὶν ἐνδεικτικόν. καί τοι γε ἐν τοῖς ἀφορισμοῖς ἁπλῶς ἔφη, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. τὸ μὲν οὖν ὄνομα τοῦ συνάγματος, ἐν μόνῳ τῷ ἑβδόμῳ τῶν ἐπιδημιῶν εὗρον, εἰπόντος τοῦ γράψαντος αὐτὸ, καὶ σύναγμα ἐφαίνετο ἐν τῷ χερνίβῳ. διὰ τί δὲ, τὸ μετ' οὔρησιν, ἢ διὰ τί τὸ, ἆρα προσέθηκεν, ἑξῆς ἐπισκεψόμεθα, B καὶ πρῶτόν γε τὸ περὶ τῆς ἀπορίας εἰ καὶ δεύτερον γέγραπται. ἤτοι τοίνυν ἔτι μὲν ἀπορῶν ἔγραψε ταῦτα, τῷ χρόνῳ δὲ εὑρών τινα ἀπόδειξιν, ἀπεφήνατο περὶ τῆς τῶν αὐξανομένων κράσεως, ἢ, ὅπερ ἄμεινόν ἐστι δόξαι πρὸς ἡμῶν ἔν τε τοῖς περὶ κράσεων ὑπομνήμασι, κἀν τοῖς εἰς τοὺς ἀφορισμούς. οὐχ ἁπλῶς ἐστὶ θερμότερος ὁ παῖς τῶν ἀκμαζόντων, ἀλλὰ τῷ συμφύτῳ θερμῷ θερμότερος. ἐδείχθη δὲ τούτου θερμότερον ἁπλῶς τὸ μὴ σύμφυτον, ὃ πλέον κτῶσιν οἱ ἀκμάζοντες, ὥστ' εἰκὸς ἦν μᾶλλον ὑπὸ τούτου τοῦ θερμοῦ πήγνυσθαι τὸν ἐν τῇ κύστει C λίθον, διὰ τοῦτο μὲν οὖν εἰκότως ἀπορεῖ. τὸ δ' ἀληθές ἐστι, λίθους τοῖς παιδίοις ἐν τῇ κύστει διὰ τὸ πάχος τῶν οὔρων. ὅτι μὲν οὖν οὐρεῖται παχύτατα τοῖς παιδίοις οὖρα, καὶ τοῖς πρὸ ἡμῶν ἅπασιν ἰατροῖς ὡμολόγηται. διὰ τί δὲ οὐρεῖται τοιαῦτα, καθ' αὑτὸ μὲν ἄξιον ἐπισκέψεώς ἐστιν, εἰς δὲ τὸ προκείμενον οὐδὲν συντελεῖ. τὸ γὰρ οὐρεῖσθαι παχέα, καὶ φαινόμενον σαφῶς, καὶ πράγμασιν ὡμολογημένον. τὸ γάρ τοι πάχος τοῦτο συνιστάμενόν τε καὶ ἀθροιζόμενον, ὅταν ἅπαξ ποτὲ μὴ κατὰ τὸν προσήκοντα καιρὸν ἐκκριθὲν, ἔνδον ἐπὶ πλέον μείνῃ, συστάσεώς τε, καὶ D πήξεως ἀρχὴν λαμβάνει. γενομένης δὲ τοιαύτης ἀρχῆς, ἑτοίμως λοιπὸν ὅσον ἂν αὖθις εἰς τὴν κύστιν ἀφικνῆται παχὺ, προσπλάττεται τούτῳ καὶ γίνεται μείζων ὁ πωρώδης λίθος, ὥσπερ ἐκτὸς ἔν τε τοῖς αὐτοφυέσι θερμοῖς ὕδασιν ὁρᾶται συνιστάμενος, ἔν τε τοῖς ἀγγείοις ἐν οἷς ὕδωρ ὁσημέραι θερμαίνεται. τὸ τοίνυν πάχος τῶν οὔρων τὴν πρώτην τε καὶ μεγίστην αἰτίαν ἔχει τῆς τῶν λίθων γενέσεως. ἡ δὲ θερμότης ἀρκεῖ, καὶ σύμμετρος οὖσα πρὸς τὴν τῆς τοιαύτης ὕλης γένεσιν, ἀμέλει κἀν τοῖς θερμοῖς αὐτοφυέσιν ὕδασι, κἂν χλιαρώτερα τῶν συμμέτρων ᾖ φαίνονται συνιστάμενοι E πῶροι. διὰ τοῦτ' οὖν μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης προσθεῖναι τὸ, ἆρα, διότι καὶ ἡ τοσαύτη θερμότης, ἣν ἔχει παιδία φύσει· συνεργεῖ τι πρὸς τὴν πῆξιν, οὐ μὴν αὐτῆς γε τὸ πλεῖστον, ἀλλ' ἡ τῆς ὕλης ποιότης ἐξ ἧς ὁ λίθος γίνεται, τῆς συστάσεως αὐτῆς τὴν αἰτίαν ἔχει. διὰ τί οὖν προσέθηκε, τὸ μετ' οὔρησιν, καὶ οὐχ ἁπλῶς εἶπε, τὸ, σύναγμα παιδίοισιν, ὅτι περὶ τῶν ἐν τῇ κύστει λίθων τὸν λόγον ποιεῖται νῦν, οὐ τῶν ἐν τοῖς νεφροῖς. γίγνεται δὲ F ἡ σύστασις τῶν μὲν ἐν τῇ κύστει, μετὰ τὴν οὔρησιν, τῶν δ' ἐν τοῖς νεφροῖς, πρὸ τῆς οὐρήσεως. ἴσμεν δὲ τὰ μὲν παιδία, τοὺς ἐν τῇ κύστει λίθους γεννῶντα, τοὺς παρακμάζοντας δὲ, τοὺς ἐν τοῖς νεφροῖς, ὅπερ οὖν ὀλίγον ἔμπροσθεν ἔφην, ὅτι μὲν οὕτως ἔχει ταῦτα, μαρτυρεῖ τὸ φαινόμενον αὐτό. τίς δέ ἐστιν ἡ αἰτία, κατὰ σχολὴν ἔξεστι ζητεῖν, ὥσθ' ἡ μὲν ἐξήγησις ἤδη πεπέρασται. τὴν δ' αἰτίαν ὥσπερ ἐπὶ τῶν ἔμπροσθεν, οὕτω καὶ νῦν ἐκ περιουσίας ἐρῶ, πρότερόν γε μεμψάμενος τοῖς εἰποῦσι διὰ τοῦτο γίνεσθαι

τοῖς παιδίοις τοὺς λίθους, ὅτι στενόπορα διὰ μικρότητα τῶν ἀγγείων εἰσίν. ἐχρῆν γὰρ, ὅσον ἐπὶ τούτῳ, τοὺς ἐν τοῖς νεφροῖς λίθους μᾶλλον γίνεσθαι τοῖς παιδίοις. στεναὶ γὰρ αἱ κατ' ἐκείνους διέξοδοι. τῆς κύστεως δὲ ὁ τράχηλος εὐρύς ἐστιν εἰς τοσοῦτον τοῖς παιδίοις, ὡς πάσης ὕλης πάχος ἑτοίμως αὐτοῦ διεξέρχεσθαι. μὴ ποτ' οὖν οὐδὲ ἐπὶ τῶν προηκόντων κατὰ τὴν ἡλικίαν ἡ στενότης τῶν ἐν νεφροῖς πόρων, αἰτία τῆς τῶν λίθων γενέσεώς ἐστιν. ἀλλὰ τό, τε τῶν ἐνεργειῶν ἀσθενὲς, καὶ τὸ τῶν παχέων χυμῶν ἀκατέργαστον, ἐπὶ μὲν γὰρ τῶν παιδίων, ἰσχυρῶν ἁπασῶν τῶν φυσικῶν ἐνεργειῶν οὐσῶν, κέχυταί τε, καὶ διαλέλυται τὸ πάχος τῶν χυμῶν. ἐπὶ δὲ τῶν παρηκόντων κατὰ τὴν ἡλικίαν συνῆκται. φαίνεται δὲ κἀπὶ τῶν ἐκτὸς, ὅσα παχέα φύσει, διά τινων λεπτῶν διηθεῖν βουλόμεθα, τὰ μὲν ὑπὸ θερμασίαν χυθέντα διεξερχόμενα ῥᾳδίως, τὰ δὲ ἄτηκτά τε καὶ ἄχυτα, μὴ διεξιόντα. παραδείγματα δὲ τῆς τοιαύτης ὕλης πίττα, καὶ ῥητίνη, καὶ στέαρ, καὶ κηρὸς, καὶ μέλι. τῶν παίδων οὖν ἐχόντων τὸ πολὺ τὸ ἔμφυτον θερμὸν, καὶ τὰς ἐνεργείας ἰσχυρὰς, τὸ πάχος τῆς ὕλης κεχυμένον, εἰς τοὺς νεφροὺς ἀφικνεῖται, καὶ διὰ τοῦτο διηθεῖται ῥᾳδίως εἰς τὴν κύστιν, οὐ μικρὸν, οὐδὲ τῆς τῶν ἐνεργειῶν ῥώμης, εἰς τὸ τάχος τῆς διεξόδου συντελούσης. ἅτε δὲ τῆς κύστεως οὔσης ψυχρᾶς, ὅτι τε νευρώδης ἐστὶ, καὶ ὀλίγαιμος, ὅτι τε πλείστην εὐρυχωρίαν ἐντὸς ἑαυτῆς ἔχει, συνίσταται πάλιν ἐνταῦθα, καὶ πήγνυται τὸ διεξελθὸν εἰς αὐτὴν πάχος, ὡς ἔμπροσθεν εἶπον, ἀρχὴν λαμβάνον τῆς τοιαύτης συστάσεως, ὅταν ἐπὶ πλέον ἐν τῇ κύστει χρονίζῃ. καὶ μὴν καὶ γλισχρὸν εἰκὸς αὐτὸ μᾶλλον εἶναι τοῖς παιδίοις, τῷ κατειργάσθαι μᾶλλον ὑπὸ τῆς ἐμφύτου θερμασίας, ὅσα γὰρ ὑπὸ τῆς θερμότητος ἀλλοιοῦται, πεττόμενα προσλαμβάνει τινὰ τῷ χρόνῳ γλισχρότητα κἂν ἐξ ἀρχῆς μηδεμίαν ἔχῃ, καὶ διὰ τοῦτο δὴ μᾶλλον ἑνοῦταί τε, καὶ συνίσταται, καὶ πήγνυται. τῶν γὰρ ἴσον ἐχόντων πάχος, ἐπιτηδειότερον εἰς ἕνωσίν τε, καὶ σύστασιν, καὶ πῆξίν ἐστι τὸ γλισχρότερον. ἐπεὶ τοίνυν ἔνια τῶν οὐκ ἀναγκαίων εἰς τὴν προκειμένην ῥῆσιν αἰτιολογεῖται, προσθήσω ἔτι τῶν περὶ τὸ πάχος τῶν οὔρων ἐν τοῖς παιδίοις αἰτίας. ἔστι δὲ ἤδη, τό τ' ἀδδηφάγον αὐτῶν, καὶ τὸ μετὰ τὴν ἐδωδὴν κινεῖσθαι παίζοντα, καὶ σκιρτῶντα, τοῖς δὲ θηλάζουσι, καὶ ἡ ὕλη συντελεῖ. παχὺ γὰρ φύσει τὸ γάλα, καὶ πρὸς λίθων γένεσιν ἐπιτηδειότατον, ἀμέλει, καὶ τῶν τελείων, τοῖς πλεονάζουσιν ἐντυρῶν ἐδωδῇ, λίθους ἐν νεφροῖς γινομένους ἔγνωμεν πολλάκις.

A calculos gigni asserunt, quod itinera ob vasculorum exiguitatem angusta sunt. Oporteret enim, si id ita esset, in renibus potius calculos pueris creari angusti enim per illos transitus sunt: vesicæ autem cervix lata adeo in pueris est, ut cujusque materiæ crassitudo per eam facilè transmitti possit. An forte neque in illis, qui jam progressa ætate sunt, meatuum per renes angustia gignendis lapillis in causa est; sed & actionum infirmitas, & crassorum succorum cruditas? quandoquidem in pueris omnes na-B turales actiones validæ quum sint, humorum crassitudo funditur, atque dissolvitur: in declinantis autem ætatis hominibus compacta est. Quinetiam in exterioribus, quæcunque naturâ crassa per aliqua angusta transfundere volumus, quæ calore eliquata sunt, facilè pervadere: quæ non fusa, neque eliquata sunt, transire non posse cernimus. Hujus materiæ exempla sunto pix, resina, seuum, cera, & mel. In pueris itaque quum multus sit insitus calor, & actiones robustæ, materiæ crassitudo attenuata, in renes fertur, atque ideo facile in vesicam percolatur C haud parum, & actionum vi ad egressus celeritatem conducente: utpote autem vesica frigida, quippe quæ & nervosa sit, & pauci sanguinis, & amplissima interius concavitate inanis, crassitudo in ipsam transmissa ibi iterum cogitur, & conspissatur, ut prædiximus, initium hujus conspissationis accipiens, quando in vesica diutius commoratur. Quinetiam hanc crassam materiam in pueris tenaciorem esse, quoniam magis ab insito calido elaborata est, rationi congruit: nam quæcunque à calore in concoquendo mutantur, temporis processu lentorem quendam acquirunt, etsi ab initio nul-D lum habuerint: quocirca plane magis in unum coeunt, consistunt, atque coagmentantur: nam inter æque crassa, quod tenacius est, ad coitionem, conjunctionem & concretionem aptius habetur. Quamobrem quum causæ quædam præsenti sermoni haud necessariæ traditæ sint, de urinæ præterea puerorum crassitudine causam adjiciam: est autem cùm ipsorum edacitas, tum quod à cibo ludentes, prosilientesque moventur. Lactentibus vero & materia ipsa occasionem præbet: lac enim naturâ cras-E sum est, & ad calculos creandos aptissimum. Porro & in adultis caseo frequentius vescentibus lapillos in renibus crebro suboriri cognovimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

Τὰ σήματα τὰ ῥήζοντα μᾶλλον, οἷον ὁ τὰ κλήματα τῇ χειρὶ πλέκων, ἢ στρέφων, ὑπὸ ὀδυνάων καταχείμενος, λαβόμενος πασσάλου ἄκρον ὑπερπεπηγότος, εἴχετο καὶ ἐρήισεν.

HIPPOCRATIS TEXTUS XVI.

Figuræ sublevans ut sarmenta manu plectens, & contorquens, præ dolore procumbens, pa-F xilli extremum supra defixum corripiens inhæsit & sublevatus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτὸ μὲν τὸ λεγόμενον εὔδηλόν ἐστιν. αἰτίαν δὲ αὐτοῦ χαλεπὸν εἰπεῖν, ὅτι μήτε ὁ Ἱπποκράτης ἔγραψε, καί τοι δυνάμενος, ἤτοι γε ἐξαιφνίδιον αὐτῷ γενέσθαι τὴν ὀδύνην εἰπὼν, ἢ κατὰ βραχὺ λαβεῖν τὴν αὔξησιν, ἄρξασθαί τε ἐνεργοῦντι περὶ τὴν τῶν κλημάτων πλοκὴν, ἢ μετ' αὐτὴν εὐθέως, ἢ κατ' ἄλλον τινὰ χρόνον

GALENI COMMENTARIUS.

ID, quod dicitur, admodum patet: sed ipsius causam invenire difficile est, quando & Hippocrates, quum tamen posset, non scripserit, aut repente ipsi dolorem coortum esse dicens, aut paulatim incrementum cœpisse, atque in sarmentorum plexu occupato initium habuisse, aut post ipsum illico, aut alio quopiam diei

diei noctisve tempore. Sed nec quæ esset particula dolens, dictum est: manum autem fuisse existimant, eo quod ipse paxillo apprehenso, dolore levatus est. Quòd si ipse sarmenta intorquens fatigatus esset, haud incredibile foret ex hujusmodi figura ipsius dolorem fuisse mitigatum. Manus enim figura dolorem sedans in Libro de fracturis, & in Libro de agendis in medicatrina, qualisnam sit descriptum fuit. Si qua verò in versanda manu tortura musculi in homine facta esset, aut & flatuosus spiritus inter duos musculos exitum non habens, inclusus foret, par erat in figura decenti positum, ob quam spiritum exhalare contingeret, dolentem hominem sublevari.

A τῆς ἡμέρας, ἢ τῆς νυκτός. ἀλλ' οὐδὲ τί μόριον ἦν, ὥσπερ ὁ ὀδυνῶν, λέλεκται. τὴν χεῖρα δὲ ἡγοῦνται, διὰ τὸ, τοῦ πατάλου λαμβανόμενον αὐτὸν, ὠφεληθῆναι. εἰ μὲν οὖν ἐκοπώθη στρέφων αὐτὸς τὰ κλήματα, ἀπίθανον οὐκ ἂν εἴη διὰ σχήματος αὐτὸν τοιούτου ῥᾷσαι. τὸ γὰρ ἀνώδυνον τῆς χειρὸς σχῆμα, διά τε τοῦ περὶ ἀγμῶν καὶ τοῦ κατ' ἰητρεῖον, ὁποῖόν ἐστιν. εἰ δέ τις ἐν τῷ περιστρέφειν τὴν χεῖρα, διαστροφὴ μυὸς ἐγένετο περὶ τὸν ἄνθρωπον, ἢ καὶ πνεῦμα B φυσῶδες ἐναπελείφθη μεταξὺ δυοῖν μυῶν, οὐκ ἔχον διέξοδον, εἰκὸς ἦν ἐν ἐπιτηδείῳ σχήματι, καθ' ὃ κενωθῆναι συνέβη τὸ πνεῦμα, ῥᾷσαι τὸν περιωδυνῶντα.

HIPPOCRATIS TEXTUS XVII.

Quem ex oritypia circa pontem vidi ego jactantem crura, altera tibia minime extenuabatur, femoribus autem valde urina, ac genitura non retentæ sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

ΟΝ ἐξ ὀρειτυπίης, περὶ τὴν γέφυραν, εἶδον ἐγὼ ῥιπτοῦντα τὰ σκέλεα, κνήμην ἑτέρην ἥκιστα ἐλεπτύνετο, μηροὶ δὲ κάρτα, οὖρα, καὶ γονὴ, οὐκ ἴσχετο.

C

GALENI COMMENTARIUS.

ORitypos Græci nominant quodlibet ex montibus in civitatem deferentes, ut ligna & lapides, & id genus alia. Scribente autem Hippocrate non simpliciter sic, oritypon vidi jactantem crura, sed orationi præpositionem, *ex*, addente, & scribente, *quem ex oritypia*, apparet quodam modo ab ipsa in montanis negociis actione, à principio dorsi circa lumbos, hominis medullam, à qua nervi crura moventes egerminant, offensam accepisse. Illud autem, *circa pontem*, scriptum esse satis ipsi fuit, solum quò ægrotantis reminiscatur, ut nulla arte indigeat. Verùm forsan supervacuum fuerit quærere, quâ de causâ homo ille ex cruribus laboravit: quemadmodum & illud quid per ea verba significetur, *crura jactantem*, utrùm ægrotans crura immobilia doluerit nihil patiens: hoc enim à quibusdam fide omni carens dictum est. Illud quidem verisimilius fuerit, impotentia crura quum essent, ipsorum in ambulando motionem talem fieri, qualem ipsa extrorsum non vehementer jactantes faciunt. Sed neque quod tibia utraque, aut altera, minimè attenuabatur, femora autem valde, audientibus nobis ullam utilitatem afferunt, sicut neque Hippocrati ad memoriam faciunt: haud rarò nanque, sed crebro hæc fieri, & ab omnibus Medicis apertè cognosci videntur. Quidnam igitur sit, cur ita scripsit, ego declarare tentabo, si totam rem prius aliis verbis clarioribus, ac paucioribus, detractis supervacuis, pronunciavero. Quidam resolutis cruribus secundùm femora emaciabatur magis, quàm secundùm tibias: urina quidem, ac genitura ipsi suppressæ sunt. Hoc igitur nobis utile cognitu est; sed forsan quispiam interrogaverit quid sibi vult illud quod in Libro de articulis scriptum est; „Quoniam multò pluribus crura & manus debilitantur: & corpora torpescunt, & urina „supprimitur ipsis, quibus vertebrarum præter „naturam inversio, neque introrsum, neque extrorsum excesserit; sed valde concussi fuerint „secundùm spinæ dorsi rectitudinem. Ex his

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΡειτύπους ὀνομάζουσιν οἱ Ἕλληνες τοὺς ὁπουοῦν ἐκ τῶν ὀρῶν εἰς τὴν πόλιν καταφέροντας, οἷον ξύλα, καὶ λίθους, ἤ τι τοιοῦτον. γεγραφότος δὲ τοῦ Ἱπποκράτους οὐχ ἁπλῶς οὕτω, τὸν ὀρειτύπον ἐθεασάμην ῥιπτοῦντα τὰ σκέλη, προσθέντος δὲ τῷ λόγῳ τὴν, ἐξ, πρόθεσιν, καὶ γράψαντος οὐ ἐξ ὀρειτυπίης, ἐμφαίνεταί πως ἐξ ἀρχῆς αὐτῆς τῆς κατὰ τὴν ὀρειτυπίαν ἐνεργείας, πλη- D γῆναι τὸν κατὰ τὴν ὀσφὺν νωτιαῖον ὁ ἄνθρωπος, ἀφ' οὗ πέφυκε τὰ κινοῦντα τὰ σκέλη νεῦρα. καὶ γέ τοι τὸ περὶ τὴν γέφυραν ἱκανὸν ἦν γεγράφθαι μόνον εἰς ἀνάμνησιν αὐτῷ τοῦ παθόντος, ὡς μηδὲν δεῖσθαι τῆς τέχνης. περιττὸν δὲ ἴσως ζητεῖν ἐκ τίνος αἰτίας ἔπαθεν ὁ ἄνθρωπος ἐκεῖνος τὰ σκέλη. καθάπερ γε καὶ τὸ, τί δηλοῦται διὰ τοῦ φάναι σκέλεα ῥιπτοῦντα, πότερα ἀκίνητα ἀλγεῖν, μὴ πάσχοντα, καὶ γὰρ τοῦτ' εἰρήκασιν ἀπιθάνως, ὅπερ ἐστὶ πιθανώτερον, ἀκρατῶς ἔχοντα τῶν σκελῶν ἐν τῷ βαδίζειν, ὁμοίαν γίνεσθαι τὴν περιφορὰν αὐτῶν τοῖς E ῥιπτοῦσι πρὸς τὴν ἔξω χώραν οὐκ ἰσχυρῶς αὐτά. ἀλλ' οὐδ' ὅτι κνήμας μέντοι γε ἀμφοτέρας, ἢ τὴν ἑτέραν ἥκιστα λελέπτυντο, μηροὶ δὲ κάρτα, φέρει τινὰ τοῖς ἀκούουσιν ἡμῖν ὠφέλειαν, ὥσπερ οὐδὲ αὐτῷ τῷ Ἱπποκράτει πρὸς ἀνάμνησιν. οὐ γὰρ σπανίως, ἀλλὰ πολλάκις φαίνεται τὰ τοιαῦτα γινόμενά τε γινωσκόμενα σαφῶς, τοῖς ἰατροῖς ἅπασι. τί δὴ οὖν ἐστι δι' ὃ τοῦτο ἔγραψεν; ἐγὼ πειράσομαι δηλῶσαι, τὴν ὅλην ῥῆσιν εἰπὼν πρότερον, ἑτέρᾳ λέξει σαφεστέρᾳ τε καὶ συντομωτέρᾳ, τῶν περιττῶν ἀφαιρεθέντων. παραλυόμενός τις τὰ σκέλη, τὰ μὲν κατὰ μηροὺς F ἐλεπτύνετο μᾶλλον τῶν κατὰ τὰς κνήμας. οὖρα μέντοι, καὶ γονὴ, οὐκ ἐπεσχέθη αὐτῷ. τοῦτ' οὖν ἐστι χρήσιμον εἰς τὸ γινώσκειν ἡμᾶς, ἀλλ' ἴσως ἐρήσεταί τις, τί φησιν ὁ γεγραμμένον κατὰ τὸ περὶ τῶν ἄρθρων βιβλίον; ἐπεὶ οἱ πολὺ „πλέονες σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται, καὶ „καταναρκοῦται τὸ σῶμα, καὶ οὖρα ἴσχεται τουτέοισιν οἷς „ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα μήτε εἴσω, μήτε ἔξω, σεισθῶσι „δὲ ἰσχυρῶς εἰς τὴν ἰθυωρίαν τῆς ῥάχεως. ἐκ ταύτης „

ῥήσεως ὁρμηθέντες τινὲς ἀπεφήναντο διὰ τὴν νεύρων παράλυσιν ἐπὶ τοῦ νωτιαίου πάθει γίνεσθαι ταῦτα τὰ συμπτώματα, μὴ προσέχοντες, ὅτι τῶν σπονδύλων μετακινηθέντων ἐκ τῆς κατὰ φύσιν ἕδρας, καὶ τῷ τῆς συμπαθείας λόγῳ, φλεγμονὰς μὲν τὸ πρῶτον, ὕστερον δὲ καὶ σκιρρώδεις ὄγκους ἐργασαμένων περὶ τὴν κύστιν, καὶ τὸ καλούμενον ἀπευθυσμένον ἔντερον, αἱ φυσικαὶ τῶν ὀργάνων τούτων ἐνέργειαι βλάπτονται, δι' ἃς ἴσχεται τὰ πρότερον ὑπ' αὐτῶν ἐκκρινόμενα, τῶν μέντοι νεύρων βλαβέντων μόνων ἄνευ τοῦ συμπαθῆσαί τι τῶν εἰρημένων ὀργάνων, οὐ τὰς φυσικὰς ἐνεργείας, ἀλλὰ τὰς προαιρετικὰς συμβαίνει κακοῦσθαι. καὶ διὰ τοῦτο χωρὶς προαιρέσεως ἐκρεῖ τό τε οὖρον αὐτοῖς, καὶ ἡ κόπρος, ὅταν γε συντελεσθῇ τῶν νεύρων ἡ παράλυσις, ὅσα φέρεται πρὸς τοὺς ἐπὶ τοῖς πέρασι τῆς κύστεως, καὶ ἀπευθυσμένου μῦς, ὑφ' ὧν κλείεταί τε, καὶ σφίγγεται τὸ στόμιον ἑκατέρου τῶν ὀργάνων. ὅτι μὲν οὖν οὐκ ἐπεσχέθη τῷ ὀρειτύπῳ τὰ οὖρα, λέλεκται κατὰ τὴν ῥῆσιν· εἰ δὲ ἀπροαιρέτως, ἢ κατὰ προαίρεσιν ἀπεκρίνετο, τοῦτ' οὐκέτι προσέθηκεν. εἰ μὲν οὖν σύγγραμμα πρὸς ἔκδοσιν ἦν τὸ βιβλίον, ἐκ τοῦ προσγεγράφθαι, δῆλον ἦν ὡς οὐδὲ ἐγίγνετο. πάντως γὰρ ἂν ἐδήλωσεν αὐτό, μὴ γεγραμμένου δὲ οὕτως, ἀλλ' ὡς εἴρηται πολλάκις ἐν ὑπογραφαῖς πρὸς ἀνάμνησιν. οὐδὲ γὰρ οὐδὲ περὶ τῶν διαχωρημάτων ἔγραψέ τι. καίτοι καὶ ταῦτα ἀναγκαῖόν ἐστιν, ἢ οὐδ' ὅλως ἐπεσχῆσθαι, ἀλλὰ τοῖς οὔροις ὡσαύτως ἀκουσίως ἐκρεῖν, ἢ κατὰ προαίρεσιν ἀποκρίνεσθαι. ἀλλ' εἰκός, αὐτὸν εἰς ἀνάμνησιν ὧν εἶδεν, ἀρκεσθῆναι τῷ περὶ τῶν οὔρων ῥηθέντι. τὸ γὰρ τῆς ἀποπατημάτων κενώσεως ὡσαύτως τοῖς οὔροις γινομένης, εἰ μὲν ἐναντίον τι περὶ τὴν ἑτέραν αὐτῶν ἐγεγόνει, πάντως ἂν ἐπεσημήνατο. τῶν δ' αὐτῶν αὐτοῖς ἀκολουθησάντων, οὐκ ἦν ἀναγκαῖον ἀμφοτέρων μνημονεύειν, ἀλλ' οὐδὲ γονή φησιν ἴσχετο. φυσικὴ γάρ ἐστι, καὶ ἡ ταύτης κένωσις, ὥσπερ καὶ ἡ τῶν οὔρων τε, καὶ σκυβάλων. διὰ τί δὲ βουληθέντες μὲν ἀφροδισιάζειν ἐπ' αὐτὴν ἀφικνοῦνται, μὴ βουληθέντες δὲ οὐκ ἔρχονται, μακροτέρῳ λόγῳ, καὶ ἐν τοῖς περὶ τῶν ἀπόρων κινήσεων λογισμοῖς εἴρηται.

A verbis nonnulli persuasi, ob nervorum resolutionem ex medullæ dorsi affectu hæc symptomata contingere asseruerunt: neque animadvertunt, vertebris ex naturali sede transmutatis, & affectus communicati ratione, phlegmonas primo, postea, & præduros tumores excitantibus circa vesicam, & rectum intestinum, quod vocant, naturales horum instrumentorum actiones depravari: unde quæ prius ab ipsis excernebantur, supprimuntur: nervis verò solis læsis, nullo prædictorum instrumentorum per consensum affecto, non actiones naturales, sed B voluntarias vitiari contingit. Quocircà & ipsis contra voluntatem urina decurrit, & stercus, quum eorum nervorum, qui ad musculos in finibus vesicæ, atque intestini recti positos, protenduntur, & à quibus utriusque instrumenti osculum clauditur, atque constringitur, resolutio perfecta fuerit. Sed monticolæ illi urinæ exitum obstructum non fuisse proposita verba declarant: utrùm autem invito ipso, an volente excerneretur, non item adjecit. Porrò si Liber iste accuratè compositus ad editionem foret, ex eo quòd ascriptum non esset, con-C staret quoque non factum esse, prorsus enim ipsum indicasset: sed eo modo scriptus non est, verùm, ut sæpiùs dictum fuit, per quasdam annotationes, reminiscendi causâ. Nam de dejectionibus quoque nihil scripsit, quum tamen & has necesse sit, aut nequaquam suppressas esse, sed perinde, atque urinam, præter voluntatem effluere, aut voluntate jubente excerni. At ipsum par fuit ad eorum quæ viderat, reminiscentiam, eo quod de urinis dixit, fuisse contentum, alvi, scilicet, excrementorum evacuatione ita ut urinæ, sese habente: nam si D contrarium quid circa alterutram ipsarum factum esset, omninò significasset: eisdem autem eadem consequentibus, utriusque meminisse necesse non fuit. Verum neque genitura, inquit, suppressa est: Naturalis enim est, & ipsius evacuatio, quemadmodum & urinæ, & stercoris: sed quare venere uti volentes ad hanc deveniunt, nolentes autem non, longiore oratione, & in Libro de dubiis motibus disputatum est.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη΄.

Ὅσαι πτερυγώδεες φύσιες πλευρέων, δι' ἀδυναμίαν τῆς ἀφορμῆς ἐπὶ τοῖσι καταῤῥόοισι τοῖσι κακοήθεσι, ἔκκρισις εἴη, μὴ εἴη, κακόν.

HIPPOCRATIS TEXTUS XVIII.

Quæcunque alatæ naturæ laterum, propter impotentiam occasionis. Et in destillationibus malignis. Et si excretio sit, & si non sit, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τίνας μὲν ὀνομάζουσιν οἱ ἰατροὶ πτερυγώδεις ἔμπροσθεν εἴρηται. μεμαθήκατε δὲ καὶ ὅτι πρὸς φθίσιν ἐπιτήδειοι τυγχάνουσιν ὄντες οἱ τοιοῦτοι διὰ τοῦ τρίτου τῶν ἐπιδημιῶν, ἀφορμὴν δὲ λέγειν εἴωθεν ὁ Ἱπποκράτης, καὶ σχεδὸν ἅπαντες οἱ παλαιοὶ πᾶσαν ὕλην πράγματος, ἀφ' ἧς ὁρμὴ γίγνεται πρὸς τὰς ἐφεξῆς ἐνεργείας, εἴ τε ἀργύριον, εἴ τε τις ἄλλη κτῆσις, εἴ τε δύναμις εἴη τις, εἴ τε χωρίον, εἴ τε πίστις, εἴ τε πρᾶξις, εἴ τε αἴτιον, εἴθ' ὁποιοῦν ἁπλῶς ἄλλο. τινὲς δ' οἴονται τοὺς προπαθοῦντας τόπους ἄλλων, ἀφορμὰς ὀνομάζειν αὐτόν, ἀποδείκνυσθαί τε, καὶ τοῦτο φασὶν διὰ τῆσδε τῆς ῥήσεως. τὰς ἀφορμὰς ὁκόθεν ἤρξατο

GALENI COMMENTARIUS.

Quosnam Medici alatos vocent, superiùs dictum est. Didicistis etiam ex tertio de Morbis vulgaribus, ejusmodi homines ad ta-F bem esse expositos. Occasionem autem Hippocrates dicere consuevit, & omnes fere antiqui Medici, omnem rei materiam, ex qua initium motus ad sequentes actiones prodit, sive argentum, sive aliqua alia suppellex, sive potentia quædam sit, sive locus, sive fides, sive actio, sive causa, sive quicquid aliud simpliciter. Sed quidam putant ipsum locos prius affectos aliarum occasiones appellare: idque ex eo sermone demonstrari aiunt. Occasiones, unde

incepit laborare, considerandæ. Si verò, & hoc significatum, ut supra dixi, est, quum sit commune, multa sub ipso erunt singularia. Oratores quidem, quemadmodum & historici, & philosophi, occasiones hominum actiones dixerunt, utpote & qui de illis disputent: ab Hippocrate autem nomen translatum est, quemadmodum & alia multa naturalium actionum, atque affectuum: in quibus omnibus commune est hoc, unde incepit fieri: nunc enim in proposita parte Hippocrates dixit, unde incepit laborare. Posset autem similiter dici, & hoc unde incepit navigare, bellum gerere, pacem agere, pugnare, inter se amare, odisse, tyrannidem exercere, & omnia id genus alia. Nunc itaque primum initium, quo quis alatus evadat, ab Hippocrate dictum est, occasionem verò quispiam non abs re dixerit. Quænam igitur hæc est? ingenitæ caliditatis, quæ ex corde habet originem, imbecillitas. Didicisti enim quemadmodum cerebro magno caput unà augetur, parvo existente, minuitur: eadem ratione, & cum corde augeri pectus, & minui: verùm cor ipsum exiguum ob vitalis potentiæ infirmitatem creari: cujus potentiæ essentiam ingenitum calorem esse dicimus. quando igitur imbecilla hæc alicui natura fuerit, hoc est, ab initio, à prima formatione, & cor, & pectus parva generari necesse est. At quod tria sint animal gubernantia principia, demonstrationes didicisti in volumine de Hippocratis, Platonisque decretis. Eos verò qui occasiones dici putant prius affectos locos, multum & in explanandis propositis verbis delirare invenies: & in eo quod nos non dictionem aliquam unam, sed integram orationem præterea, subaudire debere jubent, ac si, & hoc modo sententia dicta sit. Quæcunque alatæ naturæ laterum, ob impotentiam occasionis in destillationibus malignis, maximè phthisi capiuntur, etsi excretio sit, & si non sit, malum est. Quum multa ab horum verborum Explanatoribus dicta sint, satis esto, quod verissimum mihi, & artem medicam discentibus utilissimum esse visum fuerit solum, quàm fieri potuit brevissimis designasse. Destillationes igitur à capite in pulmonem descendentes tunc maleficas esse putandum est, si defluentia subtilia, & corrodentibus viribus prædita sint. Hæc sanè, neque in pulmone morari tandiu convenit, quoad concocta crassescant, quemadmodum alias fluxiones ex tenui quidem materia, sed non corrosiva, & ægre maturescente constantes: neque rursum statim expelli. Intus enim morantia non facile concoquuntur, viscusque ipsum lacerare deprehenduntur: si excernantur, autem tusses violentas commovent, ob quas caput repletur, ipsumque rursus in pulmonem materias depellit: atque ob tussis vehementiam, ne aliquod in ipso receptaculum frangatur metus est: Qualis planè tussis illis accidere solet, qui humores tenues, & aqueæ substantiæ difficulter ex pulmonibus rejiciunt: ascendunt enim isti à spiritu per tussim emisso sublati: quòd si tenues, & aquei sint, disperguntur, & contra spiritus motum prius delabuntur, quàm totam asperam arteriam egressi sint. Verum est igitur noxam sequi, sive in pulmone humores isti remaneant, sive evacuentur.

A κάμνειν, σκεπτέον. εἰ δὲ καὶ τοῦτο τὸ σημαινόμενον, ὡς πρόσθεν εἶπον, ὄντι καθόλου πολλῶν πίπτων κατὰ μέρος. οἱ μὲν γὰρ ῥήτορες, ὥσπερ γε καὶ οἱ ἱστορικοὶ, καὶ οἱ φιλόσοφοι, ἀφορμὰς τῶν ἀνθρώπων ἐνεργείας εἰρήκασιν, ὡς ἂν καὶ περὶ τούτων διαλεγόμενοι. μετενήνεκται δ' ὑφ' Ἱπποκράτους τοὔνομα καθάπερ καὶ τὰ ἄλλα πολλὰ τῶν φυσικῶν ἐνεργειῶν τε καὶ παθῶν. ἐν οἷς ἅπασι κοινόν ἐστι τὸ ὁκόθεν ἤρξατο γενέσθαι. νῦν μὲν γὰρ ἐπὶ τῆς εἰρημένης ῥήσεως, ὁ Ἱπποκράτης, ὁκόθεν ἤρξατο κάμνειν ἔφη, δύναται δὲ ὡσαύτως λέγεσθαι, B καὶ τὸ ὁκόθεν ἤρξατο πλωΐζεσθαι, πολεμεῖν, εἰρηνεύειν, μάχεσθαι, φιλεῖν ἀλλήλους, μισεῖν, τυραννεῖν, καὶ πᾶν ὁτιοῦν ἄλλο τοιοῦτο. καὶ νῦν οὖν τὴν πρώτην ἀρχὴν τοῦ πτερυγώδη τινὰ γίνεσθαι, λέλεκται πρὸς Ἱπποκράτους. ἀφορμὴν δ' οὐκ ἄν τις ἀπὸ τρόπου φαίη. τίς οὖν ἐστιν αὕτη; τῆς ἐμφύτου θερμασίας, ἥ τις ἐκ τῆς καρδίας ἔχει τὴν ἀρχὴν ἡ ἀρρωστία. μεμάθηκας ὥσπερ ἐγκεφάλῳ μεγάλῳ μὲν ὑπάρχοντι κεφαλὴ συναύξεται, σμικρῷ δ' ὄντι συσσμικρύνεται, κατὰ τὸν αὐτὸν λόγον καὶ τῇ καρδίᾳ συναύξεσθαί τε καὶ συμμειοῦσθαι τὸν θώρακα, τὴν καρδίαν δὲ αὐτὴν σμικρὰν γίνεσθαι πρὸς τὴν C ἀρρωστίας τῆς ζωτικῆς δυνάμεως, ἧς οὐσίαν εἶναι τὸ ἔμφυτον θερμόν. ὅταν οὖν ἄρρωστος αὕτη φύσει τινὶ γένοιτο, τουτέστιν ἐξ ἀρχῆς, ἐκ τῆς πρώτης διαπλάσεως, ἀναγκαῖόν ἐστι καὶ τὴν καρδίαν γενέσθαι μικρὰν, καὶ τὸν θώρακα. τοῦ δὲ τρεῖς ἀρχὰς εἶναι τὰς διοικούσας τὸ ζῶον, ἔμαθες τὰς ἀποδείξεις ἐν τῇ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων πραγματείᾳ. τοὺς δ' οἰηθέντας ἀφορμὰς λέγεσθαι τοὺς πρωτοπαθοῦντας τόπους, πολλόν τε περὶ τὴν ἐξήγησιν τῆς προκειμένης ῥήσεως εὑρήσεις ἁμαρτάνοντας, κἂν τῷ προσυπακούειν, οὐ D λέξιν τινὰ μίαν, ἀλλὰ λόγον ὅλον, ὡς εἰ καὶ οὕτως ἡ ῥῆσις εἴρητο. ὅσαι πτερυγώδεες φύσιες πλευρέων δι' ἀδυναμίαν τῆς ἀφορμῆς ἐν τοῖσι καταρρόοισι τοῖσι κακοήθεσι, μάλιστα φθίσεσιν ἁλίσκονται, καὶ ἢν ἔκκρισις εἴη, καὶ ἢ μὴ εἴη, κακόν. πολλῶν εἰρημένων τοῖς ἐξηγηταῖς εἰς τήνδε τὴν ῥῆσιν αὐταρκές ἐστι, τὸ δοκοῦν ἀληθέστατόν γ' ἐμοὶ καὶ ὠφελιμώτατον εἶναι τοῖς μανθάνουσι τὴν ἰατρικὴν τέχνην, ὑποτυπῶσαι μόνον, ὡς οἷόν τε διὰ βραχυτάτων. τοὺς τοίνυν ἀπὸ κεφαλῆς εἰς τὸν πνεύμονα γινομένους καταρρόους, τηνικαῦτα νομιστέον εἶναι κακοήθεις, ὅταν λεπτὰ, καὶ βρωτικὰ ταῖς δυνάμεσιν ᾖ τὰ καταρρέοντα. ταῦτ' οὖν οὔτε μένειν ἐν τῷ E πνεύμονι προσήκει μέχρι περ ἂν πεφθέντα παχυνθῇ, καθάπερ τὰ ἄλλα ῥεύματα τὰ λεπτὰ μὲν, οὐκ ἔχοντα δὲ τὸ διαβρωτικόν τε, καὶ δύσπεπτον, οὔτ' εὐθέως ἐκκρίνεσθαι. μένοντα γὰρ ἔνδον οὐ πέττεται ῥᾳδίως, καὶ φαίνεταί γε τὸ σπλάγχνον ἑλκοῦν, ἐκκρινόμενα δὲ, βῆχας ἐργάζεται συντόνους, ἐφ' αἷς ἥ τε κεφαλὴ πληροῦται, αὐτή τε πάλιν καταπέμπει τῷ πνεύμονι καταρροήν, εἰς κίνδυνόν τε τοῦ ῥαγῆναί τι τῶν κατ' αὐτὸν ἀγγείων ἀφικνεῖται διὰ τὴν ἐπὶ βηχὶ συντονίαν. εἰωθυῖαν γίνεσθαι τοῖς μὴ ῥᾳδίως ἀναπτύουσι F τὰ ἐκ τοῦ πνεύμονος ὑγρὰ, λεπτὰ, καὶ ὑδατώδη κατὰ τὴν σύστασιν ὄντα. γίνεται μὲν γὰρ ἡ ἄνοδος αὐτοῖς ἀναφερομένοις ὑπὸ τοῦ κατὰ τὰς βῆχας ἐκπεμπομένου πνεύματος. ὅταν δ' ᾖ λεπτὰ καὶ ὑδατώδη, περισχίζεταί τε ταῦτα, καὶ αὐτίκα καταφέρεται, μὴ φθάνοντα διεξελθεῖν ὅλην τὴν τραχεῖαν ἀρτηρίαν. ἀληθὲς οὖν ἐστι τὸ βλάβην ἕπεσθαι, καὶ μένουσι κατὰ τὸν πνεύμονα τοῖς τοιούτοις ὑγροῖς, καὶ κενουμένοις.

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Ῥίγεα ἄρχεται γυναιξὶ μὲν μᾶλλον ἀπὸ ὀσφύος, καὶ διὰ νώτου. τότε ἐς κεφαλήν. ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν μᾶλλον ἢ ἔμπροσθεν. φρίσσουσι γὰρ τὰ ἔξωθεν μᾶλλον, ἢ τὰ ἔνδον τοῦ σώματος, οἷον πήχεων, μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιότερον, δηλοῖ δὲ ἡ θρίξ. ἀφ' ὧν δὲ ἄλλων ῥιγοῦσιν, ἴσως ἑλκέων, ἄρχεται ἐκ τῶν ἀγγείων.

HIPPOCRATIS TEXTUS XIX.

Rigores incipiunt mulieribus quidem magis à lumbis, & per dorsum, & tunc in caput: Verum, & viris posterius magis, quàm à priori parte. Horrent exteriora magis quàm interiora corporis, ut cubitorum, femorum. Sed etiam cutis rara: id verò pilus indicat. A quibus autem aliis rigent fortasse ulceribus, incipit ex vasculis.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ μὲν ἄλλα τῆς ῥήσεως ἐξηγησάμεθα κατά τε τοὺς ἀφορισμοὺς, καὶ τὸ δεύτερον τῶν ἐπιδημιῶν. τὸ δὲ ἐπὶ τῇ τελευτῇ προσκείμενον, οὐκ ὀλίγα πράγματα παρέσχηκε τοῖς ἐξηγησαμένοις τὸ βιβλίον. ἄλλος γοῦν ἄλλως αὐτὰ γράφει, δηλοῦντες ἅπαντες, ὡς οὐχ οἷόν τ' ἐστὶ πιθανῶς ἐξηγήσασθαι τὴν ῥῆσιν, ἐάν γε τὴν ἀρχαίαν φυλάττῃ γραφήν. ἐκείνη μὲν οὖν ἐστὶ τοιάδε, ἐξ αὐτῆς δέ τινες τὸ, ἴσως ἑλκέων, ὑπαλλάξαντες, ἔγραψαν, ὡς ἑλκέων, ἵν' ᾖ παράδειγμα τοῦτ' αὐτὸ τῶν ἄλλων. οὐ γὰρ ἀφ' ἑλκῶν μόνον, ἀλλὰ καὶ ἀποστημάτων εἰς πύον μεταβαλλόντων ῥιγοῦσι. καὶ μέντοι καὶ καυθέντες τινὲς, καὶ τμηθέντες, ἐρρίγωσαν, ἐπί τε τῇ καύσει καὶ τῇ τομῇ. τινὰς δὲ ἐθεασάμην διὰ δριμὺ φάρμακον ἐπιτεθὲν ἕλκει, ῥιγώσαντας. ἀλλὰ πάντα τὰ τοιαῦτα ῥίγη φαινόμενον ἔχει τὸ προκατάρχον αἴτιον. ἕτερα δ' ἐστὶν ἐν τριταίοις καὶ τεταρταίοις πυρετοῖς, καὶ πολλάκις ἅμα κρίσει γινόμενα, χωρὶς αἰτίας φανερᾶς, ἐφ' ὧν φασὶν εἰρῆσθαι τὸ, ῥίγεα ἄρχεται γυναιξὶ μὲν μᾶλλον, καὶ τὰ ἄλλα ἐφεξῆς. καίτοι γε τοῦτο πρῶτον αὐτὸ θαυμάσειεν ἄν τις ὅπως ἐν τοῖς ἀφορισμοῖς, ἔνθα μάλιστα τὴν ἑαυτοῦ γνώμην ἐνδείκνυται, καὶ τὸν περὶ τοῦ ῥίγους λόγον ἔγραψεν, ἀποφηνάμενος καθόλου, χωρὶς διορισμοῦ οὗ νῦν ἐν τῇ προκειμένῃ ῥήσει διδάσκομεν. φαίνεται γὰρ εἰ ταύτῃ τις προσέχει τὸν νοῦν, οὐ πάντα μόνον τὰ ῥίγη καθ' ἕνα τρόπον γίνεσθαι δοξάζων, ἐν τῷ λέγειν. ἀφ' ὧν δὲ ἄλλων ῥιγέουσιν οἷον ἑλκέων, ἄρχεται ἐκ τῶν ἀγγείων. πρὸς γὰρ καὶ αὐτὸ τοῦτο, ἐκ τῶν ἀγγείων ἄρχεσθαι φάναι τὸ ῥῖγος, οὐτ' ἔχειν ἀντιδιαίρεσιν τοῖς προειρημένοις. ἔνεστι γοῦν λέγειν, ὡς ἐκ τῶν ἀγγείων μὲν ἄρχεται τὰ ῥίγη πάντα, τουτέστι τῆς ἐν αὐτῇ κακοχυμίας, ἀλλὰ φρίττει πρῶτα μὲν ὀσφὺς, καὶ τὰ κατὰ νῶτον, ἔπειτα δὲ καὶ τὰ ἄλλα. διὰ τοῦτ' οὖν ἔνιοι μὲν μεταγράψαντες τὴν παλαιὰν γραφὴν, οὕτως ἐτύπωσαν τὴν λέξιν. ἀφ' ὧν δὲ ἄλλων ῥιγέουσιν, ὡς ἑλκέων, ἄρχεται ἐκ τῶν ἀγγείων, ἵν' ὁ λόγος ᾖ τοιοῦτος. ὅσα μὲν ἄνευ τόπου πεπονθότος γίνεται ῥίγη, τὴν ἀρχὴν ἐξ ὀσφύος τε καὶ νώτου λαμβάνει. τὰ δ' ἄλλα τῶν πεπονθότων ἀφορμᾶται μορίων, ἅπερ δὴ, καὶ αὐτοῦ τοῦ ῥίγους ἐστὶν ἡ αἰτία. τινὲς δ' ἀντὶ τῶν ἀγγείων, ἔγραψαν ἐναντίων, ἵν', ἐφ' ὧν ὁ πεπονθὼς τόπος αἴτιος γίγνεται τοῦ ῥίγους, ἕλκων ἐφ' ἑαυτὸν, ὥς φασι καὶ ἐκεῖνον τὸν χρόνον ἐν ᾧ ῥιγοῦσι, τὸ ἐκ παντὸς τοῦ σώματος αἷμα, φαίνεται τὸ ῥῖγος ἐκ τῶν ἐναντίων τοῖς πεπονθόσι μορίοις ἀρχόμενον. ἐναντία καλοῦντος αὐτοῦ, τοῖς μὲν ἄνω, τὰ κάτω, τοῖς δ' ἀριστεροῖς, τὰ δεξιά. δῆλον οὖν γέγονε τοῖς γε προσέχουσι τὸν νοῦν, ὡς ἐξ αὐτῶν ὧν μεταγράφουσιν, ἐπ' ἐναντιωτάτας

GALENI COMMENTARIUS.

Reliqua hujus sermonis verba, & in Aphorismis, & in secundo de popularibus morbis declaravimus. Sed quod in calce adjectum est, haud parum negocii Libri hujus Interpretibus facessit: siquidem alius aliter ea verba scribit, omnes innuentes sermonem verisimiliter interpretari non posse, si antiqua lectio servetur. Ea verò hujusmodi est, ex qua nonnulli eam partem mutaverunt, *fortasse ulceribus*, scribentes, *ut ulceribus*: ut idipsum

C

aliorum sit exemplum: Neque enim ab ulceribus solùm, sed etiam abscessibus suppurantibus rigent: quinetiam nonnulli usti, & secti, ex ustione, & incisione riguerunt: vidimus praeterea nonnullos ob acre pharmacum ulceri superpositum riguisse. Verùm omnes id genus rigores externam causam evidentem habent: alii verò sunt in tertianis, & quartanis febribus, & plerunque unà cum judicationibus citra manifestam causam exorientes: de quibus dictum fuisse aiunt, rigores incipiunt mulieri-

D

bus quidem magis, & reliqua deinceps posita. Et quidem illud ipsum primò quispiam miratus fuerit, quo modo in Aphorismis, ubi maximè suam ipsius sententiam explicat, & de rigore sermonem fecit, in universum illum protulit sine ea, quam in propositis verbis edocet, definitione. Videtur nanque, si ea quis consideret, Hippocrates opinari, non omnes rigores uno tantùm modo fieri, quum dicat: à quibus autem aliis rigent, fortasse ulceribus, incipit ex vasculis, ultra id quod hoc ipsum, ex vas-

E

culis incipere rigorem, dixisse, nullam oppositam antedictis divisionem habet. Licet itaque dicere ex vasculis rigores omnes ortum habere, id est, malis succis intra vascula contentis: sed primum quidem lumbi, & dorsi partes horrent, deinde & reliqua. Propterea nonnulli veterem scripturam permutantes, ita lectionem instituerunt: à quibus autem aliis rigent, ut ulceribus, incipit ex vasculis, ut hujusmodi oratio sit: Quicunque sine loco passo rigores fiunt, à lumbis, & dorso initium sumunt; alii vero ab

F

affectis particulis exoriuntur, quae planè & ipsius rigoris causae sunt. Aliqui vice hujus dictionis, *vasculis*, *contrariis* scripserunt: ut in quibus affectus locus rigoris author est, ad se ipsum, ut aiunt, eo quo rigent tempore, ab omni corpore sanguinem attrahens, tunc rigor ex locis, qui passis sedibus contrarii sunt, provenire videbitur, ipso superioribus inferiora, sinistris dextra contraria dicente. Jam igitur animadvertentibus palam est, ex his, quae isti in scriptura transmutant, in maximè contrarias

sententias orationem trahi, nonnullis ab affectis membris, aliis ab istorum contrariis, rigores oriri asserentibus: contraria vero sunt, ut ipsi dicunt, quæ longissimè distant. De causa quidem, ut sæpius dictum est, licet volenti, ut lubet, dicere; sed de iis quæ evidenter apparent, non licet: ita enim omnes artes, hominumque vita funditus everterentur. Verùm, ut in aphorismis prodidit, omnes rigores ex lumbis, & dorso initium capere dignoscuntur. Atque istud in præsentia, in fine propositi sermonis adjectum, Libri author, ut aiunt, Thessalus Hippocratis filius, si in patris commentariis repertum descripsit, & Libro interseruit, malè fecit; nam à patre longo tempore dijudicata, & per Aphorismos in communem enunciationem redacta firmiora ipsum putare oportuit, quàm illa, quæ dum quærerentur antea, nondum cognoscebantur. Quod si ipse ex se id ascripsit, longe majus peccatum commisit patris communem enunciationem invertens, atque depravans. At si quispiam alius Thessalo posterior Librum hunc scripsit, male & ipse fecit. Ut enim sæpe iteravimus, experientia rerum evidenter apparentium judex est, non ratio, quam sibi unusquisque verisimiliter commentus fuerit. Nam quum aliquid fieri fama sit, ratio investigat, atque id ita esse contendit: quum quid autem plane fieri conspicitur, nugatoria & supervacua oratio est, quæ ipsum fieri causam afferens, dicat. Cæterùm & alia quædam ab Interpretibus in hac parte dicta sunt: sed ego jam sæpius omnium meminisse recusavi, & maximè cum ea, quæ verisimilia esse videbantur, ad examen redacta, falsa esse deprehenduntur.

A ἀπόφασις ἄγουσι τὸν λόγον. ἔνιοι μὲν ἐκ τῶν πεπονθότων μορίων ἄρχεσθαι τὰ ῥίγη λέγοντες, ἔνιοι δ' ἐκ τῶν ἐναντίων αὐτοῖς αὖθις, ὡς αὐτοὶ φασιν, τὰ πορρωτάτω. περὶ μὲν οὖν αἰτίας, ὡς εἴρηται πολλάκις, ἔξεστι τῷ βουλομένῳ λέγειν ὡς ἂν θέλῃ. τὰ φαινόμενα δὲ ἐναργῶς, οὐκ ἔξεστιν. ἀναστραπήσονται γὰρ οὕτως αἱ τέχναι πᾶσαι, καὶ τῶν ἀνθρώπων ὁ βίος. φαίνεται δ', ὡς ἐν ἀφορισμοῖς ἐδίδαξε, τὰ ῥίγη πάντα τὴν ἀρχὴν ἐξ ὀσφύος τε καὶ νώτου λαμβάνοντα, καί τινι τὸ νῦν προκείμενον ἐπὶ τῇ B τελευτῇ τῆς ῥήσεως. εἰ μὲν οὖν ὁ συνθεὶς τὸ βιβλίον, ὡς λέγουσι, Θεσσαλὸς ὁ τοῦ Ἱπποκράτους υἱὸς, ἐν τοῖς τοῦ πατρὸς ὑπομνήμασιν εὑρὼν ἐξεγράψατο, κακῶς ἐποίησεν ἐγγράψας αὐτὸ τῷ βιβλίῳ. τὰ γὰρ ὑπὸ τοῦ πατρὸς κεκριμένα χρόνῳ πολλῷ, καὶ διὰ τῶν ἀφορισμῶν, εἰς ἀπόφασιν καθολικὴν ἠγμένα, βεβαιότερα νομίζειν αὐτὸν ἐχρῆν εἶναι, τῶν, ὁπότ' ἐζήτει, πρόσθεν οὐδέπω γινωσκομένων. εἰ δ' αὐτὸς ἐξ αὑτοῦ προσέγραψε τοῦτο, πολὺ χεῖρον ἔπραξε, τὴν τοῦ πατρὸς ἀπόφασιν καθολικὴν διαστρέψας ἐπὶ τὸ φαῦλον. εἰ δ' ἄλλος τις τῶν μετὰ Θεσσαλὸν, C ἔγραψε τὸ βιβλίον τοῦτο, κακῶς ἐκεῖνος ἐποίησεν. καὶ γὰρ ὡς εἴρηται πολλάκις, ἡ πεῖρα κριτής ἐστι τῶν ἐναργῶς φαινομένων, οὐχ ὁ λόγος ὃν ἂν ἕκαστος ἑαυτῷ πιθανῶς ἀναπλάσῃ. τοῦ γὰρ, ὅτι δὴ γίνεται, τό δέ τι, συμφωνηθέντος ὁ λόγος ζητεῖ, καὶ διατείνεται. τοῦ δ' ὅλως φαινομένου γίνεσθαι, ληρῶδές ἐστιν, ὡς γινομένου λέγειν αἰτίαν. εἴρηται δὲ καὶ ἄλλα τινὰ τοῖς ἐξηγηταῖς εἰς τὴν προκειμένην ῥῆσιν. ἀλλ' ἐγώ γε πολλάκις ἤδη παρῃτησάμην ἁπάντων μεμνῆσθαι, καὶ μάλιστα ὅταν αὐτῶν τὰ πιθανώτατα δόξαντα εἶναι, βασανιζόμενα, φαίνεται ψευδῆ.

D

HIPPOCRATIS TEXTUS XX.

Caput ex ortu, & occasione, & plurimis sermonibus, & paulatim cognitis colligentem: & perdiscentem, an similia inter se sint. Etsi non similia inter se sint, ex dissimilitudinibus similitudo fiat una. Sic utique sit via. Sic & rectè se habentium probatio: & non rectè, redargutio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Κεφάλαιον ἐκ τῆς γενέσιος, καὶ ἀφορμῆς, καὶ πλείστων λόγων, καὶ κατὰ μικρὸν γινωσκομένων, συνάγοντα, καὶ καταμανθάνοντα, εἰ ὅμοιά ἐστιν ἀλλήλοισιν, καὶ εἰ μὴ ὅμοια ἀλλήλοισιν εἰσὶν, ὡς ἐκ τῶν ἀνομοιοτήτων ὁμοιότης γένηται μία, οὕτως ἂν εἴη ὁδός. οὕτω καὶ τῶν ὀρθῶς ἐχόντων, δοκιμασίη, καὶ τῶν μὴ ἐχόντων, ἔλεγχος.

GALENI COMMENTARIUS.

Non quæ nunc dixit, præcipere; sed ea in ægrotantibus exequi difficile est; prorsum sane artis summa in ipsis est. Nam si quis accurate laborantis naturam à primo ortu cognoverit, & ex qua nunc causa laboret, & per multos sermones paulatim cognitos evidentes similitudinis, & quæ dissimilitudines esse videantur speculans, alia quoque in propositis verbis enarrata bene inveniat, iste sane optime curare poterit. Omnia itaque contemplemur singillatim, ea, quæ per alia Volumina uberiùs pertractavimus, in memoriam revocantes: & ipsi, si quid deficiat, adjicientes. Igitur cujusque eorum, qui curentur, naturam à primo ortu sciri debere præcepimus, sæpiusque, ut optimè quispiā id faciat ostendimus. Ostensum est autem haud minus, quæ de primario affectis locis, & per vitii communicationem læsis, scire & exquisitè dignoscere in ægrotis oporteat: quemadmodum & de causis, quas ante incipientes

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ τὸ προστάττειν ἃ νῦν εἶπεν, ἀλλὰ τὸ πράττειν ἐπὶ τῶν νοσούντων αὐτὰ, δύσκολον, ὅλως γοῦν τῆς τέχνης τὸ κεφάλαιον ἐν αὐτοῖς ἐστιν. ἐὰν γάρ τις ἀκριβῶς εἰδῇ, τήν τ' ἐκ πρώτης γενέσεως φύσιν τοῦ νοσοῦντος, ἐκ τινός τε νῦν αἰτίας νοσεῖ, καὶ διὰ πολλῶν λόγων κατὰ μικρὸν γινωσκομένων, ἐπισκοπούμενος τάς τε φαινομένας ὁμοιότητας, καὶ τὰς δοκούσας ἀνομοιότητας εἶναι, καὶ τἆλλα τὰ διὰ τῆς ῥήσεως εἰρημένα καλῶς εὑρίσκῃ, θεραπεύειν οὕτως δυνήσεται κάλλιστα. F σκεψώμεθα οὖν ἅπαντα τὰ κατὰ μέρος, ἀναμιμνήσκοντες μὲν ὅσα δι' ἄλλων ἐπὶ πλέον ἐξειργάσμεθα, προστιθέντες δ' αὐτοῖς εἴ τι λείπει. τὸ μὲν οὖν ἐπίστασθαι τὴν ἐκ τῆς πρώτης γενέσεως ἑκάστῳ τῶν θεραπευομένων φύσιν, εἴρηται καὶ δέδεικται πολλάκις ὅπως ἄν τις κάλλιστα πράττῃ. δέδεικται δ' οὐδὲν ἧττον ἃ χρὴ περί τε τῶν πεπονθότων τόπων, καὶ τῶν συμπαθέντων αὐτοῖς, ἐπίστασθαί τε καὶ διαγινώσκειν ἀκριβῶς ἐπὶ τῶν νοσούντων. ὥσπερ γε καὶ περὶ τῶν αἰτίων ὅσα γε προκατάρ-

γοντα καλοῦσι, καὶ ὅσα προηγούμενα, καὶ ὅσα συνεκτικά. δέδεικται δὲ καὶ κατ' αὐτὸ τοῦτο τὸ βιβλίον, ἡνίκα ἐλέγετο ἡ περὶ τὸν κάμνοντα οἰκονομία, τίνα χρησίμως ἄν τις ἐκ τῶν τοῦ κάμνοντος λόγων ἀθροίσειεν εἰς τὰ τῆς τέχνης ἔργα. καὶ μέντοι καὶ ὡς ἐκ τῶν κατὰ μέρος ἐν αὐτῇ θεωρουμένων, ἐπισκοπούμενον τὰς ἀνομοιότητας, εἰς μίαν ἄγειν καθόλου τε καὶ κοινὴν ὁμοιότητα προσήκει. τὰ πλεῖστα δὲ τῶν ἐν τούτοις τοῖς βιβλίοις γεγραμμένων, ἐστὶ χρήσιμα, τὸ δὲ ἐφεξῆς εἰρημένον, αὖθις ἀνομοιότητας τούτοισι, τὴν ἀπὸ τῶν καθόλου, καὶ κοινῶν, καὶ ὁμοίων, εἰς τὰς διαφορὰς τομὴν ἐνδείκνυται. δέδεικται δὴ ἡμῖν καὶ τοῦτο κατὰ πάντα τὰ μέρη τῆς τέχνης. ἐν μὲν τῷ περὶ τῆς διαφορᾶς τῶν συμπτωμάτων, ἐπὶ τῆς τοῦ γενικοῦ συμπτώματος. οὕτως δὲ κἀν τοῖς περὶ διαφορᾶς τῶν σφυγμῶν, καὶ τοῦ σφυγμοῦ. ἀλλὰ καὶ κατὰ ταύτας τὰς διαφορὰς πάλιν ὁμοιότης ἐστί, καὶ τέμνεταί γε πάλιν ἑκάστη διαφορά, καθάπερ ἐδιδάξαμεν, εἰς ἄλλας μερικωτέρας διαφοράς, καὶ αὗται πάλιν ἔχουσιν ὁμοιότητάς τινας. κατὰ τοῦτ' οὖν εἰπὼν αὖθις, τὰς ἀνομοιότητας τούτοισιν, ἐπήνεγκε, καὶ εἰ ὅμοια ἀλλήλοισιν, ἵν' ἀκούσωμεν περιασπασθέντος τοῦ, κατά τι. βούλεται γὰρ ἡμᾶς γινώσκειν τὰς ὁμοιότητας αἵπερ εἰσὶ διαφοραί, κατά τι πάλιν ὅμοιαί εἰσιν ἀλλήλαις, ὡς ἐκ τῶν ὁμοιοτήτων ὁμοιότης γένηται μία. καὶ γὰρ αὐτὴ καθ' ἑαυτὴν ἑκάστη διαφορὰ κοινὴν ἔχει ὁμοιότητα, καὶ πάσας ἡ γενικὴ περιλαμβάνει. καλῶς οὖν εἶπεν, αὕτη. ἡ γὰρ ὁδὸς ὀρθή, κατὰ πᾶσαν δηλονότι τέχνης σύστασίν ἐστιν, ὡς ἔμαθες. κεκλήκασι δὲ οὐχ ὁδόν, ἀλλὰ μέθοδον, οἱ μεθ' Ἱπποκράτην, τὴν τοιαύτην ὁδόν, ἐξ ἧς, καὶ τῶν ὀρθῶς εὑρισκομένων τε καὶ γινομένων ἐν ταῖς τέχναις δοκιμασία, καὶ τῶν οὐκ ὀρθῶς ἐχόντων ὁ ἔλεγχος γίνεται.

A vocant, & quas antegressas, & quas contentrices. Ostensum est præterea, & in hoc Libro quum tradita est circa ægrotantem œconomia, quæ utiliter quispiam ex ægri sermonibus ad artis opera colligere possit. Quin etiam quod ex singularibus in ipsa consideratis speculantem dissimilitudines ad unam universalem, communemque similitudinem redigere oportet. Plurima vero eorum, quæ in his libris scripta sunt, usu venire solent. At quod deinceps scriptum est, rursum dissimilitudines his, ab universalibus B, communibus, & similibus in differentias partitionem significat. Ostensum est autem hoc à nobis in omnibus partibus artis, in Libro de differentia symptomatum, de communis symptomatis divisione; ita quoque & in Libris de pulsuum differentia, de pulsus in universum distinctione actum est. Verum & inter has differentias rursum similitudo est: iterumque singulæ differentiæ, ut edocuimus, in alias magis particulares differentias distinguuntur: item& istæ quasdam habent similitudines. C Iccirco igitur quum dixerit, rursum dissimilitudines, his subjunxit, & an similia inter se, ut intelligamus deficere hæc verba, *per quid.* Vult enim nos cognoscere dissimilitudines, quæ quidem sunt differentiæ, per quid iterum similes inter se sint, ut ex dissimilitudinibus una similitudo fiat: etenim ipsa per se unaquæque differentia communem similitudinem habet, omnesque generales complectitur. Recte igitur dixit; hæc enim via recta, in omni scilicet artis constitutione, ut didicisti. Appellaverunt autem hanc viam posteriores Hippocrate non viam, sed methodum, ex qua recte inventorum D, & factorum in artibus probatio est, non recte autem se habentium, redargutio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα΄.

Αἱμοῤῥαγίη ἐκ ῥινῶν, ἢ τοῖσιν ὑποχλωρομέλασιν, ἢ τοῖσιν ἐρυθροχλώροις, ἢ τοῖσιν ὑποχλώροισιν.

HIPPOCRATIS TEXTUS XXI.

Sanguinis de naribus profusio, aut iis, qui subvirides, nigrique sunt: aut iis, qui rubri, & virides: aut subviridibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ πρόσκειται τῷ λόγῳ, πότερον γίνεται μᾶλλον ἐν ταῖς νόσοις ἐκ ῥινῶν αἱμοῤῥαγία τοῖς εἰρημένοις, ἢ μᾶλλον τῶν ἄλλων ὠφελεῖ τούτους. ἀλλ' οὐδὲ τίνας λέγει τοὺς ὑποχλωρομέλανας εὔδηλόν ἐστιν. ὡς γὰρ εἶπον ἤδη πολλάκις εἰώθασιν οἱ Ἕλληνες ἐπὶ τῶν φυτῶν τὸ χλωρὸν λέγειν ἀπὸ τῆς χλόης, καὶ τοῦ ταύτης χρώματος, ὡς τὰ πολλά, καταχρώμενοι δὲ καὶ πᾶν τὸ εὐθενοῦν, καὶ τὴν οἰκείαν ἔχον εὐεξίαν οὕτως ὀνομάζουσιν. ἔστι δ' ὅτε καὶ τοὺς ὠχροὺς προσαγορεύουσι χλωρούς, καὶ νῦν οὕτω δοκεῖ τισὶ τῶν ἐξηγητῶν ὁ Ἱπποκράτης εἰρηκέναι χλωρομέλασιν, ὡς εἰ καὶ ὠχρομέλασιν εἶπεν. αὐτοὺς δὲ τούτους ἔνιοι μὲν ἐπιτηδειοτέρους εἶναι πρὸς αἱμοῤῥαγίαν φασί, διὰ τὴν ἐπιμιξίαν τῆς ὠχρᾶς χολῆς, ὡς ἀναστομοῦσαι δυναμένης ἀγγεῖον διὰ τὴν δριμύτητα. τινὲς δὲ ὠφελεῖσθαι μᾶλλον, διὰ τὸ μοχθηροὺς ἔχειν χυμοὺς κενώσεως δεομένους. ὡσαύτως δὲ κἀπὶ τῶν ἐρυθροχλώρων διέστησαν, οἱ μὲν ἑτοιμοτέρους εἰρῆσθαι πρὸς αἱμοῤῥαγίαν αὐτοὺς φάσκοντες, οἱ δὲ ὠφελεῖσθαι μᾶλλον. ἐπ' ἀμφοτέρων δέ,

GALENI COMMENTARIUS.

E NOn est huic sermoni additum, utrum magis in morbis fiat sanguinis è naribus profusio dictis hominibus, an magis, quàm alios, istos juvet. Sed neque quos intelligat subvirides, & nigros, clarum est. Nam, ut sæpius jam repetitum est, in stirpibus τὸ χλωρὸν, id est viride, ἀπὸ τῆς χλόης, id est ab herbâ, ejusque colore, Græci plerunque dicere consueverunt: abutentes autem omne vigens, & boni habitus, ita nominant. Interdum verò & pallidos virides appellant: atque nunc ita Explanatoribus F videtur Hippocrates virides, & nigros accepisse, tanquam si pallidos, & nigros dixisset. Hos ipsos vero nonnulli sanguinis profluvio magis obnoxios esse contendunt, quòd pallida bilis cum sanguine permixta sit, quæ vasculum possit acrimoniâ suâ recludere; alii istos magis juvari, quoniam pravis humoribus evacuationem requirentibus affluant. Pariter & de rubris viridibusque vocatis dissentiunt, aliqui ad sanguinis effusionem aptiores ipsos dictos esse asserentes, aliqui ea re juvari magis. Sed utrisque

commune quidem est bile pallida abundare: non commune autem, magis melancholicum succum ipsi admixtum esse in viridibus, & nigris vocatis, magis sanguineum verò in rubris, & viridibus. Nonnulli sane scribunt ἐρυθροχρόους per hanc literam ρ, rubrum habentes colorem significari volentes. At tertio dictos subvirides, & hoc loco intelligunt subpallidos: sed, quum vox indicet modicum ipsos habere pallorem, cuinam permixtum illum esse velint, silentio transeunt: nam, si nigritiæ, hos primos ab ipsis dictos esse aiunt: si robori, secundos. Forsan igitur, quum albori mixtus est pallor, istos subvirides vocat: verùm albi coloris homo haud ita multum sanguinis è naribus profluvio obnoxius est, neque magis, quàm prædicti, ab eo levatur.

A κοινὸν μὲν τὸ πλεονάζειν τὴν ὠχρὰν χολήν, οὐ κοινὸν δὲ, τὸ μελαγχολικώτερον μὲν αὐτῇ μεμίχθαι χυμὸν ἐν τοῖς χλωρομέλασιν, αἱματικώτερον δ' ἐν τοῖς ἐρυθροχλώροις. ἔνιοι δὲ ἐρυθροχρόους γράφουσι διὰ τοῦ ρ΄. τοὺς τὴν ἐρυθρὰν ἔχοντας χροιὰν δηλοῦσθαι βουλόμενοι. τρίτον δὲ εἰρημένων τῶν ὑποχλώρων, ἀκούουσι μὲν κἀνταῦθα τοὺς ὑπώχρους. ἐνδεικνυμένης δὲ τῆς φωνῆς τοὺς βραχείας ἔχοντας ὠχρότητας, τίνι ταύτην μεμίχθαι βούλονται, παραλείπουσιν. εἰ μὲν γὰρ μελανότητα, τούτους πρώτους αὐτῷ λελέχθαι B φασίν, εἰ δ' ἐρυθρότητα, δευτέρους. μή ποτ' οὖν ὅταν λευκότητι μιχθῇ, καλεῖ τούτους ὑποχλώρους. ὁ δὲ λευκόχροος οὔθ' ἕτοιμός ἐστιν εἰς αἱμορραγίαν, οὔτε τῶν προειρημένων ὠφελεῖται μᾶλλον.

HIPPOCRATIS TEXTUS XXII.

Parum remittentem, crassum facere oportet aridè.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ΄.

Βραχέα ὑφέντα, παχῦναι ξηρά.

GALENI COMMENTARIUS.

Hæc quidem vetus lectio est. Sabini autem discipuli non legunt βραχέα, id est, parum, sed βραχίονα, id est, brachium: dicuntque retractionis causâ in sanguinis de naribus eruptione venæ brachii sectionem prodesse; non solum propriam scripturam interpretantes, sed etiam verisimiliter nos intelligere posse volentes, brachium remittentem, de venæ in cubito solutione dictum esse. Ego verò hujusmodi venæ sectionem sanguinis de naribus immodicè profusioni prodesse satis novi: retrahit enim ipsam, & ne fiat, impedimento est. Attamen Hippocratis locutionem id exponere non video; sed hæc verba, parùm remittentem, in eum sensum, ut plurimi Interpretes acceperunt, dixisse videtur, ut scilicet sanguinis fluxui parum cedentes, sic deinde, & ad ipsum crassiorem efficiendum transeamus. At quia non simpliciter dixit, sanguinem crassum facere, non cum humiditate, sed cum siccitate, aliqui crassum facere arido, in ablativo casu scribentes, subintelligi oportere aiunt, medicamento: id enim & ex hís quæ subnectuntur, declarari. Sed qui volunt in præmissis verbis, iis, qui sanguinis è naribus profluvio continenter laborant, non in morbis, sed quum non decumbunt, consilium dari, iis de victus ratione sermo intelligendus videtur, jubente ipso, ex crassum reddentibus cum siccitate bonis succis corpus replere, Halicam, & amylum hujusmodi esse aiunt, & recentem caseum, & suillas carnes, & agnorum maximè lactentium, & hœdorum præterea. Alii de fluxu sanguinis in morbo vexatis sermonem factum esse volentes, consulere ipsum aiunt, ut sanguis sine cibis crassus fiat: id enim significat ea vox, *aridè*, quoniam malos succos vult concoquere: ad concoctionem autem bene facit inedia. Concoquentium etiam medicamentorum usus est idoneus, quando ipsa astringentia sunt: nam, & hæc sanguinem crassum faciunt, sicut & concoctio. Deinceps ab ipso hujusmodi medicamentorum exemplum positum est. Quidam autem non scribunt, *aride*, voce in e desinente, sed in o, *arido*, Hippo-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Αὕτη μὲν ἡ παλαιὰ γραφή· οἱ δὲ περὶ τὸν Σαβῖνον οὐ βραχέα γράφουσιν, ἀλλὰ βραχίονα, καί φασιν ἀντισπάσεως ἕνεκεν, ἐπὶ τῆς ἐκ ῥινῶν αἱμορραγίας ὀνίνασθαι τὴν ἀπὸ βραχίονος φλεβοτομίαν, οὐ μόνον ἰδίαν ἐξηγούμενοι γραφήν, ἀλλὰ καὶ πιθανῶς ἀξιοῦντες ἡμᾶς ἀκούειν τὸν βραχίονα ὑφέντα λελέχθαι περὶ τῆς ἀπ' ἀγκῶνος φλεβοτομίας. ἐγὼ δὲ τὴν μὲν τοιαύτην φλεβοτομίαν, ὠφελοῦσαν ἱκανῶς οἶδα τὴν ἐκ ῥινὸς αἱμορραγίαν ἀμέτρως γινομένην· ἀντισπᾷ γὰρ αὐτήν, καὶ κωλύει γίνεσθαι. D οὐ μὴν τήν γε τοῦ Ἱπποκράτους ῥῆσιν ὁρῶ τοῦτο δηλοῦσαν, ἀλλὰ τὸ, βραχέα ὑφέντα λέγειν ἔοικεν, ὡς οἱ πλεῖστοι τῶν ἐξηγητῶν ἤκουσαν ἐπὶ τοῦ, συγχωρήσαντας βραχέα τῇ ῥύσει τοῦ αἵματος, οὕτως καὶ ἐπὶ τὸ παχύνειν αὐτὸ μεταβαίνειν. ἐπεὶ δ' οὐχ ἁπλῶς εἶπε παχῦναι, οὐ μεθ' ὑγρότητος, ἀλλὰ μετὰ ξηρότητος τὸ αἷμα, τινὲς παχῦναι ξηρῷ κατὰ δοτικὴν πτῶσιν γράφοντες, ὑπακοῦσαί φασι χρῆναι τῷ φαρμάκῳ. τοῦτο γὰρ κἀκ τῶν ἐπιφερομένων δηλοῦσθαι. E τοῖς δ' ἡγουμένοις συμβουλὴν εἶναι περὶ τῶν συνεχῶς αἱμορραγούντων, οὐκ ἐν νόσοις, ἀλλὰ ἀνορθοῦσιν ἐπὶ τῆς διαίτης ὁ λόγος ἀναφαίνεσθαι δοκεῖ. κελεύοντος αὐτοῦ ἐκ τῶν παχυνόντων μετὰ ξηρότητος εὔχυμον τούτοις ἐργάζεσθαι, χόνδρον καὶ ἄμυλον εἶναι λέγουσι ταῦτα, καὶ γάλα, καὶ τυρὸν νέον, καὶ χοίρεια κρέα, καὶ μάλιστα τῶν γαλαθηνῶν ἀρνῶν, πρὸς τούτοις δὲ, καὶ ἐρίφων. οἱ δὲ περὶ τῶν ἐν νόσοις αἱμορραγούντων εἰ- F ρῆσθαι βουλόμενοι τὸν λόγον, συμβουλεύειν αὐτόν φασι παχύνειν τὸ αἷμα χωρὶς τροφῆς· τοῦτο γὰρ σημαίνει τὸ ξηρᾶς, ἐπειδὴ συμπέπτειν βούλεται τὴν κακοχυμίαν· εἰς τὴν πέψιν δὲ συντελεῖ, καὶ τὴν τῶν πεπτικῶν φαρμάκων χρῆσιν, ἔστιν ὅτε, τὰ στύφοντα. καὶ γὰρ καὶ ταῦτα παχύνουσι τὸ αἷμα, καθάπερ καὶ ἡ πέψις. εἴρηται δ' ἐφεξῆς αὐτῷ τῶν τοιούτων φαρμάκων παράδειγμα. τινὲς δ' οὐ ξηρᾶς εἰς τὸ ε. τελευτώσης τῆς λέξεως, ἀλλ' εἰς τὸ ω.

γράφουσι ξηρῷ, φάσκοντες αὐτὸν κελεύειν παχύνειν τὸ διὰ τῆς ῥινὸς ἐκκενούμενον ἐν τῇ αἱμοῤῥαγίᾳ αἷμα, ξηρῷ τῷ φαρμάκῳ.

A cratem jubere dicentes per nares exeuntem in profluvio sanguinem arido medicamento crassum reddere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

Τοῖσι δ' ἑτέροισιν, ἧσσον παχυσμόν.

HIPPOCRATIS TEXTUS XXIII.

Alii vero minus crassitudinem facere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἑτέρους φασὶ λέγειν αὐτὸν, τοὺς χωρὶς κακοχυμίας αἱμοῤῥαγοῦντας συνεχῶς, οἷς οὔτ' ὠχρᾶς, οὔτε μελαίνης χολῆς ἐπιμέμικται. τινὲς δὲ κἀνταῦθα γράφουσιν, οὐ παχυσμὸν, ἀλλὰ παχύναι, τὴν λέξιν σαφεστέραν ἐργάσασθαι βουλόμενοι. τὴν μέντοι διάνοιαν φυλάττουσιν τὴν αὐτὴν, εἴ γε καὶ αὐτοὶ κελεύειν αὐτόν φασι τοὺς ἑτέρους, οἱ διὰ πλῆθος αἵματος κακοχύμου αἱμοῤῥαγοῦσιν, ἧττον παχύνειν, ἀκουομένου δηλονότι τοῦ παχύνειν αὐτοῦ, πάλιν διττῶς. τισὶ μὲν κατὰ τὴν δίαιταν, τισὶ δὲ κατὰ τὰ προσφερόμενα τῇ ῥινὶ φάρμακα τὸν παχυσμὸν τοῦ αἵματος ἀξιούντων γίνεσθαι, τισὶ δὲ κατ' ἀμφότερα. βεβαίως δ' ὅτι γνῶσιν οὐδεμίαν τὴν τοιούτων ἔχει λέξεων, εἴρηταί μοι πολλάκις.

GALENI COMMENTARIUS.

B Alios aiunt ipsum dicere, eos scilicet qui sine pravis succis sanguinem assidue profundunt, quibus, neque pallida, neque atra bilis cum sanguine mixta est. Aliqui, & hîc scribunt, non crassitudinem, sed crassum facere, locutionem magis dilucidam reddere volentes. Sententiam quidem eandem plane servant, siquidem, & isti ipsum jubere volunt, aliis ob copiam mali sanguinis ejus profluvio laborantibus minùs crassum facere; hoc videlicet, crassum facere, iterùm bifariàm accepto, nonnullis quidem ratione victus: aliis vero per medicamenta naribus adhibita: quibusdam præterea utroque modo, sanguinem crassum reddere præcipientibus. Sed nullam firmam cognitionem ex his variis lectionibus haberi jam sæpius à me dictum est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

Ξηρῷ δὲ δεῖ λευκῷ, οἷον κηκὶς, στυπτηρίη.

HIPPOCRATIS TEXTUS XXIV.

Arido autem oportet albo, ut galla, alumen.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὕτη μὲν ἡ παλαιὰ γραφὴ, δυσεξήγητον δὲ οὖσαν αὐτὴν ἔνιοι μετέγραψαν, οἱ μὲν ἐπ' ὀλίγον, οἱ δ' ἐπὶ πλέον ὑπαλλάττοντες. ἐπὶ πλέον μὲν οὖν ὑπήλλαξαν οὕτως γράφοντες, ξηρῷ δὲ λευκῷ ἀπὸ ῥινῶν, οἷον κηκὶς, στυπτηρίη. διάνοιαν δ' αὐτῆς εἶναι βούλονται τοιάνδε, τοὺς αἱμοῤῥαγοῦντας ἀμέτρως ἀπὸ ῥινῶν, πρὸς τοῖς ἔμπροσθεν εἰρημένοις, ἔτι καὶ τοπικοῖς βοηθήμασι θεραπευτέον εἶναι. παράδειγμα δὲ τῶν τοπικῶν βοηθημάτων εἰρῆσθαί φασι ξηρὸν φάρμακον λευκὸν ἐντιθέμενον τῇ ῥινί. τῆς κηκῖδος δὲ οὐκ οὔσης λευκῆς, ἔνιοι προσέθεσαν αὐτῇ, καὶ τὴν στυπτηρίαν, γράφοντες οἷον κηκὶς, στυπτηρίη. τὸ δὲ τῇ, ἢ τῇ, περιεῖλον εἰκότως, ὡς μικρὸν ὂν καὶ οὐκ ἄξιον Ἱπποκράτους, εἴ γε δὴ σημαίνειν αὐτό φασιν, ὁπότερος ἂν μυκτὴρ αἱμοῤῥαγῇ, τούτῳ τὸ ξηρὸν φάρμακον ἐντιθέναι. φυλαττομένης δὲ τῆς παλαιᾶς γραφῆς, αἰνιγματώδης ἡ λέξις γίνεται. τίνα γὰρ ἀπὸ ῥινῶν ἀξιοῖ λευκὰ κενοῦν, ἢ καθαίρειν, ἢ συμπέττειν, ἢ αὐτόματα φερόμενα θεάσασθαι, παντάπασιν ἄπειρον εὑρεῖν, αὐτοῦ γε τοῦ Ἱπποκράτους μηδὲν προσθέντος τῷ λευκῷ. κατὰ τοῦτ' οὖν, εἰκότως ἐν αὐτῷ τούτῳ πρῶτον οἱ ἐξηγηταὶ διηνέχθησαν, ὑπακούειν ἀξιοῦντες ἄλλος ἄλλο, καὶ ὅτι πᾶσιν αὐτοῖς τὸ, οἷον ἡ κηκὶς ἐναντιοῦται. προσῆκον γὰρ ἦν εἰρῆσθαι, τὸ, οἷον κηκῖδι. τοῦτο μὲν οὖν κοινῇ πᾶσι μάχεται, καὶ φυγεῖν οὐχ οἷόν τε τὸ τῆς ἑρμηνείας ἀλλόκοτον, οὐδ' ἐπανορθῶσαι μεταγράφοντα. λέγουσι δ' ἔνιοι τὸν ὅλον λόγον αὐτῷ, καὶ νῦν ἔτι περὶ τῆς ἐκ ῥινῶν

GALENI COMMENTARIUS.

D Hæc est sane antiqua lectio, quam difficulter explanabilem nonnulli permutarunt, hi minùs, illi magis; magis quidem hoc pacto scribentes, arido autem albo ex naribus, ut galla, alumen. Ipsius verò sententiam hanc esse volunt, immoderatè sanguinem è naribus profundentes, ultra prædicta adhuc, & localibus remediis curandi sunt: localium vero auxiliorum exemplum dictum esse aiunt aridum medicamentum album naribus injectum. Sed galla quum alba non sit, nonnulli ipsi adjecerunt,
E & *alumen*, scribentes, *ut galla, alumen*: eas autem voces hîc, aut ibi expunxerunt non injuriâ, tanquam exile quoddam atque indignum Hippocrate; quippe significari hoc aiunt, per utram narem sanguis eruperit, in illam aridum medicamen esse injiciendum. At servata veteri lectione, magnopere obscura locutio redditur. Nam quæ ex naribus alba evacuare velit, aut purgare, aut concoquere, aut sponte descendentia contemplari, omnino inventu dubium, ancepsque est, quum ipse
F Hippocrates huic voci, *albo*, nihil planè adjecerit. Jure itaque in hoc ipso primum interpretes discordes fuerunt, alius aliud subintelligendum esse existimantes: & quoniam omnibus illis, istud, ut κηκὶς, id est, galla adversatur, conveniens enim erat dicere, ut κηκῖδι, id est galla in ablativo casu, non in recto casu. Hoc igitur communiter omnibus repugnat; neque evitare quis potest orationis incongruum, neque emendare, licet scripturam mutet; sed nonnulli dicunt etiamnum ipsi de sanguinis è naribus

fluxu

fluxu totum sermonem esse, consulereque hujusmodi astringenti medicamine uti, in narem sanguine manantem id immittentes, usque dum sedato sanguinis cursu, alba exiverint. Multa alia quoque perperàm dicunt in verba (ut mihi quidem videntur) corrupta, & ab aliquo forsan interposita. Cæterum mirari licet, ut aliis multis, ita & hoc loco eos, qui valde audacter Hippocratis verba in quicquid ipsis visum fuerit, transmutant; Cum omnes enim Interpretes in sermone Hippocatis scriptum esse sciant, *ex naribus alba*, ipsi mutantes scribunt, *ex naribus albo.* Multoties autem dixi, in perobscuris locutionibus verisimiliter verba mutare fas esse: sed prius idipsum dicentem tunc lectionem mutare decet.

HIPPOCRATIS TEXTUS XXV.

CUm venere uti incipiunt, aut hircire, sanguinis profluvio laborant.

GALENI COMMENTARIUS.

SAnguinem de naribus facile profundunt non solum ægroti, verumetiam sani, qui eam ætatem agunt, in qua illud ipsis evenit, quod hircire vocant. Isti jam & venere uti planè possunt. Ac prius quidem, cùm essent pueri, sanguine copioso abundabant, verùm ratione incrementi haud etiam pariter copioso. Sanguis autem ipsis calidior est, propterea ejus profluvio tentantur. At vos meminisse puto, ex aliis membris sanguinis profluvia cum loci appellatione semper dici: ex naribus verò, nonnunquam & sine particulæ appellatione, sanguinis profluvium simpliciter nomina.

HIPPOCRATIS TEXTUS XXVI.

IN accessibus autem quidam perstrepunt, ut Arcesilaus. Aliqui accessuri horrentes, rugosi. Aliis verò post inflatur venter, quàm accesserint, ut Damagoræ.

GALENI COMMENTARIUS.

SÆpius repetivi, si valde male à multis Interpretibus dicta redarguam, ægre omnes ferre Commentariorum longitudinem: si verò non reprehensa dimittam, mediocria tantum memorans, eos qui haud tardo ingenio sunt, ab illis excitatos, & reliqua dijudicare posse: Et nunc igitur faciam.

Hanc quidem vocem, *accessibus*, omnes ferè de coitu cùm muliere intelligunt, quemadmodum & eam vocem, *perstrepunt*, de emittendis per anum flatibus: atque de hoc etiam paulò ante dictum est. Sed quod deinceps scriptum est, accessuri autem horrentes, rugosi, quiddam tale significat: Aliqui venerea aggredientes, cum incalescunt, horrore tentantur: qua ratione jam sæpius didicistis, omnes mali succi plenos, cum vehementius repente calefiunt, horrore vexari. At nonnulli pro hac voce, *horrentes*, *rigent*, scribunt: quod mihi perrarum esse videtur, & maximæ succorum

A αἱμοῤῥαγίας ἐστί. χρῆσθαι δὲ συμβουλεύειν ἐπὶ τῷ τοιούτῳ στύφοντι φαρμάκῳ, κατὰ τὸν αἱμοῤῥαγοῦντα μυκτῆρα τὴν ἔνθεσιν ποιούμενον, ἄχρις ἂν ἔλθῃ λευκὰ, παυσαμένης τῆς αἱμοῤῥαγίας. πολλὰ δὲ καὶ ἄλλα μοχθηρὰς λέγουσιν εἰς τὴν ῥῆσιν ἡμαρτημένην, ὥς ἐμοὶ φαίνεται, σχεδὸν δὲ καὶ παρεγκειμένην ὑπό τινος. θαυμάσαι δ' ἐστὶν ὥσπερ ἐν ἄλλοις πολλοῖς, οὕτω κἀνταῦθα τοὺς (περὶ) ἑτοίμως μεταγράφοντας ἐς ὅ τι ἂν αὐτοῖς δόξῃ τὰς Ἱπποκράτους λέξεις. ἁπάντων γὰρ τῶν ἐξηγητῶν ἐπισταμένων ἐν τῇ ῥήσει γεγραμμένον, ἀπὸ ῥινῶν λευκὰ, μεταγράψαντες αὐτοὶ γράφουσιν, ἀπὸ ῥινῶν τῷ λευκῷ.
B πολλάκις δ' εἶπον ὡς ἐν ταῖς αἰνιγματώδεσι λέξεσι. τὸ μὲν πιθανῶς μεταγράφειν ἔξεστιν, εἰπόντα δὲ πρότερον αὐτὸ τοῦτο, τηνικαῦτα προσήκει μεταλλάττειν τὴν γραφήν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κέ.

Ὅταν ἀφροδισιάζειν ἄρχωνται, ἢ τραγίζειν, αἱμοῤῥαγέουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Αἱμοῤῥαγέουσιν ἐκ ῥινῶν ἑτοίμως οὐ μόνον νοσοῦντες, ἀλλὰ καὶ οἱ ὑγιαίνοντες, οἱ τὴν ἡλικίαν ἄγοντες ταύτην, ἐν ᾗ συμβαίνει τὸ καλούμενον τραγίζειν. ἔτι γε καὶ ἀφροδισιάζειν ἤδη δύνανται· καὶ πρότερον μὲν οὖν εἶχον αἷμα πολὺ, παῖδες ὄντες, ἀλλ' εἰς τὴν αὔξησιν οὐκέθ' ὁμοίως πολύ. τὸ δ' αἷμα θερμότερον αὐτοῖς γέγονε, διὰ τοῦτ' οὖν αἱμοῤῥαγοῦσιν· μεμνῆσθαι δ' ὑμᾶς οἶμαι τὰς μὲν ἐξ ἄλλων μορίων γινομένας αἱμοῤῥαγίας μετὰ τῆς τοῦ τόπου προσηγορίας λεγομένας ἀεὶ, τὰς δ' ἐκ τῆς ῥινὸς, ἔσθ'
D ὅτε καὶ χωρὶς τοῦ μέρους.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

ΕΝ τῇσι δὲ προσόδοισίν εἰσιν οἳ ἀποψοφέουσιν, ὡς Ἀρκεσίλαος. οἱ δὲ μέλλοντες φρικώδεες, ῥικνώδεες. οἱ δ' ἐπὴν προσέλθωσι, φυσῶντες κοιλίην, οἷον Δαμαγόρας.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Εἴρηκα πολλάκις, ὡς εἰ μὲν τὰ πάνυ κακῶς εἰρημένα πολλοῖς τῶν ἐξηγητῶν ἐλέγχοιμι, δυσχεραίνουσιν ἅπαντες τῷ μήκει τῶν ὑπομνημάτων. εἰ δ' ἀνέλεγκτα παραλείποιμι τῶν μετριωτέρων μνημονεύων, οἱ νοῦν ἔχοντες ἐξ ἑαυτῶν ὁρμώμενοι, καὶ τὰ παραλελειμμένα κρῖναι δυνήσονται, καὶ νῦν οὖν οὕτω πράξω. τὸ μέντοι προσόδοισιν ἅπαντες σχεδὸν ἤκουσαν ἐπὶ τὸ πρὸς γυναῖκα μίξεως, ὥσπερ γε καὶ τὸ ἀπο-
F ψοφέουσιν, ἐπὶ τοῦ φύσας προΐεσθαι, καὶ περὶ μὲν τούτου, καὶ μικρὸν ἔμπροσθεν εἴρηται. τὸ δ' ἐφεξῆς γεγραμμένον, οἱ δὲ μέλλοντες, φρικώδεες, ῥικνώδεες, τοιόνδε τι δηλοῖ. τινὲς τῶν ἐπιχειρούντων ἀφροδισίοις, ἐν τῷ διαθερμαίνεσθαι, φρικώδεις γίνονται, καθ' ὃν λόγον ἤδη πολλάκις ἐμάθετε τοὺς κακοχύμους ἅπαντας, ὅταν ἀθροώτερον θερμαίνωνται, τοῦτο πάσχοντας. ἔνιοι δ' ἀντὶ τοῦ φρικώδεες, ῥιγῶσι γράφουσιν, ὃ δοκεῖ μοι πάνυ σπάνιον εἶναι, καὶ μεγίστης

κακοχυμίας σημεῖον, ὥστ' οὐδ' ἔγνων τινὰ ῥιγοῦντα κατὰ τὴν ἀρχὴν τῆς μίξεως. ἀλλὰ καὶ τὸ ῥικνώδεες, ἔνιοι κακώδεες γράφουσιν. ἐξηγοῦνται δέ τινες ἐπὶ τοῦ κακοῦ ἔχοντος τὸ σῶμα, λελέχθαι τοὺς κακώδεις, ἔνιοι δ' ἐπὶ τοῦ κακὸν ὄζειν. περὶ δὲ τοῦ κατὰ τὴν κοιλίαν τινὰς ἐμφυσᾶσθαι, πρόσθεν εἴρηται. Διοσκορίδης δὲ καὶ ταύτην τὴν ῥῆσιν, ὡς μυρίας ἄλλας μετέγραψεν εἰς ἣν αὐτὸς ἐβούλετο λέξιν, ὡς εἶναι τὴν ὅλην ῥῆσιν τοιάνδε. ἐν τοῖσι προσόδοισιν ἔστιν οἷον ἀποψοφέοντες, οἷον Ἀρκεσίλαος, ἵνα δυσώδεις εἶναι τὰς φύσας αὐτοῦ νοήσωμεν. ὅγε μὴν Καπίτων καὶ αὐτὸς εἰς πολλὰ πάνυ μεταγράφων, τήνδε τὴν λέξιν τοιαύτην ἐποίησεν. ἐν τῇσι προσόδοισιν οἱ ἀποψοφέουσιν οἷον Ἀρκεσίλαος, οἱ δὲ μέλλοντες, ῥιγοῦσι ῥικνώδεις.

A pravitatis indicium: quare neque ullum initio coitus rigore affici cognovimus. Verum & hanc vocem, *rugosi*, aliqui in hanc vocem, κακώδεις, convertunt. Alii verò interpretantur ob male habitum corpus, κακώδεις, dici: aliis quòd tetrum odorem spirent. Quòd quibusdam autem venter infletur, supra positum est. Sed Dioscorides hanc partem, ut & alias multas, prout ipsi libitum fuit, commutavit, ut tota oratio hujusmodi sit: In accessibus sunt aliqui perstrepentes, quemadmodum Arcesilaus: ut fœtidos ipsius crepitus esse intelligamus. Capito quidem B & ipse in valde multa sermonem hunc convertens, talem fecit: In accessibus aliqui perstrepunt, ut Arcesilaus, aliqui accessuri rigent rugosi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ.

Αἱ μεταβολαὶ φυλακτέαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Ἀσφαλέστερον ἐν ἄλλοις τέ τισι καὶ τοῖς ἀφορισμοῖς εἴρηκε τοῦτο, προσκειμένου τοῦ κατὰ πολὺ, καὶ ἐξαπίνης. οὔτε γὰρ αἱ κατὰ τὸ περιέχον ἡμᾶς, οὔθ' αἱ πρὸς ἡμῶν αὐτῶν γινόμεναι κατὰ βραχὺ μεταβολαὶ τὸ σφαλερὸν ἔχουσι. μόναι δ' αἱ ἀθρόαι, σφαλεραὶ πρὸς ὑγείαν εἰσὶ, καὶ διὰ τοῦτο τοιαύτας χρὴ φυλάττεσθαι. φυλαξόμεθα δὲ τὰς μὲν κατὰ τὸ περιέχον, ἔνδον τε διατρίβοντες τὰ πλεῖστα, καὶ τῇ τῶν ἐναντίων προσαγωγῇ. ξηραίνοντες μὲν τὸ σῶμα κατὰ τὰς ὑγρὰς μεταβολὰς, ὑγραίνοντες δὲ κατὰ τὰς εἰς ξηρότητα. D κατὰ δὲ τὸν αὐτὸν λόγον θερμαίνοντές τε, καὶ ψύχοντες ὁπότε τούτων ἑκατέρου καιρός. ἐν δὲ τῇ διαίτῃ τὰς μεταβολὰς, ἐφ' ἡμῖν αὐτοῖς ἐστι φυλάττεσθαι, μήτ' ἐκ γυμνασίων ἀθρόως εἰς ἀργίαν, μήτ' ἐξ ἀργίας εἰς γυμνάσια μεθισταμένοις. ἀλλὰ μηδ' ἐξ ἀλουσίας ἐπὶ λουτρὸν, μηδ' ἐκ λουτρῶν, εἰς ἀλουσίαν, μηδ' ἐξ ὑδροποσίας, εἰς οἴνου πόσιν, ἢ ἐξ οἴνου πόσεως, εἰς ὑδροποσίαν. ἐπί τε τῶν ἄλλων ἁπάντων ὡσαύτως. οὗτος μὲν οὖν ὁ λόγος ἀληθής ἐστιν ἅμα, καὶ πολλάκις ὑφ' Ἱπποκράτους εἰρημένος, οὐκ οἶδα δέ τι παθόντες ἔνιοί φασι χρῆναι προσυπακοῦσαι τῷ, αἱ μεταβο- E λαὶ φυλακτέαι τὸ, τῶν ἡλικιῶν. ἐν ἀφορισμοῖς γὰρ αὐτὸς εἰπὼν, τὸ κατὰ πολὺ, καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁπωσοῦν τὸ σῶμα κινέειν, σφαλερόν. καὶ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον, οὐκ ἐμνημόνευσεν ἡλικιῶν. οὔτε γὰρ τὸ πολὺ, τῇ φύσει, κατ' αὐτάς ἐστι, κατὰ βραχὺ μεθισταμένας, οὔτε φυλακῆς τινὸς δέονται περιττοτέρας, περὶ τὰ κοινὰ τῶν ὑγιεινῶν παραγγελμάτων, καθάπερ οὐδ' ὅταν αἱ ὧραι κατὰ βραχὺ τὴν μεταβολὴν ποιοῦνται, ταύτας μὲν οὖν ὁρῶμεν, ἐνίοτε μεγάλας ἀθρόως τὰς F ὑπαλλαγὰς εἰς τἀναντία ποιουμένας. ἡλικίαν δ' οὐδεμίαν ἀθρόως πεσοῦσαν ἴσμεν, ὥστε τὸν παῖδα, κατὰ τὴν ὑστεραίαν ἄνδρα γενέσθαι μὴ κατὰ βραχὺ, διά τε τῆς τῶν ἐφήβων καὶ τῆς μειρακίων ἡλικίας ὁδοιπορήσαντα.

HIPPOCRATIS TEXTUS XXVII.

Mutationes *cavendæ*.

GALENI COMMENTARIUS.

Et in aliis quibusdam, & in aphorismis id cautius dixit, his verbis propositis, multum, & repente. Neque enim quæ aëris mutationes, neque quæ à nobis ipsis paulatim fiunt, periculosæ sunt, sed tamen magnæ, ac repentinæ, sanitatis amittendæ periculum inferunt: quocirca & ab his cavendum est. Evitabimus autem ambientis cœli mutationes, domi nos plurimùm continentes, & contrariorum usum adhibentes, in humidis quidem mutationibus corpus siccantes, in siccis humectantes: eadem quoque ratione mutationes cavere in nobis ipsis est, neque ab exercitationibus subito ad otium, neque ab otio ad exercitationes, transeuntibus: sed neque à lavandi insuetudine ad lavationes, neque à lavationibus, ad oppositum, neque ex aquæ potu ad vinum bibendum, neque ex vini usu ad aquæ potum: & in aliis omnibus similiter. Hic sermo planè verus est juxta, & ab Hippocrate sæpius r epetitus. Cæterum ignoro, quidnam aliqui sentientes dicant, subintelligendum esse huic orationi, mutationes cavendæ, hanc vocem, ætatum: in aphorismis enim ipse inquiens, Multum, & repente evacuare, aut replere, aut calefacere, aut refrigerare, aut aliter utcunque corpus movere, periculosum est: & omne multum naturæ inimicum; ætatum nullam mentionem fecit. Neque enim in ipsis paulatim labentibus nimium naturæ inveniri potest: neque aliqua curiosiore observatione indigent, quantum ad communia tuendæ sanitatis præcepta pertineat: quemadmodum, neque cùm anni tempora paulatim mutationem suam faciunt. Verùm hæc interdum videmus magnas repente in contrarium mutationes pati: at ætatem nullam repente elapsam novimus, ut puer die postero in virum evaserit, non paulatim per pubertatis, & juventæ annos transitu facto.

A

HIPPOCRATIS TEXTUS XXVIII.

Cibi paucitas lassitudinem non faciens, nec sitim accendens.

GALENI COMMENTARIUS.

Cum in universum mutationes esse cavendas dixerit, unum quiddam, ad naturalem statum tuendum conferens deinceps scripsit, ut memoriæ propriæ consuleret. In utraque enim mutatione cum circumdantis aëris, tum nostrorum studiorum, & universæ victus rationis, cibi paucitatem, & sitis, & lassitudinis privationem, in omnibus, quæ agimus, nobis esse propositam jubet. Sed Explanatores cibi paucitate, & sitim, & lassitudinem tolli dixerunt. Verum id si universim proferatur, falsum est; nam pituitosos succos, aut multum, & bonum sanguinem habentibus, cibi paucitas lassitudinem tollit, & sitim extinguit: sed biliosis, aut inopia sanguinis laborantibus, neque lassitudinem sedat, neque sitim extinguit, ut ipse in Libro de victus acutorum ratione edocuit. Adhuc verò pejus illi senserunt, qui ita scribunt, inedia lassitudinem tollens, sitim extinguens: at isti planè in extrema inscitia versantur, ea quæ neque versantur, ea quæ neque vulgus hominum latere solent, ignorantes. Alii præterea fini sermonis hanc vocem, esurienti, adjiciunt: aiuntque cibi paucitatem esurienti lassitudinem, & sitim eximere: esurientem verò eum dictum esse volunt, qui indigere cibo se sentiat. Atqui melius esset dicere famem sentienti paucitatem cibi haud in tempore adhiberi, non sentienti autem conducere: signum est enim ipsius corpus multitudine redundare.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη΄.

Ὀλιγοσιτίη, ἄκοπον, ἄδιψον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰρηκὼς καθόλου φυλάττεσθαι χρῆναι τὰς μεταβολὰς, ἕν τι τῶν εἰς φυσικὴν διαφερόντων,
B ἔγραψεν ἐφεξῆς εἰς ἀνάμνησιν ἑαυτοῦ. κατὰ γὰρ τὰς ἀμφοτέρας μεταβολὰς, τάς τε τοῦ περιέχοντος, καὶ τὰς τῶν ἡμετέρων ἐπιτηδευμάτων τε καὶ τῆς ὅλης διαίτης, ὀλιγοσιτίην τε, καὶ τὸ ἄδιψον, καὶ τὸ ἄκοπον ἐν ἅπασιν οἷς πράττομεν ἔχειν σκοπόν. οἱ δ' ἐξηγηταὶ τὴν ὀλιγοσιτίαν ἔφασαν, ἄδιψόν τε, καὶ ἄκοπον εἶναι. ψεῦδος δέ ἐστιν ἐὰν ὡς καθόλου λέγηται, τοῖς μὲν γὰρ φλεγματώδεις ἔχουσι χυμοὺς, ἢ χρηστὸν αἷμα πολὺ, ἄκοπόν ἐστι, καὶ ἄδιψον ἡ ὀλιγοσιτία. τοῖς δὲ χολώδεσιν ἢ ἐνδεέσιν, οὔτε ἄκοπον,
C οὔτε ἄδιψον, ὡς αὐτὸς ἐν τοῖς περὶ διαίτης ὀξέων ἐδίδαξεν. ἔτι δὲ χεῖρον ὑπειλήφασιν οἱ γράψαντες, ἀσιτία ἄκοπον, ἄδιψον. ἀλλ' οὗτοι μὲν ἐσχάτως ἀμαθεῖς, ἀγνοοῦντες ἃ μήτε τῶν ἰδιωτῶν τις ἀγνοεῖ. τινὲς δὲ κατὰ τὸ τέλος τῆς ῥήσεως προστιθέασι, τῷ πεινῶντι, καί φασι τὴν ὀλιγοσιτίαν ἄκοπον, καὶ ἄδιψον εἶναι τῷ πεινῶντι. πεινῶντα δ' εἰρῆσθαί φασι τὸν τῆς ἐνδείας αἰσθανόμενον, καίτοι βέλτιον εἴη λέγειν τῷ μὲν ἐνδείας αἰσθανομένῳ, τὴν ὀλιγοσιτίαν οὐκ ἐν καιρῷ
D παραλαμβάνεσθαι. τῷ δ' οὐκ αἰσθανομένῳ χρήσιμον εἶναι, δῆλον γάρ ἐστιν ὅτι πληθωρικῶς διάκειται.

HIPPOCRATIS TEXTUS XXIX.

Omnis extenuatio laxat cutim, deinde distenditur. Refectio contraria facit, cutis corrugatio concidentis, extensio refectæ. Horens, læve, utriusque signum, subbiliosum, subrubrum. Sic detrahi mammas, graciles autem sursum trahi, aut circunvelli. Et si quispiam non arbitretur propter hoc, sed carne creata id fieri.

GALENI COMMENTARIUS.

Demiror Explanatores, obscuras locutiones, quas nemo intelligat, solos se intelligere profitentes: quæcunque verò nobis omnibus perspicuæ sunt, solos ipsos non intelligere. Propositum igitur sermonem minime ambiguum, multifariàm distrahunt, alius aliter ipsius enunciationes scribens, atque commutans; & contra ea, quæ in omnibus evidenter apparent, interpretantur, quæ maxime omnium ipsos observare oportebat: est enim Hippocrati sermo de iis, quæ in corpore nostro conspiciuntur per tenuationes, & enutritiones. Sed nonnulli, neque quid sit tenuatio, nosse videntur, tantum abest ut omnia in istis evidenter apparentia, aut ipsorum causas percipiant: sed

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ΄.

Πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα, ἔπειτα περιτείνεται, ἀνάθρεψις τἀναντία, χρωτὸς ῥίκνωσις ξυμπίπτοντος, ἔκτασις ἀνατρεφομένου. τὸ φρικῶδες, τὸ λεῖον,
E ἑκατέρου σημεῖον, τὸ ὑπόχολον, τὸ ὑπέρυθρον. ὕπο τὸ κατεσπάσθαι μαζούς. ἰσχνοὺς δὲ ἀνεσπάσθαι, καὶ περιτετάσθαι. καίτοι οὐκ ἄν τις οἴοιτο διὰ τοῦτο, ἀλλὰ σαρκωθέντος τοῦτο γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θαυμάζω τῶν ἐξηγητῶν, τὰς μὲν αἰνιγματώδεις ῥήσεις, ἃς οὐδεὶς ἀνθρώπων νοεῖ, μόνων ἐπαγγελλομένων νοεῖν. ὅσαι δὲ ἡμῖν ἅπασι σαφεῖς εἰσὶν, ἐκείνων μόνων μὴ νοούντων. τὴν γοῦν προκειμένην οὐκ οὖσαν αἰνιγματώδη,
F διασπῶσι πολυειδῶς, ἄλλος ἄλλοθεν περιγράφων τὰς κατὰ ταύτην ἀποφάσεις, ἐξηγοῦνταί τε παρὰ τὰ φαινόμενα ἅπασιν ἐναργῶς, ἃ μάλιστα πάντων ἐχρῆν φυλάττειν αὐτούς. ἔστι μὲν γὰρ ὁ λόγος τῷ Ἱπποκράτει περὶ τῶν ἐν τοῖς σώμασιν ἡμῶν ὁρωμένων, κατά τε τοὺς λεπτυσμοὺς καὶ τὰς ἀνατρέψεις. οἱ δὲ οὐδὲ τί ποτ' ἐστὶν ὁ λεπτυσμὸς ἐοίκασιν ἐπίστασθαι, τοσούτου δέουσιν, ἢ τὰ φαινόμενα πάντα κατ' αὐτοὺς, ἢ τὰς αἰτίας αὐτῶν ἐγνωκέναι. γίνεσθαι

γοῦν τὸν λεπτυσμὸν ἀποφαίνονται διὰ κένωσιν. ἔνιοι δὲ, ὡς οὐ διαφέρει, εἴ τε κένωσιν, ἢ λεπτυσμὸν εἰπεῖν, ὑπο-
η λαμβάνουσιν. ἀλλὰ τοῦτο μὲν, ὡς ἔφην, οὐ μεγάλης τινὸς ἐπιστήμης ἐστὶ γνῶναι. πολλοὶ γοῦν αἵματος μὲν οὐκ ὀλίγον ἔχουσι πλῆθος, ἐσχάτως δὲ εἰσὶ λεπτοὶ, καθάπερ ἄλλοι, παχεῖς μὲν, ὀλίγαιμοι δέ. καὶ τήν γε ἐπεσχημένην ὀκτὼ μησὶν ἤδη τὰ καταμήνια, λεπτοτάτην οὖσαν, ἀφελὼν αἵματος οὐκ ὀλίγον, εἰς τὴν οἰκείαν ἕξιν ἐπανήγαγον ἐν ἐλαχίστῳ χρόνῳ, καθάπερ καὶ ἄλλας οὐκ ὀλίγας. ἀλλὰ τὸ κατ' ἐκείνην, οὐ γὰρ ἦν ἀφανὴς, ἔνδοξον ἐγένετο. γεγονυίας μὲν αὐτῇ τῆς φλεβοτομίας, εὐλαβουμένων δὲ καὶ τῶν ἰατρῶν ἐπαγγείλασθαι βεβαίως τὴν ἐπὶ τῷ βοηθήματι γενησομένην ὠφέλειαν. ἔνιοι δὲ καὶ ἡμῖν ἀντιλέγειν ἐτόλμησαν, οὐ μόνον διὰ τὴν ἰσχνότητα τῆς γυναικὸς, ἀλλὰ καὶ διὰ τὴν ἀνορεξίαν, ὑπὸ τῆς φλεβοτομίας αὐτὴν βλαβήσεσθαι λέγοντες. καὶ τά γε τοιαῦτα κάλλιόν ἐστι μακρολογεῖν, τοῦ ζητεῖν, ἀκριβῶς εὑρεῖν ὁποτέρου τῶν Προδίκων Ἱπποκράτης μνημονεύει. ἀλλ' ὡς εἶπον ἤδη πολλάκις, οἱ νεώτεροι τῶν ἰατρῶν ἐπὶ τὸ σοφιστικώτερον εἶδος ἀπεχώρησαν. ἀμελήσαντες μὲν τοῦ παραφυλάττειν μὲν ἀκριβῶς τὰ γινόμενα περὶ τοὺς ἀρρώστους, ζητεῖν δὲ αὐτῶν τὰς διαθέσεις, καὶ τὰς αἰτίας ἐξ ὧν ἡ τῆς θεραπείας εὕρεσις γίνεται, κρινομένης καὶ αὐτῆς, τῇ πείρᾳ τῆς γυναικὸς, ἧς ἐμνημόνευσα. τῇ μὲν πρώτῃ τῶν ἡμερῶν ἀφεῖλον τοῦ αἵματος, ὡς μίαν καὶ ἡμίσειαν λίτραν, αὖθις δὲ τῇ δευτέρᾳ μίαν, τῇ τρίτῃ δὲ οὐ πολλῷ πλέον ἡμίσεως μιᾶς λίτρας, οὐγκίαι γὰρ ἦσαν ὀκτώ. σοφιστὴς μὲν οὖν ταῦτα ἀναγνοὺς, ζητεῖν ἄρξεταί τις τῶν Ἑλλήνων ὠνόμασε λίτρας, ἤ τις οὐγκίας. ἰατρὸς δὲ ἐπιθυμήσει γνῶναι τίνα σημεῖα, καὶ ἄλλα τὴν φλεβοτομίαν ἐνεδείκνυτο, παρὰ τὴν ἐπίσχεσιν τῶν καταμηνίων, ἐκεῖνα τοίνυν ἐρῶ κἀγὼ, τοῖς σοφισταῖς οἰμώζειν εἰπὼν, ὡς αἱ φλέβες ἐξεῖχον αὐτῆς αἵματος μεσταὶ φαινόμεναι, πελιδναὶ τῇ χρόᾳ. διαιρεθέντος δὲ τοῦ ἀγγείου, παραπλήσιον ἦν ὑγρᾷ πίττῃ, καὶ τὸ πάχος. δι' αὐτό γε τοῦτο πολὺ μᾶλλον ἔδοξε κενωτέον εἶναι δαψιλῶς. ταῦτα μὲν ἐν παρέργῳ παρ' ἡμῶν εἴρηται τοῖς ἰατρεύειν ὀρθῶς βουλομένοις. ἐπὶ δὲ τὸ προκείμενον αὖθις ἀφικόμενος, οὐκ ὀρθῶς, φήσω τοὺς ἐξηγητὰς ἁπλῶς ἀποφήνασθαι, τὸν λεπτυσμὸν τοῦ σώματος ἐπὶ κενώσει γίνεσθαι. διορισμοὺς γὰρ ἐχρῆν εἰπεῖν, ὡς ὁ μὲν λεπτυσμὸς ὅλου τοῦ ὄγκου καθαίρεσίς τίς ἐστι, καὶ σύμπτωσις, ἢ στενύζησις, ἢ ὅπως ἂν θέλωσιν αὐτὴν καλεῖν. ὁ δὲ παχυσμὸς ἔμπαλιν, εἰς ὄγκον ἐπίδοσις, ἐνίοτε μὲν οὖν ἀρρωστούσης τε τῆς ἐν τῷ σαρκώδει γένει δυνάμεως, αἵματός τε μοχθηροῦ περιεχομένου κατά τε τὰς ἀρτηρίας, καὶ τὰς φλέβας, ὁ λεπτυσμὸς γίνεται. πολλάκις δὲ ἐπὶ τοῖς ἐναντίοις ὁ παχυσμὸς, ὡς ἐν μὲν τοῖς ἀγγείοις ὀλίγον εἶναι τὸ αἷμα δαπανώμενον εἰς τὴν θρέψιν τῶν σαρκῶν, εὐεκτεῖν δὲ ἐκείνας, καὶ δι' αὐτὰς τὸν ὅλον ὄγκον τοῦ σώματος. ἴσασι δὲ καὶ τοῦτο καὶ οἱ ἀνδραποδοκάπηλοι πάντες, ὡς περιτείνεται τὸ δέρμα τοῖς σαρκώδεσι μέρεσι, καὶ φύσεις τέ τινας σωμάτων γνωρίζουσι, μὴ δυναμένας εἰς ὄγκον ἐπιδοῦναι τῇ περιτάσει τοῦ δέρματος. ἀνατείναντες γὰρ αὐτὸ τοῖς δακτύλοις ἄκροις, σκοποῦσιν ἐπὶ πόσον ἀφίσταται τῆς ὑποκειμένης σαρκὸς, ἀναθρέψειν τε τοσοῦτον ἐλπίζουσιν ἕκαστον τῶν ἰσχνῶν σωμάτων, ὅσον ἂν ἐπιδῷ τὸ δέρμα. τὸ μὲν χαλαρὸν, ἐπὶ

A tamen fieri tenuationem per evacuationem prædicant. Aliqui sive evacuationem, sive tenuationem dixeris, nihil interesse opinantur. Verum hoc dignoscere, ut diximus, non est magnæ cujusdam scientiæ. Jam multi haud modica sanguinis copia redundant, gracilissimi tamen sunt; sicut alii è contrario crassi, sed paucum habent sanguinem. Atqui ego cuidam mulierculæ jam octo menses purgationis menstruæ suppressione laboranti, extenuatissima cum esset, haud exiguo detracto sanguine, brevissimo tempore proprium habitum restitui: sicut & alias non paucas eodem modo ad sanitatem reduxi; sed quod illi mulieri accidit (neque enim erat ignobilis) fuit valde celebre, ipsi quidem rescissa vena, & medicis ex eo remedio futuram utilitatem constanter polliceri verentibus. Quin etiam nonnulli mihi adversari audebant, non solum propter mulieris maciem, sed etiam propter inappetentiam, ex venæ sectione secuturam esse noxam affirmantes. Profectò hæc melius est longiori sermone persequi, quam utrius Prodici Hippocrates mentionem fecerit, diligenter invenire conari. Verum, ut supra jam dixi sæpius, recentiores medici ad magis sophisticam doctrinæ speciem deflexerunt; ægrotis evenientia diligenter observare, & ipsorum affectus, causasque ex quibus curationis inventio acquiritur, indagare negligentes: quæ & ipsa per experientiam dijudicatur. In muliere sanè quam memoravi, primo die sanguinis sesquilibram detraxi, rursum postridie libram, tertio verò non multo plus semilibra, erant enim unciæ octo. Sophista quidem hæc legens quærere incipiet quis ex Græcis unquam libras, aut quis uncias nominavit. Medicus verò, & quæ alia signa præter cohibitos menses, venæ sectionem indicent, scire avebit. Illa igitur, & ego recensebo, sophistis, ut valeant nuncians: Scilicet ipsius venæ eminebant sanguinis plenæ, colore lividæ, rescisso autem vasculo, liquidæ pici, & colore, & crassitudine similis sanguis emanabat; ob id ipsum sanè multo magis visus fuit largiter esse evacuandus. Hæc quidem à nobis obiter recte mederi cupientibus dicta sunto. Rursum verò ad propositum me recipiens, non recte dicam Interpretes affirmasse, attenuationem corporis simpliciter ob inanitionem fieri; distinctiones enim dixisse oportuit, quòd scilicet attenuatio totius molis detractio quædam est, & collapsus, aut subsidentia, vel utcunque ipsam nominare velint; crassitudo verò è contrario in tumorem elatio est. Nonnunquam igitur debilitata carnosi generis facultate, & vitioso sanguine in arteriis venisque incluso, attenuatio fit: plerunque verò ex contrariis crassitudo, ut in vasis quidem paucus sanguis remanserit in carnium nutricationem distributus, illæ verò bene habitæ sint, & per eas totius moles corporis increverit. Noverunt autem vel omnes id quoque mangones, cutim scilicet carnosis particulis prætendi, & naturas quasdam corporum agnoscunt, quæ in molem excrescere prætensâ cute non valeant. Nam ipsam summis digitis sursum trahentes, quousque à subjecta carne discedat, considerant, & eo usque singula emaciata corpora se reficere posse sperant, quousque cutis protracta fuerit: laxa enim cutis in

(Margin section letters in the Latin column: B at "cut & alias non paucas", C at "rum, ut supra jam dixi", D at "unquam libras", E at "terpretes affirmasse", F at "habitæ sint".)

extenuatis, extensa in crassioribus effectis apparet. Porrò extenuationes multis de causis proveniunt, siquidem alimenti penuria, exercitationes plures, & vigilia, & cogitationes, & dolores, & morbi colliquantes, & discussorii: præterea evacuatio multa per alvum, vomitum, per sudores, per sanguinis profluvium, extenuationum causæ sunt. Instaurationis autem unus modus est, omnium videlicet, quibus sani egemus, conveniens modus: ista verò sunt, ut ipse sequentibus dicturus est, labores, cibus, potus, somnus, venus. Itaque cùm multi modi extenuandi corporis sint, omnium commune est primum quidem cutim laxari, postea verò perdurante macie distendi. At si illi succedens instauratio facta fuerit, contrarium accidet: distendetur enim cutis primùm, deinde laxior fiet. Causas verò istorum jam quidem sæpius audivistis, verumtamen & in præsentia summatim perstringentur. Quapropter vobis in memoriam revocanda, quæ sæpius in utribus, & vesicis conspexistis: repleto enim interiore cavo, circuntenditur corium, evacuato, relaxatur: eodem modo & in animalibus bene saginatis distenta cutis, in macie confectis laxa conspicitur. Nam sicut liquor in utres infusus eorum tergora contendit, ita carnes multæ procreatæ cutim nostram circum seipsas obtendunt; atque id evidenter intueri licet, pingues scilicet omnes adeo tensam cutim habentes, ut quis apprehendens nec minimum quidem à subjectis carnibus avellere possit, macros autem adeo laxam, ut longissime, quis ipsam protrahens acu trajicere, sine ullius subjectæ partis vulnere queat. Hactenus quidem omnes fere orationem rectè intellexerunt, sed in eo conturbati sunt quod sequitur hæc verba, omnis extenuatio laxat cutim, contrarium enim ab ipsa fieri negant. Quocirca nonnulli de refectione verba illa, *postea circuntenditur*, dicta esse existimant: neque animadverterunt quod subsequitur, ipsis adversari, ubi ait, refectio contraria facit. Erit enim, siquis ipsorum explanationis intellectum sequatur, talis orationis sententia: Omnis extenuatio laxat cutim, circuntenditur contra refectis, refectio verò contraria facere apta est. Sed primum quidem ipsum dicere par erat, refectionem non contraria, sed contrarium facere; nam cum unum de extenuatione dictum sit, & refectionem uni contrariam dixisse ratio postulat. Igitur si extenuatio cutim laxat, eam distendere refectionem oportebit: postea verò deinceps hoc dixisse manifeste videtur, cum explicatior, apertior, ac brevior sit talis oratio: omnis extenuatio laxat cutem, refectio circuntendit. Quid igitur est quod ab ea parte significatur, quæ dicit, postea circuntenditur? nihil aliud sanè, nisi id, quod ab omnibus intelligitur, quod primo scilicet in extenuationibus cutis relaxatur, extenditur postea extenuatione manente, & non in refectionem transmutata: At in refectione contrarium evenit, ab initio quidem cutis obtenditur, tempore autem succedente, laxior evadit. Hæc profectò si adeo curiosè, ut Hippocrates, sensui apparentia observassent, ita fieri vidissent. Primum igitur vobis in memoriam ea revocans, quæ sensu conspexistis, posteà & apparentium causas explicabo. Illorum itaque

A τοῖς λεπτυνομένοις, τὸ δὲ τεταμένον ἐπὶ τοῖς παχυνθεῖσι φαίνεται γινόμενον. οἱ μὲν οὖν λεπτυσμοὶ διὰ πολλὰς αἰτίας συμβαίνουσι. καὶ γὰρ ἔνδεια τροφῆς, καὶ γυμνάσια πλείω, καὶ ἀγρυπνία, καὶ φροντίδες, ἀλγήματά τε καὶ νόσοι συντηκτικαὶ, καὶ διαφορητικαὶ, καὶ κένωσις πολλὴ διὰ γαστρὸς, ἢ ἐμέτων, ἢ ἱδρώτων, ἢ αἱμορραγιῶν αἴτια γίνονται λεπτυσμῶν. ὁ δὲ ἀναθρέψεως εἷς τρόπος, ἡ συμμετρία πάντων ὧν ὑγιαίνοντες δεόμεθα. ταῦτα δ' ἐστὶν ὡς αὐτὸς ἐν τοῖς ἐφεξῆς ἐρεῖ, πόνοι, ποτὰ, ἀφροδίσια. B πολλῶν οὖν ὄντων τῶν τρόπων, καθ' οὓς λεπτύνεται τὸ σῶμα, κοινὸν ἁπάντων ἐστὶ, πρῶτον μὲν χαλᾶσθαι τὸ δέρμα, μετὰ ταῦτα δὲ περιτείνεσθαι, μένοντος δηλονότι τοῦ λεπτυσμοῦ, καὶ εἰ διαδεχομένη αὐτὸν, ἀνάθρεψις γένοιτο, τοὐναντίον συμβήσεται, ταθήσεται γὰρ τὸ δέρμα, τὰς δ' αἰτίας τούτων ἤδη μὲν ἠκούσατε πολλάκις, εἰρήσεται δὲ καὶ νῦν ἐν κεφαλαίοις. ἀναμνησθέντων δὲ ὑμῶν ἃ πολλάκις ἐπί τε τῶν ἀσκῶν, καὶ τῶν κύστεων ἑωράκατε. πληρουμένης μὲν γὰρ τῆς ἔνδον χώρας, περιτείνεται τὸ δέρμα, κενουμένης δὲ, χαλᾶται. τὸν αὐτὸν οὖν τρόπον, ἐπί τε τῶν C ζώων, δὲ εὐτροφούντων μὲν ὁρᾶτε τεινόμενον τὸ δέρμα, χαλαρὸν δὲ ἐπὶ τῶν λεπτυνομένων γινόμενον. ὡς γὰρ τὸ ἐγχεόμενον ὑγρὸν εἰς τοὺς ἀσκοὺς, ἐκτείνει τοὺς χιτῶνας αὐτῶν, οὕτως αἱ σάρκες πολλαὶ γινόμεναι, τὸ ἡμέτερον δέρμα περιτείνουσιν ἑαυταῖς· καὶ θεάσασθαι σαφῶς ἐστι, τοὺς μὲν παχεῖς τεταμένον οὕτως ἔχοντας τὸ δέρμα πάντας, ὡς μὴ δύνασθαί τινα λαβόμενον αὐτοῦ μηδ' ἐπὶ βραχὺ, τῶν ὑποκειμένων ἀποστῆσαι σαρκῶν. τοὺς δ' ἰσχνοὺς, οὕτως χαλαρὸν, ὥστ' ἐπὶ πλεῖστον ἀνατείνας τις αὐτὸ, διεκβάλλειν δύνασθαι βελόνην, ἄνευ τιτρῶσαί τι τῶν ὑποκειμένων. D ἄχρι μὲν δὴ τοῦδε σχεδὸν ἅπαντες ὀρθῶς ἤκουσαν τῆς λέξεως. ἐταράχθησαν δὲ ἐκ τοῦ προκειμένου, τῷ, πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα, τοὐναντίον οὖν αὐτὸ ἐπ' αὐτοῦ γίνεσθαι φασί, διό τινες ἐπὶ τὸ ἀναθρέψεως εἰρῆσθαι, τὸ, ἔπειτα περιτείνεται, νομίζουσι, μὴ συνορῶντες ἐναντιούμενον αὐτοῖς τὸ ἐπιφερόμενον, ἔνθα φησὶν, ἀνάθρεψις τἀναντία. γενήσεται γὰρ ἐὰν ἕπηταί τις αὐτῶν, τῇ κατὰ τὴν ἐξήγησιν γνώμῃ, τοιοῦτος ὁ νοῦς τῆς ῥήσεως· ἅπας λεπτυσμὸς χαλᾷ τὸ δέρμα. περιτείνεται δ' ἔμπαλιν ἀνατρεφομένων, ἀνάθρεψις δὲ τἀναντία πέφυκε ποιεῖν. E ἀλλὰ πρῶτον μὲν οὐκ ἐναντία, τὴν ἀνάθρεψιν εἰκὸς, ἦν εἰπεῖν αὐτὸν, ἀλλ' ἐναντίον. ἑνὸς γὰρ ἐπὶ τοῦ λεπτυσμοῦ λεγομένου, καὶ τὴν ἀνάθρεψιν, ἑνὸς ἐναντίαν εὔλογόν ἐστιν εἰπεῖν. εἴπερ οὖν ὁ λεπτυσμὸς χαλᾷ τὸ δέρμα, περιτείνειν δεήσει τὴν ἀνάθρεψιν· ἔπειτα δ' ἐφεξῆς ταύτην εἰρηκὼς φαίνεται, ὄντος ἑτοιμοτέρου τε, καὶ σαφεστέρου, καὶ συντομωτέρου, τοῦ τοιούτου λόγου, πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα, ἀνάθρεψις δὲ περιτείνει. τί ποτ' οὖν ἐστὶ τὸ δηλούμενον ὑπὸ τῆς λέξεως, ἐν ᾗ φησὶν, ἔπειτα F περιτείνεται; οὐδὲν ἄλλο, πλὴν τὸ σαφῶς ὑπὸ πάντων νοούμενον, ὅτι χαλᾶται μὲν πρῶτον ἐν τοῖς λεπτυσμοῖς τὸ δέρμα, τείνεται διαμένοντος τοῦ λεπτυσμοῦ δηλονότι, καὶ μὴ μεταπεσόντος εἰς ἀνάθρεψιν. ἐπὶ δὲ τῆς ἀναθρέψεως ἔμπαλιν, ἐν ἀρχῇ μὲν περιτείνεται τὸ δέρμα, τῷ χρόνῳ δὲ χαλαρώτερον γίνεται. ταῦτα δ', εἴπερ ἐπιμελῶς οὕτως προσεσχήκασι τὸν νοῦν τοῖς φαινομένοις, ὡς Ἱπποκράτης, ἑώρων ἂν τὰ γινόμενα. πρῶτον οὖν ἀναμνήσας ὑμᾶς ὧν ἐναργῶς ἐθεάσασθε, μετὰ δὲ ταῦτα καὶ τῶν φαινομένων τὰς αἰτίας ἐρῶ. γίνεσθαι

τέ τινων ἀνάμνησις τῶν μαρανθέντων ἐν νόσοις, καὶ μάλιστα τὸν παρὰ Φρυγῶν καλούμενον μαρασμόν. ἐφ' ὧν ἀναμνήσθητε τοῦ δέρματος ὁμοίως βύρσῃ ξηρῇ τεταμένου, καί τι θαυμαστὸν, ἐπ' ἐκείνων ἐν χρόνῳ πλείονι ξηρανθέντων, φαίνεσθαι τὸ δέρμα τεταμένον, ὅπου γε καὶ περὶ τὰς πρώτας ἡμέρας ἐνίοτε συμβαίνει τοῦτο. λέγει γοῦν αὐτὸς ὁ Ἱπποκράτης ἐν προγνωστικῷ περὶ τῶν ἐν ἀρχῇ τῆς νόσου συμβαινόντων, διηγούμενος ἐν τοῖς ἄλλοις τοῖς κατὰ τὸ πρόσωπον σημείοις καὶ τοῦτο. δέρμα τὸ περὶ τὸ μέτωπον σκληρὸν, καὶ περιτεταμένον. ὅτι δὴ ὑπὸ κενώσεως γίνεται τοῦτο, διδάσκων αὐτὸς ἐφεξῆς ἔγραψεν. ἐπανερέσθαι μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος, ἢ τὰ τῆς κοιλίας ἐξυγρασμένα ᾖ ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχει αὐτόν. ἀλλὰ τοῦτο μὲν ὡμολόγηται πᾶσι τοῖς μεθ' Ἱπποκράτην, καθάπερ ἐξ ἑνὸς στόματος εἰποῦσιν, ὡς ἐν κενώσει πολλῇ, ποτὲ μὲν αἰσθητῶς γινομένῃ, ποτὲ δὲ οὐκ αἰσθητῶς, τοιοῦτο συμβαίνει γίνεσθαι τὸ πρόσωπον οἷον ἔγραψε κατὰ τήνδε τὴν ῥῆσιν, ῥὶς ὀξεῖα, ὀφθαλμοὶ „ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ, καὶ συνε- „ σταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι, καὶ τὸ „ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρὸν, καὶ περιτεταμένον, ὥστε τοῦ φαινομένου σαφῶς, ἡμᾶς διδάσκοντος τὴν ἰσχυρὰν κένωσιν ἐναντίαν τῇ μετρίᾳ περὶ τὸ δέρμα διάθεσιν ἐργαζομένην, ὁ λόγος αὐτῶν πιθανὸς μὲν, οὐκ ἀληθὴς δὲ φαίνεται καθ' ὅν φασι. μενόντων τῶν τὴν διάθεσιν ἐργαζομένων αἰτίων, οὐκ ἐνδέχεται μεταπεσεῖν αὐτὸ πρὸς τοὐναντίον. ἐναργῶς γὰρ ὁρᾶται μεταπίπτον ἐπὶ ταῖς ἀμέτροις κενώσεσιν, ἐάν τε αἰσθητῶς αὗται φαίνωνται παραμένουσαι μέχρι χρόνου πλείονος, ἐάν τε κατὰ τὸ ἄδηλον, ἤτοι συντηκομένων, ἢ διαφορουμένων τῶν νοσούντων. πρὶν μὲν οὖν ἐπ' αὐτὴν τοῦ δέρματος τὴν οἰκείαν οὐσίαν ἐξικέσθαι τὴν κένωσιν, ὁμοίως τοῖς κενουμένοις ἀσκοῖς, καὶ σάκκοις, καὶ κύστεσι, χαλᾶται τὸ δέρμα. χρονιζούσης δὲ τῆς κενώσεως, ὁμοίως γίνεται ταῖς ξηραῖς κύστεσί τε, καὶ διφθέραις, ἃς οὐκ ἔστιν ἐκτεῖναι διὰ τὴν σκληρότητα. τοιοῦτον δὲ φαίνεται καὶ τὸ τῶν ἀσκῶν, καὶ τὸ τῶν κύστεων δέρμα γινόμενον, ὅταν ἱκανῶς ξηρανθῇ. μέχρι δ' ἂν ὑπάρχῃ ὑγρὸν, καὶ μαλακὸν, εἰς τὴν ἐντὸς ἑαυτοῦ χώραν δέχηταί τι, καὶ πάλιν μεθίη. δεχόμενον μὲν, ὅταν ἱκανῶς πληρωθείη, τείνεται, κενούμενον δὲ χαλᾶται. καλῶς οὖν εἶπεν ὁ Ἱπποκράτης, πᾶς λεπτυσμὸς χαλᾷ τὸ δέρμα, ἔπειτα περιτείνεται. καὶ γὰρ καὶ φαίνεται γινόμενον οὕτως, καὶ ἡ αἰτία λέλεκται, καλῶς δὲ προσέθηκε, καὶ τὸ τὴν ἀνάθρεψιν τἀναντία ποιεῖν. ἐν ἀρχῇ μὲν γὰρ ἀνατείνεται τὸ δέρμα, τῷ χρόνῳ δὲ χαλαρώτερον ἐργάζεται. σκληρότερον γὰρ ὂν φύσει, καὶ ξηρότερον τῶν ὑποκειμένων αὐτῷ σαρκῶν, ὕστερον ἐκείνων, καὶ σκληρύνεται κατὰ τοὺς λεπτυσμοὺς, καὶ μαλακύνεται κατὰ τὰς ἀναθρέψεις. ὁπόταν οὖν σκληρὸν αὐτὸ καὶ ξηρὸν ἤδη γεγονὸς, ἡ ἀνάθρεψις διαδέξηται, πρῶτον αὐξάνουσα τὰς σάρκας, εἰκότως περιτείνει. προϊόντος δὲ τοῦ χρόνου τῆς τροφῆς ὑπολαμβανόμενον, ὑγρότερόν τε, καὶ μαλακώτερον γίνεται, καὶ διὰ τοῦτο πάλιν χαλᾶται, καθάπερ αἱ ξηραὶ διφθέραι τε, καὶ βύρσαι τε βρεχθεῖσαι ὕδατι, λιπανθεῖσαι δὲ ἐλαίῳ καὶ στέατι. ταῦτα μὲν οὖν ἀληθῶς τε ἅμα καὶ σαφῶς εἰρημένα τῷ Ἱπποκράτει κακῶς ἐξηγήσαντο, διὰ τὴν τῶν πραγμάτων ἄγνοιαν, ὑπὲρ ὧν ὁ λόγος ἐστὶν αὐτῷ. τὰ δ' ἐφεξῆς οὐχ ὁμοίως ὄντα σαφῆ, τάχα δὲ καὶ παραγεγραμμένα, σαφῆ τ' εἶναι νομίζουσι, καίτοι διαφωνοῦντες ἐν ταῖς ἐξηγήσεσιν

A reminiscamini, qui in morbis contabuerunt, præsertim in tabe, quæ retorrida vocatur: in quibus mementote cutim æque ac aridum corium, fuisse distentam: sed quid mirum in illis longiori tempore tabefactis cutim distentam apparere? quandoquidem & nonnunquam primis diebus id evenire soleat. Dicit ergo Hippocrates ipse in Præsagiis, de iis quæ morbis initio eveniunt, sermonem faciens, inter alia faciei signa, & hoc enumerans, Cutis circa frontem dura, & contenta. Quod autem ob B inanitionem id fiat, docens ipse deinceps scripsit. Interrogare oportet, num vigilaverit homo, an ventris dejectiones valde fuerint copiosæ, an fames ipsum vexet. Cæterum id quidem ab omnibus medicis Hippocrate posterioribus tanquam uno ore loquentibus conceditur ob immodicam evacuationem nonnunquam sensibilem, nonnunquam sensus latentem, solere ejusmodi faciem evadere, qualem his verbis pinxit Hippocrates: Nasus acutus, oculi cavi, tempora collapsa, aures frigidæ, & contractæ, & aurium pinnæ inversæ, & cutis C circa frontem dura, & distenta. Quocirca sensu nos aperte docente, nimiam evacuationem, contrà quàm moderatam, in cute affectum parere; ipsorum ratio verisimilis quidem, non tamen vera comprehenditur, cum dicunt, Manentibus affectum producentibus causis ipsam ad contrarium transmutari non contingit. Evidenter enim transmutari immoderatis evacuationibus cernitur, sive ipsæ longiori tempore sensibiliter perdurare noscantur: sive per vias sensibus occultas, per eliquationem scilicet, aut digestionem ægrotantium, efficiantur. Antequàm igitur ad ipsam cutis propriam substan- D tiam exhaustio pervenerit, perinde atque evacuati utres, & sacci, & vesicæ, cutis laxior redditur: inanitione autem perdurante, talis efficitur, quales aridæ vesicæ, atque coria, quæ præ duritia extendi non possunt: talis verò, & in utribus, & in vesicis, cutis affecta videtur, cum exiccata admodum fuerit. At usque dum humida sit, & mollis, & in interno cavo aliquid suscipit, iterumque dimittit, suscipiens quidem, cum satis expleta fuerit, distenditur; cum inanitur autem, relaxatur. Recte igitur E Hippocrates dixit, omnis extenuario laxat cutem, postea circuntenditur: sic enim & fieri videmus, & jam causa dicta est. Ac bene illud quoque adjecit, refectionem contraria facere: nam ab initio extenditur cutis, interjecto deinde temporis intervallo, efficitur laxior. Cum enim subjectis ipsi carnibus durior natura sit, atque aridior, tardius quam illæ, & in extenuationibus obdurescit, & in refectionibus remollescit. Quando igitur ipsam duram, & jam exiccatam refectio exceperit, primum carnes adaugens, ipsam jure protendit: procedente verò F tempore, & ipsa cutis nutrimentum suscipiens, humidior, & mollior fit, proinde & iterum laxior redditur, quemadmodum arida coria, & pelles aqua madefactæ, & oleo ac sevo delibutæ. Hæc itaque verè juxta atque apertè ab Hippocrate enarrata, male interpretati sunt, ob earum, de quibus est præsens sermo, rerum ignorationem. Sed quæ sequuntur haud æque nota, & fortasse adjectitia, manifesta esse arbitrantur, quamvis ipsis, explanandis haud mi-

nus, quam in prædictis dissentiant, & antiquas lectiones permutent. Verùm, ut dilucidior oratio sit, singulas ipsius contextûs particulas separatim explicabo. Cutis corrugatio concidentis, extensio refectæ. In extenuationibus quidem laxationem prius, quàm ipsa in propria substantia quicquam perpessa sit, in refectionibus autem extendi, & exiccatam temporis intervallo in contraria permutari, supra comprehensum est: sed in hac parte ipsius concidentis corrugationem fieri inquiunt, refectæ verò extensionem. Rugosum quidem corpus & cutem Græci nominant, quæ in rugas, & plicas contracta fiunt, ut videmus in Senibus: & ipsorum affectum, corrugationem. Corrugatio verò aliqua & in juvenilibus corporibus apparet, cum venæ occultæ sunt, & maximè cum dissipato in ipsis abundante sanguine, medicamen austeræ, adstringentisque naturæ quispiam superdederit. Hunc autem, & cute collabente, affectum creari dicit, id est cum ea, quæ intrà ipsam cutem habentur, minora effecta sunt, tunc decidit, in se ipsam residens: sed contrarium ejus affectum, cum in longum latumque excreverit, extensionem homines vocant, licet nonnunquam eveniat ut tantummodò in longum, aut latum extendatur ac resideat. Verum in præsentia de extensione, & contractione in utramque cutis dimensionem factis sermo intelligendus est. Quòd si quis præpositam particulam recte intellexerit, non admodum hac egebit. Horrens, læve: utriusque signum, subbiliosum, subrubrum. Nonnulli legunt, rugosum, læve utriusque signum. Sed quoniam in antepositis verbis de corrugatione scripsit, rationi magis consentiens esse videtur, ut nunc, *horrens*, dictum sit; ut Hippocrates speciem in corrugatis factam horrentibus similem esse demonstret. Similitudo autem in cutis inæqualitate, ac veluti asperitate consistit, nonnullis ejus particulis depressioribus, nonnullis extantioribus apparentibus. Quoniam enim per exigua valde intervalla in tota cute id factum fuerit, id symptoma horror nominatur: tuque illud mente concipito, exactæ maris tranquillitati lævis corporis statum assimilari, & proxime inceptæ ejus inæqualitati horrorem. Ita sanè, & Poëta inquit,

Qualis autem Zephyri confundebat mare horror,
Nuper concitati.

Levitas igitur recreatis corporibus inest, sed velut horror contra sese habentibus; alterutrum verò ipsorum alterutrius signum est, non alterutrum amborum, neque ambo simul alterutrius. Eodem quoque modo, & subbiliosum, subrubum alterutrum alterutrius signum est, subbiliosum extenuati, subrubrum refecti. Macrescentibus enim corpus biliosius redditur propter causas maciem inferentes, de quibus antea nos loquentes audivistis: magis sanguineum autem cibo se reficientibus; nam neque bene enutriri sine bono sanguine corpus valeret. Adjectam verò sermonis calci hanc particulam, *sic*, aliqui sequentis initium faciunt, nonnulli hujus finem: utroque enim modo explanationem facere possumus. Quocirca de hoc quidem laboriosè disceptare non convenit. Sed ad sequentia veniamus. Sequentis partis initium ab hac voce, *sic*, facientes, quoniam plurimis Explanatoribus

A αὐτῶν, οὐδὲν ἧττον, ἢ κατὰ τὰς πρόσθεν, ὑπαλλάττουσί τε τὰς παλαιὰς γραφάς. ἵνα δὴ ἢ σαφέστερος ὁ λόγος, ἕκαστον μέρος τῆς ῥήσεως ἰδίᾳ προχειριοῦμαι. χρωτὸς ῥικνώσις συμπίπτοντος, ἔκτασις ἀναθρεφομένου. ὅτι μὲν οὖν ἐν τοῖς λεπτυσμοῖς χαλᾶται τὸ δέρμα, πρὶν αὐτό τι παθεῖν κατὰ τὴν οἰκείαν οὐσίαν, ἀναθρεφομένων δὲ τείνεται, καὶ ὅτι ξηραινόμενον τῷ χρόνῳ εἰς τἀναντία μεταπίπτει, δεδήλωται πρόσθεν. ἐν δὲ τῷδε τῷ λόγῳ συμπίπτοντος μὲν αὐτοῦ, ῥίκνωσιν γίνεσθαί φησιν, ἀναθρεφομένου δὴ, ἔκτασιν. ῥικνὸν μὲν
B ὀνομάζουσιν οἱ Ἕλληνες σῶμά τε καὶ δέρμα τὸ ῥυτιδούμενον ἅμα συστολῇ, καθάπερ ἐπὶ τῶν γερόντων ὁρᾶται, καὶ δηλονότι τὴν ἐν αὐτῷ διάθεσιν, ῥίκνωσις δέ τις φαίνεται καὶ τοῖς νέοις σώμασι γινομένη, λυμαινομένων τῶν φλεβῶν, καὶ μάλισθ' ὅταν διαφορηθέντος τοῦ κατ' αὐτὰς πλεονάζοντος αἵματος, ἐπιθῇ τις φάρμακον, αὐστηρᾶς καὶ στυφούσης μετέχον δυνάμεως. γίνεσθαι δὲ καὶ τὴν τοιαύτην ἐν τῷ δέρματι κατάστασίν φησι συμπίπτοντι, τουτέστιν ὅταν τοῖς ἐν ἑαυτῷ περιεχομένοις, ἐλάττοσι γινομένοις ἐπιπίπτῃ, στηριζόμενον εἰς ἑαυτόν. τὴν δὴ ἐναντίαν κατάστασιν, ὅταν εἰς μῆκός τε καὶ πλάτος ἐπιδιδῷ, προσαγορεύουσιν ἔκτα-
C σιν οἱ ἄνθρωποι. συμβαίνει μὲν οὖν ποτε κατὰ τὸ μῆκος μόνον, ἢ τὸ πλάτος αὐτοῦ τείνεσθαί τε καὶ στηρίζεσθαι. ἀλλὰ καὶ νῦν περὶ τῆς κατ' ἄμφω τὰς διαστάσεις αὐτοῦ γινομένης συστολῆς τε καὶ τάσεως, ἀκούειν σε χρὴ τῆς λέξεως. ὁ γοῦν μὴν τὴν προγεγραμμένην τήνδε νοήσας ῥῆσιν, οὐ πολύ τε ταύτης ἐδεῖτο. τὸ φρικῶδες, τὸ λεῖον ἑκατέρου σημεῖον, τὸ ὑπόχολον, τὸ ὑπέρυθρον. ἔνιοι γράφουσι τὸ, ῥικνῶδες, λεῖον τὸ ἑκατέρου σημεῖον. ἐπεὶ δὴ ἐν τῇ περὶ ταύτης ῥήσει περὶ τῆς ῥικνώσεως ἔγραψεν, εὐλογώτερον εἶναι δόξει τὸ
D φρικῶδες εἰρῆσθαι νῦν. ἐνδεικνυμένου τοῦ Ἱπποκράτους τὴν γινομένην ἰδέαν ἐν τοῖς ῥικνουμένοις ἐοικυῖαν εἶναι τοῖς φρίττουσιν. ἡ δὴ ὁμοιότης κατὰ τὴν ἀνωμαλίαν, καὶ οἷον τραχύτητα τοῦ δέρματος γίνεται. ἐνίων μὲν αὐτοῦ μορίων κοιλοτέρων φαινομένων, ἐνίων δ' ἐξεχόντων, ὅταν γὰρ κατὰ σμικρὰ πάνυ διαστήματα, γένηται τοῦτο δι' ὅλου τοῦ δέρματος, ὀνομάζεται τὸ σύμπτωμα φρίκη τε καὶ φρίξ. καί μοι νόει γαλήνῃ μὲν ἀκριβεῖ τὴν τοῦ λείου σώματος ἐοικέναι κατάστασιν. ἀρχομένης δὲ τῆς κατ' αὐτὴν ἀνωμαλίας, τὴν φρίκην, οὕτως γοῦν καὶ ὁ ποιητὴς ἔφη.

E Οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἐπὶ φρίξ,
Ὀρνυμένοιο νέον.

Τὸ μὲν οὖν λεῖον ὑπάρχει τοῖς ἀναθρεφομένοις σώμασι, τὸ δ' οἷον φρικῶδες τοῖς ἐναντίοις σώμασιν. ἑκάτερον δὲ αὐτῶν ἑκατέρου σημεῖον ὑπάρχει, οὔτε δ' ἑκάτερον ἀμφοτέρων, οὔτε συναμφότερον ἑκατέρου. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τὸ ὑπόχολον, καὶ τὸ ὑπέρυθρον, ἑκάτερον ἑκατέρου σημεῖόν ἐστι. τὸ μὲν ὑπόχολον, τοῦ λεπτυνομένου, τὸ δὲ ὑπέρυθρον, τοῦ ἀναθρεφομένου. χολωδέστερον μὲν γὰρ τὸ σῶμα τοῖς λεπτυνομένοις γίνεται, διὰ τὰς ποιούσας αἰτίας τὴν λεπτότητα,
F περὶ ὧν ἔμπροσθεν ἤκουσας, αἱματωδέστερον δὲ, τοῖς ἀναθρεφομένοις. οὐδὲ γὰρ οὐδ' εὐτραφῆσαι δύναται χωρὶς αἵματος χρηστοῦ, προσκειμένου δ' ἐν τῇ τελευτῇ τελευτῇ τῆς ῥήσεως τοῦ, οὕτως, ἔνιοι μὲν ἀρχὴν αὐτὸ ποιοῦσι τῆς ἑπομένης, ἔνιοι δὲ ταύτης πέρας. ἑκατέρως γὰρ ἐγχωρεῖ γενέσθαι τὴν ἐξήγησιν, ὥστε περὶ τούτου μὲν οὐ χρὴ φιλοπόνως ζητεῖν, ἐπὶ τὰ συνεχῆ δὲ μεταβαίνειν, ἀρχὴν τῆς ἑπομένης ῥήσεως ποιησάμενοι τὸ, οὕτως. ἐπεὶ τοῖς πλείστοις τῶν ἐξηγητῶν

» ἔδοξεν ἐκεῖνο αὐτὸ τὸ παρὰ τὴν. οὕτως τὸ κατασπᾶσθαι μα- » ζούς, ἰσχνοὺς δὲ ἀνασπᾶσθαι καὶ περιτετάσθαι, καί τοι οὐκ » ἄν τις οἴοιτο διὰ τοῦτο, ἀλλὰ σαρκωθέντος, τοῦτο γίνεται), αὕτη μὲν ἡ παλαιὰ ῥῆσις. μετεποίησαν δὲ αὐτὴν οἱ μὲν μετ' ὀλίγον, οἱ δὲ ἐπὶ πλέον, ὥσπερ καὶ Σαβῖνος ὧδέ πως γράψας, οὕτως τὸ κατασπᾶσθαι μακροὺς ἰσχνούς, τοὺς δ' ἀνεσπᾶσθαι. ἵνα τοὺς μὲν ἰσχνοὺς καὶ χαλᾶσθαι, καὶ μακροὺς φαίνεσθαι σημαίνηται, τοὺς δ' εὐτροφοῦντας ἀνεσπᾶσθαι. Ῥοῦφος δέ, καὶ τὴν παλαιὰν ἐφύλαξε γραφήν, καὶ τὴν ἐξήγησιν τῶν παλαιοτέρων ἐξηγητῶν ἐναντίον τι διδάσκουσαν τῇ Σαβίνου. κατεσπᾶσθαι μὲν γὰρ τοὺς εὐτροφοῦντας, ἀνεσπᾶσθαι δὲ τοὺς ἰσχνοὺς βούλεται. τούτοις δὲ φαίνεται καὶ τὸ ἐπιφαινόμενον μαρτυρεῖν, εἰπόντος τοῦ Ἱπποκράτους, καίτοι οὐκ ἄν τις οἴοιτο. προειρηκὼς γὰρ ἐν τῇ λεπτότητι χαλᾶσθαι, περιτείνεσθαι δὲ εὐτροφούντων, τὸ δέρμα, τῷ μὲν προτέρῳ τὸ κατεσπᾶσθαι τοὺς μαστούς, τῷ δὲ δευτέρῳ τὸ ἀνεσπᾶσθαι συνεπόμενον εὑρίσκεις, καὶ διὰ τοῦτό φασι, καί τοι οὐκ ἄν τις οἴοιτο, τοῦτο δὴ ὡς ἕρμαιον ἔλαβον οἱ παλαιοὶ τῶν ἐξηγητῶν ὄντες ἐμπειρικοί, Γλαυκίας τε καὶ ὁ Ταραντῖνος Ἡρακλείδης. ἡγοῦνται γὰρ ἐκ τούτου καὶ τὸν Ἱπποκράτην δεικνύειν ὁμόψηφον ἑαυτοῖς, ὡς μὴ πιστεύειν ταῖς δογματικαῖς πιθανότησιν. ἀλλὰ μόνῳ τῷ διὰ ἐμπειρίας φαινομένῳ, καίτοι καὶ τὸ φαινόμενον αὐτὸ χωρὶς διορισμοῦ ῥηθέν, ἑκατέρως ἐστὶ ψεῦδος, ἐάν τε κατεσπᾶσθαί τε καὶ χαλᾶσθαι τοὺς τοιούτους εἴπωμεν ἐν τοῖς λεπτυσμοῖς, ἐάν τ' ἀνεσπᾶσθαι. τοῦτ' οὖν ἐχρῆν αὐτοῖς πρῶτον ἀκριβῶς ἐξητάσθαι, τοῖς μὲν ἐμπειρικοῖς, ἐπειδὴ τοῦ φαινομένου τῇ ῥητορικοί τε εἰσὶ καὶ μνημονευτικοί. τοῖς δὲ δογματικοῖς, ἐπειδὴ τῶν ὄντων αὐτοὺς χρὴ τὰς αἰτίας, οὐ τῶν οὐκ ὄντων ἀποδιδόναι. τί δὴ οὖν ἐστὶ τὸ φαινόμενον, ἐγὼ φράσω. παραφυλάξας ἐπὶ πολλῶν πάνυ γυναικῶν, οὐκ ὀλίγων δέ, καὶ πυθόμενος οὐ μόνον τῶν μαιευτριῶν, ἀλλὰ καὶ τῶν οὐδὲν ἐπισταμένων τοιοῦτον. μᾶλλον γὰρ αὗται τὰ φαινόμενα λέγουσιν ἀληθῶς τῶν διὰ δόγματα τυφλωττόντων ἀμφ' αὐτά. τὸ τοίνυν συμβαῖνόν ἐστι τοιοῦτον. γάλακτος μὲν ὅταν οἱ τιτθοὶ πληρωθῶσιν, αὐξάνονται κατὰ πᾶσαν διάστασιν. εἰς ὕψος γὰρ αἴρονται, καὶ πλάτος, καὶ μακρότεροι φαίνονται. κενωθέντος δὲ τοῦ γάλακτος, αὖθις ἑαυτῶν ἐλάττους γίνονται, μειούμενοι κατὰ τὰς τρεῖς διαστάσεις. ἐὰν δὲ χωρὶς τοῦ γάλακτος ὑπαλλάττωνται, κατὰ τὸ λεπτύνεσθαί τε, καὶ παχύνεσθαι μόνον, ὥσπερ τὰ ἄλλα μόρια, παραπλησίως ἐκείνων διατίθενται· χαλώμενοι μὲν πρῶτον ἐν τῷ λεπτύνεσθαι, τεινόμενοι δὲ ἐν τῷ παχύνεσθαι. προϊόντος δὲ τοῦ χρόνου, τὴν ἐναντίαν λαμβάνουσι κατάστασιν, βραχύτεροι μὲν γινόμενοι ξηρανθέντος τοῦ δέρματος, μακρότεροι δ' ὑγρανθέντος, ἐν ταῖς ἀτροφίαις ὡς ἔμπροσθεν εἴρηται. οὕτω γοῦν καὶ ταῖς γηρώσαις χαλῶνται μὲν πρῶτον, ὕστερον δ' ἀνασπῶνται. ἐμοὶ μὲν δὴ καὶ τὰ φαινόμενα περὶ τοὺς τιτθοὺς εἴρηται, καὶ τὰς αἰτίας αὐτοῖς προσέθηκα. τῶν δ' ἐξηγητῶν οὐδεὶς τοῦτ' ἔπραξεν, ἀλλ' ὡς ἂν ἕκαστος ἐθελήσῃ γράψας, ἐξηγεῖται τὴν ἑαυτοῦ λέξιν. Εἰκότως δὲ καὶ ἐξηγήσεις ἐναντίας ἐποίησάν τε, καὶ τὰς γραφὰς ἐλλιπῶς ἡρμηνευμένας, καὶ ἀδιορίστως τῆς λέξεως, ὅπως ἄν τις εἴποι κατά τι μὲν ἀληθεύσῃ, κατά τι δὲ ψεύσεται). τῶν τιτθῶν, ἐν μὲν τῷ γάλακτος πληροῦσθαι

τηρητικοί

A idem ipsum facere visum est. Sic detrahi mammas, graciles verò sursum trahi, & circuntensas esse, etsi non propter id quispiam arbitretur, sed carne creata id fieri, hæc sanè est antiqua lectio. Ipsam verò quidam commutarunt, alii minus, alii magis, quemadmodum & Sabinus ita scribens, sic detractas esse longas, graciles, alias verò sursum tractas, ut graciles quidem, & laxari, & longas apparere, sed bene nutritas sursum tractas esse significet. At Rufus, & veterem scripturam, & antiquiorum Interpretum explanationem aliquid Sabinianæ contrarium edocentem retinuit: vult enim bene habitas inferius, emaciatas sursum versus, attractas esse. Hujusce autem rei sensus ipse testis locupletissimus esse videtur, dicente Hippocrate: quamvis aliquis non utique arbitretur; nam cum prædixerit extenuatis laxari, bene nutritis circuntendi cutem, priori detractas esse mammas, secundo sursum versùs retractas, consentaneum esse invenies: & propterea ait, quamvis aliquis non utique arbitretur. Id sanè tanquam validissimam rationem acceperunt veteres Interpretes Empirici, Glaucias, & Tarentinus Heraclides. Per eam enim se demonstrare opinantur Hippocratem in eorum sententiam descendere, ut verisimilibus Dogmaticorum argumentationibus nequaquam; sed soli per experientiam cognito, & evidenti, fides sit adhibenda. Quamvis & ipsum evidens sine definitione prolatum utroque modo falsum sit, sive detractas esse, & laxari tales in extenuationibus, sive in superiora esse retractas dixerimus. Ergo id ipsis primum accurate exploratum esse oportuit, cùm Empiricis, qui rerum sensui apparentium observatores ac memores sunt: tum Dogmaticis, quoniam eorum quæ sunt, non eorum quæ non sunt, ipsos causas reddere opus est. Quidnam igitur sit sensui apparens, ego explicabo, cùm in permultis mulieribus observaverim, & à non paucis audiverim non obstetricibus modò, verumetiam ab aliis nihil ejusmodi scientibus. Hæ nanque magis vere sensui patentia enarrant, quam qui placiti sui amore decepti, in his caligant, & hallucinantur. Quod itaque accidit, ejusmodi est; mammæ lactis plenæ secundùm omne intervallum augescunt: in altum enim ac latum extuberant, longioresque cernuntur: exhausto autem lacte, rursum se ipsis minores fiunt, & in tribus dimensionibus minuuntur. At si absque lacte in tenuitate, & crassitudine tantum, ut & alia membra permutantur, eodem, quo & illa, modo afficiuntur: Primùm quidem cum extenuantur, relaxatæ: cum verò crassescunt, magis extentæ. Sed processu temporis contrarium statum suscipiunt, breviores quidem arefacta cute evadentes: longiores autem in refectionibus, ut antea dictum est, humectatæ. Ita planè, & in vetulis primò laxantur, postea contrahuntur. Ego quidem mammis evidenter contingentia recensui, & causas ipsis adjeci: Interpres autem nullus id fecit; sed prout quisque voluerit, scribens, propriam deinde scripturam interpretatur: Haud abs re autem, & contrarias explanationes, & scripturas locutione mutilas, & confusas attulerunt: ut quicquid dicat aliquis, partim verum, partim falsum dicturus sit, mammis utique cum lactis plenæ sunt, grandioribus

A grandioribus effectis, cum vacuæ, minoribus sine lacte verò, cum macrescunt, ab initio laxatis, deinde contractis: dum crassescunt autem, ab initio retractis, postea paulatim relaxatis; imposita quoque isti per cibum refectioni conditione, quòd scilicet aliqui prius recreentur, quàm ad tantam maciem devenerint, ut præ ariditate cutis distendatur: aliqui post ariditatem, enutriantur ac recreentur.

HIPPOCRATIS TEXTUS XXX.

IVgula manifesta, venæ conspicuæ.

GALENI COMMENTARIUS.

ID genus locutiones obscuram habent scriptoris sententiam, quippe cum verbis, in quibus hæc apparere velit, expressum non sit. Multi quidem naturâ macri, & jugula detecta habent, & venas extantes, plenasque sanguinis: sicut è contrario alii neque jugula, neque venas habent extantes. Quemadmodum autem naturalis hujusmodi corporum differentia conspicitur, eodem modo & in iis, qui præter naturam, quam ab initio habuerunt, aut emaciantur, aut crassescunt: & abundant, aut egent humoribus. Constat enim in extenuato corpore repletas venas sanguinis plerunque corrupti intra ipsas inclusi copiam ostendere, sicuti de muliere, cui menses retenti erant, paulo ante dicebam. Cæterum miror Capitonem solum hujus partis verba ita scribentem: magna repletio patens est, venæ perspicuæ: nam si ita scripta inventa esset, quid necesse fuisset omnes Interpretes eam in clariorem transmutasse? si quidem eorum, de quibus ambigunt, scripturas facilioris notitiæ causa transmutant. Quin etiam codicem nullum ita se habere inveni, cum multos tamen ob id ipsum evolverim, antiquas scilicet lectiones, & in quibus omnes consentiunt, aut dissentiunt, dignoscere cupiens. Cum omnes igitur Explanatores, & omnes codices eandem lectionem habeant, haud recte Capito ipsam permutare ausus est. Sed forsan & ego male ipsius ab initio mentionem feci, cum omnes hujusmodi in scripturis mutandis ineptias me in explanando omissurum esse prædixerim. In sequentibus igitur id faciam longitudini parcens.

HIPPOCRATIS TEXTUS XXXI.

PRodicus febrientes interficiebat cursibus, luctationibus, fotibus calidis. Malum febriculosum, inimicum fami, circuitibus multis, cursibus, frictioni. Laborem labore, ipsis.

GALENI COMMENTARIUS.

ET hæc verba alius aliter scribit, nonnulli quidem verba hæc permutantes, circuitibus, luctationibus nonnulli verò ab initio, luctationibus, ponentes: aliqui eam vocem eximentes: aliqui initio, fami, adjicientes. Circuitus sanè vocat lentas deambulationes in longius tempus productas, ut in Libro de ra-

μειζόνων γινομένων, ἐλαττόνων δὲ ἐν τῷ κενοῦσθαι· χωρὶς δὲ τοῦ γάλακτος ἐν μὲν ταῖς λεπτότησι κατ' ἀρχὰς μὲν χαλωμένων, ὕστερον δ' ἀνασπωμένων. ἐν δὲ ταῖς παχύνσεσιν, ἐν ἀρχῇ μὲν ἀνασπωμένων, ὕστερον δὲ ἠρέμα χαλωμένων, ὄντος, καὶ κατὰ τὴν τοῦ ἀναθρέφεσθαι διορισμοῦ, διὰ τὸ, τινὰς μὲν ἀναθρέφεσθαι, πρὶν εἰς τοσαύτην ἀφικέσθαι λεπτότητα, καθ' ὅσον ξηραινόμενον τείνεται τὸ δέρμα. τινὰς δὲ, πρὶν ξηρανθῆναι, μετὰ τὸ πρὸς εὐτροφίας ἐπιδιδόναι.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ′.

Κλεῖς περιφανέες, φλέβες διαφανέες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΙ τοιαῦται τῶν ῥήσεων οὐκ εὔδηλον ἔχουσι τὴν τοῦ γράψαντος διάνοιαν, ὡς ἂν μὴ προσκειμένου κατὰ τὴν λέξιν αὐτῶν, ἐπὶ τίνων βούλεται φαίνεσθαι ταῦτα. πολλοὶ μὲν τῶν ἰσχνῶν φύσει τάς τε κλεῖς ἔχουσι σαφεῖς, καὶ τὰς φλέβας ἐγκειμένας τε, καὶ μεστὰς αἵματος, ὥσπερ αὖ πάλιν ἕτεροι, οὔτε τὰς κλεῖς, οὔτε τὰς φλέβας ἐγκειμένας, οὔτε δὲ φύσει τοιαύτη διαφορὰ τῶν σωμάτων ὁρᾶται. C κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν παρὰ τὴν ἐξ ἀρχῆς φύσιν, ἤτοι λεπτυνομένων, ἢ παχυνομένων, καὶ πλῆθος, ἢ ἔνδειαν ἐχόντων χυμῶν. εὔδηλον γὰρ ὅτι πεπληρωμέναι φλέβες ἐν τῷ ἰσχνῷ σώματι, πλῆθος ἐνδείκνυνται κατὰ ταύτας εἶναι τοῦ αἵματος, ὡς τὰ πολλὰ μοχθηροῦ, καθάπερ ἐπὶ τῆς γυναικὸς ὀλίγον ἔμπροσθεν ἔλεγον, ἧς ἐπέσχητο τὰ καταμήνια. θαυμάσαι δ' ἐστὶ τοῦ Καπίτωνος μόνου γράψαντος τὴν ῥῆσιν ἐν τῇδε τῇ λέξει. D ἡ ἄγαν πλήρωσις περιφανὴς, φλέβες διαφανέες. εἴπερ γὰρ οὕτως εὕρητο γεγραμμένον, τίς ἦν ἀνάγκη μεταγράψαι πάντας αὐτὴν τοὺς ἐξηγητὰς ἐπὶ τὸ σαφέστερον; ἐν οἷς γὰρ ἀποροῦνται, μεταγράφουσιν εὐπορίας ἕνεκεν. ἀλλ' οὐδ' ἀντίγραφον εὗρον οὕτως ἔχον, οὐκ ὀλίγοις ἐντυχὼν δι' αὐτὸ τοῦτο βουλεσθαι γνῶναι τάς τε παλαιὰς γραφὰς, καὶ τὰς ἅπασιν ὁμολογουμένας ἢ διαφωνουμένας. ἁπάντων τε οὖν τῶν ἐξηγητῶν, καὶ πάντων τῶν ἀντιγράφων τὴν αὐτὴν ἐχόντων γραφὴν, οὐκ ὀρθῶς ὁ Καπίτων μετέγραψεν. E ἴσως δὲ κἀγὼ αὐτοῦ, τὴν ἀρχὴν ἐμνημόνευσα, προειρηκὼς ἁπάσας τὰς τοιαύτας ἐν ταῖς γραφαῖς ῥᾳδιουργίας παρελεύσεσθαι κατὰ τὴν ἐξήγησιν. ἐπὶ τῶν ἑξῆς οὖν ῥήσεων αὐτὸ ποιήσω, μήκους φειδόμενος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα′.

ΠΡόδικος, τοὺς πυρεταίνοντας ἔκτεινε δρόμοισι, πάλῃσι, πυρίῃσι, κακόν. τὸ πυρετῶδες πολέμιον λιμῷ, περιόδοισι πολλῇσι, δρόμοισιν, ἀνατρίψει, πόνον πόνῳ αὐτοῖσι. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ ταύτην τὴν ῥῆσιν ἄλλος ἄλλως γράφει. τινὲς μὲν ὑπαλλάττοντες τὴν λέξιν τοιάνδε, περιόδοισι, πάλῃσιν, ἔνιοι δ' ἐν ἀρχῇ πάλῃσι. τινὲς δ' ἐξαιροῦντες τὸ πάλῃσιν, ἔνιοι δ' ἐν ἀρχῇ προστιθέντες λιμῷ. περιόδους μὲν οὖν καλεῖ τοὺς βραδεῖς περιπάτους ἐπὶ πλείονα χρόνον ἐκτεινομένους,

ὡς ἐν τῷ περὶ διαίτης ὀξέων αὐτὸς ἔφη. βραδείας συχνὴν περίοδον πλανηθῆναι, καὶ Πλάτων μὲν μέμνηται τοῦ Προδίκου, ὡς πολλοῖς περιπάτοις χρωμένου. τίνος δὲ νῦν Προδίκου μνημονεύει, πότερον τοῦ Λεοντίνου, ἢ τοῦ Σηλυβριανοῦ περιττὸν ζητεῖν. ἐν ἄλλῳ γὰρ λόγῳ τὰ τοιαῦτα τελέως διέρχομαι. νυνὶ δ' οὔ που καιρὸς ἱστορικῶν ζητημάτων, ὅπου, καὶ τῶν γεγραμμένων τισὶν ἐξηγητῶν, οὐκ ὀλίγας παραλιπόντες, ἀγαπῶμεν, ἐὰν ἐν ὀκτὼ βιβλίοις συμπληρώσωμεν τὴν ἐξήγησιν. διὰ τί δὲ μέμφεται τὸν Πρόδικον, αὐτὸς ἐδήλωσεν εἰπὼν, τὸ πυρετῶδες πολέμιον εἶναι περιόδοισιν, ἢ λιμῷ. δῆλον δ' ὅτι καὶ τοῖς ἄλλοις ἃ κατέλεξε, καὶ γὰρ ταῖς πάλαις, καὶ τῇ πυρίᾳ, καὶ τῇ ἀνατρίψει, τὸ πυρετῶδες ἐναντίον ἐστίν. οὕτω γὰρ ἀκουστέον τοῦ πολέμιον, ἐπειδὴ καὶ φίλιον ἐκ μεταφορᾶς εἰώθασι λέγειν τὸ οἰκεῖον. μεταξὺ δὲ τῶν λέξεων ἀμφοτέρων εἰρημένον τὸ κακὸν, ἔνιοι μὲν ἐπὶ τῇ τελευτῇ τῆς προτέρας ἔγραψαν, ἔνιοι δ' ἐν ἀρχῇ τῆς δευτέρας, ὡς ἐν γενέσθαι τὸν λόγον τοιόνδε. τὸ πυρετῶδες, πολέμιον περιόδοισιν, ὅτι δὲ βλάπτει τοὺς πυρέττοντας καὶ περίπατος, καὶ δρόμος, καὶ πυρία, καὶ πάλη, πάντοθεν τὴν ἐν τῷ σώματι θερμασίαν αὐξάνοντα, οὐδεὶς ἀγνοεῖ τῶν ὡμιληκότων τοῖς ἔργοις τῆς τέχνης. Πρόδικος δ' ἔοικεν οὐ μόνον λογικὴν εὕρεσιν βοηθημάτων ἀγνοεῖν, ἀλλὰ καὶ τήρησιν ἐμπειρικήν. ὁ μὲν γὰρ λόγος ἀπαγορεύει πόνῳ πόνον ἰᾶσθαι, τουτέστι τῇ βλάβῃ τὴν βλάβην, καὶ τῷ κακῷ τὸ κακόν. ἐναντία γὰρ, οὐχ ὅμοια τῇ λυπούσῃ διαθέσει προσφέρειν χρὴ βοηθήματα. φαίνεται δὲ ἐκεῖνος ὅμοια προστάττων, εἴ γε καὶ περιπάτοις, καὶ πάλῃ, καὶ ἀνατρίψει, καὶ πυρίᾳ, καὶ λιμῷ. πυρίαν δὲ πᾶσαν ἀκουστέον τὴν ἔξωθεν ἡμῖν προσπίπτουσαν θερμασίαν, εἴτ' ἀπὸ πυρὸς, εἴτ' ἐν λουτροῖς γίνοιτο. ἀλλὰ μὴν καὶ ὁ λιμὸς ἐναντίον ἐστὶ τοῖς εἰρημένοις, ὅκου γὰρ λιμὸς, οὐ δεῖ πονεῖν. οὐ μόνον δὲ τὴν ἀρχὴν τῆς ῥήσεως, ἀλλὰ καὶ μετὰ τὴν ἀρχὴν ἄχρι τελευτῆς ὡς ἂν ἐθέλωσι γράφουσιν. ἀλλ' ἐγὼ τὰς παλαιὰς αἱροῦμαι, κἂν χαλεπωτέραν ἔχωσι τὴν ἐξήγησιν. ὃ δὲ ἔσχατόν ἐστι γεγραμμένον ἐν τῇ προκειμένῃ ῥήσει, τὸ αὐτοῖσι, τινὲς μὲν τῆς ἑπομένης ἀρχὴν ποιοῦσι, τινὲς δὲ ὅλως ἀφαιροῦσι. καὶ γὰρ φαίνεται μηδὲν ἐξ αὐτοῦ πλέον τῶν εἰρημένων διδασκόμενοι.

A tione victus in acutis ipse inquit, Tardum multum circuitum deambulasse, & Plato Prodici meminit, ut multis deambulationibus utentis. Quem autem nunc Prodicum memoret, utrum Leontium, an Selybrianum, quærere supervacuum est: in alio enim sermone hæc omnino persequimur. Nunc verò in historicas quæstiones tractare non est opportunum, quoniam nonnullorum explanationibus non paucis prætermissis, satis habemus, si nostram octo voluminibus absolverimus. Sed cur Prodicum accuset, ipse declaravit inquiens, febriculosum inimicum esse circuitibus, & fami: B constat autem, quod & reliquis enumeratis: nam & luctationibus & fomento calido, & frictioni, febriculosum adversarium est: ita enim ea vox, *inimicum*, intelligenda est, quoniam & amicum, per translationem, dicere consueverunt proprium ac domesticum. Inter utranque autem dictionem hæc, *malum*, posita, ab aliquibus in calce prioris scripta est, ab aliquibus initio secundæ, ut una fiat oratio hujusmodi, febriculosum inimicum circuitibus. Quòd C autem febricitantibus, & deambulatio, & cursus, & fotus calidus, & luctatio, undique calorem in corpore augentes officiant, neminem eorum qui in artis exercitatione versati sunt, præterit. Prodicus verò non rationalem modo auxiliorum inventionem, sed etiam empiricam observationem ignorare videtur. Negat enim ratio labori laborem mederi, hoc est, noxæ noxam, & malo malum: nam contraria, non similia, infestanti vitio adhibere auxilia convenit. At ille similia adhibere videtur, siquidem & ambulationibus, & luctatione, & fri- D ctione, & fotu calido, & fame utitur: per *πυρίαν* autem, id est fotum calidum, omnis extrinsecus nos invadens caliditas, sive ab igne, sive in balneis fiat, intelligenda est. Quin etiam fames prædictis adversatur: ubi enim fames est, laborare non convenit. Non solum autem locutionis initium, sed & ab initio usque in finem, ut libuerit, scribunt; cæterum ego veteres scripturas, & si difficilius explanentur, semper eligo. Sed vocem eam, quæ ultima in propositis verbis scripta est, *ipsis*, aliqui sequentis sermonis initium faciunt: nonnulli prorsus E obliterant, siquidem nihil plus, quam antedicta edocere videtur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Φλεβῶν ἔρευθος, πελίωσις, χλωρότης, πλευρέων ὀδύναι λαπαραί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἶπον ὅτι τὸ κατὰ τὴν τελευτὴν τῆς προκειμένης ῥήσεως, τούτοις, προστάττεσθαι δύναται ταύτης, ἵν' ὁ λόγος ᾖ τοιοῦτος. τούτοις οἷς προεῖπον, ἦσαν δὲ οἱ πυρεταίνοντες μὲν, οὐκ ὀρθῶς ὑπὸ Προδίκου πρὸς κινήσεις ὑγιαίνουσιν οἰκείας ἀγόμενοι, συμβαίνει ταῦτ' ἴσχειν ἃ νῦν εἶπεν, οὐχ ἅπαντα δηλονότι καθ' ἕκαστον ἄνθρωπον. οὐ γὰρ οἷόν τε συνυπάρξαι τὸ ἔρευθος τῇ πελιώσει, καὶ τῇ χλωρότητι. καὶ γὰρ ἀναιρετικόν ἐστιν ἕκαστον τούτων τῶν λοιπῶν δύο, καὶ διαθέσεσιν οὐχ ὁμοίαις ἕπεται. τοῖς μὲν γὰρ τήν τε δύναμιν ἔχουσι μετρίως καὶ

HIPPOCRATIS TEXTUS XXXII.

Venarum rubor, livor, viriditas: costarum dolores laxi.

GALENI COMMENTARIUS.

F Dixi vocem, *ipsis*, in calce proximi sermonis positam isti posse præponi, ut oratio talis reddatur, Ipsis quos prædixi; erant autem febricitantes non rectè à Prodico ad motiones bene valentibus convenientes deducti. Hæc, quæ nunc dicit, habere contingit, non omnia scilicet singulos homines: neque enim potest rubor unà cum livore, & viriditate consistere, siquidem unumquodque istorum duo reliqua tollit, & affectus dissimiles insequitur. Nam vires mediocres & bonum sanguinem

habentibus, quum exercentur, aut per fotus calefiunt, rubicundum corpus evadit: sed imbecilliores, aut vitiosis humoribus repleti, lividi fiunt ac virides. Nonnulli verbis his hanc vocem, *tumores*, præponunt, & locutionem talem faciunt: tumores, venarum rubor, livor, viriditas: sed quod in extremis verbis dixit, costarum dolores laxi, nonnulli verisimiliter ita mutarunt, *lapara*, id est, ventris dolores, hos importune exercitatis suboriri volentes: veruntamen omnes Interpretes hanc lectionem agnoscunt, costarum dolores laxi: & intelligunt laxos, id est sine phlegmone & tensione dolores.

A χρηστὸν τὸ αἷμα, γυμνασθεῖσιν, ἢ πυριαθεῖσιν, ἐρυθραίνεται τὸ σῶμα. τοῖς δ' ἀρρωστοτέροις, ἢ κακοχυμοτέροις, πελιοῦται, καὶ χλωρὸν γίνεται, προστάττουσιν ἔνιοι τῆς προκειμένης ῥήσεως τὸ, ὄγκοι, τοιάνδε ποιοῦντες τὴν λέξιν. ὄγκοι, φλεβῶν ἔρευθος, πελίωσις, χλωρότης. ὃ δὲ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἶπε, πλευρέων ὀδύναι λαπαραὶ, πιθανῶς τινὲς μετέγραψαν εἰς τὸ, λαπάρας ὀδύνας, γίνεσθαι βουλόμενοι τοῖς ἀκαίρως γυμνασθεῖσιν. οἱ γε μὴν ἐξηγηταὶ πάντες ἴσασι τὴν, πλευρέων ὀδύναι λαπαραὶ B γραφὴν, ἀκούουσί τε λαπαρὰς, τὰς ἄνευ φλεγμονῆς, καὶ τάσεως, ὀδύνας.

HIPPOCRATIS TEXTUS XXXIII.

Siti carentem os claudere, tacere, ventum cum potu frigidum introducere.

GALENI COMMENTARIUS.

Hoc scripsit Hippocrates ex iis unum, quæ totam febrientium regendorum rationem in mentem revocare queant, & per id ipsum Prodici in curandis febribus inscitiam demonstrare valens. Neque enim ea, ex quibus sitiant, velut calefacti, sed ex quibus sitis extinguatur, facienda sunt: hæc sunt verò: prima quidem motibus opposita laborantis corporis, quies: secunda omnia reliqua, ex quibus febrilem affectum comitantia magis mitescant, & non exasperentur, inter quæ unum est, ipsum à siti defendere. Per quæ autem quispiam sitim prohibeat, adjecit, clausum os habere, auramque frigidam cum potu introducere, id est, ventum unà cum potu frigidum attrahere; quod si cum potu, patet etiam sine ipso per solam inspirationem. Quare & aëris inspiratu attrahendi ratio habenda est, ut ne calidior sit, quàm conveniat, idque magis æstatis tempore. Verùm & hoc loco Capito atque Dioscorides audacius veterem lectionem permutantes, hunc in modum verba scripserunt: ventum inter bibendum frigidum non introducere. Sed Dioscorides quidem, ut consuevit, secundam scripturam addidit: ex quibus ventum frigidum introducere; At Capito lectionem in omnibus codicibus repertam, & à cunctis Explanatoribus concessam, neque secundo gradu dignam putavit: sed ei hanc syllabam, *non*, adjiciens, loco, *horum*, frigidum introducere, scripsit, frigidum non introducere, perinde ac si nunquam frigidum aërem febricitans inspirare debeat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

Ἄδιψος, συνέχειν στόμα, σιγᾷν, ἄνεμος σὺν τῷ ποτῷ ψυχρὸν εἰσάγειν.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τι τῶν εἰς ἀνάμνησιν ἄγειν δυναμένων τῆς ὅλης ἐπὶ τῶν πυρεττόντων ἀγωγῆς, ἔγραψεν ὁ Ἱπποκράτης τοῦτο, δυνάμενον ἐνδείκνυσθαι καὶ αὐτὸ τὴν μοχθηρίαν τῆς Προδίκου προνοίας πυρεττόντων. οὐ γὰρ ἐξ ὧν διψῷεν οἱ ἐνθερμανθέντες εὔλογόν ἐστι πράττειν, ἀλλ' ἐξ ὧν ἄδιψοι γενήσονται. ταῦτα δ' ἐστὶ, πρώτη μὲν ἡ ταῖς κινήσεσιν ἀντικειμένη τοῦ κάμνοντος σώματος ἡσυχία. δεύτερα δὲ τἄλλα, δι' ὧν ἂν πραΰνοιτο μᾶλλον, οὐκ ἐξάπτοιτο τὰ κατὰ τὴν πυρετώδη διάθεσιν, ὧν ἕν ἐστι καὶ ἄδιψος τηρεῖν. D δι' ὧν δ' ἄδιψος ἄν τις γένοιτο προσέθηκεν, εἰπὼν, ἔχειν τὸ στόμα, καὶ σιγᾷν, ἄνεμόν τε ψυχρὸν σὺν τῷ ποτῷ εἰσάγειν, ὅπερ ἐστὶν ἐπισπᾶσθαι τῷ ποτῷ τὸν ψυχρὸν ἄνεμον. εἰ δὲ ποτῷ, πρόδηλον ὅτι καὶ χωρὶς τούτου, κατὰ μόνην τὴν εἰσπνοὴν, ὥστε καὶ τοῦ κατὰ τὴν ἀναπνοὴν ἀέρος προνοητέον ἐστὶν, ὅπως μὴ θερμὸς ᾖ μᾶλλον τοῦ προσήκοντος, καὶ μᾶλλον θέρους ὥρᾳ. τολμηρότερον δὲ κἀν ταῦθα Καπίτων τε καὶ Διοσκουρίδης ὑπαλλάξαντες, τὴν παλαιὰν γραφὴν ἔγραψαν οὕτως τὴν λέξιν. ἄνεμον ἐν τῷ ποτῷ ψυχρὸν μὴ εἰσάγειν. ἀλλ' ὁ μὲν Διοσκουρίδης δευτέ- E ραν γραφὴν, ὡς εἴωθε, προσέθηκεν, ἐξ ὧν ἄνεμον ψυχρὸν εἰσάγειν. Καπίτων δὲ οὐδὲ τῶν δευτέρων ἠξίωσε τὴν ἐν ἅπασί τε τοῖς ἀντιγράφοις εὑρισκομένην γραφὴν, ἅπασί τε τοῖς ἐξηγηταῖς ὁμολογουμένην, ἀλλὰ προσθεὶς αὐτῇ τὴν, μὴ, συλλαβὴν, ἀντὶ τοῦ ψυχρὸν εἰσάγειν, ψυχρὸν μὴ εἰσάγειν ἔγραψεν, ὡς οὐδέποτε δέον ἀναπνεῖν ψυχρὸν ἀέρα τὸν πυρέττοντα.

F

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

Τὰς ἀφορμὰς, ὁκόθεν ἤρξαντο κάμνειν, σκεπτέον, εἴ τε κεφαλῆς ὀδύνης, εἴ τε ὠτὸς, εἴ τε πλευροῦ. σημεῖον οἱ ὀδόντες, καὶ ἐφ' οἷσι βουβῶνες.

HIPPOCRATIS TEXTUS XXXIV.

Occasiones, unde cœperunt ægrotare, considerandæ, sive capitis dolor, sive auris, sive lateris signum dentes, & in quibus inguinum phlegmonæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταύτην τὴν ῥῆσιν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἐξηγήμεθα κατὰ τὸ πρῶτον ὑπόμνημα.

GALENI COMMENTARIUS.

B

Hanc orationem, & in secundo de morbis vulgaribus volumine, in primo Commentario explanavimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε'.

Τὰ γινόμενα ἕλκεα, καὶ φύματα, κρίνοντα πυρετοὺς, οἷσι ταῦτα μὴ παραγίνηται, ἀκρισίαι, οἷς ἐγκαταλείπεται, βεβαιόταται, καὶ τάχισται ὑποστροφαί.

HIPPOCRATIS TEXTUS XXXV.

Nascentia ulcera, & tubercula febres judicantia. Quibus hæc non accidunt, judicationis carentiæ. Quibus aliquid intus relinquitur, certissimæ & celerrimæ recidivæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ αὕτη ἡ ῥῆσις ἐφεξῆς τῇ πρὸ αὐτῆς κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν γεγραμμένη, τῆς προσηκούσης ἐξηγήσεως ἔτυχεν ἐν τῷ πρώτῳ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων.

C

GALENI COMMENTARIUS.

Et hæc oratio priori contigua, in secundo de morbis vulgaribus scripta, convenienti declaratione illustrata est per primum, & in eum Librum à me editum Commentarium.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λς'.

Τὰ στρογγυλούμενα πτύελα, παρακρουστικὰ, οἷα ἐν Πλήνῳ.

HIPPOCRATIS TEXTUS XXXVI.

Rotunda sputa delirium futurum significant, ut in Pleno.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν πτυέλων, τὸ μὲν οἷον ὑλικὸν αἴτιον, τὸ πάχος, καὶ γλισχρότης τῶν χυμῶν ἐν τοῖς τοῦ πνεύμονος βρογχίοις ἀθροιζομένων, τὸ δ' οἷον ποιητικὸν, ἡ ἐν τῷ χωρίῳ θερμότης. καί τισι δὲ τῶν ἀπυρέτων ἐθεασάμην τοῦτο γινόμενον, ἐν πάνυ πολλῷ χρόνῳ δοκοῦσι μηδὲν ἔχειν κακόν. ὕστερον μέν τοι πάντες οὗτοι φθινωδῶς συνετάκησαν. εἰ δὲ μετὰ πυρετοῦ ποτε γένοιτο, σὺν ἄλλοις σημείοις παρακρουστικοῖς συντελέσει τι καὶ αὐτὰ πρὸς τὴν τοῦ παρακρουστικοῦ πρόγνωσιν, ἄλλως δὲ οὐχί. μὴ τοίνυν αὐτῷ θαρρήσῃς μόνῳ ποτὲ, ἐπὶ προρρήσει παρακοπῆς. τό γε μὴν ἴδιον παραφροσύνης σημεῖον πολλάκις ἠκούσατε. λέλεκται δὲ κἀν εἰς τὸ προρρητικὸν ὑπομνήμασιν, ὡς ἡ θερμότης προσγινομένη, ἐκείνοις δύναταί τι συντελεῖν εἰς παραφροσύνην, τῷ πληροῦν κατὰ κεφαλήν· αὐτὴ δὲ καθ' ἑαυτὴν οὐδαμῶς ἐστὶν ἱκανὴ σημεῖον γίνεσθαι παραφροσύνης, καὶ μάλιστα φρενιτικῆς. ἔπειτα δὲ μετὰ τὰς ἀκμὰς τῶν πυρετῶν, ὑποπαραφέρονται πολλοὶ, τῷ λόγῳ τῆς κατὰ τὴν κεφαλὴν πληρώσεως. ἐν δὲ τῇ προκειμένῃ ῥήσει πρόσκειται τισὶ τῶν ἀντιγράφων ἐπὶ τῇ τελευτῇ τὸ, οἷον ἐν Πλήνῳ, καθ' ἕτερον δὲ, τὸ ὡς ὁ Πλὴν οἴῳ. καὶ ὅσοι τῶν ἐξηγητῶν προσήκαντο τὴν γραφὴν, ὥσπερ καὶ ὁ Σαβῖνος, τόπου τινὸς ὄνομά φασιν εἶναι τὸ, Πλήν. οὐ μὴν τινός γε πόλεως ὁ τόπος οὗτός ἐστι προσέθεσαν τῷ λόγῳ.

GALENI COMMENTARIUS.

Sputorum rotundorum veluti materialis causa crassitudo est, atque tenacitas humorum in fibris pulmonis collectorum: causa veluti effectrix est loci calor. Et in quibusdam febre vacantibus id fieri vidimus, qui per valde longum temporis intervallum nihil mali pati videbantur: attamen isti omnes postea phthisi contabuerunt. Quòd si sputa hæc nonnunquam in febre unà cum aliis signis delirium portendentibus adsint, aliquid, & ipsa ad futurum delirium præsagiendum facient, aliter vero minime. Ne igitur hoc solo indicio ad prædicendam insaniam unquam confidito. Porro insaniæ propriam notam frequenter audivistis. Diximus autem & in nostris in librum prædictionum Commentariis, quod calor ille adjunctus ad excitandam insaniam aliquid facere potest, caput scilicet replens: sed ipse per se nequaquam idoneum insaniæ & præsertim phreniticæ, signum est: præterea & in febrium summo impetu, quoniam caput repletum est, multi delirant. In proposito autem sermone in quibusdam codicibus, in fine additum est, ut in Pleno, & in alio, ut Plen soli: & quicunque Interpretes lectionem hanc probaverunt, ut etiam Sabinus loci cujusdam nomen Plen esse dixerunt: sed cujus civitatis locus iste esset, orationi non addiderunt.

A

HIPPOCRATIS TEXTUS XXXVII.

Mariscis laborantes, neque morbo laterali, neque pulmonario, neque phagedænâ, neque furunculis, neque therminthis, fortasse verò, neque lepris, fortasse neque aliis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ΄.

Οἱ αἱμορροΐδας ἔχοντες, οὔτε πλευρίτιδι, οὔτε περιπνευμονίῃ, οὔτε φαγεδαίνῃ, οὔτε δοθιῆσιν, οὔτε τερμίνθοισιν, ἴσως δὲ οὐδὲ λέπρῃσιν, ἴσως δὲ, οὐδὲ ἄλλοισιν.

GALENI COMMENTARIUS.

Deficit hoc verbum, *capiuntur*, & ideo prius subintelligendum est. Cur vero in his malis non capiantur, clarum est: vitiosis enim succis per mariscas depulsis, quidam sane mali habitus in toto corpore accidunt, & pallores, & hydropes, sed nullus ejusmodi morbus. Quod phagedænas autem vocet corrodentia ulcera, quæ quidem, & phagedænica veteres Medici nominarunt, à nobis dictum est, & in tertio super Librum de humoribus Commentario: siquidem & in illo iisdem verbis hic aphorismus scriptus est. Porro nonnulli phagedænas multorum ciborum esus esse voluerunt: quos & ipsos à vitiatis humoribus immodicos edendi appetitus excitantibus provenire, & à nobis conceditur: non tamen hujus malorum succorum copiæ, sed melancholicæ potius hæmorrhoidas, id est, mariscas, medelam esse statuimus. Cæterum hujusmodi succorum frigidus acor talem ciborum appetentiam excitans, interdum, & in nonnullis hæmorrhoidas habentibus inventus est. Sed terminthorum nomen nigras quasdam pustulas in tibiis maxime orientes significat, à figuræ, coloris, magnitudinisque similitudine, quam cum terminthorum, id est cicerum fructu habent, derivatum. Sed quod in extremis verbis scriptum est, fortasse autem, neque aliis, quidam legunt, fortasse autem, neque alphis, id est, vitiliginibus: quandoquidem & ipsæ ex quodam pravo humore cuti impacto ortum habent.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Ἐλλείπει δηλονότι τὸ ἁλίσκονται, καὶ χρὴ προσυπακούειν αὐτό. διὰ τί δ' οὐχ ἁλίσκονται, δῆλον. ἐκκρινομένης γὰρ τῆς κακοχυμίας διὰ τῶν αἱμορροΐδων, καχεξίαι μέν τινες ἕπονται, ἐνίοτε καθ' ὅλον τὸ σῶμα, καὶ ἄχροιαι, καὶ ὕδεροι, νόσημα δ' οὐδὲν τοιοῦτον. φαγεδαίνας δ' ὅτι λέγει τὰ διαβιβρωσκόμενα τῶν ἑλκῶν, ἃ καὶ φαγεδαινικὰ καλοῦσιν οἱ παλαιοὶ τῶν ἰατρῶν, εἴρηται κἀν τῷ τρίτῳ τῶν εἰς τὰ περὶ χυμῶν ὑπομνημάτων. καὶ γὰρ κατ' ἐκεῖνο
C διὰ τῆς αὐτῆς λέξεως ἡ ῥῆσις γέγραπται. τινές γε μὴν ἤκουσαν φαγεδαίνας, τὰς τῶν πολλῶν βρωμάτων ἐδωδάς, ἃς καὶ αὐτὰς ὑπὸ κακοχυμίας γίνεσθαι ἀμέτρους ὀρέξεις σιτίων, ὁμολογεῖται καὶ πρὸς ἡμῶν. οὐ μὴν τοιαύτης γε κακοχυμίας κενώσεως ἄκος εἶναι τὰς αἱμορροΐδας, ἀλλὰ τῆς μελαγχολικῆς μᾶλλον. ὀξύτης δὲ χυμῶν ψυχρά, τὴν τοιαύτην ἐργαζομένη τῶν σιτίων ὄρεξιν, ἤδη τισὶ καὶ τῶν τὰς αἱμορροΐδας ἐχόντων ἐγένετο. καὶ τὸ τῶν τερμίνθων δ' ὄνομα, μελάνων τινῶν ἐκφυμάτων ἐν ταῖς κνήμαις μάλιστα
D γινομένων, ἐστὶ δηλωτικόν, ἀπὸ τῆς κατὰ σχῆμα, καὶ χρόαν, καὶ μέγεθος, ὁμοιότητος τῷ καρπῷ τῶν τερμίνθων, γεγονός. τὸ δ' ἐπὶ τῷ τέλει τῆς ῥήσεως γεγραμμένον. ἴσως δὲ οὐδὲ ἄλλοισιν, ἔνιοι γράφουσιν, ἴσως δ' οὐδ' ἀλφοῖσιν. ἐπειδὴ καὶ οἱ ἀλφοὶ κακοχυμίας τινός εἰσιν ἔκγονοι, περὶ τῷ δέρματι συνισταμένης.

HIPPOCRATIS TEXTUS XXXVIII.

Medela quidem multis importunè adhibita, talibus non tardè capti sunt: & perniciosè sic.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λή.

E Ἰηθέντος γε μὴν ἀκαίρως συχνοί, τοῖσι τοιουτέοισιν οὐ βραδέως ἑάλωσαν, καὶ ὀλέθρια οὕτω.

GALENI COMMENTARIUS.

Importune eorum mariscis medentur, qui neque venam per circuitus scindunt, neque alvum ducentibus utuntur, neque per exercitationes evacuant, neque unam ex iis, saltem relinquunt, sed omnes unà tollunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀκαίρως θεραπεύονται τὰς αἱμορροΐδας, οἱ μήτε φλεβοτομούμενοι κατὰ περιόδους, μήτε δι' ὑπηλάτων, ἢ γυμνασίων κενούμενοι, μήτε καταλιπόντες ἐξ αὐτῶν
F κἂν μίαν, ἀλλὰ πάσας ἀθρόως ἐξαιροῦντες.

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

Καὶ ὅσαι ἄλλαι ἀποστάσιες οἷον σύριγγες, ἑτέρων ἄκος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πολλάκις ἤδη λιπὰς ἀποστάσεις εὕρομεν αὐτὸν οὐκ ἐπὶ μόνον τῶν κατὰ ἀπόθεσιν, ἀλλὰ κἀπὶ τῶν ἐκκρίσεων ὀνομάζοντα. τῶν οὖν τοιούτων παθημάτων ἐν οἷς καὶ σύριγγές εἰσιν, ἐκκαθαίρονται δι' αὐτῶν τὰς περιουσίας τῶν χυμῶν. ὥσπερ οὖν ἐπὶ τῶν αἱμορροΐδων, οὕτω κἀπὶ τούτων, οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχε τὴν θεραπείαν ποιητέον ἐστί.

HIPPOCRATIS TEXTUS XXXIX.

Et quicunque alii abscessus, ut fistulæ.

GALENI COMMENTARIUS.

Sæpius ipsum non ea solùm, quæ in aliquam partem corporis seponuntur, sed etiam ea quæ expelluntur, abscessus nominare invenimus. In quibus igitur ex his affectibus, & fistulæ insunt, per eas humores supervacui expurgantur. B Quemadmodùm igitur hæmorrhoidibus, ita & his non simpliciter, neque temerè curatio adhibenda est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

Σκῆψις μὲν ἐφ' οἷσι γινόμενα ῥύεται, τούτων προγινόμενα κωλύει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς παλαιᾶς γραφῆς οὔσης ταύτης, ἐπὶ τὸ σαφέστερον αὐτὸν μετατεθείκασι πολλοὶ τῶν ἐξηγητῶν, ἀντὶ τοῦ γινόμενα καὶ προγινόμενα, γινομένη γράψαντες, ἵν' ἐπὶ τὴν ἀπόσκηψιν ὁ λόγος ἀναφέρηται, πάντες δὲ ἤκουσαν τὴν σκῆψιν ἐπὶ τῆς ἀποσκήψεως εἰρῆσθαι. τάχα καὶ σφαλέντος τοῦ πρώτου γράψαντος βιβλιογράφου, ὡς ταῖς διανοίαις τὰ αὐτὰ κατὰ πάσας τὰς γραφάς ἐστι. βούλεται γὰρ ὁ Ἱπποκράτης λέγειν τὰς ἀποσκήψεις, ἐφ' οἷς μὲν πάθεσι γινόμεναι λύειν αὐτὰ δύνανται, τούτων προγινομένας κωλύειν γενέσθαι. δοκεῖ δέ μοι δύνασθαι καὶ οὕτως ἀκούειν τῆς ῥήσεως, εἴ γε κατὰ τήνδε τὴν λέξιν εἴρητο· σκέψις μέν ἐστι, πάντα ἐφ' οἷσι γινόμενα ῥύεται, τούτων προγινομένων, κωλύειν. γραφόντων γὰρ τῶν παλαιῶν τόν τε τοῦ η. φθόγγον, καὶ τὸν τοῦ ε. δι' ἑνὸς χαρακτῆρος, ὃς νῦν μόνος σημαίνει τὸν ἕτερον φθόγγον τὸν η. πολλὰ γέγονεν ἁμαρτήματα τῶν ἐγγραφομένων, οὐ κατὰ τὴν γνώμην τῶν γραψάντων, τὴν μετάθεσιν τῶν γραμμάτων ποιησαμένων. διὸ καὶ προσέχειν ἀκριβῶς χρὴ ταῖς τοιαύταις γραφαῖς ἐν αἷς δυνατόν ἐστι τὸν τοῦ η. φθόγγον εἰς τὸν τοῦ ε. μεταθέντας, ἢ τοὔμπαλιν γράψαντας ἐπανορθώσασθαι τὴν γραφήν. ὁμοίως δὲ κἀπὶ τοῦ ο. καὶ ω. ποιητέον, ἐπειδὴ καὶ τούτων ἀμφοτέρων οἱ φθόγγοι δι' ἑνὸς χαρακτῆρος ἐγράφοντο.

HIPPOCRATIS TEXTUS XL.

Decubitus quidem, in quibus facta tollit, hæc ante facta prohibet.

GALENI COMMENTARIUS.

C Cum vetus scriptura ita se habeat, multi Explanatores in clariores mutaverunt, loco harum vocum, *facta & antefacta*, numeri pluralis, neutri generis, reponentes, *factus & ante factus*, ut ad sepsin, id est decubitum sermo referatur. Omnes autem decubitum pro abscessu dictum esse intellexerunt, fortasse, & primo qui Librum descripsit, aberrante. Sed verba sensu non discrepantia in omnibus scripturis inveniuntur. Vult enim Hippocrates dicere, Abscessus in quibus morbis facti eos discutere D queunt, si prævertant, iisdem, ne fiant impedimento sunt. Mihi autem, & in hunc sensum oratio accipi posse videtur, si hoc modo verba scripta essent: Consideratio quidem est, omnia quæ post aliqua, orta liberant, eadem, si antevertant fieri prohibere. Nam quum antiqui Græci duo elementa, η & ε, eodem charactere notarent, qui nunc solus alterum elementum tantum, η scilicet significat, multi errores Librarii commissi sunt, non secundùm Auctorum mentem literarum permutationem facientibus. E Quocirca & accuratè hujuscemodi scripturæ considerandæ sunt, in quibus elementum η in ε transmutantes, & è contrario scribentes, lectionem castigare queunt. Idem & in elemento ο & ω faciendum est, quoniam utriusque figuræ uno jampridem charactere signabantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα'.

Ἄλλου τόπου, τόποι δεξάμενοι, ἢ πόνῳ, ἢ βάρει, ἢ ἄλλῳ τινὶ ῥύονται, ἢ ἀλλοίωσιν αἱ κοινωνίαι.

HIPPOCRATIS TEXTUS XLI.

F *Loci alterius, loci excipientes: aut dolore, aut gravitate, aut alio quopiam liberant. Aut cum aliis communicationes.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ αὐτὴ ῥῆσις ἥδε κἀν τῷ περὶ χυμῶν ἐπὶ τῷ τέλει τοῦ βιβλίου γέγραπται. καθάπερ καὶ αἱ περὶ αὐτῆς ἀπὸ τῆς πρώτης, ἐν ᾗ φησιν, οἱ αἱμορροΐδας ἔχοντες. ἐξηγήμεθα οὖν ἐκεῖ τελεώτερον αὐτάς, εἰρήσεται δὲ καὶ νῦν

GALENI COMMENTARIUS.

Hic idem aphorismus in Libello de succis ad calcem scriptus est, quemadmodum & antè ipsum positi: quorum primus est ille, à mariscis tentati. Eo igitur loco ipsos accuratiùs enodavimus: verùm, & nunc per summam

explanabimus. Sententia nanque propositorum verborum hæc est: Ab aliis locis in alios susceptiones morborum fiunt, prout succi eos facientes migrant, aut ob membri, in quod vagantes delabuntur, dolorem aliquem: aut ob suam ipsorum gravitatem: aut etiam ob caussam quandam aliam, ut medicamentum acre irritans, & frictionem, aut aliquem calorem extrinsecus incidentem: quinetiam ob naturæ membrorum communionem migrationes humorum fiunt. Testiculus etiam tumefactus in tussientibus documentum est affinitatis cum pectore, mammis, genitura, voce. Quidam verò ea verba cum aliis communicationes, ita scribentes, diversæ communicationes, sequentis aphorismi initium faciunt, dicentes, Hippocratem ad aliam communicationis speciem transivisse, eam scilicet, quæ secundùm humorum cognationem fit. Ipse igitur (inquit) dicit, ob inclinationem non præterea sanguis exit, sed propter humoris cognationem talia expuunt. Ita verò & Ruffus scripsit, distinxitque verba, veluti propositum quoddam, hæc verba esse putans, diversæ communicationes: quæ sequuntur autem, veluti propositi explanationem. Dicit enim cognationem sanguini cum pure intercedere: quibus non amplius sanguis expuitur, quum ipse scilicet ad contraria inclinaverit, istis purulenta sputa sanguini esse cognata: atque orationem hunc in modum scribit, sed propter humoris cognationem pus expuunt. Cæterùm Sabini discipuli veterem lectionem retinentes, proprium dictorum initium illud fecerunt, propter inclinationem, ad quod jam transitum faciemus.

A τὸ κεφάλαιον. ἡ γὰρ τοι διάνοια τῆς προκειμένης ῥήσεώς ἐστι τοιάδε. ἐξ ἄλλων τόπων εἰς ἄλλους διαδοχαὶ γίνονται νοσημάτων, κατὰ μετάστασιν τῶν ποιούντων αὐτὰ χυμῶν, ἤτοι διὰ πόνον τινὰ τοῦ μέρους, εἰς ὃ μεθιστάμενοι κατασκήπτουσιν, ἢ διὰ τὸ σφῶν αὐτῶν βάρος, ἢ καὶ δι' ἄλλην τινὰ αἰτίαν οἷον φάρμακον ἐρεθίζον δριμὺ, καὶ τρίψιν, ἢ τινα θερμασίαν ἔξωθεν προσπίπτουσαν. ἀλλὰ καὶ διὰ κοινωνίαν τῆς φύσεως τῶν μορίων γίνονται μεταστάσεις. ὄρχις γοῦν
B οἰδήσας ἀπὸ βηχέων ὑπόμνημα κοινωνίας, στήθει, μαζοῖς, γονῆς, φωνῆς. ἔνιοι δὲ τὸ, ἀλλοῖαι αἱ κοινωνίαι, γράψαντες, ἀλλοῖαι κοινωνίαι τῆς ἐπομένης ῥήσεως ἀρχὴν αὐτὸ ποιοῦσι, φάσκοντες ἐπ' ἄλλο κοινωνίας εἶδος αὐτὸν μετεληλυθέναι τὸ κατὰ τὴν τῶν χυμῶν συγγένειαν. αὐτὸς γοῦν φασὶ λέγει, διὰ τὴν ῥοπὴν οὐκέτι αἷμα ἔρχεται, ἀλλὰ διὰ τὴν τοῦ χυμοῦ συγγένειαν, τοιαῦτα πτύουσιν. οὕτω δὲ καὶ ὁ Ῥοῦφος ἔγραψέ τε καὶ διεῖλε τὴν λέξιν οἷον προσγραφὴν μέν τινα νομίζων εἶναι τὸ, ἀλλοῖαι κοινωνίαι. τὴν δ' ὥσ-
C περ ἐξήγησιν τῆς προγραφῆς τὰ ἐπιφερόμενα. φησὶ γὰρ εἶναι κοινωνίαν τῷ αἵματι πρὸς τὸ πύον. οἷς οὐκέτι αἷμα πτύεται, τῆς ῥοπῆς ἐπὶ τἀναντία γινομένης αὐτῷ, τούτοις τὰ συγγενῆ τοῦ αἵματος γίνεσθαι πτύσματα πυώδη. διὸ καὶ τὴν λέξιν οὕτω γράφει, ἀλλὰ διὰ τοῦ χυμοῦ τὴν συγγένειαν, πύα πτύουσιν. οἱ δὲ περὶ τὸν Σαβῖνον φυλάξαντες τὴν παλαιὰν γραφὴν, ἰδίαν ἀρχὴν ἐποιήσαντο τῶν λεγομένων τὸ διὰ τὴν ῥοπὴν, ἐφ' ἣν ἤδη μεταβησόμεθα.

D

HIPPOCRATIS TEXTUS XLII.

Propter inclinationem non item sanguis exit sed pro humoris cognatione talia expuunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβ'.

Διὰ τὴν ῥοπὴν οὐκέτι αἷμα ἔρχεται, ἀλλὰ κατὰ τοῦ χυμοῦ τὴν ξυγγένειαν τοιαῦτα πτύουσιν.

GALENI COMMENTARIUS.

Olim exactius hæc verba interpretati sumus in tertio Libri de humoribus Commentario, sed in præsentia quoque ipsa brevius explanabimus. Quum sanguis per aliquam partem exire solitus, ut per sedem, aut nares, aut uterum, aut per circuitum ex ventre, aut fistula, aut ex qualibet alia parte in alia membra impetum fecerit, non item per priorem locum evacuatur. Hoc autem est privatum exemplum sanguinis in pectus, & pulmonem decumbentis. Ex hoc enim loco ab aliis alius pro humorum cognatione expuitur, spumans quidem quum pituitosus est: pallidus, quum biliosus: niger, quum melancholicus, sicut & ruber, quum sanguis eò confluens purus est. Jure igitur quidam τ literam præponentes non ῥοπὴν, id est, inclinationem, sed τροπὴν, id est, conversionem, scribunt, propter sanguinis conversionem scilicet putantes ejus conversationi propinquum humorem expui: mutatur enim nonnunquam ad biliosum, nonnunqcam ad melancholicum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐξήγημαι μὲν ἤδη τελέως τὴν ῥῆσιν ταύτην ἐν τῷ τρίτῳ τῶν εἰς τὸ περὶ χυμῶν ὑπομνήματι. καὶ νῦν
E δ' ἐρῶ συντομώτερον αὐτήν. ὅταν αἷμα διά τινος μέρους ἐκκενούμενον. οἷον ἕδρας, ἢ ῥινὸς, ἢ μήτρας, ἢ κατὰ περίοδον ἐκ γαστρὸς, ἢ σύριγγος, ἢ ὁθενοῦν ἑτέρωσε ἐπ' ἄλλα μόρια ποιήσηται τὴν ῥοπὴν, οὐκέτ' ἐκκενοῦται τοῦτο διὰ τοῦ πρόσθεν χωρίου, παράδειγμα δὲ τοῦτο μερικὸν ἐστὶν ἐπὶ τοῦ τὴν ῥοπὴν εἰς θώρακα καὶ πνεύμονα ποιησαμένου. πτύεται γὰρ ἐντεῦθεν ἄλλοις ἄλλο κατὰ τὴν τῶν χυμῶν συγγένειαν. ἀφρῶδες μὲν, ὅταν ᾖ φλεγματικός. ὠχρὸν δ' ὅταν πικρόχολος· μέλαν δ'
F ὅταν μελαγχολικὸς, ὥσπερ γε ἐρυθρὸν, ὅταν τὸ αἷμα καταρκήπτον ᾖ καθαρόν. εἰκότως οὖν ἔνιοι τὸ τ'. γράμμα προσθέντες, οὐ ῥοπὴν, ἀλλὰ τροπὴν ἔγραψαν, διὰ τὴν τροπὴν τοῦ αἵματος ἀξιοῦντες πτύεσθαι τὸ συγγενὲς τῇ τροπῇ. τρέπεται γὰρ ἐνίοτε μὲν ἐπὶ τὸ πικρόχολον, ἐνίοτε δ' ἐπὶ τὸ μελαγχολικόν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγ'.

Ἔστιν οἷσιν αἷμα ἀφαιρέειν ἐν καιρῷ ἐπὶ τοῖσι τοιούτοισιν. ἐπ' ἄλλοισι δὲ, ὥσπερ ἐπὶ τούτοισιν οὐκ εἰκός.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συμφέρει φησὶν αἵματος ἀφαιρεῖσθαί τινας τούτων εἰς δηλονότι πλέον ἐστὶ τοῦτο, καὶ μηδέπω τροπὴν ἀξιόλογον εἰς ἄλλον χυμὸν πεποιημένον, οὐκ ἀφαιρεῖσθαι δὲ, οἷς ἤδη τέτραπται. προηγουμένου τοῦ κατὰ τὴν δύναμιν σκοποῦ, κἂν παραλείπηταί ποτε κατὰ τοὺς λόγους, ἐν οἷς τὰς ἀπὸ τῶν διαθέσεων μόνον ἐνδείξεις διερχόμεθα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδ'.

Κώλυσις ἐπὶ τοῖσιν αἱματώδεα πτύουσιν, ὥρη, πλευρῖτις, χολή.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ταύτην μὲν τὴν ῥῆσιν ἐφεξῆς ταῖς προγεγραμμέναις, ἐν τοῖς τελευταίοις τοῦ περὶ χυμῶν, ἄλλος ἄλλως καὶ γράφει, καὶ ἐξηγεῖται. πασῶν οὖν μὲν τῶν γραφῶν καὶ τῶν ἐξηγήσεων ἀπιθάνων οὐσῶν, ἡ μετριωτέρως ἔχειν μοι δόξασα τῶν ἄλλων ἐστί. ἡ μὲν γραφὴ κατὰ τὴν ἀποπλεγομένην δόξαν, λέξιν. ἡ δ' ἐξήγησις, ἵνα τοῖς αἱματώδη πτύουσιν ἡ φλεβοτομία κωλύηται διὰ τὴν ὥραν ἀντιπράττουσαν, ἢ διὰ τὸ πάθος ὂν πλευριτικὸν, ἢ διὰ τὸν πλεονάζοντα χυμὸν ὄντα χολώδη. τὸ μὲν οὖν διὰ τὴν ὥραν, εὔδηλον. ἐν γὰρ ταῖς πάνυ θερμαῖς ὥραις, οἷά περ ἐστὶν ὑπὸ κύνα φυλαττόμεθα φλεβοτομίαν, ὡσαύτως δὲ κἂν χολώδης ἱκανῶς ὁ ἄνθρωπος ᾖ. τὸ δ' ἐπὶ τῆς πλευρίτιδος, δοκεῖ μάχεσθαι μόνον. οὐ γὰρ ἀντιπράττει φλεβοτομία τὸ πάθος, ἀλλὰ δεῖται μὴ κωλυούσης τῆς δυνάμεως, ἢ τῆς ὥρας, ἢ τῆς ἡλικίας. ἔοικεν οὖν τοιοῦτόν τι τὸ λεγόμενον εἶναι· τοὺς αἱματώδη πτύοντας φλεβοτομητέον ἐστὶ, πάντως ὅσον ἐπὶ τούτῳ, πλὴν εἰ μὴ διὰ πλευρῖτιν πτύοιεν τοιαῦτα. τούτους γὰρ οὐ πάντως φλεβοτομήσεις, ὡς αἷμα πτύοντας, ἀλλὰ τοῖς ἰδίοις τῆς πλευρίτιδος ὑγιάσεις διορισμοῖς, καθ' οὓς, ἤτοι φλεβοτομητέον ἐστὶ τοὺς οὕτω πάσχοντας, ἢ μή. τοῦτο δέ μοι προσεπινοῆσαι συνέβη ἐξηγουμένῳ τὸ περὶ χυμῶν, ἐν τῷ μεταξὺ θεασαμένῳ τινὰ ἄρρωστον, ὃς ὡς αἱματοπτοϊκὸς ἐκάλεσέ με, πτύσας αἱματῶδες ἀπὸ πλευροῦ. θεασάμενος οὖν ἐγὼ τὸ πτυσθὲν, ἠρόμην αὐτὸν εἴ τινα αἴσθησιν ὀδυνηρὰν ἔχει κατὰ τὸ πλευρὸν, ὁ δ' ὡμολόγησεν εἶναι μικράν. ἦν δ' οὕτως ἔχων καὶ τῆς ἕξεως καὶ τῆς δυνάμεως, ὡς εἰ μὲν ἐπτυκὼς ἦν αἷμα, διὰ τὸ κατεπείγειν τὸ τῆς φλεβοτομίας βοήθημα, τολμῆσαι παραλαβεῖν αὐτό. πλευρίτιδος δ' οὔσης ἐπιεικοῦς, οὐκ ἀναγκαῖον εἶναι, διόπερ οὐδὲ παρέλαβεν αὐτὸ, καὶ

A

HIPPOCRATIS TEXTUS XLIII.

Nonnunquam aliquibus sanguinem detrahi convenit opportune in talibus. In aliis verò, ut in talibus non convenit.

GALENI COMMENTARIUS.

B Expedit, inquit, horum aliquibus sanguinem detrahi, quibus scilicet is copiosus est, & nondum insigniter ac alterum humorem conversus. Non detrahendus est autem, in quibus jam mutatus est, proposito à viribus sumpto antecedente, & si nonnunquam in sermonibus omittatur, in quibus solas ab affectibus indicationes recensemus.

HIPPOCRATIS TEXTUS XLIV.

C *Impedimentum incruenta spuentibus tempus anni phlegmone lateris, bilis.*

GALENI COMMENTARIUS.

Et hunc quidem aphorismum deinceps post antescriptos in fine Libri de humoribus alius aliter & scribit, & explanat. Quum omnes igitur & scripturæ, & interpretationes verisimiles non sint, aliis tolerabilior mihi visa est scriptura quidem non in propositis verbis expressa, explanatio verò hæc: D Cruenta sputa rejicientibus sectio venæ impeditur, propter anni tempus, adversarium, aut affectum lateris; aut humorem biliosum abundantem. Quod propter anni tempus, clarum est; nam admodum calidis temporibus, qualia sunt prope canis ortum, à venæ solutione cavemus: necnon si valde biliosus homo sit. Verùm, quod de lateris morbo dictum est, solum refragari videtur: neque enim secandæ venæ affectus iste repugnat, immò indiget viribus non prohibentibus, aut anni tempore, aut ætate. Itaque quod dicitur, tale E quiddam esse videtur. Sanguineum sputum rejicientibus omnino, quantum ad hoc pertinet, secanda vena est, nisi propter lateris morbum tale rejiciant: isti namque haud prorsus, ut sanguinem spuentibus, venam aperies; sed propriis lateris morbi regulis, & conditionibus medicaberis, per quas ita affectis vel sanguinem detrahemus, vel non. Id vel mihi amplius animadvertere contigit, quum Librum de humoribus explanarem. Inter explanandum enim quendam ægrotum intuitus sum, qui me ut sanguineo sputo vexatus accersivit, sed cruentum ob lateris affectum expuebat. F Sputum igitur ego conspicatus ipsum interrogavi, num aliquem dolorem in costa sentiret: ipse verò exiguum se dolorem percipere fassus est. Talis autem erat ejus habitus, atque vires, ut si sanguinem expuisset, quoniam necessarium esset secandæ venæ auxilium, ad ipsum accedere ausus essem: sed, quum morbus lateris mitis admodum foret, necesse non erat. Ideo neque id genus remedii adhibuimus: atque

que

que evidenter hominem hunc lateris morbo laborare cognovimus, quòd & aliis huic morbo congruentibus remediis, citra venæ sectionem, levatus est: mitissimi enim illi sunt lateris morbi, in quibus cruenta sputa ejiciuntur. Porro quidam Interpretes vocem illam, *impedimentum*, fini antescriptæ sententiæ adjicientes, hanc modò propositam, ita legunt, in cruenta spuentibus, tempore, morbo lateris, bile. Et aiunt, tempus de iis dictum esse, quæ opportune & decenter fiant: ipsum enim velle significare in lateris morbis, cum sanguinea sputa ab initio reddunt, etenim sic plerunque contingit, post hæc in biliosam naturam mutationem in tempore fieri. Nam probum esse ordinem dicunt, morbo lateris ad judicationem tendente, post cruenta, biliosa expui. Alia præterea quædam ab hujusce loci Explanatoribus haud sanè memoratu digna narrata sunt: verùm ego malo, ut jam novistis, in obscuris sermonibus tempus non terere, quum alia multa in arte habeamus, in quibus utiliter nos exercere possimus.

A σαφῶς ἐφάνη πλευριτικὸς τε ὁ ἄνθρωπος, ὑπακούσας τε τοῖς ἄλλοις τῆς πλευρίτιδος βοηθήμασιν ἄνευ τῆς φλεβοτομίας. καὶ γὰρ καὶ μετριώταται τυγχάνουσιν, ἐφ' ὧν αἱματώδεα πτύεται. ἔνιοι γε μὴν τῶν ἐξηγητῶν, τὸ, κώλυσις, ἐπὶ τῇ τελευτῇ τῆς προγεγραμμένης ῥήσεως τάξαντες, ἀναγινώσκουσι τὴν δὲ τὴν νῦν προκειμένην οὕτως. ἐπὶ τοῖσιν αἱματώδεα πτύουσιν, ὥρη, πλευρίτιδι, χολῇ, καί φασι τὴν ὥραν εἰρῆσθαι κατὰ τῶν ἐν καιρῷ καὶ προσηκόντως γινομένων. βούλεσθαι γὰρ αὐτὸν δηλοῦν, ἐν ταῖς B πλευρίτισιν, ὅταν ἐν ἀρχῇ πτύουσιν αἱματώδη. ὃ γὰρ καὶ συμβαίνει οὕτω τοὐπίπαν ἐν καιρῷ γίνεσθαι μετὰ ταῦτα τὴν εἰς τὸ χολῶδες μεταβολήν. τάξιν γὰρ εἶναι καλῶς προϊούσης τῆς πλευρίτιδος, ἐπὶ τὴν κρίσιν ἐφεξῆς τοῖς αἱματώδεσι τὰ χολώδη πτύεσθαι. λέλεκται δὲ καὶ ἄλλα τοῖς ἐξηγησαμένοις τὴν λέξιν ταύτην οὐκ ἄξια μνήμης. ἐγὼ δ' ἀεὶ προαιροῦμαι, καθάπερ ἴστε, τὸ μὴ χρονίζειν ἐν ταῖς αἰνιγματώδεσιν, ἔχοντας ἄλλα πολλὰ κατὰ τὴν τέχνην, ἐν οἷς δυνάμεθα χρησίμως γυμνάζεσθαι.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ ΥΠΟΜΝΗΜΑ ΤΕΤΑΡΤΟΝ.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

HIPPOCRATIS EPIDEMIORVM LIBER SEXTVS,

ET GALENI IN EVM COMMENTARIVS QVARTVS.

SECTIO QVARTA.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

ΤΑ παρ' οὖς εἴσιν ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσῃ, τουτέων λαπασσομένων ὑποστροφὴ γίνεται. κατὰ λόγον τῶν ὑποστροφέων τῆς ὑποστροφῆς γινομένης, αὖθις αἴρεται, καὶ παραμένει, ὥσπερ αἱ τῶν πυρετῶν ὑποστροφαὶ ἐν ὁμοίᾳ περιόδῳ· ἐπὶ τούτοισιν ἐλπὶς εἰς ἄρθρα ἀφίστασθαι. A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟὺς παρὰ τοῖς ὠσὶν ὄγκους παρὰ φύσιν ἐπὶ τῶν νοσούντων γινομένους εἴωθεν ὀνομάζειν ἐπάρματα. B ἐνίοτε μὲν ὁλοκλήρῳ τῇ λέξει χρώμενος, ἐνίοτε δ' ἐλλείπει, καθάπερ καὶ νῦν· ἦν γὰρ ἂν ὁλόκληρος εἰ οὕτως εἴρητο, τὰ παρ' οὖς ἐπάρματα γινόμενα τοῖς νοσοῦσιν. ὥσπερ ἀμέλει κἂν τῷ προτέρῳ τῶν ἐπιδημιῶν εὐθέως ἐν ἀρχῇ τῆς προτέρης καταστάσεως ἔγραψεν. ἐπάρματα δὲ κατὰ τὰ ὦτα πολλοῖσιν ἑτερόῤῥοπα, καὶ ἐξ ἀμφοτέρων

HIPPOCRATIS TEXTUS I.

QVibus secundum aures judicationis tempore genita non suppuraverint, hoc inanito, reversio fit, secundum rationem reversionum. Reversione factâ, iterum efferuntur, & permanent, quemadmodum febrium reversiones in similem circuitum. In istis spes est in articulis abscedere.

GALENI COMMENTARIUS.

SEcundum aures præter naturam tumores in ægrotantibus exortos eparmata nominare consuevit, interdum locutione integra utens, interdum mutila, quemadmodum & nunc: esset enim integer sermo si ita dixisset: Secundum aures eparmata exorta ægrotantibus, quemadmodum sanè & in primo de Morbis vulgaribus statim initio primæ constitutionis scripsit: Eparmata verò secundum aures multis in alterutram partem vergentia, & ab utraque

aure plurimis, sine febre munia sua obeuntibus. Scimus autem ipsum, sicut hoc loco eparmata dixit, ita & œdemata plerunque ea nominare. Declaravimus enim omnes præter naturam tumores ita ab Hippocrate nominari, non, ut à posterioribus, laxos & dolore carentes, qui in totum, & sine ulla inflammatione consistunt. Meminimus autem & omnes inflammationes, etsi tumore præter naturam careant, ab hoc eodem phlegmonas appellari: sed ipso posteriores nomen phlegmones tumoribus præter naturam attribuunt; quando cum inflammatione & resistentia, & pulsatorio dolore constiterint. Inquit igitur, quum in morbo aliquo judicationis tempore tumores secundùm aurem exorti: priusquam suppurent, inanientur, id est, retrahantur, & evanescant, expectare oportet ita affectus recidivam fore. Olim vero ipsius consuetudinem sæpius didicistis, hanc vocem λαπάσσεσθαι, id est evacuari, ad omnia quæ utcunque retrahuntur, applicantis, quandoquidem ista magis vacua redduntur. Accidere itaque illis dicit morbi reversionem, quibus parotides non suppuraverint: atque interdum ipsas (neque enim semper) denuo reverti, augescere, ac judicari, secundùm reversionum rationem: quod idem est, ac si dixisset, perinde ut ipsæ, & secundùm eosdem dierum circuitus. Spes est autem, & ipsis in articulis aliquos esse orituros abscessus: nam sæpius in longis morbis id evenire dictum est. Verùm hunc aphorismum etiam in tertio Commentario in Librum de humoribus ad finem declaravimus. Sed quum prædixerit, secundùm aurem, atque subintulerit, hoc inanito, iccirco videtur mihi Dioscorides præpositione, *ex* adjecta, scripsisse, ex hoc inanito, & inquit, oportere subintelligi, tempore, aut loco hujus, post hæc, *ex*, hoc, dictum esse. At sicui veteres scripturas immutare liceat, ipsi liceat eam vocem, *hoc*, in istam *hæc*, vertenti, à molestiis liberari.

A τοῖς πλείστοισιν ἀπύρεξιν ὀρθοστάδην. ἴσμεν δὴ ὅτι καθάπερ ἐπάρματα κατὰ τήνδε τὴν λέξιν εἴρηκεν, οὕτως οἰδήματα καλεῖ πολλάκις αὐτά. πάντας γὰρ ἐδείξαμεν ὑπ' αὐτοῦ καλουμένους τοὺς παρὰ φύσιν ὄγκους, οὐχ ὡς οἱ μετ' αὐτὸν, μόνους τοὺς χαύνους τε καὶ ἀνωδύνους, οἷς τοὐπίπαν ὑπάρχει, κατὰ χωρὶς φλεγμονῆς συνίστασθαι. μεμνήμεθα δὲ ὅτι καὶ τὰς φλεγμονὰς ἁπάσας ὀνομάζει φλεγμονὰς, κἂν χωρὶς ὄγκου παρὰ φύσιν εἶεν. οἱ γε μὴν μετ' αὐτὸν, καὶ τὸ τῆς φλεγμονῆς ὄνομα κατὰ τῶν παρὰ B φύσιν ὄγκων ἐπιφέρουσιν. ἐπειδὰν μετὰ φλεγμονῆς τε καὶ ἀντιτυπίας, καὶ σφυγμώδους ὀδύνης συστῶσιν. ὅταν οὖν φησὶν ἐπὶ νοσήματός τινος ἐν τῷ τῆς κρίσεως χρόνῳ γινόμενα τὰ παρ' οὖς πρὶν ἐκπυήσῃ λαπάσσῃ, τουτέστι περιστέλληται, καὶ ἀφανίζηται, προσδέχεσθαι χρὴ τοῖς πάσχουσιν ὑποστροφὴν ἔσεσθαι. πολλάκις δὲ ἤδη μεμαθήκατε τὸ ἔθος αὐτοῦ, τὴν κατὰ τὸ λαπάσσεσθαι φωνὴν, ἐπὶ πάντα τὰ ὁπωσοῦν περιστελλόμενα φέροντος, ἐπειδὴ κενώτερα γίνεται. συμβαίνειν οὖν φησὶν ὑποστροφὴν τοῦ νοσήματος οἷς ἂν αἱ παρωτίδες μὴ ἐκπυήσωσι, καί ποτε καὶ αὐτὰς (οὐ γὰρ C δὴ διὰ παντὸς) γε πάλιν ὑποστρέφειν αὐξάνεσθαί τε καὶ κρίνεσθαι κατὰ λόγον τῶν ὑποστροφῶν, ὅπερ ἐστὶν ὁμοίως αὐταῖς, καὶ κατὰ τὰς αὐτὰς περιόδους τῶν ἡμερῶν. ἐλπὶς δὲ αὐτοῖς καὶ εἰς ἄρθρα τινὰς γενήσεσθαι ἀποστάσεις. εἴρηται γὰρ πολλάκις ἐπὶ τῶν χρονιζόντων νοσημάτων τοῦτο συμβαίνειν. ἐξηγήμεθα δὲ τὴν ῥῆσιν τήνδε, κἂν τῷ τρίτῳ τῶν εἰς τὰ περὶ χυμῶν ὑπομνημάτων, γεγραμμένην ἐπὶ τοῦ τέλους τοῦ βιβλίου. ἐπεὶ δὲ προειπὼν τὰ παρ' οὖς, ἐπήνεγκε, τούτου λαπασσομένου, διὰ τοῦτο, δοκεῖ μοι, Διοσκουρίδης D προσθεὶς τὴν, ἐκ, πρόθεσιν ἔγραψεν ἐκ τούτου λαπασσομένου, καί φησι χρῆναι προσυπακοῦσαι τοῦ χρόνου, ἢ αὖ τοῦ μετὰ ταῦτα, τὸ, ἐκ τούτου λέλεχθαι. εἰ δὴ ὅλως ἔξεστί τις ὑπαλλάττειν τὰς παλαιὰς γραφὰς, ἐνὸν αὐτῷ τὸ τούτου, μεταποιήσαντι ταῦτα, ἀπηλλάχθαι πραγμάτων.

HIPPOCRATIS TEXTUS II.

Urina crassa, alba, qualis Archigenis, in laboriosis quartanis interdum exit, & liberat abscessu. Si verò ultra hoc, & sanguis de naribus profluet satis & copiosè.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Οὖρον παχὺ, λευκὸν, οἷον τὸ τοῦ Ἀρχιγένεος, ἐπὶ τοῖσι κοπιώδεσι τεταρταίοις, ἔστιν ὅτε ἔρχεται καὶ ῥύεται τῆς E ἀποστάσιος. ἢν δὲ πρὸς τούτῳ, καὶ αἱμορραγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς, καὶ πάνυ.

GALENI COMMENTARIUS.

Siquidem cum articulo scriptum esset τοῦ Archigenis, subintelligeremus, aut servo, aut amico, aut familiari: si vero τῆ, aut servæ, aut uxori, aut quomodolibet domesticæ; Sed diversas lectiones afferre negamus, cùm eadem sententia servetur, & nunc iterum id pro dicendis in posterum memoriæ mandetur. Quòd laboriosas autem febres nominet, non illas in totum, quas multa motio antegressa est, sed omnes eas, in quibus aliquid laboris, seu lassitudinis sensus existit. Porro ipse in aphorismis scripsit; Lassitudines spontaneæ nunciant morbos. Et nunc sane arbitrandum potius est ipsi de ita laboriosis esse sermonem, ex multitudine crassorum vitiosorumque succorum multoties excitatis: quapropter ipsis per urinam evacuatis, morbus finitur. Securior autem morb solutio

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ μὲν τοῦ Ἀρχιγένεος, εἴη γεγραμμένον, ὑπακούσομεν ἤτοι οἰκέτῃ, ἢ φίλῳ, ἢ οἰκείῳ. ἐὰν δὲ, τῆς Ἀρχιγένεος, ἤτοι δούλῃ, ἢ γυναικὶ, ἢ καθ' ὅν τινα τρόπον οἰκείᾳ. παρῃτησάμην δὲ μεμνῆσθαι τῆς ἐν ταῖς γραφαῖς διαφωνίας, ὅταν ἡ αὐτὴ φυλάττηται διάνοια. F καὶ νῦν αὖθις ἀναμεμνήσθω τοῦτο πρὸς τὰ μέλλοντα, καὶ μέντοι καὶ ὅτι κοπιώδεις ὀνομάζει πυρετοὺς, οὐ πάντας ἐκείνους ὧν προηγήσατο συχνὴ κίνησις, ἀλλὰ πάντας ὅσοις ἂν ἡ κοπιώδης αἴσθησις. αὐτὸς γοῦν ἐν ἀφορισμοῖς ἔγραψε. κόποι αὐτόματοι φράζουσι νούσους. καὶ νῦν γε μᾶλλον ἡγητέον αὐτὸν περὶ τῶν οὕτω κοπιωδῶν εἶναι τὸν λόγον ἐπὶ πλήθει παχέων τε καὶ φαύλων χυμῶν ὡς τὸ πολὺ γινομένων, διὸ καὶ δι' οὔρων ἐκκενωθέντων αὐτῶν ἡ νόσος παύεται. πιστοτέρα δὲ ἡ λύσις

γίνεται, τῆς δὲ ἀρχῆς τῆς κενώσιος ἐν ἡμέρῃ κρισίμῳ λαβούσης. ὅσοι δὲ οὔτε δι' οὔρων, οὔτε δι' αἱμοῤῥαγίας ἐκρίθησαν, ἐς ἀπόσκημμα τούτοις ἡ νόσος εἴωθε τελευτᾷν. A

est, si evacuatio die judicatorio cœpta sit. Sed quicunque neque per urinam, neque per sanguinis effusionem, judicati sunt, istorum morbus in abscessum desinere consuevit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Ὧ τὸ ἔντερον ἐπὶ δεξιὰ, ἀρθριτικὸς ἐγένετο, ἦν ἡσυχώτερος. ἐπεὶ δὲ τοῦτο ἰητρεύθη, ἐπιπονώτερος.

HIPPOCRATIS TEXTUS III.

Cui intestinum à dextra parte, quum articulorum morbo laboraret, erat quietior: Postquam verò id curatum fuit, erat dolentior. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διττὴ κἀνταῦθά ἐστιν ἡ γραφὴ τὴν διάνοιαν ὑπαλλάττουσα. παλαιοτέρα μὲν ἡ μετὰ τοῦ ν. κατὰ τὴν προτέραν συλλαβὴν τοῦ, ἔντερον, ὀνόματος. ὑστέρα δὲ προστεθεῖσα ἡ ἄνευ τοῦ ν. βουλομένων τῶν οὕτω γραψάντων, ἐπὶ τῶν παρ' οὖς συνισταμένων εἰρῆσθαι τὸ ἕτερον, ὥσπερ γε πάλιν τῶν, τὸ ἔντερον, ἤτοι γ' ἐπὶ τῶν ἀλγησάντων τὸ ἔντερον, ἢ κἀπὶ τῶν τεινομένων τὸ ἔντερον. ἔντερον δ' εἰρῆσθαι ἑνικῶς, ἔνιοι μὲν τὸ κῶλον ἐνόμισαν, ἔνιοι δὲ τὸ τυφλόν. ὃ δὴ καὶ ῥᾷον ὀλισθαίνει εἰς τὸν ὄσχεον ὡς ἂν ἀπολελυμένον. ὅτι μὲν οὖν ἀπολέλυται τοῦτο μόνον τὸ ἔντερον, ἁπάντων τῶν ἄλλων ὑπὸ τοῦ μεσεντερίου δεδεμένων τε καὶ συνεχομένων, ἀληθεύουσιν. εἰ δὲ διὰ τοῦτο κατενεχθὲν εἰς τὸν ὄσχεον ὁ ἀρθριτικὸς ἐρραστώνησεν, εἶτ' αὖθις αὐτοῦ θεραπευθέντος, ἐν τοῖς αὐτοῖς ἐγένετο, μαντείας δεῖται. πιθανώτερον γοῦν ἐστιν ἐπὶ τοῦ τὸ κῶλον ἀλγήσαντος εἰρῆσθαι τὸν λόγον. εἰκὸς γὰρ ἦν κουφισθῆναι τῶν ἀρθριτικῶν ἀλγημάτων αὐτόν. ἑνὶ μὲν λόγῳ καθ' ὃν αὐτὸς ἔφη πόνων ἅμα γινομένων, μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον. ἑτέρῳ δ' ὅτι τῶν εἰς ἄρθρα ῥεόντων χυμῶν, ἐπὶ τὸ κῶλον ἐγένετο μετάστασις. ἔνιοι δὲ τῶν ἐξηγητῶν τὸν ἀρθριτικὸν τοῦτον, ἰσχιαδικὸν εἶναί φασι, καὶ διὰ τοῦτο κατελθόντος τοῦ τυφλοῦ ἐντέρου ῥαστωνῆσαι, μηκέτι θλιβομένου τε καὶ βαρυνομένου τοῦ ἰσχίου, παρὰ τὸ τῶν Ἑλλήνων ἔθος ὀνομάζειν βουλόμενοι τὸν ἰσχιαδικὸν ἀρθριτικόν. ἄχρι μὲν οὖν αἱ δεῦρο ῥήσεις ἅπασαι κἂν τῷ περὶ χυμῶν, ἐπὶ τῇ τελευτῇ τοῦ βιβλίου γεγραμμέναι εἰσί. μεταβήσομαι δ' ἤδη πρὸς τὰς ἐν μόνῳ τῷ προκειμένῳ συγγράμματι ἐγκειμένας.

GALENI COMMENTARIUS.

Duplex & hoc loco lectio est sententiam permutans, antiquior sane cum litera n in prima syllaba hujus nominis, *enteron*, id est intestinum: postea altera lectio detracto *n*, addita fuit, ut sit, *eteron*, hoc est, alterum, volentibus illis qui item scribunt de tumoribus secundùm aurem excitatis, hanc vocem *alterum*, dictam esse: quemadmodum rursum scribentes, intestinum, de dolentibus ex intestino, aut C distentione intestini laborantibus, dictum esse affirmant. Intestinum vero singulari numero prolatum nonnulli *colon*, quod vocatur, esse arbitrantur; alii verò cæcum, quod sane etiam facile cum omni vinculo solutum sit, descendit in scrotum: nempe solum hoc intestinum solutum esse, quum reliqua omnia lactibus alligentur atque inhæreant, verisimile dicunt. An verò propter ipsum in scrotum delapsum articulorum morbo laborans sublevatus sit, deinde rursum ipso ad sanitatem reverso, in eadem mala inciderit, ariolari convenit. Verisimilius igi- D tur est de intestini coli dolore affecto sermonem in præsentia fieri. Par enim fuit ipsum articulorum dolore levatum esse, una quidem, quam ipse dixit, ratione, doloribus unà non eodem loco existentibus, vehementior alterum obscurat. Secunda ratio est quod humorum in articulos currentium ad colon intestinum impetus conversus est. Nonnulli autem Interpretes hunc articulari morbo vexatum, coxendicis dolore tentatum fuisse aiunt, atque ideo delapso cæco intestino, mitius egisse, non præterea coxendice oppressa atque gravata, E præter Græcorum morem, ischiadicum, id est coxendicis vitio affectum arthriticum, id est, articulorum dolore vexatum, nominare volentes. Hactenus quidem omnes hæ Libri hujus particulę, & in calce Libri de humoribus scriptæ sunt. Iam itaque ad eas, quæ in hoc solo proposito volumine inveniuntur, transitum faciam.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Ἡ Αγήσιος, κόρη μὲν ἐοῦσα, πυκνοπνεύματος ἦν. F γυνὴ δὲ γενομένη, ἐκ τόκου οὐ πάλαι ἐπίπονος ἐοῦσα, οὐ πάνυ ἐπὶ πλέον, ἦρεν ἄχθος μέγα, αὐτίκα μὲν ἔδοξε ψοφῆσαί τι κατὰ τὸ στῆθος, τῇ δ' ὑστεραίᾳ ἄσθματα εἶχε, καὶ ἤλγεεν ἰσχίον τὸ δεξιόν. ὁκότε τοῦτο πονέοι, τότε καὶ τὸ ἆσθμα εἶχε, παυσαμένου δὲ, ἐπαύσατο, ἔπτυσεν ἀφρώδεα. ἀρχομένη δὲ, αἰθηρά. κατασταθὲν δὲ, ἐμέσματι χολώδει ἐῴκει λεπτῷ, οἱ πόνοι δὲ μάλιστα ὁκότε πονεῖν τῇ χειρί.

HIPPOCRATIS TEXTUS IV.

Agesis filia virgo quidem quum esset, crebro erat spiritu. Mulier verò facta à partu dolens, non valde diu onus grave sustulit. Protinus quidem in pectore quiddam concrepuisse visum fuit. Postero autem die asthmate laboravit, & dextra coxendix indoluit. Hæc quum doleret, tunc & asthmate vexabatur: Dolore sedato, tunc, & asthma sedabatur. Spumantia excrevit, ab initio florida: quæ quum quievissent, vomitui bilioso tenui similia erant. Dolores autem præcipue, quum manu laboraret.

GALENI COMMENTARIUS.

IPsum plerunque ſpiritum, reſpirationem vocantem audivimus: quare & fœminam crebro ſpiritu, quæ crebrò ſpiraret, dictam eſſe putandum eſt. Sed quibuſcunque admodum increbuerit hæc difficilis ſpirationis ſpecies, aſthma & orthopnœa, affectus iſte à Græcis nominatur: quando videlicet ſine febre conſtiterit, aut craſſis, & lentis humoribus ſpiritus itinera obſidentibus, aut aliquo crudo tuberculo in pulmonibus excitato. Hæc cum & antea ægre ſpiraret, à partu dolorem paſſa eſt. Porrò ſi nihil de ſpirandi difficultate locutus ipſam dolentem evaſiſſe dixiſſet, veriſimile eſſet ipſum velle, in toto corpore mulierem hanc laſſitudinis ſenſu affectam eſſe: cum verò ipſam crebro eſſe ſpiritu dixiſſet, jure quiſpiam, dolorem in pectore excitatum eſſe, ab ipſo dictum eſſe opinetur; qui cùm modicus eſſet, & aliud quoddam ejuſmodi ſymptoma accidit: cùm videlicet grave quoddam manibus tolleret, protinus quidem in pectore quendam ſtrepitum ſenſit, dirupto, ut par erat, tuberculo. Sed poſtero die ſucco in tuberculo antea incluſo ad arteriam uſque aſperam diſſipato, & ſpirationis frequentiam increviſſe accidit: neque adhuc ſimpliciter crebrũ eſſe ſpiritum, ſed in illum jam affectum evaſiſſe quod aſthma, appellatur: paulatim verò humore hoc excreato, mulier iſta perfecte à ſpirandi difficultate libera fuit. Hactenus nihil in dubium vertitur, ſed omnia juſta de cauſa facta ſunt. Cæterum, propter quid affectus pectoris, & coxendicis unà exacerbabantur, & miteſcebant, haud injuriâ quiſpiam quæſiverit, cùm nulla pectori cum coxendice, quemadmodum cum genitalibus membris, affinitas intercedat. Fortaſſe igitur imbecilliorem coxendicem habens dolore affecta eſt, nonnullis ſupervacuis humoribus eodem tempore in ipſam delapſis. Neque enim in membris naturalem ſocietatem habentibus hic vitii conſenſus factus fuiſſe apparet, nonnunquam imbecillioribus membris vexantium humorum copiam ſuſcipere prius feſtinantibus. Sputi autem rejecti qualitas humoris infeſtantis naturam indicat: ſpumans enim ſputum, pituitoſum ſuccum ſignificat: floridum verò, ſanguinem abundare: quemadmodum pallidum, pallidam ac flavam vocatam bilem: eodem modo & nigrum, nigram. Multoties verò ſupra dictum eſt, cum ſimpliciter Hippocrates bilem dicit, pallidam & flavam vocatam ſignificare, quoniam plus quam alia bilis genera, colore ſuo inficiat: etenim æruginoſa bilis vomitur, & ſubrubra, & atra, & obſcura. At quod in extrema hac parte ſcriptum eſt, ipſam, cum manuum opera uteretur, magis dolere, ad vitii conſenſum oſtendendum adjectum fuit. Jam verò, & in alio ſermone audiviſtis, cum pectoris partes ſuperiores circa primum & ſecundum coſtarum interſtitium patiantur, meritò manus in conſenſum affectus adduci, nervis, ab his ipſis interſtitiis ad eos pervenientibus. Veriſimile quoque eſt, & in dextra pectoris parte, quando grave illud onus ſublatum fuit, aliquid ruptum fuiſſe, & iccirco è regione dextram coxendicem affectam eſſe. Quòd ſi, cùm mulier onus tolleret, nervis paſſis, pectus manus noxam participavit, veriſimile eſt in ea maxime parte

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πνεῦμα τὴν ἀναπνοὴν ὀνομάζοντος αὐτοῦ πολλάκις ἠκούσαμεν, ὥστε καὶ τὴν πυκνοπνεύματον ἡγητέον εἰρῆσθαι τὴν πυκνὸν ἀναπνέουσαν. οἷς δ' ἂν ἱκανῶς αὐξηθῇ τὸ τοιοῦτο τῆς δυσπνοίας εἶδος, ἆσθμα καὶ ὀρθόπνοια τὸ πάθος ὀνομάζεται, χωρὶς πυρετοῦ δηλονότι γινόμενον, ἤτοι παχέων καὶ γλίσχρων χυμῶν B καταλαμβανόντων τὰς ὁδοὺς τοῦ πνεύματος, ἤ τινος ἀπέπτου φύματος ἐν τῷ πνεύμονι συστάντος. ὅσα δὲ καὶ πρόσθεν αὐτὴ δύσπνους, ἐπίπονος ἐγένετο μετὰ τὸν τόκον. εἰ μὲν οὖν μηδὲν εἰρηκὼς περὶ τῆς δυσπνοίας, ἐπίπονον ἔφησεν αὐτὴν γεγονέναι, πιθανὸν ἦν ἀκοῦσαι, τῷ παντὶ σώματι κοπώδη ἔχειν αἴσθησιν τὴν γυναῖκα ταύτην. ἐπεὶ δὲ πυκνοπνεύματον αὐτὴν εἶπεν εἶναι, προσηκόντως ἄν τις ἀκούσειεν ἐπὶ τοῦ θώρακος εἰρῆσθαι τὸν πόνον γεγονέναι. μετρίου δ' ὄντος αὐτοῦ, συνέβη τι καὶ ἄλλο σύμπτωμα τοιόνδε. βα- C ρύ τι διὰ τῶν χειρῶν ἀραμένη, παραχρῆμα μὲν ᾔσθετό τινος ἐν τῷ στήθει ψόφου, ῥαγέντος ὡς εἰκὸς τοῦ φύματος· τῇ δ' ὑστεραίᾳ διαδοθέντος ἕως τῆς τραχείας ἀρτηρίας, τοῦ περιεχομένου κατὰ τὸ φῦμα χυμοῦ, τήν τε τοῦ πνεύματος πυκνότητα ἐπιταθῆναι συνέβη, καὶ μη- /τα κέθ' ἁπλῶς εἶναι πυκνόπνοιαν· ἀλλ' ἤδη τὸ καλούμενον ἆσθμα. μετὰ βραχὺ δ' ἀναπτυσθέντος τούτου, τελέως ἐπαύσατο τῇ γυναικὶ ταύτῃ τὰ τῆς δυσπνοίας. ἄχρι μὲν δὴ τούτου ζήτημ' οὐδέν ἐστιν, ἀλλ' εὐλόγως ἅπαντα γέγονε. διὰ τί δὲ συνεπετάθη τε καὶ συνεῤ- D ῥαστώνησε τοῖς κατὰ θώρακα, τὸ ἰσχίον, εἰκότως ἄν τις ζητήσειεν, οὐκ οὔσης τινὸς κοινωνίας ἰσχίῳ πρὸς θώρακα, καθάπερ ἐστὶ τοῖς γεννητικοῖς μορίοις, ἴσως οὖν ἀσθενέστερον ἔχουσα τὸ ἰσχίον, ἤλγησε. κατὰ τὸν αὐτὸν χρόνον, ἀφικνουμένων τινῶν χυμῶν εἰς αὐτὸ περιττῶν. οὐ γὰρ ἀναφαίνεται τοῖς κοινωνίαν ἔχουσι φυσικὴν μορίοις ἡ συμπάθεια γινομένη, φθασάντων ἐνίοτε δέξασθαι τῶν ἀσθενῶν τὴν περιουσίαν, τὴν λυπούντων χυμῶν φύσιν ἐνδεικνυμένη. τὰ μὲν γὰρ ἀφρώδη, φλεγματικὸν εἶναι δηλοῖ τὸν χυμόν. τὰ δὲ ἀνθηρὰ, τὸ αἷμα πλεονάζειν, ὥσπερ γε τὰ ὠχρὰ E τὴν ὠχρὰν καὶ ξανθὴν ὀνομαζομένην χολὴν, κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὰ μέλανα τὴν μέλαιναν. λέλεκται δ' ἤδη πολλάκις ὡς ὅταν ἁπλῶς εἴπῃ χολώδη, τὴν ὠχράν τε, καὶ ξανθὴν ὀνομαζομένην σημαίνει χολὴν, ἣ πλέον τῶν ἄλλων χολῶν, τὴν χρόαν προσγράφει. καὶ γὰρ ἰώδης ἐμεῖται χολὴ, καὶ ὑπέρυθρος, καὶ μέλαινα, καὶ ὀρφνώδης. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως προσγεγραμμένον ὡς ἐπόνει μᾶλλον ἐν ταῖς τῆς χειρὸς ἐνεργείαις, πρὸς ἔνδειξιν τῆς συμπαθείας εἴρηται. ἀκηκόατε δ' ἤδη καὶ κατ' ἄλλον λόγον ὁπότε τὰ τοῦ θώρακος ἄνω πάσχοι, κατὰ τὸ πρῶτόν τε F καὶ δεύτερον μεσοπλεύριον, εὐλόγως τὰς χεῖρας εἰς συμπάθειαν ἔρχεσθαι νεύρων εἰς αὐτὰς ἀφικνουμένων ἐκ τούτων τῶν μεσοπλευρίων. εἰκὸς δέ ἐστι καὶ ῥαγῆναι κατὰ τὸ δεξιὸν μέρος τοῦ θώρακος, ἡνίκα τὸ ἄχθος ἀνῄρετο, καὶ διὰ τοῦτο κατ' εὐθυωρίαν ἰσχίον παθεῖν τὸ δεξιόν. καὶ εἴπερ τῷ γινομένῳ πάθει τῶν νεύρων, ἐν τῷ βάρος ἄραι τὴν γυναῖκα, συνέπαθεν ὁ θώραξ τῇ χειρὶ, πιθανόν ἐστι κατ' ἐκεῖνα μάλιστα τὰ μέρη

φαίνεται τὸ πλεονεκτοῦν ποιότης ἐνταῦθα

παθεῖν αὐτὴν ὅθεν οἱ τῶν νεύρων ἐστὶν ἔκφυσις ἐπὶ τὰς χεῖρας.

A ipsum fuisse affectum, unde nervi ad manus pertinentes expullulant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε΄.

ΤΑύτην εἴργεσθαι σκορόδου, χοίρου, οἴος, βοός. ἐν δὲ τοῖσι πρήγμασι, βοῆς, ὀξυθυμίης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΙάφοροι καὶ κατὰ τήνδε τὴν ῥῆσιν αἱ γραφαὶ γεγόνασιν. ἐνίων μὲν γραψάντων ἐν ἀρχῇ κατὰ δοτικὴν πτῶσιν, τὸ, ταύτῃ, καὶ ποιησάντων τὴν γραφὴν τοιάνδε. ταύτῃ εἴργεσθαι χοίρου, σκορόδου, οἴος, βοός. ἐνίων δὲ χωρὶς τοῦ, ταύτην, ἀρξαμένων δ᾽ ἀπὸ τοῦ εἴργεσθαι. ὑπακούειν δ᾽ ἀξιοῦσιν ἅπαντες τὸ, ἔδοξεν ἡμῖν τοῖς ἰωμένοις αὐτὴν, ἢ συμβουλεύσασιν αὐτῇ συμφέρειν ὁτιοῦν τοιοῦτον, καὶ διὰ τοῦτο περὶ τῆς γραφῆς οὐ προσήκει σπουδάζειν. ἀλλ᾽ ὅπως ἄν τις ἐθέλῃ, γράφειν ἐπιτρέπειν, ἐπειδὰν τὰ τῆς διανοίας φυλάττηται κοινά. ἐάσαντες οὖν τὴν ἐν λέξει λεπτολογίαν, ἐπὶ τὰ διδασκόμενα πράγματα μεταβαίνοντες τοιαῦτα τῇ προειρημένῃ γυναικὶ, καὶ τοῖς ἄλλοις δὲ δηλονότι τοῖς οὕτω διακειμένοις συμφέρει χοιρείων τε κρεῶν ἐδωδῆς, καὶ βοείων, καὶ προβατείων ἀπέχεσθαι. τούτων μὲν ὡς ἰσχυρῶν τε καὶ δυσπέπτων, σκορόδου δὲ ὡς δριμέος τε καὶ διαβρωτικοῦ. βοῆς δὲ, ὡς οὐ μόνον τὰ προερρωγότα τῶν ἀγγείων ἐπιρρηγνύειν δυναμένης, ἀλλὰ καὶ τὰ μή πω πρότερον πεπονθότα τοῖς ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἀδικεῖν, τάσιν τέ τινα, καὶ θερμασίαν, καὶ πνευμάτωσιν ἐν αὐτοῖς ἐργαζομένης. δῆλον δ᾽ ὅτι ταῦτα μὲν ὡς παραδείγματα εἴρηται τῷ Ἱπποκράτει συμβουλεύει δ᾽ ἀπέχεσθαι πάντων μὲν τῶν δυσπέπτων, πάντων δὲ τῶν δριμέων, ἁπάντων δὲ τῶν κακοχύμων, καὶ προσέτι τῶν βιαίαν τινὰ τάσιν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐργαζομένων.

HIPPOCRATIS TEXTUS V.

HAnc abstineri ab allio, sue, ove, bove: In agendis verò à clamore, & excandescentia.

GALENI COMMENTARIUS.

B DIversæ & in hac parte lectiones fuerunt, nonnullis primam dictionem in dativo casu scribentibus, *huic*, atque ita legentibus, huic abstineri allio, sue, ove, bove: nonnullis dimissa voce, *hanc*, à verbo, abstineri, incipientibus. Omnes verò subintelligendum esse censent, Visum fuit nobis ipsam medicantibus, vel consuluimus ipsi, utrumquodque istorum conducere. Atque ideo de varia lectione laborandum non est, sed cuique, quod placet, scribere permittendum, dummodo eadem sententia retineatur. Posthabita igitur de verbis curiositate, ad res quæ præcipiuntur, transeamus. Hæc sa- C nè prædictæ mulieri, & aliis scilicet perinde affectis expediunt, ab allii, & suillarum, bubularum, ovillarumque carnium esu abstinere, harum, quidem, ut valentium, & ægre coctilium, alii verò ut acris, & corrodentis: à clamore autem, ut pote qui non solum prius rupta vasa amplius dilacerare, sed etiam nihil dum mali in instrumentis spirabilibus passa dirumpere possit, tensionem quandam, caliditatem, & inflationem in ipsis efficiens. Manifestum est autem hæc ab Hippocrate exemplorum instar dicta esse. Consulit autem ab omnibus difficulter coctilibus, ab omnibus acribus, ab omnibus pravum D humorem creantibus, ab omnibus præterea violentam quandam tensionem instrumentis spirationis inferentibus, abstinere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ς΄.

ΩΙ Ἐν τῇ κεφαλῇ ἐνέμετο ἕλκος, πρῶτος ἡ στυπτηρίη ἡ κεκαυμένη ἐνήρμοσεν, εἶχεν ἄλλην προτέρην ἀπόστασιν, ἴσως ὅτι ὀστέον ἔμελλεν ἀποστήσεσθαι, ἀπέστη ἑξηκοσταῖον, ὑπὲρ οὗ ὠτὸς ἄνω, πρὸς κορυφὴν, τὸ πρῆγμα ἦν. E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝια τῶν οὕτως γεγραμμένων, ἴσως μὲν αὐτῷ τῷ γράψαντι πρὸς ἀνάμνησιν ἦν ὠφέλιμα. τοῖς δ᾽ ἐντυγχάνουσιν ἡμῖν οὐ πάνυ σαφής ἐστιν ἡ ἐξ αὐτῶν ὠφέλεια. διηγεῖται γὰρ τινὸς ἐν τῇ κεφαλῇ νομῶδες ἕλκος ὠφελῆσθαι τὸ πρῶτον ὑπὸ τῆς κεκαυμένης στυπτηρίας. εἶναι μέντοι αὐτῷ, καὶ καθ᾽ ἄλλον τινὰ τόπον ἀπόστασιν, ἔνθα, καὶ ὀστοῦν ὕστερον ἀπέστη. προσγέγραπται δὲ καὶ τὸ πεπονθὸς μέρος τῆς κεφαλῆς, ἀλλ᾽ οὕτω σπάνιον τὸ πρᾶγμα, καὶ συμβουλὴν οὐδεμίαν ἔγραψεν, μόνα τὰ γενόμενα διηγησάμενος.

HIPPOCRATIS TEXTUS VI.

CVi in capite depascebatur tumor, primo alumen combustum utile fuit. Habuit alium priorem abscessum, forte quoniam os abscessurum erat. Sexagesimo die recessit. Supra aurem in summo adverticem vulnus erat.

GALENI COMMENTARIUS.

NOnnulla ex ita scriptis forsan ipsi scriptori ad reminiscentiam faciebant: sed nobis in hæc incidentibus haud satis evidens ex ipsis fructus percipitur. Narrat enim cujusdam in capite excedens ulcus primo à combusto alumine ad melius fuisse redactum: & illi eidem alia F in parte abscessum fuisse, ubi & os postea sejunctum fuit. Adscripta est etiam capitis affecta pars. Sed rem usque adeo raram, & nullum præceptum scripsit, nuda ea, quæ evenerunt, persequutus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ΄.

ΤΑ κῶλα ἔχει οἷα κυνὸς, μείζω δὲ ἤρτηται ἐκ τῶν μεσοκώλων. ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ἐπὶ τὴν γαστέρα.

HIPPOCRATIS TEXTUS VII.

COla habet cani similia, majora autem: Ex mesocolis suspensa sunt: Hæc verò ex nervis à dorso in ventrem.

A

GALENI COMMENTARIUS.

IN aperto est, & hæc ipsum sibi reminiscentiæ causâ scripsisse, quæ ad dissecandorum corporum præcepta pertinent. Homo enim similem cani habet colorum naturam; sed ipsa & majora esse dicit, & ex mesocolis dependere, veluti si ex mesenteriis dixisset: communius est enim hoc nomen mesenteriorum, pressius autem mesocolorum. Tale verò aliud de jejuno intestino, aut aliis gracilibus nomen non reperitur: nam mesonestion id est, mediojejunium, aut id genus aliud nemo unquam dixit. B Continua quidem mesenteria sunt tenuium, atque crassorum intestinorum, nihilominus distinctiones quædam propriæ apparent: ac præcipue per venas in ipsis positas separantur, una siquidem propria vena in gracilium intestinorum mesenterium derivatur. Item & in crassorum, quæ cola nominant, altera propria delabitur simul, cum utraque vena arteria quoque discurrente. Vinculum autem mesenterii, perinde, atque mesocoli: continuum enim totum, ut dixi, ad unam quandam lumborum vertebram post septum transversum positam pervenit, hæc autem sub ventriculo est. C Hoc quidem vinculum totum nervo simillimum est, quamvis ejusdem cum ligamento substantiæ sit. Quæcunque enim ex ossibus orta exanguia corpora similia nervis sunt, copulativos nervos ea multi medici nominant, à nervis voluntatis motui servientibus ipsa ex opposito distinguentes: quam obrem, & in hac quoque parte nervorum appellatione, ob similitudinem, vocata sunt.

D

HIPPOCRATIS TEXTUS VIII.

LAborantibus gratiæ, ut munde parare poculenta, aut esculenta. Quæ videt molliter, quæcunque tangit. Aliæ non valde, aut noxa non facile emendabili, ut frigida, ubi hac opus est.

GALENI COMMENTARIVS.

QUæ medicum laborantibus grata concedere, aut quæ non concedere oporteat, E hoc in volumine perfecte nobis contemplatis abunde erit, quemadmodum de aliis omnibus facere consuevimus: nam cum semel aliquid exactè docuimus nunquam iterùm in aliis locis universum repetimus, sed summatim duntaxat perstringimus. Dictum sanè & in aphorismis est ad hanc rem aliquid, ipso ita scribente: Paulo deterior potus, & cibus, sed suavior, melioribus quidem, insuavioribus autem potius dandus. Porrò primo intuitu laborantibus aliquid oblectamenti causa gratificari videtur, non tamen re vera id faciens: omnia enim libentius atque suavius assumpta, etsi paulo deteriore natura sint, melius concoquimus; F longe verò utilissimum ægrotis est assumptos cibos, & potus recte confici. At in proposita oratione alterius generis, atque rei mentionem facit, per quam medicus nequaquam morbum exasperans, ægrotis rem gratam, voluptatemque affert, ut cum immature lavari, & bibere, & fructibus quibusdam vesci, aut frigidam potare permiserit. Interdum enim cujusque dictorum tem-

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΥδηλον ὅτι καὶ ταῦτα ἔγραψεν εἰς ἀνάμνησιν ἑαυτοῦ, τῶν ἀνατομικῶν ὄντα θεωρημάτων. ὁ γὰρ ἄνθρωπος ὁμοίαν ἔχει κυνὶ τὴν τῶν κώλων φύσιν, ἀλλὰ καὶ μείζω φησὶν εἶναι αὐτὰ, καὶ ἠρτῆσθαι ἐκ τῶν μεσοκώλων ὡς εἰ τῶν μεσεντερείων εἰρήκει, γενικώτερον μὲν γὰρ ὄνομα τὸ τῶν μεσεντερείων ἐστίν. εἰδικώτερον δὲ τὸ τῶν μεσοκώλων. τοιοῦτον δὲ ἄλλο περὶ τῶν κατὰ τὴν νῆστιν ἐντέρων, ἢ τῶν ἄλλων λεπτῶν, οὐκ ἔστιν ὄνομα. μεσονήστιον γὰρ ἤ τι τοιοῦτον, οὐδεὶς εἴρηκεν. ἔστι μὲν οὖν συνεχῆ τὰ μεσεντέρεια. τά τε τῶν λεπτῶν καὶ τῶν παχέων. ὅμως δὲ περιγραφάς τινας ἰδίας ἔχειν φαίνεται, καὶ χωρίζεσθαι μάλιστα κατὰ τὰς ἐν αὐτοῖς φλέβας. ἰδία μὲν γὰρ μία φλὲψ εἰς τὸ τῶν λεπτῶν ἐντέρων μεσεντέρειον. ἰδία δὲ εἰς τὸ τῶν παχέων ἃ δὴ κῶλα προσαγορεύουσι, κατασχίζεται, συγκατασχιζομένης ἑκατέρᾳ τῇ φλεβὶ δηλονότι, καὶ ἀρτηρίας. τὸ δ' ἀρτήμα τοῦ μεσεντερείου, καθάπερ καὶ τὸ τοῦ μεσοκώλου, συνεχὲς γὰρ ὅλον ὄν ὡς ἔφην, εἰς ἕνα τινὰ τῶν κατὰ τὴν ὀσφὺν ἀνήκει σπονδύλων μετὰ τὸ διάφραγμα κείμενον. ὑπόκειται δ' οὗτος τῇ γαστρὶ, τοῦτο μὲν ἀρτήμα τὸ πᾶν ὁμοιότατόν ἐστι νεύρῳ, καίτοι σύνδεσμος ὢν τὴν οὐσίαν. ὅσα γὰρ ἐξ ὀστῶν πέφυκεν ἄναιμα σώματα, παραπλήσια τοῖς νεύροις ἐστὶ, νεῦρα συνδετικὰ προσαγορεύουσιν αὐτὰ πολλοὶ τῶν ἰατρῶν ἀντιδιαιρούμενοι τοῖς προαιρετικοῖς. εἴρηται δὲ καὶ νῦν ἐν τῇδε τῇ ῥήσει κατὰ τὴν τῶν νεύρων προσηγορίαν, διὰ τὴν ὁμοιότητα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

ΑΙ τοῖσι κάμνουσι χάριτες, οἷον τὸ καθαρῶς δρῆν, ἢ ποτὰ, ἢ βρωτὰ, ἃ ὁρῇ, μαλθακῶς ὅσα ψαύειν, ἄλλ' ἃ μὴ μεγάλα βλάπτῃ, ἢ μὴ εὐανάληπτα, οἷον τὸ ψυχρὸν, ὅκου τοῦτο δεῖ.

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΙνα χρὴ χαρίζεσθαι τὸν ἰατρὸν τοῖς κάμνουσι, καὶ τίνα μὴ, κατὰ τοῦτο τὸ βιβλίον ἐπισκεψάμενοι τελέως ἀρκεσθησόμεθα. καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάντων εἰώθαμεν ποιεῖσθαι, τι τελέως τῆς διδασκαλίας αὖθις ἐν ἑτέροις μηκέτι διέρχεσθαι τὸ σύμπαν, ἀλλὰ μόνον τὸ κεφάλαιον. εἴρηται μὲν οὖν κἀν τοῖς ἀφορισμοῖς εἰς τόδε τὸ σκέμμα γράψαντος αὐτοῦ. τὸ, σμικρῷ χεῖρον, καὶ πόμα, καὶ σιτίον, ἥδιον δέ· τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ μᾶλλον μὲν προχείρῳ φαντασίᾳ χαριζόμενός τι τοῖς κάμνουσιν εἰς ἡδονήν· οὐ μὴν τῇ γ' ἀληθείᾳ τοῦτο πράττων, ἔστα γὰρ ἥδιον προσφερόμενα, τῶν ὀλίγον χείρονα τὴν φύσιν ἐχόντων, ἄμεινον ταῦτα πέττομεν. ἔτι δὲ συμφορώτατον τοῖς νοσοῦσι καλῶς πεφθῆναι τὸ ληφθέν. ἐν δὲ τῷ νῦν προκειμένῳ λόγῳ γένους ἑτέρου καὶ πράγματος ἐμνημόνευσεν, ἐν ᾧ κεχαρισμένον τε καὶ ἡδὺ τοῖς νοσοῦσιν ὁ ἰατρὸς πράττει μηδὲν τῇ νόσῳ λυμαινόμενος, ὥσπερ ὅταν ἐπιτρέψῃ πρὸ τοῦ καιροῦ λούσασθαι, καὶ πιεῖν, καὶ φαγεῖν ὀπώρας τινὰς, ἢ ψυχρὸν ὕδωρ πιεῖν. ἐνίοτε μὲν γὰρ ὠφέλιμος καιρὸς ἑκάστου τῶν

εἰρημένων ἐπὶ τῆς ὑστεραίας ἐστί. καταναγκάζουσι δὲ τοὺς ἰατροὺς οἱ κάμνοντες ὥστε προλαβεῖν ἡμέρᾳ μιᾷ· συγχωροῦσι τὰ πολλάκις ἔνιοι τοῖς νοσοῦσιν ἑτοίμως αὐτὰ, ταῖς ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντες, ἕνεκα τοῦ πλείονα λαβεῖν μισθόν. ἀλλὰ ταῦτα μὲν, οὐ κατὰ τὸν λόγον τῆς τέχνης γίνεται. τὸ δὴ ἐν ἀφορισμοῖς εἰρημένον, ὅσα τε νῦν διεξέρχεται χρησίμως τοῖς κάμνουσι, συγχωροῦσιν οἱ ἄριστοι τῶν ἰατρῶν. ἡ χρεία δὲ τῶν νῦν ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένων, εἰς τὴν εὐπείθειαν ἀναφέρεται τῶν καμνόντων, οὓς γὰρ ἂν ἡδέως ὁρῶσι, τούτοις μᾶλλον πείθονται. καὶ κατὰ τοῦτο μήτηρ καὶ πατὴρ ἔπεισε τέκνον ἀνόρεκτον καὶ αὐτὸ, βιάσασθαι προσενέγκασθαι σιτίον, οὐδενὸς ἄλλου πεῖσαι δυνηθέντος. οὕτω καὶ τέκνον ἔπεισε πατέρα, καὶ μητέρα, καὶ ἀδελφὸς ἀδελφὸν, καὶ φίλος φίλον. οὓς δ' ἂν ἀηδῶς ὁρῶσιν οἱ ἄνθρωποι, κἂν τὰ συμβουλεύωσιν, οὐ πείθωσι. πρὸς τὴν τοιαύτην οὖν εὐπείθειαν αὐτὸς ὁ Ἱπποκράτης ἔλεγε, καὶ τὰς προρρήσεις ὠφελεῖν ἡμᾶς, καὶ ὅλως τὸ θαυμάζεσθαι τὸν ἰατρὸν ὑπὸ τοῦ κάμνοντος. οὕτω γέ τοι καὶ παρ' ἡμῖν ἐν Περγάμῳ τοὺς θεραπευομένους ὑπὸ τοῦ Θεοῦ πειθομένους, ὁρῶμεν αὐτῷ πεντεκαίδεκα πολλάκις ἡμέραις προστάξαντι μηδ' ὅλως πιεῖν, οἱ τῶν ἰατρῶν μηδενὶ προστάττοντι πείθονται. μεγάλην γὰρ ἔχει ῥοπὴν εἰς τὸ πάντα ποιῆσαι τὰ προσταττόμενα, τὸ πεπεῖσθαι τὸν κάμνοντα, βεβαίως ἀκολουθήσειν ὠφέλειαν ἀξιόλογον αὐτῷ. τούτων ἔξωθέν ἐστι τὰ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένα. περὶ ὧν ἤδη λέγωμεν ἕκαστον, ἰδίᾳ προχειριζόμενοι κατὰ τὴν προγεγραμμένην λέξιν, οἷον τὸ καθαρείως δρᾷν ποτὰ ἢ βρωτά. πολλὰ πολλάκις ὁ ἰατρὸς τῷ κάμνοντι προσφέρει ποτὰ καὶ βρωτὰ συντιθεὶς ἐναντίον αὐτοῦ. ἀξιοῖ δὲ ταῦτα καθαρῶς ἐργάζεσθαι, καὶ γέγραπταί γε καὶ ἔνια τῶν ἀντιγράφων ἀντὶ τοῦ καθαρῶς, τὸ καθαρείως. ἔστι δὲ τοῦτο πρῶτον μὲν εἰ μηδένα ῥύπον ἔχει τὰ σκεύη, δι' ὧν προσφέρεται τὰ ποτὰ καὶ βρωτά: δεύτερον δὲ, εἰ μηδὲ τῶν ἄλλων τι δι' ὧν ὑπηρεσία γίνεται. πολλάκις γὰρ, αὐτὸ μὲν ἐν ᾧ περιέχεται τὸ προσφερόμενον ἔδεσμα καὶ πόμα, καθαρόν ἐστιν. ἐν ᾧ δὲ ψυχρὸν ὕδωρ, ἢ θερμὸν ὁ ὑπηρετούμενος ἔχει ῥυπαρὸν, ὥσπερ καὶ τῶν ἄλλων τι σκευῶν, ἐνίοτε τῶν πρὸς ὑπηρεσίαν ἀνηκόντων οὐ καθαρὸν φαίνεται. καὶ πρὸς τούτοις γε καὶ αὐτὸς ὁ ἰατρὸς, ὃν πρῶτόν τε καὶ μάλιστα τάς τε χεῖρας ἔχειν δεῖ καθαρωτάτας, καὶ τὸ πρόσωπον τὰς τρίχας ἐπί τε τοῦ γενείου καὶ κεφαλῆς. ἐφεξῆς δὲ καὶ τὰ ἄλλα μόρια τοῦ σώματος, ὥσπερ γε καὶ τὴν ἐσθῆτα λαμπρὰν, ἃ βλέπει, φησὶν, ὁ κάμνων. καὶ τοῦτ' αὐτὸ, καὶ τοὺς ἐπισκοπουμένους, καὶ τὰ κατὰ τὸν οἶκον, ἐν ᾧ νοσεῖ. τούτων τε οὖν οὐδὲν αὐτὸν ἀηδῶς ὁρᾷν χρὴ, καὶ τῶν ὑπηρετουμένων ἐκείνους παρεῖναι διὰ παντὸς, οἷς μάλιστα ἥδεται. καὶ τῶν ἐπισκεπτομένων τοὺς μὲν φιλτάτους χρονίζειν παρ' αὐτῷ, τοὺς δ' ἄλλους δυοῖν θάτερον, ἢ μηδ' ὅλως εἰσιέναι πρὸς αὐτὸν, ἢ μὴ μέχρι πλείονος ὁρᾶσθαι. ταῦτα δὲ πολυπραγμονήσας ὁ ἰατρὸς, αὐτὸς ἐργάσεταί τε καὶ διατάξει. ἔνια δὲ, καὶ χωρὶς πολυπραγμοσύνης αὐτόματα γινώσκεται. πολλάκις γοῦν ἐπισκεπτομένους τὸν κάμνοντα, καὶ θεραπεύοντος τοῦ ἰατροῦ, δοῦλός τις ἐπεισελθὼν, ἤγγειλεν ἀφῖχθαι τόν δέ τινα ἄνθρωπον ἐπισκέψασθαι

A pus idoneum, atque utile postero die fuerit: ægroti verò medicos diem unum pervertere cogunt. Nonnulli præterea ægrotantibus ista plerunque facile concedunt, ut plus lucri faciant, eorum cupiditatibus morem gerentes: verum hæc profecto non secundum artis decreta patrantur. Quod autem in aphorismis dictum fuit, & quæcunque hac in parte recenset, utiliter laborantibus medici præstantissimi largiuntur. Istorum autem, quæ nunc deinceps ab ipso scribuntur, usus est, ut ægros medicis B magis obsequentes reddant. Nam quos libenter aspiciunt, illis magis obtemperant. Quapropter mater, & pater filio cibos fastidienti suaserunt, ut seipsum ad eos assumendos impelleret, cùm nullus alius id persuadere potuisset: ita quoque filius patri suasit, & matri, & frater fratri, & amicus amico. At illis, quos moleste vident homines, etsi utilia consulant, obedire tamen recusant. Ad hanc igitur ægri obedientiam comparandam Hippocrates dicebat, & prædictiones nobis esse utiles, atque omnino ægro admirationi esse medicum. Ita C sanè, & apud nos Pergami, qui à Deo curantur, ei obsequentes cernimus, illis plerunque per quindecim integros dies, ut à potu penitus abstinerent, imperanti; qui profecto nulli medico id jubenti obtemperassent. Nam ad ęgrotum omnibus jussis obedientem reddendum magnam vim habet, si pro certo sibi persuaserit, magnam inde ad se utilitatem proventuram. In his ponuntur ea, quæ in propositis verbis enumerantur, de quibus jam singula distincte proponentes, loqui aggrediamur, ut munde parare poculenta, aut esculenta. Multos multoties medicus ægro potus, & cibos of- D fert, contra quàm ipse vellet, eos præparans. Jubet autem eos munde parari, & in quibusdam codicibus vice hujus particulæ, καθαρῶς id est munde, καθαρείως, legitur, quod idem significat. Id verò fit primo, si vascula in quibus potus cibique feruntur, nihil sordis habuerint: secundò, si nullum aliud eorum, per quæ laboranti aliqua ministrantur. Sæpius enim vasa cibos, & potus continentia mundissima erunt, illud verò, quo frigidam servus, aut calidam feret, conspurcatum aspicies: quemadmodum & aliorum vasculorum ad ministerium perti- E nentium quodpiam nonnunquam immundum cernitur. Ad hæc & ipse medicus in primis, & maxime manus quampurissimas habeto, & faciem & pilos in barba, & capite, deinceps & alias corporis partes, quemadmodum & vestem nitidam, quæ intuetur (inquit) ægrotans. Hæc ipsa inquam, & ægrotantis curam gerentes, & reliqua omnia, quæ in ædibus, ubi ægrotat, sunt, ita habentor, ut istorum nihil ipse injucundè, & tristi animo conspiciat. Quin etiam & ex ministris illos planè adesse, quibus maxime delecta- F tur, & ex gubernantibus, eos qui gratissimi sunt, apud ipsum commorari decet, alios vero duorum alterum, aut nunquam ejus cubiculum ingredi, aut non diutius ante oculos ejus versari. Hæc quidem curiose explorans medicus ipse conficiet, atque disponet. Nonnulla verò & absque indagatione, sponte dignoscuntur. Sæpius enim inspectante ægrotum, atque curante medico servus aliquis ingressus certum quendam hominem venisse nunciavit, qui ipsum visere,

ac

ac salutare cupiat: tum protinus hoc audito, ægrotans nonnunquam lætari visus est, nonnunquam verò magnopere contristari, tanquam ab homine ipsum non verè amante, sed simulante, molestiam passurus sit. Atqui tunc Medicum oportet, quum quis ingressus est, quem laborans non libenti animo aspiciat, paulò post aliqua verisimili ratione quietem ægroto conferre dicere: & hac de causa omnes, ut ab eo recedant, præcipere: constat enim quod tunc unà cum non amicis amici egressi, haud ita multo post denuo introire poterunt. Hujusmodi sane spectacula ægroti mentem modò exhilarant, modo contristant, non per ipsum visorium sensum propriè, sed per cogitationem. Cæterùm quædam visilia ratione visionis ipsius jucunda sunt: quemadmodum & olfactilia, & gustatilia, & audibilia, & tactilia, proprio quodque sensui voluptatem afferunt. Attamen non est in omnibus istis æqualis oblectatio: siquidem alii alios, & colores, & figuras, & flores, & stirpes, & germina, & picturas, aliqua ut tristia, aliqua ut jucunda, contemplantur. Oportet itaque Medicum ab ægrotantium domesticis percunctatum, quibusnam ipsi delectentur, hæc jubere in cubicula, ubi jacent, inferri. Quæcunque mollia tangunt, secundùm ipsam solam, nudamque tactoriam sensionem jucunda hæc sunt: quemadmodum rursum flores, stirpes, & variegata, aliaque omnia supradicta, solam oblectant visionem. Adjiciemus igitur, quæcunque ejusdem generis cum antedictis sunt, dimissa verò tanquam manifesta fuerunt. Duorum enim sensuum, visus scilicet & tactus solum meminit: at tu olfactum adjice, gustatum, & auditum. Et in auditu; quemadmodum & in visu, divídito, nonnulla quidem ipsum sensum solum delectantia, ut suaves voces; aliqua per auditum animum conturbantia, ut cum tristia nunciantur: è contrario alia quædam oblectant, & exhilarant. Id sane & vulgus omne haud præterit, nihil eorum quæ tristi animo æger auditurus sit, ipsi renunciari debere: quemadmodum contra, omnia ipsum vehementer oblectatura renunciari convenit: quin & aliqua falso adjicienda sunt. In sequenti sanè particula nonnulla eorum, quæ & hîc omissa fuisse videbantur, resumens addit, aliæ. Præscriptio hæc est aliarum, quæ dicendæ sunt gratiarum. Nam quum prædixerit, laborantibus gratiæ; deinde inquiens, munde parare poculenta, aut esculenta, ac deinceps de omnibus quæ videntur, postea de tactui jucundis, sermone facto, præter dictas, alias se dicturum gratias pollicetur: quas paulò pòst auditurus es. Porro quidam hanc præscriptionem, aliæ, de exemplaribus penitus deleverunt: aliqui verò non in fœminino genere scribunt; sed in neutro vocato genere, alia ne valdè lædant, aut ne noxa non facile emendabili, ut frigida, ubi hac opus est. Non valde lædentia interdum exhibenda sunt, vehementer ipsa cupientibus: ac nisi acceperint, Medicum tum osuris, tum aversaturis, & nullum ejus præceptum observaturis. Igitur necesse interdum est quædam illis exoptata concedere, nisi magnum sint detrimentum allatura. Prædicito autem ab his ægrum læsum iri,

A βουλόμενον αὐτόν. Εἶτα παραχρῆμά ποτε μὲν ἡσθεὶς ἐφάνη πρὸς τὴν ἀκοὴν ὁ νοσῶν. ἔστι δ' ὅτι μεγάλως ἀνιαθεὶς, ὡς ἐνοχλεῖσθαι μέλλων ὑπ' ἀνθρώπου μὴ φιλοῦντος αὐτὸν ἀληθῶς, ἀλλὰ προσποιουμένου. καὶ χρὴ τηνικαῦτα τὸν ἰατρὸν, ὅταν εἰσέλθῃ τις, ὃν ὁ κάμνων οὐχ ἡδέως ὁρᾷ, μετὰ βραχὺ κελεύειν ἀξιοπίστως, ἡσυχάσαι συμφέρειν τῷ κάμνοντι, καὶ κατὰ ταύτην τὴν πρόφασιν ἐξελθεῖν ἀξιῶσαι καὶ ἐξ αὐτοῦ πάντας. εὔδηλον γὰρ ὅτι συνεξελθόντες ἐν τῷ παραυτίκα, τοῖς μὴ φίλοις οἱ
B φίλοι, μετ' ὀλίγον εἰσελθεῖν δυνήσονται. τὰ μὲν οὖν τοιαῦτα θεάματα τὴν γνώμην τοῦ κάμνοντος ἡδέως τε καὶ ἀηδῶς διατίθησιν, οὐ καθ' αὐτὴν ἰδίως τὴν αἴσθησιν, ἀλλὰ κατὰ τὴν διάνοιαν. ἔνια δέ ἐστιν ἡδέα τῶν ὁρατῶν καθ' αὐτὴν τὴν ὄψιν, ὥσπερ γε καὶ τῶν ὀσφρητῶν, καὶ γευστῶν, καὶ ἀκουστῶν, καὶ ἁπτῶν. οὐ μὴν ἅπασί γε ἐπὶ τοῖς αὐτοῖς ἡ ἴση τέρψις. ἄλλοι γὰρ ἄλλα καὶ χρώματα, καὶ σχήματα, καὶ ἄνθη, καὶ φυτὰ, καὶ βλαστήματα, καὶ ζωγραφήματα θεῶνται, τὰ μὲν ὡς ἀηδῆ, τὰ δὲ ὡς ἡδέα. χρὴ τοίνυν παρὰ τῶν οἰκείων τοῦ κάμνοντος
C τὸν ἰατρὸν πυνθανόμενον, οἷς τισὶν οἱ κάμνοντες ἥδονται, ταῦτα κελεύειν εἰσφέρεσθαι τοῖς οἴκοις ἐν οἷς κατάκεινται. μαλακῶς ὅσα ψαύει καθ' αὐτὴν μόνην ψιλὴν τὴν ἁπτικὴν αἴσθησιν, ἡδέα ταῦτ' ἐστί. ὥσπερ αὖ πάλιν ἄνθη τε καὶ φυτὰ, καὶ ποικίλα, καὶ τἄλλα ὅσα προείρηται τὴν ὄψιν μόνην τέρπει. προσθήσομεν οὖν ὅσα ταὐτοῦ γένους ἐπὶ τοῖς εἰρημένοις ἐστὶ, παραλέλειπται δὲ ὡς σαφῆ. δυοῖν γὰρ αἰσθήσεων ἐμνημόνευσεν ὄψεώς τε καὶ ἀφῆς. σὺ δὲ καὶ τὴν ὄσφρησιν προσθήσεις, δηλονότι καὶ τὴν
D γεῦσιν, καὶ τὴν ἀκοὴν, καὶ κατά γε τὴν ἀκοὴν διαιρῶν ὥσπερ ἐπὶ τῆς ὄψεως. ἔνια μὲν αὐτὴν τὴν αἴσθησιν μόνην τέρποντα, καθάπερ αἱ ἡδεῖαι φωναί. τινὰ δὲ τὴν ἀκοὴν λυποῦντα, καθάπερ αἱ ἀηδεῖς ἀγγελίαι. τοὐναντίον δὲ ἄλλ' ἄττα τέρπει τε καὶ ἥδει. τοῦτό γε καὶ οἱ ἰδιῶται πάντες ἴσασιν, ὡς οὐδὲν ὧν ἀηδῶς ὁ κάμνων ἀκούσεται προσήκει λέγειν αὐτῷ. καθάπερ γε καὶ τὰ μέλλοντα μεγάλως ἥσειν αὐτὸν, ἀγγέλλειν πάντα, μετὰ τοῦ καὶ προσεπιψεύδεσθαί τι. κατὰ μέντοι τὴν ἐφεξῆς ῥῆσιν ἔνια καὶ τῶν ἐνταῦθα παραλελεῖφθαι δοκούντων ἐπαναλαμβάνων,
E προστίθησιν, ἄλλαι. πρόγραμμα τοῦτ' ἐστὶν ἄλλων χαρίτων μελλουσῶν λέγεσθαι. προειρηκὼς γὰρ αἱ τοῖσι κάμνουσι χάριτες, εἶτ' εἰπὼν, τὸ καθαρῶς δρᾶν ποτὰ, ἢ βρωτά. καὶ τούτων ἐφεξῆς, πάντων ὁρωμένων διελθὼν, εἶθ' ἑξῆς ὑπὲρ τῶν πρὸς τὴν ἀφὴν ἡδέων, ἐπαγγέλλεται πρὸς ταῖς εἰρημέναις, ἑτέρας ἐρεῖν χάριτας ὧν ἐφεξῆς ἀκούσῃ. τινὲς μέντοι τελέως ἐξεῖλον τῶν ἀντιγράφων τὸ πρόγραμμα τοῦτο, ἄλλαι, τινὲς δ' οὐ θηλυκῶς μετὰ τοῦ ἰῶτα γράφουσιν, ἀλλὰ χωρὶς τοῦ ι, κατὰ τὸ καλούμενον οὐδέτερον
F γένος ἄλλα μὴ μεγάλα βλάπτῃ, ἢ μὴ εὐανόρθωτα. οἷον τὸ ψυχρὸν, ὅκου τοῦτο δεῖ, καὶ τὰ μὴ μεγάλως βλάπτοντα δοτέον ἐστὶν ἐνίοτε τοῖς ἐπιθυμοῦσιν αὐτῶν σφόδρα, καὶ μέλλουσι μισεῖν τε τὸν ἰατρὸν ἐκ τοῦ μὴ λαβεῖν, ἀποστρέφεσθαί τε, καὶ μηδὲν αὐτοῦ προστάττοντος πείθεσθαι. διδόναι τοίνυν ἀναγκαῖόν ἐστιν ἐνίοτε τούτοις ἔνια τῶν ἐπιθυμουμένων, ἐὰν μὴ μεγάλως ὑπ' αὐτῶν μέλλωσι βλάπτεσθαι. προλέγοντα μὲν, ὅτι βλαβήσονται·

καὶ δίδωσιν αὐτὰ, χαρίζεσθαί τι βουλόμενος τῷ κάμνοντι. πρὸς δὲ τὸ μέλλον αὐτὸν ἀπαιτοῦντα περὶ αὐτοῦ τὴν ἐν τοῖς ἄλλοις εὐπείθειαν. οἶδα γὰρ ἐνίους ἐκ τοῦ λαβεῖν πεισθέντας. οὕτω γοῦν κἀγὼ πολλ' ἔδωκα ψυχρὸν ὕδωρ ἐν ἐκείνοις τοῖς νοσήμασιν ἐν οἷς μετὰ μίαν ἡμέραν ἦν αὐτοῦ χρεία. τοῦτο μόνον τῷ κάμνοντι χαρισάμενος ὡς μὴ περιμεῖναι τὸν ἄριστον καιρόν. ὡσαύτως δὲ καὶ περὶ βαλανείου, καὶ οἴνου, καὶ πάντων τῶν τοιούτων οἶδα πράξας. εἰ μέντοι μηδ' ὅλως δέοιτο, μηδὲ μετὰ μίαν ἡμέραν τὸ νόσημα μηδενὸς τούτων, οὐ χρὴ χαρίζεσθαι τῷ κάμνοντι. βραχεῖαν γὰρ βλάβην ἐπανορθώσασθαι δυνατόν ἐστι τὴν μετὰ ταῦτα τοῦ κάμνοντος εὐπείθειαν. τὴν δ' οὕτως μεγάλην ὡς ἤτοι κίνδυνον ἔσχατον ἐπιφέρειν, ἢ χρόνου μῆκος, οὐκέθ' οἷόν τε πρὸς τὸ δέον πάλιν ἐπαναγαγεῖν. γράφεται δὲ καὶ κατ' ἄλλας λέξεις ἡ προκειμένη ῥῆσις, μίαν μὲν τοιάνδε. ἀλλὰ καὶ μεγάλα βλάπτειν, οἷον ψυχρὸν ὅκου δεῖ, τοῦ δὴ οὖ, βλάπτειν, ῥήματος ἐπὶ τοῦ τέλους ἔχοντος τὸ ν. καὶ ταύτην γε τὴν γραφὴν οἱ παλαιοὶ τῶν ἐξηγητῶν ἴσασιν. ἑτέραν δὲ γραφὴν εὑρήσεις ἐν ἄλλοις ἀντιγράφοις χωρὶς τοῦ ν τοιαύτην. ἃ μὴ μεγάλα βλάπτῃ, ἢ μὴ εὐανάληπτα, οἷον ψυχρὸν ὅκου τοῦτο δεῖ. βούλεται δ' ἡ προκειμένη λέξις, ἢ μὴ εὐανάληπτα, σημαίνειν τὰ μὴ ταχέως ὑπεῖξαι δυνάμενα τοῖς βοηθήμασιν, ὡς ἐπανορθωθῆναι τὴν γεγονυῖαν ἤδη βλάβην. ἀλλὰ περὶ τούτου τοῦ πράγματος ὅσα περὶ τῆς πρόσθεν εἶπεν, ἀναμνησθέντας, [χρὴ] μηδεμιᾶς ἐστι δεηθῆναι νεωτέρας ἐξηγήσεως.

A teque ipsi gratificandi causa ea concedere; sed posterum te vicissim ab eo petere, ut in reliquis obedientem sese exhibeat: novi enim quosdam ex ea Medici liberalitate obsequentes evasisse. Hoc sanè modo, & ego multoties frigidam aquam in illis morbis exhibui, in quibus postridie ejus usus requirebatur, id solum ægrotanti gratificatus, ut optimum scilicet propinandi tempus præverterim: similiter verò, & de balneis, vino, atque id genus omnibus, me fecisse memini. Verùm si morbus, nec postridie, neque prorsus unquam, ullo istorum egeat, ægroto nequaquam concedendum: exiguam B enim noxam futura posthac languentis obedientia emendare poterit; noxa verò adeò magna, ut extremum periculum inferat, aut morbum in longum tempus producat, non itidem deleri, & in pristinum redigi poterit. Scribitur etiam proposita pars per alia verba, uno quidem modo sic, sed & valde nocere, ut frigidam, quum opus est, voce hanc βλάπτειν, id est nocere, ν habente in fine: & hanc quidem lectionem veteres Explanatores agnoscunt: Alteram quoque in aliis exemplaribus detracta litera ita se habentem invenies, quæ non valde nocent, aut non facile emendabili noxa, C ut frigida, ubi hac opus est: vult autem proposita oratio, aut non facilè emendabili noxa, ea significare, quæ non citò remediis cedere queant, ut impressa jam læsio removeatur. Cæterùm hac de re, quæcunque prius dixi reminiscentibus, nullam aliam prætereà novam explanationem poscere convenit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Εἴσοδοι, λόγοι, σχῆμα, ἐσθὴς τῷ νοσοῦντι, κουρὴ, ὄνυχες, ὀσμαί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τούτων, τὰ μὲν ἄλλα πάντα προφανῶς ἐπὶ τὸν ἰατρὸν ἀναφέρεται. μεταξὺ δ' αὐτῶν παρεγκείμενον, τῷ νοσοῦντι, παρέχει τινὰ ζήτησιν, ὅθεν ἔνιοι παντάπασιν ἐξελόντες αὐτὸ, προσεποιήσαντο μηδ' ὅλως εὑρηκέναι γεγραμμένον. ἀλλ' οἵγε παλαιοὶ τῶν ἐξηγητῶν ἴσασι καὶ ταύτην τὴν γραφήν. ἴσως δ' ἄν τινος εὐπορήσαιμεν εἰς αὐτὴν πιθανοῦ, προεπισκεψάμενοι τῶν εἰρημένων ἕκαστον ἰδίᾳ. καὶ πρώτας γε τὰς πρὸς τὸν κάμνοντα τῶν ἰατρῶν εἰσόδους, ὅσαι κεχαρισμένως αὐτοῖς γίνονται. τινὲς μὲν γὰρ ἐνοχλεῖσθαι νομίζουσιν ὑπὸ τῶν πολλάκις αὐτοὺς ὁρώντων, ἔνιοι δὲ πάνυ τούτῳ σφόδρα χαίρουσιν. ἰατροὶ δέ τινες εἰσὶν οἳ μέχρι τοσούτου μωραίνουσιν, ὡς καὶ τοῖς κοιμωμένοις ἐπεισιέναι μετὰ ψόφου ποδῶν, φωνῆς μείζονος, ὑφ' ὧν ἐνίοτε διεγερθέντες οἱ νοσοῦντες, ἀγανακτοῦσί τε πρὸς αὐτοὺς, καὶ βεβλάφθαι τὰ μέγιστά φασι. ἁπάντων οὖν τούτων προορᾶσθαι χρὴ ἰατρὸν, ὡς μήτε κατὰ καιρὸν ὃν οὐ χρὴ παραγίνεσθαι, μήτε προπετῶς, μετὰ ψόφων πολλῶν, καὶ φωνῆς μεγάλης, ἢ βαδίσματος ἀσχήμονος, ἢ βλέμματος, ἢ ὅλως οὑτινοσοῦν τοιούτου. λόγοι. τῶν μεγίστων ἐστὶ καὶ τοῦτο, πρὸς τοὺς κάμνοντας ὑπὸ τῶν ἰατρῶν, ἤτοι προσηκόντως, ἢ οὐ προσηκόντως τι γινόμενον· ἔνιοι μὲν γὰρ αὐτῶν ἐσχάτως εἰσὶν ἀβέλτεροι, τοιοῦτοί τινες ὄντες, οἷον ὁ Ζεῦξίς φησιν ὑπὸ Βακχείου γεγράφθαι

HIPPOCRATIS TEXTUS IX.

D *Introitus, sermones, figura, vestis ægrotanti; tonsura, ungues, odores.*

GALENI COMMENTARIUS.

Ex istis omnia reliqua proculdubio ad Medicum referuntur; sed interea vox hæc posita, *ægrotanti*, dubitationem quandam excitat. Unde quidam ea penitus detracta, sese nequaquam eam invenisse scriptam dissimularunt, sed vetutissimi Interpretes hanc quoque E lectionem admittunt. Verùm singula dicta particulatim prius expendentes, fortassis aliquid verisimile ad ipsam interpretandam nacti erimus. Et primo quidem introitus Medicorum ad ægrum, quoscunque ipsi gratos faciunt: siquidem nonnulli ægri à sępius visentibus affici se molestia opinantur: alii contra crebro se videri magnopere lętantur. Quidam autem Medici sunt, qui eousque insaniant, ut etiam in dormientium conclave strepentes pedibus, aut vociferantes ingrediantur, ob quæ expergefacti F ægroti, & illis irascuntur, & maximè se læsos esse conqueruntur. Hæc igitur omnia providere Medicum oportet, ut neque non in tempore accedat, neque petulanter cum multo strepitu & elata voce, aut incessu, aut aspectu, aut aliquo prorsum hujusmodi indecoro. Sermones. Inter præcipua sunt & isti, cum ęgris à Medicis rectè, aut non rectè facti: quidam enim sermones summè fatui sunt, tales sanè, qualem Zeuxis à Bacchio scriptum esse testatur,

Callianacta fuisse Herophileum, in Libro de momorabilibus Herophili, & ejus sectæ studiosorum. Iste ægrotanti cuidam, atque dicenti, moriar, hoc carmen respondens succinuisse fertur,

Pulchra & pelle micans nisi te Latona creasset.

Alteri quoque moriar dicenti, respondisse,

Et Patroclus obit, qui te præstantior ipso.

Cæterùm quidam hujusce tempestatis Medici, etsi moderatiores Callianacte sint; asperè tamen, & ipsi erga laborantes se gerunt, adeo ut odio ipsis sint: sicut aliqui è contrario serviliter adulantes, ob id ipsum contemptui fuere. Quemadmodum autem ægro Medicum odiosum videri non convenit, ita neque contemnendum; sed humanus, moderatus, suavisque quum sit, gravitatem etiam servare debet. Nisi enim Medicum æger, ut deum quendam admiretur, nunquam illius præceptis obtemperaverit. Antiquissimum igitur fuerit, neque adeo Medicum se submittere, atque adulari, ut sui contemptum pariat: neque rursum perinde, atque Callianactem, se rusticum, atque asperum exhibere: id fiet autem, si & aspectu, & voce, & omni corporis habitu, Medici gravitatem retineat, ægrotantemque iis, quæ ipse præcipiat, morem gerere edoceat. Sermones verò multiformes sunt, tibique exempli causâ, aliquem proponere me non pigebit. Poterit sanè Medicus à procemio verisimili exorsus omnia ea deinceps ægrotanti recensere, quæ in hanc rem ab Hippocrate tradita sunt; primo quidem in Aphorismis, ita dicente, Oportet autem non modo seipsum exhibere ea, quæ oportet, facientem, sed etiam ægrum, Et assistentes, & exteriora: & in primo, de morbis popularibus, Ars per tria, morbus, ægrotus, Medicus. Adversari morbo ægrotum unà cum Medico oportet. Quumque tres sint, Medicus, morbus & ægrotus, si Medicum solum cum morbo pugnantem æger deserat, vel etiam ad morbum transfugiens Medico repugnet, Medicum à morbo superari continget. At si morbo relicto, Medico subsidium contra illum ferat, duobus hominibus contra unum morbum pugnantibus, futuræ victoriæ magna spes est: sicut è contrario desperandum sit, si æger à morbo stans Medico adversetur; solus enim ipse relictus, à duobus hostibus expugnari poterit. Id exemplum tibi satis esto: à simili enim multos id genus alios sermones cogitare poteris à Medicis cum ægrotis fieri. Non solùm autem sermonum à Medicis cum ægris faciendorum talem esse sententiam convenit, sed etiam vocis magnitudinem, & tonum, & omnem actionem sententiæ respondere sermonum. Quod si quis cum erudito viro colloquatur, ne solœcismis barbarismisque utatur, caveto: nam ex hoc Medici ægrotis spernendi videntur. Figura. Et figuram corporis totius in introeundo, atque sedendo Medicus, neque humilem præ se ferat, ut contemptum mereatur: neque fastu quodam, atque arrogantia turgentem. Quidam enim extenti, ac patentes introeunt, ac sedent; nonnulli fracti, & molles: alii verò incurvi atque atque abjecti. Itaque omnes excessus devitandi sunt, & inter eos mediocrem esse tentandum est. Quòd si nonnunquam (raro tamen id evenit) æger humilitatem, & abjectionem quandam amare tibi videatur, à mediocri-

A Καλλιάνακτα γεγονέναι τὸν Ἡροφίλειον, ἐν τοῖς ἀπομνημονεύμασιν Ἡροφίλου τε καὶ τῶν ἀπὸ τῆς οἰκίας αὐτοῦ. νοσοῦντος γάρ τινος, εἶτ' εἰπόντος τῷ Καλλιάνακτι, τεθνήσομαι, φασὶν αὐτὸν ἐπιφωνῆσαι τόδε τὸ ἔπος,

Εἰ μή σε Λητὼ καλλίπαις γείνατο.

Ἑτέρῳ δὲ, ταὐτὸ τοῦτ' εἰπόντι, φασίν,

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

Ἔνιοι δὲ τῶν νῦν ἰατρῶν, εἰ καὶ μετριώτεροι Καλλιάνακτός εἰσιν, ἀλλὰ τραχέως καὶ αὐτοὶ προσφέρονται τοῖς νοσοῦσιν ὡς μισηθῆναι. B καθάπερ ἄλλοι τινὲς ἐξ ὑπεναντίου, δουλοπρεπῶς κολακεύοντες, ἐξ αὐτοῦ τούτου κατεφρονήθησαν, ὥσπερ δὲ, οὐ χρὴ μίσους ἄξιον φαίνεσθαι τῷ κάμνοντι τὸν ἰατρὸν, οὕτως οὐδ' εὐκαταφρόνητον, ἀλλ' ἐν τῷ φιλανθρώπῳ, καὶ μετρίῳ, καὶ ἡδεῖ, τὸ σεμνὸν φυλάττειν. εἰ μὴ γὰρ ὥσπερ θεόν τινα ὁ κάμνων θαυμάσειεν, οὐκ ἂν ὁ κάμνων εὐπειθὴς γένοιτο. βέλτιον οὖν ἐστὶ, μήτε κολακεύειν εἰς τοσοῦτον ὥστε καταφρονεῖσθαι, μήτε ἄγροικόν τε καὶ τραχὺν ὁμοίως Καλλιάνακτι. γενήσεται δὲ τοῦτο, φυλάττοντος μὲν ἔν τε τῷ βλέμματι, καὶ τῷ φθέγματι, καὶ τῷ παντὶ τοῦ σώματος σχήματι, τὸ σεμνὸν, τοῦ ἰατροῦ, C ἐκδιδάσκοντος δὲ τὸν κάμνοντα, πείθεσθαι τοῖς προσταττομένοις ὑφ' ἑαυτοῦ. πολλοὶ δ' εἰσὶ λόγοι, καί σοι παραδείγματος ἕνεκεν οὐκ ὀκνήσω παραθέσθαι τινά. δυνήσεται γὰρ ὁ ἰατρὸς ἐπὶ προοιμίῳ πιθανῷ, μετὰ ταῦτα πρὸς τὸν κάμνοντα διελθεῖν, ὅσα περὶ τῶν τοιούτων Ἱπποκράτης ἔγραψε. πρῶτον μὲν ἐν τοῖς ἀφορισμοῖς εἰπών. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα. καὶ τοὺς παρεόντας ἔξωθεν. ἐν δὲ τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἡ τέχνη διὰ τριῶν, τὸ νόσημα, ὁ νοσέων, ὁ ἰατρὸς, ὑπεναντιοῦσθαι τῷ νοσήματι τὸν νοσέοντα, μετὰ τοῦ ἰατροῦ. καὶ ὡς τριῶν ὄντων ἰατροῦ, καὶ D νοσήματος, καὶ κάμνοντος, ἐὰν ὁ νοσῶν ἐάσῃ μόνον πολεμεῖν τῷ νοσήματι τὸν ἰατρὸν, ἢ καὶ πρὸς αὐτὸ μεταστὰς, ἐμποδίζηται τῷ ἰατρῷ, συμβήσεται νικηθῆναι τὸν ἰατρὸν ὑπὸ τοῦ νοσήματος. ἐὰν δὲ καταλιπὼν τὸ νόσημα, σύμμαχος κατ' αὐτοῦ γένηται τῷ ἰατρῷ, μεγάλην ἐλπίδα τῆς νίκης ἔσεσθαι δυοῖν ἀνθρώπων πρὸς ἓν νόσημα μαχομένων, ὡς τό γε ἐναντίον ἔμπαλιν οὐδεμιᾶς ἐλπίδος ἔσται περιεκτικὸν, ἐὰν ὁ κάμνων μετὰ τοῦ νοσήματος γενόμενος ἐναντιῷτο τῷ ἰατρῷ, μονωθεὶς γὰρ ἂν οὗτος, ὑπὸ τῶν δυοῖν νικηθείη ἄν. ἀρκεῖ σοι E τὸ παράδειγμα τοῦτο, νοῆσαι δυναμένῳ, κατὰ τὸ παραπλήσιον, ἕτερα πολλὰ τοιαῦτα τῷ νοσοῦντι γίνεσθαι πρὸς τῶν ἰατρῶν. οὐ μόνον δὲ τῶν λεχθησομένων λόγων τοῖς κάμνουσιν ὑπὸ τῶν ἰατρῶν τοιαύτην εἶναι προσήκει τὴν διάνοιαν, ἀλλὰ καὶ τὸ μέγεθος τῆς φωνῆς, καὶ τὸν τόνον, καὶ τὴν ὅλην ὑπόκρισιν, ἀνάλογον εἶναι τῇ διανοίᾳ τῶν λόγων. εἰ δὲ καὶ πεπαιδευμένῳ διαλέγοιτό τις ἀνδρὶ, καὶ μετὰ τοῦ μὴ σολοικίζειν τε, καὶ βαρβαρίζειν. καὶ γὰρ ἐκ τῶν τοιούτων εὐκαταφρόνητοι τοῖς κάμνουσιν οἱ ἰατροὶ φαίνονται. σχῆμα καὶ τὸ σχῆμα τοῦ F σώματος ὅλου, κατά τε τὴν εἴσοδον, καὶ τὴν καθέδραν ὁ ἰατρὸς ἐχέτω, μήτε ταπεινὸν, ὡς εὐκαταφρόνητον εἶναι, μήτε γαυρότητά τινα καὶ ἀλαζονείαν ἐνδεικνύμενον. ἔνιοι μὲν γὰρ ἀνατεταμένοι, καὶ πλατεῖς εἰσίασί τε, καὶ καθέζονται. ἔνιοι δὲ διατεθρυμμένοι, τινὲς δὲ ἐγκεκυφότες, καὶ ταπεινοί. φεύγειν οὖν ἁπάσας δεῖ τὰς ὑπερβολὰς, καὶ πειρᾶσθαι μέσον αὐτῶν εἶναι. Εἰ δέ ποτε κατὰ τὸ σπάνιον ὁ κάμνων φαίνοιτό σοι φιλοταπεινός τις, ἀπὸ τοῦ μέσου

βραχὺ, πρὸς δὲ ταπεινότερον ἄμεινόν ἐστι σχηματίζειν ἑαυτόν. εἰ δ᾽ ἐναντίως ἔχοι, καὶ σὺ τἀναντία ποιήσεις ἐπὶ βραχὺ, τοῦ μέσου τε, καὶ παρὰ φύσιν, ἐφ᾽ ἑκάτερα παραχωρῶν. ἐσθής. καὶ αὕτη κατὰ τὸν αὐτὸν λόγον ἔστω μέση, μήτε πολυτελὴς, ὡς ἀλαζονείαν ἐμφαίνειν, μήτε ῥυπαρὰ, καὶ πάνυ ταπεινή. πλὴν εἰ ποθ᾽ ὁ κάμνων αὐτὸς εἴη τῶν, ἀμετρότερον, ἢ τὰ πολυτελῆ φιλούντων, ἢ τοῖς ῥυπαροῖς ἡδομένων. ἐπὶ τούτων γὰρ ἀπὸ τῆς μεσότητος, ἐπὶ δὲ τῷ κάμνοντι φίλτερον ἀποχωρήσεις. ὅσον ἂν εἰκάσῃς, ἔσεσθαί τι σύμμετρον τῷ νοσοῦντι. διὰ μέσου τοῦτ᾽ ἔφην ἐγκείμενον, ἀσάφειαν παρέχειν· εἰ δέ γε κατὰ τὴν ἀρχὴν τῆς ὅλης ῥήσεως, ἢ τὴν τελευτὴν εἴρητο, σαφὲς ἂν ἦν ὡς ἅπαντα ταῦτα τῷ νοσοῦντι κεχαρισμένως προσήκει παρέχειν τὸν ἰατρὸν, εἰσόδους, λόγους, σχῆμα τοῦ παντὸς σώματος, ἐσθῆτα, κουρὰν τριχῶν, ὀνύχων συμμετρίαν, ὀσμήν. ἐπί τε γὰρ εἰσόδων, ἄλλη πρὸς ἄλλον ἐστὶ τῶν νοσούντων ἡ συμμετρία, καθότι πρόσθεν εἶπεν, ἐν δὲ τοῖς λόγοις ὡσαύτως· οἱ μὲν γὰρ, μυθολογοῦσι τοῖς ἰατροῖς ἥδονται, τινὲς δὲ, ἀνιῶνται. καί τινες μὲν σεμνοῖς λόγοις, τινὲς δ᾽ εὐτραπέλοις χαίρουσι. καὶ περὶ τῶν σχημάτων τε καὶ τῆς ἐσθῆτος ἀρτίως εἴρηται, τίνα τρόπον ἐστοχάσθαι χρὴ τῶν ἡδέων τῷ νοσοῦντι· κουρὰ τῶν τριχῶν, ἡ κουρὰ φύσει μὲν ἀρίστη γένοιτ᾽ ἂν, εἰ στοχάζοιτο τῆς κατὰ τὴν κεφαλὴν ὑγείας· ἄλλοις γὰρ ἄλλο προσήκει. τοῖς νοσοῦσι δὲ, τὸ τῆς κουρᾶς εἶδος οὐ ταυτὸν ἅπασιν ἡδύ. στοχάζεσθαι τοίνυν σε χρὴ καὶ τούτου, πρὸς τὸν ἰατρευόμενον ἀποβλέποντα, καθάπερ ἐπ᾽ Ἀντωνίνου τοῦ Κομμόδου πατρὸς ἐποίουν οἱ συνόντες ἅπαντες ἐν χρῷ κειρόμενοι. Λούκιος δὲ μιμολόγους αὐτοὺς ἀπεκάλει. καὶ διὰ τοῦτο πάλιν ἐκόμων οἱ μετ᾽ ἐκείνου. ὄνυχες. πηλίκους εἶναι χρὴ τοὺς ὄνυχας τοῖς ἰατροῖς, αὐτὸς ἐδίδαξεν ἐν τῷ κατ᾽ ἰητρεῖον, συνάπτων αὐτῶν τὴν συμμετρίαν ἡδεῖαν εἶναι τοῖς ὁρῶσι. περὶ δὲ τῶν ψώραν ἐχόντων ὀνύχων, ἤ τι τοιοῦτο, καθάπερ γε καὶ περὶ τῆς ἐν κεφαλῇ τῶν τριχῶν ἀλωπεκίας, ἢ ὀφιάσεως, οὐδὲ λόγου δεῖται. ταῦτα γὰρ, ὡς ἤδη παρὰ φύσιν, αἰσχρόν ἐστιν ἔχειν ἰατρόν. καθάπερ γε καὶ ἀρθρῖτιν ἰσχυρὰν, ἤ τι τοιοῦτον ἕτερον, ὀσμή. καὶ τῆς ὀσμῆς τοῦ σώματος ὅλου καὶ τοῦ στόματος, ἡ μέν τίς ἐστιν ἐνίοις φύσει μοχθηρὰ, καθάπερ γε καὶ ἄλλοις τισὶν ἄμεμπτος. ἡ δ᾽ ἐξ ἀμελείας ἐγγίνεται, μηδὲν ἡγουμένων ἁμαρτάνειν τῶν ἰατρῶν, ἐὰν ἤτοι σκορόδων, ἢ κρομμύων ὄζοντες ἐπισκοπῶνται τοὺς νοσοῦντας. ἐπὶ δὲ Κοΐντου τοῦ κατὰ τὴν πατρίδα ἡμῶν ἰατρεύοντος ἐν ῥώμῃ, καὶ τοιοῦτό τι συνέβη. μετ᾽ ἄριστον ἐπεσκέπτετό τινα τῶν πλουσίων τε καὶ πολὺ δυναμένων ἀνδρῶν, ὄζων οἴνου σφοδρῶς. πυρέττων οὖν ἱκανῶς ὁ κάμνων, ἅμα κεφαλαλγίας, καὶ διὰ τοῦτο μὴ φέρων τὴν ἐκ τοῦ οἴνου προσπίπτουσαν ὀσμὴν, ἠξίου πορρωτέρω χωρήσειν τὸν Κόϊντον, λυπεῖν αὐτὸν ἐξόζοντα σφοδρῶς οἴνου. ταῦτα μὲν οὖν ὁ κάμνων ἐφαίνετο μετρίως λέγειν. ὁ Κόϊντος δ᾽ ἀβελτέρως αὐτῷ προσενεχθεὶς, ἐκέλευσεν ἀνέχεσθαι τῆς ὀσμῆς. καὶ γὰρ ἑαυτὸν ἔφη τοῦ κάμνοντος ἀνέχεσθαι πυρετοῦ ὄζοντος, εἶναι δ᾽ οὐκ ἴσον, ἢ πυρετὸν, ἢ οἶνον ὀσμᾶσθαι. ἕτερον δ᾽ ἰατρὸν

κατὰ

A tate ad humilius te paulum descendere, humilioremque teipsum effingere satius fuerit. At si è contrario sese habeat, & tu contraria facito, paulum à mediocri & à naturali statu ad alterutrum latus declinans. Vestis. Et ipsa eadem ratione mediocris esto; neque valde sumptuosa, ut arrogantiam indicet, neque sordida, & nimium vilis, nisi si æger ipse immoderatius, aut pretiosa vestimenta amet, aut sordidis oblectetur: tunc enim à mediocritate ad illud quod ægroto magis placeat, descendito, quatenus id languenti arridere conjecturâ assecutus fueris.

B Hanc appellationem, ægrotanti, reliquis interjectam, obscuritatem offundere suprà dixi: at si initio sermonis, aut in fine posita foret, nihil planè dubitationis attulisset, omnia hæc scilicet ut ægrotanti jucundiora sunt, Medico esse præstanda, introitus, sermones, figuram totius corporis, vestem, tonsuram capillorum, unguium decentem modum, odorem. Etenim in introitu alius ad alium ægrotantem, ut paulò ante posuimus, modus est. In sermonibus similiter: nonnulli enim Medicis fabellas narrantibus delectantur, nonnulli eos fastidiunt;

C aliqui gravibus, & seriis sermonibus gaudent, aliqui facetis, & lepidis. Et de figuris corporis, & vestimentis, quonam pacto jucundiora ægrotanti conjicere oporteat, supra comprehensum est. Tonsura capillorum. Tonsura naturaliter quidem optima fuerit, si ad capitis sanitatem conservandam fiat: aliis enim alia tonsuræ species convenit: ægrotis verò non omnibus idem tonsuræ genus placet. Hoc igitur te quoque considerare oportet ejus, quem medicaris, rationem habentem, quemadmodum, Antonio Commodi patre imperante, omnes ejus familiares faciebant, ad

D cutem usque detonsi. Lucius verò eos mimos appellabat, & iccircò rursum, qui cum ipso versabantur, comam nutriverunt. Ungues. Quantos Medicis ungues esse oporteat, ipse in Libro de agendis in Medicatrina edocuit, illud addens, ipsorum decentem modum aspectantibus esse jucundum. De unguibus autem, scabie, aut aliquo alio id genus vitio affectis, quemadmodum & de pilorum capitis affectibus, alopecia scilicet & porrigine, neque sermo faciendus est: hæc enim ut jam præter naturam

E Medicum pati, sicut & morbum articularem vehementiorem, & aliquid ejusmodi aliud turpissimum est. Odor. Porro totius corporis odor & oris præcipuè nonnullis quidem naturâ putidus est, sicut aliis quibusdam sine vitio, nonnunquam per incuriam teter odor fit, quum Medici nihil errare se putant, si cæpas, aut alium redolentes ægrotos visant. Quinto sane civi nostro Romæ medicinam exercenti, id contigit. A prandio divitem quendam ac præpotentem hominem vini odorem vehementer spirans

F invisit: Æger itaque cum capitis dolore magnam febrim habens, atque ideo vini odorem exeuntem ægrè ferens, Quintum, ut longius aliquanto recederet rogavit, quoniam vinum immoderatius redolens ipsum contristaret: & quidem ægrotus modestè dicere videbatur. At Quintus ipsi stolidiùs respondens, odorem, ut æquo animo ferret, percepit, nam & se quoque ægrotum ex febri male olentem sustinere dicebat, multùm autem interesse, febrimne quis, aut vinum redoleret. Alter fuit Medicus

in nostra Asia, cui axillæ adeo fœdum odorem expirabant, ut vir nullus elegantior ejus accessum ægrotans ferre posset. Oportebat igitur eum prius suoipsius symptomati mederi, atque ita ad alios curandos sese accingere. Nam etsi, ut hircis, ingenitus putor insit, ad mediocritatem tamen quandam redigi potest: rursum hæc mediocritas quotidianis inspersionibus, fœtorem obtundentibus mitigari poterit. Aliud igitur quidam os naturaliter putidum habens, ejus putorem, & purgatione, & medicamentorum ad id facientium potu mitigabat: atque quotidie aut amomi, aut folii malabathri, aut aliorum id genus odoratorum, in ipsum pauxillum quiddam conjiciens, ita ex ædibus proficiscebatur.

A ἐπὶ τῆς ἡμετέρας Ἀσίας οἶδα δυσώδεις ἔχοντα τὰς μύλας ὡς διὰ τοῦτο μὴ φέρειν αὐτοῦ τὴν εἴσοδον ἄνθρωπον νοσοῦντα μηδένα καθάρειον. ἐχρῆν οὖν αὐτὸν ἑαυτοῦ πρότερον ἰᾶσθαι τὸ σύμπτωμα, καὶ οὕτως ἐπιχειρεῖν ἑτέροις θεραπεύειν. ἐγχωρεῖ γὰρ, εἰ καὶ σύμφυτον ὥσπερ καὶ τοῖς τράγοις ἐστὶν, ἀλλά τοι μετριώτερον γ' αὐτὸ ποιήσαντα, τὸ μέτριον αὖθις τοῦτο πραΰνειν ἑκάστης ἡμέρας διαπάσμασιν ἀμβλυντικοῖς δυσωδίας. ἄλλος γοῦν τις ἔχων δυσῶδες φύσει τὸ στόμα, προὐνοήσατο μετριώτερον αὐτὸ ποιήσασθαι, διά τε καθάρσεως, καὶ
B φαρμάκων πόσεως ἐπιτηδείων εἰς τοῦτο. καὶ καθ' ἑκάστην ἡμέραν ὀλίγιστόν τι λαμβάνων εἰς αὐτὸ ποτὲ μὲν ἀμώμου, ποτὲ δὲ μαλαβάθρου φύλλου, ποτὲ δ' ἄλλου τινὸς τῶν εὐωδῶν οὕτως ἐκ τῆς οἰκίας προήρχετο.

HIPPOCRATIS TEXTUS X.

Aqua decocta tum quidem ut aërem admittat, tum verò ne plenum sit, & operculum habeat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι.

Ὕδωρ ἀφεψηθὲν, τὸ μὲν ὡς δέχηται τὸν ἠέρα, τὸ δὲ, μὴ ἔμπλεον εἶναι, καὶ ἐπίθεμα ἔχειν.

GALENI COMMENTARIUS.

IN quibus affectibus, aut cujus utilitatis causa aquam decoquere, aut quamcunque, aut vitiosam tantùm conveniat, in verbis istis declaratum non est: quamobrem neque ullum ex ipsis fructum percipimus. Videtur nanque Hippocrates, sicut alia multa in his Libris quærendi magis causa, quàm in vulgus edendi adnotavit, ita hunc quoque sermonem conscripsisse, nobis quidem imperfectum, sibi verò ipsi ad recordationem integrum. At si nobis ipsis hunc nodum explicandum proponamus, qualem aquam priùs decoquere conveniat, atque ita deinde refrigeratam bibere, siquidem ipsam frigidam bibere volumus: & contra rursus, quam calidam aquam bibere volentes, haud perinde coquemus, sed huic operculum facientes, vasi, in quo calefacta est, magnitudine respondens: illi verò nullum tegmen imponentes, sed calentem aquam in nudo detectoque vase, sub dio expositam dimittentes: & quæremus deinceps, qui affectus calidas, quive frigidas aquas postulent: nos quidem utile aliquid inveniemus, nihil tamen ad inventionem ex propositis verbis proficiemus, quandoquidem initium nullum clarum habent, quocirca, & nonnulli ipsa cum suprapositis copulant, ut Artemidorus voluit cognomento Capito; sed plurimi ipsa ab illis separantes seorsum considerant. Igitur si cum antepositis conjungantur, hujusmodi eorum sensus erit, laborantibus gratiæ, ut munde parare, aut poculenta, aut esculenta, & cætera quæ deinceps dixit Hippocrates. Deinde post ultima verba, aqua verò, & ipsis interdum frigida propinanda, quum aut offensam prorsus nullam, aut perexiguam, ex ejus potu fore metuamus. Deinde sibi ipsi ad reminiscentiam, ut aiunt, deinceps modum ipsius præparandæ tradidit, fortasse nequaquam volens fontanam aquam prius, quàm incaluerit, exhiberi: fortasse verò, & aliquam distinctionem nactus, quibus calefacta prius, & mox refrigerata, aut quibus, omissa calefactione, potui danda sit. Aut forsan optimam aquam non coctam, vitiosam verò coctam, præbere voluit. Fortassis etiam optimæ aquæ

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Ἐπὶ τίνων παθῶν, ἢ τίνος ἕνεκα χρείας ἀφεψεῖν προσήκει τὸ ὕδωρ, εἴτ' οὖν ἁπλῶς, εἴτε μόνον τὸ μοχθηρὸν, οὐκ εἴρηται κατὰ τὴν ῥῆσιν, ὥστ' οὐδ' ὠφέλειά τις ἐξ αὐτῆς ἡμῖν ὑπάρχει. φαίνεται γὰρ ὥσπερ ἄλλα πολλὰ τοῦ ζητῆσαι χάριν, ἢ καὶ συγγράψαι πρὸς ἔκδοσιν, ὁ Ἱπποκράτης ἐν τούτοις τοῖς βιβλίοις ὑποτυπούμενος, οὕτω καὶ τοῦτον γράψαι τὸν λόγον ἐλλιπῶς μὲν ἡμῖν, ἑαυτῷ δ' εἰς ἀνάμνησιν οὐκ ἐλλιπῶς. εἰ δὲ πρόβλημα θέντες ἡμεῖς
D ἡμῖν αὐτοῖς, εὑρεῖν ὁποῖα τῶν ὑδάτων ἀφεψεῖν χρὴ πρότερον, εἶτα ψύξαντας πίνειν, εἴ γε δὴ ψυχρὰ πίνειν ἐθέλοιμεν αὐτὰ, καὶ κατὰ τοὐναντίον αὖ, τίνα θερμὰ βουλόμενοι πίνειν, οὐχ ὁμοίως ἑψήσομεν. ἀλλὰ τῶν μὲν ἐπίθεμα ποιήσαντες ἁρμόττον τῷ σκεύει καθ' ὃ θερμαίνεται· τῶν δὲ, μηδὲν ἐπιθέντες, ἀλλ' ἐπιτρέψαντες διὰ γυμνοῦ, καὶ ἀστεγνώτου τοῦ ἀγγείου τὸ θερμαινόμενον ὕδωρ ὁμιλεῖν τῷ περιέξ ἀέρι· ζητήσομεν δὲ ἀκολούθως καὶ τίνα παθήματα δεῖται θερμῶν, ἢ ψυχρῶν ὑδάτων· αὐτοὶ μὲν τί τι χρήσιμον εὑρίσκομεν, οὐ μὴν ἐκ τῆς προκειμένης ῥήσεως εἰς τὴν εὕρεσιν ὠφεληθησόμεθα, τὴν
E ἀρχὴν γὰρ, ὅλως οὐδὲν ἀποσαφεῖ· διὸ καί τινες μὲν αὐτὴν συνάπτουσι τῇ προγεγραμμένῃ καθάπερ Ἀρτεμίδωρος ἐπικληθεὶς Καπίτων, οἱ πλεῖστοι δ' ἀποχωρίσαντες ἰδίᾳ σκοποῦνται μόνην. ἐὰν οὖν συνάπτηται τῇ προκειμένῃ, τοιόνδε τινὰ τὸν νοῦν ἕξει, αἱ τοῖσι κάμνουσι χάριτες οἷον τὸ καθαρείως δρᾷν, ἢ ποτὰ, ἢ βρωτά. καὶ τὰ ἄλλα ὅσα τούτοις ἐφεξῆς εἶπεν ὁ Ἱπποκράτης. εἶτ' ἐπὶ τῇ τελευτῇ, καὶ τὸ ὕδωρ δὲ δοτέον αὐτοῖς ἐνίοτε ψυχρόν. ὅταν ἤτοι μηδ' ὅλως ἐλπίσωμεν ἐκ τῆς πόσεως αὐτοῦ γενήσε-
F σθαί τινα βλάβην, ἢ παντάπασιν ὀλίγην, εἶθ' ἑαυτῷ πρὸς ἀνάμνησιν, ὥς φασιν, ἐφεξῆς ἔγραψε τὸν τρόπον τῆς παρασκευῆς αὐτοῦ· τάχα μὲν οὐδέποτε βουλόμενος ἀπὸ πηγῆς ὕδωρ διδόναι, πρὶν τοῦ θερμανθῆναι, τάχα δὲ, διορισμόν τινα εὑρηκὼς, οἷς τε χρὴ διδόναι θερμανθέν τε καὶ ψυχθὲν, οἷς τε χωρὶς τοῦ θερμανθῆναι. τάχα δὲ τὸ μὲν ἀμεμπτότατον ὕδωρ ἄνευ τῆς ἑψήσεως. τὸ δὲ μοχθηρὸν ἑψήσας, ἐβούλετο δίδοσθαι, τάχα δὲ καὶ ψύξιν ὕδατος

ἀπέπτου γράφει διτλαῖ, ἑτέραν μὲν ἐκ τοῦ περιέχοντος ἀέρος γινομένην. κατὰ γοῦν Ἀλεξάνδρειάν τε καὶ πᾶσαν Αἴγυπτον, ἐθεασάμην ἀποψύχοντας αὐτοὺς τὸ ὕδωρ ἐν ἀγγείοις τισὶν ὀστρακίνοις τρόπῳ τοιῷδε. δυόμενου ἡλίου, προθερμήναντες αὐτὸ, τοῖς ἀγγείοις ἐνέβαλλον, εἶτα μετέωρον ἐκρέμων ὅλον τοῦτο τὸ ἀγγεῖον ἐν θυρίσιν ἐστραμμέναις πρὸς ἄνεμον, ὡς δι᾽ ὅλης νυκτὸς ψύχεσθαι, κἄπειτα πρὶν ἀνατεῖλαι τὸν ἥλιον ἐπὶ τῆς γῆς ἐτίθεσαν ὕδατι ψυχρῷ κατερραμμένης, ἐν κύκλῳ φύλλα ψυχρὰ περιετίθεσαν ὅλῳ τῷ ἀγγείῳ, ποτὲ μὲν ἀμπέλων, ἢ θριδακίνης, ἔστι δ᾽ ὅτε καὶ ἄλλων τινῶν ὁμοίων, ὡς διαμένειν ἐπὶ πλεῖστον, ἣν κατὰ τὸν νυκτερινὸν ἀέρα τὸ ὕδωρ ἐπεκτήσατο ψύξιν. ἔτι δὲ μᾶλλον ἐπὶ τὴν τοιαύτην ἤρχοντο παρασκευὴν οἱ ἄνθρωποι, μὴ παρόντος αὐτοῖς ὕδατος ἀμέμπτου. λέγω δ᾽ ἄμεμπτον, ὃ μήτ᾽ ἰλύος ἔχον τι, μήτε φυσῶδες, ἀποιότατόν τε γευομένοις. ἔνια γὰρ ἀτόποις ἐπιμεμιγμένας ἔχει ποιότητας, ἁλῶν, ἢ λίτρου, ἢ θείου τε καὶ ἀσφάλτου, καὶ στυπτηρίας, ἑτέρων τε τοιούτων. ἐφ᾽ ὧν ἀπόλυτον ἄμεινόν ἐστιν, ὥσπερ ὄσπριά τε πολλὰ προέψοντες ἐπιτήδεια πρὸς ἐδωδὴν ἐργαζόμεθα, λάχανά τε, καὶ καρποὺς, καὶ ζώων μόρια, κατὰ τὸν αὐτὸν λόγον, καὶ τὸ ὕδωρ ἑψήσει πρότερον ἀλλοιοῦντες ἐπὶ τὸ βέλτιον, οὕτω προσφέρεσθαι. καὶ καθ᾽ ἑτέραν δὲ χρείαν ὕδωρ προθερμαίνοντες ψύχομεν. εἴ γε μήτε γεῦσιν ἔχοι, μήτ᾽ ὀσμὴν μοχθηρὰν, ἀκριβῶς δ᾽ εἴη καθαρόν. ὅταν αὐτοῦ πειρασθῶμεν, ἤτοι γε πλέον ἐν τῇ γαστρὶ διαμένοντος, ἢ πλήττοντος αὐτὴν, ἢ ἐκφυσῶντος, ἢ βαρύνοντος. ἔστι γὰρ ἀμέλει, καὶ τοιαῦτα πολλὰ, περὶ ὧν μάλιστά μοι δοκεῖ γεγραφέναι τὴν διάκρισιν ἀπὸ τῶν » ἀρίστων ὑδάτων ὁ Ἱπποκράτης, ἔνθα φησί. ὕδωρ τὸ » ταχέως ψυχόμενον, κουφότατον. οὐ γὰρ ἐπὶ τῶν βορβορωδῶν, ἢ δυσωδῶν, ἢ φαρμακῶδές τι κατὰ τὴν γεῦσιν ἐμφαινόντων, ἡ τοιαύτη διάγνωσίς ἐστι χρήσιμος, ἅγε προδήλως ἐμφαίνεται πᾶσιν, ἀλλ᾽ ἐφ᾽ ὧν οὐδὲν μὲν τούτων ἐστίν. ἑτέρα δέ τις, ἤτοι δι᾽ ἐπιμιξίαν ἀέρος μοχθηροῦ κακία περὶ τὸ ὕδωρ ἐστὶν, ἢ τις ἄλλη σύμφυτος αὐτῷ τῷ ὕδατι διαλεληθυῖαν ἔχουσα τὴν αἰτίαν. ἐπὶ τούτων γὰρ ἡ εἰρημένη διάγνωσις ἄριστον κριτήριον, οὔτε γὰρ θερμαίνεται ταχέως, οὔτε ψύχεται τὰ τοιαῦτα τῶν ὑδάτων. ἑτέρα τε παραπλήσια τῇδε διὰ τῶν ἑψομένων ἐν αὐτῷ λαχάνων, ἢ ὀσπρίων, ἢ καρπῶν, ἢ κρεῶν, ἢ ῥιζῶν. τάχιστα μὲν γὰρ ἐν τοῖς ἀρίστοις ὕδασι, βραδύτατα δὲ ἐν τοῖς μοχθηροῖς ἕψεται. καὶ κεκλήκασί γε τὰ οὕτω μοχθηρὰ, τῶν ἀρχαίων τινὲς ἀτέραμνά τε καὶ ἀπεράμονα, παραπλησίως αὐτοῖς ὀσπρίοις ὅσα δυσχερῶς ἕψεται. διὰ τοιαύτας μὲν οὖν χρείας ἐνίοτε προθερμαίνοντες ὕδωρ ψύχομεν. οὐ μὴν ἀλλὰ καὶ θερμὸν αὐτὸ πίνειν μέλλοντες, ὅταν ᾖ βορβορῶδες, ἢ ἰλυῶδες, ἢ δυσῶδες, οὕτω προπαρασκευάζομεν. ὅταν γὰρ προθερμανθὲν ψυχθῇ, κατὰ μὲν τὴν αἴσθησιν ἀποτίθεται τὴν δυσωδίαν ἣν ἐκ σηπεδόνος τοὐπίπαν ἐπικτᾶται, τό τε γεῶδες ἅπαν ἐφιστάμενον ἴσχει ῥᾳδίως, ὃ, πρὶν θερμανθῆναι, κατὰ σμικρὰ μόρια μεμιγμένον, ἅπαντι τῷ ὕδατι πινόμενον, ἅμα αὐτῷ βλάβην οὐ σμικρὰν ἐργάζεται, καὶ μάλιστ᾽ ἐφ᾽ ὧν τὰ κατὰ νεφροὺς, ἢ κύστιν, ἐπιτήδεια πρὸς λίθων γένεσίν ἐστι,

A duplicem refrigerationem prodit, unam quidem, quam circunfusus aër efficit. Porro in Alexandria, totaque Ægypto ipsos aquam in testaceis quibusdam vasis hoc modo refrigerare conspexi. Occidente sole, aquam prius calefactam in vascula fundebant: deinde sublime totum hoc vas in fenestris vento adversis, ut ibi per totam noctem refrigesceret, suspendebant: postea ante solis ortum vas humi depositum frigidam aquam circumspargentes, frigida etiam folia toti vasi circundabant, nonnunquam vitium, aut lactucæ, nonnunquam B verò, & aliarum id genus herbarum, ut frigus id, quod sub nocturno aere acquisiverat, diutius permaneret: multo vero magis ad hujusmodi apparatum, quum optimæ aquæ ipsis facultas non esset, homines devenere. Dico autem optimam aquam & omni vitio carentem, quæ neque limi quicquam habet, neque male olet, & gustantibus nullam qualitatem præ se fert. Quædam enim pravas qualitates permistas habent, salis, aut nitri, aut sulfuris, aut bituminis, aut aluminis, C aliorumque id genus: in quibus omnibus præstat, quemadmodum legumina multa præelixantes idonea esui præparamus, & olera, & fructus, & animalium partes, eadem ratione & aquam prius decoctione ad meliorem naturam permutantes, ita propinare. Præterea & ob alium sane usum aquam percalefactam refrigeramus, etsi neque sapore, neque odore malo depravata sit, atque sic exquisitè pura: quando in ventriculo ipsam diutius commorari, aut percellere, aut inflare, aut degravare ventriculum perceperimus. Sunt enim pro- D fecto, & id genus multæ, quarum præcipuè ab optimis aquis discretionem Hippocrates mihi scripsisse visus est, ubi inquit; Aqua cito incalescens, ac cito refrigescens, levissima. Neque enim in lutosis, aut malè olentibus, aut quippiam medicamentosum gustatui imprimentibus, hujusmodi signum usui esse potest, quum illæ omnibus notæ apertæque sint; sed in illis, quæ omnibus hisce qualitatibus careant. Aliud vero ex aeris corrupti mistione vitium inest, aut aliud quodpiam ipsi aquæ ingenitum ab ignota causa proveniens. In his quidem supradicta nota optimum dijudicandi E instrumentum est: neque enim id genus aquæ cito calefiunt, aut refrigerantur. Aliud quoque indicium huic simile ab oleribus, aut leguminibus, aut fructibus, aut carnibus, aut radicibus in ipsa aqua incoctis accipitur: siquidem in optima aqua celerrimè, in vitiosa tardissimè elixantur: vocantque hujusmodi vitiatas aquas Veteres quidam indomitas, sive crudas, sive incoctiles, perinde ac ipsa legumina, quæ difficulter, vixque elixantur. Ob has itaque utilitates nonnunquam præcalefactam aquam re- F frigeramus. Quin, ipsam calidam bibituri, quum aut lutulenta, aut limosa, aut fœtens est, hunc in modum præparamus. Nam præcalefacta quum refrixit, tunc evidenter putorem, quem ex putredine plerunque contraxerat, abjicit, omnisque pars terrea facilè subsidet: quæ cum tota aqua priusquàm incaluisset, minutatim permissa, unaque cum ipsa epota, aut contemnendam noxam infert, & maxime quibus renes, aut vesica progignendis calculis proclives sunt,

At sub dio quidem non aquam modo calentem, sed etiam alia quædam exponere istius separationis causâ, Medici mihi excogitasse videntur. Nam quæcunque ex diversæ naturæ materiis constant, per minutas particulas mixtione conflata, hæc post calefactionem refrigescentia facilè secernuntur: sed statim à coctione antequam refrigerentur, adhuc motione agitantur, atque ideo omnes eorum particulæ permixtæ sunt: sed refrigeratis graves, ac terreæ fundum petunt, leves superfluitant. Itaque si cum prædictis, in quibus scripsit Hippocrates, laborantibus gratificandum, de aquarum coctura sermo copuletur, & ipsius utilitas evidens est, atque id, quod dicitur, qualenam sit, exquisitè fortasse invenerimus. Sin autem à prædictorum continuitate modo proposita verba divellentes separatim contemplemur, plena dubitationum erit oratio. Prius igitur ipsum, ut superioribus annexum explanabimus, dicentes aquæ ab ipsa præparationem innoxiam significari frigidam potaturis: quam & ego sæpius facio, quum ægrotanti alicui frigidam aquam præbiturus sum, neque mihi fontis aqua bona scatentis facultas est. Romæ nanque sicut & multa alia in ea urbe eximia sunt, ita & fontium elegantia, ac multitudo est admirabilis, eorum nullam fœtidam aquam, aut medicatam, at turbidam, aut asperam, crudamque que effundente, sicut neque Pergami in patria nostra: in multis autem aliis urbibus haud paucæ depravatæ aquæ reperiuntur. Illæ sanè, quæ ex Tiburtinis montibus per lapideas fistulas in Romanam civitatem derivantur, aliis quidem vitiis carentes, crudiusculæ tamen sunt, ut neque celeriter calefiant, ut urbani fontes, neque refrigerentur: neque celeriter in ipsis, ut in fontanis aquis, quæcunque injeceris, elixentur legumina, & olera, & carnes. Ex his autem aliæ aliis in locis multo crudiores sunt, & ab ipsis indigenis duræ, gravesque nominantur, quod ventriculum infestent, & à potu onus quoddam plures percipiant: nam ferè & alias multas causas quicquam efficientes ab effectu denominare consueverunt: sic igitur, & huic contrariam aquam, optimam scilicet laudantes, levem, & mollem appellant. Cæterùm omnia hæc enarrata cognitu quidem utilia sunt, sed nihil ipsorum proposita verba docent, neque sine ostensione, neque cum ostensione, neque breviter, & obscurius, neque dilucidè, ac prolixiùs. Satius igitur mea quidem sententia fuerit omnes hujusmodi orationes integras præterire. Quamobrem si Hippocrates, quo pacto aquam potui frigidam præparare oporteat, tradere proposuit, hujusmodi erit verborum sensus. Si aquam prædicti usus causa decoquamus, aut nihil vasculis, in quibus decoquitur, superimponemus; sed quæ decoquitur aquam in aëre ambiente liberè versari permittemus: aut econtrario aliquo operculo vasculum integentes aerem excludemus. Rursum verò hæc ipsa, aut inter decoquendum, aut ab decoctione inter refrigerandum fieri debere dictum esse intelligere possumus: sed in refrigeratione intelligi credibilius est, in decoctione verò incredibile. Neque enim docere possumus, cuinam usui inter coquendum aër ambiens futurus sit, quæ decoquuntur aquas ne attingat, exclusus: sed

A καὶ τό γε ἐξαιθριάζειν, οὐ μόνον τὸ ὕδωρ τὸ θερμανθέν, ἀλλὰ καὶ ἄλλ' ἄττα δοκεῖ μοι τοὺς ἰατροὺς ἐπινοῆσαι, τῆς τοιαύτης διακρίσεως ἕνεκεν. ὅσα γὰρ ἐξ ἑτερογενῶν οὐσιῶν σύγκειται, κατὰ σμικρὰ μόρια τὴν μίξιν ἐσχηκότα, ταῦτα ψυχόμενα μετὰ τὸ θερμανθῆναι ῥᾳδίως διακρίνεται. πρὶν δὲ ψυχθῆναι, μετὰ τὴν ἕψησιν ἔτι κινεῖται, καὶ διὰ τοῦτο ἀναμέμικται πάντ' αὐτοῦ τὰ μόρια. ψυχομένων δέ, τὸ μὲν βαρὺ καὶ γεῶδες ἐν αὐτοῖς ὑφιζάνει, τὸ δὲ κοῦφον ἐπιπολῆς ἵσταται. εἰ μὲν συνάπτοιτο τοῖς προειρημένοις ἐν οἷς ἔγραψεν ὁ Ἱπποκράτης τὰς τοῖς B κάμνουσι χάριτας, ὁ περὶ τῶν ὑδάτων ἑψήσεως λόγος, ἥ τε χρεία σαφής ἐστιν αὐτοῦ, τό τε λεγόμενον αὐτὸ τάχ' ἂν εὕροιμεν ἀκριβῶς ὁποῖόν ἐστιν. εἰ δὲ ἀποσπάσαντες ἀπὸ τῆς τῶν προειρημένων συνεχείας, τὴν ἄρτι προκειμένην ῥῆσιν ἐπισκεψοίμεθα, μεστὸς ἀποριῶν, λόγος ἔσται. πρότερον οὖν αὐτὸν ὡς συνημμένον ἐξηγησόμεθα, λέγοντες ὕδατος ἐν αὐτῷ δηλοῦσθαι παρασκευὴν ἀσφαλῆ τοῖς μέλλουσι πίνειν ψυχρόν, ἣν κἀγὼ ποιοῦμαι πολλάκις ὅταν μέλλω τινὶ διδόναι τῶν νοσούντων ὕδωρ ψυχρόν, ἀπορῶν πηγῆς ἄμεμπτον ἐχούσης. ἐν Ῥώμῃ γὰρ ὥσπερ C ἄλλα πολλὰ πλεονεκτήματα ἐν τῇ πόλει ἐστίν, οὕτω καὶ τὸ τῶν πηγῶν κάλλος τε καὶ πλῆθος, οὐδεμιᾶς οὔτε δυσῶδες, οὔτε φαρμακῶδες, οὔτε θολερόν, οὔτ' ἀτέραμνον ἐχούσης ὕδωρ, ὥσπερ οὐδ' ἐν Περγάμῳ παρ' ἐμοί. κατ' ἄλλας δὲ πόλεις πολλάς, οὐκ ὀλίγα μοχθηρὰ τῶν ὑδάτων ἐστί. τά γε μὴν ἐκ τῶν Τιβουρτίνων ὀρῶν ὕδατα διὰ τῶν λιθίνων ἀγωγῶν εἰς τὴν Ῥωμαίων πόλιν ἀγόμενα, τῆς μὲν ἄλλης ἀπήλλακται κακίας. ἀτέραμνα δέ πώς ἐστιν, ὡς μήτε θερμαίνεσθαι ταχέως, ὥσπερ D αἱ κατὰ τὴν πόλιν πηγαί, μήτε ψύχεσθαι, μήτε ἕψεσθαι διὰ ταχέων ἐν αὐτοῖς ὥσπερ ἐν πηγαίοις, ὅσαπερ ἂν ἐμβάλλῃ τις ὄσπριά τε καὶ λάχανα, καὶ κρέα. τούτων δὴ ἄλλα κατ' ἄλλας χώρας πολὺ μᾶλλόν ἐστιν ἀτέραμνα, καὶ πρὸς αὐτῶν τῶν ἐπιχωρίων ὀνομαζόμενα σκληρὰ καὶ βαρέα, διὰ τὸ πληροῦσθαί τε καὶ γαστέρα, καὶ μετὰ τὴν πόσιν αἰσθάνεσθαι βάρους τοὺς πλείονας. εἰώθασι γὰρ ὁμοίως, καὶ ἄλλα πολλὰ τῶν ποιούντων αἴτιον ὁτιοῦν ἀπὸ τοῦ γινομένου προσονομάζειν. οὕτω γοῦν καὶ τοὐναντίον ὕδωρ τῷδε τὸ κάλλιστον ἐπαινοῦντες, ὀνομάζουσι κοῦφόν τε καὶ μαλακόν. E ἀλλὰ ταῦτά γε πάντα τὰ λελεγμένα, χρήσιμα μὲν ἐστὶ γινώσκεσθαι, διδάσκεται δ' οὐδὲν αὐτῶν ἐκ τῆς προκειμένης ῥήσεως. οὔτ' οὖν ἀναποδείκτως, οὔτε μετ' ἀποδείξεως, οὔτε διὰ βραχέων ἀσαφέστερον, οὔτε διηρθρωμένως μακρότερον. ἄμεινον οὖν ἐστι, κατά γε τὴν ἐμὴν γνώμην, ὑπερβαίνειν ὅλας τοιαύτας λέξεις. ἐὰν μὲν ὅπως χρὴ παρασκευάζειν ὕδωρ εἰς πόσιν ψυχρὸν ὁ Ἱπποκράτης προὔθετο γράφειν, ὁ νοῦς αὐτῆς ἔσται τοιοῦτος. ἐὰν ἕψωμεν ὕδωρ ἕνεκεν τῆς προειρημένης χρείας, ἤτοι γ' οὐδὲν ἐπιθήσομεν τοῖς ἀγγείοις ἐν οἷς F ἕψομεν, ἀλλ' ἐπιτρέψομεν ὁμιλεῖν τῷ πέριξ ἀέρι τὸ ἑψόμενον, ἢ τοὐναντίον ἀποκλείσομεν τὸν ἀέρα, στεγνώσαντες πώματι τὸ ἀγγεῖον. αὐτὰ δὲ δὴ ταῦτα πάλιν, ἤτοι κατὰ τὴν ἕψησιν αὐτήν, ἢ κατὰ τὴν ἐπ' αὐτῇ γενησομένην ψύξιν εἰρῆσθαι, δυνατὸν ἀκούειν ἐστί. πιθανώτερον μὲν ἐπὶ τῆς ψύξεως, ἀπιθάνως δ' ἐπὶ τῆς ἑψήσεως. οὐ γὰρ ἔχομεν εἰπεῖν, ἥν τινα χρείαν ἡμῖν παρέξει κατὰ τὴν ἕψησιν ὁ περιέχων ἀήρ, ἢ κωλυόμενος ἐμπίπτειν τοῖς ἑψομένοις ὕδασιν. ἐπὶ

δὲ τὸν μετὰ τὴν ἕψησιν ψύξεως, ἔνθα μὲν ἀπορῶμεν, ἤτοι φρέατος ἐν ᾧ τὸ ἀγγεῖον ὑποθήσομεν ἀναγκαῖόν ἐστιν ἐπίθεμά τε ποιῆσαι τῷ ἀγγείῳ, καὶ πάντοθεν ἀκριβῶς αὐτὸ στεγνῶσαι· ἔνθα δὲ οὐδὲν, τὸ ἀγγεῖον ἀπώμαστον ὡς δέχεσθαι τὸν ψυχρὸν ἀέρα. τινὲς δὲ τῶν ἐξηγητῶν ὅσοι γε χωρὶς τοῦ συνάψαι τοῖς προειρημένοις, ἀναγινώσκειν ἀξιοῦσι τὴν προκειμένην λέξιν, εἶναι μὲν αὐτὸν τὸν λόγον φασὶν περὶ τῶν μοχθηρῶν ὑδάτων, καὶ μάλιστα ὅσα διὰ γεώδη τινὰ οὐσίαν ἐμφερομένην, τοιαῦτ' ἐστί. μέτρον δ' εἰρῆσθαι τῆς ἑψήσεως, ἄχρι τοσούτου αὐτὰ δεῖν ἕψειν, ὡς ἂν γένηται καθαρὰ, καὶ διαυγῆ, δεξάμενα τὸν ἔξωθεν ἀέρα. διὰ γὰρ τὴν τούτου μίξιν, οὐ δι' ἑαυτὰ λαμπρὰ φαίνεσθαι τὰ κάλλιστα τῶν ὑδάτων, εἰς φυσιολογίαν ἑαυτοὺς ἐμβάλλοντες, ὑπὲρ ἧς οὐδένα λόγον ἀποδοῦναι δύναιντο. λαμπρὸν γὰρ φαίνεται τὸ καθαρὸν ὕδωρ οὐκ αὐγῆς τινὸς ἔξωθεν ἐμπιπτούσης εἰς αὐτὸ λαμπρᾶς, ἀλλὰ κατὰ τὴν ἀλλοίωσιν ἣν ἐκ τοῦ περιαστράπτοντος ἔχει φωτός, ὥσπερ γε καὶ αὐτὸς ὁ ἀήρ. οὐδὲ γὰρ οὐδ' οὗτός ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν λαμπρὸς, πάντως γὰρ ἂν ἦν καὶ νύκτωρ τοιοῦτος, ἀλλὰ τοῖς μὲν πέρασιν αὐτοῦ περιαστραπτούσης τῆς ἡλιακῆς αὐγῆς, ὅλος ἀλλοιοῦταί τε καὶ μεταβάλλεται συνεχὴς ὢν ἑαυτῷ. τὸ δὲ κενάς εἶναί τινας χώρας, ἢ κατὰ τὸ ὕδωρ, ἢ κατὰ τὸν ἀέρα, τῇ μὲν Ἐπικούρου τε καὶ Ἀσκληπιάδου δόξῃ περὶ τῶν στοιχείων ἀκόλουθόν ἐστι. τῇ δὲ Ἀριστοτέλους τε καὶ Στωϊκῶν ἐναντίον οὐδαμόθι κενὸν οὐδὲν ἐν τῷ κόσμῳ πεπεισμένων ὑπάρχειν, ἀλλ' ἐκπεπληρῶσθαι πάντα σώμασιν. οὐδὲ γὰρ κατὰ τὴν κίσηριν, αἱ μεταξὺ τῶν γεωδῶν σωμάτων χῶραι, παντάπασιν αὐτοῖς εἶναι δοκοῦσι κεναί. περιέχεσθαι γοῦν ἐν αὐταῖς τὸν ἀέρα φασί. κατὰ μέντοι τὸ ὕδωρ οὐκ εἶναί τινα πορωποιΐαν τοιαύτην ὁποία κατὰ τὴν κίσηρίν ἐστιν, ἀλλὰ συνεχὲς ἑαυτῷ παντοίως ὑπάρχειν αὐτό. βέλτιον οὖν εἰρῆσθαι νομίζειν ὅ φησιν, ὡς δέχηται τὸν ἀέρα, περὶ τοῦ μὴ πωμασθέντος ἀγγείου. καὶ γὰρ τὸ γεγραμμένον ἐφεξῆς οὐ προσίεται τὴν εἰρημένην ἐξήγησιν ἔχον οὕτως· τὸ δὲ μὴ ἔμπλεον εἶναι, καὶ ἐπίθεμα ἔχειν, ἀντιδιήρηταί τι τῇ προκειμένῃ λέξει, καθ' ἥν φησιν ὕδωρ ἀφεψηθὲν, τὸ μὲν ὡς δέχεται τὸν ἀέρα· τῆς γὰρ ἐπιφερομένης τῷδε τῷ λόγῳ τοῦ δευτέρου, κατὰ τὴν ῥῆσιν ἀξιούσης ἐπίθεμα ἔχειν τὸ ἀγγεῖον, ὁ διαπεπληρωμένος αὐτῷ, τὸ μηδ' ὅλως ἔχειν τὸ ἐπίθεμα κωλύει, καὶ τοῦτο ἐσήμηνεν ὁ Ἱπποκράτης ἐν τῷ γράψαι, τὸ μὲν ὡς δέχηται τὸν ἀέρα. τὸ γὰρ ἐπίθεμα ἔχον ἀγγεῖον, οὐ δέξηται τὸν ἀέρα. τὸ δὲ οὐκ ἔχον, ἑτοίμως δέχεται δηλονότι. τοῦτο δὲ φαμὲν, ἐπὶ τοῦ ἀέρος ψυχροῦ ψυχομένων ὑδάτων, γίνεσθαι, καθάπερ ἐπὶ τῆς Ἀλεξανδρείας εἰώθασι πράττειν. ἔνθα δὲ μὴ κρουνοῖς ὑποβάλλουσι τὸ ἀφεψηθὲν ὕδωρ, ἐνταῦθα βέλτιόν ἐστι ὑπόκενον εἶναι τὸ ἀγγεῖον, ὅπως μεταξὺ τοῦ ἐπιθέματος, καὶ τοῦ κατὰ τὸ ἀγγεῖον ὕδατος ἀὴρ ψυχθεὶς αὐτὸς πρότερον, οὕτω τῇ ψαύσει ψύξῃ τὸ πλησιάζον ὕδωρ. ὥσπερ γὰρ ὕδωρ ἑτοιμότερον ἁπάντων τῶν γεωδῶν σωμάτων θερμαίνεταί τε καὶ ψύχεται, διότι λεπτομερέστερον αὐτῶν ἐστι, κατὰ τὸν αὐτὸν λόγον ὕδατος ἀὴρ, καὶ θαυμάζοιμι ἂν εἴ τις οὐκ ἔχει τούτου πεῖραν ὁσημέραι γινομένου. τῶν γὰρ τὸν οἶνον ἐχόντων ἀγγείων ὅ τι περ ἂν ἐστιν ἄνευ πώματος, ὀξύνεται ῥᾳδίως, ὥσπερ γε πάλιν αὐτὸ πωμασθὲν, ἧττον τοῦτο πάσχει. ἔτι δὲ ἧττον τὰ πεπληρωμένα. τὰ γὰρ ὑπόκενα διότι περιέχει ἐν αὐτοῖς ἀέρα,

A in refrigerando post cocturam, ubi alicujus putei, in quem vasculum demittamus, nobis facultas est aliquo tegmine vasculum claudere atque undique diligenter obstruere necesse est: ubi verò puteo caremus, detectum vas, ut frigidum aërem admittat, relinquere convenit. Cæterùm nonnulli Explanatores verba hæc à superioribus disjuncta legenda esse censentes, Hippocrati de vitiosis aquis sermonem fieri aiunt: deque illis maximè, quæcunque ob aliquam terream admixtam materiam hujusmodi B sunt. Mensuram autem temporis cocturæ eam esse oportere, ut eousque scilicet coquantur, donec puræ fiant, atque aërem externum si admittant, perspicuæ; ob hujus enim admixtionem, non suapte natura optimas aquas splendidas apparere asseverant; atque ita de rerum natura sermonem aggrediuntur, cujus ipsi nullam rationem assignare possunt. Splendida namque pura aqua conspicitur, non aliqua splendida luce extrinsecus in ipsam incidente, sed ab occurrente lumine permutata; quemadmodum & aër neque ipse ex propria natura lucens, alioqui & noctu omnino luceret; verùm summos C ejus fines solari radio feriente; totus quum sit sibi ipse continuus, alterascit, & commutatur. In aqua verò aut aëre, inania esse spatia, cum Epicuri & Asclepiadis de elementis opinione concordat: Aristotelis autem Stoicorumque placitis adversatur, quod nullum in mundo locum esse vacuum, sed omnia corporum plena esse sibi persuaserunt; neque enim in pumice cavitates terreis corporibus interjectæ ipsis penitus vacuæ videntur; sed intra ipsas aërem D contineri testantur; in aqua quidem haud esse talem meatuum fabricam, qualis in pumice lapide conspicitur, sed quoquo versus ipsam sibi esse continuam. Rectius igitur est id quod inquit, ut aërem suscipiat de vase non operculato dictum esse. Nam quod deinceps scriptum est, dictam explanationem non admittit, ita se habens, tum verò ne plenum sit, & operculum habeat, propositis sanè verbis opponitur, quæ sunt hæc; aqua cocta, tum quidem, ut suscipiat aërem: nam secundæ particulæ subsequenti, quæ vas contectum esse vult, verba E hæc adversantia operculum vasi prorsus interdicunt: idque significavit Hippocrates scribens, tum quidem ut aërem suscipiat: vas enim operculatum aërem excludet, detectum vero facile suscipiet. At in aquis à frigido aëre refrigeratis id fieri nos dicimus quemadmodum Alexandriæ facere consueverunt; ubi verò torrentibus coctam aquam subjiciunt, tum vas aliqua ex parte inane esse melius fuerit, quo aër inter operculum, & aquam in vase positam contentus ipse prius refrigeratus, sic deinde attactu vicinam aquam refrigeret. Ut enim aqua facilius quàm omnia terrena corpora, calet atF que frigescit, quippe cum illa tenuitate partium superet, pari ratione, & aër, quàm aqua: admirandumque mihi planè fuerit, nisi quispiam hujusce rei quotidie evenientis experimentum sentiat. Vasorum nanque vinariorum quod reclusum apertumque fuerit, ut vinum facilè acescat, in causa est, sicut è contrario bene operculatum minus id patitur. Adhuc verò minus plena vasa: nam quæ aliquantulum vacua sunt, quoniam aerem inclusum habent,

habent, per illum medium celerius ab ambiente extrinsecus permutantur: sed plena, ita ut vinum operculum attingat, per illum quidem imbecilliter admodum atque obscurè eousque vitiantur, quousque sanè tegumenti densitas pervenit. Invenies itaque picata, aut gypsata dolia diutius vina sincera conservare: sed quæ solo corio sicut & quæ cuneis obstruunt, breviori tempore durant: quocirca obstructa priùs cuneis aut corio dolia gypso deinde ac pice oblinunt. Hac ergo ratione quum aquam frigidissimam reddere voluerimus, nivem & ipsam prius calefactam, ut facilius permutetur, refrigerabimus: nam quodque prius calefactum à vicinis in se totum alternationem promptius ob raritatem admittit: ob prædictam vero causam ab aëre frigido tanquam tangi artificiosè molimur. Igitur si coctæ aquæ refrigerandæ causa hæc ab Hippocrate dicta fuere, verisimilem explanationem nacti sumus; at si vitiosæ, quæ corrigendæ, considerare deinceps debemus, à coctura iterum exorsi, quæ totam æquabiliter aquam fundens, eam ad partium separationem idoneam reddit. Permanente enim adhuc in ipsa ob calefactionem motu, aliqua crassiora corpora innatantia sublimius efferri necesse est: motu vero in totum desinente, terreæ particulæ ingenito pondere descendentes, in fundo continentis vasis residebunt, aquas vero super has fluitabit. Hanc paulatim in alterum vas transfundentes citra noxam deinde uti poterimus. Verùm Zeuxis nescio quomodo initium secundæ hujus orationis particulæ, ita explanavit: Vult (inquit) Hippocrates aquam non innatare ventriculo, acutum scilicet tonum secundæ syllabæ hujus nominis ἐμπλέον superimponens, non, ut alii, primæ, per ipsum volens non vas plenum intelligi, ut illis visum fuit, sed ventriculo innatans quod idem sonat, quod superfluitans. Ceterum quoniam amans erga amatum caligat, cæcutitque iccirco nostri ipsorum amor plerunque nos in nostris solis rebus cæcos reddit, quamvis aliena perspicacissime cernamus.

A δι' ἐκείνου μέσου θᾶττον ὑπὸ τοῦ περιέχοντος ἔξωθεν ἀλλοιοῦται· πεπληρωμένα μέχρι τοῦ ψαύειν τοῦ ἐπιθέματος, δι' ἐκείνων μὲν ἴσχει τὴν ἀλλοίωσιν ἀσθενῆ τε καὶ ἀμυδρὰν εἰς τοσοῦτον εἰς ὅσον ἂν ἥκῃ τοῦ ἐπιθέματος πυκνότητος. εὑρήσεις γοῦν, τὰ μὲν ὑπὸ πίττης ἢ γύψου στεγνωθέντα, μονιμώτερα γινόμενα, τὰ δ' ὑπὸ μόνου δέρματος ἧττον, ὥσπερ καὶ τὰ τοῖς τυφλοῖς πωμασθέντα· καὶ διὰ τοῦτο περιϋποβάλλοντες ἢ τούτοις, ἢ δέρματος, καταγυψοῦσί τε καὶ καταπιττοῦσι τὰ κεράμια. κατὰ τοῦτον οὖν λόγον ὅταν ἐργάζεσθαι βουληθῶμεν ὕδωρ ψυ-
B χρότατον, ἔχοντες μὲν χιόνα, προθερμήναντες αὐτὸ περιτίθεμεν ἔξωθεν ἐκείνην. ἀποροῦντες δὲ χιόνος, ἐκ φρεάτων ἢ κρουνῶν αὐτῷ πειρώμεθα τὴν ψύξιν, προθερμαίνοντες μὲν, ἵν' εὐαλλοίωτον γένηται. δέχεται γὰρ ἑτοιμότερον εἰς ὅλον ἑαυτὸ τὴν ἐκ τῶν ὁμιλούντων ἀλλοίωσιν ἕκαστον τῶν προθερμανθέντων ὑπὸ θερμότητος. ἀέρα δὲ ψυχρὸν αὐτοῦ ψαύειν ἐπιτεχνώμενοι διὰ τὴν εἰρημένην αἰτίαν. εἰ μὲν οὖν ἕνεκα τοῦ ψυχρὸν ἐργάσασθαι τὸ ἑψηθὲν ὕδωρ, ὑφ' Ἱπποκράτους εἴρηται ταῦτα, πιθανῆς εὐπορήσαμεν ἐξηγήσεως. εἰ δ' ἕνεκα τοῦ τὸ μοχθηρὸν ἐπανορθώσασθαι, σκεπτέον ἐφεξῆς ἀρξαμένους
C αὖθις ἀπὸ τῆς ἑψήσεως, ἥτις ὅλον ὁμαλῶς χέουσα τὸ ὕδωρ, ἐπιτήδειον ἐργάζεται εἰς διάκρισιν. διαμενούσης μὲν οὖν ἐν αὐτῷ τῆς ἐκ τοῦ τεθερμάνθαι κινήσεως, ἀνάγκη μετεωρίζεσθαί τινα τῶν ἐμφερομένων αὐτῷ παχυμερῶν σωμάτων. ἀπολυμένης δὲ τελέως αὐτῆς, τὰ μὲν γεώδη τῷ συμφύτῳ βάρει καταφερόμενα, πρὸς τὸν πυθμένα τοῦ περιέχοντος ἀγγείου παραμενήσεται. τὸ δὲ ὕδωρ ἐποχήσεται τούτοις, ὅπερ ἀτρέμα ἀποχέοντες εἰς ἕτερον ἀγγεῖον, ἀβλαβῶς ἕξομεν χρῆσθαι. Ζεῦξις δὲ, οὐκ οἶδ' ὅπως, τὴν ἀρχὴν τοῦ δευτέρου μορίου τῆς
D ῥήσεως οὕτως ἐξηγήσατο. βούλεται, φησὶν, ὁ Ἱπποκράτης, μὴ ἐμπλέειν τῇ γαστρὶ τὸ ὕδωρ. ὀξυνεῖ δὲ δηλονότι τὴν δευτέραν συλλαβὴν τοῦ ἔμπλεον ὀνόματος, οὐχ ὥσπερ οἱ ἄλλοι τὴν προτέραν, ἀκούεσθαι βουλόμενοι, οὐ τὸ πλῆρες ἀγγεῖον ἐξ αὐτῆς ὥσπερ ἐκείνοις ἔδοξεν, ἀλλὰ τὸ κατὰ τὴν κοιλίαν ἔμπλεον, ὅπερ ἐστὶ μετέωρον. ἀλλ' ἐπεὶ τυφλώττει τὸ φιλοῦν περὶ τὸ φιλούμενον, διὰ τοῦτο ἡ φιλαυτία πολλάκις ἐργάζεται τυφλοὺς ἡμᾶς ἐπὶ τοῖς ἡμετέροις μόνοις, εἰ καὶ τὰ ἀλλότρια βλέπομεν ἀκριβέστατα.

HIPPOCRATIS TEXTUS XI.

Quoniam ex sanguinis profluviis aqua subcutanea laborant.

GALENI COMMENTARIUS.

Horum verborum eadem atque istorum vis est, quoniam sanguine profuso dissolvuntur: utrunque enim refrigerato corpore provenit.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιαʹ.

Ὅτι ἐξ αἱμορραγιῶν ἐξυδεροῦνται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς αὐτῆς δυνάμεώς ἐστιν ὁ λόγος τῷ κατὰ τήνδε τὴν ῥῆσιν εἰρημένῳ, ὅτι αἵματος ῥυέντος, ἐκλύονται, γίνεται γὰρ ἀμφότερα ψυχομένου τοῦ σώματος.

HIPPOCRATIS TEXTUS XII.

Si, qualia purgari convenit, purgentur, & facilè tolerant.

GALENI COMMENTARIUS.

Nonnulli sine conjunctione, & hæc verba scribunt, quemadmodū & in libro Aphorismorum; Plurimi vero conjunctionem, &,

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβʹ.

Ἢν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, καὶ εὐφόρως φέρουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνιοι μὲν, δίχα τοῦ, καὶ, συνδέσμου γράφουσι τὴν ῥῆσιν ὡσαύτως τῇ κατὰ τοὺς ἀφορισμούς. οἱ πλεῖστοι δὲ μετὰ τοῦ καὶ·

βουλόμενοι τὸ μὲν, ὅτι συμφέρει, προσυπακούειν ἡμᾶς, ὅπερ αὐτολεξεὶ εἴρηται κατὰ τὴν ἐν τοῖς ἀφορισμοῖς ῥῆσιν ἔχουσαν οὕτως. ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, συμφέρει τε καὶ εὐφόρως φέρουσιν. ἐνδείκνυσθαι δ' ἐνταῦθα τὸ, καὶ, σύνδεσμον προσκείμενον, ὅτι πρὸς τῷ συμφέρειν, εὐφόρως φέρειν αὐτοῖς ὑπάρχει τὴν ἐκ τῆς καθάρσεως κένωσιν. εἴτ' οὖν ἡμῶν δόντων τὸ φάρμακον, εἴ τε καὶ τῆς φύσεως αὐτῆς ἐκκαθαιρούσης τὸ σῶμα, τῶν λυπούντων χυμῶν ἡ κένωσις γένοιτο. καθάρσεις γὰρ εἴωθεν ὀνομάζειν οὐ μόνον τὰς ἀπὸ φαρμάκων γινομένας, ἀλλὰ καὶ τὰς ἀπὸ τῆς φύσεως. ὁ δὲ Θουκυδίδης, καὶ τὰς κατὰ σύμπτωμα, τῷ λόγῳ τοῦ νοσήματος, ὁρμαῖς τῆς φύσεως γινομένας κενώσεις, ἐν νόσοις καθάρσεις καὶ ἀποκαθάρσεις ὠνόμασεν, „εἰπών. καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι ὅσαι ὑπὸ ἰα„τρῶν ὠνομασμέναι εἰσὶν, ἐπῄεσαν. εἴρηται δὲ ταῦτα ὑπ' αὐτοῦ κατὰ τὴν λοιμικὴν διήγησιν ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν.

A interponunt, volentes quidem hoc verbum, *confert* nos subintelligere, quod expresse in verbis in aphorismis scriptis habetur: ea vero ita scribuntur. Si qualia convenit purgari, purgentur, confert, & facile tolerant. Hoc vero loco conjunctionem, *&*, additam indicare aiunt, quod præter id quod ipsis confert, per purgationem facta inanitio, facile quoque eam tolerant, sive nobis purgatoriam medicinam exhibentibus, sive & natura ipsa ex corpore infestos humores depellente, evacuatio fiat: nam purgationes appellare consuevit Hippocrates non solum à medicamentis, sed etiam B à natura factas. Thucydides autem & evacuationes in morbis impetu naturæ per symptomata ratione morbi evenientes, purgationes, & expurgationes appellavit, ita dicens: Et expurgationes bilis omnes, quæcunque à Medicis nominatæ sunt, acciderunt. Hæc vero ab ipso in pestilentiæ narratione secundo historiarum volumine dicta sunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

ΕΝ Αἴνῳ ὀσπριοφαγέοντες ξυνεχέως, θήλεα, ἄῤῥενα, σκελέων ἀκρατέες ἐγένοντο, καὶ διετέλεον, ἀτὰρ καὶ ὀροβοφαγέοντες, γονυαλγέες.

Ἄπεστι διήγησις.

HIPPOCRATIS TEXTUS XIII.

C *IN æno legumina edentes assidue, fœmina, mares, cruribus imbecilli evadebant, & permanebant. Verumetiam eruum comedentes, genuum dolorem contrahebant.*

Deest interpretatio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

ΕΜφανῶς ἐγρηγορὼς, θερμότερος τὰ ἔξω, τὰ εἴσω δὲ ψυχρότερος, καθεύδων τἀναντία.

HIPPOCRATIS TEXTUS XIV.

D *EVidenter vigilans calidior exterius, interius autem frigidior: Dormiens è contrario.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν ἐν ἀρχῇ τῆς ῥήσεως εἰρημένον ἐμφανῶς, ἴσον δύναται τῷ φανερῶς, καὶ ἐπιδήλως. ἃ δ' ἐφεξῆς τούτῳ, συνῆπται τῷ ἐγρηγορότι, πρόδηλως ἔχει, ἡγουμένου τοῦ Ἱπποκράτους τὰ ἔξω θερμότερα, τὰ δ' ἔνδον ψυχρότερα, τἀναντία δὲ συμβεβηκέναι τῷ καθεύδοντι. καὶ γὰρ καὶ φαίνεται, τοῦτο μὲν ἐπιβλημάτων πλειόνων δεόμενος, τοῦτο δὲ, καὶ σκεπάσματος ἐπὶ τῆς κεφαλῆς, ὅταν ᾖ τὸ περιέχον ψυχρὸν ὡς ἐν χειμῶνι, καίτοι διὰ τῆς ἡμέρας οὐ δεόμενοι τούτων. ἀλλὰ καὶ τὸ μεῖζον ἀναπνεῖν, ἐνδεικτικόν ἐστι τοῦ πλείονα θερμασίαν ἠθροῖσθαι κατὰ τὸ βάθος τοῦ σώματος. ὡσαύτως δὲ καὶ τὸ τὰς πέψεις τοῖς κοιμηθεῖσι γίνεσθαι μᾶλλον τῶν ἀγρυπνησάντων, οὐ μόνον τὰς κατὰ τὴν κοιλίαν τῶν ἐδηδεσμένων σιτίων, ἀλλὰ καὶ τὰς ἐν ἥπατι καὶ ταῖς φλεψὶ τῶν χυμῶν, ἐνδεικτικόν ἐστι τοῦ θερμότερα τοῖς κοιμωμένοις ἀποτελεῖσθαι τὰ κατὰ βάθος τοῦ σώματος, ὁμολογουμένου γε ἡμῖν, καὶ προαποδεδειγμένου τοῦ τὸ ἔμφυτον θερμὸν αἰτιώτατον εἶναι πασῶν τῶν κατὰ τὸ σῶμα πέψεων. οὕτως γε κἀν τοῖς ἀφορισμοῖς ἔγραψεν, ἐπί τε τῶν ἡλικιῶν καὶ τῶν ὡρῶν, καὶ τῶν ἐπιτηδευμάτων ἔνθα φησὶ, αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσιν, καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολὺ τροφῆς οὖν πλείονος δέονται, σημεῖον αἱ ἡλικίαι, καὶ οἱ ἀθληταί. ἐν τούτοις μὲν οὖν, συντόμως ἔγραψε περὶ

GALENI COMMENTARIUS.

INitio partis istius posita hæc vox, *evidenter*, idem significat, quod manifeste & dilucide: sequentia vero verba huic voci, *vigilans*, adnexa, perspicua sunt, opinante Hippocrate extimas vigilantis partes calidiores, internas autem frigidiores: dormienti vero contraria evenire. Id nempe ex aperte ex eo apparet, quod dormientes cum plurimis strangulis, tum, & E capitis egent tegumento, si frigidus, ut hyberno tempore, quo circunfunduntur, aër sit: atqui interdiu vigilantes hæc non requirunt. Quin etiam major inspiratio plus caloris in penetralibus corporis collectum esse testatur. Perinde & concoctiones in dormientibus efficacius, quam in vigilantibus fieri non solum in ventriculo ingestorum ciborum, verumetiam humorum in jecore, & venis, corporis abditas senes in dormientibus calidiores effici signum F est: quum à nobis concessum, & supra ostensum sit, ingenitum calorem omnium in corpore concoctionum præcipuum esse opificem. Ita sane, & in Libris Aphorismorum memoriæ prodidit de ætatibus, temporibus, & vitæ officiis, ubi ait; Ventres hyeme, & vere calidissimi sunt natura, & somni longissimi: his igitur temporibus, & plura alimenta danda sunt, siquidem insitus calor multus: pluri igitur indigent esca: indicio sunt ætates, & athletæ. In hisce quidem verbis breviter de ætatibus lo-

quutus est: in altero aphorismo latius, atque A ideo clarius, ita inquiens; Crescentia corpora plurimum habent insiti calidi, plurimum igitur requirunt alimentum; sin minus, corpus digeritur: Senibus verò exiguus calor inest, iccirco igitur, paucis fomentis egent. Secundum ætates quidem haud intro forasque ingenito calore migrante, sed temporis progressu tabescente, senilis ætas omnium frigidissima efficitur. At hyeme calore in penitiora se condente, ventriculi quidem, & reliqua viscera calidiora, subcutaneæ verò partes frigidiores red- B duntur. Quemadmodum terræ profunditas hyeme calida apparet, propter quod, & fontes calidiores fiunt: & aliqui in profundum usque fodientes, quum procul à terræ superficie recesserunt, evidentem caliditatem percipiunt.

A τῶν ἡλικιῶν. ἐν ἄλλῳ ἀφορισμῷ μακρότερόν τε, καὶ διὰ τοῦτο σαφέστερον εἰπὼν ὧδε. τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, πλείστης οὖν δεῖται τροφῆς, εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὲ, ὀλίγον τὸ θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δεῖται. κατὰ μὲν οὖν τὰς ἡλικίας, οὐ μεθισταμένης ἔσω τε καὶ ἔξω τῆς ἐμφύτου θερμασίας, ἀλλὰ μαραινομένης ἐπὶ προήκοντι τῷ χρόνῳ, ψυχροτάτη πασῶν ἡ τῶν γερόντων ἀποτελεῖται. κατὰ δὲ τὸν χειμῶνα, μεθισταμένης εἰς τὸ βάθος, ἡ μὲν κοιλία καὶ τὰ σπλάγ- B χνα θερμότερα· τὰ δὲ ὑπὸ τῷ δέρματι ψυχρότερα γίνεται, καθ' ὃν τρόπον, καὶ τῆς γῆς φαίνεται τὸ βάθος. ἐν τῷ χειμῶνι θερμὸν ὑπάρχον, ὡς καὶ τὰς πηγὰς γίνεσθαι διὰ τοῦτο θερμοτέρας, ὀρύττοντάς τε τινὰς ἄχρι βάθους, αἰσθάνεσθαι σαφῶς τῆς θερμασίας, ὅταν ἀποχωρήσωσι πόῤῥω τῆς ἐπιφανείας.

HIPPOCRATIS TEXTUS XV.

Percalido natura refrigeratio, potus, aqua, quiescere.

C

GALENI COMMENTARIUS.

QUod his verbis præcipitur, clarum est. Omnibus enim iis, qui calidiores, quam deceat, sunt, summam victus rationis ad refrigerationem redigere expedit. Itaque frigidioris temperaturæ cibaria ipsis danda sunt: & aquosa potio, aut ipsa aqua potui præbenda est: parumque exercendum corpus est, soli nanque ad necessarias actiones motus sufficient. Nihilque dubii est ab ira, & curis vehentioribus hujusmodi hominem abstinere debere. D Quinetiam, quotidie lavationibus aquarum dulcium uti, non semel tantum, verumetiam sæpius, si velit, conducet. Nec non, & ciborum, quos comedit, vis refrigeratoria esto, & æstate præcipue. Verum ante omnia illud in his sermonibus meminisse opus est, percalidas naturas appellare eas Hippocratem consuevisse, quæ non ingenito calore, sed acri, & mordaci abundant: quem adventitium, & non naturalem esse arbitratur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε.

ΕΝ θέρμῃ φύσει, ψύξις, ποτὸν ὕδωρ, ἐλλινύειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ ἀξιούμενον ἐν τῇ ῥήσει πρόδηλον. ὅσοι γὰρ θερμότεροι τοῦ προσήκοντός εἰσι, τὸ κεφάλαιον αὐτοῖς τῆς διαίτης εἰς ψύξιν ἀνάγεσθαι συμφέρει. τά τε οὖν ψυχρότερα τῇ κράσει δοτέον αὐτοῖς σιτία, καὶ πίνειν κελευστέον, ἤτοι γ' ὑδαρές, ἢ ὕδωρ αὐτὸ, καὶ μὴ πολλὰ γυμνάζεσθαι. μόναι γὰρ αὐτοῖς ἀρκέσουσιν αἱ κατὰ τὰς ἀναγκαίας πράξεις κινήσεις. εὔδηλον δ' ὅτι καὶ θυμοῦ, καὶ φροντίδων συντό- D νων ἀπέχεσθαι χρὴ τὸν τοιοῦτον ἄνθρωπον. ἀλλὰ καὶ λουτροῖς χρῆσθαι ποτίμων ὑδάτων ἑκάστης ἡμέρας, μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις, εἰ βούλοιντο. καὶ μὴν καὶ τῶν σιτίων ἃ προσφέρονται, τὴν δύναμιν εἶναι ψυχροτέραν, καὶ μάλιστα ἐν θέρει. μεμνῆσθαι δὲ χρὴ πρὸ πάντων ἐν τοῖς τοιούτοις λόγοις, ὅτι τὰς ἐνθέρμους φύσεις ὀνομάζειν ἔθος ἐστὶν αὐτῷ ταύτας, καθ' ἃς οὐ τὸ σύμφυτον πλεονάζει θερμὸν, ἀλλὰ τὸ δριμὺ, καὶ δακνῶδες, ὅπερ ἐπίκτητόν τε καὶ οὐ κατὰ φύσιν εἶναι νομίζει.

E

HIPPOCRATIS TEXTUS XVI.

Somnus in frigore vestibus tecto.

GALENI COMMENTARIUS.

PLurimi hujusce Libri Interpretes hanc particulam orationis separatim explanant. Mihi verò ipsam cum suprascripta conjungere satius esse videtur, atque unam integram orationem hoc pacto instituere. Percalido natura F refrigeratio, potus, aqua quiescere, somnus in frigore vestibus contecto, hanc Græcam vocem, ἐμψύχει per literam ν scribentibus nobis, ac proferentibus, non per μ, quod idem est, ac si cum articulo quis, ita diceret, ἐν τῷ ψύχει: Eos enim qui immoderatius calida temperatura sunt, melius est in frigido loco dormientes, aërem plane frigidum per inspirationem attrahere, & maxime quoniam per somnum calor in interiora corporis mergitur. Cæterum si, ut

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

ΥΠνος ἐμψύχει ἐπιβεβλημένῳ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙ πλεῖστοι τῶν ἐξηγησαμένων τὸ βιβλίον ἰδίᾳ ταύτην ἐξηγοῦνται τὴν ῥῆσιν. ἐμοὶ δὲ ἄμεινον εἶναι δοκεῖ συνάπτειν αὐτὴν τῇ προγεγραμμένῃ, καὶ ποιεῖν ἕνα λόγον ἅπαντα τόνδε. ἐν θέρμῃ φύσει ψύξις, ποτὸν ὕδωρ, ἐλιννύειν, ὕπνος ἐν ψύχει ἐπιβεβλημένῳ. τῆς ἐμψύχει λέξεως τὴν προτέραν συλλαβὴν διὰ τοῦ μ, γραφόντων τε καὶ λεγόντων ἡμῶν διὰ F τοῦ ν, γενήσεται γὰρ οὕτως ἄρθρον ὡς εἰ καὶ ἐν τῷ ψύχει τις ἔφη· τοὺς γὰρ ἀμετρώτερον ἔχοντας θερμὴν τὴν κρᾶσιν, ἄμεινόν ἐστιν ἐν χωρίῳ ψυχρῷ κοιμωμένους, ἕλκειν εἴσω διὰ τῆς εἰσπνοῆς τὸν ἀέρα, ψυχρὸν ὄντα δηλονότι, καὶ μάλιστα ὅτι κατὰ τοὺς ὕπνους εἴσω τοῦ σώματος ὑποχωρεῖ τὸ θερμόν. ἀλλ' ἐὰν ὥσπερ ἐν τοῖς ὕπνοις ἀπολιπόντος τοῦ ἐκτὸς ἐπιφάνειαν αὐτοῦ, τὸ βάθος τοῦ σώματος γίνεται θερμότερον, οὕτω καὶ διὰ

A τὸ περιέχον, ἐμψυχομένων τῶν κατὰ τὸ δέρμα, θερμαίνεται τὰ διὰ τοῦ βάθους, οὐ τελέως ὁ ἄνθρωπος ἐμψυχθήσεται διὰ τῆς εἰσπνοῆς. ἄμεινον οὖν ἐστὶν ἀντισπᾶν μὲν εἰς τὸ δέρμα τὴν θερμασίαν, ἐπιβλήμασι θερμαίνουσι. εἰσπνεῖν δὲ ψυχρὸν, ὡς ἑκατέρωθεν εἰς μετριότητα κράσεως ἄγηται τὸ θερμὸν σῶμα. κάλλιστον μὲν οὖν ἐστιν, ὡς ἔφην, συνάπτειν τοῖς προειρημένοις κατὰ τήνδε τὴν λέξιν εἰρημένην. χωρίζοντες δὲ αὐτὴν οἱ πολλοὶ τῶν ἐξηγησαμένων τὸ βιβλίον, οὐ μόνον ταῖς ἐνθέρμοις φύσεσιν, ἀλλὰ πᾶσιν ἀνθρώποις οἴονται κοινῇ συμφέρειν, ὑπνοῦν B μὲν ἐν ἀέρι ψυχροτέρῳ, χάριν τοῦ τὴν ἀθροιζομένην ἐν τῷ βάθει θερμασίαν, ἐμψύχεσθαι. περιβεβλῆσθαι δ' ἕνεκα τοῦ μὴ πᾶσαν ἀμέτρως εἴσω συνδύειν, προσεστερημένης τοῦ ἐκ τοῦ καταψύχεσθαι τὰ κατὰ τὸ δέρμα μόρια, διὰ τὸν ἔξωθεν ἀέρα θερμασίας τῇ κατὰ τοὺς ὕπνους ἀθροιζομένῃ. τοῦτο δ' ἀληθὲς ἐπὶ πολλῶν ἐστι φύσεων, οὐ μὴν ἐπὶ πασῶν γε. καθάπερ γὰρ, ὅσοι τὴν συμμέτρου θερμοτέραν ἔχουσι τὴν κρᾶσιν, ἄμεινον ἐμψύχειν αὐτοὺς, οὕτως ὅσοι ψυχροτέραν ἔχουσι τὴν κρᾶσιν ἐκθερμαίνειν. ἔνιοι δὲ, οὐ μόνον ἀπὸ τῆς γεγραμμένης ῥήσεως ἐχώρισαν τὴν νῦν ἡμῖν προκειμένην, C ἀλλὰ καὶ διελόντες αὐτὴν ταύτην ἰδίᾳ μὲν ἀνέγνωσαν, ὕπνος ἐμψύχει, τὴν πρώτην συλλαβὴν τῆς ἐμψύχει φωνῆς διὰ τοῦ μ. γράψαντες, ὡς ἓν γίνεσθαι ῥῆμα τὸ ἐμψύχει, παραπλησίως εἰρημένον τῷ καταψύχει, καὶ μὴ δύο μέρη τοῦ λόγου, πρόθεσιν μὲν τὸ πρότερον, ὄνομα δὲ τὸ δεύτερον. οὗτοι δὲ τὴν ἐφεξῆς ῥῆσιν, ἀναγκαίως, ἑνώσαντες τῷ τέλει τῆς προκειμένης, ἀναγινώσκουσιν ὧδέ πως. ἐπιβεβλημένῳ ὕπνος ἑδραῖος, ὀρθῶν νυσταγμός. ἐπιβεβλημένῳ φάσκοντες, ἀντὶ τοῦ κατακειμένῳ, λελέχθαι. τοῦτο δὲ, πρὸς τὸ βιαίως D μετηνέχθαι τὴν κατακειμένῳ φωνὴν εἰς τὴν ἐπιβεβλημένῳ, καὶ ἄλλως ἐστὶν εὐτελές τε καὶ ἄχρηστον, ἀκούειν ἡμᾶς ἀξιούντων αὐτῶν τὴν ὑπνώδη τοῦ σώματος διάθεσιν. ἐν μὲν τῷ κατακεῖσθαι, τὸν ἑδραῖόν τε καὶ βέβαιον ὕπνον, ἑστῶσι δὲ νυσταγμὸν ἐργάζεσθαι.

in somno, calido exteriorem superficiem deserente interna corporis magis calent: sic & ambiente aëre cutaneis partibus frigefactis, corporis penitiora incalescant: haud perfecte homo aëris inspiratu refrigerabitur. Præstabit igitur stragulis calefactoriis injectis, ad cutim calorem revocare, frigidum verò aërem per inspiratum admittere, ut utrinque ad temperaturæ mediocritatem calidum corpus redigatur. Optimum itaque, ut dixi, fuerit cum supradictis hæc verba conjungere. At multi hujusce Libri Explanatores ipsa à superioribus disjungentes, non percalidis modo naturis, sed etiam omnibus hominibus generatim, conferre existimant in aëre frigidiore somnum capere, ut contractus in profundum calor refrigeretur: operimentis vero circuntegi, ne omnis calor immoderatius intro refugiat calore eo, qui ob refrigeratas ab externo aëre cutaneas partes repellitur, illi, qui per somnum intus colligitur, accedente. Id vero in multis naturis verum est, non tamen in omnibus: quemadmodum enim eos, quibus calidior supra modum natura est, refrigerare expedit, ita frigidiore temperatura præditos calefacere. Verum nonnulli proposita verba non solum à suprascriptis disjunxerunt, sed etiam hæc ipsa separatim legentes diviserunt, somnus ἐμψύχει, id est refrigerat, primam syllabam hujus verbi ἐμψύχει per μ literam scribentes, ut unum verbum sit ἐμψύχει, similiter dictum, atque hoc, καταψύχει, quæ ambo refrigerat, significant: & non duæ orationis particulæ, prior quidem præpositio, secunda vero nomen. Sed isti necessario sequentem orationem fini propositæ adjungentes, ita sane legunt, abjecto somnus firmus, erectorum dormitatio, asserentes hanc vocem, *abjecto*, quam vestibus tecto, interpretati sumus, pro hac, *jacenti*, esse positam. Id vero præterquam quod hæc vox, jacenti, violenter in hanc, *abjecto*, mutata est, & alioqui est ignobile atque inutile, istis nos intelligere volentibus somniculosum corporis affectum, jacentibus firmum, & stabilem somnum, stantibus vero dormitationem tantum, conciliare.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

E Ὕπνος ἑδραῖος, ὀρθῶν νυσταγμός.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἃ μὲν οἱ πλεῖστοι τῶν ἐξηγητῶν ἔγραψαν εἰς τήνδε τὴν λέξιν ἄμεινον σιωπᾶν. ἃ δὲ, οἱ μᾶλλον αὐτῶν ἔχεσθαι τοῦ πιθανοῦ δόξαντες εἶπον, ἐστὶ τοιαῦτα. τὴν ἀγρυπνίαν ψύχειν φασὶ τὸ σῶμα, καὶ τούτου τεκμήριον τίθεσθαι τὴν ἑπομένην ἄχροιαν τοῖς ἀγρυπνήσασιν. ὅταν οὖν, φασὶν, ἔνθερμον κρᾶσιν ἐμψύξαι βουλώμεθα, πρὸς τοῖς ἄλλοις οἷς F εἶπεν ἔμπροσθεν ὁ Ἱπποκράτης. ἔτι καὶ τοῦτο προσθετέον, ὡς ἤτοι προφροντίζοντές τι καὶ πράττοντες ἀγρυπνεῖν, ἢ εἰ μὴ τοῦτο ποιεῖν δύνανται, κωλυτέον αὐτοὺς κατακλινομένους ὑπνοῦν, ἀναγκάζονται δυοῖν θάτερον πράττειν, ἢ καθῆσθαι, ἢ ἑστάναι. τὸν γὰρ τῶν καθημένων ὕπνον ἑδραῖον ὀνομάζεσθαί φασιν ἀπὸ τῆς ἕδρας, ἴσον δὲ δύνασθαι τὸν τούτων ὕπνον, τῷ τῶν ἑστώτων νυσταγμῷ, καὶ διὰ τοῦτο εἶπεν αὐτὸς,

HIPPOCRATIS TEXTUS XVII.

Somnus stabilis, erectorum dormitatio.

GALENI COMMENTARIUS.

Quæ plurimi Interpretes his verbis explanandis tradiderint, silentio transire præstat: quæ verò inter illos magis veritati adhærere existimati dixerint, hujusmodi sunt. Vigiliam refrigerare corpus asserunt, hujusque indicium pallorem vigilantibus accidentem statuunt. Quum igitur dicunt, per calidam temperaturam refrigerare volumus, præter superius ab Hippocrate dicta, illud etiam adjiciendum est, ut priùs cogitationibus aliquibus, & negociis afflicti vigilent: aut si hoc facere nequeant, ne cubantes dormiant, arcendi sunt: coguntur enim duorum alterutrum facere, aut sedere, aut stare. Sedentium quidem somnum hedræon à sede, id est, firmum, vocatum esse inquiunt: respondere autem horum somnum, stantium

dormitationi. Atque ideo, inquit ipse, somnus hedræos, hoc est firmus, erectorum dormitatio, perinde ac si tota oratio hunc in modum prolata esset: Percalidæ naturæ à plurimi somni usu arcendæ sunt: ipsis enim & vigilare, & aliquid agere, magis conducit. Hi quidem maximè, & à sedendo arcendi sunt: sin minus, concedendum sanè fuerit id, quod simile est stantium dormitationi: ne procumbant autem, prohibendum. Sed nonnulli stabilem somnum hoc est profundum dictum esse putant, eorum scilicet qui ita se habeant, ut stantes jam conniveant; sed cujus utilitatis causa hæc scripserint, non addentes, imperfectam orationem reddiderunt. Veruntamen hæc à ipso dicta sunt, nobis consulente, ut eos, quos firmiter hoc est profundè dormire volumus, tantisper vigilantes custodiamus, dum nisi conniventes consistere non possint: nam si ad hoc pervenerint, in altum postea soporem vertuntur. Nam multos ego quod citius cubitum irent, male dormientes, diutius vigilare cogens, ut postea suavissime dormirent, effeci: sicut quosdam amissum ciborum appetitum conquerentes, ad multum diem inedia macerans esurientes reddidi. Antequam enim somnum, aut cibum natura desideret, ad hos accedentes in dicta symptomata incidunt. Non oportet autem naturæ intempestivè vim inferre, sed ei in tempore subvenire. Ego mehercule, qui aliquis in propositis verbis explanandis verisimiliter posse dicere mihi videbatur, exposui. Putantes vero somnum semper refrigerare, præcipuum quoddam in arte agnorare opinor: semper enim somnus humectat, sicut vigilia semper exiccat: hocque nos ipse edocuit, non semper autem calefacere, aut refrigerare natura aptus est. Verùm quum in febre carentibus, aut pituitosos, aut crudos, aut frigidos, utcunque succos in corpore offendens confecerit, & coxerit, ex ipsis bonum sanguinem procreans, hominem insiti caloris incremento calefacit. Quum vero ex hujusmodi humorum putredine jam febricitantes occupaverit, eos refrigerat, febrilem extinguens calorem, proprium verò & ingenitum augens. At si cum febre, aut sine febre, succi biliosi redundaverint, ipsos separare, dein excernere valens, ad mediocritatem salubris temperantiæ corpus redigit. Hæc si præstare nequeat, eandem servat temperiem. Quod si ex visceris phlegmone quis febricitans, accessionis initio, somno corripiatur, intempestivus iste somnus phlegmonem augens, unà cum ipsa & febrem magis accendet: quocirca, & calore alieno corpus calidius efficiet. Contingit quidem, & uno modo interdum calidius juxtà, atque frigidius simul à somno corpus evadere: quandoquidem caloris in corpore humano duplex genus est, unum familiare & congenitum, alterum alienum, & præter naturam. Quando itaque horum unum somnus auxerit, & roboraverit, alterum tabefecerit, & extinxerit, quomodo quispiam rationabiliter corpus uno tempore calidius simul atque frigidius seipso à somno affectum esse negaverit? Cæterùm, & hæc ab initio plerique Hippocratis voluminum Explanatores ignorant. Id autem ita se habere quod dico, ex Lyci sermonibus percipies, quibus Hippocratem reprehendit in Aphorismis

A ὕπνος ἑδραῖος, ὀρθῷ νυσταγμός, ὡς εἰ καὶ οὕτως εἴρητο ὁ σύμπας λόγος. τὰς ἐνθέρμους φύσεις, κωλύειν προσήκει πλείστοις ὕπνοις χρῆσθαι. βέλτιον γὰρ αὐταῖς ἐγρηγορέναι τε καὶ πράττειν τι, μάλιστα μὲν αὐτοὺς εἴργειν, καὶ τοῦ καθίζειν. εἰ δὲ μή, τοῦτο μὲν συγχωρεῖν παραπλήσιον ὑπάρχον τῷ τῶν ἑστώτων νυσταγμῷ. κατακλίνεσθαι δέ, κωλύειν. τινὲς δὲ τὸν ἑδραῖον ὕπνον, ἀντὶ τοῦ, βαθὺν, εἰρῆσθαι νομίζοντες, ὅσοι περ ἂν οὕτως ἔχωσιν ἑστῶτες ἤδη νυστάζειν. ἀλλά τινος ἕνεκα χρείας B ἔγραψεν ταῦτα, μὴ προσθέντες, ἀτελῆ τὸν λόγον εἰργάσαντο. ταῦθ' ὑπ' αὐτοῦ συμβουλεύοντος ἡμῖν ὅσους ἑδραίως, ὅπερ ἐστὶ βαθέως κοιμηθῆναι βουλόμεθα, τούτους ἐπὶ τοσοῦτον ἐγρηγορέτας φυλάττειν, ὡς μὴ στῆναι δύνασθαι χωρὶς τοῦ νυστάζειν. ἐὰν γὰρ εἰς τοῦτο ἀφίκωνται, βαθέως κοιμηθήσονται. πολλοὺς γὰρ ἐγὼ διὰ τὸ ταχέως ἐπὶ τὸν ὕπνον ἰέναι βιασάμενος ἀγρυπνῆσαι μέχρι πλείονος, ἀμέμπτως ὑπνῶσαι παρεσκεύασα. καθάπερ καὶ τὴν ἀνορεξίαν μεμφομένων, C ἐνίους ἀναγκάσας ἀσιτῆσαι μέχρι πολλοῦ τῆς ἡμέρας ἐποίησα πεινῆσαι. πρὶν γὰρ τοῦ δεῖσθαι τὴν φύσιν ὕπνων, ἢ σιτίων ἐπ' αὐτὰ παραγινόμενοι, τοῖς εἰρημένοις συμπτώμασι περιπίπτουσι. χρὴ δὲ μὴ παραβιάζεσθαι τὴν φύσιν ἀκαίρως, ἀλλ' ὡς ὑπηρετεῖν εὐκαίρως. ἐγὼ μὲν οὖν ἅ μοι δοκεῖ πιθανῶς τις εἰς τὴν τῆς προκειμένης λέξεως ἐξήγησιν εἰπεῖν, εἴρηκα. τοὺς δὲ οἰομένους τὸν ὕπνον ἀεὶ ψύχειν, ἐπίκαιρόν τι τῆς τέχνης ἀγνοεῖν ἡγοῦμαι. διὰ παντὸς μὲν γὰρ ὕπνος ὑγραίνει, καθάπερ ἀγρυπνία ξηραίνει. καὶ τοῦθ' ἡμᾶς αὐτὸς ἐδίδαξεν, οὐ D διὰ παντὸς δὲ θερμαίνειν, ἢ ψύχειν πέφυκεν. ἀλλ' ὅταν μὲν ἀπυρέτων ὄντων, ἤτοι φλεγματώδεις, ἢ ὠμούς, ἢ ὁπωσοῦν ψυχροὺς χυμοὺς εὑρὼν ἐν τῷ σώματι κατεργάσηταί τε καὶ πέψῃ, χρηστὸν ἐξ αὐτῶν ἐργασάμενος αἷμα, θερμαίνει τὸν ἄνθρωπον αὐξήσει τῆς ἐμφύτου θερμασίας, ὅταν δὲ ἤδη πυρέττοντας ἐπὶ σηπεδόνι τοιούτων χυμῶν, ἐμψύχει, τὴν μὲν πυρετώδη θερμασίαν σβεννύς, αὐξάνων δὲ τὴν οἰκείαν. ἡνίκα δὲ πυρετοῦ χωρίς, ἢ καὶ σὺν πυρετῷ, χολώδεις πλεονάζωσι E χυμοί, διακρῖναι μὲν αὐτοὺς εἶτ' ἐκκρῖναι δυνηθεὶς, εἰς συμμετρίαν ὑγιεινῆς κράσεως ἐπανάγει τὸ σῶμα. μὴ δυνηθεὶς δὲ ταῦτα ἐργάσασθαι, τὴν αὐτὴν φυλάττει κρᾶσιν. εἰ δὲ ἐπὶ φλεγμονῇ σπλάγχνου πυρέττων τις, ἐν ἀρχῇ τοῦ παροξυσμοῦ καθυπνώσειεν, αὐξήσας τὴν φλεγμονὴν ὁ ἄκαιρος οὗτος ὕπνος, ἅμ' αὐτῇ καὶ τὸν πυρετὸν αὐξήσει, κἀκ τοῦδε θερμότερον ἐργάσεται τὸ σῶμα, θερμῷ παρὰ φύσιν. ἐγχωρεῖ μέντοι καθ' ἕνα τρόπον ἐνίοτε θερμότερόν τε καὶ ψυχρότερον ἅμα γίνεσθαι τὸ σῶμα διὰ τὸν F ὕπνον. ἐπειδὴ τῆς κατὰ τὸ σῶμα θερμασίας διττόν ἐστι τὸ γένος, ἓν μὲν οἰκεῖόν τε καὶ σύμφυτον, ἕτερον δὲ ἀλλότριόν τε καὶ παρὰ φύσιν. ὅταν οὖν αὐτῶν τὸ μὲν αὐξήσῃ τε καὶ ῥώσῃ, τὸ δὲ καθαρῇ τε καὶ μαράνῃ, πῶς οὐκ ἄν τις εὐλόγως φαίη καθ' ἕνα χρόνον ἐξ ὕπνου θερμότερον ἅμα καὶ ψυχρότερον ἑαυτοῦ γεγονέναι τὸ σῶμα. ταῦτα δὲ οὐδὲ γινώσκουσι τὴν ἀρχὴν οἱ πολλοὶ τῶν ἐξηγησαμένων τὰ Ἱπποκράτους βιβλία. μάθοις δ' ἂν οὕτως ἔχον ὃ λέγω, καθ' ὧν ἐγκαλεῖ Λύκος λόγων ἐν ἀφορισμοῖς

αὐτῷ γεγράφασι, τὰ αὐξανόμενα πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμόν. ἀλλ' ὅτι γε δι' ἄγνοιαν ὢν ὁ Ἱπποκράτης ὀρθῶς ἔγραψε περὶ τῶν κατὰ τὰς θερμασίας διαφορᾶς ἐπηρεάζειν αὐτὸν ἐτόλμησε, δι' ἑνὸς ὅλου βιβλίου δέδεικται τοῦ ἐπιγραφὴν ἔχοντος, ὅτι μηδὲν ἡμάρτηται κατὰ τὸν ἀφορισμὸν οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, πλείστης οὖν δεῖται τροφῆς.

A ita dicentem: Crescentes plurimo ingenito calido abundant. At quod eorum ignoratione, quæ rectè Hippocrates de calorum discrimine prodidit, ipsum calumniis vexare Lycus ausus fuerit, per unum integrum Librum à me ostensum est, cujus hæc est inscriptio; Quod nihil in eo Aphorismo erratum sit, cujus initium est, Crescentes plurimo abundant insito calido, igitur plurimo egent alimento.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

Αἱ ἀσθενέες δίαιται ψυχραὶ, αἱ δὲ ἰσχυραὶ, θερμαί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διαίτας ἀσθενεῖς, ἤτοι τὰς δι' ἀσθενῶν ἐπιτηδευμάτων, ἐδεσμάτων τε, καὶ πομάτων, ἢ τὰς ἀσθενὲς ἐργαζομένας τὸ ζῶον εἴρηκεν. αἱ ψυχραὶ δὲ εἴτε κατὰ τὴν ἑαυτῶν κρᾶσιν, εἴτε κατὰ τὴν ἐν ἡμῖν διάθεσιν ἣν ἐργάζονται λέγοιντο, διοίσουσιν ἀλλήλων οὐδέν. C ἀσθενῆ μὲν οὖν ἐπιτηδεύματα λέγοιτ' ἂν τὰ διὰ βραχέων κινήσεων τοῦ σώματος γινόμενα, καθάπερ ἰσχυρὰ, τὰ διὰ σφοδρῶν· ἐδέσματα· ἀσθενῆ μὲν ὅσα μήτε ὀδμὴν ἰσχυρὰν ἔχει, μήτ' ἐν τῇ γεύσει ποιότητα σφοδρὰν ὀξύτητος, ἢ γλυκύτητος, ἢ ἁλυκότητος, ἢ πικρότητος, ἢ στρυφνότητος, ἢ δριμύτητος, ἀλλ' ἤτοι μετρίως εἴη γλυκάζοντα τὴν γεῦσιν, ἢ μετρίαν στύψιν ἐμφαίνοντα, καὶ θερμασίαν ὁμοίως ὀλίγην, ἰσχυρὰ δὲ, τὰ τούτων ἐναντία· ἐὰν μὲν οὖν ἀσθενῆ πάντα τά τε ἐπιτηδεύματα, καὶ τὰ διαιτήματα προσάγηται τῷ σώματι, D ψυχθήσεται σφόδρα, καθάπερ γε κἂν ἰσχυρὰ, θερμανθήσεται γενναίως. ἐὰν δὲ τὰ μὲν, τὰ δὲ μὴ, τῷ τὴν ἀναλογίαν τῆς μίξεως, ἤτοι γ' ἐγγυτέρω θατέρου τῶν ἄκρων, ἢ πορρωτέρω, παραχωρήσεται.

HIPPOCRATIS TEXTUS XVIII.

Imbecilli victus frigidi, valentes verò calidi.

GALENI COMMENTARIUS.

Victus imbecillos, aut eos, qui ex imbecillis vitæ officiis, cibis ac potibus constant, aut imbecillum animal reddentes, appellavit: frigidi verò, sive ob suam ipsorum temperaturam, sive ob affectum, quem in nobis efficiunt, ita nominentur, nihil inter se different. Imbecilla igitur vitæ officia illa dici possunt, quæ ex lenibus corporis motionibus constant: sicut contra valentia, quæ ex vehementibus. Cibi quidem imbecilli sunt, quicunque neque odorem validum spirant, neque gustatui vehementem ullam qualitatem acoris, dulcedinis, salsuginis, amaritiei, acerbitatis, acrimoniæve repræsentant, sed mediocri dulcedine, aut mediocri astrictione gustatum afficiunt, ac pariter modicè calefaciunt; valentes verò sunt istis contrarii. Itaque si omnia & vitæ studia, & cibi debiles corpori adhibeantur, vehementer refrigerabitur: quemadmodum si valentes, magnificè incalescet. Quòd si aliqua imbecilla, aliqua robusta adhibeas, secundùm mistionis potionem, aut propius ad alterutrum extremorum accedet, aut longiùs removebitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Ὑδάτων ἀπιχέων, τὸ μὲν ἀπὸ τοῦ αἰθέρος ἀποκριθὲν, ἢ βρονταῖον, ὡραῖον. τὸ δὲ λαιλαπῶδες, κακόν. E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἷς χρώμεθα κατὰ τὴν ἰατρικὴν, οὐ μόνον ἐπὶ τῶν νοσούντων, ἀλλὰ καὶ τῶν ὑγιαινόντων σωμάτων, ὕλαι τῆς τέχνης εἰκότως ὀνομάζονται, καὶ γεγράφαταί γε τισι τῶν ἰατρῶν βιβλία τὴν ἐπιγραφὴν ἔχοντα περὶ ὕλης. ἐνίοτε μὲν οὖν τοῖς αὐτοφυέσι σώμασι χρώμεθα, πρός γε τὰς ἰάσεις καὶ τὴν ὑγιεινὴν δίαιταν. ἐνίοτε δ' αὐτοὶ τὸ πράττομεν ἐν τῇ παρασκευῇ τῆς ὕλης, τὰ μὲν ἕψοντες, F τὰ δὲ καίοντες, ἔνια δὲ πλύνοντες, ἢ προαρτύοντες, ἢ προβρέχοντες, ἢ ψύχοντες, ἤ τι τοιοῦτον ποιοῦντες ἕτερον. οὕτως οὖν καὶ περὶ τῶν ὑδάτων παρασκευήν ἐστιν ὅτε πράττομεν τι τεχνικόν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἔλεγεν αὐτὸς, ὕδωρ ἀφεψηθὲν, τὸ μὲν ὡς δέχηται τὸν ἀέρα. καὶ γὰρ ἡ ἕψησις αὐτὴ καὶ ἡ μετὰ ταῦτα ψύξις, ἤτοι διὰ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἢ ἀνέμου τινὸς, ἢ

HIPPOCRATIS TEXTUS XIX.

Aquarum arte carentium, quæ ab æthere excreta est, aut cum tonitru opportuna: Procellosa verò mala.

GALENI COMMENTARIUS.

Ea, quibus secundùm medicæ artis præcepta non solùm in ægris, verumetiam in rectè valentibus corporibus utimur, materiæ artis jure nominantur, & à Medicis quibusdam Libri conscripti sunt, quibus inscriptio hæc proposita est, de Materia. Porro interdum sponte natis corporibus ad curationem, & salubrem victus rationem utimur: interdum & nos aliquid ad præparandam materiam facimus, aliqua elixantes, aliqua comburentes, aliqua lavantes, aut prius condientes, eut prius madefacientes, aut refrigerantes, aut aliquid ejusmodi aliud efficientes. Sic itaque & in præparandis aquis artificiosum aliquid molimur, quemadmodum ipse paulò antè dicebat. Aqua decocta, tum quidem ut suscipiat aerem. Etenim fit ipsa decoctio, & postea refrigeratio, aut per ambientem nos aerem, aut vento aliquo, aut

in ædibus frigidum aerem includentibus: sunt enim domus quædam frigidis speluncis persimiles. Interdum & perhumida refrigeratio acquiritur, ut per nivem circundatam: aut si sub fonte rapide labente ponatur: aut in puteo, idque bifariam, nonnunquam quidem in ipsam putei aquam nobis vasculum demittentibus, in quo aqua calefacta continetur, nonnunquam vasculum supra aquam suspendentibus, sicut etiam per testas raras interdum turbulentas aquas percolantes: ut Alexandriæ, & in Ægypto percolantur per quædam non simpliciter testacea vasa, sed artificiose, ut rara sint, præparata: quemadmodum & per linteolum hujusmodi vase carentes excolare solent. Hæc sane omnia artificiose parantur, sicut etiam quæcunque circa fontanarum aquarum ductus machinamur, illos non ex quocunque lapide fabricantes, interiusque illinentes interdum: haud enim parvum discrimen in ipso illitu est, sive picem, sive gypsum illiveris, sive citra illitum laterem ustum, aut lapidem improba aliqua, aut bona, aut nulla prorsus evidenti qualitate affectum imposueris. Quinetiam puteos sępius in diversa terra defodimus, & aquam per canales & fistulas ab aliquo fonte, quæ meliorem aut deteriorem ipsam reddere valeant, aut etiam nulla ratione permutent, derivamus: nempe hæc ad aquam pręparandam artificiose præstantur. At quum ex terra ejus loci, in quo degimus, aquam sumimus, aut ex lacu, aut præterlabente flumine haurimus, aut pluviatilem, quæ vocatur, colligimus, prorsus nihil artis huic adhibemus. Propter hoc igitur inquit Hippocrates aquarum arte carentium, ipsas artificio præparatis opponens, quas arte carentibus comparantes artificiosas appellamus. Quemadmodum autem paulò ante non de omnibus aquis arte paratis locutus est, sicut si librum, ut in publicum ederetur, conscripsisset; sed unius tantum præparandi rationis mentionem habuit, utpote sibiipsi commentariolum recordationis causâ conficiens; ita & hoc loco non de omnibus aquis arte carentibus, hoc est sponte naturæ talibus procreatis, sed de una sola specie, quam (ut dixi) pluviatilem vocamus, sermonem fecit: Istius verò duas prodidit differentias, alteram quidem, quam & apertè vituperat, malam esse dicens, procellosam scilicet; alteram vero deinceps non constat, an reprehensione solum carere dicat, an & aliquid aliud ei tribuat: procellosam autem putavit incommodam, siquidem ab aëre excretam, aut cum tonitru, Græco vocabulo appellat hoream, Latinè dixeris temporariam, vel tempestivam, vel opportunam; contingit autem temporariam aquam, ut congruo tempore provenientem ipsum laudantem appellare: contingit autem, & eam solam quæ æstate media per imbres effunditur, temporariam nominare, quandoquidem hanc anni partem Græci potissimum ὥραν, id est tempus, appellant. Veruntamen & autumno, & hyemi, & veri temporis appellationem accommodant: sed per excellentiam interdum eam anni partem tempus nominant, in qua fructus temporarios vocatos maturescere accidit. Id igitur quantum ad verba Hippocratis attinet, obscurum est, nisi si nos ipsi aliquid ex iis quæ vidimus, aut ex naturali rerum indicatione adji-

A οἴκου, ψυχρὸν ἀέρα καθ' ἑαυτὸν ἔχοντος. Εἰσὶ γὰρ ἀμέλει τινὲς ἐοικότες σπηλαίοις ψυχροῖς, ἔστι δ' ὅτε καὶ ὑγροῖς. εἴτε διὰ τῆς περιπλαττομένης χιόνος, ἢ ὑπὸ κρουνῷ θέσις, ἢ ἐν φρέατι διττῶς γινομένη, ποτὲ μὲν ἐν αὐτῷ τῷ ὕδατι κατατιθεμένων ἡμῶν τὸ ἀγγεῖον ἐν ᾧ τὸ τεθερμασμένον ὕδωρ, ἐνίοτε δὲ ὑπὲρ αὐτοῦ κρεμάντων, ὥσπερ γε καὶ διὰ κεράμων ἀραιῶν ἐστιν ὅτε τὸ θολερὸν ὕδωρ διηθούντων ὡς ἐν Ἀλεξανδρείᾳ τε καὶ

B κατ' Αἴγυπτον ἠθεῖται διά τινων οὐχ ἁπλῶς κεραμευθέντων, ἀλλὰ τεχνικῶς κατασκευασθέντων εἰς ἀραιότητα, καθάπερ γε καὶ δι' ὀθονίου, μὴ παρόντος ἀγγείου τοιούτου. ταῦτα πάντα τεχνικὴν ἔχει τὴν παρασκευὴν, ὥσπερ γε καὶ ὅσα κατὰ τὰς ἀγωγὰς τῶν πηγαίων ὑδάτων πράττομεν, οὐκ ἐκ τοῦ τυχόντος λίθου παρασκευάζοντες αὐτὰς, καὶ χρίοντες ἔνδοθεν ἐνίοτε. διαφορὰ γὰρ οὐ σμικρὰ κατά γε τὴν ἀλοιφὴν αὐτὴν ἐστιν, ἢ πίτταν, ἢ γύψον ἐστὶν, ἢ χωρὶς ταύτης πλίνθον ὀπτὴν, ἢ λίθον ἔχοντά τι-

C να ποιότητα μοχθηρὰν, ἢ ἀγαθὴν, ἢ μηδεμίαν ὅλως ἔχοντα σαφῆ. καὶ μέντοι καὶ φρέατα πολλάκις ὀρύττομεν ἐν διαφερούσῃ γῇ, καὶ δι' ὀχετῶν, ἢ σωλήνων ἄγομεν ὕδωρ ἐκ πηγῆς, ἤτοι βέλτιον, ἢ χεῖρον ἐργάζεσθαι δυναμένων, ἢ καὶ μηδ' ὅλως ἀλλοιούντων αὐτό. ταῦτα μὲν οὖν ἅπαντα τεχνικῶς γίνεται περὶ τὴν παρασκευὴν τοῦ ὕδατος. ὅταν δ' ἀπὸ τῆς γῆς κατὰ τόπον οὔσης ἐν ᾧ διαιτώμεθα λαμβάνωμεν, ἢ ἐκ λίμνης, ἢ ποταμοῦ παραρρέοντος, ἢ τὸ καλούμενον ὄμβριον, οὐδὲν ἐνταῦθα

D προστίθεμεν ἐκ τῆς τέχνης. διὰ τοῦτ' οὖν ὁ Ἱπποκράτης εἶπεν, ὑδάτων ἀτεχνέων, ἀντιδιαιρούμενος αὐτὰ τοῖς τεχνικὴν ἔχουσι τὴν παρασκευὴν, ἃ κατὰ τὴν ἀναλογίαν τῶν ἀτέχνων, ὀνομάζομεν τεχνικά. καθάπερ ὀλίγον ἔμπροσθεν οὐ περὶ πάντων ὑδάτων ὅσα τεχνικῶς παρασκευάζομεν ἔγραψεν, ὡς εἰ καὶ σύγγραμμα πρὸς ἔκδοσιν ἐποιήσατο. μόνου δ' ἑνὸς ἐμνημόνευσε τρόπου παρασκευῆς, ἑαυτῷ γράφων ἐν ὑπομνήματι πρὸς ἀνάμνησιν. οὕτως καὶ νῦν οὐ περὶ

E πάντων ὑδάτων ἀτέχνων, ὅπερ ἐστὶν αὐτοφυῶν, ἀλλ' ἑνὸς εἴδους μόνου ἐδήλωσεν, ὃ καλοῦμεν, ὡς ἔφην, ὄμβριον. ἔγραψε δ' αὐτοῦ διαφορὰς δύο. τὴν μὲν ἑτέραν, ἣν καὶ προδήλως ψέγει, κακὸν εἶναι λέγων τὸ λαιλαπῶδες. ἑτέραν δ' ἐφεξῆς ἄδηλον, εἴτε μόνον ἄψεκτον, εἴτε καί τινος ἑτέρου τύχῃ, ἐνόμιζε δὲ σκαιὸν αὐτό. τὸ γὰρ ἀπὸ τοῦ ἀέρος ἀποκριθὲν, ἢ βρονταῖον, ὡραῖον εἶναί φησι. ὡραῖον δὲ ἐγχωρεῖ μὲν, καὶ τὸ κατὰ τὴν προσήκουσαν ὥραν γινόμενον ὡς ἐπαινοῦντα λέγειν αὐτὸν, ἐγχωρεῖ

F δὲ, καὶ μόνον οὕτως ὀνομάζειν, τὸ κατὰ τὸ μέσον θέρος ὀνομαζόμενον. ἐπειδὴ μάλιστα τὸν καιρὸν τοῦτον ὥραν ἔτους ὀνομάζουσιν οἱ Ἕλληνες. ἐπιφέρουσι μὲν γὰρ τὸ τῆς ὥρας ὄνομα, καὶ φθινοπώρῳ, καὶ χειμῶνι, καὶ ἦρι. κατ' ἐξοχὴν δὲ ἐνίοτε καλοῦσιν ὥραν ἔτους ἐκεῖνον τὸν καιρὸν ἐν ᾧ τοὺς ὡραίους ὀνομαζομένους καρποὺς τελειοῦσθαι συμβαίνῃ. τοῦτ' οὖν ἄδηλόν ἐστι, ὅσον ἐπὶ τῇ ῥήσει, πλὴν εἰ προσθείημεν αὐτοί τι περὶ τῆς ἡμετέρας ἱστορίας, ἢ φυσικῆς τῶν πραγμάτων ἐνδεί-

ξεως. καὶ προσέτι διά τι τὸ λαιλαπῶδες μὲν ἔψεξεν, οὐκ ἔψεξε δὲ τό τ' αἰθέριον, καὶ τὸ βροντιαῖον· ἄδηλον δὲ, καὶ πότερον εἰς πόσιν αὐτὸ παρασκευάζειν ἡμᾶς ἠξίωσεν, ἢ πρὸς τὰς ἰατρικὰς χρείας. εἴς τε γὰρ ὀφθαλμῶν φαρμάκων κατασκευὴν ὕδατι τοιούτῳ χρώμεθα, καὶ τὸ καλούμενον ὑδάτινον ἐξ αὐτοῦ σκευάζομεν. ὡραῖον μὲν ἀκούειν ἄμεινον, οὐ τὸ κατὰ τὸ ἔαρ εὐθέως, ὡς ἤκουσάν τινες. οὔτε γὰρ ἐξαιρέτως τις ὥραν ἔτους ὠνόμασε τὸ ἔαρ, ἀλλ' ἁπλῶς ὥραν, ὥσπερ καὶ τὰς ἄλλας. ἔτι φαίνεταί τινα ἀρετὴν ἔχειν ἐξαίρετον ὁ τηνικαῦτα γινόμενος ὄμβρος. ἀλλὰ πολὺ βέλτιον ἡγεῖσθαι λέγειν αὐτὸν ὡραῖον, ὅταν αὖ ὕηται κατὰ τὸν καιρὸν ἐκεῖνον ὃν ὀνομάζουσιν ὥραν ἔτους. ὁμολογοῦν γὰρ αὐτῷ φαίνεται καὶ τὸ ἀπὸ τοῦ αἰθέρος ἀποκριθὲν αὐτῷ λελέχθαι. καλεῖν γὰρ ἔθος τοῖς παλαιοῖς ὅταν μὲν ἀκριβῶς καθαρὸν ᾖ τὸ περιέχον ἡμᾶς, αἰθέρα, τὸ δ' ἀχλυῶδες, ἢ νεφῶδες, ἀέρα. κατὰ τοῦτο γοῦν αὐτὸ καὶ τὸν ὑπὲρ τὰ νέφη τόπον, προσαγορεύουσιν αἰθέρα, καὶ σαφῶς ἐδήλωσε καὶ ὁ Ποιητὴς εἰπών·

Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
Μακροτάτη πεφυκυῖα, δι' ἠέρος αἰθέρ' ἵκανεν.

ἔμπαλιν δ' ὅταν εἴπῃ,

ἠέρα δ' Ἥρη
Πότνια πρόσθε βαθεῖαν ἐρυκέμεν, ἐνδείκνυσθαι φαίνεται τόνδε τοῖς ἔπεσι. καὶ πάλιν ὅταν εἴπῃ.

Ἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ' ἦν, οὐδὲ σελήνη.
Οὐρανόθεν προὔφαινε, κατείχετο δ' ἐν νεφέεσιν,

Ὅταν οὖν ἐν τῷ θέρει λεπτυνόμενον ὕδωρ ὑπὸ τῆς κατὰ τὴν ὥραν θερμότητος, εἰς ἀτμοὺς ἀοράτους λυθῇ, καὶ διὰ τοῦτο ἀδήλως ἡμῖν, ἀνενεχθῇ πρὸς τὸν ὑπὲρ γῆς ἀέρα, κἄπειτα συμβῇ διά τινα μεταβολὴν ἐπὶ τὸ ψυχρὸν, ἢ ἀνέμων ἀντιπνευσάντων ἀλλήλοις, καὶ πυκνωθέντος τοῦ περιέχοντος ἑνουμένοις τοῖς λελεπτυσμένοις ἀτμοῖς, αἰσθητὸν ὕδωρ γίνεσθαί τινι, καὶ τὸν ὄμβρον ἐρρωμένον ὡραῖον εἶναι, λελεπτυσμένου τε καὶ προκατειργασμένου τοῦ ὕδατος ἀπὸ τῆς κατὰ τὸν ἀέρα θερμότητος, εἶναί τε διὰ τοῦτο βέλτιον αὐτὸ τῶν λαιλαπωδῶν ἀκατεργάστων τε καὶ ἀμεταβλήτων ὄντων, ὁποῖα κατά τινας πηγὰς ὕδατα γίνεται τὰ καλούμενα πρὸς τῶν ἀρχαίων ἀτεράμνωδη. διά τι δὲ καὶ τὸ βροντιαῖον ἀποδέχεται μᾶλλον ἢ τὸ λαιλαπῶδες, ἐφεξῆς ἴδωμεν. ἐμοὶ μὲν δοκεῖ διότι τὰς βροντὰς οἶδε γινομένας, ἤτοι διὰ πυρὸς ἐναπόληψιν, ὅταν ἐκκρινόμενον εἰς ῥῆξίν τινα ποιήσῃ τοῦ περιέχοντος αὐτὸ νέφους, ἡνίκα καὶ κεραυνοὶ πίπτουσιν, ἢ παρατριβομένων ἀλλήλοις τῶν νεφῶν, ὧν οὐδέτερον ὑπάρχει τῷ λαιλαπώδει· πεπύκνωται γὰρ ὁ ἀὴρ ἐν τῇ τοιαύτῃ καταστάσει συνεχοῦς, καὶ μεγάλου ἑνὸς νέφους ἅπαντα αὐτὸν κατειληφότος. εἰκότως οὖν οὐ γίνονται βρονταὶ κατὰ τὴν τοιαύτην διάθεσιν τοῦ περὶ τὴν γῆν ἀέρος· ἐν γὰρ τοῖς διεσπασμένοις, καὶ κατὰ τὴν περιγραφὴν ἰδίαν φερομένοις νέφεσιν, εἴ τ' ἀλλήλοις ἐντύχῃ, τὴν παράτριψιν εὔλογον γίνεσθαι. τοῦ δ' ὅλου συνεχοῦς τε καὶ ἡνωμένου, παράτριψις οὐκ ἂν γένοιτο. διὰ τοῦτο οὐδὲ κεραυνοὶ πίπτουσιν ἐν τῇ τοιαύτῃ καταστάσει,

A ciamus, ac præterea, cur procellosam aquam improbet, æthercam vero cum tonitru effusam non improbet. Incertum quoque est, utrum ipsam nos ad potum, an ad medicinæ usus præparare jusserit: nam oculorum medicamentis componendis hujusmodi aquam adhibemus, & ex ipsa aqueum vocatum medicamentum conficimus. Porro temporariam intelligere satius fuerit, non vernam, cum impetu delapsam, ut nonnulli stultè accipiunt, nullus enim per excellentiam tempus anni ver nuncupavit, sed quemadmodum & alias anni partes, absolutè tem-
B pus, neque tunc temporis effusus imber aliqua eximia virtute præditus esse cognoscitur. Sed multo antiquius fuerit putare, ipsum temporariam aquam dicere, quam eo sane tempore pluerit, quod anni tempus Græci nominant: huic enim sententiæ, & illud sane favere videbitur, quod ab ipso dictum est, & aqua ab æthere excreta: nam veteres Græci cœlum, nos ambiens exquisitè purum, æthera: caliginosum verò, aut nubibus opacum, aërem vocare consueverunt. Hæc eadem igitur ratione, & locum
C supra nubes æthera nominant: idque clare, & Poeta significavit, inquiens;

Constitit, at leviter scandens tunc abiete in alta
Æthera; quæ ex Ida surgens ultra aëra adibat.

Contra vero quum dixit,

Aëra sed crassum Iuno se propulit ante.

Profundum hunc nostrum aërem per ea verba insinuare videtur: atque iterum quum dixit,

D *Aër densus erat naves complexus, olympo*
Nubibus obscuris circundata Luna latebat.

Itaque cum æstate aqua ejus temporis calore attenuata, in halitus invisibiles dissipata fuerit, atque iccirco clam nobis in aërem supra terram subvolaverit, ac deinde propter aliquam ad frigidum mutationem, ac ventis inter se reflantibus, densatoque aëre prætenuatos halitus iterum cogi, & in aquam sensibilem evadere contigerit, tunc imbrem illum temporarium vel tempestivum esse dicemus, extenuata aqua, ac prius ab aëris calore elaborata, atque ideo
E meliorem ipsam esse nimbosis, utpote, neque confectis, neque ulla mutatione elaboratis, quales in nonnullis fontibus aquæ scaturiunt, à veteribus indomitæ, crudæque nominatæ. Verùm, cur tonitrualem, ut ita dicam, aquam potius, quàm nimbosam approbet, deinceps videamus. Id profectò mihi ea ratione fecisse videtur, quod tonitrua duorum modorum alterutro fieri noverit, aut ob ignem interceptum, qui erumpens, circunplexam nubem veluti dilaceret, quo etiam tempore fulmina decidunt,
F aut inter se allisis attritisque nubibus. Neutrum in nimbosa aqua inest: siquidem in hujusmodi statu aër conspissatus est, una continua atraque nube ipsum totum occupante Quapropter haud immerito in hoc aëris terram ambientis statu, nequaquam tonat: nanque diversis nubibus, ac propria circunscriptione vagantibus, quum inter se concurrunt, ratio postulat fieri attritionem; unius autem totius continuæ perpetuæque nubis conflictus fieri non potest. Quamobrem neque fulmina in hac cœli constitutione cadunt,

quum

quum quia calidus aër intra nubes non includitur: tum quod neque ipsæ inter se magno impetu concurrunt. Nam, quando inter se concursantes nubes igneum illud, quod intervenerat, intra se ipsas compellentes, & constringentes exquisitè densaverint, tunc utique fulmen nonnunquam sursum versus aut in obliquum nonnunquam verò & in terram extruditur. Hanc solam fulminis expulsionem nos conspicimus, aliæ verò mortalibus ignotæ sunt. Porro à me brevibus ad proposita verba explananda, ut tonitrua fiant, dictum est: curque tonitrualem aquam, ut ipsius verbo utar, quam ex nimbo provenientem, meliorem esse asseruit. Summe vero munda ac tenuis est temporaria aqua elaborata. Inter hanc autem & procellosam tonitrualis est: quæ quantum à temporaria vincitur, tantum procellosam superat. Igitur in promptu jam est istis omnia vituperantibus dicere, haud Medici munus esse tam longam de rerum natura orationem habere. Cæterùm ut his respondeam, si nullam rationem afferens simpliciter asseverassem, temporariam aquam nimbosa esse meliorem, inter has vero tonitrualem mediocrem, aliquam sane eorum quæ dixissem, rationem me adjicere præcepissent, neque se dictis meis, tanquam legibus credere justum esse, neque ipsis ut tyrannicis præceptis parere necessum esse dixissent. Quocirca, si illiteratorum juxta, flagitiosorumque hominum latratus evitari non potest, præstat autem ob res meliores ab istis male audire, profectò rectissime tonitrui causas naturales rimati sumus: quod enim probatione caret, omnibus hominibus incredibile esse videtur. Neque admodum rectè dictum videtur, quod à Medico videlicet sermo de natura faciendus non sit, indicatque hos ipsos, qui ita pronunciant, nobis, ut sibi tanquam tyrannis edicta proponentibus obtemperemus, imperare. Verùm præstabat sane, non tyrannico more imperare, sed potius docere, aut sermoni absque ratione magis, quàm rationem reddenti, fidem esse habendam, aut in referenda causa à nobis aliquid non vere fuisse traditum. At isti horum neutrum faciunt: imo utrunque vituperant, si nullam probationem attulerimus, nos probatione carentia effutire, si rationem aliquam adjecerimus, non esse Medici, ut Physici munus, de veritate aliquid disputare, jactantes.

A μήτ' ἀέρος ἐν τοῖς νέφεσι περιλαμβανομένου θερμοῦ, μήτε περιτρίψεως ἰσχυρᾶς γινομένης. ὅταν γὰρ ἀλλήλοις ἀπαντῶντα τὰ νέφη, τὸ μεταξὺ πυρῶδες εἰς ἑαυτὰ συνελαύνοντα, καὶ σφίγγοντα πυκνώσῃ τελέως, ἐκθλίβεται τηνικαῦτά ποτε μὲν εἰς τὴν ἄνω χώραν ὁ κεραυνὸς, ἢ τὴν εἰς τὸ πλάγιον, ἐνίοτε δὲ ἐπὶ τὴν γῆν. ταύτην μὲν τὴν φορὰν αὐτοῦ ὁρῶμεν μόνην, αἱ δὲ ἄλλαι λανθάνουσιν ἡμᾶς. ἐμοὶ μὲν οὖν εἴρηται διὰ συντόμων εἰς τὴν ῥῆσιν ὅπως τε γίνονται B βρονταὶ, καὶ διά τι τὸ βροντιαῖον ὕδωρ ἄμεινον ἔφησεν εἶναι τοῦ λαιλαπώδους. ἄκρως δὲ καθαρὸν, καὶ λελεπτυσμένον ἐστὶ τὸ κατεργασμένον ὡραῖον. ἐν δὲ τῷ μεταξὺ τούτου τε καὶ τοῦ λαιλαπώδους, τὸ βροντιαῖον, ὅσον ἀπολείπεται τοῦ ὡραίου, τοσοῦτον πλεονεκτεῖ τοῦ λαιλαπώδους. ἕτοιμον οὖν ἤδη τοῖς ἅπαντα μεμψιμοιρουμένοις οὐ προσῆκον ἰατρῷ φέρειν τοσαύτης ἅπτεσθαι φυσιολογίας. εἰ δέ γε μηδένα λογισμὸν εἰπὼν, ἀπεφηνάμην ἁπλῶς βέλτιον μὲν εἶναι τὸ ὡραῖον τοῦ λαιλαπώδους, μέσον δὲ ἀμφοῖν τὸ βροντιαῖον, ἐκέλευον ἄν με προσθεῖναί τινα ἀπό- C δειξιν, οἷς εἶπον. οὔτε γάρ με πιστεύειν αὐτοῖς ὡς νόμοις δίκαιον, οὔτε ἀνάγκην ἔχειν ὡς τυραννικοῖς προστάγμασι πείθεσθαι. εἰ τοίνυν ἐκφυγεῖν ἀδύνατόν ἐστι τὴν γλῶτταν τῶν ἀπαιδεύτων τε ἅμα καὶ πονηρῶν ἀνθρώπων, ἄμεινον δὲ ἐπὶ τοῖς βελτίοσιν ὑπ' αὐτῶν ψέγεσθαι, καλῶς ἂν εἴημεν εἰρηκότες τὴν περὶ γενέσεως βροντῶν φυσιολογίαν. τὸ μὲν γὰρ ἀναπόδεικτον, ἄπιστον εἶναι δοκεῖ πᾶσιν ἀνθρώποις, τὸ δὲ μηδὲ ἅπτεσθαι φυσιολογίας ἰατρὸν, οὐ πάντάπασιν ὀρθῶς λέγε- D σθαι φαίνεται, δεικνῦσί τε τούτους ἀποφηναμένους αὐτοὺς ἡμῖν ὡς τυράννους, οἷς προστάττουσι, πείθεσθαι κελεύοντες. ἄμεινον δὲ ἦν ἄρα μὴ τυραννικῶς προστάττειν, ἀλλὰ διδάσκειν ἡμᾶς, ἤτοι γε ὡς χωρὶς ἀποδείξεως ὁ λόγος πιστότερός ἐστι τοῦ μετ' ἀποδείξεως, ἢ ὡς οὐκ ἀληθῶς εἴρηταί τι κατὰ τὴν αἰτίαν ἀπόδοσιν. οἱ δέ γε τούτων μὲν οὐδέτερον πράττουσιν, ἑκατέρως δὲ ψέγουσιν. εἰ μὲν δὴ μηδεμίαν ἀπόδειξιν ἐποιούμεθα, ὡς ἀναπόδεικτα φλυαροῦντας. εἰ δὲ προσθείημεν τινα λόγον, ὡς οὐκ εἴη πρέπον ἰατρῷ φυσιολόγῳ ὡς ἀλη- E θοῦς ἅπτεσθαι.

HIPPOCRATIS TEXTUS XX.

A*Qua edax, vigilia edax.*

GALENI COMMENTARIUS.

AB iis quæ & vigilia, & aqua efficere aptæ sunt, ipsis appellationem imposuit, utranque edacem nominans, quod nos scilicet edaces reddat: quandoquidem & hac etiam tempestate in nostra Asia Græci omnes, edaces homines, qui multa comesse valent, usitato vocabulo appellitant. Didicistis autem cibi appetitiones ab aquæ potu ea plane ratione excitari, qua & gelidam bibentes, aut frigidum cibarium, astringensve assumentes, appetentiores evadunt. Alibi nanque ostensum est, quæque

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Ὕδωρ βορὸν, ἀγρυπνίη βορόν.

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Ἀφ' ὧν πεφύκασιν ἀγρυπνία τε καὶ ὕδωρ ἐργάζεσθαι, τὴν προσηγορίαν αὐτοῖς ἔθετο, βορὸν ὀνομάσας ἑκάτερον, ἐπειδὴ βοροὺς ἡμᾶς ἐργάζεται. καλοῦσι γὰρ καὶ νῦν ἔτι συνήθως οἱ κατὰ τὴν ἡμετέραν Ἀσίαν ἅπαντες Ἕλληνες ἀνθρώπους βοροὺς, τοὺς πολλὰ δυναμένους ἐσθίειν. ἐμάθετε δὲ τὰς περὶ τὴν τροφὴν ὀρέξεις ἐξ ὑδροποσίας αὐξανομένας, ᾧ λόγῳ, καὶ ψυχρὸν ὕδωρ πινόντων, ἢ ἔδεσμα ψυχρὸν, ἢ στύφον. ὅσα μὲν γὰρ εἰς ὀλίγον συνάγει τὸ κατὰ τοὺς χιτῶνας

τῆς κοιλίας αἷμα, τὰς ὀρέξεις αὔξοντά τε καὶ γεννῶντα, δέδεικται. τὰ δὲ θερμαίνοντα, καὶ χέοντα, τὸ αἷμα καθαιροῦντα, καὶ παύοντα τὰς ὀρέξεις. κατὰ τοῦτ' οὖν καὶ ὕδωρ γίνεται βορόν, ἡ δὲ ἀγρυπνία, κατὰ διαφορὰν· ἐμάθετε γὰρ ἤδη καὶ περὶ ταύτης, ὥσπερ γε καὶ περὶ ὕπνου. πέττει μὲν οὖν ὁ ὕπνος ὡς ἂν εἴσω ῥέποντος ἐν αὐτῷ τοῦ θερμοῦ, διαφορεῖ δὲ ἡ ἀγρυπνία, συνυπάγοντος ἑαυτῷ τοῦ συμφύτου θερμοῦ κατὰ τὴν ἐπὶ τ' ἐκτὸς κίνησιν, οὐκ ὀλίγα μόρια τῆς τοῦ σώματος οὐσίας. διὰ ταῦτα μὲν οὖν εἴρηται βορὸν τό, θ' ὕδωρ, καὶ ἡ ἀγρυπνίη, σὺ δὲ μὴ παρακούσῃς, καὶ νομίσῃς ταὐτὸν εἶναι τὰ πολλὰ προσφέρειν τῷ πέττειν τε καὶ κατεργάζεσθαι πολλά. βελτίων γὰρ ὕδατος οἶνος, οὐ μόνον εἰς τὴν γαστέρα πέψιν, ἀλλὰ καὶ πρὸς τὴν τῶν πεφθέντων ἀνάδοσιν, αἱμάτωσίν τε καὶ θρέψιν, οὔρησίν τε καὶ διαπνοήν, ἐπὶ τῶν ὑγιαινόντων σωμάτων. εὔδηλον δὲ ὡς ἐπὶ τούτων ὁ λόγος εἴρηται νῦν ὑφ' Ἱπποκράτους, οὐδενὸς ἀγνοοῦντος, ἡνίκα βλάπτει τοὺς πλείστους τῶν νοσούντων οἶνος. ἀλλὰ καὶ ἡ ἀγρυπνία κατὰ διττὸν τρόπον γινομένη, διττὴν ἔχει καὶ τὴν ἐπὶ τοῖς ἐδέσμασι τελευτήν. εἰ μὲν γὰρ πράττοντές τι διὰ νυκτὸς, ὡς ἐν ταῖς παννυχίσιν, ἐγρηγορότες διατελέσωσι, κενοῦται μὲν τὸ σῶμα, βλάβη δὲ οὐδεμία σαφὴς γίνεται δυνάμεως. ἐὰν δὲ κατακείμενοι, μέρη μέν τινα τῆς νυκτὸς ὑπνώσωμεν, ἀγρυπνήσωμεν δὲ τὰ λοιπά, καταλύεται μὲν ἡ δύναμις. οὔτε γὰρ ὀρεγόμεθα βέλτιον, οὔτε πέττομεν, οὔτε τὰς ἐφεξῆς τῇ πέψει φυσικὰς ἐνεργείας ἀμέμπτους ἔχομεν, ἅπαντες χείρους γινόμενοι τῶν καλῶς κοιμηθέντων.

A ventriculi tunicarum sanguinem in arctum constringentia, appetentias augere ac procreare: contra vero calefacientia, fundentiaque sanguinem dejicere, finireque appetentias. Hac itaque ratione aqua vorax existit: Alia vero ratione vigilia quod scilicet corpus digerat, atque dissolvat: de hac etenim jam, sicut & de somno notitiam habuistis. Concoquit plane somnus utpote calido tunc interiora petente: dissipat vigilia, insito calido, dum exterius emicat, secum haud exiguas corporeæ substantiæ particulas educente. Igitur propterea aqua, & B vigilia edaces dictæ sunt. At tu ne perperam accipito, neve idem esse existimato multa comesse, & multa concoquere, atque conficere. Siquidem vinum aquæ præstat non solùm ad coctionem, quæ in ventriculo fit, adjuvandum, sed etiam ad concocta distribuenda, ad sanguinem creandum, ad nutriendum, ad lotium citandum, & ad corpora difflanda in recte valentibus. Nemini vero dubium est de iis in præsentia sermonem ab Hippocrate fuisse factum, quum inter omnes constet, plurimis C ægrotis vinum officere. Verum & vigilia bifariàm adhibita duplicem quoque à cibis finem consequitur. Nam si quippiam noctu agentes, ut in celebritatibus illis quas pernoctationes vocant, totam noctem insomnem traducant, corpus quidem inane redditur, sed nullum insigne virium detrimentum inde consequitur. At si cubantes aliquod noctis tempus somno capti quiescamus, reliquum autem vigilemus, vires profectò debilitantur: neque enim melius appetimus, neque concoquimus, neque concoctione sequentia naturalia munera inviolata perfectaque obimus, languidiores omnino, D quàm qui bene dormierint, evadentes.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Ἔνθερμος φύσει, θερμὴ ὥρη, κοίτη ἐν ψύχει, παχύνει, ἐν δὲ θερμῷ λεπτύνει.

HIPPOCRATIS TEXTUS XXI.

Percalidam naturam calido tempore, in frigore cubile crassam reddit, in calido attenuat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν ἐν ἀρχῇ τῆς ῥήσεως εἰρημένον ἐνθέρμῳ, δῆλόν ἐστι ἀπὸ τῆς, ἔνθερμος, εὐθείας κλινόμενον. τὸ δὲ ἐπὶ τῇ τελευτῇ, δύναιτ' ἄν τις ἀκούειν ὡς ἔκ τε προθέσεως τῆς, ἐν, καὶ πτώσεως δοτικῆς τῆς θερμῷ συγκείμενον, ὥσπερ ἀμέλει καὶ ἤκουσαν, ὀλίγου δεῖν, ἅπαντες οἱ ἐξηγηταί. τινὲς μὲν εἰς δύο μέρη διελόντες τὴν ῥῆσιν, ὡς ἑκάτερον ἰδίας ἐξηγήσεως δεόμενον, ἔνιοι δ' ὅλην ὡς μίαν ἐξηγησάμενοι. Διοσκορίδης δὲ καὶ μετέγραψεν ἐπὶ τὸ σαφέστερον αὐτήν, ὥσπερ εἴωθε ποιεῖν ἐπὶ τῶν ἀσαφῶν ῥήσεων· ἰδίᾳ μὲν ἔγραψε τὸ ἐνθέρμῳ φύσει θερμὴ ὥρη, προσθεὶς αὐτῇ τὸ λεπτύνειν, βουλόμενος ἡμᾶς ἀκούειν τὴν ἔνθερμον φύσιν, ὅπερ ἐστὶ πολύθερμον ἐν ὥρᾳ θερμῇ, τουτέστι θερινῇ λεπτύνεσθαι, διαφορουμένην ὑπὸ τῆς ὀνομαζομένης ἤδη συνήθως ἅπασι τοῖς νεωτέροις ἰατροῖς, λόγῳ θεωρητῆς διαπνοῆς, ἣν καθ' ἑτέραν λέξιν τινὰ ἄλλοι τινές, ἄδηλον αἰσθήσει διαπνοὴν

GALENI COMMENTARIUS.

E Dictionem hanc percalidam, Aphorismi hujus initio præpositam, à recto casu percalida deflexam esse constat: sed vocem hanc, ἔνθερμος, in fine positam quispiam ita posset accipere, ac si ex præpositione ἐν, id est, in, & casu dativo θέρμῳ esset composita, quemadmodum sanè omnes ferè Interpretes acceperunt, nonnulli quidem orationem hanc in duas partiti, perinde ac si utraque propria explanatione indigeret: alii verò totam, ut unam interpretati. Porro Dioscorides, & ipsam in clariorem permutavit, ut in obscuris locutionibus facere F consuevit. Separatim quidem scripsit, percalidam naturam calido tempore his verbis adjiciens hanc vocem, *extenuat*, nobis significare volens, percalidam naturam, hoc est multo calore ferventem, calido tempore, id est æstivo, extenuari, dilabentem atque evanescentem per eam quæ ab omnibus Medicis recentioribus jam trita, & usitata voce, ratione perceptilis difflatio nominatur: quam etiam altera appellatione quidam sensui ignotam perspirationem

nominant: quæ nobis omnibus per totum vitæ curriculum inest; verùm secundùm ætates, anni tempora, studiaque, ac, ut brevibus expediam, secundùm omnem quam degimus vitæ rationem, evariat. Sed in omnibus his differentiis illud commune inest, calidioribus quidem temporibus, regionibus, ætatibus, naturis, & victûs rationibus, de corpore haud exiguam substantiæ nostræ portionem effluere: contra in frigidioribus, spissescente cute, plurimum retineri, exiguum dissipari. Hac igitur ratione percalidam naturam tempore calido extenuari verum est, duplicato scilicet effluxu: nempe ex proprio calore insitum habentes, novum prætereà exterius à calido tempore accedentem acquirunt. Verùm neque in alio ullo exemplari hanc lectionem inveni, neque ullus Explanator ipsam agnovit. Sed Dioscorides ipse in Libri fronte inscripsit sese in duobus solis exemplaribus ita conscripta verba nactum esse, percalidam naturam calido tempore, in frigore cubile crassam reddit, in calido extenuat. Veruntamen nos non in duobus, sed in omnibus quæcunque legimus, ita se habere hanc orationem comperimus, quum de industria omnia, & quæ in publicis bibliothecis reposita sunt, & quæ apud amicos invenimus, exemplaria inspexerimus. Sed jam ad explananda verba convertamur, omnibus iis quæ pravè ab Interpretibus dicta sunt, prætermissis. Mihi sanè prior Aphorismi pars ita perficienda esse videtur: per calidam naturam calido tempore in frigore cubile crassam reddit, has voces, *calido tempore*, in sexto casu nobis legentibus, perinde ac si in calido tempore, dictum esset: illud vero in frigore, idem est ac si dictum esset in aëre frigido, ex duabus orationis partibus dictione composita, præpositione scilicet, *in* & nomine, *frigore*. Erit enim integra sententia hujusmodi: utile est percalidæ naturæ, in calido tempore, in frigido cubiculo somnum capere, ita nanque crassescet. Nempe haud injuria in valde calidis naturis hæc nos facere præcepit Hippocrates: quandoquidem calida natura quum sponte ob effluxum immodicum ad extenuandum idonea sit, si tempore calido accedente, evacuatio duplicata sit, quinetiam tertia quædam alia inanitio in calido loco & calido strato cubante homine adjuncta fuerit, tum corpus triplici digestione exhaustum dissipari, emaciarique continget. Quod si duabus necessariis inanitionibus à natura atque tempore provenientibus, quas effugere non licet, tertia saltem in contrarium abducatur, non dissipare, sed coercere difflationes potens, ad extremam evacuationem homo non perveniet: quinimmo pinguescet magis, quàm extenuabitur. Frigido enim cubili non modò lectos frigidos, sed stragula, quæ ex linteis crassioribus, & attritis, atque id genus aliis vestibus, constant, significante; aliud quoddam maximum remedium excessus, ratione temporis, & naturalis temperamenti provenientis adjungitur, ut scilicet per frigidam inspirationem corpus refrigeretur. Id quidem jam, & anteà à nobis dictum fuit, sed nunc mentio lecti adjecta est, ut undique corpus refrigescat, ac difflationis excessus ad salubrem commoderationem redigatur. Altera quidem Aphorismi pars,

A ὀνομάζουσι, γινομένην μὲν ἅπασιν ἡμῖν ἐν ἅπαντι τῷ βίῳ, διαφέρουσαν δὲ κατά τε τὰς ἡλικίας, καὶ τὰς ὥρας ἐπιτηδεύματά τε, καὶ συνελόντι φάναι τὴν ὅλην δίαιταν ἣν διαιτώμεθα. ἀλλ' ἐν ἅπασί γε ταῖς διαφοραῖς κοινόν ἐστιν, ἐπὶ μὲν ταῖς θερμοτέραις ὥραις τε καὶ χώραις, ἡλικίαις τε καὶ φύσεσι, καὶ διαίταις, ἀπορρεῖν ἔξω τοῦ σώματος οὐκ ὀλίγην μοῖραν ἐκ τῆς οὐσίας ἡμῶν. ἐπὶ δὲ ταῖς ψυχροτέραις πυκνουμένου τοῦ δέρματος, ἴσχεσθαι μὲν τὸ πλεῖστον, ὀλίγον δὲ ἐκκενοῦσθαι· κατὰ τοῦτ' οὖν ἀληθές ἐστι τὴν πολύθερμον φύσιν ἐν ὥρᾳ θερμῇ
B λεπτύνεσθαι, διπλασιαζομένης τῆς ἀπορροῆς, ἣν ἐκ τῆς οἰκείας θερμότητος ἔχοντες σύμφυτον, ἐπικτῶνται τὴν προσγινομένην ἔξωθεν ἀπὸ τῆς θερμῆς ὥρας. ἀλλ' οὔτε τῶν ἄλλων ἀντιγράφων εὗρον ἔν τινι ταύτην τὴν γραφὴν, οὔτε τις τῶν ἐξηγητῶν οἶδεν αὐτὴν, πλὴν ὅτι Διοσκορίδης αὐτὸς ἐν τῷ μετώπῳ τοῦ βιβλίου προσέγραψε, ἐν δύο μόνοις ἀντιγράφοις εὑρηκὼς ὧδέ πως ἐχούσας τὴν λέξιν. ἔνθερμος φύσις, θερμῇ ὥρῃ ἐν ψυχρῇ κοίτῃ παχύνει, ἔνθερμος λεπτύνει. οὐ μὴν ἡμεῖς γε ἐν δυοῖν, ἀλλ' ἐν πᾶ-
C σιν οἷς ἀνέγνωμεν, οὕτως ἔχουσαν εὕρομεν τὴν λέξιν, ἐξεπίτηδες ἁπάσας μὲν ἰδόντες τὰς κατὰ τὰς δημοσίας βιβλιοθήκας, ἅπαντα δὲ τὰ παρὰ τοῖς φίλοις. ἐπὶ τὴν ἐξήγησιν αὐτῆς ἤδη τρεπώμεθα, παραλιπόντες ὅσα κακῶς εἴρηται τοῖς ἐξηγησαμένοις. ἐμοὶ μὲν γὰρ δοκεῖ, τὸ μὲν πρότερον μέρος τῆς ῥήσεως οὕτως συμπληροῦσθαι δεῖν. ἐνθέρμῳ φύσει, θερμῇ ὥρῃ, ἐν ψυχρῇ κοίτῃ παχύνει. τὸ μὲν θερμῇ ὥρῃ κατὰ τὰς δοτικὰς πλείστοις ἀναγνόντων ἡμῶν, ὡς εἰ καὶ ἐν τῇ θερμῇ ὥρῃ λέλεκται. τὸ δὲ ἐν ψυχρῇ καθάπερ καὶ οὕτως εἶπεν. ἐν ἀέρι ψυχρῷ, συγκειμένης τῆς λέξεως ἐκ
D δυοῖν τοῦ λόγου στοιχείων, προθέσεως μὲν τῆς ἐν, ὀνόματος δὲ τοῦ, ψυχρῇ· γενήσεται γὰρ ὁ σύμπας νοῦς τοιοῦτος, ὠφέλιμόν ἐστι, τῇ πολυθέρμῳ φύσει, κατὰ θερμὴν ὥραν, ἐν ψυχρᾷ κοίτῃ κοιμᾶσθαι, παχυνθήσεται γὰρ οὕτως. εἰκότως δὲ ταῦτα ποιεῖν ἡμᾶς ἐπὶ τῶν πολυθέρμων φύσεων ἐκέλευσεν ὁ Ἱπποκράτης. ἑτοίμως γὰρ οὔσης τῆς θερμῆς φύσεως λεπτύνεσθαι διὰ τὸ πλῆθος τῆς ἀπορροῆς, ἐὰν καὶ τῆς ὥρας αὐτῇ προσγινομένης θερμῆς ἡ κένωσις διπλασιασθῇ. προσέλθῃ δὲ τρίτη τις ἄλλη κένωσις ἐν θερμῷ
E χωρίῳ, καὶ στρωμνῇ θερμῇ κατακειμένου τοῦ ἀνθρώπου, συμβήσεται διαφορηθῆναι καὶ λεπτυνθῆναι τὸ σῶμα τριπλῆν ὑπομεῖναν κένωσιν. ἐὰν δὲ ἐπὶ ταῖς ἀναγκαίαις ταῖς τ' ἐκ τῆς φύσεως καὶ τῆς ὥρας, ἃς οὐκ ἐστὶ φυγεῖν, ἡ γοῦν τρίτη πρὸς τοὐναντίον ἀχθῇ, οὐ διαφορεῖν ἀλλ' ἐπέχειν δυναμένη τὰς ἀπορροὰς, οὐκ ἂν εἰς ἔσχατον ἀφίκοιτο κενώσεως ὁ ἄνθρωπος, ἀλλὰ καὶ παχυνθείη μᾶλλον, ἤπερ λεπτυνθείη, τῆς γὰρ ψυχρᾶς κοίτης σημαινούσης οὐ μόνον ὑποστορέσματα ψυχρὰ, καὶ περιβλήματα, ἅπερ ἐκ σινδόνων πυκνῶν, καὶ τριβάκων ἱματίων τε τοιούτων γί-
F νεται, προσέρχεταί τι μέγιστον ἕτερον ἐπανόρθωμα, τῆς τε κατὰ τὴν ὥραν, καὶ τὴν φυσικὴν κρᾶσιν ἀμετρίας, διὰ τῆς εἰσπνοῆς ψυχρᾶς οὔσης ἐμψύχεσθαι τὸ σῶμα. τοῦτο μὲν οὖν ἤδη καὶ πρόσθεν ἡμῖν εἴρητο, πρόσκειται δὲ νῦν τὸ κατὰ τὴν στρωμνὴν, ἵνα πανταχόθεν ἀναψύχηται τὸ σῶμα, καὶ τὸ τῆς διαπνοῆς ἄμετρον, εἰς συμμετρίαν ὑγιεινὴν ἐπανάγηται. τὸ μὲν οὖν ἕτερον μέρος τῆς ῥήσεως τὸ πρότε-

ερον, οὕτως ἄν μοι δοκεῖ μάλιστά τις ἐξηγήσασθαι. τὸ δ' ὑπόλοιπον ἔνθα φησὶν, ἐν θερμῷ λεπτύνει, σαφὲς ἂν ἦν, εἰ τῷ θερμῷ τὸ ἀέρι προσεγέγραπτο, τῆς ὅλης ῥήσεως ἐν τοιᾶδε λέξει σαφῶς ἂν ἑρμηνευθείσης. τῇ πολυθέρμῳ φύσει, ἐν ὥρᾳ θερμῇ, κοίτη προσελθοῦσα ἐν ἀέρι ψυχρῷ, παχύνει, ἐν θερμῷ δ' ἀέρι γινομένη, λεπτύνει. κατὰ μὲν οὖν τὰς εὐθείας πτώσεις, οὕτως ἂν μάλιστα ῥηθείη σαφῶς, ὡς εἴρηται. νυνὶ δ' εἰ καὶ κατὰ δοτικὰς βουληθείημεν ἑρμηνεῦσαι, γένοιτ' ἂν ἡ λέξις τοιαύτη. τῇ πολυθέρμῳ φύσει ἐν ὥρᾳ θερμῇ, καὶ τῇ ἐν ἀέρι ψυχρῷ κοίτῃ, παχύνεσθαι συμβαίνει. τῇ δ' αὐτῇ ταύτῃ, ἐν ἀέρι θερμῷ λεπτύνεσθαι συμβήσεται.

A prior scilicet, ita sanè ab aliquo potissimum explanari posse mihi videtur: Reliqua pars ubi ait, in calido attenuat, dilucida sane foret, si ei voci, *calido*, aere ascriptum esset, tota oratione per hæc verba manifestè explicata: Calidiori naturæ, calido tempore, cubile in aere frigido si accedat, crassam reddit: in calido autem aere cubile extenuat. Per rectos quidem casus ita maxime apertè explanata oratio fuerit. Quod si per tertios, & sextos loqui voluerimus, narratio sane hujusmodi fuerit. Calidiori natu- B ræ, tempore calido, & cubili in aere frigido crassescere accidit: hoc eodem verò cubili in aere calido posito, extenuari continget.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

ΑΣκησις ὑγίης, ἀκορίη τροφῆς, ἀοκνίη πόνων.

HIPPOCRATIS TEXTUS XXII.

PRofessio tuendæ sanitatis, non saturitas cibi, impigritas ad labores.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ, μήτε ἐμπιπλᾶσθαι μέχρι κόρου, μήτε ὀκνεῖν γυμνάζεσθαι, κεφάλαιον ὑγιεινῆς διαίτης εἶναι ὑπείληφεν.

GALENI COMMENTARIUS.

C NEque repleri usque ad saturitatem, impigrumque esse ad exercitationes, salubris victus caput esse opinatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

ΕΝ τῷ ἐγρηγορέναι, δίψη ἐπιπολαίῳ, ὕπνος ἄκος. τῇ δὲ ἐξ ὕπνου ἐγρήγορσις ἐνίοις.

HIPPOCRATIS TEXTUS XXIII.

INter vigilandum siti in superficie, somnus medela est: siti verò ex somno, vigilia quibusdam.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠιπόλαιον δίψαν ἀκουστέον ἐστὶ τὴν πάνυ σμικρὰν, ἥτις οὔτ' ἀπὸ παντὸς τοῦ σώματος, οὔτ' ἀπὸ μεγάλης διαθέσεως γίνεται τῶν κατὰ γαστέρα μορίων, ἀλλ', ὡς Ἐρασίστρατος ἔφη, ξηραινομένων ἢ ἐκθερμαινομένων τῶν τόπων δι' ὧν φέρεται τὸ ὑγρὸν ἐκ τοῦ στόματος τὴν κοιλίαν. ταύτης οὖν τῆς δίψης, ἴαμά ἐστιν ὁ ὕπνος ὑγραινομένου τοῦ βάθους, ὡς ἂν εἴσω ῥέποντος ἐν τοῖς ὕπνοις τοῦ αἵματος. ἔμπαλιν δὲ τοῖς ἐξ ὕπνου διεγερθεῖσιν, ὅταν ἐπιπόλαιος ἡ δίψα, παύεται ῥᾳδίως ἐγρηγορόσι, τὸ γὰρ τοιοῦτον δίψος γίνεται, θερμαινομένων ἐνίοτε τῶν μορίων, ὧν ἔφην Ἐρασίστρατον ἐμνημονευκέναι. θερμαίνεται δὲ κατὰ τὴν τῶν σιτίων πέψιν ἐν τῇ γαστρί. γινομένης γὰρ αὐτῆς ὑπὸ τοῦ ἐμφύτου θερμοῦ, παραπλησίως τοῖς ἑψομένοις, ὥσπερ ἐκείνοις ἀναφέρεταί τι ἀτμὸς θερμὸς, οὕτω συμβαίνει ποτὲ καὶ κατὰ τὴν κοιλίαν, καὶ μάλιστα τοῖς ἀκρατέστερον οἶνον πεπωκόσιν. ἀλλ' ἐὰν ἐγρηγορότων αὐτῶν, ἡ γαστὴρ κενωθεῖσα μηκέτ' ἀναπέμποι τοὺς ἀτμοὺς, ἥτ' ἐν τοῖς τεθερμασμένοις μέρεσι θερμασία διαφορηθῇ, παύονται διψῶντες. ἔνιοι μέντοι διψώδεις ἐξ ὕπνου γίνονται, διὰ τὴν τῶν ἐδηδεσμένων, ἢ πεπομένων θερμότητα τῆς γαστρὸς ἐκθερμανθείσης, ἢ τις οὐ καθίσταται χωρὶς τῆς ἔξωθεν ἐπικουρίας. οὕτως γοῦν οἱ πολλοὶ τῶν ἔθος ἐχόντων ψυχροποτεῖν, ὤνηντό ποτε πιόντες ὕδωρ ψυχρὸν ἐν τούτῳ καιρῷ, πρὸ τοῦ λούσασθαί τε, καὶ τροφὴν προσενέγκασθαι. διὰ τοῦτ' οὖν ἐν τῇ δευτέρᾳ διαφορᾷ τοῦ δίψους, προσέθηκε τὸ, ἐνίοις. οὐ γὰρ ἅπασιν, ὡς ἐπιδέδεικται, τοῖς ἐξ ὕπνου διψῶσιν ἡ αὐτὴ διάθεσις γίνεται. ταύτην δ' οἱ

GALENI COMMENTARIUS.

D IN superficie sitim intelligere oportet valde exiguam, quæ neque à toto corpore, neque magno ventriculi partium affectu excitata est; sed, ut dixit Erasistratus, arescentibus, aut incalescentibus locis illis, per quæ ab ore in ventriculum humor delabitur. Huic itaque siti somnus remedio est, corporis penitioribus madescentibus, utpote per somnum sanguine ad interiora agente: contra verò expergefactis, quum in superficie sitis adest, vigilantibus facile sedatur. Hujusmodi nanque sitis oritur incalescentibus nonnunquam E particulis, quarum dicebam Erasistratum meminisse: calescunt autem dum in stomacho cibi concoquuntur. Nam quum hujusmodi concoctio ab insito calido, perinde atque elixatio fiat, quemadmodum in illa calidus quidam halitus effertur, ita nonnunquam & in ventriculo, & maxime vinum meracius epotis contingit. Verùm si vigilantibus ipsis stomachus inanitus nullos præterea vapores suggerat, & calefactarum partium calor evanuerit, siti liberantur. Porro nonnulli à somno, ob F ciborum potionumque calorem ventriculo excalfacto siticulosi fiunt: quorum sitis sine externo subsidio non tollitur: quocirca nonnullis frigidam potare solitis hoc tempore ante balneum, ac cibi assumptionem, gelidæ aquæ potus nonnunquam usui fuit. Propterea igitur in secunda sitis differentia adjecit hanc particulam, *quibusdam*, neque enim omnibus, ut ostensum est, à somno sitientibus idem affectus oboritur. Hanc lectionem

14

autem & veteres Explanatores agnoscunt, & in castigatissimis Exemplaribus invenitur.

A τε παλαιοὶ τῶν ἐξηγητῶν ἐπίστανται τὴν γραφὴν, ἔν τε τοῖς ἀκριβεστάτοις ἀντιγράφοις εὑρίσκεται.

HIPPOCRATIS TEXTUS XXIV.

Quibus plurimum calidum inest, vocalissimi sunt, frigidus enim aer plurimus. Ex duobus autem magnis, magna, & quae oriuntur, existunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

Αὗται, οἷσι πλεῖστον τὸ θερμὸν μεγαλοφωνότατοι, καὶ γὰρ ψυχρὸς ἀὴρ πλεῖστος. δυοῖν δὲ μεγάλων, μεγάλα καὶ τὰ ἔκγονα γίνεται.

GALENI COMMENTARIUS.

Modo praedixi, hujusce orationis lectionem antiquam non ita inveniri, sed hoc modo, quibusdam plurimum calidum: sicque illi Interpretes legunt, qui de superiorum verborum fine hanc particulam, *quibusdam*, detraxerunt. Igitur de propositae sententiae veritate jam disseremus. Quibuscunque enim plurimum calidum inest, in corde scilicet, hoc nanque veluti focum laresque ingeniti caloris esse declaravimus, & aerem qui inspiratu adducitur, plurimum esse necesse est: nam & hoc in libro de usu respirandi explicatum est. Quod si plus caloris hujusmodi naturis inest, multusque inspiratur aer atque iterum expiratur, propter hoc si vocem magnam fieri dicemus, ita absolute citra ullam distinctionem, sententiam proferentes, fallemur: nam in Commentariis de voce ostensum est, vocem ingentem fieri, quin multus aer celeriter expiretur, nequaquam posse: id vero fit, si aspera arteria, & guttur latius pateant. Si pectus vero totum amplum sit, non solùm ingentem vocem homines edere, sed etiam diutissimè vociferari posse, ibidem declaravimus: ut praecones, quum pedem vocatum canunt, efficere solent. Igitur quoniam cor statim ab initio, quum formatur in utero, amplificatur, increscitque, in quibus insitus calor plurimus inest: ad cordis vero potionem, & pectus plerunque magnum efficitur, & hoc iterum pulmonum magnitudo necessariò consequitur, necnon & istis asperae arteriae magnitudo respondet, & huic plerunque gutturis: haud abs re saepissime percalidae naturae homines vocaliores esse contingit. Etenim si semper & omnino ad portionem magnitudinis cordis pectus auctum esset, & nunquam ei prava conformatio accideret, percalidos homines non plerunque, sed semper magnam vocem edere dixissem: verumtamen neque ut pulmonum magnitudo pectori semper respondere invenitur, ita & ipsorum magnitudini in ipsis contenta tria vasorum genera respondent. Conspicitur verò & in animalium dissectionibus proportio haec non exquisitè servari: sed in hujusmodi sane partibus aliquod pauxillum excellere, aliquod è contrario deficere invenitur. Id verò in corde, ratione pectoris, insigne accidit: quod & in causa est maxime, ut inter aeque calidos homines nonnunquam in vocis magnitudine multum intersit. Hippocrates quidem soli aeris multitudini magnitudinem vocis attribuit: verùm haec inter causas magnam vocem efficientes, neque sola, neque dignitate prima est: magnae enim vocis materia est, ut in Commentariis de voce disputavimus.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προεῖπον ἄρτι τῆς ῥήσεως ταύτης τὴν γραφὴν τὴν ἀρχαίαν, οὐχ οὕτως, ἀλλ' ἐν οἷσι πλεῖστον τὸ θερμὸν ἐκεῖνοι τῶν ἐξηγητῶν ὅσοι τὴν τελευτὴν τῆς προτέρας ἀφείλοντο, τὸ ἐνίοις. λέγωμεν οὖν ἤδη περὶ τῆς κατὰ τὴν προκειμένην ῥῆσιν ἀληθείας. οἷς γὰρ πλεῖστόν ἐστι τὸ θερμὸν, ἐν τῇ καρδίᾳ δηλονότι, ταύτην γὰρ ἐδείξαμεν οἷον ἑστίαν εἶναι τῆς ἐμφύτου θερμασίας, ἀναγκαῖόν ἐστι καὶ τὸν εἰσπνεόμενον ἀέρα πλεῖστον εἶναι, καὶ γὰρ καὶ τοῦτ' ἐδείχθη κατὰ τὸ περὶ χρείας ἀναπνοῆς. εἰ δ' ἐστὶ πλεῖον τὸ θερμὸν ταῖς τοιαύταις φύσεσιν, C εἰσπνεῖταί τε καὶ πάλιν ἀντεκπνεῖται. διὰ τοῦτ' εἰ τὴν φωνὴν ἐροῦμεν γίνεσθαι μεγάλην, ἀδιορίστως ἀποφηνάμενοι, σφαλησόμεθα. δέδεικται γὰρ ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασιν ἀδύνατον εἶναι γενέσθαι τὴν φωνὴν μεγάλην, ἄνευ τοῦ πολὺν ἀέρα ταχέως ἐκπνεῖσθαι. γίνεται δὲ τοῦτο τῆς τραχείας ἀρτηρίας, καὶ τοῦ λάρυγγος εὐρέων ὑπαρχόντων. ἐὰν δὲ καὶ ὁ θώραξ ὅλος ᾖ μέγας, οὐ μόνον μεγαλοφώνους ἐργάζεσθαι τοὺς ἀνθρώπους, ἀλλὰ καὶ πλεῖστον φωνεῖν δυναμένους, ὥσπερ οἱ κήρυκες ὅταν τὸν καλούμενον πόδα λέ- D γωσιν. ἐπεὶ τοίνυν ἥ τε καρδία εὐρύνεταί τε καὶ αὐξάνεται, κατὰ τὴν ἐν τῇ μήτρᾳ διάπλασιν εὐθέως ἐξ ἀρχῆς, ἐφ' ὧν ἐστὶ τὸ ἔμφυτον θερμὸν πλεῖστον, ἀνάλογον δὲ ταύτῃ καὶ ὁ θώραξ, ὡς τὸ πολὺ, μέγας γίνεται, καὶ τούτῳ πάλιν ἐξ ἀνάγκης ἕπεται τὸ τοῦ πνεύμονος μέγεθος, ᾧ πάλιν ἀκολουθεῖ τὸ τῆς τραχείας ἀρτηρίας ὡς τὸ πολὺ, καὶ ταύτῃ τὸ τοῦ λάρυγγος. εἰκότως ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνει τοῖς πολυθέρμοις φύσει, μεγαλοφώνοις ὑπάρχειν. εἰ γὰρ δὴ πάντη τε καὶ πάντως, ἀνάλογον τῷ μεγέθει τῆς καρδίας, ὁ θώραξ ηὐξάνετό τε, καὶ οὐ προσενέπιπτέ ποτε μοχθηρὰ διά- E πλασις, οὐκ ἂν ὡς τὸ πολὺ, τοὺς πολυθέρμους ἔφην γίνεσθαι μεγαλοφώνους, ἀλλὰ διὰ παντός. οὐ μὴν οὐδ' ὥσπερ ἀνάλογον τῷ θώρακι τὸ μέγεθος ἀεὶ τοῦ πνεύμονος εὑρίσκεται, οὕτω καὶ τῷ τούτου μεγέθει τὰ τρία γένη τῶν κατ' αὐτὸν ἀγγείων ἀνάλογον αὐξάνεται. φαίνεται δὲ κἂν ταῖς ἀνατομαῖς τῶν ζώων, οὐκ ἀκριβῶς ἡ ἀναλογία φυλαττομένη. ἀλλ' ἐν μὲν δὴ τούτοις τοῖς μορίοις ὀλίγον τι τὸ μὲν ὑπερβάλλον εὑρίσκεται, τὸ δὲ ἐλλεῖπον· ἀξιόλογον δ' ἐν τῇ καρδίᾳ πρὸς τὸν θώρακα, καὶ τοῦτ' ἐστὶ τὸ μάλιστα ποιοῦν F τοῖς ἐπίσης θερμοῖς ἀνθρώποις ὀλιγάκις διαφορὰν ἀξιόλογον ἐν τῷ τῆς φωνῆς μεγέθει. ὁ μὲν οὖν Ἱπποκράτης τῷ πλήθει τοῦ ἀέρος ἀναφέρει μόνῳ, τὸ μέγεθος τῆς φωνῆς. ἔστι δ' οὔτε μόνον, οὔτε πρῶτον ἀξίωμα τοῦτο τῶν τὴν φωνὴν μεγάλην ἐργαζομένων αἰτίων. ὕλη γὰρ ^ ἐστι μεγάλης φωνῆς ὡς ἐν τοῖς περὶ τούτων ὑπομνήμασιν ἐδείχθη.

^ μόνον vel aliquid aliud deest

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

Οἱ θερμοκοίλιοι, ψυχρόσαρκοι καὶ λεπτοὶ, οὗτοι ἐπίφλεβοι, καὶ ὀξυθυμότεροι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι διττὸν οἶδε κατὰ τὸ σῶμα ζώων τὸ θερμὸν ὁ Ἱπποκράτης, ἕτερον μὲν ὅπερ αὐτὸς ἔμφυτον ὀνομάζει, τὴν οὐσίαν ἔχον ἐν αἵματί τε, καὶ ἐν τοῖς ἐναίμοις σπλάγχνοις, ἕτερον δὲ, δριμὺ, καὶ δακνῶδες, καὶ πυρῶδες, ἐν ᾧ γένει καὶ ὁ πυρετός ἐστιν, ἐν πολλοῖς ἤδη τῶν συγγραμμάτων αὐτοῦ δέδεικται. γέγραπται δέ μοι καὶ καθ' ἓν ὑπόμνημα τελέως περὶ τοῦδε, καθ' ὃ τὴν ἐπιγραφὴν ἐποιησάμην, ὅτι μηδὲν ἡμάρτηται κατὰ τὸν ἀφορισμὸν, οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. ἀπολογοῦμαι δ' ἐν αὐτῷ ὑπὲρ τοῦ Ἱπποκράτους, λύων τὰ Λύκου πρὸς τὸν ἀφορισμὸν ἐγκλήματα, καὶ δεικνὺς διὰ τὴν τῶν ἀρίστων δογμάτων ἄγνοιαν, ἐπηρεάζοντα τῷ Ἱπποκράτει τὸν Λύκον. ἀλλὰ ταύτης γε τῆς θερμασίας τὴν διαφορὰν, οὔτε Λύκος, οὔτε ἄλλος τις, ἢ Ἐρασιστράτειος, ἢ Ἡροφίλειος, ἢ ἐμπειρικὸς ἐγίνωσκε, καὶ διὰ τοῦτο κακῶς ἐξηγήσαντο πάμπολλα τῶν ὑφ' Ἱπποκράτους γεγραμμένων. οὐ μὴν τούς γε Ἱπποκρατείους ἄνδρας ἐχρῆν ἐπιλαμβάνεσθαι τῶν δογμάτων αὐτοῦ, τὰς ἐξηγήσεις ποιουμένους, ὡς μιᾶς οὔσης τῷ γένει τῆς ἐν τοῖς ζώοις θερμασίας. ἀλλ' ὅταν ἀκούσωσιν, ἢ Ἱπποκράτους, ἢ τινὸς ἄλλου, θερμοκοιλίους ὀνομάζοντός τινας, ἐπισκέψασθαι βέλτιον ἦν ὅπως εἴρηται τοὔνομα. πότερον τὸ ἔμφυτον θερμὸν ἐν τῇ γαστρὶ δαψιλὲς ὑπάρχειν ἀποφηναμένου τὴν λέξιν εἰπόντος, ἢ γράψαντος, ἢ τὸ ἕτερον, ὃ πολλάκις μὲν, ἐπίκτητον, ἐνίοτε δ' οὐ φύσει, καί ποτε καὶ παρὰ φύσιν ὀνομάζομεν, ᾧ θερμῷ τοῖς θερμοτέροις συμβέβηκε δακνώδη τε καὶ θερμὴν ἔχειν τὴν διαπνοὴν, καὶ διὰ τοῦτο πυρέττειν εὐθέως, ἐπειδὰν τύχῃ τὸ δέρμα στεγνωθὲν, ὡς οἵ γε τὸ ἕτερον θερμὸν ἔχοντες πλεῖστον, ἐπισχεθείσης τῆς διαπνοῆς, πληθωρικώτεροι μὲν γίνονται, πυρετῷ δ' οὐχ ἁλίσκονται. διὰ ...... καὶ τοίνυν καὶ ὅτι κατὰ τὴν γαστέρα τουτὶ τὸ ἔμφυτον θερμὸν πλεονάζον, ἀρίστας ἐργάζεται τὰς πέψεις τῶν σιτίων, ὡς αὐτὸς ἐν ἀφορισμοῖς ἐδήλωσεν εἰπὼν, αἱ κοιλίαι, χειμῶνος καὶ ἦρος, θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. » ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσιν, καὶ τὰ προσάρματα » πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολὺ, τροφῆς οὖν πλείονος δεῖται, σημεῖον αἱ ἡλικίαι, καὶ οἱ ἀθληταί. καθάπερ οὖν τῶν τοιούτων κοιλιῶν ἐστὶ γνώρισμα τὸ πέττειν ἀμέμπτως τὰς τροφὰς, οὕτως, τῶν ψυχροτέρων μὲν, τὸ εἰς ὀξύτητα τρέπειν, τῶν θερμοτέρων δ' εἰς κνισώδη ποιότητα. τοῖς μὲν οὖν καλῶς πέττουσι τὰ σιτία, τό, θ' αἷμα χρηστόν ἐστι, καὶ σύμμετρος ἕπεται σάρκωσις, ἢ καὶ πλείων ἐνίοτε τοῦ δέοντος, ὅταν ἀργότερον αὖθις διαιτωμένοις, καὶ λουομένοις, τὸ δ' ἧττον εἰς εὐσαρκίαν τῇ τοῦ σώματος ἕξει. ἐπειδὰν δὲ φθάσῃ πλῆθος ἀθροισθὲν, εἰς νόσους ἐμβάλλει ὅλον τὸ σῶμα. τοῖς δὲ διὰ τὴν δυσκρασίαν τῆς γαστρὸς ἀπεπτοῦσί τε καὶ διαφθείρουσιν εἰς καπνώδη καὶ κνισώδη ποιότητα τὰ σιτία, μοχθηρὸν μὲν ἀθροίζεται κατὰ τὰς φλέβας αἷ-

HIPPOCRATIS TEXTUS XXV.

Ventriculo calidi, frigidi carne, & graciles. Isti venosi, & iracundiores.

GALENI COMMENTARIUS.

Quòd geminum in animalium corpore calidum agnovit Hippocrates, alterum quidem, quod ipse ingenitum vocat, essentiam in sanguine, sanguineisque visceribus repositam habens, alterum verò acre, mordax, & igneum, sub quo genere & febris est, in multis pridem ipsius voluminibus declaratum fuit. Quinetiam ego de hoc in quodam meo Commentariolo accuratissime disserui. Ejus libelli inscriptio hæc est, nullum errorem esse commissum in eo Aphorismo, cujus initium est, Crescentes plurimum habent innatum calidum: in eo sane Hippocratis partes tueor, Lyci adversus Aphorismum criminationes diluens, ipsumq; ob optimorũ præceptorum ignorationẽ Hippocrati infensum esse demonstrans, verùm hujusce caloris differentiam, neque Lycus, neque alius quispiam aut Erasistrati, aut Herophili sectator, aut Empiricus internovit: quapropter & multa Hippocratis scripta prave admodum interpretati sunt. At Hippocraticos viros saltem non decebat Hippocratis decreta improbare, ea perinde interpretantes, ac si unus genere calor in animantibus existeret. Sed quum Hippocratem, aut alium quempiam audiverint, aliquos ventriculo calidos nominantes, ut nomen illud acceptum esset, considerare præstabat, utrum qui vocem eam protulit, aut scripsit naturale calidum in ventriculo copiosum esse assereret, aut alterum intelligeret, quod sæpiùs acquisititium, interdum nonnaturale, nonnunquam & à natura alienum vocatur; quo calido incalentes, mordax, calidumque expirare, atque iccirco simul atque cutis densata fuerit, febre vexari. Quemadmodum illi qui altero calido uberrime affluunt, suppressa difflatione pleniores quidem fiunt, sed in febrim non incidunt, propterea . . . . Illud etiam constat, in ventriculo ciborum concoctiones ab hoc insito calido exuberante optimas fieri, ut ipse in Aphorismis, ita loquens edocuit: Ventres hyeme, & vere calidissimi natura, & somni longissimi. His itaque temporibus cibaria plura exhibenda: etenim insitum calidum multum: pluri igitur alimento egent, argumento sunt ætates, & athletæ: Itaque sicut absoluta ciborum confectio hujusmodi ventriculorum indicium est, ita frigidiorum quidem in acidum conversio: calidiorum autem in nidorosam qualitatem mutatio. Quamobrem cibos recte concoquentibus, & sanguis optimus inest, & mediocris caro progignitur: vel & interdum, quàm deceat, copiosior, quum ociosiorem vitam degunt, & frequenti lavatione utuntur, sed minus bona caro est, neque corporis habitui congruens: postquam verò multa copia congesta fuerit, totum corpus in morbos præcipitat. At ob ventriculi intemperiem male concoquentibus, & cibos in fumidam nidorosamque qualitatem corrumpentibus, vitiosus in venis san-

guis contrahitur, pravaque in toto corpore fit nutricatio. De iis igitur propositum sermonem intelligere debes. In jecore nanque, & in corde multus ab initio insitus calor inest, in carnes verò è sanguine profunditur, atque ideo in hujuscemodi corporum naturis, quales & nunc descripsit Hippocrates, carnes frigidas esse necesse est, utpote sanguine non copioso, sed pauco & ipso quidem vitioso, irrigatas. Utrunque enim ventriculo igneo calore intemperato laborantibus evenit ut cibaria corrupta descendant, & proinde paucum ex iis alimentum corpori impartiatur, idque ipsum non recte concoctum improbum sit: non coctis enim corruptisq; in ventriculo cibis, bonus in jecore venisque sanguis creari non potest. quod si paucus quide, sed non malus in venis sanguis foret, carnes utique hunc attraherent, ipsas minus nutrientem, & venas inanes relinquentem, ut contractæ essent vixque apparerent. Quando verò non paucus modo, sed etiam pravus est, tunc neque ipsum, quamvis egeant, attrahunt: perinde ac neque nos ipsi cibos nidore, aut altera quapiam improba qualitate infectos, & si vehementius escam appetamus, admittimus: etenim appetitus ipse, hujusmodi cibo degustato, extinguitur. Eadem igitur ratione carnes exiguum, quod videlicet ad nutriendum pernecessarium est, de venis exhauriunt: quare paulatim longiori tempore in venis plus sanguinis depravati contrahitur. Quapropter in venæ sectionibus nunquam ab hujuscemodi hominibus rubrum sanguinem profluere conspicies; sed alio colore, ut quis eum nominare velit, affectus invenitur, quamprimum verò & male olet. Quod si jampridem homo purgatus non fuerit, ater etiam qui rescissa vena profunditur, sanguis apparet, alias aliam in crassitudine, & tenuitate constitutionem habens, nonnunquam serosus, & tenuior, nonnunquam verò crassior, quemadmodum sane interdum & valde crassus & niger, liquidæ pici persimilis cernitur. Hæc igitur omnia nunc per capita enumerata in aliis quibusdam ex antedictis Commentariis, & præcipue de curandi methodo absolute disputata sunt: in præsentia verò ab Explanatoribus prætermissa, brevibus à me perstricta fuere: solent enim ubi nihil refert, esse loquaces, in rebus autem utilissimis deficere. Ego itaque quum præsens oratio perutilis sit, ipsam repetens per capita rursum explicabo, & cum interpretatione propositum verborum conjungam. Ventriculo calidos ipsum dicere putandum est, non quemadmodum pueros, & athletas insito abundare calido testatus est: neque, ut hyeme ventres calore naturali maxime calere dixit: sed ut mordacem improbumque calorem haud exiguum in intemperato ventriculo possidentes. Hos autem carnibus frigidos merito nominavit, utpote bonæ juxta, & copiosæ alimoniæ penuria tabescentes, quam ex sanguine naturaliter sese habente in temperatis corporibus hauriunt. Ex sanguinis autem inopia fit ut carnes refrigerentur, acquisititium sane calorem à sanguine, non proprium, non insitum, ut jecur, & cor, possidentes. Isti verò carnibus deficientibus graciles necessario redduntur: ipsarum enim subtractiones, & incrementa tenue & crassum totum corpus efficiunt. Dicit autem hos ipsos venosos esse perinde atque si & ita

A μα, μοχθηρὰ δὲ ἡ τοῦ σώματος ὅλου γίνεται θρέψις. ἐπὶ τούτων οὖν ἀκούειν σε χρὴ τοῦ προκειμένου λόγου. τῷ μὲν γὰρ ἥπατι, καὶ τῇ καρδίᾳ, τὸ ἔμφυτον θερμὸν ἐξ ἀρχῆς ὑπάρχει πολύ, ταῖς σαρξὶ δὲ, ἐκ τοῦ αἵματος ἐπεισέρχεται. καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστι ψυχρὰς αὐτὰς εἶναι κατὰ τὰς τοιαύτας φύσεις τῶν σωμάτων, ὁποῖα καὶ νῦν ἔγραψεν ὁ Ἱπποκράτης, ὡς ἂν μὴ χορηγουμένας αἷμα δαψιλὲς, ἀλλ' ὀλίγον τε καὶ μοχθηρόν. ἀμφότερα γὰρ γίνεται τοῖς δυσκράτοις τὴν γαστέρα κατὰ τὴν πυρώδη θερμασίαν, ὑπέρχεσθαι μὲν B τὰ σιτία διαφθειρόμενα, καὶ διὰ τοῦτο ὀλίγης ἐξ αὐτῶν ἀπολαβεῖν τὸ σῶμα τροφῆς. εἶναι δὲ καὶ αὐτὴν ταύτην οὐκ ἀγαθὴν, διὰ τὸ μὴ πεπέφθαι καλῶς. οὐ γὰρ οἷόν τε γεννηθῆναι χρηστὸν αἷμα κατὰ τὸ ἧπάρ τε καὶ τὰς φλέβας, ἀπεπτηθέντων τε καὶ διαφθαρέντων ἐν τῇ γαστρὶ τῶν σιτίων. εἰ μὲν οὖν ὀλίγον, οὐ μὴν μοχθηρὸν ἦν τὸ κατὰ τὰς φλέβας αἷμα, συνέβαινεν ἂν ἑλκύσαι αὐτὸ τὰς σάρκας. αὐτὰς μὲν ἧττον τρέφον, ἐκκενοῦν δ' ἐκείνας, ὡς συνεστάλθαι τε, καὶ φαίνεσθαι μόγις. ἐπεὶ δὲ οὐ μόνον ὀλίγον, ἀλλὰ C καὶ μοχθηρόν ἐστιν, οὐδέ πω ἕλκουσι κἂν δέωνται. καθάπερ οὐδ' ἡμεῖς αὐτοὶ προσιέμεθα τὰ κεκνισωμένα, καί τινας ἑτέρας μοχθηρὰς ἔχοντα ποιότητας ἐδέσματα, κἂν πάνυ σφόδρα τροφῆς ὀρεγώμεθα. καὶ γὰρ καὶ ἡ ὄρεξις αὐτὴ παύεται γευσαμένων ἡμῶν τοιούτου σιτίου. κατὰ ταῦτ' οὖν, αἱ σάρκες ἐκ τῶν φλεβῶν ὀλίγον ἕλκουσιν εἰς τρέψιν αὐτὸ τὸ ἀναγκαιότατον, ὡς κατὰ βραχὺ χρόνῳ πλείονι κατὰ τὰς φλέβας ἀθροίζεσθαι μοχθηρὸν αἷμα. καὶ διὰ τοῦτ' ἐν ταῖς φλεβοτομίαις οὐκ ἂν ἴδῃς ποτὲ τῶν τοιούτων ἀνθρώπων ἐρυθρὸν αἷμα ῥέον, ἀλλ' ὡς ἂν εἴποι τις, ἑτέραν ἔχον χρόαν εὑρίσκεται τοῦτο, εὐθὺς δὲ καὶ δυσῶδες, καὶ εἰ ἐκ πολλοῦ χρόνου D μὴ εἴη κεκενωμένος ὁ ἄνθρωπος, μέλαν φαίνεται τὸ αἷμα τὸ κατὰ τὴν φλεβοτομίαν ἐκκενούμενον, ἄλλοτ' ἄλλην ἔχον ἐν πάχει τε καὶ λεπτότητι σύστασιν, ἐνίοτε μὲν ὀρρῶδες, καὶ λεπτότερον, ἐνίοτε δὲ παχύτερον, ὥσπερ δὴ καὶ λίαν παχὺ, καὶ μέλαν φαίνεταί ποτε, παραπλήσιον ὑγρᾷ πίττῃ. ταῦτ' οὖν ἅπαντα τὰ νῦν ἐπὶ κεφαλαίοις εἰρημένα, καὶ ἄλλα μέν τινα τῶν εἰρημένων ὑπομνημάτων, καὶ μάλιστα τῆς θεραπευτικῆς μεθόδου τελέως ἐξείργασται, νυνὶ δὲ διὰ συντόμων εἴρηται παραλειπόμενα τοῖς ἐξηγηταῖς. εἰώθασι γὰρ πλεονάζειν μὲν ἐν τοῖς ἀχρήστοις, ἐκλείπειν δ' ἐν τοῖς χρησιμωτάτοις. E ἐγὼ γοῦν ἐπεὶ πάνυ χρήσιμός ἐστιν ὁ προκείμενος λόγος, ἀναλαβὼν αὐτὸν, ἐπὶ κεφαλαίων αὖθις ἐρῶ, συνάπτων τῇ τῆς προκειμένης ῥήσεως ἐξηγήσει. θερμοκοιλίους μὲν ἡγητέον αὐτὸν λέγειν, οὐχ ὥσπερ τοὺς παῖδας εἶπε, καὶ τοὺς ἀθλητὰς, πολὺ τὸ ἔμφυτον ἔχειν θερμὸν, οὐδ' ὡς, ἐν χειμῶνι τὰς κοιλίας τῷ φυσικῷ θερμοτάτας θερμῷ ὑπάρχειν, ἀλλ' ὡς τὸ δακνῶδές τε καὶ μοχθηρὸν θερμὸν οὐκ ὀλίγον ἔχοντας ἐν τῇ δυσκράτῳ γαστρί. τοὺς τοιούτους δὲ, ψυχροσάρκους εἰκότως ὠνόμασεν, ἀποροῦντας ἀπορίᾳ χρηστῆς τε ἅμα F καὶ δαψιλοῦς τροφῆς, ἣν ἐκ τοῦ κατὰ φύσιν αἵματος ἔχουσιν ἐν τοῖς εὐκράτοις σώμασιν. ἕπεται δὲ τῇ τοῦ αἵματος ἐνδείᾳ, ψυχρὰς γίνεσθαι τὰς σάρκας, ἐπίκτητον δὴ τὴν θερμασίαν ἐξ αἵματος ἐχούσας, οὐκ οἰκείαν, οὐδ' ἔμφυτον ὡς ἧπάρ τε καὶ καρδία. λεπτοὶ δὲ ἐξ ἀνάγκης οὗτοι γίνονται διὰ τὴν ἔνδειαν τῶν σαρκῶν, ὧν αἱ μειώσεις τε καὶ αὐξήσεις, εἰς λεπτότητα καὶ παχύτητα τὸ σύμπαν σῶμα προάγουσι. λέγει δὲ τοὺς αὐτοὺς τούτους, ἐπιφλέβους ὑπάρχειν ὥσπερ εἰ καὶ οὕτως

ἔτι. τοῖς τοιούτοις, ἐπιφανεῖς αἱ φλέβες εἰσίν, τουτέστιν ἐκκείμεναι, ὡς ἂν αὐταί γε πλήρεις αἵματος οὖσαι, καὶ γεγυμνωμέναι διὰ τὴν ἔνδειαν τῶν σκεπουσῶν αὐτὰς σαρκῶν. ἀλλὰ καὶ ὀξυθυμοτέρους αὐτοὺς εἶναί φησι, οὐχ ἁπλῶς ὀξυθύμους, ἢ ὑπερβολικῶς ὀξυθυμοτάτους, ὅπερ ἂν ἔπαθον, εἰ τὸ κατὰ τὴν καρδίαν θερμὸν ἦν πάμπολυ. τὸ δ' ἐν τῇ γαστρὶ, τῇ κακώσει τοῦ στόματος αὐτῆς, ὀξυθυμοτέρους ἐργάζεται. δέδεικται γὰρ ὡς καὶ τοῦτο τὸ μόριον ἑαυτῷ συνδιατίθησι τὴν ψυχήν, ἀργαλεωτέρους μὲν ἐργαζόμενον εἰς τὸ νοῆσαι, καὶ πρᾶξαι, καθ' ὃν ἂν χρόνον ἑαυτοῦ γίνηται ψυχρότερον. ἑτοιμοτέρους δὲ, καὶ ὀργιζομένους ἐπὶ μᾶλλον θερμανθὲν, οὐ τῇ κατὰ φύσιν δηλονότι θερμασίᾳ, τῇ δ' ἐπικτήτῳ τε, καὶ παρὰ φύσιν, περὶ ἧς ὁ λόγος ὅδε σύμπας ἡμῖν διήνυσται. τοῖς δ' Ἱπποκρατείοις μὲν ἑαυτοὺς ὀνομάσασιν, ἀγνοοῦσι δὲ τὰ κυριώτατα δόγματα τῆς Ἱπποκράτους τέχνης, οἷς καὶ τὰ διὰ τῆς ἐμπειρίας φαινόμενα μαρτυρεῖ, μέμψασθαι δίκαιον, οὐχ ὡς ἡμεῖς εἰρήκαμεν, ἀλλ' ἑτέρως ποιησαμένοις τὴν ἐξήγησιν. οἴονται γὰρ ἐπὶ τῶν θερμοτέρων κοιλιῶν τὰ τοῦ συμφύτου θερμοῦ ῥέπειν ἐς τὸ βάθος, ἀπολείπειν δὲ τὰ ἐκτὸς μέρη, καὶ διὰ τοῦτο, ψυχροσάρκους ἐργάζεσθαι τοὺς ἀνθρώπους. ἀλλ' αἱ τοιαῦται ῥοπαὶ κατὰ μὲν τὰς ὥρας, καὶ τὰς χώρας, καὶ ὅλως τὰς καταστάσεις τοῦ περιέχοντος, καὶ ἐγρηγόρσεις τε καὶ ὕπνους γίνονται, καθάπερ γε κἂν τοῖς ψυχικοῖς πάθεσι, λύπαις, καὶ φόβοις, ἡδοναῖς τε σωματικαῖς, καὶ χαραῖς ψυχικαῖς. οὔτε δὲ φυσικὴ κατασκευὴ σώματος, οὔθ' ἡλικία ἐργάζεται τοιαύτην μετάστασιν ἐμφύτου θερμασίας, ἀλλ' εἰσίν, ὡς κἂν τοῖς ὑγιεινοῖς ἐδείχθη, μοχθηραὶ κατασκευαὶ σώματος, ἔνιαι μὲν ἐν ὅλῳ τῷ ζώῳ δυσκρασίαν ἔχουσαι, τινὲς δ' ἐν τῇ τῶν μορίων ἀνωμάλῳ κατασκευῇ, καθάπερ καὶ ἡ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένη, περὶ τῶν ἐν μοχθηρᾷ καταστάσει τὴν κοιλίαν ἐχόντων, οὐκ ἐν ἀρίστῃ, καθάπερ αἱ τὸ ἔμφυτον ἔχουσαι θερμὸν πολύ. καὶ διὰ τοῦτο εἰς εὐσαρκίαν συντελοῦσαι τὰ μέγιστα, καὶ παχύνουσι τὴν ἕξιν, οὐ καθαιροῦσι καὶ λεπτύνονται ταῖς δυσκράτοις ὁμοίως.

ἀργοτέρους

A dixisset: Istis conspicuæ venæ sunt, hoc est eminentes, quippe quæ sanguinis plenæ, & carnium ipsas contegentium paucitate, nudæ appareant. Quinetiam ipsos iracundiores esse dixit, non absolute iracundos, neque per excellentiam iracundissimos, quod plane ipsis accideret, si calor in corde permultus redundaret; sed calor in ventriculo, os ejus contristans, iracundiores efficit. Siquidem alibi declaratum est, hanc particulam in consensum sui affectus, & animam adducere: tardiores enim ad intelligendum, atque agendum homines reddit, quo B tempore ipsa frigidior evaserit; contra promptiores, atque irascentes, quum magis incaluerit, haud naturali calore scilicet, sed adventitio, & à natura alieno, de quo sermo iste totus à nobis confectus est. Quapropter eos, qui se Hippocraticos nominant, & præcipua Hippocraticæ artis decreta, quibus & experimento evidentia astipulantur, ignorant, accusare æquum est, quod aliter, atque nos diximus, interpretati sunt. Existimant enim in calidioribus ventriculis insitum calorem in profundum C refugere, & extimas partes deserere, atque ideo frigidas hominum carnes evadere. Verum hujusmodi caloris motiones pro ratione temporum, & regionum, & prorsum cæli status, præterea pro ratione vigiliæ, & somni, necnon & animi perturbationum, ut mœroris, & timoris & corporis voluptatum, & animi oblectationum evariant: At neque corporis naturalis fabrica, neque ætas talem ingenitæ caliditatis mutationem efficit. Sed quemadmodum & in Libris de tuenda sanitate monstravimus, pravæ corporis constitutiones sunt nonnullæ quidem cum totius animalis intemperie, aliquæ verò cum par- D tium inæquali statu, qualis & ista, quæ in propositis verbis habetur de ventriculi vitiosam constitutionem habentibus, & non optimam, veluti quæ nativo calore multo affluentes, & iccirco ad bonam carnem procreandam maxime conducentes, corporis habitum pleniorem efficiunt, non extenuant, non emaciant, ut intemperatæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛʹ.

Αὐχμῶν ἐπὶ γῆς, οἰωνῶν γένος εὐθυεῖ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ γὰρ ὄρνιθες, ὡς ἂν ξηρότεροι τὴν κρᾶσιν ἡμῶν ὄντες, ἐν τοῖς αὐχμοῖς ὑγιαίνουσι μᾶλλον. ἴσμεν δὲ, καὶ τροφαῖς αὐτοὺς ξηροτέραις, ὀλίγῳ τε ποτῷ χρωμένους, οὐχ ὥσπερ οἱ σύες ὕδατι συνεχῶς λούεσθαι ποθοῦντες, ἐμπίπλασθαί τε συνεχῶς οὐκ ὀλίγου ποτοῦ.

E HIPPOCRATIS TEXTUS XXVI.

Terra siccitatibus squallente, avium genus bene habet.

GALENI COMMENTARIUS.

Aves enim utpote aridiore, quàm nos, temperatura constantes, siccis temporibus rectius valent. Nos verò non præterit, & aridioribus ipsas cibis vesci, & pauco potu esse contentas, non perinde ut sues, qui aqua as- F sidue prolui, & immodico assidue potu repleri cupiunt.

Quum

A

HIPPOCRATIS TEXTUS XXVII.

Quum hircescit, uter exterius testis apparuerit, si dexter, mas: sinister verò fœmina.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

Τράγος, ὁκότερος ἂν ὄρχις ἔξω φανῇ, ἢν μὲν δεξιὸς, ἄῤῥεν, εὐώνυμος δὲ θῆλυ.

GALENI COMMENTARIUS.

Quum puerilis ætas in adolescentiam transit, quemadmodum ipsis semen, & pili in locis genitalibus erumpere incipiunt: perinde & testes subito increscunt: quemadmodum & puellis virginibus mammæ extuberant, unà & menses ferri incipiunt. Tunc igitur, & vocis mutatio in manibus fit præcipuè: nam quum priùs ipsis acuta vox esset, quum perfectè in puberes evaserunt, gravior redditur: tempore autem medio veluti raucam ipsi vocem edunt. Quamobrem autem prædictâ ætate omnia ista eveniant, præsens oratio explorare non postulat; sed omnia hæc apparere experientiâ demonstrat. Sicut & illud, si dexter prius testis, intumuerit, hosce adolescentes factos, in ætatemque virilem quum evaserint, filios mares potius quàm fœminas genituros; quod si sinister, è contrario. Idem & de utero sensit, in Aphorismis enim ita scripsit: Fœtus mares in dextris, fœminæ verò in sinistris magis. Quæ igitur à me hac de re in Aphorismorum explanatione dicta sunt, ad hunc locum accommodes, quum una sit communis in maribus, atque fœminis causa, ob quam sinistræ partes, fœminarum; dextræ, marium opifices sint. Verùm & de hoc in Libro de usu partium tractatum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Ἐν τῇ μεταβολῇ τῆς τῶν παίδων ἡλικίας εἰς τὴν τῶν μειρακίων, ὥσπερ ἥ τε τοῦ σπέρματος αὐτοῖς γένεσις ἄρχεται, καὶ τριχῶν τῶν ἐπὶ τοῖς αἰδοίοις, οὕτω καὶ ἡ τῶν ὀρχέων αὔξησις ἀθρόα, καθάπερ γε ταῖς παρθένοις ἡ τῶν τιτθῶν ἅμα τῇ τῶν καταμηνίων φορᾷ. τηνικαῦτα τοίνυν καὶ ἡ τῆς φωνῆς γίνεται μεταβολὴ τοῖς ἄῤῥεσι μάλιστα, πρότερον γὰρ ὄντες ὀξύφωνοι, τελέως μὲν ἡβήσαντες, ἀποτελοῦνται βαρύφωνοι, κατὰ δὲ τὸν μεταξὺ χρόνον, οἱονεὶ βραγχώδης αὐτοῖς ἡ φωνὴ γίνεται. διὰ τί μὲν οὖν ἐπιφαίνεται ταῦτα πάντα κατὰ τὴν εἰρημένην ἡλικίαν, ὁ παρὼν οὐ χρήζει λόγος ἀναζητεῖν. ὅτι δ' ἐπιφαίνεται ταῦτα πάντα, καὶ ἡ ἐμπειρία δείκνυσιν, C ὥσπερ γε καὶ ὅτι τῶν ὀρχέων εἰ μὲν ὁ δεξιὸς πρότερον εἰς ὄγκον ἀρθείη, τὰ τοιαῦτα μειράκια τελειωθέντα καὶ ἀνδρωθέντα, παῖδας ἄῤῥενας ἴσχει μᾶλλον ἤπερ θηλείας. εἰ δ' ὁ ἀριστερὸς ἔμπαλιν, οὕτω δὲ καὶ περὶ τὰς μήτρας φρονεῖ. κατὰ γοῦν τοὺς ἀφορισμοὺς ἔγραψεν, ἔμβρυα, τὰ μὲν ἄῤῥενα ἐν τοῖς δεξιοῖς, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον. ἅπερ οὖν εἴρηταί μοι περὶ τοῦδε κατὰ τὴν τῶν ἀφορισμῶν ἐξήγησιν, ἐπὶ τὸν ἐνεστῶτα μετοίσεις λόγον, αἰτίας μιᾶς οὔσης κοινῆς ἐπί τε τῶν ἀῤῥένων καὶ τῶν θηλειῶν, δι' ἣν τὰ μὲν ἀριστερὰ μέρη τῶν θηλειῶν ἐστὶ γεννητικὰ, τῶν δ' ἀῤῥένων τὰ δεξιά. D λέλεκται δὲ περὶ τούτου κἂν τοῖς περὶ χρείας μορίων.

HIPPOCRATIS TEXTUS XXVIII.

Oculi ut valent, ita & corpus. Et color in deterius aut meliùs labitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

Ὀφθαλμοὶ ὡς ἂν ἰσχύωσιν, οὕτω καὶ γυῖον, καὶ χροιὴ ἐπὶ τὸ ἧκιον ἢ βέλτιον ἐπιδιδῶσιν.

GALENI COMMENTARIUS.

Constat autem ita oportere subintelligi, ut oculi validi sunt, quod nonnulli & adscripserunt. Sententia igitur verborum, ut quispiam judicio meo, plurimorum falsam interpretationem omittens rectissime explanare potest, hæc potissimum fuerit: Hippocratem docere arbitror, quonam modo quis ab oculis totius corporis affectum percipiat, quandoquidem isti maxime firmissimam nobis notitiam exhibent. Porrò in illis, quibus anima deficit, aut aliter vires collabuntur, neque manum quis intuitus, neque crus aspiciens, aut faciei reliquas partes, omissis oculis, aliquid explorari habere poterit, quod ipsi vires imbecilles esse, aut validas patefaciat: quod si oculos inspexerit, compertum habebit: clarissime nanque in ipsis robur, infirmitasque elucescit, nonnullis quidem acute cernentibus, palpebris patentibus, nonnullis autem neque perfecte ipsas aperire valentibus. Quinetiam ipsorum color & moles aliquid de viribus nunciant. Viribus enim infirmis oculi cavi, squa-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Εὔδηλον δ' ὅτι προσυπακοῦσαι χρὴ τὸ, ὡς μὲν ἰσχύος τι ἔχωσιν, ὅπερ ἔνιοι καὶ προσέγραψαν. ἡ γοῦν διάνοια τῆς ῥήσεως, ὡς ἐμοὶ δοκεῖ κάλλιστα τις ἐξηγήσασθαι, παραλιπὼν τὴν μοχθηρὰν εἰρημένην τοῖς πλείστοις. ἡ δ' ἂν μάλιστα μηνύοιτο, ἡγοῦμαι τὸν Ἱπποκράτη διδάσκειν ὅπως ἄν τις ἀπὸ τῶν ὀφθαλμῶν διαγινώσκῃ περὶ τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως. ἐπεὶ δὲ μάλιστα οὗτοι τὴν βεβαιοτάτην ἐνδείκνυνται διάγνωσιν, ἐπὶ γοῦν τῶν λειποθυμησάντων, ἢ ἄλλως ἐκλυθέντων τὴν δύναμιν, οὔτε θεασάμενος χεῖρά F τις, ἢ σκέλος, ἢ τοῦ προσώπου τἆλλα μόρια χωρὶς τῶν ὀφθαλμῶν ἐξευρεῖν τι δυνήσεται, περὶ τῆς κατὰ δύναμιν ἀῤῥωστίας τε καὶ ῥώμης, ὥσπερ εἰ τοὺς ὀφθαλμοὺς θεάσαιτο, προδήλως γὰρ ἐν αὐτοῖς εὐτονία τε καὶ ἀτονία φαίνεται. τινῶν μὲν οὖν ὀξυδερκότων ἀναπεπταμένων τῶν βλεφάρων, ἐνίων δὲ μηδὲ διοῖξαι τελέως αὐτὰ δυναμένων, καὶ ἡ χρόα δ' αὐτῶν, καὶ ὁ ὄγκος, ἐνδείκνυταί τι περὶ τῆς δυνάμεως. ἀῤῥωστούσης μὲν γὰρ αὐτῆς, οἱ ὀφθαλ-

καὶ κοῖλοί τε, καὶ αὐχμηροὶ, καὶ κακόχροοι φαίνονται. ῥωσθείσης δὲ εὐχροοῦσί τε, καὶ εἰς ὄγκους αἴρονται, καὶ στιλπνὴν ἔχουσιν ὑγρότητα. ταῦτα μὲν οὖν ἐναργῶς φαίνεται γινόμενα, καὶ χωρὶς τοῦ τὴν αἰτίαν ἐπίστασθαι, δι' ἣν γίνεται. δήλη δὲ καὶ ἡ αἰτία, τοῖς ἐπισταμένοις ὁποία ἐστὶν ἡ φύσις τῶν ὀφθαλμῶν, ὅπερ ἐν ἄλλοις τε καὶ τοῖς ὀπτικοῖς λόγοις ἀπεδείξαμεν, ὡς αὐγοειδὲς πνεῦμα ψυχικὸν ἐξ ἐγκεφάλου πλεῖστον εἰς ὀφθαλμοὺς παραγίνεται. τούτου οὖν ὅταν ἄρρωστον ἢ ὀλίγον ᾖ, κατὰ τοὺς ὀφθαλμοὺς τὰ ἄρτι λελεγμένα συμπτώματα συμβαίνουσι, καὶ ἡ χροιὴ δέ, φησι, τουτέστι τὸ χρῶμα μεταβάλλει πρὸς τὸ βέλτιον, ἢ χεῖρον. εὔδηλον δὲ, εἴτε περὶ τῶν ὀφθαλμῶν ἔτι ποιεῖται τὸν λόγον, εἴτε περὶ τῆς καθ' ὅλον τὸ σῶμα χροιῆς, ἑκάτερον γὰρ αὐτῶν ἀληθές ἐστι, τῶν μὲν ὀφθαλμῶν ὥσπερ ἰσχὺν, καὶ ἀσθένειαν, οὕτω καὶ εὐχροιάν τε καὶ δυσχροιαν ὑπαλλαττομένων, ἀκολουθούσης δὲ τούτοις, καὶ τῆς καθ' ὅλον τὸ σῶμα διαθέσεως. ἐὰν μὲν γὰρ εὐχροῶσιν οἱ ὀφθαλμοὶ, τὸ γοῦν ὑγιεινῶς ἔχειν δηλοῦσι, τουτέστι τὸ σῶμα ὅλον· κακόχροιαν δέ τινα ἔχοντες, καὶ εὐθὺς τὸ πᾶν βεβλάφθαι δηλοῦσι. θᾶττον δὲ τῶν ἄλλων μορίων ἐν ὀφθαλμοῖς ἡ μεταβολὴ φαίνεται τῶν χρωμάτων, διὰ τὸ καθαρόν τε, καὶ λαμπρὸν αὐτῶν, οὐ μόνον δὲ τοῦτο δύναται σημαίνειν ἡ λέξις, ἀλλὰ τὴν ἐν ὅλῳ τῷ σώματι μεταβολὴν τῆς χροιᾶς ἕπεσθαι τοῖς κατὰ τὸν ὀφθαλμὸν σημείοις. ἀπὸ μὲν οὖν τῶν ὀφθαλμῶν, οὕτως ἡ διάγνωσις ἐφ' ὅλον τὸ σῶμα μετάγεσθαι δύναται, καθ' ἑαυτὴν δὲ τὴν λέξιν ἐξηγεῖσθαι δυνατὸν ἄνευ τῶν ὀφθαλμῶν, ἐὰν συνάπτῃ τις αὐτῇ τὴν ἐπιφερομένην. ἑξῆς οὖν ἀπ' ἄλλης ἀρχῆς οὕτως αὐτὴν ἐξηγήσομαι.

A lidi, & decolores apparent, robustis autem florido colore vigent, pleniori mole constant, & splendidum humorem habent. Hæc plane fieri evidenter conspicimus, etiamsi causa, ob quam fiant, nos lateat. Verùm & causa patet, qualisnam oculorum sit natura, scientibus, quod alibi & in sermonibus de visione declaravimus, animalem scilicet spiritum luminosum è cerebro in oculos plurimum proficisci: iste igitur quum aut imbecillus, aut paucus in oculis fuerit, modo enumerata symptomata B eveniunt. Et color melior fit, inquit, aut deterior. Id autem clarum est, sive de oculis etiamnum, sive de totius corporis colore sermonem faciat: utrunque enim verum est, oculis quidem ut firmitatem, atque imbecillitatem, ita & bonum fœdumque colorem permutantibus, hos quoque totius corporis affectu comitante. Nam si bene colorati oculi sunt, & gyon, hoc est corpus totum salubriter se habere significant: aliquo autem turpi colore inquinati, illicò & totum offensum esse indi- C cant: celerius verò in oculis, quàm in aliis partibus, colorum mutatio, ob eorum munditiam nitoremque conspicitur. At non solùm id significare hæc verba possunt, sed etiam in toto corpore coloris mutationem signis in oculo apparentibus accidere, & subsequi. Ab oculis igitur hoc modo ad totum corpus cognitio traduci potest. Per se autem verba hæc, omissa parte de oculis, explanari possunt, si quis ipsa cum sequentibus conjungat. Deinceps igitur ab alio principio sic ipsa interpretabor.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Καὶ χροιὴ, ἐπὶ τὸ κάκιον ἢ βέλτιον ἐπιδίδωσι. δίκαιον δὲ, ὡς ἂν ἔχῃ ἡ τροφὴ, οὕτω καὶ τὸ ἔξω ἕπεσθαι.

HIPPOCRATIS TEXTUS XXIX.

Et color in pejus, aut melius vergit. Æquum est autem ut se habet alimentum, ita & quod extimum est, sequi.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν χροιὰν ἀνάλογον τῇ τροφῇ, τουτέστι τῷ αἵματι, πρὸς τὸ κάκιον ἢ βέλτιον ἐπιδιδόναι φησί. αἷμα δὲ λέγει νῦν, ὅλον τὸν ἐν τοῖς ἀγγείοις χυμὸν, ἐν ᾧ καὶ φλέγματός τε καὶ χολῶν, καὶ ἰχώρων περιέχεται. τοῦτο γὰρ ἄμεινόν τε καὶ χεῖρον γίνεται. τὸ δ' ἐν αὐτῷ περιεχόμενον, ὃ κυρίως αἷμα λέγεται, καὶ κατὰ τὴν ἐπικράτειαν αὐτοῦ τὸ σύμπαν ὀνομάζεται, μοχθηρὸν εἰπεῖν ἀδύνατον, ὥσπερ οὐδ' ἄλλην τινὰ χροιὰν ἔχον, ὅτι μὴ τὴν ἐρυθράν.

GALENI COMMENTARIUS.

Colorem alimento, id est, sanguini, proportione respondentem, in pejus aut melius vergere inquit. Sanguinem autem nunc appellat omnem in vasculis inclusum succum: E in quo & pituita & bilis utraque & tenues serosique humores continentur. Hoc enim mistum & melius & deterius redditur: in eo verò contentus humor, qui proprie sanguis dicitur, & à cujus dominatu tota congeries nominatur, pravus dici nequaquam potest, perinde ut neque alium habere colorem, quàm rubrum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

Σημεῖα θανατώδεα ἀνὰ δέρμα, θερμὸς ἀτμός. πρότερον δὲ, ῥὶς ψυχρὸς πνεῦμα ἀφίησιν.

F

HIPPOCRATIS TEXTUS XXX.

Signa mortifera per cutem nares, calidus vapor. Prius nares frigidum spiritum reddunt.

A

GALENI COMMENTARIUS.

Sive in casibus accusativis scriptum sit, calidum vaporem, sive in rectis calidus vapor utroque modo aliquid subintelligitur. Verba enim hanc sententiam habere debet: Inter signa mortifera & hæc sunt, Calidum vaporem per cutem evacuari, quum priùs per expirationem frigidus spiritus redditus sit. At si in rectis casibus eandem sententiam explicare velis, ita sane dixeris: Maxime signa mortifera per cutem calidus vapor exiens, post frigidum spiritum prius expiratione egressum. Cæterùm id ipsum quidem, frigidam scilicet expirationem, perniciosissimum indicium esse, in Libro de præsentionibus dictum est hisce ipsis verbis; Frigidum autem per nares, atque os expiratum jam valde perniciosum est, nunc autem quoddam symptoma, ita se habentibus, quod tamen non semper fit, addidit: Calidus enim vapor multus subitò de cute emanat; sed neque omnibus, ut dixi. neque omni tempore. Atqui istos Explanatores, de quibus non opus est garrientes, hæc edocere præstabat. Illis enim solis id evenire comperies, quorum mortem calidissima febris antecessit, quæ corpus ipsum cordis torruit, atque ideo postremò ipsum refrigeravit. Vitali ergo tenore, moriente jam corde, evanescente, in aliis quidam sudores syncopam inferentes proveniunt, multorum scilicet humorum pleno corpore: illis autem, qui ex præfervida febre antea exaruerunt, pro sudoribus calidus vapor tangenti tibi difflari videbitur. Neque tamen & iste quoque morbi tempore, sed quum diu jam progresso morbo, cutis, exhausta halituosa substantia refrigeratur, quæ ob ardentiorem febrem attenuatis succis, morbo vigente contracta fuerat: neque enim eo sane tempore, quo jam cor emoritur, excitari potest nedum calidus vapor; sed neque frigidus aut tepidus. Omne igitur cor prope mortem frigida intemperie affectum est; sed non in quolibet mortifero morbo hujusmodi semper est: verùm in ardentissimis febribus, plerunque calidissimum, ut dictum est. Igitur quum frigida intemperie cor ægrotat, calidum vaporem emanare nunquam reperies, quando jam vicinus morti constitutus æger frigidum reddere spiritum inceperit: neque ita se habentibus humores prætenuati sunt, neque ardenti febre isti laborant, neque succos biliosos habent, qui temperie calida, corpore tenui sunt, siquidem frigidæ temperaturæ pituitosos, crudos, crassos, & prorsum frigidos succos, non biliosos, calidos, tenuesque abunde procreant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΑν τε κατ᾽ αἰτιατικὰς πτώσεις γεγραμμένον ᾖ, θερμὸν ἀτμὸν, ἐάν τε κατ᾽ εὐθείας θερμὸς ἀτμὸς, ἑκατέρως δὲ προσυπακούεται. βούλεται γὰρ ὁ νοῦς τῆς λέξεως εἶναι τοιοῦτος, ἐκ τῶν θανατωδῶν σημείων ἐστὶ καὶ ταῦτα, θερμὸν ἀτμὸν ἐκκενοῦσθαι διὰ τοῦ δέρματος ἐπὶ προηγησαμένῳ ψυχρῷ πνεύματι κατὰ τὴν ἐκπνοήν. εἰ δὲ καὶ κατ᾽ εὐθείας πτώσεις θέλεις ἑρμηνεῦσαι τὴν αὐτὴν διάνοιαν, οὕτως ἂν B εἴποις, μάλιστα σημεῖα θανατώδη, διὰ τοῦ δέρματος θερμὸς ἀτμὸς ἐκκενούμενος ἐπὶ προηγησαμένῳ ψυχρῷ πνεύματι κατὰ τὴν ἐκπνοήν. ἀλλὰ τοῦτο μὲν αὐτὸ τῆς ψυχρᾶς ἐκπνοῆς, ὅτι τῶν ὀλεθριωτάτων ἐστὶ, καὶ κατὰ τὸ προγνωστικὸν εἴρηται κατὰ τήνδε τὴν λέξιν, ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. νυνὶ δὲ προσέθηκέ τι σύμπτωμα τοῖς οὕτως ἔχουσιν, οὐκ ἀεὶ γινόμενον. ἐκρεῖ γὰρ ἀτμὸς θερμὸς ἀθρόως ἐκ τοῦ δέρματος, ἀλλ᾽ οὔτε πᾶσιν, ὡς ἔφην, οὔτ᾽ ἐν παντὶ καιρῷ, καὶ ταῦτ᾽ ἐχρῆν διδάσκειν τοὺς ἃ μὴ δεῖ φλυαροῦντας ἐξηγητάς. ἐπ᾽ ἐκεί- C νων γὰρ μόνων εὑρήσεις τὸ τοιοῦτον γινόμενον, ἐφ᾽ ὧν προηγήσατο τοῦ θανάτου, θερμότατος πυρετὸς ἐκφρύξας τὸ τῆς καρδίας σῶμα, καὶ διὰ τοῦτο καταψύξας αὐτὴν ἐπὶ τῇ τελευτῇ. λυθέντος οὖν τοῦ ζωτικοῦ τόνου, νεκρουμένης τῆς καρδίας, ἐπὶ μὲν τῶν ἄλλων ἱδρῶτες γίνονται συγκοπτικοὶ, περιουσίας ὑγρῶν οὔσης κατὰ τὸ σῶμα. τοῖς δὲ ἀπὸ τοῦ διακαοῦς πυρετοῦ προεξηρασμένοις, ἀντὶ τῶν ἱδρώτων, ἀτμὸς θερμὸς ἁπτομένῳ σοι φαίνεται διαπνεόμενος, οὐ μὴν οὐδ᾽ οὗτος ἐν παντὶ καιρῷ τοῦ νοσήματος, ἀλλ᾽ ὁπότε τῷ χρόνῳ D προήκοντι καταψύχεται τὸ δέρμα, κενωθείσης τῆς ἀτμώδους οὐσίας, ἥ τις, ὑπὸ τοῦ διακαοῦς πυρετοῦ λεπτυνομένων τῶν χυμῶν, ἠθροίσθη κατὰ τὸν νοσοῦντα χρόνον. οὐ γὰρ δὴ καθ᾽ ἐκεῖνόν γε τὸν καιρὸν, ἐν ᾧ συμβαίνει νεκροῦσθαι τὴν καρδίαν, οἷόν τε γεννηθῆναι μὴ ὅτι θερμὸν ἀτμὸν, ἀλλὰ μηδὲ ψυχρὸν, ἢ χλιαρόν. ἅπασα μὲν οὖν καρδία πλησίον τοῦ θανάτου ψυχρὰν ἴσχει δυσκρασίαν, οὐ μὴν ἐν ἁπάσῃ γε νόσῳ θανατώδει τοιαύτη διὰ παντός ἐστιν, ἀλλ᾽, ὡς εἴρηται, θερμοτάτη πολλάκις ἐν τοῖς περικαεστάτοις. ὅταν οὖν νοσῇ ψυχρὰν δυσκρασίαν ἡ καρδία, τὸν θερμὸν ἀτ- E μὸν οὐκ ἂν εὕροις ἐκκενούμενον, ὅταν ἐγγὺς τοῦ θανάτου γινόμενος ὁ κάμνων ἄρξηται ψυχρὸν ἐκπνεῖν, οὐδὲ προλελέπτυνται τοῖς οὕτως ἔχουσι τὰ ὑγρὰ, μήτε πυρετὸν διακαῆ πυρέξασι, μήτε χυμοὺς ἔχουσι χολώδεις, θερμοὺς μὲν τῇ κράσει, λεπτοὺς δὲ τῇ συστάσει. ἐν γὰρ ταῖς ψυχραῖς δυσκρασίαις, οἱ φλεγματώδεις, καὶ ὠμοὶ, καὶ παχεῖς, καὶ ὅλως ψυχροὶ χυμοὶ πλεονάζουσιν, οὐχ οἱ χολώδεις, καὶ θερμοὶ, καὶ λεπτοί.

F

HIPPOCRATIS TEXTUS XXXI.

V*italia verò contraria.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα´.

ΤΑ δὲ ζωτικὰ ἐναντία.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μάχεται τοῦτο φανερῶς τοῖς εἰρῆσθαι νομίζουσι θανατῶδες σημεῖον ἐν τῇ ῥινὶ τὸν θερμότατον πυρετόν. ὡς γὰρ ἂν ἀνταποδιδοὺς τῷ κατ᾽ ἀρχὴν εἰρημένῳ, σημεῖα θανατώδεα, νῦν ἔγραψε, τὰ δὲ ζωτικὰ ἐναντία. καίτοι κατὰ τὴν ἐκείνων ἐξήγησιν οὐ συνῆπται τῷ, θανατώδη σημεῖα, τὸ κατὰ ταὐτὰ γεγραμμένον, ἀνὰ ῥῖνα θερμότατον, καίτοι τὸ ἀνὰ ῥῖνα θερμότατον οὐκ ἔχει αὐτῷ προσκείμενον, εἴτε θανατῶδές ἐστι, εἴτε μή. οὐ γάρ ἐστι θανατῶδες εἰ μὴ προηγήσαιτο τὸ εἰρημένον ὑφ᾽ Ἱπποκράτει, πρότερον δὲ ῥὶς, ψυχρὸν πνεῦμα ἀφίησιν. ἐὰν γὰρ ἄνευ τούτου γένηται θερμότατος ἀτμὸς κατὰ τὸ δέρμα, δύναται λεπτομερῶν χυμῶν ἐν θερμῷ πυρετῷ σύμπτωμα γεγονέναι, μὴ πάντως θανάτου σημεῖον. ἀλλ᾽ ἔστιν ὅτε καὶ πρὸς ἀγαθοῦ διαπνεομένων τῶν λελεπτυσμένων χυμῶν, οὓς, ὅταν ὦσι παχυμερέστεροι, δι᾽ αἰσθητῶν ἐκκρίσεων ἡ φύσις ἐκκενοῖ τοῦ σώματος, ἱδρῶτάς τε κενοῦσα, καὶ πλῆθος οὔρων, ἢ διαχωρημάτων, ἢ ἔμετον ἐπάγουσα. ἔσται τοιγαροῦν τὰ πάντα τῶν εἰρημένων θανατωδῶν σημείων ζωτικὰ, τὸ μήτε ψυχρὸν ἐκπνεῖν, μήτ᾽ ἐκκενοῦσθαι διὰ τοῦ δέρματος ἀτμὸν θερμόν. εἰκότως δὲ καὶ οἱ περὶ τὸν Ζεῦξιν ἰδίᾳ τὰ σημεῖα θανατώδεα προεξηγησάμενοι, περιεῖλον ὅλην τήνδε τὴν λέξιν ἐν ᾗ φησι, τὰ ζωτικὰ ἐναντία πρὸς ὑγείαν.

GALENI COMMENTARIUS.


Hoc illis manifeste repugnat, qui dictum fuisse putant, mortiferum esse signum, in naso calidissimam febrem: nam tanquam respondens verbis illis supradictis, signa mortifera, nunc subjunxit, *vitalia verò contraria.* Atqui secundùm eorum explanationem his verbis, *mortifera signa*, conjuncta non sunt hæc ita scripta, per nares calidissimum. Verùm ista
B verba, per nares calidissimum, sibi adjectum non habent, sit-ne lethale signum, an non sit: neque enim mortiferum est, nisi quod ab Hippocrate dictum est, præcesserit, prius nares frigidum spiritum reddunt: nam si citra hoc vapor calidissimus per cutem emanet, potest id quidem succorum calidiore febre, attenuatorum symptoma esse, non mortis prorsus indicium. Quinimmo interdum & extenuati humores utiliter difflantur, quos, quum pinguiores sunt, per sensiles excretiones natura è cor-
C pore propellit, sudores citans, aut lotii, dejectionumve multitudinem, aut vomitum movens. Erunt igitur omnia contraria prædictis mortiferis signis, vitalia neque frigidum expirare, neque per cutim calidum vaporem exhalare. Haud abs re autem, & Zeuxis sectatores priùs separatim, mortifera signa, interpretati, omnia hæc verba deleverunt, quæ ita se habent, vitalia autem contraria ad sanitatem.



ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ
ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ
ΥΠΟΜΝΗΜΑ ΠΕΜΠΤΟΝ.
ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

HIPPOCRATIS
EPIDEMIORUM
LIBER SEXTUS,
ET GALENI IN EUM
COMMENTARIUS QUINTUS.
SECTIO QUINTA.


HIPPOCRATIS TEXTUS I.

*Orborum naturæ Medicæ.*

GALENI COMMENTARIUS.

CRebrò superiùs à me dictum est, hujuscemodi lectiones, per quas, quod dicitur, permutatur, sed eadem prorsus sententia permanet, dijudicare mihi non esse propositum, quippe qui longitudinem commentariorum vitare instituerim: verum & nunc idipsum recordationis causa dictum volui, quandoquidem & in sequentibus nihil præterea de hujuscemodi lectionibus afferam. Verborum igitur sententia, si quis simpliciter, quod dicitur accipiat, perspicua est, suam ipsius mentem Hippocrate declarante, se videlicet non esse ex illorum cœtu, qui naturam arte carere arbitrantur, sed eam esse artificem, animalibusque consulere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

A Ούσων, φύσιες ἰητροί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙρηται δὲ πολλάκις, ὡς τὰς τοιαύτας γραφάς, ἐν αἷς ὑπαλλάττεται τὸ λεγόμενον, ἀλλ' ἡ διάνοια μένει κατὰ πᾶν ἡ αὐτὴ κρίνειν οὐ πρόκειταί μοι, φυλαττομένῳ τὸ μῆκος τῶν ὑπομνημάτων, ἀλλὰ καὶ νῦν αὐτὸ τοῦτο χάριν ἀναμνήσεως εἶπον,
B ἐπεὶ καὶ κατὰ τὰς μελλούσας λέγεσθαι ῥήσεις, οὐδὲν ἐρῶ περὶ τὴν τοιαύτην γραφήν. ὁ τοίνυν τῆς λέξεως νοῦς, εἰ μὲν ἁπλῶς τις ἀκούοι τοῦ λεγομένου σαφής ἐστι, δηλοῦντος τοῦ Ἱπποκράτους τὴν ἑαυτοῦ γνώμην, ὡς οὐκ εἴη τοῦ χοροῦ τῶν ἄτεχνον ἡγουμένων εἶναι τὴν φύσιν. ἀλλὰ τεχνικήν, καὶ προνοητικὴν τοῦ ζώου

δύναμιν δὲ προσήκει νῦν ἀκούειν ἐκ τοῦ τῆς φύσεως ὀνόματος ἐνοικοῦσαν αὐτοῖς τοῖς σώμασι τοῖς διοικουμένοις ὑπ' αὐτῆς, ἧς τὴν οὐσίαν ἥτις ἐστὶν, οὐκ ἀναγκαῖον ἐν τῷ παρόντι ζητεῖν, ὥσπερ οὐδὲ τῆς ψυχῆς ἡμῶν, ἢ τοῦ κατ' αὐτὴν ἡγεμονικοῦ. δεῖται γὰρ οὐδενὸς αὐτῶν ἐνεστηκὼς λόγος, ἀλλὰ μόνον ὅτι καλῶς ὑπελάμβανεν ὁ Ἱπποκράτης τὴν φύσιν ἰατρὸν εἶναι τῶν νοσημάτων. ἴσως γάρ τις οἰήσεται τὴν ἰατρικὴν τέχνην ἀναιρεῖσθαι τῷ λόγῳ τούτῳ. διὰ τοῦτ' οὖν οὐχ ἁπλῶς ἀκούειν χρὴ, νούσων δὲ φύσιες ἰητροί. βαθύτερον γὰρ νόημα κατὰ τὴν λέξιν τήνδε περιέχεται, διαρθρώσεως ἀκριβεστέρας δεόμενον, ἣν (οὐ) πρόσθεν ἐποιησάμην ἑτέρωθι. γινώσκοντες δέ μου τὴν προαίρεσιν οἱ ἑταῖροι, οἷς χαριζόμενος ἐπὶ τὴν ἐξήγησιν ἀφῖγμαι τοῦ προκειμένου γράμματος, ἀναμνήσω καὶ νῦν, ὡς ἕκαστον τῶν δογμάτων τῶν ἀποδείξεως δεομένων, ἅπαξ που διελθὼν τελέως, οὐκ ἐν ἑτέρῳ βιβλίῳ γράφω, μακρόλογον περιττὴν εἰδὼς γινομένην, εἰ περὶ τῶν αὐτῶν λέγει τις τὰ αὐτὰ, καθάπερ ἔνιοι πεποιήκασι τῶν νεωτέρων ἰατρῶν, οὐ δὶς μόνον, ἢ τρὶς, ἀλλὰ καὶ τετράκις, ἢ πλεονάκις ἔτι περὶ τῶν αὐτῶν τὰ αὐτὰ γράψαντες ἐν πολλοῖς ὑπομνήμασί τε καὶ συγγράμμασιν. ἐγὼ δὲ ἅπαξ ἀποδείξας τι, χρῶμαι τοῦ λοιποῦ κατὰ τὰ ἄλλα βιβλία, τὸ κεφάλαιον μόνον ἀναμιμνήσκων, ὡς ἀποδέδεικταί μοι κατὰ τόδε τὸ γράμμα, καὶ νῦν οὖν ἅπαξ ποιήσομαι τὸν περὶ τῆς φύσεως λόγον. ὅπως τέ φησιν αὐτὴν ἰατρὸν εἶναι τῶν νοσημάτων ὁ Ἱπποκράτης, ὅτι τε τὴν ἰατρικὴν τέχνην οὐδαμῶς ἀναιρεῖσθαι συμβέβηκεν ὑπὸ τοῦ δόγματος τούτου. σὺ δὲ ὁ τοῖσδε τοῖς ὑπομνήμασιν ὁμιλῶν, ἤδη μοι πρόσεχε τὸν νοῦν ἀρχομένῳ τοῦ λόγου, τὰς νόσους ὑπὸ τροφῆς ἐν καιρῷ δοθείσης, ποιᾶς, καὶ ποσῆς, αἰονήσεώς τε, καὶ καταπλασμάτων, καὶ κλυστήρων, καὶ φλεβοτομίας, ὅσα τἆλλα τοιαῦτα, θεραπεύεσθαί τις λέγων, οὐκ ἂν ψεύσαιτο, καθάπερ οὐδ' ὁ φάσκων ὑπὸ τῶν ἰατρῶν θεραπεύεσθαι τὰς νόσους. οὐδ' ὁ τὴν ἰατρικὴν τέχνην θεραπευτικὴν εἶναι τῶν νοσούντων, ὥσπερ δὲ ὁ ταῦτα λέγων, οὐκ ἂν ὡς ψευδόμενος ἐλεγχθείη. κατὰ τὸν αὐτὸν τρόπον, οὐδ' ὁ τὴν φύσιν ἐπὶ σωτηρίᾳ τοῦ ζώου πράττειν πάντα ἡγούμενος. ἕπεται δὲ τούτῳ καὶ τὸ τὰς νόσους ἐκείνην πρώτην ἰᾶσθαι, καὶ μάλισθ' ὅταν ἐναργῶς ὑγιάζῃ τὸν ἄνθρωπον, ἱδρῶτας χέασα πολλοὺς, ἢ δι' οὔρων, ἢ διὰ γαστρὸς, ἢ δι' ἐμέτων κενώσασα τοὺς λυποῦντας χυμούς. τί τοίνυν τούτων ἁπάντων ἀξιώματι πρῶτόν ἐστιν, ἢ τι δεύτερον, ἢ τι τρίτον, ὅσα ποιεῖν ὑγίειαν ἔφαμεν, ἐπισκέψασθαι προσήκει. καὶ μάλισθ' ὅτι δὲ καὶ ἄλλα τινὰ προσέρχεται δι' ὧν αἱ νόσοι θεραπεύονται, περὶ ὧν ἁπάντων τῆς κατὰ τὴν ἀξίαν τάξεως, ἄμεινον ἐγνῶσθαι. δοκεῖ γὰρ ἡμῖν ἄμεινον μὲν λέγεσθαι, καὶ ἡ φύσις ἰᾶσθαι τὰς νόσους. ὀρθῶς δὲ, καὶ ἡ ἰατρικὴ, καὶ ὁ ἰατρός. ἀληθῶς δὲ, καὶ ὁ ὑπηρέτης αὐτοῦ, καὶ ἡ φλεβοτομία, καὶ ἡ δι' αὐτὴν γινομένη ῥύσις τοῦ αἵματος. ἴσως δ' ἀξιώσει τις καὶ τὸν μάγειρόν τι συντελεῖν, καὶ τὸν ὑφάντην, καὶ τὸν οἰκοδόμον, καὶ τὸν χαλκέα, καί τινας ἄλλους τεχνίτας, ὧν τοῖς ἔργοις εἰς ὑπηρεσίαν χρώμεθα τῶν παρασκευαζομένων τοῖς ἀνθρώποις ὑγιείας ἕνεκα, ἀλλὰ τῶν τοιούτων, ἔνια μὲν

A Verùm hoc loco per id nomen, *naturæ*, vim quandam intelligere convenit in his ipsis corporibus, quæ ab ea reguntur, inhabitantem: cujus essentia quænam sit, in præsentia quærere, sicuti & de nostra anima, aut de ejus principe parte minimè necesse est: nihil enim istorum præsens oratio postulat; sed illud solum, rectè scilicet Hippocratem opinatum fuisse, naturam esse morborum medicam. Forsan enim quispiam hac oratione artem medicam tolli suspicabitur: quocirca non simpliciter verba B hæc accipienda sunt, morborum naturæ medicæ, altior enim sensus accuratiore indigens explicatione hujuscemodi in verbis delitescit: neque dum usquam superius hanc rem explanavimus. Amicis autem nostrum institutum cognoscentibus, quibus gratificantes ad hujusce Libri interpretationem accessimus, & nunc in memoriam revocabimus, quodque decretum efficaci probatione indigens, quum alicubi semel exquisitè tractavi, me alio in Libro iterum non scribere, loquacitatem videlicet supervacuam accidere cognoscentem, si iisdem de rebus quispiam eadem repetat: quemadmodum nonnulli C juniores Medici fecerunt, non bis modò, aut ter; sed quater, vel etiam sæpius in multis Commentariis & Libris eadem de iisdem conscribentes. At ego aliquid cum semel rationibus declaravi, posteà reliquis in Libris eo utor, solius tantùm summæ mentionem faciens, admonensque à me alio in volumine ostensum esse. Et nunc igitur semel de natura sermonem faciam, & quare ipsam morborum esse curatricem Hippocrates asserat, & quod ab hoc decreto nequaquam artem medicam everti, tollique contin- D gat. Tu verò qui hæc nostra Commentaria evolvis, jam mihi orationem exordienti animum adverte. Morbos ab alimento, congruenti qualitate & copia, in tempore exhibito, ab humido fomento, à cataplasmatibus, à clysteribus, à venæ sectione, & à quibusque id genus aliis, propulsari, si quis dicat, non utique mentietur, sicut neque ille qui à Medicis morbos curari asseveret, nec qui artem medicam laborantium sanatricem esse testetur. Quemadmodum verò hæc prædicans, ut mendax reprehendi non poterit, E eadem sane ratione neque ille, qui naturam servandi animalis causâ omnia administrare existimet. Hoc verò & illud consequitur, eam primam languoribus mederi, & maxime quum evidenter hominem sanat, sudorem copiosum profundens, aut per lotium, aut per dejectiones, aut per vomitus, infestos humores ejiciens. Quodnam igitur dignitate primarium sit, quod secundas, quod tertias habeat inter hæc omnia, quæ sanitatem facere diximus, contemplari convenit, eo etiam magis, quod & alia quædam, per quæ morbi curantur, accedunt, quorum omnium pro dignitate ordinem internosse præstiterit. Nobis F enim melius dici videtur, & naturam morbos medicari, rectè verò, & artem medicam, & medicum: verè quoque & ejus ministrum, & venæ scissuram, & per ipsam factum sanguinis profluvium. Fortassis autem quispiam putaverit, & coquum aliquid conferre & textorem, & ædificatorem, & ferrarium fabrum, & alios quosdam artifices, quorum opificiis utimur ad eorum ministrationem, quæ hominibus sanitatis causâ præparantur. Verùm istorum quædam

auxiliorum materiæ, non auxilia sunt: nonnulla verò instrumenta auxiliantibus idonea, sed tunc auxilia fiunt, quando in tempore, atque ut decet, ea Medici applicant. Nam vinum ægrotis propinatum si juuerit, ejus propinatio auxilium est: at si importunè oblatum, delirium aut phrenitida concitet, tunc morbifera, non salubris causa, neque auxilium fuerit. Quis igitur est faciendi auxilii auctor? occasionis scilicet inventor. Quo nomine autem hunc Græci appellant? nonne & hoc hominibus patet, medicum scilicet ipsum appellari? Quapropter Medicus vino potior est ad naturalem factitiamque sanitatem. Etenim vinum in tempore exhibitum, & temperanter epotum rectè valentibus prodest: languores autem, quum opus est, assumptum discutit. Cæterùm Medicus non quòd animal sit, aut pedestris, aut bipes, aut rationis particeps, aut civilis, eo cujusque materiæ tempus idoneum, ac modum novit, sed quoniam artem salubria, atque morbosa distinguentem addidicit: nam si per illa hæc nosset, omnes plane homines eandem callerent scientiam. Quare dignitate prior Medicis ars est, per quam Medici fiunt, nam ejus vi illi utentes, morbos pellunt. Sed quam rationem materia, atque instrumenta ad Medicum ejusque artem, eandem ipse rursum atque ars, ad ejus qui curatur, naturam habent. Illa nanque est omnia congruentia in animalium corporibus faciens, & alens quidem cum alimento opus est: sibi autem sanguinem præparans, per quem alimenti egenas particulas nutriat: atque iterum, ut sanguis ipse creari possit, cibum in ventriculo præparans atque conficiens. Quod si devorata cibaria neque rectè concocta sint, neque digesta, neque in sanguinem versa, neque alendarum partium vim invenerint, statim mehercule, neque corporis nostri alimentum fuisse dicentur. Quemadmodum verò ad nutriendas partes refectionis egentes ipsa nutriens facultas longe princeps causa est, eodem sane pacto, & ventriculi vis ad cibos concoquendos, & jecoris venarumque facultas ad concoctum in sanguinem convertendum sese habent. Verumenimverò cuncta me naturæ opera particulatim nunc recensere necesse non est: Nam memoria repetere satis fuerit, in Commentariis de naturalibus viribus, omnes naturæ communes facultates fuisse explicatas, numero quatuor, quibus animal regens omnia molitur, ac perficit: primam quidem propriorum attractricem; secundam verò, horum ipsorum commutatricem, & concoctricem, tertiam utilium retentricem, & quartam, alienorum expultricem. His itaque potestatibus non modò sanum animal tuetur, sed etiam ægro sanitatem restituit. Et ex his abunde constat, quantum sanitatis effectrices causas natura dignitate antecellat; omnia enim reliqua materiam ipsi parant, & suggerunt: quemadmodum exterius quoque artem aliam alii ministrantem videmus. Textori nanque radios textorios, & pectines lignarius faber molitur: huic verò ligna, materiæ excisor: securim item, & dolabram ferrarius artifex: ferrario autem ipsi ferrum metallorum effossor comparat: rarumque est artem effectivam invenire nulla alia egentem, quæ aut instrumenta fabricetur, aut materiam operi ido-

A ὕλαι βοηθημάτων, οὐ βοηθήματά εἰσιν. ἔνια δ' ὄργανα τοῖς βοηθοῦσιν ἐπιτήδεια. βοηθήματα δὲ γίνεται διὰ τοὺς ἐν καιρῷ δέοντι, καὶ ὡς προσήκει, χρωμένους αὐτοῖς. ὅταν μὲν γὰρ ὠφελήσῃ δοθεὶς αὐτοῖς οἶνος, ἡ δόσις αὐτοῦ βοήθημά ἐστι. κἂν δ' ἀκαίρως προσενεχθεὶς, παραφροσύνην, ἢ φρενῖτιν ἐργάσηται, νοσῶδες αἴτιον, οὐχ ὑγιεινὸν, οὐδὲ βοήθημα γίνεται. τίς οὖν αἴτιός ἐστι τῆς γενέσεως τοῦ βοηθήματος; ὁ τὸν καιρὸν εὑρίσκων δηλονότι. τίνα δὲ τοῦτον οἱ Ἕλληνες ὀνομάζουσιν; ἢ καὶ τοῦ-
B το πᾶσι εὔδηλον ὁ ἰατρὸς ὅπως καλεῖται; ὥστε ἰατρὸς, οἴνου κυριώτερος εἰς ὑγιείαν φυσικήν τε καὶ ποίησιν, ὑγιαίνουσί τε γὰρ ὠφέλιμος οἶνος γίνεται, καιρῷ, καὶ μέτρῳ πινόμενος. ἰᾶται δὲ τὰς νόσους, ὅτε χρὴ προσφερόμενος. ἀλλ' ὅγε ἰατρὸς οὐχ ὅτι ζῶόν ἐστι, ἢ ὅτι πεζὸν, ἢ ὅτι δίπουν, ἢ ὅτι λογικὸν, ἢ πολιτικὸν, ἐπίσταται καιρὸν, καὶ μέτρον ἑκάστης τῶν ὑλῶν, ἀλλ' ὅτι τέχνην μεμάθηκεν ὑγιεινῶν τε καὶ νοσωδῶν γνωστικήν. εἰ γὰρ δι' ἐκείνων ταῦτ' ἐπίστατο, πάντες ἄνθρωποι τὴν αὐτὴν ἐπιστήμην εἶχον, ὥστε προτέρα κατὰ τὸ ἀξίωμα,
C τῶν ἰατρῶν ἐστὶν ἡ τέχνη δι' ἣν ἰατροὶ γίνονται. τῇ γὰρ ἐκείνης δυνάμει χρώμενοι, τὰς νόσους θεραπεύομεν. ἀλλ' ὃν ἔχει λόγον ὕλη καὶ τὰ ὄργανα, πρὸς ἰατρόν τε καὶ τὴν τέχνην αὐτοῦ, τοῦτον αὖ πάλιν αὐτός τε, καὶ ἡ τέχνη πρὸς τὴν ἐν τῷ θεραπευομένῳ φύσιν. ἐκείνη γάρ ἐστι ἡ πάντα τὰ δέοντα πράττουσα κατὰ τὰ τῶν ζώων σώματα, καὶ τρέφουσα μὲν, ἡνίκα θρέψεως δεῖται, παρασκευάζουσα δ' αὐτὴ τὸ αἷμα δι' οὗ θρέψει τὰ τροφῆς δεόμενα μόρια. τῷ δ' αἵματι πάλιν αὐτῷ πρὸς τὸ γεννηθῆναι πα-
D ρασκευάζουσα τὴν ἐν τῇ γαστρὶ πεττομένην τροφήν. εἰ δέ γε καταποθέντα τὰ σιτία, μήτε πεφθείη καλῶς, μήτ' ἀναδοθείη, μήθ' αἱματωθείη, μήτε τὴν τῶν τραφησομένων δύναμιν εὕροι, τὴν ἀρχὴν, οὐδ' ἂν τροφὴ λέγοιτο γεγονέναι τοῦ σώματος ἡμῶν. ὥσπερ δ' εἰς τὸ τραφῆναι τὰ θρέψεως δεόμενα μόρια κυριωτάτη τῶν αἰτιῶν ἐστὶν ἡ τρέφουσα δύναμις αὐτὰ, κατὰ τὸν αὐτὸν τρόπον ἡ μὲν ἐν τῇ γαστρὶ, πρὸς τὴν τῶν σιτίων πέψιν, ἡ δ' ἐν ἥπατί τε καὶ φλεψὶ, πρὸς τὴν τοῦ πεφθέντος αἱμάτωσιν. οὐ μὴν οὐδ' ἀναγκαῖον ἅπαντά με τὰ κατὰ μέρος ἔργα τῆς φύσεως διέρχεσθαι νῦν. ἀρκεῖ γὰρ ἀναμνῆσαι μόνον, ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἐδείχθησαν αἱ καθόλου δυνάμεις αὐτῆς, αἷς ἅπαντα τὰ κατὰ τὸ ζῶον ἐργάζεται, τέτταρες οὖσαι. πρώτη μὲν, ἡ τῶν οἰκείων ἑλκτικὴ, δευτέρα δὲ, ἡ τούτων αὐτῶν ἀλλοιωτική τε, καὶ πεπτικὴ, καὶ τρίτη, ἡ καθεκτικὴ τῶν οἰκείων, καὶ τετάρτη τῶν οὐκ οἰκείων ἀποκριτική. ταύταις οὖν ταῖς δυνάμεσιν οὐ μόνον ὑγιεινὸν φυλάττει τὸ ζῶον, ἀλλὰ καὶ νοσῆσαν ὑγιάζει, κἀκ τῶνδε δῆλον ὅσον ἀξιώματι προὔχει τῶν ποιητικῶν ὑγιείας αἰτίων. ἅπαν-
F τα γὰρ τἆλλα παρασκευάζει τὴν οἰκείαν ὕλην αὐτῇ, καθάπερ ἐκτὸς ὁρῶμεν ἄλλην τέχνην ἄλλῃ ὑπουργοῦσαν. ὑφάντῃ μὲν γὰρ κερκίδας, καὶ ἱστοὺς, καὶ κτένας ὁ τέκτων παρασκευάζει. τούτῳ δὲ, ξύλα μὲν ὁ ὑλοτόμος, ἀξίνην δὲ, καὶ σκέπαρνον ὁ χαλκεὺς, τῷ χαλκεῖ δ' αὐτῷ τὸν σίδηρον ὁ μεταλλεύς. καὶ σπάνιόν ἐστιν εὑρεῖν τέχνην ποιητικὴν, οὐδεμιᾶς ἑτέρας δεομένην, ἢ ὄργανα παρασκευαζούσης, ἢ ὕλην ἐπιτήδειον εἰς τὸ δημιουρ-

γνώριμον. οὕτως οὖν καὶ τῷ ἰατρῷ πολλαὶ τέχναι παρασκευάζουσι τὰς ἐπιτηδείους ὕλας, ὥσπερ αὐτὸς αὖ πάλιν τῇ φύσει μετά τινων ὑπηρετῶν. ἀνάλογον γάρ ἐστιν ὡς ἀρχιτέκτων πρὸς οἰκοδόμους, καὶ τέκτονας, καὶ τοὺς ἄλλους τεχνίτας, ὧν ἐστι ἀρχικὸς ὁ ἰατρὸς πρὸς ὑπηρέτας. εἰσὶ δὲ οὗτοι ῥιζοτόμοι, μυρεψοί, μάγειροι καταπλάττοντες, ἐπιβρέχοντες, κλύζοντες, ἀποσχάζοντες, φλεβοτομοῦντες, σικυάζοντες. εἰ δὲ ἡμεῖς καὶ ταῦτα μεμαθήκαμέν τε καὶ πράττομεν, ὅμοιόν τι ποιοῦμεν ἐρέσσειν ἐπισταμένῳ κυβερνήτῃ, καὶ ῥᾳδίως ἐπ' ἄκρου ἀναβῆναι δυναμένῳ τοῦ ἱστοῦ, ὅσα τ' ἄλλα τῶν ναυτῶν ἐστὶν ἔργα γινώσκοντί τε καὶ πράττοντι. καὶ γὰρ στρατηγοὶ πολλοὶ πολλάκις, καὶ τοξεύειν, καὶ ἀκοντίζειν, καὶ μάχεσθαι διὰ ξιφῶν τε καὶ δοράτων, ἐπίστανταί τε καὶ πράττουσι, καὶ βασιλεῖς ὡσαύτως. ἀλλ' οὐχ ἡ βασιλεὺς, ἢ στρατηγὸς ἦν Ἀλέξανδρος ὁ Μακεδὼν, ἢ Φίλιππος ὁ πατὴρ αὐτοῦ, ταῦτα τὰ τῶν στρατιωτῶν ἔπραττον, ἀλλὰ καθ' ἑτέρας τέχνας ὑπηρετικὰς τῇ στρατηγικῇ τε, καὶ βασιλικῇ, καὶ τοίνυν καὶ ἡμεῖς, ᾗ μὲν ἰατροὶ, γινώσκομεν ἑκάστου βοηθήματος ποιότητά τε καὶ ποσότητα, καὶ καιρὸν, καὶ τρόπον χρήσεως, ᾗ δὲ ὑπηρέται φλεβοτομοῦμεν, καὶ σικυάζομεν, καὶ τὰ ἄλλα διὰ τῶν χειρῶν ἐνεργοῦμεν. ἀξιώματι τοιγαροῦν, ἡ μὲν ἰατρικὴ προέχει τῶν ἰατρῶν ἐστὶν, ὁ δὲ ἰατρὸς, τῆς ὑπηρετικῆς τέχνης, ἐκείνη δὲ, τῶν ὑπηρετῶν. οἱ δὲ ὑπηρέται τῶν παρασκευαζουσῶν αὐτοῖς, τά τε ὄργανα, καὶ τὰς ὕλας τῶν τεχνῶν, ἐκεῖναι δὲ ἐργαζομένων τὰ κατὰ ταύτας τεχνιτῶν, αὐτοὶ δ' οἱ τεχνῖται τῶν παρασκευαζομένων ὑλῶν τε καὶ ὀργάνων. ἀνάπαλιν τοίνυν ἕνεκα μονιμωτέρας γνώσεώς τε, καὶ μνήμης τῷ καταλόγῳ τῶν τεχνῶν ἀκόλουθον, ἐσχάτους μὲν εἰς ὑγείας φυλακὴν καὶ ποίησιν εἶναι τοὺς κατασκευάζοντας ἡμῖν κλυστῆρας, καὶ φλεβότομα, καὶ σμίλας, καὶ φολίδας, καὶ κλυστῆρας, καὶ τἄλλα τῆς ἰατρικῆς τέχνης ὄργανα. σὺν αὐτοῖς δὲ καὶ τοὺς τὰς ὕλας παρασκευάζοντας, οὓς ὀνομάζουσι ῥιζοτόμους, καὶ βοτανικοὺς, καὶ τὰ ἐκ τῶν μετάλλων, ὅσα τἄλλα τοιαῦτα, παρέχοντας. ἀνωτέρω
ὧν δὲ τούτων, τὰς τέχνας αὐτῶν, ὡς ἀνωτέρω τοὺς ὑπηρέτας τῶν ἰατρῶν καὶ τούτων ἀνωτέρω, τὴν τέχνην αὐτῶν, ἐφ' ᾗ τοὺς ἰατροὺς, εἶτα τὴν ἰατρικὴν αὐτὴν, ἥ τις πάλιν ὑπηρετεῖ τῇ φύσει. καὶ τῶν γε τῆς φύσεως αὐτῆς δυνάμεων, ἔνιαι μέν εἰσι πρῶται καθ' ἃς τὸ ζῷον ἐν τῇ ζωῇ διαμένει, τὸ τελεώτατον ἀξίωμα πρὸς τὴν ἀρίστην ζωὴν τοῦ σώματος ἔχουσαι. καλῶ δὲ ἀρίστην ζωὴν τὴν ἐν ὑγιείᾳ δηλονότι, μοχθηρὰ γὰρ ἡ ἐν νόσοις. ἕτεραι δ' εἰσὶ τούτων ὑπηρετικαὶ δυνάμεις, εἶτ' ἐκείνων πάλιν ἄλλαι. καὶ τοίνυν ἐπεὶ τὸν κατάλογον ἁπάντων τῶν πρὸς ὑγείαν τε καὶ ζωὴν ἀναγκαίων τεχνῶν τε καὶ δυνάμεων, ἐν τῷδε τῷ λόγῳ προὐθέμην εἰπεῖν, ἑτέρωθί γε μηδαμόθι διεληλυθὼς, οὐκ ὀκνήσω καὶ τὰ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων ἀξιώματα προσθεῖναι. πρῶται μὲν οὖν εἰσιν αἱ τὴν ὑγιεινὴν συμμετρίαν φυλάττουσαι τῷ ζῴῳ, κατὰ πόσον τε καὶ ποιόν. ἐπεὶ γὰρ οὐκ ἔστι μόνιμος ἡ οὐσία τοῦ σώματος ἡμῶν, οὔτε κατὰ τὸ ποσὸν, οὔτε κατὰ τὸ ποιὸν, ἀλλ' ἡ μὲν ποσότης μειοῦται κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. ἡ δὲ ποιότης ἀλλάττεται, ἑπομένης ἀεὶ τῆς κράσεως, οὐ μόνον ἐκ τοῦ περιέχοντος, ἀλλὰ καὶ ἐξ ἡμῶν, ὡς ἐν τοῖς ὑγιεινοῖς ἐπιδέδεικται. πρὸς μὲν τὴν τοῦ ποσότητος ἐπανόρθωσιν, ἡ θρεπτικὴ δύναμις ἡμῖν ἐστι, πρὸς δὲ τῆς ποιότητος, ἥ τε ἀναπνοὴ, καὶ ἡ καθ' ὅλον τὸ σῶμα διαπνοή. δεομένων δὲ ὕλης οἰκείας τῶν

A neam reddat. Ita ſane & Medico multæ artes aptas materias præparant: perinde ut ipſe rurſum naturæ cum quibuſdam miniſtris ſuppeditat. Quam enim proportionem architectus erga ædificatores, lignarioſque fabros, & alios quibus imperat artifices, eandem & Medicus erga miniſtros ſuos gerit. Iſti verò ſunt Herbarii, unguentarii, coqui, cataplaſmata adhibentes, humore conſpergentes, clyſterem ſuffundentes, ſcarificantes, venam ſcindentes, cucurbitulas affigentes. At ſi nos etiam hæc didicimus, & facimus, perinde facimus, atque gu-
B bernator remigandi peritus, & facile ſummum malum conſcendere volens, & omnia alia nautarum munera cognoſcens, & exequens. Etenim multi Imperatores ſæpe, & arcu uti & jaculari, & pugnare gladio, haſtaque ſciunt, & faciunt, & reges pariter: ſed non ut rex, ut Imperator erat Alexander Macedo: aut ejus pater Philippus, ſed per alias artes, imperatoriæ, atque regiæ inſervientes, hæc militaria munera obibant. Itaque & nos ut Medici, cujuſcunque auxilii qualitatem, quantitatem, occaſionem, & utendi modum cognoſcimus: ut
C miniſtri verò, venam reſcindimus, & cucurbitulas admovemus, & reliqua manibus operamur. Dignitate igitur ars medica Medicis præſtat, Medicus arti ſervienti, illa miniſtris, miniſtri artibus ſibi inſtrumenta materiaſque parantibus illæ artificibus per ipſas agentibus, artifices verò præparatis materiis atque inſtrumentis. Converſo igitur ordine firmioris notitiæ, atque memoriæ causâ, enumerandis artibus accidit, ad ſervandam efficiendamque ſanitatem nobilitate ultimos eſſe, qui nobis clyſteres, ſcalpella, ſpecilla, forfices, & reliqua medicæ artis inſtrumenta fabricantur: cum his & eos qui
D materias præparant, quos radicum exciſores, & herbarios vocant: necnon & qui ex metallis effoſſa, aliaque id genus, præbent: ſupra hos verò, ipſorum artes, ſupra quos & miniſtros Medicorum, his quoque ſuperiorem ipſorum artem, ea ſuperiores Medicos eſſe: Medicis artem medicam, quæ rurſum naturæ miniſtra eſt. Atqui inter ipſius naturæ facultates nonnullæ quidem ſunt primariæ, per quas ſcilicet animal in vita ſervatur, ſummam nobilitatem ad optimam corporis vitam poſſidentes: optimam autem vi-
E tam nomino, quæ in ſanitate videlicet agitur: prava enim in morbis vita eſt: alteræ ſunt verò iſtarum miniſtræ facultates, deinde illarum item aliæ. Itaque poſteaquàm hoc in ſermone artes omnes, ac poteſtates ſanitati vitæque neceſſarias, nunquam alibi eas proſecutus recenſere conſtitui, neque regentium nos poteſtatum dignitates adjicere me piguerit. Primæ igitur ſunt ſalubrem animantis moderationem in quali & quanto conſervantes. Quum enim corporis no-
F ſtri ſubſtantia, nec magnitudinem, nec qualitatem eandem retineat, ſed magnitudo per ſenſus latentem exhalationem dilabatur; qualitas verò, temperatura ſupra variante, permutetur non ab aere ſolùm ambiente, ſed etiam ex nobis, quemadmodum in Libris de tuenda ſanitate explicavimus, ad magnituditudinem ſarciendam altrix poteſtas in nobis ineſt: ad qualitatem corrigendam, & reſpiratio, & per totum corpus difflatio comparatæ ſunt. Sed cum nutriendæ partes idonea, ac propria materia egerent,

egerent, alia quædam in nobis vis inest, quam haud alienum fuerit, brevis ac dilucidæ doctrinæ causâ, sanguificam nominare: cui rursum alia vis præsto in ventriculo, concoctrix scilicet: omnibus autem dictis viribus communes aliæ quatuor sunt, quas paulo ante memoravi, & clarioris doctrinæ causâ propriis nominibus appellavi, attractoriam scilicet, retentricem, commutatoriam, & expultricem. Hæc igitur vos meminisse dignum puto, illud scientes, me hoc loco tantùm hunc sermonem fecisse, naturam omnium artium ad medendum primariam, atque potissimam esse declarantem.

A τρέφεσθαι μελλόντων, ἑτέρα τίς ἐστιν ἡμῖν δύναμις, ἣν οὐ χεῖρον ὀνομάσαι συντόμου καὶ σαφοῦς ἕνεκα διδασκαλίας αἱματοποιητικήν. ᾗ πάλιν ἐπιτήδειος ἑτέρα δύναμίς ἐστιν, ἡ κατὰ τὴν γαστέρα πεπτική. κοιναὶ δὲ ἁπασῶν τῶν εἰρημένων δυνάμεων ἕτεραι τέτταρές εἰσιν, ὧν ἔμπροσθεν ἐμνημόνευσα, κληθεισῶν ὑπ' ἐμοῦ σαφηνείας ἕνεκεν, ἑλκτικῆς, καθεκτικῆς, ἀλλοιωτικῆς, καὶ ἀποκριτικῆς. τούτων οὖν ἡμᾶς ἀξιῶ μεμνῆσθαι, γινώσκοντας ἐνταῦθα μόνον εἰρῆσθαί μοι τὸν λόγον τόνδε, δεικνύντα τὴν φύσιν ἁπασῶν τε-
B χνῶν πρώτην τε καὶ κυριωτάτην ἰάσεως.

HIPPOCRATIS TEXTUS II.

Adinvenit natura sibiipsi accessus non cogitatione, partim quidem ut connivere, partim verò & lingua subministrat, & id genus alia quæque. Ineruditа natura, & indocta quæ opus sunt, efficit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Ἀνευρίσκει ἡ φύσις ἑαυτῇ τὰς ἐφόδους, οὐκ ἐκ διανοίης. τὰ μὲν οἷον τὸ σκαρδαμύσσειν, τὰ δὲ, καὶ ἡ γλῶσσα ὑπουργεῖ, καὶ ὅσα ἄλλα τοιαῦτα. ἀπαίδευτος ἡ φύσις ἐοῦσα, καὶ οὐ μαθοῦσα, τὰ δέοντα ποιεῖ.

C

GALENI COMMENTARIUS.

Accessus naturæ appellavit perinde ac si & vias, aut impetus ad agendum dixisset, non, ut nos prius mente volventes, & prius eligentes facimus, ita & ipsa faciente. Connivere igitur (sic autem dicitur quum quis clausas palpebras cito iterum aperit) statim ortis animalibus, & à nullo edoctis illico inest. Certum est autem, hujusmodi actionem maximam oculis utilitatem afferre: fatigarentur enim palpebræ, si toto vigiliæ tempore, paterent, multaque exterius in oculos ipsorum tunicas violentia inciderent. Præterea longe isto admirabilius est naturæ opus, quod non vulgares modo, sed etiam plures Medici, etsi quotidie fiat, negligenter tamen prætereunt. Nam si bimo puero panem ostendens, eum hoc ipso nomine simul demonstrans, panem voces, idque bis terque feceris, puer & demonstrati corporis hanc vocem, *panis*, signum esse intellexit, ipsamque imitatus pronunciat, quum à nullo ut linguam movere oporteat, ipse didicerit. Idem verò, quod in hoc & in aliis omnibus motibus quos appellant voluntarios, ab omnibus fit animalibus. Igitur si voluerint aliquem artuum inflectere, id statim efficient, & si musculum illum à quo inflectitur membrum, non cognoscant. Eadem ratione ostendere volentia per alterum musculum extendent: sed neque quis musculus iste sit, neque quo pacto agere possit, moventi animali notū est. Quo enim modo ea cōprehendere potest, quę multis etiam medicis incognita sunt? quid dico multis, quum nonnullos musculos quidam dissectoriæ artis vel peritissimi ante nos gnoraverint, ut eum qui intra articulationem abditus poplitem incurvat: nihil minus tamen omnes homines ipsius genu articulum, simulatque voluerint, inflectunt. Quin non in solis hominibus, sed etiam in aliis cunctis animantibus, hujusmodi actionis species reperitur, usque adeo naturæ vis ad ea, quæ animalibus conducunt, rectius præstanda, qualibet arte potentior est. Quocirca & Hippocrates de palpebrarum motu, quod scilicet ipsas alteri etiam negocio incumbentes agitamus,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐφόδους ὠνόμασε φύσεως, ὡς εἰ καὶ ὁδοὺς, ἢ ὁρμὰς ἐπὶ τὰς ἐνεργείας εἶπεν, οὐχ ὡς ἡμεῖς διανοούμενοί τε καὶ προαιρούμενοι πράττομεν οὕτως γινομένας. τὸ γοῦν σκαρδαμύσσειν, ὀνομάζεται δ' οὕτως τὸ κλείσαντα τὰ βλέφαρα, διὰ ταχέων αὖθις ἀνοῖξαι, παραχρῆμα τοῖς γεννηθεῖσιν εὐθέως ὑπάρχει ζώοις ἀδιδάκτως. δῆλον δ' ὅτι τὸ ἔργον τοῦτο μεγίστην ὠφέλειαν παρέχει τοῖς ὀφθαλμοῖς. ἔκαμνέ τε γὰρ ἀνεῳγμένα τὰ βλέφαρα παντὶ τῷ χρόνῳ
D τῆς ἐγρηγόρσεως, ἐνέπιπτέ τ' ἂν ἔξωθεν αὐτοῖς πολλὰ λυμαινόμενα τοῖς χιτῶσιν αὐτῶν. τούτου δ' ἔτι θαυμασιώτερόν ἐστιν ἔργον τῆς φύσεως ὃ παρορῶσιν, οὐχ οἱ πολλοὶ μόνον, ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ πλείονες, καίτοι καθ' ἑκάστην ἡμέραν γινόμενον. ἐὰν γοῦν παιδίῳ διετεῖ δείξας ἄρτον, ὀνομάσῃς αὐτὸν τοῦτο τοὔνομα τὸν ἄρτον, ἅμα τῷ δεῖξαι, καὶ ποιήσεις οὕτω δίς που καὶ τρὶς, ὅτι τε τοῦ δεικνυμένου σώματος ἡ ἄρτος φωνὴ σημεῖόν ἐστιν, ἐνόησε τὸ παιδίον, αὐτό τε μιμησάμενον αὐτὴν φθέγγεται μὴ διδαχθὲν ὅπως
E χρὴ κινῆσαι τὴν γλῶτταν. ἀνάλογον δὲ τούτῳ, καὶ κατὰ τὰς ἄλλας κινήσεις ἃς ὀνομάζουσι προαιρετικὰς, ὑπὸ πάντων γίνεται τῶν ζώων. ἐὰν γοῦν ἐθελήσῃ κάμψαι τι τῶν κώλων, αὐτίκα τοῦτο ποιεῖ, καίτοι μὴ γινῶσκον ἐκεῖνον τὸν μῦν ὑφ' οὗ κάμπτεται. κατὰ τὸν αὐτὸν λόγον, ἐκτεῖναι βουληθὲν, ἐκτείνει δι' ἑτέρου μυός. ἀλλ' οὔθ' ὅστις ὁ μῦς οὗτός ἐστιν, οὔτε κατά τινα τρόπον ἐνεργεῖς δύναται, δῆλόν ἐστι τῷ κινουμένῳ ζώῳ. πῶς γὰρ οἷόν τε γινώσκειν αὐτὰ, ἃ μηδὲ τοῖς πολλοῖς τῶν ἰατρῶν ἐστι πρόδηλα; καίτοι τί λέγω πολλοῖς. ἐνίους γὰρ τῶν μυῶν, οὐδὲ τῶν ἀνατομικωτάτων τις
F ἔγνω πρὸ ἡμῶν. ὥσπερ καὶ τὸν κάμπτοντα τὴν ἰγνύην, ἐγκατακεκρυμμένον τῇ διαρθρώσει. ἀλλ' ὅμως ἅπαντες ἄνθρωποι κάμπτουσι τὴν κατὰ γόνυ διάρθρωσιν ἅμα τῷ βουληθῆναι. καὶ μὴν οὐ μόνον τοῖς ἀνθρώποις ὑπάρχει τὸ τοιοῦτον τῆς ἐνεργείας εἶδος, ἀλλὰ καὶ τοῖς ἄλλοις ζώοις ἅπασιν. οὕτως ἄρα τῆς φύσεως ἡ δύναμις ἰσχυροτέρα ἐστὶ πρὸς τὸ πράττειν ἁπάσης τέχνης βέλτιον, ἃ συμφέρει τοῖς ζώοις. καὶ τοίνυν Ἱπποκράτης, τὸ μὲν τῆς βλεφάρων κινήσεως, ᾗς κινοῦμεν αὐτὰ, καὶ πρὸς ἄλλην τινὰ πρᾶξιν ἔχοντες τὸν νοῦν,

ἐμνημόνευσεν ἐν τῷ φάναι, οἷον τὸ σκαρδαμύσσειν. τὸ δὲ κατὰ γλῶτταν ἐν τῷ φθέγγεσθαι, διὰ τοῦ φάναι, καὶ ἡ γλῶσσα δὲ ὑπουργέει. προελομένων γὰρ ἡμῶν ἡντιναοῦν φθέγξασθαι φωνὴν, ἡ γλῶττα πρὸς τὴν διάρθρωσιν αὐτῆς ἑτοίμως ὑπηρετεῖ. τὰ γοῦν παιδία τὰ νῦν πρῶτον ἀκούοντα τῶν δυσεκλάλων φωνῶν, οἷον τῆς, στράξ, καὶ σφίγξ, εὐθέως αὐτὰς φθέγγονται μιμούμενα, μήθ' οὕς τινας μῦς τῆς γλώσσης δεῖ κινῆσαι γινώσκοντα, μήθ' ὅπως αὐτὴν ἀνατείνειν, ἢ κλᾶν, ἢ περιάγειν, ἢ στηρίζειν ἄνω πρὸς τὴν ὑπερῴαν, ἢ τοὺς προσθίους ὀδόντας, ἢ τι μέρος ἄλλο τοῦ στόματος. ὅταν δ' εἴπῃ, καὶ ὅσα ἄλλα, τῶν προαιρετικῶν ἀναμιμνήσκει σε κινήσεων· ἐφ' ὧν, ὡς ἔφην, τὰ ζῷα πάντα, μὴ ὅτι τὰς κινήσεις τῶν μυῶν, ἀλλὰ μηδ' αὐτοὺς γινώσκοντα τοὺς μῦς, ὅμως ἅμα τῷ προελέσθαι κάμψαι τὸ μέλος ἢ ἐκτεῖναι, παραχρῆμα τοῦτο ποιεῖ, καθάπερ γε κἂν εἰς τὸ πλάγιον ἀπάγειν ἐθελήσῃ, καὶ περιστρέψαι, κἂν ἑλίξαι, κἂν ὁποσοῦν ἑτέρως κινῆσαι. διὸ καὶ τούτοις αὐτοῖς ἐπεφώνησεν, ἀπαίδευτος ἡ φύσις οὖσα, οὐ μαθοῦσα τὰ δέοντα. καλοῦνται μὲν οὖν οἱ μαθόντες ὁποιοῦν μάθημα πεπαιδεῦσθαι κατ' ἐκεῖνο, τῇ φύσει δ' ὑπάρχει πεπαιδευμένῃ τὰ μέγιστα εἶναι χωρὶς τοῦ μαθεῖν, ὥσπερ ὁ Θουκυδίδης ἐπὶ τοῦ Θεμιστοκλέους εἶπεν. οἰκείᾳ γὰρ συνέσει, καὶ οὔτε προμαθὼν εἰς αὐτὴν οὐδὲν, οὔτε ἐπιμαθὼν, τῶν δὲ παραχρῆμα, δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου, ἄριστος εἰκαστής.

mentionem fecit, dicens, *ut connivere*: motum verò, in loquendo, linguæ, per ea verba commemoravit, lingua verò & subministrat: nobis enim quanque vocem præferre volentibus lingua ad ipsam dearticulandam prompte obsequitur. Pueri igitur voces prolatu difficiles nunc primum audientes, ut strax, & sphinx, statim ipsas nos imitantes eloquuntur: neque quos linguæ musculos movere oporteat, neq; quomodo ipsam extendere, aut flectere, aut circumvolvere, aut superius palato, aut prioribus dentibus, aut alii cuipiam auris particulæ admovere, stabilireque conveniat, agnoscentes. Quum dixit autem & alia quæque voluntarias motiones, in memoriam tibi revocat: in quibus, ut dixi, animalia cuncta non solum musculorum motus, sed etiam ipsos musculos ignorantia, simulatque membrum incurvare, aut extendere voluerint, confestim id faciunt, sicut etiam si in obliquum abducere, & convertere, aut circunvolvere, sive utcunque alitér movere statuerint. Iccirco & istis ipsis dictis acclamavit, inerudita natura, non edocto, congruentia facit. Vocantur quidem quamlibet disciplinam edocti in illa esse eruditi: natura autem ita erudita est, ut maxima sine doctore noverit: qualem fuisse Themistoclem Thucydides memoriæ prodidit, ita inquiens: Propria nanque intelligentia, neque prius ad ipsam pertinens quicquam, neque posterius edoctus, & eorum, quæ de improviso incidebant, celerrimo consilio deprehensor optimus, & eorum quæ longe posterius ventura essent, perspicacissimus conjector.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Δάκρυα, ῥινῶν ὑγρότης, πταρμοὶ, ὠτὸς ῥύπος, στόματος σιάλου ἀναγωγὴ, πνεύματος εἴσοδος, ἔξοδος, χάσμη, βὴξ, λυγμὸς, οὐ τοῦ αὐτοῦ παντάπασι τρόπου.

HIPPOCRATIS TEXTUS III.

Lacrymæ, narium humor, sternutamenta, auris sordes, auris salivæ rejectio, spiritus introitus, exitus, oscitatio, tussis, singultus, non ejusdem omnino modi.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰς τὴν ἐξήγησιν τῆσδε τῆς ῥήσεως ὅσα δοκεῖ μοι κάλλιστ' ἄν τις εἰπεῖν, ἐγὼ διεξελθὼν πρότερον, οὕτω μεταβήσομαι πρὸς τοὺς ἐξηγησαμένους τὸ βιβλίον, ἅπαντας μὲν οἰομένους ἀφωρίσθαι τῆς προγεγραμμένης ῥήσεως τὴν νῦν ἡμῖν προκειμένην, ἐξηγουμένους τε τὰς λέξεις αὐτῆς ἁπάσας ὡς εἰς πρόγνωσιν διαφερούσας. ἐμοὶ δὲ φαίνεται τὸ προκείμενον ἐξ ἀρχῆς ἔτι καὶ νῦν διὰ ταύτης ὅλης κατασκευάζειν ὁ Ἱπποκράτης. προὔκειτο δὲ αὐτῷ δεῖξαι τὴν φύσιν πάντα ἐπὶ σωτηρίᾳ τοῦ ἀνθρώπου πράττουσαν. ἀρξάμενος οὖν ἀπὸ τῶν ἔργων αὐτῆς, ὅσα κατὰ τὰ σώματα τῶν ζῴων ὑγιαινόντων ἐργάζεται, καὶ διελθὼν αὐτὰ κατὰ τὴν πρὸ ταύτης ῥῆσιν, ἑξῆς ὅσα κατὰ τὰς νοσώδεις διαθέσεις, ἢ κοινὰς ὑγιαινόντων καὶ νοσούντων σωμάτων, ἐπὶ σωτηρίᾳ τοῦ ζῴου ποιεῖ, κατὰ τὸν ἐνεστῶτα λόγον ἐδήλωσεν, ὧν ἕκαστον ἐγὼ κατὰ μέρος προχειριζόμενος ἐπιδείξω, τινὰ μὲν, ὡς ἔφην, ὄντα ἴδια νοσωδῶν διαθέσεων, ἔνια δὲ κοινὰ νοσοῦσί τε καὶ ὑγιαίνουσι. καὶ νοσοῦσι γίνεται, ποτὲ μὲν ἑπόμενα τῷ πάθει τῆς κατὰ τοὺς ὀφθαλμοὺς νοσώδους διαθέσεως, ὥσπερ ὅταν φλεγμαίνωσι, ποτὲ δὲ τῆς φύσεως ἀποκρινούσης τὸ πλεο-

GALENI COMMENTARIUS.

Cum ea, quæ mihi optime ad hæc verba explananda quispiam dicere posse videtur, prius retulero, deinde ad hujus Libri Interpretes transibo: qui omnes verba hæc à superioribus disjunxerunt, omniaque ipsa singulatim tanquam ad præsentionem facientia interpretati sunt. Veruntamen nobis videtur Hippocrates propositum suum ab initio, & in præsentia per totum hunc sermonem, confirmare: ipse verò naturam salutis hominum causa omnia facientem demonstrare constituerat. Itaque ab operibus ejus exorsus, quæcunque in corporibus recte valentium animantium facit, ipsisque superiori narratione enumeratis, deinceps quæcunque in morbosis affectibus, aut sanorum, languentiumque corporum communibus; ad animalis salutem natura moliatur, præsenti oratione declarat: Quorum unumquodque ego particulatim proponens, nonnulla quidem, ut dixi, morbosorum affectuum propria, nonnulla ægrotantium, sanorumque communia esse demonstrabo. Atque in ægrotantibus lacrymæ quidem nonnunquam fiunt, morbosi oculorum affectus modum sequentes, ut quando ipsi phlegmone tentantur: nonnunquam verò natura superva-

cuum humorem expellente, aut deficientem in glandulosis ipſorum carnibus procreante. Nempe & hoc modo narium humor excrementis in cerebro collectis, per ipſas effluentibus accidit. Sternutamenta verò, & ipſa ſuper naturæ opus ſunt, ab affectibus autem morboſis proveniunt: at morboſos affectus voco, non ſolum quum aliqui jam ægrotant, ſed etiam quum quiſpiam iſtorum affectuum exoriri incipit. qualis enim in oculis eſt propriè vocata turbatio, quæ phlegmones quoddam initium eſt, tales multi morboſi affectus conſiſtere incipientes diſſolvuntur, natura vapores & ſuccos eorum opifices excernente. Verùm de his omnibus in Libris de ſymptomatum cauſis diſputatum eſt. Nam ipſorum quædam ſemper à natura fiunt, quæ morboſos affectus, aut jam naſcentes, aut futuros impediunt, ſicut alia jam factos, & abſolutos tollunt: Idque eſt, quod Explanatores fefellit, nunc ſcilicet ab Hippocrate de naturæ operibus ſermonem non credentes fieri. Sed tribus Commentariis, in quibus de ſymptomatum cauſis diſputo, totus iſte ſermo diligenter à me confectus eſt, omnia id genus ſymptomata, quibus præſens habetur oratio, à natura effectrice manare oſtendente. Aurium nanque ſordes ab illa, cerebri recrementa purgante, colliguntur. Tuſſim quoque, ut ſpiritus itinera emundarentur, fieri oſtenſum eſt: quemadmodum & ſingultus, & oſcitatio, & pandiculatio, purgamentorum expellendorum causâ proveniunt. At nonnulla in propoſita oratione dicta, neque ſymptomata omnino ſunt, ut reſpiratio, & per totum corpus diflatio. Ab ipſo verò de reſpiratione explicatum eſt, ubi ait, ſpiritus introitus, exitus; de difflatione autem poſterius: ubi iterum ſcripſit, alimenti, & ſpirationis: at ſalivæ in ore generatio inter ea, quæ providè à natura fiunt, connumeratur, quemadmodum & ſputi ex pectore, atque pulmone rejectio. De hoc verò & in præſenti parte per hæc verba dictum eſt oris ſalivæ, rejectio, & oportet quidem oris ſalivæ per ſe proferre, hanc vocem autem, *rejectio*, ſeparatim addita hac dictione, *ſputi*, quæ fortaſſe quidem ſtatim ab initio à primo Librario vitiato primo exemplari: fortaſſe & ab ipſo Hippocrate prætermiſſum eſt, utpote qui ſibiipſi quandam veluti deſignationem, & non Librum in vulgus edendum, conſcriberet. Extrema autem illa verba, non ejuſdem omnino modi, id ſibi volunt, omnia ſcilicet enumerata non eodem in omnibus dictis ſe modo habere. Ut enim oſtendimus, nonnulla ſolis rectè valentibus, quædam ſolis languentibus, quemadmodum rurſum alia utriſque eveniunt: item ex his aliqua ſolius naturæ opera ſunt. Explanatoribus autem variè hæc verba ſcribentibus paulo poſt varias eorum lectiones recitabo: Nunc verò prius, quod ex toto ſermone adhuc reſtat, in quo naturæ opera recenſet, explicabo.

A νάζον ὑγρὸν, ἢ γεννώσης τὸ λεπτὸν ἐν τοῖς κατ᾽ αὐτοὺς ἀδένων. οὕτω δὲ καὶ ἡ τῆς ῥινὸς ὑγρότης, ἐκκενουμένων δι᾽ αὐτῆς τῶν κατὰ τὸν ἐγκέφαλον ἀθροιζομένων περιττωμάτων, γίνεται. καὶ οἱ πταρμοὶ δὲ, φύσεως μὲν ἔργον ὑπάρχουσιν ἀεὶ, γίνονται δὲ ἐπὶ νοσώδεσι διαθέσεσιν. ὀνομάζω δὲ νοσώδεις διαθέσεις, οὐ μόνον ὅταν ἤδη νοσῶσιν, ἀλλὰ κἀπειδὰν ἄρχηταί τις αὐτῶν συνίστασθαι, οἵα γάρ ἐστ᾽ ὀφθαλμῶν ἐστὶν ἡ ταράξις ἰδίως ὀνομαζομένη, φλεγμονῆς ἀρχή τις οὖσα. B τοιαῦται πολλαὶ νοσώδεις διαθέσεις ἀρχόμεναι συνίστασθαι, λύονται τῆς φύσεως ἐκκρινούσης τοὺς γεννῶντας αὐτὰς ἀτμούς τε καὶ χυμούς. εἴρηται δὲ περὶ πάντων τῶν τοιούτων ἐν τοῖς περὶ τῶν συμπτωμάτων αἰτίαις. ἔνια μὲν γὰρ αὐτῶν ἀεὶ ὑπὸ τῆς φύσεως γίνεται, κωλυτικὰ δ᾽ ἐστὶ νοσωδῶν διαθέσεων, ἤτοι γεννωμένων, ἢ γεννήσεσθαι μελλουσῶν. ὥσπερ ἔνια τῶν ἤδη γεγενημένων τε καὶ συμπεπληρωμένων θεραπευτικὰ, καὶ τοῦτ᾽ ἐστὶ τὸ τοὺς ἐξηγητὰς ἀπατῆσαν, ὡς οὐκ εἴη νῦν ὁ λόγος Ἱπποκράτους περὶ τῶν τῆς φύσεως ἔργων, ἀλλ᾽ ἔν γε τοῖς τρισὶν ὑπομνήμασιν ἐν C οἷς διήρχημαι περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτιῶν, ἅπας οὗτος ὁ λόγος ἐξείργασταί μοι δεικνῦντι, τῆς φύσεως ἐνεργούσης γίνεσθαι τὰ τοιαῦτα πάντα συμπτώματα, περὶ ὧν νῦν ὁ λόγος ἐνέστησε. καὶ γὰρ ὁ τῶν ὤτων ῥύπος ὑπ᾽ ἐκείνης γίνεται καθαιρούσης ἐγκεφάλου τὰ περιττώματα, καὶ ἡ βὴξ ἕνεκα τοῦ καθαρὰς ἐργάζεσθαι τὰς ὁδοὺς τῆς ἀναπνοῆς, ἐδείχθη γινομένη, καθάπερ γε καὶ ὁ λυγμὸς, καὶ χάσμη, καὶ σκορδινισμὸς, ἐκκρίσεως ἕνεκεν περιττωμάτων. ἔνια δὲ τῶν εἰρημένων κατὰ τὴν προκειμένην ῥῆσιν, οὐδὲ συμπτώματα ὅλως ἐστὶν, ὡς γὰρ ἥ τε ἀναπνοὴ, καὶ ἡ καθ᾽ ὅλον τὸ σῶμα D διαπνοή. δεδήλωται δὲ ὑπ᾽ αὐτοῦ περὶ μὲν τῆς ἀναπνοῆς, ἔνθα φησίν. πνεύματος εἴσοδος, ἔξοδος. περὶ δὲ τῆς διαπνοῆς ἐφεξῆς, ἔνθα πάλιν ἔγραψε, τροφῆς καὶ πνοῆς. σιάλου δὲ γένεσις ἐν τῷ στόματι, τῶν προνοητικῶς ὑπὸ τῆς φύσεώς ἐστι γινομένων, ὥσπερ γε καὶ ἡ ἐκ θώρακός τε καὶ πλεύμονος ἀναγωγὴ τῶν πτυέλων. εἴρηται δὲ καὶ περὶ τούτων ἐν τῇ προκειμένῃ ῥήσει κατὰ τήνδε τὴν λέξιν, στόματος σιάλου ἀναγωγή. καὶ χρὴ τὸ μὲν, στόματος σιάλου, καθ᾽ ἑαυτὸ προσενέγκασθαι, τὸ δ᾽ ἀναγωγὴ, μετ᾽ αὐτὸ προσθέντας τῶν πτυέλου. τάχα μὲν ἡμαρτηθέντος εὐθὺς ἐν ἀρχῇ τοῦ πρώτου τῶν E ἀντιγράφων ὑπὸ τοῦ πρώτου βιβλιογράφου. τάχα δὲ αὐτοῦ τοῦ Ἱπποκράτους παραλίποντος, ὡς ἂν ἑαυτῷ τινα ὑποτύπωσιν γράφοντος, οὐ πρὸς ἔκδοσιν σύγγραμμα. τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης ῥήσεως γεγραμμένον, οὐ τοῦ αὐτοῦ παντάπασι τρόπου, τοιόνδ᾽ ἐστί. πάντα τὰ εἰρημένα πᾶσι τοῖς εἰρημένοις οὐ τοῦ αὐτοῦ τρόπου ἐστὶν, ὡς γὰρ ἐδείξαμεν. ἔνια μὲν ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων μόνων γίνεται, τινὰ δὲ, ἐπὶ μόνων τῶν νοσωδῶν διαθέσεων, ὥσπερ δ᾽ αὖ πάλιν ὑπ᾽ ἀμφοτέρων ἔνια, καί τινα μὲν αὐτῶν μόνης τῆς φύσεώς ἐστιν ἔργα. γραφόντων δὲ τήνδε τὴν λέξιν τῶν ἐξηγητῶν F πολυειδῶς, ὀλίγον ὕστερον αἱ γραφαὶ λεχθήσονται. νυνὶ δὲ πρότερον, ὅσον ἔθ᾽ ὑπόλοιπόν ἐστιν ὅλης τῆς ῥήσεως ἐν ᾗ τὰ φύσεως ἔργα κατέλεξεν, ἐξηγήσομαι.

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Οὔρου ἄφοδος καὶ φύσης, καὶ ταύτης τῆς ἑτέρης τροφῆς καὶ πνοῆς, καὶ τοῖσι θήλεσι, τούτοισι καὶ κατὰ τὸ ἄλλο σῶμα ἱδρῶτες, κνησμοὶ, σκορδινισμοὶ, καὶ ὅσα τοιαῦτα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γράφουσι μὲν καὶ ταύτην τὴν λέξιν ἄλλοι ἄλλως, ἀλλ' ἐγὼ καὶ νῦν τὴν τοῖς πλείστοις ὁμολογουμένην γραφὴν, B ὅλῃ τε τῇ κατὰ τὴν ῥῆσιν διανοίᾳ συμφωνοῦσαν, ἔν τε τοῖς ἀκριβέσι τῶν παλαιῶν ἀντιγράφων εὑρισκομένην εἰλόμην. ἔστι δ' ὁ νοῦς αὐτῆς τοιοῦτος, ὥσπερ ἐπὶ τῶν προειρημένων συμπτωμάτων, ἔργα φύσεως ἀδιδάκτου διῆλθεν ἐπὶ σωτηρίᾳ τῶν ζώων γινόμενα, κατὰ τὸν αὐτὸν τρόπον καὶ νῦν οὔρου, καὶ ἀφόδου, καὶ φύσης διττῆς ἐμνημόνευσε, καὶ τροφῆς, καὶ διαπνοῆς, καὶ τῶν τοῖς θήλεσι ζώοις ὑπαρχόντων μόνοις, εἶτ' ἐφεξῆς ἱδρώτων τε καὶ κνησμῶν, καὶ σκορδινισμῶν. ἥ τε γὰρ δι' οὔρων διάκρισις C ἐὰν ἀναμνησθῇς ὅπως γίνεται, θαυμαστὴν ἐνδείξεταί σοι πρόνοιαν εἰς τὰ ζῶα. τῆς τε τῶν νεφρῶν κατασκευῆς ἕνεκα, καὶ τῆς τῶν οὐρητήρων ἐκφύσεως, ἣν ἐκ τῆς κοιλίας τῶν νεφρῶν ἴσχουσιν, ἔτι τε ἐπιθεμάτων ἃ τοῖς εἰς τὴν κύστιν ἐμφυομένοις στόμασιν αὐτῶν ἐπίκειται, τοῦ τε μυὸς ὃς ἀνάλογον ὢν κατὰ τὴν ἕδραν σφιγκτῆρι περιβέβληται τῷ τραχήλῳ τῆς κύστεως. ἐπὶ τούτοις τε τῶν ἄλλων, ὅσα μικρότερα μέν ἐστι τούτων, καὶ ἧττον θαυμαστὰ, τοσαύτην δ' ἔχοντα χρείαν εἰς τοὔργον, ὥστε εἰ μὴ τὸν τρόπον τοῦτον D ἅπαντα κατεσκεύαστο, μοχθηρῶς ἂν, ἢ οὐδ' ὅλως ἐγίνετο τὰ περὶ τὴν τῶν οὔρων διάκρισίν τε καὶ κένωσιν. ὡσαύτως δὲ καὶ τὰ κατὰ τὴν ἄφοδον, ὅπερ ἐστὶν ἀπόκρισιν τῶν περιττῶν τῆς τροφῆς, παρεσκευασμένα τῇ φύσει κατὰ τὴν τῶν θρεψίμων ὀργάνων κατασκευὴν, ἐνδείκνυται τὴν εἰς τὰ ζῶα πρόνοιάν τε καὶ σοφίαν αὐτῆς, ἃ σύμπαντ' ἔχεις ἐν τοῖς περὶ χρείας μορίων εἰρημένα. νυνὶ δ' ἀρκεῖ τῶν κεφαλαίων ἀναμιμνήσκειν μόνον. ἔνιοι μὲν οὖν ἑκάτερον τῶν ἐν ἀρχῇ τῆς προκειμένης ῥήσεως, γεγραμμένων διαιροῦντες αὐτὸ καθ' ἑαυτὸ, μόνον οὔρων, ἀφόδου ἐνταῦθα E καὶ ἀποπατημάτων μνημονεύειν φασίν. ἔνιοι δὲ συνάπτοντες ἀμφότερα, τὴν ἄφοδον τῶν οὔρων, ὅπερ ἐστὶ τὴν κένωσιν, ἐκ τῆς λέξεως δηλοῦσθαί φασιν, ὡς εἰ καὶ οὔρου ἔκκρισιν εἶπεν. οὗτοι τοίνυν ἐν ἀρχῇ τῆς ῥήσεως ἔγραψαν κόπρου, καὶ οὔρου ἄφοδος, ὡς εἰ καὶ οὕτως εἴρητο, κόπρου καὶ οὔρου κένωσις, ὥσπερ δὲ τὰ τῆς τροφῆς περιττώματα θαυμαστὴν οἰκονομίαν ἔχει κατὰ τὴν διάκρισιν, οὕτω καὶ περὶ τὴν τῆς φύσης ἀπόκρισιν ἑκατέρας, τῆς τε κατὰ τὸ ἀπευ- F θυσμένον ἔντερον, καὶ τῆς διὰ τοῦ στομάχου γινομένης, ἣν ἐρυγὴν ὀνομάζουσιν, ἥ τις φύσεως ἐμφαίνεταί τις πρόνοια, πρὸς ἔκκρισιν ἑκατέρας τῆς φύσης ὁρμώντων τῶν ὀργάνων ἐν οἷς ἀθροίζονται. φαίνονται ἐκκρινόμεναι κἂν ὑπνοῦντες τύχωσιν οἱ ἔχοντες αὐτὰς, κἂν ἐν καταφορᾷ, καὶ καταλήψει, καὶ ληθάργῳ, καὶ κάρῳ, καὶ παραφροσύνῃ, καὶ βαθεῖ κώματι. παραπλησίας δ' ἂν εὕροις τέχνην τῆς φύσεως, εἰ μάθοις ὅσα περί τε τὴν τῆς τροφῆς οἰκονομίαν, καὶ τοῦ πνεύματος ἐργάζεται, καὶ πόρρω ἔτι

HIPPOCRATIS TEXTUS IV.

Lotii, dejectionis: & flatus, & hujus, utriusque: alimoniæ, & spiritus, & fœminis: Et in alio corpore sudores, scalptus, pandiculationes, & quæcunque hujusmodi sunt.

GALENI COMMENTARIUS.

Scribunt sanè hanc orationem alii aliter. Verùm ego & lectionem hoc tempore à pluribus probatam, & toti verborum sententiæ congruentem, atque in vetustis castigatisque exemplaribus repertam delegi; Ejus verò sensus talis est: Quemadmodum in superius positis symptomatibus naturæ sine disciplina edoctæ opera ad animalis salutem facta narravit, eodem modo, & in præsenti urinam, dejectionem, duplicem flatum commemoravit, item & alimentum, & difflationem, & quæ in solis fœminei generis animantibus insunt: postea deinceps & sudores, & scalptus, & pandiculationes. Etenim urinæ secretio, si, quo modo fiat, recordatus fueris, mirabilem tibi in regendis animantibus providentiam indicabit, & renum fabricæ causa: & urinariorum meatuum originis, quam ex renum ventriculis habent: & operculorum, quæ meatuum osculis in vesicam sese inserentibus imposita sunt: & musculi qui astrictorio in sede posito proportione respondens, vesicæ collo circundatus est: & aliorum, quæ minora quidem sunt, & minus admiranda, tantum verò ad rem conficiendam opis afferentia, ut nisi hunc in modum omnia structa essent, pravè, aut nullo etiam pacto urina secerni, & evacuari posset. Haud aliter & quæ ad dejectionem attinent, hoc est, quæ ad excrementorum cibi aridorum expulsionem, à natura condendis nutritionis instrumentis parata sunt, ipsius erga animalia providentiam ac sapientiam demonstrant: quæ omnia in Libris de usu particularum comprehensa reperias: Nunc verò capita solùm perstrinxisse satis sit. Nempe quidem utranque vocem initio hujus sermonis scriptam, ipsam per se solam legentes, lotii, ipsum hoc loco, & stercoris mentionem facere tradunt. Quidam rursus ambas voces copulantes dejectionem urinæ, hoc est, evacuationem per ipsa verba significari dicunt, perinde atque si & urinæ excretionem dixisset. Igitur isti sermonis initio scripserunt, stercoris & urinæ dejectio, ac si ita dictum esset stercoris & urinæ evacuatio. Verùm quemadmodum cibi recrementa, mirabile artificium in secernendo præ se ferunt, itidem quoque in utriusque flatus secretione, tam ejus qui per intestinum rectum, quàm ejus qui per gulam expellitur, quem ructum vocant, naturæ providentia conspicitur, ad extrudendum utrumque flatum instrumentis, in quibus colligitur, insurgentibus. Flatus enim hos excerni deprehendes, & si dormiant illi qui istis repleti sunt: & si in somnum propensiùs labantur, & si catalepsi, veterno, sopore, delirio, & profundo somno correpti sint. Æque inveneris etiam naturæ artem, si ea cuncta didiceris, quæ in administrando alimento, atque spiritu machinatur. Et longè adhuc

magis demiraberis, si omnia noveris, quæ in fœminis concipiendi fœtus causâ molita est. Istis similia sunt & quæ in toto corpore ad sudores excernendos, ad scalptus, ad pandiculationes pertinent: vocant autem scalptum, frictionem, motumque per ungues effectum, quod in prurientibus particulis animalia naturaliter faciunt, idque in ipsis omnibus reperiuntur. Vidistis quidem & dudum, quum viventem capram gravidam dissecarem, fœtus ex ipsa ligata extractus, ut humi depositus quatuor pedibus ambulare inceperit, à nullo edoctus, ambulandi causa hæc esse corpori subjecta: & paulò posterius supervacuum humorem, quo ejus cutis exterius circunfusa erat, excusserit: atque iterum paulo post uno ex pedibus costas sibi scalpserit, ex quo vos omnes præsentes exclamavistis, primum quidem, quod ipse symptomatis medelam absque doctore invenerit, secundo quod per hoc membrum solum id fieri posset, tertio quod ad hunc modum. At pandiculatio tale quidem in omnibus, ut puto, musculis symptoma est, quale in oscitatione solis inferioris maxillæ musculis accidit In Libris autem de symptomatum causis, si memoriter modò tenetis, evacuandorum in musculis halituosorum excrementorum causa, & id à natura fieri demonstravimus: infantes autem & reliqua animalia id sine doctrina facere cernuntur. Hæc itaque omnia, & quæcunque cum ipsis dicebamus, quemadmodum & excutere humorem paulo ante de hœdo per dissectionem extracto narravimus, admirabilem quandam naturæ erga animalia providentiam indicant, per quam & secunda valetudine fruentia conservantur, & ægrotantia morbo liberantur.

HIPPOCRATIS TEXTUS V.

Hominis anima semper producitur usque ad mortem. Sin autem ignescat, simul cum morbo & animi corpus depascitur.

GALENI COMMENTARIUS.

Divinatione potius opus est, quàm aliqua methodo, per quam intelligere quispiam possit, quidnam significare volens Hippocrates scripsit hoc verbum φύεται, id est, *producitur*: potest enim significare, & *generatur*, sicut Asclepiades posterius existimavit: potest verò significare, & *augetur*; potest etiam, ut quidam intellexerunt, idem sonare quod, *conservatur*, alimento & respiratione nobis utentibus. Quicunque enim animam spiritum esse censent, ipsam & ex sanguinis halitu, & ex aëre intra corpus respiratione per asperam arteriam adducto, conservari testantur. Illud verò & in aperto est, nihil eorum quæ dixi, nos posse tanquam verum sit, contendentes enunciare, nisi prius animæ substantiam exquisitè compertam habeamus. Profectò si, ut in Libro de septimanis, auctor ille manifestè de animæ substantia disseruit, sic & in alio quopiam indubitanter legitimo Hippocratis Libro dictum inveniretur, aliquid planè haberem, quod de hoc verbo, *producitur*, dici posset: quoniam verò nusquam in legitimis voluminibus Hippocrates clarè

A μᾶλλον θαυμάσεις, εἰ γνοίης ὅσα ταῖς θηλείαις ἕνεκα τῆς κυήσεως ἐτεχνήσατο. παραπλήσια δ' αὐταῖς ἐστι, καὶ τὰ καθ' ὅλον τὸ σῶμα, περί τε τὴν τῶν ἱδρώτων ἔκκρισιν, καὶ κνησμοὺς, καὶ σκορδινισμούς. ὀνομάζουσιν μὲν οὖν κνησμὸν τὴν διὰ τῶν ὀνύχων ἐπιβολήν τε καὶ κίνησιν, ἣν ἐπὶ τῶν ὀδαξουμένων μορίων ποιεῖται τὰ ζῶα φύσει, καὶ τούτου πᾶσιν ὑπάρχοντος αὐτοῖς. ἐθεάσασθε οὖν καὶ πρῴην ἡνίκα τὴν αἶγα ζῶσαν ἀνετέμνομεν ἐγκύμονα οὖσαν, τὸ, καταδεδεμένης αὐτῆς ἐξαιρεθὲν ἔμβρυον, ὅπως ἐπὶ τῆς γῆς κα-
B ταtεθὲν, πρῶτον ἐπὶ τῶν τεττάρων ποδῶν βαδίζειν ἐπεχείρησεν, οὐδενὸς αὐτὸ διδάξαντος, ἕνεκα βαδίσεως ὑποτεθεῖσθαι ταῦτα τὰ μόρια, καὶ μικρὸν ὕστερον ἀποσεισάμενον τὴν περικειμένην ἔξωθεν ἑαυτοῦ περιττὴν κατὰ τοῦ δέρματος ὑγρότητα, καὶ μετ' ὀλίγον αὖθις ἑνὶ τῶν ποδῶν τὰς πλευρὰς κνησάμενον, ἐφ' ᾧ καὶ πάντες οἱ παρόντες ἀνεκράγετε, πρῶτον μὲν, ὅτι τὴν ἴασιν εὗρεν αὐτὸ τοῦ συμπτώματος ἄνευ τοῦ διδαχθῆναι. δεύτερον δὲ, ὅτι διὰ τοῦδε τοῦ μορίου δύναται μόνου γίνεσθαι, καὶ τρίτον, ὅτι κατὰ τόνδε τὸν τρόπον. ὁ δὲ σκορδινισμὸς τοιοῦτον μέν ἐστι σύμπτωμα
C κατὰ πάντας οἶμαι τοὺς μῦς, οἷόν περ ἐπὶ τῆς χάσμης γίνεται μόνοις τοῖς περὶ τὴν κάτω γένυν. ἐδείχθη δ' ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις. εἴ τι γε μέμνησθε, καὶ τοῦτο κενώσεως ἕνεκα τῶν ἐν τοῖς μυσὶν ἀτμωδῶν περιττωμάτων ὑπὸ τῆς φύσεως γινόμενον. ὁρᾶται δὲ ἀδιδάκτως αὐτὸ, καὶ τὰ βρέφη, καὶ τὰ ἄλλα ζῶα ποιοῦντα. ταῦτ' οὖν ἅπαντα, καὶ ὅσα σὺν αὐτοῖς εἴπομεν, ὥσπερ καὶ τὸ ἀποσείσασθαι τὴν ὑγρότητα, μικρὸν ἔμπροσθεν ἐπὶ τοῦ κατὰ τὴν ἀνατομίαν ἐρίφου λέλεκται, θαυμαστήν τινα τῆς φύσεως
D ἐνδείκνυται πρόνοιαν εἰς τὰ ζῶα, καθ' ἣν ὑγιαίνοντά τε φυλάττεται, καὶ νοσοῦντα θεραπεύεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

Ἀνθρώπου ψυχὴ ἀεὶ φύεται ἄχρι θανάτου. ἢν δ' ἐκπυρωθῇ ἅμα τῇ νούσῳ, καὶ ἡ ψυχὴ, τὸ σῶμα φέρβεται. forte φθείρεται

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Μαντείας δὲ μᾶλλον ἤ τινος μεθόδου καθ' ἣν εὑρήσει τις ὅ τί ποτε σημαίνειν βουληθεὶς, ἔγραψε τὸ, φύεται. δύναται μὲν γὰρ ἀκούεσθαι καὶ τὸ γεννᾶται, καθάπερ ὁ Ἀσκληπιάδης ὕστερον ὑπέλαβε, δύναται δὲ καὶ τὸ αὐξάνεται. δύναται δ', ὥσπερ τινὲς ἤκουσαν, ἀντὶ τοῦ διασώζεται, τροφῇ, καὶ ἀναπνοῇ χρωμένων ἡμῶν. ὅσοι γὰρ οἴονται τὴν ψυχὴν εἶναι πνεῦμα, διασώζεσθαι λέγουσιν αὐτὴν ἔκ τε τῆς ἀναθυμιάσεως τοῦ αἵματος, καὶ τοῦ κατὰ τὴν εἰσπνοὴν ἑλκομένου διὰ τῆς τραχείας ἀρτηρίας
F εἴσω τοῦ σώματος, οὐκ ἄδηλον δ' ἐστὶ, καὶ ὡς οὐδὲν ὧν εἶπον ἀποφήνασθαι δυνατὸν ἡμῖν ἐστὶ διατεινομένοις, ὡς ἀληθὲς εἴη, μὴ πρότερον οὐσίαν ψυχῆς ἀκριβῶς ἐξευροῦσιν. εἰ μὲν οὖν, ὥσπερ ἐν τῷ περὶ ἑβδομάδων ὁ γράψας τὸ βιβλίον ἐκεῖνο σαφῶς ἀπεφήνατο περὶ ψυχῆς οὐσίας, οὕτως καὶ κατ' ἄλλο τι τῶν ὁμολογουμένων γνησίων Ἱπποκράτους συγγραμμάτων ἦν εἰρημένον, εἶχον ἄν τι κἀγὼ λέγειν περὶ τοῦ, φύεται, ῥήματος. ἐπεὶ δ' οὐδαμόθι τῶν γνησίων βιβλίων Ἱπποκράτης ἀπεφήνατο

ταὐτῶς, ὅ τί ποτε σημαίνει τὸ φύεται ῥῆμα. A πρὸς δὲ τὸ τοῦτ' ἀγνοεῖν, οὐδ' αὐτὸς ἐμαυτὸν πέπεικα ψυχῆς οὐσίαν ἐπίστασθαι βεβαίως. ὅτι μὲν γὰρ ὁ ἐγκέφαλος αἰσθήσεώς τε καὶ κινήσεως τῆς καθ' ὁρμὴν ἡγεμών ἐστι τοῖς τοῦ ζώου μορίοις ἅπασιν, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἀποδέδειγμαι. πέπεισμαι καὶ πρός γε τούτῳ, τὸ κατὰ τὰς κοιλίας αὐτοῦ πνεῦμα πρῶτόν τι τῶν ὀργάνων εἶναι τοῦ ψυχικοῦ, ὅπερ ἦν μοι προπετέστερον ἀποφηναμένῳ, ψυχῆς οὐσίαν εἰπεῖν. εἴτε δὲ ἡ ὅλη τοῦ ἐγκεφάλου φύσις ἐκ τῆς τῶν τεττάρων στοι- B χείων κράσεως εἰς τοιαύτην οὐσίαν ἦλθεν, ἢ ἰδιότητος, καθ' ἣν αἰσθήσεώς τε καὶ κινήσεως τῆς καθ' ὁρμὴν ἀρχηγὸς ἔσται τῷ ζώῳ, καὶ δηλονότι καὶ μνήμης τε καὶ νοήσεως, εἴ τέ τις ἄλλη δύναμις ἀσώματος, ὑπὸ τοῦ δημιουργήσαντος ἡμᾶς ἐνθεῖταί τε τῷ ἐγκεφάλῳ, καὶ χωρίζεται πάλιν ἀποθνησκόντων, οὐδεμίαν ἔχω ἀπόδειξιν βεβαίαν. ἀλλὰ καὶ τοὺς ἀποφηναμένους τι τούτων ἡγοῦμαι πλεονεκτεῖν ἐμοῦ προπετείᾳ μᾶλλον ἢ σοφίᾳ. καὶ μέντοι καὶ περιττὸν εἶναι νομίζω τοῖς ἰατροῖς ἐπίστασθαι ψυχῆς οὐσίαν. ἀρκεῖ γὰρ γινώσκεσθαι τοῖς τὴν C ἰατρικὴν τέχνην λογικῶς μεταχειριζομένοις, ὡς ἡ κατὰ φύσιν κρᾶσις αὐτοῦ τοῦ ἐγκεφάλου, καὶ κατὰ τὰς κοιλίας αὐτοῦ πνεύματος ἄχρι περ ἂν διασώζηται, ζῆν δυνάμενον τὸ ζῷον. ἐὰν δὲ ἤτοι τὸ κατὰ τὰς κοιλίας πνεῦμα διαφθαρῇ παντάπασιν, ἢ τῆς κατὰ φύσιν κράσεως ἐπὶ πλεῖστον ἐκτραπῇ, μετὰ τῆς κατὰ τὸν ἐγκέφαλον, ἀκολουθῆσαι. ταῦτα γὰρ γινώσκων ὁ ἰατρὸς, τῆς τ' εὐκρασίας αὐτῶν καὶ τῆς ὑπάρξεως, προνοήσεται ἀεὶ κατὰ τὰς εἰρημένας μεθόδους ὑφ' ἡμῶν, ἔν τε D τοῖς ὑγιεινοῖς, καὶ τοῖς θεραπευτικοῖς ὑπομνήμασι, ἃς ἔδειξα πάσας Ἱπποκράτην πρῶτον εἰρηκότα. διὰ τοῦτ' οὖν οὐδὲ γνησίαν νομίζω τὴν προκειμένην ῥῆσιν εἶναι, παρεγγεγράφθαι δ' ὑπό τινος ὥσπερ καὶ ἄλλας οὐκ ὀλίγας. ἴσως δὲ καὶ τὸν υἱὸν αὐτοῦ Θεσσαλὸν ἀθροῖσαί φασι τὰς ὑπογραφὰς τοῦ πατρὸς, εὑρόντα γεγραμμένας ἐν χάρταις τε καὶ διφθέραις, καὶ δέλτοις, καὶ τοιαύτας τινὰς παρεντεθεικέναι ῥήσεις. τῶν μέντοι γεγραφότων ὑπομνήματα τοῦ προκειμένου βιβλίου, τινὲς ἀντὶ τοῦ, βελτίων γίνεται, τὸ φύεται, φασὶν εἰρῆσθαι. γίνεσθαι E δ' αὐτὴν ἐν τῷ χρόνῳ βελτίονα νομίζουσι τοῖς προνουμένοις ἐπιστήμης τε καὶ σοφίας, ἀλλ' οὔτε ἰατρικὸς ὁ λόγος, οὔτε ὁμολογῶν τοῖς ἐπιφερομένοις. ὅτι γὰρ ἐπὶ τῆς οὐσίας αὐτῆς εἴρηται τὸ, φύεται, δῆλον ἐκ τοῦ φάναι. ἢν δ' ἐκπυρωθῇ ἅμα τῇ νούσῳ, καὶ ἡ ψυχὴ τὸ σῶμα φέρεται. καὶ δόξειε δ' ἂν ἐνδείκνυσθαι τὸ, ἐκπυρωθῇ ῥῆμα, τὴν οὐσίαν τῆς ψυχῆς ἡγεῖσθαι τὸν Ἱπποκράτην τὸ ἔμφυτον εἶναι θερμὸν, ὃ καὶ τῶν φυσικῶν ἔργων αἰτιᾶται πολλαχόθι. μέγιστον δ' ἐνταῦθα κινεῖται δόγμα, διαπεφωνημένον καὶ F αὐτοῖς τοῖς φιλοσόφοις. ἔνιοι μὲν ἡγοῦνται οὐσίαν εἶναι ψυχῆς τε καὶ φύσεως. οἱ μὲν ἐν τῷ πνεύματι τιθέμενοι τὴν ὕπαρξιν αὐτῶν, οἱ δ' ἐν τῇ τοῦ σώματος ἰδιότητι. τινὲς δὲ οὐ μίαν, ἀλλ' ἰδίαν ἑκατέρας τὴν οὐσίαν εἶναί φασι, καὶ οὐ σμικρᾷ δέ τινι διαφερούσας, ἀλλ' ὅλῳ τῷ γένει. ὅπου γε καὶ τὴν μὲν τῆς φύσεως, φθαρτὴν εἶναι ἡγοῦνται, τὴν δὲ τῆς ψυχῆς, ἄφθαρτον. Ἀριστοτέλης μὲν οὖν καὶ Πλάτων ὑπὸ μίαν προσηγορίαν ἀμφοτέρας

explicavit, quidnam hoc verbum, *producitur*, ſibi velit, præter id quod iſtud ignoro, neque animæ ſubſtantiam firmiter ſcire mihi perſuadeo. Nempe cerebrum ſenſus voluntariæque motionis principem cauſam eſſe omnibuſque aliis particulis diſtribuere, in Libris de Hippocratis Platoniſque decretis oſtendimus. Illud præterea perſuaſum habeo, ſpiritum in ejus cavis poſitum, primarium eſſe animæ inſtrumentum: quem ut animæ ſubſtantiam eſſe dicerem, mihi temerè inclinabat animus. Sive autem tota cerebri natura ex quatuor elementorum temperatione ad eam ſubſtantiam, vel proprietatem redacta ſit, per quam ſenſus, motuſque voluntarii in animali primus auctor habeatur, & memoriæ ſcilicet & intelligentiæ, ſive quædam alia vis corpore vacans, à noſtro Conditore cerebro indita fuerit, & morientibus animalibus recedat, nullam hac de re firmam rationem habeo: quin & eos, qui de hoc quicquam affirmarunt, audacia magis quàm ſapientia, nobis antecedere exiſtimamus. Cæterùm Medicis quoque ſupervacuam de animæ ſubſtantia notitiam eſſe arbitror. Satis eſt enim artem medicam cum ratione tractantibus illud noſſe, quoad ſcilicet ipſius cerebri ac ſpiritus in ejus ſinibus contenti, naturalis temperies inviolata ſervatur, vivere poſſe animal: ſi verò contentus ſpiritus, aut prorſum corruptus ſit, aut à naturali temperatura unà cum ea quæ in cerebro eſt, longiſſimè diſceſſerit, mortem neceſſario ſequi. Hæc agnoſcens Medicus, ipſorum bonæ temperaturæ, ac permanſioni ſemper conſulet, methodos à nobis in Commentariis de tuenda ſanitate, & de morborum curatione traditas perſequens: quas omnes Hippocratem primum docuiſſe memoravimus. Quamobrem neque legitimam hanc ejus eſſe particulam cenſeo; ſed ab aliquo, ut pleraſque alias, fuiſſe interpoſitam. Forſan verò & ejus filium Theſſalum patris rudes annotationes collegiſſe aiunt, in chartis & coriis, & tabellis eas nactùm, & hujus generis quaſdam particulas injeciſſe. Nonnulli ſanè, qui Commentaria in propoſitum Librum ediderunt, pro his verbis, *producitur*, melior fit ſcriptum fuiſſe contendunt: ipſam verò procedente ætate ſcientiæ ac ſapientiæ incumbentibus meliorem evadere arbitrantur. At neque ad Medicum pertinens ſermo eſt, neque iis quæ ſequuntur, conſentaneus, nam de ipſius ſubſtantia hoc verbum, *producitur*, dictum eſſe, ex eo conſtat, quod ipſe ſubjecit, ſi verò igneſcat unà cum morbo, & anima corpus depaſcitur. Atqui verbum hoc *igneſcat*, indicare videtur ex Hippocratis ſententia, animæ ſubſtantiam calorem eſſe naturalem: quem naturalium operum multis in locis auctorem eſſe teſtatur. Maximum verò hoc loco placitum agitatur, de quo & inter Philoſophos diſſenſio eſt. Nonnulli quidem unam eſſe animæ, naturæque ſubſtantiam arbitrantur, aliqui in ſpiritu, alii in corporis proprietate, eas conſiſtere ſtatuentes. Quidam verò non unam, ſed propriam ac ſeparatam utriuſque ſubſtantiam eſſe, nec parvo quodam intervallo, ſed toto genere inter ſe differre confirmant: ſiquidem naturæ corruptioni obnoxiam, animæ verò immortalem eſſe ſubſtantiam arbitrantur. Ariſtoteles ſanè, atque Plato una appellatione utranque

A potestatem comprehendunt, non eam modo, quâ ratiocinamur, atque recordamur, animam vocantes, sed etiam eam, quæ in stirpibus est, qua & aluntur, & crescunt, & servantur, quoad temporis longinquitate consumptæ exarescant. Stoicorum autem mos est naturam vocare, qua stirpes reguntur: animam verò qua animalia: utriusque verò substantiam ingenitum spiritum statuunt, differreque inter se qualitate arbitrantur: nam sicciorem animæ spiritum, humidiorem autem esse naturæ: utrumque autem ut permaneat, non alimento solùm, sed etiam B aëre indigere. Et quicunque hujusce decreti principem Hippocratem fuisse opinantur, ut in Libro de septimanis dictum est, hoc verbum, *producitur*, dictum esse aiunt de instauratione, quæ in ipsis fit ex utraque substantia, alimenti scilicet atque aëris, ut evidenter apparet., & utriusque utilitatem cognoscimus: alibi nanque respirationem ingeniti caloris moderationem servare, ciborum verò assumptionem corporeæ substantiæ, quod delapsum est, resarcire, declaratum est. Atque si corporis quædam forma anima est, jure sane produci usque ad mortem C diceretur. At si à natura, quam Aristoteles altricem, appetitricem Plato nominat, altera quædam ipsius sententia fit, verùm sanè quod dictum est, fuerit, sed de cogitatrice anima verè id dici non poterit. Nempe quod insitum calidū, cui maxime corporea opera Hippocrates tribuit, igneum factum, non solùm priora munera obire non possit; sed neque corpus nostrum alere, quod ipsius erat primarium officium; immò contra perdat, atque ut ignis, liquefaciat, nobis ratione contemplantibus, & corporis eliquationes à perurentibus febribus, factas evidenter D cernentibus apertum est. Verùm quum in tota hac habita oratione tertia anima prætermissa sit, sive facultas, sive utcunque eam nominare velis, quam Plato iracundiam appellavit, & de ipsa aliquid dicere satius fuerit, ut nihil præterea in sermone de anima dicendum relinquatur. Calor sane quidam naturalis, per quem sanguis creatur, in jecore continetur: calor etiam alter in corde major inest ad iram excitandam nobis datus; nam & ipsius quidam usus est, ut in Libris de Hippocratis, Platonisque decretis explicavimus. Et hic quidem calor spiratione eget, alter difflatione, ita E enim Medicis vocare mos est duplicem in toto corpore arteriarum actionem, fuliginosum excrementum per compressionem expellentium, aërem verò circunfusum per distentionem attrahentium.

ἄγουσι τὰς δυνάμεις, οὐ μόνον ᾗ λογιζόμεθα καὶ μεμνήμεθα, ψυχὴν καλοῦντες, ἀλλὰ καὶ τὴν ἐν τοῖς φυτοῖς, ᾗ τρέφεταί τε καὶ αὔξεται, καὶ διασώζεται, μέχριπερ ἂν ἐν τῷ χρόνῳ ξηρανθῇ. τοῖς Στωϊκοῖς δ' ἔθος ἐστὶ φύσιν μὲν ὀνομάζειν, ᾗ τὰ φυτὰ διοικεῖται, ψυχὴν δὲ, ᾗ τὰ ζῶα, τὴν οὐσίαν ἀμφοτέρων μὲν τίθενται τὸ σύμφυτον πνεῦμα, καὶ διαφέρειν ἀλλήλων οἴονται ποιότητι. ξηρότερον μὲν γὰρ πνεῦμα τὸ τῆς ψυχῆς, ὑγρότερον δὲ τὸ τῆς φύσεως εἶναι, δεῖσθαι δ' ἄμφω πρὸς διαμονὴν, οὐ τροφῆς μόνον, ἀλλὰ καὶ ἀέρος· καὶ ὅσοι γε τοῦ δόγματος τούτου νομίζουσιν ἡγεμόνα τὸν Ἱπποκράτην γεγονέναι, καθάπερ ἐν τῷ περὶ ἑβδομάδων εἴρηται, τὸ φύεσθαι λέγουσιν εἰρῆσθαι κατὰ τῆς γινομένοις ἐν αὐτοῖς προσθέσεως ἐξ ἀμφοτέρων τῶν οὐσιῶν, τῆς τε τροφῆς καὶ τοῦ ἀέρος ὡς ἐναργῶς φαίνεται, καὶ τὴν ἑκατέρου χρείαν ἐπιστάμεθα. δέδεικται γὰρ ἡ μὲν ἀναπνοὴ τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας φυλάττειν, ἡ δὲ τῶν σιτίων προσφορὰ, τὸ διαῤῥέον τῆς σωματικῆς οὐσίας ἀναπληροῦν, καὶ εἴπερ εἶδός τι τοῦ σώματός ἐστιν ἡ ψυχὴ, προσηκόντως ἂν λέγοιτο φύεσθαι μέχρι τοῦ θανάτου. εἰ δὲ ἐστιν ἑτέρα τις αὐτῆς οὐσία τῆς φύσεως, ἣν Ἀριστοτέλης μὲν ὀνομάζει θρεπτικὴν, ἐπιθυμητικὴν δὲ Πλάτων, ἀληθὲς ἂν εἴη τὸ εἰρημένον, οὐκ ἀληθὲς δὲ, ἐπὶ τῆς διανοητικῆς ψυχῆς. ὅτι μέντοι τὸ ἔμφυτον θερμὸν, ᾧ μάλιστα ἀναφέρει τὰ σωματικὰ τῶν ἔργων ὁ Ἱπποκράτης, ἐκπυρωθὲν, οὐ μόνον οὐκ ἔστι δυνάμενον τὰς ἔμπροσθεν ἐνεργείας ἐπιτελεῖν, οὐδὲ τρέφειν ἡμᾶς, ὅπερ ἦν αὐτῷ κυριώτατον, ἀλλὰ διαφθείρει τε καὶ τήκει καθάπερ τὸ πῦρ, εὔδηλόν ἐστι τῷ λόγῳ σκοπουμένοις ἡμῖν, καὶ τὰς ὑπὸ τῶν διακαῶν πυρετῶν συντήξεις τοῦ σώματος ἐναργῶς ὁρῶσι. παραλελειμμένης δὲ κατὰ τὸν εἰρημένον λόγον ἁπάντων τῆς τρίτης ψυχῆς, ἢ δυνάμεως, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν αὐτὴν, ἣν ὁ Πλάτων ἐκάλει θυμοειδῆ, καὶ περὶ ταύτης ἄμεινόν ἐστιν εἰπεῖν, ἕνεκα τοῦ μηδὲν ἔτι ὑπολείπεσθαι κατὰ τὸν περὶ ψυχῆς λόγον. θερμασία μέν τις ἔμφυτος ἐν ἥπατι περιέχεται καθ' ἣν αἷμα γεννᾶται. θερμασία δὲ ἑτέρα πλείων ἐστὶ, κατὰ τὴν καρδίαν εἰς θυμοῦ γένεσιν ἡμῖν δοθεῖσα. καὶ γὰρ χρεία τούτου τίς ἐστιν, ὡς ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπιδέδεικται. δεῖται μὲν αὐτὴ ἡ θερμασία τῆς τροφῆς, ἡ δ' ἑτέρα δὲ τῆς ἀναπνοῆς. οὕτω γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, τὴν διὰ τῶν ἀρτηριῶν γινομένην καθ' ὅλον τὸ σῶμα διττὴν ἐνέργειαν, ἐκπεμπουσῶν αἰθαλῶδες περίττωμα κατὰ τὴν συστολὴν, ἑλκουσῶν δὲ τὸν πέριξ ἀέρα κατὰ τὴν διαστολήν.

HIPPOCRATIS TEXTUS VI.

Morbi simul nutriti in senecta relinquunt, F & per maturationem; & solutionem, & rarefactiones.

GALENI COMMENTARIUS.

NOn de omnibus connutritis morbis Hippocratis sermo est: ita verò eos appellāt, qui longinquo tempore hominum corpora infestant. Id enim accidere non cernitur, neque ipsum latet, clarè in Aphorismis dicetem; Senes,

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ς'.

Νόσοι ξύντροφοι, ἐν γήρᾳ λείπουσι, καὶ διὰ πεπασμὸν, καὶ λύσιν, καὶ ἀραίωσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ περὶ πασῶν ὁ λόγος αὐτῷ νῦν τῶν συντρόφων νόσων. ὀνομάζουσι δ' οὕτως τὰς ἐκ πολλοῦ χρόνου κατὰ τὸ σῶμα τῶν ἀνθρώπων διαμενούσας. οὔτε γὰρ φαίνεται τοῦτο γινόμενον, οὔτε αὐτὸς ἀγνοεῖ, σαφῶς ἐν ἀφορισμοῖς εἰπών. οἱ πρεσβῦται,

τῶν νέων, τὰ μὲν πλεῖστα νοσέουσιν ἧσσον. ὅσα δὲ αὐτοῖς χρόνια νοσήματα γίνεται, τὰ πολλὰ συναποθνήσκει. προσθεὶς δ' ἐν αὐτῷ τῷ λόγῳ τό, τὰ πολλά, καὶ μὴ καθόλου ποιησάμενος τὴν ἀπόφασιν, ὡς ὅσα χρόνια νοσήματα γίνεται [τὰ πολλὰ] συναποθνήσκει, δῆλός ἐστιν εἰδὼς ἔνια λυόμενα πρὸ τοῦ θανάτου. τίνα τοίνυν ἐστὶ ταῦτα, καθάπερ γε καὶ ἵνα τὰ μὴ λυόμενα πρὸ τοῦ θανάτου, ἐν τοῖς ἀφορισμοῖς αὐτὸς ἐνεδείξατο γράφων ὧδε. βράγχοι, καὶ κόρυζαι τοῖς σφόδρα πρεσβυτέροισιν οὐ πεπαίνονται. ψυχρῶν οὖν ἐνταῦθα μνημονεύσας, δῆλός ἐστιν ἔνια τῶν θερμῶν συγχωρῶν λυθῆναι δύνασθαι κατὰ τὴν τῶν πρεσβυτέρων ἡλικίαν. εἴ γε τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, σπάνια γάρ ἐστι ταῦτα, ὡς τὰς γε κεφαλαίας τὰς θερμάς, ἑτεροκρανίας τε, καὶ νεφρίτιδας τὰς τοιαύτας, ἔτι τε ἀρθρίτιδας, ὅσαι πάνυ θερμὴν ἔχουσι τὴν διάθεσιν. οὗτος μὲν οὖν ἐκ τῆς τοῦ γήρως κράσεως γινόμενος ὁ τρόπος τῆς λύσεως ἐν τῷ μέρει τῶν πεπασμῶν ἐστί, δηλοῦντος τοῦ πεπασμοῦ πᾶσαν ἀγωγὴν εἰς τὴν σύμμετρον κρᾶσιν, ὡς ἐπὶ τῶν πεπαινομένων ἐδείχθη καρπῶν. ἑτέρους δὲ δύο τρόπους προστίθησιν ἔτι σπανιωτέρους τοῦ πεπασμοῦ, τόν τε κατὰ τὴν ἀραίωσιν, καὶ τὸν ἀμφιβόλως εἰρημένον, εἴτε κατὰ τὴν διάλυσιν, εἴτε κατὰ λύσιν ἀκοῦσαι χρή. γίνεται δὲ οὗτος ἐξ αὐτῆς τῆς σωματικῆς οὐσίας κοινῆς ἅπασιν οὔσης, μὴ ὅτι τοῖς ἐμψύχοις, ἀλλὰ καὶ τοῖς ἀψύχοις. ἀπόρρει μὲν γάρ τι πάντως αὐτῶν, ἀλλὰ πλεῖστον μὲν τῶν μαλακωτέρων, ἔλαττον δὲ τῶν ἧττον μαλακῶν. οὕτως γοῦν ἔνιοι τῶν παρὰ φύσιν ὄγκων λύονται, διαφορουμένης τῆς οὐσίας αὐτῶν κατὰ βραχὺ χρόνῳ πλείονι, καὶ γίνεται τοῦτο τοῖς καλῶς διαιτωμένοις, ὡς ὅσοι γε πληρωτικῇ διαίτῃ χρῶνται, τὴν ἐπιρροὴν τοῖς πεπονθόσι μέρεσιν ἴσην τῇ διαφορουμένῃ ποιούμενοι, φυλάττουσι τὰ πάθη. τρίτον δὲ τρόπον εἴρηκε λύσεως, τὴν ἀραίωσιν τοῦ σώματος, ὑπὸ μὲν τῶν ἰατρῶν ἐκ προνοίας γινομένην, ὑπὸ δὲ τῆς γεροντικῆς ἡλικίας σπανίως, ὅταν ἀσθενεστέρας γινομένης τῆς δυνάμεως, ἰσχνοτέρας τε τῆς ἕξεως, ἀτροφωτέρου δὲ, καὶ τοῦ δέρματος, ἀραιωθῶσιν οἱ πόροι. ἡμεῖς μὲν οὖν οὕτως ἐξηγούμεθα τὴν ῥῆσιν, ἀεὶ πειρώμενοι τοῖς ἀπὸ τῶν ἀρρώστων ὁρωμένοις ὁμολογούσας ἐπιδεικνύναι τὰς λέξεις αὐτοῦ, τῶν δ' ἐξηγητῶν οἱ πλεῖστοι, πάντα μᾶλλον ἢ τοῦτο πράττουσιν· οἵ γε καὶ νῦν ὡς ἐπὶ πάντων τῶν νοσημάτων εἰρημένου τοῦ λόγου, τὰς αἰτίας ἀποδιδόναι πειρῶνται. τούτων δ' ἀτοπώτερα λέγουσιν οἱ τὰ τοιαῦτα πάθη φάσκοντες ἐν τῷ γήρᾳ λύεσθαι, τῆς ψυχῆς μὲν οὖν ὀργάς, φιλαργυρίας, δεισιδαιμονίας, τοῦ δὲ σώματος, ἐρωτικὰς διαθέσεις.

A quàm juvenes plerunque rarius ægrotant: quicunque verò ipsis diuturni morbi eveniunt, sæpius commoriuntur. Igitur quum in hoc sermone, *sæpius*, addiderit, neque universe protulerit, quousque scilicet diuturnos morbos commori, aperte indicat se nonnullos ante senum mortem dissolvi cognoscere. Quinam igitur sint isti, quemadmodum etiam quinam ante mortem non abeuntes, in Aphorismis ipse patefecit, sic scribens; Raucitates, & gravedines in valde senioribus non maturescunt. Igi- B tur quum is frigidorum meminerit, constat & ipsum concedere quosdam ex calidis in seniori ætate posse dissolvi, siquidem contraria contrariorum medicamina sunt. Rari autem hi sunt, ut calidæ cephaleæ, & heterocraniæ vocati dolores capitis, & renum calidi affectus, & articulares dolores, quicunque ex valde calida affectione oriuntur. Iste quidem ex senectæ proveniens temperatura solutionis modus inter maturationes reponitur, maturatione scilicet omnem ad mediocre temperamentum adductionem significante, ut in maturescentibus C fructibus conspicitur: alios autem duos adhuc rariores concoctionis modos adjicit, & per rarefactionem, & eum qui ambigue dictus est; sive per dissolutionem, sive per solutionem intelligere oporteat. Fit iste autem, ipsa corporea substantia, quæ omnibus tam animatis, quàm inanimis communis est, dilabente: aliquid enim omnino ex ipsis defluit, sed plurimum ex mollioribus, minus ex minus mollibus. Ita sanè & quidam à natura alieni tumores paulatim longiori tempore, dilabente materia, dissolvuntur: D idque rectâ victûs ratione utentibus evenit: nam qui largiore cibo vescuntur, humorem affectis partibus influentem digesto æqualem facientes, affectus servant. Tertium verò solutionis modum narravit, corporis raritatem, à Medicis quidem consulto effectam, à senili autem ætate raro: cum labefactatis viribus, extenuato corporis habitu, & male nutrita cute, laxiores meatus evaserint. Nos itaque sic verba interpretamur, quum semper ipsius sermones iis, quæ in ægrotis cernuntur, consentaneos esse demonstrare conemur: plurimi autem Explanatores, omnia potius alia, quàm id faciunt: qui E & hoc loco tanquam de omnibus morbis sermone facto, causas afferre nituntur. Magis etiam absurda illi dicunt, qui in senecta hujusmodi affectiones sedari aiunt: animæ quidem iracundiam, avaritiam, superstitionem: corporis autem amatorias perturbationes.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Ἴησις, ἀντίνοον μὴ ὁμονοέειν τῷ πάθει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ λόγος ὁ αὐτός ἐστι τῇ δυνάμει, τῷ, τἀναντία τῶν ἐναντίων ἰάματα, περὶ οὗ πολλάκις ἤδη διείλεγμαι.

HIPPOCRATIS TEXTUS VII.

F

Medicatio, contrarium cogitans, non consentire affectui.

GALENI COMMENTARIUS.

Sermo iste eandem vim habet, quàm ille, Contraria contrariorum medicamenta, de quo sæpius jam disputavimus.

A

HIPPOCRATIS TEXTUS VIII.

Frigidum, & auxiliatur, & tollit quæcunque à calido.

GALENI COMMENTARIUS.

ET hoc sibiipsi memoriæ causâ scripsit, quod proximæ sententiæ universalis pars est. Etenim frigidum frigidis affectibus opitulatur, calidos autem morbos tollit: nam ab B uno tanquam exemplo ad omnia contraria traducere sermonem oportet.

HIPPOCRATIS TEXTUS IX.

Excandescentia attrahit & cor, & pulmonem in se ipsa, & in caput, & calida & humidum: lætitia autem relaxat cor.

GALENI COMMENTARIUS.

C

OBscurè admodum hæc locutio perplexa est: quocirca & ejus plures lectiones, lectionibusque consentaneas explicationes fecerunt: verius autem quispiam dixerit, non lectionibus explanationes, sed prius cogitatis explanationibus eos, deinde lectiones affinxisse, & accommodasse. Statim igitur hæc vox, *attrahit*, in hoc sermone quid significat? Cor atque pulmonem ob iracundiam attrahi, ipsum dicere interpretabimur? sed quum hæc verba adjecta sint, in seipsa, & in caput, alter hujusmodi sensus innuitur, cor, & pulmo attrahunt, & in seipsos, D & in caput calida, & humidum. Atqui ista vox *calida*, penè intelligi non potest: potius enim calidum, quàm calida dixisse oportuit. Satius igitur fortasse fuerit, omissa singulorum in hoc sermone verborum declaratione, utpote confusa, ipsius ecphrasim facere, aut paraphrasim, sive, ut lubet quis nominet, id est per plura verba enerrationem: Id verò fieri nequit, nisi unum saltem nomen interpretemur, quod est attrahere. Duorum enim alterutrum in excandescentiis dicendum est, aut pulmonem & cor ad caput attrahi; aut cor & pul- E monem, & caput, ex inferioribus locis calorem humoremque ad seipsos attrahere: verisimile nanque est ex jecoris regionibus, unde sanguinis distributio fit, & calorem & humorem hauriri. Porro in excandescentia cor atque insimul per totum animal discurrentes arteriæ, majorem vehementioremque pulsatum efficere cernuntur. Æquum est autem & cordis dilatationem implentia tunc plura adduci. In caput verò plus humoris colorisque efferri, oculos, totamque faciem occupans rubor significat: F quinetiam si tetigeris, calidiores evasisse tibi hæ partes apparebunt. Evidenter quoque & oculi emicant, unaque præminentiores facti esse videntur, & universum caput calidius. At lætitia, inquit, relaxat cor, hoc est ipsum derelinquunt antedicta. Nempe prædictorum cognitio utilis est, ut ira evitetur nonnunquam, nonnunquam de industria excitetur. Vitetur quidem, quum cor & caput naturali intemperie

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η′.

ΤΟ ψυχρὸν, καὶ ἐπικουρέει, καὶ κτείνει ὁκόσα ἐκ θερμοῦ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙς ἀνάμνησιν ἑαυτοῦ καὶ τοῦτ᾽ ἔγραψε τῆς προειρημένης ἀποφάσεως καθόλου μέρος ὑπάρχον. τὸ γάρ τι ψυχρὸν, ἐπικουρεῖ μὲν τοῖς ψυχροῖς πάθεσι, κτείνει δὲ τοὺς θερμοὺς νοσοῦντας. ἀφ᾽ ἑνὸς γὰρ ὡς ἐπὶ παραδείγματος ἐπὶ πάντα τἀναντία μετάγειν χρὴ τὸν λόγον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ′.

ΟΞυθυμίη ἀνασπᾷ καὶ καρδίην, καὶ πνεύμονα ἐς ἑωυτὰ, καὶ ἐς κεφαλὴν, καὶ τὰ θερμὰ, καὶ τὸ ὑγρόν. ἡ δὲ εὐθυμίη, ἀφίησι καρδίην.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΙνιγματωδέστερον ἡ λέξις σύγκειται, καὶ διὰ τοῦτο, καὶ γραφὰς αὐτῆς πλείονας ἐποιήσαντο, καὶ ταῖς γραφαῖς οἰκείας ἐξηγήσεις, ἀληθέστερον δ᾽ ἂν εἴποι τις, οὐ ταῖς γραφαῖς τὰς ἐξηγήσεις, ἀλλὰ ταῖς ἐπινοηθείσαις ἐξηγήσεσι, προσαναπεπλάκασι τὰς γραφάς. εὐθὺς οὖν, ἡ, ἀνασπᾷ, ῥῆσις τί ποτε σημαίνει κατὰ τὴν λέξιν; ἀνασπᾶσθαι τὴν καρδίαν, καὶ τὸν πνεύμονα λέγειν αὐτὸν ὑπὸ τῆς ὀξυθυμίης ἐξηγησόμεθα, προσκειμένου δὲ τοῦ, ἐς ἑωυτὰ, καὶ ἐς κεφαλὴν, διανοίας ἑτέρας ἔμφασις γὰρ τοιαύτης, ἡ καρδία, καὶ ὁ πνεύμων ἀνασπᾷ, καὶ εἰς ἑαυτὰ, καὶ εἰς τὴν κεφαλὴν, καὶ τὰ θερμὰ, καὶ τὸ ὑγρόν. ὄντος καὶ τοῦ, θερμὰ, πλησίον ἀδιανοήτου. θερμὸν γὰρ ἐχρῆν, ἢ θερμὰ εἰρῆσθαι μᾶλλον. ἄμεινον οὖν ἐστὶν ἴσως ἀπογνόντα τῆς κατὰ μέρος ἐν τῇ ῥήσει λέξεως, ὡς συγκεχυμένης, ἔκφρασιν αὐτῆς μᾶλλον, ἢ παράφρασιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ ποιήσασθαι. τοῦτο δ᾽ ἀδύνατον γενέσθαι μὴ κἂν ἕν γ᾽ ἔπι τῶν ὀνομάτων ἐξηγησαμένων ἡμῶν, ὅπερ ἐστὶ τὸ ἀνασπᾶν. δυοῖν γὰρ θάτερον, ἐν ταῖς ὀξυθυμίαις, ἤτοι τὸν πνεύμονα, καὶ τὴν καρδίην εἰς τὴν κεφαλὴν ἀνασπᾶσθαι φαίη, ἢ τὴν καρδίην, καὶ τὸν πνεύμονα, καὶ τὴν κεφαλὴν ἀνασπᾷν εἰς ἑαυτά τό, τε θερμὸν καὶ τὸ ὑγρόν. πιθανὸν γὰρ ἐκ τῶν κατὰ τὸ ἧπαρ χωρίων, ὅθεν ἡ χορηγία τοῦ αἵματός ἐστιν, ἀνασπᾶσθαι τήν τε θερμασίαν, καὶ τὴν ὑγρότητα. φαίνεται οὖν ἐναργῶς ἐν ταῖς ὀξυθυμίαις, μείζονά τε καὶ σφοδρότερον ἡ καρδία ποιουμένη τὸν σφυγμὸν ἅμα ταῖς καθ᾽ ὅλον τὸ ζῶον ἀρτηρίαις. εὔλογον δὲ καὶ τὰ πληρώσαντα τὴν διαστολὴν αὐτῆς, ἕλκεσθαι τηνικαῦτα πλείω, οὐ δὲ πρὸς τὴν κεφαλὴν ἀναφέρεσθαι τό τε ὑγρὸν, καὶ τὴν θερμασίαν πλείονα, σημεῖόν ἐστι, τὸ κατὰ τοὺς ὀφθαλμούς τε καὶ τὸ πρόσωπον ὅλον ἔρευθος. ἀλλὰ καὶ εἰ ἅψαιο, θερμότερα ταῦτα φαίνεταί σοι γεγονότα. προδήλως τε καὶ οἱ ὀφθαλμοὶ λάμπουσί τε ἅμα, καὶ προπετέστεροι δηλοῦσι γεγονέναι, καὶ ἡ σύμπασα κεφαλὴ θερμοτέρα, κατὰ δὲ τὴν εὐθυμίην, φησὶ, ἀφίησι τὴν καρδίαν, τουτέστι καταλείπει τὰ προειρημένα. χρήσιμος δὲ τῶν εἰρημένων ἡ γνῶσις εἰς τό ποτε μὲν φυλάττεσθαι τὴν ὀξυθυμίαν, ποτὲ δ᾽ αὐτὴν ἐπιτηδεύειν. φυλάττεσθαι μὲν, ὅταν ἡ καρδία καὶ ἡ κεφαλὴ θερμότεραι

τοῦ προσήκοντος ὑπάρχουσι κατὰ φυσικὴν δυσκρασίαν, ἤ τι πάθος θερμὸν ἐπίκτητον. ἐπιτηδεύειν δὴ ἐν τοῖς πάθεσι ψυχικοῖς, καὶ τῇ φύσει ψυχροτέρᾳ κεφαλῇ. ὡσαύτως δὲ ἡ καθ' ὅλον τὸ σῶμα κρᾶσις, εἰ μὲν εἴη θερμοτέρα τοῦ δέοντος, ἤτοι κατὰ πάθος, ἢ φύσει, βλαβήσεται μεγάλως ὑπὸ τῆς ὀξυθυμίης. ἡ δ' ἐναντία τῇδε, μεγάλως ὀνήσεται· τοῦτο γάρ τοι καὶ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν ἐδείκνυμεν ὑπ' αὐτοῦ δεδιδαγμένον, ἡνίκ' ἔλεγεν. ἐπιτηδεύειν ὀξυθυμίην ἐμποιέειν, καὶ χροιῆς ἀναλήψιος ἕνεκα, καὶ χυμάσιος.

A supra modum calidiora sunt, aut aliquo adventitio calido affectu laborant: excitetur autem in frigidis vitiis & natura frigidiore corde & capite. Eodem modo, & totius corporis temperatura, si calidior quàm par sit, aut morbo, aut natura fuerit, magnopere iracundia offendetur: illi autem contraria magnopere hac juvabitur. Id enim & in secundo de morbis popularibus ab ipso fuisse traditum ostendimus, ubi dicebat; Danda est opera ut ira excitetur & coloris, & succi recuperandi causa.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

Πόνος τοῖσιν ἄρθροισι, καὶ σαρξὶ σῖτος, ὕπνος, σπλάγχνοισι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ τὸ, πόνος, ὄνομα πολλάκις μὲν εἴωθεν ὁ Ἱπποκράτης ἀντὶ τοῦ γυμνασίου λέγειν, ἐνίοτε ἀντὶ τῆς ὀδύνης, ἢ ἁπλῶς ἡστινοσοῦν βλάβης, ὡς ἐν πολλοῖς ὑπομνήμασιν ἤδη μεμαθήκατε. διὰ τοῦτο τοίνυν ἄλλος ἐπ' ἄλλο τῶν τριῶν σημαινομένων ἧκε τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὁ μέν τις ἡγούμενος αὐτὸν λέγειν τὸ γυμνάσιον, τοῖς ἄλλοις τε, καὶ ταῖς σαρξὶν, οἷόν περ σῖτον εἶναι, τουτέστι τροφὴν, καὶ ῥώμην, καὶ ὠφέλειαν. αὐξάνεσθαι γὰρ αὐτίκα, καὶ κρατιοῦσθαι, καὶ ῥώννυσθαι διὰ τῶν γυμνασίων οὐδὲν ἧττον, ἢ διὰ τῶν τροφῶν. ὁ δέ τις ἄλγημα, καὶ ὀδύνην τοῖς ἄρθροις τε καὶ ταῖς σαρξὶ τὸν πολὺν σῖτον, ἤκουσεν εἰρῆσθαι. τὴν γὰρ πληθώραν οὐ μόνον δυσκίνητα ποιεῖν τά τε ἄρθρα, καὶ τὰς σάρκας ὅπερ ἐστὶ τοὺς μῦς. ἐν τούτοις γὰρ τὸ τῶν σαρκῶν γένος, ἀλλὰ καὶ ῥευματίζειν, ὡς ὀδύνας ἐργάζεσθαι. ταύτῃ δὴ ἕπεται τῇ γνώμῃ, καὶ τὸ κατὰ τὸ τρίτον σημαινόμενον, ἡγουμένων εἶναι τὸν πολὺν σῖτον, ὅπερ ἐστὶ τὴν πληθώραν, βλάβην εἶναι τοῖς τε ἄρθροις, καὶ ταῖς σαρξὶν, οὐ μόνον δὲ σαρξὶ καὶ ἄρθροις, ἀλλὰ καὶ πᾶσι τοῖς μορίοις τοῦ σώματος ἡ πληθώρα, καὶ βλάβην εἴωθε καὶ ὀδύνας ἐπιφέρειν. καὶ μέντοι καὶ τὸ δεύτερον μέρος τῆς ῥήσεως ἐν ᾧ φησὶν, ὕπνος σπλάγχνοισι, τὴν μὲν διάνοιαν ἕξει τοιαύτην. ὥσπερ ὁ πόνος τοῖς ἄρθροις, καὶ ταῖς σαρξὶν, οὕτως ὁ σῖτος τοῖς σπλάγχνοις, ἤτοι γυμνάσιον ἔσται φέρον εὐεξίαν, ἢ ὀδύνην, ἢ βλάβην οἴσει. γυμνάζεσθαι μὲν ἐν τοῖς ὕπνοις τὰ σπλάγχνα, καθόσον ἐνεργεῖ μάλιστα τηνικαῦτα, καὶ κατεργάζεται τὴν τροφὴν, ἀκούειν ἄν τις δύναιτο. βλάβην δέ τινα καὶ ὀδύνην ἐπιφέρειν οὐκ ἀληθὲς, ἀνωδυνίαν τε γὰρ καὶ ὠφέλειαν μᾶλλον ὁ ὕπνος, οὐ τοὐναντίον πέφυκεν ἐργάζεσθαι· πλὴν εἴ τις ἐν ἀρχαῖς παροξυσμῶν λέγοι ταῦτα ποιεῖν αὐτόν. ἀλλὰ νῦν γε, χωρὶς διορισμοῦ τῆς ῥήσεως γεγραμμένης, οὐκ ἀληθὴς ὁ λόγος ἔσται. μήτοι τοίνυν ἄμεινόν ἐστιν οὕτως ἀναγινώσκειν, πόνος τοῖς ἄρθροις, καὶ ταῖς σαρξίν. εἶτ' ἀφ' ἑτέρας ἀρχῆς, σῖτος ὕπνος σπλάγχνοισιν, ἵν' ὁ λόγος γένηται τοιόσδε, τὸ μὲν γυμνάσιον τοῖς ἄρθροις, καὶ ταῖς σαρξὶν ὠφέλειαν παρέχει, σῖτος δὲ καὶ ὕπνος τοῖς σπλάγχνοις. τοῦ γὰρ ἐμφύτου θερμοῦ συννεύοντος εἰς τὸ βάθος ὡς αὐτὸς ἐδίδαξεν, αἵ τε πέψεις τῶν σιτίων ἀμείνους γίνονται, καὶ τρέφεται τηνικαῦτα τὰ σπλάγχνα. κατὰ δὲ τὴν ἐγρήγορσιν ἀποτεινομένου πρὸς τὸ δέρμα τοῦ ἐμφύτου θερμοῦ, τὰ σπλάγχνα ψυχρότερα γι-

HIPPOCRATIS TEXTUS X.

Labor articulis & carnibus: cibus, somnus visceribus.

GALENI COMMENTARIUS.

Quoniam hoc nomen, *labor*, sæpius consuevit Hippocrates pro exercitatione accipere, interdum pro dolore, aut absolute pro qualibet noxa, ut in multis Commentariis antea C didicistis, iccirco igitur ex Libri Explanatoribus alius aliud trium significatorum accipiens, aliquis arbitratur sanè ipsum dicere, exercitationem articulis carnibusque veluti cibum esse, id est, alimentum, robur, adjumentum: illico enim augeri, confirmari ac roborari exercitationibus haud secius quàm cibis. Quidam verò articulis & carnibus multitudinem cibi dolorem cruciatumque afferre, per hæc verba significari intellexit: nam repletionem haud solùm articulos ad motum tardos reddere, & carnes, hoc est musculos (in istis enim carnium D genus continetur) sed etiam fluxiones movere, & ex eo dolorem excitare. Huic verò sententiæ & illud consentit: quod per tertium significatum intelligitur, nonnullis opinantibus multum cibum, hoc est plenitudinem, articulis, & carnibus nocere. At non solùm carnibus, & articulis, sed etiam omnibus corporis partibus plenitudo & noxam, & dolores inferre consuevit. Secunda quidem Aphorismi hujus particula, ubi dicit, somnus visceribus, hanc habebit sententiam: Quemadmodum labor articulis, & carnibus, sic & somnus visceribus, aut E exercitatio erit bonum creans habitum, aut dolorem noxamve inferet. Exerceri siquidem in somnis viscera, quatenus tunc operantur maxime, & alimentum conficiunt, rectè quispiam intelligere potest: noxam vero aliquam, & dolorem in somnis excitari, id verum non est: indolentiam enim potius & remedium, quam contrarium, afferre somnus suapte natura idoneus est, nisi quispiam initiis accessionum hæc ipsum facere dixerit; verùm hoc loco sine ulla distinctione scriptis verbis, sermo neutiquam F verus fuerit. Num igitur fortasse hoc modo legere satius est? labor articulis, & carnibus, deinde ab altero principio, cibus somnus visceribus, ut oratio hujusmodi sit: Exercitatio quidem articulis, & carnibus utilitatem præbet, cibus verò, & somnus visceribus. Naturali enim calido in profundum vergente, ut ipse tradidit, & ciborum concoctiones meliores fiunt, & tunc viscera nutriuntur: at in vigilia naturali calido ad cutem profuso, viscera seipsis

A frigidiora evadunt: & quæ ipsis in somnis inerant, hæc artubus omnibusque extimis partibus in vigilia.

νει) σφῶν αὐτῶν. ἃ δὲ ἐκείνοις ὑπῆρχεν ἐν τοῖς ὕπνοις, ταῦτα τοῖς κώλοις τε καὶ πᾶσι τοῖς ἐκτὸς, ἐν τῷ ἐγρηγόρσεσιν.

HIPPOCRATIS TEXTUS XI.

ANimæ deambulatio, cogitatio hominibus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια΄.

ΨΥχῆς περίπατος, φροντὶς ἀνθρώποισι.

GALENI COMMENTARIUS.

DEambulationem pro exercitatione omnes Libri Interpretes acceperunt, ut oratio ita se habeat. Hominis cogitationes exercitatio, appellatione deambulationis, pro exercitatione suscepta: vox enim hæc, deambulatio, speciem quandam exercitationis significat. Quum autem affectata quædam narratio sit, haud injuria ipsam Dioscorides repudians, non scripsit, peripatos, hoc est deambulatio, sed literam ν adjiciens legit, περὶ πάντος, hoc est de omni, ut locutio talis sit: animæ de omni cogitatio hominibus: ejus vero sententia est, In qualibet re homines vim rationis exercitare debent: nam mentis volutationes cogitationes appellantur. Unde & Socratem cogitatorem vocabant, & prudentia hominis consilia cogitationes nominabant, ut in Aristophanis Nebulis invenire licet, ubi Socratem lacerat, & tanquam inania garrientem vituperat. Si cui vero philosophicam speculationem, non medicinalem, sermone iste sapere videatur, primum animadvertite, ipsum omnium rationalium artium esse communem, in quibus vim rationandi exercere convenit, ut & ab aliis multis medicis, & ab Erasistrato non raro dictum. Deinde, & vitia quædam oboriuntur, aliqua vires animæ cogitandi ac memorandi veluti stupefacientia, aliqua sopores graves, atque profundos inducentia. Sic affectis igitur utiles esse cogitationes, putandum est, ut alibi ipse prodidit; Excandescentias utiles esse ad bonos succos creandos, & naturalem habitum recuperandum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B ΤΟν περίπατον ἀντὶ τοῦ γυμνασίου πάντες ἤκουσαν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, ἵν᾽ ὁ λόγος ᾖ τοιόσδε. τοῖς ἀνθρώποις αἱ φροντίδες γυμνάσιον. προσηγορίᾳ κεχρῆσθαι τῇ τοῦ περιπάτου δηλούσης τῆς φωνῆς ταύτης εἶδός τι γυμνασίου. κακοζήλου δὲ τῆς ἑρμηνείας οὔσης, εἰκότως αὐτὴν ὁ Διοσκορίδης φυλαττόμενος, οὐ περίπατον ἔγραψεν, ἀλλὰ προσθεὶς τὸ ν γράμμα, περὶ παντὸς, ὥστε γίνεσθαι τὴν λέξιν τοιάνδε. ψυχῆς περὶ παντὸς φροντὶς ἀνθρώποις, ἵν᾽ ᾖ δηλούμενον ἐξ αὐτῆς, περὶ παντὸς τοῖς ἀνθρώποις, ἀσκητέον ἐστὶ τὸν λογισμόν. αἱ γάρ τοι διανοήσεις, ὀνομάζονται φροντίδες, C ὅθεν καὶ τὸν Σωκράτην φροντιστὴν ἐκάλουν, καὶ φροντίδας τὰ σοφὰ βουλεύματα τἀνδρὸς ὠνόμαζον, ὡς κἂν ταῖς Ἀριστοφάνους νεφέλαις ἐστὶν εὑρεῖν ἔνθα κωμῳδεῖ, καὶ σκώπτει τὸν Σωκράτην ὡς ἀδολέσχην. εἰ δέ τῳ δόξῃ φιλοσόφου θεωρίας οὐκ ἰατρικῆς ὁ λόγος ἔχεσθαι, πρῶτον μὲν ἐνθυμείσθω, κοινὸν ἁπασῶν εἶναι τῶν λογικῶν αὐτὸ τεχνῶν ἐν αἷς τὸν λογισμὸν χρὴ γυμνάζειν, ὡς ἄλλοις τε πολλοῖς εἴρηται τῶν ἰατρῶν, Ἐρασιστράτῳ τ᾽ οὐκ D ὀλιγάκις. ἔπειτα δὲ καὶ πάθη τινά ἐστι, τὰ μὲν οἷον ναρκοῦντα τὸ λογιστικὸν, καὶ τὸ μνημονευτικὸν τῆς ψυχῆς, τὰ δὲ καρώδη καὶ καταφορικὰ, τούτοις οὖν ἡγητέον ὠφελίμους εἶναι τὰς φροντίδας, ὡς ἐν ἄλλοις ἐδίδαξε, τὰς ὀξυθυμίας εἶναι χρησίμους εἰς εὐχυμίαν τε, καὶ τῆς κατὰ φύσιν ἕξεως ἀνάκτησιν.

HIPPOCRATIS TEXTUS XII.

IN vulneribus sanguis concurrit. Subveniendum ut vacuum impleatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ΄.

E *ἘΝ τοῖσι τρώμασι τὸ αἷμα συντρέχει, βοηθητέον ὡς τὸ κενὸν πληρωθῆναι.*

GALENI COMMENTARIUS.

OBscura involutaque est & hujusmodi locutio: neque enim quid illud verbum, concurrere, significet, clarum est, neque item quid illud, ut vacuum impleatur. Propterea ergo nonnulli Interpretes de sanguinis in vulneribus profluvio sermonem hunc esse aiunt: aliqui de superveniente inflammatione. Utrique enim in vulneratam partem confluere sanguinem censent, & in omni corpore venas inaniri: quibus prospiciendum esse dicunt, ut iterum scilicet repleantur: ipsarum autem repletionem esse duplicem, vulneratæ partis, sanguine, per frigida, astrictoriaque medicamenta, represso, & per idoneum membri situm relabente. Alii vero quidam non de vulneribus solum, sed etiam de ossibus valde contractis, maximeque ubi ipsorum aliquâ pars extra cutim emineat, simi-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑἸνιγματώδης καὶ ἥδε ἡ ῥῆσίς ἐστι. οὔτε γάρ τι τὸ συντρέχειν δηλοῖ, σαφές ἐστιν, οὔτε τι, κενὸν πληρωθῆναι. διὰ τοῦτ᾽ οὖν ἔνιοι μὲν τῶν ἐξηγητῶν εἰρῆσθαι τὸν λόγον φασὶ περὶ τῆς ἐπὶ τραύμασιν αἱμοῤῥαγίας, ἔνιοι δὲ περὶ τῆς ἐπιγινομένης φλεγμονῆς. ἑκάτεροι γὰρ ἀξιοῦσιν εἰς τὸ τετρωμένον μέρος ἐπιῤῥεῖν αἷμα, καὶ μέντοι καὶ τούτου F γινομένου, κενοῦσθαι τὰς ἐν ὅλῳ τῷ σώματι φλέβας, ὧν προνοητέον εἶναί φασιν, ὡς ἂν πληρωθῶσιν αὖθις. εἶναι δὲ τὴν πλήρωσιν αὐτῶν διττὴν, ἀνασταλλομένου μὲν ὑπὸ τῶν ψυχόντων καὶ στυφόντων φαρμάκων, καὶ σχήματος δὲ ἐπιτηδείου τοῦ συῤῥέοντος, αἵματος ἐπὶ τοῦ τετρωμένου τραυματίου. τινὲς δὲ οὐκ ἐπὶ τραυμάτων μόνον, ἀλλὰ κἀπὶ τῶν σφοδρῶς συντριβέντων ὀστῶν, μάλιστ᾽ ἐφ᾽ ὧν ἔξω τοῦ δέρματος προέχει τι μέρος αὐτῶν, ὡσαύ-

A τας δὲ κἀπὶ τῶν τοιούτων ἐξαρθρημάτων, ἁπασῶν τε, τῶν μεγάλην θλάσιν ἐν τῷ σώματι ποιουσῶν πληγῶν, τὸν λόγον εἰρῆσθαί φασι. τρώματα γὰρ ὀνομάζει Ἱπποκράτης τὰς μεγάλας βλάβας ἔκ τινος τῶν ἔξωθεν γινομένας, εἰ καὶ χωρὶς τραύματος. τῇ δὲ περὶ τοῦ συῤῥέχειν εἰς ταῦτα τὸ αἷμα, καὶ πληροῦν τὸ ἐκκενωθὲν, αὕτη καὶ τοῖς ταῦτα λέγουσιν ἐξήγησις. ὅτι μὲν οὖν ὁ Ἱπποκράτης εἴθισται τρώματα καλεῖν τὰς τοιαύτας βλάβας ἐν πολλοῖς ἤδη τῶν βιβλίων αὐτοῦ μεμαθήκαμεν. εἰ δὲ καὶ νῦν ἐκείνων μέμνηται, προπετὲς εἰπεῖν. B ἔνιοι δ' ἐπὶ τῶν αἱμοῤῥαγούντων τρωμάτων πληροῦν, ἐπιθέσει φαρμάκων τε τῶν ἐπιτηδείων, καὶ μοτῶν.

liter vero, & de hujusmodi omnibus luxationibus, verberibusque magnam in corpore contusionem fabientibus, sermonem hunc audiendum esse contendunt: tromata enim, hoc est, ictus, nominat Hippocrates, magnas noxas ab aliquo externo etiam sine vulnere illatas. Quod autem concurrat ad hæc sanguis, & quod evacuatur repleatur, eodem & hæc dicentes modo explanant. Verum quod Hippocrates hujusmodi læsiones tromata vocare consueverit, jam in multis ipsius Libris didicimus: nunquid vero & nunc ita intellexerit, temerarium est affirmare. Aliqui autem in vulneribus sanguine manantibus replere opus esse dixerunt, idoneis videlicet medicinis, ac linamentis impositis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγʹ.

Ἢν οὖς ἀλγέῃ, εἴριον περὶ τὸν δάκτυλον ἑλίξας ἐγχεῖν ἄλειφα θερμὸν, ἔπειτα ὑποθεὶς ἔσω ἐν τῷ θέναρι τὸ εἴριον ὑπὸ τὸ οὖς ἐπιθεῖναι, ὡς δοκέῃ τι οἱ ἐξιέναι, ἔπειτα ἐπὶ πῦρ ἐπιβάλλειν, ἀπάτη.

HIPPOCRATIS TEXTUS XIII.

Si auris doleat, lana digito circundata unguen calidum infundito. Deinde injiciens interius in volam, lanam auri subjicito, ut ipsi aliquid effluere videatur. Deinde in ignem projicito dolo.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταύτην τὴν ῥῆσιν ὑπωπτεύσαντό τινες ὡς παρεγγεγραμμένην, οὐχ ἥκιστα διὰ τὸ προσκείμενον ἐπὶ τῷ τέλει λεξίδιον, τὴν ἀπάτην. ὁ μὲν γὰρ περὶ αὐτῆς λόγος, τοιοῦτός τίς ἐστιν. ἐὰν οὖς ἀλγῇ τις, εἴριον περὶ τὸν δάκτυλον ἑλίξας δηλονότι τὸν λιχανόν. ἐγχωρεῖ δὲ καὶ περὶ τὸν ἀντίχειρα, βρέχων ἄλειφα, τουτέστιν ἤτοι ἐλαίῳ, ἢ πιμελῇ D τετηκυίᾳ τὸ εἴριον ἐνστάζειν εἰς τὸ οὖς, ὡς καὶ νῦν εἰώθαμεν ποιεῖν διὰ τῆς ἠμφιεσμένης ἐρίῳ μηλωτίδος, οὐ μόνον ἄλειφα καθάπερ αὐτὸς ὠνόμασεν, ἀλλὰ καὶ πᾶν ἄλλο φάρμακον ὑγρὸν ἐγχέοντες. ἔστω δὲ δηλονότι τὸ φάρμακον ἐν ᾧ τέγγουσι, θερμαινόμενον ἐπὶ πολυχνιαίας φλογὸς, ἢ ἐπὶ τοῦ καλουμένου κηρίωνος. ἐγχεῖν δ' οὐχ ἅπαξ ἢ δὶς, ἀλλὰ πολλάκις ὡς ἀποῤῥεῖν τι, πρὸς τὴν ἐκτὸς χώραν τοῦ πόρου τοῦ ἀκουστικοῦ. τὸ δ' ἀποῤῥέον τοῦτο μὲν ἡμεῖς ἁπλῶς εἴριον ὑποτιθέντες, δεχόμεθα. κελεύει δ' ὁ Ἱπποκράτης ἐπὶ τῷ E θέναρι τῆς χειρὸς ἡμῶν ἐπικεῖσθαι τοῦτο, τῆς ἀριστερᾶς χειρὸς δηλονότι τὸ ἀποῤῥέον ἐκ τοῦ ὠτὸς ὑγρὸν ἀποδεχόμενον, ᾧ καὶ δῆλον ὡς οὐχ ἅπαξ, ἢ δὶς, ἀλλὰ καὶ πλεονάκις ἐγχεῖν κελεύει, τούτῳ δ' ἐφεξῆς, εἰ μὲν ἁπλῶς ἦν γεγραμμένον. ἔπειτα ἐπὶ πῦρ ἐπιβάλλειν, εὐλόγως ἂν ἔφαμεν ἐξηγεῖσθαι τοὺς εἰπόντας ἕνεκα τούτου κατὰ τοῦ πυρὸς ἐπιβάλλειν ἀξιοῦν αὐτὸν, ὡς δοκιμάσαι διὰ τῆς ὀδμῆς ὁποῖόν ἐστιν. αὐτὸς γὰρ οὕτω καὶ τὸ μετὰ βηχὸς ἀναπτυόμενον ἐκ πνεύμονος ἐδοκίμασεν. ἐπεὶ δὲ προσκεῖται κατὰ τὸν λόγον, ὡς δοκέῃ τι οἱ ἐξιέναι, καὶ φαίνεται τὸ δοκέῃ συμφωνεῖν τῷ κατὰ τὸ τέλος εἰρημένῳ F τῆς ῥήσεως ὅλης τῷ, ἀπάτη, διὰ τοῦτο ἀποστάντες οἱ δοκιμώτεροι τῶν ἐξηγητῶν, ἐπὶ τῇ τοῦ κάμνοντος ἀπάτῃ πρὸς τὴν τοιαύτην ἐνέργειαν ἀφῖχθαι φασὶ τὸν Ἱπποκράτην· παρηγορεῖσθαι γὰρ ἐνίοτε κἀκ τῶν τοιούτων τοὺς κάμνοντας, ἡγεῖσθαί τε θεραπείαν ἑαυτῶν ἐπιμελεστέραν γίνεσθαι, καὶ μέντοι, καὶ μείζονα τῶν ὄντων τὰ πάθη φαίνεσθαι τοῖς κάμνουσι, χρήσιμον εἶναί φασιν εἰς τὸ μὴ μέμφεσθαι τοῖς προνοουμένοις, ὡς οὐ ταχέως

GALENI COMMENTARIUS.

Nonnulli propter vocem in calce positam, *dolo* hunc sermonem haud immerito adulterinum, interjectumque esse suspicati sunt. Narratio enim ante ipsam talis quodam modo est: si cui auris doleat, lanam, digito indici videlicet, interdum etiam pollici circundatam, unguine, id est, aut oleo, aut adipe liquata lanam imbuens, in aurem instillato: quemadmodum & hisce temporibus facere solemus per specillum lana involutum non unguen solùm, ut ipse nominavit, sed omne aliud liquidum medicamen infundentes. Esto autem liquidum illud medicamen quo lanam inficimus, ad lucernæ flammam, aut ad candelam ceream calefactum. Instillare autem non semel aut bis, sed sæpiùs convenit, ut aliquid ad extimam partem foraminis auditorii profluat: istud verò emanans, subjecta duntaxat lana nos excipiamus. Jubet autem Hippocrates lanam hanc humorem ex ore defluentem excepturam in vola manus nostræ, sinistræ scilicet poni. Ex eo constat, non semel aut bis, sed etiam sæpius nos infundere ab eo præcipi: Quod sequitur autem, si absolutè quidem scriptum esset, deinde in ignem projicito, rectè eos interpretari diceremus, qui ipsum propterea dicunt igni injiciendum esse putare, ut ab odore, qualenam sit, investigetur: ipse nanque hoc pacto, & quod ex pulmone per tussim extruditur, examinavit: Quoniam verò huic orationi adjectum est, ut ipsi aliquid effluere videatur: & hæc vox, *videatur*, extremo hujus totius narrationis verbo, dolo scilicet respondere comprehenditur; propterea & magis laudati interpretes in hanc opinionem devenerunt, ut decipiendi ægroti causa ad hoc agendum accessisse Hippocratem dicant: interdum enim ex his rebus solatium capere ægrotantes, arbitrarique diligentiorem de se ipsis curam haberi. Atqui majora etiam, quàm sint, vitia laborantibus apparere, utile esse tradunt, ut ne Medicis tanquam non celeriter ea curantibus irascantur: utque certæ & exquisitæ

victus rationi obtemperent: nonnulli etiam addunt, & mercedes majores, & munera ampliora, quisanati fuerint, Medicis esse daturos, utpote magnis languoribus se liberatos esse arbitrantes. Hoc nonnulli rursum haud secundùm Hippocratis sententiam esse ducunt: ideoque totam hanc partem ab alio interjectam esse suspicantur. Neque enim de propositis verbis illud dicendum est, quod nonnulli probabiliter invenisse se existimant, doloris mitigationem dolum vocatum esse putantes, perinde ac non idem sit, & morbosum affectum curare, radicem veluti extirpantes, & dolorem mitigantes lenire. Porro nonnunquam id ipsum totum affectum pejorem reddit, quemadmodum in intestini laxioris doloribus antidota ex opio, & alterco, & mandragora, & styrace composita: ita nanque membra circunrefrigerantia, ut iterum ab iisdem causis offendantur, paratiora efficiunt. Sed neque ob mitigandum dolorem, ut dixi, hæc vox, *dolus*, seu deceptio ascribi potuit: adversatur enim illis verbis, ut aliquid ipsi exire videatur, eo, qui ita scripsit, indicante, decipiendorum ægrotantium causa ad hanc manuariam operam Medicos accedere: Satius igitur fuerit, hæc verba nequaquam esse Hippocratis existimare.

A ἰωμένοις αὐτά, καὶ πρὸς τὸ πείθεσθαι τῇ κατὰ τὴν δίαιταν ἀκριβείᾳ. τινὲς δὲ προστεθείκασιν, ὅτι καὶ μισθοὺς μείζονας, καὶ δῶρα, θεραπευθέντες δώσουσι τοῖς ἰατροῖς ἐκ μεγάλων παθῶν ἀπηλλάχθαι νομίζοντες. ὅπερ αὖ πάλιν ἐνίοις οὐ κατὰ τὴν Ἱπποκράτους προαίρεσιν εἶναι φαίνεται, καὶ διὰ τοῦτο τὴν ῥῆσιν ὅλην ὑποπτεύουσιν ὡς παρεγγεγραμμένην. οὐδὲ τοῦτό ἐστιν εἰπεῖν περὶ τῆς προκειμένης ῥήσεως, ὅπερ ἔνιοι πιθανῶς ἔδοξαν εὑρηκέναι τὴν παρηγορίαν τῆς ὀδύνης, ἀπάτην εἰρῆσθαι νομίζοντες, ὡς οὐ ταὐτὸν ὄν, ἰᾶσθαί τε τὴν νοσώδη διάθεσιν, ἐκκόπτοντας τὴν οἷον ῥίζαν αὐτῆς,
B ὀδύνην τε πραΰνειν παρηγορήσαντας. ἐνίοτε γοῦν αὐτὸ τοῦτο χείρονα τὴν ὅλην διάθεσιν ἐργάζεται, καθάπερ ἐπὶ τῶν κολικῶν, αἱ δι' ὀπίου, καὶ ὑοσκυάμου, καὶ μανδραγόρας, καὶ στύρακος συντεθεῖσαι ἀντίδοτοι. περιψύχουσαι γὰρ αὗται τὰ μόρια, καὶ πρὸς τὸ, δεύτερον ἐκ τῶν αὐτῶν αἰτιῶν παθεῖν ἑτοιμότερα παρασκευάζουσιν, ἀλλ' οὐδὲ διὰ τὸ πραΰνειν τὴν ὀδύνην, ὡς ἔφην, οἷόν τ' ἐστὶ δέξασθαι προσγεγράφθαι τὴν ἀπάτην. ἐναντιοῦται γὰρ τῷ, ὡς δοκεῖν τι οἱ ἐξιέναι, τοῦ γράψαντος οὕτως ἐνδεικνυμένου τῶν καμνόντων ἀπάτης ἕνεκεν, ἐπὶ τὴν τοιαύτην χειρουργίαν ἀφικνεῖσθαι τοὺς
C ἰατρούς. ἄμεινον οὖν ὑπολαμβάνειν οὐδ' ὅλως εἶναι τὴν ῥῆσιν Ἱπποκράτους.

HIPPOCRATIS TEXTUS XIV.

Lingua lotium significat, linguæ virides biliosæ: Biliosum autem à pingui, rubræ verò à sanguine, nigræ ab atra bile, aridæ à fuliginosa exustione, & ab uterino membro, Albidæ verò à pituita.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Γλῶσσα οὖρον σημαίνει, γλῶσσαι χλωραὶ, χολώδεες. τὸ δὲ χολῶδες ἀπὸ πίονος, ἐρυθραὶ δὲ ἀφ' αἵματος, μέλαιναι δὲ, ἀπὸ μελαίνης χολῆς. αὖαι δὲ, ἀπὸ λιγνυώδεος ἐγκαύσιος, καὶ μητρῴου μορίου, λευκαὶ δὲ, ἀπὸ φλέγματος.

GALENI COMMENTARIUS.

Linguam cujusmodi sit lotium, indicare ait, ut propriè sic vocatum quod quotidie mixtu ejicimus, aut succorum serum. Uterque autem modus in eandem sententiam recidit: etenim lingua sicut & urina, succorum affectiones detegit. Atque ita fructu ex his verbis decerpto, quidnam lotium significet, ex abundanti perquiremus. Utile autem, quod in tota hac parte nos edocet, istud est, linguas aliquas bilis abundantiam significare: aliquas sanguinis, aut id genus aliorum cujuspiam: de quibus omnibus in sequentibus speculabimur. In his enim, quæ ad artis opera conducunt, diu versandum censeo: prætereunda autem ea, quæcunque sophistice investigata sunt. Virides itaque linguas dixit, ut in communi vitæ usu mortales nominant virides quosdam se vidisse dicentes, quibus in biliosis color mutatus fuerit, ob pallidam scilicet bilem. Hanc enim simpliciter appellant, non sicut alias cum adjectione, aut atram, aut æruginosam, aut rubram, aut flavam, aut vitellinam appellantes. Flava quidem bilis proxima pallidæ est, & ejusdem fere generis. Dicunt autem plerunque non adjicientes pallidam, ita absolutè hominem vomuisse bilem; sed de flava rarò quispiam absolute protulisse invenitur; statim enim ipsi coloris nomen adjiciunt, flavam bilem vomuisse quempiam dicentes, aut puram bilem: Æruginosam verò & atram bilem nullus, ne-

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν γλῶτταν φησὶ σημαίνειν ὁποῖόν ἐστι τὸ οὖρον, ἤτοι τὸ κυρίως οὕτως ὀνομαζόμενον, ὃ καθ' ἑκάστην ἡμέραν ἀποκρίνομεν, ἢ τὸν τῶν χυμῶν ὀῤῥόν. ἑκάτερος δ' αὖ ὁ λόγος ἐπὶ τὴν τοιαύτην ἥκει διάνοιαν. ἡ γάρ τοι γλῶττα τῆς ἐν τοῖς χυμοῖς διαθέσεώς ἐστι δηλωτικὴ, καθάπερ καὶ τὰ οὖρα, καὶ τό, τε χρήσιμον ἐκ τῆς ῥήσεως ἔχοντες, ἐκ περιουσίας ζητήσαιμεν ὅτι ποτὲ σημαίνει τὸ οὖρον. ἔστι δὲ τὸ χρήσιμον, ὃ
E καθ' ὅλην τὴν ῥῆσιν διδάσκει, τὰς μέν τινας γλώττας χολῆς πλεονεξίαν ἐνδείκνυσθαι, τὰς δ' αἵματος, ἤ τινος ἄλλου τοιούτου, περὶ ὧν ἐφεξῆς ἁπάντων ἐπισκεπτέον. ἐν γὰρ τοῖς χρησίμοις, εἰς τὰ τῆς τέχνης ἔργα διατρίβειν ἀξιῶ, παρατρέχοντας ὅσα σοφιστικῶς ἐζήτηται. χλωρὰς οὖν γλώττας εἴρηκεν, ὡς ἐν τῷ βίῳ συνήθως ὀνομάζουσιν ἄνθρωποι, χλωρούς τινας ἑωρακέναι φάσκοντες, οἷς ἂν ἐπὶ τὸ χολωδέστερον ἡ χρόα μεταβάλῃ, τῆς ὠχρᾶς δηλονότι χολῆς. ταύ-
F την γὰρ ἁπλῶς ὀνομάζουσιν, οὐχ ὥσπερ τὰς ἄλλας μετὰ προσθήκης, ἤτοι μέλαιναν, ἢ ἰώδη καλοῦντες, ἢ ἐρυθρὰν, ἢ ξανθὴν, ἢ λεκιθώδη. ἐγγυτάτω μὲν οὖν ἐστὶ καὶ τῶν αὐτῶν σχεδόν τι γενῶν, ἡ ξανθὴ χολὴ τῇ ὠχρᾷ. λέγουσι δὲ τοὐπίπαν ἄνευ τοῦ προσθεῖναι τὴν ὠχρὰν, ἁπλῶς οὕτως χολὴν ἐμεμηκέναι τὸν ἄνθρωπον. ἐπὶ δὲ τῆς ξανθῆς, σπανίως ἐστὶν εὑρεῖν ἁπλῶς τινα λέγοντα. προστιθέασι γὰρ εὐθέως αὐτῇ τὸ τοῦ χρώματος ὄνομα, ξανθὴν χολὴν ἐμεμηκέναι τόνδε τινα λέγοντες, ἢ ἄκρατον χολήν. ἰώδη δὲ καὶ μέλαιναν χολὴν, οὔτ'

ἰατρός τις, οὔτ' ἰδιώτης ὠνόμαζεν ἄνευ προσθήκης, ὥσπερ οὐδὲ ἰσατώδη, καὶ πρασοειδῆ, καὶ λεκιθώδη. καὶ γὰρ ταῦτα χολῶν ὀνόματά εἰσιν ὑπό τινων ἰατρῶν εἰρημένα, παρωνύμως ταῖς χρόαις αἷς ἔχουσιν, οὕτως δὲ καὶ τὴν ἐρυθρὰν χολὴν ὀνομάζουσιν, αἵματος οὖσαν ὀρρόν. ἡ δὲ λεκιθώδης τῆς ξανθῆς παχυνθείσης γίνεται χολῆς, καθάπερ ἡ ὠχρὰ, προσλαβούσης ὑδατώδη τινὰ οὐσίαν. αἱ τοίνυν χλωραὶ γλῶτται νῦν εἴρηνται σαφῶς, ἀντὶ τῶν ὠχρῶν, ὑπὸ τῆς ὠχρᾶς χολῆς βαπτόμεναι. μεγάλας τε γὰρ ἔχουσα φλέβας ἡ γλῶττα, καὶ κατὰ τὴν οὐσίαν οὖσα χαύνη τε καὶ σπογγώδης, ἐπιτηδειοτέρα τῶν ἄλλων ἐστὶ μορίων, ὅσα σκληρὰ καὶ πυκνὰ, δέξασθαί τε τοὺς ὀρρώδεις χυμοὺς εἰς αὐτὴν, βαφῆναί τε πρὸς αὐτῶν ὥσπερ τὰ ἔρια. παρέγκειται δὲ τῷ λόγῳ, τὸ χολώδεις, ἀπὸ πίονος, ἐνδεικνυμένου τἀνδρὸς τὴν γένεσιν τοῦ χολώδους πλείστην ἐκ τοῦ πίονος ἐν τῇ τροφῇ γίνεσθαι. πίονα δὲ ἀκουστέον οὐ μόνον τὸ λιπαρὸν, ἀλλὰ καὶ τὸ γλυκὺ, καὶ ὅλως τὸ ἐν τοῖς κατὰ φύσιν ἔχουσιν ἡδύ. μόνοι γὰρ οἱ παρὰ φύσιν διακείμενοι, πικροῖς, καὶ στρυφνοῖς, καὶ ὀξώδεσιν ἐδέσμασι 501 χαίρουσιν. οἱ δὲ κατὰ φύσιν ἔχοντες, καὶ ἀπεριττώτατοι, τά τε λιπαρὰ, καὶ τὰ γλυκέα, καὶ τάγε μηδεμίαν ἔχοντα ἰσχυρὰν ποιότητα, μεθ' ἡδονῆς προσφέρονται. πάντ' οὖν τὰ τοιαῦτα τὸ πῖον ἐστὶν ἐν τροφῇ, καὶ διὰ τοῦτο καὶ πίονα ἄρουραν, καὶ λιπαρὰν χώραν εἰρήκασι πολλοὶ τῶν παλαιῶν, εὔφορον ἐνδεικνύμενοι διὰ τῆς προσηγορίας τούτων ὑπάρχειν αὐτὴν, τῶν ὑγιαίνουσιν ἡμῖν ἀμέμπτως ἐσθιομένων καρπῶν. ὅτι δὴ ἔκ τε μέλιτος, καὶ ὅλως τῶν γλυκέων, ὅταν ἐπὶ πλέον θερμανθῶσιν, ὁ πικρόχολος γεννᾶται χυμὸς, ἐν τῷ περὶ τῆς ἁπλῶν φαρμάκων δυνάμεως ἐπιδέδεικται κατὰ τὸ τέταρτον ὑπόμνημα, μετὰ τοῦ καὶ φαίνεσθαι σαφῶς, ὅταν ἐν τῇ γαστρὶ πλείονι χρόνῳ τὰ τοιαῦτα μείνῃ, μήτ' ἀναδοθῆναι φθάσαντα, μήτε πεφθῆναι τὴν ὠχρὰν ἐξ αὐτῶν γεννωμένην χολήν. ὅσοι γοῦν ἤμεσαν τηνικαῦτα, τὴν τοιαύτην ἤμεσαν. περὶ μὲν οὖν τῆς ὠχρᾶς γλώττης ἱκανὰ καὶ ταῦτα. τὰς δὴ ἐρυθρὰς, ἀφ' αἵματος γίνεσθαί φησιν. οὐδὲ γὰρ οὐδ' ἐπινοῆσαι δυνατὸν ἀφ' ἑτέρου χυμοῦ πλεονεκτοῦντος, ἐρυθρὰν γενέσθαι χρόαν ἔν τινι μορίῳ. τὸ γὰρ χρῶμα, τῶν χυμῶν ἐστὶ τῶν ἐπικρατούντων δηλονότι, καὶ πλεονεκτούντων, οὐ τῶν ἐλλειπόντων. οὕτως δὲ καὶ τὰς μελαίνας γλώττας ἀπὸ μελαίνης χολῆς γίνεσθαί φησι, ὁ γὰρ αὐτὸς λόγος κἀνταῦθα. τὰς δὲ αὔας, ὅπερ ἐστὶ ξηρὰς, ἱκανῶς ἐκ πυρετοῦ διακαοῦς, ὃς δίκην πυρὸς κατοπτῶν τὸ αἷμα, λιγνύϊ μᾶλλον ἤπερ ἀτμῷ παραπλήσιον ἀναθυμίασιν ἐργάζεται, διὸ καὶ μέλαιναι πολλάκις αἱ τοιαῦται φαίνονται γλῶτται. γίνονται δὲ τοιαῦται γλῶτται καὶ ἀπὸ μητρῴου μορίου, τῆς ὑστέρας δηλονότι. καὶ γὰρ καὶ ταύτῃ φλεγμαινούσῃ, πυρετοὶ θερμότατοι συνεδρεύουσιν, ὥσπερ δὲ ὠχραὶ μὲν ἀπὸ τῆς ὠχρᾶς, μέλαιναι δ' ἀπὸ τῆς μελαίνης, ἐρυθραὶ δὴ ἀπὸ τοῦ αἵματος, οὕτως ἀπὸ φλέγματος αἱ λευκαὶ γίνονται γλῶτται, τοῖς μὲν οὖν εἰρημένοις σημείοις ἀκολουθεῖ διὰ παντὸς τὰ δηλούμενα. τοῖς δὲ πράγμασιν, οὐκ ἐξ ἀνάγκης τὰ σημεῖα, φλεγμαινούσης γὰρ τῆς μήτρας, οὐ διὰ παντὸς οἱ πυρετοὶ διακαεῖς γίνονται, καθάπερ οὐδ' αἵματος πλεονάζοντος ἐρυθραίνεται γλῶττα. καὶ μέντοι καὶ χολῆς μελαίνης ἐν σπληνὶ περιεχομένης, ἢ κατά τινας κάτω φλεβῶν, ἡ γλῶττα τὴν χρόαν οὐ μεταβάλλει, καθάπερ οὐδ' ἐπὶ τῆς ὠχρᾶς, οὐδ' ἐπὶ τοῦ φλέγματος, ἀλλ' ὅταν ἤτοι κατὰ τὴν γαστέρα περιέχηται

A que Medicus, neque plebeius sine adjectione nominavit, quemadmodum, neque isatodem, id est isatidi herbæ similem, nec porraceam, nec vitellinam: nam hæc bilis nomina à quibusdam Medicis reperta sunt, & à coloribus quibus infecta est, derivata. Sic verò & rubram bilem vocant, quæ sanguinis serum est; sed vitellina, flava bile spissescente, progignitur, quemadmodum pallida ex eadem aqueam quandam substantiam accipiente. Virices igitur linguæ nunc evidenter pro eo, quod est, pallidæ dictæ sunt, à pallida scilicet bile coloratæ. B Etenim grandioribus venis prædita lingua, & inani substantia spongiam referens, aliis duris densisque particulis paratior est, ut serosos intra se humores admittat, ab illisque colores instar lanarum suscipiat. Interjectum est autem his verbis illud, biliosum à pingui, indicante Hippocrate biliosum succum plurimum ex pingui alimenti parte procreari. Pingue verò intelligendum est non solùm unguinosum, sed etiam dulce, & prorsum quod naturaliter se habentibus suave est: soli nanque extra naturalem statum constituti, amaris, acerbis, acidis- C que cibariis delectantur: naturaliter autem se habentes, & ab excrementis vacui pinguibus, & dulcibus, & nulla vehementi qualitate præditis, cum voluptate vescuntur. Omnia hæc igitur nihil aliud quàm pingue in alimento sunt. Quocirca pinguem agrum, & unguinosam regionem multi Veteres appellarunt, per ea vocabula illorum fructuum feracem indicantes, qui à nobis rectè valentibus sine ulla noxa comeduntur. Ex melle autem omninoque ex dulcibus, quum vehementius incaluerint, amaræ bilis contrahi humorem, in quarto de simplicium medicaminum viribus Commentario de- D claratum est. Quum hoc etiam, quàm hæc diutius in ventriculo morata fuerint, neque prius distributa, neque concocta sint, luteam ex ipsis bilem procreari evidenter percepimus. Quisquis igitur tunc evomuit, hujusmodi bilem evomuit. De pallida quidem lingua abunde hæc sint. Rubras autem à sanguine fieri ait. Neque enim vel cogitari potest ab alio abundante humore ulla in parte rubrum colorem fieri: color enim succorum est dominantium, E & exuberantium, non deficientium. Similiter, & nigras linguas à nigra bile fieri dicit, eadem enim ratio & in his est. Aridas autem, id est, admodum siccas, à perurenti febre: quæ ignis instar sanguinem inflammans, fuligini potius, quàm vapori similem exhalationem efficit. Idcirco & nigræ sæpius hujusmodi linguæ efficiuntur. Tales verò linguæ & ab uterino membro, id est ab utero sæpius fiunt: nam & hoc phlegmone correpto, calidissimæ febres adveniunt. Verùm quemadmodum pallidæ linguæ F à pallida bile, atræ ab atra, rubræ à sanguine, sic à pituita albidæ tinguntur. Nempe dictis signis omnino quæ significantur, eveniunt: rebus autem non accidunt signa necessario. Inflammato enim utero haud semper febres æstuantes adveniunt, quemadmodum neque redundante sanguine lingua rubescit, quin etiam atra bile in liene, aut in aliquibus inferioribus venis contenta, linguæ color non evariat, sicut neque ob pallidam bilem, neque ob pituitam; sed quum aut in ventriculo hujusmodi

aliquid continebitur, aut multo calore fundente, atque in spiritum humores vertente, in sublime halitus ferentur. In universum igitur dicendum est, quodlibet ex narratis de lingua signis, aut febrem perurentem adesse, simulque singulos succos ab Hippocrate dictos abundare, sive in ventriculo contineri, ostendere.

A τι τούτων, ἢ θερμασίας πολλῆς χεούσης τε καὶ πνευματούσης τοὺς χυμοὺς, ἡ φορὰ γίνεται πρὸς τὸ μετέωρον. καθόλου τοίνυν ἐστὶ ῥητέον ὡς ἕκαστον τῶν εἰρημένων ἐπὶ τῆς γλώττης, σημεῖον ἐνδεικτικόν ἐστιν, ἤτοι πυρετοῦ περικαοῦς, ἅμα τῷ καθ' ἕκαστον αὐτῶν ὑφ' Ἱπποκράτους γεγονέναι χυμοῦ πλεονάζειν, ἢ τοῦ περὶ τὴν γαστέρα περιέχεσθαι τὸ πιστόν.

HIPPOCRATIS TEXTUS XV.

B *Vrina cibo & potui concolor, atque talis, ut consuevit, ubi humiditas, colliquatio.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε.

Οὖρον ὁμόχροον βρώματι καὶ πόματι, καὶ ὡς εἴωθεν ἐὸν, ὅπου τοῦ ὑγροῦ σύντηξις.

GALENI COMMENTARIVS.

VRina ei nonnunquam, quod epotum est, colore similis apparet, neque mutatis, neque in sanguinem rectè versis cibis, cum quibus & ipse potus commutatur: nonnunquam & aliqua corporis particula liquescente, ut Sabinus scripsit. Hæc igitur utraque non ex naturæ proposito administrato corpore eveniunt; naturaliter autem se habente creandis succis unà C commutatus potus, & colore infectus, urinarum differentias facit, neque epoti humoris, neque membrorum in corpore liquatorum qualitatibus, sed creatorum humorum formis respondentes, quemadmodum & suprà aliàs ostensum est: Quin igitur lotium rei potæ colorem retinuerit, si aquæ, aut alicujus albi tenuisque vini potio fuerit, aqueum, albumque conspicitur: si vinum crassum nigrumque fuerit, nigrior urina, & crassior apparebit, quemadmodum & flavior, si vetustum fulvumque vinum sit. Indicat autem colliquatorum membrorum colorem, quum partes aliquæ erui, & D hordei speciem referentes unà cum ipsa exeunt: à jecore enim hujusmodi corpuscula veniunt, sicut carnosiora à renibus. Ita verò & foliorum similia à vesica: unguinosa ab adipe: hordeacea quidem magnitudine, & duritia, sed non albida, colliquatæ carnis notæ sunt: sicut, & nigra, lienis magis. Urinæ quidem jumentorum lotio similes eliquationem non indicant, ut Sabinus censebat: nam in Aphorismorum explanationibus, id genus urinas eorum esse explicavimus, in quibus humor, qui crudus vocatur, plurimus abundat, & à calore fusus E est: tunc enim ipsum in spiritum versum flatuosas exhalationes ad caput submittere contingit, unde & dolores capitis excitantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ οὖρόν ποτε μὲν ὁμόχροον τῷ πεπωμένῳ φαίνεται, μὴ μεταβαλλομένων, μηδ' αἱματουμένων καλῶς τῶν σιτίων, οἷς καὶ τὸ ποτὸν αὐτὸ συμμεταβάλλεται. ποτὲ δὲ συντήξεώς τινος ἐν τῷ σώματι μορίῳ γινομένης, ὡς ὁ Σαβῖνος ἔγραψε. ταῦτα μὲν οὖν ἀμφότερα, παρὰ φύσιν διοικουμένου τοῦ σώματος γίνεται. κατὰ φύσιν δ' ἔχοντος, ἅμα τῇ τῶν χυμῶν γενέσει, τὸ ποτὸν μεταβαλλόμενόν τε καὶ χροϊζόμενον, ἐργάζεται τὰς διαφορὰς τῶν οὔρων, οὔτε κατὰ τὰς τῶν πεπωμένων ποιότητας, οὔτε κατὰ τὰς τῶν συντακέντων ἐν τῷ σώματι μορίων, ἀλλὰ κατὰ τὰς ἰδέας τῶν γεννηθέντων χυμῶν, ὡς ἔμπροσθεν ἤδη δέδεικται. ὁπότε μὲν οὖν διασώσει τὸ οὖρον τὴν τῶν πεπωμένων τὴν χρόαν, εἰ μὲν ὕδωρ εἴη τὸ ποθὲν, ἤ τις οἶνος λευκὸς καὶ λεπτὸς, ὑδατῶδες φαίνεται, καὶ λευκόν. εἰ δὲ παχὺς καὶ μέλας εἴη ὁ οἶνος. μελάντερόν τε καὶ παχύτερον, ὥσπερ γε καὶ ξανθότερον, εἰ παλαιὸς, καὶ κιῤῥὸς ὁ οἶνος. τῶν δὲ συντακέντων μορίων ἐνδείκνυται τὴν χρόαν, ὅταν οἷον ὀροβοειδῆ τε καὶ κριμνοειδῆ συνεξέρχεταί τινα αὐτοῖς. ἀφ' ἥπατος γάρ ἐστι τὰ τοιαῦτα καθάπερ γε τὰ σαρκοειδέστερα, τῶν νεφρῶν, οὕτω δὲ καὶ τὰ πεταλώδη τῆς κύστεως. τὰ δὲ λιπαρὰ πιμελῆς, τὰ δὲ κριμνώδη μὲν, τῷ τε μεγέθει καὶ τῇ σκληρότητι, μὴ μέντοι λευκὰ, σαρκὸς συντετηγμένης γνωρίσματα, καθάπερ γε καὶ τὰ μέλανα, τῆς σπληνὸς μᾶλλον. οὐ μέντοι τά γε τοῖς τῶν ὑποζυγίων ἐοικότα, συντήξεώς ἐστι σημεῖον, ὥσπερ ὁ Σαβῖνος ᾤετο. δέδεικται γὰρ ἐν τῷ εἰς τοὺς ἀφορισμοὺς ὑπομνήματι τὰ τοιαῦτα γινόμενα, τοῖς τὸν καλούμενον ὠμὸν χυμὸν ἠθροικόσι πλεῖστον, ὅταν ὑπὸ θέρμης χυθῇ. τηνικαῦτα γὰρ αὐτῷ συμβαίνει πνευματουμένῳ, πρὸς τὴν κεφαλὴν ἀναπέμπειν πνεῦμα φυσῶδες, ὅθεν αἱ κεφαλαλγίαι γίνονται.

HIPPOCRATIS TEXTUS XVI.

Lingua extensionibus concolor. Quocirca ex istis succos cognoscimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

Γλῶσσα ὁμόχροος τῇσι περιστάσεσι, διόπερ ταύτῃσι γινώσκομεν τοὺς χυμούς.

GALENI COMMENTARIVS.

F

OBscura hoc loco est hæc vox, extensionibus nonnullis extensiones succorum è ventriculo ascendentium dictas esse, nonullis verò concretos in lingua, aliquibus & ipsam malefacientes humores significari putantibus. Sed istos omnes intelligere præstiterit, ut de succis utcunque linguam attingentibus sermo fiat: ipsis enim concolor lingua apparet, & si

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΣαφής ἐστιν ἐνταῦθα ἡ, περιστάσεσι, φωνὴ, τινῶν μὲν οἰομένων περιστάσεις χυμῶν εἰρῆσθαι ἐκ τῆς γαστρὸς ὁρμώντων, ἐνίοις δὲ τοὺς ἐπιπηγνυμένους τῆς γλώττης, τινῶν καὶ τοὺς διαβρέχοντας αὐτήν. ἄμεινον δὲ τούτους ἅπαντας ἀκούειν, ἵνα ἐπὶ τῶν ὁπωσοῦν ψαυόντων τῆς γλώττης χυμῶν, ὁ λόγος ᾖ γινόμενος. ὁμόχρους γὰρ αὐτοῖς φαίνεται, κἂν ἐκ

τῆς γαστρὸς ἄνω φέρονται, κἂν διὰ τῶν φλεβῶν ἥκωσι τῶν τρεφουσῶν, κἂν ἐξ ἀτμῶν τινων ἀναφερομένων ἔξωθεν αὐτὴν ἐπιπήγνυνταί τε καὶ περιπήγνυνται χωρὶς τοῦ διαβρέχειν τὸ βάθος, διὰ τοῦτο οὖν αὐτὸ καὶ τοὺς χυμοὺς διαγινώσκομεν. ἐὰν μὲν γὰρ χλωρὰ γένηται, τοὺς πικροχόλους, ἐὰν δὲ μέλαινα, τοὺς μελαγχολικούς. ἀνάλογον δὲ τοῖσδε τοὺς ἄλλους, περὶ ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἐξηγούμενος τὴν ῥῆσιν, ἐν ᾗ φησι, γλῶσσαι χλωραὶ, χολώδεες.

A ex ventriculo sursum repant, & si per venas ejus altrices affluxerint, & si per vapores quosdam sublatos exterius ipsi adhæserint, atque penitiora minimè humectantes circumcreti fuerint. Propter hoc igitur ipsum, & humores internoscimus, siquidem viridis lingua fuerit, biliosos: si verò nigra, melancholicos: ad istorum autem similitudinem, & alios, de quibus dudum dicebamus, quum eam partem explanaremus, in qua dicit: linguæ virides biliosæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'. B

ΗΝ ἁλμυραὶ σάρκες γευομένῳ, περιττώσιος σημεῖον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ μόνον ἡ χρόα τῆς γλώττης, ἐνδείκνυται τοὺς πλεονάζοντας χυμοὺς, ἀλλὰ καὶ ἡ γευστικὴ κατ' αὐτὴν δύναμις. οὕτω γοῦν ἐνίοις μὲν ἔχουσι πικρὸν χυμὸν ἐν τῇ γλώττῃ, πάντα φαντάζεται πικρὰ, κἂν ᾖ γλυκύτατα, καθάπερ τοῖς ἰκτεριῶσιν, ἐνίοις δ' ἁλμυρὰ διὰ C τὸν ἁλυκὸν ὀνομαζόμενον χυμόν. ἐναργὲς δὲ τούτου τεκμήριον, ἐπ' αὐτῶν τῶν ὑγιαινόντων ἐστί. ἐὰν γοῦν τις ἀψινθίου γευσάμενος, εὐθέως ἐπ' αὐτῷ γεύηταί τινος ἄλλου, πικρὸν αὐτὸ φανεῖται, κἂν ἅλας μασησάμενος, ἄλλο τι μετ' αὐτὸ αὐτίκα προσενέγκηται, καὶ τοῦτο φανεῖται τὸ γευθὲν ἁλμυρόν. οὕτως οὖν κἂν ταῖς νοσώδεσι διαθέσεσιν, ὅταν μὴ καθαρὰ, καὶ ἀπέριττος ᾖ κατὰ τὴν φύσιν τοῦ περιττώματος, ὁ τῶν σίτων τῶν ἐν αὐτῇ πλεοναζόντων χυμὸς, ἐὰν τὸ προσφερόμενον οὗ γεύσηταί τις ἔξω πάσης ᾖ σφοδρᾶς ποιότητος. εἰ δὲ μὴ, μικτή τις αἴσθησις ἔσται τῇ D γλώττῃ δυοῖν χυμῶν, αὐτοῦ τε τοῦ κατ' αὐτὴν πλεονάζοντος, καὶ τοῦ κατὰ τὸ προσφερόμενον ἐπικρατοῦντος. ἔνια μὲν γὰρ ἰσχυρῶς ἐστὶν ἁλμυρά, τινὰ δὲ πικρά, τινὰ δὲ δριμέα, καθάπερ ὀξέα μὲν ἄλλα, γλυκέα δ' ἄλλα. μικτὴ τοιγαροῦν, ὡς ἔφην, εἰ τῶν τοιούτων τις γεύοιτο, γενήσεται τῶν χυμῶν αὐτῶν ἡ διάγνωσις, ἔκ τε τοῦ κατὰ τὴν γλῶτταν ὑπάρχοντος ἤδη, καὶ τοῦ ψαύοντος ἔξωθεν αὐτῆς. διὰ τοῦτ' οὖν ὁ Ἱπποκράτης ἕν τι τῶν τοιούτων ἔγραψεν εἰς ὑπόμνησιν ἑαυτῷ, καθάπερ εἴωθε ποιεῖν ἐν τού- E τοις τοῖς ὑπομνήμασι.

HIPPOCRATIS TEXTUS XVII.

Si salsæ carnes gustanti, supervacuæ materiæ signum.

GALENI COMMENTARIUS.

NOn modo linguæ color, sed ejus etiam vis gustatoria supervacuos humores ostendit. Sic igitur quibusdam amaro sapore infectam linguam habentibus omnia quamvis dulcissima, judicantur amara, quemadmodum exempli causa, regio morbo languentibus: nonnullis verò salsa propter saporem, qui salsus dicitur. Hujus verò rei perspicuum indicium in ipsis rectè valentibus est. Si quis enim absinthio gustato, continuo ab ipso aliquid degustet, amarum id apparebit, & sale commanducato, si quid aliud confestim post ipsum assumptum fuerit, istud quoque gustatu salsum videbitur. Quamobrem sic, & in morbosis affectibus cum lingua impura, & excrementis affluens sit, pro excrementi natura, ciborum sapor linguæ impressum saporem refert, si modo quæ degustatur esca omni vehementi qualitate spoliata fuerit. Sin secus se habeat, mistus quidam in lingua duorum saporum sensus erit, & ejus qui in ipsa excellit, & ejus qui in cibo assumpto dominatur: quædam enim admodum salsa sunt, quædam amara, quædam acria: sicut iterum alia acida, alia dulcia; mixtus igitur, ut dicebam, si quis hæc gustaverit, fiet saporum istorum perceptio, & ejus qui jam linguam infecerat, & ejus qui extrinsecus ipsam attingit. Propterea igitur Hippocrates unum quoddam ex his memoriæ causa sibi ipsi literis mandavit, quemadmodum hisce in Commentariis facere consuevit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

ΗΝ τῶν μαστῶν αἱ θηλαὶ, καὶ τὸ ἐρυθρὸν χλωρὸν εἴη, νοσῶδες τὸ ἄγγος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F ΟΥ κατὰ τὴν Ἱπποκράτους ἑρμηνείαν ἐστὶν ἄγγος ὀνομάσαι τὴν ὑστέραν, τὸ γοῦν λεγόμενον εὔδηλόν ἐστιν. ἐὰν γάρ τι τῶν εἰρημένων σημείων περὶ τοὺς τιτθοὺς γένηται, νοσώδη διάθεσιν εἶναι κατὰ τὴν ὑστέραν δηλοῖ. πολλάκις γὰρ ἤδη μεμαθήκατε περὶ τῆς κοινωνίας τῶν τιτθῶν πρὸς τὴν μήτραν.

HIPPOCRATIS TEXTUS XVIII.

Si mammarum pupillæ & rubrum, viride sit, ægrotat conceptaculum.

GALENI COMMENTARIUS.

VTerum appellare conceptaculum Hippocratis phrasim non sapit: tamen quod dicitur, perspicuum est. Nam si aliquod ex dictis signis mammis accidat, languere uterum significat: sæpius enim alias uterum mammasque societate conjungi didicistis.

HIPPO-

A

HIPPOCRATIS TEXTUS XIX.

Hominibus sordes in auribus, dulcis quidem mortifera, amara autem non.

GALENI COMMENTARIUS.

Fortassis quispiam ægrotans ipse auris sordem degustare sustinuerit, Medico autem id præcipere turpe ac detestabile fuerit. Clarum est autem non alio tempore aurium sordem fieri dulcem posse, quàm quò cerebrum ægrotat, naturaliter enim amara videtur: Atque ideo ipsam dulcem, liquescente cerebro, fieri ducunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Ἀνθρώποισιν, ὁ ἐν τοῖς ὠσὶ ῥύπος, ὁ μὲν γλυκὺς, θανάσιμος, ὁ δὲ πικρὸς, οὔ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τάχ᾽ ἂν αὐτός τις ἕκαστος νοσῶν ὑπομείνειε γεύσασθαι τοῦ κατὰ τὸ οὖς ῥύπου· τῷ δ᾽ ἰατρῷ βδελυρὸν δ᾽ ἂν εἴη B τὸ πρόσταγμα. πρόδηλον δ᾽ ὡς οὐκ ἐν ἄλλῳ καιρῷ δύναται γίνεσθαι ὁ ῥύπος γλυκὺς, ἢ καθ᾽ ὃν ὁ ἐγκέφαλος νοσεῖ. κατὰ φύσιν γάρ ἐστιν αὐτοῦ, τὸ πικρὸς φαίνεσθαι, διὸ καὶ τὸ γλυκὺ, ἐγκεφάλου συντηκομένου φασὶ γίνεσθαι.

HIPPOCRATIS TEXTUS XX.

Solum vertere in longis morbis convenit.

C

GALENI COMMENTARIUS.

Sive navigans, sive terrestre iter faciens quispiam in alteram regionem migraverit, vel motus in itinere, aut navigatione, vel aëris mutatio proderit: & maximè quum in aërem contrariæ temperaturæ discesserit. Contrariam autem dico, non solùm aëris propriæ ægrotanti regionis temperamento, sed etiam ipsius morbi: nam si humidus morbus sit, in sicciorem aërem migrandum erit: si siccus, in humidiorem. Eadem quoque ratione si calidus morbus sit, in frigidiorem; si frigidus in calidiorem. D Similiter, si calidus sit morbus & siccus, ad humidiorem frigidioremque aërem abeundum est: sic & in reliquis conjugationibus Adhuc verò magis iste terram mutans juvabitur, si pro modo, quo morbus à naturali statu discessit, ad contrarium aërem mutatio fiat. Morbus enim ad paulò frigidiorem à naturali temperie recedens, aërem paulo mediocri temperie calidiorem postulat: morbus verò longius recedens, & multo in contrarium excessu eget. De regionibus quoque eundem sermonem tibi dictum putato: exquisitè nanque inter se contraria sunt, à commoderato atque medio ad utrunque latus æqualiter recedentia. E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Γῆν μεταμείβειν σύμφορον ἐπὶ τοῖσι μακροῖσι νουσήμασιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴτε πλέων, εἴτε πεζὸς τις εἰς ἑτέραν ἀφίκοιτο γῆν, εἴτε κίνησις ἡ κατὰ τὴν ὁδοιπορίαν, ἢ τὸν πλοῦν, ἤθ᾽ ἥ τε ὑπαλλαγὴ τοῦ ἀέρος ὀνήσει, καὶ μάλισθ᾽ ὅταν εἰς ἐναντίαν ἔχοντα κρᾶσιν ἀέρα μεταστῇ. λέγω δ᾽ ἐναντίαν, οὐ μόνον τὴν κατὰ τὴν οἰκείαν τοῦ κάμνοντος χώραν, ἀλλὰ καὶ τῇ κράσει τοῦ νοσήματος· εἰ μὲν γὰρ ὑγρὸν εἴη, ξηροτέρου τοῦ ἀέρος, εἰς ὃν μεταβαίνει δεήσεται· εἰ δὲ ξηρὸν, ὑγροτέρου. κατὰ τὴν αὐτὴν δὲ, καὶ ψυχροτέρου μὲν, εἰ θερμὸν, θερμοτέρου δὲ, εἰ ψυχρόν· ὑγροτέρου τε κατὰ τὴν αὐτὴν δὲ, καὶ ψυχροτέρου μὲν, D εἰ θερμὸν εἴη καὶ ξηρόν· οὕτω δὲ καὶ κατὰ συζυγίαν. ἔτι δὲ μᾶλλον ὠφελήσει τὸν μεθιστάμενον, ἐὰν κατὰ τὰ μέτρα τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς τοῦ νοσήματος ἡ πρὸς τὸν ἀέρα τὸν ἐναντίον γίνηται μεταβολή. τὸ μὲν γὰρ ἐπ᾽ ὀλίγον, ἐκ τῆς κατὰ φύσιν κράσεως εἰς ψυχροτέραν μεθιστάμενον, ὀλίγῳ τοῦ συμμέτρου κατὰ τὴν κρᾶσιν ἀέρος θερμοτέρου, τὸ δ᾽ ἐπὶ πολὺ, πολλῆς καὶ τῆς εἰς τοὐναντίον ὑπερβολῆς δεῖται. καὶ περὶ χωρίων δὲ τὸν αὐτὸν, εἰρῆσθαί σοι νόμιζε λόγον. ἀκριβῶς γὰρ ἀλλήλοις ἐστὶν E ἐναντία, τὰ τοῦ συμμέτρου τε καὶ μέσου ἀποκεχωρηκότα τὸ ἴσον ἑκατέρωσε.

HIPPOCRATIS TEXTUS XXI.

Imbecilliora cibaria brevem vitam.

GALENI COMMENTARIUS.

Imbecillus cibus haud alius intelligi potest, F quam qui parum alimenti corpori exhibet: talia verò sunt & olera, & plurimi arborum fructus. Isti igitur, inquit, brevem vitam habent, id est ipsis vescentes, brevis vitæ reddere apti sunt, quoniam cibaria ipsa celeriter à corpore evacuantur. Sed affectatum quoddam est, ciborum in corpore moram vitam ipsorum intelligere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Τὰ ἀσθενέστερα σιτία, ὀλιγοχρονίαν βιοτὴν ἔχει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σιτίον ἀσθενὲς οὐκ ἄλλο τι δυνατόν ἐστιν ἀκούειν τοῦ βραχεῖαν τροφὴν διδόντος τῷ σώματι, τοιαῦτα δ᾽ ἐστὶ τά τε λάχανα, καὶ τῶν ἀκροδρύων τὰ πλεῖστα. ταῦτ᾽ οὖν φησὶν ὀλιγοχρόνιον βιοτὴν ἔχει, τουτέστι τοὺς χρωμένους αὐτοῖς ὀλιγοχρονίους ἐργάζεσθαι πέφυκεν, ἣν αὐτὰ τὰ σιτία ταχέως ἐκ τοῦ σώματος κενοῦται. κακόζηλον δ᾽ ἐστὶ, τὴν ἐν τῷ σώματι μονὴν τῶν σιτίων ζωὴν ἀκούειν αὐτόν.

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Κεδμάτων, τὰς ἐπὶ τοῖς ὠσὶν ὄπισθεν φλέβας σχάζειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κέδματα λέγει τὰ εἰς τὰ σκέλη κατασκήπτοντα ῥεύματα, καὶ μάλιστά γ' αὐτῶν, τὰ εἰς τὴν πρώτην διάρθρωσιν ἥ τις ἐστὶ κατ' ἰσχίον, οὐ μὴν ἀληθῆ γε τὰ B περὶ τῆς φλεβοτομίας εἶναι πείθομαι, καθάπερ οὐδὲ αὐτῶν τῶν προσιεμένων αὐτὴν, οὐδεὶς ἀκριβῶς ἐπείσθη. δηλοῦσι γὰρ ἔργῳ τοῦτο, μηδέποτε ἐπὶ τῶν ἀρρώστων χρώμενοι. κατὰ μέντοι τὴν ῥῆσιν αὐτὴν, ἡ λέξις οὐκ ἀκριβῶς ἑρμηνεύεται, γράψαντος αὐτοῦ τὰς ἐπὶ τοῖς ὠσὶ φλέβας. οὐ γὰρ τὰς ἐπὶ τοῖς ὠσὶν, ἐχρῆν, ἀλλὰ τὰς περὶ τὰ ὦτα λελέχθαι. φλέβες γάρ τινές εἰσιν ὄπισθεν τῶν ὤτων ἀξιόλογοι. κατ' αὐτὰ δὲ τὰ ὦτα πάνυ σμικραὶ, καὶ δυσθεώρητοι, καὶ τὰ πολλὰ, μηδὲ φαινόμεναι. C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

Λαγνείη, τῶν ἀπὸ φλέγματος νούσων ὠφέλιμον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ πᾶσιν, ἀλλὰ τοῖς ἰσχυροῖς τὴν δύναμιν, ὠφέλιμός ἐστιν ἡ λαγνεία νοσοῦσιν ἀπὸ φλέγματος. οἱ γὰρ ἀσθενεῖς εἰς ἔσχατον ἀρρωστίας ὑπ' αὐτῆς ἀφικόμενοι, βλαβήσονται μεγάλως. D οἱ δ' ἰσχυρὰν ἔχοντες τὴν δύναμιν, οὔτε καταλυθήσονται, καὶ ὠφεληθήσονται, ξηραινούσης τῆς λαγνείας τὴν τοῦ φλέγματος περιουσίαν. μεμαθήκατε γὰρ ὅτι λαγνεία ξηραίνει, καθάπερ ἀγρυπνία, κατὰ τὸ διαφορεῖν ἐπὶ πλέον τοὺς χυμούς. ἀλλὰ καὶ θερμαίνει τὸ σῶμα τοῖς ἐρρωμένην ἔχουσι τὴν δύναμιν ἡ λαγνεία. τοῖς δ' ἀσθενέσιν, ἐν μὲν τῷ παραχρῆμα, θερμαίνει, ψύχει δὲ μετὰ ταῦτα σφοδρῶς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

Θερμοκοιλίοισιν ἰσχυρὰ ποτὰ, καὶ βρωτὰ ταρακτικά. μελαίνης χολῆς, ὡς ὅμοιον αἱμορροΐδι. E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ὡς ἔμπροσθεν ἰσχυρὰν δίαιταν ἔφαμεν εἶναι τὴν τῶν πολυτρόφων σιτίων, οὕτω καὶ νῦν ἀκουστέον ἐστὶν, ἰσχυρὰ ποτὰ καὶ βρωτὰ τὰ πολλὴν διδόντα τῷ σώματι τροφὴν, ἀλλὰ τὰ τὴν δύναμιν ἔχοντα, κρόμμυα δηλονότι, καὶ σκόροδα, καὶ σίλφιον, καὶ ὀπὸν, οἶνόν τε παλαιότατον, ὅσα τἄλλα τοιαῦτα τὴν φυσικὴν δυσ- F κρασίαν αὐξάνοντα, τῇ δὲ ταύτης ἐναντία, χρησιμώτατα. πολλάκις γὰρ ἤδη μεμαθήκαμεν, ὡς τὰς μὲν ἀμέμπτους φύσεις ὠφελεῖ τὰ ὅμοια, τὰς δὲ δυσκράτους, ὥσπερ καὶ τὰς νόσους, τὰς τῆς καθεστώσης αὐταῖς κράσεως ἐναντία. τινὲς δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον, τῆς ἐχομένης ῥήσεως τὴν ἀρχὴν, τέλος ἐποιήσαντο τῆς νῦν προκειμένης, ὡς γίνεσθαι τοιαύτην, θερμοκοιλίοισιν ἰσχυ-

HIPPOCRATIS TEXTUS XXII.

Cum adsunt cedmata, venæ in auribus posteriores scindendæ sunt.

GALENI COMMENTARIUS.

Cedmata vocat fluxiones in crura decumbentes, & ex ipsis eas maximè, quæ primum articulum, ubi coxendix est, occupant. Non tamen de secanda vena præceptum verum esse mihi persuadeo, quemadmodum etiam nulli eorum qui id laudant, exacte persuasum est: id enim opere ipso significant, quum nunquam in ægrotantibus ad hoc remedium confugiant. In his quidem verbis locutio impropria & vitiosa est, ipso scribente, venas in auribus: neque enim venas in auribus, sed circum aures dicere oportebat: siquidem venæ quædam post aures grandiores sunt, in ipsis vero auribus perexiguæ, vixque aspectabiles, & plerunque neque perspicuæ.

HIPPOCRATIS TEXTUS XXIII.

Venus à pituita morbis remedio est.

GALENI COMMENTARIUS.

Non cunctis ex pituita laborantibus, sed quibus vires firmæ sunt, veneris usus prodest. Imbecilli nanque ab ipsa in extremam debilitatem redacti magnopere læduntur: at qui viribus excellunt, non dissolventur, sed contra juvabuntur, veneris usu pituitæ copiam resiccante. Didicistis enim concubitum, quemadmodum & vigiliam exiccare, quoniam scilicet humores abundè digerant. Quin etiam coitus robustorum corpus calefacit: infirmorum autem continuo quidem calefacit, sed postea vehementer refrigerat.

HIPPOCRATIS TEXTUS XXIV.

Eos qui calido ventriculo sunt, validi potus & cibi perturbant.

GALENI COMMENTARIUS.

Non, quemadmodum supra validum victum ciborum multum nutrientium esse dicebamus, ita & hoc loco accipere debemus validos potus & cibos, hoc est, multum alimentum corpori exhibentes; sed eos qui acrem vim habent; hujusmodi sunt cæpæ, & allium, & silphii succus, & vinum vetustissimum, idque genus alia naturalem intemperiem augentia, huic autem contraria utilissima. Naturas nanque omni labe carentes juvari à similibus: intemperatas autem, quemadmodum & morbos, ab iis quæ eorum temperamentis, adversantur, juvari sæpius alibi didicistis. Verùm aliqui voluminis hujus Interpretes sequentis partis initium hujusce propositæ finem esse voluerunt, hoc pacto scribentes, iis qui calido

A ventriculo sunt, validi potus, & cibi perturbationem faciunt atræ bilis. Quod autem eorum potissimum, quæ in ventriculo sunt, ipsum calidum habentibus talia perturbationem faciant, clarum est: non tamen in omnibus similiter ea perturbant, quæ in toto corpore sunt, sed quibus universi corporis temperamentum aut calidum est, aut aridum, aut utraque qualitate immodica præditum: quapropter in his non atram bilem solùm, sed etiam flavam, hujusmodi cibaria perturbant. Atqui forsan atra bilis conturbata majus affert detrimentum: B propterea, & de ipsa per excellentiam sermonem intelligi noluerunt. Sed plurimi hoc sermone ipso per se circunscripto, initium sequentis hoc fecerunt.

ρὰ πιτὰ, καὶ βρωτὰ ταρακτικὰ μελαίνης χολῆς. ὅτι μὲν οὖν ταρακτικὰ τῶν κατὰ τὴν γαστέρα μάλιστά ἐστι τοῖς θερμοκοιλίοις, τὰ τοιαῦτα πρόδηλον, οὐ μὴν ὁμοίως γε τὰ καθ' ὅλον τὸ σῶμα ταράττει πᾶσιν, ἀλλὰ καὶ τοῖς τὴν ἐν τούτοις κρᾶσιν, ἤτοι θερμὴν, ἢ ξηρὰν ἔχουσιν, ἢ κατ' ἄμφω δύσκρατον, ὡς οὐ μόνον χολῆς μελαίνης ἐστὶ ταρακτικὰ τὰ τοιαῦτα τῶν ἐδεσμάτων, ἀλλὰ καὶ τῆς ξανθῆς. ἴσως δ' ἐπεὶ μείζονα βλάβην, ἡ μέλαινα χολὴ ταραχθεῖσα φέρει, διὰ τοῦτ' ἐπ' αὐτῆς ἠξίωσαν ἀκούειν τοῦ λόγου, κατ' ἐξοχήν. οἱ πλεῖστοι δὲ περιγράψαντες αὐτὴν, κατ' αὐτὴν τῆς προκειμένης ῥῆσιν ἀρχὴν τῆς ἐπιμένης ἐποιήσαντο.

HIPPOCRATIS TEXTUS XXV.

Atræ bilis ad simile hæmorrhoides effundunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κέ.

Μελαίνης χολῆς, ὡς ὅμοιον αἱμοῤῥοΐδι.

GALENI COMMENTARIUS.

Morbum sane melancholiam vocatum per hæmorrhoides levari evidenter constat: multosque clausis illis, insanivisse animadvertimus: quosdam verò non solùm semel, aut bis; sed etiam ter, & quater, simul atque hæmorrhois suppressa sit, in melancholiam incidisse: nonnullos verò, & singulis annis hoc vitio tentari solitos, nisi aut per venas hasce præsidium prius senserint, aut atra bile medicamento purgata, malum anteverterint. Nempe istorum hominum plurimis atér sanguis per hæmorrhoida profunditur, attamen non omnibus. At vocata hæmorrhois, id est per sedis venas sanguinis profluvium, non una de causa efficitur, modò ipsa natura nigri fellis succum repurgante, modò multitudinem evacuante: quemadmodum & sanguinem per nares effundentibus accidit, nonnunquam vena sanguinis impetu in ipsam irruentis patefacta, non id provide faciente natura: eo fit, ut effusus sanguis interdum niger non sit. Quin etiam natura atri sanguinis evacuãdi causa venam aperiente, nonnunquam accidit evacuato malo, bonum subsequi, nisi prius conceptaculum occludatur; sed diutius patefactum maneat. In propositis igitur verbis non hoc ipsum dicere censendum est quod omnis hæmorrhois atram bilem evacuet: atque ideo, quum fit, melancholicis prosit, repressa verò noceat: quodque ipsa si claudatur, aperienda sit.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν οὖν τὰς μελαγχολίας ὑπὸ τῶν αἱμοῤῥοΐδων ὠφελεῖσθαι, τῶν ἐναργῶς φαινομένων ἐστὶ, καὶ πολλοὺς κατ' ἐπιστάσεις αὐτῆς ἐθεασάμεθα μελαγχολήσαντας. ἐνίους δ' οὐ μόνον ἅπαξ, ἢ δὶς, ἀλλὰ καὶ τρὶς, καὶ τετράκις εἰς μελαγχολίας ἐμπεσόντας, ἅμα τῷ στῆναι τὴν αἱμοῤῥοΐδα. τινὰς δὲ καὶ καθ' ἕκαστον ἔτος εἰς τὸ πάθος ἐπιφερομένους, εἰ μὴ φθάσειεν, ἤτοι δι' αἱμοῤῥοΐδος, ἢ διὰ τοῦ καθαρθῆναι μέλαιναν χολὴν, ὠφεληθέντες. οἱ πλεῖστοι D μὲν οὖν αὐτῶν αἷμα μέλαν ἐκκενοῦνται διὰ τῆς αἱμοῤῥοΐδος, οὐ μὴν ἅπαντές γε. γίνεται μὲν οὖν οὐ κατὰ μίαν αἰτίαν αἱμοῤῥοῒς, ἀλλ' ἐνίοτε μὲν οὖν αὐτῆς τῆς φύσεως ἐκκαθαιρούσης τὸν μελαγχολικὸν χυμὸν, ἐνίοτε δὲ πλῆθος ἐκκενούσης, ὡς καὶ τοῖς διὰ ῥινῶν αἱμοῤῥαγοῦσιν. ἔστι δ' ὅτε φλεβὸς ἀναστομωθείσης τῇ βίᾳ τοῦ κατασκήψαντος εἰς αὐτὴν, οὐ διὰ τὸ τὴν φύσιν ἐργάζεσθαι τοῦτο προνοητικῶς, διὸ καὶ τὸ κενούμενον ἐνίοτε μέλαν οὐκ ἔστι, καὶ μέντοι καὶ τῆς φύσεως ἕνεκα τοῦ τὸ μέλαν ἐκκενῶσαι, τὴν ἀναστόμωσιν ἐργαζομένης. συμβαίνει δέ ποτε, κενωθέντι τῷ μοχθηρῷ τὸ χρηστὸν συνα- E κολουθεῖν, ὅταν μὴ φθάσῃ μῦσαι τὸ ἀγγεῖον, ἀλλ' ἐπὶ πλέον ἀνεστομωμένον διαμένῃ. κατὰ τὴν προκειμένην οὖν ῥῆσιν (οὐ) τοῦτο λέγειν αὐτὸν ἡγητέον, ὅτι πᾶσα τὴν χολὴν μέλαιναν αἱμοῤῥοῒς ἐκκενοῖ, καὶ διὰ τοῦτο τοὺς μελαγχολικοὺς ὠφελεῖ μὲν γινομένη, βλάπτει δ' ἐπισχεθεῖσα, καὶ ὡς ἀναστομωτέον αὐτήν ἐστιν εἰ μύσειεν.

HIPPOCRATIS TEXTUS XXVI.

Increscentes morbos mistio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

F

Τὰς ἐπαυξέας νόσους, μίξις.

GALENI COMMENTARIUS.

Vtrum ipsos juvet mistio, aut lædat, omissum est. Omnibusque Interpretibus, uno Hercule Erythræo excepto, nescio quo modo ipsos juvari pro certo habentibus, & mistionem pro concubitu cum muliere intelligentibus, omnibusque inter se de significato hujus vocis,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΟτερον ὠφελεῖ μίξις αὐτὰς, ἢ βλάπτει, παραλέλειπται. πάντων δὲ τῶν ἐξηγητῶν οὐκ οἶδ' ὅπως ὑποθεμένων αὐτὰς ὠφελεῖσθαι, καὶ μίξιν ἀκουσάντων τὴν πρὸς γυναῖκα, χωρὶς Ἡρακλέος τοῦ Ἐρυθραίου. πάντων δὲ διαφερομένων, ἐν τῷ κατὰ τὰς ἐπαυξέας σημαινομένῳ,

ὅ μοι δοκεῖ πιθανώτατον, ὡς ἐν αἰνίγμασιν εἶναι, τοῦτο μόνον ἐρῶ. νόσους τὰς ἐπαύξεις, τὰς αὐξανομένας ἐν τῷ χρόνῳ, καὶ χείρονας ἀεὶ γινομένας, εἰ μὴ φθάσειε λυθῆναι, οἷον ἀπὸ ποδάγρας, ἀρθρίτιδας, νεφρίτιδας, ἐπιληψίας, μελαγχολίας ἁπάσας, βλαπτομένας ὑπὸ ἀφροδισίων. Σαβῖνος δὲ ἐπαύξεις ἀκούει νόσους, τὰς τοῖς παιδίοις γινομένας, καὶ συναυξανομένας ἄχρι τοῦ δύνασθαι, ὡς αὐτὸς ὀνομαστί φησι, μίγνυσθαι, ἐπιληψίας τε εἶναι, καὶ φρενίτιδας, καὶ τεταρταίους πυρετούς, καὶ κεφαλαλγίαν, οὐ μὴν φαίνεταί γε πᾶσι τὰ πάθη ταῦτα γινόμενα, πλὴν τῆς ἐπιληψίας, ἣ καὶ δι᾽ αὐτὸ τοῦτο πρὸς τῶν παλαιῶν ὀνομασθῆναι συνέβη παιδίων πάθος. γίνεται δὲ καὶ ὁ κατὰ τὴν κύστιν λίθος παισὶν, ἀλλ᾽ οὐχ οὕτως πολλοῖς ὡς ἐπιληψία. ταύτην μὲν οὖν ἐν τῇ μεταβολῇ τῆς τῶν παίδων ἡλικίας, ὡς τὰ πολλὰ συμβαίνει λύεσθαι, τοῖς μὴ μεγάλα πλημμελοῦσι περὶ τὴν δίαιταν. ὁ δὲ ἐν τῇ κύστει λίθος οὐχ ὑπὸ μεταβολῆς τῆς ἡλικίας, ἀλλ᾽ ὑπὸ χειρουργίας μόνης θεραπεύεται. γινώσκοντες οὖν ἡμεῖς, καὶ χωρὶς τῆς προκειμένης ῥήσεως, ὅτι τε τὴν ἐπιληψίαν, καὶ τὰ ἄλλα ὅσα φλεγματικὰ νοσήματα μεγάλως ὀνίνησιν ἡ μεταβολὴ τῆς τῶν παίδων ἡλικίας εἰς τὴν τῶν μειρακίων, εἰ καὶ χωρὶς τῆς ἀφροδισίων χρήσεως γίνοιτο. πρὸς τούτῳ δ᾽ ἐπιστάμενοι, καὶ ὡς οὔτε νεφρῖτις, οὔτε πυρετὸς τεταρταῖος, οὔτε ἀρθρῖτις παύεται δι᾽ ἀφροδισίων, ὑπὸ μὲν τῆς προκειμένης ῥήσεως αἰνιγματώδους οὔσης, οὐδὲν διδασκόμεθα, καθάπερ οὐδ᾽ ὑπ᾽ ἄλλης οὐδεμιᾶς τῶν τοιούτων. καὶ γὰρ τὴν ὠφέλειαν ποτὲ τῷ ψύχειν ἐργάζεται, μόνους ἐκείνους ὀνινᾶσα τοὺς αἰθαλώδεις, ἢ καπνώδεις διαπνοὰς ἴσχοντας, διὰ φυσικὴν δυσκρασίαν. οὗτοι γὰρ ὅταν ἐπαρθῶσιν ἄωροι, βλάπτονται μεγάλως, οὗτοι καὶ πρὸς τῶν ἀφροδισίων ἐν καιρῷ καὶ μετρίως γινομένων, ὠφελοῦνται.

A *increscentes*, dissidentibus, quod mihi, ut in
obscuris dictis fit, verisimillimum videtur, id
solum afferam: Morbos increscentes eos intel-
ligo, qui procedente tempore augentur, sem-
perque nisi priùs solvantur, labuntur in pejus,
ut podagras, articulorum dolores, renum vitia,
comitiales, melancholias, quæ omnes coitu
exacerbantur. Sabinus autem increscentes mor-
bos eos esse vult, qui pueros corripiunt, una-
que cum ipsis usque ad ætatem Veneri aptam
increscunt, ut ipse nominatim recensuit, co-
B mitialem morbum, & renum affectum, & quar-
tanas febres, & dolorem capitis: Verùm non
omnes vitia hæc infestare videntur, præter sa-
crum morbum, quem propter idipsum à vete-
ribus puerilem affectum nominari contigit.
Creatur etiam pueris in vesica lapillus, sed
haud ita multos, ut sacer morbus, invadit:
quem quidem in puerulis ætatis mutatione
plerunque, nisi magnopere in victu delinquant,
removeri contingit: at vesicæ calculus non æta-
tis lapsu, sed manuum opera duntaxat, curari
potest. Porro nos, & absque istis verbis co-
C gnoscentes comitialem, & omnes alios pitui-
tosos morbos, ob mutationem ex puerili ætate
in adolescentiam, omisso etiam venereorum
usu, mirificè juvari: ad hæc & illud scientes,
neque renum vitia, neque quartanam febrem
neque articulorum dolores, coitu sedari, à
propositis verbis perplexis & tenebricosis nihil
addiscimus, quemadmodum neque ab ullis id
genus aliis: Concubitus enim interdum refrige-
rando prodest, solis illis subveniens, in quibus
ob naturalem intemperiem, fuliginosi halitus,
fumidique redundant: qui si retenti fuerint,
D illis graviter nocent: iidem & à veneris usu in
tempore, modiceque adhibito, utilitatem ca-
piunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

Ψύξις, τὰ κατὰ κοιλίην σκληρύνει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ κατὰ ταύτην τὴν ῥῆσιν, ὃ μέν τι χρήσιμόν ἐστιν ἅπασι τοῖς τὴν τέχνην μετιοῦσιν, ἄν τ᾽ οὖν ἐμπειρικοὶ τύχωσιν ὄντες, ἄν τε δογματικοί· ὃ δέ τι μόνοις τοῖς τὰς αἰτίας ἑκάστου τῶν γινομένων ἐπίστασθαι προῃρημένοις. ἐρῶ δὲ περὶ προτέρου τοῦ χρησίμου πᾶσιν, ἐν τοίνυν τῇδε τῇ λέξει, ψύξις, τὰ κατὰ κοιλίην σκληρύνει. κοινῇ μὲν ἐδέξαντο πάντες, οὓς κἀγὼ γινώσκω, περὶ τῶν διαχωρουμένων αὐτῷ τὸν λόγον εἶναι, τὸν αὐτὸν ὄντα δυνάμει τῷ „ κατὰ τοὺς ἀφορισμούς. ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραί. πότερον δὲ τὴν ἐκ τῶν ἐκτὸς μερῶν τοῦ σώματος λέγει ψύξιν μόνον, ἥτις κἀν ταῖς βορείαις γίνεται καταστάσεσιν, ἢ τῶν ἔνδον, ἐν οἷς ἐστι, καὶ τὰ κατὰ τὴν κοιλίην, ἐπισκέψασθαι παρέλιπον οἱ ἐξηγηταὶ, καίτοι διαφορὰν ἐχούσας οὐ σμικράν. τὴν μὲν γὰρ τῶν ἔξω ψύξιν, ἴσμεν, οἵγε παραφυλάττοντες τὰ συμβαίνοντα τοῖς ἀνθρώποις, ἀεὶ σκληρύνουσαν τὴν γαστέρα. τὴν δὲ τῶν ἔνδον, ἔμπαλιν ὑγραίνουσαν, ἥ γε καὶ τὰς καλουμένας κοιλιακὰς διαθέσεις ἐργάζεται. ἐνίοτε, καθ᾽ ὃν καιρὸν αὐτὰ μὲν τὰ σώματα τῶν ἔνδον μορίων ἐνδέχεται

HIPPOCRATIS TEXTUS XXVII.

Refrigeratio, quæ in ventre sunt, durat.

GALENI COMMENTARIUS.

In hac quoque parte aliquid est omnibus
F artem exercentibus utile, sive empirici sint,
sive dogmatici: aliquid verò solis cujusque af-
fectus causas scire velle sibi proponentibus con-
ducit. Dicam verò de eo prius quod omnibus
utile est. In hisce igitur verbis, refrigeratio,
quæ in ventre sunt, durat, omnes quos ego
sciam, communiter de dejectionibus ab ipso
sermonem fieri intellexerunt, qui idem velit
atque ille in Aphorismis; Sin autem cœlum
sit aquilonium, tusses, fauces, ventres duri:
utrum verò extimarum corporis partium refri-
F gerationem solùm dicat, quæ & in aquiloniis
constitutionibus fit; an & internarum interque
& ventris locus est, Interpretes considerare
omiserunt, quum tamen inter eas discrimen
haud exiguum versetur. Nos etenim quæ ho-
minibus eveniunt observantes, exteriorum re-
frigerationem semper ventrem durare cognosci-
mus: interiorum autem contra, humectare,
quæ cœliacos etiam qui vocantur affectus, id
est, ventris profluvia, interdum concitat, quo
tempore ipsa quidem interiorum membrorum

corpora duriora fieri contingit; liquida autem, cibis neque recte concoctis, neque distributis dejici. Hæc plane Medicis omnibus cognitu necessaria sunt ipsorum autem causæ solis præstantissimis. Neque enim quod hanc partem interpretantes dicunt, verum est, frigidum scilicet quæ attingat corpora, cogens atque congelans, ita duriora efficere. Hoc enim de refrigeratis partibus quæ interius abstrusæ non sunt, recte dici potest: partes autem ventris ideo rigere nequeunt ut cibi potusque congelati obdurentur, sicut alia extra corpus nostrum hyeme frigore concreta durescunt: prius enim quàm ita frigeret, homo interiret. Verùm eo tempore duntaxat, quo ab aëre extima corporis, iis, quæ in ventre sunt, incolumibus refrigerantur, dejectiones obduratæ cernuntur, calidiore scilicet ventre reddito, ut ipse dicebat: Ventres hyeme & vere calidissimi sunt naturâ, atque semper dicentes Explanatores invenies calidum à frigido circuncessum in penetralia corporis refugere, quum exteriora frigefacta sunt. Sic igitur & in præsentia dico, ventre calidiore affecto, dejectionibusque suppressis, ob causam paulò posterius dicendam, simul optime concoqui cibum, & omnem ex ipso succum dispertiri: ex quo dejectiones exiccari consequens est, ex hoc verò, & ipsas durescere accidit. Duæ nanque causæ quum sint corpora quibus appropinquant, obdurantes, quarum una refrigerans est, altera exiccans, causa quidem refrigerans, ad ea quæ in ventre continentur, vivis nobis pervenire non potest, altera autem ob longam moram interius quum neque concoctio neque distributio læsa fuerit, omnino continget. Adhuc autem illud quod hucusque distulimus, explicandum superest, qua de causa quum cœlum nos ambiens frigidius fuerit, quę in ventre sunt, diutius ibi morantur. Quod autem evenit, tale est. Naturale sane opus est ciborum per intestina delatio, & in Commentariis de facultatibus naturalibus, intestinorum circum illos constrictione eam fieri monstratum; imis autem partibus musculi sedem claudentes impositi sunt, qui per frigus coguntur, constringunturque contra affecti, atque quum quis eos calida aqua perfundit: tunc enim remollescunt, excrementaque impulsu, & constrictione intestinorum in sedem detrusa, & maxime calido provocante suscipiunt: hoc enim & inter omnes constat, excretiones à calido provocari. Partibus autem, quæ in sede sunt, frigescentibus, atque ideo contractis, & in angustum redactis, contrarium symptoma sequitur, constrictoriam scilicet intestinorum actionem ab inferioribus partibus incipientem, sursum versus contenta propellere, quemadmodum evidenter plerunque conspicitur, quando aut bilem, & mordacia excrementa ad sedem effusa sponte retinemus, aut inviti: nonnunquam aliquo negocio illo tempore occupati, aut à latrina procul absentes: sursum enim velociter recurrunt, ut neque vi facta postea prompte obediant atque descendant. Causa planè ob quam cibi, potionesque, aëre nos ambiente frigefacto, diutius in ventre morentur, jam patefacta est: & hanc siccitatem consequi monstravimus, quemadmodum & siccitati duritia evidenter accidit. Quòd si ventris particularum

A γίνεσθαι σκληρότερα, διαχωρεῖσθαι δ' ὑγρὰ, μήτε πεττομένων καλῶς τῶν σιτίων, μήτ' ἀναδιδομένων. ταῦτα μὲν οὖν ἀναγκαῖα γινώσκεσθαι τοῖς ἰατροῖς ἅπασι, τὰς δ' αἰτίας αὐτῶν, μόνοις τοῖς ἀρίστοις. οὐ γὰρ, ὅπερ οἱ ἐξηγησάμενοι τὴν ῥῆσιν ταύτην, εὐηθές ἐστιν εἰπεῖν, ὡς τὸ ψυχρὸν συνάγον καὶ πηγνύον οἷς ἂν ὁμιλήσῃ, σκληρότερα κατὰ τοῦτο ποιεῖ αὐτά. τοῦτο γὰρ ἐπὶ μὲν αὐτῶν τῶν ψυχομένων σωμάτων, ὅσα μὴ κατὰ βάθος ἐστὶ, ὀρθῶς ἂν λέγοιτο. τὰ δὲ κατὰ τὴν κοιλίαν, ἀδύνατον εἰς τοσαύτην ψύξιν ἐλθεῖν, ὥστε B βρωτά τε καὶ ποτὰ παγέντα σκληρυνθῆναι, καθάπερ τὰ ἐκτὸς ἐν χειμῶνι. τεθνήξεται γὰρ θᾶττον ὁ ἄνθρωπος, εἰ τοσαύτην ἕξει ψύξιν, ἀλλὰ μόνον ὅταν ὑπὸ τοῦ περιέχοντος ψύχεται τὰ ἔξωθεν μέρη τοῦ σώματος, ἀβλαβῶν ὄντων τῶν κατὰ τὴν γαστέρα, φαίνεται σκληρυνόμενα τὰ διαχωρήματα, θερμοτέρας γινομένης τῆς κοιλίας, ὥσπερ αὐτὸς « ἔλεγεν, αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει. « καὶ τούς γ' ἐξηγητὰς εὕροις ἂν ἀεὶ λέγοντας ἀντιπεριίστασθαι τὸ θερμὸν τῷ ψυχρῷ, πρὸς τὸ βάθος τοῦ σώματος ὑποχωροῦν, ὁπόταν ψυχθῇ τὰ ἐκτός. οὕτως οὖν καὶ νῦν C φημὶ, τῆς μὲν γαστρὸς θερμοτέρας γινομένης, τῆς δὲ ὑποχωρήσεως ἐπεχομένης, δι' ἣν ὀλίγον ὕστερον αἰτίαν ἐρῶ, πέττεσθαί τε ἅμα κάλλιστα, καὶ ἀναδίδοσθαι τὸν ἐκ τῆς τροφῆς χυλὸν ἅπαντα. τούτου δὲ συμβαίνοντος, ἀκόλουθόν ἐστι ξηραίνεσθαι τὰ διαχωρήματα, τούτῳ δ' ἕπεται τὸ σκληρύνεσθαι. δυοῖν γὰρ τούτων αἰτίων σκληρυνόντων, οἷς ἂν ὁμιλήσῃ σώμασιν, ὧν τὸ μὲν ψυχρόν ἐστι, τὸ δὲ ξηραῖνον. ἡ μὲν ἐκ τῆς ψύξεως αἰτία, τοῖς περιεχομένοις κατὰ τὴν κοιλίαν οὐκ ἄν ποτε συμβαίη ζῶσιν ἡμῖν. ἡ δὲ διὰ τὴν πολυχρόνιον ἔνδον μονὴν, ὅταν χωρὶς τοῦ τὴν πέψιν, ἢ τὴν ἀνάδοσιν βεβλάφθαι D γίνηται, πάντως ἀκολουθήσει. λείποι δ' ἂν οὖν ἔτι τὸ ἀναβληθὲν ἐπιδεῖξαι, διά τινα αἰτίαν, ὅταν ψυχρὸς ὁ περιέχων ἡμᾶς ἀὴρ γίνηται, χρονίζει τὰ κατὰ τὴν κοιλίαν. ἔστι δὲ τὸ συμβαῖνον τοιοῦτον. φυσικὸν μὲν γὰρ ἔργον ἐστὶν ἡ τῶν σιτίων διὰ τῶν ἐντέρων φορὰ, καὶ δέδεικται κατὰ τὰ Φυσικῶν δυνάμεων ὑπομνήματα γινομένη τῇ περιστολῇ τῶν ἐντέρων. ἐπίκεινται δὲ κατὰ τὸ κάτω πέρας, οἱ κλείοντες τὴν ἕδραν μύες, οἵτινες ἐν τῷ κρύει συνάγονταί τε καὶ σφίγγονται, τὴν ἐναντίαν λαμβάνοντες διάθεσιν, ἢ ὅταν αἰονᾷ τις αὐτοὺς ὕδατι θερμῷ. χαλῶνται μὲν E γὰρ τηνικαῦτα, καὶ δέχονται τὰ καταφερόμενα, τῇ θλίψει τε καὶ περιστολῇ τῶν ἐντέρων, ἐπὶ τὴν ἕδραν περιττώματα, καὶ μάλιστα ὅταν προκαλεῖται τὸ θερμὸν, ὡμολόγηται γὰρ καὶ τοῦτο προκλητικὸν ἀποκρίσεως εἶναι. τῶν δὲ κατὰ τὴν ἕδραν ψυχομένων, καὶ διὰ τοῦτο συναγομένων τε καὶ σφιγγομένων, τοὐναντίον ἀκολουθεῖ σύμπτωμα, τὸ τὴν περισταλτικὴν τῶν ἐντέρων ἐνέργειαν ἀπὸ τῶν κάτω μερῶν ἀρχομένην, ἄνω προωθεῖν τὰ περιεχόμενα, καθάπερ ἐναργῶς ὁρᾶται πολλάκις, ὅταν ἤτοι χολῆς, καὶ διαχωρημάτων δακνωδῶν F ἀφικομένων ἐπὶ τὴν ἕδραν, ἑκόντες αὐτὰ κατέχωμεν, ἤτοι διά τινα πρᾶξιν ἐν ἐκείνῳ τῷ χρόνῳ διαπραττομένην, ἢ πόρρωθεν ἀφεδρῶνος ὄντες. ἀνατρέχει γὰρ ἄνω ταχέως ὡς μηδὲ βιαζομένης αὖθις ὑπακούειν ἑτοίμως. ἡ μὲν οὖν αἰτία δι' ἣν χρονίζει κατὰ τὴν γαστέρα τὰ σιτία, καὶ τὰ ποτὰ, ψυχροῦ τοῦ πέριξ ἀέρος γινομένου, καὶ δὴ λέλεκται. ταύτῃ δ' ἐδείχθη ξηρότης αὐτῶν ἑπομένη, καθάπερ γε ἐναργῶς τῇ ξηρότητι σκληρότης. εἰ δὲ τὰ σώματα τὰ κατὰ τὴν γαστέρα

A μορίων ψυχθείη, τήν τε πέψιν ἀνάγκη βλάπτεσθαι, καὶ δι' αὐτὴν ὑγραίνεσθαι μᾶλλον, ἢ ξηραίνεσθαι τὰ διαχωρήματα. συμπεπληρωμένου δὴ ἡμῖν ἤδη τοῦ λόγου παντὸς, ἐπὶ τῇ προτέρᾳ γραφῇ μεταβῶμεν ἐφ' ἑτέρας ὑπογεγραμμένας.

corpora contingat frigescere, ex eo, & concoctionem violari, & per eam dejectiones eliquari magis, quàm siccescere necessum erit. Hactenus verò toto de priore lectione confecto sermone, ad alias inferius scriptas transeamus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

Μίξις τὰ κατὰ τὴν γαστέρα σκληρύνει.

HIPPOCRATIS TEXTUS XXVIII.

Mistio, quæ in ventre sunt, durat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. B

Ὅτι μὲν ἡ λαγνεία ξηραίνει τὸ σύμπαν σῶμα, τῶν ὁμολογουμένων ἐστίν. οὐ μὴν ἀεί γε τὰ κατὰ τὴν κοιλίαν περιττώματα φαίνεται ξηραίνειν, ἀλλ' ὅταν μεγάλως ὑπ' αὐτῶν βαρυνθῇ, διὰ τὴν κατάλυσίν τε τῆς δυνάμεως, καὶ ψύξιν τῶν μορίων, ὑφ' ὧν ἡ τροφὴ πέττεται, καὶ ἀναδίδοται τὰ κατὰ τὴν κοιλίαν, μίξις τὰ κατὰ τὴν κοιλίαν ψύχει καὶ σκληρύνει· βούλεται μὲν γὰρ ὑπὸ τῆς μίξεως, τὴν ψύξιν γίνεσθαι τῶν κατὰ τὴν κοιλίαν, ὑπὸ δὲ τῆς ψύξεως, τὴν ξηρότητα, καίτοι μὴ γινομένην τῷ λόγῳ τῆς ψύξεως ἐδείξαμεν, ἀλλὰ τῷ τῆς σκληρότητος. C ὃ δὲ ἐν τοῖς ἔμπροσθεν λόγοις οὐκ εἶπον, ἴσως ἄμεινόν ἐστι νῦν προσθεῖναι. τὴν γὰρ τῆς ἐκτὸς ψύξιν ἐπιδειξάντων ἡμῶν σκληρύνειν τὰ διαχωρήματα, τάχα τις οἰήσεται μόνην ταύτην αἰτίαν εἶναι τοῦ ξηραίνεσθαι τὰ κατὰ τὴν κοιλίαν. ἔστι δ' οὐχ αὕτη μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς περισταλτικῆς τῶν ἐντέρων δυνάμεως ἀρρωστία, καὶ προσέτι ῥώμη τῆς καθεκτικῆς, καὶ καθ' ἣν ἀναδίδοται τὰ τῆς γαστρὸς εἰς ἧπαρ, ἔτι τε πρὸς τούτοις ἡ δυσαισθησία τῶν ἐντέρων, καὶ τὸ τῆς τροφῆς ἄδηκτον. Εἰ δέ τις οἰήσεται παραλελεῖφθαι τὰ στύφοντα βρώματά τε καὶ πόματα, κακῶς ὑπολήψεται. D περιέχεται γὰρ ἐν τοῖς ῥώμην ἐργαζομένοις τῆς καθεκτικῆς δυνάμεως.

GALENI COMMENTARIUS.

Omne corpus venere exiccari constat; sed non semper alvi excrementa propterea licciora fieri cernuntur. Verùm, quando ab ipsis valde oppressa fuerit, & quando vires labefactatæ, & membra à quibus alimentum conficitur, & in ventre contenta distribuuntur, refrigerata fuerint, tum coitus, quæ in ventre sunt, frigefacit, & duriora reddit: volunt enim ex coitu in ventre contenta frigescere, & ex frigore durari: atque duritiam non frigoris, sed siccitatis ratione, evenire monstravimus. Cæterùm quod in superioribus dicere dimisimus, forsitan hoc loco narrare præstiterit. Nam cum extimorum refrigerationem dejectiones durare ostenderimus, forte quispiam solam hanc durandi, quæ in ventre sunt, causam esse arbitraretur. Non est autem sola hæc, sed & ipsius constrictoriæ intestinorum facultatis imbecillitas, & contentricis robur, & ejus per quam ex ventre in jecur fit distributio, prætereà & obtusus intestinorum sensus, & alimenti qualitas morsu carens. Si quis verò astringentes cibos, & potus à nobis silentio præteritos esse opinabitur, falso opinabitur: nam inter ea quæ contentricem potestatem corroborant, reponuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Ἐλλέβορον πίοντα θᾶσσον καθαίρειν ἢν ἐθέλῃς, λούειν, ἢ φαγεῖν.

HIPPOCRATIS TEXTUS XXIX.

Veratrum epotum si celeriùs purgare vis, lavare, aut cibum sumere oportet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

„ Ὁ μὲν καθόλου τε καὶ κοινὸς λόγος ἁπάσης „ καθάρσεως, κατὰ τόνδε τὸν ἀφορισμὸν εἴρηται, E „ τὰ σώματα ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα „ ποιέειν. ἐνταυθοῖ δὲ, ἐφ' ἑνὸς τῶν καθαιρόντων τοῦ σφοδροτάτου, παρασκευῆς μιᾶς εἰς εὔροιαν ἐμνημόνευσε τῆς ἐκ λουτροῦ, χέοντος μὲν τοὺς χυμοὺς, χαλῶντος δὲ εἴ που τι συντέταται, καὶ κατεσκλήρυνται τὸ σῶμα. λούειν οὖν συμφέρει τοὺς ἐλλεβοριζομένους, οὔτε πρὸ πολλοῦ τοῦ λαβεῖν τὸν ἐλλέβορον, οὔτε μετὰ πολὺν χρόνον, ἀλλὰ μάλιστα μὲν πρὶν λαμβάνειν. ἐγχωρεῖ δὲ καὶ μετὰ τὸ λαβεῖν, εὐθέως. F Εἰ δὲ τῆς καθάρσεως, ἤτοι γε ἀρχομένης, ἢ ὅσον οὔπω μελλούσης ἄρχεσθαι, λούσαις τὸν ἄνθρωπον, ἀντισπάσεις τὴν ἔσω ῥοπὴν τῶν ὑπὸ τοῦ καθαίροντος φαρμάκου χυμῶν ἑλκομένων. ὥσπερ οὖν ἐφ' ὧν παχὺ τὸ αἷμα, λούοντας ἡμᾶς ἐκέλευσε φλεβοτομεῖν, οὕτως ἐφ' ὧν μέλλομεν καθαίρειν, χρῆσθαι λουτροῖς πρὸς τὸ θᾶττον ἅμα καὶ ἀλυπότερον καθαρθῆναι, αὐτὸς δὲ ἐνταῦθα μόνου τοῦ,

GALENI COMMENTARIUS.

Generalis quidem, & cujusque purgationis communis ratio per hunc Aphorismum traditur. Corpora ubi quis vult purgare, prius convenit fluxa facere: hoc loco autem exemplo unius violentissime purgantis medicaminis, unius ad facilem fluxum præparationis meminit, lavacri scilicet humores quidem fundentis, ac si qua in parte contentum, duratumque corpus fuerit, relaxantis. Itaque veratro utentes lavare conducit: neque multò ante, neque multo post, quàm ipsum acceperint, sed maximè quidem ante assumptionem, nonnunquam verò, & illico postea fieri potest. Quòd si purgatione, aut jam incipiente, aut mox inceptura, hominem laves, humorum à purgante medicina tractorum ad interiora inclinationem retrahes ac retardabis. Quemadmodum igitur quibus sanguis crassus est, iis prius lotis nos venam rescindere, sic, & in his qui purgandi sunt, balneo priùs uti præcepit, quò celerius simul, ac minus moleste, purgatio fiat. Ipse verò nunc

solum, ut celerius fiat, memoravit. Satius autem fuerit non eo duntaxat, quo medicinam assumit, die lavare hominem, sed etiam superioribus, quibus ad purgationem sese præparabat. Ipse nanque Hippocrates, & id in Aphorismis præceperat, quum scripsit; Ad veratra iis qui non facilè purgantur, prius humectare corpus oportet alimento, & quiete. Quod si quiete & alimento, & omnino corpus humectare imperat; constat etiam lavationibus nos pluribus uti in aquis potabilibus ipsum velle, siquidem & hæ humectant. Nunc vero & huic parti addidit, cibum sumere, aut eo scilicet tempore, quo & veratrum homo devoravit, aut etiam in superiore victus ratione: cujus & aliud quoddam propositum esse dicebamus, attenuare videlicet succos & itinera humoribus in ventrem descendentibus expedire: in illis enim verbis, fluxa facere quod in Aphorismis præcepit, hæc continentur.

A θᾶττον, ἐμνημόνευσεν. ἄμεινον δὲ δὴ οὐ μόνον ἐν αὐτῇ τῇ ἡμέρᾳ, καθ' ἣν λαμβάνει ὁ ἄνθρωπος τὸ φάρμακον λούειν αὐτὸν, ἀλλὰ κἂν ταῖς ἔμπροσθεν ἡνίκα παρεσκευάζετο πρὸς τὴν κάθαρσιν. αὐτὸς γὰρ ὁ Ἱπποκράτης, καὶ τοῦτο κατὰ τοὺς ἀφορισμοὺς ἐκέλευσεν, ἡνίκα ἔγραψε, πρὸς τοὺς ἐλλεβόρους, τοῖς μὴ ῥᾳδίως καθαιρομένοις προϋγραίνειν χρὴ τὸ σῶμα πρότερον τροφῇ, καὶ ἀναπαύσει τε, καὶ τροφῇ, καὶ ὅλως ὑγραίνειν κελεύει, δηλονότι καὶ λουτροῖς χρῆσθαι πλείοσιν ἐν ὕδασι ποτίμοις, ὑγραίνει γὰρ καὶ ταῦτα. καὶ
B νῦν δὲ προσέθηκε τῇ ῥήσει, τὸ φαγεῖν, ἤτοι καθ' ὃν χρόνον τὸν ἐλλέβορον ὁ ἄνθρωπος, ἢ καὶ κατὰ τὴν ἔμπροσθεν δίαιταν, ἧς καὶ ἄλλο τι κεφάλαιον ἔφαμεν εἶναι τὸ λεπτύνειν τοὺς χυμοὺς, καὶ τὰς ὁδοὺς τοῖς ἐπὶ τὴν κατὰ γαστέρα καταφερομένοις χυμοῖς εὐπετεῖς παρασκευάζειν. ἐν γὰρ τῷ εὔροα ποιεῖν, ὃ κατὰ τοὺς ἀφορισμοὺς ἐκέλευσε, περιέχεται ταῦτα.

HIPPOCRATIS TEXTUS XXX.

Sanguis in somno ad interna magis refugit.

GALENI COMMENTARIUS.

Superiore quoque Aphorismo hanc scripsit sententiam, Vigilanti exteriora magis calent, interiora magis frigent: dormienti res contra se habet. Et nunc igitur ejus loci explanationem propositorum verborum communem esse putato. Nam quæ de caloris motu, locique in vigilantibus ac dormientibus transmutatione, audivisti, ea & de sanguine te audivisse existimato: naturalis enim calor in hoc, & in iis, quæ ex hoc nutriuntur, maxima ex parte consistit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

C ΤΟ αἷμα ἐν ὕπνῳ εἴσω μᾶλλον φεύγει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ κατὰ τὸν ἔμπροσθεν λόγον αὐτὸς ἔγραψε τήνδε τὴν λέξιν, ὁ ἐγρηγορὼς, θερμότερος τὰ ἔξω, τὰ ἔσω δὲ ψυχρότερος, καθεύδων τἀναντία. καὶ νῦν οὖν νόμιζε τῆς προκειμένης εἶναι κοινὴν ἐκείνην τὴν ἐξήγησιν. ἃ γὰρ ἐπὶ τοῦ θερμοῦ τῆς κινήσεως, καὶ τῆς μεταστάσεως ἤκουσας ἐγρηγορότων τε καὶ κοιμωμένων, ταῦτα νόμιζε καὶ περὶ τοῦ αἵματος
D ἀκηκοέναι. τὸ γὰρ ἔμφυτον θερμὸν, ἐν τούτῳ τε, καὶ τοῖς ἐκ τούτου τρεφομένοις, ἐπὶ πλεῖστον.

HIPPOCRATIS TEXTUS XXXI.

Rigor à superiore ventre, ignis autem ab inferiore magis.

GALENI COMMENTARIVS.

Ventris pars superior rigorem magis, inferior vero febrem gignit, aut sentit, aut inchoat: quod & maximè verisimile est: & propter id ipsum hanc vocem, *magis*: additam puto, tanquam sese vicissim solæ dictæ partes contineant. Verumetiam si istud concesserimus, altera quædam exoritur dubitatio, nobis ignorantibus, utrùm dictis partibus inflammatis istud accidere dicat, an quando in ipsas ex corpore succi aliqui mordaces confluxerint, an quando alimentum corruptum fuerit. Atqui rectius illud mihi existimandum esse videtur, de noxa ex humoribus contracta, & de illa sequente ciborum corruptione, ab Hippocrate sermonem fieri. Nam quum frigidus aut mordax succus in ore ventriculi insederit, ex corruptis cibis, aut prava qualitate, vel etiam confluxu ex corpore contractus, initium rigoris inde efficitur: In Commentario nanque de rigore monstravimus, ob frigidam aut mordacem causam, quæ per sensoria corpora moveatur, &

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Ῥῖγος ἀπὸ τῆς ἄνω κοιλίης, πῦρ δὲ μᾶλλον ἀπὸ τῆς κάτω.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E ΤΩν κατὰ τὴν κοιλίαν μορίων, τὸ μὲν ἄνω, ῥίγους μᾶλλόν ἐστι, τὸ δὲ κάτω, πυρετοῦ γεννητικὸν, ἢ αἰσθητικὸν, ἢ ἀρχτικὸν, ὅπερ καὶ πιθανώτατόν ἐστι, καὶ δι' αὐτό γε τοῦτο προσκεῖσθαι νομίζω τὸ μᾶλλον, ὡς ἀλλήλοις παραλαμβανομένων μόνων τῶν εἰρημένων. ἀλλ' εἰ καὶ τοῦτο συγχωρήσαιμεν, ἐπέχεταί τις ἄλλη ζήτησις, οὐκ εἰδότων ἡμῶν, πότερον, ὅταν ἐν φλεγμονῇ γένηται τὰ εἰρημένα μόρια, τοῦτ' αὐτοῖς ἕπεσθαί φησι, ἢ ὅταν εἰς αὐτὰ συρρεύσωσι χυμοί τινες ἐκ τοῦ σώματος δακνώδεις, ἢ ὅταν ἡ τροφὴ φθαρῇ.
F καί μοι δοκεῖ βέλτιον εἶναι τὸν λόγον αὐτοῦ νομίζειν ἡμᾶς γεγονέναι περί τε τῆς ἐκ χυμῶν βλάβης, καὶ τῆς ἑπομένης αὐτῇ διαφθορᾶς τῶν σιτίων. ὅταν γὰρ ἤτοι ψυχρὸς, ἢ δακνώδης ἐν τῷ στόματι τῆς κοιλίας ἀθροισθῇ χυμὸς, ἐκ διαφθορᾶς τῶν σιτίων, ἢ μοχθηρᾶς ποιότητος, ἢ καὶ συρροῆς τοῦ σώματος, ἀρχὴ ῥίγους ἐντεῦθεν γίγνεται. δέδεικται γὰρ ἐν τῷ περὶ ῥίγους λόγῳ, διὰ ψυχρὸν αἴτιον, ἢ δακνῶδες, τὸ ῥῖγος γινόμενον, ὅταν γε τὸ αἴτιον τοῦτο διὰ σωμάτων αἰσθητικῶν κινῆται, καὶ

φέρηται σφοδρότερον· ὥσπερ δὲ τοῦτο φαίνεται συμβαῖνον, οὕτως ἐνίοτε πυρετὸς ἐπὶ διαφθορᾷ τῆς τροφῆς ὁρᾶται γινόμενος, ἐπειδὰν εἰς τὴν κάτω κοιλίην ἡ διεφθαρμένη κατενεχθῇ, μὴ προηγουμένου τηνικαῦτα ῥίγους, ὥσπερ ὁπότε τὸ κατὰ τὸ στόμα τῆς κοιλίας ἐδάκνετο.

A impetu feratur, rigorem excitari. Quemadmodum vero id accidere conspicitur, ita & nonnunquam febrim ex corruptis cibis accendi deprehendimus, quando scilicet corruptus cibus in inferiorem ventrem depulsus fuerit; tunc autem rigor non prævenit, sicuti quando ventriculi ostium mordebatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ.

Ἐπισπασμὸς, πνεύμων, ξηρὸν καῦμα, ὑπέρινον ξηραίνει ὕπνος πολύς.

HIPPOCRATIS TEXTUS XXXII.

B *Attractio, pulmo, aridus æstus: Evacuatum siccat somnus multus.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸν γὰρ κεκενωμένον ὅτι ὁ πολὺς ὕπνος ξηραίνει, καὶ τῇ πείρᾳ μὲν εἴσῃ δι' ἧς ἅπαντες λόγοι κρίνονται, καὶ πρὸ τῆς πείρας δὲ προδηγηθεὶς ἂν εἰς τὴν τοῦ λεγομένου πίστιν, ἐξ ὧν προμεμάθηκας. Εἰ μὲν ἐν τοῖς ὕπνοις εἴσω συννεύει τὸ αἷμα, καὶ δηλονότι τὸ ἔμφυτον θερμὸν, ἐν δὲ ταῖς ἐγρηγόρσεσιν ἐκτὸς ἀποτείνεται, πεφθήσεται μὲν ἐν τοῖς ὕπνοις τὰ κατὰ τὴν γαστέρα τε καὶ ἧπαρ, ὅλον δὲ τραφήσεται τὸ σῶμα κατὰ τὰς ἐγρηγόρσεις. εἰ τοίνυν τοῖς κεκενωμένοις ἔσω μὲν συννεύει τὸ θερμὸν, οὐδὲν δὲ ἔχον ὃ πέψῃ, μαραίνεται. πρῶτον γὰρ τοι τῶν ἄλλων, ὑπὸ τῆς τροφῆς αὐτὸ τρέφεται, καθάπερ τὸ πῦρ ὑπὸ τῶν ξύλων, ἀσφαλῶς δὲ προσέθηκε, τὸ πολύς. ὁ γὰρ ὀλίγος ἰᾶται τὸν προγεγονότα κάματον, ἡνίκα ὁ ἄνθρωπος ἐκκενοῖ διὰ τῆς γαστρός. εἶτ' εἰ καθ' ἧπαρ καὶ τὰς πρώτας φλέβας εἴη τι χυμῶν ἀπέπτων ὑπολειπόμενον, ἐκπέττει πάντ' αὐτά. τοῦτο μὲν οὖν τὸ δεύτερον μέρος τῆς ῥήσεως, οὐδὲν ἔχει ἰσχυρὸν κατὰ τὴν λέξιν ἁμάρτημα. τὸ δὲ πρότερον, ὃ κατὰ τήνδε γέγραπται τὴν λέξιν, ἐπισπασμὸς, πνεύμων, ξηρὸν καῦμα, πάμπολυ τοῦ τῶν Ἑλλήνων ἔθους ἀποκεχώρηκεν. ἐχρῆν γὰρ εἰρῆσθαι κατὰ τήνδε τὴν λέξιν αὐτὸ, ἐπισπασμὸς γίνεται, διότι ξηρὸν καῦμα κατὰ τὴν πνεύμονος κρᾶσίν ἐστιν, ἐπισπασμὸν ἀκουόντων ἡμῶν δηλονότι τὴν εἰσπνοήν. ὁ δὲ Κοΐντος οὐδ' ὅτι ξηρὸς καὶ θερμός ἐστιν ὁ πνεύμων, διὰ τοῦτο ἔφη γίνεσθαι τὴν ταχεῖάν τε καὶ πυκνὴν ἀναπνοὴν, ἀλλὰ διὰ τὴν τοιαύτην ξηραίνεσθαί τε καὶ θερμαίνεσθαι τὸν πνεύμονα. τὸν γὰρ ἐπισπασμὸν οὐχ ἁπλῶς ἀναπνοὴν ἅπασαν, ἀλλὰ μόνην τὴν ταχεῖαν τε καὶ πυκνὴν ἐβούλετο δηλοῦν. ὅτι δὲ ὑπὸ τῆς πυκνῆς ὁ πνεύμων καταξηραίνεται, κἂν τῷ περὶ διαίτης ὀξέων ὑπ' αὐτοῦ λέλεκται.

GALENI COMMENTARIUS.

Quod evacuatum somnus multus exiccet, & experimento quidem, quo omnes rationes dijudicantur, percipies, & ante experimentum ad huic dicto assentiendum ex iis, quæ antea didicisti, adduceris. Porro si in somnis sanguis, & cum eo naturale calidum interius abditur, C in vigilia vero ad extima profunditur, quæ in ventriculo, & jecore sunt, per quietem concoquentur, in vigilia vero totum corpus aletur. Itaque si in exhaustis calor interius vergat, nihil habens quod conficiat, languescit & interit: primus enim omnium, ut ignis lignorum materia, ita ipse alimento nutritur. Caute autem addita est ea vox, *multus*: paucus enim prægressum laborem tollit, quando per ventrem homo evacuatus est: deinde si in jecore, & in primis venis adsint crudorum humorum reliquiæ, eas omnes concoquit. Hæc quidem hu- D jusce orationis secunda pars nullum insignem in verbis errorem habent. Sed prior hoc pacto scripta, *attractio*, pulmo aridus æstus, multum à Græcorum dicendi consuetudine distat: sic enim ipsam enunciare oportuit; attractio fit, quoniam aridus æstus in pulmonis temperatura est, attractionem nobis interpretantibus inspirationem. At quintus, nec quia siccus, calidusque esset pulmo, ob id celerem frequentemque spirationem fieri; sed contra propter talem spirationem siccari, & incalescere pul- E monem dixit. Attractionem nanque haud simpliciter spirationem quamque, sed celerem tantum & frequentem significare voluit, à crebra vero spiratione pulmonem siccescere, & in Libro de acutorum victu ab ipso comprehensum est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

Ψυχρότατον βρῶμα, φακοὶ, κέγχροι, κολοκύνται.

HIPPOCRATIS TEXTUS XXXIII.

Frigidißimi cibi lentes, milium, curcurbita.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Κέγχροι καὶ κολοκύνται, ψυχρὰ βρώματα σαφῶς εἰσὶν, εἰ καὶ μὴ ψυχρότατα. φακὴν δὲ οὐκ ἂν ὁμολογήσαιμι ψυχρὸν εἶναι βρῶμα. φαίνεται γὰρ σαφῶς ὥσπερ αἱ κολοκύνται, καὶ σὺν αὐταῖς ἀτράφαξίς τε καὶ βλίτα, καὶ θριδακίνη, καὶ χονδρίλη, καὶ τῶν σιτηρῶν ἐδεσμάτων, ἡ κριθὴ, καὶ κέγχροι, ψύχοντα. κατὰ τὸν ἐναντίον δὲ τρόπον ἡ φακὴ μηδεμίαν ἐνδεικνυμένη ψύξιν, ἢ παραχρῆμα μετὰ τὸ βρω-

GALENI COMMENTARIUS.

Milium, & cucurbita frigidi cibi evidenter sunt, & si non frigidissimi: lentem vero haud sane frigidum cibum esse concesserim. Nam quemadmodum cucurbitæ, & cum ipsis atriplex, bliton, lactuca, & chondrilla, & ex frumentaceis hordeum atque milium, certissime refrigerare noscuntur; contrario pacto lens se habet; nullam enim refrigerationem præ se fert, aut statim ingesta in superiori ventre

ventre adhuc contenta, ut posterius in tenuia intestina, vel in crassiora delapsa. At forsan quoniam in Libris de simplicibus medicamentis refrigeratorium quiddam in astringente succo inesse monstravimus, lentem quispiam refrigerare putaverit. Sed iste in iisdem Commentariis dictum fuisse non meminit, quæque id genus medicamenta simplicia videri, atque dici, si ad ea quæ per nos per compositionem fiunt comparentur, non tamen exactè simplicia esse. In primo nanque de alimentorum potestatibus Libro mentem ex contrariis constare naturis asseruimus, altera quidem alvum coërcente, altera verò citante. Ex iis igitur quæ supprimit, frigida, terreaque est: quæ citat, calida. Quocirca siccum quidem edulium lens est; frigidum verò non, sicut neque calidum, sed ex utroque mistum: ac medium, aut parum admodum à medio ad calidius recedens. Quando igitur neque absolutè frigidam lentem quis concedere potest, qui ipsam excellenter frigidissimam concesserit. Quin etiam inflammatis ulceribus instar cataplasmatis superdata lens, humores in affectam partem defluentes coërcere, atque repellere videtur, per vim adstrictoriam id scilicet faciens, quin & vi quadam concoctrice, & suppuratoria prædita certe est, quod frigidis nequaquam inesse reperitur. Sive igitur ipse Hippocrates ita scripsit, sive quis alius hæc verba interposuit, haud rectè de lentium viribus opinatus est.

A θλίψαι περιεχομένην κατὰ τὴν ἄνω κοιλίαν, ἢ ὕστερον ἐν τοῖς λεπτοῖς ἐντέροις, ἢ παχέσι γενομένην. τάχα δ' ἐπεὶ ψυκτικὸν ἔχειν τι τὸν στύφοντα χυμὸν ἐδείξαμεν ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, τὴν φακῆν οἴεται ψύχειν, ἐπιλελησμένος ἐν τοῖς αὐτοῖς ὑπομνήμασιν εἰρημένον, ὡς ἕκαστον τῶν τοιούτων, ἁπλοῦν μὲν φαίνεται καὶ λέγεται, παραβαλλόμενον τοῖς ὑφ' ἡμῶν ἐκ συνθέσεως κατασκευαζομένοις, οὐ μὴν ἀκριβῶς γε ἁπλοῦν ἐστιν. ἐδείχθη γοῦν καὶ ἡ φακὴ κατὰ τὸ πρότερον γράμμα περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων, ἐξ ἐναντίων οὐσιῶν συγκειμένη, B τῆς μὲν, ἐπεχούσης τὰ κατὰ τὴν γαστέρα, τῆς δὲ εἰς ἀπόκρισιν αὐτὴν ἐπεγειρούσης. τούτων οὖν, ἡ μὲν ἐπέχουσα, ψυχρὰ καὶ γεώδης ἐστὶν, ἡ δ' ἐπεγείρουσα, θερμή. καὶ διὰ τοῦτο ξηραντικὸν μὲν ἔδεσμα φακὴ, ψυχρὸν δ' οὐδαμῶς, ὥσπερ οὐδὲ θερμὸν, ἀλλ' ἐξ ἀμφοῖν μικτὸν, καὶ μέσον, εἰ καὶ βραχύ τι πρὸς τὸ θερμότερον ἀποκεχωρηκὸς ἀπὸ τοῦ μέσου. ὁπότ' οὖν οὐδὲ ψυχρὸν ἁπλῶς συγχωρήσειεν ἄν τις εἶναι τὴν φακῆν, ἥπου γε ψυχρότατον ὑπερβολικῶς. ἀλλὰ μήν τοι καὶ καταπλαττομένη τοῖς φλεγμαίνουσιν ἕλκεσι φακὴ, C φαίνεται μὲν ἀναστέλλουσα καὶ ἀποκρουομένη τοὺς ἐπιῤῥέοντας χυμοὺς τῷ πεπονθότι μέρει, τῷ στύφειν δηλονότι ποιοῦσα. φαίνεται δὲ καὶ πεπτικόν ἔχειν τι, καὶ πυοποιὸν, ὅπερ ἥκιστα τοῖς ψυχροῖς ὑπάρχει. εἴτ' οὖν αὐτὸς ὁ Ἱπποκράτης οὕτως ἔγραψεν, εἴτε τις ἄλλος ἐστὶν ὁ παρεγγράψας τήνδε τὴν ῥῆσιν, οὐκ ὀρθῶς ἐγίνωσκε περὶ φακῆς δυνάμεως.

HIPPOCRATIS TEXTUS XXIV.

Vlcera exoriuntur, si non purgatus laboret.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

D Ἕλκεα ἐκφύουσιν, ἢν ἀκάθαρτος ἐὼν πονήσῃ.

GALENI COMMENTARIUS.

IN laboribus, hoc est in exercitationibus, calorem auctum ex profundo ad cutim succos evocare atque discutere, alibi didicimus. Quando igitur prius in corpore hi vitiosi contracti sunt, acrimonia cutim erodit, atque ulcera efficit: Quemadmodum, quum crassi, glutinosique humores sunt, jecur, renesque obstruunt, in cute autem affectus cum tumore excitant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐμάθομεν γὰρ, ἐν τοῖς πόνοις, τουτέστιν ἐν τοῖς γυμνασίοις τῆς θερμασίας πλείονος γινομένης, ἐκ τοῦ βάθους ἄγειν ἐπὶ τὸ δέρμα, καὶ διαφορεῖν τοὺς χυμούς. ὅταν οὖν οὗτοι φθάνωσιν ἠθροισμένοι κατὰ τὸ σῶμα μοχθηροὶ, διαβιβρώσκουσι τῇ δριμύτητι τὸ δέρμα, καὶ γεννῶσιν ἕλκη, καθάπερ ὅταν παχεῖς, καὶ κολλώδεις ὦσιν, ἐμφράττουσιν ἧπάρ τε καὶ νεφρούς. E κατὰ δὲ τὸ δέρμα, τὰ μετ' ὄγκου ἐργάζεται παθήματα.

HIPPOCRATIS TEXTUS XXXV.

Mulier, capræ, elaterium, aut cucumerem sylvaticum edentes, pueris purgatio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε'.

Γυνὴ, αἶξ, ἐλατήριον, ἢ σίκυον ἄγριον βεβρωκυῖαι, παιδίοισι κάθαρσις.

GALENI COMMENTARIUS.

NOn elaterio duntaxat, quod cucumeris sylvatici succus est, quemadmodum, neque ipso cucumere solum vescentes, lac puerorum lactentium purgatorium gignunt, verumetiam, si quod aliud medicamentum subductorium, quod vocant, assumpserit. Sive autem à muliere elaterio, à capra ipso cucumere, sive utroque ab utraque comeso, infantes earum lacte purgari dicat, nihil interest, quemadmodum, neque si, comeso, aut devorato quis scripserit. Conducit autem hæc oratio, & ad Medico-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἐλατήριον μόνον ὅπερ ἐστὶ σικύου ἀγρίου χυλὸς, F ὥσπερ δὲ οὐδὲ σίκυον μόνον αἱ προσενεγκάμεναι, καθαρτικὸν ἴσχουσι τὸ γάλα τῶν θηλαζόντων παίδων, ἀλλὰ κἂν ἄλλο τι ὑπηλάτων ὀνομαζομένων φαρμάκων. εἴτε δὲ, τὴν μὲν γυναῖκα τὸ ἐλατήριον, τὴν δὲ, αἶγα τὴν αἶγα τὸν σίκυον αὐτὸν, εἴτε δὲ ἀμφότερα βεβρωκυίας, καθαίρειν τὰ παιδία τῷ γάλακτί φησιν, οὐδὲν διαφέρει, καθάπερ οὐδ' εἰ βεβρωκυῖα γράψει τις, ἢ φαγοῦσα. χρήσιμος δ' ὁ λόγος εἴς τε χρείαν ἰατρικὴν, καὶ δόγμα φυσικόν. ὅταν γὰρ βουληθῶμεν ὑποκαθαίρειν

βρέφη, διδόντες τι τῶν τοιούτων φαγεῖν, ἤτοι τῇ θηλαζούσῃ μητρὶ τὸ παιδίον, ἢ αἰγί, δι' ἐκείνων αὐτὸ καθαιρούμενον, εἴς τε δόγματος ἐπίκρισιν διαπεφωνημένου, χρήσιμον τοῦτο. τινὲς δ' ἡγοῦνται, μηδεμίαν δύναμιν ἔχειν τῶν ἐν ταῖς τροφαῖς ἐξ ἀρχῆς οὐσῶν, διαφυλάττεσθαι μετὰ τὸ πεφθῆναι, καὶ αἱματωθῆναι. τινὲς δὲ διαμένειν ἄχρι πολλοῦ τὰς ἰσχυρὰς δυνάμεις, ὥστε καὶ τοὺς ἱδρῶτας αὐτῶν ὄζειν, ὅπερ ἐκ τοῦ νῦν εἰρημένου μαρτυρεῖται. φαίνεται γὰρ ἐπὶ τῶν τοιούτων φυλαττομένη ἐδηδεσμένων ἡ δύναμις. ἀλλὰ καὶ παρ' ἡμῖν κατὰ τὸ ἔαρ ὅταν τῆς σκαμμωνίας τὰ βλαστήματα φάγωσιν αἶγες, καθαρτικὸν αὐταῖς γίνεται τὸ γάλα, κἂν τιθυμάλλου δὲ προσενήγκωνται, ταυτὸ συμβαίνει. καὶ μέντοι καὶ περὶ τὴν Δωρίδα, καὶ Βοιωτίαν, καὶ Θετταλίαν ὅσα τ' αὐτῇ γειτνιᾷ χωρία τάσεσι τῶν μυῶν ἑάλωσαν πολλοί, φαγόντες ὄρτυγας, ἐπειδὴ τὸν ἐλλέβορον ἐσθίουσιν οὗτοι. ταυτὸ δὲ τοῦτο καὶ κατὰ τὰς Ἀθήνας οἶδά τισι συμβάν, ὀρτύγων δαψιλέστερον ἐδηδοκόσι.

A rum usum, & ad naturale decretum. Infantulos enim purgare volentes, aut matri infantulum lactanti, aut capræ, hujusmodi aliquid esui dantes, sic eos purgabimus. Et ad naturalis decreti, de quo altercatio est, dijudicationem id utile est. Etenim quidam nullam vim ex iis, quæ ab initio in alimentis erant, post concoctionem, & in sanguinem conversionem, remanere contendunt: Aliqui è contrario validas vires diutius remanere volunt, adeo ut etiam sudores ipsos redoleant: huic verò sententiæ, quæ modo dicta fuer , suffragantur, in istis enim B comesorum qualitas servata reperitur. Quin & & apud nos verno tempore, quando capræ scammoniæ germina depastæ fuerunt, purgatorium ipsæ lac generant; quod si tithymalo vescantur, idem accidit. Necnon & in Doride, & Bæotia, & Thessalia, omnibusque finitimis locis multi ex coturnicum esu musculorum distensionibus correpti sunt, quoniam veratrum scilicet illæ comedunt. Istud idem, & Athenis quibusdam accidisse novimus, qui coturnicibus largiter nimis sese impleverant.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛʹ.

Ἐν θέρμῳ βρωθὲν, ἔνδοθεν ψύξις, ἔξωθεν πόνος, ἡλίῳ, πυρί, ἐσθῆτι, ἐν ὥρῃ θερινῇ, τῷ δὲ ἐναντίῳ, ὡς ἐναντίως.

HIPPOCRATIS TEXTUS XXXVI.

Calidiori quod comesum est, intus refrigeratio, exterius labor, sole, igne, veste, æstivo tempore, contrario autem contraria.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῷ ἐνθέρμῳ φύσει, ψύξιν φησὶ καὶ ποτὸν ὕδωρ συμφέρειν, καὶ πρὸς τούτοις ἐλινύειν, ὅπερ ἐστὶν ἀπέχεσθαι σφοδρῶν γυμνασίων. πῶς οὖν νῦν κελεύει γυμνάζεσθαι, ὥς τινες ἐξηγοῦνται; πῶς δ' ἐν ἡλίῳ, καὶ πυρὶ θερμαίνεσθαι; λουτρὰ μὲν γὰρ ἐδείχθη ψύχοντα τὰς τοιαύτας κράσεις, ἀπολύσει μὲν τοὺς καπνώδεις, καὶ λιγνυώδεις, οἳ ταῖς θερμαῖς κράσεσι συμβαίνει γίνεσθαι, ὑγρότητι δὲ, ψυχούσῃ τὰ στερεὰ, διαβρέχοντα. πῦρ δὲ, καὶ ἥλιος θερμαίνει, καὶ τούτοις ὁμοίως ἐσθής τε καὶ ὥρα θερινή· λέγει δ' οὖν ἐν τοῖς ἀφορισμοῖς ὧδε. κατὰ μὲν τὰς ὥρας τοῦ ἦρος, καὶ ἄκρου τοῦ θέρεος, οἱ παῖδες, καὶ οἱ τούτων ἐχόμενοι τῇσιν ἡλικίῃσιν, ἄριστα διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος, καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος οἱ γέροντες. τὸ δὲ λοιπὸν, καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσιν. εἴπερ οὖν ἡ θερμὴ ἡλικία, τοῦ χειμῶνος, ἡ ψυχρὰ δὲ τοῦ θέρεος, ἄμεινον, οὐκ ὠφέλειαν ἐξ ἡλίου, καὶ πυρὸς, καὶ ὥρας θερινῆς τοῖς ἐνθέρμοις φύσει γίνεσθαι νομίζειν αὐτὸν, ἀλλὰ καὶ βλάβην. καὶ τοίνυν τὸ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένον τὸ ἐνθέρμῳ, δεόμενον ἔχειν ἑαυτῷ τι προσυπακουόμενον, ἤτοι κράσει, ἢ φύσει, ἢ σώματι, ἢ ἀνθρώπῳ, ὃ διὰ τῆς ἀντιθέσεως ἐγνώσθη, σώματι καὶ ἀνθρώπῳ λελεγμένον μᾶλλον, ἢ κράσει καὶ φύσει. πάντως γὰρ ἂν εἶπε, τῇ δ' ἐναντίᾳ τἀναντία, τὸ τοῦ θήλεος γένους ἄρθρον, τὸ (τῇ) προτάξας τῷ, τοῖς ἄρρεσιν· γένοιτ' ἂν οὖν ὁ σύμπας λόγος τοιοῦτος, τῷ πολυθέρμῳ σώματι, διὰ μὲν τῶν βρωμάτων καὶ τῶν πομάτων ἡ ἔνδοθεν ψύξις οἰκεία. βλαβερὰ δ' ἡ ἔξωθεν θερμασία δι' ἡλίου, καὶ πυρὸς, καὶ ὥρας θερινῆς, καὶ ἱματίων, ἐν οἷς ἅπασιν ἡ ξηρὰ θερμασία δηλοῦται. τὴν γὰρ ὑγρὰν καὶ σύμμετρον

GALENI COMMENTARIUS.

Valde calido natura refrigerationem, & aquæ potum conducere dicebat, & præ- D terea quiescere, hoc est, à vehementioribus exercitationibus abstinere. Quo pacto igitur hoc loco, ut nonnulli interpretantur, exercitari jubet, quo pacto in Sole, & ad ignem calefieri? Nam balneis id genus temperaturas frigefieri monstratum est, fuliginosisque vaporibus qui fere in hujusmodi temperaturis abscedant, discutiendis, & solidis membris humiditate refrigerante irrigandis: ignis autem & sol calefacit, similiter & vestis & tempus æstivum. Et ipse igitur in Aphorismis, ita loquitur. Tempore quidem veris & extrema æstate pueri, & his E ætate proximi, optimè degunt, & rectissimè valent: æstate verò, & autumno quadantenus senes: reliqua ejus parte, & hyeme qui medias ætates agunt. Itaque si calida ætas hyeme, frigida verò æstate rectius habet, valde calidos natura è Sole, & igne, & æstivo tempore non modo non juvari, sed etiam lædi ipsum putare credendum est. Vox ergo illa initio sermonis posita, *calidiori*, aliquid ipsi addendum subintelligi postulat, aut temperaturæ, aut naturæ, F aut corpori aut homini. Sed eo quod in fine opposuit, præcipitur corpori, & homini magis quàm temperaturæ, aut naturæ, subintelligendum: omnino enim dixisset, contrariæ autem contraria, fœminei generis articulum fœmininis nominibus non masculi masculis, anteponens. Tota igitur narratio talis fuerit: Calidiori corpori per cibos ac potiones interius refrigeratio conveniens est, noxia vero caliditas exterior à Sole, & igne, & tempore æstivo, & vestimentis: quibus omnibus arida caliditas significatur, humidam namque & mediocrem,

qualis balneorum est, potestate refrigerare declaravimus. Liquet autem nos in istis sermonibus consueta hæc balnea intelligere, ubi non apponimus aquarum sponte nascentium, aut marinarum, aut sulphurearum, aut aluminosarum, quandoquidem illæ siccant, calefaciuntque & non refrigerantur. Contrariæ autem naturæ corpori contraria, rursum hîc subintelligere oportet, juvantibus juvantia, & nocentibus nocentia, ea quidem ut eligantur, hæc vero ut fugiantur. Etenim si calidiores naturas cibis ac potionibus refrigerare jussit, frigidiores certe contrariis calefacere præcipiet. Item si calidiores naturas à Sole, igne & æstate, male haberi dicebat, frigidiores utique ab his juvari à contrariis læsum iri, significat.

HIPPOCRATIS TEXTUS XXXVII.

Cibaria aliqua quidem celeriter vincuntur, aliqua verò tarde.

GALENI COMMENTARIUS.

Solus ex his quos novi, Capito pro hac voce, *tarde*, scripsit, *contrarie*, orationem hoc pacto instituens: cibaria aliqua quidem celeriter vincunrur, aliqua verò contrariè. Porro sententia in utraque lectione eadem est: quæ enim eduntur, differre ea ratione inter se inquit, quod aliqua cito à corpore superantur, aliqua tarde. Intelligendum est autem superari, hoc est immutari, concoqui, & apponi, & corpori simile effici. Singulorum igitur ciborum alii quidem cito concoquuntur, & in sanguine mutantur, & nutriunt, alii verò tardius; quæ in tribus Commentariis habentur, ubi de alimentorum viribus, omnia diligenter persecutus sum.

A ὁποῖα τῶν βαλανείων, ψύχειν ἐδείξαμεν τῇ δυνάμει. πρόδηλον δ' ὅτι τὰ συνήθη ταῦτα βαλανεῖα λέγομεν ἐν τοῖς τοιούτοις ἀεὶ λόγοις, ἔνθα μὴ προστίθεμεν ὑδάτων αὐτοφυῶν, ἢ θαλαττίων, ἢ θειωδῶν, ἢ στυπτηριωδῶν, ἐκεῖνα μὲν γὰρ ξηραίνει τε καὶ θερμαίνει οὐ ψύχει. ταῖς δ' ἐναντίαις φύσει σώματι, τὰ ἐναντία προσυπακούσαι πάλιν ἐνταῦθα δεῖ, τῶν μὲν ὠφελούντων τὰ ὠφελήσοντα, τῶν δὲ βλαπτόντων τὰ βλάπτοντα, τὰ μὲν, ὥσθ' αἱρεῖσθαι, τὰ δὲ, ὥστε φυγεῖν. εἰ γὰρ τὰς πολυθέρμους φύσεις ἐδέσμασί τε καὶ πόμασιν ἐκέλευσε ψύχειν, τὰς ψυχροτέρας δηλονότι, τοῖς ἐναντίοις ἀξιώσει θερμαίνειν. καὶ μέντοι καὶ εἰ τὰς θερμοτέρας φύσεις ἔλεγεν ὑφ' ἡλίου, καὶ πυρὸς, καὶ θέρους βλάπτεσθαι, B τὰς ψυχροτέρας δηλονότι, διὰ μὲν τούτων ὠφελήσεσθαι, διὰ δὲ τῶν ἐναντίων βλαβήσεσθαι δηλοῖ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ'.

Βρώματα, τὰ μὲν ταχέως κρατέεται, τὰ δὲ βραδέως.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μόνος ὧν οἶδα Καπίτων ἔγραψεν ἀντὶ τοῦ βραδέως, ἐναντίως, τὴν λέξιν ποιήσας τοιάνδε. βρώματα μὲν C ταχέως κρατεῖται, τὰ δ' ἐναντίως. ἡ γοῦν διάνοια καθ' ἑτέραν λέξιν ἡ αὐτή. τὰ γὰρ ἐσθιόμενα διαφέρειν ἀλλήλων φησὶ, τῷ τὰ μὲν ταχέως κρατεῖσθαι ὑπὸ τοῦ σώματος, τὰ δὲ βραδέως. ἀκουστέον δὲ κρατεῖσθαι, τὸ μεταβάλλεσθαι, καὶ πέττεσθαι, καὶ προστίθεσθαι, καὶ ἐξομοιοῦσθαι τῷ σώματι. τῶν δὲ κατὰ μέρος ἐδεσμάτων τινὰ μέν ἐστι ταχέως πεττόμενα, καὶ αἱματούμενα, καὶ τρέφοντα, τινὰ δὲ βραδέως, ἃ ἐν τρισὶν ὑπομνήμασιν, ἐν οἷς περὶ τῶν τῆς τροφῆς δυνάμεων, διῆλθον ἀκριβῶς ἅπαντα.



ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΝ ΥΠΟΜΝΗΜΑ ΕΚΤΟΝ.

ΤΜΗΜΑ ΕΚΤΟΝ.

HIPPOCRATIS EPIDEMIORVM LIBER SEXTVS, ET GALENI IN EVM COMMENTARIVS SEXTVS.

SECTIO SEXTA.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α΄.

Σάρκες, ὁλκοὶ ἐκ κοιλίης, καὶ ἔξωθεν· δηλοῖ ἡ αἴσθησις ὡς ἔκπνοον, καὶ εἴσπνοον. A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἕλκειν εἰς ἑαυτὰς φησὶ τὰς σάρκας, ἔκ τε κοιλίας καὶ ἔξωθεν. ἐκ μὲν τῆς κοιλίας δηλονότι τὸν ἐκ τῶν σιτίων τε καὶ ποτῶν χυλὸν, ὑφ᾽ οὗ τρέφεται, ἔξωθεν δὲ οὐκέτι ὁμοίως· ἄδηλον δ᾽ εἴ τε τροφὴν εἴτ᾽ ἀέρα λέγει. δυνατὸν μὲν γὰρ τροφὴν ἕλκειν τὰς σάρκας, ὥσπερ ἐκ τῆς κοιλίας, οὕτω κἀκ τῶν ἔξω μερῶν εἰς τὸ βάθος ἀντεπισπᾶσθαι. δυνατὸν δὲ καὶ τὸν ἀέρα, διὰ δὲ τῶν καθηκουσῶν ἀρτηριῶν εἰς τὸ δέρμα φέρεσθαι πρὸς τὰς σάρκας, ἑλκόμενον ὑπ᾽ αὐτῶν, ὃ καὶ μᾶλλον ἔχεται τῆς κατὰ τὴν ὅλην ῥῆσιν ἀκολουθίας, διαπεφωνημένου δὲ τοῦ περὶ τῆς ὁλκῆς δόγματος. ἔνιοι μὲν γὰρ τῶν B

HIPPOCRATIS TEXTUS I.

Carnes attractrices ex ventre, & extrinsecus. Significat sensus, quoniam expirabile, & inspirabile.

GALENI COMMENTARIUS.

Trahere ad se ipsas inquit carnes ex ventre, & extrinsecus: ex ventre quidem, id est, ex ventriculo ciborum potionumque unde nutriuntur, succum: extrinsecus verò, non item similiter. Incertum est autem alimentum-ne dicat, an aerem. Possunt enim carnes quemadmodum ex ventriculo alimentum hauriunt, sic & ab extimis partibus in profundũ revocare: potest & aer per arterias ad cutim pertinentes ad carnes ferri ab ipsis attractus, quod etiã omni verborũ cõtextui magis quadrat. Verũ de attractione decretum controversum est. Nonnulli enim Philosophi

ac Medici funditus ipsam sustulerunt, nonnulli esse quidem affirmant, sed in carnibus esse negant. Omnium autem rationes in Commentariis explanatoriis reddi non posse diximus: multocies enim eadem sæpius repetere cogeremur, Commentariaque in longitudinem ac multitudinem penè innumerabilem excresceret. Quin neque universum vitæ tempus ad Hippocratis Libros interpretandos satis esset, si cujusq; dogmatis semper in qualibet particula ostensiones afferri debeant: lecturis præterea molesta res esset: & Commentaria comparaturis, longo tempore, magnisque sumptibus conscriberentur. Satius itaque fore existimavi, si in hisce Commentariis cujusque partis sententiam enuclearem, quod Explanatoris proprium munus est: interdum verò & dictis ab ipso causas alibi demonstratis placitis congruentes, adjicerem, ipsa autem placita hoc loco non astruerem; sed quibus in Libris olim à me scriptis asserta fuerint, tantùm in memoriam revocarem, quemadmodum & nunc faciam. Iis enim quæ nutriuntur, ad se proprium succum attrahentibus, ad ipsa moveri alimentum in Commentariis de viribus naturalibus disputatum est. Expirabile verò atque inspirabile omne corpus esse, in Commentario de usu spirandi, & in Libello de usu pulsuum egimus: in priore quidem utilitatem spirationis esse declaravimus, ut cordis calor moderatus servetur: in secundo verò, in toto corpore caloris mediocritatem arteriarum opera custodiri. Hæc itaque sola abunde sint ad prioris verborum Hippocratis particulæ explanationem. Ad secundam jam deveniamus, in qua illud, *significat sensus*, neque secundum Hippocratis morem, neque omnino secundùm Græcam locutionem, dictum est. Unde aliqui castigantes in dativo casu protulerunt *sensui* scribentes: ut quod ab eo dicitur, tale sit: Perspicuum sensui est totum animalis corpus expirabile esse, atque inspirabile. Atque his deinde subjicitur illud, carnes attractrices ex ventre, & extrinsecus, sensu teste confirmatum: quod idem est, ac si diceret, ab iis quæ evidenter sensibus nostris apparent. Nonnullos profectò vulgares audivi, quod ipsis ex potabilium aquarum balneis acciderat, admirantes. Prius enim per flagrantem solem confecto itinere, domum reversi, squalidum corpus, osque aridissimum, se habere dicebant, necnon & ardentissima siti cruciari: à lavatione autem sitim extinctam esse, os humectatum pariterque totum corpus molle atque humidum effectum priorem deposuisse squallorem fatebantur: Alii vero & in solis corpus suum ad aquam attrahere indubitanter se percepisse affirmarunt. Hæc sane, quæ vel imperitis patent, decreti testimonia ab ipso sensu accepta sunt: aliqua verò ex subtilioribus rationibus à Medicis inventa sunt, quarum una & illa est, quam ipse posterius affert, quamque in sequentibus verbis cognoscetis. Nam ad proposita intelligenda, & hæc satis sunt, nobis ex rectè dictis, & prave ab Explanatoribus scripta deprehendere valentibus.

A ἰατρῶν τε καὶ φιλοσόφων, οὐδ' ὅλως ὁλκὴν ἔφασαν εἶναι, τινὲς δ' εἶναι μὲν φασιν, ἐν ταῖς σαρξὶ δ' οὐκ εἶναι. τὸ γράφειν δ' ἀποδείξεις ἁπάντων τῶν τοιούτων ἐν ἐξηγητικοῖς ὑπομνήμασιν ἀδύνατον ἔφην εἶναι. πολλάκις τε γὰρ ἀναγκασθήσεσθαι λέγειν τὰ αὐτά, πλῆθός τε καὶ μῆκος ὑπομνημάτων ἔσεσθαι μηδ' ἀριθμηθῆναι ῥᾳδίως δυνάμενον, ἀλλ' οὐδὲ τὸν τῆς ζωῆς χρόνον ἱκανὸν ἔσεσθαι πρὸς τὴν τῶν Ἱπποκράτους βιβλίων ἐξήγησιν, ἥτις ἑκάστου δόγματος ἀεὶ B τὰς ἀποδείξεις γράφει καθ' ἑκάστην ῥῆσιν. ἔτι τε τοῖς ἀναγνωσομένοις ὀχληρὸν τὸ πρᾶγμα, καὶ τοῖς κατασκευάσαι βουλομένοις τὰ ὑπομνήματα σὺν χρόνῳ πολλῷ, καὶ δαπανήμασί τε γραφῆναι. βέλτιον οὖν ἔδοξεν ἐξηγεῖσθαι μὲν ἐν τούτοις τοῖς ὑπομνήμασι τὴν διάνοιαν ἑκάστης ῥήσεως, ὅπερ ἴδιόν ἐστιν ἐξηγητοῦ. προστιθέναι δὲ καὶ τὰς αἰτίας, ἐνίοτε τοῖς εἰρημένοις ὑπ' αὐτοῦ κατὰ τὴν ἀκολουθίαν τῶν ἀποδεδειγμένων δογμάτων, αὐτὰ δὲ τὰ δόγματα μὴ κατασκευάζειν μὲν ἐνταῦθα. μόνον δ' ἀναμιμνήσκειν ἐν τίσιν ἤδη βιβλίοις τῶν ὑπ' ἐμοῦ γεγραμμένων ἀποδέδεικται, καθάπερ καὶ νῦν, C ὅτι μὲν ἑλκόντων τὸν οἰκεῖον χυμὸν ἐφ' αὐτὰ τῶν τρεφομένων, ἡ πρὸς αὐτὰ γίγνεται φορὰ τῆς τροφῆς, ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἀποδέδεικται. τὸ δ' ἔκπνουν τε καὶ εἴσπνουν ὅλον τὸ σῶμα, διά τε τοῦ περὶ χρείας ἀναπνοῆς ὑπομνήματος, καὶ τοῦ περὶ χρείας σφυγμῶν, ὧν ἐν μὲν τῷ προτέρῳ λεχθέντι, τὴν χρείαν τῆς ἀναπνοῆς ἐδείξαμεν εἶναι φυλακὴν τῆς συμμετρίας τῆς κατὰ τὴν καρδίαν θερμοῦ. κατὰ δὲ τὸ περὶ χρείας σφυγμῶν, τὴν καθ' ὅλον τὸ σῶμα μετριότητα τῆς θερμασίας, ἐκ τῶν τῆς ἀρτηριῶν ἔργων φυλάττεσθαι. ταῦτ' οὖν ἐστιν ἱκανὰ μόνα πρὸς τὴν τοῦ προτέ- D ρου μέρους τῆς ῥήσεως ἐξήγησιν. ἐπὶ δὲ τὸ δεύτερον αὐτῆς ἤδη μετέλθωμεν, ἐν ᾧ τὸ, δηλοῖ ἡ αἴσθησις, ὡς οὐ κατὰ συνήθειαν οὔθ' Ἱπποκράτους, οὔτε καθόλως Ἑλληνικῶς ἑρμηνευόμενον. ἐπηνορθώσαντο δέ τινες, οἱ μὲν κατὰ δοτικὴν πτῶσιν, αἰσθήσει, γράψαντες, ἵν' ᾖ τὸ λεγόμενον ὑπ' αὐτοῦ τοιόνδε. δῆλόν ἐστι τῇ αἰσθήσει ὡς ἔκπνουν καὶ εἴσπνουν εἴη τὸ σῶμα τοῦ ζώου ὅλον, ἐπενηνέχθαι δὲ τούτοις, τὸ, σάρκες ὁλκοὶ ἐκ κοιλίας, καὶ ἔξωθεν ὑπὸ τῆς αἰσθήσεως μαρτυρούμενον, ὅπερ ταὐτόν ἐστι τῷ λέγειν, ὑπὸ τῶν ἐναργῶς φαινομένων ἡμῖν διὰ τῶν αἰσθήσεων. ἰδιωτῶν γε E μὴν ἐνίων ἤκουσα θαυμαζόντων τὸ συμβὰν αὐτοῖς, ἐπὶ τοῖς τῶν ποτίμων ὑδάτων λουτροῖς. ἔμπροσθεν γὰρ ἐξ ἡλίου θερμοῦ, καὶ ὁδοιπορίας ἥκοντες, αὐχμηρόν τε τὸ σῶμα, καὶ τὸ στόμα ξηρότατον ἔφασαν ἔχειν, ἀμηχάνῳ τε δίψει συνέχεσθαι, μετὰ δὲ τὸ λουτρὸν ἄδιψοί τε γενέσθαι, καὶ τὸ σῶμα ἔχειν ὑγρόν. ὁμοίως δὲ αὐτῷ καὶ τὸ σύμπαν σῶμα, μαλακόν τε καὶ ὑγρὸν ἀπεργασθῆναι, τὸν ἔμπροσθεν αὐχμὸν ἀποθέμενον. ἔνιοι δὲ καὶ σαφῶς ἠσθῆσθαι τοῦ σώματος ἔφασκον, ἕλκοντος εἰς ἑαυτοὺς κατὰ τὰς δεξαμενὰς ὕδωρ. τοιαῦτα μὲν ἑαυτὸ οὖν τινά, ἃ καὶ τοῖς ἰδιώταις φαίνεται, μαρτύρια τοῦ δόγ- F ματος ἐξ αἰσθήσεως λαμβανόμενα. τινὰ δ' ἐκ λογικωτέρων ἀποδείξεων εὑρίσκεται τοῖς ἰατροῖς, ὧν ἐστι μία καὶ ἣν ἐφεξῆς αὐτὸς εἶπεν, ἣν γνώσεσθε κατὰ τὴν ἐχομένην ῥῆσιν. εἰς γὰρ τὴν προκειμένην ἀρκέσει καὶ ταῦτα, δυναμένων ἡμῶν ἐκ τῶν ὀρθῶς εἰρημένων φωρᾶσαι τὰ κακῶς τοῖς ἐξηγηταῖς γεγραμμένα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Ἐνθερμότερον φλέβιον, αἵματος πλῆθος, αἴτιον τὸ καυσῶδες, καὶ εὐθὺς ἀποκρίνει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φλέβιον ἐνθερμότερον ἀκουστέον ἐστὶ τὴν ἀρτηρίαν, ὁμολογούντων ἁπάντων τῶν ἐξηγησαμένων τὰ Ἱπποκράτεια βιβλία, φλέβας οὐχ ὑπὸ τούτου μόνου, ἀλλὰ καὶ πολλῶν ἄλλων παλαιῶν ὀνομάζεσθαι καὶ τὰς ἀρτηρίας. τοῦτ' οὖν φησι τὸ φλέβιον, τὸ τοῦ αἵματος πλῆθος θερμαινόμενον, αἴτιον τὸ καυσῶδες καὶ ἀποκρίνει. καυσῶδες δὲ λέγων τὸ γινόμενον ἐκ τῆς θερμασίας, ὅπερ οἷον λιγνύς τίς ἐστι τοῦ θερμαινομένου χυμοῦ σφοδρότερον. τοῦτο δὴ ὡς ἂν θερμὸν τῇ κράσει, καὶ λεπτὸν ὑπάρχον τῇ συστάσει, ῥᾳδίως ἀποκρίνεται. ταύτην ἐγὼ νομίζω πιθανωτέραν εἶναι τὴν ἐξήγησιν, εἴπερ γε δεῖ τὸ ἀληθὲς ἅμα, καὶ τοῖς Ἱπποκράτους δόγμασιν ἀκόλουθον ἔχειν σκοπόν. ὅτι μὲν οὖν ἀληθές ἐστι τὸ νῦν εἰρημένον ὑπ' ἐμοῦ δόγμα, δέδεικται μὲν κἀν τῷ περὶ χρείας ἀναπνοῆς, δέδεικται δὲ καὶ διὰ τοῦ περὶ χρείας σφυγμῶν. ἐν μὲν γὰρ τῇ εἰσπνοῇ, ᾗ διά τε τοῦ στόματος, καὶ παντὸς τοῦ δέρματος ἴσχει τὰ ζῷα, διττὴν ἀπεδείξαμεν ὠφέλειαν γίνεσθαι. ῥώννυσθαι μὲν ἀεὶ ἐμψυχόμενον τὸ ἔμφυτον θερμὸν, ὅπως μὴ διαφορηθὲν ἀπόλλοιτο, καὶ μάλιστα ὅταν αὐξηθῇ ποτε καθ' ἡντιναοῦν αἰτίαν. ἐπεγείρεσθαι δὲ, καὶ ῥώννυσθαί ποτε βαρυνόμενον ὑπὸ πλήθους ὕλης ψυχρᾶς ὃν τρόπον καὶ τὸ πῦρ ἐν τῷ ῥιπίζεσθαι. καὶ μέντοι καὶ αὐτὴν αὐτοῦ τὴν διὰ τὴν διπλῆν κίνησιν, οἰκεῖόν τε καὶ σύμφυτον εἶναι γυμνάσιον εἰς εὐτονίαν ἄγον. αὕτη γὰρ χρεία τε καὶ φύσις γυμνασίων ἐστίν. ἐπεὶ τοίνυν ἔμπροσθεν εἰπὼν ὁ Ἱπποκράτης, σάρκες ὁλκοὶ, καὶ ἔξωθεν, εἶτ' ἐπὶ τούτῳ προσθεὶς, ὡς ἔκπνουν καὶ εἴσπνουν ἐστὶ τὸ σῶμα. τὴν μὲν οὖν εἰσπνοῆς αὐτῆς τὴν γένεσιν, καὶ τὴν χρείαν ἐνεδείξατο διὰ τοῦ, σάρκες ὁλκοὶ, περὶ δὲ τῆς ἐκπνοῆς οὐδὲν εἰπὼν εἰκότως ἐν τῇ νῦν προκειμένῃ ῥήσει περὶ αὐτῆς διῆλθε, ἐπὶ τῶν ἀρτηριῶν ποιησάμενος τὸν λόγον ὄντα μὲν κοινὸν καὶ πρὸς τὴν καρδίαν, ἀμυδρότερον δὲ φαινόμενον. ὅτι δὲ κοινός ἐστι, δῆλον ἐντεῦθεν, διὰ τὴν ἔμφυτον θερμασίαν ἐδείξαμεν γίνεσθαι τὸ λιγνυῶδες περίττωμα κατὰ τὸ αἷμα, καὶ μάλιστα ὅταν ᾖ θερμότερον. ἀποκρίσεως οὖν αὐτοῦ χρεία δηλονότι, καὶ ταύτην ἡ φύσις ἐτεχνήσατο, τοῖς μὲν ἐκ τῆς καρδίας ἐκκριθησομένοις διὰ τῆς ἐκπνοῆς, τοῖς δὲ κατ' ὅλον τὸ σῶμα διὰ τῆς τῶν ἀρτηριῶν συστολῆς. τὰ μὲν οὖν ἐκ τούτων τε καὶ τῶν φλεβῶν, ἐδείχθησαν γὰρ αὐταῖς συναναστομούμεναι, διὰ τοῦ δέρματος εὐθέως ἐκκρίνεται τῇ συστολῇ τῶν ἀρτηριῶν ἐκθλιβόμενα. τὰ δ' ἐκ τῆς καρδίας ὁ πνεύμων ὑποδέχεται πρότερος οἷόν τι ταμεῖον τοῦ πνεύματος αὐτῇ παρεσκευασμένος, ἑλκούσῃ μὲν ἐν τῇ διαστολῇ, ἐκπεμπούσῃ δὲ ἐν ταῖς συστολαῖς. αὕτη μὲν ἡ ἡμετέρα γνώμη περὶ τῆς προκειμένης ῥήσεως, καὶ δειχθήσεται μικρὸν ὕστερον ἡ ἑξῆς αὐτῇ γεγραμμένη φυλάττουσα τὴν ἀκολουθίαν, καὶ πρὸς ταύτην μὲν αὐτὴν οὐχ ἥκιστα δὲ καὶ τὴν προτεταγμένην αὐτῆς. ὅσοι δὲ περὶ καύσου γενέσεως ὑπέλαβον αὐτὸν ἐνταῦθα ποιεῖσθαι τὸν λόγον, πρῶτον μὲν εἴασαν ἐλλιπῶς εἰρημένον τὸν περὶ τοῦ, σάρκες ὁλκοὶ, λόγον. οὐ γὰρ ἕλκουσι μόνον εἰς ἑαυτὰς τὸ οἰκεῖον, ἀλλὰ καὶ τὸ μὴ τοιοῦτον ἐκκρίνουσι. τὴν μὲν οὖν ἕλκειν ἡ χρεία πρόδηλο-

HIPPOCRATIS TEXTUS II.

Calidior venula sanguinis multitudine exustum procreat, illisque secernit

GALENI COMMENTARIUS.

Per venulam calidiorem, arteriam intelligito, omnibus Hippocraticorum Librorum Interpretibus venas non ab hoc solo, sed etiam à multis aliis Veteribus & arterias appellari, confitentibus. Hæc igitur, inquit, venula sanguinis multitudine incalescens, exustum procreat, & secernit: exustum dicens, quod ex calore gignitur, quod succi vehementius calefacti tanquam fuligo quædam est: id verò, utpote natura calidum & consistentia tenue facile secernitur. Hanc ego probabiliorem explanationem esse duco, siquidem oporteat verum simul & Hippocratis decretis consentaneum habere propositum. At placitum nunc à nobis memoratum verum esse, in Commentariis de usu spirandi, & de usu pulsuum traditum est. Nam inspiratione qua per os, & per omnem cutem animalia utuntur, duplicem capi utilitatem ostendimus, roborari quidem semper refrigeratum insitum calidum, ut ne dissipatum intereat, & maximè quum ex qualibet causa adauctum est: excitari autem, & valentius reddi, si quando frigidæ materiæ multitudine gravetur, quemadmodum & ignis ventilatione accenditur: quin etiam, & hunc duplicem motum ipsi proprium, naturalemque exercitationẽ esse ejus vires instaurantem, hæc enim est exercitationum natura, & utilitas. Postquam igitur antedixit Hippocrates, carnes attractrices ex ventre & extrinsecus, deinde huic adjiciens, exspirabile & inspirabile esse corpus, inspirationis quidem ipsius ortum, & utilitatem per illud indicavit, carnes attractrices, de expiratione verò nihil dixit, jure in propositis verbis ipsius meminit, de arteriis verba faciens, quæ & cordi communia sunt, licet obscuriora de illo videantur. Communem autem hunc sermonem esse inde patet. Ab insito calido fuliginosum excrementum in sanguine creari diximus, ac potissimũ quando est calidior. Illud igitur excerni opus est: & id quoque natura molita est, quæ à corde expellenda sunt, efflatione propellens: quæ verò ab universo tempore per arteriarum compressionem, excludens. Fuliginosa igitur partim ex istis, & ex venis (ostensum est enim inter ipsas communia ostiola interesse) per cutem quamprimum arteriis compressis excluduntur: partim ex corde pulmo prior suscipit, qui ipsi, quum quidem dilatatur, attrahenti; quum verò comprimitur, expellenti, tanquam quoddam spiritus promptuarium præparatus est. Nempe hæc est nostra de propositis verbis sententia: & sequentia verba his ipsis ac superioribus connexa esse paulò pòst ostendam. Quicunque autem hoc loco ipsum de ardentis febris ortu loqui crediderunt, primum quidem sermonem de ea parte carnes attractoriæ, imperfectè dictum reliquerunt: non modo enim sibi conveniens attrahunt, sed etiam alienum abjiciunt. Attrahendi quidem utilitas evidentior: abjiciendi

verò & excernendi ignotior est, & aliquam rationem ad fidem orationi faciendam postulat. Descendamus igitur jam ad sequentem partem, quæ & ipsa, ut dudum dicebam, ad meliorem explanationem internoscendam aliquid facit.

HIPPOCRATIS TEXTUS III.

ET quidem pingue, bilis flava: quibus verò sanguis, atra.

GALENI COMMENTARIUS.

IN proximè explanata parte duarum opinionum meminisse oportet. Nos enim diximus Hippocratem difflationis utilitatem demonstrare: per difflationem autem intelligi spiritus per totum corpus ex arteriis emanationem, sicut ore factam, expirationem vocamus. Nonnulli verò de ardentis febris ortu sermonem esse putarunt: quibus non admodum favere illud dicebam, creat exustum, & illico excernit: neque enim statim in ista ea excerni, quæ ipsi vomitu, aut per sedem evacuari dicunt, neque esse necesse aliquid ardentis febris symptoma in sermone de ejus ortú recenseri. At explanationem nostram meliorem esse defendimus, primum quidem quod his criminationibus caret: secundo loco quod in hoc sermone omne de spiritus intro forasque motione decretum traditum esse conspicitur. Quam motionem in quibusdam nostris Commentariis non solùm per oris respirationem, sed etiam per difflationem à toto corpore fieri explicavimus, nonnullis quidem causa spiritus animalis generandi, ut dixit Asclepiades: quibusdam verò, ut Erasistratus, non hujus tantum, sed etiam vitalis: aliis præterea spirituum istorum alendorum causa inspirationem fieri dicentibus, expirationis autem usum referre dubitantibus, Hippocrates, ut in prædictis Commentariis declaravimus, non modo per os expirationis, sed ejus etiam, quæ ex qualibet corporis parte fit, usum in præsenti sermone perstrinxit. Aliter vero interpretantes accusare æquum est, cujusnam auctoris Librum interpretentur, obliquos: neque enim in aliorum virorum placitum deflexissent, eorum quæ Hippocrates asseruit, consensum deserentes, ipso quidem clarissimè dicente, carnes ex ventre, & extrinsecus attrahere: quod longe ab ea opinione distat, quæ cibi ex ventriculo in corpus digestionem inanis consecutione fieri statuit. Primo quidem non modo vim propriorum attractricem, sed etiam alienorum expultricem inesse in carnibus animadvertere oportuit: hoc enim illis convenit dicere, quæ prædicant à natura saluti animalium consuli, inter quos etiam fuit Erasistratus. Secundo quidnam excretione egeat, dicere debuerant: neque enim sanguinem ex quo corpus alitur, dicent. Horum quidem neutrum illi fecerunt. At Hippocrates ex sensui manifestis utrunque evidenter constare præfatus, deinceps ad usum ex omni corpore difflationis explicandum transitum fecit, necessariam fuliginosorum excrementorum ortus causam afferens; etenim in corpore animantium calor hujusmodi recrementa perpetua evacuatione indigentia procreat. Hac igitur in

A τέρα τοῦ δ' ἐκκρίνειν ἀδηλοτέρα, καὶ δεῖταί τινος εἰς πίστιν λόγου. μεταβαίνωμεν οὖν ἐπὶ τὴν ἐχομένην ῥῆσιν ἤδη συντελοῦσάν τι καὶ αὐτὴν, ὡς ἔφην, ἀρτίως, εἰς διάκρισιν τῆς ἀμείνονος ἐξηγήσεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

ΚΑὶ οἷσι τὸ μὲν πῖον, χολὴ ξανθὴ, τὸ δ' αἷμα, μέλαινα.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ἈΝαμνησθῆναι χρὴ περὶ τῶν δύο δοξῶν τῆς προεξηγουμένης ῥήσεως. ἡμεῖς γὰρ ἐλέγομεν αὐτὴν ἐπιδεικνύναι τὴν χρείαν τῆς διαπνοῆς, ὀνομαζομένης οὕτω, τῆς δι' ὅλου τοῦ σώματος ἐκ τῶν ἀρτηριῶν εἰς τοὐκτὸς φορᾶς τοῦ πνεύματος, ὥσπερ τῆς διὰ τοῦ στόματος ἐκπνοῆς. ἔνιοι δὲ περὶ καύσου γενέσεως ἐνόμισαν εἶναι τὸν λόγον, οἷς οὐ πάνυ τι μαρτυρεῖν ἔφαμεν, τὸ, ἀνῆγε τὸ καυσῶδες, καὶ εὐθὺς ἀποκρίνει·
C μήτε γὰρ εὐθέως ἀποκρίνεσθαι κατὰ τοὺς καύσους ἅπερ αὐτοί φασι δι' ἐμέτων, ἢ τῆς κάτω γαστρὸς ἐκκενοῦσθαι, μήτ' ἀναγκαῖον εἶναι προσκεῖσθαί τι τῶν τοῦ καύσου συμπτωμάτων τῷ περὶ τῆς γενέσεως αὐτοῦ λόγῳ, τὴν δ' ἡμετέραν ἐξήγησιν ἀμείνονα τῆσδε φαμὲν εἶναι. πρῶτον μὲν ἐκ τοῦ τῶν ἐγκλημάτων τούτων ἐκτὸς εἶναι, δεύτερον δὲ καὶ τοῦ, τὸ δόγμα πᾶν φαίνεσθαι διδασκόμενον ἐν τῷ λόγῳ περὶ τῆς εἴσω τε καὶ ἔξω φορᾶς τοῦ πνεύματος, ἣν ἀπεδείξαμεν ἐν τοῖσιν ἡμετέροις ὑπομνήμασιν, οὐ μόνον ἐν ταῖς διὰ τοῦ στόματος εἰσπνοαῖς, ἀλλὰ καὶ ταῖς καθ' ὅλον τὸ σῶμα διαπνοαῖς
D γίνεσθαι. τινῶν μὲν ἕνεκα γενέσεως πνεύματος ψυχικοῦ, καθάπερ Ἀσκληπιάδης, ἐνίων δ' ὡς Ἐρασίστρατος, οὐ τούτου μόνου, ἀλλὰ καὶ ζωτικοῦ, τινῶν δ', ἕνεκα θρέψεως τῶν πνευμάτων τούτων, τὰς εἰσπνοὰς γίνεσθαι λεγόντων. ἀπορουμένων δ' ἐν τῷ τὴν χρείαν ἀποδιδόναι τῆς ἐκπνοῆς, ὁ Ἱπποκράτης, ὡς ἐδείξαμεν ἐν τοῖς προειρημένοις ὑπομνήμασιν, ἀληθῆ χρείαν, οὐ μόνον τῆς διὰ τοῦ στόματος ἐκπνοῆς, ἀλλὰ καὶ τῆς καθ' ὅλον τὸ σῶμα διῆλθεν ἐν τῷ προκειμένῳ λόγῳ. τοὺς δ' ἐξηγησαμένους ἑτέρως μέμψασθαι δίκαιον, ἐπιλανθανομένους τίνος ἐξηγοῦνται βιβλίον.
E οὐ γὰρ ἂν εἰς ἄλλων ἀνδρῶν ὑπέσυρον τὸ δόγμα, τὴν ἀκολουθίαν ἀπολιπόντες ὧν Ἱπποκράτης ἠβουλήθη. σαφῶς γοῦν εἰπόντος αὐτοῦ τὰς σάρκας ὁλκοὺς ἐκ κοιλίας, καὶ ἔξωθεν, ὃ διαφέρει πάμπολυ τοῦ νομίζειν, τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, τὴν ἐκ τῆς κοιλίας ἀνάδοσιν τῆς τροφῆς ἐν τῷ σώματι γίνεσθαι. πρῶτον μὲν ἐχρῆν ἐννοῆσαι μὴ μόνον ἑλκτικὴν τῶν οἰκείων εἶναι δύναμιν ἐν αὐταῖς, ἀλλὰ καὶ τῶν ἀλλοτρίων ἀποκριτικήν. ἐπειδὴ γὰρ τοῦτο τοῖς ὑποθεμένοις προνοητικὴν εἶναι τὴν φύσιν τῆς τοῦ ζώου διαμονῆς,
F ὧν εἷς ἦν καὶ Ἐρασίστρατος, δεύτερον δὲ τί ποτέ ἐστι τὸ τῆς ἐκκρίσεως δεόμενον, εἰπεῖν. οὐ γὰρ δήπου τὸ αἷμα φήσουσιν ἐξ οὗ τρέφεται τὸ σῶμα. τούτων οὖν ἐκεῖνοι μὲν οὐδέτερον ἔπραξαν, ὁ δ' Ἱπποκράτης, ὡς ὑπὸ τὴν αἴσθησιν φαινομένων ἑκατέρων ἐναργῶς μαρτυρεῖσθαι προειπὼν, ἐφεξῆς ἐπὶ τὴν χρείαν μετέβη τῆς καθ' ὅλον τὸ σῶμα διαπνοῆς, τὴν τῆς γενέσεως ἀναγκαίαν αἰτίαν εἰπὼν τῶν λιγνυωδῶν περιττωμάτων. ἡ γάρ τοι κατὰ τὸ σῶμα τῶν ζώων θερμασία, περιττώματα ποιεῖ τοιαῦτα συνεχοῦς κενώσεως δεόμενα. καὶ τοίνυν ἐν

τῇ προκειμένῃ ῥήσει τὴν ὕλην τῆς τῶν περιττωμάτων γενέσεως ἐδείξαμεν. ὡς γὰρ ἡ πλείων θερμασία γεννᾶν αὐτὰ πέφυκεν, οὕτως καὶ ὕλαι τινές εἰσιν ἐπιτήδειοι πρὸς τὴν γένεσιν αὐτῶν, εὐλόγως οὖν ἐμνημόνευσε τῆς μελαίνης χολῆς. ἐμάθετε γὰρ τὴν γένεσιν αὐτῆς εἶναι διττήν, ἔκ τε παχέος αἵματος, καὶ τῆς ξανθῆς ὑπεροπτηθείσης. Εἰ δέ γε περὶ καύσου γενέσεως ὁ λόγος ἦν αὐτῷ, μάτην ἂν ἐμέμνητο μελαίνης χολῆς, ὥστε κἀκ τούτου δῆλον εἶναι, τὴν ἡμετέραν ἐξήγησιν ἀληθεύειν τε ἅμα καὶ ὁμολογεῖν τοῖς Ἱπποκράτους δόγμασιν, τὴν δ' ἐκείνων, διαφέρεσθαι. τὴν δ' αὐτὴν ταύτην ῥῆσιν εἴρηκε κατ' ἄλλο μέρος τοῦ βιβλίου, ἡμεῖς αὐτόθι προεξηγησάμεθα, καθ' ἣν καὶ τοῦτο ἐλέγομεν, ὅτι τὸ πῖον, οὐ μόνον ἐπὶ τοῦ λιπαροῦ, καὶ πιμελώδους εἰρῆσθαι χρὴ νομίζειν, ἀλλὰ κἀπὶ τοῦ γλυκέος παντός, ὡς περιλαμβάνεσθαι τῷ λόγῳ, καὶ τὸ μέλι, καὶ τὸ σίραιον, ὅπερ ἕψημα καλοῦσιν οἱ κατὰ τὴν ἡμετέραν Ἀσίαν Ἕλληνες.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

ΓΝώμης, μνήμης, ὀδμῆς, τῶν ἄλλων, καὶ πείνης, ὀργάνων ἄσκησις. Πόνοι, σιτία, ποτά, ἀφροδίσια μέτρια πάντα. Ὁ Εμψυχρότερος, ἐν ψυχρῇ ὥρῃ καὶ χώρῃ, ἐνθερμότερος ἔσται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν οὖν ὁ κατὰ πάθος ψυχρότερος, οὐδ' ὁ δι' ἡλικίαν, ἐν ψυχρᾷ, καὶ ὥρᾳ, δύναται γενέσθαι θερμότερος, συμπεφώνηται πᾶσι, καὶ διὰ τοῦτό γε οἱ περὶ τὸν Σαβῖνον, ἐπὶ τῶν φύσει ψυχροτέρων, ἀληθῆ τὸν λόγον εἶναί φασιν. οὐ μὴν οὐδ' ἐπὶ τούτων ἁπλῶς ῥηθεὶς ἀληθής ἐστιν, ἀλλὰ διορισμοῦ τοιοῦδε. τὸ περιϊστάμενον ἔξωθεν ψυχρόν, ὅτι μὲν πυκνοῖ καὶ ψύχει τὰ κατὰ τὸ δέρμα, τῶν ἐναργῶς φαινομένων ἐστί, οὐ μὴν ὡσαύτως γε καὶ διατίθησι τὸ βάθος τοῦ σώματος, ἀλλ' ὥσπερ ἐν ἀφορισμοῖς διώρισται καὶ δυνάμενον τὸν λόγον ἔνθα φησί, ἔστι δ' ὅκου ἐπὶ τετάνου, ἄνευ ἕλκεος, νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται, οὕτω καὶ νῦν ἐστιν ἡμῖν διοριστέον. τὸ γάρ τοι καταχεόμενον τοῦ σώματος ἡμῶν ψυχρόν, ἤτοι διικνεῖται περὶ τὸ βάθος, ὡς καὶ τὰ κατὰ τοῦτο μόρια παραπλησίως ψύξαι τοῖς ἐπιπολῆς, ἢ μόνα ψύχει τὰ κατὰ τὸ δέρμα. πρὸς μὲν οὖν τὸ βάθος ἐξικνούμενον, ἐμψύχει τὰ κατὰ τοῦτο μόρια, καὶ βλάβην οὐ σμικρὰν ἐργάζεται καθ' ὅλον τὸ ζῶον. ἐκλυθείσης δ' αὐτοῦ τῆς δυνάμεως ἐν τοῖς ἐπιπολῆς τοῦ σώματος μέρεσιν, οὐ μόνον οὐκ ἂν ἔτι ψύξει τὰ κατὰ βάθος, ἀλλὰ καὶ θερμότερα πολλῷ τῆς ἔμπροσθεν αὐτοῖς ὑπαρχούσης κράσεως ἀποδείξει. ὅσοι δέ, περὶ ἀραιὸν ἐχόντων τὸ δέρμα, καὶ τὰς ὑπ' αὐτὸ σάρκας, ἡγοῦνται τὸν λόγον αὐτῷ γεγονέναι πυκνουμένης τῆς ἐπιφανείας, καὶ κατεχομένου τοῦ πρότερον ἐκκενουμένου θερμοῦ, λέγουσι μέν τι τῶν ἀληθῶν, οὐ μὴν ἐχρῆν αὐτοὺς ὑπολαμβάνειν εἰρῆσθαι τοὺς οὕτω διαπνεομένους, καὶ ψυχροτέρους. μάλιστα μὲν γάρ, ὡς ἐμάθετε τοῖς ὑγροῖς καὶ θερμοῖς σώμασιν ὑπάρχει ταῦτα, δεύτερον δὲ τοῖς θερμοῖς, κἂν χωρὶς ὑγρότητος ᾖ τοιαῦτα. τῶν ψυχρῶν δ' οὐδὲν εὐδιαφόρητόν ἐστι, ἀλλ' ἧττον μὲν τοῦτο πέπονθε τὰ ὑγρά, μᾶλλον δὲ τὰ ξηρά,

A parte horum excrementorum generandorum materiam ostendit; nam sicut major ipsâ generare aptus est, ita & materiæ quædam istis generandis habiles reperiuntur. Recta igitur ratione bilis atræ meminit; ipsam enim dupliciter contrahi didicistis, ex crasso sanguine, & ex bile flava combusta; quod si de ardentis febris ortu sermo ipsi foret, frustra bilis atræ meminisset. Quamobrem & ex hoc perspicuum est, explanationem nostram veram esse, juxta & Hippocratis decretis consentaneam, illorum autem dissentientem. Ad hæc eadem plane verba B in alia Libri parte conscripsit; nosque ipsi ea superiùs enodavimus, ubi & illud dicebamus, pingue non solùm de unguinoso, & adipali, sed etiam de omni dulci, dictum esse putandum, ut eo sermone mel contineatur, & siræum, quod hepsema, hoc est sapam in nostra Asia Græci nominant.

HIPPOCRATIS TEXTUS IV.

C *MEntis, memoriæ, olfactus, aliorum etiam famis instrumentorum, exercitio.* Labores *cibi, potus, somnus, res venereæ omnia mediocria. Frigidior frigido in tempore, & regione: calidior erit.*

GALENI COMMENTARIUS.

QUod neque affectu aliquo; neque ob ætatem, frigidior in frigida regione, & tempore possit calidior effici, omnes confitentur: Iccirco & Sabini sectatores de natura frigidioribus verum esse sermonem tradunt. D Veruntamen neque de istis absolutè prolatus verus est, nisi hujusmodi conditiones additæ sint. Frigidum exterius circunfusum, quod denset, refrigeretque cutaneas partes, inter evidenter apparentia ponendum est, non tamen corporis penetralia similiter afficit. Sed quemadmodum in Aphorismis definitum est ea in parte, ubi inquit; Nonnunquam in distentione sine ulcere juveni carnoso, æstate media, frigidæ multæ inspersio calorem revocat, sic & hoc loco à nobis definiendum est. Frigida nanque corpori E nostro injecta, aut ita altè subit, ut intima æque atque extima refrigeret: aut sola cutanea frigore percellit. Ad profundum igitur descendens partes eas refrigerat, & non levi noxa totum animal afficit, ipsius frigore concussis labefactatisque viribus; at quæ superficiem tantum corporis lædit, non solùm interiora non refrigerabit; sed etiam calidiora multò, quàm ipsorum prior temperatura esset, efficit. Cæterum quicunque de raram cutim, rarasque sub ipsa carnes habentibus ipsum loquutum esse F existimant, nunc, quoniam ob difflatum calorem istos frigidiores effectos esse dicunt, atque ideo spissescente cute, retentoque quod prius exhalabat calido, incalescere, aliquidsane videri dicunt, sed eos opinari non decebat, qui ita digerantur, frigidiores dictos esse. Hæc enim, ut didicistis, humidis calidisque corporibus maxime insunt: secundo calidis, licet sine humore talia sint, nullum autem frigidum corpus facilè dissolvitur; sed minus quidem humida, magis autem arida hoc sustinent, utrisque

utrisque verò naturaliter calida præstant. Hac itaque ratione isti mihi falsi esse videntur.

HIPPOCRATIS TEXTUS V.

IN doloribus proximum ventrem purgare oportet: & sanguinis ventrem rescindere. Vstio, sectio, calefactio, refrigeratio, sternutatio. Stirpium humores, in quibus vim habent, & cyceon, maleficorum, lac, allium, vinum fervefactum, acetum, sal.

GALENI COMMENTARIUS.

REmedia hoc loco enumerat, & levibus, & sævis doloribus succurrentia: sicut in Aphorismis oculorum tantum dolentium remedia scripsit, ubi inquit; Dolores oculorum meri potio tollit, aut balneum, aut fomentum, aut venæ solutio, aut cum medicamento purgatio. Hoc loco quædam adjecit remedia, oculorum doloribus non convenientia. Primum quidem omnium hoc in sermone enumeratum purgatio est, quam in ∴ victoriæ studiosa, irritant, neque stulta ∴ auxilia penitus, quemadmodum scripsit, explicavimus. Primum vero inter deinceps enumerata ustio est, quæ pessimè affectis locis ob pravorum succorum exuberantiam, ut in perquammalignis ulceribus evenit, adhibentum nonnunquam palam candentibus ferramentis, nonnunquam ustoriis medicaminibus, ea nobis urentibus. Post ustionem sectio posita est, & ipsa locorum multum jam pus habentium dolorem finiens, postquam ingentes phlegmonæ prægressæ sunt. Deinde calefactio, lavationibus scilicet atque formentis accersita. Alias verò fomentorum materias edocti estis, quibus vitiis dolorem excitantibus admovenda sint, ut pectoris morbis per ea quæ ipse in Libro de ratione victus acutorum recensuit: oculis autem per mollem spongiam, non ferente loco per sacculos & cataplasmata calefactiones: quin & ex oleo conspersio in mediis corporis partibus, & in capite, calefactio quum sit, doloribus remedio est. Ex aquæ calidæ fotu extremorum membrorum dolor tollitur. Atque frequentissimus, & plurimus in dolentibus particulis calefactionis usus apud Medicos est, nam & contensa relaxat, completa evacuat, refrigerata calefacit. Refrigeratione autem rarius sedandis doloribus utimur, membrorum quidem exteriorem superficiem densante, & propterea difflationes impediente, distensa verò magis intendente. Solas igitur calidas intemperies sine materiæ multitudine fractas refrigeratio discutiet: sicut in capitis dolore ob Solis æstum, aut febrium ardorem. Caput igitur oleo rosaceo frigido perfundentes symptoma curamus, & erysipelata, ob excellentem calorem dolorem inferentia ∴ necnon & podagras, in quibus biliosa calidave fluxio est. Post dicta autem deinceps scriptum est, stirpium humores, in quibus vim habent: quorum item verborum sententia talis plane mihi esse videtur. Dolorum medicinæ tibi nonnunquam fuerint, & stirpium humores: isti verò permulti sunt, quidam liquidi permanentes, aliqui spissescentes. In

A πλεονεκτεῖ δ' ἀμφοῖν τὰ φύσει θερμά. κατὰ τοῦτο οὖν μοι δοκοῦσιν ἁμαρτάνειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

Ὀδυνέων τὴν ἐγγύτατα κοιλίην καθαίρειν, αἵματός τε κοιλίην διαιρεῖν, καῦσις, τομὴ, θάλψις, ψύξις, πταρμὸς, φυτῶν χυμοὶ, ἐφ' ὧν τὴν δύναμιν ἔχουσι, καὶ κυκεών. κακούργων, γάλα, σκόροδα,
B οἶνος ἀπεζεσμένος, ὄξος, ἅλες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Βοηθημάτων κατάλογον ἐνταῦθα πεποίηται, καὶ σμικραῖς καὶ μεγάλαις ὀδύναις ἁρμοττόντων, ὥσπερ ἐν ἀφορισμοῖς ἔγραψε τῶν ἐν ὀφθαλμοῖς μόνον, ἔνθα φησίν. ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει. προσέθηκέ τινα νῦν βοηθήματα ταῖς ἐπὶ τῶν ὀφθαλμῶν ὀδύναις ἀνάρμοστα. τὸ μὲν οὖν
C ἁπάντων πρῶτον εἰρημένον ἐν τῷ προκειμένῳ λόγῳ κάθαρσίς ἐστιν, ἣν ∴ φιλονίκη ∴ ἐρεθίζουσι, μήτ' ἀνόητοι ∴ βοηθήματα τελέως ἐξηγησάμεθα καθ' ὅντινα τρόπον ἔγραψεν. περὶ δὲ τῶν ἐφεξῆς λεγομένων πρώτη καῦσίς ἐστι, παραλαμβανομένη κατὰ τὰ μεγάλα πεπονθότα διὰ κακοχυμίαν πολλὴν, ὡς ἐπὶ τῶν κακοηθεστάτων ἑλκῶν γίνεται. ποτὲ μὲν ἄντικρυς διαπύροις σιδήροις καιόντων ἡμῶν αὐτὰ, ποτὲ δὲ φαρμάκοις καυστικοῖς. ἐφεξῆς δὲ τῇ καταύσει γέγραπται τομὴ, παύουσα καὶ αὐτὴ τὰς ὀδύνας,
D τῶν ἤδη πῦον ἐχόντων πολὺ, μορίων ἐπὶ φλεγμοναῖς μεγάλαις προηγησαμέναις, εἶθ' ἑξῆς, θάλψις, ἐν λουτροῖς τε δηλονότι, καὶ πυριάσεσι γινομένη. προακηκόατε δ' ἤδη τὰς ὕλας τῶν πυριάσεων, ἐφ' ὧν τε προσήκει κεχρῆσθαι διαθέσεων ὀδύνην ἐπιφερουσῶν, οἷον ἐπὶ μὲν τῶν κατὰ θώρακα, δι' ὧν αὐτὸς εἶπεν ἐν τῷ περὶ διαίτης ὀξέων. ἐπὶ δὲ τῶν ὀφθαλμῶν, διὰ σπόγγου μαλθακοῦ μὴ φέροντος τοῦ μορίου τὰς διὰ τῶν μαρσίππων τε καὶ καταπλασμάτων θάλψεις, ἀλλὰ καὶ ἡ δι' ἐλαίου καταντλησις, ἐπί τε τῶν μέσων τοῦ σώματος καὶ τῆς κεφαλῆς, ἴαμα πόνων ἐστὶ θάλψις οὖσα, καὶ ἡ δι' ὕδα-
E τος, ἐπὶ τῶν κώλων, καὶ συνεχεστάτη, καὶ πλείστη χρῆσις ἐπὶ τῶν ὀδυνωμένων μορίων, ἡ διὰ τῆς θάλψεως γίνεται τοῖς ἰατροῖς. ἐπειδὴ καὶ τὰ τεταμένα χαλᾷ, καὶ τὰ πεπληρωμένα κενοῖ, καὶ τὰ κατεψυγμένα θερμαίνει. τῇ ψύξει δὲ σπανιώτερον ἐπὶ τῶν ὀδυνωμένων χρώμεθα, πυκνούσῃ μὲν τὴν ἐκτὸς ἐπιφάνειαν αὐτῶν, καὶ διὰ τοῦτο τὰς διαπνοὰς εἰργούσῃ, τεινούσῃ δὲ μᾶλλον τὰ τεταμένα. μόνας οὖν τὰς θερμὰς δυσκρασίας, ὅσαι χωρὶς πλήθους συνίστανται, ψύξις ἰᾶται, καθάπερ ἐπὶ τῶν ἐξ ἐγκαύσεως ὀδυνωμένων τὴν κεφαλὴν, ἢ διακαιομένων ὑπὸ πυρετοῦ. καταντλοῦν-
F τες οὖν αὐτὴν ῥοδίνῳ ψυχρῷ, θεραπεύομεν τὸ σύμπτωμα, καὶ τῶν ἐρυσιπελάτων τὰ δι' ὑπερβάλλουσαν θερμασίαν ὀδυνῶντα ∴ καὶ ποδάγρας ὡσαύτως ἐφ' ὧν τὸ ῥεῦμα χολῶδές τε ἢ θερμόν. ἐφεξῆς δὲ τοῖς εἰρημένοις γέγραπται, φυτῶν χυμοὶ, ἐφ' ὧν τὴν δύναμιν ἔχουσιν. ἧς ὅλης λέξεως ἡ διάνοια μοι δοκεῖ τοιαύτη τις ὑπάρχειν, ὀδυνῶν ἰάματά σοι γενήσεταί ποτε, καὶ οἱ τῶν φυτῶν χυμοί. ταῦτα δ' ἐστὶ πάμπολλα, τὰ μὲν ὑγρὰ διαμένοντα, τὰ δὲ πηγνύμενα. περ-

A τον μὲν τὸ ἔλαιον ἤδη παμπόλλον χρείαν ἡμῖν εἰς τὰς ὀδυνωμένων ἰάσεις τε καὶ παρηγορήσεις παρέχει, θερμὸν προσφερόμενον, εἶθ' ἑξῆς ἄλλα πολλὰ τούτου πολὺ μᾶλλον θερμαίνοντα, δάφνινον, κέδρινον, κίκινον, σινάπινον, ῥαφάνινον, ὑγρὰ μὲν ταῦτα. πεπηγότα δὲ, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον, αἵ τε ῥητίναι, καὶ μάλιστ' αὐτῶν αἱ αὐτόρρυτοι καλούμεναι, θαψία τε, καὶ εὐφόρβιον, οἵ τε ὀποὶ πάντες, ὁ Κυρηναῖος, ὁ Παρθικὸς, ὁ Ασσύριος, ὁ σαγαπηνὸς, ὁ ἐκ τῶν τιθυμάλλων, ὁ ἐκ τοῦ πάνακος, ὁ ἰδίως ὀποπάναξ καλούμενος. ἐκ τοῦδε τοῦ B γένους ἐστὶ καὶ ἡ χαλβάνη, καὶ ἄλλα πολλὰ περὶ ὧν ἔμαθες ἐν ταῖς τῶν ἁπλῶν φαρμάκων δυνάμεσιν. ἐάν τε γὰρ ὀπὸς ᾖ τινὸς, ἐάν τε χυλὸς, ἐν τῇ τῶν χυμῶν προσηγορίᾳ περιλαμβάνεται. τούτου τοίνυν τοῦ γένους ἐστὶ, καὶ ἡ ὑγρὰ πίττα, καὶ τὸ πίσσανον ὀνομαζόμενον. ἔτι δὲ καὶ τὸ κατὰ τὴν Κιλικίαν καπνέλαιον, ἕτερά τε μυρία τὰ μὲν ἐκ βοτανῶν, τὰ δὴ ἐκ θάμνων, τὰ δὴ ἐκ δένδρων γινόμενα, καθ' ὧν ὄνομα κοινόν ἐστι τὸ, φυτὸν, οὗ νῦν Ιπποκράτης ἐμνημόνευσε. φυτῶν χυμοὶ, προσέθηκε δὴ αὖθις, ἐφ' ὧν δύναμιν ἔχουσιν, ἀσαφῆ διὰ C συντομίαν τὸν λόγον ἐργασάμενος. Εἰκότως τοιγαροῦν οἱ ἐξηγηταὶ διηνέχθησαν, ἄλλοι ἄλλως οὐ μόνον ἐξηγησάμενοι τὴν λέξιν, ἀλλὰ καὶ μεταγράψαντες. ὅπως οὖν μὴ γράφοιμι πολλὰ, καταλιπὼν αὐτοὺς, ἃ δοκεῖ μοι πιθανώτατα εἶναι, ταῦτα ἐρῶ μόνα. τῶν τοίνυν φαρμάκων ὅσα πραΰνειν τὰς ὀδύνας πέφυκεν, ὥσπερ ἄλλο πρὸς ἄλλην διάθεσιν, οὕτω καὶ πρὸς μόριον ἄλλο δύναμιν ἔχει. μακροτέρου δὴ ὄντος, ἢ καθ' ὑπόμνημα, τοῦ λόγου, διὰ παραδειγμάτων ὀλίγων αὐτὸν ἐπιδραμεῖν ἔγνωκα. τὸ μὲν οὖν τὰς ὀδυνηρὰς διαθέσεις μὴ πάσας D δεῖσθαι τῶν αὐτῶν φαρμάκων, ἔστω σοι παράδειγμα τόδε. δακνωδῶν ὑγρῶν ἐν μὲν τοῖς ἐντέροις περιεχομένων, τὰ περικλύζοντα πρότερον ἐνιέντες, ἅν ἐστι καὶ μελίκρατον, καὶ πτισάνης χυλὸς, ὅταν ἐκκριθείη ταῦτα, τὰ πραΰνοντα τὰς δήξεις ἐπενίεμεν, ὅσα τε ἐμπλάττεσθαι καὶ περιπλάττεσθαι δύναται τῇ τῶν ἐντέρων ἐπιπολῇ ἃ κωλύουσιν, προσπίπτειν τοὺς καταφερομένους ἄνωθεν εἰς αὐτὰ δάκνοντας χυμοὺς ἐδέσματά τε δίδομεν αὐτοῖς εὔχυμά τε, καὶ ὅσα δύσφθαρτα. κατὰ δὲ τὴν ἄνω κοιλίαν, E καὶ μάλιστ' αὐτῆς κατὰ τὸ στόμα, τοιούτων περιεχομένων χυμῶν, ἐμεῖν μὲν πρῶτον αὐτοὺς κελεύομεν. Εἰ δὲ δυσεμεῖς εἶεν, ἔλαιον, ἢ ὑδρέλαιον, ἤ τι τοιοῦτον καταρροφῆσαι δίδομεν, ἐφ' ᾧ τῶν ἐμέτων γινομένων, ἔξωθεν μὲν ἐπιτίθεμεν τῶν στυφόντων τὶ, καὶ δυσωδῶν, ἔνδοθεν τροφὰς εὐχύμους τε ἅμα καὶ δυσφθάρτους, καί τι καὶ στύφον ἐχούσας. τοῖς δὴ ὀφθαλμοῖς τοιούτων ἐν ὅλῳ τῷ σώματι προκαθαιρόμεν· Εἰ δὴ αἵματος πλῆθος, ἐπὶ τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔξωθεν, ἣν ὠμιαίαν καλοῦσιν ἥκομεν, εἶθ' ἑξῆς φαρ- F μάκῳ χρώμεθα τῶν ἁπαλωτάτων τε τινὶ, καὶ ἀδηκτοτάτων, ἐφ' ᾧ νηστεύσαντα δι' ὅλης τῆς ἡμέρας, εἰς ἑσπέραν ἐπὶ λουτρὸν ἄγομεν. Εἰ δὲ μήτε καθάρσεως δέοιτο, μήτε φλεβοτομίας, τοῖς τ' εἰρημένοις φαρμάκοις, καὶ τῷ λουτρῷ μετ' αὐτὰ, καθάπερ ἴστε, τὰς τοιαύτας ὀδύνας ἐξιώμεθα, μήτε ταῖς κατὰ γαστέρα δήξεσι τῶν κολλυρίων ἐνιέντες τι, μήτε τοῖς ὀφθαλμοῖς τράγου χυλὸν, ἢ στέαρ αἰγὸς, ἢ κηρωτὴν ἄδηκτον, ἤ τι τῶν ἄλλων, ὅσα διὰ τῆς ἕδρας

εὐωδῶν

A primis sane oleum per multam nobis utilitatem tollendis, sedandisque doloribus, si calidum adhibeatur, præstat: Deinde & alia multa longe plusquam ipsum calefacientia, ut laurinum, cedrinum, recininum, sinapinum, & raphaninum. Hæc quidem liquida: Concreata vero alia plus, alia minus & resinæ, maximeque inter eas, quæ sponte sua distillant, & thapsia, & euphorbium, & succi omnes, Cyrenæus, Parthicus, Medicus, Assyrius, sagapenius, ex tithymalis, ex panace, qui & proprie opopanax dicitur. Hujus B generis sunt & chalbana, & alia multa, quæ omnia in Commentariis de simplicium medicinarum viribus didicisti: sive enim succus sit alicujus, sive liquor, sub humoris appellatione comprehenditur. Hujus itaque generis sunt, & liquida pix & piceum, quod vocatur, & in Cilicia capnelæon, aliaque innumerabilia, aliqua ex herbis, aliqua ex fruticibus, aliqua ex arboribus confecta, quorum commune vocabulum stirps habetur: cujus hoc loco Hippocrates meminit dicens; stirpium humores. His vero adjecit in quibus vim habent, obscurum brevitate sermonem faciens. Igitur haud abs re expla- C natores dissident, alius aliter non modo interpretantes, sed etiam scribentes. Quamobrem, ne nimia scribam, eos omittens, quæ mihi simillima veri videantur, ea sola referam. Medicamentorum igitur quæcunque dolores sedare apta sunt, sicut aliud alii affectui, ita & aliud alii membro, prodesse idoneum est. Hac de re autem sermo quia Commentarii modum excedit, breviter ipsum per exempla perstringere constitui. Porro quod non omnes cum dolore affectus iisdem egeant medicamentis, istud tibi exemplum esto. Mordacibus suc- D cis in intestinis contentis eluentia quum priùs per inferiores partes immiserimus, inter quæ mulsa est, ptisanæ cremor, & excreta hæc fuerint, morsus deinde mitigantia, & quæcunque inhærentia, & intestinorum tunicas operientia supernè incidentes mordaces humores arcent, in sedem damus: edulia præterea ipsis bonum succum creantia, & quæ difficulter corrumpantur, exhibemus. At in superiore ventre, & maxime in ejus ostiolo id genus contractis humoribus in primis eos vomere jubemus. Quod si ad vo- E mitum parati non sint, simplex oleum, aut cum aqua temperatum, aut quiddam simile sorbendum præbemus, per quod citato vomitu, exterius aliquid astringens, odoratumque superimponimus: sumendos autem cibos exhibemus boni succi, ægre dissolubiles, & nonnulla adstringendi vi præditos. Oculis vero dolentibus horum nihil facimus, sed universi corporis inutilem materiam prius medicamento educimus. Quod si redundet sanguis, ad cubiti venam exteriorem, quam humeralem vocant, scinden- F dam accedimus: deinceps medicamine aliquo quammollissimo & neutiquam mordaci utimur: deinde per totum diem usque ad vesperam jejunantem ad balneum ducimus. Quod si neque purgatione, neque venæ scissione indigeat, dictis medicamentis, & post ipsa lavatione sicut novistis, ejusmodi dolores medicamur, neque ad ventris morsus collyrion aliquod immittentes, neque oculis tragi succum, aut capræadipem, aut seratum morsu vacans, aut id genus aliquid adhibentes, quale in sedem injicere so-

liti sumus. Hæc exempli causa dixisse satis esto ad illud edocendum eundem affectum diversis locis excitatum non eadem remedia postulare. Ostendere enim propositum est, in quo sensu Hippocrates dixerit, stirpium humores in quibus vim habent: illud enim in quibus, aut membris, aut affectibus, aut modis utendi, intelligere necesse est. Dico autem utendi modos, quum aut ipsam causam, ob quam affecta pars dolet, removemus: aut flatuosum spiritum ex illa creatum discutimus: idque ipsum duobus modis efficimus, aut spiritus crassam flatuosamque partem extenuantes, aut continens ipsum corpus rarefacientes. Quinetiam ad hæc modus alius indolentiæ effector est, scilicet qui sensum hebetat, ac stupefacit: in quo prudentiæ non vulgaris est, stupefactorio medicamento alia permiscere, neque eo solo uti. Quem enim præterit, à Philonio, quod vocatur, medicamine, dolori finem stupore sensus imponi: stuporem verò & torporem papaveris succus & alterci semen efficiunt. Hæc si sola perpauca exhibeantur, dolorem sedare non poterunt: quod si tantum ex istis detur, quantum acceptum sedare dolorem possit, insigni noxa membrum dolens afficietur. Igitur ne ipsum magnopere offendatur, neque sensus obtorpeat, aliorum medicaminum permistio à Philone excogitata est. Quænam verò sit methodus, qua quis utens hanc medicamentorum structuram moliatur, in Libris de ipsorum compositione proditum est. Et de his hactenus. Nunc quæ sequuntur, consideremus, inter quæ prima est vox illa, cyceon. nempe quod vinum dolores oculorum ex obstructione orientes mitiget, ex Aphorismorum interpretationibus didicistis: nunc verò & aliorum, quicunque eadem ratione concitantur, dolorum nonnunquam ob sanguinis crassitudinem, nonnunquam ob frigus, vobis in mentem veniat, quum sæpius, & in ventris doloribus, & in dolore capitis vocato hemicræra seu hemicranea, meracius vinum sumptum confestim quidem manifeste juvisse, accedente deinde somno, in totum dolorem sustulisse, videritis. Vidisti autam me non illico jejuno, sed ab assumpto cibo exhibere. At hoc loco Hippocrates utrunque miscuit, & cibum & potum: tale enim quiddam cyceon est, quemadmodum & apud Homerum didicistis, miscentibus quidem alia cum vino, commune verò omnium ipsum habentibus: fortasse & cum polenta vinum miscebant. Necessario autem & alia misceri ex hoc nomine, cyceon Veteres signare quispiam putaverit, sic eos appellationem hanc in eum sensum magis accipere indicans. Aliquando autem ego quempiam dolore vexatum sine cibo, vino uti jubens, ut opinionem meam confirmarem, multis subito calidis vaporibus affectum locum petentibus, eum, uti fui veritus, cruciatum animadverti: ab illis enim & inæqualis intemperies, & repletio membro acciderunt. Alibi vero nos explicavimus repletionem quoquo versus corpora distendentem, imbecillis partibus dolorem inferre, sed inæqualem intemperiem ea ratione, quod aliquæ partes adhuc naturaliter affectæ sint, aliquæ refrigeratæ ipsis sint proximæ: in istis enim à male affectis partibus ad recte valentes molesta quædam frigoris distributio fit: at omnes refrigeratæ, ut ita

ἐλέγομεν. ἀρκέσει ταῦθ', ὡς ἐπὶ παραδείγματος, εἰρῆσθαι πρὸς ἔνδειξιν τοῦ τὴν αὐτὴν διάθεσιν, οὐ τῶν αὐτῶν δεῖσθαι βοηθημάτων, ὅταν ἐν διαφέρουσι γένηται μορίοις. ἐπιδεῖξαι γὰρ πρόκειται κατά τινα διάνοιαν ὁ Ἱπποκράτης εἶπε, φυτῶν χυμοί, ἐφ' ὧν δύναμιν ἔχουσι. τὸ γὰρ ἐφ' ὧν, ἤτοι μορίων, ἢ διαθέσεων, ἢ τρόπων χρήσεως ἀναγκαῖόν ἐστιν ἀκοῦσαι. λέγω δὲ τρόπους χρήσεως, ὅταν ἤτοι τὴν αἰτίαν αὐτὴν τις ἐκκόψῃ, δι' ἣν ὀδυνᾶται τὸ πεπονθὸς μόριον, ἤτοι τὸ γεννώμενον ἐξ αὐτῆς φυσῶδες πνεῦμα διαφορῇ. καὶ τοῦτ' αὐτὸ ποιεῖ διττῶς, ἢ λεπτύνων αὐτοῦ τὸ παχὺ καὶ φυσῶδες, ἢ ἀραιῶν τὸ περιέχον αὐτὸ σῶμα. καὶ μέντοι καὶ ταῦτα τρόπος ἕτερός ἐστιν ἀνωδυνίας ποιητικὸς, ἐκ τοῦ ναρκοῦσθαι τὴν αἴσθησιν γινόμενος, ἐφ' οὗ καὶ συνέσεώς ἐστιν οὐ τῆς τυχούσης, μῖξαι τῷ ναρκωτικῷ τἄλλα, καὶ μὴ μόνῳ χρήσασθαι. τίς γὰρ οὐκ οἶδεν ἐν τῷ Φιλωνείῳ φαρμάκῳ, τὴν μὲν τῆς ὀδύνης παῦσιν, ἡ τῆς αἰσθήσεως νάρκη ποιεῖ. τὰ δὲ ἐργαζόμενα ταύτην, ἐστὶν ὅ τε τῆς μήκωνος ὀπὸς, καὶ τὸ τοῦ ὑοσκυάμου σπέρμα, ταῦτα δ' εἰ μόνα προσενεχθείη, παντάπασι μὲν ὀλίγα δοθέντα, τὴν ὀδύνην οὐ δυνήσεται παύειν. εἰ δ' ἐν τῷ μέτρῳ ληφθέντα παῦσαι δύναται, τὸ μέτρον, οὐ σμικρὰν βλάβην ἐργάζεται κατὰ τὸ πάσχον μόριον. ἵν' οὖν μήτε μεγάλως αὐτὸ βλάψῃ, καὶ ναρκώσῃ τὴν αἴσθησιν, ἡ τῶν ἄλλων φαρμάκων μῖξις εὑρέθη τῷ Φίλωνι. τίς δέ ἐστιν ἡ μέθοδος, ᾗ χρώμενος ἄν τις, ἐπὶ τὴν τοιαύτην ἥκει κατασκευὴν τῶν φαρμάκων, ἐν τοῖς περὶ συνθέσεως αὐτῶν εἴρηται. περὶ μὲν δὴ τύπων ἱκανὰ καὶ ταῦτα. σκεψώμεθα δὲ περὶ τῶν ἐφεξῆς εἰρημένων ὧν ἡγεῖται πρῶτος γεγραμμένος ὁ κυκεών. ὅτι μὲν οὖν οἶνος ὀδύνας ὀφθαλμῶν, ὅσαι δι' ἔμφραξιν γίνονται παύει, διὰ τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων ἐμάθετε. νῦν δὲ, καὶ περὶ τῶν ἄλλων, ὅσαι κατὰ τὸν αὐτὸν λόγον γίνονται, ποτὲ μὲν διὰ πάχος αἵματος, ποτὲ διὰ ψύξιν, ἀναμνήσθητε πολλάκις ἑωρακότες, ἐπί τε τῶν κατὰ κοιλίαν ὀδυνῶν, ἐπί τε τῆς καλουμένης ἡμικραίρας, οἶνον ἀκρατέστερον αὐτίκα μὲν ὠφελήσαντα σαφῶς. ὕπνου δὲ ἐπιγινομένου, τελέως παύσαντα, τεθέασθέ με διδόντα οἶνον οὐκ εὐθέως νήστει, ἀλλ' ἐπὶ τροφῇ. νῦν δὲ ὁ Ἱπποκράτης ἔμιξεν ἀμφότερα, καὶ τὴν τροφὴν, καὶ τὸ πόμα. τοιοῦτον γάρ τι πρᾶγμά ἐστιν ὁ κυκεὼν, ὡς καὶ παρ' Ὁμήρου μεμαθήκατε. μιγνύντων μὲν ἄλλα τῷ οἴνῳ, κοινὸν δ' ἐχόντων ἁπάντων αὐτόν. ἴσως καὶ τι [illegible] μετ' ἀλφίτων μὲν εἶναι τὸν οἶνον. ἐξ ἀνάγκης δὲ καί τι ἄλλο ἐκ τοῦ κυκεὼν ὀνόματος ἀξιώσει τις δηλοῦσθαι τοὺς παλαιούς· οὕτω μᾶλλον ἐπιδεικνὺς κεχρῆσθαι τῇ προσηγορίᾳ. χρῆσθαι δέ ποτε καὶ τροφῆς χωρὶς οἴνῳ, τῶν ὅπως ἀλγούντων τινὰ κελεύσας, ἕνεκα τοῦ βεβαιώσασθαι μὲν τὴν ὑπόληψιν, ἐθεασάμην, ὡς προσεδόκησα παροξυνθέντα, θερμῶν ἀτμῶν πολλῶν ἀθρόως ἀναδραμόντων ἐπὶ τὸν πεπονθότα τόπον, ἐφ' οἷς ἀνώμαλός τε ἅμα δυσκρασία, καὶ πλήρωσις ἠκολούθησε τοῦ μέρους. ἐπιδέδεικται δὲ ἡμῖν, ἡ μὲν πλήρωσις, τῷ διατείνειν πάντη τὰ σώματα, ὀδύνας ἐργαζομένη τοῖς ἀσθενέσιν, ἡ δ' ἀνώμαλος δυσκρασία διὰ τὸ τινὰ μὲν ἔτι κατὰ φύσιν ἔχειν μόρια, τινὰ δὲ ὁμιλεῖν, αὐτοῖς ἐψυγμένα. γίνεται γὰρ ἐν τούτοις ἐκ τῶν παρὰ φύσιν ἐχόντων, εἰς τὰ κατὰ φύσιν ἔχοντα διάδοσις τῆς ψύξεως ἀνιαρά. τὰ δὲ ὅλα ψυχθέντα, καὶ ὡς

ἂν εἴποι τις ἑκτικὴν κτησάμενα τὴν τοιαύτην κρᾶσιν, οὐκ A ὀδυνᾶται. τὴν γὰρ φύσιν, φησὶ, διαλλασσομένοισι, καὶ διαφθειρομένοισιν αἱ ὀδύναι γίνονται, οὐ διηλλαγμένοις οὐδὲ διεφθαρμένοις ἤδη. τὸν μὲν οἶνον αὐτός τε προσεδόκησα βλάψειν ἄνευ τῆς τροφῆς πινόμενον, ἥ τε πεῖρα μαρτυρήσασα, βεβαιοτέραν μοι τὴν πίστιν εἰργάσατο. κυκεὼν δ' οὐκ ἂν βλάψειεν, ἔχων ἐν αὑτῷ τὴν τροφήν. ἐκ γὰρ τῆς ἀμφοῖν συμμέτρου μίξεως, ὁμαλὴ κατὰ βραχὺ θάλψις ἐν τοῖς πεπονθόσι μορίοις αὐξανομένη, χωρὶς ἀτμῶν πολλῶν ἐκθερμαίνει τε τὰ κατεψυγμένα, καὶ διαφορεῖ τὰ ἐμπεφραγμένα. διέρχεται γὰρ ὅσα πρότερον ἔν τισιν ἐσφήνωτο B διὰ πάχος, αὐτά τε λεπτυνόμενα καὶ χεόμενα, τῶν τε περιεχόντων αὐτὰ σωμάτων ἀραιοτέρων ἀποτελουμένων, ἅπερ ἐπὶ τῶν θερμαινόντων ὁμαλῶς γίνεσθαι φιλεῖ. καὶ οἱ πταρμοὶ δὲ, καὶ γὰρ τούτους ἐφεξῆς ἔγραψεν, ἐναργῶς φαίνονται κεφαλαλγίας ἰώμενοι, τὰς ἐπὶ πλήθει φυσώδους πνεύματος γινομένας. ταυτὶ μὲν οὖν ἅπαντα μέχρι τῶν πταρμῶν ἐπιδέδεικταί μοι τοῦ προτεθέντος ἐξ ἀρχῆς ἔχεσθαι, κακῶς ὑπὸ τῶν ἐξηγησαμένων, εἰς πλείους λόγους τεμνόμενα. ἐπὶ δὲ τὴν ἑξῆς λέξιν μεταβαίνωμεν, ἀπέχεσθαι δοκοῦσαν ἔτι τε C καὶ μᾶλλον ἁπασῶν τῶν ἔμπροσθεν, ἢ πρὸς ἀλλήλων ἐκεῖναι. δύναται δὲ, ὡς ἐγὼ φημὶ, καὶ αὐτὴ περὶ τῶν ὀδυνῶν εἰρῆσθαι καθάπερ ἐκεῖναι, διαφέρειν δὲ αὐτῶν τῇ κακίᾳ. γίνονται γάρ τινες ὀδύναι κακοήθεις ὑπὸ τῶν κακούργων, εἴτ' οὖν φαρμάκων ἃ δηλητήρια καλοῦσιν, εἴτε θηρίων ἰοβόλων, εἴτε καὶ χυμῶν τινων, ἐκ διαίτης μοχθηρᾶς, ἢ λοιμώδους ἀέρος ἐν τῷ σώματι γεννηθέντων. ἐπὶ τούτων οὖν φημὶ λελέχθαι ταῦτα τὰ βοηθήματα, γάλα, σκόροδα, οἶνος ἀπεζεσμένος, ὄξος, ἅλες. γάλα μὲν ἐπὶ τῶν κατὰ διάβρωσιν ἀναιρούντων· ἐπικεράσεως γὰρ δεῖται. σκό- D ροδον δὲ ἐπὶ τῶν κατὰ σφοδρὰν ψύξιν, οἶνος δ' ἐπὶ τὸν κατὰ μετρίαν. προσκειμένου δὲ αὐτῷ τοῦ, ἀπεζεσμένου, δυνατόν ἐστιν ἀκούειν τὸν ἱκανῶς θερμὸν, ἐγχωρεῖ δὲ καὶ τὸν οὕτως ἀφεψημένον ὡς γίνεσθαι τὸ καλούμενον σίραιον. ἐπικρατικὸν γάρτοι καὶ τοῦτ' ἐστὶ καὶ δριμυτήτων διαβρωτικῶν. ὄξος δ' ἕνεκα τοῦ τέμνειν χυμοὺς κολλώδεις, ὡς ἐπὶ τῶν μυκήτων, ἢ καὶ ψύξεως ἕνεκεν, ὡς ἐπὶ θαψίας. τοὺς δ' ἅλας, ὡς ἐκδαπανῆσαι δυναμένους ὅλην τὴν οὐσίαν τῶν κακούργων χυμῶν E τε καὶ φαρμάκων. ἀλλ' ἐπεὶ μὴ μόνον ὠφέλειαι καὶ βλάβαι τοῖς σώμασιν ἡμῶν γίνονται κατὰ τὰς τῶν κακούργων χυμῶν τε καὶ φαρμάκων. ἀλλ' ἐπεὶ μὴ μόνον ὠφέλειαι καὶ βλάβαι τοῖς σώμασιν ἡμῶν γίνονται κατὰ τὰς τῶν ὁμιλούντων ἁπλᾶς ποιότητας, ἀλλὰ καὶ καθ' ὅλην τὴν οὐσίαν. ἐμάθετε γὰρ καὶ τοῦτο δι' ἑτέρων ὑπομνημάτων, προσηκόντως ἂν εἰρημένον εἴη τὸ, φυτῶν χυμοὶ, ἐφ' ὧν τε δύναμιν ἔχουσιν. καὶ γὰρ καθ' ὅλην τὴν οὐσίαν ἰδιότητες, ἤτοι οἰκεῖαι τοῖς σώμασιν ἡμῶν, ἢ ἀλλότριαι, κατὰ τέτταρας F ὕλας εἰσὶ, καθαρτικὰ φάρμακα, καὶ τροφαὶ, καὶ τρίτα πρὸς αὐτοῖς ἃ νῦν Ἱπποκράτης ὠνόμασε κακοῦργα, καὶ τέταρτα τὰ τούτων ἰάματα. τεμνομένου δὲ τοῦ τρίτου γένους τῆς ὕλης, εἴς γε τὰ δηλητήρια καλούμενα φάρμακα, καὶ τοὺς ἰοὺς τῶν θηρίων, διττὴ καὶ τῶν ταῦτα θεραπευόντων ἐστὶν ἡ ὕλη. καλεῖται δὲ, ἀλεξιφάρμακα μὲν, ὅσα τοῖς δηλητηρίοις ἀνθίσταται, θηριακὰ δὲ, ὅσα τὰς τῶν θηρίων ἰᾶται δήξεις. ἴσως

dicam, hecticam quandam temperaturam adeptæ non dolent: Quibus enim, inquit, naturæ mutantur, atque corrumpuntur, dolores excitantur, non permutatis jam atque corruptis. Ego profecto vinum sine cibo epotum læsurum esse arbitrabar, & experientia idem testata firmiorem sententiam meam reddidit; cyceon autem, quum in seipso cibum contineat, offendere nequaquam poterit: nam ex utriusque mediocri mistione æquabilis paulatim calefacti, si in partibus affectis augescens sine multis vaporibus & refrigerata calefacit, & inculcata dissipat. Quæcunque enim prius aliquibus in locis ob crassitudinem inhæserant, eos attenuata, & fusa permeant, continentibus etiam ipsa corporibus rarioribus laxioribusque effectis, quæ ab æquabiliter calefacientibus fieri solent. Sternutationes quoque; nam & has deinceps scripsit, dolores capitis ex multo flatuoso spiritu ortos perspicue removere cernuntur. Hæc igitur omnia usque ad sternutationes cum eo, quod ab initio propositum fuit, cohærere à me ostensum est, & malè ab Interpretibus in plures sermones fuisse divisa. Ad sequentem igitur partem transeamus, quæ plus etiam ab omnibus prioribus, quàm illæ inter se distare videtur. Potest autem & ipsa, ut ego sentio, de doloribus, sicut & illæ, fuisse prolata; sed ab illis differre malitia. Exoriuntur enim dolores quidam maligni à maleficis, seu medicamentis, quæ deleteria, id est, mortifera vocant, seu feris venenum ictu fundentibus, sive succis aliquibus ex improbo victu, aut pestilenti cœlo in corpore genitis. Ad hos itaque id genus remedia enumerata fuisse dicimus, lac, allium, vinum fervefactum, acetum, salem. Lac nanque venenis erosione interficientibus adversatur: siquidem attemperatione opus est. Allium vehementi frigore lædentibus resistit, vinum mediocriter frigidis: sed quum ipsi adjectum fuerit, *fervefactum*, intelligere possumus admodum calidum. Potest etiam intelligi vinum ita decoctum, ut sapa, quam vocant, facta sit: etenim hæc corrodentes acrimonias temperat. Acetum verò, ut glutinosos, quales fungorum esu creantur, succos dissecet, vel etiam refrigerandi causâ, sicut adversus thapsiam requiritur. Postremo salem, ut totam maleficorum humorum medicamentorumque substantiam consumere possit. Cæterum quoniam utilitates & noxæ non solùm per simplices nos attingentium qualitates, sed etiam per totam substantiam corporibus nostris adveniunt (& hoc enim ex aliis Commentariis didicistis) jure sanè optimo, & illud dictum fuerit, stirpium humores, & in quibus vim habent. Proprietates nanque ex tota substantia progenitæ, aut corporibus nostris congruentes, aut alienæ, quatuor materiis continentur: aut enim purgatoriæ medicinæ sunt, aut alimenta, aut ad hæc tertiò ea quæ hîc Hippocrates malefica nominavit, aut quarto ipsorum remedia. Quum vero tertium materiæ genus, & in medicamenta deleteria, hoc est, mortifera vocata, & ferarum venena, distribuatur, duplex & ista curantium materia est. Appellantur autem Græco vocabulo Alexipharmaca, id est, medicamentorum auxilia, quæ mortiferis medicamentis adversantur: Theriaca verò, quæ ferarum morsibus medentur. Verùm

fortasse quis existimaverit, & purgantium medicamentorum materiam inter mortifera esse censendam, nam & hæc ultra modum assumpta nos interficiunt. Id si concesserimus, consequens erit etiam ut alexipharmaca, & theriaca in mortiferis enumeremus, quandoquidem & hæc nos perdere possint, nisi si quis ex ipsis omnino valde parum assumpserit. Verùm ea de causa mihi plura medicamenta, non vocare mortifera Medici videntur, quod ipsorum temporibus quibusdam utilitas necessaria sit: ea verò appellare deleteria, id est, perniciosa quæ nullo unquam tempore, neque ægrotis hominibus, neque valentibus, opem ferunt, neque enim aconitum, neque argentum vivum, neque argenti spuma, neque marinus lepus, intra corpus accepta, ullum nobis afferunt emolumentum, quemadmodum & alia pleraque, de quibus & in illis Commentariis actum est, ubi de juvantibus atque nocentibus per totius substantiæ proprietatem disputauimus.

A δέ τις ἀξιώσει, καὶ τὴν τῶν καθαιρόντων φαρμάκων ὕλην ἐν τοῖς τῶν δηλητηρίων περιέχεσθαι, διαφθείρει γὰρ ἡμᾶς καὶ ταῦτα, πλείω τῶν συμμέτρων δοθέντα. τοῦτο δ' εἰ συγχωρησαίμεθα ἀκόλουθον ἡμῖν ἔσται, τά τ' ἀλεξιφάρμακα, καὶ τὰ θηριακὰ ἐν τοῖς δηλητηρίοις συγκαταλέγειν, ἐπειδὴ καὶ ταῦτα ἀναιρεῖν πέφυκεν, εἰ μή τις αὐτῶν βραχὺ προσενέγκοιτο παντάπασιν. ἀλλὰ διὰ τοῦτό μοι δοκοῦσιν ἰατροὶ θανάσιμα μὲν πολλὰ φάρμακα καλεῖν, ὧν ἀναγκαῖον ὄφελός τι κατὰ καιροὺς γίγνεται. δηλητήρια δὲ, τὰ μηδέποτε
B μηδὲν ὀνοῦντα, μηδὲ νοσοῦντας ἀνθρώπους, μηδ' ὑγιαίνοντας, οὔτε γὰρ ἀκόνιτον, οὔθ' ὑδράργυρος, οὔτε λιθάργυρος, οὔτε λαγωὸς θαλάττιος, εἴσω τοῦ σώματος λαμβανόμενος, παρέχει τινὰ ἡμῖν ὠφέλειαν, ὥσπερ καὶ τἄλλα πολλὰ, περὶ ὧν, ἐν τοῖς κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας ὠφελοῦσί τε, καὶ βλάπτουσιν, εἴρηται.

HIPPOCRATIS TEXTUS VI.

Homo ex lassitudinibus ab itinere, imbecillitas, gravitas expuit, tussiebat enim ex vertice: Febris acuta, manum submordens. Secundo die caput grave. lingua exusta fuit, nares unguibus rescissæ: sanguis non manavit: sinister lienis magnus & durus dolore infestabatur.

C ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Ἄνθρωπος ἐκ κόπων, ἐξ ὁδοῦ, ἀδυναμίη, βάρος, ἀνέπτυεν, ἔβηξε γὰρ ἐκ κορυφῆς, πυρετὸς ὀξὺς, πρὸς χεῖρα ὑποδάκνων, δευτεραίῳ δὲ, καρηβαρίη, γλῶσσα ἀπεκαύθη, ῥὶς ὀνυχογραφηθεῖσα, οὐχ αἱμορράγησεν, ἀριστερὸς σπλὴν μέγας, καὶ σκληρὸς ὀδυνῶν.

GALENI COMMENTARIUS.

Quænam huic ægroto acciderint narravit Hippocrates: mortuus-ne sit an evaserit, quorum causa reliqua omnia scripta sunt, dicere prætermisit. At forsan quid ego de ægro hoc futurum esse prædicerem, quispiam audire desideret: cui vera hunc in modum dicenda sunt: Si quis ejus mihi urinam ostendisset, clarè sanè quid de eo sentirem, attulissem. Quantum enim ad dicta pertinet, perniciosè ægrotabat: at si urina optima fuisset, hominem quidem evasurum; sed acutè ægrotaturum esse prædixissem: sin autem prava apparuisset urina, brevî interiturum: si mediocris, ut neque laudanda esset, neque vituperanda, longiori tempore superstitem, tandem moriturum esse affirmassem. Alia porro symptomata media quodam modo inter perniciem atque salutem sunt. Illud verò, nares autem unguibus rescissæ, deinde non effundentes sanguinem; ita enim scripsit Zeuxis, nares unguibus rescissæ non effuderunt sanguinem, pessimum signum est. Quod si scriptum esset, quemadmodum & in pluribus exemplaribus scriptum reperitur, nares unguibus rescissæ, sanguis non manavit, perniciosum quidem & hoc esset, sed minus quàm nullo modo sanguinem emittere. Patet autem quod & manus opera ritè adhibita, sanguis tamen non emanavit; neque enim ab initio hac in parte scripsisset, unguibus quidem nares esse proscissas, neque tamen sanguinis effluvium accidisse, si absque manus opera id evenire potuisset. Referunt autem veteres Medicos non propriis unguibus modo, sed etiam ferramento quodam ad id ipsum præparato nares dissecare solitos.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Τὰ μὲν γενόμενα τῷ κάμνοντι διηγήσατο, εἴ τε δ' ἂν ἀπέθανεν, εἴ τ' ἐσώθη παρέλιπεν, ὧν χάριν ἅπαντα γράφεται τἄλλα. τί ἂν οὖν ἐγὼ περὶ τοῦ νοσοῦντος οὕτως ἔσεσθαι προεῖπον, ἴσως ἀκοῦσαι ποθεῖ τις, ᾧ τἀληθῆ ῥητέον ἐστὶ, ὡς περὶ εἴ μοι τις ἔδειξεν αὐτοῦ τὰ οὖρα, σαφῶς ἂν ἀπεφηνάμην ὁποῖόν τι φρονῶ περὶ τοῦ κάμνοντος. ὅσον μὲν γὰρ ἐπὶ τοῖς εἰρημένοις, ὀλεθρίως εἶχεν. εἰ δὲ ἦν καὶ τὰ οὖρα ἄριστα, σωθήσεσθαι μὲν, ὀξέως δὲ νοσήσεσθαι τὸν ἄνθρωπον ἀπεφηνάμην ἄν. εἰ δὲ ἦν καὶ τὰ οὖρα μοχθηρὰ, διὰ ταχέων τεθνή-
E ξεσθαι. μέσον δὲ αὐτῶν, ὡς μήτ' ἐπαινεῖσθαι, μήτε ψέγεσθαι, πλείονα χρόνον ζήσαντα τεθνήξεσθαι. τὰ μὲν οὖν ἄλλα συμπτώματα μεταξύ πώς ἐστιν ὀλέθρου καὶ σωτηρίας. ἡ δὲ ὀνυχογραφηθεῖσα ῥὶς, εἶτα μὴ μεθεῖσα τοῦ αἵματος, οὕτω γὰρ ἔγραψε Ζεῦξις, ῥὶς ὀνυχογραφηθεῖσα οὐχ ἡμορράγησεν, ὀλέθριον μὲν καὶ οὕτως, ἧττον δὲ τοῦ μηδ' ὅλως αἷμα μεθεῖναι. πρόδηλον δ' ὅτι τῆς χειρουργίας καλῶς γενομένης, ὅμως οὐκ ἐῤῥύη τὸ αἷμα. τὴν ἀρχὴν γὰρ, οὐκ ἂν ἔγραψε κατὰ τὴν
F διήγησιν, ὀνυχογραφηθῆναι μὲν τὴν ῥῖνα, μὴ γενέσθαι δὲ τὴν αἱμορραγίαν, εἰ περὶ τὴν χειρουργίαν τοῦτο συμβεβήκει. λέγουσι δὲ τοὺς παλαιοὺς οὐ μόνον τοῖς ἰδίοις ὄνυξι τὴν ῥῖνα διαιρεῖν, ἀλλὰ καὶ σιδήρῳ τινὶ πρὸς αὐτὸ τοῦτο παρεσκευασμένῳ, καὶ ἐοίκασι, κατά γε τὸ ἐν τῷ λόγῳ τῷδε προκείμενον ἄῤῥωστον διὰ τὴν καρηβαρίαν ἐπὶ τὴν διαίρεσιν αὐτῆς οἱ θεραπεύοντες τὸν ἄνθρωπον ἰατροὶ παραγενέσθαι τὸ δ' ἐπὶ τοῦ πλείονος εἰρημένων.

ἀριστερὸς σπλὴν μέγας, οἱ μὲν οὕτως προσκεῖσθαι νομίζουσιν, ὡς τὸ γάλα, τὸ λευκὸν ὁ ποιητὴς προσέθηκε, καὶ τὰς σύες τὸ χαμαιευνάδες, οὐκ ὄντος οὔτε γάλακτός τινος, ὃ μὴ λευκόν ἐστι οὔτε συῶν ——— αἳ ——— μὴ ——— χαμαιευνάδες εἰσὶν τάχα δὲ ——— ἐχούσης τῆς ῥήσεως τοῦ γέροντος οὕτως ῥὶς ὄνυχι καταφηθεῖσα οὐχ ἡμορράγησεν ἀριστερὴ ἐν ἴσῳ τῇ τῶν ἀριστερῶν μυκτήρων, καὶ κατ' ἴξιν ἐστὶν οὕτως τῷ σπληνὶ, καὶ πιθανὸν ἐπὶ τούτων ὁρμῆσαι τὸν χειρουργοῦντα. διαμαρτόντος δὲ τοῦ πρώτου βιβλιογράφου, συνέβη φυλαχθῆναι τὸ ἁμάρτημα. ἐγκειμένου δὲ τῇ ῥήσει καὶ τοῦ βήσσειν αὐτὸν ἐκ κορυφῆς, ἐγένετο καὶ περὶ τούτου τοῖς ἐξηγησαμένοις τὸ βιβλίον ἀμφισβήτησις. ἐνίων μὲν ἐκ τῆς κεφαλῆς τὴν βῆχα γίνεσθαι λεγόντων, οὐχ ὡς εἴωθε πολλάκις ἐκ τοῦ θώρακός τε καὶ πνεύμονος, καὶ τῆς τραχείας ἀρτηρίας, ὅταν ταῦτα πρῶτον πάθῃ. ἐνίων δὲ τὸ ἐκ κορυφῆς, κυρίως λελέχθαι νομιζόντων, ἵνα μὴ μόνον ἐκ τῆς κεφαλῆς κατάρρους τις αἴτιος εἶναι τῆς βηχὸς, ἀλλὰ καὶ κεφαλῆς αὐτῆς ἐκείνου τοῦ μέρους ὃ κορυφὴν ὀνομάζομεν.

A Videnturque in ægrotante, de quo nunc sermo fit, ad ipsarum dissectionem propter capitis gravitatem curantes hominem Medici devenisse. Illud verò de liene dictum, sinister lienis magnus, nonnulli, ita additum esse, sinister putant, ut lacti album poeta adjecit, & suibus humi cubantes, quum nullum lac non album sit, nulli sues non humi cubantes

.·. dissecta non erupit sanguis sinistra, tanquam dixisset ex sinistra nare, & ea lieni e regione opposita est. Atque verisimile est Medicum ad manus operam huic nari adhibendam fuisse permotum. B Errante autem primo Librario accidit, ut erratum remaneret. Præterea, quum in proposito sermone illud etiam sit, tussire ipsum ex vertice, de hoc etiam inter Libri Interpretes magna dissentio est orta, nonnullis quidem ex capite fieri tussim dicentibus, non, sicut crebrius fieri consuevit, ex pectore & pulmone, & aspera arteria, quando hæc primò affecta sunt .·. aliquibus autem ex vertice proprie dictum esse putantibus, ut non solùm ex capite destillatio aliqua tussis causa sit; sed C etiam ab ipsius capitis parte illa, quam verticem nominamus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

ΟΙ ὑπὸ τεταρταίου ἁλισκόμενοι, ὑπὸ τῆς μεγάλης νόσου οὐχ ἁλίσκονται, ἢν δὲ ἁλίσκωνται πρότερον, καὶ ἐπιγένηται τεταρταῖος, παύονται.

HIPPOCRATIS TEXTUS VII.

Quartana laborantes magno morbo non capiuntur: Si prius autem capiantur, & quartana superveniat, liberantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗν ἐπιληψίαν οἱ παλαιοὶ καὶ μεγάλην νόσον ἐκάλουν, καὶ πάθος παιδίων, ὥσπερ αὐτὸς ὁ Ἱπποκράτης ἐν τῷ περὶ ὑδάτων καὶ ἀέρων, καὶ τόπων. ἐπειδὴ κατὰ τὴν τῶν παίδων ἡλικίαν πλεονάζει, τινὲς δὲ Ἡρακλείαν αὐτὴν ἐκάλεσαν, οὐχ ὡς ἐπιλήπτου τοῦ Ἡρακλέους ὄντος, ἀλλ' ἐοίκασιν οὗτοι ἐπονομάζειν ἐλλογίμοις ὀνόμασιν αὐτὴν, ὥσαύτως γιγνόντες ἐνδεικτικὸν μεγέθους ὄνομα ποιῆσαι τὴν Ἡρακλείαν. ἱερὰν δὲ νόσον ἔνιοι κατὰ ψευδῆ δόξαν ὠνόμασαν, ὡς κἀν τῷ περὶ ἱερῆς νόσου συγγράμματι δεδήλωται. γίνεται μὲν οὖν καὶ ἀπ' ἄλλων μορίων παθόντων ἐνίοτε τὸ πάθος τοῦτο. τοῖς πλείστοις δὲ, πρώτως αὐτὸς ὁ ἐγκέφαλός ἐστιν ὁ πάσχων οὐχ ἑτέρῳ συμπάσχων. αἴτιον δὲ τοῦ νοσήματος παχὺς καὶ ψυχρὸς χυμὸς, ἀθροιζόμενος μὲν ἐν ταῖς κοιλίαις τοῦ ἐγκεφάλου, καταλαμβάνων δὲ καὶ τὰς ἐκφύσεις, καὶ μάλιστα τὴν πρώτην ἀρχὴν τοῦ νωτιαίου. τοῦτον οὖν τὸν χυμὸν, καὶ οἱ ἄλλοι μὲν ὀνήσασι πυρετοὶ, μάλιστα δὲ οἱ χρόνιοι, καὶ τούτων πάντων ὁ τεταρταῖος μάλιστα, καὶ αὐτοῦ τούτου πάλιν ὁ χρονιώτατός τε καὶ μετὰ ῥίγους παροξυνόμενος. αὐτό τε γὰρ τὸ ῥίγος

μοχλεύς.

τοῦ ἐγκεφάλου μὲν τὴν ἀρχὴν τούτων ἐμφράττοντος χυμοῦ. ἡ δὲ τοῦ πυρετοῦ θερμασία λεπτύνουσα ἔμπροσθεν, καὶ διαφορεῖν αὐτόν ἐστιν ἱκανὴ, καὶ πρὸς τούτῳ τὴν κρᾶσιν ὅλην σφοδροῖς ῥίγεσι μεταβᾶσι πυρετῶν παροξυσμοῖς βάλλειν τε καὶ ἀλλοιοῦν ἐπὶ τὸ θερμότερον ὑγρὰν καὶ ψυχράν. ταύτῃ γὰρ ἐπὶ ἐνίοτε ὁ φλεγματώδης γεννᾶται χυμός. ἀλλὰ καὶ τοῖς τὸ σῶμα κατ' ἐκκρίσεις ἐποίησε διὰ μὲν τῶν ἱδρώτων, ὡς ἐπὶ τὸ πλεῖστον,

D COmitialem Veteres, & magnum morbum & affectum puerilem appellabant, ut ipse Hippocrates in Libro de aquis, & aere, & locis, quoniam pueritia tempore abundat. Nonnulli & Herculeum ipsum vocaverunt, non quòd Hercules eo vexaretur; sed videntur ibi, sicut alii etiam nominibus ejus sævitiam exprimere voluerunt, ita & nomen hoc magnitudinem significans, herculeum scilicet effinxisse. Alii sactum morbum, falsa opinione decepti, appellaverunt, sicut in Libro de sacro mobo explicatum est. Oritur sane & ab aliis affectis partibus nonnunquam vitium hoc; sed E in plurimis primum ipsum cerebrum afficitur, non alio affecto consentiens. Morbi autem causa frigidus crassusque humor est in cerebri sinibus collectus, nervorumque origines, ac præcipue dorsi medullæ primum principium, occupans. Huic humori igitur & aliæ quidem febres prosunt; sed maxime diuturnæ, & ex his omnibus quartana potissimum: itemque ea ipsa quartana, quæ longissima sit, & cum rigore invadat, ipse nanque rigor.

.·. vectes .·.

F cerebri quidem initium hoc obstruente humore, febris autem caliditas prius attenuans, & ipsum discutere apta est; præterea, & totam temperaturam vehementibus rigoribus mutare, & humidam eam frigidamque ad calidius, siccíusque redigere. Ab hac verò pituitosus humor interdum procreatur in corpore, at excretiones sequuntur convulsionem juvantes, per sudores quidem sæpius,

quidem sæpius, aut vomitum, aut alvi subductionem, quare & per hæc expurgatur materia juxta id quod dixit in Aphorismis, Febrem convulsioni rectius accidere, quàm convulsionem febri: comitialis autem est totius corporis convulsio. In primo quidem de morbis popularibus, ita scripsit de quartana: Tutissima quidem omnium est, & facillima, sed longissima quartana: neque enim ipsa solum per se ipsa talis est, sed etiam ab aliis ingentibus morbis tutum præstat. Id vero nulli dubium est, quod prius quartana febre laborantes comitialis morbus adoriri nequit, quandoquidem jam adortum superveniens quartana discutere consuevit: quocirca multo sane magis ipsum nondum factum fieri non permittit.

A σπασμοὺς, ἢ ἐμέτων, ἢ γαστρὸς ἐπαγωγῆς, ὥστε καὶ διὰ τούτων ἐκκαθαίρεσθαι, ὃ πρὸς μὲν τοὺς ἀφορισμοὺς ἔφη, πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ καὶ ἐπὶ πυρετῷ. σπασμὸς δ' ἐστὶ καὶ ἡ ἐπιληψία παντὸς τοῦ σώματος. ἐν δὲ τῷ πρώτῳ τῶν ἐπιδημιῶν, οὕτως ἔγραψεν, ἀσφαλέστατος δὲ πάντων καὶ ῥήϊστος, μακρότατος ὁ τεταρταῖος. οὐ γὰρ μόνος αὐτὸς ἀφ' ἑαυτοῦ τοιοῦτός ἐστιν, ἀλλὰ καὶ νοσημάτων ἑτέρων μεγάλων ῥύεται. πρόδηλον δ' ὅτι τοῖς ὑπὸ τεταρταίου πυρετοῦ φθάνουσιν ἐνοχλεῖσθαι, γενέσθαι τὴν ἐπιληψίαν ἀδύνατον. ὅπου γὰρ καὶ οὖσαν ἤδη τεταρταῖος πυρετὸς εἴωθε παύειν, πολὺ δήπου μᾶλλον οὐκ ἂν ἐπιτρέπειν γενέσθαι τὴν μηδέπω πρόσθεν οὖσαν.
B

HIPPOCRATIS TEXTUS VIII.

Pro quibus qui morbi.

GALENI COMMENTARIUS.

Hoc supra positis congruit, hanc sententiam intuens. Pro quibus morbis qui morbi oriantur, scire bonum est: id vero subaudire opus est. Quemadmodum enim quartanam comitialem sanat, & febris quæque convulsionem, vel etiam destillationem, & suspirium, eodem pacto oculorum phlegmonem, alvi profluvium, lævitatem intestinorum acida eructatio, & lateris phlegmone pulmonariam, veternum phrenitis: contra vero non utiliter phrenitis in veternum, phlegmone lateris in pulmonariam, se convertunt. Quin etiam atram bilem hæmorrhois, plerunque incipientem prohibuisse, & jam affectam removisse, necnon & duratum lienem sanavisse, conspecta est. At varices quoque hos ipsos morbos, podagras propterea, & articularios dolores, discutiunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

Ἀνθ' οἵων αἱ νοῦσοι. καλὸν ἐπίστασθαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο τοῖς προγεγραμμένοις ἐπεφώνησε, δύναμιν ἔχον τοιαύτην, ἀνθ' οἵων νούσων οἷαι νοῦσοι γίνονται, καλὸν ἐπίστασθαι. προσυπακούσαι γὰρ δεῖ τοιοῦτον, ὥσπερ
C γὰρ ὁ τεταρταῖος ἐπιληψίαν ἰᾶται, καὶ πυρετὸς εἴς τις ὁ ἰῶν σπασμὸν, ἢ καὶ κατάῤῥουν, καὶ ἆσθμα, κατὰ τὸν αὐτὸν τρόπον, ὀφθαλμίαν μὲν διάῤῥοια, λειεντερίαν καὶ ὀξυρεγμία, καὶ πλευρῖτις περιπνευμονίαν, λήθαργον φρενῖτις. ἔμπαλιν δὲ, οὐκ ἐπ' ἀγαθῷ, φρενῖτις μὲν εἰς λήθαργον, πλευρῖτις δὲ εἰς περιπνευμονίαν μεταπίπτει, καὶ μὴν καὶ μελαγχολίαν αἱμοῤῥοῒς ὤφθη πολλάκις ἀρχομένην γε κωλύουσα, καὶ ἤδη γεγενημένην ἰασαμένη, καὶ σπλῆνα σκιῤῥούμενον, ἀλλὰ καὶ οἱ κιρσοὶ τὰ αὐτὰ ταῦτα θεραπεύουσι, ποδάγρας τε καὶ ἀρθρίτιδας.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ Ζ.

HIPPOCRATIS EPIDEMIORVM LIBER SEPTIMVS.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ.

Τοῦτο βιβλίον περιέχει ρμʹ τῶν ἀρρώστων ἱστορίας, καὶ τὰς νοσημάτων φύσεις καὶ διάφορα συμπτώματα περιλαμβάνει καὶ πολλὰ πεπονημένα βοηθήμα.

ARGUMENTUM LIBRI.

Hic liber 140. historias degrotantium complectetur, quibus variæ morborum naturæ varia symptomata, judicationes, præsidia sumpta, admota.

ΑΡΡΩΣΤΟΣ αʹ.

Ἱστορία τῶν πυρετῶν ἱδρωδέων μετὰ κύνα γινομένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ αʹ.


Μετὰ κύνα οἱ πυρετοὶ ἐγίνοντο ἱδρώδεες, καὶ οὐ περιεψύχοντο παντάπασι μετὰ τὸν ἱδρῶτα, πάλιν δὲ ἐπεθερμαίνοντο, καὶ μακροὶ ἐπιεικῶς, καὶ δύσκριτοι, καὶ οὐ πάνυ διψώδεες, ὀλίγοισιν ἐν ἑπτὰ καὶ ἐννέα ἐπαύοντο, ἄλλοις ιαʹ, καὶ ιβʹ, καὶ ιδʹ, καὶ ιζʹ.

A

ÆGROTUS I.

Historia febrium sudatoriarum post canem grassantium.

HIPPOCRATIS TEXTUS I.



Post canem febres sudatoriæ grassabantur, neque prorsus à sudore perfrigescebant, imo rursus incalescebant, fereque longæ, & judicatu difficiles, neque vehementer siticulosa. Paucis 7. & 9. die desinebant, ac etiam 11. 12. & 17.

ΑΡΡΩΣΤΟΣ βʹ.

Πολυκράτης ὃν ὁ πυρετὸς ἱδρώδης λαμβάνει, καὶ τὰ ὕστερον τῆς κοιλίας ἀλγήματα, καὶ τὸ ὕδωρ θερμὸν ὠφελεῖται, κλύσματι μαλθακῷ χρησαμένῳ ἔληξεν ἡ ὀδύνη.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ βʹ.

Πολυκράτει πυρετὸς, καὶ τὰ τοῦ ἱδρῶτος οἷα γέγραπται. ἀπὸ φαρμάκου κάθαρσις κάτω σφόδρα, καὶ ἐγίνετο κατὰ τοῦ πυρετοῦ οὕτως ἤπια, ὡς ἄδηλα καθεστῆσαι, πλὴν ἐν κροτάφοισι, καὶ τὰ ἱδρώτια πρὸς δείλην, περὶ κεφαλὴν, τράχηλον, στήθεα, εἶτ' αὖθις καὶ ἐς ὅλην κοιλίην, καὶ πάλιν ἐπεθερμαίνετο· περὶ δὲ τὰς ιβʹ, καὶ τὰς ιδʹ, ἐπέτεινεν ὁ πυρετός· καὶ ὑποχωρήσιες βραχέαι, ῥυφήμασι δὲ μετὰ τὴν κάθαρσιν ἐχρήσατο, περὶ δὲ ιεʹ ἀλγήματα γαστρὸς κατὰ σπλῆνα, καὶ κενεῶνα ἀριστερὸν, θερμῶν πρόσθεσις, ἧσσον, ἢ ψυχρῶν, ξυνέφερεν, κλύσματι μαλθακῷ χρησαμένῳ, ἔληξεν ἡ ὀδύνη.

B

ÆGROTUS II.

Polycrates quem febris sudatoria invasit; & postea ventris dolores prehenderunt, cui calida admota minùs quàm frigida profuerunt, molli clystere cessarunt.

HIPPOCRATIS TEXTUS II.

Polycratem febris & sudor, qualis descriptus est, invasit. A medicamento purgatio deorsum vehemens, & febris adeo lenis erat, ut obscurè præterquam in temporibus consisteret. Sub vesperam parvi sudores circa caput, cervicem, pectus, deinde statim etiam per totum ventrem exorti sunt, rursusque incaluit.
C Ad duodecimum verò ac decimumquartum diem febris intendebatur, & paucæ erant dejectiones. Post purgationem sorbitionibus usus, sub decimumquintum diem ventris dolores ad lienem, & lateris sinistri inanitatem prehenderunt, qui postquam calida admota minùs quàm frigida conferrent, molli per clysterem infuso cessarunt.

ÆGROTUS

A

ÆGROTUS III.

Cleocydes, qui doloribus & febre vexatus, iisdem præsidiis admotis & 22. convaluit.

HIPPOCRATIS TEXTUS III.

IDem verò etiam Cleocydi ex doloribus & febre eodem modo laboranti contulit. Circa 16. calores remissiores esse videbantur, & alvi dejectiones sinceræ bilis, mensque ferocior, spiritus autem moderatus, interdum verò acervatim attractum, rursus confertum expirabat, tanquam animo deficiens, aut velut qui per æstum iter confecit in umbra desidens respirare solet. Itaque sub decimum septimum diem ad vesperam in sella residens, in animi deliquium incidit, diuque sine voce ac sensu jacuit, & paucam aquam mulsam vix sumpsit velut resiccatis faucibus colli fibras distendens, & prorsus viribus exolutis, vix tandem ad se rediit, & calores remissiores erant. Demum secundo & vigesimo die morbus desiit.

ΑΡΡΩΣΤΟΣ γ΄.

Κλεοκύδης ὃν πρὸς ὀδύνην εἶχε ὁ πυρετὸς τὸ αὐτὸ ξυνήνεγκε, καὶ ἐπαύσατο δευτέρῃ εἰκοστῇ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ΄.

B

ΤΟ αὐτὸ δὲ καὶ Κλεοκύδει ξυνήνεγκε πρὸς ὀδύνην ὁμοίως ἔχοντι καὶ πυρετόν. περὶ δὲ ιϛ΄. ἠπιώτεραι αἱ θέρμαι ἐδόκεον εἶναι, καὶ ὑποχωρήσιες ἀκρήτου χολῆς, καὶ ἡ διάνοια θρασυτέρη, πνεῦμα δὲ μέτριον· ἔστι δ' ὅτε καὶ ἄλες ἑλκύσας, πάλιν ἀθρόον ἐξέπνει, ὥσπερ ὑπ' ἀψυχίης, ἢ ὡς ἂν διὰ πνίγεος πορευθεὶς ἐν σκιῇ καθεζόμενος ὅστις ἀναπνεύσειε. τῇ δ' οὖν ιζ΄. ἑσπέρης καθεζόμενος ἐς δίφρον ἠψύχησε, καὶ ἄφωνος πολὺν χρόνον, καὶ ἀναίσθητος ἔκειτο, μελικρήτου μόγις κατεδέξατο, ξυντείνων τὰς ἐν τῷ τραχήλῳ ἶνας, ὡς κατεξηρασμένης τῆς φάρυγγος, καὶ τῆς πάσης ἀδυναμίης παρεούσης. μόγις γοῦν ἐντὸς ἑωυτοῦ ἐγένετο, καὶ αἱ θέρμαι ἠπιώτεραι. μετὰ ταῦτα ἐπαύσατο δευτέρῃ καὶ εἰκοστῇ.

C

ÆGROTUS IV.

Pythodorus, cui febris assidua suborta est, octavo sudor. Post 24. diem cessavit febris, & reversa assidua ac vehemens. Primo & vigesimo die remisit, nec rediit.

HIPPOCRATIS TEXTUS IV.

D

CIrca idem fere tempus Pithodoro febris assidua suborta est, octavo sudor manavit, rursusque incaluit. Decimo iterum sudor, duodecimo sorbitiunculam ex hordeo sumpsit. Ad decimum quartum usque diem febris obscura fuit, in temporibus tamen aderat, sine siti erat, & sanus sibi esse videbatur. Quotidie sudores effluebant. Decimoquinto die post sorbitionem ex pulli jure bilem vomuit, & alvus deorsum exturbata est, & febris exasperata rursus desiit, sudores copiosi diffluebant, totumque corpus præter tempora perfrigeratum sentiebatur, pulsus non deficiebat. Videbatur autem modico tempore quievisse, ita ut sibi incalescere videretur. Vigesimoquarto die, ubi jam per multos dies cibos gustasset, & pransus esset, febris erat multa, & sub vesperam una cum somno delirium Iam igitur febris detinebat assidua & vehemens; interdum quidem unam, interdum verò duas noctes pervigil erat. Omni verò deinceps tempore jam abunde somnus suppetebat, ut ægrè excitaretur: in somno delirium aderat, & si quando ex somno excitaretur, vix sibi constabat, non sitiebat, spiritus moderatus, atque interdum qualis Polycrati, lingua non decolor. Post septimum verò recidivæ diem ptisanæ succus exhibebatur; post decimumquartum cibus. Primis septem diebus eructabat, ac revomebat interdum cum potu biliosum quiddam citra nauseam, donec alvus deorsum soluta est. Ex quo recidivam passus est; sudores defecerunt, nisi si quis adeo paucus circa frontem erupit, vix ut ullam de se

ΑΡΡΩΣΤΟΣ δ΄.

Πυθόδωρος, ᾧ πυρετὸς ξυνεχὴς ἐγένετο. ὀγδοαίῳ ἱδρὼς ἐπὶ δὲ ιδ΄ ἡμέρην πυρετὸς οὐκ ἦν, καὶ εἶχε πάλιν ξυνεχὴς καὶ ἰσχυρός. κα΄ ἔπαυσε, καὶ οὐκ ἧκε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ΄.

ΠΥθοδώρῳ περὶ τὸν αὐτὸν χρόνον, πυρετὸς ξυνεχής. ὀγδοαίῳ ἱδρὼς ἐγένετο, καὶ πάλιν ἐπεθέρμηνε. ι΄. πάλιν ἱδρώς· ιβ΄. ἐρύφησε χυλόν. καὶ μέχρι ιδ΄. ἄδηλος ἦν, ἐν κροτάφοισι δὲ ἦν, ἄδιψος δὲ, καὶ αὐτὸς ἑωυτῷ ὑγιὴς ἐδόκεεν εἶναι, ἱδρῶτες ἐγίνοντο ἑκάστης ἡμέρης. ἐν δὲ τῇ ιε΄. ζωμίον νεοσσοῦ ῥυφῶν, ἤμεσε χολὴν, καὶ κοιλίη κάτω διεταράχθη, καὶ ὁ πυρετὸς παρωξύνθη, πάλιν ἔληξε, καὶ ἱδρῶτες ἐγένοντο πολλοὶ, καὶ τὸ σῶμα πᾶν περιεψυγμένον, πλὴν κροτάφων. σφυγμὸς οὐκ ἔλιπεν. ἐδόκει δὲ κοπάσαι ὀλίγον χρόνον, ὡς δόξα ἐπιθερμαίνειν. κδ΄. ἤδη ἀπογευομένῳ σιτίων συχνὰς ἡμέρας, καὶ ἀριστήσαντι, πολὺς ἦν ὁ πυρετὸς, καὶ πρὸς τὴν ἑσπέρην, παραλήρησις προσιόντι ἅμα καὶ ὕπνῳ. εἶχε γοῦν ἤδη, ξυνεχὴς καὶ ἰσχυρός, ὅτε μὲν, μίαν, ὅτε δὲ, δύο νύκτας ἀγρυπνος. τὸν δὲ λοιπὸν ἅπαντα χρόνον, κατακορὴς ὕπνος, ἐγείρειν ἔργον, καὶ παραλήρησις ἐν τῷ ὕπνῳ· καὶ εἴποτε ἐξ ὕπνου ἐγερθείη, μόγις αὐτὸς ἑωυτοῦ, ἄδιψος, καὶ τὸ πνεῦμα μέτριον, τοιοῦτον δὲ ἐνίοτε, οἷον Πολυκράτει, γλῶσσα οὐκ ἄχρως. μετὰ δὲ ἑβδόμην τῆς ὑποστροφῆς, χυλοὶ προσεφέροντο. μετὰ δὲ ιδ΄. σιτίον περὶ τὰς πρώτας ζ΄. ἐρύγμαι καὶ ἀπήμει, ἔστιν ὅ μετὰ ποτοῦ ὑπόχολον ἄνευ ἄσης, ἕως κάτω ἐλύθη ἡ κοιλίη. ἱδρῶτες δὲ ἐξ οὗ ὑπέστρεψεν ἐξέλιπον. εἰ μή τις ὅσον ὡς ση-

E

F

A μεῖον περὶ μέτωπον. γλῶσσα ἐκ τοῦ ὕπνου εἰ μὴ διακλύσαιτο ὑπότραυλος ὑπὸ ξηρότητος, καὶ ῥήγματα περὶ αὐτὴν ἑλκέων, καὶ ἐν χείλει τῷ κάτω, καὶ περὶ ὀδόντας μικραὶ ὑποχωρήσιες, περὶ ιε΄. ὡς ὑπέστρεψε, πυκνότεραι καὶ γλισχρώδεες, τὸ ἀπὸ τῶν σιδίων ἔπαυσεν αὐτάς, οὖρα οἷα τὰ πολυχρόνια. ὑπὸ δὲ τὸν τελευταῖον χρόνον ἄλγημα στήθεος καταπίνοντι τὸ ποτὸν, καὶ ἡ χεὶρ ἐπὶ τῷ στήθει, κύμινον καὶ ὠὸν ῥυφαίνοντι κατέστη, ἡ γλῶσσα δὲ τὸ μαλακώδες ξυνήνεγκε. ν΄. ἀπὸ τῆς α΄. περὶ ἀρκτοῦρον, ἱδρῶτα κατ' ὀσφὺν, καὶ στήθεα βραχέα, καὶ τὸ σῶμα περιεψύχετο πλὴν κροτάφων, ὀλίγον χρόνον πάνυ. **B** περιῆν καὶ ν΄. ἐχάλασε, καὶ β΄. οὐκ ἔλαβεν.

A significationem ederet. Lingua ex somno nisi collueretur, præ siccitate aliquantulum balbutiebat, in eaque ulcera rumpebantur, & in labro inferiore ac gingivis, dejectiones paucæ erant; ad decimum quintum à recidiva diem crebriores & glutinosæ, quæ ex malicorii decocto sedatæ sunt, urinæ quales quæ morbi diuturnitatem præ se ferunt. Ad extremum dum potum deglutiret, pectoris dolor aderat. Id quod manus pectori admota indicabat, qui cuminum ex ovo sorbenti sedatus est, lingua verò laxitatem pertulit. Quinquagesimo die à **B** primo remisit, circa Arcturum, sudores pauci circa lumbos & pectus exorti sunt, & corpus totum præter tempora, exiguo admodum tempore perfrigescebat. Primo & quinquagesimo remisit, neque de integro prehendit.

ΑΡΡΩΣΤΟΣ ε΄.

Ὁ Ἐρατολάου δυσεντερικὸν πυρετὸν ἔσχηκε, καὶ σφοδρὰς τῆς κοιλίας ὀδύνας, τῷ γάλακτι χρώμενος ἐπὶ τὰς μ΄. ἡμέρας. **C**

ÆGROTUS V.

Eratolai filius dysentericus febre laboravit & vehementibus ventris laboribus, lacte usus est per quinquaginta dies.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε΄.

Ὁ Ἐρατολάου, περὶ φθινοπωρινὴν ἰσημερίην, δυσεντερικὸς ἐγένετο, καὶ πυρετὸς εἶχε. τὰ ὑποχωρήματα ἦν χολώδεα, λεπτὰ, πολλὰ, καὶ ὕφαιμα μετρίως, ἡ δὲ ὀδύνη τῆς γαστρὸς σφοδρή. ὀρροποτήσαντι δὲ καὶ γαλακτοποτήσαντι ἐν γάλακτι πεπυρωμένῳ, μετριώτερα ἐγένετο τὰ ἀλγήματα καὶ ὕφαιμα. τὰ δὲ χολώδεα παρηκολούθει, **D** καὶ ἀναστάσιες πυκναὶ, καὶ ἀπονώτεραι. τὸ δὲ πυρέττον ἐδόκει ἀρρωστέοντι, καὶ τοῖσι πολλοῖσιν ὅλως μὴ ἔχειν διὰ παντὸς τοῦ χρόνου μετὰ τὰς πρώτας ἓξ ἡμέρας, οὕτως ἄδηλος ἦν κατὰ κροτάφους δὲ σφυγμὸς ἦν, καὶ γλῶσσα ὑπὸ ξηρότητος ὑπότραυλος, καὶ διψώδης μετρίως, καὶ ἄγρυπνος, ῥυφήμασι δὲ ἤδη ἐχρῆτο, καὶ οἴνοισι. περὶ ιδ΄. ἐοῦσαν ἡμέρας, ἤδη ἐγένετο τὰ παρ' οὖς ἐν μέρει καὶ παρ' ἑκάτερον, σκληρὰ καὶ ἄπεπτα, πάντα ἐμωλιώθη, ὀδυνώδεα δὲ μετρίως. **E** οὐκ ἀπολληγόντων δὲ τῶν ὑποχωρημάτων, καταχόλων τε διὰ παντὸς ἐόντων, τὴν ἐν τῷ ἀλεύρῳ βοτάνην ῥυφέοντι, μετριώτερα τὰ χολώδεα καὶ τὰ ἀλγήματα ἐγένοντο, μέχρι τινὸς χρόνου, ὑγρὰ δὲ πολλὰ πολλάκις, καὶ ἀπόσιτος σφόδρα, καὶ μετὰ πάσης ἀνάγκης προσδεχόμενος. τὰ δὲ τῆς θέρμης, καὶ γλώσσης, καὶ δίψης, τοιαῦτα παρηκολούθει, οἷα εἴρηται, καὶ ἱδρῶτες οὐδέν. λήθη δέ τις τοιαύτη, ἐρωτήσας ὅτι πύθοιτο σμικρὸν, καὶ διαλιπὼν, πάλιν ἠρώτα, καὶ ἔλεγεν αὖθις, ὡς οὐκ εἴη εἰρηκώς. καθεζόμενός τε ἐπελανθάνετο εἰ μή τις **F** ὑπομιμνήσκοι αὐτὸν, καὶ αὐτὸς ἑωυτῷ ξυνῄδει τὸ πάθος, οὐδ' ἠγνόει, πνεῦμα ὁποῖον ὑγιαίνοντι. ὑπὲρ δὲ τὰς λ΄. μέχρι τῶν μ΄. ἥ τε ὀδύνη πουλὺ ἐπεδίδου τῆς γαστρὸς, ὕπτιός τε κατέκειτο, καὶ ἐπιστρέφεσθαι οὐδ' ἐπὶ ποσὸν ἠδύνατο. τὸ δὲ εἶναι τὸ ἄλγημα δεινὸν, ψωμίζειν ἄλλον δεῖ. ἡ δὲ ὑποχώρησις πουλλὴ, καὶ διακεκριμένη λεπτὴ, καὶ χρώματα οἰνωπὰ ὅσαπερ προσδέ-

HIPPOCRATIS TEXTUS V.

Ad æquinoctium autumnale Eratolai filius dysentericus factus est, & febre laboravit. Alvi recrementa biliosa erant, tenuia, multa, & aliquantulum ac modice subcruenta. Ventris autem dolor vehemens; Epoto autem sero & lacte candentibus calculis immissis incenso, dolores moderatiores evadebant, & dejectiones subcruentæ, verùm biliosæ comitabantur, crebræ erant ad desidendum exsurectiones, minore **D** tamen cum dolore. Post primos autem sex dies febricula neque ægroto, neque multis toto morbi tempore prorsus adesse videbatur, adeo obscura erat. In temporibus tamen pulsatio aderat, & lingua præ siccitate aliquantulum balbutiebat, sitisque moderata erat, & insomnia. Sorbitionibus verò utebatur & vinis. Quum jam ad decimumquartum diem pervenisset, tumores ad aurem utranque sigillatim oborti, duri, & crudi omnes sensim convertunt, moderatos verò dolores afferebant. Non desinen- **E** tibus autem dejectionibus; sed biliosis usque perseverantibus, herbam pollinis in modum sorbenti, mitiores ad aliquod tempus biliosæ dejectiones & dolores evaserunt, sed liquida multa crebro demittebat, cibos admodum aversabatur, neque nisi modis omnibus coactus assumebat. Calor, lingua & sitis quales dictæ sunt, tales sequebantur, & sudores nulli. Ea autem erat oblivio, ut ubi de eo quod paulò antè intellexisset, interrogasset, aliquo post intervallo iterum interrogaret, ac velut non prius dictum repeteret. Neque si desideret, recordabatur, nisi **F** à quoquam admonitus, ejusque affectionis sibi ipse conscius erat, neque ignorabat. Spiritus qualis per sanitatem. Supra vigesimum vero ad quadragesimum diem usque & ventris dolor multum increscebat, & supinus decumbebat, neque se tantillum convertere poterat. Quod autem dolor gravis esset, aliis qui cibum in os inderent, egebat. Alvi recrementum multum erat disparatum & tenue: coloris vinosi erant quæcunque assumebat, interdumque aliquan-

tulum cruenta corporis vigor ad extremam colliquationem & imbecillitatem conversus est, neque alio sublevante, surgere amplius poterat. Quod si quis umbilici medium attigisset, & manum ad cartilaginem illam in pectoris cavo sub qua os ventriculi delitescit, deduxisset, tanta illic palpitatio inerat, quanta neque ex cursu, neque ex timore, neque circa cor suscitari queat. Epoto per duos dies lacte asinino, cocto ad novem heminas Atticas, biliosa purgatio vehemens extitit, doloresque cessarunt, & ciborum appetentia oborta est. Postea autem lactis bubuli quatuor circiter heminas Atticas simul ebibit, in dies singulos duos cyathos primum aquæ sextam partem, vinique nigri & austeri modicum immiscens; semel verò in die cibum sumebat, sub vesperam panis subcineritii, chœnicis dimidium & pisciculum saxatilem tenuem, aut capri carnis & ovillæ frustulum. Lactis potus erat ad quadraginta dies; post primos decem dies absque aqua, ex vini vero nigri modica portione. Post septuagesimum jam à primo diem, à balneo sub noctem sudor parvus obortus est. Modico potu utebatur, eoque post cibum, aut austeriore.

A γίνετο, καὶ ὕφαιμά ἐστιν ὅτε· καὶ ὁ τόνος τοῦ σώματος, ἔκτηξις ἐσχάτη, καὶ ἀδυναμίη, οὐδ' ἀνίστασθαι ἄλλου ἐπαίροντος ἔτι δυνατὸς ἦν. μέσον δὲ ὀμφαλοῦ, καὶ χόνδρου κατὰ ταύτην τὴν καταγωγὴν ἀπηωρημένῳ τῇ χειρὶ, τοιοῦτος παλμὸς ἦν, οἷος οὐδὲ ἀπὸ δρόμου, οὔτε ὑπὸ δείματος περὶ καρδίην γίνεσθαι. πίνοντι ἄπεφθον, ὡς ἐννέα Ἀττικὰς κοτύλας ὄνειον ἐπὶ δύο ἡμέρας, χολώδης ἐγένετο σφόδρη ἡ κάθαρσις, καὶ ἔληξαν αἱ ὀδύναι, καὶ σιτίων ἐπιθυμίη ἐγένετο. μετὰ δὲ ταῦτα, βοείου γά-
B λακτος ὡς τέσσαρας κοτύλας Ἀττικὰς ὁμοῦ ἔπινεν, κατὰ δύο κυάθους, δι' ἡμέρης, πρῶτον ὕδατος δὲ ἕκτον μίσγων, καὶ μέλανος οἴνου, καὶ αὐστηροῦ μικρὸν, ἐμονοσίτει δὲ, ἑσπέρην ἄρτος ὡς ἡμιχοίνικος ἐγκρυφίης καὶ ἰχθύδιον πετραῖον ἁπλοῦν, ἢ κρεάδιον αἰγὸς, ἢ προβάτου. ἡ δὲ πόσις τοῦ γάλακτος, ἐπὶ τεσσαράκοντα ἡμέρας ἄνευ ὕδατος, μετὰ τὰς πρώτας δέκα ἡμέρας, οἴνου δὲ, ὡς μικρὸν μέλανος μέρος. ἱδρώτιον δὲ ἐγένετο μετὰ τὰς ἑβδομήκοντα ἤδη ἀπὸ τῆς πρώτης μετὰ λουτρὸν ἐς νύκτα.
C ὀλιγοποσίῃ δὲ ἐχρῆτο, καὶ μετὰ τὸ σιτίον τὰ ποτὰ, ἢ αὐστηροτέρῳ τοῦ ἀλυσίμου.

ÆGROTUS VI.

Ctesicrates dysentericus, cujus dysentericis symptomatibus lac farinæ immixtum magis quàm serum caprinum contulit.

HIPPOCRATIS TEXTUS VI.

CTesicrati dolore cum laboribus totum ventrem occupanti, crebraque exurrectione & dejectione aliquantulum cruenta, cum pedum tumore, farina lacte subacta magis quàm serum caprinum contulit.

ΑΡΡΩΣΤΟΣ ϛ'.

Κτησικράτης δυσεντερικὸς, ᾧ τοῖς δυσεντερικοῖς τοῖς συμπτώμασι, τὸ ἀλεύρῳ μᾶλλον ἢ αἰγείῳ ὀρρῷ ξυνήνεγκεν.

D ΙΠΠΘΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

ΚΤησικράτει δὲ τὸ ἐν τῷ ἀλεύρῳ μᾶλλον ἢ αἰγείῳ ὀρρὸς ξυνήνεγκεν, ὀδύνης ἐούσης περὶ ὅλην τὴν κοιλίην, καὶ πόνων, καὶ ἀναστάσιος πολλῆς καὶ ὑφαίμου, καὶ ἐπάρματος περὶ τοὺς πόδας.

ÆGROTUS VII.

Adrianus cui eadem contulerunt.

HIPPOCRATIS TEXTUS VII.

EAdem quoque Adriano fere jam per viginti quinque dies contulerunt.

ΑΡΡΩΣΤΟΣ ζ'.

Ἀδριανὸς ᾧ τοιαῦτα ξυνήνεγκεν.

E ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

ΣΧεδὸν ἤδη περὶ πέντε καὶ εἴκοσιν ἡμέρας, ἐόντα καὶ Ἀδριανῷ ταῦτα.

ÆGROTUS VIII.

Caneæ filius, cui lac asininum coctum contulit.

HIPPOCRATIS TEXTUS VIII. & IX.

VErùm Cæneæ filio lac asininum coctum.

ΑΡΡΩΣΤΟΣ η'.

Ο τοῦ Καινέως, ᾧ τὸ ὄνειον ἑφθόν.

F ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'. καὶ θ'.

ΤΩι δὲ Καινέως τὸ ὄνειον ἑφθόν.

A

ΑΡΡΩΣΤΟΣ ι´.

Ὁ τοῦ Κύδιος ὃν ὁ ῥῖγος καὶ πυρετὸς, καὶ ὠτὸς δεξιοῦ ἄλγημα, καὶ κεφαλῆς ὀδύνη. ἡ μακροτάτη ἱστορία πρὸς τὴν κβ´ ἡμέραν λέγεται. ἕκαστα δὲ τὰ συμπτώματα πολλά τε καὶ ποικίλα ἃ ἐκεῖνος ἔπαθε, ταῦτα γράφεται. ἀλλ᾽ οἷον γεγενημένον τὸ τοῦ νοσήματος τέλος οὐ γράφεται, ἡ ἱστορία λεχθησομένη.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι´.

B

ΤΩι Κύδιος περὶ χειμερινὰς ἡλίου τροπὰς ῥῖγος, καὶ πυρετὸς, καὶ ὠτὸς δεξιοῦ ἄλγημα, καὶ κεφαλῆς ὀδύνη. τὸ δὲ τοιοῦτον ἄλγημα εὐθὺς ἐκ μικροῦ παιδίου παρηκολούθει ῥευματῶδες, καὶ συριγγῶδες, καὶ ἔνοδμον, ἔχον δὲ οὕτω τὰ πολλὰ ἀνώδυνον ἦν. τότε δὲ ἡ ὀδύνη ἦν δεινὴ, καὶ ἡ κεφαλαλγίη. δευτεραίῳ ἢ τριταίῳ ἐόντι, χολῆς ἔμετος, ἀνακαθιζομένῳ ἐγένετο ὑπόχολον γλίσχρον, ὡς ἐξ ᾠοῦ ὕπωχρον. τετάρτῃ καὶ πέμπτῃ, ἐς νύκτα ὑποπαρελήρει. καὶ ἡ ὀδύνη τῆς κεφαλῆς καὶ τοῦ ὠτὸς δεινὴ, καὶ ὁ πυρετός. ἕκτῃ ὑποχώρησις ἀπὸ λινοζώστιος, καὶ ἡ θέρμη λῆξαι ἐδόκει, καὶ ἡ ὀδύνη. τῇ ἑβδόμῃ ὡς ὑγιὴς, κροτάφων καὶ σφυγμὸς οὐκ ἔλιπεν, ἱδρὼς οὐδὲν ἐγένετο. ὀγδόῃ, χυλοῦ ἐξεῤῥύφησεν, ἐς δὲ τὴν ἑσπέρην, σεύτλου, καὶ τὴν νύκτα ὕπνος, καὶ σφόδρα ἀνώδυνος, καὶ τὴν ἐνάτην ἥδετο πρὸς ἡλίου δυσμὰς, ἐς δὲ νύκτα τῆς κεφαλῆς δεινὴ ὀδύνη καὶ τοῦ ὠτός. ξυνέβαινε δὲ καὶ πυοῤῥοεῖν τὸ οὖς περὶ τοῦτον τὸν καιρὸν, ὁπότε μάλιστα πονοίη εὐθὺς ἀπ᾽ ἀρχῆς. ὅλην δὲ τὴν νύκτα τὴν ἐνάτην καὶ τὴν ἐπιοῦσαν ἡμέρην, καὶ τῆς νυκτὸς τὸ πλέον, οὐκ ἐπεγίνωσκεν οὐδένα, στένων δὲ διετέλει. ἡμέρην δὲ ἐντὸς ἑωυτοῦ ἐγένετο. καὶ αἱ ὀδύναι ἔληξαν, καὶ τὰ τῆς θέρμης μετριώτερα. ῥυφήσαντι δὲ λινοζώστιν, τῇ ἑνδεκάτῃ ὑπεχώρησε φλεγματώδεα, μυξώδεα, κάκοδμα. δυοκαιδεκάτῃ καὶ τρισκαιδεκάτῃ, μετρίως. τεσσαρεσκαιδεκάτῃ, ἀρξάμενος ἀφ᾽ ἑωθινοῦ μέχρι ἐς μέσον ἡμέρης, ἵδρου ὅλον τὸ σῶμα, μετὰ ὕπνου καὶ κώματος πολλοῦ, ἐγεῖραι ἔργον ἦν. πρὸς ἑσπέρην δὲ διηγέρθη, καὶ τὸ μὲν σῶμα μετρίως κατεψύχθη, ἐν κροτάφοισι δὲ σφυγμὸς διετέλει. πεντεκαιδεκάτῃ, καὶ ἑκκαιδεκάτῃ, χυλοῖσιν ἐχρήσατο. ἐν δὲ τῇ ἑπτακαιδεκάτῃ, ἧκε πάλιν ἐς νύκτα ὀδύνη τῶν αὐτῶν. καὶ παραλήρησις, καὶ ἐπυοῤῥόει. ιη´. καὶ ιθ´. καὶ εἰκοστῇ μανικῶς. ἦν δὲ κεκραγὼς ἐπαίρειν ἑωυτὸν πειρώμενος. οὐ δυνάμενος δὲ κρατεῖν τῆς κεφαλῆς, τῇσι χερσὶν ἐπορεγόμενος, καὶ ἀεί τι διακενῆς θηρεύων. πρώτῃ καὶ εἰκοστῇ καὶ ἱδρώτιον περὶ πλευρὸν δεξιὸν, καὶ στήθεα, καὶ κεφαλήν. κβ´. ἱδρώτιον περὶ τὸ πρόσωπον πλεῖστον ἦν· τῇ δὲ φωνῇ κατὰ τὸν χρόνον τοῦτον, εἰ μὲν σφόδρα ἀπεβιάσατο, εἶπεν ἃ ἐβούλετο τελέως. εἰ δ᾽ οὖν προχείρως ἡμιτελέα, καὶ τὸ στόμα λελυμένον, καὶ αἱ γένυες καὶ χείλεα ἀεὶ ἐν κινήσει, ὥστε θέλοντος λέγειν, καὶ τῶν ὀφθαλμῶν πυκνὴ κίνησις, καὶ ἔμβλεψις, καὶ χρῶμα ἐπ᾽ ὀφθαλμοῦ δεξιοῦ. οἷον εἴρηται τὸ ὕφαιμον, καὶ βλέφαρον τὸ ἐπάνω ἐπῴδησε, καὶ κατὰ γνάθον ἔρευθος ἐπὶ τελευτῆς, καὶ φλέβες πᾶσαι αἱ ἐν τῷ προσώπῳ, φανεραὶ οὕτω ξυνεσταλμέναι, καὶ τοῖσιν ὀφθαλμοῖσιν. οὐκ ἐπιξυμμύων ἦν, ἀλλὰ ἀτενὲς ἐνορέων, καὶ ἀπαίρων τὰ βλέφαρα ἐς τὸ ἄνω μέρος, ὡς ἐπήν τι ἐμπέσῃ ἐς τὸ ὄμμα. καὶ ὁπότε πίοι καταπίνοντος ἐς τὰ στήθεα καὶ τὴν

ÆGROTUS X.

Cydis filius quem prehendit & rigor & febris, & auris dextræ, & capitis dolor. Historia amplissima adusque diem 22. narratur: singula quoque symptomata multa ac diversa quæ passus est, describuntur. Sed qualis fuerit morbi eventus non scribitur. Historia legenda.

HIPPOCRATIS TEXTUS X.

CIrca solstitium autumnale Cydis filium rigor prehendit, & febris, aurisque dextræ & capitis dolor. Huic autem auris dolor statim à puero comitabatur cum destillatione, fistula, & gravi odore. Quumque ita se haberet, fere doloris expers erat, sed tunc dolor gravis aderat, & capitis dolor urgebat. Secundo aut tertio die bilis vomitione rejecta est, desidenti subbiliosa dejectio extitit, glutinosa velut ovi subpallidum. Quarto & quinto sub noctem aliquantulum delirabat, & auris, capitisque dolor
C vehemens erat & febris. Sexto ex mercuriali alvus dejecit, & calor & dolor cessasse visus est. Septimo velut sanus, verùm circa tempora pulsatio non deseruit, neque ullus sudor erupit. Octavo sorbitiunculam ex hordeo sumpsit. Sub vesperum verò betæ succum & noctu somnum cepit, ac magnopere doloris expers fuit. Nono sub Solis occasum læto erat animo, ac sub noctem capitis & auris dolor graviter urgebat. Per hoc tempus autem quum valde laboraret, statim ab initio aurem pure manare contigit. Nocte verò tota noni diei, posteroque die ac no-
D ctis magnam partem neminem agnoscebat, perpetuoque ingemiscebat. Die autem ad sese redierat, & dolores cessarant, calorque levior erat. Ubi verò sorbitionem ex mercuriali sumpsisset, undecimo die alvo rejecta sunt pituitosa, mucosa, graveolentia: 12. & 13. moderatè habuit: 14. die ducto initio à matutino tempore ad meridiem usque, toto corpore sudor effluxit, ac somno, soporeque multo gravatus nonnisi ægtè excitabatur. Sub vesperum verò experrectus & corpus quidem moderatè perfrixit, at in temporibus pulsus perduravit: 15. &
E 16. diebus, sorbitionibus ex hordeo usus est: 17. verò sub noctem rursus eorundem dolor rediit ac delirium & pus effluebat: 18. 19. & 20. furiosè habebat, vociferans sese attollere conabatur, sed caput continere non poterat, & manibus exporrectis semper aliquid frustra captabat: 21. sudor modicus circa latus dextrum pectus & caput, & 22. plurimum voce contenderet, quæ volebat perfecte efferebat. Sine conatu verò semiperfecta loquebatur, & os solutum ac maxillæ & labra semper in motu
F erant, tanquam qui loqui cuperet, oculorum creber motus & intuitus, oculique dextri color qualis dictus est, aliquantulum cruentus: palpebra superior intumuerat, & circa genæ extremum rubor erat, venæ omnes faciei adeo contractæ erant: ut conspicuæ essent, neque amplius oculis nictabat, verùm intentè intuebatur, palpebrasque ad superiorem partem extollebat, quasi aliquid in oculum incidisset. Quum biberet, in pectus & ventriculum descendentis

Potus strepitus percipiebatur, quale quid Chartadi adfuit. Spiritus fere semper moderatus fuit, lingua qualis pulmonum inflammatione laborantibus, ab initio ex pallido albicans, & perseverans capitis dolor. Cervix perpetuo immota, nonnisi cum capite circumagebatur, & pars quæ ex cervice ad spinam descendit, recta & inflexibilis erat, decubitus qualis dictus est, neque semper supinus erat. Pus verò jam serosum, album effluebat, nec nisi magno negotio spongia detergebatur, odoreque modum excedebat. Ad extremum pedum contactum non percipiebat.

A κοιλίην, ψόφος οἷος καὶ Χαρτάδῃ. πνεῦμα δὲ ἐπιεικῶς διὰ παντὸς μέτριον. γλῶσσα οἵη ἐστὶ τοῖσι περιπνευμονικοῖσιν, ὑπόλευκος ἀπ' ἀρχῆς, καὶ διὰ παντὸς κεφαλαλγίη. τράχηλος διὰ παντὸς ἀκίνητος ξυμπεριάγειν τῇ κεφαλῇ ἐδεῖτο, καὶ τὸ κατὰ ῥάχιν ἐκ τραχήλου, ἰθὺ, καὶ ἄκαμπτον, καὶ κλίσιες ὁποῖαι εἴρηνται, καὶ οὐκ ἀεὶ ὕπτιος. τὸ δὲ πῦον ἤδη, ὀρρῶδες λευκὸν, πολὺ ἔργον ἀποσπογγίσαι, ὀδμὴ ὑπερβεβλημένη κατὰ τὸν τελευταῖον χρόνον. ποδῶν ἅψιος οὐ πάνυ καταισθανόμενος.

B

ÆGROTUS XI.

Harpalidæ soror quatuor aut quinque mensium gravida, multa passa symptomata per duos menses laboravit, ac tandem alvi & spirandi libertatem adepta evasit, ac prolem fœmellam edidit. Hic tum pathemata, tum symptomata ac præsidia scripta sunt.

ΑΡΡΩΣΤΟΣ ιαʹ.

Η Αρπαλίδεω ἀδελφὴ περὶ τέταρτον μῆνα, ἢ πέμπτον κυοῦσα, τὰ πολλὰ συμπτώματα παθοῦσα ἐπὶ δύο μῆνας ἐπόνησε. εὔπνοιαν δὲ καὶ κατὰ τὴν κοιλίαν ἐλευθερότητα σεσωθεῖσα ἔτεκεν. ἐκεῖ καὶ τὰ παθήματά τε καὶ συμπτώματα, καὶ βοηθήματα γεγραμμένα ἐστί.

HIPPOCRATIS TEXTUS XI.

Harpalidæ sorori quatuor aut quinque mensium uterum gestanti, pedum tumores aquosi exorti sunt, & oculi in orbem intumescebant, totumque corpus veluti pituita alba suffusum in tumorem sublevabatur. Tussis sicca, erectæ cervicis spiratio, ejusmodique anhelatio, interdumque à spiritu suffocabatur, adeo ut perpetuo sedere in lecto cogeretur, neque decumbere posset; sed si qua somni incideret opinio, eum desidendo caperet. Ferè sine febre erat, fœtusque ex longo intervallo non movebatur, ac veluti ad corruptionem tendebat. Creber autem anhelitus fere ad duos menses perseveravit. Fabis vero melle conditis, & mellis linctu usa, Æthiopicoque cumino ex vino epoto, melius habuit. Deinde etiam multa matura, pituitosa & alba tussi rejecit, spirandi difficultas desiit, & prolem edidit fœmellam.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιαʹ.

C ΤΗι Αρπαλίδεω ἀδελφῇ περὶ τέταρτον μῆνα ἢ πέμπτον κυούσῃ, οἰδήματα περὶ τοὺς πόδας ὑδατώδεα ἐγένετο, καὶ τὰ κύκλα τῶν ὀφθαλμῶν ἐπῴδει, καὶ ἅπαν τὸ χρῶμα μετέωρον, οἷον τοῖσι φλεγματίῃσι, βὴξ ξηρὴ, ὀρθοπνοίη δὲ καὶ ἆσθμα τοιοῦτον, καὶ πνιγμοί ἐστιν ὅτε ὑπὸ τοῦ πνεύματος, ὥστε καθημένη διετέλει κατὰ κλίνην, κατακεῖσθαι δὲ οὐχ οἵη τε ἦν, ἀλλ' εἴ τις καὶ ὕπνου δόξα γένοιτο, καθημένη ἦν. ἄπυρος δὲ ἐπιεικῶς, καὶ τὸ κύημα ἐπὶ πλεῖστον χρόνον ἀκίνητον ἦν, ὡς διεφθαρμένον, καὶ μετέπιπτε.
D παρηκολούθησε δὲ τὸ ἆσθμα, σχεδὸν δύο μῆνας. κυάμοισι δὲ χρωμένη μελιχροῖσι, καὶ μετὰ μέλιτος ἐλείχε, καὶ τοῦ Αἰθιοπικοῦ κυμίνου πιοῦσα ἐν οἴνῳ, ἐρρᾴϊσε. μετὰ ταῦτα δὲ ἀνήγαγε βήσσουσα πολλὰ, πέπονα, φλεγματώδεα, λευκὰ, καὶ τὸ πνεῦμα ἔληξεν, ἔτεκε δὲ γόνον θῆλυ.

ÆGROTUS XII.

Polycratis uxor circa caniculam febre correpta cum dyspnœa quibusdam comitata symptomatibus ultra sexagesimum diem ægrotavit.

ΑΡΡΩΣΤΟΣ ιβʹ.

E Τὴν τοῦ Πολυκράτεος γυναῖκα μετὰ δυσπνοίας πυρετὸς εἶχε. τισὶ ἑπομένοις συμπτώμασι διὰ τὴν ξʹ ἡμέραν ἐπόνησε.

HIPPOCRATIS TEXTUS XII.

Polycratis uxori æstate circa caniculæ sydus febris oborta est. Spiritus matutinus minor erat, à meridie major & paulo densior spiritus; statim ab initio tussis & excreatio qualis purulentis. Intus ad arteriam & fauces subsibilabat stridula asperitate; facies bene colorata; in maxillis rubor non in plenum, sed leniter floridus. Procedente vero tempore & vox rauca extitit, & corporis colliquatio, & circa lumbos eruptiones, ad extremumque alvus liquidior. Septuagesimo die febris prehendit cum vehementi frigore externo, ac in temporibus quies erat. Spiritus autem frequentior evadebat. Post hanc quietem spiritus densior extitit, adeout quoad vixerit, sedens permanserit. In arteria

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβʹ.

ΤΗι Πολυκράτεος θέρεος περὶ τὸ ἄστρον πυρετὸς. πνεῦμα τὸ ἑωθινὸν ἧσσον· ἀπὸ μέσου ἡμέρης μᾶλλον τὸ πνεῦμα, πυκνότερον μικρῷ. βὴξ καὶ ἀπόχρεμψις εὐθὺς ἀπ' ἀρχῆς, ὁμοίη πυώδεσιν. ἔσω περὶ ἀρτηρίην καὶ φάρυγγα,
F ὑπεσύριζε κερχνώδεον, πρόσωπον εὔχροον, ἐπὶ γνάθοισιν ἐρύθημα, οὐ κατακορὲς, ἀλλ' ἐπιεικῶς ἀνθηρόν. προϊόντος δὲ τοῦ χρόνου, καὶ ἡ φωνὴ βραγχώδης, καὶ τοῦ σώματος ξύντηξις, καὶ περὶ ὀσφὺν ἐκρήγματα, καὶ ἡ κοιλίη κατὰ τὸν τελευταῖον χρόνον ὑγροτέρη. ἑβδομηκοστῇ ὁ πυρετὸς ἔξωθεν σφόδρα ἔψυχεν, ἐν δὲ τοῖσι κροτάφοισιν, ἡσυχίη. τὸ δὲ πνεῦμα πυκνότερον ἐγίνετο. μετὰ δὲ τὴν παῦσιν ταύτην, τὸ πνεῦμα πυκνότερον οὕτως ὥστε καθημένη διετέλεσεν, ὥστε ἀπέθανεν. ἐν δὲ τῇ ἀρτηρίῃ,

ψόφος πουλὺς ἐνῆν, καὶ ἱδρῶτες πονηροὶ, καὶ ἐμβλέψιες ἐμφρονώδεες σφόδρα, μέχρι τοῦ ἐσχάτου χρόνου. ἡμέραι δὲ ἐπεγίνοντο αὐτῇ κατεψυγμένῃ, πλείους ἢ πέντε. μετὰ δὲ τὰς πρώτας διετέλει πυώδεες ἀποχρεμπτομένη.

A strepitus multus inerat, sudoresque pravi, intus valde compositus ad extremum usque. Ipsa diebus pluribus quam quinque perfrigerata est. Post primos autem dies fœculentum assiduè excreavit.

ΑΡΡΩΣΤΟΣ ιγ'.

Ἡ γυνὴ τῶν πύλεων οἰκέουσα, ἤδη οὖσα πρεσβυτέρη εἰς τὸ πυρέτιον ἔπεσεν, ὃ ἐς ῥάχιν ἄλγημα ἐπῆλθε, καὶ τἄλλα συμπτώματα ὀλίγαις τῶν ἡμέραις ἀκολουθεῖ, ἢ τῶν βοηθείαις ταύταις ὑγιὴς γέγονε.

B *Mulier supra portas habitans, ætate jam provecta febricula prehensa est, quam dolor spinæ sequutus est, & alia symptomata paucis diebus comitabantur, quæ præsidiis hic positis convaluit.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

Τῇ δὲ ὡς τῶν πυλέων οἰκεούσῃ, ἤδη ἐούσῃ πρεσβυτέρῃ, πυρέτιον ἐγένετο, καὶ ἤδη ἀπολήγοντος τοῦ τραχήλου ἄλγημα μέχρις ἐς ῥάχιν καὶ ὀσφῦν, καὶ οὐ πάνυ ἐγκρατὴς τούτων. γνάθοι δὲ ξυνηγμέναι, καὶ ἐς αὐτοὺς ὀδόντας πλέον, ἢ μήλην παρεῖναι, ἥ τε φωνὴ ψελλὴ διὰ τὸ παραλελυμένον, καὶ ἀκίνητον, καὶ ἀσθενὲς εἶναι τὸ σῶμα. ἔμφρων δὲ χλιάσμασι καὶ μελικρήτῳ χλιερῷ. ἐχάλασε τριταίη σχεδὸν καὶ μετὰ ταῦτα χυλοῖσι, καὶ ζωμοῖσιν ὑγιὴς ἐγένετο. ξυνέβη δὲ τελευτῶντος τοῦ μετοπωρινοῦ καιροῦ. Ὁ παρὰ Ἀρπαλίδι ἀλείπτης, ἀκρατέστερος σκελέων καὶ χειρῶν, περὶ φθινόπωρον γινόμενος, ἔπιεν ἐκ φάρμακον ἄνω καὶ κάτω, ἐκ δὲ τῆς καθάρσιος πυρετὸς, καὶ ἐς τὴν ἀρτηρίην κατεῤῥύη τὸ τοιοῦτον, ὥστε ἐπισχεῖν διαλεγόμενον, καὶ ἀσθμαίνειν ἐν τῷ διαλέγεσθαι. ὁμοίως κυναγχικῷ βραγχώδει, πνιγμὸς καταπίνοντι, καὶ ἄλλα κυναγχικὰ, οἴδημα δὲ οὐκ ἦν. ὁ δὲ πυρετὸς ἐπέτεινε καὶ ἡ βὴξ, καὶ ἀπόχρεμψις ὑγροῦ καὶ πολλοῦ φλέγματος. προϊόντος δὲ, καὶ ὀδύνη κατὰ στῆθος καὶ μαζὸν ἀριστερὸν, ὁπότε δὲ ἐξαναστῇ, ἢ μετακινηθείη ἆσθμα πολὺ καὶ ἱδρὼς ἀπὸ μετώπου καὶ κεφαλῆς, καὶ τὰ περὶ τὴν φάρυγα κατεῖχε, μαλακώτερον δὲ ἐς τὸ στῆθος τῆς ὀδύνης ἀπελθούσης. ἀπ' ἀρχῆς μὲν οὖν κυάμοισι μελιχροῖσιν ἐχρῆτο. ἐπεὶ δὲ οἱ πυρετοὶ ἐπεῖχον, μᾶλλον ὀξυμέλιτι θερμῷ καὶ μέλιτος ἔλειξε πολλῇ. παρελθουσέων τεσσάρων καὶ δέκα ἡμερέων, ἅπαντα ἔληξε, καὶ τῶν περὶ χεῖρας, καὶ σκέλεα οὐ πολὺ ὕστερον ἐγκρατὴς ἐγένετο.

MUlierem supra portas habitantem jam provecta ætate febricula prehendit, qua jam desinente, cervicis dolor ad spinam & lumbos protendebatur, neque admodum his partibus valebat. Maxillæ vero & dentes in sese adeo cohærebant specillum ut non immittere-
C tur, vox etiam balbutiebat, quod corpus resolutum, immobile ac imbecillum esset, mentis tamen compos erat. Excalefacientium autem & aquæ mulsæ tepidæ usu, tertio fere die remisit, posteaque sorbitionibus & jusculis convaluit. Id quod sub autumni finem contigit. Unctor apud Harpalidem circa autumnum cruribus & manibus impotentior factus, medicamentum sursum ac deorsum purgans temere bibit, ex quo febris invasit, & ad arteriam tale quiddam defluxit, ut loquentem impediret, & interloquendum crebriorem anheli-
D tum redderet, non secus ac angina cum raucedine laboranti. Quum deglutiret, præfocabatur, cæteraque patiebatur quæ qui angina laborant; tumor tamen non aderat. Febris verò increscebat & tussis, copiosamque ac liquidam pituitam excreabat. At progressu temporis dolor circa pectus & mammam sinistram obortus est, quumque exurgeret aut commoveretur, crebra anhelatio multum vexabat, sudor ex fronte & capit emanabat, & faucium affectio detinebat; remissius tamen dolore ad pectus secedente. Per exordia igitur fabis melle conditis utebatur. Ubi verò febres detinebant potius aceto
E mulso calido & mellis delinctu copioso. 14. autem diebus elapsis omnia cessarunt, & manibus ac cruribus non multo post valuit.

ΑΡΡΩΣΤΟΣ ιδ'.

Χαρτάδῃ πυρετὸς καῦσος γέγονε, ὑπῆλθεν δὲ αἵματος πλέον, καὶ πολλοῖς πεπονημένος συμπτώμασι, ἐτέλεσε.

Chartadi quem febris ardens invasit, sanguinis congium ab alvo dejecit, & multis subactus symptomatibus vitam finivit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

F

HIPPOCRATIS TEXTUS XIV.

Χαρτάδῃ, πυρετὸς καῦσος, ἔμετος χολῆς πουλὺς, καὶ κάτω ὑποχώρησις, ἄγρυπνος. καὶ κατὰ σπλῆνα ἐπῆρμοι στρογγύλον ἐν αὐτῇ πρωὶ ἐξανέστη, ψόφου περὶ τὴν κοιλίην, ἄνευ ὀδύνης γινομένου, ὡς ἀφοδεύων δὲ ἦν, ὑπῆλθεν αἵματος πλέον, ἢ χοεὺς προσφάτου, καὶ μικρὸν ἐπισχόντι, καὶ τρίτον, πεπηγότες θρόμ-

CHarthadi febris ardens oborta est, bilis vomitus multus & deorsum dejectio, insomnia, & ad lienem tumor rotundus. Ipso die mane ad desidendum surrexit, strepitu circa ventrem absque dolore oborto. Quum verò ventrem exoneraret, sanguinis recentis plusquam congii mensura per alvum subiit, & pauca interposita mora, etiam tertio sanguinis

grumi concreti. Ore autem ventriculi anxietas erat, & ferè toto corpore parvus sudor & febricula. Primum etiam mentis compos esse videbatur, procedente verò die anxietas & corporis inquies jactatio major, & spiratio paulò crebrior erat: confidentius & perhumanius quàm occasio ferret, homines alloquebatur & excipiebat & quædam animi deliquia accedere videbantur. Quibusdam autem sorbitiones ex hordeo & aquam in qua farina crassior macerata erat offerentibus, non desiit, verùm difficultas spirandi sub vesperam admodum magna erat & corporis jactatio vehemens ac in dextrum & in sinistrum sese disjiciens, nullo tempore quiescebat: pedes frigidi, tempora & caput magis incalescebant instante jam morte, multisque sudoribus parvis diffluebant. Quum haberet circa pectus & vehiculum demissi potus strepitus percipiebatur, quod sanè mirum in modum perniciosum erat. Ubi vero sibi aliquid infra demitti velle dixisset, defixus oculis non longa interposita mora vitam finivit.

A βοι. ἄση δὲ περὶ τὴν καρδίην, καὶ ἱδρώτιον σχεδὸν καθ' ὅλον τὸ σῶμα, καὶ τὸ πυρέτιον, κατὰ ψυχὴν ἐδόκει, καὶ ἔμφρων τὸ πρῶτον· προϊούσης δὲ τῆς ἡμέρης, ἥτε ἄση πλείω καὶ ἀλυσμὸς, καὶ πνεῦμα σμικρῷ πυκνότερον, καὶ θρασύτερον, καὶ φιλοφρονέστερον τοῦ καιροῦ προσηγόρευε, καὶ ἐδεξιοῦτο, καί τινες λειποψυχίαι ἐδόκεον ἐπιγίνεσθαι. προσφερόντων δέ τινων χυλοὺς καὶ τὸ ἀπὸ κριμνῶν ὕδωρ, οὐκ ἔληγεν. ἀλλὰ τὸ πνεῦμα πρὸς τὴν ἑσπέρην, ὑπέρπολυ ἦν, καὶ ῥιπτασμὸς πολὺς, καὶ ἐπὶ τὰ δεξιὰ, καὶ ἐπὶ τὰ ἀριστερὰ, μεταρρίπτων ἑωυτὸν, οὐδένα χρόνον ἀτρεμίζειν δυνατὸς ἦν, πόδες ψυχροὶ, ἐν κροτάφοισι, καὶ κεφαλῆς θέρμη μᾶλλον, ὑπογύου τῆς τελευτῆς, καὶ ἱδρώτια πολλά, καὶ πίνοντι τὰ τοῦ ψόφου περί τε στήθεα, καὶ κοιλίην, καταπίνοντος τοῦ πόματος, ὅπερ δὴ κάκιστον· φάμενος δὲ θέλειν τι ἑωυτῷ ὑπελθεῖν, καὶ ἀτενίσας τοῖς ὄμμασιν, οὐ πολὺ ἐπισχὼν, ἐτελεύτησεν.

B

C

ÆGROTUS XV.

Hermoptolemi uxor hyemis tempore febre & capitis doloribus prehensa gravissimis & continuis agitata symptomatibus ad vigesimumtertium morbi diem pervenit & occubuit.

ΑΡΡΩΣΤΟΣ ιε'.

Τὴν τοῦ Ἑρμοπτολέμου χειμῶνος ὥρῃ πυρετὸς, καὶ κεφαλῆς ἀλγήματα, μάλιστα δὲ τὰ πονηρώτατα, καὶ συνεχέα συμπτώματα εἶχον πρὸς τὴν κδ'. τῆς νόσου ἡμέρας γεγένηται, καὶ ἀπέθανεν.

HIPPOCRATIS TEXTUS XV.

Hermoptolemi uxorem hyemis tempore febris & capitis dolores prehenderunt, & quum bibisset tanquam difficulter degluciens surrexit & cor sanasse dixit, lingua ab initio livida fuit. Morbi autem occasio ex horrore post balneum nata visa est. Nocte dieque insomnis erat. Post primos dies interrogata se jam non solùm capite, sed etiam toto corpore laborare dixit. Sitis interdum quidem summe intensa, interdum etiam moderata erat. Quinto, sexto, & ad nonum usque diem verè delirium, rursusque secum semiperfecta loquebatur cum sopore; interdum etiam manum ad parietis tectorium extendebat: & pulvinum quendam frigidum qui capiti suberat, etiam pectori admovebat, interdum etiam vestem stragulam rejiciebat, & in oculo dextro subcruentum quiddam & lacryma inerat. Urina vero erat quæ in pueris semper mala censetur. Circa initia quidem per alvum aliquantulum fulva demittebat; postea vero aquosa multum, atque hujusmodi coloris: 11. die mediocriter calere videbatur, ac interdum sitis expers in tantum erat, ut nisi quis daret, non peteret. Post primum tempus de die somnus moderatè contingebat. Noctu vero pervigil erat, & ad noctem magis laborabat: Nona alvus emota est aquosa dejiciens, eodemque etiam modo undecimo. Sequentibus vero diebus, fere crebra ad desidendum exurrectio erat; eademque dejectio. Primis autem diebus excandescebat & ejulabat, instar puelli clemabat & terrebatur, & ubi ex sopore excitaretur, circunspiciebat: 14 die derepente exilientem, acriterque vociferantem, velut plaga aliqua accepta, aut ex gravi dolore & metu, continere arduum erat, adeo ut

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

ΤΗι Ἑρμοπτολέμου χειμῶνος ὥρῃ πυρετὸς, καὶ κεφαλῆς ἀλγήματα, καὶ ὁπότε πίοι, ὡς χαλεπῶς καταπιοῦσα, ἐξανέστη, καὶ τὴν καρδίην ὑγιάσθαι ἔφη.
D γλῶσσα πελιδνὴ ἀπ' ἀρχῆς, ἡ δὲ πρόφασις ἐδόκει ἐκ φρικῆς μετὰ λουτρὸν γενέσθαι. ἄγρυπνος καὶ νύκτα, καὶ ἡμέρην, μετὰ τὰς πρώτας ἡμέρας ἐρωτωμένη, οὐκ ἔτι μόνην κεφαλὴν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα πονέειν ἔφη. δίψα, ὅτε μὲν κατακορὴς, ὅτε δὲ μετρίη. πέμπτῃ καὶ ἕκτῃ, καὶ μέχρι τῆς ἐνάτης, σχεδὸν παραλήρησις, καὶ αὖθις πρὸς ἑαυτὴν διελέγει μετὰ κώματος, ἡμιτελέα, καὶ τῇ χειρί ἐστιν ὅτε ἐπορέγετο πρὸς τὸ κονίαμα, καὶ προσκεφάλαιόν τι ψυχρὸν ἐνεὸν τῇ κεφαλῇ,
E καὶ τοῖσι στήθεσι προσεῖχε, καὶ τὸ ἱμάτιόν ἐστιν ὅτε ἀπερρίπτει, καὶ ἐπ' ὀφθαλμοῦ τοῦ δεξιοῦ τὸ ὕφαιμον ἦν, καὶ δάκρυον ἦν. οὖρον δὲ ὃ τοῖσι παισὶ πονηρόν ἐστιν ἀεί. ὑπεχώρει δὲ ἀπ' ἀρχῆς μὲν ὑπόκιρρα, ὕστερον δὲ ὑδατώδεα σφόδρα, καὶ τοιουτόχροα. ια'. ἐδόκει μετριώτερον θερμὴ εἶναι καὶ ἄδιψός ἐστιν ὅτε ἐγένετο, οὕτως ὡς εἰ μή τις διδοίη, οὐκ ᾔτει. ὕπνοι μετὰ τὸν χρόνον ἐγένοντο ἐπιεικῶς ἡμέρης, ἐς δὲ νύκτα, ἄγρυπνος, καὶ ἐπόνει μᾶλλον ἐς νύκτα. ἐνάτῃ ἡ γα-
F στὴρ ἐξεταράχθη, ὑδατώδεα διαχωρήματα, ὡσαύτως δὲ καὶ ἑνδεκάτῃ· τὰς δὲ ἐπιούσας, ἐπιεικῶς, πολλὴ ἡ διανάστασις καὶ τοιαύτη. ἦσαν δὲ ἐν τῇσι πρόσθεν ἡμέρῃσιν, ἀκρηχολίαι καὶ κλαυθμοὶ, οἷα παιδαρίου, καὶ βοὴ, καὶ δείματα, καὶ περιβλέψιες ὁπότε δὴ ἐκ τοῦ κώματος ἐγείρεται. τῇ δὲ τεσσαρεσκαιδεκάτῃ ἔργον κατέχειν ἦν, ἀναπηδῶσαν, καὶ βοῶσαν, ἐξαίφνης καὶ συντόνως, ὥσπερ ἂν ἐκ πληγῆς, καὶ δεινῆς ὀδύνης, καὶ φόβου,

ὡς καταλαβών τις αὐτὴν, κατάσχοι χρόνον ὀλίγον. εἶτα πάλιν ἡσυχίην τε εἶχεν, καὶ κωματισμένη, ὑπνώσσα διετέλει οὐκ ὁρῶσα ὅλως, ἔστι δ' ὅτε, οὐδὲ ἀκούουσα, μετέβαλλε δὲ ἐς ἀμφότερα θόρυβόν τε καὶ ἡσυχίην πυκνὰ, σχεδὸν ὅλην τὴν ἡμέρην ταύτην. ἐς νύκτα δὲ τὴν ἐπιοῦσαν, ὑπῆλθέ τι καὶ ὕφαιμον, οἷα μυξώδεες, καὶ πάλιν οἷα ἰλυώδεες, μετὰ δὲ πρασοειδέα σφόδρα καὶ μέλανα. τῇδε ιε'. ὀξέες ῥιπτασμοὶ, καὶ οἱ φόβοι, καὶ ἡ βοὴ ἐγένετο ἠπίως. παρηκολούθει δὲ τὸ ἀγριαίνεσθαι, καὶ τὸ θυμαίνειν, καὶ κλαίειν εἰ μὴ οἱ ταχέως ὅ, τι βούλοιτο ὀρεχθείη, καὶ ἐπεγίνωσκεν μὲν πάντας, καὶ πάντα ἤδη μετὰ τέσσαρας εὐθὺς ἡμέρας, καὶ τὸ τοῦ ὀφθαλμοῦ κατέστη, ἡ δὲ μανίη παρὰ καιρὸν, καὶ ἡ βοὴ, καὶ ἡ μεταβολὴ ἡ εἰρημένη παρηκολούθει ἐς τὸ κῶμα. ἤκουεν ἀνωμάλως, τὰ μὲν σφόδρα καὶ εἰ σμικρόν τι λέγοι, ἐπ' ἐνίων δὲ μεῖζον ἐδόκει διαλέγεσθαι. πόδες ἀεὶ ὁμαλῶς τῷ ἄλλῳ σώματι θερμοὶ ἐς τε τὰς τελευταίας ἡμέρας. τῇ δὲ ιϛ'. ἧσσον. ιζ'. μετριωτέρην τῶν ἄλλων ἡμέρων, ἔχουσα ἐς νύκτα ὡς φρίκης αὐτῇ γινομένης, ξυνάγουσα ἐπυρέτηνε μᾶλλον, καὶ ἡ δίψα πολλὴ ἦν, τὰ δ' ἄλλα ὅμοια παρηκολούθει. τρόμοι δὲ περὶ τὰς χεῖρας ἐγίνοντο, καὶ κεφαλὴν ὑπέσειεν, καὶ αἱ ἐμβλέψιες τῶν ὀφθαλμῶν πονηραὶ, καὶ ἡ δίψα ἰσχυρὴ πιοῦσα, πάλιν ᾔτει, καὶ ἥρπαζε, καὶ λαύρως ἔπιεν, ἀποσπάσαι οὐκ ἠδύναντο. γλῶσσα ξηρὴ, ἐρυθρὴ σφόδρα, καὶ τὸ στόμα ὅλον καὶ χείλεα καθηλκωμένα, καὶ ξηρὰ, καὶ τὰς χεῖρας ἀμφοτέρας ἐπὶ τὸ στόμα φέρουσα ἐμαστάτο τρομώδης ἐοῦσα, καὶ εἴ τι προσενέγκειέ τις μασήσασθαι, ἢ ῥυφήσασθαι, λαύρως καὶ μανικῶς κατέπινεν καὶ ἐρόφανεν, καὶ τὰ περὶ τὴν ὄψιν πονηρά. ἡμέρῃσι δὲ τρισὶν ἢ τέτρασι πρὸς τὴν τελευτήν. φρίκαι τε αὐτῇ ἔστιν ὅτε ἐνέπιπτον, ὥστε ξυνάγειν τὸ σῶμα, καὶ ξυγκαλύπτεσθαί τε καὶ πνευστιᾶν. τέτανοι τε τὰ σκέλεα, καὶ ψύξις ποδῶν. ἡ δίψα δὲ ὁμοίη, καὶ τὰ περὶ τὴν διάνοιαν ὅμοια, καὶ ἐξαναστάσιες, ἢ διὰ κενῆς, ἢ σμικρὰ καὶ λεπτὰ, μετά τινος βραχέος τόνου. τῇ δὲ τελευταίῃ τῇ τρίτῃ καὶ εἰκοστῇ, τὸ ὄμμα μέγα τὸ περὶ ἠῶ, καὶ περίβλεψις βραχείη, καὶ ἡσυχίην εἶχεν, ἔστιν ὅτε καὶ ἄνευ τοῦ ξυγκεκαλύφθαι τε καὶ κωματίζεσθαι. πρὸς δὲ τὴν ἑσπέρην τοῦ δεξιοῦ ὄμματος κίνησις οἷον ὁρεώσης, ἤ τινος βουλομένης, ἐκ τοῦ ἔξω κανθοῦ πρὸς ῥῖνα. ἐπεγίνωσκέ τε καὶ πρὸς τὸ ἐρωτώμενον ἀπεκρίνετο. φωνὴ μετὰ πολλὰ ὑπότραυλος, καὶ ὑπὸ τῆς βοῆς ἀπερρωγυῖα, καὶ βραγχώδης.

A quis eam apprehensam pauco tempore detineret. Deinde rursus quietem agebat, & sopore oppressa perpetuo dormiebat, nihil in totum videns; interdum vero neque audiens, per totumque diem istum, tum ad tumultum, tum ad perturbationem, crebro commutabatur. Sequenti autem nocte subcruentum quiddam per alvum subiit, veluti mucosum, rursusque tanquam limosum, postea vero porracea admodum & nigra: 15. die vehementes corporis jactationes & metus, & clamor remissus erat. Conse- B quebatur autem efferatio & excandescentia, & ejulatus, nisi ipsi citò quod vellet, exhibitum esset. Statim quidem à primis diebus omnes & omnia cognoscebat; & quod in oculo erat conquievit: furor vero præter temporis occasionem & vociferatio, prædictaque mutatio ad soporem consequebatur. Inæqualis erat auditio, partim quidem vehemens etiam si quid summisse diceretur, in quibusdam vero altiùs loqui videbatur. Pedes æqualiter cum reliquo corpore calidi ad extremos usque dies; Verùm 16. die minus: 17 quum moderatius quàm cæteris C diebus haberet, sub noctem velut horrore suborto se contrahens, magis febricitabat, plurimumque sitiebat, & reliqua similia consequebantur, manuum tremores fiebant, & caput succutiebatur, oculorum autem intuitus pravus & sitis vehemens: ubi bibisset, rursus exposcebat, & arripiebat, & abundè bibebat, neque avellere poterant. Lingua sicca valdeque rubra erat, rotumque os ac labra exulcerata & sicca, manum utranque tremulam ori admovebat quum manducaret, & si quid manducandum aut sorbendum porrigeretur, avidè ac furiosè deglu- D tiebat & sorbebat, oculorum obtutus pravus erat. Ante mortem autem tribus aut quatuor diebus tantus interdum horror incidebat, ut corpus contraheret, & contegeret, anhelansque respiraret: crurum distensiones & pedum frigus aderat. Sitis vero & mentis affectiones eædem perseverabant, & ad desidendum exurrectiones, aut inanes erant, aut paucæ; & tenuia cum modico quodam conatu demittebantur. Ad extremum 13. die oculus mane magnus erat, brevisque circunspectio, & quietem agebat interdum absque integumentis & sopore. Sub vesperum autem oculus dexter tanquam cerne- E ret, aut quid vellet ab externo angulo ad nasum movebatur, cognoscebatque & ad interrogata respondebat. Vox post multa aliquantulum balbutiens, ac præ clamore fracta & rauca.

ΑΡΡΩΣΤΟΣ ιϛ'.

Ὁ Ἀμφιφράδεος, θέρεος πλευροῦ ἀριστεροῦ ὀδύνῃ καὶ βηχὶ νοσῶν περὶ τὰς κη ἡμέρας ἀπέθανεν.

ÆGROTUS XVI.

Amphiphradis puer æstate lateris sinistri dolore ac tussi prehensus, ad octavum & vigesimum diem extinctus est.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

ΤΩι Ἀμφιφράδεος, θέρεος πλευροῦ ἀριστεροῦ ὀδύνη καὶ βήξ. τὰ ὑποχωρήματα πολλὰ, ὑδατώδεα, καὶ ὑπόχολα, καὶ ὁ πυρετὸς ἐδόκει λῆξαι περὶ ἑβδόμην. ἡ βὴξ ἐνῆν, χρῶμα ὑπόλευκον καὶ ὕπωχρον. περὶ δὲ τὰς ιβ'. ὑπόχλωρον ἔπτυεν. τὸ πνεῦμα προϊόντος τοῦ νοσήματος αἰεὶ πυκνότερον, καὶ

HIPPOCRATIS TEXTUS XVI.

AMphiphradis filio æstate lateris sinistri dolor obortus est, & febris, & multæ aquosæ, & aliquantulum biliosæ dejectiones, & circa septimum febris cessasse videbatur. Tussis aderat & color subalbidus & subpallidus. Ad duodecimum ex vigore subpallidum expuebat. Procedente morbo spiritus densior semper fuit, & creber

creber anhelitus cum ſtridula quadam ad pectus & arteriam aſperitate, ſorbitionibus utebatur, toto tempore mente conſtabat. Ad 28. diem extinctus eſt, ſudoribus interdum foras erumpentibus.

A ἆσθμα, καὶ ὑποκερχνῶδες περὶ στήθεα καὶ ἀρτηρίας, ῥυφήμασιν ἐχρῆτο, ἔμφρων ἅπαντα τὸν χρόνον. περὶ δὲ κη΄. ἐτελεύτησεν ἱδρῶτές τε ὅτε ἐγίνοντο ἔξω.

Ægrotus XVII.

Caupo peripneumonia correptus decimoquarto convaluit.

HIPPOCRATIS TEXTUS XVII.

Caupo peripneumonicus laboravit, alvus ſtatim ſubiit, ad quartum diem ſudor multus obortus eſt, febricula ceſſaſſe videbatur, tuſſicula prope nulla erat. Quinto, ſexto & ſeptimo die, febris detinebat; octavo, ſudor; nono, pallidum excreavit. Decimo abundè alvus demittebat, non ſæpe; ad 11. levius habuit; 14. convaluit.

ΑΡΡΩΣΤΟΣ ιζ΄.

Κάπηλος ὁ περιπνευμονικὸς, ἐν τῇ ιδ΄ ὑγιής.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ΄.

Κάπηλος ὁ περιπνευμονικὸς, κοιλίη εὐθὺς ὑπήει, περὶ δ΄. ἱδρὼς πολὺς, ἐδόκει λῆξαι τὸ πυρέτιον, τὸ βηχίον οὐδὲν ὡς εἰπεῖν. ε΄. καὶ ς΄. καὶ ζ΄. ἐπεῖχεν ὁ πυρετὸς, ἱδρὼς η΄. θ΄. ἀπεχρέμψατο ὠχρόν. δεκάτῃ ἤει ἅλις οὐ πολλάκις. περὶ ια΄. ἠπιώτερος, ἐν τῇ ιδ΄. ὑγιής.

C

Ægrotus XVIII.

Hermoptolemus poſt vergiliarum occaſum febre correptus cum tuſſicula, lingua qualis peripneumonicis.

HIPPOCRATIS TEXTUS XVIII.

Hermoptolemo poſt Pleiadis occaſum febris acceſſit, tuſſis non amodum officiebat; lingua qualis peripneumonicis, nono die exudavit; totus (uti viſum eſt) perfrixit; oblata ei ſorbitiuncula ex hordeo, circa meridiem incaleſcebat. Undecimo ſudor & alvus reſiccata ſunt, bilioſa erant alvi excrementa; tuſſicula ſuborta eſt. 14. pallidum excreavit, ſtertor aderat. Decimoquinto quum toto tempore conſtitiſſet, mortuus eſt.

ΑΡΡΩΣΤΟΣ ιη΄.

Ἑρμοπτόλεμος μετὰ πλειάδος δύσιν πυρετὸς σὺν τῇ βηχὶ, γλῶσσα οἵα τοῖς περιπνευμονικοῖς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη΄.

Ἑρμοπτολέμῳ μετὰ πλειάδος δύσιν, πυρετὸς ἐπῆλθε, βὴξ οὐ πάνυ, γλῶσσα δὲ περιπνευμονικὴ, ἐνάτῃ ἐξίδρωσεν, ὅλος κατεψύχθη, ὡς ἐδόκει, προσήνεγκαν αὐ-
D τῷ χυλὸν, περὶ μέσον ἡμέρης ἐθερμαίνετο. ια΄. ἱδρὼς καὶ κοιλίη ἐξηραίνετο, κατάχολα ὑποχωρήματα, τὸ βηχίον ἐπεγίνετο. ιδ΄. ὠχρὸν ἀπεχρέμψατο, καὶ ῥεγχῶδες ἦν καὶ τῇ ιε΄. ἔμφρων δὲ πάντα τὸν χρόνον ἐὼν, ἐτελεύτησεν.

Ægrotus XIX.

Cum ſtertore lingua arida, mentis compos brevi extinctus eſt.

HIPPOCRATIS TEXTUS XIX.

Alter quidem in palato ſtertens, lingua arida qualis peripneumonica, mentis compos mortuus eſt.

ΑΡΡΩΣΤΟΣ ιθ΄.

E Τοῦ ῥεγχώδεος γλῶσσα ξηρὴ ἐπὶ τὸ βραχὺ ἔμφρων ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ΄.

Ἕτερός τις ἐπὶ τοῦ ὑπερῴου ῥεγχώδης, γλῶσσα ξηρὴ περιπνευμονικὴ, ἔμφρων ἐτελεύτησεν.

Ægrotus XX.

Poſſidonius pectoris, hypochondriorum & laterum dolore citra febrem correptus interiit.

HIPPOCRATIS TEXTUS XX.

Poſidonius etiam æſtate adhuc impendente, pectoris, hypochondriorum & lateris dolore citra febres diu conflictatus eſt. Multis vero annis antea pus thoracis cavo collegerat. At per hyemem horrore correptus, dolor intendebatur, & tenuis febricula, excreatio purulenta erat, & tuſſis cum ſtridula aſperitate ad

ΑΡΡΩΣΤΟΣ κ΄.

Ποσειδώνιος κατὰ στῆθος καὶ ὑποχόνδρια καὶ πλευρὸν πονέμενος, ἄνευ πυρετοῦ, ἐτελεύτησεν.
F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ΄.

Καὶ Ποσειδώνιος ἔτι τοῦ θέρεος ἐνισταμένου, κατὰ στῆθος καὶ ὑποχόνδρια καὶ πλευρὸν, ἐπόνει χρόνον πουλὺν, ἄνευ πυρετοῦ. πολλοῖσι δὲ ἔτεσιν ἔμπροσθεν, ἔμπυος ἐγένετο· τοῦ δὲ χειμῶνος φρίξαντι, ἐπέτεινεν ἡ ὀδύνη, καὶ τὸ πυρέτιον λεπτὸν, καὶ ἀπόχρεμψις πυώδης, βὴξ κερχνώδης, περὶ φά-

ρυγία, καὶ ῥεγχώδης, ἔμφρων δὲ ἐὼν ἐτελεύτησεν.

A fauces, & stertore, mentis autem compos mortuus est.

ΑΡΡΩΣΤΟΣ κα'.

Ὁ Βάλεως ἐκ τοῦ ὄρεος πάντα ἡμαρτηκὼς χαλεποῖς τοῖς συμπτώμασι πονούμενος περὶ ἐνάτην τὴν ἡμέραν ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'

Ο Δὲ Βάλεως ἐκ τοῦ ὄρεος πάντα ἡμαρτηκώς. ϛ'. Γλῶσσα πονηρή, ὑπέρυθρος, καὶ κατὰ φωνὴν ἦν ἐν τῇ ῥεμβείῃ, ὀφθαλμοὶ κεχρωσμένοι, πλέοντες ὥσπερ τῶν νυσταζόντων, χρῶμα δὲ τοῦ ἄλλου σώματος οὐκ ἰκτεριώδες σφόδρα, ἀλλ' ὕπωχρον, πελιδνόν, φωνὴ πονηρή, ἀσαφής, γλῶσσα περιπνευμονική, οὐκ ἔμφρων· πνεῦμα πρὸς χεῖρα, πονηρόν, οὐ πυκνόν, οὐδὲ μέγα· πόδες ψυχροί, λιθώδεις, περὶ ἐνάτην ἐτελεύτησε.

ÆGROTUS XXI.

Balis filius ex monte penitus aberrans gravibus symptomatibus affectus circa nonum diem extinctus est.

HIPPOCRATIS TEXTUS XXI.

B Balis filius quum ex monte penitus oberrasset, sexto lingua prava, subrubra extitit, & voce vacillabat, oculi colorati, natantes quales nictantium: reliqui etiam corporis color non admodum auriginosus, verùm aliquantulum pallidus, lividus, vox depravata, obscura, lingua peripneumonica, mens non non sibi constans, respiratio, quæ ad manuum est, prava, non crebra, neque magna, pedes frigidi, lapidei, circa nonum diem mortuus est.

C

ΑΡΡΩΣΤΟΣ κβ'.

Κυναγχικὴ ἡ παρὰ Μέζωνι, ἧς χεὶρ δεξιὴ καὶ σκέλος ἤλγησε, πυρετῷ ἐπεχομένη, καὶ τοῖς ἄλλοις συμπτώμασι πιεζομένη, τῇ πέμπτῃ, ἢ ἕκτῃ ἡμέρᾳ ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Κυναγχικὴ ἡ παρὰ Μέζωνι, χεῖρα δεξιήν, καὶ σκέλος ἤλγησε, πυρέτιον ἐπεῖχε, βηχίον, πνῖγμα, τρίτῃ ἐχάλασεν. ἑβδόμῃ σπασμώδης, ἄφωνος, ῥόγχος, ὀδόντων ξυνέρεισις, γνάθων ἔρευθος, οὗτος οὐ πολὺ διαζήσας, τῇ πέμπτῃ ἢ ἕκτῃ ἐτελεύτησε. σημεῖον περὶ χεῖρα τὸ ὑποπέλιον.

ÆGROTUS XXII.

Anginosa apud Metronem, cui manus dextra, crusque doluit, febricula aliisque periculosis symptomatibus vexata, quinto aut sexto die mortua est.

HIPPOCRATIS TEXTUS XXII.

Anginosæ apud Metronem manus dextra crusque doluit. Febricula detinebat, tussicula, suffocatio, tertio die remisit. Septimo D convulsione tentata, voce capta est, stertor, dentium collisio, malarum rubor aderat. Hæc non longe vitam protrahens, quinto aut sexto mortua est. Signum ad manum sublividum apparuit.

ΑΡΡΩΣΤΟΣ κγ'.

Βίων ἐξ ὑδρωπικοῦ πολυχρονίου πονούμενος γόνυ, ἀποστήματος ἐρχομένου καὶ ἐκπύοντος, ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

Βίων ἐξ ὑδρωπικοῦ πολυχρονίου, ἀπόσιτος ἐγένετο πολλὰς ἡμέρας, καὶ στραγγουριώδης, ἐπὶ γούνατος ἀριστεροῦ, ἀπόστημα ἐγένετο, ἐξεπύησεν, ἐτελεύτησεν.

ÆGROTUS XXIII.

Bion diuturno hydrope detentus, abscessu oborto, & suppuratione facta, mortuus est.

HIPPOCRATIS TEXTUS XXIII.

F Bion ex diuturno hydrope multis diebus cibos aversabatur, & urinæ stillicidio vexabatur. Ad genu sinistrum oborto abscessu, & suppuratione facta, mortuus est.

ΑΡΡΩΣΤΟΣ κδ'.

Κτησιφῶν ὑδρωπικὸς ἐκ καύσου πολλοῦ καὶ σπληνώδης, καὶ ὄσχεον, καὶ σκέλεα καὶ περιτόναια πληρώθη, ἄρα ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

Κτησιφῶν ὑδρωπικὸς ἐκ καύσου πολλοῦ, καὶ πρότερον ὑδρωπικὸς καὶ σπληνώδης, σφόδρα συνεπληρώθη, καὶ ὄσχεον, καὶ σκέλεα, καὶ περιτόναια ἐπὶ τῇ τελευτῇ βὴξ καὶ πνιγμοὶ ἐγίνοιτο ἐς νύκτα, μᾶλλον ἀπὸ τοῦ πνεύμονος ὥσπερ τοῖς πνευμονώδεσι-

ÆGROTUS XXIV.

Ctesiphon post magnum causum hydrope & lienis tumore laborabat: & oppletis scroto, cruribus & abdomine, tandem interiit. F

HIPPOCRATIS TEXTUS XXIV.

Ctesiphon hydropicus ex febre ardente magna factus est, quicunque prius hyrope, & lienis tumore laborasset, valde scrotum oppletum est, crura & abdomen. Sub finem tussis & suffocationes ad noctem contingebant, ex pulmone magis, velut pulmonis vitio labo-

rantibus. Tribus aut quatuor ante mortem diebus rigor & febris corripuerunt, ad femur dextrum parte interna, juxta venam mediam quæ ab inguine fertur, collectio velut ex igne agresti oborta est, cum rubore sublivido. Ad noctem, oris ventriculi dolor, neque multo post vox defecit, suffocatio cũ stertore, & mortuus est.

A περὶ δὲ ἡμέρης τῆς τελευτῆς, τρισὶν ἢ τέτρασι, ῥῖγος, πυρετὸς, κατὰ μηρὸν δεξιὸν, ἔσω κατὰ φλέβα μέσην τὴν ἀπὸ τοῦ βουβῶνος, ὡς πυρὸς ἀγρίου σύστρεμμα ὑποπέλιον ἔχον ἔρευθος, ἐς νύκτα καρδίης ἄλγος, καὶ οὐ πολὺ ὕστερον ἀφωνίη, πνιγμὸς μετὰ ῥέγχους, καὶ ἐτελεύτησεν.

ÆGROTUS XXV.

In Olyntho hydropicus derepente mente captus obiit.

HIPPOCRATIS TEXTUS XXV.

IN Olyntho quoque hydropicus derepente voce destitutus; noctem & diem mente captus mortuus est.

ΑΡΡΩΣΤΟΣ κε'.

B Εν Ολυνθῳ ὑδρωπικὸς ἐξαίφνης ἔκφρων ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

ΚΑὶ ἐν Ολυνθῳ ὑδρωπικὸς, ἐξαίφνης, ἄφωνος. ἔκφρων νύκτα καὶ ἡμέραν, ἐτελεύτησεν.

ÆGROTUS XXVI.

Prodromi filius febre ardente correptus superstes fuit.

HIPPOCRATIS TEXTUS XXVI.

PRodromi filius per æstatem sublæsus, febre ardente correptus est; lingua ipsi subarida, obscura, alvi multa dejectio; superstes fuit.

ΑΡΡΩΣΤΟΣ κϛ'.

Ο τοῦ Προδρόμου καυσώδης ἐγένετο, καὶ ἀφοδός.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

Ο Δὲ Προδρόμου, θέρεος ὑποτραύλος καυσώδης, ἡ γλῶσσα εἰ ὑπόξηρος, ἀσαφὴς, κάτω πολλὴ ἄφοδος περιεγένετο.

ÆGROTUS XXVII.

Leophorbides post solstitium hybernum febre acuta prehensus est. Status morbi describitur. Convalescentiæ recidiva successit.

HIPPOCRATIS TEXTUS XXVII.

LEophorbidæ post solstitium hybernum febris acuta adfuit, præcordiorum & ventris dolor, dejectiones liquidæ, biliosæ, multæ, interdiu sopore detinebatur, lingua peripneumonica, tussis non aderat. Duodecimo nigra, pauca, & porracea alvo dejecit. Decimoquarto febricula cessasse videbatur, postea verò sorbitionibus utebatur. Decimosexto os admodum salsum siccum extitit. Ineunte autem vespere horror & febris. 21. die ad meridiem rigor & sudor corripuit, febricula sedata est, color tamen suberat exiguus, & sub noctem iterum sudor. 22. quoque die sudor adfuit, calorque remisit. Prioribus autem diebus omnibus sine sudore fuit & alvus humida extitit etiam in ea quæ postea adfuisse visa est morbi reversione.

ΑΡΡΩΣΤΟΣ κζ'.

Λεοφορβείδῃ μετὰ χειμερινὰς τροπὰς πυρετὸς ὀξύς. ἡ τοῦ νοσήματος στάσις περιγράφεται καὶ παῦσις τούτου..

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

ΛΕωφορβείδῃ πυρετὸς ὀξὺς μετὰ χειμερινὰς τροπὰς, ὑποχονδρίων καὶ κατὰ κοιλίην ἄλγημα. ὑποχωρήματα ὑγρὰ, χολώδεα, πολλὰ, καὶ μεθ' ἡμέρην κωματώδης, γλῶσσα περιπνευμονικὴ, βὴξ οὐκ ἐνῆν. ιβ' μέλανα σμικρὰ, καὶ πρασοειδέα ὑπεχώρησε. ιδ' λῆξαι πυρέτιον ἐδόκει, μετὰ δὲ ῥυφήμασιν ἐχρήσατο. ιϛ' στόμα σφόδρα ἁλμυρῶδες ξηρὸν ἐγένετο, ἀκρέσπερον δὲ

E φρίκη, πυρετὸς, μίῃ καὶ εἰκοστῇ, περὶ μέσον ἡμέρης, ῥῖγος καὶ ἱδρὼς, τὸ πυρέτιον ἔληξε, θέρμη δὲ ὑπῆν λεπτὴ, ἐς νύκτα πάλιν ἱδρὼς, καὶ κβ' ἐς νύκτα πάλιν ἱδρὼς, καὶ ἡ θέρμη ἐχάλασεν. τῇσι δὲ ἔμπροσθεν πάσησιν, ἀνίδρωτος ἦν, ἡ δὲ κοιλίη ὑγραίνη, καὶ ἐν τῇ ὕστερον δοκούσῃ ὑποστροφῇ.

ÆGROTUS XXVIII.

Theoclis affinis, quæ acuta febre correpta, paucis sublatis symptomatibus sudore, oborto, septimo die criticè convaluit.

HIPPOCRATIS TEXTUS XXVIII.

THeoclidis affinem quæ supernè habitabat sub vergilias, febris acuta prehendit, sexto cessasse visa est, lavit tanquam si desisset. Septimo gena valde rubuit, utra non meminit. Sub

ΑΡΡΩΣΤΟΣ κη'.

F Η τῷ Θεώκλῃ προσήκουσα πυρέττουσα, ὀλίγοις παυσαμένοις τοῖς συμπτώμασι ὡς ἱδρῶτος γεγενημένου, ἑβδόμῃ τῇ ἡμέρᾳ κριτικῶς ὑγιείς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'

ΗΑνω οἰκοῦσα ἡ τῷ Θεώκλῃ προσήκουσα, ὑπὸ πληϊάδα πυρετὸς ὀξὺς, ϛ' ἐδόκει λῆξαι. ἐλούσατο ὡς πεπαυμένη, ἑβδόμῃ περὶ, γνάθος σφόδρα ἐρυθρὴ, ὁποτέρη οὐ μέμνημαι. ἐν τῇ ἑσπέρῃ ὁ πυ-

ρετὸς ἦλθε πουλὺς, καὶ λιποψυχίη, καὶ ἀφωνίη ἦν, οὐ πολὺ δὲ ὕστερον ἱδρὼς, καὶ παῦσις ἑβδομαίη.

A vesperam febris multa contigit, & animi ac vocis defectio aderat, neque verò pòst sudor, ac à morbo cessatio septimo die.

ΑΡΡΩΣΤΟΣ κθ'.

Η Θεοδώρου σφόδρα ἐν πυρετῷ αἱμορραγίης γινομένης χειμῶνος, λήξαντος δὲ, ὀδύνη κατὰ στῆθος δεινὴ, καὶ ἑπόμενα τὰ συμπτώματα, καὶ ἑβδόμῃ τῇ ἡμέρᾳ ἐτελεύτησε.

ÆGROTUS XXIX.

Theodori uxor hyeme, cui febricitanti magna hæmorrhagia secundo die suborta est, quibus cessantibus successit lateris dextri dolor gravis, & quæ alia sequuta symptomata, ac tandem septimo die mortua est.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

ΚΑὶ ἡ Θεοδώρου σφόδρα, ἐν πυρετῷ αἱμορραγίης γινομένης χειμῶνος, λήξαντος δὲ τοῦ πυρετοῦ περὶ θ' οὐ πολὺ ὕστερον, πλευροῦ δεξιοῦ ὡς ἀπὸ ὑστερέων βάρος, καὶ πρῶτον δὲ ἐγγόνῃ, καὶ τὰς ἐχομένας ἡ ὀδύνη κατὰ στῆθος δεινὴ, καὶ πλευρὸν δεξιὸν πυριωμένην, ἐχάλασεν, τεταρταίη τὰ ἀλγήματα, τὸ πνεῦμα πυκνότερον, ἡ ἀρτηρίη μόλις ἀναπνεούσῃ, ὑπεσύριζε, καὶ ὑπτίην ἐπιστρέφεσθαι χαλεπῶς, ἐς νύκτα ὀξύτερος ὁ πυρετὸς, καὶ λῆρος βραχὺς ἐγένετο. πεμπταίη πρωῒ, ἐδόκει ἠπιώτερος εἶναι, ἱδρώτιον ἀπὸ μετώπου κατεχύθη ὀλίγον πρῶτον. ἔπειτα πουλὺν χρόνον, ἐς ὅλον τὸ σῶμα καὶ πόδας. μετὰ δὲ ταῦτα ἐδόκει αὐτῇ κεχαλακέναι τὸ πῦρ. ἦν δὲ πρὸς χεῖρα ψυχρότερον τὸ σῶμα ταῖς ἀρτηρίαις, αἱ δὲ ἐν κροτάφοισι καὶ μᾶλλον ἐπήδων, καὶ πνεῦμα πυκνότερον, καὶ ἐπελήρει ἄλλοτε καὶ ἄλλοτε, καὶ πάντα ἐπὶ τὸ χεῖρον. γλῶσσα διὰ τέλεος λευκὴ λίην, οὔτε βὴξ οὐκ ἐνῆν, ὅτι μὴ τριταίη, καὶ πεμπταίη ὀλίγον χρόνον, δίψα οὐκ ἐνῆν, πτυσμὸς δὲ ἦν. ὑποχόνδριον δεξιὸν σφόδρα ἐπῆρτο περὶ τὴν ε' μετὰ δὲ μαλθακώτερον. ὑποχώρησις τριταίη ἀπὸ βαλάνου κόπρου ὀλίγης. πεμπταίη πάλιν, ὑγρὸν ὀλίγον, κοιλίη δὲ λαπαρὴ, οὖρα στρυφνὰ, ὀποειδέα, ὄμματα ὡς κοπιώσης. χαλεπῶς ἀνέβλεπε καὶ περιέφερε. πεμπταίη ἐς νύκτα χαλεπῶς, καὶ λῆρος εἵπετο. ϛ' πάλιν τὴν αὐτὴν ὥρην περὶ πληθούσην ἀγορὴν, ἱδρὼς πουλὺς κατείχετο ἀπὸ μετώπου ἤρχετο εἰς ὅλον τὸ σῶμα, πουλὺν χρόνον ἐμφρόνως διετίθετο τὰ ἑαυτῆς. πρὸς μέσον δὲ ἡμέρης, σφόδρα ἐλήρει, καὶ τὰ τῆς καταψύξιος ὅμοια. βαρύτερα δὲ τὰ κατὰ τὸν χρῶτα πάντα. πρὸς δὲ τὴν ἑσπέρην ἡ κνήμη αὐτῆς ἐκ τῆς κοιλίης κατεῤῥύη, καὶ τῷ παιδὶ παραλόγως ἐπείλησέ τε καὶ πάλιν ἐσιώπησε, καὶ ἐς ἡσυχίην μετέβαλλε. περὶ δὲ τὸν πρῶτον ὕπνον, δίψα πολλὴ καὶ μανίη, καὶ ἀνεκάθιζε καὶ τοῖσι παρεοῦσιν ἐλοιδορεῖτο· καὶ πάλιν ἀπεσιώπησεν καὶ ἐν ἡσυχίῃ ἦν, καὶ ἐδόκει τὴν ἐπίλοιπον νύκτα κεκωματίσθαι· τοὺς δὲ ὀφθαλμοὺς, οὐ ξυνῆγεν. ἐπὶ δ' ἡμέρην ὑπεκρίνετο τὰ πλεῖστα νεύμασιν ἀτρεμίζουσα τὸ σῶμα. καὶ κατανοοῦσα ἐπιεικῶς· πάλιν δὲ ἱδρὼς τὴν αὐτὴν ὥρην, ὁμοίως οἱ ὀφθαλμοὶ κατηφέες, ἐς τὸ κάτω βλέφαρον, μᾶλλον ἐγκείμενοι, ἀτενίζοντες κεκαρωμένοι. τὰ λευκὰ τῶν ὀφθαλμῶν ὠχρὰ καὶ νεκρώδεα, καὶ τὸ πᾶν χρῶμα ὠχρὸν καὶ μέλαν ἐὸν, τῇ χειρὶ τὰ πολλὰ πρὸς τοῖχον, ἢ πρὸς ἱμάτιον. οἱ ψόφοι δὲ πινώσῃ

HIPPOCRATIS TEXTUS XXIX.

VXori Theodori vehementi febre laboranti sanguinis eruptio hyeme oborta est. Ubi verò febris ad nonum diem cessasset, non longe postea lateris dextri velut ex locis laborantibus gravitas adfuit, ac tum primum & sequentibus diebus gravis dolor ad pectus subortus est, fomentoque ad latus dextrum admoto, quarto die dolores remiserunt. Spiritus crebrior fuit, eique vix respirandi arteria sibilum quen-
C dam edebat, & quum supina jaceret, non nisi cum negocio convertebatur. Sub noctem febris vehementior & brevis desipientia extitit. Quinto die mane mitior esse videbatur; parvus sudor è fronte primum modicè diffusus est, deinde longo tempore per totum corpus & pedes. Postea verò ipsi videbatur febris remisisse. Arteriarum autem ad corpus ad manus contactum frigidius erat. Temporum verò arteriæ etiam magis saliebant; spiritus densior erat, & alias atque alias delirabat, & cuncta deteriora evadebant. Lingua perpetuo admodum alba,
D neque tussis aderat, præterquam tertio & quinto die exiguo tempore; sitis nulla, verùm sputatio aderat. Ad quintum diem hypochondria dextra plurimum intumescebant, postea verò molliora reddebantur, tertio glande subdita stercus paucum dejecit; quinto rursus liquidum parum, venter autem mollis fuit: urinæ acerbæ succum specie referentes, oculi tanquam delassatæ, nonnisi cum negocio suspiciebat, & oculos circunferebat. Quinto sub noctem gravius habebat, & delirium sequebatur. Sexto rursus qua hora plenum esse forum solet, sudor
E multus detinebat, à fronte ortum sumens in totum corpus diffundebatur, multo tempore compositè sua negotia tractabat. Circa meridiem verò plurimum delirabat, & perfrictio similis perseverabat; graviora autem circa corpus exti-terunt omnia. Sub vesperum tibia ipsius ex cubili delapsa est, & puero tum præter rationem interminata est, tum rursus siluit, & ad quietem se convertit. Circa primum somnum autem, sitis mula & insania aderat, residebat, & iis qui
F aderant, convitia ingerebat, rursusque conticuit & quievit, & visa est ad reliquam noctem sopore pressa fuisse, oculos tamen non clausit. Per diem vero plurima nutibus respondebat, corpore quiescens, & moderatè intelligens. Eadem rursus hora sudor, similiter oculi demissi, adinferiorem palpebram magis incumbentes, intenti, rigidi, eorumque alba pallida & mortuis similia, & tota cutis pallida & nigra, manum plerunque ad parietem aut vestem stragulam admovebat, quum haberet sonitus ingentes

edebantur, respuebat, & rursum in nares regerebat, floccosque vellebat, & vultum tegebat. A sudore autem manus velut conglaciata, sudor frigidus consequutus est, corpus ad manus tactum frigidum exiliebat, vociferabatur, insaniebat, spiritus multus, manus tremulæ existebant, sub mortem autem convulsione tentata, 7. die mortua est. Sexto noctu paucam urinam reddidit, glutinosam semini genitali similem, & quæ festuca attrahebatur omnibus diebus in somnia vexata fuit, post 7. diem urina aliquantulum cruenta visa est.

μεγάλοι ἐγίνοντο. ἀπέπτυζε καὶ αὖθις ἐς τὰς ῥῖνας ἀφώρει, καὶ ἐκροκιδολόγει, καὶ ξυνεκάλυπτε τὸ πρόσωπον, μετὰ δὲ τὸν ἱδρῶτα, χεῖρες ὥσπερ κρυστάλλιναι, ὁ ἱδρὼς παρηκολούθει ψυχρὸς, σῶμα πρὸς χεῖρα ψυχρὸν, ἀνεπήδα, ἀνεκεκράγει, ἐμαίνετο, πνεῦμα πουλὺ, τρομώδεες αἱ χεῖρες ἐγίνοντο. ὑπὸ δὲ τὸν θάνατον ἐλθούσῃ, σπασμώδεες. ἑβδομαίη ἐτελεύτησεν, ἐνούρησε τῇ ἕκτῃ ἐν νυκτὶ ὀλίγον. τὸ οὔρημα ὥσπερ κάρφει εἵλκετο, γλίσχρον, γονοειδὲς, ἄγρυπνος ἁπάσας. μετὰ τὴν ζ' οὖρον ὕφαιμον.

Ægrotus XXX.

Antiphanis filius per hyemem lateris dextri dolore, tussi ac febre correptus, multa passus symptomata hic scripta; supra quadragesimum aut prope sexagesimum diem oculo sinistro sine dolore occæcatus est. Et paulò pòst excæcationem mortuus est.

ΑΡΡΩΣΤΟΣ λ'.

Τὸν Ἀντιφαίους χειμῶνος ἄλγημα τοῦ πλευροῦ δεξιοῦ βὴξ, καὶ πυρετὸς ἔλαβε. πολλὰ παθὼν τὰ συμπτώματα ἐκεῖ γεγραμμένα. ὑπὲρ δὲ τεσσαράκοντα, ἢ πολὺ δὴ ὕστερον ἑξήκοντα ὀφθαλμὸς ἀριστερὸς ἐτυφλώθη. καὶ ἐτελεύτησε μετὰ τὴν τύφλωσιν.

HIPPOCRATIS TEXTUS XXX.

Antiphanis filio hyeme lateris dextri dolor, tussis, febris contigit; edebat, deambulabat aliquantulum febricitans. Ruptura laborare videbatur. Nono die remisit febris, non reliquit, tussis multa vexavit, & crassa, spumosaque rejecit, lateris dolor detinebat. Ad 14. diem, rursusque 20. febris cessare videbatur, & rursus corripiebat. Calor autem tenuis erat, & per breve aliquod temporis spatium relinquebat. Tussis verò interdum quidem relinquebat, interdum etiam intendebatur cum multa suffocatione. Tum verò relaxabat, & post hos dies exscreatio multa cum suffocante tussi aderat, & purulenta supra vas ferventia & spumantia educebantur, & in faucibus stridula multa asperitas sibilum quendam edebat, creber anhelitus semper detinebat, & densior spiritus, raroque facile spirabat. Supra 40. autem diem, prope 60. ut opinor, oculus sinister cum tumore, sine dolore occæcatus est, neque verò longè postea etiam dexter, neque multo post hanc excæcationem mortuus est, non ultra septem dies cum stertore & multa desipientia.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

Τῷ Ἀντιφαίους χειμῶνος, ἄλγημα πλευροῦ δεξιοῦ, βὴξ, πυρετὸς, ἤσθιεν, ἐπορεύετο ὑποπυρεταίνων, ἐδόκεε, ῥηγματώδης εἶναι. ἐνάτῃ ἀφίετο ὁ πυρετὸς, οὐκ ἔλιπεν, ἡ βὴξ πολλὴ, καὶ παχεῖα, ἀφρώδεα, τὸ πλευρὸν ἐπόνει. περὶ τὴν ιδ' καὶ πάλιν τὴν κ' ἐδόκεον ἀπολήγειν ὁ πυρετὸς, καὶ πάλιν ὑπελάμβανον. ἦν δὲ λεπτὴ καὶ θερμὴ, βραχύ τι ἐξέλιπεν, ἡ δὲ βὴξ ὅτε μὲν ἐξέλιπε. ὅτε δὲ κατακόρης ἦν μετὰ πνίγματος πολλοῦ· τότε δὲ ἐχάλα, καὶ ἀπόχρεμψις μετὰ ταύτας τὰς ἡμέρας πολλὴ, μετὰ πνιγμώδεος βηχὸς, καὶ πυώδεα ζέοντα ὑπὲρ τοῦ ἀγγείου, καὶ ἀφρέοντα, καὶ ἐν τῇ φάρυγγι τὰ πολλὰ κερχαλέα ὑπεσύριζεν. ἆσθμα ἀεὶ κατεῖχε, καὶ πνεῦμα πυκνότερον. ὀλιγάκις εὔπνοος. ὑπὲρ δὲ τὰς μὲν ἑξήκοντα, ὀφθαλμὸς ἀριστερὸς ἐτυφλώθη μετὰ οἰδήματος ἄνευ ὀδύνης. οὐ πολὺ δὴ ὕστερον καὶ ὁ δεξιὸς, καὶ σφόδρα αἱ κόραι λευκαὶ, καὶ ξηραὶ ἐγένοντο, καὶ ἐτελεύτησε μετὰ τὴν τύφλωσιν οὐ πολὺ, ὑπὲρ ζ' ἡμέρας, μετὰ ῥέγχου καὶ πολλῆς ληρήσιος.

Ægrotus XXXI.

Thessalio, cui similia ex similibus causis acciderunt.

ΑΡΡΩΣΤΟΣ λα'.

Θεσσαλίων δὲ ἐξ ὁμοίων ὅμοια ξυνέβη.

HIPPOCRATIS TEXTUS XXXI.

Eodem quoque tempore Thessalioni similia similibus ex causis contigerunt ferventia, spumantia, purulenta educebantur, tusses aderant, & faucium stridulæ exacerbationes.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Ὅμοια δὲ καὶ ἐξ ὁμοίων τῆς ὥρης τῆς αὐτῆς ξυνέβη Θεσσαλίωνι τὰ ζέοντα, καὶ ἀφρέοντα, καὶ πυώδεα, καὶ βῆχες, καὶ οἱ κερχμοί.

A

ΑΡΡΩΣΤΟΣ λβ'.

Ἡ τοῦ Πολεμάρχου χειμῶνος κυναγχικὴ, οἴδημα ὑπὸ τὸν βρόγχον, πουλὺς πυρετὸς, φλέβα ἐτμήθη, ἀφωνίη ἔσχεν, ἐτελεύτησε.

Ægrotus XXXII.

Polemarchi uxor hyeme angina vexata intumuit gutture, & multa febre prehenſa eſt, cui ſecta vena eſt, vocis defectione mortua eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Ἡ Πολεμάρχου χειμῶνος κυναγχικὴ, οἴδημα ὑπὸ τὸν βρόγχον, πουλὺς πυρετὸς, φλέβα ἐτμήθη, ἔληξεν ὁ πνιγμὸς ἐκ τῆς φάρυγγος, ὁ πυρετὸς παρείπετο, περὶ πέμπτην, γούνατος ἄλγημα καὶ οἴδημα ἀριστεροῦ καὶ κατὰ τὴν καρδίην ἔφη δοκεῖν τι ξυνάγεσθαι ἑωϋτῇ, καὶ ἀνέπνει οἷον ἐκ τοῦ βεβαπτίσθαι ἀναπνέουσι, καὶ ἐκ τοῦ στήθεος ὑπεψόφει, ὡς αἱ ἐγγαστρίμυθοι λεγόμεναι. τοιοῦτόν τι ξυνέβαινε, περὶ τὴν η' ἢ θ' ἐς νύκτα κοιλίη κατεῤῥάγη. ὑγρὰ, πολλὰ, ἄλεα, καὶ κάκοδμα, ἀφωνίη ἔσχεν, ἐτελεύτησεν.

HIPPOCRATIS TEXTUS XXXII.

Polemarchi uxor hyeme angina vexata eſt, guttur intumuit cum multa febre, vena ſecta eſt, faucium ſuffocatio ceſſavit, febris B perſeveravit. Ad quintum diem lævum genu dolor & tumor occupavit, ſibique videri quiddam ad cordis regionem coacervari dixit, & reſpirabat quales in aquam demerſi reſpirare ſolent, ac ſtrepitus quidam ex pectore edebatur, idemque conſtringebat quod mulieribus fatidicis: quæ Pythonæ afflatæ, quod ventre oracula fundunt, Engaſtrimythi, hoc eſt, ventriloquæ dicuntur. Ad octavum aut nonum diem ſub noctem alvus affatim prorupit liquida, multa conferta, & graveolentia demiſit: vocis defectio tenuit, mortua eſt.

C

ΑΡΡΩΣΤΟΣ λγ'.

Ἀρίστιππος ἐς τὴν κοιλίην τοξευθεὶς, ἄλγος κοιλίης δεινὸν, καὶ ἑβδομαίη τῇ ἡμέρᾳ ἐτελεύτησε.

Ægrotus XXXIII.

Ariſtippus ventre ſuperiore ſagitta percuſſus, ventris dolore detentus eſt, ac ſeptimo die morti occubuit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

Ἀρίστιππος ἐς τὴν κοιλίην τοξευθεὶς, ἄνω βίῃ χαλεπῶς, ἄλγος κοιλίης δεινόν. ἐμπιπρέατο ταχέως, κάτω δὲ οὐδὲν διεχώρεεν, ἀσώδης ἦν, ἤμεε χολώδεα κατακορέα. ὁπότε δὴ ἀπεμέσειν, ἐδόκει ῥάων εἶναι. μετ' ὀλίγον δὲ τὰ ἀλγήματα πάλιν δεινὰ, καὶ ἡ κοιλίη ὁμοίως ἐμπιπρέατο ὡς ἐν εἰλεοῖς. θέρμη καὶ δίψαι, ἐν ἑπτὰ ἡμέρῃσιν ἐτελεύτησεν.

HIPPOCRATIS TEXTUS XXXIII.

Ariſtippus ſuperiorem in ventrem magna vi & graviter ſagittâ percuſſus vehementi D ventris dolore detentus eſt, celeriter intendebatur, deorſum nihil demittebat, incontinenti corporis jactatione torquebatur, biliosa abunde colorata vomitione rejiciebat. Ubi verò vomuiſſet, melius habere videbatur; parvo interjecto temporis intervallo rurſus dolores vehementes corripuerunt, venterque velut in inteſtini tenuioris morbis intendebatur, calor & ſitis aderat, ac intra ſeptem dies vitam cum morte commutavit.

E

ΑΡΡΩΣΤΟΣ λδ'.

Νεόπολις πληγεὶς ὁμοίως ἐτελεύτησε.

Ægrotus XXXIV.

Neopolis ex ſimili vulnere interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

Ὁ δὲ Νεόπολις πληγεὶς ὁμοίως, ταῦτα ἔπασχε. κλυσθέντι δὲ δριμείη κοιλίη κατεῤῥάγη. χρῶμα καταχύθη λεπτὸν, ὠχρὸν, μέλαν ἐὸν, ὄμματα αὐχμηρὰ, καρώδεα ἐνδεδινημένα ἀτενίζοντα.

HIPPOCRATIS TEXTUS XXXIV.

Neopolis vero ex ſimili vulnere eodem modo fuit affectus, ex acri autem per clyſterem infuſo alvus affatim prorupit, colore F tenui, pallido, nigricante ſuffuſus eſt, oculi ſqualidi erant, frigidi, intus revoluti, intenſi.

A

ÆGROTUS XXXV.

Iaculo in jecur percussus eodem die mortuus est.

HIPPOCRATIS TEXTUS XXXV.

IAculo in jecur cominus percusso, illico cadaverosus color affusus est, oculi concavi, corporis incontinens jactatio & implaciditas aderat. Mortuus est priusquam concio dimitteretur, eodem quo percussus est die.

ΑΡΡΩΣΤΟΣ λε'.

Ὁ καθ' ἧπαρ εἴσω πληγεὶς ἀκοντίῳ, ἐν τῇ αὐτῇ ἡμέρῃ ἀπέθανε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε'.

ΤΩι δὲ καθ' ἧπαρ εἴσω πληγέντι ἀκοντίῳ, εὐθὺς τὸ χρῶμα κατεχύθη νεκρῶδες. τὰ ὄμματα κοῖλα, ἀλυσμὸς, δυσφορίη, ἀπέθανε πρὶν ἀγορὴν λυθῆναι, ἐν
B
τῇ αὐτῇ ἡμέρῃ ἐπλήγη.

ÆGROTUS XXXVI.

Ictus à Macedone lapide in caput, multa passus symptomata, quinto die mortuus est.

HIPPOCRATIS TEXTUS XXXVI.

QUi à Macedone lapide in caput ictus est, supra tempus sinistrum, non magis quàm cutis scarificatione quadam dissectus, ex vulnere, vertigine affectus est, & cecidit, tertio die vocis defectio, & corporis incontinens jactatio erat, febris non admodum vehemens, temporum pulsatio velut ex tenui calore, nihil audiebat, neque mentis compos erat, neque quiescebat. Mador circa frontem, tum sub naso, ad mentum, vique erumpebat. Quinto die mortuus est.

ΑΡΡΩΣΤΟΣ λϛ'.

Ὁ τὴν κεφαλὴν ὑπὸ Μακεδόνος λίθῳ πληγεὶς, πολλὰ τὰ συμπτώματα παθὼν πεμπταῖος ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ'.

ΟΤὴν κεφαλὴν ἀπὸ Μακεδόνος λίθῳ πληγεὶς, ὑπὲρ κροτάφου ἀριστεροῦ ὅσην ἀμυχὴν διεκόπη.
C
ἐσκοτάθη πληγεὶς, καὶ ἔπεσε, τριταῖος ἄφωνος ἦν, ἀλυσμὸς, πυρετὸς οὐ πάνυ σφοδρὸς, σφυγμὸς ἐν κροτάφοισιν, ὡς λεπτῆς θέρμης, ἤκουεν οὐδὲν, οὐ δὲ ἐφρόνεεν. οὐδ' ἠτρέμιζεν, νότις περὶ μέτωπον καὶ ὑπὸ ῥῖνα, ἄχρις ἀνθερεῶνος, πεμπταῖος ἐτελεύτησεν.

D

ÆGROTUS XXXVII.

Æniates retro in sinistrum latus jaculo percussus post quintum diem mortuus est.

HIPPOCRATIS TEXTUS XXXVII.

ÆNiates quidam in dolo retro in latus sinistrum jaculo percussus ulcus quidem sine dolore habuit. Tertio verò die ventris dolor parvus aderat; nil ex alvo secedebat, verùm sub noctem ex infuso per clysterem stercus prodiit, & dolor intermisit, sedes extra in scrotum prolapsa est. Quarto die in pubem & totum ventrem dolor vehementer irruebat, neque quiescere poterat, biliosa affatim sincera vomitione rejecit. Oculi ex viridi pallescentes; & quales animo deficientibus. Post quintum diem mortuus est, præterquamquod calor quidam tenuis ipsi inerat.

ΑΡΡΩΣΤΟΣ λζ'.

Ὁ Αἰνιήτης ἐς τοὔπισθεν τοῦ πλευροῦ κατὰ τὸ ἀριστερὸν μέρος, ἀκοντίῳ πληγεὶς μετὰ ε' ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ'.

ΟΑἰνιήτης ἐν δόλῳ ἀκοντίῳ πληγεὶς ἐς τοὔπισθεν τοῦ πλευροῦ κατὰ τὸ ἀριστερὸν μέρος, τὸ μὲν ἕλκος, ἄπονον. τριταίῳ δὲ γαστρὸς ὀδύνη σμικρὴ, οὐχ ὑπεχώρει. κλυσθέντι δὲ ἐς νύκτα, κόπρος ἦν, καὶ ὁ πόνος διέλιπεν. ἕδρη ἔξω ἐς τὰς ὄρχιας, τεταρταίῳ καὶ ἐς ἥβην, καὶ
E
κοιλίην ὅλην δεινῶς ὁ πόνος καθηγίζων, ἀτρεμέειν οὐκ ἠδύνατο, χολώδεα ἔμεσεν κατακορέα. χολώδεες ὀφθαλμοὶ, καὶ οἷοι τῶν λιποθυμεόντων. μετὰ ε' ἐτελεύτησεν, πλὴν θέρμη λεπτή τις ἐνῆν αὐτῷ.

ÆGROTUS XXXVIII.

Audellus in dorsum vulneratus admoto vulneri medicamento quod vulneribus cruentis imponitur, convaluit.

HIPPOCRATIS TEXTUS XXXVIII.

AUdello in dorsum vulnere accepto spiritus multus cum strepitu ex vulnere prodibat, & sanguis multus prorupit. Deligato vero medicamento quod cruentis vulneribus imponitur, sanitati est restitutus.

ΑΡΡΩΣΤΟΣ λη'.

Αὔδελλος πληγεὶς ἐς τὸν νότον τοῦ ἐπιτεθέντος φαρμάκου ὃ ἐναίμοις τοῖς ἕλκεσι
F
προστεθεῖναι δεῖ, ὑγιὴς ἐγένετο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

ΑΥδέλλῳ πληγέντι ἐς τὸν νῶτον, πνεῦμα πουλὺ διὰ τοῦ τρώματος μετὰ ψόφου ἐχώρει, καὶ ἡμοῤῥάγει. τῷ ἐναίμῳ δὲ καταδεθεὶς, ὑγιὴς ἐγένετο.

A

ΑΡΡΩΣΤΟΣ λθ'.

Τὸ τῆς Φιλίας παιδίον ψιλώματος γενομένου, ἐνναταῖον ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

Συνέβη δὲ καὶ τῷ δυστυχεστάτῳ Φιλίας παιδίῳ, ψιλώματος ἐν τῷ μετώπῳ γενομένου, ἐνναταίῳ πυρετός. εἶτα ἐπελιδνώθη τὸ ὀστέον, ἐτελεύτησεν.

ÆGROTUS XXXIX.

Philiæ puer ossis denudatione nono die mortuus est.

HIPPOCRATIS TEXTUS XXXIX.

Contigit autem etiam infelicissimo Philiæ puero ex ossis denudatione in fronte; nono die febris, deinde os livorem contraxit, mor- B
tuus est.

ΑΡΡΩΣΤΟΣ μ'.

Ἄῤῥωστοι δύο τοῦ Φανίου, καὶ τοῦ Εὐέργου υἱός, πελιαινομένων τῶν ὀστέων, καὶ τρυπωμένων, ἐκ τοῦ ὀστέου ἀπήρχετο ἰχὼρ ὁ θανάσιμος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

Καὶ τῷ Φανίου καὶ τῷ Εὐέργου, πελιαινομένων δὲ τῶν ὀστέων καὶ πυρεταινόντων, ἀφίστατο τὸ δέρμα ἀπὸ τοῦ ὀστέου, καὶ πύον ἐπενέμετο. τούτοισι τρυπωμένοισιν ἐξ αὐτοῦ τοῦ ὀστέου ἀπήρχετο ἰχὼρ λεπτὸς, ὀῤῥώδης ὕπωχρος, κάκοδμος, θανάσιμος. ξυνέβαινε δὲ τοῖσι τοιούτοισι, καὶ ἐμέτους ἐπιγίνεσθαι, καὶ τὰ σπασμώδεα ἐπὶ τελευτῇ, καὶ ἐνίους κλαγγώδεας εἶναι, καὶ ἐνίους ἀκρατέας. καὶ ἢν ἐν τοῖσι δεξιοῖσι τὸ τρῶμα ᾖ τὰ ἀριστερὰ, ἢν δ' ἐν τοῖσιν ἀριστεροῖσι, τὰ δεξιά.

ÆGROTUS XL.

Ægroti duo Phaniæ & Evergi liberi livore occupatis ossibus læsis & terebro perforatis, ex osse sanies lethalis emergebat.

HIPPOCRATIS TEXTUS XL.

C Phaniæ quoque & Evergi liberis livore occupatis ossibus, febreque detentis, cutis ab osse discessit, & pus intus depascebatur. His terebro perforatis, ex ipso osse tenuis sanies, serosa, aliquantulum pallida, graveolens, & lethalis emergebat. His quoque accedebat vomitus, & ad extremum convulsiones quandoque stridulam vocem edebant, interdum etiam impotentes erant. Quod si vulnus dextram partem occuparet, sinistra laborabant; si verò sinistra, dextra.

D

ΑΡΡΩΣΤΟΣ μα'.

Ὁ τοῦ Θεοδώρου ἡλιωθεὶς τῷ πυρετῷ ἐκ ψιλώματος ληφθεὶς κγ' ἡμέρᾳ ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα'.

Τῷ Θεοδώρου ἐνναταίῳ ἡλιωθέντι, πυρετὸς ἐπὶ δεκαταίῳ ἐκ ψιλώματος, οὐδενὸς ἄξιος εἰπεῖν κατὰ τὸ ὀστέον. ἐν δὲ τῷ πυρετῷ, ἐμελαίνθη, ἀπέστη τὸ δέρμα. ἐπιπολὺ κλαγγώδης· δευτέρῃ καὶ εἰκοστῇ ἡ γαστὴρ ἐπήρθη. μάλιστα δὲ κατὰ τὰ ὑποχόνδρια κγ' ἐτελεύτησεν.

ÆGROTUS XLI.

Theodori puer insolatu utens febre ex ossis denudatione correptus die 23. interiit.

HIPPOCRATIS TEXTUS XLI.

Theodori puerum nono die insolatu utentem decimo die febris invasit ex ossis denudatione, nullius pene momenti. In febre autem os est denigratum, cutis discessionem fecit, admodum stridulam vocem edidit. Secun- E
do & vigesimo die venter intumuit, præsertim verò ad præcordia, tertio & vigesimo vitam cum morte commutavit.

ΑΡΡΩΣΤΟΣ μβ'.

Οἷσι τὰ ὀστέα καταγῇ, ἑβδομαίοισιν οἱ πυρετοὶ, ἢ παραχρῆμα ὁ πυρετὸς ἐγένετο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβ'.

F

Οἷσι δ' ἂν ὀστέα καταγῇ, τούτοισιν ἑβδομαίοισιν οἱ πυρετοὶ, ἢν δὲ θερμοτέρη ἡ ὥρη, καὶ θᾶσσον, ἢν δὲ μᾶλλον κλασθῇ, καὶ παραχρῆμα.

ÆGROTUS XLII.

Quibus ossa fracta sunt, septimo, aut celerius, aut illico febris invadit.

HIPPOCRATIS TEXTUS XLII.

Quibus ossa fracta fuerint, eos septimo die febris invadit. Tempore verò calidiore etiam citius. Quod si magis confracta fuerint, etiam illico.

ÆGROTUS XLIII.

Exarmodi puerulus dolorem ad femur sentiens non à parte vulnerata obiit.

HIPPOCRATIS TEXTUS XLIII.

EXarmodi etiam puerulus similiter dolorem ad femur sensit, non è directo vulneris, & stridulam vocem edidit, & cervicis dolor adfuit.

ΑΡΡΩΣΤΟΣ μγʹ.

Ὁ Ἐξαρμόδου παιδίσκος παθὼν τὸ ἄλγημα ἐς μηρὸς, οὐ κατ' ἴξιν τοῦ τρώματος, ἀπέθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγʹ.

ΚΑὶ ὁ Ἐξαρμόδου παιδίσκος, παραπλησίως τὸ ἄλγημα ἐς μηρὸν οὐ κατ' ἴξιν τοῦ τρώματος, καὶ ἐγεγόνει κλαγγώδης, καὶ τραχήλου ὀδύνη. B

ÆGROTUS XLIV.

Posidocreon tertio die convulsione correptus calore non desinente, 18. die mortuus est.

HIPPOCRATIS TEXTUS XLIV.

POsidocreon quoque tertia die convulsione correptus est, calor non relinquebat, decimooctavo mortuus est.

ΑΡΡΩΣΤΟΣ μδʹ.

Ὁ Πυσιδοκρέων τρίτῃ σπασμὸς, θέρμης οὐ λειπούσης, ὀκτωκαιδεκαταῖος ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μηʹ.

ΚΑὶ ὁ Ποσιδοκρέων, τρίτῃ σπασμὸς, θέρμη οὐκ ἔλιπεν, ἐτελεύτησεν ὀκτωκαιδεκαταῖος. C

ÆGROTUS XLV.

Isagoræ filius posteriore capitis parte vulneratus est colliso osse & denigrato, quinto die convaluit.

HIPPOCRATIS TEXTUS XLV.

ISagoræ filius posteriore capitis parte vulneratus colliso osse, & denigrato, quinto die superstes extitit; & os remansit.

ΑΡΡΩΣΤΟΣ μεʹ.

Ὁ τοῦ Ἰσαγόρεω ὄπισθεν ἐπλήγη τῆς κεφαλῆς, φλασθέντος τοῦ ὀστέου, καὶ μελανθέντος, πεμπταῖος περιεγένετο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μεʹ.

ΟΤοῦ Ἰσαγόρεω, ὄπισθεν ἐπλήγη τῆς κεφαλῆς, φλασθέντος τοῦ ὀστέου καὶ μελανθέντος, πεμπταῖος περιεγένετο. D ὀστέον, δὲ οὐκ ἀπέστη.

ÆGROTUS XLVI.

Magnæ navis præfectus, cui anchora manus dextræ indicem & os collisit, unde inflammatio, syderatio, & febris successit; prædictione denunciato periculo, opisthotono correptus sexto die à prædictione mortuus est.

HIPPOCRATIS TEXTUS XLVI.

MAgnæ navis præfecto anchora manus dextræ indicem & os collisit, ex quo inflammatio, syderatio, & febris successit, aliquantulum purgato quinto die calores & dolores modicè remiserunt, ex digito aliquid decidit. Post septimum diem sanies moderatè exibat, deinde se non posse omnia lingua explicare dixit. Prædictione denuntiatum est periculum, si posteriorum partium distensio (opisthotonum dicunt) corriperet; & ad id contulerunt maxillæ cohærentes, deinde ad collum affixæ. Tertio die totius corporis in posteriora convulsione cum sudore tentabatur. Sexto à prædictione die mortuus est.

ΑΡΡΩΣΤΟΣ μϛʹ.

Ὁ ἐκ τοῦ μεγάλου πλοίου δίοπος ᾧ ἡ ἄγκυρα τὸν λιχανὸν δάκτυλον τῆς δεξιῆς χειρὸς, φλεγμασίη ἐπεγένετο, καὶ σφάκελος, καὶ πυρετὸς, τίς πρόρρησις ἦν, ὀπισθοτόνῳ πονούμενος ἑκταῖος ἀπὸ τῆς προρρήσιος ἀπέθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛʹ.

E ΤΩι ἐκ τοῦ μεγάλου πλοίου διόπῳ, ἡ ἄγκυρα τὸν λιχανὸν δάκτυλον, καὶ τὸ ὀστέον συνέφλασε τῆς δεξιῆς χειρὸς, φλεγμασίη ἐπεγένετο, καὶ σφάκελος, καὶ πυρετὸς, ὑπεκαθάρθη πέμπτῃ, μετρίως αἱ θέρμαι ἀνῆκαν καὶ αἱ ὀδύναι, τοῦ δακτύλου τι ἀπέπεσεν. μετὰ δὲ τὴν ζʹ ἐξῄει ἰχὼρ ἐπιεικῶς. μετὰ ταῦτα τῇ γλώσσῃ οὐ πάντα ἔφη δύνασθαι ἑρμηνεύειν, ἡ πρόρρησις, ὀπισθότονος εἰ ἥξει. ξυνέφερόν τε αἱ γνάθοι ξυνερειδόμεναι. ἔπειτα ἐς τράχηλον, τριταῖος ὅλος ἐσπᾶτο ἐς F τοὐπίσω ξὺν ἱδρῶτι. ἑκταῖος ἀπὸ τῆς προρρήσιος ἀπέθανεν.

A

ΑΡΡΩΣΤΟΣ μζ'.

Ο Τηλεφάνης τύμμα κάτωθεν μεγάλου τοῦ δακτύλου ἔλαβεν, καὶ ὀπισθότονος παρὼν, τριταῖος ἀπέθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζ'.

Ὁ Δὲ ἐκ τοῦ Ἁρπάλου ἀπελευθέρης Τηλεφάνης, τύμμα κάτωθεν μεγάλου δακτύλου ἔλαβεν. ἐπεφλέγμηνε, καὶ σφόδρα ἐπώδυνος ἦν, καὶ ἐπεὶ ἀνῆκεν, ᾤχετο εἰς ἀγρὸν, ὀσφὺν ἤλγησεν, ἐλούσατο, αἱ γένυες ξυνήγοντο ἐς νύκτα, καὶ ὀπισθότονος παρῆν. τὸ σίαλον ἀφρῶδες, μόλις ἔξω διὰ τῶν ὀδόντων διῄει, τριταῖος ἀπέθανεν. B

ÆGROTUS XLVII.

Telephanes plaga deorsum in pollice pedis accepta tertio die mortuus est opisthotono.

HIPPOCRATIS TEXTUS XLVII.

TElephanes ex Harpali liberta filius, plagam deorsum in pedis pollice accepit, ex qua inflammatio & vehemens dolor consequutus est. Quo remisso, in agrum profectus ex lumbis doluit, lavit, sub noctem maxillæ cohærebant, & posteriorum partium distensio (opisthotonos dicitur) aderat. Sputum spumans ægrè dentes pertransibat, tertio die mortuus est.

ΑΡΡΩΣΤΟΣ μη'.

Ο τοῦ Δάμωνος Ζήνων περὶ κνήμην ἢ σφυρὸν ἑλκούμενος, ὀπισθοτόνῳ ἀπέθανεν.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

ΖΗνων ὁ τοῦ Δάμωνος, περὶ κνήμην ἢ σφυρὸν, ἕλκος κατὰ νεῦρον ἤδη καθαρὸν, τούτῳ δειχθέντι ὑπὸ φαρμάκου, ξυνέβη ὀπισθοτόνῳ ἀποθανεῖν.

ÆGROTUS XLVIII.

Zeno Damonis filius circa tibiam, aut malleolum, cum excepto ulcere, opisthotono mortuus est.

HIPPOCRATIS TEXTUS XLVIII.

ZEno Damonis filius circa tibiam, aut malleolum juxta nervum jam purum accepto ulcere, & à medicamento eroso, opisthotono mortuus est.

ΑΡΡΩΣΤΟΣ μθ'.

Μείνων ὑπ᾽ ἀρκτοῦρον, καὶ πρότερον ἐκ πυρετοῦ θερινοῦ καὶ διαῤῥοίης ἀσθενὴς, τὰ πολλὰ συμπτώματα ἔπαθε ἃ ἐκεῖ ἐπιγράφονται. D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

ΜΕίνωνι ὑπ᾽ ἀρκτοῦρον καὶ πρότερον, ἐκ πυρετοῦ θερινοῦ καὶ διαῤῥοίης ἀσθενῶς διατεθέντι ἐκ πορείης κοπιάσαντι καὶ πλευροῦ ὀδύνη ἀριστεροῦ, καὶ βὴξ ἔχουσα μὲν ἐκ καταῤῥοῦ καὶ πρότερον, τότε δὲ ἦν κατακορὴς, καὶ ἄγρυπνος, καὶ δυσφόρως φέρων τὸν πυρετὸν εὐθὺς ἀπ᾽ ἀρχῆς καὶ ἀνακαθίζων τριταῖος ἔπτυσεν ὠχρόν. ἀρτηρίη ὑπεσύριζε ῥεγχῶδες περὶ τὴν ε' πνεῦμα ἐπιεικῶς πυκνόν. πόδες, αἱ κνῆμαι, ἄκρεα τὰ πλεῖστα ψυχρὰ, καὶ ἔξω τοῦ ἱματίου. ὑποχωρήσις ἀπ᾽ ἀρχῆς ἐπεγίνετο χολώδης, οὔτε λίην ὀλίγη, οὔτε πολλή. ζ', καὶ η', καὶ θ' ῥᾷον ἐδόκει φέρειν, καί τινες ὕπνοι ἐγίνοντο, καὶ ἀποχρεμπτόμενα ἀπεπτότερα, δεκάτη καὶ μέχρι ιγ' σφόδρα λευκὰ καὶ καθαρὰ, καὶ ὑποχόνδριον λαπαρώτερον ἐγένετο. τὸ δὲ ἀριστερὸν ξυντεταμένον καὶ εὐπνούστερον. πρὸς δὲ βάλανον ὑπῆλθε μετρίως. ιγ' πάλιν ἔπτυσεν ὠχρόν. ιδ' δὲ μᾶλλον. ιε' πρασοειδές. κοιλίη δὲ κακώδεα, χολώδεα, ὑγρὰ, συχνὰ ὑπῆλθεν. ἀριστερὸν ὑποχόνδριον ἐπήρετο. ις' δὲ καὶ σφόδρα ἐπώδησεν, καὶ τὸ πνεῦμα ἤδη ῥεγχῶδες. ἱδρὼς περὶ μέτωπον καὶ αὐχένα, ὀλιγάκις ἐπὶ τὸ στῆθος, ἄκρεα καὶ μέτωπον ἐπιεικῶς διετέλει ψυχρὰ, πηδηθμὸς δὲ φλεβῶν, περὶ κροτάφοις κατεῖχεν, ὕπνοι κωματώδεες, καὶ ἡμέρην καὶ νύκτα τοῖς τελευταίοις χρόνοις. οὖρον ἀπ᾽ E F

ÆGROTUS XLIX.

Meno sub Arcturi exortum & antea ab æstiva febre & diarrhœa imbecillus, multa passus est symptomata quæ hic describuntur.

HIPPOCRATIS TEXTUS XLIX.

MEnonem sub Arcturi exortum & antea, ex febre æstiva, & alvi profluvio imbecillum, ex via delassatum etiam lateris sinistri dolor & tussis detinuit, quæ quidem etiam prius ex distillatione aderat, tunc verò valde intensa erat. Pervigil erat, & febrem statim ab initio implacide ferebat, residens tertio die expuebat pallidum, arteria sibilum quendam cum stertore edebat. Sub quintum diem fere densa spiratio aderat, pedes, tibiæ, extrema plerunque frigida & extra stragula erant. Ab exordio quod per alvum secedebat, biliosum existebat, neque valde paucum, neque multum. Septimo, octavo & nono die leniùs ferre videbatur, & somni quidam aderant, crudiora erant quæ excreabantur, decimo & ad 13. usque alba admodū & pura. Præcordia molliora existebant, sinistra autem contensa, faciliusque spirabat. Glande subdita, alvus moderatè demisit. 13. rursus pallidum spuit. 14. verò magis: 15. quod coloris erat porracei. Alvus verò maleolentia biliosa liquida crebro demisit, præcordia sinistra attollebantur. 16. etiam valde intumuerant, & spiratio jam cum stertore erat, sudor circa frontem & cervicem, raro pectus occapabat, frons & extrema ferè frigida perseverabant, venæ temporum saliebant, somni cum sopore diem & noctem postremo tempore detinebant; urina ab

initio cruda, cinerem colore referens. Ad 10. & 13. usque tenues & non decolores. A decimo tertio autem quales ab initio.

A ἀρχῆς ὠμὸν σποδοειδές. περὶ ι′ καὶ μέχρι ιγ′ λεπτὰ, καὶ οὐκ ἄχροα. ἀπὸ δὲ τῆς ιγ′ οἷα περ ἀπ' ἀρχῆς.

Ægrotus L.

Cleochus lateris dolore & febre correptus, sudore & urina liberatus est.

ΑΡΡΩΣΤΟΣ ν′.

Ὁ Κλέοχος τῷ τοῦ πλευροῦ ἀλγήματι, καὶ τῷ πυρετῷ νοσεύμενος, ἱδρῶτί τε καὶ οὔρῳ ἐσώθη.

HIPPOCRATIS TEXTUS L.

Cleochum lateris dolor & febris corripuit, remisit febris toto corpore sudor dimanavit, per urinam multa efferebantur, quæ postea returbida facta est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν′.

B ΤΩι Κλεόχῳ πλευροῦ ἄλγημα καὶ πυρετός. ἀνῆκεν ὁ πυρετὸς, ἵδρωσε τὸ σῶμα ὅλον, ἐν τῷ οὔρῳ πολλὰ τὰ ἐκφερόμενα ἦν, ἐθορυβήθη μετὰ ταῦτα.

Ægrotus LI.

Olympiadæ uxor gravida octo mensibus, febre acuta correpta, gravida, abortu quinto die liberata, mortua est.

ΑΡΡΩΣΤΟΣ να′.

Τὴν Ὀλυμπιαδέω ὀκτάμηνον ἔχουσαν πυρετὸς ὀξὺς ἔλαβε, πεμπταίη ῥηϊδίως ἀπαλλαχθεῖσα ἐτελεύτησεν.

HIPPOCRATIS TEXTUS LI.

Ad vergiliarum occasum Olympiadæ uxorem octimestrem fœtum gestantem ex casu febris acuta corripuit, lingua æstuosa, sicca, aspera, pallida, oculi pallidi, corpus cadaverosum, abortu, quinto die sine labore liberata est, & somnus (ut videbatur) cum sopore adfuit sub vesperum quum excitaretur non sentiebat, sternutamentum cienti medicamento cessit, potionem recepit, & succi ptisannæ nonnihil, potionem degluriens aliquantum tussivit, vox soluta non erat, neque ipsa quicquam convalescebat, oculi demissi erant, spiratio sublimis, quæ naribus trahebatur, sudor pedes & crura, quum morti esset proxima, occupabat, mortua est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να′.

C ΠΛηϊάδων περὶ δύσιν τὴν Ὀλυμπιαδέω, ὀκτάμηνον ἔχουσαν ἐκ πτώματος, πυρετὸς ὀξὺς ἔλαβε. γλῶσσα καυσώδης, ξηρὴ, τραχεῖη, ὠχρὴ, ὀφθαλμοὶ ὠχροὶ, καὶ τὸ σῶμα νεκρῶδες, διέφθειρε πεμπταίη, ῥηϊδίως ἀπήλλαξε, καὶ ὕπνος, ὡς ἐδόκεε, καυματώδης, δείλης διεγειρομένων οὐκ ᾐσθάνετο, πταρμικῷ ὑπήκουσε. πόμα κατεδέξατο καὶ χυλοῦ. ὑπέβησσε καταπίνουσα τὸ πόμα, ἡ φωνὴ οὐκ ἐλύετο, οὐ δὲ αὐτή τι ἀνέφερε, τὰ ὄμματα κατηφέα, πνεῦμα μετέωρον κατὰ ῥῖνα σπώμενον, χρῶμα πονηρὸν,
D ἱδρὼς περὶ τοὺς πόδας καὶ σκέλεα περὶ θάνατον ἐούσῃ, ἐτελεύτησεν.

Ægrotus LII.

Nicolai uxor, cui ex febre ardente ad utranque aurem tubercula suborta sunt, quæ remissa febre 14. die evanuerunt. Morbi reversio laborantem ad 20. diem interemit.

ΑΡΡΩΣΤΟΣ νβ′.

Ἡ Νικολάου, ᾗ ἐκ καύσου παρ' οὓς ἐγένετο βουβῶνες οἳ χαλάντος τοῦ πυρετοῦ περὶ ιδ′ ἀπέστησαν. ὑπέστρεφε δὲ τὸ νόσημα, ἐτελεύτησε περὶ τὰς κ′.

E

HIPPOCRATIS TEXTUS LII.

Nicolai uxori ex febre ardente, ad utranque aurem tubercula suborta sunt, unum paulò post alterum. Quum jam febris remittere videretur, velut tumor laxus 14. die valde citra ullam significationem conquievit: morbi reversio facta est, color cadaverosus erat, lingua aspera, densa admodum, subalbicans, siticulosa. Alvi egestio copiosa, liquida, omni tempore maleolens. Ante obitum corpus egestionis copia consumptum est. Ad 20. diem mortua est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νβ′.

ΤΗι Νικολάου γυναικὶ, ἐκ καύσου τὰ παρ' οὓς ἐγένετο ἐπ' ἀμφότερα. ὀλίγον ὕστερον δὲ ἕτερον ἤδη δοκέοντος χαλᾷν τοῦ πυρετοῦ ὡς οἴδημα περὶ ιδ′ μεγάλα ἀσήμως κατέστη, ὑπέστρεφε, χρῶμα νεκρῶδες, γλῶσσα τρηχεῖη, δασεῖη σφόδρα, ὑπόλευκος, διψώδης, ὑποχώρησις κάτω, πολλὴ, ὑγρὴ, κακώδης παρὰ πάντα τὸν χρόνον·
F πρὸς τῆς τελευτῆς, ἐφθάρη τὸ σῶμα τῷ πλήθει, ἐτελεύτησε περὶ τὰς κ′.

A

ΑΡΡΩΣΤΟΣ νγ'.

Ἀνδρέας, ὃν φρίκη, πυρετὸς, ἔμετος ἔλαβε. πυρετὸς ἐξ ἀρχῆς ἡμιτριταῖος ἐφαίνετο, τριταῖος δὲ ὢν ἐών.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νγ'.

ἈΝδρέας πρὸ πληϊάδος, φρίκη, πυρετὸς, ἔμετος, ἀπ' ἀρχῆς ἡμιτριταῖος ἐφαίνετο. τριταῖος δὲ ὢν ἐὼν, πάλιν ἀγοράζων, ἔφριξε, πυρετὸς ὀξὺς, ἔμετος χολῆς ἀκρήτου, παράληρησις ἐς νύκτα, ῥάων πάλιν. πέμπτῃ χαλεπῶς· ἕκτῃ ἀπὸ λινοζώστιος εὖ ὑπῆλθε. ζ' χαλεπώτερον, καὶ τὰς ἐφεξῆς συνεχέστερος ἤδη καὶ ἀνίδρωτος ἀπ' ἀρχῆς καὶ διψώδης, μάλιστα δὲ στόμα ὑπεξηραίνετο, καὶ πόμα οὐδὲν ἡδέως προσεδέχετο, ἀηδίης πολλῆς ἐούσης περὶ τὸ στόμα, γλῶσσα ξηρὴ, ἄκροπις, τρηχύτης ἐπῆνθει ὠχρόλευκος, ἄγρυπνος ἀσώδης, ἐκλελυμένος, κεκλασμένος, γλῶσσα ὑπὸ ξηρότητος ἐνίοτε ὑπόψελλος, ἕως διαβρέξειε, χυλὸν μάλιστα προσεδέχετο. ἐνναταίῳ ἢ δεκαταίῳ παρ' οὖς ἀριστερὸν καὶ περὶ τὸ ἕτερον ἐπάρματα μικρὰ ἀσήμως ἐφάνη. οὖρα διὰ παντὸς οὐκ ἄχροα, ἄνευ δὲ ὑποστάσιος. τεσσαρεσκαιδεκαταίῳ ἱδρώτιον περὶ τὰ ἄνω οὐ πολὺ μετριώτερον. ἡ θέρμη περὶ τὰς ιζ'. ἐμωλιώθη. κοιλίη μετὰ τὰς ι' ξηρὴ, οὐκ ἄνευ βαλανείων ὑποχωρέουσα. περὶ δὲ τὰς κε' ἐξανθήματα δι' ὀλίγου κνησμώδεα θερμὰ, ὥσπερ πυρίκαυστα. ὀδύνη δὲ ἦν περὶ τὰς μασχάλας, καὶ τὰ πλευρὰ, ἐς σκέλεα διῆλθεν ἀσήμως, καὶ ἔληξε. λουθὲν ὠφέλει καὶ χρῖσμα τὸ ἐν τῷ ὄξει. μηνὶ δὲ δευτέρῳ ἴσως ἢ τρίτῳ, ἐς νεφροὺς ἡ ὀδύνη, καὶ πρότερόν ποτε γενομένη, κατέστη.

ÆGROTUS LIII.

Andreas quem horror, febris, vomitus corripuit. Febris ab initio semitertiana apparebat, deinde acuta multis per morbum symptomatibus, affecti renis dolor secundo aut tertio mense constitit.

HIPPOCRATIS TEXTUS LIII.

ANte vergiliarum occasum Andrean, horror, febris, vomitus corripuit; ab initio
B semitertiana apparebat, verùm tertiana erat. Tertio verò die quum rursus in foro negociaretur, horrore correptus est, cum febre acuta, bilem sinceram vomitione rejecit, deliravit, sub noctem meliusculè habuit, quinto rursus graviter habuit: sexto ex mercuriali alvus probè dejecit: septimo graviùs habebat, cæterisque deinceps diebus jam magis continenter febris detinebat, & ab initio sine sudore erat, sitique torquebatur. Præcipuè verò os reficcabatur, nullumque potum non aversabatur, quum os admodum ingratum esset, lingua resiccata,
C inarticulata erat, asperitas existebat cum pallore albicans, pervigilio, anxietate torquebatur, exolutus, fractus, lingua interdum præ siccitate nonnihil balbutiens, donec eam perfunderet, sorbitiunculam ex hordeo præcipuè sumebat. Nono aut decimo ad sinistram aurem atque alteram, parva tubercula sine ulla judicationis significatione apparuerunt. Urinæ per totum morbum non decolores, verùm sine sedimento fuerunt: 14. circa superiores partes sudor non admodum moderatus obortus est. Ad 17. calor conquievit. Post decimum alvus sicca, nihilque nisi
D subditis glandibus dejiciens. Ad 25. pustulæ pruriginosæ, calidæ velut combusta cute sensim exortæ sunt. Dolor autem axillas & latera in crura citra ullam significationem transiit, ac desiit. Balneum proderat, & illitus cum aceto. Mense vero secundo ferè, aut tertio dolor ad renes, qui quandoque tenuerat, constitit.

ΑΡΡΩΣΤΟΣ νδ'.

Ἀριστοκράτης ᾧ περὶ ἡλίου τροπὰς χειμερινὰς κόπος, φρίκη καὶ θέρμη, μετὰ δὲ ἤρξατο τριταίῳ πλευροῦ ὀδύνη, καὶ οἴδημα, ἐκ τῆς μασχάλης ἀρξάμενον παρ' ὅλον τὸ δέξιον πλευρὸν, σκληρὸν, ὃ πολλὰ παθῶν συμπτώματα, ἐτελεύτησεν ἔμφρων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νδ'.

ἈΡιστοκράτει περὶ ἡλίου τροπὰς χειμερινὰς, κόπος καὶ φρίκη, καὶ θέρμη, μετὰ δὲ ἤρξατο τριταίῳ, πλευροῦ ὀδύνη, καὶ ὀσφύος, καὶ οἴδημα ἐκ τῆς μασχάλης ἀρξάμενον παρ' ὅλον τὸ δεξιὸν πλευρὸν σκληρὸν κατὰ ταύτην τῆς πλευρῆς ἐκ μασχάλης ἀρξάμενον ἐρυθρὸν, πελιδνὸν ὡς ὑπὸ πυρὸς φλεχθὲν καὶ ἐκκεκαυμένον, ἀσώδης, δυσφόρως ἔχων. σφόδρα διψώδης, γλῶσσα ὑπόλευκος, οὖρα οὐκ ἐχώρεε, σκέλεα ὑπόψυχρα, ὑποχώρησις ἀπὸ λινοζώστιος ὀλίγη, ὑγρὰ, ὑπόλευκα, ἀφρώδεα, ἐς νύκτα πνεῦμα ἐμετεωρίζετο, ἱδρώτιον περὶ

ÆGROTUS LIV.

E *Aristocrates, quem sub brumam lassitudo, horror & calor invasit, postea tertio die lateris & lumborum dolor cepit, & tumor ab axilla exortus totum latus occupabat, ad costam durus, qui multa passus symptomata, tandem mentis compos mortuus est.*

HIPPOCRATIS TEXTUS LIV.

ARistocratem circa solstitium hiemale las-
F situdo, horror & calor invasit. Postea verò tertio die lateris & lumborum dolor cœpit, & tumor ab axilla initium ducens, totum latus occupabat, ad ipsam costam durus, rubicundus qui ab axilla initium sumens, & lividus tanquam ab igne calefactus, & ustulatus, anxiè & molestè habebat, admodum siticulosus erat, lingua subalbicans. Urinæ non prodibant, crura subfrigida, alvus ex mercuriali succo pauca dejiciebat, liquida, subalbicantia, spumosa. Sub noctem spiratio sublimis extitit, parvus sudor circa

frontem erupit, & partes inferiores frigidæ, anxietate vexabatur, cervix intumescebat, tussis non aderat, mentis compos mortuus est.

ÆGROTUS LV.

Onesianactes, quem ad autumnum lippitudo postea quartana febris detinuit, initio quartanæ cibos aversabatur, postea ad cibum alacriter habebat.

HIPPOCRATIS TEXTUS LV.

ONesianactem ad autumnum lippitudo, postea verò febris quartana detinuit. Per quartanæ exordia cibis alieno admodum erat animo, progressu verò temporis ad cibum alacriter habebat.

ÆGROTUS LVI.

Polychares, cui eadem in quartana de cibis contigerunt.

HIPPOCRATIS TEXTUS LVI.

QUinetiam Polycari in febre quartana eadem circa cibos contigerunt.

ÆGROTUS LVII.

Mnesianax, cui alvi dejectio ante febrem contigit, post febrem tuberculum, durum ad sedem abscessum fecit, ad intestinum ruptum est, & foris fistulosum evadebat, multa passus symptomata præsidiis multis convaluit.

HIPPOCRATIS TEXTVS LVII.

MNesianacti quoque contigit alvi dejectio ante febrem, posteaque multo tempore comitabatur, multis albis, mucosis prodeuntibus Quandoque etiam paucum sanguinem citra laborem & dolorem demittebat, ventris autem strepitus aderant. Post febrem tuberculum durum ad sedem abscessum fecit, diu incoctum perseueravit, ad intestinum ruptum est, & foris fistulosum evadebat. Quum autem in foro deambularet, ei ante oculos fulgores observabantur, neque planè Solem intueri poterat. Ubi verò paulum secessisset, extra se fuit, & cervicis convulsione tentatus est. Postquam autem domum relatus est, ægrè visum recepit, vixque ad sese rediit. Primum verò circunstantes oculos collustrabat, corpus adeo perfrixit, ut vix utriculis & novis subinde adhibitis fomentis recalesceret. Posteaquam autem sui compos fuit & surrexit, prodire noluit, sed timere dicebat. Quod si quis de gravibus morbis verba faceret, præ timore se subducebat. Interdum sibi ad præcordia calorem occurrere dicebat, & oculis obversantes fulgores comitari. Alvi dejectio multa fuit, & similis hyeme contigit: venæ sectio facta est, veratrum exhibitum, lactis vaccini potione usus est, ac primum asinini, quod contulit, & alvi egestiones sedavit. Aquæ potio ab initio fuit, deambulationesque & capitis purgationes.

A μέτωπον κάτω ψυχρά, ἀσώδης, τράχηλος ἐνεφυσᾶτο, βὴξ οὐκ ἐνεῶ, ἐτελεύτησεν ἔμφρων.

ΑΡΡΩΣΤΟΣ νε'.

Ονησιάναξ ὃν περὶ φθινόπωρον ὀφθαλμίη μετὰ δὲ τεταρταῖος πυρετὸς ἔσχηκε, ἀρχομένου τοῦ τεταρταίου, προσιόντος δὲ ἡδέως πρὸς σιτίον.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νε'.

ΟΝησιαίακτι περὶ φθινόπωρον, ὀφθαλμίη, μετὰ δὲ τεταρταῖος πυρετὸς, ἀρχομένου τοῦ τεταρταίου, σφόδρα ἀπόσιτος, προσιόντος δὲ ἡδέως πρὸς σιτίον.

ΑΡΡΩΣΤΟΣ νϛ'.

C Πολυχάρει τῷ ἐν τεταρταίῳ ὅμοια τά.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νϛ'.

ΚΑὶ Πολυχάρει δὲ ἐν τεταρταίῳ ὅμοια τὰ περὶ τὴν σίτησιν.

ΑΡΡΩΣΤΟΣ νζ'.

Μνησιάναξ ᾧ ὑποχώρησις ἔμπροσθεν τοῦ πυρετοῦ, μετὰ τὸν πυρετὸν ἀπέστη παρὰ τὴν ἕδρην φῦμα σκληρὸν, ἔξω D συριγγῶδες ἐγένετο. πολλὰ τὰ συμπτώματα παθὼν φαρμάκοις πολλοῖς ὑγιὴς γεγένηται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νζ'.

ΣΥνέβη δὲ καὶ τῷ Μνησιάνακτι, ὑποχώρησις ἔμπροσθεν τοῦ πυρετοῦ, καὶ μετὰ τὸν πουλὺν χρόνον, παρηκολούθει πολλῶν, λευκῶν μυξοπιῶν· καί ἐστιν ὅτε σμικρὸν αἷμα ἄνευ πόνων καὶ ὀδύνης, ψόφοι δὲ ἐν γαστρὶ, μετὰ τὸν πυρετὸν, ἀπέστη παρὰ τὴν ἕδρην φῦμα σκληρὸν πουλὺν E χρόνον παρηκολούθει ἄπεπτον, ἐῤῥάγη ἐς τὸ ἔντερον, καὶ ἔξω συριγγῶδες ἐγένετο· περιπατοῦντι δὲ αὐτῷ ἐν τῇ ἀγορᾷ, μαρμαρυγαὶ ὡρῶντο πρὸ τῶν ὀφθαλμῶν, καὶ τὸν ἥλιον οὐ πάνυ καθεώρα, ἀποχωρήσας δὲ σμικρὸν ἔξω ἑωυτοῦ ἦν καὶ τράχηλον σπασμώδης. ἐπεὶ δὲ ἐκομίσθη ἐς οἶκον, μόγις ἀνέβλεψε, καὶ αὖθις ἑωυτοῦ μόγις ἐγένετο. τὸ πρῶτον δὲ περιέβλεπε τοὺς παρεστῶτας, καὶ τὸ σῶμα κατεψύχθη, μόγις δὲ ἀνεθερμάνθη ἀσκίοισι καὶ πυρίῃ ὑπὸ τῇ καινῇ, ἐπεὶ δὲ ἑωυτοῦ ἐντὸς ἦν, καὶ ἐξανίστατο, οὐκ ἐξιέναι ἤθελεν, F ἀλλὰ δεδιέναι ἔλεγεν. εἰ δέ τις περὶ νουσημάτων χαλεπῶν διελέγετο, ὑπεξήρχετο φόβῳ. ἔστιν ὅτε προσαπίπτειν αὐτῷ πρὸς τὰ ὑποχόνδρια θερμασίην ἔφη, καὶ τῶν ὀφθαλμῶν μαρμαρυγὰς παρακολουθεῖν, καὶ ἡ ὑποχώρησις πουλλὴ, καὶ πολλάκις, καὶ ὁμοίη χειμῶνος ξυνέβη. φλεβοτομίη γέγονε, ἐλλέβορος, γαλακτοποσίη βοείου, πρότερον τοῦ ὀνείου ξυνήνεγκε, καὶ τὰς ὑποχωρήσιας ἔπαυσεν. ὑδροποσίη ἀπ' ἀρχῆς, περίπατοί τε καὶ κεφαλῆς καθάρσιες.

A

ΑΡΡΩΣΤΟΣ νη'.

Ὁ Ἀνεχέτου, ᾧ πολλὰ τὰ συμπτώματα ἐπισυμβαίνει. ἐκεῖνος ὁ περιέπεσεν ἐν ἐπιληπτικοῖς σπασμοῖς. ἑκταῖος ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη'.

Τῷ Ἀνεχέτου ταυτά. χειμῶνος ἐν βαλανείῳ πρὸς πυρὶ χριόμενος ἐθερμάνθη, καὶ παραχρῆμα περιέπεσεν ἐν ἐπιληπτικοῖς σπασμοῖς. ἐπειδὴ δὲ ἱκανοὶ σπασμοὶ περιέβλεπεν, οὐ παρ' ἑωυτῷ ἦν. ἐπεὶ δὲ ἐντὸς ἑωυτοῦ ἐγένετο πάλιν τῇ ὑστεραίῃ πρωῒ ἐλήφθη σπασμώδης, ἀφρὸς δὲ οὐ πολύ, καὶ τρίτῃ ἄκροπις, καὶ τετάρτῃ ἐπεσήμαινε τῇ γλώττῃ, πεμπταῖος οὐκ οἷός τε ἦν λέγειν, ἀλλ' ἴσχετο ἐν τῇσιν ἀρχῇσι τῶν ὀνομάτων, καὶ τῇ ε' γλῶσσα σφοδρά, καὶ ὁ σπασμὸς ἐξεγένετο, καὶ ἐκτὸς ἑωυτοῦ ἐγένετο. ὅτε δὲ λήξειε ταῦτα, ἡ γλῶσσα μόγις ἀπεκαθίστατο εἰς ταὐτό. ἑκταίῳ ἀποσχομένῳ πάντων, καὶ ῥοφήματος, καὶ ποτοῦ, καὶ οὐκ ἔτι οὐδενὸς ἐλάμβανεν. B C

Ægrotus LVIII.

Anecheti filius, cui multa contigerunt symptomata. Hic in convulsiones comitialibus similes incidit. Sexto die interiit.

HIPPOCRATIS TEXTUS LVIII.

Anecheti filio hæc contigerunt. Hyeme in balneo ad ignem dum inungeretur, calefactus est, ac derepente in comitiales convulsiones incidit. Ubi verò satis multæ convulsiones fuissent, circunspexit, non erat apud se. Vbi autem ad se rediit, postridie manè iterum convulsionibus correptus est, spuma non admodum apparuit. Tertio die linguam inarticulatam habuit, & quarto loqui velle lingua præ se ferebat. Quinto loqui non poterat, verùm in nominum principiis hærebat, eodemque die lingua admodum hæsitabat, & convulsione vexabatur, ac extra se erat. Vbi verò ista remitterent, lingua ægrè ad pristinum statum redibat. Sexto die cum omnibus abstinuisset, & sorbitione & potu; nil etiam amplius sumpsit.

ΑΡΡΩΣΤΟΣ νθ'.

Κλέοχος, ᾧ μέλιτι διαχρωμένῳ οἴδημα ἐς γόνυ δέξιον, μᾶλλον ἐς τὸ κάτω. πολλὰ τὰ συμπτώματα παθὼν περὶ ἑξηκοστὴν ἐλλεβόρου φαρμάκῳ ὑγιὴς γεγένηται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νθ'. D

Κλεόχῳ ἐκ κόπων καὶ γυμνασίων, μέλιτι τὰς ἡμέρας διαχρωμένῳ, οἴδημα ἐς γόνυ δεξιόν. μᾶλλον δὲ ἐς τὸ κάτω περὶ τοὺς τένοντας τοὺς ὑπὸ τῷ γούνατι, περιήει ὑποχωλαίνων, καὶ ἡ γαστροκνημίη οἴδει, καὶ σκληρὴ ἦν, καὶ ἐς τὸν πόδα, καὶ ἐς τὸ σφυρὸν τὸ δεξιόν, καὶ ἐς τὰ οὖλα περὶ ὀδόντας, μεγάλα ὡς ῥᾶγες, πελιδνά, μεμελανωμένα, ἀνώδυνα, ὁπότε μὴ ἐσθίοι, καὶ τὰ σκέλεα εἰ μὴ ἐξαναστάίη, ἦλθε γὰρ ἐς τὸ ἀριστερὸν τὸ οἴδημα. ἧσσον δὲ καὶ ἀπελιαίνετο, ἐν τοῖσιν οἰδήμασι τοῖσι περὶ γούνατα, καὶ πόδας ὥσπερ ὑπόπυα. τέλος δ' οὐκ οἷός τε ἦν ἵστασθαι, οὐδ' ἐπὶ τὰς πτέρνας ἐπιβαίνειν, ἀλλὰ κλινοπετὴς ἦν, θέρμαι δῆλαι. ἐνίοτε, ἀπόσιτος, οὐ πάνυ διψώδης, οὐδ' ἐπὶ θᾶκον ἀνίστατο, ἀσώδης, καί ἐστιν ὅτε καὶ ὀλιγοψυχίη ἴσχετο, ἐλλέβορος προσήχθη κεφαλῆς καθάρσιες. πρὸς τὸ στόμα μανιῶδες ξὺν τοῖσιν ἄλλοισι μισγομένοισι ξυνήνεγκεν. πρὸς τὰ ἐν τῷ στόματι ἕλκεα, ῥόφημα φακῆς ἐπιτήδειον. περὶ δὲ ἑξηκοστὴν κατέστη τὰ οἰδήματα πρὸς τοῦ δευτέρου ἐλλεβόρου. μοῦνον ὀδύνη ἐς τὰ γούνατα κατακειμένῳ ἦλθον. ὑγρὸν δὲ καὶ χολή, ἀπέστη ἐς γούνατα, καὶ πλείους ἡμέρας πρὸ τοῦ ἐλλεβόρου. E F

Ægrotus LIX.

Cleochus, cui post mellis usum tumor ad genu dextrum subortus est, magis verò ad infernam partem, postea multa passus symptomata post sexagesimum diem sumpto veratro convaluit.

HIPPOCRATIS TEXTUS LIX.

Cleocho ex lassitudinibus & exercitationibus per aliquot dies melle utenti tumor ad genu dextrum obortus est; imo potius ad infernam partem circa tendines qui sub genu sunt, tendebat, obambulabat aliquantulum claudicans, suræ tumor cum duritie aderat, & ad pedem ac malleolum dextrum pertingebat. Ad gingivas circa dentes tubercula magna velut uvæ acini livida, nigra, sine dolore erant, ubi cibum non caperet. Quin etiam crura nisi exurgeret, doloris erant expertia: Tumor enim in sinistram partem venit, minus vero etiam livescebat. In tumoribus ad genua & pedes quædam veluti suppurationes inerant. Tandem autem stare non poterat, nec calcibus incedere, sed lecto decumbebat. Calores erant manifesti, interdum cibum aversabatur, non admodum siticulosus, neque ad sedile exurgebat, anxietate vexabatur; interdumque parvo animi deliquio tenebatur. Veratrum ad capitis purgationes exhibitum est. Ad os medicamentum ex thuris polline, cæteris quibusdam admixtis contulit. Ad oris ulcera lenticulæ sorbitio accommodata erat. Circa sexagesimum verò diem tumores ad exhibitum iterum veratrum subsederunt, tantum dolores ad genua decumbentem vexarunt. Humor autem & bilis abscessum ad genua fecit, pluribus etiam ante sumptum veratrum diebus.

A

Ægrotus LX.

Pisistratus quem humeri dolor & gravitas longo tempore detinuit, ad quartum aut quintum diem, multa passus symptomata, convaluit.

HIPPOCRATIS TEXTUS LX.

Pisistrato humeri dolor & gravitas diuturna deambulanti, & aliàs sano. Hyeme verò incidit multus lateris dolor & calor, & tussis, & exscreatio sanguinis spumosi, qui & in faucibus stertebat. Leviter autem ferebat, & mentis compos erat, calorque relaxavit, unaque & exscreatio stridulaque faucium asperitas, & ad quartum aut quintum diem convaluit.

Ægrotus LXI.

Simonis conjux, cui in partu concussæ, pectoris & lateris dolor obortus est, quo post septimum diem mortua est.

HIPPOCRATIS TEXTUS LXI.

Simonis uxori in partu concussæ pectoris & lateris dolor obortus est, tussis, febris tenuis exscreationes purulentæ aderant, tabes, quæ etiam constitit. Febris quoque sex mensibus detinuit, & alvi profluvia semper. Ad extremum febris cessatio ex qua alvus substitit; post septimum diem mortua est.

Ægrotus LXII.

Euxeni uxor ex fotu laborare visa est continua febre vesperi magis · sudores toto corpore oboriebantur, multis affecta symptomatibus. septimo post remissionem die mortua est.

HIPPOCRATIS TEXTUS LXII.

Euxeni quoque uxorem ex fotu, ut videbatur calores nunquam reliquerunt, magis sub vesperam augescebant, sudores toto corpore oboriebantur. Quum febris augeretur, pedum frigus, interdum tibiarum, & genuum exstebat, tussicula sicca pauco tempore detinebat, ubi febris ingravescere inciperet, deinde cessabat, multo autem tempore toto corpore rigor excitatus est, perpetuo sine siti fuit; Medicamento & sero epoto magis læsa est. Per exordia prorsus doloris expers erat, & facile spirabat. Medio autem tempore dextri lateris dolor obortus est, & tussis commota, creber anhelitus erat, & exscreationes parvæ, albæ & subtenues: neque amplius horror ex pedibus, sed cervice & dorso ortum ducebat, & alvus liquidior erat, febris cum sudore copioso relaxavit, & perfrigerata est. Varia autem erat crebra spiratio, septimo post remissionem die, mortua est mentis compos.

ΑΡΡΩΣΤΟΣ μ'.

Ο Πεισίστρατος ὁ τοῦ ὤμου ἄλγημα καὶ βάρος πολυχρόνιον περιπαθὼν, περὶ τετάρτην ἢ πέμπτην ἡμέρην ὑγιής.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

B Πεισιστράτῳ ὤμου ἄλγημα, καὶ βάρος πολὺ χρόνιον περιπατοῦντι, καὶ τ' ἄλλα ὑγιαίνοντι. χειμῶνος δὲ ἐπέπεσε πολλὴ ὀδύνη πλευροῦ, καὶ θέρμη, καὶ βὴξ, ἀπόχρεμψίς τε αἵματος ἀφρώδεος. τοῦτο καὶ ῥεγχῶδες ἐν τῇ φάρυγγι. εὔφορος δὲ καὶ παρ' ἑωυτῷ, καὶ ἡ θέρμη ἐχάλασεν· ἅμα δὲ καὶ ἡ ἀπόχρεμψις, καὶ τὸ κέρχον, καὶ περὶ τετάρτην ἢ πέμπτην ἡμέρην ὑγιής.

ΑΡΡΩΣΤΟΣ μα'.

C Η Σίμου ἡ ἐν τόκῳ σεισθεῖσα ἄλγημα περὶ στῆθος καὶ πλευρὸν, δι' ὃ ἡμέρας μεθ' ἑπτὰ ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα'.

Τῇ Σίμου ἐν τόκῳ σεισθείσῃ, ἄλγημα περὶ στῆθος καὶ πλευρὸν, βὴξ, πυρετοὶ, ἀποχρέμψιες πυώδεες, φθίσις, καὶ κατέστη, καὶ ἓξ μῆνας οἱ πυρετοὶ, καὶ διάῤῥοιαι ἀεί. ἐπὶ τέλει, παῦσις πυρετοῦ, κοιλίη ἔστη· μετὰ τὴν παῦσιν ἡμέρας μεθ' ἑπτὰ ἐτελεύτησεν.

D

ΑΡΡΩΣΤΟΣ μβ'.

Η Εὐξένου ἐκ πυριήσιος πονεῖν ἐδόκει, πρὸς ἑσπέρην μᾶλλον πυρετὸς συνεχὴς ἱδρῶτες ἐγίνοντο εἰς ὅλον τὸ σῶμα πολλοῖς τοῖς συμπτώμασι πονοῦσα ἑπτὰ μετὰ τὴν παῦσιν ἡμέρας ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβ'.

Καὶ ἡ Εὐξένου ἐκ πυριήσιος ἐδόκει, θέρμαι οὐκ ἔλιπον οὐδένα χρόνον, μᾶλλον πρὸς ἑσπέρην ἐπετείνοντο, E ἱδρῶτες ἐγίνοντο ἐς ὅλον τὸ σῶμα. μέλλοντος ἐπιτείνειν, τοῦ πυρετοῦ ψύξις τῶν ποδῶν, ὅτε δὲ καὶ κνημέων καὶ γουνάτων ἐγένοντο, βήχιον ξηρὸν, ὀλίγον χρόνον ἀρχομένου τοῦ πυρετοῦ παροξύνεσθαι, εἶτα ἔληγε· διὰ δὲ χρόνου πολλοῦ καὶ ὅλου τοῦ σώματος ῥῖγος ἐγένετο, ἄδιψος διὰ παντὸς, φάρμακον πιοῦσα καὶ ὀῤῥὸν, ἐβλάβη μᾶλλον. ἀπ' ἀρχῆς παντάπασιν ἀνώδυνος καὶ εὔπνοος. μεσοῦντος δὲ τοῦ χρόνου, πλευροῦ δεξιοῦ ἐγένετο ἄλγημα, καὶ ἡ βὴξ ἐκινήθη, καὶ ἆσθμα, καὶ ἀποχρέμψιες σμικραὶ, λευκαὶ καὶ ὑπόλεπτοι, F καὶ ἡ φρίκη, οὐκ ἔτι ἐκ ποδῶν, ἀλλὰ ἀπὸ τραχήλου καὶ νώτου, καὶ κοιλίη ὑγροτέρη, ἐχάλασεν ὁ πυρετὸς καὶ μετὰ πολλοῦ ἱδρῶτος καὶ κατεψύχθη. ἆσθμα δὲ ἦν ποικίλον, ἐτελεύτησε μετὰ τὴν ἄφεσιν ἑβδόμῃ ἔμφρων.

A

ΑΡΡΩΣΤΟΣ ξγʹ.

Η τοῦ Πολεμάρχου θέρεος ἤρξατο πυρεταίνειν, ἀφῆκε δὲ τριῶν ἢ πλειόνων μηνῶν. πρὸ τριῶν ἡμερῶν τῆς τελευτῆς ῥεγχώδης ἐν φάρυγγι, καὶ ὡς πάλιν ἐπανήρχετο, ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξγʹ.

B Η Πολεμάρχου, θέρεος ἤρξατο πυρεταίνειν, ἀφῆκε δὲ αὐτὴν ἑκταίην, μετὰ δὲ ἐπεφέρετο, ἐς νύκτα θέρμα. πάλιν δὲ διαλιπὼν, ἔλαβεν ὁ πυρετὸς, καὶ οὐκ ἀφῆκε σχεδὸν τριῶν μηνῶν, βὴξ πολλὴ, ἀπόχρεμψις φλέγματος. ἐπειδὰν δὲ τὰς εἴκοσιν ἐγένετο, πνεῦμα αἰεὶ πυκνὸν, ἐν τῷ στήθει ψόφοι, ἱδρώτης τὰ πολλὰ, περὶ ἠῶ πρηΰτερος ὁ πυρετὸς, καὶ φρίκαι ἔστιν ὅτε ἐλάμβανον, ὕπνοι ἐγίνοντο, καὶ κοιλίη ἔστιν ὅτε καθυγραίνετο, καὶ πάλιν ξυνίστατο, ἐγένετο ἐπιεικῶς· μεσοῦντος δὲ χρόνου, ἐς γούνατα καὶ κνήμας ἄλγημα, καὶ ξυγκάμπτειν, καὶ ἐκτείνειν ἄλλου ἐδεῖτο. C διετέλει τὰ τῶν σκελέων μέχρι τελευτῆς, ὑπόγυιον δὲ, καὶ ἐπῳδήσαν οἱ πόδες μέχρι κνημέων, καὶ ἐφαπτομένων ἤλγει, καὶ οἱ ἱδρῶτες ἔληξαν, καὶ τὰ ῥίγεα, ὁ δὲ πυρετὸς αἰεὶ ἐπέτεινε. πρὸ δὲ τῆς τελευτῆς κοιλίη κατεῤῥάγη, ἔμφρων διετέλει. πρὸ τριῶν ἡμερῶν τῆς τελευτῆς, ῥεγχώδης ἐν φάρυγγι, καὶ πάλιν ἐπανήρχετο, ἐτελεύτησεν.

Ægrotus LXIII.

Ptolemarchi uxor febricitare cœpit æstate, per tres aut plures menses dimisit febris. Tribus ante obitum diebus stertor in faucibus audiebatur, quo repetito, mortua est.

HIPPOCRATIS TEXTUS LXIII.

Polemarchi uxor æstate febricitare cœpit; eam autem dimisit sexto die, postea verò morbum trahebat, ad noctem calores tenuerunt. Rursus ubi intermisisset, prehendit febris, neque tribus prope mensibus dimisit, tussis multa aderat, pituitæ exscreatio. Vbi verò ad 20. diem pervenisset spiratio perpetuo crebra erat; in pectore strepitus, plerunque sudoribus diffluebat, mane febris remissior. Interdum etiam horrores prehendebant, somnus aderat, & interdum alvus humecta erat, rursusque siccabatur; ad gustum moderatè habebat. Medio verò interposito tempore, ad genua & tibias dolor erat, etsi flectere aut extendere cuperet, alterius indigebat opera. Crurum dolores perseverarunt ad finem usque, qui jam prope instabat, & pedes intumuerunt ad tibias usque, ad contactum dolebat; sudores & rigores cessarunt, febris autem semper increvit. Ante obitum autem alvus effusa est, mentis compos perseverabat. Tribus ante obitum diebus stertor in faucibus audiebatur, rursusque repetebat, mortua est.

D

ΑΡΡΩΣΤΟΣ ξδʹ.

Τὸν Ἡγησιπόλιος σχεδὸν τέσσαρας μῆνας ἄλγημα περὶ ὀμφαλὸν βρωτικὸν εἶχεν, ὃ ἐπέτεινεν, ἔκοπτε, ἔτιλλετο, τὰ πολλὰ συμπτώματα παθῶν ἐτελεύτησεν ἐμέσας μικρὸν, βραχὺ φλεγματῶδες, ὥστε δόξαι εἶναι γονήν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξδʹ.

Ἡγησιπόλιος παιδίον σχεδὸν τέσσαρας μῆνας ἄλγημα περὶ ὀμφαλὸν βρωτικὸν εἶχεν. περιϊόντος δὲ E ἐπέτεινεν ἡ ὀδύνη, ἔκοπτε τὴν γαστέρα, ἔτιλλετο, θέρμαι ἐπελάμβανον, ἐτήκετο, ὀστέα ἐλείφθη, τὼ πόδε ἐπῴδει. ὄρχιες, γαστρὸς τὰ περὶ ὀμφαλὸν πεφυσημένον ἀραιὸν, οἷσι μέλλουσι κοιλίαι ἐκταράσσεσθαι, ἀπόσιτος ἐγένετο. γάλα μοῦνον προσεδέχετο ὑπόγυιον, καὶ ἡ κοιλίη κατυγράνθη, καὶ ὕφαιμος ἰχὼρ ὑπήει, κάκοδμος, κοιλίη ἐμπίπραστο, ἐτελεύτησεν ἐμέσας μικρὸν, βραχὺ, φλεγματῶδες, ὥστε δόξαι εἶναι γονήν.

Ægrotus LXIV.

Hegesipolis filiolum quatuor prope menses circa umbilicum dolor erodens detinuit, qui intendebatur, cædebat, vellicabat, multis affectus symptomatibus; à vomitu paucæ pituitæ spermati similis mortuus est.

HIPPOCRATIS TEXTUS LXIV.

Hegesipolis filiolum quatuor prope menses circa umbilicum dolor erodens detinuit, processu verò temporis intendebatur dolor, ventrem cædebat, vellicabat, calores prehendebant, contabescebat, ossa restabant, pedes intumescebant. Testes, ventris partes ad umbilicum inflatæ erant, perinde ac quibus alvus conturbari velle videtur, cibum aversabatur: lac recens solum assumebat, & alvus effusa est, aliquantumque cruenta sanies & graveolens, venter intendebatur: ubi exiguum & paucum pituitæ vomitione recessisset, ita ut genitale semen esse videretur, mortuus est.

F

A

Ægrotus LXV.

Plateæ puero ſub exitum capitis ſutura valde excavata eſt, ægrotans manu perpetuo ſinciput contingebat. In femore ſiniſtro pridie quàm moreretur, lividum quid viſum eſt.

ΑΡΡΩΣΤΟΣ ξέ.

Τῷ τοῦ Πλατείης τελευτήσαντι ῥαφὴ τῆς κεφαλῆς σφόδρα ἐκοιλάνθη. ἀῤῥωστῶν ἀεὶ τῇ χειρὶ κατήγε κατὰ τοῦ βρέγματος.

HIPPOCRATIS TEXTUS LXV.

PLateæ puero ſub ipſum ſane exitum capitis ſutura valde excavata eſt. Quum autem ægrotaret, manu perpetuo ſinciput contingebat, præcipue verò ubi mors inſtaret, neque tamen caput dolebat, & in femore ſiniſtro ſub inguine in partibus inferioribus lividum quid fortaſſe pridie quam moreretur viſum eſt, teſtes extenuati ſunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξέ.

B ΤΗς Πλατείης τελευτήσαντι δὴ, ῥαφὴ τῆς κεφαλῆς σφόδρα ἐκοιλάνθη. ἀῤῥωστῶν δ' ἀεὶ τῇ χειρὶ κατήγε κατὰ τοῦ βρέγματος, μάλιστα δ' ὑπαίγων, οὐκ ἤλγει δὲ τὴν κεφαλὴν, καὶ ἐν μηρῷ ἀριστερῷ ὑπὸ βουβῶνα τὰ κάτω, πελιδνὸν ἴσως τῇ προτεραίῃ. ὄρχιες κατισχνάνθησαν.

Ægrotus LXVI.

Hegetoridæ filius ſimiliter interiit.

ΑΡΡΩΣΤΟΣ ξς'.

C Τῷ Ηγητορίδεω παιδίῳ ὅμοια, ἀπέθανε.

HIPPOCRATIS TEXTUS LXVI.

EAdem quoque Hegetoridæ filio contigerunt, eodemque modo mortuus eſt, niſi quod ſub obitum vomitiones plures adfuerunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξς'.

ΟΜοια δὲ καὶ τῷ Ηγητορίδεω παιδίῳ ἀπέθανε, πλὴν ὅτι ἔμετοι προσεγένοντο ὑπὸ τὴν τελευτὴν πλείους.

Ægrotus LXVII.

Hippiæ ſoror per hyemem phrenitide detenta mortua eſt.

ΑΡΡΩΣΤΟΣ ξζ'.

D Η Ιππίου ἀδελφὴ χειμῶνος φρενιτικὴ ἐτελεύτησεν.

HIPPOCRATIS TEXTUS LXVII.

HIppiæ ſoror per hyemem phrenitide detenta hallucinata eſt, manibus laborabat, ſeipſam lancinabat. Quinto & ſexto die ſub noctem vox defecit, ſopore correpta eſt, buccas & labia velut dormientes inflabat, ſeptimo die mortua eſt.

ΙΓΓΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξζ'.

Η Ιππίου ἀδελφὴ χειμῶνος φρενιτικὴ, ἀμφιτρομέουσα, τῇσι χερσὶ πραγματευομένη, ἀμύσσουσα ἑωυτὴν. πέμπτῃ, καὶ ἕκτῃ ἐς νύκτα ἄφωνος, κωματώδης, ἐμφυσῶσα ἐς γνάθους, καὶ χείλεα ὡς οἱ καθεύδοντες, ἐτελεύτησεν ἑβδομαία.

Ægrotus LXVIII.

Aſander quem ex horrore lateris dolor brevi interemit.

ΑΡΡΩΣΤΟΣ ξή.

E Απάμανδρος φρίξας πλευροῦ ὀδύνῃ ἐτελεύτησε.

HIPPOCRATIS TEXTUS LXVIII.

ASandrum ex horrore lateris dolor corripuit qui ad genua & femur pervenit, ubi comediſſet, delirabat, brevique mortuus eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξή.

ΑΣανδρος φρίξας πλευροῦ ὀδύνη, ἄλγος ἐς γούνατα καὶ μηρὸν, φαγὼν παρεφρόνει, ἐτελεύτησε ταχέως.

Ægrotus LXIX.

Cleotimus ſutor, cui circa jecoris regionem tumor tuberculo ſimilis ortus cum altero tuberculo exitum attulit.

ΑΡΡΩΣΤΟΣ ξθ'.

F Κλεότιμος σκυτεὺς, ᾧ καθ' ἧπαρ ἔπαρμα φυματῶδες, καὶ ἕτερον αὐτῷ πρὸς ὑποχόνδριον φῦμα ἐτελεύτησεν.

HIPPOCRATIS TEXTUS LXIX.

CLeotimo ſutori quum alvus multo tempore fuſa & calor exortus fuiſſet, circa jecoris regionem tumor tuberculo ſimilis ena-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξθ'.

ΤΩι Κλεοτίμῳ σκυτεῖ κοιλίης ὑγρανθείσης πουλὺν χρόνον, καὶ θέρμης γινομένης, καθ' ἧπαρ ἔπαρμα φυ-

ματώδεες ἐς ὑπογάστριον κατέβη, καὶ κοιλίη ὑγραίνετο, A
καὶ ἕτερον αὐτῷ καθ' ἧπαρ ἄνω πρὸς ὑποχόνδριον φῦμα ἐτελεύτησεν.

tus ad imum ventrem descendit, & alvus fluida erat, eique alterum tuberculum juxta jecur, supra ad præcordia obortum exitum attulit.

ΑΡΡΩΣΤΟΣ ο'.

Περὶ τῶν τῆς κεφαλῆς ὀδυνῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ο'.

ΟἿσι κεφαλῆς ὀδύνη δεινὴ ξὺν θέρμῃ. οἷσι μὲν ἐς τὸ ἥμισυ τῆς κεφαλῆς καὶ κατὰ ῥῖνας τι ὑγρὸν ἀποχωρέει λεπτὸν, ἢ πέπον, ἢ ἐς ὦτα ἢ ἐς φάρυγγα ἐκ κεφαλῆς ἀσφαλέστερον. οἷσι δὲ ξηρὰ ταῦτα.

ÆGROTUS LXX.

De variis capitis doloribus.

HIPPOCRATIS TEXTUS LXX.

B QUidam capitis dolore gravi cum calore tenebantur. Quibusdam quidem ad dimidiam capitis partem, & juxta nares humor quidam tenuis aut maturus, aut ad aures, aut ad fauces ex capite tutius secedit, quibusdam verò sicca ista adsunt.

ΑΡΡΩΣΤΟΣ οα'.

Περὶ τοῦ σφακέλου δεινοῦ, ἢ μαρασμοῦ τοῦ θανασίμου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οα'.

Ο Δὲ σφάκελος δεινὸς, ἐπικίνδυνα, ἢν δὲ προσῇ ἀσώδης, ἢ χολώδης ἔμετος, ἢ κατάπληξις ὀμμάτων, ἢ ἀφωνία καὶ σπάνιόν τι φθέγγεσθαι, ἢ λῆρός τις, θανάσιμα καὶ σπασμώδεα.

ÆGROTUS LXXI.

De gravi syderatione seu marcore lethali.

C

HIPPOCRATIS TEXTUS LXXI.

AT syderatio gravis periculo non vacat. Quod si vomitio biliosa, aut cum anxietate adfuerit, aut oculorum stupor, vocis defectio, aut rarus sermo, aut deliratio quædam, mortem & convulsionem metuere oportet.

ΑΡΡΩΣΤΟΣ οβ'.

Ἐπὶ τῇ κεφαλῇ καθ' ἥμισυ πονεύσῃ τί γίνεται;

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οβ'.

ΟΠόσοι δ' ἂν ἐκ καταῤῥόου τὸ ἥμισυ τῆς κεφαλῆς πονέοντες, καὶ κατὰ ῥῖνας ὑγροῦ ἀποχωρέοντος ἐπιπυρετιώωσιν ἐπιεικῶς ἐν τῇ πέμπτῃ ἢ ἕκτῃ περιψύχονται.

ÆGROTUS LXXII.

D *De parte dimidia capitis ex catarrho dolente quid acciderit?*

HIPPOCRATIS TEXTUS LXXII.

ATqui ex destillatione dimidia capitis parte dolentes, & humore per nares secedente, insuper moderatè febricitarunt, quinto aut sexto die perfrigerantur.

ΑΡΡΩΣΤΟΣ ογ'.

Ἐχεκράτης ὁ τυφλὸς, ὃν ἡ κεφαλῆς ὀδύνη δεινὴ ὤδυνε, ἐπεὶ κατὰ τὸ οὖς ἐῤῥάγη πύον ὑγιὴς γεγένηται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ογ'.

ἘΧεκράτει τῷ τυφλῷ, κεφαλῆς ὀδύνη δεινὴ μᾶλλον εἰς τοὔπισθεν, καὶ τραχήλου, ὅπου ἡ πρόσφυσις, καὶ ἐς κορυφὴν ἐχώρει, προϊόντος δὲ καὶ ἐς οὖς ἀριστερὸν, καὶ τὸ ἥμισυ τῆς κεφαλῆς ἐπώδυνον, μυξώδεα ἀεὶ ἐχώρει ἐπιεικῶς ξυγκεκαυμένα, καὶ θέρμη παρηκολούθει λεπτὴ, καὶ ἀπόσιτος, τὴν ἡμέρην ῥάων, ἐς νύκτα δὲ ὠδυνᾶτο. ἐπεὶ δὲ F
τὸ κατὰ τὸ οὖς ἐῤῥάγη πῦον, ἔληξε πάντα· ἐῤῥάγη δὲ περὶ χειμῶνα. ἦρά γε ἐν πᾶσι τοῖς ἐμπυήμασι, καὶ τοῖσι περὶ ὀφθαλμὸν ἐς νύκτα οἱ πόνοι.

ÆGROTUS LXXIII.

E *Echecrates cæcus, quem vehemens capitis dolor vexavit, & pure per aurem erupto convaluit.*

HIPPOCRATIS TEXTUS LXXIII.

ECheceratem cæcum capitis vehemens dolor vexabat, posteriore præcipue parte qua cervix capiti connectitur, & ad verticem progrediebatur, progressu verò temporis & ad aurem sinistram, & dimidia pars capitis dolore tentabatur, mucosa semper prodibant, fere ambusta, & calor tenuis comitabatur, ciborum fastidium aderat, per diem melius habebat, sub noctem vero dolore vexabatur. Posteaquam autem pus per aurem erupit, cuncta cessarunt, erupit verò ad hyemem. Animadvertendum sane est, num in omnibus internis collectionibus, & oculorum vitiis, ad noctem dolores contingant.

A

Quando tusses fiunt, & crassa & copiosa screantibus febres succedunt & cessant, ubi cessant calores.

HIPPOCRATIS TEXTUS LXXIV.

TUsses hyeme prodeunt, maxime verò austrino cœli statu, crassa & copiosa screantibus febres succedunt, fereque quinto die cessant. Tusses autem sub quadragesimum, quale quid Hegesipoli contigit. Quibus calores multi interdum cessant, iis non toto corpore, sed vel circa cervicem, aut sub alis, aut ex capite tenui dimanante sudore, desinunt.

ÆGROTUS LXXI.

Charis quam ex tussicula epidimica, febris acuta corripuit, quæ multis affecta symptomatibus ad quadragesimum diem melius habuit.

HIPPOCRATIS TEXTUS LXXV.

CHaritem per hyemem ex tussicula epidemica febris acuta corripuit, vestem stragulam abjiciebat, sopor cum labore aderat. Vrinæ rubræ existebant, ervi loturæ similes, sedimentum statim ab initio copiosum album, postea vero subrubrum. Septimo die glande supposita exigua prodierunt, sopor minime molestus detinuit, mador circa frontem adfuit, somnus ad noctem & calor levior. Octavo sorbitionem ex hordeo sumpsit, sopor ad undecimum perseveravit. Eo verò die præcipuè calor desiit. Vbi autem tussis aderat, exscreatio semper multa perseverabat, facilis primum, glutinosa, alba, crassa, deinde ubi concocta fuit, purulentis similis. Vrinæ ab undecimo die puriores, sedimentum asperum: 13. dolor dextram partem occupavit usque ad lateris inanitatem, ad imum ventrem tendens; urina detinebatur, cui decoctum adianti quod calliphyllum nominatur, potui exhibitum profuit: 15. rursus doluit. 16. sub noctem magis præcordiorum dolor ad ventrem initium ducebat, quem mercurialis jusculum subduxit. Calor intra 20. disparuit, & exscreationes crassæ comitabantur. Ad quadragesimum melius habuit.

Quando in morbis ventres medicamento purgandi sunt per superiora, ac inferiora.

HIPPOCRATIS TEXTUS LXXVI.

VEntres in morbis medicamento purgante subducere convenit, quinto die, ubi concocta fuerint inferiores quidem, ubi materiam consistentem cognoveris (cui rei signum est, si neque anxietate, neque capitis gravitate ægri divexati fuerint) quumque calores mitissimi fuerint, & ubi post accessiones desierint, superiores verò, in ipsis accessionibus. Tunc nanque etiam ipsi in sublime elevantur, ubi ægri anxietatem & superiorum partium gravitatem sentiant. Iccirco verò in principiis pur-

Ὅταν αἱ βῆχες γίνωνται, παχέα τε καὶ πολλὰ χρεμπτομένοισι πυρετοί, ἐκ δὲ θέρμαι παύονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οδʹ.

ΕΙσὶ βῆχες χειμῶνος μάλιστα δὲ νότοισι, παχέα δὲ πολλὰ χρεμπτομένοισι πυρετοὶ ἐπιγίνονται, ἐπιεικῶς δὲ πεμπταῖοι παύονται. αἱ βῆχες δὲ περὶ μʹ ὡς Ἡγησιπόλει.
B οἷσι θέρμαι πολλαί ἐστιν ὅτε παυομένων, οὐχ ὅλον τὸ σῶμα, ἀλλ' ἢ περὶ αὐχένα, καὶ ὑπὸ μασχάλας, ἢ κεφαλὴν ἀφιδρώοντες, παύονται.

ΑΡΡΩΣΤΟΣ οδʹ.

Χάρις, ἣν ἐκ βηχίου ἐπιδημίου προσγενόμενος πυρετὸς ἐπέλαβεν ὀξύς, ἡ πολλοῖς συμπτώμασι πονοῦσα, ῥηϊδίως ἐς μʹ.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οεʹ.

ΧΑρίτη χειμῶνος ἐκ βηχίου ἐπιδημίου προσγενόμενος πυρετὸς ἐπέλαβεν ὀξύς, τὰ ἱμάτια ἀπέλαβεν, κῶμα μετὰ πόνου. οὖρα ἐγένετο ἐρυθρά, οἷον ὀρόβων πλῦμα. ὑπόστασις εὐθὺς ἀπ' ἀρχῆς πολλή, λευκή, ὕστερον δὲ καὶ ὑπέρυθρος. ἑβδόμη ἀπὸ βαλάνου σμικρὰ ὑπῆλθε. τὸ κῶμα κατεῖχεν, ἄλυπον, νοτὶς ἐπὶ μετώπῳ. ὕπνος ἐς νύκτα, καὶ θέρμη ἠπιωτέρη. ὀγδόη, χυλὸν προσεδέξατο, κωματώδης διετέλει μέχρις ἑνδεκάτης.
D ταύτῃ δὲ καὶ ἡ θέρμη μάλιστα ἔληξεν. ἐπὴν δὲ ἦν βήξ, ἀπόχρεμψις διετέλει ἀεὶ πουλλή, ῥηϊδίως, πρῶτον γλίσχρη, λευκή, παχέη. ἐπεὶ δὲ ξυνεπεπαίνετο, ὁμοίη πυώδεσιν. οὖρα ἀπὸ ἑνδεκάτης καθαρώτερα, ὑπόστασις τρηχείη, τεσσαρεσκαιδεκάτη, ἄλγημα ἐπὶ δεξιὰ μέχρι κενεῶνος ἐς ὑπογάστριον. οὖρον εἴχετο. πόμα τὸ ἀπὸ τοῦ καλλιφύλλου ξυνήνεγκε πεντεκαιδεκάτῃ. πάλιν δὲ ἄλγημα ιϛʹ ἐς νύκτα μᾶλλον δὲ ἄλγημα ὑποχονδρίου ἤρχετο ἐς κοιλίην, λινοζώστιος ὕδωρ ὑπήγαγεν. ἡ θέρμη ἐντὸς τῶν κʹ ἐμαλθώθη, καὶ ἀποχρέμψιες παρηκολούθουν πα-
E χεῖαι, ῥηϊδίως ἐς μʹ.

Ὅταν ὑποκαθαίρειν χρὴ τὰς κοιλίας ἐν τοῖσι νοσήμασι διά τε ἄνω, καὶ τὰ κάτω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οϛʹ.

F

ΥΠοκαθαίρειν τὰς κοιλίας ἐν τοῖσι νοσήμασιν ἐπὴν πέπονα ᾖ, πεμπταῖα. τὰς μὲν κάτω, ἐπὴν ἱδρυμένα ἴδῃς, σημεῖον δὲ μὴ ἀσώδεες, μηδὲ καρηβαρικοὶ ἔωσι, καὶ ὅτε αἱ θέρμαι πρηΰταται, καὶ ὅταν λήγωσι μετὰ τοὺς παροξυσμούς. τὰς δὲ ἄνω ἐν τοῖσι παροξυσμοῖς. τότε γὰρ καὶ αὐταὶ μετεωρίζονται. ἐπὴν ἀσώδεες καὶ βαρέες τὰ ἄνω ἔωσιν. διὰ τοῦτο δὲ μὴ ἐν ἀρχῇσι κα-

ταίρειν, ὅτι ἀπὸ τοῦ αὐτομάτου ἐν τοῖσι χρονίοισι τούτοισιν, ἢ χρόνια ἐπικίνδυνα.

A gandum non est, quod in hujusmodi temporibus per sese purgentur, aut cunctatio periculosa.

Ἐπὶ ὠλεκράνου ἐκ τρώματος τρωθέντος πῆχυς ἐπισφακελίσας πυοῦται, πεπαινομένου δὲ γλίσχρος ἰχὼρ καὶ κολλώδης ταχὺ περιίσταται ὡς τισὶ συμβαίνει.

Ex cubiti gibbero ex casu vulnerato cubitus syderatione affectus pus colligit quo maturescente sanies viscosa & glutinosa expressa cito sistitur ut quibusdam accidit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οζ.

B

Ἐπὶ ὠλεκράνου ἐκ τρώματος τρωθέντος, πῆχυς ἐπισφακελίσας πυοῦται, πεπαινομένου δὲ, γλίσχρος ἰχὼρ καὶ κολλώδης ἐκθλίβεται, ταχὺ περιΐσταται, ὡς καὶ Κλεογενίσκῳ, καὶ Δημάρχῳ τῷ Ἀγλαοτέλεος. ὁμοίως δὲ καὶ πολὺ ἐκ τῶν αὐτῶν πῦον οὐδέν. οἷον τῷ Αἰσχύλου παιδὶ ξυνέβη. πυουμένου δὲ τοῖσι πλείστοισι φρίκαι καὶ πυρετοὶ ἐπιγίνονται.

HIPPOCRATIS TEXTUS LXXVII.

In cubiti gibbero ex casu vulnerato cubitus syderatione tentatus pus colligit, quo maturescente, sanies viscosa & glutinosa exprimitur, & citò sistitur, velut etiam Cleogenisto & Demarcho Aglaotelis filio contigit. Eodem verò modo neque ex iisdem pus ullum admodum effluxit, quale quid Aeschyli filio accidit. At ubi suppuratio fit, horror plerisque & febres succedunt.

C

ΑΡΡΩΣΤΟΣ οβ'.

Ἀλκμαῖι ἐκ νεφριτικῶν ἀνακομιζομένῳ, καθ' ἧπαρ ἐστράφη καὶ πρὸς καρδίην ἄλγος δεινόν, καὶ τὸ πνεῦμα ὑπὸ τοῦ πόνου κατείχετο.

ÆGROTUS LXXII.

Alcmani ex renum doloribus ad jecur morbus conversus est, & ad cor ingens dolor ac inde spiritus retentio, & alia enarrata symptomata ad renum dolorem infusum cucumeris sylvestris per clysterem injectum est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οθ'.

Ἀλκμαῖι ἐκ νεφριτικῶν ἀνακομιζομένῳ, κάτω καὶ αἵματος ἀφαιρεθέντος, ἄνω καθ' ἧπαρ ἐστράφη, καὶ πρὸς καρδίην ἄλγος δεινόν, καὶ τὸ πνεῦμα ὑπὸ τοῦ πόνου κατείχετο, καὶ ἡ κοιλίη χαλεπῶς ὑπεχώρεε σμικρὰ προβατώδεα, ἄση οὐκ ἐνῆν. ῥῖγος δ' ἐστὶν ὅτε καὶ πυρετὸς ὑπελάμβανε, καὶ ἱδρὼς, καὶ ἔμετος, καὶ ἐν τῷ ἀλγήματι οὐ ξυνέφερεν ὑποκλύσαι θαλάσσῃ, ξυνήνεγκεν ἀπὸ πιτύρων, ἠσίτησεν ἡμέρας ἑπτά. μελίκρητον ἀκρητέστερον ἔπιεν. μετὰ δὲ χυλὸν φακοῦ, ὅτε δὲ λεπτὸν τὸ ἔτνος, ἐπέπιεν ὕδωρ· μετὰ δὲ σκυλακίου ἑφθοῦ, μάζης, μικρὸν ὅτι μάλιστα πάλαι ξυγκειμένης, προϊόντος δὲ ἢ βόεια τραχήλια, ἢ κωλῆνας ὑὸς ἀκρέων ἑφθῶν, τῇ προτεραίῃ, ὑδροποσίῃ, ἡσυχίῃ, σκέπῃ, πρὸς τὸ νεφριτικὸν ἐκ τοῦ σικύης κλυσμός.

HIPPOCRATIS TEXTUS LXXIX.

Alcmani ex renum doloribus convalescenti, detracto etiam deorsum sanguine, supra ad jecur morbus se convertit, & ad cor dolor ingens aderat, præque dolore spiritus retinebatur, & alvus nonnisi quum molestia exigua demittebat caprinis stercoribus similia, incontinens corporis jactatio nulla erat, ac interdum rigor & febris corripiebat, sudor ac vomitio, neque in dolore aqua marina alvum subluere conferebat, sed furfurum decoctum contulit; diebus septem cibum aversatus, mulsa meraciore in potu usus est; deinde verò lentis jusculo, interdumque tenui freso, aquam superbibit, posteaque catuli cocti, & mazæ quam diutissime confectæ exiguum sumpsit. Procedente verò tempore aut cervices bubulas, aut suillos petiolos coctos. Pridie aquæ potione, quiete, tegumento usus, ad renum dolorem cucumeris sylvestris infusum per clysterem est injectum.

D

E

ΑΡΡΩΣΤΟΣ ογ'.

Ὁ τοῦ Παρμενίσκου ἐστὶ πονεύμενος κωφώσει, οὗ τὰ τοῦ νοσήματος θεραπευτικὰ γεγραμμένα ἐκεῖ.

F

ÆGROTUS LXXIII.

Parmenisci filius surditate vexatus, cujus morbi therapeutica narrantur hìc.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ π'.

Τῷ Παρμενίσκου παιδὶ, κώφωσις ξυνήνεγκε μὴ κλύζειν, διακαθαίρειν δὲ ἐρίῳ. μοῦνον δὲ ἐκχέειν ἔλαιον, ἢ νέτωπον περιπατεῖν, ἐγείρεσθαι πρωῒ, οἶνον πίνειν λευκὸν, λαχάνων ἀπέχεσθαι, ἄρτῳ τρέφεσθαι, ἰχθύσι πετραίοις.

HIPPOCRATIS TEXTUS LXXX.

Parmenisci filio surditate vexato contulit aurem non eluere, verùm lana perpurgare, oleumque solùm, aut netopum infundere, deambulare, mane surgere, vinum album bibere, oleribus abstinere, pane & piscibus saxatilibus in cibo uti.

A

Ægrotus LXXIV.

Aspasii uxor dentis & maxillæ ingenti dolore vexata. Remedia quæ ipsam curarunt, hic scribuntur.

HIPPOCRATIS TEXTUS LXXX.

ASpasii uxori dentis & maxillæ dolorem ingentem castorium & piper ore collutum & contentum sedavit, ipsique urinæ stillicidium remisit. Prodest & calidus farinæ cum rosaceo subacto fotus. Castorium capitis ab utero dolores sedat.

ΑΡΡΩΣΤΟΣ οδ'.

Η τοῦ Ἀσπασίου ὀδόντος δεινῷ ἀλγήματι πονοῦσα. τὰ ταύτης φάρμακα θεραπευτικὰ ἐκγεγράφεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ π'.

B ΤΗι Ἀσπασίου, ὀδόντος δεινὸν ἄλγημα, καὶ γνάθου, καστόριον καὶ πέπερι διακλυζομένη, καὶ κατέχουσα ἐν τῷ στόματι, ἄνηκε, καὶ στραγγουρικὸν αὐτῇ ἄνηκε. προσθερμαίνει δὲ ἄλευρον δὲ ξὺν τῷ ῥοδίνῳ. τὰς ἀφ' ὑστερέων κεφαλαλγίας καστόριον παύει.

Vteri affectus unde? eorum signa, causæ, præsidia.

HIPPOCRATIS TEXTUS LXXX:

C VTeri affectus magna ex parte à flatibus originem ducunt, indicio sunt, ructationes, ventris strepitus, & lumborum tumores, ac renum, coxendicumque dolores. Ad quæ confert vinum quod mustum esse desiit, aut aromatum tertiam partem, farinæ duas in vino albo odorato decoquère, & linteolum imbutum cataplasmatis modo illitum apponere, qua ventris parte uteri dolores affligunt.

Ἀλγήματα τὰ ὑστερικὰ πόθεν; τὰ τούτων σημεῖα, αἰτίαι, θεραπεῖαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πα'.

ΤΑ πλεῖστα τῶν ὑστερικῶν, αἱ φῦσαι σημεῖον, οἱ ἐρυγμοὶ, καὶ οἱ περὶ γαστέρα ψόφοι, καὶ ἐπάρματα ὀσφύος, καὶ περὶ νεφροὺς ἀλγήματα, καὶ ἰσχία, καὶ ἐγκεγλυκισμένος μένει, ἢ ἀρωμάτων τρίτον μέρος, ἀλεύρου δύο ἐν οἴνῳ εὐώδει ἑψῆσαι λευκῷ, ἐπ' ὀθόνιον ἐπιχέοντα, ἐπαλείψαντα τῷ ὀθονίῳ καταπλάσσειν, ᾗ ἐπὶ τῆς γαστρὸς ἀλγήματα ὑστερικά.

Ægrotus LXXV.

Callimedontis filius, cui tuberculo in cervice enato contulit vena secta & alia præsidia hic narrata.

HIPPOCRATIS TEXTUS LXXXII.

CAllimedontis filio ad tuberculum in cervice enatum, durum, magnum, immaturum, & dolorem excitans, contulit vena secta in brachio, aut lini semen torrefactum vino albo & oleo maceratum cataplasmate impositum & deligatum, neque calidum, neque nimis coctum aut fœnugræci farina, aut hordei, aut tritici in mulsa decocta.

ΑΡΡΩΣΤΟΣ οε'.

D Ο Καλλιπέδοντός ἐστι, ᾧ ξυνήνεγκε πρὸς τὸ φῦμα ἐν τῷ τραχήλῳ φλεβοτομία, καὶ αἱ ἄλλαι βοήθειαι ἐκγεγραμμέναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πβ'.

ΤΩι Καλλιμέδοντος, ξυνήνεγκε πρὸς τὸ φῦμα ἐν τῷ τραχήλῳ, σκληρὸν ἐὸν, καὶ μέγα, καὶ ἄπεπτον, καὶ ἐπώδυνον, καὶ ἀπόσχασις βραχίονος, λίνου σπόρῳ καταπλάσσειν πεφρυγμένῳ, οἴνῳ λευκῷ, καὶ ἐλαίῳ δεύοντα ἐπιδεῖν, μὴ θερμὸν, μὴ δὲ ἑφθὸν ἄγαν, ἢ ξὺν μελι-
E κρήτῳ ἑψεῖν, ἄλευρον τήλιος, ἢ κριθῶν, ἢ πυρῶν.

Ægrotus LXXVI.

Melisander magno gingivæ dolore correptus, phlebotomia, & alumine reprimente curatus est.

HIPPOCRATIS TEXTUS LXXXIII.

MElisandro quum magno gingivæ dolore corriperetur, & valde intumesceret, vena in brachio secta est. Alumine Ægyptio per initia adhibito reprimere convenit.

ΑΡΡΩΣΤΟΣ οϛ'.

Ο Μελίσανδρος τοῦ οὔλου ἐπιβάλλοντος, καὶ ὄντος ἐπωδύνου, ἀποσχάσει βραχίονος καὶ στυπτηρίῃ Αἰγυπτίῃ θεραπευθείς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πγ'.

ΜΕλισάνδρῳ τοῦ οὔλου ἐπιβαλόντος, καὶ ὄντος ἐπωδύνου,
F καὶ σφόδρα οἰδέοντος, ἀπόσχασις βραχίονος, στυπτηρίῃ Αἰγυπτίῃ ἐν ἀκμῇ διαστέλλειν.

A

ΑΡΡΩΣΤΟΣ οζ'.

Εὐτυχίδης ᾧ ἐκ χολερικῆς ἔπειτα τῶν σκελέων τετανώδεα ἔληξεν ἅμα τῇ ὑποχωρήσει, πολλὰ τὰ συμπτώματα ἔπαθεν ἐκεῖ γεγραμμένα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πδ'.

Εὐτυχίδῃ ἐκ χολερικῆς, ἔπειτα τῶν σκελέων τετανώδεα ἔληξεν ἅμα τῇ κάτω ὑποχωρήσει, κατακορέα χολὴν πολλὴν ἤμει, ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας, σφόδρα ὑπέρυθρον. ὕστερον δὲ τὸ ἔμετον, ἔπινε, καὶ ἀκρατὴς ἦν καὶ ἀσώδης. οὐδὲν κατέχειν ἠδύνατο οὐδὲ τὸ ἐκ τῶν σιδίων, καὶ οὔρου σχέσις, καὶ τῆς κάτω διόδου. διὰ τοὺς ἐμέτους τρὺξ μαλθακὴ ἦλθεν, καὶ κατέρηξε κάτω.

ÆGROTUS LXXVII.

Eutychides cui cholera morbus in cruribus nervorum distensionem attulit cum alvi dejectione multa subiit symptomata hic scripta.

HIPPOCRATIS TEXTUS LXXXIV.

B Eutychidi cholera morbus in cruribus nervorum distentionem attulit cum inferni alvi dejectione. Bilem abunde saturatam, multam, valde rubentem ad tres dies & noctes vomitione rejecit. Postquam bibit, & totius corporis imbecillitate, & in continenti jactatione vexatus est. Nihil continere poterat, ne mali quidem punici succum. Vrinæ suppressio & ejus qui ad inferiora est pertransitio adfuit. Vomitione fœx mollis prodiit, & deorsum erupit.

ΑΡΡΩΣΤΟΣ οη'.

C

Ὑδρωπιώδης οὗ ἡ θεραπεία ἐνθάδε διδάσκεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πε'.

Ὑδρωπιώδεα ταλαιπωρέειν, ἱδροῦν, ἄρτον ἐσθίειν, πίνειν μὴ πολύ. λούεσθαι κατὰ κεφαλῆς πολλῷ καὶ θερμῷ, ἀλλὰ χλιαρῷ, ὁ οἶνος λευκὸς, ὕπνῳ μὴ πολλῷ χρῆσθαι.

ÆGROTUS LXXVIII.

Hydropicus cujus hic curatio docetur.

HIPPOCRATIS TEXTUS LXXXV.

Hydrope laborantem sese laboribus exercere convenit, sudare, panem edere, potu non multo uti, caput calida multa, imò potius tepida lavare. Vino albo, neque multo somno uti prodest.

ΑΡΡΩΣΤΟΣ οθ'.

D

Καλλιγένης καταρρόῳ πονούμενος, θεραπεία.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πς'.

Καλλιγένει, περὶ πέντε καὶ εἴκοσιν ἔτεα γεγενημένῳ, κατάῤῥος, ἡ βὴξ πολλή, ἀνῆγε δὲ καταρρέον ὑπὸ βίης, οὐδὲν κάτω ὑπέμενεν, ἔτεα τέσσαρα διετέλεσεν. θέρμαι λεπταὶ ἐν ἀρχῇ ἐγένοντο. ἐλλέβορος οὐκ ὠφέλησεν· ἀλλὰ ὀλιγοσιτίη, ἀλλὰ δὲ συμπιαίνεσθαι, ἐσθίειν ἄρτον, οἶνον μέλανα, ὄψα ὁποῖα ἐθέλοι, ἀπέχεσθαι δριμέων, ἁλυκῶν, λιπαρῶν, ὀποῦ σιλφίου, λαχάνων ὠμῶν, περιπατεῖν πουλλὰ, γαλακτοποσίη οὐ ξυνήνεγκεν, ἀλλὰ σήσαμον πίνειν, καθαρὸν, ὠμὸν, ὅσον ὀξύβαφον, σὺν οἴνῳ μαλθακῷ. E

ÆGROTUS LXXIX.

Calligenes catarrho vexatus; curatio.

HIPPOCRATIS TEXTUS LXXXVI.

Calligenem quinque & viginti annos natum destillatio male afflixit, tussis multa quæ defluebat, ægrè educebatur, nihil infra sustinebat, quatuor annis perduravit. Per initia colores tenues aderant, veratrum non profuit, sed modicus cibus & corpus macerare, pane in cibo, & vino nigro in potu uti, obsonia quæ vellet assumere, abstinere acribus, salsis, pinguibus, laseris succo, oleribus crudis, multum deambulare. Lactis potus non contulit, verùm sesamum purum, crudum acetabuli mensura, ex vino levi bibere.

ΑΡΡΩΣΤΟΣ π'.

Τιμοχάρης, ᾧ κατάρροος μάλιστα ἀφροδισιάσας αἷς βοηθείαις τριταῖος ὑγιάνθη.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πζ'.

Τιμοχάρει χειμῶνος, κατάῤῥους μάλιστα ἐς τὰς ῥῖνας ἀφροδισιάσαντι, ξυνηράνθη πάντα, κόπος, θέρμη ἐπεγένετο, κεφαλὴ βαρέη, ἱδρὼς ἀπὸ κεφαλῆς πουλὺς, κατέρρει δὲ καὶ κατὰ τοῦ σώματος ὅλου, ἦν δὲ καὶ ὑγιαίνων, ἱδρώδης, τριταῖος ὑγιάνθη.

ÆGROTUS LXXX.

Timocharitus catarrho in nares destillante, quibus præsidiis tertio die convaluit.

HIPPOCRATIS TEXTUS LXXXVII.

Timochariti per hyemem catarrhus præcipuè in nares defluxit. Vbi venere usus fuisset, cuncta resiccata sunt, lassitudo, calor, & capitis gravitas successit, sudor ex capite multus, qui etiam ex toto capite defluxit. Erat autem etiam per sanitatem sudoribus obnoxius, tertio die convaluit.

A

ÆGROTUS LXXX.

Cleomenis puer per hyemem duobus mensibus asitia laboravit.

HIPPOCRATIS TEXTUS LXXXIX.

CLeomenis puer per hyemem ciborum fastidio sine febre confici cœpit; cibosque ac pituitam vomitione rejiciebat, duobus mensibus inappetentia perseveravit. B

ÆGROTUS LXXXI.

Cocus qui ex phrenitide in gibbum incidit in spina. Curatio.

HIPPOCRATIS TEXTUS XC.

COco ex phrenitide gibbus in spina exortus est, neque ullum medicamentum purgans epotum profuit, sed vinum nigrum, & paucis in cibo, balneis abstinere, ungi & unctum confricari, non admodum fovere, neque multo igne, sed moderato. C

Rheumata matura per nares prodeuntia juvant.

HIPPOCRATIS TEXTUS XCI.

QVos fluxiones in oculos tenues, & diuturnæ vexant, si maturæ per nares prodierint, juvantur. D

Abortus futuri prægnantium signa.

HIPPOCRATIS TEXTUS XCII.

QVibus prægnantibus ex casu, aut convulsione aut ictu, labores contingunt, fere intra triduum apparet num abortum facturæ sint.

E

ÆGROTUS LXXXII.

Tesimi uxor quæ post epotum trigesimo die ultro medicamentum abortum faciens, quarto die sub noctem mortua est.

HIPPOCRATIS TEXTUS XCIII.

TEsimi conjugi post epotum trigesimo die ultro medicamentum obortum faciens, dolor contigit, vomitus multorum biliosorum, F pallidorum, poraceorum, nigrorum. Vbi bibisset tertio die convulsio prehendit, linguam commanducabat. Quarto die eam ingressus sum, lingua erat nigra, magna, oculorum albugo, rubra. Quarto sub noctem mortua est.

ΑΡΡΩΣΤΟΣ π΄.

Ο τοῦ Κλεομένεος παῖς χειμῶνος ἀρξάμενος μῆνας δύο ἀσίτη ἐπόνησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πθ΄.

Ο Τοῦ Κλεομένεος παῖς χειμῶνος ἀρξάμενος ἀπόσιτος ἄνευ πυρετοῦ ἐτύχετο, καὶ ἤμει τὰ σιτία, καὶ φλέγμα μῆνας δὲ δύο, ἡ ἀσιτίη παρηκολούθησεν.

ΑΡΡΩΣΤΟΣ πα΄.

Μαγείρῳ ἐν ἀκάνθῃ τὸ κύφωμα ἐκ φρενίτιδος ἐγένετο. Φαρμακοποσίη.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϙ΄.

ΤΩι μαγείρῳ ἐν ἀκάνθῃ τὸ κύφωμα ἐκ φρενίτιδος ἐγένετο. Φαρμακοποσίη οὐδεμία ξυνήνεγκεν, οἶνος μέλας, καὶ ἀποσιτίη, καὶ λουτρῶν ἀπέχεσθαι. χρίεσθαί τε καὶ ἀνατρίβεσθαι χριόμενον, μὴ σφόδρα θάλπειν, μὴ πολλῷ πυρὶ, ἀλλ' ἠπίῳ.

Ῥεύματα χρόνια κατὰ ῥῖνας χωρήσει ὠφελέονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϙα΄.

ΟΙσι ῥεύματα ἐν ὀφθαλμοῖς λεπτὰ καὶ χρόνια, ἢν πέπονα κατὰ ῥῖνας χωρήσῃ, ὠφελέονται.

Αἱ διαφθοραὶ μέλλουσαι κυημάτων τὰ σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϙβ΄.

ΗΣιν ἐν κυήμασιν ἐκ πτώματος, ἢ σπάσματος, ἢ πληγῆς πόνοι ἐπιεικῶς ἐν τῇσι τρίτῃσι δηλοῖ εἰ διαφθείρει.

ΑΡΡΩΣΤΟΣ πβ΄.

Η τοῦ Τησίμου τριηκοσταῖον ἀπόφθαρμα ποιούσῃ, τεταρταίη ἀπέθανεν ἐς νύκτα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϙγ΄.

ΤΗς Τησίμου τὸ τριηκοσταῖον ἀπόφθαρμα. ποιούσῃ τε αὐτόματον, ξυνέβη πόνος, ἔμετος χολωδέων πολλῶν, ὠχρῶν, πρασοειδέων, μελαίνων ὅτ' ἔπιε τριταίῃ σπασμὸς, τὴν γλῶσσαν κατεμασσᾶτο, πρὸς τεταρταίην εἰσῆλθον, ἡ γλῶσσα μέλαινα μεγάλη, τῶν ὀφθαλμῶν τὰ λευκὰ, ἐρυθρά, ἄγρυπνος τεταρταίη ἀπέθανεν ἐς νύκτα.

A

Ὅτι ὁ Πυθοκλῆς τοῖσι κάμνουσιν ἐδίδου, καὶ ἀνέτρεφε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟδ'.

ΠΥθοκλῆς τοῖσι κάμνουσιν ὕδωρ. γάλα πολλῷ τῷ ὕδατι μιγνὺς ἐδίδου, καὶ ἀνέτρεφε.

Χειμέτλων καταχρᾶν τί ὀφθαλμοῖσι πονηρόν; τί ὀφθαλμιῶσι κακὸν, καὶ ὀδοῦσιν.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟε'.

ΧΕιμέτλων καταχρᾶν, διαιρέειν, τοὺς πόδας ὡς μάλιστα ἐκθερμαίνειν πυρὶ καὶ ὕδατι. ὀφθαλμοῖσι πονηρὸν φακὴ, τοῖσί γε οὕτως ἔχουσιν ἡ γλυκέη ὀπώρη, καὶ λάχανα. τοῖσι περὶ ὀσφὺν, ἢ ἰσχίον, ἢ σκέλεα ἀλγήμασιν ἐκ πόνων, θαλάσσῃ, ὄξει, θερμοῖσι καταιονᾷν, καὶ σπόγγοις βάπτοντα πυριῆν, ἐπικαταδεῖν δὲ εἰρίοισιν. Ορίγανος ὀφθαλμιῶσι κακὸν πινόμενον, καὶ ὀδοῦσιν.

C

ΑΡΡΩΣΤΟΣ πε'.

Κόρη ἀπὸ τοῦ κρημνοῦ πεσοῦσα, τοῖς συμπτώμασι, περιεγένετο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟϛ'.

Η Ἀπὸ τοῦ κρημνοῦ κόρη πεσοῦσα ἄφωνος, ῥιπτασμὸς αὐτὴν εἶχεν, ἤμεσεν ἐς νύκτα, αἷμα συχνὸν ἐῤῥύη, κατὰ δὲ οὖς τὸ ἀριστερὸν πεσούσης, καὶ μελίκρητον χαλεπῶς κατέπινεν, ῥέγχος εἶχε, πνεῦμα πυκνὸν ὥσπερ τῶν ἀποθνησκόντων, φλέβες αἱ περὶ τὸ μέτωπον τεταμέναι, κλίσις ὑπτίη, πόδες χλιαροὶ, πυρετὸς πολὺς, ποτὲ ὀξὺς, μάλιστα κατεπλήσσετο. ἑβδόμη φωνὴν ἔῤῥηξεν, αἱ θέρμαι λεπτότεραι περιεγένετο.

D

ΑΡΡΩΣΤΟΣ πδ'.

Ὁ ισάντις ὃν τὸ τοῦ ὤμου ἄλγημα εἶχεν γινόμενον ἐκ ἀποστάσιος. ἐκείνου ἡ θεραπεία.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟζ'.

ΟΝισαντίδῃ τοῦ ὤμου τὸ ἄλγημα εἶχεν ἐν θέρει γινόμενον ἐκ ἀποστάσιος, ἐν τῇ θαλάσσῃ βρέχειν τὸ σῶμα, καὶ τὸν ὦμον, ὡς πλεῖστον χρόνον, ἐπὶ τρεῖς ἡμέρας οἶνον λευκὸν ὑδαρέα ἅμα πίνειν ἐν τῇ θαλάσσῃ κατακείμενον, καὶ οὐρέειν ἐν τῇ θαλάσσῃ.

F

Quid Pythocles ægrotantibus renutriendis exhibebat.

HIPPOCRATIS TEXTUS XCIV.

PYthocles aquam ægrotantibus & lac multa aqua permixtum exhibebat, & renutriebat.

Permonum medela quid oculis noceat? Quid lippientibus noceat & dentibus?

HIPPOCRATIS TEXTUS XCV.

PErmonum medela est scarificatio, tepefactio, ita ut pedes quammaximè igne & aqua excalefacias. Oculis nocet lens, itidemque poma dulcia & olera. Lumborum aut coxendicis, aut crurum dolores ex laboribus obortos, aqua marina calida, & aceto perfundere oportet, & intincta spongia fovere, & lanis deligare. Origanum lippientibus & dentibus potu exhibitum nocet.

ÆGROTUS LXXXIII.

Puella quæ ex abrupto loco decidit, symptomatibus affecta superstes evasit.

HIPPOCRATIS TEXTUS XCVI.

PVellam quæ ex abrupto loco decidit, vox defecerat, corporis jactatio detinebat, vomitus sub noctem adfuit, sanguis copiosus ex aure sinistra, in quam impegerat, effluxit. Mulsam nonnisi ægrè absorbebat, stertor detinebat, crebra spiratio velut in morientibus aderat, venæ frontis distendebantur, decubitus erat supinus, pedes calidi, febris multa, interdum acuta; animo erat maxime consternato. 7. die vox erupit, leviter incalescebat, superstes evasit.

ÆGROTUS LXXXIV.

Onisantis qui humeri dolore ex abscessu detentus erat. Ejus curatio.

HIPPOCRATIS TEXTUS XCVII

ONisantidi per æstatem humeri dolore ex abscessu detento, corpus & humerum quamdiutissimè mari madefacere contulit, simul per tres dies vinum album, aquosum, in mari decumbentem bibere, in eoque meiere.

A

Ægrotus XCIV.

Fullo phreniticus post ustionem tremulis cruribus fuit, corpore veluti à culicibus compuncto: decimooctavo die morbus remisit; & absque sudore convaluit.

HIPPOCRATIS TEXTUS XCVIII.

B FVllo in Syro phrenitide correptus, post ustionem cruribus tremulis fuit, corpore velut à culicibus compuncto: oculus erat magnus, motus exiguus, vox fracta, clara tamen urina, pura absque sedimento. Animadvertendum est num iccirco quod per ferulaginem alvus subducta est. Decimooctavo die morbus remisit, & absque sudore disparuit. Eodem modo Nicoxeno Olynthi septimo die morbus absque sudore remittere videbatur, sorbitiones assumebat, vinum, uvam insolatam. Ad eum decimo septimo die ingressus sum, C lingua ardens, calor forinsecus non admodum vehemens erat, corporis summa exolutio, vox fracta adeo ut non nisi ægrè exaudiretur, clara tamen tempora collapsa, oculi concavi, molles pedes & tepidi, ad lienem distentio. Infusum per clysterem non admodum admittebat, verùm resiliebat, sub noctem stercus prodiit coactum, paucum & nonnihil sanguinis opinor ex infuso. Vrina pura erat, splendida, decubitus supinus, crura diducta ob exolutionem, nihil prorsus dormiebat, intra vigesimum diem calor conquievit. D Potus erat aqua in qua farina crassior macerata fuerat, sed & simul pomorum aut mali punici & lentis tostæ succus frigidus ac farinæ lotura cocta, frigida, pro tenui sorbitione est exhibita, & superstes evasit.

ΑΡΡΩΣΤΟΣ ϟδʹ.

Γναφεὺς ὁ φρενιτικὸς μετὰ τὴν καῦσιν τρομώδης σκελέων· τὸ χρῶμα, οἷον ὑπὸ κωνώπων ἐγκαταδαμάσειν, ὀκτωκαιδεκαταῖος ἀνῆκε μολυνθεὶς ἄνευ ἱδρῶτος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟηʹ.

Ὁ Γναφεὺς ὁ ἐν Σύρῳ, ὁ φρενιτικὸς, μετὰ δὲ καῦσιν τρομώδης σκελέων, τὸ χρῶμα, οἷον ὑπὸ κωνώπων ἐγκαταδαμάσειν, ὀφθαλμὸς μέγας, βραχείη κίνησις, φωνὴ κεκλασμένη, σαφὴς δὲ, οὖρον καθαρὸν, ὑπόστασιν οὐκ ἔχον, ἦρα διὰ τὴν τῆς θαψίης ὑποχώρησιν· ὀκτωκαιδεκαταῖος ἀνῆκε μολυνθεὶς ἄνευ ἱδρῶτος. Ὁ ἐν Ὀλύνθῳ Νικόξενος ὁμοίως ἑβδομαῖος ἐδόκει χαλάσειν μετὰ ἱδρῶτος. ῥοφήματα προσεφέρετο, οἶνον, ῥᾶγας, τὰς ἐξ ἡλίου, πρὸς ἑπτακαιδεκαταῖον εἰσῆλθον, καυστικὸς, ἡ γλῶσσα θερμὴ, ἔξωθεν οὐ πάνυ ἰσχυρὴ, ἔκλυσις σώματος δεινὴ, φωνὴ κεκλασμένη, ἔργον ἀκοῦσαι, σαφὴς δὲ, κρόταφοι συμπεπτωκότες, ὀφθαλμοὶ κοῖλοι, πόδες μαλθακοὶ καὶ χλιαροὶ, σπληνὸς ξύντασις, τὸ κλύσμα οὐ πάνυ τι ἐδέχετο, ἀλλ' ἀνεπήδα. ἐς νύκτα ἐπῆλθε κόπρος ξυνεστηκυῖα ὀλίγη, καὶ αἱματός τι, οἶμαι ἀπὸ τοῦ κλυσμοῦ. οὖρον καθαρὸν λαμπρὸν, κλίσις ὑπτίη, σκέλεα διαβεβλημένα διὰ τὴν ἔκλυσιν. παντάπασιν ἄγρυπνος, ἐντὸς τῆς εἰκοσῆς ἡ θέρμη ἐμαλάχθη. ποτὸν δὲ ἀπὸ κριμνοῦ, ἀλλ' ὁμοῦ ἀπὸ μήλων ὠμοῦ, καὶ σίδης χυλὸς, καὶ φακοῦ πεφωσμένου ψυχρὸς, καὶ ἀλφίτου πλύμα ἑφθὸν, ψυχρὸν, λεπτὸν ῥόφημα, ἐπεβίωσε.

Ægrotus XCV.

Fullones tuberculis in inguinibus duris, & sine dolore exortis multis affecti symptomatibus mortui sunt.

HIPPOCRATIS TEXTUS XCIX.

FVllonibus tubercula in inguinibus dura & sine dolore exorta sunt, circaque pubem & collum magnitudine similia erant, febris antea per decem dies tenuerat, tussi ex ruptionibus conflictabatur. Tertio mense aut quarto venter contabuit, calores supervenerunt, lingua arida, sitis, & alvi dejectiones molestæ aderant, mortui sunt.

ΑΡΡΩΣΤΟΣ ϟεʹ.

E Γναφεὺς οἷς βουβῶνες ἐφυματοῦντο σκληροὶ καὶ ἀκίνδυνοι πολλοῖς τοῖς συμπτώμασι πιεζόμενοι ἐτελεύτησαν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟθʹ.

ΤΩν κναφέων, οἱ βουβῶνες ἐφυματοῦντο σκληροὶ καὶ ἀνώδυνοι, καὶ περὶ ἥβην καὶ τράχηλον ὅμοια μεγάλα· πυρετὸς ἔμπροσθεν δέκα, βηχώδεες ἀπὸ ῥηγμάτων, τρίτῳ μηνὶ, ἢ τετάρτῳ γαστὴρ ξυνετάκη, θέρμαι ἐπεγένοντο, γλῶσσα ξηρὴ, δίψα, ὑποχώρησις ἑκάστῳ, χαλεπαὶ ἀπέθανον.

F

A

Χολερικὴ ἡ νόσος, αἴτιες αἱ ἡμέραι τὰ χολερικὰ σημαίνουσι. ἀπ' αὐτῶν φυλάττεσθαι χρή. νοσήματα τὰ ὀξέα ἐστι, φαῦλα.

Cholera morbus, ejus causæ, qui dies choleram indicant. Ab his cavendum. Ad acutos deveniunt. Morbi sunt acuti, maligni.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρ'.

ΤΑ χολερικὰ ἐκ κρεηφαγίης, μάλιστα δὲ χοιρείων ὠμοτέρων, καὶ ἐκ ἐρεβίνθων, καὶ μέθης οἰνώδεος παλαιοῦ, καὶ ἡλιώσιος, καὶ σηπίης, καὶ καράβων, τε καὶ ἀστακῶν, καὶ λαχανοφαγίης· μάλιστα δὲ πράσων καὶ κρομμύων, ἔτι δὲ θριδάκων ἑφθῶν, καὶ κράμβης, καὶ λαπάθων ὠμοτέρων, καὶ ἀπὸ πεμμάτων, καὶ μελιπηκτῶν, καὶ ὀπώρης, καὶ σικύου πέπονος, καὶ οἰνογάλακτος, καὶ ὀρόβων, καὶ ἀλφίτων νέων· μᾶλλον ἐν θέρει τὰ χολερικὰ, καὶ οἱ διαλείποντες πυρετοὶ, καὶ οἷσι φρίκαι ἐπιγίνονται, οὗτοί ἐστιν ὅτε κακοήθεες γίνονται, καὶ ἐς νοσήματα ὀξέα καθίστανται, ἀλλὰ φυλάσσεσθαι χρή. μάλιστα δὲ τὰ τοιαῦτα νοσήματα ἡ πέμπτη, καὶ ἡ ἑβδόμη, καὶ ἡ ἐνάτη δηλοῦσι. βέλτιον δὲ μέχρι τῆς τεσσαρεσκαιδέκα φυλάττεσθαι. B

HIPPOCRATIS TEXTUS C.

CHolera morbus ex carnis esu contrahitur præcipuè verò crudioris, ex cicere, vinique odorati veteris ebrietate, insolatis, ex sepiæ esu. Quinetiam & ex lactucis coctis, brassica, lapatho crudiore, & ex bellariis, dulciariis, pomis, cucumere, pepone, & potione quæ ex vino & lacte mistis conficitur, œnogala vocatur, eruo, polenta recenti. Æstate magis cholera, morbus & febres intermittentes vigent, & quibus horrores succedunt. Hæ interdum malignæ fiunt, & ad morbos acutos deveniunt. Sed & ab his cavere oportet. Hujusmodi autem morbos præcipue quintus dies & septimus & nonus indicant. Præstat verò ad decimum quartum usque cautum esse.

C

ΑΡΡΩΣΤΟΣ ϛϛ'.

Φερεκύδη μετ' ἡλίου τροπὰς χειμερινὰς πλευροῦ δεξιοῦ ἄλγημα καὶ πρότερον εἰθισμένον ἔληξεν. ἡ νόσημα, καὶ τούτου τὰ συμπτώματα γράφεται, περὶ τὴν ὀγδόην ἀπέθανε.

ÆGROTUS XCVI.

Pherecyden lateris dextri dolor antea consuetus invasit, deinde febris eum corripuit: morbus & ejus symptomata describuntur. Circa octavum interiit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρα'.

ΦΕρεκύδη μετ' ἡλίου τροπὰς χειμερινὰς τῆς νυκτὸς, πλευροῦ δεξιοῦ ἄλγημα, καὶ πρότερον ἐθισμένον ἔληξεν, ἠρίστησεν, ἐξελθὼν ἔφριξε. πυρετὸς ἐς νύκτα, ἀνώδυνος, βηχίον ῥέον τι ξηρὸν, οὖρα οὐ πολλὰ, ὑπόστασις πολλὴ, ξυσματώδεα μαδαρὰ διεσπασμένα, ἀπ' ἀρχῆς. μετὰ δὲ τέσσαρας, θολερὰ ὑφίστατο, καὶ τὸ οὖρον οὐκ ἄχροον ὑπόστασιν ἔχον, καὶ τὸ σύστημα οὐκ ἐφαίνετο ἐν τῷ χρονίῳ, ψύξιος ἐούσης, τριταίῳ αὐτομάτη κοιλίη ὑπῆλθε. τετάρτη βαλάνου γενομένης, κοπρώδεα καὶ χολώδεα διεχώρησεν, ὑγρὸς, περίρροος, ὕπνος ἐς νύκτα οὐ πολύ, ἡμέρης δέ τι ἐκοιμᾶτο, δίψα οὐ σφοδρὴ, πεμπταίῳ μάλιστα ἐς νύκτα, δέρμα περὶ μέτωπον, καὶ τὸ ἄλλο μαλθακὸν ὑποφέρον ἀεὶ, πυρετὸς ἐκρατεῖτο πρὸς χεῖρα, καὶ ὑπενότιζεν, ἄδηλος σφυγμὸς σφόδρα ἐν μετώπῳ φλεβῶν βάρος ἐν τῇσιν ὑποστροφῇσι, καὶ ἐν τῇσιν ὑποχωρήσεσι πάσῃσιν, ὀλίγον χρόνον διὰ παντὸς ἀνώδυνος ἀπ' ἀρχῆς, ἀσώδης, καὶ κατὰ μικρὸν ἤμει. ἑβδόμη παρὰ βαλάνου ὑπεχώρησε τρὶς, χολώδεα καὶ κοπρώδεα, ὑγρὸν σφόδρα καὶ ὠχρὸν, καὶ ἤδη τι ὑποπαρέκρουσε, καὶ νοτὶς ἐπ' ὀλίγον ἐστὶν, ὅτε περὶ μέτωπον. τὸ ἱμάτιον ἐπὶ τὸ πρόσωπον, τὰ ὄμματα διὰ κενῆς ὡς εἴ τι βλέπων ξυνέστρεφε, καὶ πάλιν κατέμυεν. αὐτοῦ τὸ ἱμάτιον ἀπέβαλεν ἐνναταῖος. ἱδρὼς περὶ ἀρξάμενος μέχρι στήθεος διετέλει, ἕως ἐτελεύτησε, καὶ ὁ πυρετὸς ἐπέτεινε, καὶ ἡ παραλήρησις, περὶ μέτωπον πλεῖστος ἱδρὼς, καὶ οἷον δεινὸν μὲν ἡ ἔκλευκος.

HIPPOCRATIS TEXTUS CI.

PHerecydi post solstitium hybernum noctu lateris dextri dolor, etiam antea consuetus, cessavit, pransus est, egressus horruit, febris sub noctem invasit, doloris expers fuit, tussicula quadam sicca vexabatur. Vrinæ non multæ, sedimentum copiosum. Per initia ramentosa, lævia, divulsa; post quatuor verò dies turbida subsidebant; & urina non decolor, sedimentum habebat, neque in matella collectio apparebat, ubi refrixisset. Tertio die sponte alvus subiit; quarto parata glande, stercoracea & biliosa dejecit, liquidus erat humorum affluxus; somnus ad noctem non admodum, verùm de die aliquantulum dormiebat, sitis non erat vehemens, cutis circa frontem & reliquum corpus mollis semper eminebat, febris ad manus contactum cum aliquo madore superata videbatur, pulsus in fronte admodum obscurus erat. In corporis conversionibus & omnibus alvi dejectionibus venarum gravitas aderat; pauco tempore per totum morbum doloris expers fuit, ab exordio anxius, paulatimque vomebat. Septimo die ex subdita glande ter dejecit, biliosum & stercoraceum, liquidum admodum & pallidum, jamque nonnihil subdelirabat, interdumque circa frontem exiguus mador aderat. Vestem stragulam in faciem conjiciebat, oculos frustra, non secus ac si quid intueretur, convertebat, rursusque claudebat, suaque stragula abjiciebat. Nono die sudor mane obortus ad pectus usque ad mortem perseverebat, & febris ac delirium intendebatur, plurimus circa frontem sudor, ac veluti dirus quidem, coloreque admodum albo;

Cutis vero ſub pilis, variis notis compuncta erat, præcordia demiſit. Octavo die veluti culicum morſus apparuerunt, ante exitum tuſſi rejecit veluti ex muco concretos fungos, pituita alba circunvolutos. Exſcreabat autem etiam antea exigua, alba, lactea.

A τὸ δέρμα δὲ τὸ ὑπὸ τὰς τρίχας ἐσμιγμένον, ὑποχόνδριον δεξιὸν ἐπηρμένον, ὑφῆκεν ἐφ' ἑωυτὸν χολῶδες. ὀγδόῃ ὡς ὑπὸ κωνώπων ἀναδήγματα. πρὸ τῆς τελευτῆς ἀνέβηξεν, οἷον ἐκ μύξης, μύκητα ξυνεστηκότα λευκῷ φλέγματι περιεχόμενα, ἐπεχρέμπτετο δὲ καὶ ἔμπροσθεν σμικρὰ, λευκὰ, γαλακτώδεα.

Ægrotus XCVII.

Quidam poſt cœnam per ſomnum horrore correptus capitis gravitate laboravit, in acutam febrem incidit. Singula morbi ſymptomata deſcribuntur adusque duodecimum diem vixit, ac interiit.

ΑΡΡΩΣΤΟΣ ϞΖ'.

B Τὶς μετὰ τὸ δεῖπνον ἐν τῷ ὕπνῳ ἔφριξε, κεφαλὴν ἐβαρύνετο, πυρετὸς ὀξύς. ἕκαστα τὰ τοῦ νοσήματος συμπτώματα γράφεται. μέχρι δωδεκάτης ἡμέρας βεβίωκε καὶ ἀπέθανεν.

HIPPOCRATIS TEXTUS CII.

Poſt cœnam in ſomno quidam horrore correptus mane ſurrexit, capite gravatus horruit, vomuit, capitis gravitate laborabat; ſub noctem remiſit fere ad meridiem uſque, rurſus inhorruit, noctem moleſte tulit. Poſtero die febris acuta invaſit, capitis vehemens dolor, multæ bilis vomitio quæ maxima ex parte erat porracea, ceſſarunt omnia, ſub noctem ſomnus, mane perfrigerabatur, ſudor parvus & mador plurima ex corporis parte dimanavit, circa lienem exiguo tempore manu indicabat duritiem doloris expertem, quæ confeſtim evanuit, ad noctem pervigilio torquebatur, ſub concionis tempus febris ingraveſcebat, anxietas aderat cum tenebricoſa vertigine, inteſtinorum & capitis dolor, vomitus porraceus, levis, velut pituita glutinoſus, ſub ſolis occaſum cuncta ceſſarunt cum capitis & colli ſudore. Poſt vomitionem ſtercoracea, liquida, bilioſa dejecit, neque nigra, neque abſurda, per noctem & poſterum diem moderatè habuit, ſub noctem iterum pervigilio laboravit. Vomitus ſub crepuſculum cœpit, ſimiliterque poſtero die tenuit, abſque anxietate fuit. Capitis autem dolores poſt ſudorem ceſſarunt, ſub veſperum cuncta relaxarunt. Nono die non amplius vomuit, ſed magis incaluit, reliquis febrire non videbatur, temporum venæ pulſabant, omnino doloris expers fuit, ſitis ſemper aderat. Nono die ubi ad ſellam ſurrexiſſet, vehementer animo deficiebat, & immiſſa glande paucula ſtrigmenta dejecit nigra, & bilioſa: quidquid inde deſtillavit, colorem ſtercoris habuit, vox fracta dum ſe converteret, gravis, oculi cavi, frontis cutis circuntenſa, alioqui facile ſpirabat, compoſitus erat, ad parietem plurimum converſus, in decubitu mollis, incurvus quieſcens; lingua alba, lævis. Ad decimum diem poſteaque urinæ circunquaque rubræ, in medio exiguum quoddam album habentes. Duodecimo ex glande ſubdita ſimilia deſtillabant, bilioſa & ſtrigmentoſa poſt glandem animi defectio, poſtea os reſiccabatur, colluebat ſemper, ac niſi admodum frigida eſſet aqua, calidam eſſe dicebat, quæ prope frigore ad nivem accederet, poſtea ſitis non aderat. Veſtem ſemper à pectore repellebat, tunicam calefieri nolebat, ignis procul, iſque exiguus erat, maxilla utraque rubuit. Poſt hæc linguam inarticula-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρβ'.

Μετὰ τὸ δεῖπνον ἐν τῷ ὕπνῳ ἔφριξε, πρωῒ ἐξανέστη καρηβαρικὸς, ἔφριξεν, ἀπήμεσε, κεφαλὴν C ἐβαρύνετο, ἐς νύκτα ἀνῆκε μέχρι μέσου ἡμέρης ἐπιεικῶς, ἔφριξε πάλιν, νύκτα χαλεπῶς, τὴν ὑστεραίην δὲ ἡμέρην, πυρετὸς ὀξὺς, κεφαλῆς σφάκελος, ἔμετος χολῆς πολλῆς, ἡ πλείστη πρασοειδὴς, ἔληξε πάντα, ὕπνος ἐς νύκτα, πρωῒ περιέψυκτο, ἱδρώτιον, νοτὶς ἐπιπολὺ τοῦ σώματος κατὰ σπλῆνα, τῇ χειρὶ ἐδείκνυεν ὀλίγον χρόνον, ξύστρεμμα ἀνώδυνον, παραχρῆμα ἐμαλδύνθη, ἐς νύκτα ἄγρυπνος, περὶ ἀγορὴν παρωξύνετο, πυρετὸς, ἄση, σκοτόδινος, στρόφος, κεφαλῆς ὀδύνη, ἔμετος πρασοειδὴς, λεῖος, γλίσχρος ὡς φλέγμα, πρὸς δυσμὰς ἔληξε πάντα, D ἱδρὼς κεφαλῆς, τραχήλου, ὑπεχώρησε. μετὰ τὸν ἔμετον κοπρώδεα, ὑγρὰ, χολώδεα, οὔτε μέλανα, οὔτε ἀπεοικότα, νύκτα μετρίως, καὶ τὴν ὑστεραίην ἡμέρην, ἐς νύκτα πάλιν ἄγρυπνος, ἔμετος ὄρθρου ὁμοίως καὶ τὴν ὑστεραίην ἡμέρην ἄνευ ἄσης. τῆς δὲ κεφαλῆς, μετὰ τὸν ἱδρῶτα, ἔληξαν αἱ ὀδύναι, ἐς τὴν ἑσπέρην πάντα ἐχάλασεν. ἐνάτῃ οὐκ ἔτι ἤμεσεν. ἐθερμάνθη μᾶλλον, τὴν ἄλλως οὐκ ἐδόκει πυρεταίνειν, αἱ ἐν κροτάφοισιν φλέβες ἐπήδων, ἀνώδυνος E πάντων, δίψος ἦν αἰεί. ἐναταῖος ἐπὶ θῶκον ἀναστὰς, ἐλειποψύχει σφόδρα, ὑπεχώρησε πρὸς βάλανον ξυσμάτια μέλανα καὶ χολώδεα, χρῶμα κοπρῶδες ὅσον ἀπέσταξεν ἡ φωνὴ κεκλασμένη, ἐν τῇσιν ὑποστροφῇσι βαρὺς, ὀφθαλμοὶ κοῖλοι, δέρμα μετώπου περιτεταμένον, ἄλλως, εὔπνοος, κόσμιος. πρὸς τοῖχον τὰ πλεῖστα ἀπεστραμμένος, ὑγρὸς ἐν τῇσι κλίσεσιν, ἐπικεκαμμένος, ἀτρεμίζων, γλῶσσα λευκὴ, λείη. περὶ δὲ τὰς δέκα καὶ μετὰ, οὖρα ἐρυθρὰ τὰ κυ- F κλώδεα, ἐν μέσῳ σμικρὸν λευκόν. δωδεκαταίῳ πρὸς βάλανον ὅμοια ἀπέσταξε χολώδεα καὶ ξυσματώδεα, μετὰ τοῦ βαλανείου, λειποψυχίη, ἔπειτα τὸ στόμα ἐπεξηραίνετο, διεκλύζετο αἰεὶ, καὶ εἰ μὴ σφόδρα ψυχρὸν ἦν, θερμὸν ἔφασκεν εἶναι τῆς χιόνος ἐπιεικῶς. εἶτα δίψα οὐκ ἐνῆν. τὸ ἱμάτιον αἰεὶ ἀπὸ τῶν στηθέων ἀπεώθει. τὴν χλαμύδα χλιαίνειν οὐκ εἴα. τὸ πῦρ πόρρω καὶ σμικρὸν, γνάθων ἀμφοτέρων ἔρευθος. μετὰ ταῦ-

τὰ ἄκροπις αἰεθερμαίνετο μίαν ἢ δύο ἡμέρας, καὶ ἔληξεν.

A tam habuit, diem unum aut duos recalescebat, defecit.

ΑΡΡΩΣΤΟΣ ϟη'.

Ἀνδροθάλης, ὃν ἀφωνίη, ἄγνοια παραλήρησίς τε, ὧν παυθέντων, περιῆν ἔτεα συχνά, καὶ ὑποστροφαὶ ἐγίνοντο. ἐς νύκτα ἐτελεύτησεν, ἤσι κατέκλινε ἐπὶ τρεῖς ἡμέρας.

ÆGROTUS XCVIII.

Androthales quem invasit vocis defectio, ignorantia, & deliratio, quibus sedatis multis annis superfuit, eodem reciderunt, sub noctem mortuus est tertio die à decubitu.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ργ'. B

Ἀνδροθάλεϊ ἀφωνίη, ἄγνοια, παραλήρησις, παυθέντων δὲ τουτέων περιῆν ἔτεα συχνὰ, καὶ ὑποστροφαὶ ἐγίνοντο. ἡ γλῶσσα διετέλει πάντα τὸν χρόνον ξηρὴ, εἰ μὴ διακλύσαιτο, διαλέγεσθαι οὐκ οἷός τε ἦν, καὶ σφόδρα πικρὴ ἦν τὰ πουλλὰ, ἔστι δ' ὅτε καὶ πρὸς καρδίην ὀδύνη. φλεβοτομίη ἔρυσε ταῦτα, ὑδροποσίη, μελίκρητον, ἐλλέβορον ἔπιε μέλανα, χολῶδες οὐ διῄει, ἀλλ' ὀλίγον. τέλει δὲ χειμῶνος κατακλιθεὶς, ἐξ ἑωυτοῦ ἐγένετο, καὶ τὰ τῆς γλώσσης παθήματα ὅμοια, θέρμη λεπτὴ, γλῶσσα ἄχρως, φωνὴ περιπνευμονικὴ, ἀπὸ τοῦ στήθεος τὸ ἱμάτιον ἀπέῤῥιπτε, καὶ ἐξάγειν ἑωυτὸν ὡς οὐρήσοντα C ἐκέλευεν, οὐδὲν δυνάμενος σάφα εἰπεῖν, οὐδὲ ἐὼν παρ' ἑωυτὸν, ἐξῆγον αὐτὸν, ἐς νύκτα ἐτελεύτησεν, ἤσι κατέκλινε δύο ἢ τρεῖς ἡμέρας.

HIPPOCRATIS TEXTUS CIII.

Androthali vocis defectus, ignorantia, deliratio aderat, quibus sedatis, multis annis superfuit, & in morbum relabebatur. Lingua toto tempore sicca permanebat, ac nisi colluer etur, loqui non poterat, magnaque ex parte admodum amara erat; interdumque cordis dolor affligebat, quæ sanguinis missio eripuit. Aquæ potu & mulsa usus est. Veratrum nigrum ebibit, neque biliosum, nisi modicum prodiit. Demum per hyemem decumbens mente obalienata erat, & lingua iisdem vitiis afficiebatur, calor tenuis erat, lingua decolor, vox qualis peripneumonica, è pectore vestem rejiciebat, seque velut urinam redditurus educi jubebat quum nihil apertè proloqui posset, neque apud se esset, eum eduxerunt, sub noctem mortuus est, duobus aut tribus diebus quibus decubuit.

ΑΡΡΩΣΤΟΣ ϟθ'.

Νικάνωρ, ὃς ὁπότε ἐς ποτὸν ὥρμητο φόβος τῆς αὐλητρίδος ὅτε ἀρχομένης αὐλέειν ἀκούσειεν ἐς νύκτα. ἱστορία ἐκεῖ D ὅλη διαγέγραπται.

ÆGROTUS XCIX.

Nicanor qui tibicinæ metu afficiebatur, itaut noctu quum in convivio tibias inflaret audiret perturbaretur. Historia hic tota descripta est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρδ'.

Ἐγένετο τὸ Νικάνορος πάθος ὁπότε ἐς ποτὸν ὥρμητο, φόβος τῆς αὐλητρίδος ὅτε ἀρχομένης αὐλέειν ἀκούσειεν ἐν τῷ συμποσίῳ, ὑπὸ δειμάτων ὄχλοι μόγις ὑπομένειν, ἔφη, ὅτε νὺξ εἴη, ἡμέρης δὲ ἀκούων, οὐδὲν διετρέπετο, καὶ ταῦτα παρείπετο χρόνον συχνόν.

HIPPOCRATIS TEXTUS CIV.

EA erat Nicanoris affectio, ut quum ad convivium progrederetur, tibicinæ metu afficeretur; adeout quum tibias inflare in convivio audiret, præ tumore turbaretur, neque sustinere posse diceret, si nox esset; de die verò nihil commoveretur, quæ quidem eum multo tempore comitabantur. E

ΑΡΡΩΣΤΟΣ ρ'.

Τιμοκλέης, ᾧ συμβαίνει οὐκ ἂν παρὰ κρημνὸν παρελθεῖν, οὐδὲ ἐπὶ γεφύρας ἀμβλυώσσων, καὶ λειποσωματεῖν.

ÆGROTUS C.

Timocles, cui contigit neque per præruptum locum iter facere, neque pontem, neque profundam scrobem transmittere metuons, ne cader tali tentatus caligine & exoluto ita esse corpore dicebat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρε'. F

Τιμοκλέης δὲ ὁ μετ' ἐκείνου ἀμβλυώσσειν καὶ λειποσωματεῖν ἐδόκει, καὶ οὐκ ἂν παρὰ κρημνὸν ἔφη παρελθεῖν, οὐδὲ ἐπὶ γεφύρας, οὐδὲ τοὐλάχιστον βάθος τάφρου τολμῆσαι ἄν, ὑπὸ δείγματος μὴ πέσῃ, διελθεῖν, ἀλλὰ δι' αὐτῆς τῆς τάφρου πορεύεσθαι. τοῦτο χρόνον τινὰ αὐτῷ ξυμβῆναι.

HIPPOCRATIS TEXTUS CV.

TImocles verò qui cum illo erat, caligine tentari, & exoluto esse corpore sibi videbatur, neque per præruptum locum iter facere, neque verò pontem, ac ne minime quidem profundam scrobem transmittere audere dicebat, timens ne caderet; verùm per ipsam scrobem abibat, idque aliquandiu contigit.

A

ÆGROTUS CI.

Phœnix cujus talis affectus erat primum oculi dextri fulgor coruſcans, deinde gravis temporis dextri dolor; tertio totum caput atque cervicem dolor pervadebat, quarto capitis pars poſterior ad vertebras intumeſcebat, &c. Phlebotomia & elleboro curatus eſt.

HIPPOCRATIS TEXTUS CVI.

PHœnicis erat affectus, ut ex oculo dextro plerunque velut fulgor coruſcare videretur. Non multo verò interpoſito tempore, ad tempus dextrum gravis dolor exoriebatur; poſteaque totum corpus, caput atque etiam cervicem pervadebat, capitis pars poſterior ad vertebras intumeſcebat cervicis nervi majores, quos tenontas appellant, contendebantur, & circundureſcebant. Quod ſi caput commovere aut dentes aperire conaretur, non poterat, utpote admodum detenſus. Vomitiones ſiquando oboriebantur, commemoratos dolores ſubmovebant & lenibant. Sanguinis miſſio auxilio fuit & veratri potiones cujuſque modi humores eduxerunt, præcipuéque porraceos.

ÆGROTUS CII.

Parmeniſcus qui athumia laborabat, quæ circa decimumquartum diem remiſit.

HIPPOCRATIS TEXTUS XVII.

PArmeniſco etiam antea animi deſperatio accidit, adeo ut vita defungi cuperet, interdum verò rurſus ſecuro erat animo. In Olyntho autem aliquando per autumnum voce defectus decumbebat quiete agens per puſillum qui vixdum dicere aggrediens, quinetiam ſi quid dixiſſet, rurſus vox deficiebat; ſomni aderant, interdum verò pervigilium, & tacita corporis jactatio, atque anxietas, manuumque præcordiis velut dolorem ſentiens admovebat, nonnunquam vero averſus quiete decumbebat, febris autem ſemper perſeverabat & facile ſpirabant. Tandem ſe ingredientes agnoſcere dixit, interdumque tota die ac nocte quum potus illi exhiberetur, bibere noiebat, nonnunquam verò accepta repente urna, totam exhauſit aquam. Urina craſſa, qualis in veterinario genere. At circa decimum quartum diem remiſit.

ΑΡΡΩΣΤΟΣ ρα´.

Φοίνιξ, οὗ τὸ πάθος ἐστὶ τοῦτο, ἐκ τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ ὥσπερ ἀστραπὴν ἐκλάμπειν, ὀδύνη τε ἐς κρόταφον τὸν δέξιον δεινὴ, ἔπειτα καὶ ἐς ὅλην τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον· οἴδετο ἡ κεφαλὴ ὄπισθεν. φλεβοτομίη ὠφέλησε, καὶ ἐλλέβορος.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρϛ´.

ΤΟ Φοίνικος ἐκ τοῦ ὀφθαλμοῦ τὰ πολλὰ τοῦ δεξιοῦ, ὥσπερ ἀστραπὴν ἐκλάμπειν ἐδόκει, οὐ πολὺ δὲ ἐπισχόντι, ὀδύνη ἐς κρόταφον τὸν δεξιὸν ἐγίνετο δεινὴ ἔπειτα καὶ ἐς ὅλην τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον· οἴδετο ἡ κεφαλὴ, ὄπισθεν τῶν σπονδύλων, καὶ ξυντάσις καὶ σκληρότης ἀμφὶ τοὺς τένοντας. εἰ γοῦν ἐπειρᾶτο διακινεῖν τὴν κεφαλὴν ἢ διοίγειν τοὺς ὀδόντας οὐκ ἠδύνατο, ὡς σφόδρα ξυντεινόμενος, ἔμετοι ὁπότ' ἂν γίνοιντο, ἀπέτρεπον τὰς εἰρημένας ὀδύνας, ἠπιωτέρως ἐποίουν, καὶ φλεβοτομίη ὠφέλησε, καὶ ἐλλέβοροι ἦγον παντοδαπὰ οὐχ ἥκιστα πρασοειδέα.

C

ΑΡΡΩΣΤΟΣ ρβ´.

Παρμενίσκος ὁ τῇ ἀθυμίᾳ ποιούμενος ἣ περὶ τὴν ιδ´ ἀνῆκεν.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρζ´.

ΤΩι Παρμενίσκῳ καὶ πρότερον ἐνέπιπτον ἀθυμίαι καὶ ἵμερος τῆς ἀπαλλαγῆς βίου, ὅτε δὲ πάλιν εὐθυμίη. ἐν Ὀλύνθῳ δέ ποτε φθινοπώρου ἄφωνος κατέκειτο, ἡσυχίην ἔχων, βραχύ τι ὅσον ἄρχεσθαι ἐπιχειρέων προσειπεῖν, ἤδη δέ τι καὶ διελέχθη, καὶ πάλιν ἄφωνος, ὕπνοι ἐνῆσαν· ὅτε δὲ ἀγρυπνίη, καὶ ῥιπτασμὸς μετὰ σιγῆς, καὶ ἀλυσμὸς, καὶ χεὶρ πρὸς ὑποχόνδρια ὡς ὀδυνωμένῳ· ὅτε δὲ ἀποστραφεὶς, ἔκειτο ἡσυχίην ἄγων, ὁ πυρετὸς δὲ διὰ τέλεος καὶ εὔπνοος. ἔφη δὲ ὕστερον ἐπιγινώσκειν τοὺς ἐσιόντας, πιεῖν δὲ ὅτε μὲν ἡμέρης ὅλης καὶ νυκτὸς, καὶ διδόντων οὐκ ἤθελεν, ὅτε δὲ ἐξαίφνης τὸν στάμνον ἁρπάσας, τοῦ ὕδατος παντὸς ἐξέπιεν. οὖρον παχὺ ἐς ὑποζυγίου, περὶ δὲ τὴν ιδ´ ἀνῆκεν.

E

F

ΑΡΡΩΣΤΟΣ ργ'.

Η Κόνωνος θεράπαινα ἐν κεφαλῇ ὀδύνης ἀρξαμένη ἐκτὸς ἑωϋτῆς ἦσι τοῖς συμπτώμασι πονουμένη περὶ ἡμέρας τεσσαράκοντα ἐτελεύτησεν.

ÆGROTUS CIII.

Cononis ancilla, quæ capitis dolore incipiente, mente erat abalienata; quibusdam symptomatibus affecta sub quadragesimum diem mortua est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρη'.

Η Δὲ Κόνωνος θεράπαινα ἐν κεφαλῇ ὀδύνης ἀρξαμένη, ἐκτὸς ἑωϋτῆς, καὶ βοὴ, καὶ κλαυθμὸς πολὺς, ὀλιγάκις δὲ ἡσυχίη, περὶ ἔτεα τεσσαράκοντα ἐτελεύτησεν· τὰς δὲ ἐπὶ τελευτῆς ἡμέρας, ἄφωνος καὶ σπασμώδης ἐγένετο.

HIPPOCRATIS TEXTUS CVIII.

COnonis ancilla capitis dolore incipiente, mente erat abalienata, clamor aderat, & B
ejulatus multus, raroque quiescebat. Sub quadragesimum diem mortua est. Aliquot verò sub mortem diebus, voce defecta, & convulsione tentata est.

ΑΡΡΩΣΤΟΣ ρδ'.

Ο τοῦ Τιμοχάριος θεράπων ἐκ μελαγχολικῶν δοκέων πονούμενος ἔθανεν.

ÆGROTUS CIV.

Timocharis famulus melancholicis affectibus iisdem tentatus sub quadragesimum mortuus est. C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρθ'.

ΚΑὶ ὁ τοῦ Τιμοχάριος θεράπων, ἐκ μελαγχολικῶν δοκέων εἶναι καὶ τοιούτων, ἐτελεύτησεν ὁμοίως, καὶ περὶ ἡμέρας τὰς αὐτάς.

HIPPOCRATIS TEXTUS CIX.

EOdem quoque modo & circa eosdem dies mortuus est Timocharis famulus melancholis affectibus iisdem, ut videbatur tentatus.

ΑΡΡΩΣΤΟΣ ρε'.

Ο τοῦ Νικολάου ἐκ πότων πυρεταίνων ἑβδομαῖος ἐτελεύτησεν.

ÆGROTUS CV.

D *Nicolai filius ex compotationibus febre correptus septimo die mortuus est.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρι'.

ΤΩι Νικολάου περὶ ἡλίου τροπὰς χειμερινὰς, ἐκ πότων ἔφριξεν, ἐς νύκτα πυρετὸς, τῇ ὑστεραίῃ ἔμετος χολώδης, ἄκρητος, ὀλίγος. τρίτῃ δὲ ἀγορῆς πληθούσης, ἱδρὼς δι' ὅλου τοῦ σώματος, ἔληξε, καὶ ταχὺ πάλιν ἐθερμάνθη, περὶ μέσας νύκτας ῥῖγος, πυρετὸς ὀξὺς, ἡμέρης δὲ τῆς αὐτῆς ὥρης ἱδρὼς, ταχὺ πάλιν ἐπεθερμάνθη, ἔμετος ὅμοιος, τῇ τετάρτῃ ἀπὸ ὕδατος λινοζώστιος ὑπεχώρησεν εὐκοπρώδεα καὶ ὑγρὰ, ὑπομύξαρα δὲ σπογγοειδέα, οἷα ὕδωρ λινοζώστιος, οὐκ ἀνόμοια. ὑπόστασις οὐκ ἦν, οὐδὲ πολὺ τὸ οὖρον, ἐναιωρήματα σμικρὰ, ἀλγήματα ὑποχονδρίου ἀριστεροῦ καὶ ὀσφύος, ᾤετο ἐκ τοῦ ἐμέτου ἐπιδιαπνεῖν, καὶ ἐπανέπνει. ἔστι δὲ ὅτε διπλόον, γλῶσσα λευκὴ, ἔχουσα ἐκ δεξιοῦ, οἷον θερμοῦ προσέφρισιν, ἔπειτα βραχὺ ἦν διψώδης, ἄγρυπνος, ἔκφρων. ἐκταίῳ δὲ δεξιὸς ὀφθαλμὸς μείζων ἐν τῷ βλέπειν, ἑβδομαῖος ἐτελεύτησε. πλὴν ἡ κοιλίη πρὸ τῆς τελευτῆς ἐμετεωρίσθη, καὶ ἀποθανόντι τὰ ὄπισθεν ἐφοινίχθη.

HIPPOCRATIS TEXTUS CX.

NIcolai filius circa solstitium hybernum & compotationibus horruit, ad noctem febris orta est, postridie vomitus biliosus, sincerus, paucus adfuit. Tertio die frequente adhuc foro, sudore per totum corpus oborto, desiit, statimque rursus incaluit. Ad mediam noctem rigor, febris acuta, die verò eadem hora sudor rursus statim recaluit, vomitus similis. Quarto E
die ex mercurialis decocto bene stercoracea & liquida per alvum dimisit, subolida tamen, & spongiosa, mercurialis jusculo non absimilia. Vrina absque sedimento non admodum multa, pauca quædam in medio innatantia habebat, præcordiorum sinistrorum, & lumborum dolores aderant; existimabat ex vomitione se facilius ac subinde spirare posse, interdumque geminata respiratione, subinde respirabat, lingua albicans erat, dextra parte habens connexionem lupino similem, deinde parum siticulosus erat, pervigil, prudens. Sexto die oculus dexter
F major conspiciebatur, septimo mortuus est. Veruntamen ante mortem venter intumuit, mortuoque partes posteriores rubore suffusæ sunt.

A

Ægrotus CVI.

Meto quem febris prehendit & lateris sinistri dolor ad jugulum pertingens per medicamentum, per superiora biliosa eduxit, tertio post medicamentum pus erupit quadragesimo die, trigesimo quinto post repurgatus convaluit.

ΑΡΡΩΣΤΟΣ ρϛ'.

Μετὼν, ὃν μετὰ Πληιάδων δύσιν, πυρετὸς πλευρέου ἀριστέρου ὀδύνη ἔλαβε. φάρμακον ἄνωθεν ἤγαγε χολώδεα. τρίτη ἀπὸ τοῦ φαρμάκου ἐρράγη τὸ πῦον, τεσσαρακοστῇ ἀποκαθῆραι, περὶ πέντε καὶ τριάκοντα ἡμέρας ὑγιής.

HIPPOCRATIS TEXTUS CXI.

Metoni post vergiliarum occasum febris oborta est, & lateris sinistri dolor ad jugulum pertingens, isque adeo vehemens ut quiescere nequiret, & inflammatio detinebat, dejectio copiosa erat, biliosus tribus fere diebus dolor cessavit, calor verò sub septimum, aut nonum. Tussis aderat, exscreationes neque aliquantulum biliosæ, neque copiosæ fiebant, verùm tusses pituitosæ comitabantur, cibos sumebat, interdumque tanquam sanus exibat. Nonnunquam tamen tenues calores exiguo tempore detinebant, sub noctem parvi sudores oriebantur. In calore spiratio crebrior aderat, malarum rubor, lateris gravitas sub axillam & humerum pertingebat, tusses aberant. Medicamentum per superiora biliosa eduxit. Tertio post medicamentum pus erupit, quadragesimo verò à morbi initio die Per alios autem quinque & triginta dies repurgatus est, & convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρια'.

B

Μέτωνι μετὰ Πληϊάδων δύσιν, πυρετὸς, πλευροῦ ἀριστεροῦ ὀδύνη μέχρι κληΐδος, οὕτω δὲ δεινὴ, ὥστε ἀτρεμίζειν οὐχ οἷός τε, καὶ τὸ φλέγμα κατεῖχεν, ὑποχώρησις πολλὴ, χολώδης, ἐν τρισὶν ἡμέρῃσι σχεδὸν, ἔληξεν ἡ ὀδύνη, ἡ θέρμη δὲ περὶ τὰς ζ' ἢ θ'. βὴξ ἐνῆν, ἀποχρέμψιες ὑπόχολοι οὐ δὲ ἐγίνοντο, οὐδὲ πολλαὶ, φλεγματώδεες δὲ αἱ βῆχες παρηκολούθεον, σιτίων ἀπεγεύετο. ἔστιν ὅτε ἐξῄει ὡς ὑγιὴς, ὑπελάμβανον δὲ ἐνίοτε θέρμαι λεπταὶ, ὀλίγον χρόνον, ἱδρώτια ἐγίνοντο ἐς

C νύκτα. τὸ πνεῦμα ἐν τῇ θέρμῃ πυκνότερον, γνάθων ἔρευθος, περὶ τὸ πλευρὸν βάρος, καὶ ὑπὸ τὴν μασχάλην, ἐς ὦμον, αἱ βῆχες ἀπεῖχον. φάρμακον ἄνωθεν ἤγαγε χολώδεα. τρίτη ἀπὸ τοῦ φαρμάκου ἐρράγη τὸ πῦον, ἀπὸ δὲ τῆς ἀρχῆς τοῦ ἀρρωστήματος τεσσαρακοστῇ. ἀποκαθῆραι περὶ πέντε καὶ τριήκοντα ἡμέρας ἄλλας, καὶ ὑγιής.

Ægrotus CVII.

Theotimi conjux quam febris semitertiana prehendit cum quibusdam symptomatibus, mulsa epota & vomitu rejecta, & mali punici succo curata est.

D

ΑΡΡΩΣΤΟΣ ρζ'.

Ἡ Θεοτίμου, ἣν ἐν ἡμιτριταίῳ πυρετὸς ἡμιτριταῖος ἔλαβε σύν τισι τοῖς συμπτώμασιν, μελίκρητον πιούσῃ καὶ ἀπεμούσῃ, καὶ τῷ ἀπὸ τῆς σίδης φαρμάκῳ θεραπεύεται.

HIPPOCRATIS TEXTUS CXII.

Theotimi conjugem semitertiana febre anxietas & vomitus cepit, simulque horror per febris exordia & sitis progressu temporis, per febris initia immoderatus calor. Mulsa epota & vomitione rejecta, & horror & anxietas cessavit, posteaque mali punici succum sumpsit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριβ'.

Τῇ Θεοτίμου ἐν ἡμιτριταίῳ ἄση, καὶ ἔμετος, καὶ φρίκη ἅμα, ἀρχομένῳ τῷ πυρετῷ καὶ δίψα, προϊόντος ἀρχομένῳ ἐξαίσιον τὸ θερμὸν μελίκρητον πιού-

E σῃ, καὶ ἀπεμούσῃ, ἥτε φρίκη καὶ ἡ ἄση ἐπαύσατο, καὶ τὸ ἀπὸ τῆς σίδης ὕστερον.

Ægrotus CVIII.

Diopethis soror semitertiana correpta cum cardialgia quæ rariùs viris contingebat.

ΑΡΡΩΣΤΟΣ ρη'.

Ἡ Διοπείθεος ἀδελφὴ, ἡμιτριταίῳ ληφθεὶς, δεινὴ καρδιαλγίη ἀνδράσι σπανιωτέρα ἐγίνετο.

HIPPOCRATIS TEXTUS CXIII.

Diopethis sororem in semitertiana febre sub accessionem vehemens oris, ventriculi dolor tenuis, & toto die perseverabat, hujusmodique oris ventriculi dolor reliquis mulieribus eodem modo aderat. Talia tamen sub vergiliarum occasum viris rarius contingebant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριγ'.

F

Τῇ Διοπείθεος ἀδελφῇ ἐν ἡμιτριταίῳ, δεινὴ καρδιαλγίη περὶ τὴν λῆψιν, καὶ ξυμπαρείπετο ὅλην τὴν ἡμέρην καὶ κεφαλαλγίη, καὶ τῇσιν ἄλλῃσιν. ὡσαύτως ὑπὸ Πληϊάδος δύσιν, ἀνδράσιν σπανιωτέρα ἐγίνετο τὰ τοιαῦτα.

A

ΑΡΡΩΣΤΟΣ ρθʹ.

Η Απομότου, ἣν περὶ Αρκτοῦρον δεινὴ καρδιαλγίη, περὶ τὴν λῆψιν, καὶ πνῖγες περιίσταντο.

Ægrotus CIX.

Apomoti uxor, quam sub arcturum semitertiana invasit febris & vehemens cardialgia, & uteri strangulatus, & ad dorsum dolores.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριδʹ.

ΤΗι Απομότου ἐν ἡμιτριταίῳ περὶ Αρκτοῦρον, δεινὴ καρδιαλγίη περὶ τὴν λῆψιν, καὶ ἔμετοι, καὶ πνῖγες περιίσταντο ἅμα ὑστερικαί, καὶ ἐς τὸ μετάφρενον ὀδύναι κατὰ ῥάχιν, ὅτε δὲ ἐνταῦθα οἱ ἴη, ἔληγον αἱ καρδιαλγίαι. B

HIPPOCRATIS TEXTUS CXIV.

SUb arcturum in febre semitertiana Apomoti conjugem, circa accessionis tempus, vehemens cardialgia, & vomitus tenuit, simulque uteri strangulatus male afficiebant & ad dorsum dolores juxta spinam erant, ex eoque tempore oris ventriculi dolores cessabant.

ΑΡΡΩΣΤΟΣ ριʹ.

Η Τερπιδέῳ μητὴρ διαφθορῆς γινομένης διδύμων ἐκ πτώματος. τί ἐπιγεγενημένον γράφεται.

Ægrotus CX.

Torpidæ mater quæ per abortum ex casu gemellos enixa est. Quid postea acciderit, narratur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριεʹ. C

ΤΗι Τερπιδέω μητρὶ, τῇ ἀπὸ Δορίσκου διαφθορῆς γινομένης, μηνὶ πέμπτῳ διδύμων ἐκ πτώματος, τοῦ μὲν ἑτέρου αὐτίκα ὡς ἐν χιτῶνί τινι ἀπηλλάγη. τοῦ δὲ ἑτέρου, ἢ πρότερον, ἢ ὕστερον μʹ ἡμερέων ἀπηλλάγη. ὕστερον δὲ ἔλαβεν ἐν γαστρί. ἔτει δὲ ἐνάτῳ ὀδύναι δειναὶ κατὰ γαστέρα ἐπὶ πουλὺν χρόνον ἤρχοντο. ἔστι μὲν ὅτε ἐκ τοῦ τραχήλου καὶ ῥάχιος, καθίσταντο δὲ ἐς ὑπογάστριον καὶ βουβῶνας, ἔστι δὲ ὅτε ἐκ γούνατος τοῦ δεξιοῦ, καθίσταντο δὲ ἐς ταὐτό, καὶ ὅτε μὲν κατὰ τὴν γαστέρα αἱ ὀδύναι εἶεν, ἐμετεωρίζετο ἡ κοιλίη, ὅτε δὲ ἐπαύσατο, ξυνέπιπτεν ἡ καρδιαλγίη, πνιγμοὶ οὐκ ἐνῆσαν. ψύξις δὲ τοῦ σώματος ὡς ὕδατι κειμένῳ, κατὰ τὸν χρόνον ἡνίκα ἡ ὀδύνη ἐγίνετο, ὑπέστρεφε διʼ ὅλου τὰ ἀλγήματα, ἠπιώτερα τῶν κατʼ ἀρχάς, σκόροδα, σίλφιον, τὰ δριμέα ξύμπαντα, οὐ ξυνέφερεν, οὐδὲ τὰ γλυκέα, οὐδὲ τὰ ὀξέα, οὐδὲ οἱ λευκοὶ οἶνοι. οἱ μέλανες δὲ καὶ λουτρὰ ὀλιγάκις ἀρχομένῃ, καὶ ἔμετοι δεινοὶ ἐπεγίνοντο, καὶ τῶν σιτίων ἀποκλείσιες, καὶ περὶ τὰς ὀδύνας τὰ γυναικεῖα οὐκ ἐφαίνετο. D E

HIPPOCRATIS TEXTUS CXV.

TOrpidæ mater à Dorisce mense quinto ex casu per abortionem gemellos enixa est, altero quidem velut tunica conclusa statim liberata, altera verò aut prius, aut posterius quadraginta diebus, postea autem utero gestavit. At anno nono vehementes ventris dolores diu tenuerunt, interdumque ex cervice & spina ortum ducebant, in imo autem ventre & inguinibus consistebat, quandoque verò ex genu dextro exorti, in eundem locum locum consistebant. Et quum quidem ad ventrem dolores essent, alvus intumescebat, quum verò cessarent, oris ventriculi dolor contingebat, strangulatus non aderant. Corpus pleræque frigebat ac si in aqua jaceret. Quo tempore dolor aderat, toto corpore recursabant dolores quam per exordia leviores. Nihil allia, laserpitium, aut acria omnia conferebant, neque dulcia, neque acida, neque vero vina alba, verùm nigra & balnea pauca per initia. Vomitiones vehementes accedebant, & cibi intercludebantur, neque per dolores menses apparebant.

ΑΡΡΩΣΤΟΣ ριαʹ.

Η Κλεομένεος, ἣν περὶ ζεφύρου πνοὰς ἐκ ναυσίης καὶ κόπου πλευροῦ ἀριστεροῦ ὀδύνη ἐκ τραχήλου ἀρξαμένη καὶ τοῦ ὤμου πυρετὸς, καὶ φρίκη, καὶ ἱδρὼς ἔλαβεν. τετάρτῃ τῇ ἡμέρᾳ, ἐς νύκτα τὰ γυναικεῖα ἦλθε πουλλὰ, ἔληξεν ἥτε βὴξ, καὶ ἀπόχρεμψις, καὶ ὀδύνη, ἡ δὲ θερμὴ λεπτή. F

Ægrotus CXI.

Cleomenis uxor, quam flante Favonio ex nauseæ & lassitudine lateris sinistri dolor corripuit ex cervice & humero initium ducens, febris aderat & horror & sudor. Quarto die sub noctem menstrua copiosa prodierunt, tussis desiit & exscreatio & dolor, tenuis tamen calor relictus est.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριϛʹ.

ΤΗι Κλεομένεος περὶ ζεφύρου πνοὰς, ἐκ ναυσίης καὶ κόπου, πλευροῦ ἀριστεροῦ ὀδύνη, ἐκ τραχήλου ἀρξαμένη, καὶ τοῦ ὤμου, πυρετὸς, καὶ φρίκη, καὶ ἱδρώς. ἤρξατο δὲ ὁ πυρετὸς καὶ οὐκ ἔληγεν ἀλλʼ ἐπέ-

HIPPOCRATIS TEXTUS CXVI.

CLeomenis uxorem flante Favonio, ex nausea & lassitudine lateris sinistri dolor corripuit, ex cervice & humero initium ducens, febris aderat & horror & sudor. Cœperat autem febris, neque desinebat, verùm intendebatur,

batur, & vehemens erat dolor, tussis, exscreatio aliquantulum cruenta, pallida, multa, albicans, dejectiones moderatæ liquidæ, urinæ biliosæ. Quarto die sub noctem menstrua copiosa prodierunt, tussisque desiit, & exscreatio & dolor, tenius tamen calor relictus est.

A τεινε, καὶ ἡ ὀδύνη ὀξείη, βὴξ, ἀπόχρεμψις ὕφαιμος, ὠχρὴ πολλὴ, γλῶσσα λευκὴ, διαχωρήματα μέτρια ὑγρὰ, οὖρα χολώδεα. τετάρτη ἐς νύκτα, τὰ γυναικεῖα ἦλθε πολλὰ, ἔληξεν ἥτε βὴξ καὶ ἡ ἀπόχρεμψις, καὶ ἡ ὀδύνη, ἡ δὲ θερμὴ λεπτή.

Ægrotus CXII.

Epicharmi uxor ante partum dysenteriâ correpta, post partum convaluit.

ΑΡΡΩΣΤΟΣ ριβ'.

B Η Επιχάρμου πρὸ τόκου δυσεντερίη, τεκούση παραχρῆμα ὑγιής.

HIPPOCRATIS TEXTUS CXVII.

Epicharmi uxor ante partum dysenteriâ laborabat, dolor aderat, dejectiones subcruentæ, mucosæ. Ubi peperisset, confestim convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριζ'.

ΤΗι Επιχάρμου πρὸ τόκου δυσεντερίη, πόνος, ὑποχωρήματα ὕφαιμα, μυξώδεα, τεκούση παραχρῆμα ὑγιής.

Ægrotus CXIII.

Polemarchi uxor, quæ articulorum doloribus vexata non fluentibus mensibus, coxendicis dolore derepente correpta est.

ΑΡΡΩΣΤΟΣ ριγ'.

C Η τοῦ Πολεμάρχου ἐν ἀρθριτικοῖς ἰσχίου ἄλγημα ἐξαίφνης, γυναικείων οὐ γινομένων.

HIPPOCRATIS TEXTUS CXVIII.

Polemarchi uxorem articulorum doloribus vexatam, minime fluentibus mensibus, coxendicis dolor derepente corripuit. Post epotum betæ jusculum vox per noctem & ad meridiem usque intercepta fuit. Postea audivit, & mentis compos erat, manuque indicabat dolorem circa coxendicem adesse.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριη'.

ΤΗι Πολεμάρχου ἐν ἀρθριτικοῖς, ἰσχίου ἄλγημα ἐξαίφνης, γυναικείων οὐ γινομένων. τὸ ἐν τῷ τεύτλῳ πιούσῃ, ἔσχετο ἡ φωνὴ νύκτα, καὶ ἐς μέσον ἡμέρης· ἤκουσε μετὰ ταῦτα, καὶ ἐφρόνει, καὶ τῇ χειρὶ ἐσήμαινεν ἀμφὶ τὸ
D ἰσχίον εἶναι τὸ ἄλγημα.

Ægrotus CXIV.

Licinii soror, quam vomitus cepit cum aliis symptomatis, & ad os ventriculi strangulatus procedebat. Quæ remedia præscripta sunt per legem.

ΑΡΡΩΣΤΟΣ ριδ'.

Η τοῦ Λικινίου ἀδελφὴ, ἣν ἔμετος προσεδέξατο, ἐχώρει πρὸς καρδίην πνῖγμα τινα. τὰ φάρμακα κελευόμενα διὰ τὸν λόγον.

HIPPOCRATIS TEXTUS CXIX.

Licinii sororem quæ jam florentes annos exegerat, vomitus cepit, quo quicquid quatuordecim diebus assumpserat, rejiciebat, febris expers, cruentarum vomitionum eructationes aderant, & ad os ventriculi strangulatio procedebat coarctationem inducens. Castorium, seseli, & mali punici succus est exhibitus, cuncta sedata sunt, modicus tamen dolor in lateris inanitatem concessit. Bulbi succus contulit, & vinum austerum egelidum, & quampaucissimi panes oleo intincti.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριθ'.

E ΤΗι Λικινίου ἀδελφῇ, τῇ ἀφηλικεστέρῃ, ἔμετος ὅτι προσδέξαιτο τεσσαρεσκαίδεκα ἡμέρας, ἄνευ πυρετοῦ αἱματωδέων τῶν ἐμεσμάτων, ἐρευγμοὶ, καὶ ξυνεσδημένον, ἐχώρει πρὸς καρδίην πνῖγμα, καστόριον, σέσελι, πάντα ἔπαυσε, καὶ τὸ ἀπὸ τῆς σίδης. ἀπέστη δὲ ἄλγημα μέτριον ἐς κενεῶνα, βολβοῦ χυλὸς, καὶ οἶνος γαλακτώδης, αὐστηρὸς, καὶ ἄρτοι ὡς ἐλάχιστοι ξὺν ἐλαίῳ.

F

Ægrotus CXV.

Pausaniæ puella fungi crudi esu laborabat, hic symptomata, hic præsidia.

ΑΡΡΩΣΤΟΣ ριε'.

Η Παυσανίου κούρη μύκητα ὠμὸν φαγούση, ἣν ἄση εἶχε, ἐκεῖ τὰ συμπτώματα, ἐκεῖ τὰ φάρμακα.

HIPPOCRATIS TEXTUS CXX.

Pausaniæ puellam ex fungi crudi esu anxietas corripiebat, suffocatio; ventris do-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκ'.

ΤΗι Παυσανίου κούρῃ, μύκητα ὠμὸν φαγούσῃ, ἄση εἶχε, πνιγμὸς, ὀδύνη γαστρὸς μελίκρητον θερμὸν πίνουσι, καὶ

καὶ ἐμέειν ξυνήνεγκε καὶ λουτρὸν θερμόν. ἐν τῷ λουτρῷ, ἐξήμεσε τὸν μύκητα, καὶ ἐπεὶ λήξειν ἔμελλεν ἐξίδρωσεν.

A lor. Mulsa calida epota & vomitio profuit, balneumque calidum. In balneo fungum vomuit; & ubi ista cessatura essent, sudore detenta est.

ΑΡΡΩΣΤΟΣ ρις'.

Ἐπιχάρμῳ ὤμου ὀδύνη, καὶ βάρος δεινὸν ἐς βραχίονα ἄση, καὶ τὰ ἄλλα συμπτώματα.

ÆGROTUS CXVI.

Epicharmus, cui humeri dolor, & ad brachium vehemens gravitas contigit, & alia symptomata.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκα'.

Ἐπιχάρμῳ περὶ πλειάδων δύσιν, ὤμου ὀδύνη, καὶ βάρος δεινὸν ἐς βραχίονα, ἄση, ἔμετοι συχνοί, ὑδρωποσίη.

B HIPPOCRATIS TEXTUS CXXI.

Epicharmo sub Vergiliarum occasum humeri dolor, & ad brachium vehemens gravitas contigit, anxietas aderat, crebræ vomitiones, & aquæ potio.

ΑΡΡΩΣΤΟΣ ριζ'.

Ὁ Εὐφράνορος παῖς ᾧ ἐξανθήματα οἷα ἀπὸ κωνώπων.

ÆGROTUS CXVII.

Euphranoris filius, cui exanthemata culicum morsibus similia eruperunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκβ'.

Τῷ Εὐφράνορος, παιδὶ ἐξανθήματα οἷα ἀπὸ κωνώπων.

C HIPPOCRATIS TEXTUS CXXII.

Euphranoris filio pustulæ culicum morsibus similes eruperunt.

ΑΡΡΩΣΤΟΣ ριη'.

Μέχρις ἡμέρας μετοπωρινῆς δεινὰ πνίγεα ὑπὸ κύνα καὶ πνεύματα μεγάλα τε, καὶ θερμά, καὶ πυρετοὶ ἱδρώδεες, φύματα δὲ παρ' οὖς, βῆχες.

ÆGROTUS CXVIII.

Status autumnalis æquinoctii, quo squalores contrahebant. Sub canem æstus vehementes venti calidi, febres sudatoriæ; aurium tubercula, tussiculæ. D

ΙΓΠΘΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκγ'.

Μετὰ ζέφυρον αὐχμοὶ ἐγένοντο, μέχρις ἡμέρας μετοπωρινῆς, ὑπὸ κύνα δεινὰ πνίγεα, καὶ πνεύματα θερμά, καὶ πυρετοὶ ἱδρώδεες, καὶ πάλιν εὐθὺς ὑπεθέρμαινον. φύματα δὲ παρ' οὖς πολλοῖσιν ἐγένετο. τῇ γραίῃ βηχικῇ περὶ ἐνάτην, τῷ μειρακίῳ τῷ σπληνώδει τῷ τῆς παιδίσκης, κοιλίης ὑγρανθείσης περὶ τὸν αὐτὸν χρόνον. E Κτησιφῶντι ὑπ' Ἀρκτοῦρον σχεδὸν περὶ τὰς ἑπτὰ τῷ παιδὶ μούνῳ ἐπωήθη. τῷ Ἐρατύλλου ἀπεμωλώθη, περὶ ἀμφότερα ἀνιδρώσιες, γλώσσης ὑπὸ ξηρότητος ψελλοί. οἱ Ὀρνιθίαι ἔπνευσαν πολλοὶ καὶ ψυχροί, καὶ χιόνες ἐξ εὐδιείων ἔστιν ὅτε ἐγένοντο, καὶ μετὰ ἰσημερίην, νότια διαμίσγοντα βορείοις ὕδατα συχνὰ ἐπεδήμησε, βῆχες πολλαί, μᾶλλον δὲ παιδίοισι. παρὰ τὰ ὦτα πολλοῖσιν, οἷα τοῖσι σατύροισιν, ὅτε δὲ ὁ πρὸ τούτου τοῦ χρόνου χειμὼν, σφόδρα χειμερινὸς ἐγένετο, ἐν χιόνι καὶ F ὄμβροισι βορείοισιν.

HIPPOCRATIS TEXTUS CXXIII.

Post Favonium ad autumnale æquinoctium squallores multi contingebant. Sub canem æstus vehementes, venti calidi, febres in quibus ægri sudoribus diffluebant, statim rursus aliquantulum incalescebant. Aurium vero tubercula multis enascebantur, ut vetulæ tussiculosę sub nonum diem. Eodemque tempore adolescentulo lienis tumore laboranti ancillæ filio, liquidiore alvo. Ctesiphonti ad Arcturum, fere circa septimum puero soli ad suppurationem pervenerunt. Eratylli puero ad utranque aurem disparuerunt, sudores nulli aderant, præ linguæ siccitate blæsi erant. Ornithiæ spiraverunt multi & frigidi post tranquillitates interdum nives aderant; Post æquinoctium austrina aquilonaribus permista erant, frequentes pluviæ, tusses multæ, præcipuè verò in pueros vulgariter grassatæ sunt: Plerisque circa aures qualia Satyris oborta sunt. Interdum autem præcesserat hyems admodum hyberna extiterat, nivibus & imbribus aquilonaribus infesta.

A

ÆGROTUS CXVIII.

Timonactis infans cui bimestri pustulæ tumoresque rubicundi extiterunt; quibus conquiescentibus sine febre mortuus est.

HIPPOCRATIS TEXTUS CXXIV.

Timonactis infantulo fere bimestri, pustulæ in cruribus, coxis, lumbis & imo ventre, B tumoresque admodum rubicundi extiterunt. Quibus conquiescentibus convulsiones & comitiales exoriebantur; multis diebus sine febre fuit, & mortuus est.

ÆGROTUS CXIX.

Polemarchi puer, qui pus intus collectum exscreaverat, tandemque calores & febres corripuerunt, ac varia sequuta sunt symptomata ac post recidivam, tertio die mortuus est.

C

HIPPOCRATIS TEXTUS CXXV.

Polemarchi puerum qui antea quidem pus intro collegerat, & excreaverat, tandem tamen calores corripuerunt, hydropicus erat & splenicus & anhelosus. Si quando ad locum accessu difficilem contenderet, imbecillus erat & siticulosus, ac interdum cibum ferè aversabatur, itemque tussicula sicca multo tempore detinebat, ac nisi sane soluta esset alvus inferior, implebatur, & creber anhelitus suffo- D catioque magis vexabat. Tandem verò destillatio & exscreatio supervenit & tussis. Exscreatio autem crassa, pallida, purulenta, febrisque vehemens erat, quæ desiisse visa est, & tussis esse mitior, puraque exscreatio. Rursus febris acuta repetiit, spiratio crebra, mortuus est. Antea tamen pedes riguerunt, posteaque toto corpore perfrixit. Spiratio magis intercepta fuit, urina suppressa est, extrema perfrixerunt, mentis compos mortuus est, tertio verò à recidiva die.

E

ÆGROTUS CXX.

Thyni puer qui in febre ardente vehementer inedia confectus multa passus est symptomata gravia.

HIPPOCRATIS TEXTUS CXXVI.

Thyni puero in febre ardente vehementer inedia confecto, copiosa alvi dejectio cum bile tamen aderat, & animi deliquio, multoque F sudore, toto corpore admodum perfrixit, dieque integro & nocte vox defecerat. Infusum ptisanæ cremorem continuit, mentis compos erat, facile spirabat.

ΑΡΡΩΣΤΟΣ ριη'.

Τὸ Τιμώνακτος παιδίον ᾧ διμηνιαίῳ ἐξανθήματα καὶ οἰδήματα ἐνερύθη, καταστάντων δὲ τούτων ἄνευ πυρετοῦ ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκδ'.

Τῷ Τιμώνακτος παιδίῳ ὡς διμηνιαίῳ ἐξανθήματα ἐν σκέλεσιν, καὶ ἐν ἰσχίοισι, καὶ ὀσφύϊ ὑπογαστρίῳ, καὶ οἰδήματα σφόδρα ἐνερύθη, καταστάντων δὲ τούτων, σπασμοὶ, καὶ ἐπιληπτικὰ ἐγένοντο, ἄνευ πυρετοῦ ἡμέρας πολλὰς, καὶ ἐτελεύτησεν.

ΑΡΡΩΣΤΟΣ ριθ'.

Ὁ τοῦ Πολεμάρχου, ᾧ ξυνέβη ἐμπυωθῆναί τε καὶ ἀποχρέμψασθαι, θέρμαι καὶ πυρετοὶ, καὶ ποικίλα ἕπεται τὰ συμπτώματα. τριταῖος δὲ ἀπὸ τῆς ὑποστροφῆς ἐτελεύτησεν,

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκε'.

Τῷ τοῦ Πολεμάρχου, ξυνέβη μὲν τῷ ἔμπροσθεν χρόνῳ ἐμπυωθῆναί τε καὶ ἀποχρέμψασθαι. ὕστερον δὲ θέρμαι αὐτὸν ἧσαν, καὶ ὑδρωπιώδης ἦν, καὶ ἐπισπλήνιος, καὶ ἀσθματώδης, πρὸς αἶπος εἴ ποτε οἴοι, ἀδύνατος, καὶ διψώδης, καὶ ἀπόσιτος ἐπιεικῶς ἐστὶν ὅτε, καὶ βηχία ξηρὰ ἐπὶ πουλὺν χρόνον οὕτως ἐγίνετο, ὑπεφέρετο καὶ εἰ μή τι εὔλυτος, κοιλίη κάτω πλήρης ἐγίνετο, καὶ ἆσθμα, καὶ πνῖγμα ἐγίνετο μᾶλλον, τέλεος δὲ κατάῤῥοος, καὶ ἀπόχρεμψις ἐπικατῆλθε, καὶ βὴξ· ἡ δὲ ἀπόχρεμψις παχεῖα καὶ ὠχρά. πύα δὲ καὶ πυρετὸς σφοδρὸς, καὶ ἐδόκει λῆξαι, καὶ ἡ βὴξ πρηϋτέρη, καὶ ἡ ἀπόχρεμψις καθαρή. ὑπέστρεψε πάλιν ὀξὺς πυρετὸς, πνεῦμα πυκνὸν, ἐτελεύτησε, πρὶν δὲ προσεῤῥίγωσε πόδας, καὶ κατεψύχθη μετὰ ταῦτα, πνεῦμα μᾶλλον ἐγκατελήφθη, ἡ οὔρησις ἔστη. τὰ ἄκρεα κατεψύχθη ἔμφρων ἐτελεύτησε. τεταρταῖος δὲ ἀπὸ τῆς ὑποστροφῆς.

ΑΡΡΩΣΤΟΣ ρκ'.

Ὁ τοῦ Θυνοῦ σφόδρα ἐν πυρετῷ ἐλιμοκτονήθη, πολλὰ ἔπαθε τὰ ὀξέα συμπτώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκς'.

Τῷ τοῦ Θυνοῦ σφόδρα ἐν πυρετῷ καυσώδει ἐλιμοκτονήθη, ὑποχώρησις συχνὴ, μετὰ χολῆς δὲ ἐγένετο, καὶ μετὰ ἀψυχίης, καὶ ἱδρῶτος πολλοῦ, κατεψύχθη σφόδρα, καὶ ἄφωνος ἦν ἡμέρην ὅλην καὶ νύκτα· ἐγχεόμενος χυλὸν πτισάνης, κατείχετο, ἐφρόνει εὔπνοος ἦν.

A

ΑΡΡΩΣΤΟΣ ρκα'.

Ὁ Ἐπιχάρμου παῖς ἐκ περιόδου καὶ ποτοῦ ἀπεψίη, τῇ ὑστεραίῃ δὲ περὶ ἄσης γινομένης καὶ τὰ ἄλλα παθὼν συμπτώματα, τῇ τετάρτῃ ἄγρυπνος ἀπέθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζρ'.

B ΤΩι Ἐπιχάρμου ξυνέβη ἐκ περιόδου, καὶ ποτοῦ ἀπεψίη, τῇ ὑστεραίῃ δὲ περὶ ἄσης γινομένης, πιὼν ὕδωρ, ὄξος, ἅλας, ἐξήμεσε φλέγμα, μετὰ δὲ ῥῖγος ἔλαβεν, ἐλούσατο πυρεταίνων, καὶ στῆθος ἤλγει. τῇ τρίτῃ εὐθὺς περὶ, κῶμα, ὀλίγον χρόνον ἐπεῖχεν, καὶ ἐπελήρει, καὶ πυρετὸς ὀξὺς, βαρέως ἔφερε τὴν νόσον. τῇ τετάρτῃ, ἄγρυπνος ἀπέθανεν.

ÆGROTUS CXXI.

Epimarchi puer, cui ex deambulatione & potu cruditas contigit. Postridie suborta anxietate, aliaque passus symptomata quarto pervigil mortuus est.

HIPPOCRATIS TEXTUS CXXVII.

EPicharmi puero ex deambulatione & potu cruditas contigit. Postridie autem mane suborta anxietate, epota aqua cum aceto & sale pituitam vomitione rejecit, posteaque rige prehendit, in febre lavit, pectus dolebat. Tertio die sub ipsum crepusculum sopor exiguo tempore detinebat, delirabat & febre acuta vexabatur, morbum gravare differebat. Quarto pervigil mortuus est.

ΑΡΡΩΣΤΟΣ ρκβ'.

C Ἀρίστων, ᾧ δακτύλου τοῦ ποδὸς ἡλκωμένου ξὺν πυρετῷ τὸ γαγγραινῶδες ἀνέδραμεν ἄχρι πρὸς γόνυ, ἀπώλετο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκη'.

ΑΡίστωνι, δακτύλου τοῦ ποδὸς ἡλκωμένου, ξὺν πυρετῷ, ἀπάφεια, τὸ γαγγραινῶδες, ἀνέδραμεν ἄχρι πρὸς γόνυ, ἀπώλετο· ἦν δὲ μέλαν ὑπόξηρον, δυσῶδες.

ÆGROTUS CXXII.

Aristo cui digito pedis ulcerato cum febre gangræna ad genu usque ducta periit.

HIPPOCRATIS TEXTUS CXXVIII.

ARistoni pedis digito ulcerato cum febre vocis obscuritas aderat gangræna ad genu usque pervenit, periit. Ulcus autem erat nigrum, subaridum & graveolens.

D Καρκίνωμα φάρυγγι καυθεὶς ὑγιὴς ἐγένετο ὑπ' Ἱπποκράτους.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκθ'.

Ὁ τὸ καρκίνωμα τὸ ἐν τῇ φάρυγγι καυθεὶς, ὑγιὴς ἐγένετο ὑφ' ἡμέων.

Cancer in faucibus ustione curatus per Hippocratem.

HIPPOCRATIS TEXTUS CXXIX.

QUi cancrum in faucibus habebat, ustione per nos convaluit.

ΑΡΡΩΣΤΟΣ ρκδ'.

E Ἐν Ἀβδήροισι Πολύφαντος κεφαλὴν ὠδυνᾶτο, ἐν πυρετῷ σφοδρῷ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρλ'.

ΠΟλύφαντος ἐν Ἀβδήροισι κεφαλὴν ὠδυνᾶτο, ἐν πυρετῷ σφοδρῷ, οὖρα λεπτὰ πολλὰ, ὑποστάσιες δασεῖαι καὶ ἀνατεταραγμέναι, οὐ παυομένου καὶ τοῦ ἀλγήματος τῆς κεφαλῆς, πταρμικὰ προσετέθη ἐόντι δεκαταίῳ. μετὰ δὲ ἐς τράχηλον ὀδύνη ἰσχυρὴ, οὖρον ἦλθεν ἐρυθρὸν, ἀνατεταραγμένον οἷον τὸ τῶν ὑποζυγίων, παρέκρουσε τρόπον φρενιτικὸν ἀπέθανεν ἐν σπασμοῖσιν ἰσχυροῖσιν. F

ÆGROTUS CXXIV.

Abderis Polyphantus cephalalgia in vehementi febre vexatus convulsionibus obiit.

HIPPOCRATIS TEXTUS CXXX.

ABderis Poliphantus capitis dolore in vehementi febre vexabatur, urinæ tenues, copiosæ, sedimenta crassa, & returbata. Quum vero capitis dolor minimè conquiesceret, sternutamenta sunt naribus admota decimo die. Post hæc autem dolor vehemens cervicem invasit, urina rubra prodiit returbida qualis veterini generis. Velut phrenitide captus, mente motus est cum vehementibus convulsionibus.

ÆGROTUS CXXV.

Evalcidæ famula, cui urinæ diu densæ prodirent, & capitis dolores adessent, phrenitide & convulsionibus vexata mortua est.

HIPPOCRATIS TEXTUS CXXXI.

AD eundem quoque modum Evalcidæ famula quum ei multo tempore urinæ densæ prodirent, & capitis dolores adessent, phrenitide correpta & vehementibus convulsionibus similiter vexata mortua est: Fere enim urinæ spissæ & conturbatæ capitis doloris convulsionis & mortis indubitatum signum præ se ferunt.

ΑΡΡΩΣΤΟΣ ρκε'.

Ἡ τοῦ Εὐαλκίδου οἰκέτις, ἔνθα οἱ πολλὸν χρόνον τὰ δασέα ἐχώρει οὖρα, καὶ κεφαλαλγίαι ἐνῆσαν, φρενιτικὴ γενομένη, καὶ σπασμοῖσι πονουμένη ἀπέθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρλα'.

B ΠΑραπλησίως δὲ καὶ ἡ τοῦ Εὐαλκίδου οἰκέτις, ἔνθα οἱ πολλὸν χρόνον τὰ δασέα ἐχώρει οὖρα, καὶ κεφαλαλγίαι ἐνῆσαν, φρενιτικὴ γενομένη, ἀπέθανεν. ὡσαύτως σπασμοῖσιν ἰσχυροῖσι. πάνυ γὰρ τὰ δασέα οὖρα καὶ ἀνατεταραγμένα σημεῖον ἀκριβὲς κεφαλαλγίης, καὶ σπασμοῦ, καὶ θανάτου.

ÆGROTUS CXXVI.

Halicarnasseus per hyemem auris & capitis dolore non mediocri tenebatur, multa passus symptomata phreniticus mortuus est.

HIPPOCRATIS TEXTUS CXXXII.

HAlicarnasseus quidam qui ad Xantippi domum divertebat, per hyemem auris & capitis dolore non mediocri tenebatur. Erat autem annorum prope quinquaginta. Vena juxta Mnesimarchum pertusa est. Caput evacuatum ac perfrigeratum noxam sensit; neque enim pus reddidit. Phreniticus evasit, mortuus est. Huic quoque urinæ spissæ erant.

ΑΡΡΩΣΤΟΣ ρκϛ'.

C Ὁ Ἁλικαρνασσεὺς οὖς ἐν χειμῶνι ὠδυνᾶτο καὶ κεφαλὴν οὐ μετρίως, πολλὰ τὰ συμπτώματα, φρενιτικὸς ἀπέθανε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρλβ'.

Ὁ δὲ Ἁλικαρνασσεὺς ὁ ἐν τῇ Ξανθίππου οἰκίῃ καταλύων οὖς ἐν χειμῶνι ὠδυνᾶτο, καὶ κεφαλὴν οὐ μετρίως, ἦν δὲ περὶ ἔτεα πεντήκοντα, φλέβα ἐτμήθη, κατὰ Μνησίμαχον, ἐβλάβη ἡ κεφαλὴ, κενωθεῖσα, καὶ ψυχθεῖσα, οὐ γὰρ ἐξεπύησεν, φρενιτικὸς ἐγένετο, ἀπέθανε.
D οὖρα, καὶ τούτῳ δασέα.

ÆGROTUS CXXVII.

Metrodori filio ex dentium dolore, maxillæ corruptio, tum maxillæ, tum molares deciderunt.

HIPPOCRATIS TEXTUS CXXXIII.

IN cardia Metrodori filio ex dentium dolore maxillæ corruptio, & vehementer supercrescens in gingivis caro, ac moderata suppuratio contigit, tum molares, tum maxilla ipsa deciderunt.

ΑΡΡΩΣΤΟΣ ρκζ'.

Ὁ τοῦ Μητροδώρου παῖς ἐξ ὀδόντων σφακελισμὸς σιαγόνος, ἐξέπεσον οἵ τε γόμφοι, καὶ ἡ σιαγών.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρλγ'.

ΕΝ καρδίῃ τῷ Μητροδώρου παιδὶ ἐξ ὀδόντων ὀδύ-
E νη, σφακελισμὸς σιαγόνος, καὶ οὐλέων ὑπερσάρκωσις δεινὴ, μετρίως ἐξεπύησεν, ἐξέπεσον οἵ τε γόμφοι καὶ ἡ σιαγών.

ÆGROTUS CXXVIII.

Abderæ Anaxenor lienosus & vitiato colore. Ad femur sinistrum obortus est tumor, qui derepente evanesceret. Postea ad lienis regionem pustula epynectis exorta est, post quartum diem febris ardens suborta est, ac mortuus est.

HIPPOCRATIS TEXTUS CXXXIV.

ABderæ Anaxenor splenicus erat, & vitiato colore. Contigit autem ipsi ut obortus ad femur sinistrum tumor derepente evanesceret. Neque multis pòst diebus, ad lienis regionem, exorta ei est per initia velut pustula no-

ΑΡΡΩΣΤΟΣ ρκη'.

Ἐν Ἀβδήροισιν Ἀναξήνωρ σπληνώδης καὶ κακόχροος, ᾧ ξυνέβη οἰδήματος γενομένου περὶ μηρὸν τὸν ἀριστερὸν, ἐξαπίνης τοῦτο ἀφανισθῆναι, ὕστερον κατὰ τὸν σπλῆνα
F ἡ ἐπινυκτὶς γενομένη, μετὰ τετάρτην ἡμέρην πυρετὸς ἐγένετο, καὶ ἀπέθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρλδ'.

ΑΝαξήνωρ ἐν Ἀβδήροισιν, ἦν μὲν σπληνώδης, καὶ κακόχροος, ξυνέβη δὲ αὐτῷ οἰδήματος γενομένου περὶ μηρὸν τὸν ἀριστερὸν, ἐξαπίνης τοῦτο ἀφανισθῆναι. οὐ πολλῇσι δὲ ὕστερον ἡμέρῃσιν ἐγενήθη αὐτῷ κατὰ τὸν

πόλιν α, ὅτε ἐπινυκτὶς ἐξ ἀρχῆς, ἔπι δὲ οἴδημα καὶ ἐρύθημα σκληρόν· μετὰ δὲ ἡμέρην τετάρτην πυρετὸς ἐγένετο καυσώδης, καὶ ἐπελιδνώθη πάντα κύκλῳ, καὶ σαπρὰ ἐδόκει, ἀπέθανεν, ὑποκαθαρθεὶς δὲ πρότερον καὶ κατενόει.

A cturna inquietans epinyctis dicta, insuperque tumor cum rubore & duritie. Post diem autem quartum febris ardens suborta est, & in ambitu omnia livorem contraxerunt, & computruisse visa sunt. Mortuus est, quum tamen antea aliquantulum purgatus, & mentis compos fuisset.

ΑΡΡΩΣΤΟΣ ρκθ'.

Κόνιγος ὁ νεφριτικὸς οὔρει αἷμα κατὰ σμικρὸν, ἥ τε ὤχλει καὶ κοιλίη δυσεντερική. καὶ πρωῒ μὲν ἐδίδοτο γάλα αἴγειον, καὶ ὕδατος πέμπτη μέρεις, καὶ ὑγιὴς ἐγένετο.

ÆGROTUS CXXIX.

B *Clonigus renum doloribus vexatus sanguinem paulatim meiebat & alvus dysenteria laborabat, & lactis caprilli usu cum aqua parte quinta vixit, & convaluit.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρκε'.

ΚΛόνιγος ἐν Ἀβδήροισι, ὢν μὲν νεφριτικὸς, οὔρει δὲ αἷμα κατὰ σμικρὸν κατὰ πουλὺ χαλεπῶς, ὤχλει δὲ καὶ κοιλίη δυσεντερική. τούτῳ πρωῒ μὲν ἐδίδοτο γάλα αἴγειον, καὶ ὕδατος πέμπτη μέρεις ἀναζεννύμενον τὸ πᾶν κοτύλαι τρεῖς, ἑσπέρην δὲ ἄρτος μὲν ἐξόπτιος, ὄψα δὲ, σεῦτλα, ἢ σίκυος, οἶνος μέλας λεπτός, ἐδίδοτο δὲ καὶ σίκυον πέπονα, τούτῳ δὲ διαιτωμένῳ καὶ ἡ κοιλίη ξυνέστη, καὶ τὰ οὖρα καθαρὰ ἐφοίτα, ἐγαλακτοπότησε δὲ, ἕως τὰ οὖρα ἀποκατέστη.

HIPPOCRATIS TEXTUS CXXXV.

ABderæ Cleonigus quum renum quidem doloribus vexaretur, sanguinem paulatim meiebat, plerumque cum molestia, & alvus dysenteria laborabat. Huic mane lac caprillum cum quinta aquæ parte est exhibitum, ita ut
C tota mixtura heminarum trium esset. Ad vesperã autem cum pane quidem exassato, pro obsonio beta aut cucumis, vinum nigrum & tenue. Exhibebatur etiam cucumeralis pepo. Hac autem victus ratione, & alvus subsistit, & puræ urinæ prodibant. In lactis autem potu perseveravit, tantisper dum urinæ restitutæ sunt.

ΑΡΡΩΣΤΟΣ ρλ'.

Ἐν Ἀβδήροισι γυνὴ ἡ περὶ τὸ στῆθος καρκίνωμα εἶχε· καὶ ἐπιληφθείσης τῆς ῥύσιος, ἀπέθανεν.

ÆGROTUS CXXX.

Abderæ mulier, quæ circa pectus carcinoma morbosum habebat, & intercepta fluxione
D *mortua est.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρλϛ'.

ΓΥναικὶ ἐν Ἀβδήροισι, καρκίνωμα ἐγένετο περὶ τὸ στῆθος. ἦν δὲ τοιοῦτον, διὰ τῆς θηλῆς ἰχὼρ ὕφαιμος ἔρρει, ἐπιληφθείσης δὲ τῆς ῥύσιος, ἀπέθανεν.

HIPPOCRATIS TEXTUS CXXXVI.

ABderæ mulieri cuidam circa pectus carcinoma exortum est. Erat autem hujusmodi: per papillam sanies subcruenta effluebat. Intercepta verò fluxione, mortua est.

ΑΡΡΩΣΤΟΣ ρλα'.

Τὸ τοῦ Δεινίου παιδίον μετρίως τρωθὲν, ᾧ συρίγγιον κατελείφθη, ὃ ἡ ἕλμις διῆλθεν ἁδρὰ, καὶ πυρέξει χολώδεα πυρετὸν χαλεπῶς ἐπόνησε.

ÆGROTUS CXXXI.

E *Dinii filius ad umbilicum mediocriter sauciatus, cui fistula parva relicta est quam lumbricus crassus pervasit, febricula correptus graviter laboravit.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρλζ'.

ΤΩι Δεινίου παιδίῳ ἐν Ἀβδήροισι μετρίως ὀμφαλὸν τρωθέντι, συρίγγιον κατελείφθη, καί ποτε καὶ ἕλμις δὲ ἑωυτῆς διῆλθεν ἁδρὰ, καὶ ἔφη ὅτε πυρέξει χολώδεα, ὅθι καὶ αὐτὰ ταύτῃ διήει. προσπεπτώκει τούτῳ τὸ ἔντερον πρὸς τῷ συριγγίῳ, καὶ διεβιβρώσκετο ὡς τὸ συρίγγιον, καὶ ἐπαμερρήγνυτο, καὶ βηχία ἐκώλυε διαμένειν.

HIPPOCRATIS TEXTUS CXXXVII.

ABderæ Dinii filio ad umbilicum mediocriter sauciato fistula parva relicta est, interdumque lumbricus crassus per se pervasit, quumque febricitaret (ut aiebat) biliosa, quo
F & ipsa hæc prodibant. Huic intestinum in fistulam prolapsum est, ac velut fistula corrodebatur, rursusque disrumpebatur, tussiculæque intus permanere non sinebant.

A

ÆGROTUS CXXXII.

Pythonis filius febricitavit cum magna ad somnum propensione, & multa hic scripta symptomata passus, & Cholagogo hic posito purgatus est: cessarunt symptomata & decimoquarto die judicio absolutus est.

ΑΡΡΩΣΤΟΣ ρλβʹ.

Τὸ τοῦ Πυθῶνος παιδίον πυρετὸς ἔλαβε σὺν καταφορῇ, πολλῇ εἰς τὸν ὕπνον, καὶ πολλὰ ἐκεῖ γεγραμμένα τὰ συμπτώματα παθὸν, καὶ χολαγωγῷ τεθειμμένῳ κατάρθη, καὶ τεσσαρεσκαιδεκαταῖος ἐκρίθη.

HIPPOCRATIS TEXTUS CXXXVIII.

IN Pela Pythonis filius confestim multum febricitare cœpit cum magna in somnum propensione cum vocis defectione somni fiebant, alvusque toto tempore dura erat. Blande vero ex felle supposita, multa dejiciebat, statimque remittebat. Celeriter autem alvus rursus intumescebat, febris ingravescebat, eademque in somnum propensio perseverabat. Eodem autem rei statu exhibitum est aliquid medicamenti ex his quæ chartamum & cucumerem agrestem, & meconium recipiunt, biliosa eruperunt, confestimque sopor cessavit, febris mitescebat, cunctaque allevata sunt, & decimoquarto die judicio est absolutus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρληʹ.

B ΤΩι παιδίῳ τῷ Πυθῶνος ἐν Πέλῃ πυρετὸς αὐτίκα ἤρξατο πουλὺς, καὶ καταφορὴ πουλλὴ μετὰ ἀφωνίης, ὕπνοι ἐγίνοντο, καὶ κοιλίη σκληρὴ, παρὰ πάντα τὸν χρόνον· προστιθεμένου δὲ τοῦ ἐκ τῆς χολῆς, πολλὰ διεχώρει, καὶ αὐτίκα ἐνεδίδου· τάχυ δὲ πάλιν ἡ κοιλίη ἐπήρετο, καὶ ὁ πυρετὸς προσεξωξύνετο, καὶ ἡ καταφορὴ διὰ τῶν αὐτῶν. τῆς δὲ αὐτῆς ἀγωγῆς ἐούσης, ἐδόθη τι τῶν σὺν κνίκῳ, καὶ σικύου, καὶ μηκωνίου, καὶ χολώδεα κατέρρηξε, καὶ αὐτίκα τὸ σῶμα ἐπέπαυτο, καὶ ὁ πυρετὸς ἐπρηΰνετο, καὶ τὰ ὅλα ἐκουφίσθη, καὶ ἐκρίθη τεσσαρεσκαιδεκαταῖος.

C

ÆGROTUS CXXXIII.

Eudemus lienis dolore vehementer vexatus contra diætam à Medico imperatam vixit & convaluit.

ΑΡΡΩΣΤΟΣ ρλγʹ.

Εὔδημος σπλῆνα ἐπόνει ἰσχυρῶς ἀντὶ τῆς διαίτης ἀπὸ τοῦ ἰατροῦ κελευθείσης βεβίωκε, καὶ ὑγιάνθη.

HIPPOCRATIS TEXTUS CXXXIX.

D

EUdemo lienis dolore vehementer conflictato à Medicis est imperatum ut multa comederet, vinum paucum tenue biberet, frequenter deambularet, ex qua victus ratione nihil immutabat. Vena secta est, cibos & potum parcè sumpsit, deambulationes sensim auctæ sunt, vinum nigrum, tenue est exhibitum, convaluit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρλθʹ.

ΕΥδημος σπλῆνα ἐπόνει ἰσχυρῶς. προσετάττετο ὑπὸ τῶν ἰητρῶν ἐσθίειν πουλλὰ, πίνειν οἶνον ὀλίγον λεπτὸν, περιπατεῖν συχνὰ, οὐ μετέβαλλεν, ἐφλεβοτομήθη. σιτία καὶ ποτὰ πεφεισμένως, περίπατοι ἐκ προσαγωγῆς, οἶνος μέλας λεπτὸς ὑγιάνθη.

E

ÆGROTUS CXXXIV.

Philistides Heraclidæ uxor quam febris acuta invasit, quæ passa est adusque finem morbi symptomata hic scribuntur, septimo die crisi convaluit.

ΑΡΡΩΣΤΟΣ ρλδʹ.

Φίλιστις ἡ τοῦ Ἡρακλείδου γυνὴ, ἣ ἤρξατο πυρετὸς ὀξὺς, ἃ ἔπαθεν πρὸς τὸ τοῦ νοσήματος τέλος συμπτώματα ἐκεῖ γράφεται, ἡμέρᾳ ἑκταίῃ τῆς κρίσεως ὑγιάνθη.

HIPPOCRATIS TEXTUS CXL.

PHilistidem Heraclidæ conjugem febris acuta invasit, faciei rubor nulla ex evidente causa. Paulo vero post procedente die, rigore correpta, quum non recalesceret, convulsio in manuum digitis ac pedum oborta est, paulumque postea incaluit. Urinas reddidit, compacta quædam innatantia, nebulosa, divulsa habentes, per noctem dormivit. Secundo die insuper riguit, per diem paulo magis incaluit, & rubor minor erat, & convulsiones moderatiores succedebant, urinæ

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμʹ.

ΦΙλιστίδι τῇ Ἡρακλείδου γυναικὶ, ἤρξατο πυρετὸς ὀξὺς, ἔρευθος προσώπου, ἐξ οὐδεμιῆς προφάσιος, ὀλίγον δ' ὕστερον τῆς ἡμέρης ἐρρίγωσεν, οὐκ διαθερμανθείσης, σπασμὸς ἐγένετο, ἐν τοῖσι δακτύλοισι τῶν χειρῶν καὶ τῶν ποδῶν, σμικρὸν δὲ μετὰ ταῦτα ἐπεθερμάνθη, οὔρησε ἐφιώδεα, νεφελώδεα, διεσπασμένα, νύκτα ἐκοιμήθη. δευτέρη ἐπερρίγωσεν, ἡμέρῃ σμικρῷ μᾶλλον ἐθερμάνθη, καὶ τὸ ἔρευθος ἧσσον, καὶ οἱ σπασμοὶ ἐπεγίνοντο μετριώτεροι. οὖρα διὰ τῶν αὐ-

F

τῇ, νύκτα ἐκοιμήθη, σμικρὰ διαγρυπνήσασα μηδεμιῆς δυσφορίης ἐνεούσης. τριταίη οὔρησεν ἐρυθρότερα, σμικρὰ ὑφεστηκότα, τὴν δ' αὐτὴν ὥρην ἐπερρίγωσεν, πυρετὸς ὀξὺς, ἱδρὼς ἐς νύκτα δι' ὅλου, ὀψὲ δὲ τῆς ἡμέρης τὸ χρῶμα ἀνεβράπη εἰς τὸν ἰκτερώδεα τρόπον, νύκτα ὕπνωσε δι' ὅλου. τεταρταίη αἷμα ἐκ τοῦ ἀριστεροῦ ἐρρύει καλῶς, καὶ γυναικεῖα σμικρὰ ἐπεφαίνει ἐν τάξει. πάλιν δὲ τὴν αὐτὴν ὥρην, τὸ πυρέτιον παρωξύνθη, οὖρα τροφιώδεα σμικρά. κοιλίη δὲ, φύσει μὲν σκληρὴ, πολὺ δὲ μᾶλλον ξυνεστήκει, καὶ οὐδὲν διήει, εἰ μὴ βάλανον προσθοῖτο, νύκτα ὕπνωσε. πεμπταίη τό, τε πυρέτιον πρηΰτερον, καὶ πρὸς τὴν ἑσπέρην δι' ὅλου ἱδρου, καὶ γυναικείων χώρησις, καὶ νύκτα ὕπνωσεν. ἑκταίη, οὔρησεν ἀθρόον πουλὺ τροφιώδες, σμικρὴν ὑπόστασιν ἔχον ὁμόχροον. περὶ δὲ μέσον ἡμέρης, σμικρὰ ἐρρίγωσεν, ὑπεθερμάνθη, ἵδρωσε δι' ὅλου. οὖρα εὔχροα, ἐκρίθη πάντα.

A eædem, noctem dormivit, parum pervigil fuit cum nulla ægrè tolerabili molestia. Tertio die urinas coloratas magis reddidit parùm subsidentes. Sub idem tempus subinde rigor prehendit, febris acuta, sudor per noctem toto corpore dimanavit. Sub vesperum autem diei color in regii morbi modum versus est, noctu dormivit, & sudor toto corpore effluxit. Quarto die sanguis ex nare sinistra probè effluxit, & menstrua pauca B suo ordine comparuerunt. Rursus autem eodem tempore febricula ingravescebat, urinæ paucæ densata quædam innatantia habentes; Alvus autem quum natura dura esset, multo tamen magis substitit, nihilque nisi subdita glande demittebat, noctu dormivit. Quinto die tum febricula mitior facta est, tum sub vesperum sudor toto corpore effusus est & menstrua profluxerunt, noctuque dormivit. Sexto die urinam confertam, multam, densata quædam innatantia & paucum sedimentum concolorem habentem reddidit. C Circa meridiem autem paulum insuper riguit, aliquantulum incaluit, sudor toto corpore dimanavit, nocte dormivit. Septimo die parum recaluit, facile tulit, totó corpore sudavit, urinæ probe coloratæ erant, cuncta judicatione sunt absoluta.

ΑΡΡΩΣΤΟΣ ρλε'.

Τύχων ἐκπλήγη καταπέλτῃ ἐς τὸ στῆθος τρίτῃ περὶ μέσον ἡμέρης ἐτελεύτησεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμα'.

Τύχων ἐν τῇ πολιορκίῃ τῇ περὶ Δάτον ἐπλήγη καταπέλτῃ ἐς τὸ στῆθος, καὶ μετ' ὀλίγον γέλως ἦν περὶ αὐτὸν θορυβώδης, ἐδόκει δέ μοι ὁ ἰητρὸς ἐξαίρων τὸ ξύλον, ἐγκαταλιπεῖν τὸ σίδηρον, κατὰ τὸ διάφραγμα. ἀλγέοντος δὲ αὐτοῦ περὶ τὴν ἑσπέρην, ἔκλυσέ τε καὶ ἐφαρμάκευσε, κατὰ νύκτα διήγαγε τὴν πρώτην δυσφόρως, ἅμα δὲ τῇ ἡμέρῃ, ἐδόκει καὶ τῷ ἰητρῷ καὶ τοῖσιν ἄλλοισι βέλτιον ἔχειν. ἦν γὰρ ἡσυχέος. προῤῥησις ὅτι σπασμοῦ γινομένου οὐ βραδέως ἀπολεῖται, ἐς τὴν ἐπιοῦσαν νύκτα δύσφορος, ἄγρυπνος, ἐπὶ γαστέρα τὰ πολλὰ κείμενος. τρίτῃ πρωῒ ἐσπάτο, περὶ μέσον ἡμέρης ἐτελεύτησεν.

ÆGROTUS CXXXV.

Tychon catapulta in pectus vulnus accepit, tertio die sub meridiem mortuus est.

D HIPPOCRATIS TEXTUS CXLI.

In oppugnatione circa Datum Tychon catapulta in pectus vulnus accepit, parvoque pòst intervallo risus cum perturbatione ipsi aderat. Videbatur autem Medicus quum lignum eximeret, ferrum circa septum transversum reliquisse, quumque sub vesperam ei dolor commotus esset; infusum per clysterem & medicamentum alvum dejiciens exhibuit. Primam noctem implacide transegit. Sub diluculum vero & medico, & reliquis E melius habere visus est, placidus quippe erat. Prædictum est, accedente convulsione celeriter periturum. Postera nocte implacidus, pervigil in ventrem plerunque decumbens, tertio die mane convulsione tentabatur, sub meridiem mortuus est,

---

ΑΡΡΩΣΤΟΣ ρλϛ'.

Εὐνοῦχος ἐκ κυνηγεσίης ὑδεραγωγὸς γέγονε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμβ'.

Εὐνοῦχος ἐκ κυνηγεσίης καὶ διαδρομῆς, ὑδεραγωγὸς γέγονε.

ÆGROTUS CXXXVI.

Eunuchus ex venatu hydropicus factus est.

F HIPPOCRATIS TEXTUS CXLII.

Eunuchus ex venatione, & discursatione hydropicus factus est.

A

ÆGROTUS CXXXVII.

Qui Elealcis fontem habitabat per sex annos ex equitatione inguinum tumorem habuit, varices & coxendicum dolores.

HIPPOCRATIS TEXTUS CXLV.

QUi circa Eleacis fontem ad sex annos ex equitatione inguinum tumorem habuit, varices, coxendicum, & diuturnas defluxiones & coxendicem, aut articulos.

ΑΡΡΩΣΤΟΣ ρλζʹ.

Ο παρὰ τῆς Ελεαλκέος κρήνης ὁ περὶ τὰ ἓξ ἔτεα, ἱππουείν τε, καὶ βουβῶνα, καὶ ἰξίν, καὶ κέδματα εἶχε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμδʹ.

B Ο Παρὰ τὴν Ελεαλκέος κρήνην, ὁ περὶ τὰ ἓξ ἔτεα ἱππουείν τε καὶ βουβῶνα, καὶ ἰξίν καὶ κέδματα.

ÆGROTUS CXXXVII.

Tabefactus septimo die interiit.

HIPPOCRATIS TEXTVS CXLVI.

QUidam ad lateris inanitatem tabefactus septimo die mortuus est.

ΑΡΡΩΣΤΟΣ ρληʹ.

Τὸν κενεῶνα φθινήσας ἑβδομαῖος ἀπέθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμςʹ.

C Ο Τὸν κενεῶνα φθινήσας, ἑβδομαῖος ἀπέθανεν.

ÆGROTUS CXXXIX.

Crudum pus prius expuenti salsa cum melle exhibenda sunt.

HIPPOCRATIS TEXTUS CXLVII.

QUibus pus prius crudum expuentibus salsa cum melle exhibenda sunt.

ΑΡΡΩΣΤΟΣ ρλθʹ.

Απεπλον περιπτυουσῶν ἁλμυρὰ μετὰ μέλιτος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμζʹ.

D Περιπτυουσῶν ἄπεπλον, ἁλμυρὰ μετὰ μέλιτος.

ÆGROTUS CXL.

Scortationem dysenteriæ mederi.

HIPPOCRATIS TEXTUS CLXVI.

IMpudens scortatio dysenteriæ medetur.

ΑΡΡΩΣΤΟΣ ρμʹ.

Πορνείην δυσεντερίης ἄκος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμςʹ.

Πορνείη ἀχρεωμος δυσεντερίης ἄκος.

E

ÆGROTUS CXLI.

Leonidæ filia natura ad impetum incitata sese avertit, aversa puella mortua est.

HIPPOCRATIS TEXTUS CXLVII.

LEonidæ filiæ natura ad impetum incitata sese avertit; atque ubi aversa est sanguinem ex naribus effudit, quo effuso permutata est, quod non vidit Medicus; puella mortua est.

ΑΡΡΩΣΤΟΣ ρμαʹ.

Τῇ Λεωνίδεω θυγατρὶ ἡ φύσις ὁρμήσασα ἀπεστράφη, ἀποστραφεῖσα ἡ παῖς ἀπέθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμζʹ.

F ΤΗι Λεωνίδεω θυγατρὶ, ἡ φύσις ὁρμήσασα ἀπεστράφη, ἀποστραφεῖσα, ἐμυκτήρισεν, μυκτηρίσασα διηλλάγη, ὁ ἰητρὸς οὐ ξυνεῖδεν, ἡ παῖς ἀπέθανεν.

ΑΡΡΩΣΤΟΣ ρμβ'.

Ο Φιλοτίμου παῖς, ἐν ᾧ κρανίον ὀστέον ἔρημον ἰητρικῆς ἐς ἰηχῖνα τὰ κρύφημα ἐςῶτα οὐκ ὁρᾷ ὁ Ἱπποκράτης.

A

Ægrotus CXLII.

Philotimi filius, in quo ubi calvariæ os arte medica destitutum occulta animi sensa ad curationem non sat constare videbat Hippocrates.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρμη'.

Ο Φιλοτίμου παῖς ἔφηβος, ἦλθεν εἰς με. εὑρὼν κρανίον ὀστέον ἔρημον ἰητρικῆς ἐς ἰηχῖνα τὰ κρύφημα οὐκ ὁρῶν ἐςῶτα.

HIPPOCRATIS TEXTUS CXLVIII.

Philotimi filius ubi ad pubertatem pervenit, ad me venit. In quo ubi calvariæ os arte medica destitutum invenissem, occulta animi sensa ad curationem non satis constare videbam.

EPIDEMIORUM FINIS.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΩΝ ΑΦΟΡΙΣΜΩΝ ΒΙΒΛΙΑ ΟΚΤΩ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟΥΣ ΑΦΟΡΙΣΜΟΥΣ ΥΠΟΜΝΗΜΑΤΑ ΕΠΤΑ.

HIPPOCRATIS APHORISMORVM LIBRI OCTO, ET GALENI IN EOS COMMENTARII SEPTEM.

ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

Οἱ τῶν ἐνδείξεων σκοποί· αἱ τοῦ νοσέοντος δυνάμεις· ἡ νοσήματος φύσις, καὶ χρόνοι· ἡ κακοχυμία· τοῦ χυμοῦ κίνησις· τὰ συμπτώματα· οἱ παροξυσμοί· ἡμέρα κριτική· ἡ τοῦ μορίου φύσις· ἡλικία· χρόνος· ἔθος.

ARGVMENTVM LIBRI PRIMI.

Indicationum ſcopi; ægrotantis vires; morbi natura, ac tempora; Humor noxius; Humoris motus; Symptomata; Acceſſiones; Dies criticus; Partis natura; Ætas; Tempeſtas; Conſuetudo.

APHORISMVS I.

VITA breuis, ars longa, occaſio præceps, experientia periculoſa, iudicium difficile. At medicum non ſolùm ſeipſum quæ deceant obeuntem; ſed & ægrotum, & aſtantes, & externa præſto eſſe oportet.

ΑΦΟΡΙΣΜΟΣ α.

A Ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. Δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. ἔνια

GALENI COMMENTARIVS.

HANC orationem, ſiue vnus ſit Aphoriſmus, ſiue duo, Procemium eſſe totius Operis ab omnibus propè ipſius Interpretibus conceſſum eſt. Quid verò ſibi Hippocrates tali vſus procemio velit, dictu difficillimũ eſt. Fortaſſis autem idip-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B ΟΤΙ μὲν οὖν οὗτος ὁ λόγος, εἴτε εἷς ἀφορισμός ἐστιν, εἴ τε δύο, προοίμιον ὑπάρχει τοῦ παντὸς συγγράμματος, ὡμολόγηται σχεδὸν ἅπασι τοῖς ἐξηγησαμένοις αὐτόν. Τί δὲ βουλόμενος ὁ Ἱπποκράτης ἐχρήσατο τοιούτῳ προοιμίῳ, τῶν ἀπορωτάτων ἐστί· Τάχα δ' αὖ

εὑρήσομεν αὐτό, τὰ κατὰ μέρος ἅπαντα τοῦ λόγου περιεσκεψάμενοι. A Τὸν μὲν βίον, ὅτι τῇ τέχνῃ παραβάλλων, ἔφη βραχὺν, ἅπασι σχεδὸν τοῖς ἐξηγησαμένοις τὸ βιβλίον πρόδηλον· Τὴν τέχνην δὲ αὐτὴν, διὰ τοῦτο ὑπολαμβάνω ἡγεῖσθαι μακρὰν, ὅτι τόν τε καιρὸν, ὀλίγου δεῖν, ἁπασῶν τῶν κατὰ μέρος ἐνεργειῶν, ὀλιγοχρόνιον ἔχει, καὶ κατὰ τοῦτο δύσληπτον, ὡς μακρᾶς δεῖσθαι τριβῆς, τὸν διαγνωσόμενον αὐτήν· Ὀργάνοιν τε δυοῖν ὄντοιν ὑφ᾽ οἷν εὑρίσκεται τὰ κατὰ τὰς τέχνας, τὸ μὲν ἕτερον, ἡ πεῖρα, σφαλερόν ἐστι· τὸ δὲ ἕτερον, ἡ ἐκ λόγου κρίσις, οὐκ εὐπετὲς, ἀλλ᾽ εἴπερ τι καὶ B ἄλλο, τῶν δυσκολωτάτων· Ὁ μὲν οὖν καιρός ἐστιν ὀξὺς, διὰ τὸ τῆς ὕλης ῥευστὸν, ἣν ἡ τέχνη μεταχειρίζεται· εὐμετάβλητον γὰρ ἡμῶν τὸ σῶμα, καὶ ῥᾳδίως ἀλλοιούμενον, οὐχ ὑπὸ τῶν ἔξωθεν αἰτίων μόνον, ἀλλὰ καὶ ἐξ ἑαυτοῦ. Σφαλερὰ δὲ ἡ πεῖρα, διὰ τὸ τῆς ὕλης ἀξίωμα, οὐ γὰρ δὴ διὰ τὸ μεταβάλλειν ἑτοίμως, ἐν γὰρ τῷ τοῦ καιροῦ βραχυχρονίῳ περιέχεται τοῦτο. Τὴν κρίσιν δὲ, εἰ μὲν, ὡς ἐγώ φημι, τὸν λόγον ἀκούει τις, εὔδηλον δήπου τὸ χαλεπώτατον αὐτῆς μέχρι τήμερον ἔτι ἀμφισβητούμενον· C Εἰ δὲ ὡς ἔνιοι τῶν ἐμπειρικῶν ὑπονοοῦσι, τὴν τῶν ἀποβαινόντων ἐκ πείρας ἐπίκρισιν, καὶ οὕτως εὔδηλον τὸ δυσκατόρθωτον αὐτῆς· Ἀλλ᾽ ὅτι γε δογματικός ἐστιν ὁ γράψας τὸ βιβλίον, ἐν ὅλῳ τῷ συγγράμματι δειχθήσεται. Τὸ μὲν οὖν πρότερον αὐτοῦ μέρος τοῦ προοιμίου, κατὰ τουτὶ τελευτᾷ. Τὸ δὲ δεύτερον, οὐχ ὡς ἀποφαινόμενος, ἀλλ᾽ ὡς συμβουλεύων γράφει. Δεῖ δὲ οὐ μόνον ἑαυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν, δυνάμει τοῦτο λέγων, ὡς εἰ μέλλεις ἐξετάζειν τε, D καὶ βασανίζειν τὴν ἐν τῷδε τῷ βιβλίῳ γεγραμμένων τὴν ἀλήθειαν, οὐ μόνον αὐτόν σε χρὴ τὸν ἰατρὸν ἅπαντα πράττειν προσηκόντως, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ, καὶ πρὸς τούτοις ἔτι, τὰ ἔξωθεν, ἀμέμπτως ἔχειν ἅπαντα. Γενήσεται τοίνυν ὁ μὲν πρότερος λόγος, ἓν τόδε τὸ κεφάλαιον ἔχων, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρά. τὰ γὰρ ἑξῆς ἅπαντα τοῦ, μακρὰν εἶναι τὴν τέχνην, ἀπόδειξιν ἔχει. μετὰ δὲ τοῦτον καὶ ὁ δεύτερος οἷον συμβουλὴν, ἢ συνθήκην τινὰ πρὸς τοὺς ἀναγνωσομένους τε καὶ κρινοῦντας αὐτοῦ τὸ E σύγγραμμα φέρων. Τί δὴ ποτ᾽ οὖν αὐτῷ βούλεται τὸ προγράψαι ἐν ἀρχῇ τοῦ βιβλίου, τὸ, βραχὺν εἶναι τὸν βίον, ὡς πρὸς τὸ τῆς τέχνης μέγεθος; ἐξ ἀρχῆς γὰρ ἡμῖν τοῦτο προὔκειτο. ἔνιοι μὲν οὖν βούλονται προτροπῆς ἕνεκεν τῶν ἀσκησόντων ἀξιολόγως τὴν τέχνην, ἔνιοι δὲ ἀποτροπῆς, ἔνιοι δὲ οἷον ἀποπείρας τινὸς καὶ διακρίσεως, τῶν τε ἀσκησόντων ἀξιολόγως τὴν τέχνην, καὶ τῶν μή. Ἔτι δὲ τὴν αἰτίαν ἀποδιδόναι φασὶν αὐτὸν, ἐν τῷδε, τοῦ δεῖν γράφειν συγγράμματα, F τινὲς δὲ τοῦ ἀφοριστικά. Τινὲς δὲ οἴονται τοῦ στοχαστικοῦ τῆς τέχνης ἐν τούτῳ τῷ λόγῳ τὰς αἰτίας αὐτὸν εἰρηκέναι, ἄλλοι δὲ, παρ᾽ ὅσας αἰτίας, ἀποτυγχάνουσιν οἱ ἰατροί. Οὗτοι μὲν οὖν, ἵν᾽ ἀπὸ τῶν ὑστάτων πρώτων ἄρξωμαι, παντάπασί μοι δοκοῦσιν οὐδὲν πρὸς ἔπος ἀποφαίνεσθαι. Τί γὰρ ἂν εἴη σοφὸν, ἢ τῆς

sum inueniemus, si singulas orationis partes considerauerimus. Quòd itaque *vitam breuem* dixerit artis comparatione, omnibus fere libri explicatoribus manifestum est: *artem* verò ipsam hac ratione *longam* ducere conijcio; tum quòd omnium fere operationum particularium occasionem habeat momentaneam, ob idque captu difficilem, vt diuturna indigeat exercitatione, ipsius dignotionem adepturus; tum quia, quum duo sint instrumenta ad res artium inueniendas necessaria, experientia, ac ex ratione iudicium: alterum quidem periculosum existit, alterum verò perarduum, imò si quid aliud maximam sortitur difficultatem. Est igitur *occasio præceps*, ob materiæ circà quam ars versatur, fluxum: Corpus enim nostrum mutationibus est obnoxium, neque à causis externis duntaxat, verumetiam ab internis (aut per se) facilè alteratur. *Periculosa* verò *experientia*, propter materiæ dignitatem; non enim certè ob facilem eius mutationem. Hæc namque in momentaneâ occasionis volubilitate continetur. Iudicium verò, si quis (vt ego assero) pro ratione accipiat, constat ipsam esse difficillimam, quum ad hunc vsque diem ea concertetur. Si verò, quemadmodum Empiricorum nonnulli augurantur, *per iudicium intelligat* eorum quæ experientiâ prodeunt, dignotionem, sic quoque constat eius integræ adeptionem difficilem. Verùm qui hunc scripsit librum, eum dogmaticum esse toto in Opere demonstrabitur. Atque ita prior proœmij pars huc vsque terminatur. Secundam autem scribit, non vt pronunciet; sed vt consulat. *At non solum seipsum quæ deceant obeuntem; sed & ægrotum, & astantes, & externa præsto esse oportet.* Huius pronunciati hæc vis est. Quod si quæ hoc in libro scribuntur, eorum veritatem exploraturus sis, ac diligenter examinaturus, non modò teipsum Medicum omnia decenter agere oportet; sed & ægrotum, eiusque ministros; ac prætereà externa citrà penuriam comparari vniuersa. Prior itaque sententia hoc vnum caput complectitur; *Vita breuis, ars longa.* Nam quæ cætera sequuntur, artem longam esse demonstrant. Atque huic succedens secunda *sententia*, tanquàm consilium, aut pactum quoddam tum librum lecturis, tum de eo iudicium laturis adfert. Sed quid tandem sibi vult dum statim initio libri hoc scribit, breuem esse vitam, si cum artis magnitudine conferatur? Nam id nobis ab exordio erat propositum. Nonnulli quidem arbitrantur exhortationis gratiâ artem præclarè professuris; nonnulli verò dehortationis *id pronunciasse*. Quidam autem ad explorationem ac dijudicationem, tum eorum qui gnauiter, tum eorum qui secùs in arte essent versaturi. Quidam etiamnum proferunt ipsum causam tradidisse, ob quam oportuit commentarios scribere; quidam addunt aphoristicos. Quidam autem hoc sermone augurantur ipsum coniectatricis artis causas protulisse; alij denique à quot causis Medici suo fine frustrentur. Hi igitur mihi (vt à postremis primùm exordiar) nihil prorsùs orationi consonum dicere videntur. Quid enim esset doctrinæ, aut

Hippocratis

Hippocratis sententiâ dignum, statim per operis initia docere, vel quòd ars quædam coniectatrix sit ars Medica, vel quòd eius frustremur fine, aut nobis ipsis, aut artis magnitudine? Sed & hæc verba. *At non solùm Medicum seipsum quæ deceant obeuntem, sed & ægrotum, & astantes, & externa præsto esse oportet*, contrarium omnino indicant. Hæc enim omnia scribere magis eum decet, qui profiteatur omnia, quæ hoc libro continentur, esse vera, quàm qui multas ob causas fateatur propositum finem non assequi. Non enim dixisset, *At non solùm Medicum oportet*; sed post illa verba, *Vita breuis, ars longa, occasio præceps, experientia periculosa, iudicium difficile*, hæc subiunxisset. Sed & Medicus ipse delinquit, & ægri, & eorum ministri. At sanè neque illi, qui dicunt ipsum *candidatos* dehortari, ex quibus dicit vitam, quidem esse breuem, artem verò longam, decenter loqui mihi videntur. Nam extremæ esset dementiæ, & simul opera posteris hominibus tanquam quid profuturum relinquere, & simul initio statim non solùm ab operis lectione, & eorum quæ in eo scripta sunt, doctrina dehortari, verùmetiam ab arte vniuersa, quam discendam esse denunciat. Qui verò proferunt ipsum ad artem amico labore capessendam exhortari (non enim aliter eam vniuersam, posse breui tempore, quum sit longa, cognosci) ij etsi quid veri dicunt, non tamen mihi videntur procemium, neque viri sententia dignum, neque ijs, quæ hoc in libro scribuntur, satis congruens ostendere; quemadmodum nec qui hunc sermonem, candidatorum ad artem accedentium exploratorem esse arbitrati sunt: Nam etsi verum est, quemadmodum à Platone est dictum, hac maximè via periculum eorum animi fieri, qui quancunque artem percepturi sint, si magnam atque arduam illis esse doctrinam ostenderimus; neque tamen id per librum, sed multis colloquijs agitur, neque mihi præsenti commentationi congruere videtur. Procemium si quidem oportet, ijs quæ in libro scribenda sunt, consentaneum esse. Nisi fortassis decernat *Hippocrates* omnium primos legi aphorismos, ob idque in operis procemio communem fecerit vniuersæ artis sermonem, quo ostendat non omnes posse pro arbitrio artem Medicam, quòd longa sit, ediscere; sed illos duntaxat, & quibus abundè tempus ad discendum suppetat, & natura sit idonea. Quod si probabile prorsùs esse appareat, hanc totius artis communem ipsum fecisse præfationem, nemo illos reprehendet, qui aiunt *Hippocratem* operis scribendi causam reddidisse: Fecit autem & in libro qui de Medici officinâ inscribitur, omnium lectionum commune procemium, quemadmodùm in illius libri explicatione demonstratum est. Quicunque igitur aut generis doctrinæ, aut in vniuersum vsus operum causam in procemio explicari proferunt, hi quid rectius cæteris sentire videntur: Nam & genus doctrinæ aphoristicum, quod omnes rei proprietates paucissimis verbis circumscribit, est vtilissimum desideranti breui tempore longam artem docere,

A Ἱπποκράτους ἄξιον γνώμης, ἀρχόμενον εὐθὺς τοῦ συγγράμματος· ἢ ὅτι στοχαστική τίς ἐστιν ἡ τέχνη διδάσκειν, ἢ ὅτι γε τοῦ τέλους ἀποτυγχάνομεν, ἤτοι δι' ἡμᾶς αὐτοὺς, ἢ διὰ τὸ τῆς τέχνης αὐτῆς μέγεθος. ἀλλὰ καὶ τό· δεῖ δὲ οὐ μόνον ἑαυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν, τοὐναντίον ἅπαν ἐνδείκνυται. Πρέπει γὰρ ταῦτα πάντα γράφειν τῷ πάντα ἐπαγγελλομένῳ, τὰ κατὰ τὸ βιβλίον ὑπάρχειν ἀληθῆ μᾶλλον, ἢ ὅστις ὁμολογεῖ διὰ πολλὰς αἰτίας ἁμαρτάνειν τοῦ τέλους. οὐ γὰρ ἂν εἶπε, δεῖ δέ· ἀλλὰ B μετὰ τὸ γράψαι, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὰ, ἡ δὲ κρίσις χαλεπὴ, προσέθηκεν ἂν, καὶ ὁ ἰατρὸς δὲ, καὶ αὐτὸς ἁμαρτάνει, καὶ οἱ νοσέοντες, καὶ οἱ ὑπηρετοῦντες αὐτοῖς. οὐ μὴν οὐδ' ὅσοι φασὶν ἀποτρέπειν αὐτὸν, ἐξ ὧν τὸν μὲν βίον εἶπε βραχὺν, τὴν δὲ τέχνην μακρὰν, οὐδ' οὗτοι μοὶ δοκοῦσι προσηκόντως λέγειν· ἐσχάτης γὰρ ἠλιθιότητος, ἅμα τε γράφειν συγγράμματα καταλείποντα τοῖς μετ' αὐτὸν ἀνθρώποις ὡς δή τι χρήσιμον, ἅμα τε κατὰ τὴν ἀρχὴν εὐθὺς ἀποτρέπειν, οὐκ ἀπὸ τῆς τοῦδε τοῦ συγ- C γράμματος ἀναγνώσεως, ἢ μαθήσεως τῶν γεγραμμένων, ἀλλὰ καὶ τῆς ὅλης τέχνης ἣν ἐπαγγέλλεται διδάσκειν. Ὅσοι δὲ προτρέπειν φασὶν αὐτὸν ἐπὶ τὸ φιλοπόνως ἀναλαμβάνειν τὴν τέχνην, μὴ γὰρ ἂν ἄλλως αὐτὴν δυνηθῆναι γνωσθῆναι πᾶσαν, ἐν βραχεῖ χρόνῳ, μακρὰν οὖσαν, εἰ καὶ ἀληθές τι λέγουσιν, ἀλλ' οὐκ ἄξιόν γέ μοι δοκοῦσι τὸ προοίμιον ἀποφαίνειν, οὔτε τῆς γνώμης τἀνδρὸς, οὔτε τῶν κατὰ βιβλίον εἰρημένων· ὥσπερ οὐδ' οἱ πειραστικὸν εἶναι τῶν προσερχομένων τῇ τέχνῃ τὸν λόγον ὑπειληφότες. Ἔστι μὲν γὰρ ἀληθὲς, ὥσπερ εἴρηται καὶ D Πλάτωνι, τὸ πεῖραν οὕτω μάλιστα γίνεσθαι τῆς προαιρέσεως τῶν ἀναληψομένων, ἥν τινα οὖν τέχνην, εἰ μεγάλην τε καὶ χαλεπὴν αὐτοῖς εἶναι τὴν διδασκαλίαν ἐπιδεικνύοιμεν, ἀλλ' οὔτε διὰ βιβλίου τὸ τοιοῦτον, ἀλλ' ἐν ταῖς συνουσίαις γίνεται, οὔτε πρέπον μοὶ δοκεῖ εἶναι ἐν τῷ παρόντι συγγράμματι· χρὴ γὰρ τὸ προοίμιον οἰκεῖον εἶναι τῶν κατὰ τὸ βιβλίον εἰρησομένων. Εἰ μὴ ἄρα προτέρους ἁπάντων ἀναγινώσκεσθαι βούλεται τοὺς ἀφορισμοὺς, καὶ διὰ τοῦτο, κοινὸν ὅλης τῆς τέχνης ἐν τῷ προοιμίῳ E τοῦ συγγράμματος ἐποιήσατο τὸν λόγον, ἐνδεικνύμενος διὰ τούτου, μὴ πάντων τῶν βουληθέντων εἶναι μάθημα τὴν ἰατρικὴν μακρὰν οὖσαν τέχνην, ἀλλὰ τῶν καὶ χρόνον ἱκανὸν ἐχόντων, ἐν ᾧ μαθήσονται, καὶ φύσιν ἐπιτηδείαν. εἰ δ' ὅλως πιθανὸν εἶναι δόξειε, τὸ κοινὸν ἁπάσης τῆς τέχνης αὐτὸν πεποιῆσθαι τὸ προοίμιον, οὐδ' ἐκείνους ἄν τις μέμψαιτο τοὺς φάσκοντας αἰτίαν ἀποδίδοσθαι τοῦ συγγράφειν. Ἐποιήσατο δὲ ἐν τῷ κατ' ἰητρεῖον, ἁπασῶν τῶν ἀναγνώσεων προοίμιον κοινὸν, ὡς ἐν τῇ κατ' ἐκεῖνο τὸ βι- F βλίον ἐξηγήσει δείκνυται. Ὅσοι τοίνυν, ἢ τοῦ τρόπου τῆς διδασκαλίας, ἢ ὅλως τῆς χρείας τῶν συγγραμμάτων αἰτίαν ἀποδίδοσθαι κατὰ τὸ προοίμιόν φασιν, οὗτοι μοὶ δοκοῦσιν ἄμεινόν τι τῶν ἄλλων γινώσκειν. τό γε γὰρ ἀφοριστικὸν εἶδος τῆς διδασκαλίας ὅπερ ἐστὶ τὸ, διὰ βραχυτάτων, ἅπαντα τὰ τοῦ πράγματος ἴδια περιορίζειν, χρησιμώτατον τῷ βουλομένῳ μακρὰν τέχνην διδάξαι ἐν

χρῆσθαι βραχεῖ· τό τε ὅλως διὰ τοῦ συγγράφειν, ὅτι ὁ βίος βραχύς ἐστιν, ὡς πρὸς δὲ τῆς τέχνης μέγεθος ἀναλογώτατον. Οὐδεὶς γὰρ ἡμῶν ἱκανός ἐστι συστήσασθαί τε ἅμα καὶ τελειῶσαι τὴν τέχνην· ἀλλ' ἀγαπητὸν, εἰ πολλοῖς ἔτεσι τὰ τῶν ἔμπροσθεν οἱ μετέπειτα παραλαμβάνοντες, καί τι προστιθέντες, αὐτοὶ συντελέσαιμεν ποτε αὐτήν. Ἤτοι γὰρ διὰ θάτερον τούτων, ἢ δι' ἄμφω δοκεῖ μοι τοιούτῳ τινὶ κεχρῆσθαι τῷ προοιμίῳ, ὡς εἰ καὶ οὕτως ἔγραψεν. Ἐπειδὴ δὲ τῆς τέχνης μέγεθος ὑπὲρ τὸν βίον ἐστὶ τὸν ἀνθρώπειον, ὡς ἀδύνατον εἶναι, κἂν πάνυ τις εἴη φιλόπονος, ἄρξασθαί τε ἅμα καὶ τοῦ τέλους τοῦ κατ' αὐτὴν ἐφικέσθαι· διὰ τοῦτο, ἄριστόν ἐστιν ὅσα τις ἔγνω, τοῖς μετέπειτα καταλιπεῖν ἐν συγγράμμασιν, ἀκριβῶς τε ἅμα καὶ ταχέως, καὶ σαφῶς ἅπασαν τὴν τῶν διδασκομένων πραγμάτων φύσιν ἑρμηνεύοντα. Τοῦ μέντοι τὴν τέχνην εἶναι μακρὰν, ἀπόδειξίς ἐστι τὰ ἐπιφερόμενα ταῦτα, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. ὡς εἰ καὶ οὕτως ἔλεγεν, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, ὅτι ὁ καιρὸς, καὶ ἡ πεῖρα σφαλερὴ, καὶ ἡ κρίσις χαλεπή· διὰ τοῦτο γὰρ καὶ ἡ τέχνη μακρὰ, διότι καὶ ὁ τῶν πραττομένων καιρὸς ἐν αὐτῇ ὀξύτατός ἐστι, τουτέστι στενότατός τε, καὶ ὀλιγοχρονιώτατος, καὶ πρὸς τούτοις, τῶν ὀργάνων τῶν εὑρισκόντων τὰ βοηθήματα, δυοῖν ὄντοιν, λόγου, καὶ πείρας, ἐπισφαλὴς μὲν ἡ πεῖρα, χαλεπὸς δὲ ὁ λόγος, τουτέστιν οὐ ῥᾳδίως δυνάμενος γνωσθῆναι θατέρῳ. Ὅτι δὲ ἀληθές ἐστιν ἕκαστον τῶν εἰρημένων, οὐ χαλεπὸν ἐπιδεῖξαι διὰ βραχέων. Ὁ μὲν γὰρ καιρὸς ὀξὺς, διὰ τὴν τῆς τέχνης ὕλην, λέγω δὲ τὸ σῶμα ῥέον ἀεὶ, καὶ μεταβαλλόμενον ἐν ἀκαριαίῳ χρόνῳ· ἐπισφαλὴς δὲ ἡ πεῖρα, καὶ αὐτὴ διὰ τὴν ὕλην. Οὐ γὰρ πλίνθοι, καὶ πηλὸς, καὶ ξύλα, καὶ λίθοι, καὶ κέραμος, καὶ σκύτη, καθάπερ ἄλλων τεχνῶν ἡ ὕλη τῆς ἰατρικῆς ἐστιν, ἐν οἷς ἄλυπον δὲ πειρᾶσθαι πολυειδῶς, καὶ γυμνάζεσθαι, περὶ τὴν ὕλην ἀσκοῦντα, καὶ μελετῶντα τὰ θεωρήματα, καθάπερ ἐν ξύλοις μὲν οἱ τέκτονες, ἐν δέρμασι δὲ οἱ σκυτοτόμοι. Ξύλα μὲν γὰρ καὶ σκύτος διαφθεῖραι κακῶς μεταχειριζόμενον, οὐδεὶς κίνδυνος· ἐπ' ἀνθρωπείου δὲ σώματος πειρᾶσθαι τῶν ἀπειράστων, οὐκ ἀσφαλὲς, εἰς ὄλεθρον ὅλου τοῦ ζώου τῆς κακῆς πείρας τελευτώσης. Καὶ μὴν καὶ ἡ κρίσις, ὁ λόγος δ' αὖ ἡ κρίσις εἴη, τῷ κρίνεσθαι περὶ αὐτοῦ τὰ ποιητέα, χαλεπὸς καὶ δυσθήρατός ἐστιν ὅ, γε ἀληθὴς, ὡς δηλοῖ καὶ τὸ πλῆθος τῶν κατὰ τὴν ἰατρικὴν τέχνην αἱρέσεων. Οὐ γὰρ ἂν, εἴπερ ἦν ῥᾳδίως εὑρεθῆναι τὸ ἀληθὲς, εἰς τοσοῦτον ἧκον ἀντιλογίας ἀλλήλοις οἱ ζητήσαντες αὐτὸ, τοιοῦτοί τε καὶ τοσοῦτοι γενόμενοι. Τοῖς δὲ ἐμπειρικοῖς, οὐχ ὁ λόγος εἰρῆσθαι δοκεῖ κρίσις· ἀλλ' ἡ τῶν διὰ τῆς πείρας εὑρισκομένων βοηθημάτων ἐπίκρισις. Οὕτως γὰρ καὶ τοῦτο χαλεπὸν, καὶ δυσθήρατον, ὅταν πολλῶν ἰαμάτων τῷ κάμνοντι γεγενημένων, ἕν τι ἐξ αὐτῶν αἴτιον ᾖ τῆς ὠφελείας, ἢ βλάβης. Εἰ γὰρ οὕτως ἔτυχε κοιμηθέντος καλῶς αὐτοῦ, καὶ καταιονηθέντος ἐφεξῆς, καὶ καταπλασθέντος ἐπὶ τούτῳ, κἄπειτα κλυσθέντος, ἢ αὐτομάτως τῆς γαστρὸς ἐκλύσεως, εἶτα καὶ τραφέντος τινὰς δὲ τινὰς τροφὰς, κἀπὶ τούτοις ἅπασιν ὠφε-

& ob id omninò conscribere quòd vita sit breuis, A prout ad artis amplitudinem *conferatur*, rationi maximè consentaneum. Nemo enim nostrum potest artem simul & constituere, & absoluere. Verùm satis est si quæ multorum annorum spatio maiores inuenere, ijs acceptis aliquid addant posteri, nosque ipsi aliquando ipsam artem perfecerimus. Nam vel propter horum alterum, vel vtrumque mihi videtur quodam tali vsus esse prooemio, ac si ita scripsisset. Quando quidem artis amplitudo vitam humanam exuperat, adeout ab homine quantumuis B sedulo ac laboris amico nequeat & inchoari, & ad finem vsque perduci; propterea optimum est quæcunque quis nouerit, ea litteris mandata posteritati relinquere, quæ rerum docendarum naturam omnem & accuratè, & breuiter, & dilucidè interpretentur. Artem sanè longam esse hæc verba subsequentia demonstrant, *occasio præceps, experientia periculosa, iudicium difficile*. Ac si ita dixerit; *Vita breuis, ars longa*; quòd occasio præceps, & experientia periculosa & iudicium difficile. C Propterea enim etiam ars longa, quoniam occasio agendorum in ipsa est maxime præceps, hoc est, angustissima, & paucissimi temporis. Ad hæc quoque quum duo sint remediorum inueniendorum instrumenta ratio & experientia; experientia quidem periculosa est, ratio verò difficilis, hoc est, quæ cuicunque innotescere minimè potest. Vera autem esse singula quæ dicuntur, paucis ostendere non arduum est. Occasio namque præceps est, propter artis materiam; dico verò corpus, quod continenter fluit, & exili tempore mutatur: At experientia D periculosa est, ipsaque talis materiæ ratione. Non enim lateres, lutum, ligna, lapides, tegulæ, coria, medicinæ, vt cæterarum artium materia sunt; in quibus citra læsionem multis modis eum experiri & exerceri decet, qui circà materiam versetur, & artis theoremata meditetur; quod in lignis quidem lignarij fabri, in corijs verò coriarij moliuntur. Ligna siquidem & corium malè tractantem corrumpere nullum periculum est: at in corpore humano inexperta experiri periculo non vacat, quum praua experientia ad totius animantis iacturam pro- E cumbat. Quinetiam & iudicium (exstiterit autem ratio ipsa iudicium, quòd per eam facienda iudicentur) arduum & captu difficile est; vera autem illa ratio, quòd sectarum multitudo in arte medica declarat: Non enim si veritas esset inuentu facilis, tot ac tanti viri in ea quærenda occupati in tam pugnantes sibi inuicem sententias deuenissent. Verùm Empiricis non videtur ratio dici iudicium, sed eorum quę per experientiam inuenta sunt, auxiliorum delectus: Nam reuerà hæc res F & difficilis & inuentu ardua existit, quum multis remedijs ægrotanti adhibitis, quoddam vnum ex ipsis, vtilitatis aut læsionis causa sit. Si nanque ità sors tulerit, ipsum rectè dormijsse, deinde fotu perfusum fuisse, postea emplastrum admotum, deinde clysterem iniectum, vel spontaneam deiectionem habuisse; deinde tales cibos assumpsisse, & post hæc omnia opem vel noxam percepisse; non facile dictu est quænam rerum gestarum

rum

rum ægrotum iuuisse, aut læsisse contigerit. His igitur de causis omnibus iudicium difficile. Iam itaque orationem summatim proferamus. Ars quidem longa est, si eam vnius hominis vitâ metiamur. Quare operæ-pretium est posteris opera relinquere præsertim & concisa, & aphoristica: Nam eiusmodi doctrinæ genus & ad ipsam primam disciplinam, & ad eorum quæ quis didicerit, memoriam iuuandam, & eorum quæ aliquis oblitus postea fuerit, recordationem idoneum est. Astipulatur autem his quod subsequitur. Quum enim operi ipsi atque ijs quæ in eo dicentur præfationem prætexuisset consentaneam, orationi clausulam addidit his verbis. *At non solùm medicum seipsum quæ deceant obeuntem, sed & ægrotum, & astantem, & externa præsto esse oportet.* Si quis (inquit) aliquando dijudicaturus est quæ hoc in libro scribuntur, quantum sortiantur veritatis, is non solùm seipsum præstare oportet quæ deceant obeuntem, nihilque quod ægro profuturum sit prætermittere; imò & ipsum ægrum simul medico obsequi, nec quicquam propriæ voluptati indulgere; ministros etiam idoneos assidere oportet; ad hæc & externa omnia probè comparata. Etenim propter illa plerunque vel prænotionem, vel curationem, vel vtramque interrumpi contingit. Externa autem sunt habitationes idoneæ, vel turbarum plenæ, vel turba vacantes; præterea quæ nunciantur, & aguntur, iram, aut mœrorem, aut aliquem eiusmodi alium *affectum* ægrotanti parturientia; ad hæc & illa quæ noctu ipsi somnum abrumpunt, quæ propè infinita sunt. Si igitur, inquit, hæc omnia probè & citrà errorem se habuerint, nihil eorum quæ hoc in libro scribuntur, falsum esse comperietur.

DE IDONEA HVMORVM qualitate, peccantium vacuatione seu purgatione tum spontanea, tum medica, & per superiora, & per inferiora.

Quid purgatio, & in vacuatione molienda quatuor consideranda esse, regionem, tempus, ætatem, & morbum.

APHORISMVS II.

IN alui perturbationibus, & vomitionibus quæ sponte oboriuntur, si qualia purgari oporteat purgentur, confert, & facile ferunt; sin minus, contrà. Sic & vasorum vacuatio, si qualem fieri oporteat, fiat, & confert, & facilè ferunt; sin minus, contrà. Itaque inspicere oportet & regionem, & anni tempestatem, & ætatem, & morbos, quibus vacuari, aut non vacuari oporteat.

GALENI COMMENTARIVS.

NON de eorũ quæ vacuantur quantitate ipsi sermo est, vt nonnulli arbitrati sunt,

A λυθέντος ἢ βλαβέντος οὐ ῥάδιον εἰπεῖν, διὰ τί τῶν γεγενημένων συνέβη τὸν ἄῤῥωστον, ὠφεληθῆναι, ἢ βλαβῆναι. διὰ ταῦτα οὖν ἅπαντα ἡ κρίσις χαλεπή. Συγκεφαλαιωσόμεθα γοῦν ἤδη τὸν λόγον. Η μὲν τέχνη μακρὰ γίνεται, ἑνὸς ἀνθρώπου παραμετρουμένη βίῳ. χρήσιμον δὲ ὃ καταλιπεῖν συγγράμματα, καὶ μάλιστα τὰ σύντομά τε, καὶ ἀφοριστικά· εἴς τε γὰρ αὐτὴν τὴν πρώτην μάθησιν, καὶ εἰς τὴν ὧν ἔμαθέ τις ὠφεληθῆναι μνήμην, καὶ εἰς τὴν ὧν ἐπελάθετό τις μετὰ ταῦτα ἀνάμνησιν, ὁ τοιοῦτος τρόπος τῆς διδασκα-

B λίας ἐπιτήδειος. Ομολογεῖ δὲ τούτοις, καὶ τὸ ἐπιφερόμενον. Ως γὰρ ὑπὲρ τοῦ συγγράμματος αὐτοῦ, καὶ τῶν κατ᾽ αὐτὸ λεχθησομένων προοιμίου γεγονότος, εἰκότως ἐπιφέρων, ἐρεῖ.

Δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. Εἰ μέλλει τις κρῖναί φησί, ποτε τὰ κατὰ τὸ βιβλίον, εἰς ὅσον ἀληθείας ἥκει, οὐ μόνον ἑαυτὸν παρεκτέον ἐστὶ, τὰ δέοντα ποιέοντα, καὶ μηδὲν τῶν χρησίμων τῷ νοσοῦντι παραλείποντα, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον εὐπειθῆ τε

C ἅμα, καὶ μηδὲν ἰδίᾳ χαριζόμενον ἡδονῇ πεφυκέναι, καὶ μέντοι καὶ τοὺς ὑπηρετοῦντας ἐπιτηδείους, καὶ δὴ καὶ τὰ ἔξωθεν ἅπαντα συμπαρεσκευασμένα. Καὶ γὰρ δι᾽ ἐκεῖνα πολλάκις, ἤτοι τὴν πρόγνωσιν, ἢ τὴν θεραπείαν, ἢ ἄμφω συνέβη διακοπῆναι, τὰ δὲ ἔξωθέν ἐστι, τά τε κατὰ τὰς οἰκήσεις ἐπιτηδείους οὔσας, ἢ καὶ ἐνοχλουμένας, ἢ οὐκ ἐνοχλουμένας, καὶ ἔτι τὰ παραγγελλόμενα καὶ πραττόμενα θυμὸν, ἢ λύπην, ἢ τι τοιοῦτον ἕτερον ἐργαζόμενα τῷ νοσοῦντι, καὶ προσέτι, τὰ νύκτωρ αὐτῷ τὸν ὕπνον διακόπτοντα, μυρία ἐπὶ μυ-

D ρίοις ὄντα. Εἰ οὖν, φησιν, ἅπαντα ταῦτα καλῶς καὶ ἀμέμπτως ἔχει τῶν κατὰ τοῦτο τὸ βιβλίον αὐτῷ γεγραμμένων, οὐδὲν εὑρεθήσεται ψεῦδος.

ΠΕΡΙ ΤΗΣ ΕΠΙΤΗΔΕΙΑΣ ΤΟΝ ΧΥΜΩΝ κατὰ ποιότητα λυπούντων καθάρσεως, τῆς αὐτομάτης τε καὶ ἰατρικῆς, καὶ εἰς τὰ ἄνω, καὶ τὰ κάτω.

Τί ἡ κάθαρσις; καὶ ἐν τῇ κενώσει ποιηθησομένῃ τὰ τέσσαρα ἐπιβλέπειν δὲ τὴν χώραν τε καὶ ὥραν, καὶ ἡλικίαν, καὶ τὴν νόσον.

E

ΑΦΟΡΙΣΜΟΣ β´.

EΝ τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢ μὲν, οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσιν, ἢν δὲ μὴ, τοὐναντίον. Οὕτω δὲ καὶ ἡ κενεαγγείη· ἢν μὲν οἵην δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν, ἢν δὲ, μὴ, τοὐναντίον. ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην, καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους ἐν ᾗσι δεῖ, ἢ

F οὔ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

OΥ περὶ ποσότητος αὐτῷ τῶν κενουμένων ἐστὶν ὁ λόγος, ὥς τινες ᾠήθησαν, ἀλλὰ περὶ τῆς

ποιότητος μόνης, ὡς δηλοῖ σαφῶς ἑκάτερον τῶν ὀνομάτων, τό, A τε οἷα, καὶ τὸ, οἵη. Ἐπὶ μὲν γὰρ τῶν αὐτομάτως γινομένων κενώσεων προσεῖπεν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσιν. Ἐπὶ δὲ τῶν ὑπὸ τοῦ ἰατροῦ, ἢν μὲν οἷα δεῖ γίγνεσθαι γίγνηται, καίτοι δυνάμενος εἰπεῖν, ἢν μὲν ὅσα δεῖ καθαίρεσθαι, καθαίρεται, καὶ πάλιν, εἰ ἢν μὲν ὅσα δεῖ γίνεσθαι γίνηται· δηλοῦται δὲ τοῦτο καὶ διὰ τοῦ καθαίρεσθαι ῥήματος. Οὐ γὰρ ἁπλῶς εἶπεν ἢν μὲν οἷα δεῖ κενοῦσθαι, ἀλλὰ, ἢν μέν οἷα δεῖ καθαίρεσθαι ἔφη. Κάθαρσις δέ ἐστιν, ἡ τῶν λυπούν- B των κατὰ ποιότητα κένωσις. Ἐνταῦθα δὴ τούτοις ἁμαρτάνουσιν οἱ πλεῖστοι τῶν ἐξηγητῶν, οὐ συνιέντες οὔτε τῶν φωνῶν, οὔτε τῆς γνώμης τἀνδρός. ἔτι δὲ μᾶλλον, ἐπειδὰν τὸ τῆς κενεαγγείας ὄνομα, τινὲς μὲν ἐπὶ τῆς ἀσιτίας, τινὲς δὲ ἐπὶ τῆς φλεβοτομίας ἀκούωσιν. Ὁ γὰρ Ἱπποκράτης ἅπασαν κένωσιν ὀνομάζει κενεαγγείαν ἀπὸ τοῦ συμβεβηκότος ἐπειδὴ κενὰ τὰ ἀγγεῖα συμβαίνει γίνεσθαι κατὰ πάσας τὰς κενώσεις. Ὁ μὲν δὴ λόγος αὐτῷ νῦν ἐστι περὶ ποιότητος τῶν κενουμένων, ὥσπερ δὲ παρακελεύεται διὰ παντὸς ὅσα καλῶς ὑπὸ τῆς φύσεως γίγνεται, ταῦτα μιμεῖσθαι τὸν ἰατρόν· οὕτω καὶ νῦν ἐποίησε C τὸν περὶ τῶν αὐτομάτων κενώσεων προτάξας λόγον, ἐν αἷς ὅταν μὲν οἷα δεῖ κενῶνται, τουτέστι τὰ λυποῦντα, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· εἰ δὲ ἄλλων τινῶν ἡ κένωσις γένηται, καὶ μὴ τῶν λυπούντων τὸ ἐναντίον, οὔτε συμφέρει, καὶ δυσφοροῦσιν οἱ κάμνοντες. Οὕτως οὖν εἰ καὶ ὑπὸ τοῦ ἰατροῦ κένωσίς τις ἐπιτηδεύοιτο, τῶν λυπούντων αὕτη γιγνέσθω, καθάπερ καὶ ἐν ἄλλοις παρακελεύεται τὸν λυποῦντα συμβουλεύων κενοῦν χυμὸν, καὶ μὴ ἄλλον τινὰ παρ᾽ αὐτόν. Φλέγματος μὲν οὖν πλεονάζοντος, τοῦτο κενωτέον ἂν εἴη παντὶ τρόπῳ· χολῆς δὲ ξανθῆς, εἴτε D μελαίνης ἐνοχλούσης, ἀφεκτέον μὲν τοῦ φλέγματος, τὴν λυποῦσαν δὲ χολὴν κενωτέον. Οὕτω δὲ κἂν αἱματικὸν ᾖ τὸ πλεονάζον, αἵματος ποιητέον τὴν κένωσιν, καὶ δὴ καὶ εἰ ὀῤῥὸς αἵματος, ἐκείνου. Τεκμαίρεσθαι δὲ δεῖ τὸν πλεονάζοντα χυμὸν, τῇ χροᾷ, πλὴν εἴ τινες ὑποχωρήσαιεν εἰς τὸ βάθος τοῦ σώματος. Τὸ γὰρ χρῶμα, τῶν χυμῶν ἐοικὸς ἀνθέων, ὁκόσων μὴ ἀμπωτίς ἐστιν. Ἐπὶ τούτων οὖν μάλιστα τῶν ὑπονοστησάντων, καὶ μὴ κεχυμένων ὁμαλῶς εἰς ὅλον τὸ σῶμα, προσεπιβλέπειν δεῖ ὥραν, καὶ χώραν, καὶ ἡλικίαν, καὶ νούσους, ἐν ᾗσι δεῖ, ἢ οὔ· τουτέστιν ἐν αἷς E προσῆκεν, ἢ μή, τοιοῦδέ τινος, ἢ τοιοῦδε χυμοῦ ποιεῖσθαι τὴν κένωσιν. Ἔχει μὲν γὰρ καὶ αὐτὸς ἕκαστος τῶν πλεοναζόντων ἐν τῷ σώματι χυμῶν, ἴδια γνωρίσματα, περὶ ὧν ἐπὶ πλέον ἐν τοῖς ἑξῆς ἐροῦμεν, οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τελείαν διάγνωσιν, ἐπιβλέπειν χρὴ καὶ τὴν ἐνεστῶσαν ὥραν τοῦ ἔτους, καὶ τὸ χωρίον ἐν ᾧ νοσοῦσιν οἱ κάμνοντες, καὶ τὴν ἡλικίαν αὐτῶν, καὶ τὴν ἰδέαν τῆς νόσου· ἔστω γὰρ εἰ οὕτως ἔτυχε, χολῆς ξανθῆς ἐν τῷ σώματι πλεονεκτούσης γνωρίσματα, συνεπιβλέπειν αὐτῇ F δεήσει, καὶ εἰ ὥρα θερινὴ, καὶ εἰ τὸ χωρίον θερμὸν, καὶ εἰ ὁ κάμνων ἀκμάζων. Οὕτω δὲ καὶ ἐπὶ τοῦ φλέγματος, εἰ χειμὼν εἴη, εἰ τὸ χωρίον ψυχρὸν, εἰ πρεσβύτης ὁ ἄνθρωπος· ἀλλὰ καὶ πρὸς τούτοις ἅπασιν, αὐτὸ τὸ εἶδος τῆς νόσου ἐπιβλεπτέον, οἷον, ὅτι τριταῖος μὲν, εἰ οὕτως ἔτυχεν, ὑπὸ τῆς ξανθῆς χολῆς ἐπικρατούσης γίνεται.

ſed de ſola qualitate, quod dilucidè prodit vtcumque vocabulum, qualia, & qualis. Nam in ijs quæ ſponte fiunt vacuationibus dixit. Si qualia oportet purgari, purgentur, confert & facile ferunt. In ijs verò quæ à Medico, ſi qualis fieri debeat, fiat vaſorum vacuatio, licet potuiſſet dicere, ſi quanta purgari oporteat, purgentur; & rurſus, ſi quanta fieri debeat vaſorum fiat vacuatio. Idem verò oſtenditur & per verbum purgari: Non enim ſimpliciter dixit, ſi qualia oporteat vacuari; ſed, ſi qualia oporteat purgari. Eſt autem purgatio humorum qualitate moleſtorum vacuatio. In his ſanè plurimi aberrant interpretes, qui neque verba, neque hominis mentem aſſequuntur. Tum verò magis peccant, quum nonnulli depletionis vaſorum nomen pro inedia, alij pro venæ ſectione accipiant. Hippocrates ſi quidem omnem vacuationem, vaſorum depletionem ab euentu nominat; quoniam in omnibus vacuationibus vaſa depleri contingit. Itaque nunc ipſi ſermo eſt de qualitate eorum quæ vacuantur. Quemadmodum autem ſemper adhortatur, quæ probè à natura fiunt, ea Medicum imitari: ſic & nunc agit à ſpontaneis vacuationibus ſuam exorſus orationem, in quibus ſi qualia oportet (hoc eſt quæ infeſtant) vacuentur & confert, & leniter ferunt. Quod ſi aliorum quorundam fiat euacuatio, & non eorum quæ moleſtant, contrarium obuenit, neque confert, & grauiter ferunt ægrotantes. Ita ſanè ſi quam Medicus moliatur humorum vacuationem; eorum quæ moleſtant ipſa eſto, quemadmodum & alijs in locis humorem noxium imperat, neque alterum quendam pro eo vacuari. Itaque pituita exuberante, hæc modis omnibus vacuanda eſt, flaua verò bile, aut atra infeſtante, à pituita abſtinendum, & infeſtans bilis vacuanda. Sic humor quoque ſanguineus ſi exuberet, ſanguinis vacuatio molienda, & ſeri ſanguinis, ſi illud redundet. At verò exuberantem humorem ex colore coniectari oportet, niſi quum quidam in corporis altum receſſerint. Color enim ſimilis efflorescit humoribus, niſi ipſi intrò refluxerint. Atque in ijs maximè qui intrò receſſerunt, neque ſunt æquabiliter per totum corpus diffuſi, ſpectanda eſt anni tempeſtas, & regio, & ætas, & morbi, quibus vacuari, aut non vacuari oporteat, hoc eſt in quibus conueniat, nec ne huius vel illius humoris vacuationem moliri. Quanquam enim habet humorum in corpore exuberantium vnuſquiſque propria indicia, de quibus deinceps pleniùs dicturi ſumus: attamē ad perfectum rei cognitionem tum præſens anni tempeſtas, tum regio in qua degunt ægrotantes, tum ipſorum ætas, tum denique morbi idea conſideranda eſt. Sint enim, ſi ita contigerit, flauæ bilis in corpore redundantis indicia, vnà cum ipſis inſpiciendum erit, an tempus æſtiuum, an regio calida, an æger ætate floreat. Ita verò & de pituita conſiderandum eſt, an hyems adſit, an regio frigida, an homo ſenex. Atque præter hæc omnia, ipſam morbi ſpeciem conſiderare oportet, vt quòd tertiana (ſi ita ſors tulerit) fiat à flaua bile modum excedente;

quartana

quartana ab atra, quotidiana à pituita, cancer ab atra bile; erysipelas à flaua, atque singulæ cæterorum morborum species. Si enim hæc omnia distinxerimus, securiùs ad noxij humoris vacuationem accedemus. Omnium igitur Interpretum absurdissimi sunt, qui ipsum de sola inedia, quæ in febribus imperatur, verba facere arbitrantur, quum ipse minime febres nominauerit, ac de omnibus in vniuersum habeatur sermo quæ sunt præter naturam, quorum nos docet indicationes, quibus incumbentes non quantitatem, sed qualitatem vacuationis inuenire conuenit: Nam de quantitate sequens digerit aphorismus. Quo autem morbi tempore aggredienda sit euacuatio, & quomodo ipsa facienda, in alijs deinceps Aphorismis explicabitur. Vnde neque nunc mihi de his dicere necessarium est. Sic enim nostra doctrina non foret sapientior, & commentarij ad immensam, minimeque necessariam prolixitatem deuenirent.

DE MENSVRA PVRGATIONIS.

Summas euexias, extremas quoque plenitudines, refectiones, & vacuationes periculosas esse; pericula ruptionis vasorum, aut suffocationis, extinctionis, aut resolutionis caloris natiui. Eas euexias vacuatione à copia & viribus indicata solui. Quid euexia, athletica, gymnastica & naturalis; quid plenitudo, refectio & vacuatio.

APHORISMVS III.

Summæ athletarum euexiæ, si ad extremum processerint, periculosæ: Non enim eodem in statu morari queunt, neque consistere. Quum autem non consistant, neque in melius possint prouehi, superest sane vt in deterius labantur. Quas ob res eiusmodi euexias haud cunctanter soluere confert, quò nouæ rursum nutricationis corpus initium sumat. Non tamen concidentium vasorum *vacuationes ad extremum ducendæ. Eadem verò ratione & quæ ad extremum ducunt vacuationes, periculosæ. Et vicissim refectiones ad extremum appulsæ, periculosæ.*

COMMENTARIVS GALENI.

PRÆCEDENTEM hunc sermonem esse de eorum quæ vacuantur qualitate ostendimus. In hoc autem ac sequentibus vult de quantitate docere; & ab immoderata repletione, & euacuatione exorditur. At in hoc præsenti Aphorismo nobis proposito peræquè ac superiore quoddam exemplum supponit, ad quod (quemadmodum ipsi mos est) orationem dirigat. Exemplum autem ipsi est gymnastica euexia. Gymnasticam autem euexiam nominat habitum in exercitijs aduersariorum prosternendorum

A τεταρταῖος δ' ὑπὸ τῆς μελαίνης· ἀμφημερινὸς δ', ὑπὸ τοῦ φλέγματος, καὶ καρκῖνος μὲν ὑπὸ τῆς μελαίνης χολῆς, ἐρυσίπελας δὲ ὑπὸ τῆς ξανθῆς, τῶν τ' ἄλλων νοσημάτων ὡσαύτως ἕκαστον. Ἐὰν γὰρ ταῦτα πάντα διοριζώμεθα, βεβαιότερον ἐπὶ τὴν τοῦ λυποῦντος χυμοῦ κένωσιν ἀφιξόμεθα. πάντων οὖν ἀτοπώτατοι τῶν ἐξηγητῶν εἰσὶν, οἱ νομίζοντες τὸν λόγον αὐτῷ ὑπὲρ ἀσιτίας γίνεσθαι μόνης, τῆς ἐν τοῖς πυρετοῖς. Οὔτε γὰρ αὐτὸς ὠνόμασε πυρετοὺς, ὅ, τε λόγος ἐπὶ πάντων ἐστὶ καθόλου τῶν παρὰ φύσιν, ἐκδιδάσκων ἡμῖν σκοποὺς, οἷς

B προσέχοντας, εὑρίσκειν προσήκει τὸ ποιὸν τῆς κενώσεως, οὐ τὸ ποσόν. Ὁ γὰρ ἐφεξῆς ἀφορισμὸς, ὑπὲρ τοῦ ποσοῦ διαλέγεται. κατά τινα δὲ καιρὸν τοῦ νοσήματος ἐπιχειρεῖν δεῖ τῇ κενώσει, καὶ τίνι τρόπῳ ποιητέον αὐτὴν, ἐν ἄλλοις ἀφορισμοῖς ἑξῆς ἐρεῖ· ὅθεν οὐδ' ἐμοὶ νῦν ἀναγκαῖόν ἐστι λέγειν περὶ αὐτῶν. Οὕτω γὰρ ἂν οὐδὲν μὲν εἴην σοφώτερος διδάσκων, εἰς μῆκος δὲ λόγων οὐκ ἀναγκαῖον ἐκτείνων τὰ ὑπομνήματα.

C

ΠΕΡΙ ΜΕΤΡΟΥ ΚΕΝΩΣΕΟΣ.

Τὰς ἄκρας εὐεξίας, καὶ τὰς ἐσχάτας πληρώσεις, καὶ τὰς ἀναλήψεις, καὶ τὰς κενώσεις σφαλερὰς εἶναι· τὸν δὲ κίνδυνον τῆς ῥήξεως ἀγγείου, καταπνίξεως, ἢ σβέσεως, ἢ ἐκλύσεως τοῦ ἐμφύτου θερμοῦ. Καὶ τὰς εὐεξίας κατὰ τὴν κένωσιν τὴν ἀπὸ τῆς πληρώσεώς τε καὶ τῆς δυνάμεως ἐνδεικνυμένην λύεσθαι. τί εὐεξία, ἀθλητικὴ, καὶ γυμναστικὴ, καὶ κατὰ φύσιν· Τί ἡ πλήρωσις, καὶ ἀνάθρεψις, καὶ κένωσις.

D

ΑΦΟΡΙΣΜΟΣ γ'.

ΕΝ τοῖσι γυμναστικοῖσιν αἱ ἐπ' ἄκρον εὐεξίαι, σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. Οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν. Ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν, οὐδέ τι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται οὖν ἐπὶ τὸ χεῖρον· Τουτέων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λάβῃ τὸ σῶμα. Μηδὲ τὰς

E ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν, σφαλερὸν γὰρ, ἀλλ' ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ, καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί· καὶ πάλιν αἱ ἀναθρέψιες, αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟΝ μὲν πρὸ τούτου λόγον αὐτῷ περὶ ποιότητος εἶναι ἐδείξαμεν τῶν κενουμένων. Ἐν τούτῳ δὲ, καὶ τοῖς ἐφεξῆς, περὶ ποσότητος βούλεται διδάσκειν, καὶ

F ἄρχεταί γε παρὰ τῆς ἀμέτρου πληρώσεώς τε καὶ κενώσεως, ἐν τῷδε τῷ νῦν ἡμῖν προκειμένῳ ἀφορισμῷ, ὁμοίως τῷ πρόσθεν ὑποθέμενός τι παράδειγμα, καὶ πρὸς τοῦτο κατευθύνων τὸν λόγον, ὥσπερ ἔθος αὐτῷ. Τὸ παράδειγμα δὲ αὐτῷ ἐστιν, ἡ γυμναστικὴ εὐεξία. Γυμναστικὴν δὲ εὐεξίαν ὀνομάζει τὴν τῶν ἀθλητῶν ἔργον πεποιημένων, κατὰ τὸν βίον ἅπαντα διατριβὴν ἐν γυμνασίοις, τῆς κα-

παραβάλλειν ἑτέρους ἕνεκα, καθάπερ οἱ ἀθληταί. ἡ μὲν γὰρ ἁπλῶς εὐεξία λεγομένη, ἣν καὶ τῶν ἀγροίκων ἔχουσι πολλοὶ, σκάπτοντες καὶ θερίζοντες, καὶ ἄλλα ὅσα κατὰ τὸν βίον διαπονούμενοι, οὐχ ἥκει μέχρι πληρώσεως ἀμέτρου. Τῆς δὲ τῶν ἀθλητῶν εὐεξίας, οὐ μικρὸν τοῦτο ἐστὶν ἔγκλημα, τὸ περιβάλλεσθαι πειρᾶσθαι μέγεθος ὄγκου κατὰ τὸ σῶμα, καὶ δηλονότι, καὶ πλῆθος χυμῶν. Παρασκευαὶ γὰρ αὗται, τῆς τοῦ παντός εἰσι σώματος θρέψεως, καὶ οὐχ οἷά τε χωρὶς αὐτῶν ἑτοίμως παρεσκευασμένων, εἰς ὄγκον ἀρθῆναι τοῦ δέοντος μείζονα τὰ σώματα, διὸ καὶ σφαλερὰν ἀναγκαῖον εἶναι τὴν τοιαύτην διάθεσιν. Ὅταν γὰρ ὑπερπληρωθῇ τὰ ἀγγεῖα ποτῶν ἢ σιτίων τοῦ διαρραγῆναι κίνδυνος αὐτοῖς, ἢ καταπνιγῆναι, ἢ καὶ σβεσθῆναι τὸ ἔμφυτον αὐτοῦ θερμὸν, καθάπερ καὶ ἀπώλοντό τινες ἐξαιφνιδίως ἤδη τῶν εἰς ἄκραν πλήρωσιν ἀφικομένων ἀθλητῶν. Ἡ δὲ εἰς τὰ κατὰ φύσιν ἔργα χρήσιμος εὐεξία, τοιοῦτον οὐδένα κίνδυνον ἐφεδρεύοντα κέκτηται, τὸ μηδὲ εἰς ἄκρον ἥκειν ποτὲ τῆς πληρώσεως, ὅθεν οὐδὲ λύειν αὐτὴν προσήκει, καθάπερ τὴν τῶν ἀθλητῶν, ὅταν εἰς ἄκρον ἥκῃ. Ταύτην γὰρ χρὴ λύειν μὴ βραδέως, ἀλλὰ φθάνειν δηλονότι τὸν κίνδυνον. Τὴν αἰτίαν δὲ αὐτὸς τοῦ χρῆναι λύειν αὐτὴν, τοιαύτην ἔγραψεν. Οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν εἰπών. ἀεὶ γὰρ τῆς φύσεως, τὴν πέψιν, καὶ τὴν ἀνάδοσιν, καὶ τὴν ἐξαιμάτωσιν, καὶ τὴν πρόσθεσιν, καὶ τὴν πρόσφυσιν, καὶ τὴν ἐξομοίωσιν ἐργαζομένης, ὅταν μήτε προστεθεῖναί τι τοῖς στερεοῖς τοῦ σώματος μορίοις ἐχωρεῖ, μήθ᾽ αἱ φλέβες ἔτι χώραν ἔχωσιν ὑποδέχεσθαι τὴν ἀναδιδομένην τροφὴν, ἀνάγκη κίνδυνον καταλαβεῖν, ἢ ῥήξεως ἀγγείου τινὸς, ἢ ἐξαιφνιδίου θανάτου. Ἵνα οὖν ἔχῃ χώραν αὖθις ἀναθρέψασθαι τὸ σῶμα, λύειν χρὴ μὴ βραδέως τὴν εὐεξίαν. Ἡ λύσις δὲ αὐτῆς, κένωσίς ἐστι δηλονότι, καὶ χρὴ ταύτην οὐδὲ αὐτὴν ἀμέτρως ποιεῖσθαι. καὶ γὰρ καὶ τοῦτο σφαλερὸν, οὐχ ἧττον ἀμέτρου πληρώσεως. Σκοπὸς δὲ τοῦ ποσοῦ τῆς κενώσεως, οὐ τὸ πλεονάζον μόνον, ἀλλὰ καὶ ἡ φύσις ἂν εἴη, τουτέστιν ἡ δύναμις τοῦ κενουμένου ἀνθρώπου. Ἄλλοι γὰρ ἄλλως εἰώθασι φέρειν μᾶλλον τὰς κενώσεις. Ταῦτα μὲν οὖν αὐτῷ περὶ τῆς ἀθλητικῆς εὐεξίας εἴρηται, καὶ αὐτὰ μὲν καθ᾽ ἑαυτὰ χρήσιμα τοῖς βουλομένοις τὴν ἐπιτήδευσιν ἐκείνην μετέρχεσθαι: καὶ τοῖς ἰατροῖς δὲ, ὡς παράδειγμα τοῦ λόγου τοῦ μέλλοντος λεχθήσεσθαι. Φησὶ γὰρ, ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ εἰς τὸ ἔσχατον ἄγουσαι, σφαλεραὶ, καὶ πάλιν, αἱ ἀναλήψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραὶ τοιοῦτόν τι βουλόμενος ἐνδείξασθαι καθ᾽ ὅλον τὸν λόγον, ὡς ὅτι οὔτε κενοῦν, οὔτε πληροῦν ὑπερβαλλόντως προσήκει. μάθοιμεν δὲ ἂν τοῦτο μάλιστα, παρὰ τῆς ἀθλητικῆς εὐεξίας, ἧς καί τοι τἄλλα κεκτημένης οὐ μεμπτά. Καὶ γὰρ καὶ εὔχυμοι, καὶ ἰσχυροὶ ταῖς δυνάμεσιν εἰσὶν οἱ γυμναστικοὶ, ὅμως τοῦτό γε αὐτοῖς μέγιστόν ἐστιν αὐτοῖς κακὸν, τὸ εἰς ἄκρον ἥκειν πληρώσεως; διὸ καὶ λύεσθαι δεῖται συντόμως, ὥσπερ αὖ πάλιν, οὐδὲ εἰς ἔσχατον ἄγειν χρὴ κενώσεως τοὺς τοιούτους: οὕτως οὐ δὲ τοὺς ἄλλους δεομένους ἡστινοσοῦν κενώσεως, ὑπερκενοῦν προσήκει. Καθόλου γὰρ εἰπεῖν ἐν πάσῃ κενώσει, στοχάζεσθαι προσήκει

gratia comparatum ab ijs qui hanc ipsam functionem per totam vitam vt athletæ obierunt. Nam quæ absolutè euexia nominatur (quam multi agricolæ terris fodiendis, segetibus metendis, & cæteris ad vitam elaborandis sortiuntur) ad immoderatam repletionem non prouehitur. At boni athletarum habitus improbatio hæc non leuis est, quid sit carneæ molis magnitudine corpus induere, ac proinde ipsi humorum copiam accumulare studeant. Hi enim apparatus sunt ad totius corporis nutritionem, qui si ipsi præsto non adsint, fieri non potest vt corpora in maiorem quàm deceat molem attollantur, quare eiusmodi affectum periculosum esse necesse est. Quum enim vasa cibis ac potibus fuerint supra modum repleta, periculum est ne aut ipsa rumpantur, aut calor ipse natiuus suffocetur, aut etiam extinguatur, quod athletis iam quibusdam accidit, qui ad summam repletionem perducti derepente interierunt. Verùm quæ ad naturales functiones *obeundas* vtilis est euexia, nullum eminens eiusmodi periculum attulit, quia nunquam ad extremam venit repletionem, quare ipsam soluere non decet, quemadmodum athleticam, quum ad extremum venerit. Hanc enim soluere oportet haud cunctantes, sed anteuertentes *solutione* periculum. Quam ob causam verò ipsam soluere oporteat, eam ipse his scripsit verbis: *Neque enim eodem in statu morari queunt, neque consistere.* Quum enim semper natura coctionem, distributionem, sanguinis creationem, adiectionem, agglutinationem, & assimilationem moliatur, quumque nihil solidis corporis partibus possit adijci, neque venæ etiamnum locum habeant in quem alimentum distributum recipiant, tum necessariò aut ruptionis vasis alicuius, aut repentinæ mortis periculum adferatur. Vt igitur corpus habeat locum, quo rursum nutriatur, euexia citrà moram soluenda est. Ipsius autem solutio, vt liquet, euacuatio est. Et hæc quoque vacuatio non vltra modum ducenda est: immodica nanque vacuatio non minùs quàm immoderata repletio periculosa. Vacuationis autem quantitatem non solùm humor exuberans, sed & natura, hoc est, hominis vacuandi vires indicauerint. Alij enim alijs magis vacuationes ferre consueuerunt. Hæc itaque ipsi de athletica euexia dicta sunt, & hæc quidem per se vtilia sunt ijs qui illud institutum sectari desiderant, medicis verò sunt tanquam exemplum orationis quam dicturus est. Dicit enim, *Eadem verò ratione & quæ ad extremum ducunt vacuationes, periculosæ. Et vicissim refectiones ad extremum ductæ, periculosæ*, tale quid toto eo sermone demonstrare volens, quòd nimirum neque vacuare, neque replere præter modum oporteat. At id potissimum ex athletica euexia didicerimus, quæ etiamsi & alia haud noxia habuerit (nam gymnastæ & bonis abundant humoribus, & virium pollent robore) ipsis tamen hoc ipsum malum est maximum, quòd ad extremam repletionem venerit, quapropter breui eam soluere oportet. Ac rursus quemadmodum tali habitu præditi

prӕditi, ad extremam vacuationem non sunt perducendi: sic neque qui alia quâuis egent vacuatione, non sunt prӕter modum vacuandi. Nam vniversè loquendo, in omni vacuatione vires coniecturis spectandӕ sunt, ac donec perferunt, neque deficiunt, exuperantem humorem educere studendum est. At quum vires dissoluuntur, etiamsi residuum sit aliquid, exuberantis *humoris* vacuatio cauenda est. Illud autem, *& vicissim refectiones ad extremum appulsӕ, periculosӕ*; si quis debeat hunc sermonem ad extremum referre, ne sit mutilus, de vltima repletione dictus videbitur, quam iubet vitari, neque eò vsque corpora reficere, vt ad extremam repletionem veniant. Si verò dicendi formӕ mentem adhibueris, vt nonnulli libri huius Interpretes, de eadem re bis ipsum dicere, sed aliter atque aliter cogitabis. Quum igitur dixerit, *eadem ratione & quӕ ad extremum ducunt vacuationes, periculosӕ*; hisce verbis ipsis solùm arbitraberis prӕcipere fugiendas esse immodicas vacuationes, quòd sint admodum periculosӕ. Quum verò subnectens protulerit; *& vicissim refectiones quum extremӕ fuerint, periculosӕ*; ob id interdicere immoderatas vacuationes, quòd & refectiones sequentes nequaquàm securӕ existant, quod quum natura facta sit imbecillis, jam nequeat probè satis coquere, distribuere, assimilare. Verùm si quis ita sermonem acceperit, altera ipsi doctrinӕ pars de extrema repletione manifestè prӕtermittetur, & frustra gymnasticӕ euexiӕ meminerit. Quin & hoc ipsum verbum, *rursus* aut *vicissim* toti orationi additum sententiam à nobis prolatam indicare videtur, quum diceret, & *rursus* refectiones quum in extremo fuerint, periculosӕ. Vt enim de re alia sermonem faciat, ita id apposuit, *& rursus.*

A τῆς δυνάμεως, καὶ μέχρις ἂν ἀντέχῃ καὶ μὴ κάμνῃ, πειρᾶσθαι τὸ περιττὸν ἀπάγειν. καταλυομένης δὲ, κἂν ἐπιλείπεταί τι τῶν περιττῶν, φυλάττεσθαι χρὴ τὴν κένωσιν. Τὸ δὲ, καὶ πάλιν αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραὶ, εἰ μὲν ἀνταπόδοσιν μέλλοι τὶς τῷ παραδείγματι τὸν λόγον, ὡς μὴ γενέσθαι κολοβὸν, ἐπὶ τῆς ἐσχάτης πληρώσεως εἰρῆσθαι δόξει, παραινοῦντος αὐτὴν φυλάττεσθαι, καὶ μὴ μέχρι τοσούτου τὰς ἀναθρέψεις ποιεῖσθαι τῶν σωμάτων, μέχρις ἂν εἰς τὸ ἔσχατον ἀφίξωνται τῆς πληρώσεως.
B Εἰ δὲ τῷ τῆς λέξεως σχήματι προσέχοις τὸν νοῦν, ὥσπερ ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, περὶ τοῦ αὐτοῦ πράγματος δὶς αὐτὸν ὑπονοήσειε λέγειν ἑτέρως καὶ ἑτέρως· ὅταν μὲν οὖν εἴπῃ, ὡσαύτως καὶ αἱ κενώσιες αἱ εἰς τὸ ἔσχατον ἄγουσαι σφαλεραὶ, κατ' αὐτὸ τοῦτο μόνον φεύγειν κελεύοντα τὰς ἀμέτρους κενώσεις, ὅτι καὶ αἱ ἀναθρέψεις αἱ ἀπ' αὐτῶν οὐκ ἀσφαλεῖς εἰσιν, ὡς ἂν ἀσθενοῦς γεγενημένης τῆς φύσεως, καὶ μήτε πέττειν ἱκανῶς, μήτ' ἀναδιδόναι, μήτ' ἐξομοιοῦν δυναμένης,
C παραλελείψεται δὴ φανερῶς, ἐὰν οὕτω τις δέξηται, θάτερον αὐτῷ μέρος τῆς διδασκαλίας, τὸ περὶ τῆς ἄκρας πληρώσεως, καὶ μάτην ἔσται τῆς γυμναστικῆς εὐεξίας μεμνημένος. Καὶ μὴν δὴ καὶ αὐτὸ τοῦτο τὸ προσκείμενον ὄνομα κατὰ τὴν λέξιν, τὸ, πάλιν, ἐνδείκνυσθαί μοι δοκεῖ τὴν εἰρημένην γνώμην, εἰπόντος αὐτοῦ, καὶ πάλιν αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί· ὥσπερ γὰρ ὑπὲρ ἄλλου πράγματος τὸν λόγον ποιούμενος, οὕτως ἐμνημόνευσε τὸ, καὶ πάλιν.

D

DE DIӔTӔ MODO.

Extremas attenuationes ac repletiones periculosas esse; de idoneo ӕgrotantium victu, de morbo acuto triplici, acuto, peracuto, & acutissimo; de victu triplici, tenui, tenuissimo, & pleno, & eorum cuiusque vsu; de triplici alimento vires servante, augente, & minuente, & quibus quodque conueniat.

ΠΕΡΙ ΜΕΤΡΟΥ ΔΙΑΙΤΗΣ.

Τὰς ἐσχάτας λεπτότητας τε, καὶ τὰς πληρώσεις χαλεπὰς εἶναι. Περὶ διαίτης τῶν νοσούντων ἐπιτηδείου. Περὶ
E νοσήματος ὀξέος, τριπλοῦ, τοῦ ὀξέος, κατοξέος, καὶ ὀξυτάτου. Περὶ διαίτης τριπλῆς, τῆς λεπτῆς, λεπτοτάτης, καὶ ἁδρᾶς, καὶ τῆς τούτων χρήσεως. Περὶ τροφῆς τριπλῆς, τῆς τὴν δυνάμεως ῥώμην φυλαττούσης, καὶ παραυξούσης, καὶ καθαιρούσης, καὶ τίσιν ἑκάστη προσήκῃ.

APHORISMVS IV.

F

Tenuis & exquisitus victus cùm in morbis longis semper, tum in acutis, vbi non admittitur, periculosus. Ac rursum victus ad extremũ tenuitatis progressus mo-

ΑΦΟΡΙΣΜΟΣ δ'.

ΑΙ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν ἀεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, σφαλεραί· καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται, χαλεπαί. Καὶ

γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι, χαλεπαί.

A *lestus; Nam & repletiones ad extremum prouectæ, molestæ.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τῷ πρόσθεν ἀφορισμῷ, περὶ πάσης καθόλου διαλεχθεὶς ἀμέτρου πληρώσεώς τε, καὶ κενώσεως, ἐν τούτῳ, περὶ τῆς τῶν νοσούντων διαίτης διεξέρχεται, κελεύων ἡμᾶς, ἐν μὲν τοῖς μακροῖς ἀεὶ πάθεσι φυλάττεσθαι τὰς λεπτὰς διαίτας, ἐν δὲ τοῖς ὀξέσιν, οὐκ ἀεί. Φαίνεται γὰρ τὰ πλεῖστα τούτων, λεπτῆς διαίτης δεόμενα, ἔνια δὲ αὐτῶν, καὶ τῆς ἐσχάτης λεπτῆς. B Εἴη δ' ἂν ἐσχάτως μὲν λεπτὴ δίαιτα, ἡ δι' ἀσιτίας μόνης, ἢ μελικράτου, μέχρι κρίσεως προϊοῦσα. Λεπτὴ δὲ, δι' ὀλίγων ἐδεσμάτων, ἢ δι' ὀλιγοτρόφων, οἷον περ καὶ ὁ τῆς πτισάνης ἐστὶ χυλός. Ὅρος δ' αὐτῆς, ἡ τῆς δυνάμεώς ἐστι καθαίρεσις, ἧσπερ ἕνεκα καὶ τρέφομεν. Ἐπὶ μὲν οὖν τῶν ὑγιαινόντων, ἀεὶ χρὴ τὴν ῥώμην τῆς δυνάμεως φυλάττειν, ἢ παραυξάνειν ταῖς τροφαῖς, οὐ καθαιρεῖν. καὶ εἴη ἂν ἡ μὲν παραύξουσα τροφὴ ἁδρὰ, ἡ δὲ φυλάττουσα, σύμμετρος, ἡ δὲ καθαιροῦσα, λεπτή. C Ταύτην μὲν οὖν φεύγειν χρὴ ἀεί· τῶν δ' ἄλλων, ὁποτέρας ἂν δέηται τὰ παρόντα, χρῆσθαι ταύτῃ. Ἐπὶ δὲ τῶν νοσούντων σπάνιον μὲν ἐνίοτε τὴν δύναμιν ἰσχυροτέραν ἧς παρελάβομεν, ἐργάζεσθαι, σπεύδομεν δὲ ὡς τὰ πολλὰ, φυλάττειν μὲν ἐν τοῖς χρονίοις, μετρίως δὲ καθαιρουμένην διασώζειν ἐν τοῖς ὀξέσιν. Εἰ γὰρ ἤτοι φυλάττειν αὐτὴν οἵαν παρελάβομεν ἐν τούτοις, ἢ παραυξάνειν ἀεὶ σπεύδοιμεν, αὐξήσομεν τὴν νόσον. Τίνα δ' ἐστὶν ὀξέα νοσήματα, τὰ δεόμενα τῆς ἐσχάτως λεπτοτάτης διαίτης, καὶ τίνα λεπτοτάτης μὲν, οὐ μὴν ἐσχάτως, καὶ τίνα τῆς λεπτῆς, D ἐπὶ πλέον μὲν ἐν τῷ περὶ διαίτης ὀξέων, ὃ καὶ περὶ πτισάνης ἐπιγράφουσί τινες, ὁ Ἱπποκράτης ἐδίδαξε· καὶ ἡμεῖς δὲ ἐν ταῖς εἰς ἐκεῖνο τὸ βιβλίον ἐξηγήσεσι, τὸν ἅπαντα λόγον ἐξειργασάμεθα. Νυνὶ δὲ ἀρκεῖ τόγε τοσοῦτον εἰπεῖν, ὡς ἐφ' ὧν μὲν ἂν νοσημάτων, ἡ ἀκμὴ, καὶ ἡ κρίσις, ἐν τῇ πρώτῃ μέλλει γενέσθαι τετράδι, τῆς δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης, ἐπὶ ἀσιτίας παντελοῦς τούτους φυλάξομεν, ὅπερ ἐστὶν ἐσχάτως λεπτοτάτης διαίτης. E ἐφ' ὧν δὲ μὴ ἐξώτερον τῆς πρώτης ἑβδομάδος, ἰσχυρᾶς οὔσης τῆς δυνάμεως, ἀρκέσει μελικράτῳ μόνῳ χρήσασθαι· λεπτοτάτη δ' ἂν εἴη καὶ αὕτη μόνη δίαιτα, οὐ μὴν ἐσχάτως γε· μὴ θαρροῦντες δὲ τῇ δυνάμει, πτισάνης χυλῷ χρησόμεθα, λεπτὴ δ' ἂν εἰκότως ἡ τοιαύτη δίαιτα καλοῖτο, καθάπερ ἡ διὰ τῆς κριθώδους πτισάνης. Οὐκέτι μὲν ἀκριβῶς λεπτὴ, πλὴν εἰ μὴ παντελῶς ὀλίγη λαμβάνοιτο, οὐ μὴν ἤδη γε καὶ ἁδρὰ, ὥσπερ ἡ διὰ ὠῶν, καὶ χόνδρου, καὶ ἰχθύων, F καὶ ὅσα τοιαῦτα. Τὸ, τοίνυν, οὗ μὴ ἐπιδέχεται, προσκείμενον ἐν τῷ περὶ τῶν ὀξέων λόγῳ, διὰ τὰ κατοξέα λέγεται· περὶ τούτων γὰρ αὖθις ἐρεῖ. Ὅκου μὲν οὖν κατοξὺ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχῃ, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

GALENI COMMENTARIVS.

QVum superiore aphorismo generatim de omni immoderata & repletione, & euacuatione loquutus sit; in hoc de ægrotantium victu disserit, nobis jubens in morbis quidem longis semper victum tenuem vitandum esse; in acutis verò non semper. Eorum enim plurimi victu tenui, quidam etiam eorum summè tenui indigere videntur. B Fuerit autem summè tenuis victus, qui sola inedia, vel melicrato ad crisin vsque procedit. Tenuis verò qui paucis aut parum nutrientibus eduliis, qualis est ptisanæ succus, *describitur*. Eius autem *tenuis victus* terminus est virium imminutio, quarum gratiâ etiam nutrimus. In sanis itaque semper virium robur servare, aut adaugere alimentis, non deminuere oportet. At vires quidem auget cibus plenus; tuetur verò & conservat commoderatus, imminuit C denique tenuis. Hunc igitur *secunda valetudine* semper fugere oportet; at reliquorum alteruto vti conveniet, provt præsens status postulaverit. In ægrotantibus autem raro quidem quas vires deprehenderimus, eas robustiores reddimus, sed sæpenumerò studemus diuturnis quidem in morbis ipsas tueri, in acutis verò modicè imminutas conservare. Nam si quales in ægris *vires* deprehenderimus, tales aut servare, aut adaugere semper studuerimus, morbum augebimus. Qui verò sint acuti morbi qui victum summè tenuissimum postulent; & qui tenuissimum qui- D dem, sed non summè, & qui tenuem, in libro de victus ratione in morbis acutis (quem de ptisana quidam inscribunt) pluribus Hippocrates docuit; ac nos nostris in eundem librum commentariis totum sermonem perfecimus. Nunc verò hoc tantum dixisse sufficiat quibus in morbis intra primam tetrada vigor, & judicatio futura est, in ijs modò vires robustæ sint, ægros in perpetua inedia continendos esse, qui victus est in sum- E mo tenuissimus; in quibus autem crisis primam hebdomada non superatura sit, ijs validis existentibus viribus, sola mulsa uti sufficiet: Solus autem hic victus tenuissimus fuerit, non tamen summè: Quod si viribus non fidamus, ptisanæ cremore vtemur: Atque hic victus tenuis meritò vocetur, quemadmodum, & qui ptisana constat hordeacea. Non jam quidem est exquisitè tenuis, nisi omnino pauca sumatur; non tamen propterea jam plenus fuerit, qualis qui ovis, F & alica, & piscibus, & quibusvis hujusmodi perficitur. Quod igitur additum est sermoni de acutis, *in quibus non conueniat*, id propter peracutos morbos dicitur: de his enim ipse dicet. Vbi igitur morbus peracutus est, protinus & extremi vrgent dolores, ac tunc summè tenuissimo victu vtendum est.

Tenuem victum pleniore tum ægris, tum sanis periculosiorem esse.

APHORISMVS V.

IN tenui victu delinquunt ægrotantes; proindeque magis læduntur. Quodcunque enim peccatum committitur, majus in tenui quàm in paulò pleniore victu committitur. Propterea etiam sanis summè tenuis, & status, & exquisitus victus periculosus, quòd errata graviùs ferant. Eam igitur ob causã victus tenuis & accuratus plerũq; paulò pleniore periculosior est.

GALENI COMMENTARIVS.

HVius aphorismi exordium etiam alitur scribitur hoc modo. In tenui victu ægri plerunque duplici errore peccant, ob idque magis læduntur. Atque nonnullis hoc exordium altero magis placet per id arbitrantibus Hippocratem velle dicere, quòd in tenui victu bifariàm ægri peccent, ob idque magis lædantur. *Primò* nanque propterea clam Medicis cibari coguntur, quia tenuis victus ab ipsis imperatur, indéque majus detrimentum subeunt, quàm si tenui victu non vterentur. Deinde etiam delinquunt, quòd nimirum fractis sint viribus, vt quæ superiori alimenti penuria laboraverint. Melior tamen prior lectio censetur; hanc enim quoque complectitur, & generaliorem orationem efficit de omni delicto intelligendam, siue id volentibus, siue invitis ægrotantibus accidat, vt talis sit orationis sententia, Quodcunque delictum tenui victu ita cibatis acciderit, id gravius adfert periculum, tum quia vires à tali diæta debiles euaserunt, tum quia in eam insueta mutatio facta est. Prædictæ lectioni suffragantur ea quæ de sanis pronunciata sunt, in quibus tenuem diætam periculosam esse asserit, quòd errata graviùs ferant, non quòd propter diætæ tenuitatem cogantur delinquere. Cæterùm quæ in aphorismo sequuntur, manifesta sunt.

A

Τὰς λεπτὰς διαίτας τῶν ἁδροτέρων τοῖς νοσοῦσί τε, καὶ ὑγιαίνουσι σφαλερωτέρας εἶναι.

ΑΦΟΡΙΣΜΟΣ ε΄.

ΕΝ τῇσι λεπτῇσι διαίτῃσιν ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. Πᾶν γὰρ τὸ ἁμάρτημα ὃ ἂν γίνηται, μέγα γίνεται μᾶλλον, ἢ ἐν τῇσιν, ἐν τῇσι λεπτῇσι
B
ὀλίγον ἁδροτέρῃσιν διαίτῃσι, διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ, καὶ καθεστηκυῖαι, καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. Διὰ τοῦτο οὖν αἱ λεπταὶ, καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα, τῶν σμικρῷ ἁδροτέρων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C
ΔΙχῶς γράφεται δὲ καὶ ἑτέρως ἡ ἀρχὴ τοῦδε τοῦ ἀφορισμοῦ κατὰ τόνδε τὸν τρόπον· ἐν τῇσι λεπτῇσι διαίτῃσι, τὰ πολλὰ ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. Καί τισιν ἀρέσκει μᾶλλον ἥδε, τῆς ἑτέρας, ἡγουμένοις τοῦτο βούλεσθαι λέγειν τὸν Ἱπποκράτην, ὡς ἄρα ἐν ταῖς λεπταῖς διαίταις ἁμαρτάνοντες οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. Τρέφεσθαι γὰρ ἀναγκάζονται λάθρα τῶν ἰατρῶν δι' αὐτὸ τοῦτο, διότι λεπτῶς ὑπ' αὐτῶν διαιτῶνται, κἀντεῦθεν μειζόνως βλάπτονται, ἢ εἰ μὴ διῃτῶντο λεπτῶς. Ἔτι δὲ ἁμαρτάνουσι, δῆλον, ὅτι καὶ ἐπ' ἀσθενεῖ τῇ δυνάμει, ὡς ἂν
D
ἐν ταῖς ἐνδείαις προκεκμηκυῖα. Ἀμείνων δὲ ἡ προτέρα γραφή. περιλαμβάνει γὰρ καὶ ταύτην, καὶ γενικώτερον ποιεῖται τὸν λόγον, ὑπὲρ ἁπάσης ἁμαρτίας ἐκδιδάσκουσα τῆς ἀκουσίως τε, καὶ ἑκουσίως συμπιπτούσης τοῖς νοσοῦσιν, ὡς εἶναι τὸν λόγον τοιοῦτον. Ὅτι ἂν ἁμάρτημα συμπέσῃ τοῖς λεπτῶς οὕτω διαιτωμένοις, σφαλερώτερον τοῦτο καθίσταται, παρόσον ἥτε δύναμις ἄρρωστος ὑπὸ τῆς τοιαύτης διαίτης γέγονεν, ἥ τ' ἐπ' αὐτὴν μετάβασις ἀήθης. Μαρτυρεῖ δὲ τῇ προειρημένῃ γραφῇ, καὶ τὰ
E
περὶ τῶν ὑγιαινόντων εἰρημένα· σφαλερὰς γὰρ ἐπ' αὐτῶν ἔφη τὰς λεπτὰς διαίτας ὑπάρχειν, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσιν, οὐχ ὅτι διὰ τὸ λεπτὸν τῆς διαίτης ἁμαρτάνειν ἀναγκάζονται. Τὰ δ' ἐφεξῆς τοῦ ἀφορισμοῦ, σαφῆ.

QVID EXTREMVS MORBVS.

Quid accuratissima curatio; & extremis remediis extrema remedia necessaria esse.

APHORISMVS. VI.

EXtremis morbis extrema ad integritatem remedia optima.

ΤΙ ΕΣΤΙΝ ΕΣΧΑΤΟΝ ΝΟΣΗΜΑ.

F
Τί θεραπεία ἀκριβεστάτη· καὶ τοῖς ἐσχάτοις νοσήμασι τὰς ἐσχάτας θεραπείας εἶναι κρατίστας.

ΑΦΟΡΙΣΜΟΣ ς΄.

ΕΣ δὲ τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην, κράτισται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔσχατα νοσήματα κέκληκεν ὁ Ἱπποκράτης, τὰ μέγιστα, μεθ' ἃ οὐκ ἔστιν ἄλλα· καὶ ταύτην κελεύει τὴν θεραπείαν ὅλην ἐπ' αὐτῶν ἀκριβεστάτην εἶναι, καὶ δηλονότι καὶ τὴν δίαιταν λεπτοτάτην· εἴη δ' ἂν πάντως ταῦτα κατόξεα, καὶ διὰ τοῦτο, ἐπιφέρων τὸν ἑξῆς ἀφορισμὸν, ἐρεῖ.

A GALENI COMMENTARIVS.

Extremos morbos vocauit Hippocrates maximos, vltra quos non sunt alij. Quare vniversam curationem imperat accuratissimam esse, ac victum nimirùm tenuissimum. Ejusmodi autem fuerint omninò morbi peracuti; proptereáque huic subnectens aphorismum, ait.

B

ΤΙ ΕΣΤΙ ΚΑΤΟΞΥ ΤΟ ΝΟΣΗΜΑ.

τί πόνοι μέγιστοι· τίς ἡ ἀκμή.

Τοῖς ὀξέσι νοσήμασι, καὶ τῇ ἀκμῇ ἐσχάτως λεπτοτάτην δίαιταν συμφέρειν. καὶ ὅσον ἡ νόσος ἀπολείπεται τῶν ἐσχάτων ἢ τῆς ἀκμῆς μαλθακωτέρα, τοσοῦτον ὑποκαταβαίνειν τοῦ ἐσχάτως τῆς λεπτοτάτης διαίτης χρή.

QVID MORBVS PERACVTVS;

Quid labores maximi; Quis morbi vigor.

Peracutis morbis & vigoris summe tenuem victum conuenire; & quo ab extremo vigore remotior fuerit morbus, eò à summè tenuissimo victu decedendum, ac pleniùs alendum esse.

ΑΦΟΡΙΣΜΟΣ ζ.

Ὅκου μὲν οὖν κατόξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ χρέεσθαι ἀναγκαῖον, ὅκου δὲ μὴ ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

C APHORISMVS VII.

Qvum ergo morbus peracutus est, statim & extremos sortitur labores; ac tum summè tenuissimo victu vti necesse est. Vbi verò non, sed pleniore victu alere conceditur, tantum à summè tenuissimo victu *decedendum, quantùm morbus ab extremis lenior recesserit.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ ἔσχατα νοσήματα, τὰ μέγιστα προσηγόρευσεν, οὕτω καὶ νῦν ἐσχάτους πόνους, τοὺς μεγίστους καλεῖ, πόνους δὲ, ἤτοι τοὺς παροξυσμοὺς, ἢ ἁπλῶς ἅπαντα τὰ συμπτώματα. Καὶ γὰρ τοὺς παροξυσμοὺς, καὶ πάνθ' ἁπλῶς τὰ συμπτώματα, μέγιστα κέκτηται τὸ κάτοξυ νόσημα, κατὰ τὰς πρώτας ἡμέρας εὐθὺς τῆς νόσου. Συνεμπίπτει γὰρ αὐταῖς ἡ ἀκμὴ οὐδὲν ἄλλο οὖσα, ἢ τὸ μέγιστον τοῦ νοσήματος, ὡς ἐν συμπτώμασι. Καὶ δὴ καὶ κάτοξυ νόσημα τοῦτο ἂν εἴη, τὸ αὐτίκα ἀκμάζον. Αὐτίκα δ' ἀκουστέον, περὶ τὴν πρώτην τετράδα, ἢ μικρὸν ταύτης ἐξώτερον. Προσήκει δὴ διὰ τοῦτο διαιτᾶν ἐσχάτως λεπτῶς, εἴπερ γε χρὴ ἐν ταῖς ἀκμαῖς τῶν νοσημάτων λεπτότατα διαιτᾶν, ὡς ἔν τε τῷ περὶ διαίτης ὀξέων ἐδίδαξεν, καὶ κατ' αὐτὸν τοῦτον τὸν ἀφορισμόν. Ἡ δ' ἀκμὴ τοῦ κατόξεος νοσήματος, εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις ἐστίν· ὅτι δ' εὔλογον ἐν ταῖς ἀκμαῖς, λεπτοτάτως διαιτᾶν, ἐπὶ πλέον μὲν ἐν ἑτέροις ἡμῖν δέδεικται. Ἀρκέσει δὲ, τό γε νῦν, τοσοῦτον εἰπεῖν, ὡς εἴ γε διὰ τὰς φλεγμονὰς, ἢ τοὺς πυρετοὺς τοὺς ἀχωρίστους τῶν ὀξέων νοσημάτων, δέδιέ τις διδόναι τροφὰς ἀξιολόγους, ἐν ταῖς ἀκμαῖς τοῦτο μᾶλλον ποιεῖν εὐλαβηθήσεται. Μέγισται γὰρ δὴ αἱ φλεγμασίαι τηνικαῦτά εἰσιν, ὡς αὐτὸς ἐν τῷ περὶ

D GALENI COMMENTARIVS.

Qvemadmodum morbos extremos maximos appellavit; ita & nunc extremos labores, maximos vocat: labores autem, aut paroxysmos, aut omnia absolutè symptomata. Etenim paroxysmos, atque omnia absolutè symptomata sortitur morbus per acutus primis statim diebus; nam in eos statim morbi vigor incidit, qui nihil aliud est, quàm symptomatum morbi maximum. Atqui per acutus morbus is fuerit, qui statim vigorem adeptus est. (E) Per statim autem circiter primos quatuor dies, aut paulò vlterius intelligendum. Idcirco autem summè tenuem victum præscribere convenit, si modo tenuissimus victus in morbi vigore sit præscribendus, quemadmodum libro de ratione victus in mortis acutis, & hoc aphorismo docuit. At morbi peracuti vigor primis statim diebus consistit. Quod autem sit rationi consonum in morbi vigore tenuissimo vti victu, alibi à nobis pleniùs demonstratum est. (F) Nunc hoc tantum dixisse sat erit, quòd siquis propter inflammationes, aut febres, semper acutorum morborum comites, vereatur idoneum præbere alimentum, in vigore hoc agere magis verebitur. Tunc enim maximæ sunt inflammationes, quas ipse in libro de ratione victus in morbis

acutis phlegmasias appellabat. Siue igitur aliquis per phlegmasias velit proprie appellatas phlegmonas intelligere; siue etiam ipsis febres vnà complecti, secundum veterem dictionis acceptionem, ad hæc etiam præstat naturam sinere morbi coctioni vacare per eius vigorem, quàm inde ipsam ad cibos recenter assumptos conficiendos distrahere. His itaque de causis per morborum vigorem tenuissimè alere oportet. Hoc autem supposito hinc jam alijs in morbis suum vigorem posteriùs assecuturis statim ab initio summè tenuissimum victum imperare non licet; sic enim priùs homo morietur, quàm morbus ad vigorem perueniat. At in quibus statim, hoc est, primis quatuor diebus morbi vigor futurus est, in ijs summè tenuissimo victu vti possumus, modò vires & inediam integram, & solius mulsæ exhibitionem, & ptisanæ omnino paucum succum ferre possint. Eiusmodi quidem tenuissimus est victus. Qui verò hoc minùs est tenuis, quem etiam pleniorem nominavit, eorum est morborum qui posteriùs suum vigorem adepturi sunt; in quibus tantum à victus tenuitate decedere imperat, quantum morbus ab extremis, hoc est, à vigore discedit: qui vigor si prope adsit paulò pleniùs quàm si jam adesset, nutriemus; si verò longiùs absit, multò pleniùs. Denique quanto tardiorem *aut celeriorem* fore morbi vigorem expectabimus, tanto & victus formam plus minus immutabimus.

A διαίτης ὀξέων ἔλεγε φλεγμασίας. Εἴτ' οὖν τὰς ἰδίως ὀνομαζομένας φλεγμονὰς ἐθέλοι τις ἀκούειν, εἴτε συμπεριλαμβάνειν αὐταῖς καὶ τοὺς πυρετοὺς, κατὰ τὸ παλαιὸν ἔθος τῆς λέξεως, ἔτι τε πρὸς τούτοις ἄμεινον ἐπιτρέψαι τῇ φύσει, σχολάζειν τῇ πέψει τῆς νόσου κατὰ τὰς ἀκμὰς, καὶ μὴ περιέλκειν αὐτὴν εἰς τὴν τῶν ἄρτι ληφθέντων σιτίων κατεργασίαν· διὰ ταῦτα μὲν δὴ κατὰ τὰς ἀκμὰς διαιτᾶν χρὴ λεπτότατα· ἐπεὶ δὲ τοῦτο ὑπόκειται, τοὐντεῦθεν ἤδη, τοῖς μὲν ἄλλοις νοσήμασιν, ὅσα τὴν ἀκμὴν ἐς ὕστερον ἀπολήψεσθαι μέλλει τὴν B ἐσχάτως λεπτοτάτην δίαιταν, οὐχ οἷόν τε προσάγειν εὐθὺς ἀπ' ἀρχῆς. Φθάσει γὰρ οὕτως ἀποθανεῖν ὁ ἄνθρωπος, πρὶν εἰς τὴν ἀκμὴν ἀφικέσθαι. Ἐν οἷς δ' αὖ αὐτίκα ἡ ἀκμὴ, τουτέστι κατὰ τὴν πρώτην τετράδα μέλλει γίνεσθαι, δυνατὸν ἐν τούτοις τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ χρῆσθαι, φερούσης τῆς δυνάμεως, καὶ ἀσιτίαν παντελῆ, καὶ μελικράτου μόνου προσφορὰν, καὶ χυλὸν πτισάνης ὀλίγον παντελῶς. Τοιαύτη μὲν οὖν τις ἡ λεπτοτάτη δίαιτα. Ἡ δὲ ταύτης ἧσσον λεπτὴ, ἣν καὶ ἁδροτέραν ὀνόμασε, τῶν ἐξ ὑστέρου μελλόντων C ἀπολήψεσθαι τὴν ἀκμὴν νοσημάτων ἐστὶν, ἐφ' ὧν τοσοῦτον ὑποκαταβαίνειν τοῦ λεπτοῦ τῆς διαίτης κελεύει, ὅσον καὶ ἡ νόσος ἀπολείπεται τῶν ἐσχάτων, τουτέστι τῆς ἀκμῆς· Ἐγγὺς μὲν γὰρ οὔσης τῆς ἀκμῆς, ὀλίγον ἁδρότερον διαιτήσομεν, ἐξωτέρω δὲ αὐτῆς, πλέον ἁδρότερον. καὶ ὅσῳ ἂν πορρώτερον μᾶλλον τὴν ἀκμὴν ἔσεσθαι προσδοκήσωμεν, τοσούτῳ καὶ τὸ τῆς διαίτης ὑπαλλάξομεν σχῆμα.

D

In morbi vigore tenuissimo victu vtendum esse; ob symptomatum magnitudinem, & morbi coctionem. Indicationes nutriendi à morbi temporibus, & ægri viribus petendas esse.

Ἐν τῇ ἀκμῇ λεπτοτάτῃ διαίτῃ χρηστέον εἶναι, διὰ τὸ μέγεθος τῶν συμπτωμάτων τε καὶ τὴν πέψιν τοῦ νοσήματος. Τὰς ἐνδείξεις τοῦ διαιτᾶν ἀπὸ τῶν καιρῶν τοῦ νοσήματος, καὶ ἀπὸ τῆς δυνάμεως.

APHORISMVS VIII.

QVum morbus in vigore fuerit, tum & tenuissimo vti victu necesse est.

ΑΦΟΡΙΣΜΟΣ η.

E ΟΚόταν δὲ ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

GALENI COMMENTARIVS.

HIc quoque aphorismus ipsi pars est artis diæteticæ, qui quidem à nonnullis per se scribitur in præsenti dicta oratione; ab aliis verò præcedenti aphorismo subnectitur, quo loco antè scriptus est. Nos autem docet, vtrubi scriptus sit, vnum & idem præceptum senis, vigoris tempore victu vti tenuissimo, imperantis, nimirum, tum propter symptomatum magnitudinem, tum morbi coctionem. Non enim natura ad alteram novam coctionem distrahenda est, quum eo tempore humorum morbum procreantium coctioni vehementer incumbat, ac propemodum ipsos sit superatura: Sic enim à nobis in opere de crisibus demonstratum est; vbi de iis nimirum morbis

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΜΟριόν ἐστιν αὐτῷ καὶ οὗτος ὁ λόγος τῆς διαιτητικῆς τέχνης, ὑπ' ἐνίων μὲν ἰδίᾳ γραφόμενος ἐν τῇ νῦν εἰρημένῃ λέξει, προστιθέμενος δ' ὑφ' ἑτέρων τῷ πρόσθεν ἀφορισμῷ καθότι προγέγραπται. Διδάσκει δὲ ἡμᾶς, ὅπως ἂν ᾖ γεγραμμένος ἕν τε καὶ ταὐτὸν θεώρημα κελεύοντος τοῦ παλαιοῦ τῷ λεπτοτάτῳ τῆς F διαίτης ἐν τῷ τῆς ἀκμῆς χρῆσθαι καιρῷ, διά τε τὸ μέγεθος δηλονότι τῶν συμπτωμάτων, καὶ τὴν πέψιν τοῦ νοσήματος· οὐ γὰρ χρὴ περιέλκειν τὴν φύσιν εἰς ἑτέραν πέψιν πρόσφατον ἐγκειμένην ἰσχυρῶς τῇ πέψει τῶν νοσοποιῶν χυμῶν ἐν ἐκείνῳ τῷ χρόνῳ, καὶ μέλλουσάν γε, ὅσον οὔπω κρατήσειν αὐτῶν. Οὕτω γὰρ ἡμῖν ἐπιδέδεικται, κἂν τῇ περὶ κρίσεων πραγματείᾳ, κατ'

ἐκεῖνα δηλονότι τὰ νοσήματα τοῦ λόγου παντὸς ἀνυομένου, ἐφ' ὧν ὅλως ἐγχειροῦμεν διαίτῃ τε καὶ θεραπείᾳ. Ταῦτα δ' ἐστὶν ἐν οἷς τὴν ἀκμὴν ἐκδέχεται παρακμή, ὡς ἐφ' ὧν γε θάνατος ἀκμαζόντων ἀκολουθεῖ, τῷ προγνωστικῷ μέρει τῆς τέχνης προσχρώμεθα μόνῳ, προλέγοντες τὸ γενησόμενον, ὅπως ἀναίτιοι τῶν ἀποβησομένων εἴημεν. Αὕτη μὲν οὖν σοι μία περὶ τῶν καιρῶν τοῦ νοσήματος ἔνδειξις εἰς τὸ τῆς διαίτης εἶδος· ἑτέρα δ' ἀπὸ τῆς δυνάμεως, ἣν κατὰ τὸν ἑξῆς ἀφορισμὸν διδάσκει.

A

tota oratio conſumitur, in quibus omnino & diæta, & curatione nitimur. Hi verò ſunt in quibus vigorem excipit declinatio. Nam quorum vigorem mors ſequitur, in his ſolo prognoſtico artis parte vtimur, quod futurum ſit prædicentes, ne rerum euentus noſtro errori adſcribatur. Hæc igitur tibi ſit vna indicatio ad victus formam, *conſtituendam* ex morbi temporibus ſumpta; altera verò ab *ægrotantis* viribus, quam ſequenti docet aphoriſmo.

B

Τοὺς σκοποὺς ἢ τὰς ἐνδείξεις τοῦ διαιτᾶν ἀπὸ τῆς δυνάμεως εἶναι, διὰ τὴν ἧς ἔκλυσιν, καὶ ἐν τῇ ἀκμῇ διαιτᾶν χρή.

Indicationes victus præſcribendi, ab ægrotantis viribus petendas eſſe, quarum exolutione etiam in morbi vigore alendum eſſe.

ΑΦΟΡΙΣΜΟΣ θʹ.

Συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει, καὶ ἀμβλυνεῖται.

C

APHORISMVS IX.

Coniecturis autem æger etiam explorandus eſt, an victu ad morbi vſque vigorem par ſit futurus, & vtrùm ille prius ſit defecturus, neque tali cum victu ſatis eſſe potuerit, quàm morbus ceſſerit ac obtundatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ κατὰ τὸν ἔμπροσθεν ἀφορισμὸν τοσοῦτον ὑποκαταβαίνειν ἐκέλευσε τῆς ἐσχάτως λεγομένης λεπτῆς διαίτης, ὁπόσον ἂν χρόνον ἡ νόσος μαλακωτέρα τῆς ἀκμῆς ᾖ, νῦν ἄλλον προστίθησιν ἕτερον σκοπόν, εἰς ἀκρίβειαν τοῦ, ὃ ποσὸν λαβεῖν τῆς ὑποκαταβάσεως· ἔστι δὲ ὁ σκοπὸς οὗτος ἡ δύναμις, ἧς ἕνεκα καὶ τρέφειν ἐστίν· οὐ γὰρ δὴ τοῦ νοσήματος αὐτοῦ χάριν. Ὅταν μὲν γὰρ οὕτως ἔχει ῥώμης, ὡς ἐλπίζειν ἡμᾶς ἐξαρκέσαι τῷ μεταξὺ χρόνῳ παντί, μέχρι τῆς ἀκμῆς, ἐπὶ τῷ τοιῷδε σχήματι τῆς διαίτης, ἔχοιμεν ἂν ἤδη τὸ ποσόν, ἀκριβῶς. Ἂν δ' ἀσθενεστέρα φαίνηται, προσθετέον τι τῇ διαίτῃ, καὶ ἁδρότερον διαιτητέον· εἰς τοσοῦτον εἰς ὅσον ἂν ἡ τῆς δυνάμεως ἀσθένεια κελεύῃ· διὰ τοῦτο γοῦν ποτε, καὶ κατ' αὐτὴν τὴν ἀκμὴν ἐπιγιγνομένου συμπτώματος ἐκλυτικοῦ τῆς δυνάμεως, ἀναγκαζόμεθα τρέφειν. Μέρος δ' ἂν εἴη καὶ οὗτος ὁ λόγος τοῦ περὶ διαίτης παντός. καὶ εἴ τις ἕνα, τὸν σύμπαντα τοῦτόν τε, καὶ τὸν προειρημένον, καὶ τὸν ἐφεξῆς μέλλοντα, ῥηθήσεσθαι, ποιήσειεν, οὐχ ἁμαρτήσεται. Ἐγὼ δὲ εἰς μόρια τέμνων ἐξηγοῦμαι, εἰς ὅσον δύναμαι σαφηνείας ἕνεκα.

GALENI COMMENTARIVS.

D

Qvandoquidem ſuperiore aphoriſmo tantum ab extremo victu tenui diætâ decedendum eſſe imperaverat, quanto tempore morbus ipſo vigore remiſſior extiterit, nunc hîc alteram addit indicationem, vt accuratiùs quantum de extrema victus tenuitate decedendum ſit percipiamus. Hæc autem indicatio ab ægrotantis viribus ſumitur, quarum gratia licet alere; neque enim morbi ipſius cauſâ: Quum enim virium robur ita ſe habuerit, vt ſperemus nos ipſum poſſe toto eo tempore quod aduſque morbi vigorem intercedit, tali victûs forma ſuppeditari, tum quantum concedendum ſit accuratè tenebimus.

E

Quod ſi imbecillius appareat, aliquid victui adjiciendum eſt, ac tanto pleniùs alendum, quantum virium imbecillitas expoſtulat. Quocirca interdum in ipſo etiam morbi vigore, eo oborto ſymptomate quo vires exoluuntur, alere cogimur. Atque hæc quoque oratio pars totius eſt, *diætetices* quæ de victus ratione diſſerit. Quod ſi quis & hunc totum, & præcedentem, atque ſequentem explicandum aphoriſmum vnum fecerit, non aberrabit. Ego verò partes qua potui facilitate diuiſas explicare malui.

F

A

Accedente statim morbi vigore, eóque oborto, ac paulò ante vigorem, cibum subducendum, ac tenuiter alendum esse.

Τῆς ἀκμῆς αὐτίκα προσερχομένης, καὶ αὐτῆς γινομένης, καὶ μικρὸν πρὸ τῆς ἀκμῆς, ἀφαιρετέον τὴν δίαιταν, καὶ λεπτῶς διαιτᾶν.

APHORISMVS X.

QVibus igitur statim vigor est, his statim tenuis victus exhibendus. Quibus verò posteriùs vigor futurus est, ijs in ipso, & paulo ante ipsum cibus subtrahendus. Antea verò pleniùs alendum est, quò perstet ægrotus.

ΑΦΟΡΙΣΜΟΣ ί.

B Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾶν. Ὁκόσοισι δὲ ὕστερον ἡ ἀκμὴ ἐς ἐκεῖνο, καὶ πρὸ ἐκείνου σμικρὸν ἀφαιρετέον. Ἔμπροσθεν δὲ πιοτέρως διαιτᾶν ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

GALENI COMMENTARIVS.

ATque hæc oratio eandem habet sententiam; verùm generalior superiore elata est. Supra nanque in peracutis morbis dicebat statim in ipsis tenuissimo victu vtendum esse; in hac verò absolutè de omnibus morbis pronunciat, quorum statim futurus est vigor, hoc est, non multo post primum morbi insultum, iubens ob id tenui victu vtendum esse. Quæ verò sequuntur, manifesta sunt, ac eandem sententiam complectuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ οὗτος ὁ λόγος τῆς αὐτῆς ἔχεται γνώμης· εἴρηται δὲ καθολικώτερον τοῦ πρόσθεν. Ἔμπροσθεν
C μὲν γὰρ ἐπὶ καταξέων τῶν νοσημάτων ἔλεγεν, ὡς αὐτίκα τῇ λεπτοτάτῃ διαίτῃ χρηστέον ἐπ' αὐτῶν· ἐν ταύτῃ δὲ ἁπλῶς ἀποφαίνεται περὶ πάντων τῶν νοσημάτων, ὧν αὐτίκα ἡ ἀκμὴ, τουτέστιν οὐ μετὰ πολὺ τῆς πρώτης εἰσβολῆς, ταύτῃ κελεύων λεπτῶς διαιτᾶν. Τὰ δὲ ἐφεξῆς δῆλα τῆς αὐτῆς ἐχόμενα γνώμης.

In paroxysmis cibum subducendum esse.

Ὅτι ἐν τοῖς παροξυσμοῖς τὴν τροφὴν ὑποστέλλεσθαι χρή.

D

APHORISMVS XI.

IN exacerbationibus cibum subducere oportet: nam exhibere noxium. Et quibus per circuitus morbi exacerbantur, in ipsis paroxysmis cibus prohibendus est.

ΑΦΟΡΙΣΜΟΣ ιά.

ΕΝ δὲ τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή. Τὸ προστιθέναι γὰρ, βλάπτει· καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.

GALENI COMMENTARIVS.

E

VNiuersæ quidem diætæ formam in vnoquoque morbo à duabus indicationibus iussit nos sumere, ex futuro totius morbi vigore, & ex ægrotantis viribus. In hac autem oratione quo modo etiam aliquis sigillatim cibum decenter exhibuerit, docet, à cibis iubens cauori paroxysmos. Verùm dilucidiùs libro de ratione victus in morbis acutis dixit, quòd neque quum iam adsunt paroxysmi, neque quum mox affuturi sunt, alimenta præbeamus; sed quum declinant, cessantque.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν τῆς ὅλης διαίτης εἶδος, ἐν ἑκάστῳ τῶν νοσημάτων, ἀπὸ δυοῖν σκοποῖν ἐκέλευσεν ἡμᾶς λαμβάνειν, ἔκ τε τῆς μελλούσης τοῦ ὅλου νοσήματος ἀκμῆς, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως· ὡς δ' ἄν τις καὶ τὰς κατὰ μέρος προσφορὰς ποιοῖτο προσηκόντως, ἐν τῷδε λόγῳ διδάσκει, τοὺς παροξυσμοὺς ἀξιῶν φυλάττεσθαι. Σαφέστερον δὲ αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων εἶπεν, ὡς ἂν μήτ' ὄντων ἤδη, μήτε ὅτων ἔπω μελλόντων ἔσεσθαι τῶν παροξυσμῶν, διδῶμεν τροφὰς, ἀλλὰ δηλονότι
F δεῖ διδόναι, παρακμαζόντων τε, καὶ παυομένων.

A

Δι' ὧν δηλωμάτων οἱ τῶν νοσημάτων παροξυσμοί τε καὶ αἱ καταστάσιες δηλοῦνται· τρεῖς δίδοσθαι τῆς διαίτης σκοπούς, ὅτι ἐν τῇ πρώτῃ τῶν ἡμερῶν τὸ τοῦ πυρετοῦ εἶδος γνωρίζεται. Ὅτι μὲν αἱ νόσοι θεριναὶ γίνονται βραχύτεραι, αἱ δὲ φθινοπωριναί τε καὶ χειμεριναὶ μακρότεραι· τί ἐστιν ὁ παροξυσμός, τί ἡ παρακμή, τί ἡ περίοδος· περὶ σημείων τῶν παθογνωμονικῶν τε, καὶ τῶν συνεδρευόντων, καὶ τῶν κρισίμων, καὶ τῶν πέψεως, καὶ τῶν ἀπεψίας, καὶ τῶν σωτηρίας, καὶ τοῦ θανάτου· ἱστορία τοῦ Αναξίωνος, ᾧ ὀγδόῃ ἀγκῶνα ἔταμεν Ἱπποκράτης· τίνες αἱ φλεγμοναὶ τοὺς ἰχῶρας ἔχουσι. Ποῖον πτύελον τῆς τελείας πέψεως γνώρισμα. Ποῖόν τε τῆς ἀπεψίας, καὶ ποῖον ἀπεψίας παντελέως, καὶ θανάτου· τί οὖρον ἄριστον, τί καὶ τὸ διαχώρημα ἄριστον, καὶ τὸ πτύελον ἄριστον.

Quibus indicijs morborum tum paroxysmi, tùm constitutiones indicantur. Tres dari diætæ scopos, quòd proximo die febris species dignoscatur. Morbos æstiuos breuiores, autumnales & hyemales longiores esse. Quid paroxysmus, quid declinatio, quid periodus. De signis pathognomonicis, assidentibus, decretorijs, coctionis, cruditatis, salutis, & mortis. B Anaxionis pleuritici historia, cui venam cubitûs octauo die secuit Hippocrates. Quæ inflammationes scateant ichoribus. Quòd sputum perfectæ coctionis signum, quod cruditatis, quod imperfectæ coctionis, & mortis. Quæ sit optima vrina; optima dejectio, & sputum optimum.

ΑΦΟΡΙΣΜΟΣ ιβ'.

Τοὺς δὲ παροξυσμοὺς, καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας αἰταποδόσιες ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται. Ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένου, βραχύνει· ἢν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει· καὶ οὖρα, καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες, καὶ δύσκριτα, καὶ εὔκριτα, καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα, ἐπιφαινόμενα δηλοῖ.

επιδόσεις

APHORISMVS XII.

C *Morbi verò & anni tempestates ac succedentes inuicem periodorum reciprocationes, siue quotidie, siue alternis diebus, siue etiam per maiora imterualla fiant, paroxysmos, & morborum constitutiones indicabunt. Sed & subapparentibus eadem indicantur; quale in pleuriticis sputum, si statim oboriente morbo subappareat, breuem morbum; si verò posteriùs subappareat, longum fore denunciat: Vrinæ quoque, & alui excrementa, & D sudores, vbi subapparuerint & facilis aut difficilis iudicii, & breues, aut longos fore morbos indicant.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ τῶν ἔμπροσθεν εἰρημένων αὐτῷ περὶ διαίτης ἀναμνησθείημεν, ἐναργεστέρα ἡμῖν ἡ χρεία φανεῖται νῦν τῶν λεγομένων. Τὰ δὲ προειρημένα ταῦτά ἐστιν. Τὸ μὲν τῆς ὅλης διαίτης σχῆμα, πρὸς δύο σκοποὺς ἀποβλέπων ἐποιεῖτο, τήν τε δύναμιν τοῦ κάμνοντος, καὶ τὴν κατάστασιν τοῦ νοσήματος. Τὸ γὰρ εἴ τε κάτοξυ, εἴτε ὀξὺ, εἴτε χρόνιον ἔσοιτο τὸ νόσημα, καὶ ὁπηνίκα μάλιστα τὴν ἀκμὴν ἀπολήψοιτο, τὴν κατάστασίν ἐστι τοῦ νοσήματος σκοπεῖν· Τὰς δὲ κατὰ μέρος προσφορὰς τῶν σιτίων, τοῖς κατὰ μέρος παροξυσμοῖς ἐτεκμαίρετο. Τριῶν οὖν ὄντων σκοπῶν εἰς τὸ τελέως καὶ ἀνελλιπῶς διαιτᾶν, πρώτου μὲν τῆς δυνάμεως τοῦ κάμνοντος, δευτέρου δὲ, τῆς καταστάσεως τοῦ νοσήματος, ἐπ' αὐτοῖς δὲ τρίτου τῶν κατὰ μέρος παροξυσμῶν, τὴν μὲν δύναμιν οἷόν τέ ἐστιν εὐθὺς εἰσελθόντα διαγινώσκειν, ἀπὸ τῶν σφυγμῶν δηλονότι, καὶ τῶν ἄλλων, ἅπερ αὐτὸς ἐν τῷ προγνωστικῷ διῆλθεν· ὅθεν οὐδὲ ἀδύνατον ἔφησέ τις εἰ διαγνῶναι μέγεθος δυνάμεως· ἀλλ' εἰ καὶ μὴ

φήσειεν ἄν

GALENI COMMENTARIVS.

Si quæ priùs ab eo de victûs ratione dicta fuerunt, recordemur, quæ nunc dicuntur eorum vsus nobis manifestior prodetur. Erant autem prædicta ejusmodi. E Vniuersæ diætæ instituendæ formam ad duos tendens scopos faciebat, tum ægrotantis vires, tum morbi constitutionem. Nam an morbus sit peracutus, aut acutus, aut diuturnus futurus, & quando maximè vigorem assequuturus sit, morbi constitutionem est considerare. Particulares autem ciborum oblationes ex particularibus paroxysmis conjecturabatur. Quum igitur tres sint scopi ad perfectè ac absolutè victum præscribendum; primus quidem vires ægrotantis; secundus verò morbi constitutio; tertius de- F nique præter hos, particulares paroxysmi; vires quidem primo statim ad ægrotum aditu dignoscere Medicus potest, ex pulsibus nimirum & alijs, quæ ipse in prognostico narrauit. Vnde nemo dixit virium magnitudinem dignosci non posse. At si neque possimus ipsarum

ipſarum quantitatem exquiſitè inuenire, poſſe tamen nos artificioſâ conjecturâ ad eam proxime accedere omnes concedunt. Morbi verò conſtitutionem qualis ſit futura, & particulares paroxyſmos multis Medicis viſum eſt dignoſci non poſſe; non tamen Hippocrati. Sed in his, quemadmodum & in aliis, ſæpe quidem accuratè, & vt quis dixerit certâ ſcientiâ, ſæpe verò conjecturis quidem, non tamen citrà artem factis, neque procul à veritate aberimus; ſed prope, ac proximè perueniemus ad prænoſcendum futurum morbi vigorem, & paroxyſmorum viciſſitudines. Verùm hæc latiùs tum in Prognoſtico, tum in Epidemiis docuit; ac nos ex mente ſenis ipſius verba cum decenti explicatione in libro primo de criſibus appoſuimus, vbi quomodo quiſquam futurum morbi vigorem prænoſcere valeat, demonſtrauimus. Nunc verò quicquid ab ipſo Hippocrate ſummatim pronunciatum eſt, id nos quoque ſumus, quàm fieri poterit breviſſimè declaraturi. Quibus verò curæ eſt omnem de his diſciplinam diligenter perdiſcere, hi ad librum de Criſibus à nobis conſcriptum, ſeſe conferant. Morbi igitur ipſi tum ipſas paroxyſmorum proportiones, tum ſuas etiam conſtitutiones nihil minus indicabunt: exempli gratiâ, inter febres intermittentes, tertianam, celerem quidem obtinere iudicationem, diuturnam verò eſſe quotidianam, eâque diuturniorem quartanam. Inter continuas, ardentes quidem acutas eſſe, typhodes verò fumantes his diuturniores; inter vtraſque medias eſſe ſemitertianas. Vt verò quiuis has omnes febres quum ſtatim invadunt, dignoſcat, ſecundo libro de Criſibus ampliſſimè narratum eſt. Quare hunc in librum transferenda non ſunt quæ rectè alijs in locis priùs jam ſunt prodita, neque crebrò multis in libris de iiſdem verba facere ſtudendum; ſed ſolùm in memoriam reuocandum, quomodo, ſi poſſibile fuerit tertianam in inſultu ſtatim ab initio cognoſcere, ex ea comprehendere liceat tum citam eius fore criſim, tum tertio quoque die fieri acceſſiones; atque hoc ipſum eſt, quod ab Hippocrate dicitur, *paroxyſmos; & morborum conſtitutiones indicabunt morbi*: Nos enim quum ſæpe ſtatim primo die quartanarum febrium principia cognouiſſemus, non expectata jam *acceſſionis* alternatione, victus formam ab initio conſtituimus, provt morbo poſt multum tempus adſuum vigorem peruenturo conveniret. Sic & in quotidiana & tertiana pro vtriuſque proprio & ſtatuto futuro vigoris tempore. Quemadmodùm autem in febribus, ſic cæteris in morbis *ſe res habet*. Pleuritis, & peripneumonia, & phrenitis acuti ſunt morbi; ſynanche, & cholera, & tetanus, peracuti; Hydrops verò, & melancholia, & empyema, & phthoe ſeu tabes, diuturni. Pleuritidi quidem, & phrenitidi tertiô quôque die plerunque acceſſiones fiunt, ventris autem, & hepatis empyemati, & tabi quotidie magiſque noctu. Splenicis verò, & omninò melancholicis quartô quôque die. Quod autem additum eſt, *& anni tempora*, ad prædicta relationem habet. Etenim & morbi conſtitutiones, & acceſſiones anni temporibus vnà cum morbo poſſunt indicari: Non enim hoc tantùm ſcire quartanam eo die invaſiſſe ſatis fue-

A δυνατὸν ἀκριβῶς αὐτῆς ἐξευρεῖν τὸ ποσὸν, τῷ τεχνικῷ γοῦν στοχασμῷ, πλησίον ἀφικνεῖσθαι συγχωροῦσιν ἅπαντες. Τὴν δὲ τοῦ νοσήματος κατάστασιν, ὁποία τις ἔσται, καὶ τοὺς κατὰ μέρος παροξυσμοὺς, πολλοῖς τῶν ἰατρῶν ἀδύνατον ἔδοξε διαγνῶναι, οὐ μὴν Ἱπποκράτει γε. Ἀλλὰ κἀν τούτῳ, καθάπερ ἐπὶ τῶν ἄλλων, πολλάκις μὲν ἀκριβῶς, καὶ ὡς ἂν εἴποι τις ἐπιστημονικῶς, πολλάκις δὲ στοχαστικῶς μὲν, ἀλλ' οὐκ ἀτέχνως, οὐδὲ πόρρω τῆς ἀληθείας, ἀλλ' ἐγγὺς καὶ πλησίον ἀφιξόμεθα, τήν τε μέλλουσαν ἀκμὴν προγινώσκοντες, καὶ τὰς ἀνταποδόσεις τῶν παροξυσμῶν. Ἐπὶ πλέον

B μὲν οὖν αὐτὰ διά τε τοῦ προγνωστικοῦ, καὶ διὰ τῶν ἐπιδημιῶν ἐκδιδάσκει, καὶ ἡμεῖς κατὰ τὴν γνώμην τοῦ παλαιοῦ, μετὰ τῆς πρεπούσης ἐξηγήσεως τὰς ῥήσεις αὐτοῦ παρεθέμεθα κατὰ τὸ πρῶτον περὶ κρίσεων, δεικνύντες ὅπως ἄν τις μάλιστα δύναιτο προγινώσκειν τὴν μέλλουσαν ἀκμήν. Νυνὶ δὲ διὰ κεφαλαίων αὐτοῦ τῷ Ἱπποκράτει λέλεκται τὸ πᾶν, ἡμεῖς τε καθόσον οἷόν τε, διὰ συντόμων αὐτὰ σαφηνιοῦμεν. Οἷς δὲ φροντὶς, ἐπιμελῶς ἐκμαθεῖν ἅπασαν τὴν περὶ ταῦτα μάθησιν, ἐπὶ τὸ περὶ κρίσεων ὑφ' ἡμῶν γεγραμμένον προσελθέτωσαν· Αὗταί τε αἱ νόσοι, καὶ τὰς τῶν πα-

C ροξυσμῶν ἀναλογίας δηλώσουσι, καὶ τὰς ἑαυτῶν δὲ καταστάσεις, οὐδὲν ἧττον· οἷον ἐν μὲν τοῖς διαλείπουσιν, ὅτι ὁ μὲν τριταῖος ταχυκρίσιμος, ὁ δ' ἀμφημερινὸς ὅτι χρόνιος, ὁ δὲ τεταρταῖος ἔτι καὶ τοῦδε χρονιώτερος. Ἐν δὲ τοῖς συνεχέσιν, οἱ μὲν καυσώδεις ὀξεῖς, οἱ δὲ τυφώδεις χρονιώτεροι, μέσοι δ' ἀμφοῖν οἱ ἡμιτριταῖοι· ὡς δ' ἄν τις καὶ τούτους ἅπαντας τοὺς πυρετοὺς εὐθὺς εἰσβάλλοντας γνωρίζοι, διὰ τοῦ δευτέρου τῶν περὶ κρίσεων ἐπὶ πλεῖστον εἴρηται. Οὐκοῦν χρὴ μεταφέρειν εἰς τόνδε τὸν λόγον ὅσα καλῶς ἐν ἄλλοις φθάνει ἤδη λελέχθαι, οὐδὲ πολλάκις ἐν πολλοῖς περὶ τῶν

D αὐτῶν πειρᾶσθαι λέγειν, ἀλλ' ἀναμνῆσαι χρὴ μόνον, ὡς εἴπερ οἷόν τ' ἐστὶν ἐν ἀρχῇ γνωρίσαι τριταῖον εἰσβάλλοντα εὐθὺς πυρετὸν, ἔστι λαβεῖν ἀπ' αὐτοῦ ὅτι τε ταχυκρίσιμος, ὅτι τε διὰ τρίτης οἱ παροξυσμοὶ, καὶ τοῦτ' ἔστι τὸ λεγόμενον ὑφ' Ἱπποκράτους· τοὺς δὲ παροξυσμοὺς, καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι. Τεταρταίων γοῦν πυρετῶν ἀρχὰς, εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἡμεῖς γνωρίσαντες πολλάκις οὐδὲν ἔτι τῆς ἀνταποδόσεως δεηθέντες, ἐξ ἀρχῆς κατεστησάμεθα τὸ τῆς διαίτης εἶδος, ὡς πρὸς νόσημα μετὰ πάμπολυν χρόνον ἤρχετο μέλλον λαβεῖν τὴν ἀκμήν. Οὕτω δὲ

E καὶ ἀμφημερινῶν, καὶ τριταίων ἑκατέρων, κατὰ τὴν οἰκείαν προθεσμίαν τῆς ἐσομένης ἀκμῆς. Ὥσπερ δὲ ἐπὶ τῶν πυρετῶν, οὕτω καὶ ἐπὶ τῶν ἄλλων νοσημάτων. Πλευρῖτις μὲν γὰρ, καὶ περιπνευμονία, καὶ φρενῖτις, ὀξέα νοσήματα. Συνάγχη δὲ, καὶ κυνάγχη, καὶ χολέρα, καὶ τέτανος, κατόξεα. Ὕδερος δὲ καὶ μελαγχολία, καὶ ἐμπύημα, καὶ φθόη, χρόνια. Καὶ οἱ παροξυσμοὶ δὲ πλευρίτιδι μὲν, καὶ φρενίτιδι διὰ τρίτης ὡς τὰ πολλά. Τοῖς δὲ κατὰ γαστέρα, καὶ καθ' ἧπαρ ἐμπυήμασί τε, καὶ φθίσεσι, καθ' ἑκάστην ἡμέραν,

F καὶ μᾶλλον εἰς νύκτα. Τοῖς δ' ἀπὸ σπληνὸς, καὶ ὅλως μελαγχολικοῖς, διὰ τετάρτης. Τὸ δὲ, καὶ ὧραι τοῦ ἔτεος, ἐφεξῆς εἰρημένον φημὶ αὐτῷ πρὸς τὰ εἰρημένα, τὴν ἀναφορὰν ἔχειν. Καὶ γὰρ τὴν κατάστασιν τοῦ νοσήματος, καὶ τοὺς παροξυσμοὺς, αἱ ὧραι τοῦ ἔτεος ἅμα τῷ νοσήματι δύνανται δηλοῦν. Οὐ γὰρ ἱκανὸν ὅτι τεταρταῖος εἰσέβαλλε κα-

τὰ τὴν δὲ τὴν ἡμέραν, ἐπίστασθαι μόνον, ὡς ἐξ ἀρχῆς προγνῶναι τὸ σχῆμα τῆς διαίτης, ὡς πρὸς χρόνιον νόσημα καθίστασθαι, ἀλλὰ καὶ εἴ τε χειμῶνος, εἴ τε ἔαρος, εἴ τε θέρους, εἴ τε φθινοπώρου συνέβη τὴν ἀρχὴν ταύτην γενέσθαι, προσεπισκοπεῖσθαι χρὴ, γινώσκοντας, ὅτι οἱ μὲν θερινοὶ τεταρταῖοι, ὡς τὰ πολλὰ γίνονται βραχέες, οἱ δὲ φθινοπωρινοὶ μακροὶ, καὶ μᾶλλον οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες. Ταῦτα γὰρ ἐν τοῖς ἑξῆς, αὐτὸς ἡμᾶς διδάξει. Καὶ μὲν δὴ καὶ ὁ τριταῖος πυρετὸς, ἐστὶ μὲν καὶ ἄλλως ταχυκρίσιμος, ἀλλ' ἐν θέρει πολὺ μᾶλλον, ἤπερ ἐν τῷ χειμῶνι. Καὶ τῶν ἄλλων δὴ ἑκάστων νοσημάτων, τάχος μὲν τὸ θέρος, βραδυτῆτα δὲ ὁ χειμὼν προστίθησιν. Ἀλλὰ καὶ οἱ παροξυσμοὶ, διὰ τρίτης μὲν, τοὐπίπαν ἐν θέρει, διὰ τετάρτης δὲ ἐν φθινοπώρῳ, καθ' ἑκάστην δὲ ἡμέραν, ἢ νύκτα, χειμῶνος. ὡς δὲ ἐπὶ τῶν ὡρῶν, οὕτω καὶ ἐπὶ τῶν κράσεων ἀνάλογον ἔχει, περὶ ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης διεξῆλθε πολλάκις, οὐ μὴν ἐνταῦθά γε εἶπεν, ἐπιτρέψας ἡμῖν, ἐξ ἑνὸς ἀναμνησθῆναι περὶ τῶν ἄλλων. ἃ γὰρ ἡ θερινὴ ὥρα, ταῦτα, καὶ ἡ κρᾶσις τοῦ νοσοῦντος, εἰ φύσει θερμοτέρα, καὶ ξηροτέρα ἦ, καὶ ἡλικία εἰ ἀκμάζουσα, καὶ τὸ χωρίον, εἰ θερμὸν καὶ ξηρὸν συνενδείξεται, καὶ τὰ ἐπιτηδεύματα δηλονότι, καὶ τὰ ἔθη τὰ ὁμοίως ἔχοντα, καὶ ἡ παροῦσα κατάστασις τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ὑπὲρ ὧν ἑξῆς διδάξει. Οὕτως δὲ καὶ ὅσα περὶ φθινοπωρινῆς ὥρας, εἴς τε κατάστασιν νοσήματος, καὶ εἰς ἀνταπόδοσιν παροξυσμῶν ἐλαμβάνετο, ταῦτα καὶ περὶ τῆς τοῦ κάμνοντος ἡλικίας, καὶ φύσεως, ἐπιτηδευμάτων τε καὶ ἐθῶν, καὶ τῆς χώρας ἐν ᾗ νοσεῖ, καὶ τῆς τοῦ περιέχοντος ἐπιδημούσης κράσεως, οἷόν τέ ἐστι λαβεῖν. Ἐκ μὲν δὴ τούτων εὔδηλον, ὅτι τήν τε κατάστασιν τοῦ νοσήματος, καὶ τοὺς παροξυσμοὺς γνωσόμεθα, τὴν μὲν κατάστασιν, εἰ κατόξυ εἴη τὸ νόσημα, ἢ χρόνιον, ὅπερ καὶ εἰς τὴν τῆς ἀκμῆς πρόγνωσιν ἀναγκαῖόν ἐστι. τοὺς δὲ παροξυσμοὺς, εἰ διὰ τρίτης, ἢ διὰ τετάρτης, ἢ καθ' ἑκάστην ἡμέραν, ἢ τίνι τῆς ἡμέρας, ἢ τῆς νυκτὸς εἰσβάλλουσιν ὥρᾳ. Τὸ δὲ ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον, ἐφεξῆς ἴδωμεν, εἰ τῶν αὐτῶν τούτων, ὧν εἰρήκαμεν, ἐπίδειξιν ποιεῖται. Λέγει μὲν γὰρ ὁ Ἱπποκράτης οὕτως. καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται. εὔδηλον δὲ ὅτι ἐπιδόσεις τῶν περιόδων, τὰς αὐξήσεις λέγει τῶν κατ' αὐτὰς παροξυσμῶν, αἵτινες, ὅτι τόν τε χρόνον τῆς αὐξήσεως τοῦ νοσήματος ἐπιδείκνυνται, καὶ τὴν προθεσμίαν τῆς μελλούσης ἀκμῆς. Ἔνθα δὲ αὖ μάλιστα μάθοις, ἐπίδοσις δευτέρου παροξυσμοῦ πρὸς τὸν πρότερον ἐν τρισὶ τούτοις ὁρᾶται, τῇ ὥρᾳ τῇ παροξυντικῇ, τῷ μήκει τοῦ παροξυσμοῦ, καὶ τῷ μεγέθει. Διοίσει δὲ οὐδὲν, οὐδ' εἰ σφοδρότητα λέγοις· ἄμφω γὰρ συνήθη τοῖς ἰατροῖς ἐστι τὰ ὀνόματα, καὶ κατὰ τοῦ αὐτοῦ πράγματος ἐπιφέρουσιν αὐτὰ πολλάκις· ἐνίοτε μὲν μείζονα φάσκοντες τὸν πυρετὸν γεγονέναι τοῦ πρόσθεν ἐνίοτε δὲ σφοδρότερον. Ἐνδέχεται δὲ τὸν σφοδρότερον τοῦτον πυρετὸν, ἤτοι

A rit, vt ab initio provideamus inſtituendam eſſe victûs formam, tanquam adverſûs morbum diuturnum; verumetiam an hyeme aut vere, an æſtate, vel autumno hanc febrem exordium feciſſe contigerit, eos proſpicere oportet qui noverint æſtiuas quartanas quidem vt plerumque breves eſſe, autumnales verò longas, & magis quæ hyemem attingunt. Hæc enim in ſequentibus, ipſe nos edocturus eſt. Quin etiam tertiana febris licèt alioquin celeris ſit judicationis, æſtate tamen, quàm hyeme celerioris eſt. Atque cæteris quibuſque morbis æſtas celeritatem, hyems tarditatem addit. B Sed & acceſſionis tertiô quôque die in vniuerſum per æſtatem, quartô per autumnum, per hiemem ſingulis diebus, aut noctibus fiunt. Quemadmodum autem in anni tempeſtatibus, ſic & in temperamentis ſimiliter ſe res habet; de quibus & ipſe Hippocrates ſæpe diſſeruit, non tamen hîc quicquam pronunciauit, qui ex vno cætera recordari nobis conceſſerit. Quæ enim æſtiua tempeſtas, eadem & ægrotantibus temperamentum, ſi naturâ calidius & ſiccius extiterit; eadem & ætas ſi vigeat; eadem & locus ſi calidus ſit & ſiccus, ſimul indicabunt. C Vitæ quoque inſtituta, & conſuetudines eodem modo ſe habentes, & præſens aëris nos circunſtantis ſtatus indicabunt; de quibus poſtea docebit. Sic & quæcunque de autumnali tempeſtate indicia tum ad morbi conſtitutionem prouidendam, tum ad acceſſionum reciprocationem ſumebantur; eadem & de ægrotantis ætate atque natura, vitæ inſtitutis, conſuetudinibus, & regione vbi ægrotat, & præſenti aëris ambientis temperatione ſumere poſſumus. Ex his igitur conD ſtat quòd & morbi conſtitutionem & acceſſiones cognoſcemus; conſtitutionem quidem, ſi morbus fuerit peracutus, aut diuturnus (quod etiam ad vigoris prouidentiam neceſſarium eſt) acceſſiones verò, an tertio aut quarto die, aut ſingulis diebus, aut quâ diei aut noctis horâ ſint inuaſuræ. Quod autem ad aphoriſmi finem ſcriptum eſt, deinceps examinemus, an eorum ipſorum, quæ diximus, faciat declarationem. Ita nanque pronunciauit Hippocrates: E *Ac ſuccedentes inuicem periodorum reciprocationes, ſiue quotidie, ſiue alternis diebus, ſiue etiam per majora interualla fiant.* Conſtat autem ipſum per periodorum reciprocationes, acceſſionum quæ in ipſis eueniunt, incrementa intelligere, quæ tum incrementa morbi tempus, tum futuri vigoris præfinitum diem oſtendunt. Hinc autem præcipuè didiceris, ſecundæ acceſſionis ad priorem incrementum his in tribus conſpici, hora quâ incœpit acceſſio, longitudine acceſſionis, & magnitudine. Nihil autem differt, ſi in vehementia dixeris; F ambo nanque nomina vſitata ſunt Medicis, qui & pro re eadem, ipſa multoties adferunt; quum majorem interdum febrem præcedente, interdum vehementiorem extitiſſe dicunt. Conceſſum eſt autem hanc febrem vehementiorem aut æquales horas cum præcedente obtinere, aut pauciores, aut plures; quæ lon-

gitudo erit paroxysmi, non magnitudo seu vehementia. Per accessionem autem te nunc deteriorem vniuersi circuitus partem intelligere oportet, quæ à primo insultu adusque vigorem *extenditur;* quemadmodùm inde declinationem, reliquam periodi partem meliorem. Quum itaque paroxysmus, siue tertio, siue quarto quôque die, siue quotidie fiat, proportionem anticipauerit, eáque anticipatâ, in longius tempus productus, multóq; vehementior factus fuerit, tum manifestum erit morbi incrementum; qui quantum increuerit, quæ singula retulimus, indicabunt. Qui nanque paroxysmus majori tempore anticipauerit, ac diutius exacerbando durauerit, multóque vehementius vexauerit, effatu dignum incrementum, & celerem morbi motum esse, & in proximo vigorem futurum demonstrabit: Non enim probabile est magna incrementa suscipientibus paroxysmis proximum minimè fore incrementum. Contrarius autem paroxysmus, qui nimirùm parua faciat incrementa, eorum quæ diximus, quantum ad hoc attinet, longiùs abfore vigorem ostendet. Hoc igitur ipsum ex circuituum incremento discemus, conjecturam nimirùm facere, quanto pòst tempore morbi sit futurus vigor, ac prætereà certam & præfinitam inuasionis paroxysmi horam *tenebimus.* Conducit autem prima quidem cognitio ad uniuersam victûs rationis ideam constituendam; secunda verò ad singula ciborúm exhibendorum tempora, quorum indicationes docere ab initio ipsi erat propositum. Quòd autem periodum vocet eodem similem reditum, cuiuis sanè innotescit. Sed & ex posteà subapparentibus ait conjecturandum esse tum de paroxysmo, tum de totius morbi constitutione. Siue autem aliquis symptomata, siue signa velit hæc mox subapparentia vocare, nihil intererit. Sed illud de omnibus tum symptomatis, tum signis statuere præstiterit, eorum nonnulla quidem esse pathognomonica i. *affectus indicantia,* quædam verò assidentia, alia decretoria, alia coctionis, nonnulla cruditatis, illa & salutis, hæc denique perniciei indicatiua. Enimverò pathognomonica quidem vnà cum morbo inuadunt; Assidentia verò interdum simul cum morbo inuadunt interdum superueniunt, nonnunquam omnino etiam absunt; non enim à morbo sunt inseparabilia, neque ejus essentiam constituunt; sed proprias efficiunt differentias. Quæ verò ab Hippocrate crisima, *& à Latinis decretoria* symptomata nominantur, planè quidem primo morborum initio simul inuadere minimè solent; sed cum duobus alijs consueuerunt, de quibus paulùlum posteа dicam. Sæpe verò non in his, sed morborum incrementis, aut vigoribus deinceps subapparent. Signa verò coctionis simul quidem & hæc nunquam primo morbi principio adoriuntur; sed illud principium quod pars est totius morbi, terminant. Signa verò cruditatis cum primo morbi principio inuadunt, ac interdum posteà tandem apparent, quemadmodùm & mortis signa: Etenim & horum ortus,

A τὰς ἴσας τῆς πρόσθεν ὥρας καταλαμβάνειν, ἢ ἐλάσσους, ἢ πλείους, ὅπερ οὐ μέγεθος ἢ σφοδρότης, ἀλλὰ μῆκος ἔσται παροξυσμοῦ. Παροξυσμὸν δὲ ἀκούειν σε χρὴ νῦν, τὸ χεῖρον μόριον τῆς ὅλης περιόδου, τὸ ἀπὸ τῆς πρώτης εἰσβολῆς, ἄχρι τῆς ἀκμῆς, ὥσπερ γε τὸ ὑπόλοιπον, τὸ τῆς παρακμῆς ἄμεινον. Ἐπειδὰν οὖν ὁ παροξυσμὸς, εἴ τε διὰ τρίτης, ἢ διὰ τετάρτης, εἴ τε καθ' ἑκάστην ἡμέραν γινόμενος προλαμβάνῃ τὴν ἀναλογίαν, καὶ προλαβὼν ἐπὶ πλείονα χρόνον ἐκταθῇ, μετὰ τοῦ καὶ σφοδρότερος γενέσθαι, σαφὴς μὲν ἡ αὔξησις τοῦ νοσήματος, εἰς ὁπόσον δὲ αὔξεται, τὸ καθ' B ἕκαστον τῶν εἰρημένων ἐνδείξεται. Ὁ μὲν γὰρ πλείονά τε χρόνον προλαμβάνων, καὶ πλείονα παροξύνων, καὶ πολλῷ σφοδρότερος, ἀξιόλογον μὲν ἐνδείξεται τὴν αὔξησιν, ταχεῖαν τε τοῦ νοσήματος τὴν κίνησιν, ἐγγὺς δὲ τὴν ἀκμήν. Οὐ γὰρ ἐνδέχεται μεγάλας προσθήκας λαμβανόντων τῶν παροξυσμῶν μὴ οὐχ ὑπόγυον ἔσεσθαι τὴν ἀκμήν· ὁ δ' ἐναντίος παροξυσμὸς ὁ μικρὰς δηλονότι τὰς προσθήκας ποιούμενος ἑκάστου τῶν εἰρημένων, ὅσον ἐπὶ τούτῳ, C τὴν ἀκμὴν ἐπιδείξεται πορρωτέρω γενήσεσθαι. Τοῦτο οὖν αὐτὸ διὰ τῆς τῶν περιόδων ἐπιδόσεως μαθησόμεθα, τοῦ στοχάσασθαι μετὰ πόσον ἔσται χρόνον ἡ ἀκμὴ τοῦ νοσήματος, ἔτι τε τὴν ἀκριβῆ προθεσμίαν τῆς εἰσβολῆς τοῦ παροξυσμοῦ. Χρήσιμον δὲ, τὸ μὲν πρότερον εἰς τὸ καταστήσασθαι τὴν ἰδέαν τῆς καθόλου διαίτης, τὸ δὲ δεύτερον, εἰς τοὺς κατὰ μέρος καιροὺς τῶν τροφῶν, ὧν ἐξ ἀρχῆς αὐτῷ προὔκειτο διδάξαι τοὺς σκοπούς. Ὅτι δὲ περίοδον καλεῖ τὴν ἐπὶ τὸ αὐτὸ ὁμοίαν ἐπάνοδον, εὔδηλον δήπου παντί.

D Ἀλλὰ καὶ τοῖσιν ἐπιφαινομένοισί φησι τεκμαίρεσθαι χρῆναι, περί τε τοῦ παροξυσμοῦ, καὶ τῆς καταστάσιος ὅλου τοῦ νοσήματος. Εἴ τε δὲ συμπτώματα καλεῖν, εἴ τε σημεῖα βούλοιτο ταῦτα τὰ ἐπιφαινόμενα, διήνεγκεν οὐδέν. Ἀλλ' ἐκεῖνο γινώσκειν ὑπὲρ ἁπάντων τῶν συμπτωμάτων τε, καὶ σημείων ἄμεινον, ὡς τὰ μὲν αὐτῶν ἐστι παθογνωμονικὰ, τὰ δὲ συνεδρεύοντα, τὰ δὲ κρίσιμα, τὰ δὲ πέψεως, ἔνια δὲ ἀπεψίας, καὶ τὰ μὲν σωτηρίας, ἄλλα δὲ ὀλέθρου δηλωτικά. Τὰ μὲν οὖν παθογνωμονικὰ συνεισβάλλει τῷ νοσήματι. Τὰ δὲ συνεδρεύοντα, πο- E τὲ μὲν συνεισβάλλει, ποτὲ δ' ἐπιγίνεται, ποτὲ οὐδ' ὅλως γίνεται, οὐ γὰρ ἀχώριστά ἐστι τοῦ νοσήματος, οὐδὲ τὴν οὐσίαν αὐτοῦ συνίστησιν, ἀλλὰ τὰς οἰκείας ἐργάζεται διαφοράς. Τὰ δὲ ὑφ' Ἱπποκράτους ὀνομαζόμενα κρίσιμα συμπτώματα, τῇ μὲν ἀκριβῶς πρώτῃ τῶν νοσημάτων ἀρχῇ, συνεισβάλλειν οὐ πέφυκε, ταῖς δ' ἄλλαις δύο πέφυκε, περὶ ὧν ὀλίγον ὕστερον ἐρῶ. Πολλάκις δὲ οὐδ' ἐν ταύταις, ἀλλ' ἐν ταῖς ἀναβάσεσιν, ἢ ἀκμαῖς τῶν νοσημάτων ἐπιφαίνεται. Τὰ δὲ τῆς πέψεως σημεῖα, συνεισβάλλει μὲν, οὐδὲ ταῦτα οὐδέποτε τῇ F πρώτῃ τοῦ νοσήματος ἀρχῇ, περιορίζει δὲ τὴν ὡς μέρος ἀρχὴν ὅλης τῆς νόσου. Τὰ δὲ τῆς ἀπεψίας, συνεισβάλλει μὲν τῇ πρώτῃ τοῦ νοσήματος ἀρχῇ, καὶ μετὰ ταῦθ' ὕστερόν ἐστιν ὅτε γίνεται, καθάπερ γε καὶ τὰ τοῦ θανάτου· καὶ γὰρ καὶ τούτων ἡ γένεσις, ἐξ ὑστέρου τῆς

τοῦ νοσήματος ἀρχῆς. Νοσήματος δὲ ἀρχὴν, ὡς ἐδιδάξαμεν ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι, τήν τε πρώτην εἰσβολὴν ἀπλατῆ προσαγορεύομεν, καὶ τὴν ὡς μέρος ὅλου τοῦ νοσήματος, ὅταν εἰς ἀρχὴν, ἀνάβασίν τε, καὶ ἀκμὴν, καὶ παρακμὴν τέμνηται, καὶ τὴν ἄχρι τῆς τρίτης ἡμέρας ἐκτεινομένην. Ἐδιδάξαμεν δὲ καὶ τὰς τῶν εἰρημένων ἁπάντων συμπτωμάτων δυνάμεις, ἐν ἐκείνῃ τῇ πραγματείᾳ, μετὰ τοῦ, καὶ τὰς ἀναγκαίας εἰς τοῦτο τῶν Ἱπποκράτους ἐξηγήσασθαι ῥήσεων, ἀλλὰ καὶ νῦν ὡς ἐν ἐπιτομῇ λεχθήσεται καὶ περὶ αὐτῶν. Ὅστις δ' ἂν ἐθέλῃ περὶ ταῦτα τὴν ὅλην τέχνην Ἱπποκράτους ἐκμαθεῖν, ἐπ' ἐκείνην ἀφικνείσθω τὴν πραγματείαν. Τοῖς οὖν ἐπιφαινομένοις τεκμαίρεσθαι συμβουλεύει περὶ τῆς ὅλης καταστάσεως τοῦ νοσήματος, εἶτ' ἐξ αὐτῶν ἐν νόσημά τι προχειρισάμενός, φησιν, οἷον ἐν πλευριτικοῖσιν πτύελον αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει. Μάθοις δ' ἂν ὃ διδάσκει σαφῶς, εἴ σοι παραγράψαιμι τὰ ἐκ τοῦ τρίτου τῶν ἐπιδημιῶν ἐπὶ Ἀναξίωνος εἰρημένα τοῦ πλευριτικοῦ, καὶ τοῦτον δὲ αὐτὸν ἐξηγησάμενον τὸν ἄρρωστον, ἐν τῷ πρώτῳ τῶν περὶ κρίσεων. Ἔχει δὲ Ἱπποκράτους ἡ ῥῆσις ὧδε.

Ἐν Ἀβδήροισιν Ἀναξίωνα ὃς κατέκειτο παρὰ τὰς Θρηϊκίας πύλας, πυρετὸς ὀξὺς ἔλαβε, πλευροῦ δεξιοῦ ὀδύνη συνεχής, βὴξ ξηρὰ οὐδ' ἔπτυε τὰς πρώτας ἡμέρας, διψώδης, ἄγρυπνος, οὖρα δὲ εὔχροα, πολλά, λεπτά. Ἕκτῃ παράληρος· εἰς δὲ τὰ θερμάσματα, οὐδὲν ἐνεδίδου. Ἑβδόμῃ ἐπιπόνως, ὅ τε γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν, αἵ τε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. Ὀγδόῃ ἀγκῶνα ἔταμον, ἔρρυε πολὺ οἷον ἔδει, ξυνέδωκαν οἱ πόνοι, αἱ μέν τοι βῆχες ξηραὶ παρείποντο. Ἑνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοί, σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν. αἱ βῆχες, καὶ τὰ ἀπὸ πνεύμονος ὑγρά. ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ πέπονα πτύειν. Εἰκοστῇ ἵδρωσεν, ἀπύρετος ἐγένετο. μετὰ δὲ κρίσιν ἐκουφίσθη· διψώδης τε ἦν, καὶ τῶν ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσιες. Εἰκοστῇ καὶ ἑβδόμῃ ὁ πυρετὸς ὑπέστρεψεν, ἔβηξεν, ἀνῆγε πέπονα πολλά· οὔροις δ' ὑπόστασις πολλὴ λευκή, ἄδιψος ἐγένετο, εὔπνους ὕπνοι. Τριακοστῇ τε τετάρτῃ ἵδρωσε δι' ὅλου, ἀπύρετος ἐκρίθη πάντη. Οὗτος οὖν ὁ Ἀναξίων ἐξ ἀρχῆς μὲν ἦν πλευριτικός, οὐ μὴν ἐξ ἀρχῆς ἀπέπτυεν, ἀλλὰ καὶ κατὰ τὴν ὀγδόην ἡμέραν ἔτι, αἱ βῆχες αὐτῷ ξηραὶ παρείποντο, ὡς φησιν Ἱπποκράτης. ὅθεν εἰκότως καὶ ἡ τοῦ νοσήματος ὅλου λύσις εἰς τὴν λδ. ἐξετάθη· καί τοι τῶν γε πλευριτικῶν, ὡς τὰ πολλά, τὴν ιδ. ὅρον ἐχόντων τῆς κρίσεως. εἰ δὲ καὶ μὴ ταύτην, ἀλλὰ πάντως γε, τὴν εἰκοστήν. Εἰ δὲ πρὸ τῆς γ. ἡμέρας ἔπτυσεν, ἤτοι περὶ τὴν ζ. ἢ τὴν θ. ἢ πάντως γε τὴν ιά. ἐκρίθη, κἂν εἰ κατ' αὐτήν γε τὴν τρίτην ἤρξατο πτύειν, οὐκ ἂν ἐξωτέρω τῆς ιδ. προῆλθε. Συμβαίνει γὰρ ἐπὶ τῶν φλεγμονῶν ἁπασῶν, ὅσαι μὴ καλύπτονται σκεπάσματι πυκνῷ, καθάπερ αἱ κατὰ τὸ ἐκτὸς δέρμα, διιδροῦσθαί τινας ἰχῶρας, ἐν ἀρχῇ

ὕπνοι
ἄπυροι πάντα

A morbi principium subsequitur; Morbi autem principium: vt in commentarijs de crisibus docuimus, tum primum ejus insultum illatabilem appellamus; tum illud quod tanquam totius morbi pars est, quum in principium, incrementum, statum, & declinationem diuiditur; tum illud quod ad tertium vsque diem extenditur. Sed & eodem in opere omnium symptomatum qualitates docuimus, cum interpretatione ad id necessariarum Hippocratis dictionum adjecta; verùm nunc quoque tanquam B pro compendio de ipsis dicetur. Quicunque verò de his totam Hippocratis artem perdiscere velit, is ad illam se conferat tractationem. Consulit igitur ex subapparentibus de vniuerso morbi statu conjecturam inire, deinde vno quodam morbo in medium adducto, exempli gratiâ, in pleuriticis, inquit, si per initia sputum statim appareat, morbum breuiat; si verò posterius superueniat, producit. Perspicuè verò quod docet didiceris, si tibi ex tertio Epidemion huc transtulerim quæ de Anaxione pleuri- C tico prodidit Hippocrates, quem ægrotum in primo etiam de Crisibus mea interpretatione illustraui. Sic autem habet Hippocratis dictio. *Abderis Anaxionem qui ad portas Thracias decumbebat, febris acuta inuasit, lateris dextri dolor assiduus, tussis sicca, neque primis diebus excreabat; siticulosus, insomnis; vrinæ probè erant coloratæ, copiosæ, tenues. Sexto die delirauit; ad fotus autem calentes nihil remisit. Septimo die grauius habuit; tum enim febris intendebatur, nec dolores remitte-* D *bant, & tusses infestabant, difficileque spirabat. Octauo secta in cubito vena, copiosus sanguis, qualem decebat, effluxit; dolores quidem remiserunt, tusses tamen aridæ comitabantur. Vndecimo remiserunt febres; parum circa caput sudauit; tusses, & quæ à pulmone educebantur humida. Decimo septimo cœpit pauca & concocta expuere; leuatus est. Vigesimo sudauit; febris expers factus. Post crisim leuatus est; ac siticulosus erat, nec probæ à pulmone expurgationes. Septimo & vigesimo rediit febris, tussiuit, concocta multa eduxit, vrinis adfuit multum sedimentum* E *album; sitis cessauit; facilè spirauit, somnum cepit. Trigesimo quarto oborto per vniuersum corpus sudore, prorsus solutus febre judicatus est.* Hic igitur Anaxion ab initio quidem pleuriticus erat, non tamen ab initio expuebat, sed etiamnum octauo die tusses siccæ contingebant, vt ait Hippocrates. Quare decenti ratione etiam totius morbi solutio in trigesimum quartum diem producta est; quum tamen, utplurimùm, pleuritis terminum criseos habeat decimumquartum quod si non hunc, saltem omnino vicesimum. Quòd si ante tertium diem ex- F puisset, vel circa septimum, aut nonum, aut saltem vndecimum diem crisis contigisset; etiamsi ipso die tertio spuere cœpisset, non vltra decimum quartum diem processisset. Accidit enim omnibus inflammationibus quæ denso operimento non teguntur, vt quæ externam cutim obsident, quasdam exudari ichores, initio tenues, postea si coquantur,

& ad melius proficiant, crassiores; & ex his ipsis crassioribus quosdam magis, quosdam minùs concoqui; Atque hæc, in omnibus oris & oculorum inflammationibus licet intueri; neque minùs in quacunque alia parte, quando pars aliqua interior simul cum cutis diuisione patitur inflammationem. Etenim ex hujusmodi vlceribus ichores tales profluunt, quales protuli. Si quando igitur aliqua fuerit inflammatio cum tanta meatuum coarctatione, vt nihil foràs effundatur, illam tum coctu difficilem, tum diuturnam fore necesse est. Hac igitur ratione & in pleuritide (quandoquidem & hic morbus phlegmonum quoddam genus est) signa coctionis animaduertenda sunt. Crudissima nanque est, in qua nihil omninò expuitur; secundum cruditatis ordinem obtinet, in qua ichores tenues; tertium in qua crassiores; & quartum, in qua perfectè cocti apparuerint. At hi si circà tertium, aut quartum subapparuerint, non contingit morbum vltrà septimum diem progredi. In alijs verò morbis singulis, pro coctionis modo temporis mensuram consequi necesse est. Quemadmodùm igitur sputum perfectæ coctionis signum est, quum album, læue, & æquale, neque consistentiâ nimis humidum, neque nimis crassum fuerit, eodem modo integram cruditatem prodit, quod omnino non expuitur; Quod si expuatur quidem; sed adhunc tenue sit, imperfectæ coctionis signum est. At si impermixtum fuerit, vel flavum, vel rufum, haud bonum. Quod si liuidum fuerit, aut æruginosum, aut atrum, perniciosissimum *existit*. Quum itaque nobis distincta sint tum coctionis, tum cruditatis signa, ac prætereà tertium exitialium genus; sciendum est coctionis signa semper esse bona, ut quæ morbi solutionem fore celerem ostendant; quemadmodum & exitialium signorum genus ægrotantis jacturam citam prænunciare. At cruditatis signa diuturnum quidem ex necessitate morbum portendunt; sed quantum ipsis inest, neque moriturum, neque euasurum hominem declarant. Tibi verò priùs robur virium expendenti etiam ista licet præcognoscere. Aliud est signorum genus, quæ decretoria ab ipso nominantur. Hæc autem sunt sudores, hæmorrhagiæ, rigores, copiosum alui profluuium, ac similis vomitus, & repentinus capitis dolor, aut spirandi difficultas inopinata, ac vehemens, aut cardiogmus, aut quædam indolens in hypochondrijs contensio, vigiliæ vehementes & delirium, nox præter rationem molesta, paroxysmus anticipans, imò & lachrymæ inuoluntariæ in oculis minimè affectis, citrà molestiam defluentes, rubor faciei, & labrum inferius agitatum, lucida, aut obscura, & tenebricosa ante oculos obversantia, aut lucis micationes quædam, aut genæ, aut nares repente rubescentes, parotides, aut denique cujusdam abscessûs in articulum decumbentis generatio. Hæc igitur vniversa & præter hæc alia multa hujuscemodi quæ secundùm propriam eorum substantiam symptomata nominantur; quatenùs verò subi-

A μὲν λεπτοὺς, ἐς ὕστερον δὲ, εἰ πέττοιντο, καὶ πρὸς τὸ βέλτιον ἔρχοιντο, παχυτέρους· καὶ τούτων αὐτῶν τῶν παχυτέρων, τοὺς μὲν ἧττον, τοὺς δὲ μᾶλλον πεπέφθαι. Ταῦτα κἀπὶ τῶν κατὰ τὸ στόμα φλεγμονῶν ἁπασῶν, ἔστι θεάσασθαι, κἀπὶ τῶν ὀφθαλμῶν· Οὐχ ἥκιστα δὲ καὶ καθ' ὁτιοῦν ἄλλο μόριον, ὅταν ἅμα τοῦ δέρματος ὅλου διαιρέσει, φλεγμαίνῃ τι τῶν ἔνδον. Καὶ γὰρ ἐκ τῶν τοιούτων ἑλκῶν ἰχῶρες ἀποῤῥέουσιν οἵους εἶπον. Ὁπόταν οὖν ποτε φλεγμονή τις ᾖ μετὰ τοσαύτης στενώσεως, ὡς μηδὲν ἔξω ἀποχεῖν, ἀνάγκη δυσπεπτόν τε, καὶ χρονίαν γενέσθαι ἐκείνην. B Κατὰ τοῦτον οὖν τὸν λόγον, κἀν ταῖς πλευρίτισιν, ἐπειδὴ καὶ τοῦτο τὸ νόσημα φλεγμονή τις ὑπάρχει τῷ γένει, προσέχειν δεῖ τοῖς τῆς πέψεως σημείοις. Ἀπεπτοτάτη μὲν γὰρ, ἐφ' ἧς ὅλως οὐδὲν πτύεται· δευτέραν δ' ἔχει τάξιν, ἐφ' ἧς ἰχῶρες λεπτοὶ, τρίτην δ' ἐφ' ἧς παχύτεροι, καὶ τετάρτην ἐφ' ἧς εἰς τέλος ἐπέφθησαν. Ἀλλ' ἤτοι μὲν, εἰ περὶ τρίτην ἢ δ'. ἡμέραν ἐπιφαίνεν, οὐκ ἐγχωρεῖ τῆς ἑβδόμης ἐξωτέρω προβῆναι τὸ νόσημα. Τῶν δ' ἄλλων ἕκαστον κατὰ τὸ τῆς πέψεως μέτρον, ἀναγκαῖον ἀκολουθῆσαι τὸν χρόνον. Ὥσπερ οὖν C τελείας ἐστὶ γνώρισμα τὸ πτύελον πέψεως, ὅταν ᾖ λευκόν τε καὶ λεῖον, καὶ ὁμαλὸν, τῇ τε συστάσει μήθ' ὑπέρυγρον, μήθ' ὑπέρπαχυ, κατὰ τὸν αὐτὸν τρόπον ἀπεψίαν ἐνδείκνυται παντελῆ, τὸ μηδ' ὅλως πτυόμενον. Εἰ δὲ πτύοιτο μὲν, ἀλλὰ καὶ λεπτὸν εἴη ἔτι, πέψεως ἀμυδρᾶς ἐστι σημεῖον. Εἰ δὲ ἄκρατον εἴη, ἢ ξανθὸν, ἢ πυῤῥὸν, οὐκ ἀγαθόν. Εἰ δὲ καὶ πελιδνὸν, ἢ ἰῶδες, ἢ μέλαν, ὀλεθριώτατον. Διῃρημένων οὖν ἡμῖν τῶν τε τῆς πέψεως, καὶ τῆς ἀπεψίας σημείων, ἔτι τε τρίτον ἐπ' αὐτοῖς τῶν ὀλεθρίων, ἰστέον ὅτι τὰ μὲν τῆς D πέψεως σημεῖα, διὰ παντός ἐστιν ἀγαθὰ, λύσιν τοῦ νοσήματος ἐνδεικνύμενα ταχεῖαν, ὥσπερ γε καὶ τὸ τῶν ὀλεθρίων σημείων γένος, ὡς ἐν τάχει τὴν ἀπώλειαν ἔσεσθαι τοῦ κάμνοντος προδηλοῖ. Τὰ δὲ τῆς ἀπεψίας σημεῖα, χρόνιον μὲν ἐξ ἀνάγκης προσημαίνει τὸ νόσημα· τεθνήξεσθαι δὲ, ἢ σωθήσεσθαι τὸν ἄνθρωπον, ὅσον μὲν ἐφ' ἑαυτοῖς, οὐ δηλοῖ. Προλογιζομένῳ δέ σοι τὴν ῥώμην τῆς δυνάμεως, καὶ ταῦθ' ὑπάρχει προγινώσκειν. Ἄλλο δὲ γένος ἐστὶ σημείων, τῶν κρισίμων ὑπ' αὐτοῦ προσαγορευομένων· ἱδρῶτες δ' ἐστὶ E ταῦτα, αἱμοῤῥαγίαι τε, καὶ ῥῖγος, καὶ γαστὴρ καταῤῥήξασα πολλὰ, καί τις ἔμετος τοιοῦτος, καὶ ἄλγημα κεφαλῆς ἐξαιφνίδιον, ἢ δύσπνοια παράλογός τε καὶ σφοδρὰ, ἢ καρδιωγμὸς, ἤ τις ὑποχονδρίου σύντασις ἀνώδυνος, ἀγρυπνία τε σφοδρὰ, καὶ παραφροσύνη, καὶ νὺξ ἀλόγως δύσφορος, καὶ παροξυσμὸς προληπτικὸς, ἀλλὰ καὶ δάκρυον ἀκούσιον ἐν ἀπαθέσιν ὀφθαλμοῖς ἄνευ λύπης, ἔρευθός τε, καὶ τὸ κάτω χεῖλος σειόμενον, ἐκλιωμένα, καὶ σκοτεινὰ, ὀρφνώδη τε προφαινόμενα τῶν F ὀφθαλμῶν, ἢ μαρμαρυγαί τινες, ἢ μῆλον, ἢ ῥὶς ἐξαίφνης ἐρυθρὰ γινόμενα, καὶ παρωτίδες, ἢ ὅλως ἀποστήματος εἰς ἄρθρον τινὸς γένεσις. Ταῦτα τε οὖν σύμπαντα, καὶ πρὸς τούτοις ἄλλα πολλὰ τοιαῦτα, κατὰ μὲν τὴν αὐτῶν ἰδίαν οὐσίαν ὀνομαζόμενα συμπτώματα, καθότι δὲ μεταβολὴν ὀξύῤῥοπον δηλοῖ, κρίσι-

μα σημεῖα προσαγορευόμενα, διττὴν παρέξει σοὶ τὴν πρόγνωσιν. Εἰ μὲν ἐπὶ πεπεμμένῳ τῷ νοσήματι γίγνοιτο, σωτηρίαν ὑπόγυον· εἰ δὲ ἐπὶ ἀπέπτῳ, κρίσιν οὐκ ἀγαθὴν, ἤτοι γε εἰς ὄλεθρον ἄξουσαν, ἢ εἰς χρόνου μῆκος. Ὅτι δὲ ἄλλη μέν ἐστιν ἡ φύσις ἡ τῶν κρισίμων τούτων σημείων, ἄλλη δὲ, ἡ τῶν τῆς πέψεως, ἐνθένδε μάλιστα μάθοις, ὡς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν φησὶν Ἱπποκράτης. Πεπασμοὶ ταχύτητα κρίσεως, καὶ ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν· ὠμὰ δὲ, καὶ ἄπεπτα, καὶ εἰς κακὰς ἀποστάσιας τρεπόμενα, ἀκρισίας, ἢ πόνους, ἢ χρόνους, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. Οὕτω μὲν ἐπῄνεσε καθόλου τὴν τοῦ νοσήματος πέψιν· ἐν δὲ τῷ προγνωστικῷ, κατὰ μέρος ὧδέ πως, ἅμα τῷ διδάσκειν, αὐτῆς τὰ γνωρίσματα. Οὖρον δὲ ἄριστον, ὅταν ᾖ λευκὴ ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ᾽ ἂν κριθῇ ἡ νοῦσος, σημαίνει τε γὰρ ἀσφάλειαν ὑγιεινὴν, καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι· Οὕτως πάλιν ἐπῄνεσεν, οὔρων ἐνδεικνύμενον πέψιν ἐν τῷ φλεβώδει γένει. Αὖθις δ᾽ ἐν τῷ λέγειν· διαχώρημα δὲ ἄριστόν ἐστι τὸ μαλθακόν τε, καὶ ξυνεστηκὸς, καὶ κατὰ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει, τὰ γνωρίσματα τῶν κατὰ γαστέρα πέψεων ἐπαινεῖ τε ἅμα καὶ διδάσκει. Οὕτω δὲ καὶ τὴν ἐν τοῖς ἀναπνευστικοῖς πέψιν ἐπαινῶν τε ἅμα, καὶ διδάσκων, εἶπε. Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖς περὶ τὸν πνεύμονά τε, καὶ τὰς πλευρὰς, ταχέως τε ἀποπτύεσθαι, καὶ εὐπετῶς, συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς, τῷ πτυέλῳ. Τὰ μὲν τῆς πέψεως σημεῖα, διὰ παντὸς ἀγαθά· τὰ δὲ τῆς κρίσεως, οὐκ ἔτι. φησὶν οὖν οὕτως τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. Καὶ μέντοι κἂν τῷ λέγειν τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐτίκα ἐπιφαίνεσθαι, τὴν αὐτὴν ἐνδείκνυται γνώμην. Τὰ γὰρ τῆς πέψεως σημεῖα, καθ᾽ ὃν ἂν ἐπιφαίνεσθαι χρόνον, ἀγαθά· διὰ παντὸς γάρ ἐστι τὸ γένος αὐτῶν ὅλον χρηστόν. Οὔκουν μάχεται τῷ νῦν εἰρημένῳ τῷ, ἐν πλευριτικοῖσι πτύελον αὐτίκα ἢν ἐπιφαίνεται. Τὰ μὲν γὰρ κρίσιμά ποτε γίνεται κακὰ, πέψεως δὲ σημεῖον οὐδὲν οὐδέποτε μοχθηρὸν, ἀλλ᾽ ἀεὶ πάντα χρηστὰ, καὶ τοσούτῳ θᾶττον ὑγιασθήσεσθαι δηλοῖ τὸν ἄνθρωπον, ὅσῳπερ ἂν ἐπιφαίνηται θᾶττον. Ἀρκεῖ ταῦτα πρός γε τὸ παρὸν, ὡς ἐν ἐπιτομῇ λελέχθαι. Τὴν δ᾽ ὅλην ὑπὲρ αὐτῶν γνώμην τοῦ παλαιοῦ, διὰ τῆς περὶ κρίσεων ἐδήλωσα πραγματείας. Ἵνα δέ μοι τέλειος ὁ κατὰ τὴν διαίρεσιν, ὃν ἀρτίως εἶπον, ὑπάρχῃ λόγος, ὅπως τῶν εἰρημένων διαφέρει τά τε παθογνωμονικὰ, καὶ τὰ συνεδρεύοντα καλούμενα δίειμι, προχειρισάμενος ὡς ἐν παραδείγματι, πάθος ἓν, αὐτὸ δὴ τοῦτο πρὸς Ἱπποκράτους ὠνομασμένον. Ἐπὶ τοίνυν τῆς πλευρίτιδος, ὁ μὲν ὀξὺς πυρετὸς ἅμα τῇ δυσπνοίᾳ, καὶ τῇ βηχὶ, καὶ τῷ κατὰ τὴν πλευρὰν ἀλγήματι νυγματώδει, παθογνωμονικὰ σημεῖά εἰσι. Τὸ δ᾽ ἤτοι πρὸς ὑποχόνδριον ἢ πρὸς τὴν κλεῖν ἐξήκειν τὴν ὀδύνην, συνεδρεύοντα, καθάπερ γε καὶ τοῦτο, ῥᾷον ἐπὶ τοῦ πεπονθότος, ἢ θατέρου κατακλίνεσθαι πλευροῦ. Γέγραπται δὲ καὶ Πραξαγόρᾳ τῷ Νικάνδρου,

A tam mutationem significant signa decretoria appellata, duplicem tibi præcognitionem præstabunt. Si morbo quidem concocto superuenerint, propinquam salutem denunciant; si verò crudo, improbam crisim, quæ aut in perniciem, aut temporis longitudinem actura sit. Quòd verò alia sit horum decretoriorum signorum natura, alia verò ipsorum coctionis signorum, ex iis maximè didiceris, quæ primo epidemion pronunciat Hippocrates. *Coctiones crisis celeritatem, securámque sanitatem significant. Cruda verò, & incocta, & quæ in malos abscessus vertuntur, indicationum vacuitatem, aut dolores, aut*
B *diuturnitatem, aut mortem, aut eorumdem reuersiones.* Ita quidem hîc in vniuersum morbi coctionem laudauit. In prognostico verò, particulatim signis ipsius simul traditis hoc modo; *Vrina autem optima est, quum sedimentum album, læue, & æquale fuerit per omne tempus, donec morbus crisi sit solutus: Tum enim salutis securitatem, tum morbum paucioris fore temporis significat.* Sic etiamnum laudauit urinam quæ venosi generis coctionem indicat. Rursum autem quum sic loquitur. *At alui excrementum optimum est,*
C *quod tum molle, tum compactum est, & qua hora bene valenti dejiciebatur excretum;* coctionum ventris simul indicia tum laudat, tum docet. Et verò quum partium respirationi inseruientium coctionem collaudaret, ac doceret, sic loquutus est. *Sputum in omnibus pulmonis & costarum doloribus celeriter ac facile expui oportet, ac flauum admodum sputo commixtum apparere.* Coctionis quidem signa semper bona sunt; criseos verò signa, non item. Sic ergo, inquit, *Signa decretoria quæ non decernunt, partim lethalia sunt, partim indicatu diffi-*
D *cilia.* Enimuero quum ait, *quæ in melius decernunt signa, ea non statim apparere,* eandem sententiam indicat: Nam coctionis signa quocunque tempore apparuerint, bona sunt semper enim totum ipsorum genus bonum existit. Non ergo ista pugnant cum eo quod nunc dictum est, *in pleuriticis, si sputum statim appareat:* Nam signa decretoria nonnunquam mala sunt; signum verò coctionis nullum unquam pravum fuit; sed omnia semper optima; tantóque celeriùs hominem conualiturum declarant, quantò cele-
E riùs apparuerint. Hæc ad præsentem *aphorismum* tanquam compendio dixisse sufficiunt. Totam verò de istis senis mentem in opere de crisibus aperuimus. Quò verò de *signorum* diuisione sermo quem modò proposui, absolutus existat, quomodo à superioribus differant, tum pathognomonica, tum quæ assidentia vocantur, libet commemorare, vnico, exempli gratia in medium adducto morbo, hoc sanè ipsum qui ab Hippocrate nominatus est. Igitur in pleuritide, acuta qui-
F dem febris vnà cum spirandi difficultate, tussique, & lateris dolore punctorio signa sunt pathognomonica. Dolorē autē aut ad hypochondrium, aut ad clauiculam procedere quemadmodùm & facilius in latus affectum, quàm in latus alterum *sanum* ferre decubitum, signa sunt assidentia. At de assistentibus quidem si-

gnis duos libros scripsit Praxagoras Nicandri filius; de superuenientibus verò signis vnum alium, ac si de subapparentibus inscriberetur. Hæc igitur subapparentia, inquit Hippocrates, tum morbos iudicatu faciles aut difficiles; tum breues aut longos quum apparuerint declarant. Meminit autem non solùm sputorum, sed & vrinarum, & dejectionum, & sudorum; qui nimirùm in prognostico conscripta nobis exemplo subjicit: quæ huc transferre foret superuacaneum; nam de his cùm in libro de crisibus diximus, tum in commentariis in Prognosticum, in quibus etiamnum magis senis sententiam explanavimus.

A δύο μὲν τῶν συνεδρευόντων βιβλία, τῶν δ' ἐπιγινομένων ἓν ἕτερον, ὡς εἰ καὶ ἐπιφαινομένων ἐπεγέγραπτο. Ταῦτα οὖν τὰ ἐπιφαινόμενα, φησὶν ὁ Ἱπποκράτης, εὔκριτά τε, καὶ δύσκριτα, καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῦσιν. Ἐμνημόνευσε δὲ, οὐ μόνον πτυέλων, ἀλλὰ καὶ οὔρων, καὶ διαχωρημάτων, καὶ ἱδρώτων, ἐν παραδείγματι δηλονότι τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων, ἀναμιμνήσκων ἡμᾶς, ἃ νῦν ἐνταῦθα μεταφέρειν περιττόν· ἔν τε γὰρ τοῖς περὶ κρίσεων εἴρηται, κἂν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν,
B ἐν οἷς ἔτι καὶ μᾶλλον ὑπὲρ αὐτῶν ἐξηγησάμεθα τὴν γνώμην τοῦ παλαιοῦ.

Quæ ætates inediam faciliùs aut difficiliùs ferant; ac de ætatis partitione, ac victûs ratione.

Τίνες ἡλικίαι τὴν νηστείαν εὐφορωτέρως, καὶ δυσφορωτέρως φέρουσι, καὶ περὶ τῆς ἡλικίας διαιρέσεώς τε καὶ διαίτης.

APHORISMVS XIII.

Senes primùm facillimè ieiunium ferunt; deinde constantes, minùs adolescentes, minimè omnium pueri; atque inter hos ipsos qui ad actiones omninò cæteris promptiùs feruntur.

ΑΦΟΡΙΣΜΟΣ ιγ'.

C Γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια, πάντων δὲ μάλιστα παιδία. Τουτέων δὲ αὐτέων, ἅπερ ἂν τύχῃ, αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

GALENI COMMENTARIVS.

Ætatum quoque discrimen ad victûs rationem instituendam aliquid confert. Senes siquidem inediam facile ferunt; pueri verò difficile. Hæc autem *inediæ ferendæ* facilitas spectatur, quòd senes neque appetant, neque *inde* oblædantur. Difficultas autem in contrariis *existit*. Etenim pueri magis appetunt ac longis inediis magis oblæduntur. Qui verò mediam inter senes & pueros ætatem agunt, quanta propiùs ad alterutram ipsarum ætatem accedunt, tanto ex longis inediis aut minus, aut magis molestantur, læduntúrque. Hujus autem aphorismi causam in sequenti docet, cuius est initium. *Quæ crescunt corpora, calidum innatum habent plurimum.* Quare & si quis ipsum priori copulare velit, & cum *enim*, conjunctione efferre, vna eademque fiet ac manifesta hoc modo se habens oratio; *Senes facillimè jejunium ferunt, deinde constantes, minùs adolescentes; minimè omnium pueri: Qui nanque crescunt, innati calidi plurimum sortiuntur.* Ætate verò constantes eos appellat qui nimirum inter juvenes ac senes mediam ætatem subeunt; itaut jam ab ætate quidem vigente decedant, necdum tamen vllum manifestum senectutis sensum consequantur. Sic autẽ & Thucydides constantes appellauit, qui constantem ætatem agerent. Verùm inter hanc & adolescentium ætatem, alia quædam intercedit ætas, quæ ut ordine, sic inediæ quoque ferendæ facilitate ac difficultate media est; ita vt per eam ætatem neque nos facile inediam ferre possimus, quemadmodùm, ætate constantes, ac senes, neque difficile, ut adolescentes, & pueri. Verùm ejus æta-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ἡ τῶν ἡλικιῶν διαφορὰ, συμβάλλεταί τι πρὸς τὰ διαιτήματα. Γέροντες μὲν γὰρ, εὐφόρως ἀσιτοῦσι, παῖδες δὲ δυσφόρως. Ἔστι δὲ τὸ μὲν εὐφόρως, κατά τε τὸ μὴ ὀρέγεσθαι, καὶ μὴ βλάπτεσθαι. Τὸ δὲ
D δυσφόρως, κατὰ τὰ ἐναντία· καὶ γὰρ ὀρέγονται, καὶ βλάπτονται μᾶλλον οἱ παῖδες ἐν ταῖς μακραῖς ἀσιτίαις· αἱ δὲ μεταξὺ ἡλικίαι, τῆς τε τῶν παίδων, καὶ τῆς τῶν γερόντων ἐφ' ὅσον ἂν ἐγγυτέρω τῆς ἑτέρας αὐτῶν ἥκουσιν, ἐπὶ τοσοῦτον ἢ μᾶλλον, ἢ ἧττον ἀνιῶνται, καὶ βλάπτονται κατὰ τὰς μακρὰς ἀσιτίας. Τούτου δὲ τοῦ ἀφορισμοῦ τὴν αἰτίαν, αὐτὸς ἐν τῷ ἐφεξῆς διδάσκει, οὗ ἡ ἀρχὴ τὰ αὐξανόμενα σώματα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν, ὥστε κἂν εἰ συνάπτειν τις αὐτὸν βούλοιτο,
E καὶ μετὰ τοῦ γὰρ, ἐκφέρειν συνδέσμου, γένοιτ' ἂν ὁ λόγος εἷς τε ἅμα, καὶ σαφὴς, οὕτως ἔχων γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια, καὶ μάλιστα πάντων παιδία. Τὰ γὰρ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. Καθεστηκότας δὲ λέγει δηλονότι, τοὺς τὴν μέσην ἔχοντας ἡλικίαν, ἀκμῆς τε καὶ γήρως, ὡς παύεσθαι μὲν ἤδη τὰ τῆς ἀκμῆς, μηδέπω δὲ μηδεμίαν αἴσθησιν σαφῆ γήρως ἔχειν. Οὕτω δὲ καὶ Θουκυδίδης εἶπε, τοὺς ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ. μεταξὺ δὲ ταύτης τε, καὶ τῆς τῶν μειρακίων ἡλικίας, ἑτέρα τίς ἐστι ὥσπερ καὶ τῇ τάξει,
F μέση τοῦτον, οὕτω καὶ κατὰ τὴν εὐφορίαν τε καὶ δυσφορίαν, ὡς μήτ' εὐφόρως ἡμᾶς δύνασθαι φέρειν τὴν ἀσιτίαν, καθάπερ οἱ καθεστηκότες, καὶ γέροντες, μήτε δυσφόρως, ὡς τὰ μειράκιά τε, καὶ οἱ παῖδες. Ἀλλ' οὐχ

ἐμνημόνευσεν αὐτῆς ὁ Ἱπποκράτης, ὡς νοεῖσθαι δυναμένης ἐξ ὧν εἶπεν. Ἐν γὰρ τῷ φάναι, τούτων δὲ αὐτέων ἃ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα, τὰς φυσικὰς ἐνεφάνισε διαφοράς. Ὅσα γὰρ τῶν παιδίων, τὸ θερμὸν τὸ ἔμφυτον ἔχει πολὺ, ταῦτα καὶ προθυμότερα τῶν ἄλλων ἐστὶ περὶ τὰς τῶν σιτίων προσφορὰς, καὶ κρατεῖν μᾶλλον αὐτῶν δύναται, καὶ μὴ λαμβάνοντα, μᾶλλον βλάπτεται. Τοιοῦτος μὲν ὁ Ἱπποκράτους λόγος, δεῖται μέντοι καὶ βραχείας τινος ἔτι προσθήκης, εἰς τὸ τέλειον. Ἐπὶ μὲν γὰρ τῶν ἐν ἀρχῇ τῆς γεροντικῆς ἡλικίας, ὀρθῶς εἴρηται, τὸ, γέροντες εὐφορώτατα νηστείην φέρουσιν· Ἐπὶ δὲ τῶν ἔσχατον ἡκόντων γῆρας, οὐκ ἔτι ὀρθῶς, ὅτι μὴ δὲ φέρουσιν ἐκεῖνοι τὰς μακρὰς ἀσιτίας. Ἢ τοίνυν προσθετέον ἐστὶ τῷ ἀφορισμῷ βραχύ τε, καὶ κατὰ τόνδε τὸν τρόπον αὐτὸν λεκτέον, γέροντες εὐφορώτατα νηστείην φέρουσι, πλὴν τῶν ἐσχατογήρων, δεύτερον οἱ καθεστηκότες. Ἢ τὴν νηστείην, ὄνομα μεταθετέον εἰς ὀλιγοσιτίην, καὶ οὕτως ῥητέον· γέροντες εὐφορώτερον ὀλιγοσιτίην φέρουσιν, δεύτερον οἱ καθεστηκότες. Εὑρεθήσονται γὰρ καὶ οἱ ἐν ἐσχάτῳ γήρᾳ, εἰ καὶ μὴ φέροντες τὴν μακρὰν ἀσιτίην, ὀλιγοσιτίας γοῦν δεόμενοι. Παραπλήσιον γάρ τι πάσχουσι τοῖς ἀποσβεννυμένοις λύχνοις, οἳ καὶ συνεχεστέρας μὲν δέονται χορηγίας, ἀθρόας δὲ ἅμα καὶ πολλῆς οὐ δέονται· καὶ δὴ καὶ προσήκει τοῖς τοιούτοις διδόναι τὸ σύμπαν πλῆθος ὀλίγον, μερίζοντας δὲ καὶ αὐτὸ τοῦτο, τὸ ὀλίγον, εἰς πλείω μέρη, καὶ μὴ μέλλειν ἀσιτίαν ἐπιφέρειν μακρὰν αὐτοῖς.

tis non meminit Hippocrates, quæ ex pro- A nunciatis possit intelligi. Quum enim diceret, *Atque inter hos ipsos qui ad actiones omnino cæteris promptiùs feruntur*, naturarum differentias manifestavit. Talis quidem est Hippocratis oratio, quæ quò sit perfectior, concisâ tamen etiamnum additione quadam indiget. De iis etenim qui in senilis ætatis principio sunt, rectè quidem dictum est; *Senes facillimè ieiunium ferunt*; de iis verò qui ad extremam senectutem peruenerunt, non item rectè; quòd hi longas inedias ferre ne- B queant. Aut igitur aphorismo quiddam exiguum addendum est, ipsumque hoc modo pronunciandum; *Senes facillimè jejunium ferunt*, exceptis *primùm* extremo senio confectis; deinde ætate constantibus; aut vocabulum ieiunium in ciborum paucitatem commutandum est, atque ita dicendum, *Senes ciborum paucitatem faciliùs ferunt*; secundo loco qui constantem ætatem agunt. Etenim qui extremam agunt senectutem, etiamsi longam inediam non ferant, paucis tamen cibis comperientur indigere. Ipsi nanque quiddam patiuntur simile, quòd lucer- C nis quæ extinguntur, accidit, quæ etsi crebram olei suppeditationem desiderant, copiosam tamen ac confertam non postulant. Sic sanè & senio confectis conducit, tum vniuersam ciborum copiam paulatim exhibere, tum eam ipsam in plures portiones paucitate partiri, non vnam ipsis longam inediam imperare.

Ὅτι οἱ αὐξανόμενοι, ὡς μὲν οἱ παῖδές τε καὶ οἱ ἀκμάζοντες, τὸ πλεῖστον ἔμφυτον θερμὸν ἔχωσι, καὶ διὰ οἱ μὲν πλείστης δέωνται τροφῆς· οἱ δὲ γέροντες τῆς ὀλίγης, ὅτι αὐτοὶ ὀλίγον τὸ θερμὸν ἔχωσι· διὰ τοῦτο καὶ οἱ τοῖς ὀξέσι νοσήμασιν ἧττον ὑπόδικοι, εἰς οἱ διατεθέντες ἐπικινδυνώτερον νοσοῦσι· τί τὸ θερμὸν ἔμφυτον, ὁποῖόν τε, καὶ ὅσον ἐν ἑκάστῃ τῇ ἡλικίᾳ ᾖ.

D Crescentes vt pueros & adolescentes caloris innati plurimum sortiri; ac proinde plurimo alimento indigere; senes verò pauco, quòd paucum caloris natiui ipsis suppetat; hósque propterea acutis morbis minùs esse obnoxios; quibus affectos periculosiùs laborare. Quid calidum innatum, quale, & quantum in quâque ætate sit.

ΑΦΟΡΙΣΜΟΣ ιδʹ.

ΤΑ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν· πλείστης οὖν δεῖται τροφῆς· εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται. Γέρουσι δὲ ὀλίγον τὸ θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται, ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται· διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ, ὁμοίως ὀξέες, ψυχρὸν γὰρ τὸ σῶμα.

APHORISMVS XIV.

E

QVi crescunt, calidum innatum copiosissimum habent; itaque copiosissimo indigent alimento; alioqui corpus absumitur. Senibus autem paucus calor est; propterea sanè paucissimis egent fomitibus; à copiosis nanque extinguitur. Eandem ob causam neque senibus febres peræque acutæ oboriuntur; frigidum enim eorum corpus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙρηται ἡμῖν κἀν τοῖς περὶ κράσεων ὑπομνήμασιν ἐπὶ πλέον, ὅπως οἱ ἀκμάζοντες, ἐνίοις μὲν τῶν ἰατρῶν, ἐνίοις δὲ, οἱ παῖδες ἔδοξαν εἶναι θερμότεροι.

GALENI COMMENTARIVS.

QVâ ratione juventutis vigorem adepti *cæteris*, calidiores nonnullis Medicis visi sint, & quâ quibusdam pueri, pleniùs in commentariis de temperamentis dictum est.

illi

Illi enim acriorem, hi copiosiorem calorem obtinent. Nunc verò etiam necessarium est dicere, quod ad præsentem *aphorismum* conducit, longos sermones, quoad fieri queat, paucis complectentes. Hoc igitur vocabulum, *calidum*; interdum pro qualitate cujus proprium nomen calor est, accipimus; interdum verò ab ea qualitate denominantes, totum corpus calidum appellamus. Atque hæc loquendi consuetudo, cùm in omni vita, tum apud Priscos vulgaris fuit, vt Theophrastus in libro qui de calido & frigido inscribitur, declarauit. Quum enim corporum substantia hasce contrarias qualitates calorem, frigus, humorem, siccitatem vicissim recipiat, quum secundùm substantiam quæ calorem recepit, calidum nominamus, corpus dicimus, multumque aut paucum dicimus esse calidum quantitati substantiæ animum aduertentes; idque duobus facimus modis; vno quidem in substantiis non mixtis; altero verò in mixtis. In non mixtis quidem, vt quum duo habeant aquam æqualiter calidam duobus in labris inæqualibus contentam, alterum cui majus est labrum, plus calidi, alterum minus habere diceremus. In mixtis verò, vt si paribus inter se labris, sed inæquali mensura, ex vino & aquâ fiat permixtio, alterum ipsorum plus vini, alterum plus aquæ continere diceremus. Qui modus etiam existit, si inæqualia labra supponamus eadem esse proportione temperata. Nonnunquam verò non ad substantiæ copiam; sed ad solam qualitatem orationem referentes, illi quidem plus calidi, huic verò minus esse dicimus; vt si ex duobus labris magnitudine omnino paribus, calidius quidem plus calidi, frigidius verò minus obtinere dixerimus; nequaquàm hîc vocabulum *plus* vsurpemus. Præstat enim & magis & minus, & vehementius, & remissius, & quæcunque sunt ejusmodi vocabula qualitatibus accepta referre, paucum verò & multum in sola substantiæ quantitate seruare. Enimverò non hîc duntaxat; sed cùm in alijs permultis, quæ dicuntur in vita, tum maximè in arte medendi, huiusmodi nominum sunt abusus. Omnes siquidem morbos magnos, aut paruos nominant, quanuis substantiæ non sint; febrem magnam, febrem paruam; apoplexiam magnam, apoplexiam paruam; sic & pleuritidem, & phrenitidem, & peripneumoniam, & cæteros omnes morbos *magnos aut paruos appellitant*. Aduertendæ igitur sunt æquiuocationes, & considerandum quid passim sibi velit vniuersa loquentis oratio. Is nanque si alio significato nomen quoddam protulerit, nos verò alio accipiamus, orationem redarguimus, non jam illum qui protulit reipsa, sed nostram potius existimationem prodimus; quod hoc loco nonnulli moliuntur, qui student Hippocrati contradicere. Hi enim ad qualitatem calidi nomen transferunt, ipsamque ætate florentibus vehementiorem inesse demonstrare nituntur. Verùm Hippocrates non ad qualitatem, sed ad substantiam præsenti oratione id nomen refert. Nam innati caloris substantia aërea est, & aquea, vt ex semine licet conjectari, quod paucam omnino terrenam substantiam participat,

Ἔχουσι γάρ, οἱ μὲν δριμύτερον τὸ θερμόν, οἱ δὲ πλέον.
A Ἀνάγκη δὲ καὶ νῦν εἰπεῖν, ὅσον εἰς τὰ παρόντα χρήσιμον, ἐν ὀλίγοις, ὡς οἷόν τε, μακροὺς περιλαμβάνοντας λόγους. Τὸ τοίνυν ὄνομα τουτὶ τὸ θερμὸν ἐνίοτε μὲν ἐπὶ τὴν ποιότητα φέρομεν, ἧς ἴδιον ὄνομα θερμότης ἐστίν· ἐνίοτε δὲ παρωνύμως ἀπὸ τῆς ποιότητος, ὅλον τὸ σῶμα θερμὸν προσαγορεύομεν, καί ἐστιν ἡ χρῆσις ἥδε πολλὴ κατὰ τὸν βίον ἅπαντα, καὶ παρὰ τοῖς παλαιοῖς, ὡς καὶ Θεόφραστος ἐδήλωσεν ἐν τῷ περὶ θερμοῦ καὶ ψυχροῦ γράμματι. Τῆς γὰρ τῶν σωμάτων οὐσίας δεχομένης ἐν μέρει τὰς ἐναντίας ταύτας ποιότητας, θερμότητά τε, καὶ ψυχρότητα,
B καὶ ξηρότητα, καὶ ὑγρότητα· κατὰ μὲν τὴν δεδεγμένην οὐσίαν, ὅταν ὀνομάζωμεν θερμόν, τὸ σῶμα λέγομεν, ὀλίγον τε ἢ πολὺ φαμὲν ὑπάρχειν τὸ θερμόν, τῷ ποσῷ τῆς οὐσίας προσέχοντες τὸν νοῦν, καὶ τοῦτο ποιοῦμεν διττῶς· ἕνα μὲν γὰρ τρόπον ἐπὶ τῶν ἀμίκτων οὐσιῶν, ἕτερον δ᾽ ἐπὶ τῶν μεμιγμένων. Ἐπὶ μὲν τῶν ἀμίκτων, ὡς ἂν εἰ καὶ δυοῖν ἐχόντοιν ὕδωρ ὁμοίως θερμὸν ἐν δεξαμεναῖς ἀνίσοις περιεχόμενον, τὸν μὲν ἕτερον πλέον ἔχειν λέγομεν τὸ θερμόν, ᾧ μείζων ἡ δεξαμενή, τὸν ἕτερον ἔλαττον. Ἐπὶ δὲ τῶν μεμιγμένων, ὡς
C ἂν ἴσων μὲν ἀλλήλαις οὐσῶν, ἀνίσῳ δὲ μέτρῳ κεκραμένων, ἐξ ὕδατός τε καὶ οἴνου, τὴν μὲν ἑτέραν αὐτῶν τὸν οἶνον ἔχειν πλείονα, τὴν δ᾽ ἑτέραν, τὸ ὕδωρ φαμέν· ὅσπερ τρόπος ἐστί, κἂν ἀνίσους ὑποθώμεθα τὰς δεξαμενάς, εἶναι κατὰ τὴν αὐτὴν ἀναλογίαν κεκραμένας. Ἐνίοτε δὲ οὐ πρὸς τὸ πλῆθος ἀναφέροντες τῆς οὐσίας, τὸν λόγον. ἀλλὰ πρὸς τὴν ποιότητα μόνην, τῷ μέν τινι πλέον εἶναι φαμέν, τῷ δὲ ἧττον τὸ θερμόν, ὡς καὶ δυοῖν δεξαμεναῖν ἴσαιν ἀκριβῶς τὸ μέγεθος, τῆς μὲν θερμοτέρας, πλέον εἶναι τὸ θερμὸν λέγομεν, τῆς δὲ ψυχροτέρας, ἧττον, οὐκέτι κυρίως ἐνταῦθα τὸ
D πλέον ἐπιφέροντες. Ἄμεινον γάρ, τὸ μᾶλλόν τε, καὶ ἧττον, καὶ σφοδρότερον, καὶ ἀμυδρότερον, καὶ πάνθ᾽ ὅσα τοιαῦτα ταῖς ποιότησιν ἀναφέρειν ὀνόματα. Τὸ δ᾽ ὀλίγον, καὶ πολὺ κατὰ τοῦ ποσοῦ μόνον τῆς οὐσίας φυλάττειν· ἀλλὰ γὰρ οὐκ ἐνταῦθα μόνον αἱ τοιαῦται καταχρήσεις εἰσὶ τῶν ὀνομάτων, ἀλλὰ καὶ κατ᾽ ἄλλα πάμπολλα τῶν κατὰ τὸν βίον, οὐχ ἥκιστα δὲ καὶ κατὰ τὴν ἰατρικὴν αὐτήν· Ἁπάσας γοῦν τὰς νόσους ὀνομάζουσι μεγάλας τε, καὶ μικράς, καίτοι γε οὐκ οὔσας οὐσίας, πυρετὸν μέγαν, πυρετὸν μικρόν, ἀποπληξίαν μεγάλην, ἀποπληξίαν μικράν,
E ὡσαύτως δὲ πλευρῖτιν, καὶ φρενῖτιν, καὶ περιπνευμονίαν, ἁπάσας τε τὰς ἄλλας. Προσέχειν οὖν χρὴ ταῖς ὁμωνυμίαις, καὶ σκοπεῖσθαι, τί ποθ᾽ ἡ σύμπασα λέξις ἑκάστοτε βούλεται τοῦ λέγοντος. εἰ γὰρ ἐκείνου, καθ᾽ ἕτερον σημαινόμενον, τοὔνομα φέροντος, ἡμεῖς καθ᾽ ἕτερόν τι δεξάμενοι τὸν λόγον εὐθύνομεν, οὐ τὸν εἰρηκότα δή που κατά γε τὴν ἀλήθειαν αὐτὴν ἐξελέγξομεν, ἀλλὰ τὴν ἡμετέραν ὑπόληψιν, ὥσπερ ἀμέλει, κἀνταῦθα ποιοῦσιν ἔνιοι τῶν πρὸς Ἱπποκράτην σπευδόντων ἀντιλέγειν. Ἐπὶ γὰρ τὴν ποιότητα μεταφέροντες τοὔνομα
F τοῦ θερμοῦ, πειρῶνται δεικνύναι σφοδροτέραν ὑπάρχουσαν αὐτὴν τοῖς ἀκμάζουσιν. Ἀλλ᾽ Ἱπποκράτης οὐκ ἐπὶ ταύτην, ἀλλ᾽ ἐπὶ τὴν οὐσίαν ἀναφέρει τοὔνομα κατὰ τὸν ἐνεστῶτα λόγον. Ἡ γὰρ οὐσία τοῦ ἐμφύτου θερμοῦ, ἀερώδης καὶ ὑδατώδης ὑπάρχει, ὡς ἐκ τοῦ σπέρματος ἔνεστι τεκμήρα-

σθαι, παντάπασι μὲν ὀλίγης γεώδους οὐσίας μετέχοντος, τὸ πλεῖστον δ' ἐν αὑτῷ περιέχοντος ἀέρος θερμοῦ τε, καὶ ὑγροῦ, ὡς κἀν τοῖς περὶ σπέρματος ὑπομνήμασι δεδήλωται· καὶ μὴν καὶ ἡ ἑτέρα τῆς γενέσεως ἡμῶν ἀρχὴ, τὸ καταμήνιον, ὑγρὸν δή πού τὴν φύσιν ἐστίν. Ὅταν μὲν οὖν ἐπὶ τὸ γεωδέστερον μεταβάλλῃ τὸ σῶμα τοῦ ζώου, μεταβάλλει δὲ καθ' ἑκάστην ἡμέραν αὐξανόμενον, τηνικαῦτα κἂν πάνυ σφόδρα θερμὸν ᾖ καὶ πυρῶδες, ἀλλὰ τήν γε οὐσίαν τοῦ ἐμφύτου θερμοῦ ὀλιγίστην ἔχει· ἐπεὶ οὕτως ἂν καὶ τοὺς πυρέττοντας εἴπομεν πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμὸν, οἵτινες οὐχ ὅπως πλέον, ἀλλ' οὐδὲ τὸ πρόσθεν ἴσον ἔχουσιν· εὔκρατος μὲν οὖν ἐστιν ἡ οὐσία τοῦ ἐμφύτου θερμοῦ, πυρώδης δὲ ἡ τοῦ ἐπικτήτου. Καὶ δὴ καὶ αἱ δι' ὅλου τοῦ σώματος ἡμῶν ἀπόρροιαι, ἕπονται καπνώδεις μὲν καὶ λιγνυώδεις, καὶ ξηραὶ, καὶ δριμεῖαι τῷ ἐπικτήτῳ θερμῷ, ἀτμώδεις δὲ καὶ ἡδεῖαι, καὶ εὔκρατοι τῷ κατὰ φύσιν, καί σοι διὰ τῆς ἁφῆς ἔνεστι διαγινώσκειν ταῦτα. Τὸ μὲν γὰρ τῶν ὑγιαινόντων θερμὸν, ἀτμῶδές ἐστι καὶ ἡδὺ, καὶ οἰκεῖον τῇ ἁφῇ, μηδὲν ἀνιαρὸν, μηδὲ τραχὺ, μηδὲ δακνῶδες ἔχον. Τὸ δὲ τῶν πυρεττόντων, καὶ μάλιστα τοὺς ἑκτικοὺς πυρετοὺς, ἢ τοὺς ἐπὶ σήψει χυμῶν, δριμὺ, καὶ ἀηδὲς, καὶ δάκνον, καὶ διαβιβρώσκον ἡμῶν τὴν ἁφήν. Ἀκριβοῦται δὲ ἡ ὑγιεινὴ ποιότης αὐτοῦ, ἐν τοῖς παισὶν, ὡς τῶν γε ἀκμαζόντων τοὺς πλείστους ἐστὶν εὑρεῖν, δακνῶδες ἤδη τὸ θερμὸν ἔχοντας, καὶ οὐκ ἔθ' ὑγρὸν, οὐδὲ ἀτμῶδες, οὐδὲ ἀερῶδες. Καὶ οὐδὲν θαυμαστόν· ὁμοίαν γὰρ εἶναι τὴν ἀπόρροιαν δεῖ τῇ ὑποκειμένῃ οὐσίᾳ· ἡνίκα μὲν ὑγρὰ καὶ ἀερώδης ἐστὶν ἡ οὐσία, καὶ τὸ ἀπορρέον αὐτῆς ἀτμῶδές ἐστι, καὶ ἡδύ. ἡνίκα δὲ γεώδης, καὶ ξηρὰ, τηνικαῦτα καὶ τὸ ἀπορρέον, καπνῶδες γίνεται, καὶ λιγνυῶδες, καὶ δριμύ. Ὥσπερ γε κἀπὶ τῶν ἐκτὸς, αἱ μὲν ἐξ ὕδατος ἀναθυμιάσεις γλυκέος τε, καὶ θερμοῦ, χρησταὶ καὶ ἀτμώδεις εἰσίν· αἱ δὲ ἔκ τινος τῶν στερεῶν σωμάτων καιομένων, καπνώδεις τε, καὶ δριμεῖαι. Διττῶν οὖν οὐσιῶν οὐσῶν, καὶ τῆς μὲν ἡδεῖαν ἐχούσης θερμότητα, τῆς δὲ, ἀνιαρὰν, τὴν μὲν ἑτέραν πλείστην ἔχει τὰ παιδία, τὴν δ' ἑτέραν οἱ ἀκμάζοντες, ὡς πρὸς τὴν ὅλην τοῦ σώματος ἀναλογίαν δηλονότι. Ἵνα δὲ καὶ φυσικώτερον ἔτι τὸν λόγον ἀναγαγὼν, ἐπὶ τὰ στοιχεῖα, τὸ πᾶν διέξειμι. Τεττάρων ὄντων στοιχείων ἐξ ὧν τὰ πάντα σώματα κέκραται, τὸ μὲν τῶν παιδίων, ἥκιστα μετέχει τοῦ γεώδους, πλεῖστον ἐν ἑαυτῷ κεκτημένον τό, τ' ἀερῶδες, καὶ τὸ ὑδατῶδες· τὸ δὲ τῶν ἀκμαζόντων, ἔμπαλιν ὑπὸ ξηρότητος ἐπικρατεῖται γεώδους· ἐνδεῖ δ' ἡ ὑδατώδης αὐτῷ καὶ ἀερώδης οὐσία, ὥστ' εἰ καὶ τὸ τέταρτον τὸ στοιχεῖον ἴσον πῦρ, ἐν ἀμφοῖν θείημεν, ὡς ὁμοίως αὐτὰ λέγειν εἶναι θερμὰ, ἀλλ' οὐ παραπλησίαν γε τὴν θερμὴν οὐσίαν ἐν ἀμφοτέροις αὐτοῖς ὑπάρχειν ἐροῦμεν· τῆς μὲν τῶν παίδων, ὑγρᾶς οὔσης, τῆς δὲ τῶν ἀκμαζόντων, ξηρᾶς. Ἡ μὲν γὰρ ὑγρὰ, κατὰ τὸ ἔμφυτον θερμὸν μάλιστα, ἐξ ὑγροῦ γὰρ ἡ γένεσις ἡμῖν, ἡ δὲ ξηρὰ, κατὰ τὸ ἐπίκτητον. Οὕτως οὖν, οἱ μὲν ἄρτι γεγεννημένοι παῖδες, οὐσίας θερμῆς ὑδατώδους τε, καὶ ἀερώδους πλείστης μετέχοντες, πλεῖστον ἂν ἔχειν λέγοιντο τὸ ἔμφυτον θερμόν. οἱ δ' ἀκμάζοντές τε, καὶ παρακμάζοντες, εἰς ὅσον αὐτοὶ μὲν ἐνδέουσι,

A plurimum autem aëris calidi humidique in ſeipſo continet, quemadmodùm in noſtris de ſemine commentariis declaratum eſt. Iam verò & alterum noſtræ generationis principium ſanguis menſtruus, humidum naturâ eſt. Quum igitur in terreum magis immutatur animalis corpus, immutatur autem quotidiano incremento, tum licet admodum vehementer calidum & igneum exiſtat, innati tamen calidi ſubſtantiam habet pauciſſimam; alioqui febricitantes diceremus plurimum habere natiuum calorem, qui nedum plus, ſed nec priori æqualem habent. Probè nanque temperata eſt caloris natiui ſubſtantia; ignea autem aduen-
B titij. Quin & effluuia quæ ex vniuerſo fiunt noſtro corpore fumida quidem, fuliginoſa, arida & acria aduentitium; vaporoſa verò, ſuauia ac temperata *natiuum* ac ſecundùm naturam calorem conſequuntur. Hæcque tibi tactu licet dignoſcere: Sanorum enim calor vaporoſus eſt, blandus, & tactui familiaris, nihil moleſtum, nihil aſperum, nihil mordax præ ſe ferens; contra febricitantium calor, præſertimque hecticis febribus, aut ex humorum ortis putredine, acris eſt, inſuauis ac mordax, noſtrúmque exedens tactum. Salubris verò caloris na-
C tiui qualitas in pueris exquiſita habetur, vt ætate florentes quamplurimos inuenire contingit, qui natiuum calorem mordacem habent, non autem amplius humidum, neque vaporoſum, neque aëreum. Nihilque mirum: Effluuium nanque ſubjectæ ſubſtantiæ ſimile ſit oportet, vt quum humida atque aërea ſubſtantia exiſtit, tum ex eâ quod effluit, vaporoſum eſt, atque ſuaue; quum verò terrea atque arida, tum & quod effluit, fumeum, fuliginoſum eſt & acre, quemadmodùm externis in rebus conſpicitur: Nam aquæ dulcis,
D & calentis halitus optimi ſunt & vaporoſi; ſolidi vero cujuſdam corporis incenſi, fumoſi ſunt & acres. Quum itaque duæ ſint ſubſtantiæ, ac illi quidem ſuauis ſit calor, huic verò moleſtus; alteram plurimam habent pueri, alteram ætate florentes, pro totius nimirum corporis proportione. Sed quò phyſice magis etiamnum altiùs orationem repetam, rem totam ad elementa traducam. Quum quatuor ſint elementa ex quibus omnia corpora temperata ſunt, puerorum quidem corpus in ſe
E terrenæ ſubſtantiæ minimum continet, aëreæ verò & aquoſæ plurimum. Contra verò ætate florentium corpus terrea ſiccitate præualeſcit, ſed aquea ipſi & aërea deeſt ſubſtantia. Quare ſi ignem quartum in vtriſque elementum pari portione poſuerimus, itavt ipſa corpora ſimiliter calida eſſe dicantur, non tamen ſimilem ſubſtantiam calidam, vtriſque ineſſe dixerimus; quum puerorum quidem ſubſtantia humida, juuenum verò ſicca ſit. Humida nanque pro caloris natiui ratione potiſſimùm
F eſt (nam ex humido noſter ortus conſtat) ſicca verò per aduentitium *calorem*. Quare recens nati pueri ſubſtantiam calidam, aqueam, & aëream plurimùm participantes, innati calidi plurimum habere dicuntur. Qui verò ætate tum vigent, tum declinant, quanto ipſæ de-

ficiant, terrestris verò exuberat, tantò pauciorem habent natiui caloris substantiam. Quòd verò plus aquæ & aëreæ substantiæ, quàm terrenæ defluere, etiamsi ambæ sint peræquè calidæ, secundùm qualitatem, cuique innotescit. Hoc quoque externis in rebus manifestè licet intueri. Nam ex corporibus simili calore præditis, par æqualisque materia effluere videtur; sed ex siccis minima, ex humidis plurima. Exempli gratiâ, ex aqua & oleo modicè calefactis materiæ plurimum defluit, atque discutitur; ex ferro autem, ære, & lapidibus minimum, proindeque si ad solem calidissimum aquam (si ita sors tulerit) & ferrum æquo pondere volueris exponere, ac deinde transacto die toto, vtrumque perpendas, aquam profectò seipsa multò pauciorem factam, ferrum verò sibi par comperies. Ita quoque si oleum æri, ferro, & lapidi comparare velis, illud quidem absumi, hæc vero *eadem* substantiæ mole permanere deprehendes. Hinc autem si ad ceram, picem, bitumen, & resinam emigres, & quæcunque cætera humidam substantiam plurimam sortiuntur, tum hæc solē sub ardenti multo vberiùs absumi, ac effluere, lapidem quàm æs, & ferrum, & cætera hoc modo sicca *corpora* conspicies: Quare si vsus alimenti sit eorum quæ è corpore effluxerint, instauratio; ex humidioribus verò, & aereæ substantiæ plus habentibus, liberaliùs id effluat, hujusmodi quoque corpora copiosiore egeant alimento necesse est. At ejusmodi puerorum corpus, vberioris humidæ & aëreæ substantiæ est particeps, non vt juuenum, declinantium, atque senum, siccæ, terrenæque. Quum igitur Hippocrati propositum esset aphoristicam hoc libro & compendiosam doctrinam astruere, non quomodo feci sententiam explicauit; sed pro eo quod dicere poterat, *qui crescunt*, parem licet cum juuenibus substantiam habeant calidam & igneam, vt aquosæ certè & aëreæ substantiæ plus habere fatendum, ità is dixit, *qui crescunt, calidi innati habent plurimum*, eadem opera nobis in memoriam eorum substantiam redigens & propositum demonstrans. Nam quia humidam & calidam habent substantiam qui adolescunt, propterea ex ipsis plurimùm effluere, plurimóque indigere alimento necesse est, alioqui corpus, inquit, absumitur, probâque ratione. Vbi enim quod effluat, plurimum est, quod verò influat, paucum, hîc subjectam corrumpi substantiam necesse est. Senibus verò paucum inest calidum; his sanè ex vtraque appellationis significatione paucum inest calidum, siue quis ad qualitatem orationem referat, siue ad substantiam: Nam & qualitas imbecilla, & substantia minima est; si cujusdam prædictorum meminerimus, propterea, inquit, *paucis indigent fomitibus*: Nam fomites cibos nominauit suam sequutus ac propè omnium celeberrimorum Philosophorum sententiam, qui inter elementa animantes constituentia calorem primarium auctorem esse arbitrantur. Quemadmodùm enim lucernarum flammæ, quamuis oleum pro pabulo habeant; siquis tamen id confertim affundat, extinguntur potius, quàm alantur: eodem sanè modo & in senibus calidum

περιττεύει δ' ἡ γεώδης, εἰς ποσὸν καὶ τὴν οὐσίαν ἔχουσιν ἐλάττονα τοῦ ἐμφύτου θερμοῦ. A Ὅτι δ' ἀπορρεῖν ἀναγκαῖόν ἐστι τῆς ὑγρᾶς καὶ ἀερώδους οὐσίας πλέον, ἤπερ τῆς γεώδους, κἂν ὁμοίως ἀμφότεραι θερμαὶ τυγχάνωσιν οὖσαι κατὰ τὴν ποιότητα, πρόδηλον παντί· θεάσασθαι γοῦν σοι τοῦτο, κἀπὶ τῶν ἐκτὸς, ἐναργῶς ὑπάρχει. Τῶν γὰρ εἰς τὴν ὁμοίαν ἡκόντων θερμότητα σωμάτων, οὐκ ἴσον ἀπορρεῖν φαίνεται, ἀλλὰ τῶν μὲν ξηρῶν ἐλάχιστον, τῶν δ' ὑγρῶν πλεῖστον. Αὐτίκα γοῦν ὕδατος μὲν καὶ ἐλαίου θερμῶν μετρίως γινομένων, πλεῖστον ἀπορρεῖ, καὶ διαφορεῖται· σιδή- B ρου δὲ, καὶ χαλκοῦ, καὶ λίθων, ἐλάχιστον, ὥστε καὶ εἰ καταθεῖναι βουληθείης εἰς ἥλιον θερμότατον ὕδωρ, εἰ οὕτως ἔτυχε, καὶ σίδηρον ἴσα τῷ σταθμῷ ποιήσας, εἶτα διελθούσης ὅλης τῆς ἡμέρας ἄμφω στῆσαι, τὸ μὲν ὕδωρ εὑρήσεις ἔλαττον ἑαυτοῦ παραπολὺ γεγενημένον, τὸν δὲ σίδηρον ἴσον. Οὕτως δὲ καὶ ἔλαιον εἰ θέλεις παραβάλλειν χαλκῷ, καὶ σιδήρῳ, καὶ λίθῳ, τὸ μὲν ἐκδαπανώμενον εὑρήσεις, τὰ δ' ὑπομένοντα, κατὰ τὸν ὄγκον τῆς οὐσίας. Ἐντεῦθεν δὲ μεταβαίνων ἐπὶ κηρόν τε, καὶ πίτταν, ἄσφαλτόν τε, καὶ ῥητίνην, ὅσα τἄλλα πλείστης ὑγρᾶς οὐσίας μετέχει, θεάσῃ C καὶ ταῦτα ἐν ἡλίῳ θερμῷ, πολὺ πλέον δαπανώμενα καὶ ἀπορρέοντα ἤπερ τοῦ λίθου τε, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ τῶν ἄλλων τῶν οὕτω ξηρῶν· ὥστ' εἴπερ ἡ χρεία τῆς τροφῆς, ἀναπλήρωσίς ἐστι τῶν ἀπορρεόντων ἐκ τοῦ σώματος· ἀπορρεῖ δὲ τῶν ὑγροτέρων τε, καὶ ἀερωδεστέρων πλέον, ἀναγκαῖον καὶ τροφῆς πλείονος δεῖσθαι τὰ τοιαῦτα. Τὸ δὲ τῶν παίδων σῶμα τοιοῦτόν ἐστιν, ὑγρᾶς καὶ ἀερώδους οὐσίας πλέον μετέχον, οὐχ ὡς τὸ τῶν ἀκμαζόντων, καὶ παρακμαζόντων, καὶ γερόντων, ξηρᾶς, καὶ γεώδους. Ὁ τοίνυν Ἱπποκράτης, ἐπειδὴ προὔκειτο κατὰ τόδε τὸ βιβλίον αὐτῷ, σύντομόν D τε, καὶ ἀφοριστικὴν ποιεῖσθαι τὴν διδασκαλίαν, οὐχ οὕτως διῆλθεν τὸν λόγον ὡς ἐγὼ νῦν, ἀλλ' ἀντὶ τοῦ φάναι, τὰ αὐξανόμενα κἂν ἴσον ἐν αὑτοῖς ἔχῃ θερμῆς οὐσίας, καὶ πυρώδους τοῖς ἀκμάζουσιν, ἀλλὰ τῆς γε ὑδατώδους, καὶ ἀερώδους οὐσίας πλέον ἔχει τὰ αὐξανόμενα, πλεῖστον εἶπεν ἔχειν τὸ ἔμφυτον θερμὸν, ἅμα μὲν, ἀναμιμνήσκων ἡμᾶς τῆς οὐσίας αὐτῶν, ἅμα δὲ, τὸ προκείμενον ἀποδεικνύς. Ἐπειδὴ γὰρ ὑγρὰν καὶ θερμὴν ἔχει τὴν οὐσίαν τὰ αὐξανόμενα, διὰ τοῦτο πλεῖστον ἀπορρεῖν αὐτῶν ἀναγκαῖόν ἐστι, πλείστης τε δεῖται τροφῆς. εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεσθαι φησὶν εὐλό- E γως. Ἔνθα γὰρ τὸ μὲν ἀπορρέον πλεῖστον, τὸ δ' ἐπιρρέον ὀλίγον, ἐνταῦθα ἀναγκαῖον διαφθείρεσθαι τὴν ὑποκειμένην οὐσίαν· γέρουσι δ' ὀλίγον τὸ θερμὸν, τούτοις μέν γε κατ' ἄμφω τὰ σημαινόμενα τῆς προσηγορίας, ὀλίγον ὑπάρχει τὸ θερμὸν, εἴτ' ἐπὶ τὴν ποιότητά τις ἀναφέρει τὸν λόγον, εἴτ' ἐπὶ τὴν οὐσίαν. Καὶ γὰρ καὶ ἡ ποιότης ἀμυδρὰ, καὶ ἡ οὐσία ἐλαχίστη, εἴπερ τι μεμνήμεθα τῶν προειρημένων· διὰ τοῦτ' ἄρα φησὶν, ὀλίγων ὑπεκκαυμάτων δέονται· ὑπεκκαύματα τὰς τροφὰς ὠνόμασεν, ἑπόμενος τῷ ἑαυτοῦ δόγματι, καὶ F σχεδὸν ἁπάντων τῶν ἐνδοξοτάτων φιλοσόφων, οἵτινες τῶν συντιθέντων στοιχείων τὰ ζῶα, τὸ θερμὸν αἰτιώτατον ἐνόμιζον εἶναι τῆς ζωῆς. ὥσπερ γὰρ αἱ λυχνιαῖοι φλόγες, καίτοι τροφὴν ἔχουσαι τοὔλαιον, ὅμως ἐὰν ἀθρόως τις ἐπιχέῃ, σβέννυνται μᾶλλον, ἢ τρέφονται. Κατὰ τὸν αὐτὸν δὴ τρόπον, καὶ τὸ ἐν τοῖς γέρουσι θερμὸν, ὑπέκκαυμα μὲν ἔχει τὰς

ἔφας, εἰ δὲ πολλαῖς καὶ ἀθρόαις ἐπισωρεύσεσι καταπνίγοιτο, σβεσθῆναι κίνδυνος αὐτὸ, καθάπερ εἰ καὶ σμικρῷ σπινθῆρι πυρὸς, πλῆθος ἐπισωρεύσαις ξύλων. καὶ διὰ τοῦτο, καὶ οἱ πυρετοὶ τοῖς γέρουσιν οὐχ ὁμοίως ὀξέες, ὃ δὴ ἐπιφερόμενον, τεκμήριον οὕτως ἐστὶ καὶ αὐτὸ, τοῦ ψυχρὸν εἶναι τὸ τῶν γερόντων σῶμα, καὶ ὅτι μάλιστα ῥοπῇ τῆς ἐμφύτου θερμότητος, ἐπὶ τὸ πυρῶδες, ὁ πυρετὸς γίνεται. Ἀλλά τοι τηλικαύτην ῥοπὴν συμβῆναι τοῖς γέρουσιν, ὡς εἰς ἴσον ἀφικέσθαι τῇ τῶν νεωτέρων, οὐ πάνυ τι δυνατόν. Τὸ μὲν γὰρ πολὺ θερμὸν, ἑτοίμως ἐπὶ μήκιστον αἴρεται· τὸ δ' ὀλίγον, οὐ ῥᾳδίως, ἀλλὰ μεγίστης δεῖται τῆς βιαζομένης αἰτίας αὐτό. Διὰ τοῦτο οὖν οὔτε πυρέττουσιν οἱ γέροντες, ὁμοίως τοῖς νέοις ὀξεῖς πυρετοὺς ὡς τὰ πολλὰ, καὶ εἴ που σπανίως γένοιτό τις ὁποῖος ἐν νέῳ, πάντως οὗτος εἰς ὄλεθρον τοῦ κάμνοντος τελευτᾷ· ἐνδείκνυται γὰρ ἐξαίσιόν τι μέγεθος τῆς ἐργαζομένης αὐτὸν αἰτίας. Ταῦτα ἀρκεῖ τοῖς κατὰ φύσιν ἔχουσιν, εἰς νόησίν τε, καὶ πίστιν ὧν Ἱπποκράτης ἔγραψεν· ὅτι δὲ οὐκ ὀρθῶς ἐνεκάλεσαν αὐτῷ καθάπερ καὶ Λύκος, ἓν ὅλον πρὸς ἐκείνους ὑπ' ἐμοῦ γέγραπται βιβλίον, ἀπολογούμενον ὑπὲρ ὧν ἐπηρεάζουσι τὸν ἀφορισμόν. Ἐπιγέγραπται δὲ τὸ βιβλίον, πρὸς Λύκον, ὅτι μηδὲν ἡμάρτηται κατὰ τὸν ἀφορισμὸν, οὗ ἡ ἀρχὴ, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. Ἐδόθη δέ μοι τὸ τοῦ Λύκου βιβλίον, ἤδη γεγραμμένων τῶν ὑπ' ἐμοῦ ὑπομνημάτων. Ὅθεν αὐτοῖς μὲν τούτοις ἐνέθηκα τήνδε τὴν ῥῆσιν, οὐκ οὖσαν ἐν τοῖς προεκδοθεῖσιν· ἰδίᾳ δὲ καθ' ἕτερον βιβλίον ἀπελογησάμην ὑπὲρ ὧν ἐνεκάλεσεν Ἱπποκράτει.

A pro fomite quidem habet cibos; sed si copiosis confertísque eorum cumulis opprimatur, ne ipsum extinguatur periculum est, peræquè ac si exili ignis scintillæ ingentem lignorum struem aggeras. Quòd autem subsequitur. *Eandémque ob causam neque senibus peræquè febres acutæ oboriuntur*, certum profectò est indicium, tum quòd frigidum sit senum corpus, tum quòd natiui caloris maximè in igneum facta mutatione febris accendatur. Verùm tantam euenire senibus *caloris* conuersionem, ut ad æquales juniorum gradus accedat, vix prorsùs fieri potest. B Copiosus nanque calor promptè in immensum attollitur, paucum verò non facilè; sed maximam ad hoc, quæ cogat, causam desiderat. Quamobrem neque senes, vtplurimum, peræquè ac juuenes acuta febre febricitant, & si quando seni quod rarum est, qualis juveni, oboriatur febris, hæc prorsùs in ægrotantis perniciem finitur: Immensam enim quandam causę febrem efficientis magnitudinem prodit. Hæc secundùm naturam se habentibus, ad eorum quæ scripsit Hippocrates, tum intelligentiam, tum fidem sufficiunt. Qui verò ipsum improbè reprehenderunt, qualis C fuit Lycus, aduersùs eos vnus à nobis Liber scriptus est integer, qui ea diluit, quibus ipsi aphorismum oppugnant. Liber autem inscriptus est, aduersùs Lycum, quod nihil erratum sit in aphorismo cujus exordium est; *Qui crescunt, calidum innatum habent plurimum.* Datus autem mihi est Liber Lyci, scriptis jam à me hisce commentariis, vnde his ipse hęc verba subjunxi, quæ in commentariis priùs editis non existunt. Separatim autem alio in libro quæ Hippocrati Lycus obiecerat, ea refutaui.

D

Τί, καὶ διὰ τί χειμῶνός τε καὶ ἔαρος, τὰ προσάρματα πλείω δοτέον· καὶ ὕπνοι μακρότατοι· καὶ τὸ θερμὸν πλεῖον· καὶ ἡ πέψις βέλτιον γίνεται· περὶ τῆς ὑπογείων θερμότητος· περὶ τριῶν τῆς ἡμῶν οὐσίας σωμάτων· καὶ περὶ τοῦ ἐμφύτου θερμοῦ ἁπάντων τῶν ἔργων αἰτίου.

Quid, & cur hyeme ac vere copiosior cibus exhibendus sit, somni longissimi, calor major, ac coctio meliùs fiat. De subterraneorum animalium calore; de tribus nostræ substantiæ corporibus, ac de calido innato actionum omnium causa.

ΑΦΟΡΙΣΜΟΣ ιέ.

E

APHORISMVS XV.

ΑΙ κοιλίαι, χειμῶνος, καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι· ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι, καὶ τὰ προσάρματα πλείω δοτέον. Καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖον ἔχουσι, τροφῆς οὖν πλείονος δέονται· σημεῖον αἱ ἡλικίαι, καὶ ἀθληταί.

Ventres hyeme, ac vere naturâ calidissimi sunt, somnique longissimi. Per eas igitur anni tempestates copiosiora cibaria exhibenda. Etenim natiuum calorem copiosiorem sortiuntur; proindéque copiosiore alimento indigent; quorum ætates & athletæ signa sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIVS.

F

ΑΙ ὧραι τοῦ ἔτεος, συντελοῦσιν εἰς τὴν δίαιταν οὐκ ὀλίγον. Ἐν μὲν γὰρ τῷ χειμῶνι, καὶ ὀρέγονται πλειόνων οἱ ἄνθρωποι, καὶ πέπτουσι ῥᾷον αὐτά. Κατὰ δὲ τὸ θέρος, ἔμπαλιν· τὴν δ' αἰτίαν αὐτὸς ὁ Ἱπποκράτης εἶπεν ἀποφηνάμενος, τὰς κοιλίας χειμῶνος, καὶ ἦρος θερμοτάτας εἶναι

TEmpestates anni ad victûs rationem *instituendam* non parum conferunt. Hyeme si quidem vberiores *cibos* homines tum appetunt, tum concoquunt; contrà per æstatem. At causam ipse Hippocrates profert, quum ventres hyeme, & vere naturâ calidissimos esse

pronunciat. Quid autem id sit vocabulum *natura*, quodque non temerè id ipse hoc in aphorismo adjecerit, paulò post explicauit hisce verbis: Etenim innatus calor copiosus est, plurimo itaque indiget alimento. Ventres itaque hyeme, & vere sunt calidissimi, non simpliciter, sed calore naturali, cujus substantiam antea declarauimus. Sed cur is calor hyeme augeatur etiam Aristoteles explicuit, quòd in profundum extrinsecus circunstante frigore refugiat, quemadmodũ contrà æstate ad congenerem calorem externum protenditur. Atque ita contingit discuti quidem ac dissipari eius substantiam per æstatem, contineri verò, coërceri, ac in profundum secedere per hyemem. Propterea igitur & coctiones, & sanguificationes, & nutritiones hisce tempestatibus sunt meliores. Addidit autem & aliud quoddam accidens, longissimos nimirùm somnos fieri, ob noctium videlicet longitudinem, quę res etiam non parùm ad naturales functiones confert. Quod verò in fine adjicitur *indicia sunt ætates & athletæ*, cibi indigentiæ, vbi calor exuberat, pręclarum indicium est. Etenim pueri, quia calorem plurimum habent, propterea & pluribus indigent *alimentis*, & plura concoquunt; Athletæ quoque, quia exercitiis calorem nativum augent, ideò multis frui possunt alimentis. Quæ igitur in aphorismo dicuntur, satis explicuimus. Siquis verò ipsorum veritatem exploret, non ad omnia animalia extendat; sed ea excludat quæ subterraneis in latibulis degunt. Hæc enim quandiu sub terra se recondunt, copiosiore non egent alimento; quandoquidem non omninò comedentia perdurant. Atque ex suppositione, si ea tanto vtantur cibo, quanto antequàm reconderentur, malè ipsum concoquerent. Quod enim hominibus contingit aqua frigida lotis, idem etiam animalibus accidit hyeme. Contingit autem illis frigida lotis, quibus imbecillum quidem corpus est, tum refrigerari, tum lædi; quibus verò robustum, quamprimùm sanè calorem in altum refugere, ac colligi; posteà verò ad externam superficiem remeare, eumque multò quàm antea ampliorem euadere. Sic & animalium omnium naturâ frigidiorum calor innatus, ab hyberno frigore vincitur, adeovt propemodum extinguatur; vnde ipsorum plurima mortuis similia conspicere licet sine sensu ac sine motu in latebris jacere; quædam etiam prorsùs hoc in ipso affectu moriuntur. Quibus verò animalibus copiosior est tum sanguis, tum calor, huic simile quiddam hyeme patiuntur, quod corporibus robustis frigidiore balneo lotis accidit: Nam eorum calor in profundum cogitur; non (per Iouem) carnibus illuc fugientibus, & vnaquaque locum, quem ab initio sortiebatur, deserente, sed vnà cum sanguine, spiritu. Tria autem erant hæc corpora quæ primigeniam nostri substantiam compleuerunt, spiritus, sanguis, & spermaticus humor, ex quo imprimis quidem, vt in Libris de semine docuimus, solidis animantis partibus ortus est, posteà verò auctio, & nutritio his accedunt. Quòd igitur meliùs hyeme cibos concoquamus, intrò sanguine ac spiritu in profundum corporis se-

φύσει. Τί δέ ἐστιν αὐτὸ τὸ, φύσει, καὶ ὅτι οὐ μάτην αὐτὸ
A προσέθηκεν ἐν τῷδε τῷ ἀφορισμῷ· ὀλίγον ὕστερον ἐξηγήσατο φάμενος, καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολὺ πλείστης οὖν τροφῆς δεῖται. Αἱ γοῦν κοιλίαι, χειμῶνος, καὶ ἦρος θερμόταται, οὐχ ἁπλῶς, ἀλλὰ τῷ φυσικῷ θερμῷ θερμόταται, οὗ τὴν οὐσίαν ἔμπροσθεν ἐδήλωσα. Διά τι δὲ, τοῦ χειμῶνος αὐξάνεται τοῦτο, καὶ Ἀριστοτέλης εἶπεν, ὑποφεύγει γὰρ διὰ τὸ περιϊστάμενον ἔξωθεν ψύχος, ὥσπερ αὖ πάλιν ἐν τῷ θέρει, πρὸς τὸ συγγενὲς ἀποτείνεται· καὶ οὕτω συμβαίνει διαφορεῖσθαι μὲν αὐτοῦ, καὶ σκεδάννυσθαι τὴν οὐσίαν ἐν τῷ θέρει, συνέχεσθαι δὲ
B καὶ σφίγγεσθαι, καὶ εἰς βάθος ὑποχωρεῖν ἐν τῷ χειμῶνι. Διὰ τοῦτο οὖν, καὶ αἱ πέψεις, καὶ αἱ ἐξαιματώσεις, καὶ αἱ θρέψεις ἀμείνους εἰσὶν ἐν ταῖσδε ταῖς ὥραις. Προσέθηκε δὲ καὶ ἄλλο τι συμβεβηκὸς αὐτοῖς, τὸ, καὶ τοὺς ὕπνους μακροτάτους γίνεσθαι, διὰ τὸ μῆκος δηλονότι τῶν νυκτῶν, οὐ σμικρὸν οὐδ' αὐτὸ συντελοῦν εἰς τὰς φυσικὰς ἐνεργείας. Τὸ δ' ἐπὶ τέλει προσκείμενον σημεῖον, αἱ ἡλικίαι, καὶ οἱ ἀθληταὶ, τοῦ δεῖσθαι τροφῆς· ἔνθα πλεονάζει τὸ θερμὸν ἀξιόλογον τεκμήριόν ἐστιν. Οἵ τε γὰρ παῖδες διότι τὸ θερμὸν ἔχουσι πλεῖστον, διὰ τοῦτο καὶ δέονται πλειόνων, καὶ πέττουσι πλείονα· οἵ τε ἀθληταὶ, διότι τοῖς γυμνασίοις αὐξάνουσι τὴν
C γίνονται· οἵτε ἀθληταὶ, διότι τοῖς γυμνασίοις αὐξάνουσι τὴν ἔμφυτον θερμασίαν, διὰ τοῦτο καὶ τροφῶν ἀπολαύειν δύνανται πλειόνων. Τὰ μὲν οὖν εἰρημένα κατὰ τὸν ἀφορισμὸν αὐτάρκως ἐξηγησάμεθα. Περὶ δὲ τῆς ἐν αὐτοῖς ἀληθείας εἴ τις σκοποῖτο, μὴ κατὰ πάντων ἐκτεινέτω τῶν ζώων τὸν λόγον, ἀλλ' ἀποχωριζέτω τὰ φωλεύοντα. ταυτὶ γὰρ οὐ δεῖται πλείονος τροφῆς, ἐν τῷ φωλεύειν· εἴγε καὶ μηδ' ὅλως ἐσθίοντα διαρκεῖ, καὶ καθ' ὑπόθεσιν, προσοίσεται τοσαύτην ὅσην πρὶν φωλεύειν ἐχρῆτο, κακῶς ἂν αὐτὴν ἔπεψεν. Ὁποῖον γάρ τι κατὰ τὰς ψυχρολουσίας συμ-
D βαίνει τοῖς ἀνθρώποις, τοιοῦτον τοῖς ζώοις ἐν τῷ χειμῶνι. Συμβαίνει δὲ τοῖς ἐν ψυχρῷ λουομένοις, οἷς μὲν ἀσθενές ἐστι τὸ σῶμα, ψύχεσθαί τε, καὶ βλάπτεσθαι· οἷς δὲ ἰσχυρὸν ἐν μὲν τῷ παραχρῆμα τὴν θερμασίαν εἰς τὸ βάθος ὑποφεύγουσαν ἀθροίζεσθαι, μετὰ δὲ ταῦτα πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν ἐπανέρχεσθαι, καὶ πολὺ πλείονα τῆς ἔμπροσθεν ὑπαρχούσης αὐτῆς. Οὕτω δὲ καὶ τῶν ζώων, ὅσα μέν ἐστι ψυχρότερα φύσει, νικᾶται τούτων ὑπὸ τοῦ κατὰ τὸν χειμῶνα κρύους, τὸ ἔμφυτον θερμὸν, ὡς ὀλίγου δεῖν αὐτὸ ἀποσβέννυσθαι, καὶ διὰ τοῦτ', αὐτῶν τὰ πλεῖστα, παραπλήσια νε-
E κροῖς ἐστιν ἰδεῖν, ἀναίσθητά τε ἅμα, καὶ ἀκίνητα κατὰ τοὺς φωλεοὺς κείμενα. Τινὰ δὲ καὶ παντάπασιν ἐν τῷ τοιούτῳ πάθει διαφθείρεται. Τὰ δὲ πολυαιμότερα καὶ θερμότερα τῶν ζώων, ὅμοιόν τι πάσχει κατὰ τὸν χειμῶνα, τῷ συμβαίνοντι τοῖς ἰσχυροῖς σώμασιν ἐπὶ τοῖς ψυχροτέροις λουτροῖς. Ἀθροίζεται γὰρ αὐτῶν ἐν τῷ βάθει τὸ θερμὸν, οὐ μὰ Δία, τῶν σαρκῶν ἀποφευγουσῶν εἰς τοῦτο καὶ καταλιπούσης ἑκάστης ἣν ἐξ ἀρχῆς εἴληφε χώραν, ἀλλὰ τοῦ πνεύματος, ἅμα τῷ αἵματι· Τρία δ' ἦν ταῦτα σώματα τὰ τὴν ἀρχέγονον ἡμῶν οὐσίαν συμπληροῦντα, πνεῦμα, καὶ αἷμα, καὶ ἡ
F ὀῤῥώδης ὑγρότης, ἐξ ἧς κατ' ἀρχὰς μὲν ὡς ἐν τοῖς περὶ σπέρματος ἐδιδάξαμεν, ἡ γένεσις τοῖς στερεοῖς τοῦ ζώου μορίοις, ὕστερον δὲ, ἡ αὔξησίς τε, καὶ θρέψις ἐν τούτοις περιεγένετο. Ὅτι μὲν οὖν ἄμεινον ἐν τῷ χειμῶνι πεπτόμεθα, τοῦ αἵματος εἴσω, καὶ τοῦ πνεύματος εἰς

τὸ βάθος ἀποκεχωρηκότων, εὔδηλον παντί· λέγει γοῦν οὐ τοῦτο μόνον ὁ Ἱπποκράτης, ἀλλ' ὅτι καὶ συμφέρει πλείω λαμβάνειν· ἐν ταύτῃσι γὰρ, φησὶ, τῇσιν ὥρῃσι, τουτέστι χειμῶνος καὶ ἦρος, καὶ τὰ προσάρματα πλείω δοτέον. Καὶ μὴν εἴπερ γε ὀλίγον ἀπορρεῖ καὶ διαπνεῖται χειμῶνος εἰς τοὐκτὸς, οὐ δεῖται τὰ σώματα πολλοῦ τοῦ θρέψοντος, ἀναπλήρωσις γάρ ἐστι τοῦ κενωθέντος ἡ θρέψις. Ἀνάλογον οὖν εἶναι χρὴ τὸ ποσὸν τῆς τροφῆς, τῷ ποσῷ τῆς διαπνοῆς. Ὅτι μὲν οὖν ἐστιν ἀληθὲς, τὸ μὴ μόνον ἐν χειμῶνι πέττειν ἡμᾶς ἄμεινον, ἀλλὰ καὶ λαμβάνοντας ὀλίγα, καταψύχεσθαί τε καὶ διὰ τοῦτο βλάπτεσθαι, προσφερομένους δὲ πλείονα, μηδὲν τῶν πληθωρικῶν ἁλίσκεσθαι νοσημάτων, αὐτὸ τὸ γινόμενον ἐναργῶς μαρτυρεῖ· τῆς δὲ αἰτίας ἡ ζήτησις ἐν κοινῷ προκείσθω· οὐ γὰρ δὴ Ἱπποκράτει γε μόνῳ μάχεται τὸ προβεβλημένον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν. Οὐδεὶς οὖν ἐστιν ὃς οὔ φησι διαπνεῖσθαι τὰ τῶν ζώων σώματα, τῇ διὰ τῶν ἀδήλων αἰσθήσει διαπνοῇ πόρων. φανερὸν γὰρ τῷ εἰς χρείαν ἥκειν τροφῆς, ὅτι κενοῦται, ὡς εἴ γε μηδὲν ἡμῶν ἀπέρρει, διὰ παντὸς δὲ ἐφυλάττετο τῆς οὐσίας ὁ ἀρχαῖος ὄγκος, οὐκ ἂν οὐδὲ τροφῆς ἐδεόμεθα. Σκόπει τοίνυν εἰ κἀνταῦθα τοῖς μὲν ἄλλοις ἅπασιν ἄπορος ὁ λόγος, Ἱπποκράτει δὲ, καὶ τοῖς ἀπ' αὐτοῦ μόνοις εὔπορος· οὐ γὰρ ἄλλο τι τὸ διαπλάττον ἐξ ἀρχῆς τὸ ζῶον, ὥσπερ οὐδ' αὖθις αὐξῆσαν, ἢ μέχρι τελευτῆς τρέφον, ὅτι μὴ τὸ θερμὸν τοῦτο, τὸ ἔμφυτον, ὑπὲρ οὗ νῦν ὁ λόγος ἐστὶν αὐτῷ. Τοιγαροῦν τοῦτο πάντων τῶν φυσικῶν ἔργων αἴτιον ὑπάρχον, ἐπειδὴ πλεῖόν ἐστιν ἐν τῷ χειμῶνι, καὶ τὰς ὀρέξεις ἐπιτείνει, καὶ τὰς πέψεις αὐξάνει, καὶ πλέον ἀθροίζει τὸ αἷμα, καὶ παχύνει τὸ σῶμα, καὶ οὐ κενοῖ τὰ περιττώματα προνοεῖται. Τὸ μὲν γὰρ πέριξ θάλπος, οὐ τὰ περιττὰ μόνον, ἀλλὰ καὶ πάντα ὁμοτίμως ἐκκενοῖ διαφοροῦν ἅμα τοῖς περιττοῖς τῶν ἐν τῷ ζώῳ, καὶ τὰ κατὰ φύσιν ἐν αὐτῷ περιεχόμενα κατὰ τὴν ὑπὸ τῶν ἰατρῶν ὀνομαζομένην ἄδηλον διαπνοὴν, ἣν ἔμφυτον ἐργάζεται θερμόν. Οὐ γὰρ δὴ ἄλλο τι τοῖς ζώοις ἡ φύσις ἐστὶν, ἢ τοῦτο κατὰ τοὺς Ἱπποκράτους λόγους. Δέδεικται δ' ὑφ' ἡμῶν ἐν τοῖς περὶ φυσικῶν δυνάμεων, οὐ μόνον ὀρεγομένη, καὶ κατεργαζομένη, καὶ προστιθεῖσα τοῖς μορίοις ἡ φύσις, ἑκάστῳ τὴν οἰκείαν τροφὴν, ἀλλὰ καὶ διαφοροῦσα τὰ περιττώματα ταύτης· καὶ ὅσῳ περ ἂν ᾖ ῥωμαλεώτερον τὸ ἔμφυτον θερμὸν, τοσούτῳ μᾶλλον ἐκφεύγει τὴν αἴσθησιν ἡ διαπνοή· καὶ διὰ τοῦτο παρὰ φύσιν εἶναι τοὺς ἱδρῶτας ὁ Διοκλῆς εἶπεν, ὅτι καλῶς ἁπάντων διοικουμένων τῶν κατὰ τὸ σῶμα, κρατουμένης τῆς τροφῆς ὑπὸ φύσεως, οὐκ ἄν ποτε αἰσθητὴ διὰ τοῦ δέρματος ὑγρότης ἐκκριθείη. Ὅσα γὰρ ἐν βαλανείοις, ἢ γυμναζομένοις σφοδρῶς, ἢ διὰ θερινὸν θάλπος ἱδροῦσιν ἄνθρωποι, βιαίων αἰτίων εἰσὶν ἔργα· καλῶς οὖν ἐν τῷ χειμῶνι διοικεῖται πάντα τὰ κατὰ τὸ ζῶον, ὅταν γε μέτριος ὑπάρχῃ δηλονότι. Τὰς γὰρ ἀμέτρους δυσκρασίας, καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐν τοῖς ἐφεξῆς μέμφεται. Γνωρίσματα δ' οὐ σμικρὰ τοῦ καλῶς διοικεῖσθαι πάντα τὰ κατὰ τὸ ζῶον ἐν τῷ χειμῶνι, τῶν κατὰ φύσιν ἔργων ἡ ῥώμη. Πέττεται μὲν γὰρ ἐν τῇ γαστρὶ τὰ σιτία, διότι πλεῖόν ἐστι τὸ κατὰ φύσιν

cedentibus, omnibus innotescit. Dicit itaque
A non id solùm Hippocrates; sed etiam quòd cibos copiosiores capere conferat: Hisce nanque tempestatibus, inquit, hoc est hyeme & vere, copiosiora cibaria exhibenda. At certe si paucum effluat, ac foràs per hyemem exhalet, corpora copiosis non egent alimentis, nutritio siquidem est, euacuati instauratio. Quantitas igitur alimenti, perspirationis quantitati respondeat oportet. Quod itaque verum sit nos hyeme non solum meliùs cibos concoquere; sed etiam paucis assumptis tum
B perfrigerari, tum propterea oblædi; pluribus autem assumptis, in nullos plethoricos incidere morbos, ipse rei euentus manifestè testatur. Causæ verò inquisitio in vulgus proponatur: Non enim hæc quæstio soli Hippocrati, sed & cæteris omnibus reluctatur. Nullus enim est qui animalium corpora, eâ quæ per abditos sensui meatus fit, perspiratione difflari *ac dissipari* non fateatur: Hinc enim constat ad alimenti penuriam ea venire, quòd euacuentur; itaut, si nihil nostrum efflueret; sed pristina substantiæ moles perpetuò seruaretur, nulla
C prorsùs alimenti foret necessitas. Verùm animaduerte num hîc cæteris quidem omnibus hæc quæstio sit inexplicabilis, Hippocrati verò, solisque eius Sectatoribus explicabilis: Non enim aliud quidquam animal efformauit, vt neque rursùm adauxit, aut adusque mortem aluit, præterquam calor natiuus, de quo nunc ipsi oratio est. Hic igitur quum sit omnium functionum naturalium causa, quia hyeme copiosior, propterea cibi appetentiam vehementiùs excitat, coctiones auget, plus sanguinis accumulat, crassius corpus efficit, & vt excrementa vacuentur, providet. At nos vndi-
D què circunstans calor non modò superfluitates, verumetiam æqualiter omnia, tum quæ simul cum superfluitatibus in animali sunt, tum quæ in eo secundùm naturam continentur, discutiendo euacuat ea *euacuatione*, quæ à Medicis abdita perspiratio nominatur, quam calor natiuus molitur: Non enim aliud quicquam est præter hunc *calorem* animalium natura ex Hippocratis sententia. Demonstratum autem est à nobis in Libris de facultatibus naturalibus, naturam non solùm appetere, &
E conficere, & agglutinare suum cuique parti familiare ac proprium alimentum; sed hujus quoque recrementa discutere; quantòque fortior extiterit calor insitus, tantò magis sensum effugit perspiratio; ideóque sudores præter naturam esse dicebat Diocles, quod probè omnibus in corpore dispensatis, ac cibis à natura subactis & coctis, nequaquàm qui sub sensum cadat, humor excerneretur: Sudores enim, quibus homines per balnea, aut vehementes exercitationes, aut æstiuos ardores manant, violentatum causarum sunt effectus. Rectè igitur omnia hyeme in animali admini-
F strantur, quum ea nimirum moderata existit. Nam immoderatas intemperaturas & ipse Hippocrates in sequentibus damnat. Quòd autem in animali hyeme belle omnia administrentur, naturalium functionum robur, non leuia sunt indicia: Nam bellè cibi in ventriculo concoquuntur; quoniam naturalis calor copio-

fissimus est; & unà corporis excrementa longioribus somnis expurgantur, tum quæ exquisitè extenuata sunt per cutim, tum quæ halituosa, per exspirationem; quæ verò crassiora sunt, per vrinas. His enim plus inest sedimenti, quàm per æstatem; præterea etiam vniversarum vrinarum copia per hyemem admodum augetur. Iam verò liberaliùs aluntur, & carnosa magis euadunt hyeme corpora, bonique sanguinis copiam accumulant, ij tamen exceptis quæ prauo vtuntur victu: Nam si consideraueris, vt per autumnum nostra corpora tum pauco prędita sanguine, tum extenuata excipiens hyberna tempestas & bonis implet humoribus, & crassiora efficit; noueris, arbitror, nos gubernantis robur facultatis, qui calor natiuus est. Verùm nisi hic copioso fruatur alimento, primùm ipse ab ambiente frigore superabitur, cùm ab eo qui extrinsecus ingruit, tum ab illo qui per inspirationem attrahitur; cùm ipso verò & ciborum coctio debilitatur, & boni sanguinis generatio, & partium animalis nutritio, & excrementorum vacuatio. Si verò quantum eduliorum conficere & coquere potest, his copiose fruatur, tum is augebitur, & quæ prius omnia enarrata sunt, perficiet. Quod autem ex liberalioribus cibis assumptis, ac probè non in ventriculo solùm, verumetiam in venis, ac omni animalis parte confectis, vnumquodque multopere seipso carnosius reddatur, & copiosiore eoque probo scateat sanguine, satis demonstrat & quod hominibus non in se solis; sed & veterinis animalibus experientiâ compertum est. Ipsi nanque sub veris finem, priusquam æstas incipiat, tum sibi, tum illis sanguinem detrahunt, in memoriam reuocantes morbos quibus corripiatur, quum æstas calida repente successerit. Hæc enim latiùs sanguinem extendit, funditque, ac tanquam eius fervorem molitur, adeovt non ampliùs in venis hactenùs commoderatus tegatur, sed aut ipsas rumpat, aut erodat, & quum immoderatiùs in aliquam partem, quæ cæteris sit imbecillior, fluxerit, in ea aut inflammationem, aut erysipelas, aut aliquod aliud morbi genus efficiat: Nam multò & plures & grauiores morbi pleuritici ex humorum fusione procreantur. Hæc igitur omnia tum cæteris astipulantur quæ in præsenti aphorismo Hippocrates docuit; tum probant calorem non solùm posse per id tempus plures cibos concoquere, verumetiam pluribus indigere. Semper enim cibaria caloris natiui copiæ proportione respondeant oportet, nisi aliquando, vt dixi, natura ambientis aëris calore imbecilla facta cogat subducere. Quamobrem quum & de vere Hippocrates sermonem indistinctiùs habuerit, ipse distinguam. Ac primùm veris initium hyemis simile magis esse temperamento, quàm æstatis finem contrà. Deinde sæpenumerò vernam tempestatem qualis hyberna, frigidam existere, interdum verò, qualis æstiua est, calidam. Primis igitur veris partibus, si quando id calidum fuerit hybernæ similem victû rationem instituemus; postremis verò; si quando calidius fuerit,

A θερμόν, ὕπνοις τε ἅμα μακροτέροις ἐκκαθαίρεται τὰ περιττώματα τοῦ σώματος, ὅσα μὲν ἀκριβῶς λελέπτυνται διὰ τοῦ δέρματος, ὅσα δὲ ἀτμώδη, διὰ τῆς ἐκπνοῆς, ὅσα δὲ ἱκανῶς παχέα, διὰ τῶν οὔρων. ὑφίσταται γὰρ αὐτοῖς πολὺ πλέον, ἢ κατὰ τὸ θέρος, πρὸς τῷ καὶ τὸ πλῆθος τῶν οὔρων ὅλων ἱκανῶς αὐξάνεσθαι κατὰ τὸν χειμῶνα. Καὶ μὴν καὶ τρέφεται μὲν, καὶ σαρκοῦται τὰ σώματα μᾶλλον ἐν τῷ χειμῶνι, καὶ πλῆθος αἵματος ἀθροίζει χρηστοῦ, τοῖς γε μὴ παντάπασι μοχθηρῶς διαιτωμένοις. Εἰ γὰρ ἐννοήσαις ὡς ὀλίγαιμόν τε καὶ ἰσχνὸν τὸ σῶμα ἡμῶν, παρὰ τοῦ φθινοπώ-

B ρου, διαδεξάμενος ὁ χειμὼν, εὔχυμόν τε, καὶ παχύτερον ἀπεργάζεται, γνωρίσαις, οἶμαι, τὴν ῥώμην τῆς διοικούσης ἡμᾶς δυνάμεως, ἥτις ἐστὶ τὸ ἔμφυτον θερμόν. Ἀλλ' εἰ μὴ τροφῆς ἀπολαύσει δαψιλοῦς τοῦτο, νικηθήσεται μὲν αὐτὸ πρότερον ὑπὸ τοῦ περιέχοντος κρύους, ἔξωθέν τε προσπίπτοντος, καὶ διὰ τῆς εἰσπνοῆς ἑλκομένου. Συναρρωστήσει δὲ αὐτῷ, καὶ πέψις σιτίων, καὶ γένεσις αἵματος χρηστοῦ, καὶ θρέψις τῶν τοῦ ζώου μορίων, καὶ περιττωμάτων κένωσις. Εἰ δὲ ὅσον κρατεῖν δύναται σιτίων, ἀπολαύει τούτων δαψιλῶς, αὐτό τ'

C ἂν αὐξηθείη, καὶ πάνθ' ὅσα προείρηται, διαπράξεται περὶ τὸ ζῶον. Ὅτι δὲ ἐκ τοῦ προσφέρεσθαι πλείω σιτία καὶ κατεργάζεσθαι καλῶς, οὐκ ἐν τῇ γαστρὶ μόνον, ἀλλὰ κἀν ταῖς φλεψὶ, καὶ παντὶ τῷ τοῦ ζώου μορίῳ, πολὺ μὲν εὐσαρκότερον ἕκαστον ἑαυτοῦ γίνεται, καὶ πολὺ εὐαιμότερον, ἱκανῶς ἐνδείκνυται καὶ τὸ διὰ τῆς πείρας ἐγνωσμένον τοῖς ἀνθρώποις, οὐκ ἐφ' ἑαυτῶν μόνων, ἀλλὰ καὶ τῶν ὑποζυγίων. Πρὶν γὰρ ἄρξασθαι τὸ θέρος ἐν τοῖς τελευταίοις τοῦ ἦρος, αἵματος ἀφαιροῦσιν ἑαυτῶν τε κἀκείνων, ἀναμιμνησκόμενοι τῶν

D καταλαμβανόντων αὐτοὺς νοσημάτων, ὅταν ἐξαίφνης ἐπιγένηται θέρος θερμόν· ἐκτείνει γὰρ ἐπὶ πλεῖον τοῦτο καὶ χεῖ τὸ αἷμα, καὶ ὥσπερ τινὰ ζέσιν αὐτοῦ κατασκευάζει, ὡς μηκέτ' ἐν ταῖς φλεψὶ στέγεσθαι τὸ τέως σύμμετρον, ἀλλ' ἤτοι ῥηγνύειν αὐτὰς, ἢ ἀναβιβρώσκειν· καὶ ὅταν ἀμετρότερον ἐφ' ἕν τι μόριον, ὅσπερ ἂν ἁπάντων ἀσθενέστερον ᾖ, ῥυῇ, φλεγμονὴν, ἢ ἐρυσίπελας, ἤ τι τοιοῦτον ἕτερον, ἐν τούτῳ νόσημα ἐργάζεται· πολὺ γὰρ πλείω τε, καὶ μείζω τῶν πληθωρικῶν νοσημάτων, ἐκ τῆς τῶν χυμῶν γίνεται χύσεως. Ἅπαντα οὖν ταῦτα,

E μαρτυρεῖ τοῖς ἄλλοις, ὅσα κατὰ τὸν προκείμενον ἀφορισμὸν ὁ Ἱπποκράτης ἐδίδαξε, καὶ τὸ μὴ μόνον δύνασθαι πέττειν πλείω σιτία κατὰ τὴν ὥραν ἐκείνην, ἀλλὰ καὶ δεῖσθαι πλειόνων. Ἀνάλογον γὰρ ἀεὶ χρὴ εἶναι τὰ σιτία τῷ πλήθει τῆς ἐμφύτου θερμασίας, πλὴν εἴ ποτε, ὡς ἔφην, ἐκ τῆς τοῦ περιέχοντος θερμασίας ἀσθενὴς γενομένη ἡ φύσις, ἀφαιρεῖν ἀναγκάζοιτο. διὸ καὶ περὶ τοῦ ἦρος, ἀδιοριστότερον εἰπόντος Ἱπποκράτους, ἐγὼ διορίσομαι. Πρῶτον μὲν ὅτι κατὰ τὴν ἀρχὴν ὅμοιόν ἐστι μᾶλλον κράσει χειμῶνος, ἢ θέρους· ἐπὶ δὲ

F τῆς τελευτῆς, ἔμπαλιν. Εἶθ' ὅτι πολλάκις μὲν, οἷον χειμῶνος γίνεται ψυχρὸν, ἐνίοτε δὲ οἷόν περ θέρος θερμόν· ἐν μὲν οὖν τοῖς πρώτοις αὐτοῦ μέρεσι κἀπειδὰν γένηταί ποτε ψυχρὸν, ὁμοίαν τῇ χειμερινῇ ποιησόμεθα τὴν δίαιταν· ἐν δὲ τοῖς ὑστέροις μέρεσιν ἐπειδὰν γένηταί ποτε θερμότερον, ὁμοίαν τῇ

θερινῇ, μέσῃ δὲ ὄντος τῇ κράσει, καὶ τὴν δίαιταν ἀνάλογον τῇ κράσει ποιησόμεθα. Ταῦτα μὲν οὖν πάντα περὶ τῆς τῶν ὑγιαινόντων εἴρηται διαίτης· ἑξῆς δὲ περὶ τῆς τῶν νοσούντων λέγει.

A æstiuæ similem; si autem media sit temperie, diætam illi temperiei analogam præscribemus. Atque hæc omnia de sanorum diæta dicta sunt, deinceps autem de ægrotantium victu disserit.

Περὶ τῆς ὑγρᾶς διαίτης τοῖς πυρεταίνουσι τε καὶ παιδίοις συμφερούσης, καὶ τοῖς οὕτως εἰθισμένοις διαιτᾶσθαι. Τί ὁ πυρετός, καὶ περὶ τῆς τοῦ πυρετοῦ τῷ ὕδρωπι συνημμένου θεραπείας.

De liquido victu febricitantibus, pueris, & eo vti consuetis idoneo. Quid febris, ac de febris cum hydrope conjunctæ curatione.

B

ΑΦΟΡΙΣΜΟΣ ιϛʹ.

Ὑγραὶ πᾶσαι δίαιται τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι, καὶ τοῖσιν ἄλλοισι, τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι.

APHORISMVS XVI.

Victus humidus tum febricitantibus omnibus, tum maximè pueris, cæterisque eiusmodi vti victu consuetis confert.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ μὲν τοῖς ἔμπροσθεν ἀφορισμοῖς, περὶ τοῦ κατὰ τὴν δίαιταν ποσοῦ τὴν διδασκαλίαν ἐποιήσατο, νυνὶ δὲ περὶ τοῦ ποιοῦ διεξέρχεται, πολλὰ καὶ χρήσιμα τῶν κατὰ τὴν τέχνην ἐν βραχυτάτῳ διδάσκων λόγῳ. Πρῶτον μὲν ὅπως χρὴ διαιτᾶν τοὺς πυρέττοντας, εἶθ' ὅτι τὰς ἐνδείξεις τῶν ὑγιεινῶν διαιτημάτων, ἐπὶ μὲν τῶν παρὰ φύσιν, ἐναντίας, ἐπὶ μὲν τῶν κατὰ φύσιν, ὁμοίας χρὴ ποιεῖσθαι. Τῷ μὲν γὰρ πυρετῷ, διότι θερμὸν καὶ ξηρὸν ὑπάρχει πάθος (ἔστι γὰρ τροπὴ τῆς ἐμφύτου θερμασίας ἐπὶ τὸ πυρῶδες) ὑγρὰν δίαιταν συμβουλεύει· ταῖς δὲ ὑγροτέραις φύσεσιν, εἴ τε δι' ἡλικίαν, εἴ τε δι' ἔθος, οὐ τὴν ἐναντίαν, ἀλλὰ τὴν οἰκείαν. Φυλάττεσθαι γὰρ αὐτῶν δεῖ διὰ τῶν ὑγρῶν, τὴν φύσιν οὐκ ἀνασκευάζεσθαι, καθάπερ τὰ νοσήματα. Οἱ δὲ τοὺς ἅμα πυρετοῖς ὑδέρους προχειριζόμενοι τῷ λόγῳ, διαβάλλειν οἴονται τὸν ἀφορισμόν, ὡς οὐ χρὴ ἐκείνων ζώντων ὑγρᾶς, ἀλλὰ ξηρᾶς διαίτης, ἀγνοοῦσιν ἀναγκαιότατόν τι τῆς θεραπευτικῆς μεθόδου κεφάλαιον, ὅπερ ἡμεῖς ἐπὶ πλέον ἐν ἐκείνῃ τῇ πραγματείᾳ διεληλύθαμεν, ὡς ἕκαστον μὲν τῶν ἁπλῶν παθῶν, ἰδίας δεῖται θεραπείας· ἐπιπλεκομένων δὲ ἀλλήλοις, εἰς ὅσον ἂν ἐπιπλέκηται, εἰς τοσοῦτον ἕξει κοινὴν καὶ τὴν τῆς θεραπείας ἔνδειξιν· ἤτοι πρὸς τὸ κατεπεῖγον ἡμῶν ἱσταμένων, μετὰ τοῦ μηδὲ ἑτέρου παντάπασιν ἀμελεῖν, ἢ ὁμοτίμως ἅπασι βοηθούντων. Τὸ δὲ τῶν πυρεσσόντων ὑδρωπικῶν μεμνῆσθαι, πιστόν ἐστιν, οἷον καὶ τὸ τῶν αἷμα πτυόντων πλευριτικῶν. Καὶ γὰρ ἐπὶ τούτων, ἐναντίας μὲν δεῖται θεραπείας τὰ πάθη, αἵματος ἀναγωγὴ, καὶ πλευρίτις· ἀλλ' εἴπερ ἅμα συμβαίη τινὶ πρὸς τὸ κατεπεῖγον, ἵστασθαι μᾶλλον ἐν αὐτοῖς χρὴ, μὴ ἀμελοῦντας μηδὲ τοῦ ἑτέρου. Οὕτως οὖν εἰ πυρέττοι τις ἅμα, καὶ ὑδρωπικὴν ἔχει διάθεσιν, εἰς ἄμφω τὰ πάθη βλέποντες ἐναντίας θεραπείας δεόμενα, πρὸς ἑκάτερον αὐτῶν τῶν παθῶν εὐμηχάνως ἱστάμεθα, καθάπερ ἐν τοῖς ἄλλοις ἅπασι τοῖς οὕτως ἐπιπλεκομένοις. Οὐκοῦν τοιοῦτον οὐδὲν οὐδ' ἡμεῖς ἐροῦμεν, οὐδ' ἑτέρου λέγοντος προσησόμεθα. Καὶ εἴ τι μὴ ῥητῶς ὠνόμασαι κατὰ τὸν ἀφορισμὸν, ἐκ τῆς αὐτῆς ὑπάρχον τοῖς εἰρημένοις

GALENI COMMENTARIVS.

C SVperioribus aphorismis de victûs quantitate doctrinam instituit; nunc verò de qualitate disserit, multa ad artem conferentia breuissimâ oratione docens. Primùm, quomodò victus febricitantibus sit præscribendus; deinde salubris victûs indicationes in ijs quidem quæ præter naturam sunt, contrarias; in ijs verò quæ secundùm naturam similes ducendas esse. Febri nanque, quia calidus ac siccus est morbus (est enim natiui caloris in eum conuersio) humidum victum consulit; humidioribus verò naturis, siue ætatis, siue consuetudinis ratione non contrarium, sed familiarem: Eorum enim naturam tueri D oportet per humida, non quemadmodùm morbos *per contraria* demoliri. Qui verò cum febribus hydropes pro ratione proferentes Hippocratis aphorismum improbare student, quòd impliciti hi morbi non humidum victum, sed siccum postulent, ij per necessarium methodi medendi caput ignorant, quòd nos in eo in opere fusiùs explicuimus, vnumquenque scilicet morbum simplicem propria curatione indigere; implicitos verò quatenùs inter se complicantur, eatenùs communem etiam curationis indicationem habituros; E nobis aut eum qui magis vrgeat, coërcentibus, non tamen omninò alterius curatione neglecta; itaque eodem modo si quis simul febricitet, & hydropico affectu laboret, ad utrumque affectum contrarias curationes postulantem respicientes, vtrique eorum affectuum solerter obsistimus, vt & cæteris omnibus pari modo implicitis. Non igitur tale quicquam dixerimus, neque alterum talia dicentem admiserimus; & si quid nominatim in aphorismo pronunciatum non est, quod ex eodem cum prædictis iudicio prodeat, id quoque po- F testate dictum fuisse augurandum est. Ætatis enim meminit, & consuetudinis; tu verò & naturalis temperamenti, & tempestatis anni, & regionis proba ratione memineris, quæ interdum & ipse Hippocrates adjicit; interdum autem

autem vnius aut duorum mentione facta, quæ cætera sunt ejusdem naturæ, atque ordinis, prætermittit. Sumuntur & ab his indicationes, quemadmodùm suprà & ab ætate & à morbo peti diximus, quæ inculpata sunt nobis ea victu temperamento simili seruantibus; quæ verò culpata sunt, contrario emendantibus. At de omnibus indicationibus in methodi medendi libris pleniùs loquuti sumus.

A κράσεως καὶ τοῦτο ἡγητέον εἰρῆσθαι δυνάμει, ἡλικίας μὲν γὰρ ἐμνημόνευσε καὶ ἔθους· σὺ δ᾽ αὖ καὶ τῆς φυσικῆς κράσεως, καὶ ὥρας, καὶ χώρας ἀνάλογως μνημονεύσεις, ἅπερ ἐνίοτε καὶ αὐτὸς μὲν Ἱπποκράτης προστίθησιν, ἐνίοτε δὲ ἑνὸς ἢ δυοῖν μνημονεύσας, τὰ λοιπὰ τῶν ἐκ τῆς αὐτῆς συστοιχίας παραλείπει. Γίνονται δὲ καὶ ἀπὸ τούτων ἐνδείξεις, ὥσπερ ἔμπροσθεν ἀπό τε τῆς ἡλικίας ἐρρέθη, καὶ τοῦ νοσήματος· ὅσα μὲν ἀμέμπτα φυλαττόντων ἡμῶν αὐτὰ τοῖς ὁμοίοις τῇ κράσει διαιτήμασιν. ὅσα δὲ μεμπτὰ, τοῖς ἐναντίοις ἐπανορθουμένων. Εἴρηται δὲ τελεώτερον περὶ πασῶν ἐνδείξεων, ἐν τοῖς
B τῆς θεραπευτικῆς μεθόδου γράμμασι.

De cibi exhibendi modo, atque indicationibus.

Περὶ τοῦ τρόπου τῶν σιτίων προσφερομένων τε, καὶ ἐνδείξεων.

APHORISMVS XVII.

QVibus etiam semel, aut bis; & copiosior, aut paucior; aut per partes cibus exhibendus sit, spectandum est. Aliquid autem anni tempestati, regioni, ætati, & consuetudini concedendum.

ΑΦΟΡΙΣΜΟΣ ιζ.

C ΚΑὶ οἷσιν ἅπαξ, ἢ δὶς, καὶ πλείω, ἢ ἐλάσσω, καὶ κατὰ μέρος. δοτέον δέ τι καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, τῇ ἡλικίῃ, καὶ τῷ ἔθει.

GALENI COMMENTARIVS.

QVandoquidem de quantitate & qualitate victus sententiam protulit, nos deinceps eiusdem exhibendi modum edocet: Non enim satis est id ipsum duntaxat nosse, quod huic liberalius, aut parcius sit, exhibendum; aut quod victu exsiccante vel humectante vtendum sit; sed semel ne aut sæpius quôque die, vel nocte, cibos exhibere deceat, considerare maximè necessarium est, ac præterea ab anni tempestate, tum ab ætate, tum à consuetudine indicationem sumere, quemadmodùm in qualitate, & quantitate sumebatur. Primi nanque scopi vnde petuntur indicationes, sunt tum, morbi ipsi, tum ægrotantis vires; deinde etiam ætas, & anni tempestas, & consuetudo, & regio, & quæ his cætera proportione respondent; proptereáque ipse Hippocrates illud addidit; *Dandum verò aliquid tempestati, regioni, ætati, & consuetudini*; perspicuè declarans hac oratione, *dandum verò aliquid*, se neque totum, neque maximum ab ejusmodi rebus sumere: Nam siue sæpius, siue rarò, siue omninò alere oporteat, tum à morbo, tum à viribus primùm ac præcipuè sumitur; posteà verò ab anni tempestate, & ætate, & talibus: Nam si ægri vires infirmæ fuerint, & affectus corporis aut ex humorum corruptione, aut defectu sit ortus, paucum alimenti ita laborantibus sæpius dabimus; paucum quidem, quòd virium imbecillitas confertam alimenti copiam omninò ferre nequeat; sæpiùs autem, quòd copiosis affectus indigeat. Adjectionem enim penuria, contemperationem corruptio

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠειδὴ τὸν περὶ τῆς ποσότητος καὶ ποιότητος ἐποιήσατο λόγον, ἑξῆς ἡμᾶς διδάσκει περὶ τοῦ τρόπου τῶν προσφερομένων. Οὐ γὰρ ἱκανὸν αὐτὸ τοῦτο μόνον, ὅτι τῷδε πλέον
D ἢ ἔλαττον δοτέον γινώσκειν, ἢ ὅτι ξηραινούσῃ χρηστέον, ἢ ὑγραινούσῃ τροφῇ, ἀλλ᾽ εἰ καὶ ἅπαξ, ἢ καὶ πλεονάκις ἑκάστης ἡμέρας, ἢ νυκτὸς εὔλογόν ἐστι, προσφέρειν τὰς τροφὰς, ἀναγκαιότατα σκέπτεσθαι, καὶ πρὸς ταῦτ᾽ οὖν ἐσκέφθαι ἀπό τε τῆς ὥρας, καὶ τῆς ἡλικίας, καὶ τοῦ ἔθους, ἔνδειξιν λαμβάνειν, καθάπερ ἐπὶ τοῦ ποσοῦ, καὶ τοῦ ποιοῦ. Πρῶτοι μὲν γὰρ σκοποὶ καὶ πρὸς ταῦτα, τά τε νοσήματα αὐτὰ, καὶ ἡ τοῦ κάμνοντος δύναμις, ἔτι τε ἡλικία, καὶ ἡ ὥρα, καὶ ἔθος. ὅσα τ᾽, ἄλλα τούτοις ἀνάλογα, καὶ διὰ
E τοῦτο, καὶ αὐτὸς ὁ Ἱπποκράτης προσέθηκεν τὸ, δοτέον δέ τι καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ, καὶ τῷ ἔθει· σαφῶς δηλῶν διὰ τῆς, δοτέον δέ τι, φωνῆς, ὡς οὔτε τὸ πᾶν, οὔτε τὸ μέγιστον ἀπὸ τῶν τοιούτων λαμβάνει. Τὸ γὰρ εἴ τε πολλάκις, εἴτ᾽ ὀλιγάκις, εἴτ᾽ ὅλως χρὴ τρέφειν, ἀπό τε τοῦ νοσήματος, καὶ τῆς δυνάμεως πρῶτον μάλιστα λαμβάνεται· μετὰ ταῦτα δὲ καὶ ἀπὸ τῆς ὥρας, καὶ τῆς ἡλικίας, καὶ τῶν τοιούτων. Εἰ μὲν γὰρ ἥ τε δύναμις εἴη τοῦ κάμνοντος ἀσθενὴς, καὶ ἡ κατὰ τὸ σῶμα διάθεσις, ἤτοι κατὰ διαφθορὰν, ἢ κατ᾽ ἔνδειαν, ὀλίγην τροφὴν πολλάκις τοῖς τοιούτοις δώσομεν, ὀλίγην μὲν, ὅτι μὴ δύναται φέρειν, εἰσάπαξ ἀθρόον πλῆθος, ἄρρωστος
F δύναμις, πολλάκις δὲ, ὅτι πολλῶν ἡ διάθεσις δεῖται. Καὶ γὰρ ἡ ἔνδεια, τῆς προσθέσεως δεῖται, καὶ ἡ διαφθορὰ, τῆς ἐπικράσεως. Εἰ δ᾽ ἀσθενούσης τῆς δυνάμεως μήτ᾽ ἔνδειά τις συνυπάρχει, μήτε, διαφθορὰ,

συμμετρία δὲ τῶν κατὰ φύσιν εἴη χυμῶν, ἢ καὶ πλῆθος, A ὀλιγάκις τε καὶ ὀλίγα τούτοις δώσομεν, ἔτι δὲ μᾶλλον, εἰ τῆς δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης, πλῆθος χυμῶν εἴη. εἰ δὲ μετ' ἐνδείας, ἢ διαφθορᾶς, ἡ δύναμις ἐῤῥωμένη τύχοι, καὶ πολλὰ καὶ πολλάκις σιτία τοῖς οὕτω κάμνουσι δώσομεν, ὡς ἂν καὶ τῆς διαθέσεως δεομένης πολλῶν, καὶ τῆς δυνάμεως κρατεῖν αὐτῶν δυναμένης· μὴ συγχωρούντων δὲ τῶν παροξυσμῶν, μηδὲ πολλοὺς τῆς τροφῆς ἡμῖν καιροὺς παρεχόντων, ὀλιγάκις δώσομεν τὰ πολλά. Τῆς μέντοι δυνάμεως ἰσχυρᾶς οὔσης μετὰ πληθωρικῆς διαθέσεως, ὀλιγάκις ὀλίγα δώ- B σομεν. Εἰ γὰρ καὶ τὸ κατεργαζόμενον ἔχοιμεν εὔρωστον, ἀλλὰ τῆς γε διαθέσεως μὴ δεομένης πολλῶν, εὔλογον ὀλίγα προσφέρειν. Οὕτω μὲν ἀπό τε τοῦ νοσήματος, καὶ τῆς δυνάμεως εἰς τὰ προκείμενα, τὰς ἐνδείξεις ληπτέον· Ἀπὸ δὲ τῆς ὥρας, καὶ τῆς ἡλικίας, καὶ τοῦ ἔθους, καὶ ὅσα τἄλλα τούτοις ἀνάλογα, ὧδε. Κατὰ μὲν τὴν θερινὴν ὥραν, ὅσον ἐπ' αὐτῇ τῇ ὥρᾳ, πολλάκις ὀλίγα δοτέον, ὅτι καὶ δέονται προσθήκης πλείονος, ὡς ἂν καὶ διαφορούμενοι, καὶ ὅτι ἡ δύναμις αὐτῶν ἐστιν ἀσθενής. Κατὰ δὲ τὴν χειμερινὴν, πολλὰ C μὲν διὰ τὴν ῥώμην τῆς δυνάμεως, οὐ πολλάκις δέ. οὐ γὰρ δέονται πάνυ πολλῆς προσθήκης οἱ κάμνοντες, ἅτε μηδὲ πολλὰ κενούμενοι. Τοὺς γὰρ ὑγιαίνοντας ἔμπροσθεν ἐδείξαμεν ἱκανῶς κενουμένους ἐν χειμῶνι, διότι πλέον ἔχουσι τὸ ἔμφυτον θερμόν. Κατὰ δὲ τὸ μέσον ἔτι τὸ ἔαρ, ἔτι δὲ καὶ μᾶλλον, ὅταν ἐγγὺς ᾖ τοῦ θέρους, ὀλίγοις τε καὶ διὰ πολλοῦ, θρέψομεν. Κινδυνεύει γὰρ ἥδε ὥρα πληθωρικῆς εἶναι διαθέσεως ἐγγὺς, διὰ τὴν τῶν ἐν χειμῶνι πεπηγότων χύσιν. ὥσπερ οὖν ἐν ταῖς πληθωρικαῖς διαθέσεσιν, ὅταν ἡ δύναμις ἰσχύῃ, τὴν τροφὴν D ὀλίγην τε, καὶ διὰ πολλοῦ χρόνου δίδομεν, οὕτω καὶ κατὰ τὴν ἐαρινὴν ὥραν ποιητέον ἐπὶ τῶν πυρεσσόντων μάλιστα, ὑπὲρ ὧν ὁ λόγος νῦν ἐστι τῷ Ἱπποκράτει· Τὴν γὰρ τῶν ὑγιαινόντων δίαιταν, ἔμπροσθεν ἐδίδαξε. Τὸ δὲ φθινόπωρον τοῖς κατὰ διαφθορὰν ἐνοχλοῦσι νοσήμασιν ἔοικεν, διὸ καὶ τῆς χρηστοῦ προσθέσεως συνεχοῦς, οἱ τότε πυρέσσοντες δέονται, κἂν ἡ δύναμις ἰσχυρὰ εἴη, πολλάκις καὶ πολλὰ δώσομεν αὐτοῖς· εἰ δ' ἀσθενὴς, ὀλίγα πολλάκις. παραπλησίως δ' ἄν τις καὶ ἀπὸ τῶν ἡλικιῶν, καὶ τῶν ἀπὸ ἐθῶν καὶ ἀπὸ τῶν χωρῶν λαμβάνῃ τὰς ἐνδείξεις, εἰς τοὺς πρώτους δύο σκοποὺς ἀνάγων αὐτάς. Ἕκαστον γὰρ τῶν εἰρημένων, ἤτοι ἰσχυρὰν, ἢ ἀσθενῆ τὴν E δύναμιν ἐργάζεται, καὶ ἤτοι πληθωρικὸν, ἢ ἐνδεὲς, ἢ κακόχυμον τὸ σῶμα.

postulat. Si verò prostratis imbecillitate viribus, neque humorum quædam simul adsit penuria, neque deprauatio; humorum autem symmetria & commoderatio, aut etiam plenitudo secundùm naturam extiterit, his tum paucies, tum pauca dabimus; multò etiamnum magis, si cum humorum copia virium robur adsit. Si verò cum humorum penuria, aut depravatione, virium robur fuerit, tum multos, tum multoties cibos ita laborantibus dabimus, multos nimirum affectu postulante, & ipsos facultate euincere & concoquere potente. At paroxysmis multas alimenti exhibendi occasiones non concedentibus, neque præbentibus, paucies multa cibaria dabimus. Verùm si cum plethorica affectione vires validæ fuerint, paucies pauca dabimus: Nam etiamsi facultatem cibi coctricem robustam habeamus, affectu tamen cibariis multis non indigente, pauca exhibere rationi consentaneum fuerit. Ita sanè tum à morbo, tum à viribus ad propositas indicationes sumendæ sunt. Ac tempestate vere, ætate, consuetudine, & cæteris his similibus sic indicationes erunt petendę. Æstiua quidem tempestate, pro ratione ipsius tempestatis, multoties pauca exhibenda sunt, quòd & majore alimenti accessione indigeant, & quòd tunc exhauriantur, & quòd ipsorum vires sint imbecilles. Per hyemem verò, multa quidem ob virium robur, sed rarò exhibenda; non enim admodùm multâ egent adjectione laborantes, vt qui non multum euacuentur: Nam sanitate fruentes satis quidem abunde per hyemem euacuari suprà demonstrauimus, quòd natiuum calorem copiosiorem habeant; verè autem etiamnum medio, atque adhuc æstati viciniore paucis eduliis, & ex longo interuallo nutriemus. hæc enim tempestas periculum prope adfert plethoricæ affectionis propter humorum per hyemem densatorum fusionem. Quemadmodùm ergo in plethoricis affectibus quum validæ vires fuerint, paucum cibum, & ex longo temporis interuallo damus: Sic & verna tempestate faciendum est, præsertim in febricitantibus, de quibus hîc sermo est Hippocrati: Sanorum enim victum antea docuit. Autumnus denique morbis ex corruptione ortis est similis. Quapropter qui tunc febricitant, assidua probi alimenti adjectione indigent; & si validæ vires extiterint, multoties & multa; sin imbecilles, pauca & multoties ipsis dabimus: simili modo si quis, & ab ætatibus, & à consuetudinibus, & à regionibus sumat indicationes, ad duos illos primos scopos eas adducet: Nam quæ singula diximus, aut validas, aut imbecillas vires efficiunt; vel etiam plethoricum, aut exinanitum, aut cacochysmum corpus reddunt.

A

De vsus ciborum modis, à quatuor anni tempestatibus per indicationem petendis.

APHORISMVS XVIII.

B *Æstate & autumno cibos difficillimè ferunt; hyeme facillimè; vere minùs.*

GALENI COMMENTARIVS.

Non bis, vt fortassis quidam auguratus sit, de iisdem disseruit Hippocrates, scripto superiùs illo aphorismo, cujus principium est; *Ventres hyeme & vere naturâ calidissimi*; nunc autem rursùs, quòd, *Aestate & autumno cibos difficillimè ferunt, hyeme facillimè, vere minùs.* Verùm quoniam & ad victus quantitatem, & ad modum vsus ciborum tam in sanis, quàm in ægris quandam sumit ab anni tempestatibus indicationem; decenter eorum in vtrisque meminit: illic quidem plures cibos sanis hyeme exhibendos esse demonstrans, quòd calidum innatum tum copiosius copiosiore alimento foueri debeat; hîc autem quòd etiamsi semel ipsis cibi multum dederis, non eos tamen læseris. Omnes enim hyeme ciborum copiam facile ferunt, æstate verò difficile. Quapropter hyeme quidem & rarò & multos cibos exhiberi concedendum est; æstate verò, quia cibos difficile ferunt (quòd qui calor natiuus eos concoquit ac conficit, paucus existat) confertim ac simul cibos dare modis omnibus cauendum; sed frequentiùs paucos exhibere studendum est. Nam corporis affectus morbis ex humorum penuria ortis consimilis, adjectionem postulat. Hyeme itaque, atque æstate ità se habent; ex ceteris verò duabus anni tempestatibus, æstatem autumnus, hyemem ver subsequitur, cujus rei causa etiam manifesta est: Refrigerari nanque corpora, cogi, ac densari autumno; laxari verò & rara fieri vere incipiunt. Quas ob res non idem bis, de anni tempestatibus præceptum tradidit, aut quòd etiam in altero aphorismo de sanis ipsi fuerit oratio.

Περὶ τρόπων τῆς χρήσεως τῶν σιτίων τῶν ἀπὸ τεσσάρων τῶν ὡρῶν κατὰ τὴν ἔνδειξιν λαμβανομένων.

ΑΦΟΡΙΣΜΟΣ ιή.

Θέρεος, καὶ φθινοπώρου, σιτία, δυσφορώτατα φέρουσι, χειμῶνος, ῥήϊστα, ἦρος δεύτερον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ δὶς ὑπὲρ τῶν αὐτῶν, ὡς ἄν τις οἰηθείη, διῆλθεν, ἔμπροσθεν μὲν γράψας τὸν ἀφορισμὸν ἐκεῖνον, οὗ ἡ ἀρχὴ, αἱ κοιλίαι χειμῶνος, καὶ ἦρος θερμόταται φύσει. (C) νυνὶ δὲ πάλιν, ὡς θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήϊστα, ἦρος δεύτερον. Ἀλλ' ἐπειδὴ πρός τε τὸ ποσὸν τῆς διαίτης, καὶ πρὸς τὸν τρόπον χρήσεως τῶν σιτίων, ἐπί τε τῶν ὑγιαινόντων καὶ τῶν νοσούντων ἀπὸ τῶν ὡρῶν ἔνδειξίν τινα λαμβάνει, δεόντως ἐν ἀμφοτέροις ἐμνημόνευσεν· ἐκεῖ μὲν δείξας, ὡς τὰ προσάρματα τοῖς ὑγιαίνουσι πλείω διδόναι χειμῶνος· διότι τὸ ἔμφυτον θερμὸν πλεῖον, καὶ τρέφεσθαι δεῖται· Νυνὶ δὲ, ὅτι κἂν ἅπαξ αὐτοῖς πολλὰ δοίης, οὐ βλάψεις. (D) εὐφόρως μὲν γὰρ φέρουσιν ἅπαντες πλῆθος σιτίων ἐν χειμῶνι, δυσφόρως δ' ἐν θέρει. κατὰ τοῦτο ἐν χειμῶνι μὲν ὀλιγάκις τε, καὶ πολλὰ προσφέρεσθαι σιτία συγχωρητέον. ἐν θέρει δ' ἐπειδὴ δυσκόλως φέρουσι τὰ σιτία, διότι, τὸ πέττον αὐτὰ, καὶ κατεργαζόμενον τὸ ἔμφυτον θερμὸν, ὀλίγον ὑπάρχει, τὸ μὲν ἀθρόον διδόναι ἅπαντι τρόπῳ φευκτέον, ἐπιχειρητέον δὲ συνεχέστερον ὀλίγα προσφέρειν. Ἡ γὰρ τοῦ σώματος διάθεσις ὁμοία τοῖς κατ' ἔνδειαν οὖσι νοσήμασι, προσθήκης δεῖται. (E) χειμῶνος μὲν οὖν καὶ θέρους, οὕτως ἔχει, τῶν δ' ἄλλων δυοῖν ὡρῶν, τὸ μὲν φθινόπωρον ἐφεξῆς θέρει, τὸ δ' ἔαρ χειμῶνι, καὶ ἡ αἰτία πρόδηλος. Ἐμψύχεσθαι μὲν γὰρ ἄρχεται, καὶ συνάγεσθαι, καὶ πυκνοῦσθαι τὰ σώματα τῷ φθινοπώρῳ, χαλᾶσθαι δὲ, καὶ ἀραιοῦσθαι τῷ ἦρι. διά γε οὖν ταῦτα δὶς οὐκ εἴρηται ταὐτὸν ὑπὲρ τῶν ὡρῶν παράγγελμα, ἢ καὶ ὅτι κατ' ἐκεῖνον τὸν ἀφορισμὸν, ὑπὲρ τῶν ὑγιαινόντων ὁ λόγος ἦν αὐτῷ.

F

A

Τὰς τῶν σιτίων τοῖς κάμνουσι προσφερομένων ἐνδείξας ἀπὸ τῶν περιοδικῶν παροξυσμῶν λαβοῦσας τοῦ ἤδη γεγονότος ἢ τοῦ γενομένου παροξυσμοῦ τῶν σιτίων προσφορὰν κωλύειν.

Ciborum ægris exhibendorum indicationes à periodicis paroxyſmis petitas in oborto, aut oboriente paroxyſmo cibum prohibere.

ΑΦΟΡΙΣΜΟΣ ιθʹ.

ΤΟῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισιν, μηδὲν διδόναι, μηδ᾽ ἀναγκάζειν, ἀλλ᾽ ἀφαιρέειν τῶν προσθεσίων πρὸ τῶν κρίσιων. B

APHORISMVS XIX.

QVibus per ſtatos circuitus paroxyſmi oboriuntur, nihil dare, neque cogere oportet; ſed ante criſes cibi exhibitionem adimere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΡιῶν ὄντων ὄντων κεφαλαίων διαιτητικῶν, τοῦ ποσοῦ τῶν σιτίων, καὶ τοῦ ποιοῦ, καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν, εἰς μὲν τὰ πρότερα δύο κεφάλαια, παρὰ τῶν παροξυσμῶν, οὐδὲν ἡμῖν ἐγένετο λυσιτελές· εἰς δὲ τὸ τρίτον, ἔστι τί γε κἀκ τῶν παροξυσμῶν λαβεῖν. δεόντως οὖν καὶ ὁ Ἱπποκράτης ἐμνημόνευσεν αὐτῶν ἐν τῷ τρίτῳ κεφαλαίῳ. Τοὺς καιροὺς γὰρ τῶν κατὰ μέρος τροφῶν, οἱ παροξυσμοὶ μάλιστα διδάσκουσιν, ἐν οἷς γε νοσήμασι τεταγμένως ἀπαντῶσι, τουτέστι κατὰ περιόδον, καὶ διὰ τοῦτο καὶ αὐτὸς Ἱπποκράτης εἶπε τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι. εἰδὼς ὅτι καὶ ἄλλαι τινές εἰσι, οἱ παροξύνονται μὲν ἐν νόσοις, οὐ μὴν κατὰ περιόδους, τουτέστιν οὐ τεταγμένως. ἐπ᾽ ἐκείνων μὲν οὖν, οὐδὲ δυνατόν ἐστιν ἀκριβῶς ἐξευρεῖν τὸν καιρὸν τῆς προσφορᾶς. ἐφ᾽ ὧν δὲ τὰ τῶν παροξυσμῶν τετακται, φυλακτέον ἐστὶ τὰς ἀρχὰς αὐτῶν, τουτέστιν ὅπως μήτ᾽ ἤδη γεγονότος, μήτ᾽ ὅσον οὔπω γενησομένου τρέφωμεν. τὸ δὲ πρὸ τῶν κρίσεων, ἤτοι πρὸ τῶν παροξυσμῶν ἀπάντων, ἁπλῶς, ἢ πρὸ τῶν κυρίως λεγομένων κρίσεων, ἀκουστέον ἐστὶν, ἢ πρὸ τῶν ἀκμῶν. ἀληθῆ γὰρ τὰ τρία. μᾶλλον δ᾽ ἂν δόξειεν ἁρμόττειν ἐν τοῖς προκειμένοις τὸ πρὸ τῶν παροξυσμῶν ἁπλῶς. περὶ γὰρ τῆς ἀκμῆς ἔμπροσθεν εἴρηται, καὶ περὶ ἐκείνης δηλονότι, καὶ περὶ τῆς κρίσεως. ἐν ταῖς ἀκμαῖς γὰρ, τοὐπίπαν, αἱ κρίσεις.

GALENI COMMENTARIVS.

CVum itaque tria ſint victus inſtituendi ſumma capita, ciborum quantitas, qualitas, ac ipſis vtendi modus; ad duo quidem priora capita, ex acceſſionibus nihil nobis vtile oboritur; ad tertium autem ab acceſſionibus vtilitatis aliquid ſumere licet. Quare opportunè Hippocrates earum in tertio capite meminit. C Particularium enim ciborum exhibendorum occaſionem maximè docent acceſſiones, quibus tamen in morbis, ſtato tempore, hoc eſt, per circuitus hæ redeunt. Propterea ipſe quoque Hippocrates ſcribit; *Quibus per ſtatos circuitus paroxyſmi oboriuntur, nihil dare oportet*, doctus, alios quoſdam eſſe morbos quibus paroxyſmi repetunt, non tamen per circuitus, hoc eſt, non ſtato tempore. In his profectò accurata cibi exhibendi occaſio inueniri non poteſt. D In quibus verò paroxyſmorum ordo ſeruatur, eorum *cibo præbendo* principia vitanda ſunt, hoc eſt, ne jam facto, aut non multò pòſt futuro paroxyſmo ægrotum alamus. Hic verò textus ante criſes, aut ante quoſvis paroxyſmos ſimpliciter, aut ante morbi vigores, aut ante nominatas judicationes intelligendus eſt. Vera ſiquidem hæc tria ſunt, magis tamen ad propoſitum convenire videntur, ſi ante paroxyſmos planè intelligamus, nam de morbi vigore ſupra dictum eſt. Quòd ſi de hoc E nimirum *intelligatur*, etiam de criſi *intelligetur*. In vigoribus enim, maximam partem, criſes oriuntur.

Ἐν τῇ κρίσει τελείᾳ μὴ κινεῖν, ἀλλὰ μὲν τῇ φύσει τὸ πᾶν ἐπιτρέπειν χρὴ, ἐν τῇ δὲ ἀτελεῖ μή· περὶ τῶν τῆς τελείας κρίσεως ὁμολογιῶν.

In perfecta criſi nihil mouendum, ſed naturæ totum committendum eſſe; in imperfecta minimè. De criſis perfectæ conditionibus.

ΑΦΟΡΙΣΜΟΣ κʹ.

F

ΤΑ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν μηδὲ νεωτεροποιέειν, μήτε φαρμακίῃσι, μήτ᾽ ἄλλοισιν ἐρεθισμοῖσι χρῆσθαι, ἀλλ᾽ ἐᾷν.

APHORISMVS XX.

QVæ indicantur, aut perfectè iudicata ſunt, ea neque medicamentis mouenda, neque aliis irritamentis innouanda, ſed ſinenda ſunt.

GALENI COMMENTARIVS.

Completa de diæta oratione, iam ad alterum caput transit, in quo docet interdum quidem quæ in ægrotante perficienda sunt, omnia ipsi naturæ committenda esse, nihil aliud nobis quàm quod diætæ sit negotiantibus; interdum verò non solùm naturæ omnia committenda, verumetiam aliquid *nobis* ipsis agendum esse. Vbi igitur (inquit) vel perfecta crisis jam facta est, vel adhuc fit, totum *opus* naturæ committere, nihilque nos innouare oportet; vbi verò imperfecta crisis est, quod deest, id nos decet addere. Hoc autem & ipse libro de humoribus his verbis dicebat. *Quæ perfectè judicantur, ea non mouenda, neque medicamentis, neque aliis irritamentis innouanda esse.* Nam quod ἀρτίως, in aphorismis dixit, *hoc est, integrè*, id illo in libro ἀπαρτὶ hoc est, perfectè nominavit. Est autem id vocabulum ἀπαρτὶ, apud alios quoque veteres hac significatione, perfectè integrè, nec imperfectè, quod & idem ἀπαρτίως etiamnum significat: Non enim sanè pro diebus paribus intelligendum, hoc enim profectò manifestè falsum est, si quis diebus paribus aut iudicatus sit, aut judicetur, nihil his innouandum esse. Iam verò neque ἀρτίως. hoc in textu *nuper* significat, quod maximè subsequenti verbo declaratur. Non enim simpliciter ἀρτίως, quod est nuper, enunciauit, *iudicata sunt*; sed *quæ judicantur & judicata sunt*; quorum alteri quidem, *iudicata*, aduerbium ἀρτίως, hoc est, nuper, posset conuenire; alteri verò *judicantur*, nullomodo. Imo & ex ipsa rerum veritate liquet: non enim siquid paulò anteà sit judicatum, id non innouandum est; sed si perfectè absolutè, ac integrè, tunc verum fuerit quod dicitur. Si quid verò ad crisim desit, id quod deest, oportet adjungere: Nam quæ post crisim relinquuntur, recidiuas efficiunt. Quænam igitur perfecta est integra crisis? an in qua nimirum probe omnia processerint, nullúsque judicatorius numerus defuerit? Primùm enim melior crisis existit, quæ vacuatione, quàm quæ abscessu fit. Deinde quæ humorem noxium ac redundantem, quàm quæ alium quempiam vacuat. Tertiò quæ è directo, quàm quæ aliter fit. Vocat autem ipse è directo vacuationem quæ vasorum rectitudine procedit. Quartò deinceps quæ euphoriam habet, quæve facile toleratur. Quintò quæ cum coctione ac die critico oboritur. Hæc enim omnia perfectę crisi adesse oportet. Quòd si vnum aut etiam plura abfuerint, neque exquisita crisis, neque integra fuerit.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸν περὶ διαίτης συμπληρώσας λόγον, ἐφ' ἕτερον μεταβαίνει κεφάλαιον· ἐν ᾧ διδάσκει, πότε μὲν ἐπιτρεπτέον ἐστὶ τῇ φύσει τὸ πᾶν αὐτῇ περὶ τὸν νοσοῦντα διαπράττεσθαι, μηδὲν ἡμῶν ἄλλο διαπραγματευομένων, ὅτι μὴ τὸ κατὰ τὴν δίαιταν. πότε δὲ, οὐ μόνον τῇ φύσει τὸ πᾶν ἐπιτρεπτέον, ἀλλά τι καὶ αὐτοὺς πραγματεύεσθαι. Ἔνθα μὲν οὖν φησιν, ἤτοι γέγονεν ἤ-
B δη τελεία ἡ κρίσις, ἢ γίνεται, τῇ φύσει τὸ πᾶν ἐπιτρέπειν χρὴ, καὶ μηδὲν αὐτοὺς νεωτεροποιεῖν, ἔνθα δὲ ἐλλιπῶς κρίνεται, τὸ λεῖπον αὐτοὺς προστιθέναι. τοῦτο δὲ ἔλεγε κἀν τῷ περὶ χυμῶν κατὰ τήνδε τὴν λέξιν. Τὰ κρινόμενα ἀπαρτὶ μὴ κινεῖν, μήτε φαρμακίησι, μήτε ἄλλοισιν ἐρεθισμοῖσι νεωτεροποιεῖν. ὅπερ γὰρ ἀρτίως ἐν τοῖς ἀφορισμοῖς ἔφη, τοῦτο ἐν ἐκείνῳ τῷ βιβλίῳ μεταβαλὼν, ἀπαρτὶ ὠνόμασε. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις παλαιοῖς τοὔνομα τὸ ἀπαρτὶ, κατὰ τοῦτο τοῦ σημαινομένου τοῦ ἀπηρτισμένως, καὶ ὁλοκλήρως, καὶ ἀνελλι-
C πῶς, ὅπερ αὐτὸ καὶ τὸ ἀπηρτίως νῦν σημαίνει. Οὐ γὰρ δὴ τό γε ἐν ἀρτίαις ἡμέραις, ψεῦδος γὰρ δὴ τοῦτο ἐναργῶς, εἴ τις ἐν ἀρτίαις ἡμέραις, ἢ ἐκρίθη, ἢ κρίνεται, μηδὲν ἐπὶ τούτων νεωτεροποιεῖν. Οὐ μὴν οὐδὲ τὸ πρὸ ὀλίγου δηλοῖ τὸ ἀρτίως, ἐν ταύτῃ τῇ ῥήσει. δῆλον δὲ μάλιστα μὲν ἐκ τοῦ ῥητοῦ τοῦ ἐπιφερομένου, οὐ γὰρ εἶπεν ἁπλῶς τὰ κεκριμένα ἀρτίως, ἀλλὰ τὰ κρινόμενα, καὶ τὰ κεκριμένα. Τούτων δὲ, τὰ κεκριμένα τάχα ἂν ὁμολογήσειε τῷ ἀρτίως. Τὰ δὲ κρινόμενα, κατ' οὐδένα τρόπον, ἀλλὰ κἀξ αὐτῆς τῆς τῶν πραγμάτων τῆς ἀλη-
D θείας δῆλον. Οὐ δήπου γὰρ εἴ τί τι πρὸ ὀλίγου κέκριται, τοῦτο οὐ χρὴ νεωτεροποιεῖν. ἀλλ' εἰ μὲν τελέως τε, καὶ ἀνελλιπῶς, καὶ ὁλοκλήρως, ἀληθὲς ἂν εἴη τὸ λεγόμενον, εἰ δὲ ἐλλιπῶς κατά τι, τὸ λεῖπον αὐτῶν χρὴ προσθεῖναι. Τὰ γὰρ μετὰ κρίσιν ὑπολειπόμενα, ὑποστροφὰς ποιεῖ. Τίς οὖν ἐστιν ἡ τελεία, καὶ ἀνελλιπὴς κρίσις, ἢ δηλονότι καθ' ἣν πάντα καλῶς γίνεται, καὶ μηδεὶς ἀριθμὸς ἐλλείπεται τῶν κριτικῶν· πρῶτον μὲν γὰρ ἀμείνων ἡ κατὰ κένωσιν, τῆς κατ' ἀπόστημα, εἶτα ἡ κατὰ τὸν λυποῦντα, καὶ πλεονάζοντα χυ-
E μὸν, τῆς ἄλλον τινὰ κενούσης, καὶ τρίτον, ἡ κατ' ἴξιν, τῆς μή. Κατ' ἴξιν δὲ αὐτὸς ὀνομάζει, τὸ κατ' εὐθυωρίαν. ἐπὶ ταύταις, ἡ μετ' εὐφορίας, εἶθ' ἡ μετὰ πέψεως, ἐν ἡμέρᾳ κρισίμῳ. ταῦτα γὰρ πάντα χρὴ παρεῖναι τῇ τελείᾳ κρίσει. ἀπόντος δὲ αὐτῶν τινὸς, ἢ καὶ πλειόνων, οὐκ ἀκριβὴς οὐδ' ἀπηρτισμένη κρίσις ἂν εἴη.

F

A

Τὰ μὴ ἀρτίως κεκριμένα διὰ τῶν συμφερόντων χωρίων ἄγειν δεῖ. Τινὰ δ' ἡ ταῦτα τὰ ξυμφέροντα χωρία· τῇ τοῦ χυμοῦ κινήσει ὡς καὶ τῇ ῥοπῇ προσέχειν χρὴ τὸν ἰατρόν.

ΑΦΟΡΙΣΜΟΣ κα΄.

Α Δεῖ ἄγειν, ταύτῃ ἄγειν ὅκου ἂν μάλιστα ῥέπῃ ἡ φύσις, διὰ τῶν ξυμφερόντων χωρίων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τινὰ δή ποτε ἃ δεῖ ἄγειν· δηλονότι τὰ μήτε κρινόμενα, μήτε κεκριμένα ἀρτίως· ταῦτα οὖν διὰ τίνος ἐκκενοῦν χρὴ μορίου, διδάσκει, σκοπὸν ἡμῖν διδοὺς διττὸν, αὐτήν τε τοῦ μορίου τὴν φύσιν, καὶ τὴν ῥοπὴν τοῦ χυμοῦ. Ὅπως γὰρ ἂν, φησι, ῥέπῃ διὰ τῶν ξυμφερόντων χωρίων, ταύτῃ ἄγειν· ξυμφέροντα δ' ἐστὶ χωρία κενώσεσιν, ἔντερά τε καὶ γαστὴρ, καὶ κύστις, καὶ μήτρα, καὶ σύμπαν τὸ δέρμα, τῆς πρὸς τούτοις, αἵθ' ὑπερῷαί τε, καὶ ῥῖνες, ὅταν ἤτοι τὸν ἐγκέφαλον ἐκκαθαίρωμεν, ἢ καθ' αἱμοῤῥαγίαν ἡ κρίσις γίνηται, καὶ μάλιστα εἰ κατ' ἴξιν, ὅπερ ἐστὶ κατ' εὐθὺ τοῦ πεπονθότος μορίου. Τὰ γὰρ ἀνάπαλιν αἱμοῤῥαγέοντα, κακόν, ὡς ἀσύμφορα δὲ χωρία αἱ ῥοπαὶ τῶν λυπούντων χυμῶν γίνονται, ὅταν ἤτοι κύρια ταῦτα τὴν φύσιν ὑπάρχῃ, καὶ μείζων ἡ ἐξ αὐτῶν ἔσεσθαι βλάβη μέλλῃ, τῆς τοῦ κρινομένου νοσήματος ἀξίας, ἢ ὅταν μηδεμίαν ἔκκρισιν ἔχῃ. Παραδείγματος δ' ἕνεκα, τῶν καθ' ἧπαρ λυπούντων χυμῶν, ἐκκενοῦσθαι χρῃζόντων, ἐπιτήδειοι ῥοπαὶ διτταὶ, ἡ μὲν ἑτέρα κατὰ τὴν γαστέρα, καὶ ταύτης αὐτῆς βελτίων ἡ κάτω, τῆς δι' ἐμέτων, ἡ δ' ἑτέρα, τῶν κατὰ νεφρούς τε, καὶ κύστιν, οὐ μὴν ἥ γε εἰς πνεύμονα, καὶ θώρακα, καὶ καρδίαν ἀγαθή. Προσέχειν οὖν χρὴ τὸν ἰατρὸν, τῇ ῥοπῇ τῆς φύσεως, εἰ τ' ἐπιτηδείως μὲν γινομένης, ὑπηρετεῖν τε ἅμα, καὶ συνεργεῖν· εἰ δ' ἐναντίως τε ἅμα καὶ βλαβερῶς γίγνοιτο, κωλύειν τε ἅμα, καὶ μετάγειν, καὶ ἀντισπᾶν.

Imperfectè judicata per idoneas regiones ducenda esse. Quæ sint hæ commodæ regiones. Motum humoris vt & inclinationem Medico observandam esse.

APHORISMVS XXI.

B *Quæ ducere oportet, quò maximè propendet natura, eò per loca conferentia* ducenda sunt.

GALENI COMMENTARIVS.

QVænam ea sunt quæ ducere oporteat? nimirum quæ neque iudicantur, neque perfectè judicata sunt. Hęc igitur per quam partem sunt euacuanda docet, scopum geminum tradens, tum ipsam partis naturam, tum humoris propensionem. Quò nanque locorum conferentium vergit, eò C ducere conuenit. At vacuationibus commoda loca sunt, intestina, venter, vesica, vterus, cutis vniversa; ad hæc palatum & nares, cum aut crebrum expurgamus, aut per sanguinis profluuium fit crisis, ac maximè si κατ' ἴξιν, quod est è directo partis affectæ, procedat. Nam quæ contra fiunt sanguinis profluvia, mala sunt. Infestantium verò humorum in loca minimè consona propendent impetus, quum ea vel principalia sunt naturâ, & major ex ipsis noxa subsequutura est, quàm morbi qui iudicatur, dignitas postulet; vel quum nullam ex- D cretionem sortiuntur. Exempli gratia noxiorum in hepate humorum vacuationem postulantium idoneæ propensiones sunt geminæ; altera quidem per ventrem, cujus illa opportunior est, quæ per inferiora, quàm quæ per vomitus agit; altera verò, quæ per renes & vesicam ducit. At sanè quæ in pulmonem, thoracem, & cor vergit, nequaquàm proba est. Medicum itaque oportet naturæ *motum* ac propensionem obseruare, quæ si idonea fuerit, tum ipsi subministra- E re, tum auxiliari; si verò contrario modo simul & noxiè fiat, ipsam prohibere, simúlque reuocare, atque reuellere oportet.

Τοὺς πεπεμμένους χυμοὺς, μὴ ὠμοὺς, μήτε κατ' ἀρχὰς ἢν μὴ ὀργᾷ φαρμακεύειν χρή.

ΑΦΟΡΙΣΜΟΣ κβ΄.

Πέπονα φαρμακεύειν, καὶ κινέειν, μὴ ὠμὰ, μηδ' ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· τὰ δὲ πολλὰ οὐκ ὀργᾷ.

Coctos, non crudos humores, neque per initia, nisi turgeant, purgandos esse.

F

APHORISMVS XXII.

Concocta, medicamentis educenda ac mouenda sunt, non cruda, neque per initia, nisi turgeant; sed plerunque non turgent.

GALENI COMMENTARIVS.

Φαρμακεύειν *medicari* quidem ipsi consuetudo est pro medicamento uti purgante pronunciandi. ὀργᾶν verò, *turgere* ab animantibus venere percitis ad humores translatum est: Quemadmodùm enim illa *animalia*, quum eo affectu titillantur, impelluntur & concitantur, quiescere nequeunt: sic & humores plerunque in motu vehementiore, atque à partibus in partes transfluxu, per initium morbi hominem infestant concitantes, titillantes, & quiescere non concedentes, imò & ipsi concitantur, transfluunt, titillantur, suoque impetu ægrum molestant. Hosce igitur humores euacuare decet, hoc est, qui sunt in motu, latione, ac fluxu. Qui verò jam aliqua in corporis parte firmati decumbunt, eos neque vllo alio auxilio mouere oportet, neque ante coctionem medicari: Tunc enim jam naturam quoque habemus euacuationis auxiliatricem; ipsa nanque post coctiones, tum humores secernere, tum quod superuacaneum est, quo tempore etiam fiunt, crises expellere conspicitur. Verùm quum ipsa perfectè mouet, nullo opus est medicamento; quum verò moderatiùs ac imbecilliùs agit quod deest, id medicamentis nobis adjiciendum est, quò ab vtroque vexantis humoris fiat euacuatio, naturâ quidem expellente, medicamento verò attrahente. Demonstratum enim à nobis est in Commentariis de naturalibus facultatibus, singularum partium naturam quatuor vti facultatibus, familiaris alimenti attractrice, eiusdemque retentrice, præterea concoctrice, & quarta alienorum expultrice. Singula verò medicamenta proprium ac familiarem sibi humorem attrahunt. Rectè autem textus addidit; *Sed plerunque non turgent*, idque ab experientia discendum, humorum transfluxus ab alia in aliam partem raro contingere; sed quadam in parte frequentiùs immorari ac consistere, in qua etiam toto morbi tempore adusque eius solutionem ipsi concoquuntur, scire verò oportet quibusdam in exemplaribus hunc aphorismum scriptum non esse; in libro autem de humoribus passim scriptum inueniri.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν φαρμακεύειν ἔθος ἐστὶν αὐτῷ λέγειν, ἀντὶ τοῦ χρῆσθαι φαρμάκῳ καθαίροντι. Τὸ δὲ ὀργᾶν, ἀπὸ τῶν ὀργώντων ζώων μετενήνοχεν ἐπὶ τοὺς χυμούς. Καθ' ὃν γὰρ τρόπον ἐκεῖνα ἡσυχάζειν οὐ δύνανται, γαργαλιζόμενά πως, καὶ κινούμενα, καὶ διανιστάμενα πρὸς τοῦ πάθους, οὕτω καὶ οἱ χυμοὶ πολλάκις ἐν κινήσει σφοδροτέρᾳ, καὶ μεταρρύσει μορίων εἰς μόρια, κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἐνοχλοῦσι τὸν ἄνθρωπον, κινοῦντες,
B καὶ γαργαλίζοντες, καὶ ἡσυχάζειν οὐκ ἐπιτρέποντες, ἀλλ' αὐτοί τε κινούμενοι, καὶ μεταρρέοντες, ἐνοχλοῦντές τε τῇ τοιαύτῃ φορᾷ τὸν κάμνοντα. τοὺς μὲν δὴ τοιούτους ἐκκενοῦν προσήκει, τουτέστι τοὺς ἐν κινήσει, καὶ φορᾷ, καὶ ῥύσει. τοὺς δ' ἤδη καθ' ἕν τι μόριον ἐστηριγμένους, οὔτ' ἄλλῳ τινὶ βοηθήματι χρὴ κινεῖν, οὔτε φαρμακεύειν πρὶν πεφθῆναι. Τηνικαῦτα γὰρ ἤδη καὶ τὴν φύσιν ἔχομεν βοηθοῦσαν τῇ κενώσει. φαίνεται γάρ τοι καὶ αὕτη, μετὰ τὰς πέψεις διακρίνουσά τε τοὺς χυμοὺς, ἀπωθουμένη τε τὸ περιττὸν, ἐν ᾧ δὴ καιρῷ, καὶ αἱ κρίσεις γί-
C νονται. ἀλλὰ τελέως μὲν αὐτῆς κινουμένης, οὐδενὸς δεῖ φαρμάκου· μετριώτερον δὲ καὶ ἀσθενέστερον ἐνεργούσης τὸ λεῖπον αὐτοὺς χρὴ προστιθέναι φαρμακεύοντας, ἵν' ἐξ ἀμφοῖν ἡ τοῦ λυποῦντος χυμοῦ γίνηται κένωσις, ἀπωθουμένης μὲν τῆς φύσεως, ἕλκοντος δὲ τοῦ φαρμάκου. Δέδεικται γὰρ ἡμῖν ἐν τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἡ μὲν φύσις ἑκάστου τῶν μορίων, τέτταρσι δυνάμεσι χρωμένη, ἑλκτικῇ τε τοῦ οἰκείου, καὶ καθεκτικῇ τοῦ αὐτοῦ, καὶ πρὸς ταύτῃ, πεπτικῇ, καὶ τετάρτῃ, τῶν ἀλλοτρίων ἀποκριτικῇ, ἕκαστον δὲ τῶν φαρμάκων, τὸν οἰ-
D κεῖον ἑαυτῷ χυμὸν ἐπισπώμενόν ἐστι. Καλῶς δὲ προσέθηκε τῷ λόγῳ, τὰ δὲ πολλὰ οὐκ ὀργᾷ· καὶ χρὴ τοῦτο διδαχθῆναι παρὰ τῆς ἐμπειρίας, ὡς αἱ μεταρρύσεις, ἄλλοτ' εἰς ἄλλο μόριον τῶν χυμῶν ὀλιγάκις γίνονται. τὰ πλείω δ' ἡσυχάζει, καὶ μένει καθ' ἕν τι μόριον, ἐν ᾧ καὶ πέττονται παρ' ὅλον τοῦ νοσήματος χρόνον ἄχρι λύσεως. χρὴ δὲ γινώσκειν, ὅτι ἔν τισι τῶν ἀντιγράφων ὁ ἀφορισμὸς οὗτος οὐ γέγραπται, κατὰ μέντοι τὸ περὶ χυμῶν, ἐν ἅπασι γέγραπται.

E

Quòd vacuatio non copia; sed prout confert, metienda sit, etiam adusque lipothymiam molienda. Quid, & quæ lipothymia hîc intelligitur.

Ὅτι τὴν κένωσιν μὴ τῷ πλήθει, ἀλλὰ τῇ εὐφορίᾳ μετρεῖν χρὴ, καὶ μέχρι λειποθυμίας ἄγειν. τί καὶ τίς ἡ λειποθυμία ἐνταῦθα διανοεῖται.

APHORISMVS XXIII.

Quæ vacuantur, copiâ coniectanda non sunt; sed si qualia oportet prodeant, ac æger facile ferat. Atque vbi ad animi defectionem vsque educendum est, id moliendum.

ΑΦΟΡΙΣΜΟΣ κγ'.

F Τὰ χωρέοντα, μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ὡς ἂν χωρέῃ, οἷα δεῖ, καὶ φέρει εὐφόρως, καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν, καὶ τοῦτο ποιεῖν, ἢν ἐξαρκέσῃ ὁ νοσέων.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴτ' ἀπὸ φύσεως, εἴθ' ὑφ' ἡμῶν ἡ κένωσις γίνοιτο, χρὴ πάντως ὡρίσθαι τι μέτρον αὐτῆς· ὡς γὰρ τὴν ποιότητα κατὰ τὸν λυποῦντα χρὴ κενοῦσθαι χυμὸν, οὕτω δηλονότι καὶ τὴν ποσότητα, τῷ πλήθει τοῦ λυποῦντος ἁρμόττειν. Ἀλλὰ τῆς μὲν ποιότητος τὰς διαγνώσεις ἔμπροσθεν εἴπομεν, ἡνίκα τὸν ἀφορισμὸν ἐξηγούμεθα, οὗ ἡ ἀρχὴ, ἐν τῇσι ταραχῇσι τῆς κοιλίας, καὶ τοῖσιν ἐμέτοισι. Ποσότητος δ' οὐδὲν τοιοῦτον ἔχομεν εἰπεῖν γνώρισμα. διὰ τοῦτ' οὖν, ἐπ' αὐτῆς, ἔδωκεν ὁ Ἱπποκράτης ἡμῖν κριτήριον, τὴν εὐφορίαν. Εἰ μὲν γὰρ τὸ πλεονάζον ἐκκενοῖτο, κουφότερον ἑαυτοῦ τὸν κάμνοντα, καὶ εὐφορώτερον ἀνάγκη γίνεσθαι. εἰ δέ τι καὶ τῶν κατὰ φύσιν ἐκκενοῖτο, καταλύεσθαί τε καὶ ἀρρωστεῖν αὐτοῦ τὴν δύναμιν αἰσθάνεσθαί τε δυσφορίας, ὥστε μὴ τῇ προχείρῳ φαντασίᾳ τῆς ποσότητος τῶν κεκενωμένων προσέχειν τὸν νοῦν, ἀλλὰ τοῖς εἰρημένοις δύο γνωρίσμασιν, εἰ οἷα δεῖ κενοῦται, καὶ εἰ μετ' εὐφορίας. Τὸ δ' ἐφεξῆς εἰρημένον ὑπ' αὐτοῦ, τὸ καὶ ὁκοῦ δεῖ ἄγειν μέχρι λειποθυμίας, ὀρθῶς μὲν λέλεκται· προσγεγράφθαι δὲ χρὴ τὰ γνωρίσματα τῆς χρήσεως. ἐπεὶ τοίνυν ἐκεῖνος οὐκ εἶπεν, ἡμεῖς ἐξ ὧν αὐτῇ τε τῇ πείρᾳ καὶ τῷ λόγῳ δοκοῦμεν εὑρηκέναι τὰς διαθέσεις, ἐφ' ὧν ἁρμόττει τὸ μέχρι τῆς λειποθυμίας κενοῦν, ἐροῦμεν. Καὶ πρότερόν γε τὸ μέχρι ποίας λειποθυμίας, εἴρηται ὑπ' αὐτοῦ, διορίσασθαι δίκαιον. Οὐ γὰρ δὴ τάς γε τοιαύτας λέγει λειποθυμίας, ὅσαι φοβηθέντων ἐνίοτε τῶν καμνόντων, ἢ τὴν τῆς φλεβὸς διαίρεσιν, ἤ τι τοιοῦτον ἄλλο βοήθημα γίνονται. οὐ μὴν οὐδ' ὅταν ἐν τῷ στόματι τῆς γαστρὸς ὑπάρχωσι δακνώδεις χυμοί τινες, ἤτοι πρότερον ἠθροισμένοι κατ' αὐτὴν, ἢ κατὰ τὴν τοῦ βοηθήματος χρῆσιν συρρυέντες, λειποθυμίαι παρέχον· λειποθυμοῦσι μὲν γὰρ καὶ τότε, οὐ μὴν ἱκανόν γε μέτρον κενώσεως ἡ τοιαύτη λειποθυμία, πρὸ τοῦ δέοντος ἐνίοτε γινομένη, καθάπερ καὶ ἐπὶ αὐτοῦ τοῦ διανίστασθαί τε, καὶ καθίσαι, πολλάκις ἐλειποθύμησάν τινες τῶν πυρεττόντων, διὸ δὴ καὶ κατακειμένους αὐτοὺς φλεβοτομοῦμεν. Ἡ τοίνυν κατὰ τὸν λόγον τῆς κενώσεως ἐπιγιγνομένη λειποθυμία, νῦν εἴρηται πρὸς Ἱπποκράτους, μέτρον γινομένη τῆς κενώσεως, ἐπί τε μεγίστων φλεγμονῶν, καὶ πυρετῶν διακαεστάτων, καὶ ἀλγημάτων σφοδροτάτων. χρὴ δὲ, ὡς καὶ αὐτὸς εἶπεν, ἐρρωμένης τῆς δυνάμεως ἐπιχειρεῖν ἐπὶ τοσοῦτον κενοῦν, καὶ ἡμεῖς πάνυ πολλάκις πεπειράμεθα τῶν τοιούτων κενώσεων ἰσχυρῶς ὠφελουσῶν. ἔν τε γὰρ τοῖς θερμοτάτοις πυρετοῖς, ἡ μέχρι λειποθυμίας φλεβοτομία κατάψυξίν τε παραχρῆμα τῆς ὅλης ἕξεως ἐργάζεται, καὶ σβέννυσι τὸν πυρετόν· καὶ δὴ καὶ ἡ γαστὴρ διαχωρεῖ τοῖς πλείστοις, καὶ ἱδρῶτες προχέονται, καί τινες αὐτῶν ἐπὶ τούτων ἐπαύσαντο τελέως. ἄλλοι δὲ μεγάλως ὠφεληθέντες, ἐνέκοψαν τὸ σφοδρὸν τοῦ

GALENI COMMENTARIVS.

Siue à natura, siue à nobis vacuatio fiat, quandam ipsius mensuram omninò præscripsisse oportet: Quemadmodùm enim molestus humor pro qualitatis ratione vacuandus est: sic profectò *vacuationis* quantitas, vexantis humoris copiæ congruat oportet. Verùm qualitatis quidem dignotiones B suprà diximus, quum aphorismum interpretaremur, cujus est initium. *In alui perturbationibus, & vomitionibus.* Quantitatis verò nullum tale, quòd dici debeat, indicium habemus. Quare de ipsa quantitate euphoriam ferendive facilitatem certum indicium, *statuit* deditque Hippocrates: Nam si humor redundans vacuetur, tum leuiùs, tum faciliùs ægrotantem habere necesse est. Quòd si quis etiam ex iis qui secundùm naturam sunt, excernatur, tunc ægrotantis vires dissolui, ac debilitari, ipsámque ferendi difficultatem sentire oportet. C Quare non temerariæ vacuandorum quantitatis phantasiæ mens adhibenda est; sed duobus commemoratis indiciis, *Si qualia oportet, & cum euphoria vacuentur.* Quòd autem deinceps ab ipso dicitur, *Atque vbi adusque lipothymiam ducendum est*, rectè quidem pronunciatum est; sed eius vsûs ascribenda sunt indicia. Quæ quum ille non protulerit, nos ex quibus tum ipsa experientia, tum ratione videmur affectus inuenisse, in quibus adusque lipothymiam vacuare conveniat, docebimus. Ac primùm ad D qualem vsque lipothymiam ab ipso dictum fuerit distinguere oportet: Neque enim sanè eas dicit lipothymias, quæ metuentibus interdum ægris aut venæ sectionem, aut aliud ejusmodi auxilium, oboriuntur; neque etiam quum in ore ventriculi quidam humores mordaces fuerint, vel prius in ipso collecti, vel qui in eo remedij vsu, in ipsum confluxerint, lipothymiam excitant, tum enim & in lipothymiam ruunt; non tamen huiusmodi lipothymia satis idoneus est vacuatio- E nis modus, quæ nonnunquam priusquam deceat, oboritur, veluti quibusdam febricitantibus qui & inter assurgendum & desidendum in lipothymiam multoties prociderunt; proptereà ipsis resupinis jacentibus venā secamus. Ea igitur quæ vacuationis ratione succedit lipothymia, nunc ab Hippocrate sancita est mensura vacuationis, in maximis inflãmationibus, in febribus ardentissimis, & vehementissimis doloribus. Verùm (vt & ipse docet) constantibus ac firmis viribus ad tantam vacuationem studio procedendum est, nosque sæpius hujusmodi vacuationes prodesse plurimùm experientiâ didicimus. In ardentissimis F siquidem febribus ad lipothymiam vsq; phlebotomia illicò tum vniuersum corporis habitum refrigerat, tum febrem extinguit; quamplurimis etiam aluus dejicit, & sudores profusè manant, quas ob res eorum nonnulli *febre* omnino sunt liberati, alij magnopere adiuti

iuti, morbi vehementiam resciderunt. In maximis etiam inflammationibus, & vehementissimis doloribus nullum majus noui remedium adusque lipothymiam vacuatione; prodita tamen distinctione, an adusque lipothymiam sanguinem detrahere; an verò purgare deceat, quemadmodum in commentariis de venæ sectione declaratum est.

In morbis acutis raro & per initia, nec inconsultò purgandum esse. Quæ corpora ad purgationem apta, aut inepta sint.

APHORISMVS XXIV.

IN morbis acutis raro & per initia purgantibus medicamentis utendum, idque circunspectantibus faciendum est.

GALENI COMMENTARIVS.

PAulo antè dixit; *Concocta medicamentis educenda, ac mouenda sunt, non cruda, neque per initia, nisi turgeant; sed plerunque non turgent.* Nunc autem & per initia morborum acutorum duntaxat posse nonnunquam nos purgationem quæ conferat, moliri docet. Nam in diuturnis morbis semper morbi coctionem expectare oportet; in acutis verò quum turgent, etiam in principio purgare fas est, & hoc ipsum cum cautione & circunspectione facere. Vnde mihi videtur Hippocrates rectè adjecisse, *idque circunspectantibus faciendum.* Siue enim accuratam præmeditationem priùs factam, siue ægroti præparationem, siue recti, prout conceditur, iudicij expectationem, siue ex his aliqua, siue etiam omnia id vocabulum significet, summam ipsius cautionem in eiusmodi purgationibus manifestè prodit. Periculum enim non leue est in acuto morbo malè purgatione medicari, quòd omnia purgantia medicamenta facultatibus sint calida; febris verò, quatenùs febris est, & sui ratione, non calefacientibus atque exsiccantibus; sed his maximè contrariis, hoc est, humectantibus & refrigerantibus indigeat. Non igitur ob igneum febris calorem purgatio nobis instituitur (hanc enim scimus pro sui facultate nocere) sed propter humores febrem efficientes. Quare maiorem ex infestantium humorum vacuatione vtilitatem consequi oportet, quàm sit læsio aut noxa, quam ex purgantibus medicamentis necessariò corpus accipit. Maior autem est vtilitas, si & citrà molestiam, & totus humor noxius & infestans vacuatus fuerit. Quò verò hoc fiat, primò considerandum est, an ægrotus ad huiusmodi purgationem idoneus existat. Qui nanque cruditatibus ex multis, aut lentis, aut crassis eduliis laborant, quibus itidem flatibus hypochondria distenta

A νοσήματος. ἔν τε ταῖς μεγίσταις φλεγμοναῖς, καὶ ταῖς ἰσχυροτάταις ὀδύναις, οὐδὲν οἶδα μεῖζον βοήθημα, τοῦ μέχρι λειποθυμίας ἐκκενῶσαι, διορισάμενος, εἴ τε φλεβοτομεῖν, εἴ τε καθαίρειν ἄχρι λειποθυμίας προσήκει, καθότι δεδήλωται ἐν τοῖς περὶ φλεβοτομίας ὑπομνήμασιν.

Ὅτι ἐν τοῖς ὀξέσι νοσήμασιν ὀλιγάκις, καὶ ἐν ἀρχαῖς
B μὴ ἀπροαιρέτως φαρμακεύειν χρή· ἅτινα τὰ σώματα πρὸς τὴν κάθαρσιν ἐπιτήδειά τε, καὶ μὴ ἐπιτήδεια ᾖ.

ΑΦΟΡΙΣΜΟΣ κδʹ.

ΕΝ τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι, τῇσι φαρμακείῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.

C ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΛίγον ἔμπροσθεν εἴρηκε, πέπονα φαρμακεύειν, καὶ κινέειν μὴ ὠμά, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ, τὰ δὲ πολλὰ οὐκ ὀργᾷ. Νῦν οὖν, καὶ ὅτι κατὰ τὰς ἀρχὰς μόνων τῶν ὀξέων νοσημάτων, ἐγχωρεῖ ποτε κάθαρσιν ποιήσασθαι συμφέρουσαν, ἐδίδαξεν ἡμᾶς· ἐν μὲν γὰρ τοῖς χρονίοις, ἀεὶ χρὴ τὸν πεπασμὸν ἀναμένειν· ἐν δὲ τοῖς ὀξέσιν, ὅταν ὀργᾷ, καὶ κατ' ἀρχὴν οἷόν τε φαρμακεύειν, καὶ τοῦτο αὐτὸ πρᾶξαι μετὰ πολλῆς εὐλαβείας, καὶ περισκέψεως·
D ὅθεν μοι δοκεῖ ὁ Ἱπποκράτης καλῶς προσθεῖναι, καὶ, τοῦτο προεξευκρινήσαντας ποιέειν· εἴ τε γὰρ προδιασκεψάμενος ἐπιμελῶς, εἴ τε προπαρασκευάσας τὸν ἄρρωστον, εἴ τε τὴν ἐνδεχομένην εὐκρίνειαν ἀναμείνας, εἴ τε καὶ τινὰ τούτων, εἴ τε καὶ πάντα, σημαίνει τοὔνομα, τὴν εὐλάβειαν αὐτοῦ, τὴν περὶ τὰς τοιαύτας καθάρσεις, ἐνδείκνυται σαφῶς. Κίνδυνος γὰρ οὐ μικρός, ἐν ὀξεῖ νοσήματι κακῶς φαρμακεῦσαι, τῷ πάντα μὲν τὰ καθαίροντα φάρμακα θερμὰ ταῖς δυνάμεσιν εἶναι, δεῖσθαι δὲ τὸν πυρετὸν, ᾗ πυρετός ἐστι, κατὰ τὸν ἑαυτοῦ λόγον, οὐχ
E ὅπως τῶν θερμαινόντων καὶ ξηραινόντων, ἀλλὰ τῶν ἐναντιωτάτων αὐτοῖς, τουτέστι τῶν ὑγραινόντων τε καὶ ψυχόντων. Οὐκοῦν οὐδ' αὐτῆς ἕνεκα τῆς πυρώδους θερμασίας, ἡ κάθαρσις ἡμῖν παραλαμβάνεται· ταύτην γὰρ ἴσμεν, ὅσον ἐφ' ἑαυτῇ, βλαπτομένην, ἀλλὰ τῶν ἐργαζομένων αὐτὴν ἕνεκα χυμῶν. χρὴ τοίνυν μείζονα τὴν ὠφέλειαν ἐκ τῆς τῶν λυπούντων χυμῶν κενώσεως γίνεσθαι τῆς βλάβης, ἣν ἐξ ἀνάγκης λαμβάνει τὸ σῶμα πρὸς τῶν καθαιρόντων φαρμάκων. Ἔστι δὲ ἡ ὠφέλεια μείζων, ἐὰν ἀλύπως τε, καὶ πᾶς, ὁ βλάπτων καὶ
F λυπῶν ἐκκενωθῇ χυμός. Ἵνα δὲ τοῦτο γένηται, πρότερον μὲν δεῖ προσκέψασθαι εἰ ἐπιτηδείως ὁ κάμνων ἔχει πρὸς τὴν τοιαύτην κάθαρσιν. Οἱ γὰρ ἐξ ἀπεψιῶν πολλῶν, ἢ γλισχρῶν, ἢ παχέων ἐδεσμάτων, ὡσαύτως δὲ οἷς καὶ ὑποχόνδρια διατεταμένα πεφύσηται, ἢ

τὰ ἔρα bene delet Linacer

φ ὑπερβαλλόντως ὦσι θερμὰ καὶ πυῤῥώδη τὰ οὖρα, καί τις αὐτόθι τῶν σπλάγχνων φλεγμονή, πάντες οὗτοι πρὸς τὰς καθάρσεις ἀνεπιτήδειοι. χρὴ τοίνυν ἀπεῖναί τε ταῦτα, καὶ τοὺς χυμοὺς ὡς ἔνι μάλιστα τοῦ κάμνοντος, εὐρυστάτους εἶναι τουτέστι λεπτοὺς, καὶ ἥκιστα μετέχοντας γλισχρότητός τινος, ἀναπεπταμένους τε τοὺς πόρους, δι᾽ ὧν ἡ κάθαρσις μέλλει γενέσθαι, καὶ μηδεμίαν ἔμφραξιν ἔχοντας. Ταῦτα γὰρ καὶ ἡμεῖς προπαρασκευάζομεν, ἐπειδὰν μέλλωμεν καθαίρειν τινὰ, καὶ τοῦτό ἐστιν αὐτὸ τὸ ὑφ᾽ Ἱπποκράτους εἰρημένον ἐν ἐκείνῳ τῷ ἀφορισμῷ. Τὰ σώματα, χρὴ ὅκου τις βούλεται καθαίρειν, εὔροα ποιεῖν. Ἀλλ᾽ ἔν γε τοῖς ὀξέσι νοσήμασι, κατ᾽ ἀρχὰς εὐθὺς, ἤτοι περὶ τὴν πρώτην ἡμέραν, ἢ οὐκ ἔξω τῆς δευτέρας μελλόντων ἡμῶν χρῆσθαι ταῖς καθάρσεσιν, ὅταν ὀργᾷ, τὴν τοιαύτην παρασκευὴν οὐκ ἐγχωρεῖ γενέσθαι, πλὴν εἰ μὴ ἄρα τις σχοίη καιρὸν, μελίκρατον δοῦναι πιεῖν, ἐναφεψήσας ὑσσώπου τι, ἢ ὀριγάνου, ἢ τραγοριγάνου, ἢ θύμου, ἢ γλήχωνος, ἢ τινος τῶν οὕτως λεπτυνόντων χυμοὺς, ὡς τ᾽ εὐλόγως εἶπεν ὀλιγάκις ἐν τοῖς ὀξέσι νοσήμασι, κατ᾽ ἀρχὰς ἔσεσθαι χρείαν ἡμῖν φαρμακείας, τῷ μήτε πολλάκις ὀργᾷν ἐν ἀρχῇ τοὺς λυποῦντας χυμοὺς, μήτ᾽ εἰ καί τι τούτων ὑπάρχει, τοῦ νοσοῦντος ἐπιτηδείου πρὸς τὴν κάθαρσιν ἔχοντος. ἀλλὰ μηδὲ καιρὸν ἡμῖν παρέχοντος τοῦ νοσήματος, ἐπιτήδειον αὐτὸν παρασκευάσαι.

sunt, aut urinæ suprà modum calidæ & igneæ, A aut hîc aliqua viscerum inflammatio, hi omnes ad purgationes inepti sunt. Hæc itaque abesse oportet: ægrotantis quoque humores, quàm potest fieri maximè fluxiles, hoc est, tenues, minimé que lentoris participes, apertos denique, reseratosque esse docet meatus, per quos purgatio fieri debeat, omnique obstructione liberos: Nam ita nos quoque antea præparamus, quum aliquem sumus purgaturi. Atque idipsum est quod illo in aphorismo ab Hippocrate pronunciatur; B *Corpora quum quis purgare velit, ea meabilia faciat oportet.* Verùm in acutis morbis per initia statim, vel circà primum diem, aut non vltrà secundum, si purgantibus medicamentis vsuri simus, turgente ad excretionem materia, ipsam præparationem fieri non conceditur, nisi quis fortassis melicrati propinandi occasionem nanciscatur, in quo hyssopi nonnihil, aut origani, aut tragorigani, aut thymi, aut pulegij, aut hujusmodi humores attenuantium aliquid incoxerit. Quare non citrà rationem effatus est, raro in morbis acutis per initia purgantis medicamenti nobis C vsum fore; tum quod neque vexantes humores per initia crebrò turgeant; tum quòd, etiam si quid horum extet, æger tamen ad purgationem ineptus habeatur; imò neque morbus occasionem nobis ad idoneam ægrotantis præparationem præbeat.

Τὴν κάθαρσιν ἐπιτήδειον ὠφέλειάν τε καὶ εὐφορίαν ἔχειν.

Purgationem idoneam tum vtilitatem, tum euphoriam sortiri.

ΑΦΟΡΙΣΜΟΣ κε΄.

D

APHORISMVS XXV.

ΗΝ, οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσι. τὰ δ᾽ ἐναντία, δυσχερῶς.

SI quæ purgari decent, purgentur, tum confert, tum ægri facile ferunt; si verò contraria, difficile.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΦΑνερῶς οὗτος ὁ ἀφορισμὸς ἐν ἐκείνῳ περιέχεται καθ᾽ ὃν ἔλεγεν· ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσι, ἢν δὲ μὴ, τοὐναντίον. Ἀλλ᾽ ἐπειδὴ κατὰ τοῦτο τὸ χωρίον τοῦ βιβλίου περὶ τῶν ὑπὸ τοῦ ἰατροῦ γινομένων διελέγετο καθάρσεων, καὶ σχεδὸν ἅπαντας εἴρηκε τοὺς ἀναγκαίους διορισμοὺς, οὐκ ὤκνησεν οὐδὲ τοῦτον προσθεῖναι τὸν ἀφορισμὸν, οὐδὲν μὲν διδάσκοντα νεώτερον, ἀναμιμνήσκοντα δὲ ὧν ἔμπροσθεν ἐν ἑτέρῳ χωρίῳ τοῦ βιβλίου, περὶ τῶν αὐτομάτων κενώσεων προειρήκει, πρὸς τὸ κἀνταῦθα συμπεπληρῶσθαι τὸν περὶ τῶν καθάρσεων ἅπαντα λόγον.

τῷ

GALENI COMMENTARIVS.

HIc aphorismus in illo planè continetur, in quo dicebat. *In alui perturbationibus & vomitionibus quæ sponte oboriuntur, si qualia purgari oportet purgentur, confert, & facile ferunt; sin minùs, contrà.* Verum quum hæc E in libri parte de purgationibus à Medico instituendis dissereret, ac propemodùm omnes ad id necessarias distinctiones recensuisset, non piguit ipsum hunc quoque aphorismum addere, qui sanè nihil magis nouum edocet; sed ad memoriam reuocat ea quæ priùs in alia libri parte de spontaneis vacuationibus enunciauerat, ut hoc etiam in loco totus sermo de purgationibus esset absolutus.



ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΩΝ ΒΙΒΛΙΟΝ Β'.

ΚΑΙ

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟΥΣ ΑΦΟΡΙΣΜΟΥΣ.

ΥΠΟΜΝΗΜΑ Β'.

APHORISMORVM HIPPOCRATIS LIBER SECVNDVS,

ET

IN EOS GALENI COMMENTARIVS SECVNDVS.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΒΙΒΛΙΟΥ.

Τοῦτο βιβλίον τὰ διαγνωστικὰ, καὶ προγνωστικὰ, καὶ θεραπευτικὰ περιέχει, πολλὰς τὰς αἰτίας τῶν νοσημάτων διηγούμενον.

ARGVMENTVM LIBRI.

Hic liber diagnostica, prognostica, & therapeutica complectitur, causas quoque morborum multas explicat.

De somno vtili ac salutari; tum noxio ac lethali; & de vtriusque causis & effectibus.

APHORISMVS I.

QVo in morbo somnus laborem facit, lethale; si verò iuuat somnus, non lethale; & de vtriusq causis, & affectibus.

GALENI COMMENTARIVS.

QVOD sanè labor ipsi nunc læsionem significet ex antithesi constat. Ait enim; *Si verò somnus iuuet, non lethale.* Quum autem duplex sit ex somno læsio, altera communis, quum in principiis accessionum, quas episemasias no-

A

Περὶ ὕπνου τοῦ ὠφελίμου, καὶ σωτηρίου, καὶ τοῦ βλαβεροῦ, καὶ θανασίμου, καὶ περὶ τῶν ἀμφοτέρων αἰτιῶν, καὶ ἐνεργημάτων.

ΑΦΟΡΙΣΜΟΣ α'.

ἘΝ ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον· ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B

ὍΤΙ μὲν ὁ πόνος αὐτῷ βλάβην σημαίνει νῦν, εὔδηλον ἐκ τῆς ἀντιθέσεως. Φησὶ γάρ, ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. Οὔσης δὲ διττῆς τῆς ἐξ ὕπνου βλάβης· τῆς μὲν κοινῆς, ὅταν ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν ἃς ἐπισημασίας ὀνομάζουσιν, οἱ κάμ-

νοοῦντες κοιμηθῶσι· τὸ δ᾽ ἰδίας, ὡς ἐπί τινων νοσημάτων, ὅταν ἐν ἄλλῳ τινὶ καιρῷ, περὶ ταύτης αὖθις ῥητέον λέγειν. Ἐκείνη γὰρ οὔτε θάνατον, οὔτ᾽ ἄλλο τι σημαίνει δεινὸν, ἑπομένη τῇ φύσει τοῦ καιροῦ· συννεύουσι γὰρ εἰς τὸ βάθος τοῦ σώματος ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς, ἥ τοι θερμασία πᾶσα, καὶ οἱ χυμοὶ, καθάπερ αὐτὸς ἐδίδαξε, καὶ μᾶλλον ἐφ᾽ ὧν, ἤτοι, φρίκη τις, ἢ ῥῖγος, ἢ ψύξις τῶν ἔξω μερῶν ἰσχυρὰ γίνεται. καὶ διὰ τοῦτο αὐτοῖς χρονίζει τὰ συμπτώματα κοιμηθεῖσιν ἐν ταῖς ἀρχαῖς, καὶ μόγις ἐπὶ τὴν ἀκμὴν οἱ πυρετοὶ παραγίνονται. καὶ εἰ δή τις εἴη φλεγμονὴ περὶ σπλάγχνων, εἰκότως αὔξεται· καὶ εἰ χυμοί τινες εἰς τὴν γαστέρα συρρέουσιν, οὐχ ὁμοίως πέττονται, καθάπερ ἐν τοῖς ἄλλοις ὕπνοις, ἀλλὰ πολλῷ πλείους γίνονται, διαμένοντες ἄπεπτοι. διὰ ταῦτά τοι, καὶ παρακελευόμεθα τοῖς κάμνουσιν, ἐγρηγορέναι τηνικαῦτα τὴν ὑπὸ τῆς ἐγρηγόρσεως ἐπὶ τὰ ἐκτὸς φορὰν τοῦ πνεύματος, καὶ τοῦ αἵματος, καὶ τῆς ἐν αὐτοῖς θερμασίας, ἀντιτάττοντες, ὡς μέγιστον ἴαμα, τῇ κατὰ τὰς ἐπισημασίας ἐπιγινομένῃ, πρὸς τὸ βάθος αὐτῶν φορᾷ. διὸ καὶ φαίη ἄν τις, οὐκ ἀλόγως μὲν αὐτὰς τὰς βλάβας ἐν τούτῳ τῷ καιρῷ γίνεσθαι τῇ φύσει, τοῦ παροξυσμοῦ, κωλυομένας δὲ ὑπὸ τῆς ἐγρηγόρσεως. Ἐπειδὰν δὲ καὶ ταύτης στερηθῶσιν οἱ κάμνοντες, ἐναργεστέραν ἴσχειν τὴν βλάβην, οὐχὶ τῷ προσέρχεσθαί τινα διὰ τὸν ὕπνον ἑτέραν βλάβην, ἀλλὰ τῷ τὴν ἐκ τῆς ἐγρηγόρσεως ὠφέλειαν ἀπογίνεσθαι. Οὗτος μὲν οὖν ὁ λόγος ἐπιδείκνυσι μηδεμίαν ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν βλάβην ἐξ ὕπνου γινομένην, ἀλλ᾽ αὐτὸ δὴ τοῦτο μόνον, ἀπουσίαν ὠφελείας. Ὁ δ᾽ ἕτερος λόγος ὁ καὶ τοῖς ὕπνοις συγχωρῶν ἐν τούτῳ τῷ καιρῷ βλάβην ἐργάζεσθαι, τὴν διδασκαλίαν φησὶ γίνεσθαι νῦν Ἱπποκράτει περὶ τῶν ἐν ἄλλοις καιροῖς ὑπνούντων, οἷς ἀκολουθεῖ τοὐπίπαν ἐναργής τις ὠφέλεια, καὶ μάλιστα ὅταν ἐν ταῖς παρακμαῖς κοιμηθῶσιν. Ὠφελοῦσι μὲν γὰρ ἐναργῶς ἐνίοτε, καὶ κατ᾽ αὐτὰς τὰς ἀκμὰς γινόμενοι, καί ποτε κἂν τοῖς τῶν ἀναβάσεων τῶν γινομένων ἐν τοῖς ἐσχάτοις, ὅσαι συνάπτονται ταῖς ἀκμαῖς, ἀλλ᾽ ἡ πασῶν ἐναργεστάτη τῶν ὠφελειῶν, ἐν ταῖς παρακμαῖς γίνεται. Καὶ τοίνυν καὶ βλάπτοντες, ἧττον μὲν ὀλέθριοι, κατά γε τὴν ἀκμήν εἰσι, καὶ τὴν αὔξησιν τοῦ παροξυσμοῦ, μάλιστα δ᾽ ἐν ταῖς παρακμαῖς ὀλέθριοι γίνονται. ἐν ᾧ γὰρ ἕκαστον τὸ ὠφελιμώτατόν ἐστιν, ἐὰν πρὸς τῷ μηδὲν ὠφελεῖν, ἔτι καὶ βλάπτῃ, θάνατον εἰκότως δηλώσει. Βλάβαι δ᾽ ἐξ ὕπνων εἰσὶν αἱ ταῖς ὠφελείαις ἐναντίαι, παραδείγματος χάριν τό τε τὸν πυρετὸν, ἢ μὴ λύεσθαι πρὸς αὐτῶν ἢ καὶ παροξύνεσθαι, καὶ τὸ τὰς ὀδύνας ἐπιτείνεσθαι, καὶ τὰ ῥεύματα πλείω γίνεσθαι, καὶ τὰς φλεγμονὰς αὐξάνεσθαι. τινὲς δὲ καὶ κατ᾽ αὐτοὺς τοὺς ὕπνους φθέγγονται παρακοπτικῶς, καὶ οἱ ἐξεγείρονται, μέχρι πολλοῦ παρανοοῦσιν. ἐνίοις δὲ, ἀρχὴ κώματος ἐν τῷ ὕπνῳ γίνεται, καὶ μόγις ἀνίστανται νυττόμενοι. Συμβαίνει δὲ ταῦτα πάντα διὰ τὴν τῶν χυμῶν κακοήθειαν, οὓς, ὅταν μὲν ἰσχυρότερον ᾖ τὸ ἔμφυτον θερμὸν ἡμῶν, ἐκπέττει κατὰ τοὺς ὕπνους. Ὅταν δὲ ἀσθενέστερον, ἐνικήθη μὲν ὑπὸ

A minant, ægroti dormierint; altera propria, vt in quibusdam morbis, quum in alio tempore de *posteriore læsione* ipsum loqui augurandum est. Prior nanque illa neque mortem, neque quicquam aliud metuendum significat, quum temporis naturam sequatur. In principiis siquidem accessionum tum calor vniuersus, tum humores in profundum corporis coguntur quemadmodum ipse docuit, & magis in quibus aut horror quidam, aut rigor, aut vehemens partium exteriorum refrigeratio contingit; ipsisque propterea, si in accessionum principiis dormierint, symptomata diuturniora
B fiunt, & vix febres ad vigorem perueniunt. Et sanè si qua subsit viscerum inflammatio, ipsam augeri par est, & in ventrem si qui humores confluant, non peræquè ac per alios somnos concoquuntur; sed plures cumulantur crudi ac incocti permanentes. Quas ob res etiam tum ægrotantibus imperamus vt vigilent, motum qui per vigiliam foras fit, spiritus, sanguinis, & insiti ipsis caloris tanquam maximum præsidium ei motioni opponentes, quæ eorumdem *intrò* aut in altum per accessionum
C accedit initia. Quare non citrà rationem dixerit quispiam ipsas læsiones per id tempus ex accessionis quidem natura accidere; sed vigilia prohiberi. Quum autem hac quoque priuati fuerint ægroti, læsionem sentiunt manifestiorem, non quòd altera per somnum accedat læsio; sed quòd absit quæ ex vigilia oboritur, vtilitas. Hæc itaque ratio nullam ostendit fieri in accessionum principiis ex somno læsionem; sed hoc ipsum duntaxat, vtilitatis absentiam. Altera verò ratio quæ concedit ex somno fieri hoc tem-
D pore læsionem, asserit nunc Hippocraticam doctrinam de iis esse qui aliis temporibus dormiunt; quos omnino comitatur manifesta quædam vtilitas, ac maximè quum in declinationibus contigerit: nam interdum in ipso etiam vigore obrepens somnus manifestè iuuat; nonnunquam etiam in incrementi postremo quod vigori copulatur. Verùm omnium vtilitatum manifestissima est quæ in declinationibus oboritur. Proindeque quum somni lædant, in vigore & accessionis incre-
E mento minus quidem exitiales sunt, maximè verò in declinationibus perniciosi: Nam quo tempore quicquam vtilissimum est, si præterquam quod nihil prodest, etiam lædat, mortem ratione portendit. Ortæ verò ex somno læsiones, eiusdem vtilitatibus sunt contrariæ. Exempli gratia, somno febres si non soluantur aut etiam exacerbentur, & dolores intendantur, & fluxiones multiplicentur; & inflammationes augeantur. Nonnulli verò inter dormiendum etiam delira loquuntur, qui expergefacti diu
F in delirio perseuerant. Quibusdam etiam initium comatis in somno fit; qui puncti vix excitantur. Hæc autem omnia propter humorum malignitatem contingunt; quos quum noster calor natiuus validior extiterit, per somnos concoquit; quum verò im-

becillior, ab illis euincitur, ab iisque viscera grauescunt, & enarratis affectibus homo corripitur. Ipse nanque Hippocrates vult vigilantem hominem extrinsecùs esse calidiorem, dormientem verò contrario modo se habere, intrinsecùs nimirum incalescere: id nos edocens (quod & aliis quibusdam Physicis visum est) pro natiui caloris *intro forasue* motionibus somnum atque vigiliam fieri. Meritò igitur vbi calor in visceribus collectus causas morbificas nequit euincere, perniciem significat. Si tamen euicerit, nondum certæ salutis signum est, nisi quispiam dicat, quantum ad hunc affectum attinet, ægrotum sospitem euasurum, ex alio tamen affectu interire posse. Etenim si qua inflammatio solutu difficilis aliquam partium principum occupauerit, contingit ægrum qui ita se habeat, interire. Quare securius pronunciandum est, quum ex somno læsio quædam oboritur, lethale signum esse; quum vtilitas, non lethale. Quod verò ex somnis quædam oboriuntur læsiones, ipsi in libris Epidemiorum hisce verbis declarauimus; *in his multi erant soporati & mente turbati, hi verò ex somno tales euadebant.*

A ἐκείνων, βαρύνεται δ' ὑπ' αὐτῶν τὰ σπλάγχνα, καὶ τοῖς εἰρημένοις ἁλίσκεται παθήμασιν ὁ ἄνθρωπος. αὐτὸς γάρ τοι ὁ Ἱπποκράτης βούλεται, τὸν μὲν ἐγρηγορότα ἔξωθεν θερμότερον εἶναι, τὸν δὲ καθεύδοντα, ἐναντίον· διδάσκων ἡμᾶς, ὅπερ καὶ ἄλλοις τισὶ τῶν φυσικῶν ἔδοξε, κατὰ τὰς ῥοπὰς τῆς ἐμφύτου θερμασίας, ἐγρήγορσίν τε καὶ ὕπνον γίνεσθαι. Καὶ τοίνυν εἰκότως, ἐπειδὰν ἐν τοῖς σπλάγχνοις ἀθροισθὲν τοῦτο, μὴ περιγίνηται τῶν νοσοποιῶν αἰτίων, ὄλεθρον σημαίνει. περιγινόμενον μέντοι, οὐδέπω βεβαίας ἐστὶν ἀσφαλείας σημεῖον, πλὴν εἴ τις ὅσον ἐπὶ τούτῳ τῷ πάθει, φάσκοι σωθήσεσθαι τὸν κάμνοντα, καθ' ἑ-
B τέραν διάθεσιν ἀπολέσθαι δυνάμενον. Εἰ γὰρ δὴ φθάνοι φλεγμονή τις εἶναι καθ' ὁτιοῦν τῶν κυρίων δύσλυτος, ἐγχωρεῖ τὸν οὕτως ἔχοντα τεθνήξεσθαι· ὥστε ἀσφαλέστερον μὲν εἰπεῖν· ὅταν ἐξ ὕπνου γίνεταί τις βλάβη, θανάσιμον εἶναι τὸ σημεῖον· ὅταν δ' ὠφέλεια, οὐ θανάσιμον. Ὅτι δ' ἐξ ὕπνων γίνονταί τινες βλάβαι, κἀν τοῖς τῶν ἐπιδημιῶν αὐτὸς ἐδήλωσεν εἰπών, ἐν τούτοις πολλοὶ κωματώδεες ἦσαν, καὶ παράφοροι, οἱ δὲ, ἐξ ὕπνου, τοιοῦτοι ἐγίνοντο.
C

De somno vtili delirium sedante.

APHORISMVS II.

VBi somnus delirium sedat, bonum.

GALENI COMMENTARIVS.

SI vtcumque aphorismum tum hunc, tum superiorem inter se jungi ordine pronunciauerimus, tota eiusmodi procedet oratio. *Quo in morbo somnus laborem facit, lethale; Si verò somnus iuuet, non lethale; Vbi igitur somnus delirium sedat bonum*; vt vnumquoddam tanquam exemplum particulare antecedenti orationi vniuersaliter enunciatæ subjungeret, ac si ita diceret. Vbi dolorem somnus sedat, bonum. Vbi febrem somnus sedat, bonum. Vbi igitur inflammationem sedat somnus, bonum. Verum satis fuit periculosiorem morbum duntaxat nominare. Vniversalium nanque verborum veritas talibus exemplis magis elucet.

Περὶ ὕπνου ὠφελίμου τὴν παραφροσύνην παύοντος.

ΑΦΟΡΙΣΜΟΣ β'.

ΟΚου παραφροσύνην ὕπνος παύει, ἀγαθόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΕΑν ἐφεξῆς ἀλλήλων εἴπωμεν ἀμφοτέρους τοὺς ἀφορισμοὺς, τοῦτόν τε, καὶ τὸν προειρημένον, ὅλος ὁ λόγος γενήσεται τοιοῦτος. ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιεῖ, θανάσιμον, ἢν δ' ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. ὅκου γοῦν παραφροσύνην ὕπνος παύει, ἀγαθόν. ἵνα δὴ οἷον παράδειγμά τι τῶν κατὰ μέρος ἐν ἐπιφέρηται τῷ προειρημένῳ λόγῳ, τῷ καθόλου, ὡς εἰ καὶ οὕτως εἶπεν· ὅκου ὀδύνην ὕπνος παύει, ἀγαθόν· ὅκου πυρετὸν ὕπνος παύει, ἀγαθόν· ὅκου γοῦν φλεγμονὴν παύει ὕπνος, ἀγαθόν. Ἀλλ' ἠρκέσθη, τὸ κινδυνωδέστερον εἰπεῖν, νόσημα
E μόνον. ἐναργέστερον γὰρ, ἡ τῶν καθόλου λόγων ἀλήθεια διὰ τῶν τοιούτων ἐπιδείκνυται παραδειγμάτων.

Somnum & vigilias immoderatiores, vt signa & causas esse mala.

APHORISMVS III.

SOmnus & vigilia modum si excesserint, malum.

GALENI COMMENTARIVS.

NOnnullis Medicis vigilia modum excedens malum esse & signum, & causa visa est, non tamen somnus. Hunc enim

Τὸν ὕπνον, καὶ τὴν ἀγρυπνίην ἀμετρότερα ὡς τὰ σημεῖά τε καὶ τὰ αἴτια κακὸν εἶναι.

ΑΦΟΡΙΣΜΟΣ γ'.

ΥΠνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, κακόν.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝίοις τῶν ἰατρῶν ἔδοξεν, ἡ μὲν ἀγρυπνία μᾶλλον τοῦ μετρίου γιγνομένη, κακὸν εἶναι καὶ σημεῖον, καὶ αἴτιον,

οὐ μὴν γε ὕπνος. ἀεὶ γὰρ τοῦτον ἀγαθὸν εἶναι, καὶ μηδὲ γίνεσθαί ποτε μᾶλλον τοῦ μετρίου. τοὺς πολλοὺς δ' ἐξαπατᾶσθαι, τὰς κωματώδεις διαθέσεις ἀρχομένας, νομίζοντας εἶναι ὕπνον μακρόν· ἀλλὰ μαθόντες οὗτοι παρ' ἡμῶν, ὡς περὶ τοῦ, ὃ δυσδιέγερτον ἔχειν, οὔπω κῶμα προσαγορεύεσθαι, συγχωρείτωσαν ὕπνον ὀρθῶς ὀνομάζεσθαι μακρὸν, ὅταν τῷ χρόνῳ μόνῳ ὑπερβάλλῃ τὴν κατὰ φύσιν συμμετρίαν, οὐδέπω δὲ δυσδιέγερτον ἔχων. Γίνεται δὲ ὁ τοιοῦτος ὕπνος, ἐπὶ ψύξει τοῦ πρώτου αἰσθητικοῦ, τουτέστι τοῦ ἐγκεφάλου, ἥ τις ψύξις, ὅταν ἰσχυρὰ γένηται, μετὰ μὲν ὑγρότητος μιχθεῖσα, τὰ ληθαργικὰ πάθη ποιεῖ, μετὰ δὲ ξηρότητος, τὰς καλουμένας καταλήψεις. Οὕτω δὲ καὶ ἀγρυπνίαι γίνονται μὲν διὰ θερμασίαν τοῦ πρώτου μορίου τῶν αἰσθητικῶν, ἀλλ' ἤτοι κατὰ δυσκρασίαν μόνην, ἢ καὶ χυμοῦ χολώδους πλεονάσαντος. Αἱ δ' ἀποδείξεις ἁπάντων τῶν τοιούτων ἐν ταῖς ἡμετέραις εἴρηνται πραγματείαις. Νυνὶ δὲ ἀρκεῖ μόνα αὐτῶν λελέχθαι τὰ κεφάλαια. Καθάπερ δὲ μόνον τὸν ὕπνον, διὰ παντὸς οἴονται ἔνιοι σύμμετρον γίνεσθαι, καὶ μηδέ ποτε ὑπάρχειν ὕπνον ἄμετρον· οὕτως ἔνιοι πάλιν φασὶν, ἀγρυπνίαν μηδέποτε γίνεσθαι μετρίαν, ἀλλ' εἶναι τοὔνομα μόνης ἀμετρίας δηλωτικὸν, ἐπιλελησμένοι τῆς τοῦ βίου συνηθείας, ὅτι καὶ κακὰ μέτρια λέγομεν, ἐνίοτε τοῖς μεγάλοις ἀντιθέντες. Οὕτω γοῦν καὶ ἀγρυπνίαν ἀκούειν χρὴ μετρίαν, ἐν ἴσῳ τῷ, μικράν.

semper bonum esse, & nunquam fieri som- A num modum excedentem; plerosque decipi qui comatosos affectus incipientes longum esse somnum arbitrantur. Verùm hi à nobis edocti nondum prius coma nominandum quàm difficilem habuerit expergefactionem, concedant somnum longum rectè appellari, quum solo tempore naturalem symmetriam commoderationemue exciperet, ac nondum difficilem habeat expergefactionem. Talis autem fit somnus primi sensifici, hoc est, cerebri refrigeratione; quæ refrigeratio quum vehemens fuerit, mixtæ quidem humiditati lethargicæ affectiones; siccitati verò, catalepses seu B detentiones vocantur. Sic & vigiliæ fiunt propter principis partis sensificæ calorem aut sola intemperie, aut humore bilioso exuberante obortum. At horum omnium demonstrationes nostris in operibus conscriptæ sunt; nunc sufficiat sola eorum capita tetigisse. Quemadmodùm autem nonnulli somnum semper fieri commoderatum arbitrantur, nec vnquam incommoderatum: sic rursùs quidam vigiliam nunquam esse commoderatam proferunt, verùm eo nomine solam immoderationem significari; immemores vul- C garis vitæ consuetudinis, quâ & mala magnis interdum malis opposita, moderata dicimus. Sic igitur & moderatam vigiliam peræquè ac paruam audire nos oportet.

Περὶ πλησμονῆς καὶ λιμοῦ τῶν τῆς φύσεως συμμετρίαν ὑπερβαλλόντων.

De satietate ac fame naturalem symmetriam excedentibus.

ΑΦΟΡΙΣΜΟΣ δ΄.

Οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ' ἄλλο οὐδὲν ἀγαθὸν, ὅ, τι ἂν μᾶλλον τῆς φύσεως ᾖ.

APHORISMVS IV.

D

Non satietas, non fames, neque quicquam aliud quod naturæ modum excedat, bonum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πάλιν οὗτος ὁ λόγος, ὥσπερ ὁ προγεγραμμένος ἀφορισμὸς, ἐπὶ μιᾶς ὕλης ὁ αὐτὸς, καὶ ἐπὶ πασῶν ἀποφαίνεται. Τῆς γὰρ ὑγείας, συμμετρίας οὔσης, ἀνάγκη πάσας τὰς ἀμετρίας, ὅσαι μὲν ἐπὶ πλεῖστον ἀποκεχωρήκασι τῆς συμμετρίας, ἤδη νοσήματα ὑπάρχειν, ὅσαι δ' οὐδέπω τὸ μέχρι πλείστου κέκτηνται, νοσημάτων ἐνδείκνυσθαι γένεσιν.

GALENI COMMENTARIVS.

Hic rursùs sermo, quemadmodum qui præcessit aphorismus in vna materia idem & in omnibus enunciatur: Quum enim sanitas symmetria sit, omnes immoderatio- E nes, quę plurimum à commoderatione recesserunt, iam morbos esse; quæ verò quod plurimum est, nondum obtinuerunt, morborum generationem indicare necesse est.

Περὶ κόπου τοῦ πονηροῦ γινομένου, καὶ τοῦ αὐτομάτου τριπλασίου.

De lassitudine laboriosa, & spontanea triplici.

Κόποι αὐτόματοι φράζουσι νούσους.

Spontaneæ lassitudines morbos denun- F ciant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ τῆς ἐκ τῶν κινήσεων ἀμετρίας ὄνομά ἐστιν ὁ κόπος, ἀλλὰ τῆς ἐγγινομένης διαθέσεως ἐν τοῖς

GALENI COMMENTARIVS.

Non ex motionibus immoderatis nomen est lassitudo; sed obortæ animalium corporibus affectionis: Non enim aduen-

titias, sed spontaneas lassitudines cōmemorat. Quum igitur absque motu huiusmodi oboriatur affectio, non simpliciter lassitudo; sed lassitudo spontanea nominatur. Quum autem tres sint lassitudines, vt libris de sanitate tuenda declarauimus, vlcerosa, tensiua, & inflammatoria ex his composita, ipsarum quidem prima ex cacochymia; altera ex plenitudine, tertia ex vtraque vnà coeunte ortum habet. Sic enim & de his in opere de sanitate tuenda demonstratum est. Quare meritò spontaneæ lassitudines morbos denunciant.

A τῶν ζώων σώμασιν· οὐ γινομένων γὰρ μόνη μνημονεύει κόπων, ἀλλὰ τῶν αὐτομάτων. Ὅταν οὖν ἄνευ κινήσεως τοιαύτη γένηται διάθεσις, οὐ κόπος ἁπλῶς, ἀλλὰ κόπος αὐτόματος ὀνομάζεται. Τριῶν οὖν ὄντων κόπων ὡς ἐν τοῖς ὑγιεινοῖς ἐδείξαμεν, ἑλκώδους, τονώδους, καὶ φλεγμονώδους τοῦ ἐκ τούτων συντιθεμένου· ὁ μὲν πρῶτος αὐτῶν ἀπὸ κακοχυμίας, ὁ δὲ δεύτερος, ὑπὸ πλησμονῆς, ὁ δὲ τρίτος, ὑπ᾽ ἀμφοτέρων ἅμα συνελθόντων πέφυκε γίνεσθαι. Ἐδείχθη γὰρ οὕτω καὶ περὶ τούτων, ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. Εἰκότως οὖν οἱ αὐτόματοι κόποι, νόσους ἀπαγγέλλουσιν.

B

Signum phreniticum; dolorum nomine morbos interdum intelligi.

Σημεῖον δὲ φρενιτικόν· τῶν πόνων ὀνόματι τάς, νόσους ἢ διαθέσεις αὐτὰς ἐπινοεῖσθαι.

APHORISMVS VI.

QVi aliqua corporis parte dolentes frequentius dolorem non sentiunt, iis mens ægrotat.

ΑΦΟΡΙΣΜΟΣ ϛʹ.

Ὀκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων μὴ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει.

C

GALENI COMMENTARIVS.

DOlores interdum ipsas affectiones nominare consuevit, in quibus dolemus. Quo sensu in Epidemiis loquebatur; *Cranoni vetusti dolores, frigidi; recentes, calidi*: non reipsa dolores calidos, frigidosve; sed morbos, quibus dolores concitantur, ita nominans. Atque nunc eodem modo dolores ipsas affectiones nominauit, quæcunque cum doloribus fieri consueuere, quemadmodum erysipelas, phlegmonem, vulnus, fracturam, rupturam, vulsionem, & quicquid est ejusmodi; quorum, si quod quum adest, ægrotus non sentiat, ejus mens ægrotat. Mentem autem dicere, aut intelligentiam, nihil in præsentia refert.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΟνους εἴωθεν ὀνομάζειν ἐνίοτε, τὰς διαθέσεις αὐτάς, ἐν αἷς ὀδυνώμεθα· κατὰ τοῦτο γοῦν ἔλεγεν ἐν ταῖς ἐπιδημίαις, ἐν Κρανῶνι, αἱ μὲν παλαιαὶ ὀδύναι, ψυχραί, αἱ δὲ νεαραί, θερμαί. Οὐκ αὐτὰς δήπου τὰς ὀδύνας θερμάς, καὶ ψυχρὰς ὀνομάζων, ἀλλὰ τὰς διαθέσεις ἐφ᾽ αἷς γίνονται. Καὶ νῦν οὖν ὡσαύτως εἴρηκε πόνους, αὐτὰς τὰς διαθέσεις, ὅσαι μετ᾽ ὀδύνης γίνεσθαι πεφύκασιν, ἐρυσίπελας δηλονότι, καὶ φλεγμονήν, καὶ τραῦμα, καὶ θλάσμα, καὶ ῥῆγμα, καὶ σπάσμα, καὶ πᾶν εἴ τι τοιοῦτον. Ὧν ἐάν τινος ὑπάρχοντος ὁ κάμνων ἀναίσθητος ᾖ, τὴν γνώμην νοσέει, γνώμην δὲ λέγειν, ἢ διάνοιαν οὐδὲν εἰς τὰ παρόντα διαφέρει.

D

E

De extenuatis corporibus reficiendis.

Περὶ τῆς τῶν λεπτυνομένων σωμάτων ἀναθρέψεως γενησομένης.

APHORISMVS VII.

QVæ diuturno tempore attenuantur corpora, sensim reficere oportet; quæ pauco, paucies.

ΑΦΟΡΙΣΜΟΣ ζʹ.

ΤΑ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα, νωθρῶς ἐπαναστρέφειν δεῖ, τὰ δ᾽ ἐν ὀλίγῳ, ὀλίγως.

GALENI COMMENTARIVS.

EQuidem quę pauco tempore extenuantur corpora, id humorum & spirituum euacuatione, non solidarum partium colliquatione perpessa sunt. Extenuatis autem longo tempore corporibus carnes tabescunt, emaciantur etiam aliæ partes, per quas & concoctio in animalibus, & distributio, & san-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F ΤΑ μὲν γὰρ ἐν ὀλίγῳ χρόνῳ λεπτυνόμενα σώματα, κενώσει τῶν ὑγρῶν, καὶ τῶν πνευμάτων, οὐ συντήξει τῶν στερεῶν πέπονθε τοῦτο. Τοῖς δ᾽ ἐν πλείονι χρόνῳ λεπτυνθεῖσιν, ἐκτήκονται μὲν αἱ σάρκες, ἰσχνὰ δὲ γίνονται, καὶ τὰ ἄλλα, δι᾽ ὧν ἥ τε πέψις τῶν ζώων ἐπιτε-

λεῖται, καὶ ἡ ἀνάδοσις, καὶ ἡ ἐξαιμάτωσις, καὶ ἡ θρέψις, ὥστε οὐ δυνήσεται τοσαύτην κατεργάσασθαι τροφὴν, ὅσης δεῖται τὸ σῶμα. διὰ τοῦτ' οὖν ἐν χρόνῳ πλείονι χρὴ τὰ τοιαῦτα ἀνατρέφειν, καὶ λεπτῶς, ὅπερ ὠνόμασε νωθρῶς· ἐφ' ὧν δὲ μόνα ἐκενώθη τὰ ὑγρὰ, καὶ τὰ πνεύματα, ἐπὶ τούτων διὰ ταχέων ἀνατρέφειν ἐγχωρεῖ, καὶ ἄκρως, ἐπιθαρροῦντας τῇ τῶν στερεῶν εὐρωστίᾳ. Τὸ δὲ ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ, διχῶς γέγραπται, καὶ σημαίνει ταὐτὸν, ἄν τε ὀλίγῳ κατὰ δοτικὴν πτῶσιν γεγραμμένον ᾖ, ἄν τ' ἐπιρρηματικῶς, ὀλίγως μετὰ τοῦ σ.

guificatio, atque nutritio perficitur: quare tantum non poterit alimentum concoqui, quanto corpus indiget. Quamobrem eiusmodi corpora longiori tempore reficere oportet, atque tenuiter, quod sensim nominauit. At quibus soli humores & spiritus euacuati sunt, ea nos celeriter ac pleniùs decet reficere certam solidarum partium robori fiduciam adhibentes. Quod autem aphorismi fini bis additum est, & idem significat, siue *pauco*, casu ablatiuo, siue paucies aduerbialiter scriptum sit.

Τοὺς ἐκ νόσου ἀνισταμένους μὴ ταῖς τροφαῖς ἰσχύειν, τὸ σημεῖον εἶναι, ὅτι πλείονι τροφῇ χρέεται, ἢ τῆς καθάρσεως δεῖται.

Conualescentes non roborari cibis, indicium esse corpus alimento vti copiosiore, aut purgatione indigere.

ΑΦΟΡΙΣΜΟΣ η'.

Ἢν ἐκ νόσου τροφὴν λαμβάνων τις, μὴ ἰσχύῃ, σημαίνει ὅτι πλείονι τροφῇ τὸ σῶμα χρέεται· ἢν δὲ τροφὴν μὴ λαμβάνοντος, τοῦτο γίνηται, χρὴ εἰδέναι, ὅτι κενώσεως δεῖται.

APHORISMVS VIII.

SI quis à morbo cibum capiens non roboretur, copiosiore corpus vti alimento significat. Si verò alimentum copiosius non assumenti id contingat, euacuatione indigere sciendum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ βραχυλογίαν καὶ συνήθειάν τινα λέξεως, ὁποία καὶ νῦν ἔτι παρ' ἡμῖν ἐστιν, ἐν πολλαῖς τῶν κατὰ τὴν Ἀσίαν πόλεων, ἀσαφὴς ὁ ἀφορισμὸς ἐγένετο. Λέγειν γὰρ ἡμῖν ἔθος ἐστὶ, μὴ λαμβάνειν μὲν τροφὴν τοὺς ἀνορέκτους, λαμβάνειν δὲ τοὺς ὀρεγομένους τε, καὶ τρεφομένους ἄχρι κόρου. Ὅσοι μὲν οὖν ὀρεγόμενοι, καὶ τροφὴν δαψιλῆ προσφερόμενοι, τὴν ὑγιεινὴν ἰσχὺν ἀδυνατοῦσιν ἀνακτήσασθαι, βαρύνονται μᾶλλον, οὐ τρέφονται πρὸς αὐτῆς. Ὅσοι δὲ οὐδὲ λαμβάνειν αὐτάρκως δύνανται, μοχθηροὺς ἔχουσι χυμοὺς, οὓς εἰ μὴ κενωθεῖεν, ἀδύνατον αὖθις ἐστι τὴν ὑγιεινὴν ἰσχὺν ἀναλαβεῖν. Ὁ δὲ Ἱπποκράτης, οὐ νῦν μόνον, ἀλλὰ κἀν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν, ὅταν μὲν ἀναλόγως ἀλλήλοις αὐξηθῶσιν οἱ χυμοὶ πάντες, αἵματος ἀφαιρέσει ποιεῖται τὴν βοήθειαν· ὅταν δὲ εἷς τις ἐξ αὐτῶν πλεονάσῃ, καθαρτικὸν ἐκείνῳ δίδωσι φάρμακον. Ἅτε οὖν ταῦτα γινώσκων τε, καὶ πολλάκις ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν εἰρηκὼς, ὀρθῶς ἐπάγει τοὺς ἑξῆς ἀφορισμοὺς δύο, περὶ τῆς αὐτῆς ἔτι διαθέσεως διδάσκων, περὶ ἧς καὶ κατὰ τὸν προκείμενον ἀφορισμὸν ἐδίδαξεν εἰπών. Ἢν δὲ, μὴ λαμβάνοντος, τοῦτο γίγνηται· εἰδέναι, ὅτι κενώσεως δεῖται· καὶ τήν γε τάξιν τῶν ἐφεξῆς δυοῖν ἀφορισμῶν πεπλημμελῆσθαι νομίζω κατὰ τὰ πλεῖστα τῶν ἄλλων ἀντιγράφων· καὶ κάλλιον ἐν ἐκείνοις γέγραπται, καθ' ἃ, ὁ πρότερος ἀφορισμὸς, ἐξ αὐτῶν γέγραπται οὕτω· Τὰ μὴ καθαρὰ σώματα, ὁκόσῳ ἂν θρέψῃς, μᾶλλον βλάψῃς· ἵν' οὖν ὁ πᾶς λόγος ᾖ τοιοῦτος, ἢν δὲ μὴ λαμβάνοντος τοῦτο γίνηται, σημαίνει ὅτι κενώσεως δεῖται. τὰ γὰρ μὴ καθαρὰ σώματα, ὁκόσῳ ἂν θρέψῃς, μᾶλλον

GALENI COMMENTARIVS.

PRopter breuitatem, & quandam loquendi consuetudinem, quæ apud nos etiamnum multis in ciuitatibus Asiæ perteritur, hic aphorismus obscurus factus est. Consuetudo nanque nobis est dicendi, cibum eos non assumere, qui cibum fastidiunt, eos verò cibum capere qui appetunt, & adusque satietatem epulantur. Quicunque igitur appetunt, copiosumque alimentum assumunt, & pristinum sanitatis robur recupare nequeunt, grauantur potiùs, non ab eo nutriuntur. Qui verò neque quod satis sit possunt assumere, vitiosis scatent humoribus, quos nisi euacuarint, vt pristinas sanitatis vires recipiant fieri non potest. At Hippocrates non hîc tantùm, sed & in cæteris suis libris, quum proportione inter se seruata, humores omnes in aucti sunt, sanguinis auxilium adfert; quum verò vnus quidam ex ipsis redundat, ipsi purgans medicamentum exhibet. Quum itaque hæc & nouerit, & multoties suis in operibus eadem tradiderit, rectè sequentes duos aphorismos subjungit, in quibus eandem etiamnum docet affectionem, de qua etiam hoc in præsenti aphorismo hisce verbis docuit: *Si verò copiosius non assumenti hoc accidat, ipsum euacuatione indigere sciendum est*; ac sanè duorum sequentium aphorismorum ordinem in plurimis aliorum exemplaribus deprauatum esse auguror; ac rectiùs in illis scriptum est, in quibus prior aphorismus ita scriptis est proditus, *impura corpora quo plùs alueris, eò magis læseris*; vt tota sit ejusmodi oratio. *Quod si cibum non assumenti hoc accidat, quòd euacuatione indigeat sciendum est; impura nanque corpora quantò plus nutries, tantò magis lædes.*

lædes. Verùm nos maximæ exemplarium partis ordinem sequuti, ipsorum interpretationem ita facturi sumus.

A βλάψῃς. Ἀλλ' ἡμεῖς τῇ κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων ἑπόμενοι τάξει, τὴν ἐξήγησιν αὐτῶν οὕτω ποιησόμεθα.

Ante purgationem corpus præparandum, ac meabile reddendum esse.

Ὅτι πρὸ τῆς καθάρσεως τὸ σῶμα παρασκευάζειν δεῖ, καὶ εὔρουν ποιέειν.

APHORISMVS IX.

QVum quis corpora purgare velit, ea meabilia faciat oportet.

ΑΦΟΡΙΣΜΟΣ θʹ.

B ΤΑ σώματα, χρὴ ὅκου ἄν τις βούληται καθαίρειν, εὔροα ποιέειν.

GALENI COMMENTARIVS.

MVlti profectò volunt corpora fluida ac meabilia fieri, quæ vomitoriis quidem medicamentis vacuanda sunt, vomitoriorum irritamento; quæ verò dejectoriis, medicamentis assiduè aluum subducentibus. Ac propterea totum corporis habitum vtrisque, his quidem ad alui subductionem, his verò ad vomitum præparant. Ego verò Hippocratem arbitror, non id pusillum; sed quid præstantius aliud in præsentia nos docere, quod nos longa experientia didicimus ita se habere. Si quis enim crassos lentosque corporis humores tenuarit ac inciderit, atque meatus per quos hi purgantibus medicamentis traducuntur, trahunturque, reserarit, tum in omnibus optima purgatio procedit. Qui verò his neglectis & vomitus, & alui subductionem procurauerint, iis ægrè molestéque purgationes succedunt, cum torminibus interdum, & quibusdam vertiginibus, & multa quadam iactatione, pulsûs prauitate, virium exolutione, & difficultate. Nobis autem tenuante victu (de quo vnum integrum librum scripsimus) vtentibus, nihil horum contingere consueuit; sed omnium quæ in corpore præter naturam continentur euacuationes citra vllam molestiam, ac celerrimè fiunt: idcirco Hippocratem dicimus suæ orationi hoc adjecisse; *Quum quis purgare velit, corpora fluida ac meabilia faciat oportet*, ac si ita dixisset; siue per vomitus, siue per alui subductionem purgare velis, vbi fluidum ac meabile corpus totum effeceris, sic demum bellissimè purgaueris. Erit autem fluidum ac meabile, vt diximus, omnibus meatibus reseratis, & humoribus incisis, atque tenuatis, si quis humor in corpore crassus ac lentus extiterit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙ μὲν οὖν πολλοὶ βούλονται εὔροα γίγνεσθαι τὰ σώματα, τῶν μὲν ἐμετηρίων φαρμάκων μελλόντων κενοῦσθαι διὰ τοῦ τῶν ἐμετηρίων ἐρεθισμοῦ· τῶν δ' ὑπηλάτων, διὰ τοῦ συνεχῶς ὑπάγεσθαι τὴν γαστέρα. καὶ διὰ τοῦτο τὴν διάθεσιν πᾶσαν, ἑκατέροις, τοῖς μὲν
C εἰς ὑπαγωγὴν γαστρὸς ἐπιτήδειον παρασκευάζουσι, τοῖς δὲ, εἰς ἐμέτους. Ἐγὼ δὲ ἡγοῦμαι τὸν Ἱπποκράτην διδάσκειν ἡμᾶς νῦν, οὐ τουτὶ τὸ σμικρὸν, ἀλλά τι μεῖζον ἕτερον, ὃ διὰ μακρᾶς πείρας ἡμεῖς ἐδιδάξαμεν, οὕτως ἔχον. Εἰ γάρ τις λεπτύνοι, καὶ τέμνοι τοὺς παχεῖς, καὶ γλίσχρους χυμοὺς ἐν τῷ σώματι, καὶ τοὺς πόρους, δι' ὧν οὗτοι μεταλαμβάνονταί τε, καὶ ἕλκονται πρὸς τῶν καθαρτικῶν φαρμάκων, ἀναστομώσειεν, ἡ κάθαρσις, ἀρίστη γίνεται κατὰ πάντα. Τοῖς δὲ, τούτων μὲν ἀμελήσασιν, ἐμέτων δὲ, καὶ γαστρὸς ὑπαγωγῆς
D προνοήσασιν, αἱ καθάρσεις δυσχερῶς ἀπαντῶσι, μετὰ στρόφων ἐνίοτε καί τινων ἰλίγγων, ἄσης τε τινὸς πολλῆς, καὶ κακοσφυξίας, ἐκλύσεώς τε, καὶ δυσκολίας. Ἀλλ' ἡμεῖς γε τῇ λεπτυνούσῃ χρώμεθα ἀγωγῇ, περὶ ἧς ὅλον ἕν ἐστιν ὑπόμνημα γεγραμμένον ἡμῖν, καὶ οὐδὲν οὔτε τούτων εἴωθε συμβαίνειν, αἵ τε κενώσεις ἁπάντων τῶν παρὰ φύσιν, ἀλυπόταται, καὶ τάχισται γίνονται. διὰ τοῦτο, τὸν Ἱπποκράτην φαμὲν τῷ λόγῳ προστεθεικέναι, τὸ, ὅκου τις ἂν βούληται καθαίρειν, τὰ σώματα εὔροα ποιέειν, ὡσεὶ καὶ οὕτως εἶπεν, εἴτε καὶ δι' ἐμέτων, εἴτε καὶ δι' ὑπαγωγῆς γαστρὸς ἐθέλοις καθαίρειν, εὔρουν ὅλον ἐργασάμενος τὸ σῶμα, κάλλιστα ἂν οὕτω καθάρῃς· εὔρουν
E δὲ ὡς εἴπομεν ἔσται, τῶν μὲν πόρων ἁπάντων ἀναστομωθέντων, τῶν δ' ὑγρῶν τμηθέντων, καὶ λεπτυνθέντων, εἴπου τι παχὺ καὶ γλίσχρον ὑγρὸν ᾖ κατὰ τὸ σῶμα.

Quòd cacochymia nutritionem prohibeat, lædatque.

Ὅτι ἡ κακοχυμία τὴν θρέψιν κωλύῃ τε καὶ βλάπτῃ.

APHORISMVS X.

IMpura corpora quò liberaliùs alueris, eo magis læseris.

F

ΑΦΟΡΙΣΜΟΣ ιʹ.

ΤΑ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσον ἂν θρέψῃς, μᾶλλον βλάψεις.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συνδιαφθείρεται γὰρ ἡ ἐπεισιοῦσα τροφὴ, τῇ προϋπαρχούσῃ κατὰ τὸ σῶμα κακοχυμίᾳ, ὡς τὴν αὐξάνεσθαι μὲν αὐτῆς τὴν ποσότητα, φυλάττεσθαι δὲ τὴν ποιότητα. Καὶ μάλιστα γίγνεται τοῦτο, ὅταν ἡ γαστὴρ ἀναπεπλησμένη μοχθηρῶν χυμῶν ᾖ τινων, ὑφ' ὧν καὶ τὸ μικρὸν ἔμπροσθεν εἰρημένον σύμπτωμα, τοῖς ἀνακομιζομένοις ἐκ τῶν νοσημάτων συμβαίνει, τὸ μὴ δύνασθαι λαμβάνειν τροφάς.

GALENI COMMENTARIVS.

Corrumpitur enim accedens alimentum præcedenti corporis cacochymiâ; itavt ipsius quantitas augeatur, qualitas verò seruetur. Atque hoc fit maximè quum venter prauis quibusdam humoribus refertus extiterit, à quibus & symptoma paulò ante commemoratum ex morbo conualescentibus accidit; id autem est, cibum assumere non posse.

B

Τοῦ ποτοῦ, ἢ σιτίου, καὶ τῆς ὀσφρήσεως ἢ ποτοῦ ῥᾷον πληροῦσθαι.

Potu quàm cibo, & odoribus quàm potu facilius refici.

ΑΦΟΡΙΣΜΟΣ ια'.

Ῥᾷον πληροῦσθαι ποτοῦ, ἢ σιτίου.

APHORISMVS XI.

Potu quàm cibo refici facilius est.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ περὶ τῶν ἀναθρέψεως δεομένων, ὁ λόγος αὐτῷ προείρηται, διὰ τοῦτο, τὸ νῦν ἔγραψε τὰς διαφορὰς τῶν ὑλῶν, ὑφ' ὧν ἀναθρέφονται. Γέγραπται δὲ καὶ ἐν τῷ περὶ τροφῆς, ὧδε· ὁκόσοι ταχίστης προσθέσεως δέονται, ὑγρὸν ἴημα εἰς ἀνάληψιν δυνάμεως ἄριστον· ὅκου δὲ ἔτι ταχυτέρης, δεῖ ὀσφρήσεως. Ἀκούειν δ' οὐχ ἁπλῶς χρὴ καθ' ἑκάτερον βιβλίον, οὔτ' ἐκεῖ τὸ ὑγρὸν, οὔτ' ἐνταῦθα τὸ ποτὸν, ἀλλ' ἐπὶ τῶν πεφυκότων τρέφειν ὑγρῶν, καὶ ποτῶν. Εἰ γὰρ μὴ ὁμοίως ταῦτα τοῖς στερεωτέροις τρέφει, πλεονεκτοῦσι τῷ τάχει, καθάπερ οἱ παχύτεροι τῶν οἴνων. Οἱ μὲν γὰρ ὑδατώδεις, ὀνομάζουσι δ' οὕτως τοὺς λευκοὺς καὶ λεπτοὺς, ἐγγὺς ὕδατος ὥσπερ τὴν ἰδέαν εἰσὶν, οὕτω καὶ τὴν δύναμιν, ὅθεν οὔρησιν μὲν κινοῦσιν, ἥκιστα δὲ τρέφουσιν. ὅσοι δὲ παχεῖς τε ἅμα, καὶ τὴν χρόαν ἐρυθροὶ, τροφιμώτατοι πάντων οἴνων εἰσὶν, ὑπάρχει δὲ τούτοις καὶ τὸ τάχιστα πληροῦν τὰ κεκενωμένα σώματα, καὶ διὰ τοῦτο, προσθέσεως δεόμενα. Ὅτι δ' ὑγρὰ τροφὴ, καὶ μάλισθ' ὅταν φύσει θερμὴ ᾖ ῥᾷον ἀναθρέφει, πρόδηλον τοῖς ἐγνωκόσιν, ὅπως ἀνάδοσίς τε, καὶ πέψις γίνεται.

GALENI COMMENTARIVS.

Quia sermo ipsi de refectionis indigentibus præcessit, propterea nunc materiarum quibus *conualescentes* reficiuntur recreanturque, differentias scripsit. Sic autem ei in libro de alimento scriptum est; *Qui celerrima alimenti appositione indigent, iis humidum ad virium instaurationem remedium optimum est; vbi verò etiamnum celeriore, opus fuerit odoribus.* At neutro in libro, neque in illo humorem, neque in hoc potum absolutè; sed pro D liquidis ac poculentis quæ alere queant, accipere oportet. Nam si hæc liquida peræquè ad solidiora nutriunt, distributionis tamen celeritate superant, quemadmodum vina crassiora. Nam aquosa (sic autem alba & tenuia nominant) ut prope aquæ ideam, sic & facultatem consequuntur; vnde vrinas quidem promouent; sed minimum nutriunt. Quæ verò crassa sunt, ac simul colore rubra, omnium vinorum maximè nutriunt. His autem E inest corpora euacuata, proindéque accessionis alimenti indigentia, celerrime replere. Quòd autem humidum alimentum ac maximè quum natura calidum fuerit faciliùs reficiat, iis apertum est, qui norunt quomodo tum coctio, tum distributio fiat.

Ὅτι ἡ κακοχυμία μετὰ κρίσιν περίλοιπος τὰς ὑποστροφὰς ποιέει.

Quòd cacochymia post crisim superstes, morborum reuersiones excitet.

ΑΦΟΡΙΣΜΟΣ ιβ'.

F

Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφὰς ποιέειν εἴωθεν.

APHORISMVS XII.

Quæ per morbos post crisim residua immorantur morborum reuersiones facere consueuerunt.

A

GALENI COMMENTARIVS.

HIc etiam aphorismus superioribus connectitur. Quum enim Hippocrates dixerit; *Si quis à morbo cibum assumens non roboretur, copiosiore corpus vti alimento significat; si verò alimentum non assumenti id contingat, euacuatione ipsum indigere sciendum est*; atque eam ob causam quum deinceps de vacuationibus disseruisset, nunc causam prodit, qua qui post morborum cibos fastidiunt, vacuatione indigeant; ac si tota ipsi hunc in modum processisset oratio; *Quod si copiosiorem cibum non assumenti hoc accidat, ipsum vacuatione indigere significat. Nam quæ post crisim relinquuntur, recidiuas facere consueuerunt.* Patet per ea quæ relinquuntur in morbis prauorum humorum reliquias ipsum vocasse, quas tempore putrescentes, febres redaccendere necesse est. Quandoquidem omnis humor alienus à corporis ipsum continentis natura, illud alere non potest, ac in posterum necessariam habet ad putredinem mutationem. Quum autem & locus calidus existat in quo collectus est humor, tum demum & maximè, & celerrimè putrescit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ οὗτος ὁ ἀφορισμὸς συνέζευκται τοῖς προειρημένοις· εἰρηκὼς γὰρ ὁ Ἱπποκράτης, ἢν ἐκ νόσου τις τροφὴν λαμβάνων, μὴ ἰσχύῃ, σημαίνει ὅτι τὸ σῶμα πλείονι τροφῇ χρέεται· ἢν δὲ τροφὴν μὴ λαμβάνοντος, τοῦτο γίγνεται, σημεῖον ὅτι κενώσεως δεῖται· Καὶ διὰ τοῦτο, περὶ τῶν κενώσεων ἐφεξῆς διελθὼν, ἀπέδωκε νῦν τὴν αἰτίαν τοῦ δεῖσθαι κενώσεως τοὺς ἀνορέκτους μετὰ νόσον, ὡσεὶ καὶ οὕτως ὁ πᾶς εἴρηται λόγος αὐτῷ· ἢν δὲ μὴ λαμβάνοντος, τοῦτο γίνεται, σημαίνει ὅτι δεῖται κενώσεως. Τὰ γὰρ

B

ἐγκαταλιμπανόμενα μετὰ κρίσιν, ὑποστροφώδεα, δηλονότι τὰ λείψανα τῶν μοχθηρῶν χυμῶν, ἐγκαταλιμπανόμενα κέκληκεν, ἅπερ ἀνάγκη σηπόμενα τῷ χρόνῳ, πυρετοὺς ἀνάπτειν· ἐπειδὴ πᾶν ὑγρὸν, ἀλλότριον τῆς τοῦ περιέχοντος αὐτὸ σώματος φύσεως, οὔτε τρέφειν ἐκεῖνο πέφυκε, καὶ λοιπὸν ἐξ ἀνάγκης ἔχει, τὴν εἰς σηπεδόνα μεταβολήν. Ὅταν δὲ καὶ θερμὸν ᾖ τὸ χωρίον ἐν ᾧπερ ἂν ἠθροισμένον ὑπάρχει, τότε δὴ μάλιστά τε, καὶ τάχιστα σήπεται.

C

Crisis futuræ ac imminentis signa.

Τὰ τῆς κρίσεως γενησομένης τε καὶ ἐνισταμένης σημεῖα.

APHORISMVS XIII.

QVibus crisis oboritur, iis nox præcedens accessionem molestè fertur; quæ verò subsequitur, plerunque leuior toleratur.

D

ΑΦΟΡΙΣΜΟΣ ιγ'.

ΟΚόσοισι ἡ κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ, ἡ δὲ ἐπιοῦσα, εὐφορωτέρη ὡς ἐπὶ τὸ πολύ.

GALENI COMMENTARIVS.

CRisis subita est in morbo ad salutem aut mortem mutatio. Fit autem crisis natura à bonis *&* *vtilibus* praua *&* *inutilia* secernente, & ad excretionem præparante. Merito itaque in tali turbatione iactantur ægri, iactatioque noctu magis deprehenditur; noctu nanque dormiendi nobis est consuetudo. Somno igitur à turbatione interrupto, manifestè jactatio dignoscitur etiamsi dies similem turbationem sortiatur, quum proxima nox crisim exceptura sit. Quod autem in aphorismi fine scriptum est; *Quæ verò subsequitur, plerunque leuior ac toleratu facilior existit*, multis in exemplaribus non continetur. Vult autem nos docere noctem quæ crisim subsequitur, præcedente plerunque leviorem existere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΜὲν κρίσις, ὀξύῤῥοπός ἐστιν ἐν νόσῳ μεταβολὴ πρὸς ὑγείαν, ἢ θάνατον. γίγνεται δὲ, τῆς φύσεως διακρινούσης ἀπὸ τῶν χρηστῶν τὰ μοχθηρὰ, καὶ παρασκευαζούσης πρὸς τὴν ἔκκρισιν. Εἰκότως οὖν ἐπὶ τῇ τοιαύτῃ ταραχῇ δυσφοροῦσι, καὶ μᾶλλον καταφωρὸς

E

ἡ δυσφορία γίνεται κατὰ τὰς νύκτας, ἐν ταύταις γὰρ ἡμῖν ἔθος ἐστὶ κοιμᾶσθαι· διακοπτομένων οὖν τῶν ὕπνων ὑπὸ τῆς ταραχῆς, ἐναργῶς ἡ δυσφορία διαγινώσκεται, καί τοι τῆς ἡμέρας ὁμοίαν ἐχούσης ταραχὴν, ἐπειδὰν ἡ μετ' αὐτὴν νὺξ ἔχῃ τὴν κρίσιν. Τὸ δὲ ἐπὶ τέλει τοῦ ἀφορισμοῦ γεγραμμένον, ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπὶ τὸ πολὺ, κατὰ τὰ πολλὰ τῶν ἀντιγράφων οὐ

F

φέρεται. βούλεται δὲ ἡμᾶς διδάσκειν, ὡς ἡ μετὰ τὴν κρίσιν νὺξ εὐφορωτέρα τῆς προηγησαμένης ἐστὶν ὡς ἐπὶ τὸ πολὺ, διὰ τὸ τὰς κρίσεις τὰς πλείους, εἰς ἀγαθὸν τελευτᾶν· ἴσμεν γὰρ ὡς τῶν νοσούντων οἱ σωζόμενοι, πλείους εἰσὶ τῶν ἀποθνησκόντων, πλὴν εἰ μή ποτε λοιμώδης ἡ κατάστασις γενηθείη.

A

Περὶ τῶν ἀγαθῶν τε καὶ πονηρῶν διαχωρημάτων.

ΑΦΟΡΙΣΜΟΣ. ιδ'.

ΕΝ τῇσι τῆς κοιλίης ῥύσεσιν, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΙ μεταβολαὶ τῶν διαχωρημάτων, πολλὰς ἰδέας ἐκκενοῦσαι χυμῶν, ἀκριβέστερον ἐκκαθαίρουσι τὸ σῶμα, πλὴν εἰ μὴ συντήξεως, καὶ σηπεδόνος ἔχοιεν σημεῖα. περὶ ὧν ἐν τῷ προγνωστικῷ διῆλθεν αὐτὸς, ἔνθα καὶ λιπαρῶν, καὶ δυσωδῶν ἐμνημόνευσε, καὶ κακόσμων.

Ὅπου ὁ φάρυγξ νοσέει, καὶ ἐκφύεται τὰ φύματα, τὰ ὅλου τοῦ σώματος συννοσέοντος, ἢ μὴ συννοσέοντος εἶναι σημεῖα.

ΑΦΟΡΙΣΜΟΣ ιε'.

ΟΚου φάρυγξ νοσεῖ, ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, σκέπτεσθαι χρὴ τὰς ἐκκρίσιας. ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσεῖ· ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΥο λόγους ἀλλήλοις ἀντιθεὶς, ἐν ἑκατέρῳ παραλέλειπται τὸ συνεμφαινόμενον τῷ λόγῳ· ὥστε τοῦ λείποντος, ἑκατέρῳ προστεθέντος, ἡ σύμπασα λέξις ἐστὶ τοιαύτη, ὅκου φάρυγξ νοσεῖ, ἢ φύματα ἐν τῷ σώματι, φύη, σκέπτεσθαι χρὴ τὰς ἐκκρίσιας. ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα συννοσεῖ, καὶ οὐκ ἀσφαλὲς τρέφειν αὐτό. ἢν δὲ ὅμοιαι τοῖς ὑγιαίνουσι γίνονται, οὔτε συννοσεῖ τὸ σῶμα, καὶ ἀσφαλὲς τρέφειν αὐτό. ἐξ ὧν δὲ μοι δοκεῖ πείσας ἑαυτὸν ὁ Ἱπποκράτης, οὕτως ἀποφήνασθαι, καὶ δὴ φράσω. Τῶν ζώων ἡ φύσις ἐστὶν, ὅτε τοῖς ἐν τοῖς κυρίοις μέρεσι μοχθηροὺς χυμοὺς ἐκκενοῦσα, τινὰς μὲν δι' οὔρων, ἢ ἐμέτων ἢ τῆς κάτω γαστρὸς ἐκκρίνει, τινὰς δὲ ἐξωθεῖν μὲν ὡς ἐπὶ τὸ δέρμα, κενῶσαι δὲ οὐ δυναμένη διὰ τὸ πάχος, ἀποτίθεται ταύτῃ φύματά τε ἐν τῷ σώματι οὕτω γίνεται. Πολλάκις δὲ, ἡ τε φάρυγξ ὑποδεχομένη τοὺς ἐκ τῆς κεφαλῆς καταρρέοντας χυμοὺς, ἐνοχλεῖται. Σκεπτέον οὖν ἐστὶ τηνικαῦτα, καὶ διαιρετέον, εἴ τε σύμπαν ἤδη τὸ περιττὸν ἡ φύσις ἐναποτίθεται τοῖς πεπονθόσι μορίοις, εἴ τ' ἔστιν ἔτι καθ' ὅλον τοῦ ζώου τὸ

De probis ac pravis dejectionibus.

APHORISMVS XIV.

IN alui fluxionibus deiectionum mutationes, nisi in pravas mutentur, iuuant.

B GALENI COMMENTARIVS.

QVæ mutationes excrementorum multas humorum species præ se ferunt, corpus exploratius repurgant, nisi colliquationis aut putredinis habeant signa; de quibus ipse in Prognostico disseruit; vbi & pinguium, & vitiosorum, & graviter olentium excrementorum meminit.

C Vbi fauces ægrotant, & erumpunt tubercula, corporis vniuersi simul ægrotantis, aut minimè laborantis signa esse.

APHORISMVS XV.

VBi fauces ægrotant, aut in corpore tubercula exoriuntur, excretiones spectandæ sunt. Si nanque biliosæ sint, corpus simul ægrotat. At si sanorum excretionibus similes extiterint, securè corpus nutriendum est. D

GALENI COMMENTARIVS.

QVum duos aphorismos inter se opposuisset, vtrobique quod manifestè consequebatur, prætermisit. Quare si vtriq; quod deest adjungatur, ejusmodi vniuersa erit oratio; *Vbi fauces ægrotant, aut in corpore tubercula enascuntur, excretiones spectandæ sunt;* Si E nanque biliosæ fuerint, vnà corpus ægrotat, neque tutum est ipsum alere. Si verò sanorum similes fuerint, corpus vnà non ægrotat, ac ipsum alere tutum est. Quibus autem rationibus mihi videtur Hippocrates sibi ipsi persuadens, ita pronunciasse jam jam dicturus sum. Animantium naturæ est interdum prauos principum partium humores euacuando, alios per vrinas, aut vomitus, aut aluum excernere; alios ad cutim protrudere, quos si propter crassitiem vacuare nequeat, eo loci ipsos deponit, atque sic in corpore tubercula F nascuntur; sæpe etiam exceptis è capite defluentibus humoribus fauces infestantur. Tunc igitur considerandum est, ac distinguendum, vtrum quicquid redundans erat humoris natura iam in affectas partes deposuerit, an adhuc restet in toto animantis corpore prauo-

rum humorum copia; id autem excrementis patebit. Nam si omnino natura ad corpus expurgandum concitata sit, ipsa biliosa conspicientur; quòd & tubercula calefacto sanguine à bilioso humore fieri consueuerint; patetque priùs purganda, quàm nutrienda esse huiusmodi corpora. *Impura nanque corpora quantò plus nutries, tantò magis lædes.* Si verò excrementa sanorum sint similia, totum corpus bene valere, ipsumque citra vllum periculum nutriri posse indicant.

A σῶμα, μοχθηρῶν χυμῶν περιουσία, δῆλον δ' ἔσται τοῦτο ταῖς ἐκκρίσεσιν. Εἰ γὰρ ὅλως ἡ φύσις ὥρμησεν ἐκκαθαίρειν τὸ σῶμα, χολώδεις ἔσονται φαινόμεναι· διότι καὶ τὰ φύματα, θερμαινθέντος αἵματος ὑπὸ τοῦ πικροχόλου χυμοῦ γίγνεσθαι πέφυκε, καὶ δηλονότι πρότερον καθᾶραι, οὐ τρέφειν χρὴ τὰ τοιαῦτα σώματα. Τὰ γὰρ μὴ καθαρὰ σώματα ὁκόσῳ ἂν μᾶλλον θρέψῃς, μᾶλλον βλάψῃς. εἰ δ' ὅμοιαι τοῖς τῶν ὑγιαινόντων αἱ ἐκκρίσεις εἶεν, ὑγιαῖνον ἐνδείκνυται τὸ ὅλον σῶμα, καὶ κίνδυνος οὐδεὶς ἐστι τρέφειν αὐτό.

B

Vrgente fame laborem vitandum esse; quid fames, quid labor.

Βιαζομένου τοῦ λιμοῦ τὸν πόνον κωλυτέον εἶναι. Τί ὁ λιμός. Τί πόνος.

APHORISMVS XVI.

VBi fames, minimè laborandum est.

ΑΦΟΡΙΣΜΟΣ ιϛʹ.

ΟΚου λιμός, οὐ δεῖ πονέειν.

GALENI COMMENTARIVS.

C

FAmelicos eos esse dicimus, qui ob ciborum inopiam ad famis extremum deueniunt. Sic Hippocrates ipse secundo Epidemiorum libro loquutus est. Æni *Thraciæ* qui ob famem leguminibus vescebantur, ij cruribus imbecilles euaserunt. Quin etiam omnem vehementem ciborum penuriam etiamsi non inopia; sed voluntario, aut imperato fiat, famem appellare consueuit. Quum enim diceret carnes humidas habentibus famem inducendum esse; fames enim corpus exiccat. Et quum in Prognostico præcipit percunctandum num homo vigilauerit, aut D alui admodum perhumida excrementa fuerint, aut fames ipsum obsederit, pro ciborum penuria famis vocabulum accepit; sic etiam nunc dixit. *Vbi fames, labori haud incumbendum est*; ac si ita dixisset; Non comesuris eo die nullus labor inferendus est. Hîc autem per laborem motus vehemens est intelligendus, quem exercitium nominant. Eo siquidem sensu ipse dicebat; *Labores cibum præcedant.* Est igitur ipsi sermo tum sanis, tum ægrotantibus communis. Neque enim sanis cum inedia simul exercitia imperanda sunt; E neque ægrotantibus motus vllus corpori vehemens vnà cum inedia inducendus, non sanguinis missione, non purgatione, non per vomitum vacuatione, non multæ frictionis vsu, non denique vehementi vlla corporis commotione, aut corporis alteratione. Hisce nanque motibus omnibus quum citra cibum fiant, vires dissolui accidit; siue sani viuent, siue ægrotent homines. At verò Hippocrates moderatricem animalium vim aut potentiam perpetuò tueri magnopere studuit. Siue igitur singulari numero aut potentiam, siue plurali vires dixerimus, nihil retulerit. Atque id F libro de alimento ipse dicebat, vis aut potentia vna, & non vna; vnam quidem genere potentiam esse, eamque plures habere species.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΛΙμώττειν ἐκείνους φαμέν, ὅσοι δι' ἀπορίαν σιτίων, εἰς ἄκρον ἥκουσι πείνης. Οὕτως οὖν καὶ Ἱπποκράτης αὐτὸς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἶπεν· ἐν Αἴνῳ ὀσπριοφαγέοντες ἐν λιμῷ, σκελέων ἀκρατέες ἐγένοντο. Καὶ μέντοι καὶ πᾶσαν τὴν σφοδρὰν ἔνδειαν τῶν σιτίων, εἰ καὶ χωρὶς ἀπορίας κατὰ προαίρεσιν ἢ πρόσταγμα γένοιτο, λιμὸν ὀνομάζειν εἴωθεν. ὅταν οὖν εἴπῃ, τοῖσιν ὑγρὰς ἔχουσι τὰς σάρκας, λιμὸν ἐμποιέειν, λιμὸς γὰρ τὸ σῶμα ξηραίνει. Καὶ ἐπειδὰν ἐν τῷ Προγνωστικῷ φησι, ἐπανερέσθαι χρή, μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος, ἢ τὰ τῆς κοιλίας ἐξυγρασμένα εἴη ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχει αὐτόν· ἐπὶ τῆς τῶν σιτίων ἐνδείας φέρει τοὔνομα. καὶ νῦν δὴ τὸ ἔπος εἴρηκεν, ὅκου λιμός, οὐ δεῖ πονέειν, ὡσεὶ καὶ οὕτως εἰρήκει, τοῖς μὴ μέλλουσιν ἐσθίειν, μηδὲ πόνον τινὰ προσφέρειν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Πόνον δὲ νῦν ἀκούειν χρὴ τὴν σφοδρὰν κίνησιν, ἥνπερ καὶ γυμνάσιον ὀνομάζουσιν. Οὕτω γοῦν ἔλεγεν αὐτός, πόνοι σιτίων ἡγείσθωσαν. Ἔστιν οὖν ὁ λόγος αὐτῷ κοινὸς ὑγιαινόντων τε καὶ νοσούντων. Ὑγιαίνουσί τε γὰρ οὐ χρὴ προστάττειν γυμνάσια, ἅμα ταῖς ἀσιτίαις, ἐπί τε τῶν νοσούντων μηδεμίαν σφοδρὰν κίνησιν ἐπάγειν τῷ σώματι σὺν ἀσιτίᾳ, μήτε φλεβοτομοῦντα, μήτε καθαίροντα, μήτε ἐμέτοις κενοῦντα, μήτε τρίψει χρώμενον πολλῇ, μήθ' ὅλως ἰσχυρᾷ κινήσει ἢ ἀλλοιώσει τοῦ σώματος. Ἐπὶ γὰρ ταῖς τοιαύταις κινήσεσιν ἁπάσαις, ὅταν ἄνευ τροφῆς γίγνωνται, καταλύεσθαι πέφυκεν ἡ δύναμις, ἄν τε ὑγιαίνωσιν, ἄν τε νοσῶσιν οἱ ἄνθρωποι. Πεφρόντικε δ' ἀεὶ μεγάλως ὁ Ἱπποκράτης τοῦ φυλάττειν ἐρρωμένην τὴν τὰ ζῷα διοικοῦσαν δύναμιν. Εἄν τε οὖν κατὰ τὸν ἑνικὸν ἀριθμὸν εἴπωμεν δύναμιν, ἄν τε κατὰ τὸν πληθυντικόν, δυνάμεις, οὐ διοίσει. Καὶ τοῦτο κατὰ τὸ περὶ τῆς τροφῆς αὐτὸς εἶπε, δύναμις μία, καὶ οὐ μία· κατὰ μὲν τὸ γένος δηλονότι ἐμφαίνων μίαν εἶναι τὴν δύναμιν, ἰδέας δὲ πλείους ἔχειν.

A

Ὅτι τροφὴ πλείων ἡ τοῦ νοσήματος αἰτία ᾖ. Τί καὶ ὁπόσα πλησμονή. Τί παρὰ φύσιν ἡ τροφὴ εἰσελθεῖσα. Τί ἡ κένωσις. καὶ τῷ πλήθει τὴν κατὰ φλεβοτομίαν κένωσιν ὀφείλεσθαι.

Cibum copiosiorem morbi esse causam. Quid satietas, & quotuplex. Quid cibus præter naturam ingestus. Quid vacuatio; ac plenitudini vacuationem per phlebotomiam deberi.

ΑΦΟΡΙΣΜΟΣ ιζ'.

Ὁκοῦ ἂν τροφὴ παρὰ φύσιν πλείων εἰσέλθῃ, τοῦτο νόσον ποιέει, δηλοῖ δὲ καὶ ἡ ἴησις. B

APHORISMVS XVII.

VBi cibus præter naturam copiosior ingestus fuerit, id morbum creat, quod & prodit sanatio.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὃ καθ' ἕτερον ἀφορισμὸν ἔφη καθόλου, τοῦτο νῦν ἐφ' ἑνὸς εἴδους διδάσκει. Καθόλου μὲν γάρ ἐστιν ὁ τοιοῦτος λόγος, οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ' ἄλλο οὐδὲν ἀγαθὸν, ὅτι ἂν μᾶλλον τῆς φύσεως ᾖ. ὁ δὲ νῦν ἡμῖν προκείμενος ἀφορισμὸς, ὑπὲρ ἑνὸς ἀποφαίνεται πράγματος, τῆς πλησμονῆς. Ἡ γὰρ πλείων τροφὴ τῆς τοῦ σώματος φύσεως, ὀνομάζεται πλησμονή. C Πρός τι μὲν οὖν ἀεὶ τὸ πλέον· ἀλλ' ἔν γε τοῖς ἡμετέροις σώμασι, διττόν. ἓν μὲν, ὡς πρὸς τὴν τῶν ἀγγείων εὐρυχωρίαν, ἕτερον δὲ, ὡς πρὸς τὴν διοικοῦσαν ἡμᾶς φύσιν· ὑπὲρ οὗ νῦν διδάσκων ἡμᾶς ὁ Ἱπποκράτης, ἔφη, τὴν πλείονα τροφὴν εἶναι παρὰ φύσιν, ἵνα μήτε τοὺς ἐμπεπλησμένους εἰς τοσοῦτον σιτίων ὡς διατετάσθαι τὴν γαστέρα, πάντως ὑπολαμβάνωμεν ἐκ τούτου βλαβήσεσθαι μήτε τοὺς ἐνδεὲς ἔχοντας αὐτῆς τὸ κύτος, ὀλίγα δὲ προσενηνέχθαι, καὶ πάντως πέψαι καλῶς αὐτά. D Καὶ γὰρ τοὺς προτέρους ἐγχωρεῖ πέψαι τὰ πεπληρωκότα τὴν κοιλίαν, εἰ ῥωμαλέαν αὐτὴν ἡ φύσις ἔχει· καὶ τοὺς δευτέρους ἀπεπτῆσαι, δι' ἀρρωστίαν, καὶ μάλιστα ὅταν εὔπεπτα μὲν οἱ πρότεροι, δύσπεπτα δ' οἱ δεύτεροι, τὰ σιτία προσενηνεγμένοι τύχωσιν. Οὕτω δὲ κἀπὶ τῆς ἀναδοθείσης τροφῆς, ἡ αἱματοῦσα δύναμις, ἀνάλογον τῇ πεπτούσῃ κατὰ τὴν γαστέρα, ποτὲ μὲν ὑπ' ἀρρωστίας, οὐκ ἀλλοιώσει τὸν εἰς τὰς φλέβας ἀναδοθέντα χυμὸν, κἂν εἰ σύμμετρος εἶναι δοκεῖ, ποτὲ δὲ τὸν τούτου πολλαπλάσιον ἑτοίμως αἱματώσει, διά τε τὴν ἑαυτῆς E ῥώμην, καὶ τὴν ἐπιτηδειότητα τοῦ χυμοῦ. Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ἡ τρίτη τροφὴ, ἥνπερ δὴ καὶ κυριώτατα λέγομεν τροφὴν, ἡ προστιθεμένη τοῖς τοῦ ζώου μορίοις, ὡς πρὸς τὴν δύναμιν, ἤτοι πλείων ἢ οὐ πλείων εἶναι λεχθήσεται, καὶ ἤτοι πεφθήσεται καλῶς, καὶ θρέψει, ἢ οὔ· καὶ κατὰ τοῦτο, ἤτοι κρατηθήσεται πρὸς αὐτῶν, ἢ μὴ κρατουμένη, διαφθαρήσεται, καὶ νόσον γεννήσει. μία μὲν οὖν ἐξήγησις αὕτη, τὸ πλέον, ὡς πρὸς τὴν διοικοῦσαν δύναμιν τὰ ζῶα ἀκουόντων ἡμῶν. F Ἑτέρα δὲ, τὸ κατὰ ποιότητα παρὰ φύσιν, ἀληθὴς καὶ αὕτη. Τρέφεται γὰρ ἕκαστον μόριον ἐξ οἰκείας αὐτῷ τροφῆς, ἣν ὀρθῶς ἂν εἴποιμεν εἶναι κατὰ φύσιν ἑαυτῷ. Ἐὰν οὖν ποτε εἰς αὐτὸ παραγένηται χυμός τις, ἑτέρῳ

GALENI COMMENTARIVS.

QVod altero in aphorismo vniuersaliter protulit, id nunc in vna specie docet: Vniuersalis enim est hic sermo; *Non satietas, non fames, neque aliud quicquam quod naturæ modum excesserit, bonum.* At præsens nunc aphorismus de vna re scilicet satietate pronunciat. Copiosior siquidem quàm pro corporis natura cibus *assumptus*, satietas appellatur. Quod igitur copiosius est, id semper ad aliquid dicitur. Verùm *id copiosius* nostris in corporibus duplex est; vnum prout ad vasorum capacitatem, alterum prout ad naturam nos gubernantem refertur. De posteriore nunc nos docens Hippocrates copiosius alimentum præter naturam esse pronunciauit; ne eos qui tantam ciborum copiam ingurgitarunt, vt ipsis venter distendatur, ac inde omnino læsionem percepturos; aut eos quibus ad ventris explendam capacitatem cibi aliquid deest, pauca assumpsisse, eaque belle omnino concocturos arbitremur. Etenim priores cibaria ventriculum implentia concoquere contingit, si ipso naturæ robore polleant; posteriore ob imbecillitatem concoquere, non posse, tum maximè quum illi quidem cibos concoctu faciles, hi verò concoctu difficiles assumpserint. Sic verò & in alimenti distributione facultas sanguifica coctrici ventriculi facultati proportione respondens, interdum ob imbecillitatem, humorem ad venas distributũ alterabit, etiamsi commoderatus esse videatur; inrerdum commoderato multò copiosiorem promptè in sanguinem trasmutabit, tum propter propriũ ipsius robur, tum propter idoneam humoris naturam. Eodem planè modo tertium etiam alimentũ (quod profectò maximè propriũ alimentum dicimus, quod animantis partibus apponitur) pro naturæ viribus aut copiosius, aut parcius dicetur, ipsumque aut belle concoquetur & alet, aut non; atque ita aut à natura vincetur, aut minimè euictus corrumpetur, morbumque creabit. Vna igitur *aphorismi*, ipsa est expositio quą nos copiosiorem cibum ad facultatem animantium moderatricem relatione intelligimus. Altera sit qua *cibus* qualitate præter naturam est, vera & ipsa. Alitur enim quæque pars ex familiari sibi alimento, quòd illi rectè secundùm naturam esse dixerimus. Itaque si quis humor in-

terdum ad eam accedat qui alteri quidem parti sit secundùm naturam; sed huic alienus, & præter naturam; malum quidem hoc existit, non tamen necessariò sequetur morbus, quum exigua portio fuerit. Quum enim medicamenta hæc mandragoras, papauer, atque cicuta, quæ corpus nostrum corrumpere possunt, citra quantitatem oblædere nequeant: multò minùs huiuscemodi humor qui præter id quod non corrumpat, alias etiam partes alere potest; alioquin neque alimentum ipsum per initia vocasset, nisi tali esset facultate præditus. Quemadmodùm enim si quid exiguum spiritus per gulam in ventriculum delatum fuerit, aut epoti liquoris pauxillum in pulmonem per asperam arteriam deerrauerit, neque ventriculus propterea, neque pulmo ægrotabit: sic quoque se res habet in aliarum partium alimento. Iam verò & tertia quædam à nonnullis inuecta est interpretatio nos præter naturam pro magnopere ac supra modum accipere imperantibus, ac si ita dixisset; *Vbi copiosior cibus exuperanter ingestus fuerit, id morbum creat*: Nam qui paululum commoderationem exuperat, hunc morbum nondum creare; sed intra sanitatis latitudinem corpus tueri, vera quidem hæc est sententia. Cibus nanque morbum facturus exquisitam commoderationem non exigua quadam portione excedat oportet. Verùm huius rei gratiâ *Medicis* consuetudo non est orationem distinguendi. Consueuerunt enim ipsum solum genus morbi causam pronunciare, vt æstum, frigus, fatigationem, cruditatem, humorum corruptelam, & quæcunque huiusmodi cætera affirmantes morbos facere, nobis scilicet in quôque horum insignem quantitatem subaudientibus. Eodem igitur modo qui copiosiorem cibum morbum facere dicunt, multò non adjiciunt. Nobis innotescit, si quintadecima drachmæ pars commoderatam portionem excesserit, eam nondum posse morbum extruere; verùm si eadem multiplicetur, interdum etiam morbum efficiat. De genere si quidem causarum morbos procreantium vna est. His igitur tertia interpretatio, etsi quammaximè vera existit, mihi tamen veterum interpretandi consuetudine accuratior esse videtur, cum eo quòd violentius vocis præter naturam significatum explicet. Quæ autem verba in aphorismi fine ascribuntur, vbi ait: *Indicat autem sanatio*; melius haberet cum conjunctione & conscriptus hoc modo; *Indicat autem & sanatio.* Non enim quoties cibus præter naturam copiosior ingestus fuerit, ipsum morbum creare sola prodit sanatio; sed & simul rei natura indicat, vnà ipsi astipulante ratione. Nam quæ omnibus in artibus rectè constituta sunt, iis etiam ab euentu testimonium accedit. Quodnam igitur est in præsenti oratione? ea quæ noxiorum humorum vacuationes sequitur sanatio, quod etiam testimonium Herophilus in tritemporea significatione vocata assumpsit. Si quis enim copiosiora quàm pro consuetudine comederit, æquabili autem prioribus, aut etiam pauciori vtatur exercitio, & corpus grauari ac opprimi sen-

μὲν μορίῳ κατὰ φύσιν. ἀλλότριος δὲ καὶ παρὰ φύσιν, ἐκείνῳ, μοχθηρὸν μὲν τὸ τοιοῦτον, οὐ μὴν πάντως γε καὶ νόσος ἀκολουθήσει, βραχείας αὐτοῦ ὑπαρχούσης ποσότητος. ὅπου γὰρ οὐδὲ τὰ διαφθείρειν ἡμῶν τὸ σῶμα δυνάμενα φάρμακα, μανδραγόρας, καὶ μήκων, κώνειον ἄνευ ποσότητος οἷά τε βλάπτειν ἐστὶν, ἤπου γε τοιοῦτος χυμὸς, ὃς πρὸς τῷ μὴ διαφθείρειν, ἔτι καὶ τρέφειν ἕτερα μόρια δύναται. Τὴν ἀρχὴν γὰρ οὐκ ἂν ὠνόμασε τροφὴν αὐτὸν, εἰ μὴ τοιοῦτος ἦν. Ὥσπερ οὖν εἰ πνεύματος μέν τι βραχὺ διὰ τοῦ στομάχου κατενεχθὲν, εἰς τὴν γαστέρα τύχοι, τῆς δὲ πινομένης ὑγρότητος, ὀλίγιστον μὲν εἰς τὸν πνεύμονα διὰ τῆς τραχείας ἀρτηρίας, οὔτ᾽ ἂν ἡ γαστὴρ, ὅσον ἐπὶ τούτῳ, νοσήσῃ, οὔτε ὁ πνεύμων· οὕτως ἔχει καὶ ἐπὶ τῆς κατὰ τὰ λοιπὰ μόρια τροφῆς. Καὶ μὲν δὴ καὶ τρίτη τις ἐξήγησις εἴρηται πρός τινων, ἀκούειν ἡμᾶς ἀξιούντων τὸ παρὰ φύσιν, ἀντὶ τοῦ, μεγάλως καὶ ὑπερβαλλόντως, ὡς εἰ καὶ οὕτως εἶπεν. Ὅκου ἂν τροφὴ πλείων ὑπερβαλλόντως εἰσέλθῃ, τοῦτο νόσον ποιεῖ. Τὴν γὰρ ὀλίγον ὑπερβάλλουσαν τοῦ συμμέτρου, μηδέ πω δύνασθαι νόσον ποιεῖν, ἀλλ᾽ ἔτι φυλάττειν τὸ σῶμα, κατά γε τὸ τῆς ὑγείας πλάτος, ἀληθὲς μὲν οὖν καὶ τοῦτο. χρὴ γὰρ τὴν μέλλουσαν ἐργάσασθαι νόσον τροφὴν, οὐ μικρῷ τινι τῆς ἀκριβοῦς συμμετρίας ὑπερέχειν. Ἀλλ᾽ οὐκ ἔστιν ἔθος, τούτου ἕνεκα διορίζεσθαι τὸν λόγον. Εἰώθασι γὰρ αὐτὸ μόνον ἀποφαίνεσθαι τὸ γένος, ἔγκαυσιν, ἢ ψύξιν, ἢ κόπον, ἀπεψίαν τε, καὶ φθορὰν χυμῶν, ὅσα τ᾽ ἄλλα τοιαῦτα, νοσοποιεῖν φάσκοντες, ὡς ἡμῶν, ἑκάστῳ τῶν εἰρημένων συνεπινοούντων ἀξιόλογον ποσότητα. Κατὰ τὸν αὐτὸν οὖν τρόπον, καὶ τὴν πλείονα τροφὴν νοσοποιεῖν λέγουσιν, ἄνευ τοῦ προσθεῖναι τὸ, πολλῷ. γινωσκόντων ἡμῶν, ὡς ἐὰν δραχμῆς μοῖρα ιέ. τὸ πλεῖον ᾖ τοῦ συμμέτρου, νόσον οὐδέπω δύναται κατασκευάζειν, ἀλλὰ πολλαπλασιαζομένη τε, καὶ αὐτή ποτε ποιήσει νόσον. Ἐκ γὰρ τοῦ γένους ἐστὶ μία τῶν κατεργαζομένων αἰτίων τὰς νόσους. Κατὰ ταῦτα μὲν οὖν ἡ τρίτη τῶν ἐξηγήσεων, εἰ καὶ ὅτι μάλιστα ἀληθής ἐστι περιεργοτέρα μοι δοκεῖ τοῦ τῶν παλαιῶν ἔθους ὑπάρχειν, μετὰ καὶ τοῦ, βιαίως ἐξηγεῖσθαι τῆς παρὰ φύσιν φωνῆς τὸ σημαινόμενον. Ἡ δ᾽ ἐπὶ τέλει τοῦ ἀφορισμοῦ προσγεγραμμένη λέξις, ἔνθα φησὶ, δηλοῖ δὲ ἡ ἴησις, ἄμεινον ἂν εἶχε μετὰ τοῦ, καὶ, συνδέσμου γεγραμμένη κατὰ τόνδε τὸν τρόπον, δηλοῖ δὲ καὶ ἡ ἴησις. οὐ γὰρ δὲ μόνον γε ἡ ἴησις δηλοῖ τὸ τὴν τροφὴν, ἔνθα ἂν εἰσέλθῃ πλείω νοσοποιεῖν, ἀλλὰ καὶ ἡ τοῦ πράγματος φύσις συνενδείκνυται συνεπιμαρτυρούσης αὐτῇ, καὶ τῆς ἰάσεως. Ἐν ἁπάσαις γὰρ ταῖς τέχναις, τοῖς καλῶς ἐπινοουμένοις, καὶ ἡ ἀπὸ τῆς ἐκβάσεως μαρτυρία προσέρχεται. Τίς οὖν ἐστιν αὕτη κατὰ τὸν προκείμενον λόγον· ἡ ἐπὶ ταῖς κενώσεσιν ἴασις τῶν λυπούντων χυμῶν, ἥν τινα καὶ Ἡρόφιλος ἐν τῇ τριχρόνῳ καλουμένῃ σημειώσει, προσέλαβεν. Εἰ γάρ τις ἐσθίων μὲν πλείω τῶν συνήθων, ἤτοι δ᾽ ἴσα τοῖς ἔμπροσθεν, ἢ ἐλάττω γυμναζόμενος, βαρυνθείη τε τὸ

σῶμα, καὶ συνερεύθει, καὶ ὄγκῳ τῶν φλεβῶν, ἄρξηται πυρέττειν, οὐκ ἂν ἀλόγως τις αὐτὸν ὑπὸ πλήθους νοσῆσαι νομίζῃ. Εἰ τοίνυν καὶ κενωθεὶς ὠφεληθείη, βεβαίωσις καὶ παράγγελμα τῆς περὶ τοῦ πλήθους γενήσεται δόξης, θάρσος τε, πρὸς τὸ πάλιν ἐπὶ τῶν αὐτῶν παραγενήσεται ὡσαύτως κενῶσαι, μὴ περιμείναντας τὴν τῶν ἐμπειρικῶν τήρησιν, ἣ αὐτοί, τῶν πλειστάκις ἐπὶ τοῖς αὐτοῖς ὡσαύτως ἀποβαινόντων εἶναι φασίν. Ἴσως μὲν οὖν καὶ προσέκειτο κατὰ τὸν ἀφορισμὸν, ὁ καὶ, σύνδεσμος, εἶτά τις, ὡς περιττὸν, ἀφεῖλεν αὐτόν. Ἴσως δὲ καὶ ἐξ ἀρχῆς αὐτὸς ὁ Ἱπποκράτης ἁπλῶς ἔγραψε χωρὶς τοῦ, καὶ, συνδέσμου. δηλοῖ δὲ ἡ ἴησις, ὡς εἰ καὶ οὕτως εἰρήκει, τοῖς γὰρ προειρημένοις οὕτως ἔχουσιν ὡς εἴρηται, τουτέστι τροφῆς πλείονος παρὰ φύσιν ἐν τῷ σώματι περιεχομένης, ἐπειδὰν κενώσεως προσαχθείσης, ὁ κάμνων ὠφεληθείη, δῆλόν ἐστιν ὡς εἰς νόσον ἧκε διὰ τὸ πλῆθος τῆς τροφῆς. Ὅτι δὲ κένωσιν μὲν ἁπλῶς εἴωθεν λέγειν ὁ Ἱπποκράτης, ὅταν ὁμοτίμως ἅπαντες οἱ χυμοὶ κενῶνται, κάθαρσιν δὲ, ὅταν οἱ μοχθηροὶ κατὰ ποιότητα, μεμνῆσθαι χρὴ, καὶ ὅτι ἡ νῦν ἴασις, ὑπὸ κενώσεως, οὐ καθάρσεώς ἐστι γινομένη, μαρτυρεῖ τῇ περὶ τοῦ πλήθους δόξῃ. Κένωσις δὲ ὁμοτίμως ἁπάντων τῶν χυμῶν, ἡ μὲν ἀκριβεστάτη, διὰ φλεβοτομίας ἐστὶν ἐγγὺς δὲ αὐτῆς, ἥ τε ἀποσχαζομένων τῶν σφυρῶν, ὥσπερ ἡμῖν εἴθισται. Καὶ ἡ διὰ γυμνασίων, ἢ τρίψεων, ἢ λουτρῶν, καὶ προσέτι κατὰ συμβεβηκὸς, ἡ διὰ ἀσιτίας. κατὰ συμβεβηκὸς δὲ εἶπον, ὅτι μὴ δι᾽ ἑαυτῆς ἡ ἀσιτία κενοῖ, καθάπερ ἕκαστον τῶν προειρημένων. ἀλλ᾽ ἡ μὲν κένωσις γίνεται τῷ φυσικῷ τρόπῳ τῆς διαπνοῆς, μηδεμιᾶς δὲ ἀντὶ τῶν κενωθέντων εἰσενεχθείσης τροφῆς, ἐναργῶς τηνικαῦτα φαίνεται ἡ πρότερον λανθάνουσα. Ταῦτα μὲν οὖν αὐτάρκη πρός γε τὴν ἐξήγησιν τοῦ ἀφορισμοῦ. Ὅστις δὲ βούλεται τὸν περὶ πλήθους λόγον ἀκριβῶς ἀναλέξασθαι, βιβλίον ἔχει γεγραμμένον ὑφ᾽ ἡμῶν ἓν ὅλον, ὃ δὴ καὶ περὶ πλήθους ἐπιγέγραπται. Νυνὶ δὲ ἀρκεῖ, τό γε τοσοῦτον ἔτι προσθεῖναι τοῖς εἰρημένοις, ὡς ἄρξασθαι μὲν δύναται τὸ πρὸς τὴν δύναμιν πλῆθος, ἄνευ τοῦ διεφθάρθαι μεῖναι δὲ οὐ δύναται χρηστόν. ἀνάγκη γὰρ πᾶσα μεταβάλλειν αὐτὸ κατὰ ποιότητα, διαφθείρεσθαι τοῦ χρόνου προϊόντος· ἀλλὰ κἂν τοῦτο γένηται, μέχρι τοσούτου πλῆθος αὐτὸ καλέσομεν, μέχριπερ ἂν ἐπὶ τῇ κενώσει τοῦ περιττοῦ τὸ λοιπὸν δύνηται γίνεσθαι χρηστόν. ὁποῖον γὰρ κατὰ τοὺς ὀξυνομένους οἴνους συμβέβηκε, τοιοῦτόν τι καὶ κατὰ τὴν ἀλλοίωσιν τοῦ αἵματος. Ἔστι δὲ τὸ συμβαῖνον ἐπὶ τῶν οἴνων τοιόνδε. Τελέως μὲν ὀξεῖς γενηθέντες, οὐκέτ᾽ εἰς τὴν τοῦ οἴνου φύσιν ἐπανέρχονται. βραχεῖαν δέ τινα ποιησάμενοι ῥοπὴν, ὡς ὀξύνεσθαι μὲν, ὄξος δὲ οὐδέπω γεγονέναι, πολλοὶ πολλάκις ἀνεκτήσαντο τὴν προτέραν φύσιν. Οὕτως ἔχει κἀπὶ τοῦ αἵματος· καὶ γὰρ καὶ τοῦτο, μεγάλης μὲν τῆς διαφθορᾶς γενομένης, οὐκέτ᾽ ἐπανέρχεται πρὸς τὸ κατὰ φύσιν. ἐπὶ βραχὺ δὲ συμβάσης, ἐπειδὰν τὸ περιττὸν ἀποκενωθῇ τὸ καταλοιπον ἀνακτᾶται τὴν ἑαυτοῦ φύσιν. Καὶ δὴ καὶ καλεῖν ἔθος ἐστὶ τὴν τοιαύτην

tiat, & cum faciei rubore & venarum tumore
A re febricitare incipiat, non citra rationem omnes illum ob plenitudinem febricitare existimauerint. Si igitur euacuatus juuetur, quamprimùm etiam accedet opinioni de plenitudine confirmatio, atque in posterum in iisdem similiter aderit vacuandi fiducia, non expectata Empiricorum obseruatione, quam ipsi jactitant eorum esse quæ sæpissimè in iisdem eodem modo contigerunt. Verùm addita fortassis in aphorismo fuerat, *&*, copula, quam postea tanquam superuacaneam aliquis sustulit. Fortassis autem & ipse Hippocrates ab initio absolutè citrà, *&*, conjunctionem scrip-
B sit; *Indicat autem sanatio*; ac si ita dixisset: Prædictis enim ita se habentibus, vt dictum est, hoc est, copiosiore cibo præter naturam in corpore contento, vbi vacuatione adhibitâ ægrotus juuabitur, eum in morbum ob cibi copiam incidisse constabit. Quod autem Hippocrates vacuationem absolutè pronunciare consueuerit, quum æquabiliter omnes humores vacuantur; purgationem autem quum qualitate peccantes & praui educuntur, meminisse oportet; quodque sanatio de qua nunc agitur, vacuatione non purgatione cele-
C brata opinionem de plenitudine confirmat. Iam verò æquabilis omnium humorum vacuatio (quæ exquisitissima est) venæ sectione fit. Huic autem proxima, quemadmodum nobis consuetum est, scarificatis fit malleolis; & quæ exercitiis; & quæ frictionibus; & quæ balneis; ac denique quæ inediâ per accidens fit vacuatio. Per accidens autem dixi, quoniam non per se vacuat inedia quemadmodùm superiorum vnumquodque. Verùm naturali quidem perspirationis modo vacua-
D tio quidem fit, quæ nullo accedente alimento in locum eius quod fuit euacuatum, tunc sensu manifestè deprehenditur quæ prius latuerat. Hæc igitur ad aphorismi explicationem sufficiant. Qui verò vult de plenitudine disputationem accuratè perlegere; integrum librum vnum habet à nobis conscriptum, cui titulus est de plenitudine. Nunc verò hoc tantùm satis erit superioribus addidisse; posse quidem absque corruptela cæpisse plenitudinem eam quæ ad vires relatione intelligitur; sed quæ vtilis ac benigna
E permanere nequeat. Nam omninò necesse est ipsam secundum qualitatem transmutari, & progressu temporis corrumpi. Verùm etiamsi hoc accidat, tandiu tamen plenitudinem ipsam nominabimus, donec ex superuacanei vacuatione residuum benignum ac vtile fieri possit. Quod enim vinis accidit acescentibus, tale quiddam & in sanguinis alteratione contingit. Quod autem in vinis accidit, tale est. Vbi vina planè facta sunt acida, non rursùm ad vini naturam redeunt; verùm si leuem quandam mutationem fecerint; sed nondum acetum sint, ex iis multa multoties pristinam naturam recuperant. Sic in sangui-
F ne se res habet. Etenim magna ipsius facta corruptione, is non amplius ad naturalem statum redit: si verò pauca contigerit, vacuato superuacaneo, residuum ad suam naturam restituitur. Et sanè hujusmodi sanguinis affe-

ctionem

ctionem non corruptelam; sed plenitudinem vocare consuetum est, quum illa, vt dixi, sola corruptela nominetur, quæ tam insignem habet in statum, qui præter naturam est, euersionem, vt iterum à naturæ coctione humor vtilis ac laudabilis fieri nequeat.

A διάθεσιν, οὐ διαφθορὰν, ἀλλὰ πλῆθος. ἐκείνης, ὡς ἔφην, μόνης ὀνομαζομένης διαφθορᾶς, ἥτις ἂν οὕτως ἀξιόλογον ἔχῃ τὴν, τὸ παρὰ φύσιν, ἐκτροπὴν, ὡς μηκέτι ὑπὸ φύσεως δυνάσθαι πεττομένης, χρηστὸς γίνεσθαι χυμός.

Quòd confertim, ac celeriter nutrientia, celeriter & distribuantur & excernantur, & contrà, exemplo vini albi & nigri, tenuis & crassi, ptisanæ & alicæ, ac similium.

B Ὅτι τὰ ἀθρόως, καὶ ταχέως τρέφοντα, ταχέως τε ἀναδίδοται καὶ διαχωρεῖται. ἐναντίον δὲ τῷ παραδείγματι οἴνου τοῦ λευκοῦ τε καὶ μέλανος, λεπτοῦ τε καὶ παχέος, τῆς πτισάνης τε καὶ χόνδρου καὶ τῶν ὁμοίων.

APHORISMVS XIX.

ΑΦΟΡΙΣΜΟΣ ιθ'.

QVæ confertim ac celeriter alunt, eorum quoque celeres excretiones fiunt.

ΤΩν τρεφόντων ἀθρόω̄ καὶ ταχέως ταχεῖαι καὶ αἱ διαχωρήσιες γίνονται.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

CEleriter quidem alere ab ipso dici intelligenda sunt, quæ pauco post assumptionem tempore statim nutriunt suæ naturæ ratione. Ipsa verò in corporibus illæsâ sanitate fruentibus explorantur. Confertim verò, quæ postquam alere cœperunt, exiguo tempore totum ex se corpori alimentum impertiunt. Quæ itaque sunt ejusmodi, quatenus confertim & cumulatè nutriunt, eatenus celeriter excernentur. Si qua verò ipsis adsit acrimonia quæ ad excretionem excitet, aut lentor existat quo diutiùs retineantur; illa quidem celeriùs ad excretionem prorumpent, hæc verò tardiùs. Celerrimè igitur & confertissimè vinum alit; tardissimè autem & paulatim caro bubula, & cochleæ, spondyli marini, locustæ, carabi, gammari, & vt summatim comprehendam, quęcunque dura carne constant, ejusdem cum his naturæ sunt; Ad hæc duri casei, salitæ carnes, lentes, bulbi, & oua quousque induruerint elixa. Hæc enim omnia multo post assumptionem tempore paulatim nutriunt. Indicium autem tibi sit, cibum assumptum jam nutrire, tum pulsuum quidem vehementia & magnitudo, tum motuum voluntariorum robur nutritis partibus conciliatum. Ipsum autem potissimum decet explorare in illis qui aut propter vacuationem quandam sensibilem, aut propter laborem, aut propter inediam viribus exoluti sunt. In prædictis igitur omnibus tardę fiunt per aluum excretiones, hoc est longo post assumptionem tempore; in contrariis verò celeres. Maximè autem omnium ipsis vinum contrarium est, celerrimè, vt diximus, nutriens. Post ipsum verò suo ordine cætera subsequentur, de quibus dicturus sum, quum primùm de vinis ipsis disseruero. Etenim aquosa vina paucissimum corpori dant alimentum. Sunt autem hæc colore quidem alba, substantiâ verò tenuia. Crassa

C ΤΑχέως μὲν τρέφειν ἀκουστέον εἰρῆσθαι πρὸς αὐτοῦ, τὰ μετ' ὀλίγον χρόνον, τῆς προσφορᾶς, εὐθέως τρέφοντα, κατά γε τὴν ἑαυτῶν φύσιν. ἐξετάζεται δ' αὕτη κατά γε τοὺς ἀμέμπτως ὑγιαίνοντας. Ἀθρόως δὲ, τὰ μετὰ τὸ ἄρξασθαι τρέφειν, ἐν ὀλίγῳ χρόνῳ, πᾶσαν τὴν ἐξ αὐτῶν τροφὴν διδόντα τῷ σώματι. Τὰ τοιαῦτα οὖν, ὅσον ἐπὶ τοῦτο, μόνον τῷ τρέφειν ἀθρόως, καὶ διαχωρηθήσεται ταχέως. Εἰ δ' ἤτοι δριμύτης τις αὐτοῖς ἐρεθιστικὴ πρὸς ἀπόκρισιν ἢ γλισχρότης ὑπάρχει, δι' ἣν ἐπὶ πλέον κατέχεται, τὰ μὲν θᾶττον κατὰ τὴν διαχώρησιν ὁρμήσει, τὰ δὲ βραδύτερον. Τάχιστα μὲν οὖν καὶ ἀθροώτατα οἶνος τρέφει. Βραδύτατα δὲ, καὶ κατὰ βραχὺ βόειον κρέας, καὶ κοχλίαι, καὶ σπόνδυλοι θαλάττιοι, καὶ ἀκείδες, καὶ κάραβοι, καὶ ἀστακοὶ, καὶ συνελόντι φάναι, πάντα τὰ σκληρόσαρκα, τῆς αὐτῆς ἐστὶ τούτοις φύσεως. καὶ σκληροὶ τυροὶ, καὶ τὰ ταριχευμένα τῶν κρεῶν, καὶ φακοὶ, καὶ βολβοὶ, καὶ τὰ μέχρι τοῦ σκληρωθῆναι, τῶν ὠῶν ἀφεψημένα. Ταυτὶ γὰρ πάντα, μετὰ πολὺν χρόνον τοῦ προσαχθῆναι, τρέφει κατὰ βραχύ. σημεῖον δ' ἔστω σοι τοῦ τρέφειν ἤδη τὸ προσενηνεγμένον, ἐν μὲν τοῖς σφυγμοῖς ἥ τε σφοδρότης, καὶ τὸ μέγεθος, ἐν δὲ ταῖς καθ' ὁρμὴν κινήσεσιν, ἡ προστιθεμένη τοῖς τρεφομένοις ῥώμη. μάλιστα δ' ἐξετάζειν αὐτὴν προσήκει, ἐπὶ τῶν ἐκλελυμένων διὰ κένωσιν τινὰ αἰσθητὴν, ἢ διὰ κάματον, ἢ δι' ἀσιτίαν. Ἐπὶ μὲν οὖν τῶν προειρημένων ἁπάντων αἱ κατὰ τὴν γαστέρα διαχωρήσεις, βραδεῖαι γίνονται, τουτέστι μετὰ πολὺν τῆς προσφορᾶς χρόνον, ἐπὶ δὲ τῶν ἐναντίων, ταχεῖαι μάλιστα δ' ἐναντίος ἁπάντων αὐτοῖς ἐστιν ὁ οἶνος, ὡς εἴρηται, τάχιστα τρέφων, ἐφεξῆς δ' αὐτῷ κατὰ στοῖχον ἄλλα περὶ ὧν ἐρῶ, πρότερόν γε περὶ τῶν οἴνων αὐτῶν διερχόμενος. Οἱ μὲν γὰρ ὑδατώδεις αὐτῶν, ἐλαχίστην τροφὴν τῷ σώματι διδόασιν. εἰσὶ δὲ οὗτοι, λευκοὶ μὲν τὴν χρόαν, λεπτοὶ δὲ τὴν σύστασιν. οἱ δὲ παχεῖς, καὶ κιρ-

ῥοι, πολὺ μὲν πλείονα τὴν τροφὴν τούτων διδόασι τῷ σώματι· ἀπολείπονται δὲ τῶν μελάνων ἐς τοσοῦτον τροφῆς, ὅσον πλεονεκτοῦσιν, εἰς τὸ ταχέως καὶ ἀθρόως τρέφειν. ὅσοι δὲ λευκοὶ μὲν, ἀλλὰ παχεῖς εἰσὶν, ἀτροφώτεροι μὲν τοσοῦτον ὑπάρχουσι, τροφιμώτεροι δὲ τῶν λεπτῶν τε, καὶ λευκῶν, ἀλλ' οὔτε ταχέως, οὔτε ἀθρόως τρέφουσιν. εἰς ὅσον δὲ ἐν τούτοις διαφέρουσιν, εἰς τοσοῦτον καὶ κατὰ τὴν διαχώρησιν. Οἱ μὲν γὰρ ὑδατώδεις κατ' οὖρα διαχωροῦσι τάχιστα, διὰ τὸ φθάνειν τάχιστα σχεδὸν ἀναλαμβάνεσθαι ὅλοι. Τῶν δὲ ἄλλων πάντων, ὅσον ὑπέρχεταί τι κατὰ τὴν γαστέρα σαφὲς, ἀνάλογον τῷ χρόνῳ τῆς θρέψεως ἔχει τὴν διαχώρησιν. Οὕτω δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων συμβέβηκεν. Ὁ μὲν γὰρ τῆς πτισάνης χυλὸς οὐ μετὰ πολὺν χρόνον τῆς προσφορᾶς φαίνεται τρέφων, οὐ μὴν πολλὴν τροφὴν διδοὺς τῷ σώματι, καὶ ταύτην ἐν ὀλίγῳ χρόνῳ παρέχων ἀθρόαν. Ὁ χόνδρος δὲ, οὔτ' ὀλίγην, οὔτ' ἀθρόαν, ἀλλ' ἐν πολλῷ τε χρόνῳ, καὶ πολλὴν παρέχει τροφήν. Ὡσαύτως δὲ δηλονότι προσήκει τῇ συστάσει ἔχειν τὰ παραβαλλόμενα, καὶ μὴ τὸ μὲν ἀκριβῶς εἶναι ὑγρὸν, τὸ δὲ ἄκρως ξηρόν. Ἐπὶ μὲν οὖν τῆς πτισάνης, καὶ χόνδρου, καὶ πάντων τῶν τοιούτων, ὅσα σκευάζουσιν ἐκ κέγχρων, ἢ κυάμων, ἢ τινῶν ἄλλων καρπῶν, ὁμοίως ἐχέτω τὰ παραβαλλόμενα, κατὰ τὸ ποιὸν τῆς συστάσεως. Ἐπὶ δὲ τῶν κρεῶν, ἰδία μὲν ἡ σύστασις ἑκάστου. παραβάλλεσθαι δὲ αὐτὰ χρὴ κατὰ τὸ ποιὸν τῆς σκευασίας, ἢ ὀπτωμένων ἀμφοῖν, ἢ ἑψημένων ὡσαύτως. Ἀφαιρείσθωσαν δὲ κατὰ τὴν σκευασίαν καὶ οἱ δακνώδεις χυμοὶ, καθάπερ ἐπὶ κράμβης τε, καὶ ὀσπρείων, εἰ μέλλεις ἀκριβῆ βάσανον αὐτῆς τῆς τρεφούσης οὐσίας λαβεῖν. Ἡ δὲ ἀφαίρεσις τῶν χυμῶν, ἐκ τοῦ μετατίθεσθαι κατὰ τὴν ἕψησιν εἰς ἕτερον ὕδωρ ἐξ ἑτέρου, γίνεται. Ἐὰν οὖν ἅπαντα ταῦτα διορισάμενος ἐξετάσῃς ἀκριβῶς, εὑρήσεις, ὅσα μὲν ὀλίγῳ χρόνῳ τρέφει, τοῦτο δέ ἐστι, τὸ ἀθρόως, καὶ μετ' ὀλίγον χρόνον τῆς προσφορᾶς, τοῦτο γάρ ἐστι τὸ ταχέως, τούτων καὶ τὴν διαχώρησιν ἐν τάχει γινομένην, ὅταν γε ὡσαύτως ἔχουσιν ἀνθρώποις δίδηται. Καὶ γὰρ καὶ τοῦτο ἐπὶ πάντων τῶν τοιούτων χρὴ προσδιορίσασθαι. Τὰ δὲ ἐναντίως ἔχοντα, βραδέως ὑποχωρεῖν. Τὴν δὲ αἰτίαν τῶν γινομένων, μάθοις ἂν ἐκ τῶν ἀποδεδειγμένων ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν· ἡ γάρ τοι γαστὴρ ἀπολαύειν ἐνεδείκνυτο τῶν σιτίων αὐτὴ πρώτως τὸν οἰκεῖον ἐξ αὐτῶν ἕλκουσα χυμὸν, ἐναποτιθεμένη τε τοῖς ἑαυτῆς χιτῶσιν, εἶτ' ἐπειδὰν τούτου κορεσθῇ, τηνικαῦτα ἐκπέμπειν αὐτὰ πρὸς τὴν διαχώρησιν. ἐν τούτῳ δὲ τῷ χρόνῳ, καὶ τὸ ἧπαρ ἐκ τῶν σιτίων ἕλκειν ἐδείκνυτο, ἐπειδὰν ἐνδεῶς ἔχῃ τροφῆς, εἰ δὲ μὴ, χρήσεται τῇ προϋπαρχούσῃ. Κατὰ δὲ τὸν αὐτὸν λόγον, ἕλκειν αὖθις ἐκ τοῦ ἥπατος ὅλον τὸ σῶμα, καθ' ὃν ἂν χρόνον, καὶ τοῦτο ἀπορεῖ τροφῆς. ὅθεν ἐφ' ὧν ὅλον τὸ σῶμα κενόν ἐστι, μάλιστα ἄν τις λάβῃ τὴν πεῖραν τῶν ἀθρόως τε, καὶ ταχέως τρεφόντων, οἷσπερ, ὡς ἔφαμεν, ὑπάρχει καὶ τὸ πρὸς τὴν διαχώρησιν ἰέναι θᾶττον, ὅσον ἐπὶ τῷδε. τινὲς μέντοι τὴν ἐξ ὅλου τοῦ σώματος ἔφασαν κένωσιν εἰρῆσθαι διαχώρησιν,

verò & fulua his multò quidem copiosius corpori alimentum impertiunt; sed tantò nigris in copiosè alendo cedunt, quanto in celeriter ac confertim alendo præcellunt. Quæ verò alba quidem sunt sed crassa, parcius quidem quàm nigra, liberaliùs autem quam tenuia & alba nutriunt, sed neque celeriter, neque confertim alunt. Quanto verò in hisce differunt tanto & in excretione. Aquosa nanque celerrimè per vrinas excernuntur, quia propemodum tota celerrimè jacturam rependi præuertunt. Ex aliis verò omnibus quantũ qui manifestè per ventrem subierit proportionalem nutritionis tempori habet excretionem. Sic & in aliis omnibus accidit. Nam ptisanæ cremor non multo post assumptionem tempore, videtur alere, non tamen copiosum corpori præbet alimentum, idque pauco tempore confertum. Alica verò neque paucum, neque confertum; sed & multo tempore & multum præbet alimentum. At profectò quæ inter se comparantur, similem habere consistentiam oportet, neque vinum hoc quidem exquisitè humidum esse, alterum verò summè siccum. In ptisana igitur, & alica, & huiuscemodi omnibus quæcunque homines ex miliis aut fabis, aut aliis quibusdam fructibus parant, eodem modo se habeant quæ comparantur secundùm consistentiæ qualitatem. Carnibus autem propria quidem est vniuscuiusque consistentia. Sed comparare ipsas oportet in apparatus modo, vtrisque aut assis, aut eodem modo elixis. Auferantur autem per apparatum etiam mordaces succi, quemadmodum in brassica, ac in leguminibus, si certam alentis substantiæ probationem sis adeptus. Mordacium autem succorum fiet sublatio, si quæ incoquuntur per elixationem ex vna aqua in alteram transfundantur. Si igitur hæc omnia cum distinctione diligenter exploraveris, inuenies quæ quidem pauco tempore nutriunt (hoc enim est confertim) & pauco post assumptionem tempore; hoc enim est celeriter etiam celerem habere excretionem, quum hominibus eodem modo affectis exhibentur; hæc etenim in ejusmodi omnibus adhibenda est distinctio; quæ verò contrariam naturam sortiuntur, tardè excerni. Horum autem causam didiceris ex iis quæ nostris in Commentariis de facultatibus naturalibus demonstrata sunt, ventriculum prius cibis frui, familiari cibi succo ex illis attracto, & suis apposito tunicis, & mox eo satiatum tunc ipsos ad excretionem emittere demonstrauimus. Hoc autem tempore & hepar demonstrabatur ex cibis attrahere vbi alimento indigeret; nam si non egeat, illo quod priùs aderat perfrui. Eodem quoque modo trahere rursus ex hepate totum corpus, quo tempore & ipsum indiget alimento. Vnde in quibus totum corpus vacuum est, quispiam maxime possit experiri, qui cibi & confertim & celeriter nutriant; quibus, vt diximus, inest celerius ad excretionem accedere, quantum ad id spectat. Verum quidam dixerunt eam quæ ex vniuerso fit corpore vacuationem, ab ipso excretionem nominari, vt idem sit quod nunc docetur, ei quod in libro de alimento pro-

tulit, vbi inquit quod alimentum difficile alteratur aut immutatur, difficile absumitur; quod facilè apponitur, facile absumitur. Quod dictum verissimum quidem est, non tamen propriè videtur accipi sub excretionis appellatione; nam ipsa magis *propriè* dicitur de ea quę per ventrẽ solũ, forsan & de ea quæ ex toto fit corpore intelligere possible est. Differt enim & excretionem & subductionem dicere. Subductio nanq; de iis solis dicitur quæ per alium deiiciuntur; contingit autem excretionis vocabulũ vtrisque esse commune. Carnes itaque suillæ, & quæcunque lentos ac crassos humores habent, *diuturno* tempore ex toto corpore per transpirationem discutiuntur. Olera verò, & pisces saxatiles, & simpliciter quæcunque tenuem habent succum distribuendum, distributionis quidem atque appositionis celeritate exuperant, stabilem verò naturam non habent; sed facile digeruntur ac perspiratione euanescunt.

De acutorum morborum prædictionibus sententia. Quid morbus acutus, quid diuturnus.

APHORISMVS XIX.

Acutorum morborum non omnino certæ sunt prædictiones, neque mortis, neque sanitatis.

GALENI COMMENTARIVS.

Acuti morbi præterquam quòd celeriter iudicentur, statim etiam vehementiam habent. Licet enim diariæ febres celeriter finiantur, eas tamen acutos morbos minimè vocitant. Duplex autem est acutorum morborum natura; aut enim solis in humoribus calidis nullum *certum* locum intercipientibus; sed æquabiliter in omnibus animalis partibus; aut in affecta quadã parte, vt pleuritide, peripneumonia & cynanche procreari consueuerunt. Sed & febres vt plurimũ in acutis morbis sunt continuæ. Pauci nanque sunt citra febres, qualis apoplexia. Diuturni verò morbi ob crassos, lentos ac frigidos humores oboriuntur, qui facilè concoqui nequeunt; sed affectis partibus ita impacti atque incuneati sunt, vt eorum affectus scirrhos magis quam plegmonas æmulentur. Pauci verò ex ipsis fiunt per consensum, & citra partem affectam; in quibus æqualiter omnes venæ, putrescentes humores vel melancholicos, vel pituitosos habeant; quorum omnium prænotionibus niti & confidere videtur Hippocrates; acutorum verò non omnium; sed in ipsis falli etiam interdum prænotionem fatetur. Id nanque tale significat, *non omnino*, negatio quum sit. *Non omninò*, enim idem quod non prorsùs significat; estque *omninò*, peræquè ac non in omnibus, quod sermonis genus vsurpare consueuerunt, quum pauca de omnibus eximunt, vt quum dicunt, non omnes homines mali. Qui enim hoc profert, paucissimos esse

A ἵνα ταὐτὸν ᾖ τὸ νῦν διδασκόμενον, τῷ λελεγμένῳ κατὰ τὸ περὶ τροφῆς βιβλίον, ἔνθα φησίν. ἡ δυσαλλοίωτος, δυσεξανάλωτος· ἡ εὐπρόσθετος εὐεξανάλωτος, ὅπερ ἀληθέστατον μέν ἐστιν, οὐ μὴν οἰκείως ἀκούσεσθαί τε δοκεῖ τῇ τῆς διαχωρήσεως προσηγορίᾳ· λέγεται γὰρ αὕτη μᾶλλον, ἐπὶ τῆς κατὰ γαστέρα μόνον, δυνατόν γε μὴν κἀπὶ τὴν καθ' ὅλον ἀκοῦσαι αὐτὴν τὸ σῶμα. διαφέρει γάρ, ἢ ὑποχώρησιν, ἢ διαχώρησιν εἰπεῖν· ἡ μὲν οὖν ὑποχώρησις, ἐπὶ τῆς κατὰ τὴν γαστέρα μόνον λέγεται· κοινὸν δὲ ἀμφοῖν τὸ τῆς διαχωρήσεως ὑπάρχειν B ἐγχωρεῖ ὄνομα. Τὰ μὲν οὖν χοίρεια κρέα, καὶ ὅσα γλίσχρους καὶ παχεῖς ἔχει τοὺς χυμούς, ἐν χρόνῳ ποιεῖται τὴν ἐξ ὅλου τοῦ σώματος διαπνοήν· λάχανα δέ, καὶ τῶν ἰχθύων οἱ πετραῖοι, καὶ ἁπλῶς ὅσα λεπτὸν ἔχει τὸν ἀναδιδόμενον χυμόν, ἐν μὲν τῷ τάχει τῆς ἀναδόσεως, καὶ τῆς προσθέσεως πλεονεκτεῖ, μόνιμον δὲ οὐκ ἔχει τὴν φύσιν, ἀλλὰ διαπνεῖται ῥᾳδίως.

Ἡ περὶ τῶν ὀξέων νοσημάτων προρρήσεων διάνοια, τί ὀξὺ νόσημά τε, καὶ τί νόσημα πολυχρόνιον.

C

ΑΦΟΡΙΣΜΟΣ ιθ'.

Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγείης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ ὀξέα νοσήματα πρὸς τῷ κρίνεσθαι ταχέως, εὐθέως καὶ μέγεθος ἔχει· τοὺς γὰρ ἐφημέρους πυρετούς, D καίτοι ταχέως παυομένους, οὐ καλοῦσιν ὀξέα νοσήματα. Διττὴ δέ ἐστιν ἡ τῶν ὀξέων νοσημάτων φύσις· ἢ γὰρ ἐπὶ χυμοῖς μόνοις θερμοῖς οὐδένα τόπον ἐγκατειληφόσιν, ἀλλ' ὁμοτίμως ἐν ἅπασι τοῦ ζώου τοῖς μέρεσι γίγνεσθαι πεφυκόσιν, ἢ τόπου τινὸς πεπονθότος, ὡς ἐν πλευρίτιδι, καὶ περιπνευμονίᾳ, καὶ κυνάγχῃ. Καὶ οἵ γε πυρετοὶ τοὐπίπαν, οἷον συνεχεῖς εἰσιν ἐν τοῖς ὀξέσι νοσήμασι. σπάνια γὰρ τὰ χωρὶς πυρετῶν, ὁποία ἐστὶ καὶ ἡ ἀποπληξία. Τὰ δὲ χρόνια νοσήματα, διὰ χυμοὺς E γίνεται παχεῖς, καὶ γλίσχρους, καὶ ψυχρούς, οὔτε πεφθῆναι ῥᾳδίως δυναμένους, ἐμπλαττομένους τε, καὶ σφηνουμένους ἐν τοῖς πεπονθόσι μορίοις, ὥς τε καὶ σκιρρώδεις αὐτῶν μᾶλλον, ἢ φλεγμονώδεις εἶναι τὰς διαθέσεις. Ὀλίγα δὲ ἐξ αὐτῶν γίγνεται τὰ κατὰ συμπάθειαν, καὶ χωρὶς τόπου πεπονθότος, ἐν οἷς ὁμοτίμως ἁπασῶν τῶν φλεβῶν, ἤτοι μελαγχολικούς, ἢ φλεγματώδεις χυμοὺς ἐχουσῶν, σηπομένους· ἐπὶ μὲν τούτων ἁπάντων, ἔοικεν ὁ Ἱπποκράτης θαῤῥεῖν ταῖς προγνώσεσιν· ἐπὶ δὲ τῶν ὀξέων, οὐχ ἁπάντων, ἀλλ' ἔστιν ὅτε καὶ διαμαρτάνεσθαι τὴν πρόγνωσιν ὁμολογεῖ. τοιοῦτον γάρ ἐστι τὸ, οὐ πάμπαν, ἀπόφασις ὄν. F τὸ γὰρ οὐ πάμπαν, τῷ οὐ παντελῶς ταὐτὸν σημαίνει. καὶ ἔστι τὸ, οὐ πάμπαν, ἴσον τῷ οὐκ ἐπὶ πάντων, ὅπερ ὅταν ὀλίγα τῶν πάντων ἐξαίρωσιν, ὀνομάζειν εἰώθασιν. οἷον, οὐ πάντες ἄνθρωποι κακοί. δηλοῖ γὰρ ὁ τοῦτ' εἰπών, ὀλιγοστοὺς εἶναι τοὺς ἀγαθούς. οὐ-

τὸ χρηστὸν καὶ νῦν ὁ Ἱπποκράτης ἐμφαίνει λέγων, οὐ πάμπαν ἀσφαλεῖς εἶναι τὰς προαγορεύσεις ἐπὶ τῶν ὀξέων, ὡς ὀλιγάκις ποτὲ καὶ σφαλλομένου τοῦ ἀρίστου ἰατροῦ. συμβαίνει δὲ αὐτὸ τοῦτο, διά τε τὴν ὀξύῤῥοπον ἐν κρίσει μεταβολὴν, ἥ τις ἕπεται τῶν ἐργαζομένων αὐτὰ χυμῶν τῇ φύσει, καὶ διὰ τὸ, μεταῤῥεῖν ἐνίοτε τὸν λυποῦντα χυμὸν, ἐξ ἑτέρων εἰς ἕτερα.

A bonos declarat. Sic igitur & nunc Hippocrates his verbis ostendit non omnino certas in morbis acutis esse prædictiones, quum rarò interdum optimus Medicus aberret. Hoc autem ipsum accidit tum propter repentinam in crisi permutationem, quæ humorum morbos efficientium naturam sequitur; tum propter eum qui fit interdum peccantis humoris ex altero in alterum locum transfluxum.

B

Τί κοιλία ὑγρὰ, καὶ τί ξηρά· καὶ περὶ τῶν ἑκατέρας αἰτίων· καὶ τῶν ἐν ταῖς ἡλικίαις μεταβολῶν.

Quid aluus humida, quid sicca, ac de vtriusque causis, ac per ætates mutationibus.

ΑΦΟΡΙΣΜΟΣ κ'.

Ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται. ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ κοιλίαι ξηραί εἰσι, τουτέοισιν ἀπογηράσκουσιν ὑγραίνονται.

APHORISMVS XX.

Quibus per iuuentutem alui sunt humidæ, iis senescentibus exsiccantur. Quibus verò in iuuentute alui siccæ sunt, iis senioribus factis humectantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Ὅτι μὲν ὡς τὸ πολὺ τοῦτο γίνεται, καὶ οὐ διὰ παντὸς, ἐδήλωσεν αὖθις, ἐν τοῖς κατωτέρω γράψας τόνδε τὸν ἀφορισμόν· ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ἐόντες, βέλτιον ἀπαλλάσσουσι τῶν ξηρὰς ἐχόντων, εἰς δὲ τὸ γῆρας χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ, ὡς ἐπὶ πολὺ τοῖσιν ἀπογηράσκουσιν. Ἀκουστέον δέ ἐστι ξηρὰς, καὶ ὑγρὰς κοιλίας, οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπὶ τοῖς αὐτοῖς διαιτήμασιν. Εἰ γάρ τις ἐν μὲν τῇ νεότητι, τῇ τῶν Ἀλεξανδρέων χρῷτο διαίτῃ, ταρίχη τε, καὶ πράσα ἐσθίων, ἐπιπίνων τε ζυθὸν, ἐν δὲ τῷ γήρᾳ, μηδὲν τούτων προσφέρηται, φακῆν δὲ ἐσθίει, καὶ οἶνον αὐστηρὸν ἔτι πίνει, πῶς ἂν φαίημεν ὑπηλλάχθαι τούτῳ τὰ διαχωρήματα τῷ λόγῳ τῆς ἡλικίας; οὕτω δὲ καὶ ὁ μὲν κατὰ τὴν νεότητα φακῆν ἐσθίων, καὶ μέσπιλα καὶ, οἶνον αὐστηρὸν πίνων, ἐπὶ δὲ τοῦ γήρως, τῇ τῶν Ἀλεξανδρέων χρώμενος διαίτῃ, συμμεταβάλλει ταῖς διαίταις τὴν κατὰ τὴν διαχώρησιν, οὐκ ὀρθῶς ποιησόμεθα κρίσιν. Ἀλλ᾽ ὅταν ἁπάντων τῶν ἄλλων, οὐ μόνον τῶν κατὰ τὴν τροφὴν ὁμοίως πραττομένων, ὑπηλλάχθαι τὰ κατὰ τὰς διαχωρήσεις, ἡ κρίσις ὀρθὴ γενήσεται τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων· ὑπαλλαχθήσεται δὲ τὰ κατὰ τὰς διαχωρήσεις, ὅσον ἐπὶ τῇ φύσει τῶν ἡλικιῶν, κατὰ τὰς ἐν τῷ σώματι διαθέσεις ἀλλαττομένας, ὑφ᾽ ὧν ἡ γαστὴρ ὑγροτέρα τε, καὶ ξηροτέρα γίνεται. Τίνες δέ εἰσιν αὗται, τῶν ἐζητημένων ἐστὶ, καὶ οὕτω γε μακρὸν ἔσεσθαί μοι νομίζω τὸν λόγον, εἰ σὺν ταῖς οἰκείαις ἀποδείξεσι, γράφειν αὐτὸν ἐπιχειρήσαιμι, ὥσθ᾽ ἑνὸς ὅλου δεήσεσθαι βιβλίου. τοῦτο μὲν οὖν αὖθις ἔσται ποτὲ, νῦν δὲ διὰ βραχέων ἐρῶ τὰ κεφάλαια, συγχρησάμενος οἷς ἔν γε τοῖς τῶν φυσικῶν δυνάμεων ἀπέδειξα ὑπομνήμασι, καὶ τοῖς τῶν συμπτωμάτων αἰτίοις· ὑγροτέρα τοῦ συμμέτρου γίνεται ἡ γαστὴρ, ὅταν ἡ χυλωθεῖσα τροφὴ, κατ᾽ αὐτὴν ἐνδεέ-

GALENI COMMENTARIVS.

Quòd id quidem sæpenumero, & non semper oboriatur, in sequentibus hunc quem scripsit aphorismum ipse declarauit: *Quicunque aluos habent humidas, si iuuenes quidem fuerint, salubrius degunt, quàm qui siccas habent; at in senectute, deteriùs ea defunguntur; ipsis nanque senescentibus plerunque resiccantur.* Oportet autem humidas & siccas aluos intelligere non simpliciter; sed eadem victus ratione seruata. Si quis enim in iuuentute Alexandrinorum victu vteretur, & salsamenta, & porra comederet, zythumque superbiberet, in senectute verò nihil horum quicquam assumeret; sed lentem esitaret, & vinum austerum insuper biberet, quomodo diceremus huic dejectiones ætatis ratione fuisse permutatas? Sic etiam si quis per juuentutem lentibus & mespilis vesceretur, vinumque austerum potaret, per senectutem verò Alexandrinorum victu uteretur; atque ità cum victu dejectiones mutaret, non rectè judicium fecerimus. Verùm quum cæteris omnibus non solis ad alimoniam simili modo paratis dejectiones immutatæ fuerint, tum rectum de iis quæ ab Hippocrate in aphorismo dicta sunt, dabitur judicium. Immutabuntur autem dejectiones, quod ad ætatum naturam attinet, prout corporis affectiones immutantur, à quibus aluus & humidior, & siccior redditur. At quænam hæ sint affectiones eorum quæ quæruntur vnum est; atque adeo longam mihi fore orationem auguror, si cum propriis demonstrationibus ipsum scriptis prodere studuero, vt vno integro libro sit opus. Id igitur aliàs fortassis præstabitur; nunc verò paucis capita proferam, atque iis vtar quæ in Commentariis tum de naturalibus facultatibus, tum de symptomatum causis demonstraui. Aluus justo fit humidior quum cibus in chylum

commutatus ex ea parciùs distribuitur; contrà verò siccior, quum omnis humor in ipsa contentus ad hepar fertur. Quamobrem autem parciùs distribuatur est interdum quidem copiosior cibus quàm quo hepar indigeat assumptus; interdum etiam, quia celerius ipse ad dejectionem fertur, *quàm hepar attrahat*. Copiosioris enim cibi, quum hepar quantum opus erat attraxerit, plures supersunt reliquiæ; celeriùs verò ad exitum permeantis cibi, tantum hepar quanto egeat attrahere non potest. Celeriùs autem subeunt alui excrementa, interdum quidem ob bilis in aluum defluentis, & ipsam ad excretionem prorritantis copiam; interdum verò propter facultatis retentricis ventriculi partam imbecillitatem & excretricis ipsius & intestinorum robur. Copiosiores igitur cibos appetimus, quum os ventriculi (in eo enim maximè sita est cibi appetentia,) frigidiore est temperamento. Quemadmodum autem hepar propter frigiditatem minus attrahit: sic quoque ventriculus propter humiditatem retentricem facultatem imbecilliorem obtinet; vt & sanè expultricem robustiorem, propter siccitatem. Senum itaque corpus quum frigidius euaserit, humiditatem tantopere frigidam in ore ventriculi fieri contingit, vt in anorexiam, hoc est, inappetentiam excidat, atque ita dejectiones alui siccari accidat cibariorum penuria, quod ad distributionem attinet. Sic verò & quicunque ob copiam, aut naturam humoris biliosi aluum humectatam habent, in contrarium mutantur, quum hic humor non ampliùs in senectute copiosiùs generetur. Quibus verò ob facultatis retentricis imbecillitatem aluus humectatur, non omnibus; sed pro caloris ipsi conjuncti quantitate mutatio oboritur. Si nanque statim ab ortu aluus frigidiore donata temperamento, in senectute ad immoderatam frigiditatis intemperiem accedens, facultatem retentricem similiter imbecillam sortietur; quia omnis immoderata intemperies functiones debilitat læditque. Quod si adusque longissimum ætatis processum exquisitè calida fuerit, robustam functionem retentricem habitura est, vt quæ neutram habeat exquisitè intemperiem, neque eam quæ in siccitate consistit (aluus enim erat prorsus humidior naturâ, alioqui retentricem facultatem imbecillam non habuisset) neque eam quæ in calore versatur; hoc enim supponebatur. Quare prope omnibus innotescit, quibus aluus natura humidior est, iis senescentibus fieri mutationem; quibus verò siccior, iis per senectutem humidior propter contraria temperamenta futura est. Aut enim quia parcius assumitur alimenti, quàm hepatis facultati congruat, aut propter exiccationem, aut quia bilis paucum in aluum confluit, aut propter facultatis retentricis robur, aridior erit dejectio. Ex his autem quòd minus appetant, ac celerius impleantur, fit propter partium appetentium calorem. Quòd verò exuctus cibus siccior euadat, id oboritur, aut quum iecur commoderatum temperamentum sortitur, aut etiam quum paulò calidius sit temperamento. Quòd

A στερον ἀναδίδοται, ξηροτέρα δὲ πάλιν, τῆς κατ' αὐτὴν
ὑγρότητος ἁπάσης, εἰς τὸ ἧπαρ ἀναφερομένης. Ἀλλὰ
τὸ μὲν ἐνδεέστερον ἀναδίδοσθαι, γίνεται, μὲν ποτε, πλείο-
να τροφὴν λαμβανόντων, ἢ ὅσης δεῖται τὸ ἧπαρ, ἔστι δ'
ὅτε, θᾶττον ἐπὶ τὴν διαχώρησιν ἰούσης αὐτῆς. Τῆς μὲν
γὰρ πλείονος ἀπολείπεται τὸ περιττὸν, ἐπειδὰν ἑλκύσῃ
τὸ ἧπαρ, ὅσης δεῖται· τῆς δὲ ταχέως διεξιούσης, οὐ φθά-
νει πρῶτον ἕλκειν τὸ ἧπαρ, ὅσου δεῖται. Θᾶττον δὲ ὑπέρ-
χεται τὰ διαχωρούμενα, ποτὲ μὲν διὰ τὸ πλῆθος τῆς
καταρρεούσης εἰς τὴν γαστέρα χολῆς, ἐρεθιζούσης αὐτὴν
εἰς ἀπόκρισιν, ἐνίοτε δὲ, τῆς μὲν ἐν αὐτῇ τῇ γαστρὶ
B καθεκτικῆς δυνάμεως, ἀρρωστοτέρας γινομένης, τῆς δὲ
ἀποκριτικῆς, ἐν ταύτῃ γε καὶ τοῖς ἐντέροις, ἰσχυρᾶς
ὑπαρχούσης· πλειόνων μὲν οὖν ὀρεγόμεθα, τοῦ στό-
ματος τῆς γαστρὸς, ἐν τούτῳ γὰρ μάλιστα ἡ ὄρεξίς ἐστι,
ψυχροτέρου τὴν κρᾶσιν ὑπάρχοντος· οὕτω δὲ καὶ τὸ ἧ-
παρ ἧττον ἕλκει διὰ ψυχρότητα· τὴν δὲ καθεκτικὴν ἡ
γαστὴρ δύναμιν ἀσθενεστέραν ἔχει δι' ὑγρότητα, καθά-
περ δὴ καὶ τὴν προωστικὴν ἰσχυροτέραν διὰ ξηρότητα.
Γερόντων οὖν, ἐπειδὰν ψυχρότερον γένηται τὸ σῶμα,
τὴν ἐν τῷ στόματι τῆς κοιλίας ὑγρότητα συμβαίνει γί-
C νεσθαι ψυχρὰν ἐς τοσοῦτον, ὡς μεταπίπτειν εἰς ἀνορεξίαν,
καὶ οὕτω ξηραίνεσθαι τὴν διαχώρησιν, ἐνδείᾳ τῶν προσ-
φερομένων, ὡς πρὸς τὴν ἀνάδοσιν. Οὕτω δὲ καὶ ὅ-
σοι διὰ τὸ πλῆθος, ἢ τὴν φύσιν τοῦ πικροχόλου χυμοῦ,
τὴν κοιλίαν ὑγραίνονται, πρὸς τοὐναντίον μεταπίπτουσι,
μηκέτι ἐν τῷ γήρᾳ τοῦ τοιούτου χυμοῦ πολλοῦ γινομένου.
Τοῖς μέντοι, δι' ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως,
ὑγραινομένοις τὴν κοιλίαν, οὐχ ἅπασιν ἡ μετάπτωσις
ἔσται, ἀλλὰ παρὰ τὸ ποσὸν τῆς συνεζευγμένης αὐτῇ
θερμασίας. Εἰ μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς εἴη ψυχροτέ-
D ρα τὴν κρᾶσιν ἡ γαστὴρ, εἰς ἀμετρίαν τῆς κατὰ ψυ-
χρότητα δυσκρασίας ἐν τῷ γήρᾳ παραγινομένη, τὴν κα-
θεκτικὴν δύναμιν ὁμοίως ἄρρωστον ἕξει, διὰ τὸ, πᾶ-
σαν ἄμετρον δυσκρασίαν ἐκλύειν τὰς ἐνεργείας. Εἰ δ'
ἀκριβῶς εἴη θερμὴ, μέχρι πλείστου τῆς ἡλικίας, ἰσχυ-
ρὰν ἕξει τὴν καθεκτικὴν ἐνέργειαν, ὡς ἂν μηδ' ἑτέ-
ραν ἔχουσα τὴν δυσκρασίαν ἀκριβῶς, μηδὲ τὴν κατὰ
ξηρότητα, φύσει γὰρ ἦν ὑγροτέρα πάντως. ἢ οὐκ ἂν
ἄρρωστον εἶχε τὴν καθεκτικὴν δύναμιν μήτε κατὰ θερ-
E μότητα· τοῦτο γὰρ ὑπέκειτο. δῆλον οὖν, ὡς ὀλίγου, δεῖν
ἅπασιν, οἷς ὑγρότεραι φύσεις γαστρός εἰσιν, εἰς τοὐναν-
τίον ἡ μετάπτωσις γίνεται γηράσκουσιν· οἷς δὲ ξηρότε-
ραι, τούτοις ὑγρότεραι γίνονται γηρῶσι, διὰ τὰς ἐναν-
τίας κράσεις· ἤτοι γὰρ ὅταν ἐλάττονα τροφὴν προσφέ-
ρωνται τῆς κατὰ τὸ ἧπαρ δυνάμεως, ἢ δι' ἐξίκμασιν,
ἢ τὸ συρρέειν τῆς χολῆς εἰς τὴν κοιλίαν ὀλίγον, ἢ δι'
εὐρωστίαν τῆς καθεκτικῆς δυνάμεως, ἡ διαχώρησις ἔσται
F ξηροτέρα. Τούτων δὲ τὸ μὲν ἧττον ὀρέγεσθαι, καὶ θᾶτ-
τον ἐμπίπλασθαι, διὰ τὴν θερμότητα γίνεται τῶν ὀρεκτι-
κῶν μορίων. Τὸ δ' ἐξικμάζεσθαι τὴν τροφὴν, ἤ-
τοι συμμέτρως ἔχοντος ἐν τῇ κράσει τοῦ ἥπατος, ἢ
καὶ βραχεῖ τινι θερμοτέρου τὴν κρᾶσιν ὑπάρχοντος. Τὸ

δὲ ὀλίγην συῤῥεῖν εἰς τὴν γαστέρα χολὴν, ὡς ἂν δηλονότι καὶ γεννωμένης ὀλίγης, ἐπὶ τῇ ψυχρότητι τοῦ σπλάγχνου συμβαίνει. ῥωμαλέα δὲ ἡ καθεκτικὴ δύναμις γίνεται τοῖς νέοις ἐπὶ τὸ ξηρότερον τῇ κράσει ῥέπουσιν· εἰκότως οὖν γηρόντων ἁπάντων τῶν προειρημένων, εἰς τἀναντία μετάπτωσις ἔσται. οἵ τε γὰρ ἀνόρεκτοι διὰ θερμότητα, προηκούσης τῆς ἡλικίας ὀρεχθήσονται πλειόνων, ἢ ὅσων δύναται κρατήσειν τὸ ἧπαρ· ὅσοις τε διὰ ξηρότητα σύμφυτον, ἡ καθεκτικὴ δύναμις ἦν ἰσχυροτέρα, τούτοις γηρῶσιν ἀῤῥωστοτέρα γενήσεται, τῇ τῆς ξηρότητος ἀμετρίᾳ. Καὶ διὰ τοῦτο ἡ διαχώρησις ὑγρανθήσεται, τῷ ταχύνειν τὴν διέξοδον τῶν σιτίων. ὅσοις δὲ διὰ τὴν ἔνδειαν τῆς χολῆς, ἡ διαχώρησις βραδύνουσα, τῷ πολυχρονίῳ τῆς διεξόδου τὸ πολὺ τῆς ὑγρότητος ἐξικμάζεται, δυνατὸν μὲν ἔτι μεῖναι αὐτὴν διάθεσιν. Ἐγχωρεῖ δὲ καὶ διὰ ψῦξιν ἄμετρον τοῦ ἥπατος, εἰς ἀῤῥωστίαν ἱκανὴν τῆς ἀναδόσεως ἀφικομένης, ὑγρὰ γίνεσθαι τὰ διαχωρήματα. Ταῦτ᾽ ἐν τῷ παρόντι, περὶ τῆς αἰτίας εἰρήσθω μοι τῶν ἐν ταῖς ἡλικίαις μεταβολῶν, ὅσα ἴσχουσι διὰ ξηρότητα καὶ ὑγρότητα γαστρὸς, ἀσαφῆ διὰ βραχυλογίαν ἐσόμενα τοῖς μὴ προγεγυμνασμένοις ἐν οἷς ὑπομνήμασιν· ἀλλ᾽ ὕστερόν ποτε δι᾽ ἑνὸς ὅλου βιβλίου σαφέστερον ὑπὲρ τῶν αὐτῶν εἰρήσεται. πρὸς μέντοι τὴν ἐν τῇ τέχνῃ χρείαν, ἱκανὸν καὶ τοῦτο μόνον ἐπίστασθαι, τὸ πρὸς Ἱπποκράτους εἰρημένον, ἄνευ τοῦ προσκεῖσθαι τὴν αἰτίαν.

A pauca bilis in aluum confluat, vt quæ nimirum pauca procreetur, ob visceris frigiditatem accidit. Fortis autem iuuenibus inest retentrix facultas, quum ad siccius temperamentum vergunt. Iure igitur omnibus prædictis senescentibus in contraria fiet mutatio: Nam qui anorexia laborant *aut non appetunt*, ob caliditatem, ætatis progressu plus etiam appetent, quàm possit hepar euincere; Et quibus ob congenitam siccitatem retentrix facultas fortior exstiterat, iis senescentibus fiet imbecillior ob siccitatis ametriam; eâque ratione propter citatiorem cibariorum B transitum humida euadet dejectio. Quibus verò propter bilis penuriam moratur dejectio, & ob diuturnum transitum multùm humoris absumitur, idem etiamnum affectus permanere potest. Fieri tamen potest vt propter immoderatam iecoris frigiditatem, distributione ad ingentem imbecillitatem accedente, humidæ dejectiones oboriantur. Hæc in præsenti de mutationum per ætates contingentium, & alui siccitatem & frigiditatem sequentium causis dicta sint; quæ propter breuiloquentiam iis erunt obscura qui C prædictis Commentariis prius exercitati non sunt. Verùm aliquando postea libro vno integro de his dilucidiùs dissseretur. Quod ad artis vsum spectat, hoc solùm scire sufficit quòd citrà causarum adjectionem ab Hippocrate fuit pronunciatum.

Ὅτι τῷ λιμῷ τῷ νοσήματι θώρηξις βοηθεῖ· περὶ τῶν λιμοῦ αἰτιῶν· τί θώρηξις· καὶ τί βουλιμός.

Quòd fami morbo vini potio medeatur, de famis causis. Quid thorexis, & quid bulimus.

ΑΦΟΡΙΣΜΟΣ κά.

D

APHORISMVS XXI.

Λιμὸν θώρηξις λύει.

Famem vini potio soluit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θώρηξιν, οἴνου πόσιν αὐτὸς εἴωθεν ὀνομάζειν. Ἐν γοῦν τῷ περὶ φύσεως ἀνθρώπου, καὶ διαίτης, ὧδέ πως ἔγραψε. φανερὸν γὰρ δὴ, ὅτι τὰ διαιτήματα ἑκάστου ἡμῶν οὐκ αἴτιά ἐστιν. ὅτι δὲ ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς, καὶ τῶν νεωτέρων, καὶ πρεσβυτέρων, καὶ γυναικῶν, καὶ ἀνδρῶν, ὁμοίως καὶ τῶν θωρησσομένων, καὶ τῶν ὑδροποτεόντων· ἐκ τοῦ τοίνυν ἀντιθεῖναι τοῖς ὑδροποτοῦσι, τοὺς θωρησσομένους ἐδήλωσεν, ὅτι τοὺς οἰνοποτοῦντας ὀνομάζει θωρησσομένους, ὥστε καὶ θώρηξις ἡ τοῦ οἴνου πόσις ὑπ᾽ αὐτοῦ λέγεται, ταύτην οὖν φησὶ λύειν λιμόν. οὐ μὰ Δία ἅπασαν ἔνδειαν ὀνομάζων λιμὸν, ὥς τινες ὑπολαμβάνουσιν. οὐ μὴν οὐδὲ τὴν μετ᾽ ὀρέξεως, ἀλλὰ τὴν ἐπ᾽ <u>αὐτῶν</u> δὴ τοῦτο πάθημα ἐχόντων ὄρεξιν σφοδρὰν καὶ ἄπαυστον σιτίων, ἣν ἔνιοι τῶν ἰατρῶν ὀνομάζουσι κυνώδη. Τούτου γάρ τοι τοῦ λιμοῦ, ἡ τοῦ οἴνου θώρηξις ἴαμά ἐστιν, οὐχ ὅς τις ἂν, ἢ τοι διὰ μακρὰν ἀσιτίαν, ἢ ῥύσιν γαστρὸς, ἢ αἱμοῤῥαγίαν, ἢ τινα ἑτέραν κένωσιν ἦ γεγενημένος. Οἱ μὲν τοι διά τι τῶν τοιούτων

αὐτὸν

GALENI COMMENTARIVS.

Thorexim, vini potionem ipse consueuit nominare. In libro siquidem de natura hominis, & de victûs ratione hoc modo scripsit; *Constat enim profecto cuiusque nostrum victus rationem causam non esse qua* E *vniversi iuuenes & senes, viri & mulieres, similiterque thoressomeni, & hydropothæ promiscuè morbo corripiantur.* Quum ergo thoressomenis hydropotas opponat, per thoressomenos vini potores se prodit intelligere. Quare & thorexis vini potus ab ipso dicitur, quem dicit famem soluere. Non, per Iouem, quamcunque cibi penuriam famem nominans, vt nonnulli arbitrantur; sed neque illam quæ cum cibi appetentia fit; sed eam quam habent qui hoc morbo laborant vehementem, F nec cessantem ciborum appetentiam, quam nonnulli Medici caninam appellitant. Hujus enim famis vini potus remedium est, non ejus quæ aut longæ inediæ, aut alui profluuio, aut sanguinis eruptioni, aut cuidam alteri vacuationi successit. Enimverò ob ejus-

modi causarum aliquam famelici tantum abest vt aliquod ex vini potu emolumentum percipiant, quinimo plurimum oblæduntur, qui nimirum derepente conuulsionibus ac deliriis corripiuntur, si cibis assumptis præbiberint. At quibus fames morbus est, iis vini potus, non cibi copia remedium est. Equidem nonnullos assidua fame vexatos ita curaui, vino ex iis quæ vehementer calefaciunt, ipsis copiosè propinato. Non enim sanè acerba vina ejusmodi famem sanant, quòd minime calefaciant; sed quæ citra astrictionem colore fulua aut rubra sunt, hæc canina vocata appetentia laborantibus maximum auxilium aduehunt. His enim ad prandium accedentibus edulia pinguia primum atque (vt ita dixeri quis) oleosa & quæcunque cætera ex copioso oleo parantur, exhibenda sunt, maximè verò nihil quicquam austerum, aut acerbum offeratur. Postea ex enarratis vinis quoddam etiamsi nondum sitierint offerri imperandum est. Protinus enim ipsis tali victu fames mitigatur; & ita diuturniori tempore agendo sedatur; atque hoc mihi magis in præsenti aphorismo Hippocrates docere videtur: Quum enim appetentiæ aut propter solam intemperiem frigidiorem aut propter quosdam humores acidos os ventriculi imbuentes fieri consueuerint; & hæc ambo vitia sanare possit vinum prædictum, merito caninas appetentias sedauerit. Qui verò augurantur bulimum vocatum, famem ab Hippocrate dictum esse, hi mihi absurdius ejus verba exaudire videntur; primùm quòd pro generali atque vniuersali oratione particularem efficiant; deinde quod falsum etiam proferant. Nam bulimus facultatis est prostratio, ab externo frigore profecta qui ab esurie quidem ortum duxit, famem verò amplius conjunctam non habet.

A ἐνδεεῖς, οὐχ ὅπως ἀγαθόν τι τῆς οἰνοποσίας ἀπολαύουσι, ἀλλὰ καὶ μέγιστα βλάπτονται, σπασμοῖς, καὶ παραφροσύναις ἁλισκόμενοι διὰ ταχέως, εἰ πρὸ τοῦ σιτία προσενέγκασθαι, θωρηχθεῖεν· οἷς δέ ἐστι πάθος ὁ λιμὸς, ἴαμα τούτοις ἐστὶν ἡ τοῦ οἴνου πόσις, οὐ τροφῆς πλῆθος. Ἔγωγ' οὖν οὕτως ἰασάμην ἐνίους τῶν ἀπαύστως λιματτόντων, οἶνον πίνειν διδοὺς δαψιλῆ, τῶν ἱκανῶς θερμαινόντων. Οὐ γὰρ δὴ οἱ στρυφνοὶ τῶν οἴνων ἰῶνται τὸν τοιοῦτον λιμὸν, ὅτι μηδὲ θερμαίνουσι· ἀλλ' ὅσοι γε κιῤῥοὶ τὴν χρόαν, ἢ ἐρυθροὶ, χωρὶς τοῦ στύφειν, οὗτοι μέγιστον B ἴαμα τῶν τὴν κυνώδη καλουμένην ὄρεξιν ἐχόντων εἰσί. Χρὴ γὰρ αὐτοῖς ὅταν ἐπὶ τὸ ἄριστον ἀφίκωνται, πρότερον μὲν διδόναι λιπαρὰ, καὶ ὡς ἂν εἴπη τις ἐλαιώδη τῶν ἐδεσμάτων, καὶ τἄλλα δὲ πάντα, ἃ δι' ἐλαίου πολλοῦ σκευάζονται. μάλιστα δὲ μηδὲν αὐστηρὸν, ἢ στρυφνὸν ἔστω· μετὰ δὲ ταῦτα, τῶν εἰρημένων οἴνων τινὰ, κἂν μηδέπω διψῶσι, κελεύειν προσφέρεσθαι. πραΰνεται μὲν γὰρ αὐτοῖς εὐθέως ὁ λιμὸς, ἐπὶ τῇ τοιαύτῃ διαίτῃ· ἐν πλείονι δὲ χρόνῳ πραττόντων οὕτω, παύεται. καί μοι δοκεῖ τοῦτο μᾶλλον ὁ Ἱπποκράτης ἐνδείκνυσθαι κατὰ τὸν προκείμενον ἀφορισμόν. Ἐπειδὴ γὰρ αἱ κυνώδεις ὀρέξεις, C ἤτοι διὰ δυσκρασίαν μόνην τὴν ἐπὶ τὸ ψυχρότερον, ἢ διά τινας χυμοὺς ὀξεῖς γίνεσθαι πεφύκασιν ἐναποθέντας εἰς αὐτὸ τὸ στόμα τῆς γαστρός· ἄμφω δ' ἰᾶσθαι ταῦτα πέφυκεν ὁ εἰρημένος οἶνος, εἰκότως παύει τὰς κυνώδεις ὀρέξεις. Ὅσοι δ' ἡγοῦνται τὸν καλούμενον βούλιμον εἰρῆσθαι λιμὸν νῦν ὑφ' Ἱπποκράτους, ἀλογώτερόν μοι δοκοῦσιν, ἀκούειν τοῦ λόγου· πρῶτον μὲν αὐτὸ γενικοῦ τε, καὶ καθόλου, ποιοῦντες εἰδικόν τε, καὶ κατὰ μέρος, εἶτα καὶ ψευδόμενοι· κατάπτωσις γάρ ἐστι δυνάμεως ὑπὸ τῆς ἔξωθεν ψύξεως, ὁ βούλιμος, ἀρξάμενος μὲν ἀπὸ πείνης, D οὐκ ἔτι δ' ἔχων αὐτὴν συνοῦσαν.

Quòd morbis ortis ex plenitudine vacuatio, & à vacuatione procreatis repletio: & contrariis contraria sint remedia.

Ὅτι ἡ τοῖς νοσήμασιν ἀπὸ τῆς πλησμονῆς γενομένοις κένωσις, καὶ ἡ τοῖς ἀπὸ κενώσεως γινομένοις πλησμονὴ ἴαται· καὶ ὅτι τοῖς ἐναντίοις τὰ ἐναντία ἢ ἰάματα.

APHORISMVS XXII.

Qvibuscunque morbis ex repletione sobolescentibus medetur vacuatio; morbisque à vacuatione obortis repletio; cæterisque contrarietas.

ΑΦΟΡΙΣΜΟΣ κβ'.

E Ἀπὸ πλησμονῆς, ὁκόσα ἂν νοσήματα γένηται, κένωσις ἰῆται, καὶ ὁκόσα ἀπὸ κενώσιος, πλησμονή. καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

GALENI COMMENTARIVS.

Neque, si quid à repletione fiat, neque ipsa non amplius existente si quid remaneat, id curabit vacuatio; sed quæcunque eo ipso quo fiunt tempore aggredimur, vacuatione indigent. Quòd igitur plenitudo morbum efficiat, antea dictum est. Quod autem vacuatio sit eius curatio, dicere non opus est; vt nec quòd omnium causarum morbos efficientium curatio sit contrarium remedium. Neque enim quic-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ, εἴ τι γινόμενον ὑπὸ πλησμονῆς οὐδ' οὐκέτι οὔσης αὐτῆς, εἴ τι μένοι, τοῦτο ἰάσεται κένωσις. ἀλλ' ὅσα κατὰ τὸν αὐτὸν τὸν χρόνον ἐπιχειροῦμεν ἰᾶσθαι, κενώσεως χρήζει. καθ' ὃν F Ὅτι μὲν οὖν πλῆθος ἐργάζεται νόσον, ἔμπροσθεν εἴρηται. ὅτι δὲ ἡ ἴασις αὐτοῦ, κένωσίς ἐστιν, οὐδὲ λόγου δεῖται, καθάπερ οὐδ' ἐν πάντων τῶν ποιούντων τὰς νόσους, ἡ ἐναντίωσις. Οὐδὲ γὰρ ἐπινοῆσαι δυνατὸν ἄλλό τι παρὰ τοὐναντίον τῶν ποιούντων τὰς νόσους, αἱ

τίων ὡς ἐπί γε τῶν νόσων αὐτῶν ἤδη γεγενημένων αὖθις ἐπισκεψόμεθα, καθάπερ γε κἀπὶ τῶν ἐξ ἀνάγκης ἑπομένων αὐταῖς συμπτωμάτων. Ἀλλὰ νῦν γε περὶ τῶν ἔτι γινομένων ὁ λόγος ἐστὶ νοσημάτων. εὔδηλον οὖν ὡς ἅμα τοῖς ποιοῦσιν αἰτίοις ἀνῃρημένοις, ἀναγκαῖόν ἐστι καὶ αὐτὰ συναναιρεῖσθαι. Τῶν ποιούντων δ' αἰτίων, ἡ ἀναίρεσις ἀπὸ τῶν ἐναντίων γίνεται. Εἰ μὲν γὰρ τῷ ψύχειν τι νόσον ἐργάζοιτο, διὰ τοῦ θερμαίνοντος ἡ ἴασις. εἰ δὲ τῷ θερμαίνειν, διὰ τοῦ ψύχοντος. Οὕτω δὲ καὶ εἰ διὰ πλησμονὴν νόσος συνίσταται, ὃ τηνικαῦτα κενῶσαι χρὴ τὴν πλησμονήν. Ὥσπερ γε καὶ εἰ ὑπὸ κενώσεως, ἀναθρέψαι ὅτι τάχιστα προσήκει· καίτοι δοκεῖ τισὶν ὡς οὐδέποτε ἐργάζεται κένωσις νόσον. ἡγοῦνται δ' ὡς ἔοικεν, οἱ πλεῖστοι, μόνον τὸν πυρετὸν εἶναι νόσον. ὡς εἴ γε ἔγνωσαν, ὡς, ἅπασα διάθεσις ἐνεργείαν βλάπτουσα, νόσος ἐστὶ, καὶ ὡς αἱ σφοδραὶ δυσκρασίαι τὰς ἐνεργείας βλάπτουσιν, οὐκ ἠμφισβήτουν περὶ τοῦ τὰς ἰσχυρὰς κενώσεις αἰτίας γίνεσθαι νόσων. Αἷμα μὲν γὰρ, αἵ τε διὰ μήτρας, αἵ τε δι' αἱμορροΐδος, αἵ τ' ἐξ ἕλκους ῥυῇ δαψιλὲς, ἢ πάσας, ἢ τάς γε πλείστας ἐνεργείας, οἱ οὕτω παθόντες, βλάπτονται. Τινὲς δ' ἐξ αὐτῶν, οὐ μόνον ταῦτα πάσχουσιν, ἀλλὰ καὶ ὑδέροις ἁλίσκονται. μακραὶ δ' ἀσιτίαι τοῖς φύσει πυρετωδέστερον ἔχουσι τὸ θερμὸν, οὐ μόνον τὰς ἄλλας βλάβας, ἀλλὰ καὶ πυρετὸν ἐπιφέρουσιν. ὅσον μὲν οὖν ἀληθὲς ἅμα ἐστὶ καὶ χρήσιμον, εἴρηται. προσθῶμεν δ' αὐτοῖς τι καὶ διὰ τοὺς ληροῦντας, οἵπερ νεώτεροι εἰσὶ τῶν ἰατρῶν, ὑπὲρ ὀνομάτων μὲν ἐρίζοντες, οἰόμενοι δὲ περὶ τῶν πραγμάτων αὐτῶν ποιεῖσθαι τοὺς λόγους. Οὗτοι τοίνυν εἰσὶν οἱ λέγοντες, οὐκ εἶναι θεραπείαν τὴν ἀναίρεσιν τῶν ποιούντων τὰς νόσους αἰτίων, ἀλλὰ καὶ προφυλακὴν, οἷς πρῶτον μὲν ἐπιδεικτέον ἐστὶν, ὡς περὶ ὀνόματος ἐρίζουσιν, ἔπειτ' οὐ μηδὲ περὶ τούτου καλῶς. ἔνθα μὲν γὰρ οὐκ ἔστι τὸ ποιῆσαν αἴτιον τὴν νόσον, ἐνταῦθα ἴασις μόνη τῶν γεγονότων ὑπολείπεται. ἔνθα δ' οὐδέπω ποιεῖ τὸ ἐνυπάρχον αἴτιον τῷ σώματι, καθάπερ ἡ πληθώρα, τοῦτο προφυλακτικοῦ μέρους τῆς τέχνης ἐστὶν, ἡ τῶν τοιούτων αἰτίων ἀναίρεσις. Ὁπότε δ' ἤδη ποιεῖ, μικτόν πως ἐστὶ τὸ τοιοῦτον, ἔκ τε προφυλακῆς καὶ θεραπείας. Ὅσον γὰρ ἔμελλε ποιήσειν, ἐκωλύθη γενέσθαι, καὶ τοῦτό ἐστι τοῦ προφυλακτικοῦ τῆς τέχνης. Ὅσον δ' ἤδη γέγονε τῆς νόσου, δεῖται θεραπείας ἰδίας. Ὅθεν, ἐπειδὴ μικτὰ τὰ τοιαῦτά ἐστιν, ἔκ τε προφυλακῆς, καὶ θεραπείας, ἴδιον οὐκ ἔχομεν ὄνομα, καὶ διὰ τοῦτο ἄλλο τε ἄλλως αὐτὰ προσαγορεύουσιν οἱ ἰατροὶ, ποτὲ μὲν προφυλάττεσθαι λέγοντες, ὡς μὴ τελεωθῆναι τὴν ἀπηργμένην ἤδη γίνεσθαι νόσον. ἔστι δ' ὅτε ἰᾶσθαι λέγοντες, ὡς ἐπὶ τοῦ ὑπὸ λυττῶντος κυνὸς δεδηγμένου. Ὅσα γὰρ ἐπ' αὐτῶν προσφέρεται φάρμακα, διττῶς ὀνομάζουσι ποτὲ μὲν ἰάματα λύττης, ὡς εἰ καὶ τῆς γεννώσης αὐτὴν διαθέσεως ἔλεγον. ἐνίοτε δὲ οὐκ ἰάματα προσαγορεύουσιν, ἀλλὰ προφυλακτικὰ τῆς μελλούσης ἔσεσθαι λύττης.

quam aliud præter remedium causis morbos
A efficientibus contrarium excogitari potest,
quemadmodum tum in morbis ipsis jam factis rursus, tum in symptomatis eos *morbos* necessario comitantibus exploraturi sumus. Sed nunc de morbis etiamnum oborientibus habetur oratio. Perspicuum igitur est causarum morbos efficientium sublatione, simul etiam morbos ipsos necessario tolli. At causarum morbos efficientium fit ablatio per contraria. Siquid enim refrigerando morbum efficiat, calefacientibus fiet curatio; si verò calefaciendo, refrigerantibus: ita quoque si propter repletionem morbus constituatur,
B tunc temporis repletio vacuanda est, quemadmodum & si ob vacuationem corpus ægrotet, id cibo quamprimum reficere conuenit; etiamsi quibusdam placeat nunquam morbum vacuatione fieri. At ij, vt apparet, solam febrem esse morbum arbitrantur. Quod si omnem affectum actionem lædentem morbum esse, & omnem insignem intemperiem actiones lædere didicissent, nequaquã ea de re vehementes vacuationes morborum causas existere non dubitassent. Enimverò sanguis quũ copiosè aut ex vtero, aut ex hæmorrhoide, aut vulnere profluit, ita affectis aut om-
C nes, aut plurimæ functiones oblæduntur. Quidam verò ipsorum non modò hæc patiuntur, verumetiam hyderis corripiuntur. Longæ autem inediæ calorem natura feruentiorem habentibus, non modò cæteras læsiones, verumetiam febrem adferunt. Quicquid igitur verum simul est ac vtile diximus; his tamen addamus aliquid etiam propter garrulos, quales sunt recentiores quidam Medici, qui de nominibus altercantes autumant se de rebus ipsis orationem habere. Hi sunt igitur qui causarum morbos efficientium euersionem, cu-
D rationem non esse proferunt; sed præseruationem; quibus primùm de nomine litigare, deinde id quidem rectè facere demonstrandum est. Vbi nanque causa non adest quæ morbum effecerit, ibi sola effectuum curatio relinquitur. Vbi verò quæ inest corpori causa, nondum aliquid efficit, vt plethora, ad prophylacticen seu præseruatricem artis partem attinet hujusmodi causarum euersio. Quum verò jam morbum efficit, id opus quodammodo ex præseruatione & curatione mix-
E tum est. Quantum enim effecturæ erant causæ fieri prohibitum est; idque artis prophylactices munus est; quantùm verò jam morbi factum est, propriam curationem postulat. Vnde quoniam ista ex præseruatione ac curatione mixta sunt, proprio caremus nomine; propterea alias aliter Medici appellitant, qui interdum quidem præcaueri dicunt, ne morbus qui jam procreari cœpit, adolescat; interdum verò curari, quemadmodum in rabioso cane demorsis. Quæ siquidem ab ipsis adhibentur
F medicamenta, duobus ipsi modis appellant, nonnunquam aduersus rabiem remedia, ac si ad affectionem rabiem procreantem dicerent; nonnunquam verò non remedia, sed à rabie futurâ præseruantia vocitant.

Quid

A

Quid morbus acutus; quid judicatio; & qui acuti morbi quatuordecim diebus judicentur.

APHORISMVS XXIII.

ACuti morbi quatuordecim diebus iudicantur.

B

GALENI COMMENTARIVS.

ACuti morbi tum magni sunt, tum celeriter ad vigorem properant. Iure igitur pauco tempore & magnas mutationes faciunt, quod idem est quod judicari. Ipse siquidem Hippocrates hujuscemodi mutationes quum derepente in morbo fiunt, crises, judicationes appellat, interdum quidem ægrotantibus sanitatem illicò recipientibus; aut intereuntibus; interdum verò quandam magnam ad salutem, aut ad mortem mutationem subeuntibus, qui tamen non ex tempore sospites euadant, aut intereant; itaut quatuor sint in ipsis repentinæ mutationes, quas ipse primo Epidemion his verbis docuit; *Ad salutem, aut mortem, aut desinentem in melius, aut deterius impetum.* Quòd verò necessarium sit morborum magnitudine, ac symptomatum vehementia, vel citò vires adeò prosterni, vt homo moriatur; vel ad noxiorum humorum excretionem excitari; ac tum, si modò quos inuaserint, exuperent, bonam; sin autem exuperentur, malam crisim fore omnibus notum est. Quas ob res in morbis acutis crisim in longum tempus excidere nefas. Hisce igitur in omnibus Hippocrates terminum statuit duarum septimanatum tempus, quod nullus vlterius progrediatur; licet ante decimumquartum diem multi possint judicari. Etenim vndecimus, nonus, septimus, & quintus multos in libris Epidimiorum manifestè indicarunt. Indicat autem & sextus nonnullos; sed non prosperè, quemadmodum in Commentariis libris de diebus judicatoriis latiùs demonstrauimus; in quibus exercitatum esse volumus eum qui ea sit assequuturus, quæ Hippocrates paucis conscripsit. Quibuscunque verò judicationibus veluti hemirrhopis imperfectis aliorum deinceps dierum sequentium aliquis perfectionem ac finem imponet, quos ipse & quales sint in Prognostico docuit; hîc etiam aliquid de ipsis sequenti aphorismo traditurus est. Est autem & harum hemirrhoparum, imperfectorumve indicationum terminus quidam alius exterior, vltra quem non amplius progredi liceat diem quadragesimum. Quicunque igitur morbi intra quartũdecimum diem integrè judicantur, hos Hippocrates acutos absolutè nominare consueuit. Quicunq; verò aliquo subsequentium dierum judicatoriorũ hemirrhopos *imperfectè* judicati ad vsque quadragesimum diem durarunt, hos non absolutè acutos nominare consueuit, sed oratione ex his omnibus dictionibus composita, acutos

Τί ἡ ὀξὺ νόσημα· τί ἡ κρίσις· καὶ ἅτινα νοσήματα ἐν τεσσαρεσκαίδεκα ἡμέραις κρίνονται.

ΑΦΟΡΙΣΜΟΣ κγ'.

ΤΑ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ ὀξέα νοσήματα, μεγάλα τέ ἐστι, καὶ πρὸς τὴν ἀκμὴν ἐπειγόμενα διὰ ταχέων. Εἰκότως οὖν ἐν ὀλίγῳ χρόνῳ, καὶ τὰς μεταβολὰς ποιεῖται μεγάλας, ὅπερ ταὐτόν ἐστι τῷ κρίνεσθαι. Τὰς γοῦν τοιαύτας μεταβολὰς, ὅταν ἀθρόως ἐν νόσῳ γενηθῶσιν, αὐτὸς ὁ Ἱπποκράτης ὀνομάζει κρίσεις. ἐνίοτε μὲν ἀθρόως ὑγιαζομένων τῶν νοσούντων, ἢ ἀποθνησκόντων, ἐνίοτε δὲ μεταβολήν τινα μεγάλην ποιησαμένων ἐπὶ σωτηρίαν, ἢ ὄλεθρον, οὐ μὴν παραχρῆμά γε σωθέντων, ἢ ἀποθανόντων, ὥστ' εἶναι δ'. τὰς ὀξυρρόπους ἐν αὐτοῖς μεταβολὰς, ἃς αὐτὸς ἐδίδαξεν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰπών. Ἐπὶ σωτηρίην, ἢ ὄλεθρον, ἢ ῥοπὴν ἐπὶ τὸ ἄμεινον, ἢ τὸ χεῖρον. Ὅτι δ' ἀνάγκη διὰ τὸ μέγεθος τῶν νοσημάτων, καὶ τὴν σφοδρότητα τῶν συμπτωμάτων, ἢ νικηθῆναι διὰ ταχέος τὴν δύναμιν, ὥστ' ἀπολέσθαι τὸν ἄνθρωπον, ἢ ἐῶν πρὸς τὴν τῶν λυπούντων ἔκκρισιν ὁρμήσασαν, εἰ μὲν κρατήσειεν ὧν προσῆλθε, κρίσιν ἀγαθὴν, εἰ δὲ κρατηθείη, κακὴν ἐργάσασθαι, πρόδηλον παντί. Διὰ τοῦτ' οὖν ἀδύνατον εἰς μακρὸν χρόνον ἐκπεσεῖν τὴν κρίσιν, ἐν τοῖς ὀξέσι νοσήμασιν. Ὅρον οὖν ἐπὶ τῶν πάντων ἁπάντων ὁ Ἱπποκράτης ἔθετο, τὸν τοῖν δυοῖν ἑβδομάδοιν χρόνον, ὡς ἐξωτέρω μὲν οὐδενὸς προϊόντος· ἔμπροσθεν δὲ τῆς ιδ'. πολλῶν κρίνεσθαι δυναμένων. Καὶ γὰρ ἡ ια'. καὶ ζ'. καὶ ἡ ε'. πολλοὺς φαίνονται κεκρικυῖαι, κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία. κρίνει δὲ καὶ ἡ ς'. τινὰς, ἀλλ' οὐκ ἀγαθῶς, ὡς κἀν τοῖς περὶ κρισίμων ἡμερῶν ὑπομνήμασιν, ἐπὶ πλέον ἐδείξαμεν, ἐν οἷς ἀξιοῦμεν τὸν μέλλοντα γεγυμνάσθαι παρακολουθήσειν, οἷς Ἱπποκράτης διὰ βραχέων ἔγραψεν. ὅσαι δὲ τῶν κρίσεων οἷον ἡμίρροποι γίνονται, ταύταις τὸ τέλος ἄλλη τις τῶν ἑξῆς ἡμερῶν ἐπιτίθησιν, ἃς αὐτὸς ἐδίδαξεν, ὁποῖαί τινες εἰσὶν ἐν τῷ προγνωστικῷ· διδάξει δέ τι κἀνταῦθα κατὰ τὸν ἑξῆς ἀφορισμὸν ὑπὲρ αὐτῶν. ἔστι δέ τις καὶ τούτων τῶν ἡμιρρόπων κρίσεων ὅρος ἄλλος ἐξώτερον, μεθ' ὃν οὐκέτι προέρχεσθαι πέφυκεν ἡ μ'. τῶν ἡμερῶν. Ὅσα μὲν οὖν ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἐκρίθη τελέως, ταῦτα ἁπλῶς ὁ Ἱπποκράτης εἴωθε προσαγορεύειν ὀξέα. ὅσα δὲ ἡμιρρόπως κριθέντα τῶν ἐφεξῆς τινα κρισίμων ἡμερῶν ἄχρι τῆς μ'. ἐφυλάχθη, ταῦτα οὐκέτι ἁπλῶς προσαγορεύειν ὀξέα εἴωθεν, ἀλλ' ἐν συνθέτῳ προσηγορίᾳ, δι' ὅλης τῆς λέξεως, ὀξέα τὰ ἐν μ'. ἡμέραις κρινόμενα. σαφέστερον δ'

αὐτῇ λέξει δηλοῦσιν οἱ προσαγορεύοντες, ἐκ μεταπτώσεως ὀξέα. περὶ τούτων μὲν οὖν, ἐν τῷ προγνωστικῷ τάδε γράφει. Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην, ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα ξὺν πυρετοῖς μέν εἰσιν, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. νυνὶ δὲ ἐν τοῖς ἀφορισμοῖς περὶ τῶν ἁπλῶς ὀξέων ἀποφαινόμενος, ιδ΄. φησὶ κρίνεσθαι αὐτὰ ἡμέραις, οὐ μὰ. Δία τοῦτο λέγων, ὥς τινες ὑπέλαβον, ὅτι ιδ΄. τὸν ἀριθμόν εἰσιν αἱ τὴν κρίσιν ἐπὶ τούτων τῶν νοσημάτων ἐργαζόμεναι. κατὰ τοῦτον γὰρ τὸν λόγον καὶ τὰ μεταπτώσεως ὀξέα τὰς κρινούσας ἡμέρας, μ΄. τὸν ἀριθμὸν εἶναι φήσομεν, ὡς ἡ αὐτή γε λέξις ἐπ᾽ ἀμφοῖν ἐστιν· ἐνταυθοῖ μὲν εἰπόντος αὐτοῦ, ἐν ταῖς ιδ΄. ἡμέραις κρίνεσθαι τὰ ὀξέα τῶν νοσημάτων· ἐν δὲ τῷ προγνωστικῷ, ὁκόσα σὺν πυρετοῖς ἐστι καὶ ἐν ταῖς μ΄. κρίνεται ἡμέραις. ἀλλ᾽ οὗτοι μὲν οὐχ εὑρίσκοντες ὅπως ἀλλήλοις ἐπιδείξωσιν ὁμολογοῦντας τοὺς λόγους, τόν τε ἐν τοῖς ἀφορισμοῖς, καὶ τὸν ἐν τῷ προγνωστικῷ γεγραμμένον, ἀλλόκοτον ταύτην ἐπενόησαν ἐξήγησιν. οὐ δὲ γὰρ εἰς τὴν ιδ΄. μέχρι τῆς μ΄. αἱ κρίσιμοι, ἀλλὰ μετὰ μὲν τῶν ἐκ μεταπτώσεως πλείους, ἄνευ δὲ ἐκείνων ἐλάττους, ὡς ἡ περὶ κρίσεως ἡμερῶν ἐδίδαξε πραγματεία σαφῶς. Αὐτὴ δὲ ἡ τῶν πραγμάτων φύσις μαρτυρεῖ τῷ λογισμῷ, τῷ φάσκοντι, τὰ ὀξέα τῶν νοσημάτων ὅρον ἔχειν τῆς κρίσεως τὴν ιδ΄. ἡμέραν. Οὐδὲν γὰρ οὐδέποτ᾽ ὤφθη κινούμενον ἀπ᾽ ἀρχῆς ὀξέως ὑπερβαὶν τοῦτον τὸν ὅρον, ἄνευ τοῦ δέξασθαί τινα τῶν εἰρημένων τεσσάρων κρίσεων μίαν, ὡς ἔνιά γε καὶ βληχρὰ, καὶ μικρὰ κατὰ τὰς πρώτας ἡμέρας ὄντα περὶ τὴν δ΄. ἢ τὴν ε΄. ἡμέραν ἀρξάμενα τῆς ὀξύτητος, εἰς τὴν ιζ΄. τελεύτησεν. ἄλλα δὲ, ἐπὶ τῆς ϛ΄. ἢ ζ΄. ἡμέρας ἀρξάμενα τῆς ὀξύτητος, εἰς τὴν κ΄. ἐτελεύτησεν. ὥστ᾽ μηδέποτε ὀξύτητα νοσήματος συνεχοῦς, πλείους ἡμέρας δύνασθαι κατάγειν τῶν ιδ΄. Τῶν δὴ ἀνωμάλους ἐχόντων τὰς κινήσεις, ἐκτείνεται πολλὰ πρός τινα τῶν ἐξωτέρων προθεσμιῶν. Λέγω δὴ ἀνωμάλους ἐχόντων τὰς κινήσεις, ὅσαι τισὶν ἡμέραις σφοδρωθέντα, μετὰ ταῦτα ἀσήμως ἐρρᾳστώνησαν, εἶτ᾽ αὖθις ἐξαυξηθέντα, τὴν συνέχειαν ἔλαβεν. ἐὰν οὖν τις ὡς εἴρηκα, τὴν τήρησιν ἐπὶ τῶν ἀρρώστων ποιεῖται, πάντα εὑρήσει τὰ δι᾽ ὅλων τοῖν δυοῖν ἑβδομάδοιν ὀξέως κινηθέντα, μηδέπω ἐξωτέρω προερχόμενα.

αὐξηθέντα

A morbos quadraginta diebus iudicatos. Verùm dilucidiore oratione declarant qui acutos morbos ex decidentia vocitant. Quapropter hanc in Prognostico ſcribit ſententiam; *Spirandi verò facilitatem exiſtimare oportet permagnam vim ad ſalutem habere in omnibus acutis morbis, qui febres ſortiuntur comites, & quadraginta diebus iudicantur.* Nunc verò vbi inter aphoriſmos de ſimpliciter acutis loquitur, eos quatuordecim diebus judicari pronunciat. Non, per Iouem, hoc proferens, quod quidam autumarunt, eſſe quatuordecim numero dies qui his morbis judicationem faciant. Hac enim explicatione e-
B tiam dies illos qui morbos acutos ex decidentia aut degeneratione nominatos judicant, numero quadraginta eſſe dicemus, quòd eadem in vtriſque ſit oratio; hîc quidem quum ait ipſe, *Morbos acutos quadraginta diebus judicari*; in Prognoſtico verò quum dicit: *Quicunque acuti morbi febres habent comites, quadraginta iudicantur.* Verùm quum hi non inuenirent quomodo demonſtraturi eſſent vtroſque ſermones, tum hunc qui in aphoriſmis, tum illum qui in Prognoſtico conſcriptus eſt, inter ſe conſentire, hanc abſurdam interpretationem ex-
C cogitauerunt. Neque enim quatuordecim ſunt, ad quadrageſimum vſque, dies judicatorij; ſed cum intercidentibus quidem plures, abſque illis verò pauciores, quemadmodum in noſtro de diebus judicatoriis tractatu apertè demonſtratur. Ipſa etiam rerum natura eam rationem teſtatur, quæ dicit acutos morbos, judicationis terminum habere quartumdecimum diem. Nullus enim vnquam morbus, qui ab initio celeriter moueretur, hunc ſuperaſſe terminum inuentus eſt, qui aliquam ex quatuor jam dictis judicationibus vnam non ſubierit; adeout
D nonnulli primis diebus imbecilles, ac parui exiſtentes, quarto aut quinto die acumen exorſi, decimoſeptimo die terminati ſint. Alij verò ad ſextum aut ſeptimum diem acumen exorſi vigeſimo ceſſarint. Quare morbi continui acies plures quàm quatuordecim dies conſequi nequaquam poteſt. Eorum verò qui motus habent inæquales multi ad aliquod vſque tempus vlterius præfinitum extenduntur. Dico autem inæquales habere motus, eos qui quibuſdam diebus vehementiores fuere, poſtea ſine aliqua ſignificatione remiſerunt, deinde rurſus adaucti continuitatem acceperunt. Si quis
E igitur, vt dixi in ægrotantibus obſeruationem faciat, omnes inueniet qui per duas integras ſeptimanas celeriter mouentur, nunquam ad vlteriotem progredi terminum.

A

De crisi, diebus indicibus, judicatoriis, ac spectabilibus; itémque de septenariis disjunctis, & copulatis.

Περὶ κρίσεως, καὶ τῶν ἡμερῶν ἐπιδήλων, καὶ κρισίμων· καὶ περὶ τῶν ἑβδοματικῶν διεζευγμένων τε καὶ συζευχθέντων.

APHORISMVS XXIV.

Septenariorum index, quartus. Secundæ septimanæ octauus principium. Vndecimus quoque spectandus dies. Is enim secundæ septimanæ quartus est. Rursus verò spectandus decimus septimus; is nanque à decimoquarto quartus est, & ab vndecimo septimus.

ΑΦΟΡΙΣΜΟΣ κδ'.

B Τῶν ἑπτὰ, ἡ τετάρτη ἐπίδηλος, ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχὴ, θεωρητὴ δὲ ἡ ἑνδεκάτη· αὕτη γάρ ἐστι τετάρτη τῆς δευτέρης ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστι, τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης.

GALENI COMMENTARIVS.

INdices & spectabiles dies nominare consueuit Hippocrates, in quibus signum aliquod apparet futuræ indicationis indicatiuum, in alio quodam iudicantium dierum, quos ipse in Prognostico singulis septimanis bipertito sectis, quaternarios digessit. Primum itaque quaternarium septimi diei à principio inita supputatione, indicem esse ait. Vndecimum autem decimiquarti statuit indicem, quòd & hîc bipartito diuisus secundæ septimanæ sit index. Eadem ratione & decimusseptimus vicesimi est index ex diuisione tertiæ septimanæ in duas partes facta. Illud tamen interest, quòd hanc tertiam septimanam secundæ conjungat, quamuis primam à secunda separauerit. Secundæ nanque principium diem octauum esse dixit, non tamen tertiæ decimum-quintum, quemadmodum nonnulli post ipsum existimarunt; quòd neque vicesimum primum, terminum statuerit; sed principium quidē tertiæ septimanæ quartumdecimum, finem autem & terminum vicesimum. Cur autem duas primas septimanas per disjunctionem à se inuicem statuerit, tertiam verò secundæ per copulationem in opere de diebus judicatoriis docuimus. In præsentia verò sufficit etiam citra causam nouisse quod experientia comprobat. Nam ipse Hippocrates permultos ægros secundum talem iudicatoriorum dierum ordinem in libris Epidemiorum scripsit fuisse iudicatos. Dico autem talem esse ordinem, vt primæ tres septimanæ ad vigesimum diem, tres sequentes ad quadragesimum perducantur. Sic enim & sexagesimum, & octogesimum diem indicatorios habebimus, & ipsos experientia confirmatos, quemadmodū in libris de diebus iudicatoriis demonstrauimus, illos qui in libris Epidemiorum notantur, iudicati sunt secundum talem dierum ordinem describentes. At illos ægrotos quoniam longum esset hîc describere, satisfuerit solā ex Prognostico sententiam hoc modo se habentem subscribere; *Febres iisdem numero diebus iudicantur, tum quibus homines liberantur, tum quibus intereunt. Nam & mitissi-*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Ἐπιδήλους καὶ θεωρητὰς εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν ἡμέρας, ἐν αἷς τι σημεῖον φαίνεται δηλωτικὸν τῆς ἐσομένης κρίσεως ἐν ἑτέρᾳ τινὶ τῶν κρινουσῶν ἡμερῶν, ἅς τινας αὐτὸς ἐν τῷ προγνωστικῷ κατὰ τετράδα ἐποιήσατο τέμνων ἑκάστην τῶν ἑβδομάδων δίχα. Τὴν μὲν οὖν πρώτην τετράδα τῆς ζ'. ἡμέρας ἐπίδηλον εἶναί φησι τὴν ἀπὸ τῆς ἀρχῆς· ἑνδεκάτην δὲ τῆς ιδ'. ὅτι καὶ αὐτὴ, δίχα τμηθεῖσα, τῆς δευτέρας ἑβδομάδος ἐγένετο. Κατὰ δὲ τὸν αὐτὸν λόγον ἡ ιζ'. τῆς κ'. ἐστὶν ἐπίδηλος ἐκ τοῦ τμηθεῖσαν τὴν γ'. ἑβδομάδα δίχα γινομένην, πλὴν ὅτι ταύτην τὴν ἑβδομάδα συνάπτει τῇ β'. καί τοι τὴν δευτέραν ἀποχωρείσας τῆς α'. ἀρχὴν γὰρ αὐτῆς ἔφησεν D εἶναι τὴν η'. ἡμέραν, οὐ μήν γε τῆς γ'. τὴν ιε'. ὥς τινες τῶν μετ' αὐτὸν ὑπέλαβον· ὅτι μηδὲ τὴν κα'. τὸ πέρας, ἀλλ' ἀρχὴν μὲν τῆς γ'. ἑβδομάδος τὴν ιδ'. ἡμέραν, τελευτὴν δὲ καὶ πέρας τὴν κ'. διὰ τί δὲ τὰς πρώτας μὲν ἑβδομάδας κατὰ διάζευξιν ἀλλήλων ἔταξε, τὴν τρίτην δὲ τῇ δευτέρᾳ κατὰ συνέχειαν, ἐν τῇ περὶ κρισίμων ἡμερῶν πραγματείᾳ λέλεκται. Κατὰ δὲ τὸ παρὸν ἀρκεῖ, καὶ χωρὶς τῆς αἰτίας, ἐπίστασθαι τὸ διὰ τῆς πείρας μαρτυρούμενον. Καὶ αὐτὸς δὲ ὁ Ἱπ- E ποκράτης, παμπόλλους ἀρρώστους κατὰ τὴν τοιαύτην τάξιν, τῶν κρισίμων, ἐν τοῖς περὶ τῶν ἐπιδημιῶν βιβλίοις ἔγραψεν κεκριμένους. Λέγω δὲ τοιαύτην τάξιν, ὥς τε τὰς πρώτας ἑβδομάδας τρεῖς εἰς τὴν κ'. ἡμέραν περιάγεσθαι, τὰς δ' ἐφεξῆς αὐταῖς τρεῖς εἰς τὴν μ'. Οὕτω δὲ καὶ τὴν ξ'. καὶ τὴν π'. ἕξομεν κρισίμους μεμαρτυρημένας, καὶ αὐτὰς τῇ πείρᾳ, καθάπερ κἀν τοῖς περὶ κρισίμων ἀπεδείξαμεν. παραγράψαντες τοὺς ἐν τοῖς τῶν ἐπιδημιῶν κεκριμένους κατὰ τὴν εἰρημένην τάξιν τῶν ἡμερῶν. ἐκείνους μὲν οὖν τοὺς ἀρρώστους ἐνταῦθα περι- F γράφειν, μακρόν· ἀρκέσει δὲ μόνην τὴν ἐκ τοῦ προγνωστικοῦ παραγράψαι ῥῆσιν, τόνδε τὸν τρόπον ἔχουσαν. Οἱ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ

σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται, ἢ A πρόσθεν· οἵ τε κακοηθέστατοι, καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. Ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτέων, οὕτω τελευτᾷ. ἡ δὲ δευτέρη, εἰς τὴν ἑβδόμην παράγεται, ἡ δὲ τρίτη εἰς τὴν ἑνδεκάτην, ἡ δὲ τετάρτη εἰς τὴν τεσσαρεσκαιδεκάτην, ἡ δὲ πέμπτη εἰς τὴν ἑπτακαιδεκάτην, ἡ δὲ ἕκτη εἰς τὴν εἰκοστήν· αὗται μὲν οὖν διὰ τεσσάρων, ἐκ τῶν ὀξέων εἰς τὰς εἴκοσιν ἐκ προσθέσεως τελευτῶσιν. Αὕτη σαφῶς ἡ ῥῆσις ἐδίδαξεν, ὅτι τὴν τρίτην ἑβδομάδα, κατὰ συνάφειαν ἀριθμεῖ τῇ δευτέρᾳ, καὶ ὅτι τὴν ιζ΄. ἐπίδηλον B ποιεῖται τῆς κ΄.

mæ febres, & quæ tutissimis cum signis incedunt, quarto die, aut etiam ante desinunt. At maximè malignæ febres, & quæ cum grauissimis signis oboriuntur, die quarto aut priùs interimunt. Primus itaque ipsarum insultus ita terminatur; secundus verò ad septimum ducitur; tertius ad vndecimum; quartus ad quartum-decimum; sextus ad vicesimum. Atque ij insultus ex acutis per quatuor ad viginti ex adjectione terminantur. Hæc sententia manifestè docet quòd tertiam septimanam per secundæ copulationem numeret, & quòd diem decimum-septimum vicesimi faciat indicem.

Τὰς νόσους θερινὰς, ὡς τοὺς τεταρταίους, τῶν φθινοπωρινῶν βραχυτέρας εἶναι.

Æstiuos morbos autumnalibus, vt quartanas breuiores esse.

ΑΦΟΡΙΣΜΟΣ κε΄.

Οἱ θερινοὶ τεταρταῖοι, τὰ πολλὰ γίνονται βραχέες. οἱ δὲ φθινοπωρινοὶ μακροὶ, καὶ μάλιστα οἱ πρὸς C τὸν χειμῶνα συνάπτοντες.

APHORISMVS XXV.

Æstiuæ quartanæ plerunque breues existunt; autumnales verò longę, ac præsertim quę ad hyemem contingunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ μόνον τεταρταῖοι, βραχεῖς γίνονται τοῦ θέρους, ἀλλὰ καὶ τἄλλα νοσήματα, διὰ τὸ χεῖσθαι τοὺς χυμοὺς, καὶ πάντῃ τοῦ σώματος φέρεσθαι, καὶ διαπνεῖσθαι. Ἐφ' ὧν μὲν οὖν ἡ δύναμις εἴη ῥωμαλέα κενωθέντων τῶν λυπούντων, αἱ νόσοι παύονται. ἐφ' ὧν δὲ ἀσθενὴς, ἅμα τοῖς λυποῦσι χυμοῖς κενουμένοις καὶ αὐτὴ D διαλύεται· ὥστε εἰκότως οὐδὲν τῶν θερινῶν χρονίζει νοσημάτων. Ὁ δὲ Ἱπποκράτης ἐπὶ τοῦ χρονιωτάτου μόνου, τὸν λόγον ἐποιήσατο, καθάπερ ἐπὶ παραδείγματος, ἐνδεικνύμενος ἐκ τύπου περὶ τῶν ἄλλων. ὥσπερ δὲ ἐν τῷ θέρει, καὶ τοὺς χυμοὺς διαφορεῖσθαι, καὶ τὴν δύναμιν διαλύεσθαι συμβέβηκεν, οὕτως ἐν τῷ χειμῶνι τἀναντία, καὶ τοὺς χυμοὺς ἔνδον μένειν, ὥσπερ φωλεύοντας, καὶ τὴν δύναμιν ἐρρωμένην διαμένειν. Οὔτ' οὖν λύεται τὰ νοσήματα, μενόντων τῶν ποιούντων αὐτὰ χυμῶν, οὔτ' ἀποθνήσκουσιν οἱ κάμνοντες, διαρκούσης αὐτοῖς τῆς δυνάμεως. E

GALENI COMMENTARIVS.

Non solùm quartanæ breues æstate fiunt, sed & cæteri morbi, quòd redundantes humores fundantur, ac per vniuersum corpus ferantur, atque per cutim discutiantur. In quibus itaque vires validæ sunt, noxiis humoribus euacuatis morbi cessant; in quibus verò sunt imbecilles, dum noxij humores vacuantur, vnà & ipsæ dissoluuntur. Quare merito nulli æstiui morbi diuturni sunt. Hippocrates verò de solo morbo longissimo fecit mentionem, tanquam per exemplum de aliis loqui omnibus isto indicans. Quemadmodum autem æstate, & humores discuti, & vires dissolui contingit: sic & hyeme contraria eueniunt, tum humores intus manere tanquam in latibulis delitescentes, & vires seruari ac permanere robustas. Quare neque morbi soluuntur permanentibus eorum efficientibus causis humoribus, neque ægroti moriuntur, viribus ipsorum abunde suffragantibus.

Ἡ περὶ τῆς σπασμοῦ γενέσεως, καὶ αἰτιῶν, καὶ θεραπείας πρόγνωσις.

De conuulsionis ortu, causis, & curatione prenotio.

ΑΦΟΡΙΣΜΟΣ κϛ΄.

Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γίνεσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ. F

APHORISMVS XXVI.

Febrem conuulsioni succedere præstat, quàm febri conuulsionem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτὸς ὁ Ἱπποκράτης, ἐν τοῖς ἑξῆς ἀφορισμοῖς ἐρεῖ, τὸν σπασμὸν ἐπὶ πληρώσει γίνεσθαι, καὶ

GALENI COMMENTARIVS.

Ipse Hippocrates in sequentibus aphorismis conuulsionem à repletione & vacuatione

fieri dicturus est. Quum igitur aliquem sanitate fruentem derepente conuelli contigerit, talem à repletione fieri conuulsionem necesse est. Replentur autem nerui frigidis & glutinosis humoribus, quibus etiam aluntur, vnde conuulsionem patiuntur. His igitur febris superueniens plerumque & calefacere, & tenuare, & discutere consueuit. Verùm si febribus ardentibus vniuersũ corpus & nerui exsiccentur, deinde ob siccitatem conuellantur, tum id maximum ac propemodum immedicabile malum euadit, quoniam longum quidem temporis ad siccitatis curationem nerui postulant, morbi autem vehementia tempus non expectat; sed vires statim deiicit, & citum adfert interitum.

A κενώσει. Ὅταν οὖν τινὰ τῶν ὑγιαινόντων, ἐξαίφνης συμβῇ σπασθῆναι, τὸν τοιοῦτον σπασμὸν ἀναγκαῖον ἐπὶ πληρώσεως γεγονέναι. Καὶ τοίνυν πληροῦνται τὰ νεῦρα γλίσχρων καὶ ψυχρῶν χυμῶν, οἷσπερ καὶ τρέφεται, ὥστε σπασμὸν ὑπομένει. Τούτοις οὖν ὁ πυρετὸς ἐπιγενόμενος εἴωθεν ὡς τὰ πολλὰ θερμαίνειν τε ἅμα, λεπτύνειν, καὶ διαφορεῖν. Εἰ δ᾽ ἐκ πυρετῶν διακαῶν ξηρανθῇ τὸ ὅλον σῶμα, καὶ τὰ νεῦρα, κἄπειτα διὰ τὴν ξηρότητα σπασθείη, μέγιστόν τε τοῦτο κακόν ἐστι, καὶ σχεδὸν ἀνίατον· ἐπειδὴ χρόνου μὲν δεῖται μακροῦ τὰ νεῦρα, πρὸς τὴν ξηρότητος ἴασιν, οὐκ ἀνα- B μένει δὲ χρόνιον ἡ συντονία τοῦ νοσήματος, ἀλλ᾽ ἐν τάχει καταλύει μὲν τὴν δύναμιν, ὀξὺν δὲ θάνατον ἐπιφέρει.

Quæ in morbis leuatio, aut labor præter rationem oborirur, neutri fidendum esse.

Ἥτις ἐν τοῖς νοσήμασι ῥᾳστώνη ἢ μοχθηρία γίνεται, τῇ οὐδετέρᾳ μὴ δεῖ πιστεύειν.

C

APHORISMVS XXVII.

NOn secundùm rationem leuantibus fidendum minime est, neque admodum metuendum mala quæ præter rationem oboriuntur. Eorum nanque multa incerta sunt, neque multum perdurare, neque diutius morari consueuerunt.

ΑΦΟΡΙΣΜΟΣ κζ.

ΤΟῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον· τὰ γὰρ πολλὰ τῶν τοιούτων ἐστὶν ἀβέβαια, καὶ οὐ πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθεν.

D

GALENI COMMENTARIVS.

OMnis quidem oratio de his omnibus in libris de crisibus pronunciata est. Nunc verò quantum ad propositorum explicationem satis est, à nobis dicetur. Quum morbus inuadit vehemens, qui postea derepente remittat, non euacuato per sudorem, aut vomitum, aut deiectiones, aut sanguinis profluuium corpore: imo nec apparentibus coctionis signis talem remissionem infidum esse signum autumat Hippocrates; quemadmodum etiam si quis præter rationem difficilè spirauerit, aut delirauerit, aut vehementiùs febricitauerit, aut magno rigore correptus fuerit; hæc etenim incerta quoque sunt; tantumque abest vt quid molestum ac periculosum significent, vt interdum bonam indicationem quamprimum futuram enuntient. Quomodo verò hæc & dignoscere & prænoscere oporteat, in libris de Crisibus enarratum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΛος μὲν ὁ λόγος ὑπὲρ τῶν τοιούτων ἁπάντων, ἐν τοῖς περὶ κρίσεων εἴρηται. νυνὶ δὲ, ὅσον εἰς ἐξήγησιν προκειμένων, ἱκανόν ἐστι λέγειν, λεχθήσεται. Ὅταν εἰσβάλλει νόσημα σφοδρὸν, εἶτ᾽ ἐξαίφνης ῥᾳστω- E νήσει, μήτε δι᾽ ἱδρῶτος, ἢ ἐμέτων, ἢ διαχωρημάτων, ἢ αἱμορραγίας κενωθέντος τοῦ σώματος, ἀλλὰ μηδὲ πέψεως φανέντων σημείων, ἄπιστον ἡγεῖται εἶναι τὴν τοιαύτην ῥᾳστώνην, ὥστ᾽ εἰ καὶ δυσπνοήσειεν ἀλόγως, ἢ παραφρονήσειεν, ἢ πυρέξειεν σφοδρότερον, ἢ καὶ μεγάλῳ ῥίγει καταληφθείη· καὶ γὰρ καὶ ταῦτα ἐστὶν ἀβέβαια, καὶ τοσοῦτον δεῖ χαλεπόν τι σημαίνειν, ὥστ᾽ ἐνίοτε κρίσιν ἀγαθὴν, ὅσον οὔπω γενησομένην καταγγέλλεται. Ὅπως δὲ ταῦτα χρὴ διαγινώσκειν, τε προγινώσκειν, ἐν τοῖς περὶ κρίσεων εἴρηται.

F

I iij

A

Ἐν τοῖς πυρετοῖς ἰσχυροτέροις τὸ σῶμα μὴ μεταβάλλεσθαι, ἢ παρὰ λόγον ἰσχναίνεσθαι, μοχθηρὸν εἶναι. περὶ τῶν τῆς ἰσχνότητος αἰτιῶν.

In febribus vehementioribus corpus non immutari, aut præter rationem extenuari malum esse; de extenuationis causis.

ΑΦΟΡΙΣΜΟΣ. κη'.

Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν· τὸ μὲν γὰρ, μῆκος νούσου σημαίνει, τὸ δὲ, ἀσθενείην.

APHORISMVS XXVIII.

B *Febricitantium non omninò leuiter, idem permanere, nihilque concedere corpus, aut etiam magis quàm ratio postulat colliquescere prauum. Illud enim morbi diuturnitatem, hoc verò imbecillitatem significat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὴ παντάπασιν ἐπιπολαίως, διορισμοῦ χάριν ὁ Ἱπποκράτης προσέθηκε. εἰ γὰρ ἁπλῶς εἴρητο, τῶν πυρεσσόντων, τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, μοχθηρὸν ὑπάρχειν, οὐκ ἂν ἦν ἀληθὴς ὁ λόγος. Ἐγχωρεῖ γοῦν ἐν καταστάσει ψυχρᾷ διὰ πλῆθος τινὰ νοσοῦντα, μὴ συμπίπτειν τὸ σῶμα, μηδ᾽ ἰσχναίνεσθαι, μικρῶν γινομένων αὐτῷ τῶν πυρετῶν, ἀλλ᾽ ὅταν γε μείζους ὦσι, πάμπολύ τι πλῆθος ἐνδείκνυται. Τὸ δὲ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν ἐστι, καὶ χωρὶς τοῦ προστεθεικέναι, τὸ, μὴ παντάπασιν ἐπιπολαίως. Ἄν τε γὰρ ἐπιπολαίως πυρέττωσιν, ἄν τε καὶ μὴ, σημεῖον ἀσθενείας ἐστὶν ἡ παρὰ λόγον ἰσχνότης. Οὐ γὰρ δὴ, τὸ λεγόμενον κυρίως συντήκεσθαι, νῦν εἰρῆσθαι πρὸς αὐτοῦ νομιστέον ἐστὶ, ἀλλὰ καταχρῆσθαι μᾶλλον αὐτὸν τῷ ῥήματι ἀντὶ τοῦ ἰσχναίνεσθαι. Κάλλιστα δ᾽ εἶπεν ἐν τῷ δευτέρῳ μέρει τοῦ ἀφορισμοῦ· τὸ μᾶλλον τοῦ κατὰ λόγον, καὶ βέλτιον, εἰρῆσθαι νομίζειν αὐτὸν κατὰ τοῦ προτέρου μέρους, ὥστε ὅλον τὸν λόγον γενέσθαι τοιοῦτον. τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν τὸ σῶμα, καὶ συντήκεσθαι μᾶλλον, τοῦ κατὰ λόγον, μοχθηρόν· ἵν᾽ ἀμφοῖν ᾖ κοινῇ κατηγορούμενον, τὸ μᾶλλον τοῦ κατὰ λόγον. Ἄν τε γὰρ διαμένωσι μᾶλλον τοῦ κατὰ λόγον, ἄν τε ἰσχνοὶ γίνωνται, μοχθηρόν. Αὐτὸ δὲ τὸ μᾶλλον τοῦ κατὰ λόγον, ἄμεινον μὲν ἦν εἰρῆσθαι πρὸς αὐτοῦ, τίσι κρίνεται σκοποῖς. Ἐπεὶ δ᾽ ἀφοριστικόν ἐστι τὸ τῆς διδασκαλίας εἶδος ἐνταῦθα, καὶ κατὰ βραχυλογίαν ἄκραν γινόμενον, ἡμεῖς ἐξηγούμενοι τὸ κατὰ λόγον, ἀνοίσομεν εἰς τὸ μέγεθος τοῦ πυρετοῦ, καὶ τὸν χρόνον τῆς νόσου, καὶ τὴν ἡλικίαν, καὶ τὴν χώραν, καὶ τὴν ὥραν, καὶ τὴν ποτε ὑπάρχουσαν κατάστασιν, ἔτι τε τὰς αἰσθητὰς κενώσεις, ἀγρυπνίας τε, καὶ φροντίδας, καὶ ἀσιτίας, καὶ κινήσεις πλείονας. οἱ μὲν γὰρ μείζους τῶν πυρετῶν, θᾶττόν τε, καὶ μᾶλλον ἰσχνοὺς ἀποφαίνουσι τοὺς κάμνοντας, ὥσπερ γε καὶ τὸ τῆς νόσου μῆκος, καὶ ἡλικιῶν, ἥ τε τῶν παίδων, καὶ ἡ τῶν ἐν ἐσχάτῳ γήρᾳ, καθ᾽ ἕτερον ἑκάτερα λόγον. Ἐπὶ μὲν γὰρ τῶν παίδων, διά τε τὴν ὑγρότητα, καὶ τὴν θερμασίαν πλεῖστον ἀπορρεῖ, καὶ κενοῦνται σώματα. Ἐπὶ δὲ τῶν ἐν ἐσχάτῳ γήρᾳ, διὰ τὴν τῆς δυνάμεως ἀρρωστίαν. Ὡρῶν δὲ, καὶ χωρῶν, καὶ καταστάσεων, αἱ μὲν θερμαὶ, καὶ

in hoc comment. passim vox ἰσχνὸν [illegible] pro λεπτὸν et ἰσχναινόμενα pro λεπτυνόμενα.

GALENI COMMENTARIVS.

Ista verba, *non omnino leuiter*, distinctionis gratiâ apposuit Hippocrates. Si nanque simpliciter dixisset. *Febricitantium corpus permanere, nihilque decedere, prauum*; vera non fuisset eius sententia. Contingit enim frigido cæli statu cuiquam ob plenitudinem ægrotanti corpus C non concedere, neque extenuari, quum febris parua fuerit; sed quum vehementior extiterit, multam inesse plenitudinem significat. At magis quàm ratio postulat, colliquescere prauum est; etiamsi non adiiciatur, *non omninò leuiter*. Siue enim leuiter febricitent, siue non, signum est imbecillitatis, facta præter rationem macies vel extenuatio. Non enim certè quod propriè dicitur συντήκεσθαι *colliquescere, seu contabescere & absumi* nunc ab ipso acceptum esse existimandum esse, sed potius ipsum hoc verbo abusum fuisse pro ἰσχναίνεσθαι, id est attenuari ac imminui. D Per bellè autem in secunda aphorismi parte dixit, *magis quam ratio postulat*; meliusque dicendum est ipsum hæc verba priori aphorismi parti connectere; ita vt eius tota sit eiusmodi oratio. Febricitantium non omnino leuiter, permanere corpus magis, *quàm ratio postulat*. Aut colliquescere magis, quàm ratio postulat, malum; vt communiter de vtroque prædicetur magis quàm ratio postulat. Siue enim febricitantium corpora permaneant magis quàm ratio postulat, siue extenuentur, malum est. Præstiterit autem hæc verba *magis quàm ratio postulat*, ab eo quibus E scopis explicentur iudicenturque aperiri. Verùm quoniam hîc aphoristicum doctrinæ genus est, summâque dicendi breuitate circumscriptum, nos hæc verba, *quam ratio postulat*, explicantes ad febris magnitudinem; morbi tempus, ætatem, regionem, anni tempestatem, præsentem cæli statum, manifestas etiam vacuationes, vigilias, curas, inedias, & plures, *tum animi, tum corporis*, motus referemus. Maiores siquidem febres tum celerius, tam magis ægrotantes macilentos efficiunt, quemadmodum & morbi diuturnitas, & ætas, tum puerorum, tum vltimam senectutem degentium, altera ac diuersa F ambæ ratione. In pueris enim propter & humiditatem & caliditatem plurimum effluunt & exhauriuntur corpora; in summa verò senectute propter virium imbecillitatem. Ex anni autem tempestatibus, & regionibus, & constitutioni-

bus, calida quidem ac ſicca magis euacuant & extenuant; humidæ verò ac frigidæ magis conſtringunt; ac difflari, extenuarique corpora prohibent. De manifeſtis, ac ſub ſenſum cadentibus vacuationibus quid dicendum eſt? Neminem enim ignorare arbitror ſanguinis profluuio, aut ſudorum copiâ, aut vrinarum multitudine, aut vomitionibus, aut dejectionibus, vix ratione corpora quamprimum extenuari. Dictis autem cauſis accedit & inedia, atque etiam vigiliæ, & curę quæ corpus exſiccant, quemadmodum & plures quoque motus; ſed hi in febribus rarò fiunt; ægri nanque quieſcentes plerunque iacent. Verumtamen accidit interdum etiam nonnullos homines in itinere *conficiendo* quum febricitare cœperint, vel vrgente neceſſitate, vel domum ſtudio reuertendi, in ea commorentur; ſed & ob delirium ægrotantium nonnullos aſſiduè exurgentes, aut decumbentes quidem ſed perpetuo partem aliquam mouentes, aut etiam quicquam à ratione alienum proferentes, paucis diebus extenuari. Hæc igitur omnia ægrotos macilentos reddunt, vt & his contraria corpus maiori in mole tuentur. Ipſorum autem nullum virium imbecillium ſignum eſt; ſed quodque cauſa tantùm exiſtit. Nam quemadmodum in iis corpus ratione extenuatur; ſic & vires euertuntur. Abſque his autem commemoratis corpus præter rationem extenuari imbecillitatis virium ſignum eſſe pronunciat Hippocrates, quam & in valde ſenibus cauſam ſtatuentes, ipſorum corpus cito emaciari dicebamus. Nihilque mirum eſt ita ſe habentium imbecillitatem quidem extenuationis cauſam eſſe; extenuationem verò ſignum imbecillitatis. Sic enim in omnibus ſe res habet tum cauſis efficientibus, tum effectibus. Hæc ipſa quidem eſt Hippocratis ſententia, ſemper autumantis factam abſque ratione extenuationem imbecillitatis ſignum eſſe. Nos verò adjiciamus ejus orationi & aliam affectionem tanquam cauſam extenuationis in febribus obortam. Eſt autem hæc humorum quidem tenuitas, corporis verò raritas. His enim duobus concurrentibus, celerrimè corpora per occultam vocatam perſpirationem vacuantur extenuanturque: quemadmodum in contrario affectu, humorum craſſitie, & corporis denſitate; neque fit humorum vacuatio, & idem permanere corpus, nihilque de ipſius mole decidere contingit. Hunc itaque affectum in vltimâ aphoriſmi parte his verbis Hippocrates declarauit; *Morbi diuturnitatem ſignificare.* Oppoſitum autem huic affectum prætermiſit, quem nos ſi addiderimus, jam integram orationem quàm fieri poteſt pauciſſimis verbis proferemus; *Febricitantium non omninò leuiter idem permanere corpus, nihilque decidere, aut etiam magis quàm ratio poſtulat, colliqueſcere, malum.* Nam idem permanere tum ob cutis denſitatem, tum ob humorum craſſitudinem accidit, propterea & morbi longitudo ſignificatur. Colliqueſcere verò nonnunquam ob humorum tenuitatem, & cutis raritatem contingit: Contingit autem interdum ob ſolam virium imbecillitatem.

ξηραὶ μᾶλλον κενοῦσιν, αἱ δὲ ὑγραὶ, καὶ ψυχραὶ, μᾶλλον
A σφίγγουσι τὸ σῶμα, καὶ κωλύουσι, διαπνεῖσθαί τε, καὶ κενοῦσθαι. Περὶ δὲ τῶν αἰσθητῶν κενώσεων τί δεῖ λέγειν; οὐδένα γὰρ ἀγνοεῖν οἶμαι περὶ τοῦ δι' αἱμορραγίαν, ἢ δι' ἱδρῶτας πολλοὺς, ἢ οὔρων πλῆθος, ἢ ἐμέτων, ἢ διαχωρημάτων, ὥστ' εἰκότως ἐν τάχει λεπτύνεσθαι. Παράκειται δὲ τοῖς εἰρημένοις αἰτίοις καὶ ἡ ἀσιτία, καὶ μὴν δὴ καὶ ἀγρυπνία, καὶ φροντὶς ἱκανῶς λεπτύνουσιν, ὥσπερ γε καὶ κινήσεις πλείονες· ἀλλ' αὗται μὲν ὀλιγάκις ἐπὶ τῶν πυρεττόντων γίνονται, κατάκεινται γὰρ ὡς τὰ πολλὰ, ἡσυχάζοντες. Συμβαίνει γε μὴν ἔστιν ὅτε, καὶ καθ' ὁδοιπορίαν ἀρξαμένους τοῦ αἰσθέσθαι τινὰς πυρέττειν,
B ἤτοι δι' ἀνάγκην, ἢ διὰ τὸ σπεύδειν οἴκαδε καταλύσαντες αὐτὴν καταλῦσαι, ἀλλὰ καὶ διὰ παραφροσύνην ἀνιστάμενοι συνεχῶς ἔνιοι τῶν νοσούντων, ἢ κατακείμενοι μὲν, ἀεὶ δὲ κινοῦντές τι μόριον, ἢ καὶ φθεγγόμενοί τι παρὰ λόγον, ἐν ὀλίγαις ἡμέραις ἰσχνοὶ γίνονται. Ταυτὶ μὲν οὖν ἅπαντα, τοὺς κάμνοντας ἰσχνοὺς ἐργάζεται, καθάπερ γε τἀναντία τούτων, ἐν ὄγκῳ μείζονι τὸ σῶμα φυλάττει. Σημεῖον δὲ οὐδέν ἐστιν αὐτῶν ἀσθενοῦς δυνάμεως, ἀλλὰ μόνον αἴτιον ἕκαστον. Ἐπ' αὐτῶν γὰρ ὥσπερ τὸ σῶμα λεπτύνεται κατὰ λόγον, οὕτω καὶ ἡ δύναμις καθαιρεῖται. Τὸ
C δ' ἄνευ τῶν εἰρημένων λεπτύνεσθαι τὸ σῶμα παρὰ λόγον, ἀσθενοῦς δυνάμεως εἶναί φησι σημεῖον ὁ Ἱπποκράτης, ἥν τινα κἀπὶ τῶν πάνυ γερόντων αἰτιώμενοι, ταχέως αὐτῶν ἐφάσκομεν ἰσχνοῦσθαι τὸ σῶμα, καὶ οὐδὲν θαυμαστὸν, ἐπὶ τῶν οὕτως ἐχόντων, τὴν μὲν ἀσθένειαν αἰτίαν γίνεσθαι τῆς ἰσχνότητος, τὴν δ' ἰσχνότητα τῆς ἀσθενείας σημεῖον. Οὕτω ἐπὶ πάντων ἔχει τῶν ποιούντων, καὶ ποιουμένων. Αὕτη μὲν ἡ τοῦ Ἱπποκράτους γνώμη, διὰ παντὸς ἡγουμένου τὴν παρὰ λόγον ἰσχνότητα, σημεῖον ἀσθενείας ὑπάρχειν. ἡμεῖς δὲ προσθῶμεν αὐτοῦ τῷ λόγῳ, καὶ ἄλλην διάθεσιν, ὡς
D αἰτίαν ἰσχνότητος ἐν πυρετοῖς γινομένην. ἔστι δ' αὕτη, λεπτότης μὲν τῶν χυμῶν, ἀραιότης δὲ τοῦ σώματος. Ὅπου γὰρ ἄμφω ταῦτα συνέλθῃ, τάχιστα κενοῦται τὰ σώματα κατὰ τὴν ἄδηλον καλουμένην διαπνοήν. ὥσπερ γε κἀπὶ τῆς ἐναντίας τῷ πάχει τῶν χυμῶν, καὶ τῇ πυκνώσει τοῦ σώματος, οὔθ' ἡ κένωσις γίνεται τῶν χυμῶν, καὶ τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸν ὄγκον αὐτοῦ, τηνικαῦτα συμβαίνει. Ταύτην μὲν οὖν τὴν διάθεσιν ἐδήλωσεν ὁ Ἱπποκράτης ἐν τῷ προσθέτῳ μέρει τοῦ ἀφορισμοῦ, διὰ τοῦ φάναι, μῆκος νόσου σημαίνεσθαι. τὴν
E δ' ἀντικειμένην αὐτῇ παρέλειπεν. ἀλλ' ἡμεῖς μέν γε κἀκείνην προσθέντες, ὁλόκληρον ἤδη τὸν λόγον εἴπωμεν, εἰς ὅσον οἷόν τε διὰ βραχέων, τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον μοχθηρόν. Τὸ μὲν γὰρ ἐπιμένειν, ἐπὶ τῇ πυκνώσει τοῦ δέρματος γίνεται, καὶ τῷ πάχει χυμῶν, καὶ διὰ τοῦτο, μῆκος νόσου σημαίνει. Τὸ δὲ συντήκεσθαι, ποτὲ μὲν διὰ λεπτότητα χυμῶν, καὶ μανότητα τοῦ δέρματος, ἔστι δ' ὅτε, καὶ διὰ μόνην ἀσθένειαν δυνάμεως.
F

A

Κατὰ τὰς ἀρχὰς τῶν νοσημάτων, καὶ μὴ κατὰ τὰς ἀκμὰς κινεῖν χρὴ, τουτέστι, διὰ τῆς φλεβοτομίας, ἢ τῆς καθάρσεως, εἰ μὲν προσήκει κινεῖν.

ΑΦΟΡΙΣΜΟΣ κθ'.

Ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινεῖν κίνει. ἀκμαζουσῶν δὲ ἡσυχίην ἄγειν, βέλτιόν ἐστι. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τί τοῦτο συνεβούλευσεν ὁ Ἱπποκράτης, ἐδήλωσε κατὰ τὸν ἑξῆς ἀφορισμὸν, ὃν ἐὰν συνάψῃ τις τῷ προειρημένῳ, τὸν ὅλον λόγον ποιήσει τοιοῦτον· ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινεῖν, κίνει. ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστι. περὶ γὰρ τὰς ἀρχὰς, C καὶ τὰ τέλη, πάντα ἀσθενέστερα· περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα. προσθεῖναι δ' αὐτῷ χρὴ πάντα τὰ συμπτώματα· περὶ γὰρ τούτων εἴρηκε τὸ, πάντα, ὡς ἥ γε διάθεσις ἡ ταῦτα γεννῶσα, ἣν δὴ καὶ νόσον ὀνομάζομεν, οὐκ ἐξ ἅπαντος ἐν ταῖς ἀκμαῖς ἐστιν ἰσχυροτέρα, ἀλλ' ἐπί γε τῶν σωθήσεσθαι μελλόντων, πολλῷ βελτίων, ἢ ἐν ἀρχῇ τοῦ νοσήματος, ἐφ' ὧν καὶ συμβουλεύει νῦν Ἱπποκράτης, ἡσυχίαν ἔχειν, ἀρχομένων τῶν νούσων, ἤν τε δοκέῃ, κινοῦντας. Τῶν γὰρ ὀλεθρίων νοσημάτων, οὐ μόνον ἐγγὺς τῆς ἀκμῆς οὐδὲν δεῖ κινεῖν, D ἀλλὰ κἂν τοῖς ἔμπροσθεν ταύτης καιροῖς, μεμνημένον, ὡς οὐ χρὴ κεκρατημένοις ἐγχειρεῖν, ἀλλ' ἀφίστασθαι δηλονότι προαγορεύσαντα μόνον ἐς ὅ, τι τελευτήσει τὸ νόσημα. Κατὰ δὲ τὰς ἀρχὰς ἐκείνων τῶν νοσημάτων, ἐν οἷς ἐλπίζει σωθήσεσθαι τὸν κάμνοντα, πειρᾶσθαι χρὴ τὰ μείζω βοηθήματα προσφέρειν, ὑπὲρ ὧν εἶπεν ὁ Ἱπποκράτης, ἤν τι δοκέῃ κινεῖν, κίνει. Ἔστι δὲ ταῦτα μὲν μάλιστα φλεβοτομία, ἐνίοτε δὲ καὶ ἡ κάθαρσις, ὧν οὐδέτερον ἐν τῇ ἀκμῇ χρὴ παραλαμβάνειν. Ὡς γὰρ E ἐν τῷ περὶ κρίσεων ἐδείξαμεν, αἱ πέψεις τῶν νοσημάτων τηνικαῦτα γίνονται μάλιστα. πρὸς μὲν οὖν τὸ γίνεσθαι θᾶττον αὐτὰς, ἄμεινον ἐν ἀρχῇ κενοῦν, ὅπως ἐλάττονα τὴν ὕλην γινομένην, ῥᾷον ἡ φύσις δυνηθῇ πέψαι. κατὰ δὲ τὰς ἀκμὰς, ὁπότ' ἤδη πέττει, περιττὸν τὸ κενοῦν, διά τά τ' ἄλλα καὶ τῆς ψυχικῆς δυνάμεως κεκμηκυίας τοὐπίπαν ἐν ταῖς ἀκμαῖς, εἰ καὶ ὅτι μάλιστα κατ' ἐκεῖνον τὸν χρόνον, ἥ ζωτική τε, καὶ φυσικὴ δύναμις, ἰσχυραὶ διαμένοιεν.

F

In morborum principiis non vigoribus mouendum, hoc est, venæ sectione, aut purgatione, si deceat, vacuandum esse.

APHORISMVS XXIX.

Incipientibus morbis, siquid mouendum videatur, moue; vigentibus autem, quietem agere præstat.

GALENI COMMENTARIVS.

Cur hoc consulat Hippocrates, sequenti indicat aphorismo, quem si quis prædicto copulauerit, totam ejusmodi orationem efficiet; *Incipientibus morbis, siquid mouendum videatur, moue; vigentibus autem, quietem agere præstat. Nam circa principia, ac fines omnia imbecilliora sunt, circa vigores autem, vehementiora.* At huic dictioni, *omnia*, symptomata addere oportet; de his enim vocem, *omnia*, pronunciauit. Affectus siquidem qui hæc symptomata procreat, quem & morbum nominamus, non omninò in vigoribus est vehementior, verùm in sospitibus euasuris multo melior, quàm in morbi principio; in quibus etiam Hippocrates quietem agere nunc consulit nobis in morborum principiis, si quid videntur, mouentibus: non enim solùm prope exitialium morborum vigorem; sed nec aliis etiam temporibus ipsum vigorem præcedentibus quicquam nos mouere oportet, memores, deploratorum curationem suscipiendam non esse; sed ab iis pronunciato tantùm morbi exitu discedendum. Per initia verò illorum morborum, in quibus sit spes ægrotum conualiturum, tentandum est majora adhibere remedia, de quibus Hippocrates pronunciauit, *si quid videatur mouendum, moue.* Sunt autem hæc quidem maximè venæ sectio, nonnunquam verò & purgatio, quorum neutrum in vigore venit vsurpandum. Nam vt in opere de crisibus ostendimus, tunc temporis maximè fiunt morborum coctiones. Quò igitur hæ celeriùs fiant, in principiis vacuare præstat, quò parciorem factam materiam facilius natura possit concoquere. At in vigore, quo tempore jam natura concoquit, vacuare superuacaneum fuerit, cùm propter alia, tum quia facultas animalis omnino per vigorem fatigata laborat, licet quàm maximè eo tempore facultas tum vitalis, tum naturalis fortes permaneant.

A

In morborum principiis, ac declinationibus, symptomata leuiora ac meliora, in vigoribus vehementiora ac deteriora esse.

Ἐν ταῖς μὲν τῶν νοσημάτων ἀρχαῖς τε, καὶ παρακμαῖς ἀσθενέστερα, καὶ βελτίω συμπτώματα· ἐν ταῖς δὲ ἀκμαῖς ἰσχυρότερα καὶ πονηρότερα εἶναι.

APHORISMVS XXX.

ΑΦΟΡΙΣΜΟΣ λ'.

Circa morborum principia ac fines omnia imbecilliora; at circa vigores, vehementiora sunt.

B

Περὶ τὰς ἀρχὰς, καὶ τὰ τέλη, πάντα ἀσθενέστερα. περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα.

GALENI COMMENTARIVS.

Symptomata omnia circà principia ac fines ait esse imbecilliora, febrium nimirum accessiones aut *exacerbationes*, vigilias, dolores, jactationes, & sitim, vt & ipsos affectus in quibus hæc per vigores fiunt, necesse est esse meliores in iis qui salui ac sani euasuri sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Τὰ συμπτώματα πάντα, περὶ τὰς ἀρχὰς, καὶ τὰ τέλη, φησὶν ὑπάρχειν ἀσθενέστερα, τοὺς παροξυσμοὺς δηλονότι τῶν πυρετῶν, καὶ τὰς ἀγρυπνίας, καὶ τὰ ἀλγήματα, καὶ τὴν ἄσην, καὶ τὸ δίψος, ὡς τάς γε διαθέσεις αὐτὰς, ἐφ' αἷς ταῦτα γίνεται κατὰ τὰς ἀκμὰς, ἀναγκαῖον εἶναι βελτίους ἐπὶ τῶν σωθήσεσθαι μελλόντων.

Conualescentis probè epulantis vires non instaurari malum esse, & vnde.

Τὴν ὑγιαζομένου εὐσιτέοντος ἰσχὺν μὴ ἀναλαμβάνεσθαι μοχθηρὸν εἶναι, καὶ ὅθεν.

APHORISMVS XXXI.

D

ΑΦΟΡΙΣΜΟΣ λα'.

A Morbo bellè epulanti nihil proficere corpus, malum.

Τῷ ἐξ ἀῤῥωστίης εὐσιτέοντι, μηδὲν ἐπιδιδόναι τὸ σῶμα, μοχθηρόν.

GALENI COMMENTARIVS.

Oportebat & hunc aphorismum, & subscriptum ipsius comitem superioribus editis copulari, vbi dicebat: *Si quis à morbo cibum assumens vires non recipiat.* In illo enim aphorismo pro nunc enunciata dictione εὐσιτέοντι *bellè epulanti* βοῶν λαμβάνειν *cibum assumere* dicens, aliquid de symptomate docuit, quod est, vires non recipere, seu non roborari. Hîc verò illud cibos assumere, vtrisque commune seruauit; sed symptoma nonnihil immutauit, scripto quodam illi consimili. Nam illa oratio, vires non recipere, huic nihil proficere corpus, quodam modo est consimilis. Illa siquidem, facultatis corpus moderantis; hæc autem ipsius corporis affectio est. Atque profectò nihil in eutrophiam probamve sui nutricationem corpus, proficere, interdum quidem ob facultatis ipsum nutrientis imbecillitatem interdum etiam ob prauorum humorum redundantiam accidit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

Ἔδει καὶ τοῦτον τὸν ἀφορισμὸν, καὶ τὸν ἑξῆς αὐτοῦ γεγραμμένον, ἐζεῦχθαι τοῖς ἀνωτέρω γεγραμμένοις, ἡνίκα ἔλεγεν, ἢν ἐκ νόσου τροφὴν λαμβάνων τις, μὴ ἰσχύῃ. Κατ' ἐκεῖνον μὲν οὖν τὸν ἀφορισμὸν, ἀντὶ τῆς νῦν εἰρημένης λέξεως τῆς εὐσιτέοντι, τροφὴν λαμβάνειν εἰπὼν, ἐδίδαξέ τι περὶ συμπτώματος τοῦ μὴ ἰσχύειν. ἐνταυθοῖ δὲ, τὸ μὲν λαμβάνειν τὰ σιτία, τὸ κοινὸν ἀμφοῖν ἐφύλαξε· τὸ σύμπτωμα δὲ ὑπήλλαξεν, ἀνάλογον ἐκείνῳ τι γράψας. τὸ γὰρ μηδὲν ἰσχύειν, τῷ μηδὲν ἐπιδιδόναι τὸ σῶμα παραπλήσιον πώς ἐστιν. ἐκεῖνο μὲν γὰρ τῆς δυνάμεως τῆς διοικούσης τὸ σῶμα· τοῦτο δὲ, αὐτοῦ τοῦ σώματός ἐστι πάθημα, καὶ γίνεται δηλονότι, τὸ μηδὲν εἰς εὐτροφίαν ἐπιδιδόναι τὸ σῶμα.

F

ποτὲ μὲν διὰ τὴν τῆς τρεφούσης αὐτὸ δυνάμεως ἀῤῥωστίαν, ἔστι δ' ὅτε, καὶ διὰ μοχθηρῶν χυμῶν περιουσίαν.

A

Βέλτιόν ἐστι τοῖς ἀνακομιζομένοις κατ' ἀρχὰς ἀσιτεῖν, ἢ εὐσιτεῖν ἰσχυρῶς, καὶ μηδὲν ἐπιδιδόναι. ὅθεν, καὶ διά τί.

Salubrius est conualescentibus per initia cibos non appetere, quàm eos vehementiùs assumere, nec proficere, vnde, & cur.

ΑΦΟΡΙΣΜΟΣ λβʹ.

Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες κατ' ἀρχὰς μὲν εὐσιτέοντες, καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει πάλιν ἀσιτέουσιν· οἱ δὲ κατ' ἀρχὰς μὲν ἀσιτέοντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτέοντες, βέλτιον ἀπαλλάσσουσιν.

APHORISMVS XXXII.

B

QVi male se habentes per initia quidem lautè epulantur, neque quicquam proficiunt, ij rursus plerunque omnes in asitiam incidunt; qui verò per initia quidem vehementer cibum fastidiunt, posteà verò lautè epulantur, melius conualescunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔοικεν ἔτι καὶ οὗτος ὁ ἀφορισμὸς εἰρῆσθαι περὶ τῶν ἀνακομιζομένων ἐκ νόσου. Τὸ γὰρ μηδὲν ἐπιδιδόναι, κατὰ τούτων εἰώθασι λέγειν, οἵ τ' ἄλλοι, καὶ αὐτὸς ὁ Ἱπποκράτης. Ἐὰν οὖν τις εὐσιτῶν ἐν ἀρχῇ, μὴ ἀναστρέφηται, δι' ἣν αἰτίαν τοῦτο πάσχει, διὰ ταύτην αὖθις ἔσται κακόσιτος. Αἰτία δὲ ἐστι τοῦ κατ' ἀρχὰς εὐσιτοῦντος, μηδὲν ἐπιδιδόναι, μοχθηρία μὲν ὅλου τοῦ σώματος, εὐρωστία δὲ τῶν ὀρεκτικῶν μορίων. Ἀλλ' ἐν τῷ χρόνῳ, διὰ τὸ πλῆθος τῆς τροφῆς αὐξηθείσης τῆς ἐν ὅλῳ τῷ σώματι μοχθηρίας, βλάπτεταί τι καὶ τὸ τῆς ὀρέξεως ὄργανον, ὥστ' ἀνορέκτους γίνεσθαι, τοὺς πρότερον ὀρεγομένους. Καλῶς οὖν εὐσιτέοντας ὠνόμασεν. Εἰρήκει δὲ κἀν τοῖς ἔμπροσθεν ἀφορισμοῖς αὐτὸ τοῦτο, κατὰ τοῦτον
ἄ τοῦτο τὸν τρόπον. Ἢν δὲ τροφὴν μὴ λαμβάνοντι γίγνηται, εἰδέναι ὅτι κενώσιος δεῖται. Τοὺς μέντοι κατ' ἀρχὰς μὲν ἀποσίτους ἰσχυρῶς γενηθέντας, ὡς παντάπασιν ὀλίγον λαμβάνειν, ὕστερον δὲ, εἰς τοὐναντίον μεταβαίνοντας, ἄμεινον ἀπαλλάττειν φησί. Συμβαίνει δὲ τοῦτο εἰς τοὐναντίον πεψάσης τῆς φύσεως, ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν αὖ ἐνδεῶς διῃτῶντο, τὴν αἰτίαν, τῆς ἀποσιτίας διάθεσιν.

GALENI COMMENTARIVS.

HIc etiamnum aphorismus de conualescentibus ex morbo dici videtur. Nihil nanq; proficere de his loqui consueuerunt cùm alij, tum ipse Hippocrates. Si quis igitur in principio laute epulatus non reficiatur, qua causa id accidat, eâdem postea cibum malè appetet. C Causa verò qua per initia lautè cibatus nihil proficiat, totius corporis est prauitas, seu vitium, & partium appetentium robur. Verùm processu temporis ob alimentorum copiam aucto in toto corpore vitio, ipsum etiam appetentiæ instrumentum nonnihil oblædetur; quare inappetentes fient qui priùs cibos appetebant, quos prius appetentes nominauit. Hoc autē ipsū in præcedentibus aphorismis hoc modo pronunciauerat. Quod si cibum non assumenti istud contingat, eum vacuatione indigere sciendum D est. Qui verò per initia tam vehementer cibos auersantur, vt paucum omnino assumant, postea verò in contrarium acti appetant, eos in melius permutari ac conualescere profert. Ejusmodi autem in contrarium facta est mutatio, quum natura quo tempore parcè ac tenuiter viuebant, affectionem in appetentiæ causam concoxit.

E

Τὴν τῆς διανοίας εὐρωστίην, καὶ τὴν εὔπνοιαν, καὶ τὴν τῶν σιτίων ὄρεξιν, ἀγαθὰ σημεῖα εἶναι.

Mentis constantiam, spirandi facilitatem, & ciborum appetentiam, bona signa esse.

ΑΦΟΡΙΣΜΟΣ λγʹ.

Ἐν πάσῃ νόσῳ, τὸ ἐρρῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν· τὸ δὲ ἐναντίον, κακόν.

APHORISMVS XXXIII.

IN omni morbo mente constare, ac bene ad ea quæ offeruntur se habere, bonum; contrarium verò malum.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὔθ' ὅταν ἀγαθόν τι εἴπῃ τῶν κατὰ τὸ σῶμα, πάντως, ἡγητέον ἐπ' αὐτῷ σωθήσεσθαι τὸν ἄνθρωπον, οὔθ' ὅταν κακὸν, τεθνήξεσθαι πάντως. καὶ

GALENI COMMENTARIVS.

NEque quum bonum quoddam dixerit eorum quæ ad corpus spectant, hominem propterea saluum prorsus euasurum augurandum est; neque quum malum, protinùs in-

teriturum. Etenim bonum signum à maiore malo vinci potest; & malum à maiore bono. Quare eiusmodi nunciationes de eo solo quod dicitur, intelligendæ sunt. Hoc autem, dicitur, quantum in se est, bonum signum esse; illud verò, quantum in se est, malum signum esse. De hominis autem salute aut morte, perpensis omnibus signorum viribus, pronunciatio ita ferenda est, quemadmodum & ipse in Prognostico consulebat. Sic sanè & nunc mentem constare, & appetentiam permanere, bona signa in omnibus morbis statuit. Quædam enim non in omnibus morbis bona sunt, vt ipse nobis his verbis significare consueuit. *In morbis acutis spirandi facilitatem, permagnam ad salutem vim habere credendum.* Quod autem mente constare bonum sit signum hinc cognosces. Cerebrum, ipsumque inuestientes meningas, dorsique medullam, & septum transuersum, partes denique neruosas, ac maximè cerebro viciniores prorsus sanas esse testatur mentis constantia; quemadmodum & partes ad ventrem, & jecur, & cor ipsum attinentes ægri quum ad cibos oblatos prompti feruntur. His autem omnibus sanis ac robustis non parua salutis spes laborantibus conceditur.

A γὰρ ἀγαθὸν σημεῖον, ὑπὸ μείζονος κακοῦ νικηθῆναι δυνατὸν, καὶ κακὸν, ὑπὸ μείζονος ἀγαθοῦ. Κατὰ τὰς τοιαύτας οὖν ἀποφάσεις, ἀκουστέον ἐστὶν ἐκείνου μόνου τοῦ λεγομένου. Λέγεται δ' ὅτι σημεῖον ἀγαθόν ἐστιν, ὅσον ἐφ' ἑαυτῷ, τὸ δέ τι κατὰ σημεῖον κακὸν ὅσον ἐφ' ἑαυτῷ, τὸ δέ τι. περὶ δὲ σωθήσεσθαι τὸν ἄνθρωπον, ἢ τεθνήξεσθαι, πάντων τῶν σημείων τὰς δυνάμεις ἐκλογισαμένον, οὕτω χρὴ ποιεῖσθαι τὴν ἀπόφασιν, ὡς κἂν τῷ Προγνωστικῷ συνεβούλευσεν αὐτός. Οὕτως οὖν καὶ νῦν, τό, τε ἐρρῶσθαι τὴν διάνοιαν, καὶ τὸ, τὴν ὄρεξιν διαμένειν,
B ἀγαθὰ σημεῖα κατὰ πάσας τὰς νόσους. ἔνια γὰρ οὐκ ἐν ἁπάσαις ἐστὶν ἀγαθὰ, καθάπερ καὶ αὐτὸς εἴωθεν ἐπισημαίνεσθαι, λέγων, εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην, ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασιν. ὅτι δὲ τὸ τὴν διάνοιαν ἐρρῶσθαι, σημεῖον ἀγαθόν ἐστιν, ἐντεῦθεν γνώσῃ. Τὰ περὶ τὸν ἐγκέφαλόν τε, καὶ τὰς μήνιγγας, ἔτι δὲ νωτιαῖον μυελὸν, καὶ διάφραγμα, καὶ ὅλως τὰ νευρώδη μέρια, καὶ μάλιστα ὅσα πλησίον ἐγκεφάλου ἐστὶ, πάντας ὑγιεινὰ σημαίνεται, τῆς διανοίας ἐρρωμένης. ὥσπερ γε καὶ τὰ κατὰ
C γαστέρα τε, καὶ ἧπαρ, αὐτήν τε τὴν καρδίαν, ὅταν ἕτοιμοι πρὸς τὰς τῶν σιτίων ὦσι προσφοράς. πάντων δὲ τούτων ἐρρωμένων, οὐ μικρὰ τῷ κάμνοντι τῆς σωτηρίας ἐλπίς.

Morbos naturæ cujusque familiares minùs periculosiores, qui sint eiusmodi morbi.

Τὰς νόσους τῆς ἑκάστου φύσεως οἰκείας ἧσσον κινδυνεύειν. αἵ τινες αὗται νόσοι.

APHORISMVS XXXIV.

D

ΑΦΟΡΙΣΜΟΣ λδ'.

IN morbis parciùs periclitantur; quorum naturæ, ætati, habitui, & anni tempestati morbus consentaneus ac proprius fuerit, quàm quibus in horum aliquo minimè cognatus sit.

ΕΝ τῇσι νούσοισιν, ἧσσον κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης, ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείοτατά τι τουτέων.

GALENI COMMENTARIVS.

QVum natura multis modis dicatur, in eo nunc significatu accipienda est, quo sæpe cùm multis aliis in locis, tum in toto de natura hominis libro vsus est; in quo ortum ex primis elementis temperamentum naturam nominat; ac si ita diceret, in morbis ij minus periclitantur, quibus primario corporis temperamento, aut præsenti ab ætate, aut habitu, aut anni tempestate oborto magis familiaris est morbus quàm quibus horum nulli affinis congruit. Calidæ nanque naturæ, & ætati, & habiti, & anni tempestati, & cæli constitutioni, & regioni morbi calidiores sunt familiares; frigidioribus verò frigidiores: eadem ratione & siccioribus sicciores, & humidioribus humidiores. Contrarium autem à Diocle dictum est. Item libro de septimanis, coniicientibus, vt narratur, viris rerum ipsarum authoribus, & similibus quidem morbos exacerbari,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E ΤΗς φύσεως πολλαχῶς λεγομένης, ἀκουστέον νῦν ἐστιν αὐτῆς, κατ' ἐκεῖνο τὸ σημαινόμενον, ᾧ κέχρηται αὐτὸς, ἐν ἑτέροις πολλοῖς, καὶ καθ' ὅλον γε τὸ περὶ φύσεως ἀνθρώπου βιβλίον, ἐν ᾧ τὴν ἐκ τῶν πρώτων στοιχείων κρᾶσιν, ὀνομάζει φύσιν, ὡς εἰ καὶ οὕτως ἔφη, ἐν τῇσι νούσοισιν, ἧσσον κινδυνεύουσιν, οἷς ἂν οἰκεία τῆς πρώτης τοῦ σώματος κράσεως, καὶ τῆς νῦν διὰ τὴν ἡλικίαν, ἢ τὴν ἕξιν, ἢ τὴν ὥραν προσγεγενημένης, ἡ νόσος ᾖ μᾶλλον, ἢ οἷς ἂν μὴ οἰκεῖα κατά τι τούτων ᾖ. Τῇ μὲν γὰρ θερμῇ φύσει, καὶ ἡλικίᾳ, καὶ ἕξει, καὶ ὥρᾳ δηλονότι, καὶ καταστάσει, καὶ χώρᾳ, τὰ θερμότερα, τῶν
F νοσημάτων ἐστὶν οἰκεῖα, ταῖς δὲ ψυχροτέραις, τὰ ψυχρότερα· Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ταῖς μὲν ξηροτέραις, τὰ ξηρότερα, ταῖς δ' ὑγροτέραις, τὰ ὑγρότερα. Τὸ δ' ἐναντίον ὑπὸ Διοκλέους εἴρηται, κἂν τῷ περὶ ἑβδομάδων, ὑπολαβόντων, ὡς εἴρηται, τῶν γραψάντων ἀνδρῶν αὐτὰ, παροξύνεσθαι μὲν ὑπὸ τῶν ὁμοίων τὰ νο-

σήματα, λύεσθαι δὲ ὑπὸ τῶν ἐναντίων, ἐπειδὴ καὶ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους εἴρηται, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα. νομίζουσιν οὖν ἐν χειμῶνι συστάντα καῦσον, εὐϊατότερον εἶναι τοῦ κατὰ τὸ θέρος, οὐκέτ' ἐννοοῦντες, ὡς ἐπὶ μεγίστῃ διαθέσει γίνεται καῦσος ἐν χειμῶνι. μηδὲ γὰρ ἂν συστῆναι τὴν ἀρχὴν αὐτὸν ἑτέρως, εἰ μὴ διὰ τὴν τῆς αἰτίας ἰσχὺν ἐνίκησε τὴν ἐκ τῆς ὥρας ἐναντίωσιν. ὅποτ' οὖν οὐ κατέσχεν ἡ ὥρα τὸ μέγεθος τῆς αἰτίας, καίτοι βοηθὸν ἔχουσα τὴν ὑγείαν, ἧπου γ' ἂν ἐν τῇ νόσῳ νικήσειεν αὐτήν, μηδὲ τῆς ὑγιεινῆς ἰσχύος ἔτι παρούσης. ἀλλὰ καὶ δι' αὐτῆς τῆς πείρας ἐναργῶς φαίνεται τοῦτο. Τῶν γὰρ ἴσων τὸ μέγεθος καύσων, ὀλεθριώτερός ἐστιν ὁ ἐν χειμῶνι συνιστάμενος, ὅταν γε συστῇ μὲν ἐν θερμοτέρᾳ καταστάσει, μεταβολὴ δὲ ἐξαιφνίδιος εἰς ψυχροτέραν γένηται, μεγάλως ὁ τοιοῦτος καῦσος ὑπὸ τῆς τοῦ περιέχοντος ὀνίναται ψύξεως, ἀμφοτέρων αὐτῷ γινομένων ἀγαθῶν. τῆς μὲν προτέρας καταστάσεως, ἐν ᾗ τὴν γένεσιν ἔσχεν, ὡς σημείου, τῆς δ' ἑτέρας, ἐν ᾗ τὴν λύσιν, ὡς αἰτίου. Ταῦτ' οὖν ἅπαντα μαρτυρεῖ μᾶλλον, καὶ οὐ μάχεται τῇ κατὰ τὸν ἀφορισμὸν γνώμῃ. καθάπερ οὐδὲ τὸ, βράγχους, καὶ κορύζας, τοῖς σφόδρα πρεσβυτέροις μὴ πεπαίνεσθαι, καίτοι γε οἰκεῖα παθήματα τῆς τῶν γερόντων ἡλικίας ὄντα. πρῶτον μὲν γὰρ, οὐ ταὐτόν ἐστι, τῷ μὴ πεπαίνεσθαι, τὸ κινδυνῶδες ὑπάρχειν. εἶτα καὶ τὸ μηδ' ἁπλῶς εἰρῆσθαι τοῖς πρεσβυτέροις, ἀλλὰ μετὰ τοῦ σφόδρα, πάντα γὰρ ἐκείνοις ἐστὶ κινδυνώδη, διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως. Οὐ μὴν οὐδὲ τὸ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν γεγραμμένον, καὶ μάλιστα ἔθνησκον οἷς ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες, ἐναντιοῦται τοῖς εἰρημένοις. Οὐ γὰρ τὴν ἐκ τῶν στοιχείων κρᾶσιν εἴρηκε νῦν, ἀλλὰ τὴν τοῦ σώματος ἰδέαν. ἔστιν ὅτε γὰρ ὀνομάζουσι φύσιν καὶ ταύτην. Καὶ ὥσπερ ἀληθές ἐστι, τὴν θερμὴν κρᾶσιν ἧττον ἐν τοῖς θερμοῖς κινδυνεύειν νοσήμασιν, οὕτως καὶ τοὺς στενοθώρακας, οὐ μόνον μᾶλλον ἁλίσκεσθαι ὑπὸ φθίσεως, ἀλλὰ καὶ κινδυνεύειν ἁλόντας. ἔνιοι μέντοι τῶν ἐξηγησαμένων τοὺς ἀφορισμοὺς, ὑπὸ τῶν τοιούτων πιθανῶν ἀπατηθέντες, οἰκεῖον νόσημά τι τῇ τοῦ κάμνοντος φύσει, τὸ κατὰ τὴν κρᾶσιν ἐναντίον, ἔφασαν, ὡς εἰ καὶ ἐπιτήδειον εἴρηται, πάμπολυ καὶ τῆς τῶν πραγμάτων ἀληθείας, καὶ τῆς Ἱπποκράτους γνώμης ἁμαρτάνοντες, ὡς δέδεικται.

ἧττον

solui verò à contrariis, quoniam & ab ipso A Hippocrate pronunciatum est *contraria contrariorum esse remedia.* Causum igitur hieme contractum, curatu faciliorem esse autumant; non vtique mente concipientes ab affectione maxima causum hieme fieri; neque enim ipse aliter initio contractus fuisset, nisi hiemalis tempestatis contrarietatem causæ vehementia superasset. Quum igitur anni tempestas causæ magnitudinem prohibere ac reprimere non potuerit, adiutricem licèt sanitatem haberet; multo minùs ipsam in morbo superauerit; quòd non amplius sit integrum sanitatis robur. Sed id quoque ipsâ experientia perspicuè proditur. B Nam duorum causorum magnitudine parium qui hyeme ortum habet, perniciosior existit. Calidior enim è cæli statu si sit genitus & repentina fiat in frigidiorem statum mutatio, eiusmodi causus à circunstantis aëris frigore magnopere iuuatur; vtroque ipsi auxiliante statu; priore quidem statu, in quo ortum habuit, vt signo; posteriore verò, in quo solutionem, vt causa. Hæc igitur omnia aphorismum magis probare quàm cum eius sententia pugnare videntur. Quemadmodum neque illud; *Raucedines & grauedines in valde senibus* C *concoctionem non admittere*, etiamsi senili ætati proprij ac familiares sint affectus. Primùm etenim non idem est coctionem non admittere, & periculosum esse. Deinde quòd non absolutè senes; sed addita particula, *valde*, dixerit; illis enim omnia ob virium imbecillitatem, periculosa sunt. Sed neque illud supradictis aduersatur quod primo Epidemiorum scriptum est. *Et maximè moriebantur quibus ad tabem natura propendebat.* Non enim tum quod ex elementis conflatur temperamentum; sed corpo- D ris ideam formamve intellexit: siquidem hanc etiam interdum naturam nominant. Et quemadmodum verum est qui calido sunt temperamento, eos calidis morbis minùs periclitari: sic etiam qui angusto sunt pectore, eos stenothoracas non solùm promptiùs corripi; sed correptos magis etiam periclitari. Nonnulli tamen eorum qui aphorismos explanarunt, eiusmodi probabilibus decepti familiarem ægrotantis naturæ morbum dixerunt, qui sit temperamento contrarius, ac si idoneus diceretur, multopere (quemadmodum demonstratum est) e- E tiam à rerum veritate, & Hippocratis sententia ab errantes.

F

A

In morbis partes epigastricas macilentiores ac tabefactas crassioribus deteriores esse, & purgationibus ferendis ineptiores.

Ἐν τοῖς νοσήμασι τὰ τοῦ ἐπιγαστρίου μόρια λισχνότερά τε καὶ ἐκτετηκότα τῶν παχυτέρων εἶναι χείρονα· καὶ ταῖς καθάρσεσι φερομέναις ἧσσον ἐπιτήδεια.

APHORISMVS XXXV.

ΑΦΟΡΙΣΜΟΣ λέ.

B *IN omnibus morbis partes ad vmbilicum & imum ventrem positas, crassitudinem habere præstat. Valde autem tenues esse & tabefactas, prauum. Ad inferiores autem purgationes id quoque periculosum.*

ΕΝ πάσησι νούσοισι, τὰ περὶ τὸν ὀμφαλὸν, καὶ τὸ ἦτρον, πάχος ἔχειν, βέλτιόν ἐστι. Τὸ δὲ σφόδρα λεπτὸν, καὶ ἐκτετηκὸς, μοχθηρόν. ἐπισφαλὲς δὲ τὸ τοιοῦτον, καὶ πρὸς τὰς κάτω καθάρσιας. πάσῃ νόσῳ

GALENI COMMENTARIVS.

C QVod extra omnem affectum præter naturam esse oporteat vniuersam abdominis regionem, apertum est. Atque id in prognostico hisce verbis pronunciatum est; *Hypochondrium optimum quidem esse decet indolens, molle, & æquale.* Verùm harum ipsarum partium quædam sunt macilentiores, quædam crassiores, de quibus nunc verba facit; quæ crassiores sunt, eas meliores; quæ macilentiores sunt, ipsas prauas esse, & vt signa, & vt causas affirmat. Signa siquidem sunt imbecillitatis partium eliquatarum; Causæ verò quòd & in ventriculo cibaria non probè concoquantur, neque in jecore in sanguinem commutentur. Has enim ambas partes omnino dictorum corporum crassitudo fouenda. D Ipsis itaque macie confectis par est tantum earum actiones lædi, quantum integris illis per sanitatem juuabantur. Quod autem dictarum partium extenuatio aut macies ad inferas purgationes sit periculosa manifestum est. Partes enim infra thoracem omnes robustas esse oportet, quò bellè purgationibus auxilientur; alioqui magnas in læsiones incidunt. Cur autem de solis inferis purgationibus mentionem fecerit dignum est quærere. Etenim superæ purgationes, hoc est, quæ vomitionibus fiunt, tali macie affectis periculosæ sunt: E An has tanquam manifestas prætermisit, illarum autem tanquam obscuriorum mentionem fecit? Imum autem ventrem etrum proprie nominat, inferiorem ventris regionem quæ pudenda ac vmbilicum interjacet, ut in hæc tria totum abdomen diuidatur, in hypochondrium, vmbilicalem regionem, & imum ventrem seu hypogastrium.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν ἔξω εἶναι χρὴ πάσης διαθέσεως τῆς παρὰ φύσιν ἅπαντα τὰ κατ' ἐπιγάστριον χωρία, πρόδηλόν ἐστι. καὶ λέλεκται κατὰ τὸ προγνωστικὸν, ἔνθα φησὶν, ὑποχόνδριον ἄριστον μὲν ἀνώδυνόν τε εἶναι καὶ μαλθακὸν, καὶ ὁμαλόν. Ἀλλὰ καὶ τούτων αὐτῶν ἐστι τὰ μὲν ἰσχνότερα, τὰ δὲ παχύτερα, περὶ ὧν νῦν τὸν λόγον ποιεῖται, ὅσα μὲν παχύτερα, βελτίω ταῦτ' εἶναι λέγων, ὅσα δὲ ἰσχνὰ, μοχθηρὰ, καὶ ὡς σημεῖα δηλονότι, καὶ ὡς αἴτια. ὡς σημεῖα μὲν γὰρ εἰσὶ τῆς ἐν τοῖς ἐκτετηκόσι μορίοις ἀσθενείας, ὡς αἴτια δὲ, τοῦ μηδὲ πέττεσθαι καλῶς ἐν τῇ γαστρὶ τὰ σιτία, μηδ' αἱματοῦσθαι κατὰ τὸ ἧπαρ. ἄμφω γὰρ ταῦτα πάντα τὰ μόρια, πρὸς τοῦ πάχους τῶν εἰρημένων σωμάτων ὠφελεῖται θαλπόμενα. τοσούτων οὖν εἰκός ἐστιν ἐκτακέντων αὐτῶν βλάπτεσθαι τὰς ἐνεργείας, ὅσον ὑγιαινόντων ὠφελοῦνται. Ὅτι δὲ ἡ λεπτότης τῶν εἰρημένων μερῶν, καὶ πρὸς τὰς κάτω καθάρσεις ἐπισφαλής ἐστι, πρόδηλον. ἰσχυρὰ γὰρ δεῖ εἶναι πάντα τὰ κάτω τοῦ θώρακος μόρια πρὸς τὸ καλῶς ὑπηρετεῖν ταῖς καθάρσεσιν. εἰ δὲ μὴ, μεγάλαις περιπίπτειν βλάβαις. διὰ τί δὲ μόνας εἶπε τὰς κάτω καθάρσεις, ἄξιον ζητῆσαι. καὶ γὰρ αἱ ἄνω, τουτέστιν αἱ δι' ἐμέτων, ἐπισφαλεῖς εἰσι τοῖς οὕτω διακειμένοις, ἢ ταύτας μὲν ὡς σαφεῖς παρέλιπεν, ἐκείνων δὲ, ὡς ἀσαφεστέρων ἐμνημόνευσεν· ἦτρον δὲ ἰδίως ὀνομάζει τὸ κάτω χωρίον τῆς γαστρὸς, ὅσον ἐστὶ μεταξὺ τοῦ αἰδοίου, καὶ τοῦ ὀμφαλοῦ· ὡς εἰς τρία ταῦτα διαιρεῖσθαι τὸ σύμπαν ἐπιγάστριον, ὑποχόνδριον, τὰ περὶ τὸν ὀμφαλὸν, καὶ τὸ ἦτρον.

F

A

Ὑγιεινὰ τὰ σώματα διὰ τῶν καθάρσεών τε, καὶ τῶν μοχθηρῶν τροφῶν ἐκλύεσθαι.

Sana corpora tum purgantibus medicamentis, tum prauis alimentis exolui.

ΑΦΟΡΙΣΜΟΣ λϛʹ.

Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι, ἐκλύονται ταχέως, οἱ πονηρῇ τροφῇ χρεόμενοι.

APHORISMVS XXXVI.

Qvi sanis corporibus donati medicamentis purgantibus purgantur, celeriter exoluuntur, quippe prauo alimento vtuntur. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ μὲν ὑγιεινῶς ἔχοντες τὰ σώματα, δεόντως ἐν ταῖς φαρμακείαις ἐκλύονται ταχέως· συντήκονται γὰρ, οὐ καθαίρονται. οἱ πονηρᾷ δὲ τροφῇ χρώμενοι, διὰ τὴν περιουσίαν τῶν μοχθηρῶν χυμῶν, ἐκλύονται ῥᾳδίως ἐπὶ ταῖς καθάρσεσιν. εἴ τε δὲ τὴν ἔξωθεν εἰσφερομένην τροφὴν τῷ σώματι, εἴ τε τὴν ἐν αὐτῷ περιεχομένην εἴρηκε μοχθηρίαν, ἑκάτερος ἀληθὴς ὁ λόγος, ἐπειδὴ καὶ τὰ μοχθηρὰ σιτία, μοχθηρὸν εἴωθεν αἷμα γεννᾶν. οὕτως οὖν καὶ λέγεται μοχθηρὰ, τῆς ἀναφορᾶς γινομένης, ἐπὶ τὸ γεννηθησόμενον ἐξ αὐτῶν αἷμα.

GALENI COMMENTARIVS.

Qvi sanis sunt corporibus, ij iure optimo citò in purgationibus medicamento factis exoluuntur; colliquefiunt enim, non purgantur. Qui verò prauo vtuntur alimento, ob prauorum humorum redundantiam purgationibus facilè exoluuntur. Siue autem quod corpori exterius oblatum assumitur, siue quod in ipso continetur, id prauum alimentum nominet, C vtraque vera est oratio; quando quidem prout alimenta praua prauum sanguinem procreare consueuerunt, sic ergo praua aut vitiosa edulia etiam dicuntur, ducta ad sanguinem cui ex ipsis procreandum relatione.

Περὶ τῆς ἐργώδεως τοῦ ὑγιεινοῦ σώματι καθάρσεως, καὶ τῆς αὐτῆς συμπτωμάτων.

De molesta sani corporis purgatione, ejusque symptomatis.

D

ΑΦΟΡΙΣΜΟΣ λζʹ.

Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες.

APHORISMVS XXXVII.

Qvi corporibus bene se habent, eos purgare medicamentis, opus molestum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ τοὺς ὁποιονοῦν φάρμακον προσφερομένους, φαρμακεύεσθαι λέγειν εἴωθεν ὁ Ἱπποκράτης, ἀλλ' ἐπὶ μόνων τῶν καθαιρόντων, τούτῳ χρῆται τῷ ῥήματι. ὁ μὲν οὖν προγεγραμμένος ἀφορισμὸς ἓν τῶν προσγινομένων αὐτοῖς ἐδήλωσε σύμπτωμα· ἐκλύεσθαι γὰρ ἔφη ταχέως ἐν ταῖς καθάρσεσι, τοὺς ὑγιεινῶς ἔχοντας. ἐν τῇ δὲ γενικωτέρᾳ λέξει, περὶ τῶν αὐτῶν ἀπεφήνατο, λέγων αὐτοὺς ἐργώδεις εἶναι φαρμακεύεσθαι, καὶ γὰρ ἰλιγγιῶσι, καὶ στροφοῦνται, καὶ δυσχερῶς αὐτοῖς ἡ κάθαρσις προχωρεῖ, καὶ πρὸς τούτοις ἔτι ταχέως ἐκλύονται. γίνεται δὲ ταῦτα πάντα, καθαρτικοῦ φαρμάκου, τὸν οἰκεῖον μὲν ἕλκειν χυμὸν ἐφιεμένου, ἤτοι τὴν ξανθὴν, ἢ τὴν μέλαιναν χολὴν, ἢ τὸ φλέγμα, ἢ τὸ ὑδατῶδες περίττωμα. Τῷ δὲ ἀπορεῖν αὐτοῦ, τὸ αἷμα καὶ τὰς σάρκας συντήκει, ἵν' ἐξ ἐκείνων ἕλκῃ τὸ οἰκεῖον.

GALENI COMMENTARIVS.

E Non qui quodcunque medicamentum assumunt, eos medicari pro consuetudine dicit Hippocrates, verùm in solis purgantibus medicamentis hoc vocabulum vsurpauit. Superior itaque scriptus aphorismus succedentium ipsis symptomatum vnicum declarauit. Eos nanque celeriter exolui ac deficere dicebat in purgationibus, qui secunda valetudine fruuntur. In hoc autem orationem de iisdem generaliùs extulit, ipsos affirmans ægrè molestéque ferre purgationes. Etenim vertigines incurrunt, torminibus vexantur, molestè his purgatio procedit, prætereaque celeriter exoluuntur. Hæc F autem omnia purgante medicamento quum proprium quidem humorem aut flauam bilem, aut atram, aut pituitam, aut aquosum excrementum prolectione nitatur, quo destitutum, sanguinem colliquit & carnes, quò ex ipsis quod sibi proprium ac familiare est attrahat.

A

Suauia edulia, & poculenta, licet deteriora, insuauibus præferenda esse.

APHORISMVS XXXVIII.

PAulò deterior sed suauior tum potus, tum cibus, melioribus quidem, sed minùs gratis præferendus.

B

GALENI COMMENTARIVS.

NOn id in gratiam solùm ægrotantis; sed ad majorem quoque ipsius vtilitatem faciendum est. Nam quæcunque cum oblectatione assumimus, ea ventriculus auidiùs complecti, ac faciliùs concoquere consueuit; insuauia verò ac ingrata, nauseas, aut inflationes, aut fluctuationes concitantia respuere. Quæ quidem quum in plurimis iisque euchymis cibariis oboriantur, paulo peior cibus non solùm deterior amplius non est ipsum cum voluptate assumentibus, verumetiam interdum melior redditur.

C

Ὅτι τὰ σιτία τε καὶ πόματα ἡδία καίτοι χείρονα τῶν ἀηδεστέρων μᾶλλον αἱρετώτερα.

ΑΦΟΡΙΣΜΟΣ λη'.

ΤΟ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ διὰ τὸ κεχαρισμένον μόνον τῷ κάμνοντι, τοῦτο ποιητέον, ἀλλὰ καὶ ὡς ὠφελιμώτερον αὐτῷ γενησόμενον. Ὅσα γὰρ αὖ ἡδέως προσενεγκόμεθα, περιστέλλεσθαι τούτοις ἡ γαστὴρ εἴωθε, καὶ πέττειν μᾶλλον αὐτὰ ῥᾳδίως. ἀποχωρεῖν δὲ ἀπὸ τῶν ἀηδῶν, ὡς ἤτοι ναυτίας ἐπιφέρειν, ἢ πνευματώσεις, ἢ κλύδωνας. ὅπερ οὖν ἐπὶ τῶν πλείστων, καὶ εὐχύμων ὄντων, γίνεται, ὅταν ἡ μικρῷ χεῖρον, ἐπὶ τῶν ἡδέως λαμβανόντων, οὐ μόνον οὐκέτι χεῖρον, ἀλλ' ἐνίοτε καὶ βέλτιον γίνεται.

D

Senes non omnes, parciùs; sed diutius quam iuuenes ægrotare.

APHORISMVS XXXIX.

SEnes iuuenibus quidem plerunque minùs ægrotant. Quicunque verò illis morbi diuturni oboriuntur, cum iis frequentiùs simul intereunt.

E

GALENI COMMENTARIVS.

SEnes non omnes juuenibus minus ægrotant: neque enim omnes temperatiore victus ratione continentur. Quibus verò id non est, ij magis ægrotant, quòd iuuenibus sint imbecilliores. Diuturnos autem morbos complures ipsis senibus commori manifestum est: ipsis siquidem vires adeò sunt imbecillæ, vt facilè morbos coquere nequeant, frigidique sint diuturni morbi omnes, proindeque magis senibus, quàm iuuenibus accidant. Familiaribus siquidem morbis omnes promptiùs corripiuntur.

F

Ὅτι πρεσβῦται τῶν νέων οὐ πάντες ἧσσον νοσοῦσιν, ἀλλὰ μὲν χρονιωτέρως.

ΑΦΟΡΙΣΜΟΣ λθ'.

ΟΙ πρεσβῦται, τῶν νέων, τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον, ὁκόσα δὲ αὐτέοισι χρόνια νοσήματα γίνεται, τὰ πολλὰ ξυναποθνήσκουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙ πρεσβῦται τῶν νέων οὐ πάντες ἧσσον νοσοῦσιν, οὐ δὲ γὰρ ἅπαντες ἐγκρατέστερον διαιτῶνται. ὅσοις δὲ οὐχ ὑπάρχει τοῦτο, μᾶλλον νοσοῦσιν, ἀσθενέστεροι τῶν νέων ὄντες. ὅτι δὲ αὐτοῖς πάμπολλα τῶν χρονίων νοσημάτων συναποθνήσκει, πρόδηλον, εἴ γε καὶ ἡ δύναμις ἀσθενὴς, ὡς μήτε πέττειν ἔτι δύνασθαι ῥᾳδίως τὰς νόσους, καὶ ψυχρὰ πάντα ἐστὶ τὰ χρόνια νοσήματα, διὸ καὶ μᾶλλον γέρουσιν, ἢ νεωτέροις γίνεται· τοῖς γὰρ οἰκείοις νοσήμασιν, ἁλωτότεροι πάντες.

A

Περὶ χρονίων τῶν πρεσβυτῶν διαθέσεων, ὡς τοῦ βράγχου, καὶ κορυζῶν, καὶ τῶν ἄλλων δυσθεραπεύτων.

De diuturnis senum affectibus, vt raucedine, grauedine, & aliis curatu difficilibus.

ΑΦΟΡΙΣΜΟΣ μ΄.

Βράγχοι, καὶ κόρυζαι, τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται.

APHORISMVS XL.

Raucedines, & grauedines in valde senibus coctionem non admittunt.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐὰν συνάψωμεν ἀλλήλοις τοὺς ἀφορισμοὺς, ἑκατέρου ὁ λόγος ἔσται τοιοῦτος. οἱ πρεσβύτεροι, τῶν νέων, τὰ μὲν πλεῖστα, νοσοῦσιν ἧττον· ὅσα δ᾽ αὐτοῖς χρόνια νοσήματα γίνεται, τὰ πολλὰ συναποθνήσκει· βράγχοι γοῦν, καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται· ὥστε οἷόν τι παράδειγμα, τὸν ἀφορισμὸν εἶναι τοῦτον τοῦ προγεγραμμένου. συναποθνήσκει γὰρ, οὐ ταῦτα μόνον τοῖς πρεσβυτέροις, ἀλλὰ καὶ νεφρῖτις, καὶ ποδάγρα, καὶ ἀρθρῖτις, καὶ ἰσχιάς, αἵ τε περὶ κῶλον, ἢ σπλῆνα διαθέσεις ψυχραὶ, καὶ πρὸς ταύταις, ἄσθματα, βῆχες, κυρτώσεις, λορδώσεις, σκολιώσεις, ὅσα τ᾽ ἄλλα διὰ τοὺς ψυχροὺς γίνεται χυμοὺς, οὓς καὶ τῶν ἀκμαζόντων τισὶ, μὴ ὅτι πρεσβύταις, χαλεπὸν ἐκπεφθῆναι.

GALENI COMMENTARIVS.

Si hos inter se aphorismos copulauerimus, talis erit vtriusque sententia. *Senes iuuenibus minus quidem ægrotant. Qui verò illis morbi diuturni oboriuntur, cum iis frequentius simul intereunt. Raucedines siquidem, atque grauedines in valde senibus coctionem non admittunt.* Ita vt hic aphorismus sit velut quoddam præcedentis exemplum. Neque enim hi soli morbi senes adusque mortem comitantur, sed nephritis quoque, podagra, arthritis, ischias, atque coli ac C lienis affectus frigidi; ad hæc asthmata, tusses, cyrtoses, lordoses, scolioses, denique quicunque cæteri morbi ex frigidis humoribus procreantur; qui in quibusdam iuuenibus, nedum in senibus difficile coquuntur.

Ἐν τοῖς ἐκλυομένοις τρεῖς εἶναι διορισμοὺς ἐνταῦθα τιθεμένους, ἵνα ἐξαπίνης τελευτῶσι.

Qui animo deficiunt, iis tres inesse conditiones hîc positas vt celeriter intereant.

D

ΑΦΟΡΙΣΜΟΣ μα΄.

Οἱ ἐκλυόμενοι πολλάκις, καὶ ἰσχυρῶς, ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσιν.

APHORISMVS XLI.

Qui multoties, ac vehementer citra manifestam causam animo linquuntur, derepente intereunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ πάντες οἱ ἐκλυόμενοι ἐξαίφνης τελευτῶσιν, ἀλλ᾽ εἰ προσθείης αὐτοῖς διορισμοὺς τρεῖς. ἕνα μὲν καὶ πρῶτον, ἵνα πολλάκις τοῦτο πάσχωσι, δεύτερον δὲ, ἵνα ἰσχυρῶς, καὶ τρίτον ἄνευ φανερᾶς αἰτίας. ἐπεὶ γυνή τις ἐπὶ πλεῖστον ἐν τῷ βαλανείῳ διατρίβουσα χρόνον συνεχῶς ἐξελύετο, διὰ τὸ μῆκος τοῦ χρόνου, καὶ ὅτι τὸ βαλανεῖον, ὡς τὰ πολλὰ, μοχθηροῖς ὑπεκαίετο ξύλοις, ἀλλ᾽ οὐ νοσήματος τι τοῦτο σημεῖον, ἐπὶ φανερᾷ προφάσει γινόμενον. ἑτέρα δὲ, καὶ ὑστερικοῖς ἐνοχλουμένη παθήμασιν, ἔπασχε τοῦτο· καί τις ἄλλος, εἰ ἐπὶ πλέον ἀσιτήσας ἔτυχεν, ἐξελύετο λουόμενος. ἄλλος δὲ, εἰ μὴ προσέλαβεν ἄρτου τι, τοῦτ᾽ ἔπασχεν, εἰ καὶ καθ᾽ ὥραν ἐλοῦτο. τοῖς τοιούτοις μὲν οὖν, ἢ ἀσθενὲς, ἢ αἰσθητικὸν ἱκανῶς ἐστι τὸ τῆς γαστρὸς στόμα. ὅσοι δὲ διὰ μηδὲν τούτων ἐκλύονται πολλάκις, καὶ ἰσχυρῶς,

GALENI COMMENTARIVS.

E Non omnes qui animo deficiunt, derepente moriuntur; sed si tres ipsis distinctiones adjeceris, vnam quidem ac primam, vt sæpe; secundam, vt vehementer; tertiam, vt sine causa manifesta, id patiantur. Nam mulier quædam plurimum in balneo tempus commorata, frequenter exoluebatur, tum ob temporis diuturnitatem, tum quia malis plerunque lignis balneum succendebatur. Verum non erat hoc morbi signum quum causam haberet manifestam. Altera verò vterinis affectibus vexata id patiebatur. Quidam quoque alius si diutius inediam tolerasset dum lauaretur exol- F uebatur. Alteri etiamsi per horam lauaretur idem accidebat, nisi panis pauxillum præsumpsisset. His itque adde quod aut imbecillum aut admodum sensibile os erat ventriculi. Qui verò ob nullam ipsarum causarum sæpe ac vehementer

menter exoluuntur, ij ob facultatis animalis imbecillitatem id patiuntur; quemadmodum & is, cui cum exolutione vehemens cordis palpitatio acciderat; derepente fatis concessit: quemadmodum ij qui acutissimis animi deliquiis, quas cardiacas syncopas vocitant, corripiuntur.

A οὗτοι δὲ ἀῤῥωστίαν τῆς ψυχικῆς δυνάμεως τοῦτο πάσχουσιν, ὥσπερ κἀκεῖνος, ᾧ μετὰ τῆς ἐκλύσεως, παλμὸς ἐγένετο τῆς καρδίας ἰσχυρὸς, ἀπέθανεν ἐξαίφνης, ὥσπερ, οἱ ταῖς ὀξυτάταις ἁλισκόμενοι καρδιακαῖς συγκοπαῖς.

Quid sit apoplexia; ac eam esse triplicem, acutissimam, vehementem, ac debilem; duas priores esse insanabiles, vltimam vix curabilem.

Τίς ἡ ἀποπληξία, καὶ ταύτην τριπλῆν εἶναι, τὴν ὀξυτάτην, καὶ ἰσχυρὰν, καὶ τὴν ἀσθενέα· καὶ τὰ δύο μὲν πρότερα εἶναι ἀνίατα, τρίτην δὲ δυσθεραπεύτην. B

APHORISMVS XLII.

Vehementem quidem apoplexiam soluere impossibile, debilem verò non facile.

ΑΦΟΡΙΣΜΟΣ μβ'.

Ἀποπληξίην ἰσχυρὴν, λύειν μὲν ἀδύνατον, ἀσθενέα δὲ, οὐ ῥηΐδιον.

GALENI COMMENTARIVS.

QVi apoplexia percelluntur, ij totius corporis sensu motuque derepente priuantur, sola respiratione excepta; quod si etiam ipsa prohibeatur, apoplexiarum hæc maxima est & acutissima. Qui verò respirant quidem; sed magna cum vehementia, his vehemens est apoplexia. Vehemens autem & illis adest; sed minus, qui citra contentionem & violentiam, inæqualem atque inordinatam, ac præterea intermittentem habent respirationem; quemadmodum in quibus aliquem seruat ordinem, ejusmodi debilis existit, cui ipsi fortassis medeberis, si quæ deceant omnia confeceris. Omnes autem apoplexiæ fiunt animali facultate nequeunte ad partes capite inferiores influere, aut propter aliquam affectionem inflammatoriam ipso in cerebro consistentem, aut propter oppletos pituitoso humore eius ventriculos. Verùm causæ magnitudinem etiam affectus ipsius vehementia consequitur, qui plerunque ob respirationis læsionem est incurabilis. Atque mirari licet quomodo aliis musculis omnibus immotis stupentibus in apoplexiis, qui thoracem attollunt, etsi vix, sæpe tamen moueantur. Id autem propter respirationis necessitatem, facultatem neruis insitam ad functionem excitantis fieri videtur. Ob eamque causam omnino musculi omnes thoracem mouentes in apoplecticis agunt, etiamsi raro ante omnes agerent; quemadmodum in vehementissimis exercitationibus, in quibus plurima respiratione opus est. Verùm in apoplecticis non propterea, quia respirationis ad aucta est necessitas; sed ob facultatis imbecillitatem, omnes thoracis musculi simul agere coguntur; quemadmodum alioqui in iis etiam qui per febrem vires habent imbecillas, sese eâdem de causa omnes mouere coguntur, omnium actiones in summam vnam insignem colligentes.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C ΕΝ ταῖς ἀποπληξίαις, ἐξαίφνης ἀναίσθητοί τε, καὶ ἀκίνητοι γίνονται περὶ τὸ σῶμα, πλὴν μόνης τῆς ἀναπνοῆς, ὡς εἴ γε καὶ αὕτη κωλυθῇ, ἡ μεγίστη τε ἐστὶν ἤδε, καὶ ὀξυτάτη τῶν ἀποπληξιῶν. Ὅσοι δὲ ἀναπνέουσι μὲν, ἀλλὰ μετὰ βίας σφοδροτάτης, ἰσχυρὰ τούτοις ἐστὶν ἡ ἀποπληξία. ἰσχυρὰ δὲ καὶ τοῖς τοιούτοις, ἀλλ' ἧττον, ὅσοι χωρὶς μὲν συντονίας, καὶ βίας, ἀνώμαλόν τε καὶ ἄτακτον, ἔτι δὲ διαλείπουσαν ἔχουσι τὴν ἀναπνοήν· ὡς ἐφ' ὧν γε διασώζει τινὰ τάξιν, ἀσθενὴς ἡ τοιαύτη, καὶ πράττων ἃ χρὴ πάντα, τάχα ἂν αὐτὴν ἰάσαιο. D Πᾶσαι μὲν οὖν αἱ ἀποπληξίαι γίνονται, τῆς ψυχικῆς δυνάμεως ἐπιῤῥεῖν ἀδυνατούσης τοῖς κάτω τῆς κεφαλῆς, ἤτοι διά φλεγμονώδη τινὰ διάθεσιν, ἐν αὐτῷ τῷ ἐγκεφάλῳ συστᾶσαν, ἢ τῶν κοιλιῶν αὐτοῦ ἐμπιπλαμένων, ὑγρότητος φλεγματώδους. Ἀλλὰ τῷ μεγέθει τῆς αἰτίας, καὶ τὸ τοῦ πάθους ἕπεται μέγεθος· ἀνίατον δὲ ἐστὶν ὡς τὰ πολλὰ, διὰ τὴν βλάβην τῆς ἀναπνοῆς. καὶ θαυμάσαι γέ ἐστιν, ὅπως τῶν ἄλλων μυῶν ἁπάντων ἀκινήτων ἐν ταῖς ἀποπληξίαις γινομένων, οἱ τὸν θώρακα διαστέλλοντες, εἰ καὶ μόγις, ἀλλὰ κινοῦνταί γε πολλάκις· E ἔοικε δὲ γίνεσθαι τοῦτο διὰ τὴν χρείαν τῆς ἀναπνοῆς, ἐπεγειρούσης αὐτὴν τὴν ἐν τοῖς νεύροις δύναμιν ἐπὶ τὴν ἐνέργειαν· καὶ δι' αὐτό γε, τοὐπίπαν ἅπαντες οἱ μύες ἐπὶ τῶν ἀποπλήκτων ἐνεργοῦσιν, οἱ κινοῦντες τὸν θώρακα, καί τοι πρόσθεν ὀλιγάκις ἐνεργοῦντες ἅπαντες· ὥσπερ ἐν τοῖς σφοδροτάτοις γυμνασίαις, ἐπειδὴ πλείστης τῆς ἀναπνοῆς ἐστὶ χρεία κατὰ ταῦτα· ἀλλὰ τοῖς ἀποπλήκτοις, οὐ τῷ τὴν χρείαν ηὐξῆσθαι τῆς ἀναπνοῆς, ἀλλὰ διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, συνεργεῖν ἀναγκάζονται πάντες οἱ τοῦ θώρακος μύες. F ὥσπερ καὶ τῶν ἄλλως ἐν πυρετῷ, ἀσθενῆ τὴν δύναμιν ἐχόντων, δι' αὐτό γε τοῦτο καὶ κινεῖν ἀναγκάζονται πάντες ἑαυτοὺς, εἰς ἓν ἀξιόλογον κεφάλαιον, τὴν ἐξ ἁπάντων ἐνέργειαν ἀθροίζοντες.

A

Περὶ τῆς τοῦ ἀφροῦ γενέσεως, καὶ τῆς ὕλης, καὶ τῶν αἰτιῶν, καὶ τῶν πομφολύγων· καὶ τίς ἀφρὸς θανάσιμον ἢ σημεῖον.

De spumæ generatione, materia, causis, & bullis; & quæ spuma lethale signum sit.

ΑΦΟΡΙΣΜΟΣ μγ'.

Τῶν ἀπαγχομένων, καὶ καταλυομένων, μήπω δὲ τεθνηκότων, οὐκ ἀναφέρουσιν οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα. B

APHORISMVS XLIII.

QVi strangulantur, ac dissoluuntur, nondum tamen mortui sunt, ex ijs non conualescunt quibus circum os spuma oborta fuerit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πᾶσα μὲν ἀφροῦ γένεσις, ἐκ μίξεως ἀποτελεῖται δυοῖν οὐσιῶν, τῆς μὲν ἑτέρας πνευματικῆς, ὑγρᾶς δὲ τῆς ἑτέρας. γίνεται δὲ ἡ μίξις αὐτῶν, εἰς πολλὰ θραυσθείσης ἑκατέρας, καὶ πολλὰς ἐν τῇ συμπλοκῇ σμικρὰς πομφόλυγας ἐργαζομένων. ὅταν δὲ ἡ γλίσχρον τῇ συστάσει τὸ καταθραυσθὲν ὑγρὸν, ἐξ οὗ περιπλεκομένου τῷ πνεύματι, τὰς πομφόλυγας γεννηθῆναι συμβῇ, δύσλυτός τε, καὶ μόνιμος ὁ ἀφρὸς γίνεται, οἷον μάλιστα τοῖς δραμοῦσιν ἵπποις, ἢ τοῖς θυμωθεῖσι κάπροις ἀθροίζεται περὶ τὸ στόμα. Τὴν δὲ ἑκατέρων τῶν οὐσιῶν θραῦσίν τε, καὶ μίξιν, ἐνίοτε μὲν ἐργάζεται βίαια κίνησις, ἤτοι γ' ἀμφοῖν, ἢ μόνης τῆς ἑτέρας, ἐνίοτε δὲ ἰσχυρὰ θερμότης, εἰ μὴ ἄρα καὶ ταύτην τῇ κινήσει τις λέγοι τὸν ἀφρὸν ἐργάζεσθαι. ἀλλὰ τοῖς γε τοῖς ἐναργῶς φαινομένοις ἑπομένῳ, διττὴν ἀσφαλέστερόν ἐστι φάναι τὴν γένεσιν εἶναι, κατὰ μὲν τοὺς σφοδροὺς ἀνέμους ἐμπίπτοντας τῇ θαλάττῃ, διὰ πληγὴν ἰσχυράν. ἐπὶ δὲ τῶν λεβήτων, διὰ τὴν θερμασίαν· οὕτω τε κἀν τοῖς τῶν ζώων σώμασιν, ἐν μὲν τοῖς ἐπιληπτικοῖς σπασμοῖς, ἡ συντονία τῶν κινήσεων τὸν ἀφρὸν εἴωθε γεννᾶν, ἐπὶ δὲ τῶν κάπρων, ἡ θερμασία, κατὰ δὲ τοὺς δρόμους τῶν ἵππων, ἄμφω φαίνεται συνιόντα· συνεχῶς γὰρ, εἴσω καὶ ἔξω, τοῦ κατὰ τὰς ἀναπνοὰς ἀέρος φερομένου, τό τε σίελον αὐτοῖς λεπτύνεται, καί τι κἀκ τοῦ πνεύμονος ἀτμοειδὲς ἀναφερόμενον, ἐπιμίγνυταί τε, καὶ συμπλέκεται τῷ σιέλῳ, τοῦ γεννωμένου τὴν οὐσίαν ἀφροῦ συναῦξον. ὅσοι δὲ ἡγοῦνται, τὸν ἀφρὸν τοῦτον ἐκ τῆς κοιλίας ἀναφέρεσθαι, διαμαρτάνουσιν. Οὔτε γὰρ ἀθρόως αὐτὸν ἐκεῖθεν ἥκειν ἐγχωρεῖ, μήτε ἐμοῦντος τοῦ ζώου τηνικαῦτα, μήθ' ὅλως ναυτιῶντος, ὧν συμπτωμάτων χωρὶς, οὐχ οἷόν τε ἐστὶν ἐκ τῆς γαστρὸς ἀνενεχθῆναί τι, καὶ πολὺ δὴ μᾶλλον ἀδύνατον ἀναφέρεσθαί τινα ἀτμὸν ὁμοίως τῷ κατὰ τὰς ἀναπνοὰς, μηδεμιᾶς τοιαύτης ἐκ τῆς γαστρὸς ἀναφερομένης οὐσίας, οἵαν ὁ πνεύμων ἀναπνεῖ. Καὶ γάρ τοι καὶ τὸ αἷμα, τὸ μὲν ἐκ τοῦ πνεύμονος ἀναγόμενον, ἀφρῶδες ὁμοίως ἐστὶ τῷ σπλάγχνῳ. Τὸ δὲ ἐκ τῆς γαστρὸς, οὐδ' ἐγγὺς τῷ τοιούτῳ, ἀλλ' ὁ μὲν ἅμα τῷ αἵματι ἐκ τοῦ πνεύμονος συναναφερόμενος ἀφρὸς, ἀθρόως τε καὶ μετὰ βηχὸς ἀνάγεται. ὁ δὲ ἐκ τοῦ τοιούτου χυμοῦ

C D E F

GALENI COMMENTARIVS.

OMnis spumæ generatio ex duplicis substantiæ mixtione conficitur, alterius quidem spirituosæ, alterius verò humidæ. Fit autem earum mixtio fractis in multas partes vtrisque, multasque mutua collisione paruas bullas efficientium. Quum verò effractus humor (quo spiritum complicante bullas generari contigit) viscidus fuerit, tum solutu difficilis, tum stabilis spuma redditur; qualis maxime currentibus equis, aut apris ira percitis circa os colligitur. At vtriusque substantiæ confractum, ac mixtionem interdum quidem efficit motus violentus vel vtriusque, vel alterius tantum; nonnunquam verò & vehemens calor, nisi quis fortassis & hunc suo motu spumam excitare dixerit. Verùm apertam rei euidentiam sequenti tutius est dicere duplicem esse spumæ generationem, vnam quidem in mari ventis vehementiùs ingruentibus jactato ob fragoris vehementiam; alteram verò in lebetibus efferuescentibus ob calorem. Sic quoque & animalium corporibus per epilepticas conuulsiones vehemens motuum contentio spumam generare consueuit; in apris vero calor; in equorum autem cursibus vtriusque causæ vehementia editur. Quum enim per respirationes aër intrò, ac foras continenter feratur, tum saliua ipsis tenuatur, tum etiam ex pulmone quiddam vaporis instar effertur quod saliuæ permiscetur & complicatur, gignendæ spumæ substantiam simul augens. Qui verò hanc spumam è ventriculo prodire arbitrantur, aberrant. Neque enim confertim ipsam illinc spumam procedere conceditur, quum animans tunc temporis neque vomat, neque prorsus nauseet, citra quæ symptomata nihil quicquam è ventriculo efferri queat; multoque magis sanè fieri non potest vt vapor vllus eodem modo quo in expirationibus efferatur; quum nulla ejusmodi è ventriculo substantia educatur, qualem pulmo inter respirandum exhalat. Etenim qui sanguis quidem è pulmone educitur, spumosus existit visceri similis; qui verò è ventriculo effertur, nullam cum eo habet affinitatem; sed quæ vnà cum sanguine è pulmone spuma educitur, ea confertim & cum tussi educitur: Qui verò paulatim ex tali humore vapor efflatur, tusses non excitat. Injecto itaque ceruici strangu-

lante laqueo, tum cor, tum pulmonem fuliginosum excrementum efflare necesse est; id enim à nobis libro de respirationis vsu demonstratum est. Sed pulmo laqueo prohibitus totum ad exitum violenter impellit, simulque cum eo proprij humoris partem expellit, quemadmodum in sanguinis fit eductionibus. Exitiale itaque hoc signum est, quoniam pulmonis violentiam significat, quam patitur dum animal suffocatur. Præcipuè verò ipsi accidere consentaneum est, propter calorem è corde ad ipsum propulsum. Quare quum caloris feruore, & violento spiritus motu, & vehementi pulmonis contentione spumæ fit eductio, lethale signum est. Nonnulli tamen, quamuis id rarò accidat, conualuerunt, quibus strangulatis spuma circa os apparuerat: ac fortassis Hippocrates non quòd semper intereant; sed quòd contrarium rarissimè eueniat, ita pronunciauit, quemadmodum & paulo antea in altero aphorismo hisce verbis declarauerat; *Quibus iuuenibus alui sunt humidæ, ijs senescentibus exsiccantur.* Nam illic particulam, *plerumque*, dicere prætermisit, quam tamen in sequentibus his verbis addidit; *Quicunque aluos humidas habent, si iuuenes quidem fuerint, melius degunt, quàm qui siccas habent; in senectute verò, deterius; nam senescentibus* plerunque *exsiccantur.*

A κατ' ὀλίγον ἐκπνεόμενος ἀτμὸς, οὐ κινεῖ βῆχας. περιβληθείσης γε μὴν ἀγχόνης τῷ τραχήλῳ, δεῖται μὲν ἡ καρδία, καὶ ὁ πνεύμων ἐκπνεῦσαι τὸ λιγνυῶδες περίττωμα. δέδεικται γὰρ τοῦτο ἡμῖν ἐν τῷ περὶ χρείας ἀναπνοῆς γράμματι. Κωλυόμενος δὲ διὰ τὴν ἀγχόνην, βιαίως ὠθεῖ πρὸς αὐτὸ, κᾂν τούτῳ, καὶ τῆς οἰκείας ὑγρότητός τι συνεκβάλλει, καθάπερ κᾂν ταῖς τοῦ αἵματος ἀναγωγαῖς. Ὀλέθριον οὖν τοῦτο τὸ σημεῖόν ἐστιν, ἐπειδὴ τῆς βίας τοῦ πνεύμονός ἐστι δηλωτικὸν, ἣν πάσχει πνιγομένου τοῦ ζώου. μάλιστα δ' εἰκὸς αὐτῷ γίνεσθαι τοῦτο, B διὰ τὴν ἐκ τῆς καρδίας εἰς αὐτὸν ὠθουμένην θερμασίαν, ὥς τε καὶ τῇ ζέσει τοῦ θερμοῦ, καὶ τῇ τοῦ πνεύματος βιαίᾳ κινήσει, καὶ τῇ σφοδρᾷ τοῦ πνεύμονος συντονίᾳ, τῆς ἀναγωγῆς γινομένης τοῦ ἀφροῦ, θανατῶδες τὸ σημεῖον. ἔνιοί γε μὴν ἐν τῷ σπανίῳ, τῶν ἀπαγχομένων ἀπηνέγκαν, ἀφροῦ φανέντος περὶ τὸ στόμα· καὶ ἴσως ὁ Ἱπποκράτης, οὐχ ὡς διὰ παντὸς ἀπολλυμένων, ἀλλ' ὅτι τοὐναντίον σπανιώτατα, οὕτως ἀπεφήνατο, καθάπερ ὀλίγον ἔμπροσθεν ἐδείκνυτο, ἔνθα φησὶ κατὰ τὸν ἀφορισμόν· ὁκόσοισι νέοισιν αἱ κοιλίαι ὑγραὶ εἰσὶ, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται. Τὸ γὰρ ὡς τὸ πολὺ, παρέλιπεν ἐνταῦθα εἰ- C πεῖν. ἐν τοῖς κατωτέρω προσθεὶς αὐτὸ, ἔνθα φησὶν, ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ὄντες βέλτιον ἀπαλλάσσουσι τῶν ξηρὰς ἐχόντων, ἐς δὲ τὸ γῆρας χεῖρον ἀπαλλάσσουσι· ξηραίνονται γὰρ, ὡς ἐπὶ τὸ πολὺ, τοῖσιν ἀπογηράσκουσιν.

De crassis, gracilibus, ac corpulentis symmetris; & crassiores gracilioribus celerius interire.

Περὶ τῶν παχέων τε, καὶ τῶν ἰσχνῶν, καὶ εὐσάρκων συμμέτρων· καὶ τοὺς ἰσχνοτέρους τῶν παχυτέρων μᾶλλον ταχυθανάτους εἶναι.

D

APHORISMVS XLIV.

Naturâ admodum crassi, celeriùs quàm graciles intereunt.

ΑΦΟΡΙΣΜΟΣ μδʹ.

Οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι μᾶλλον γίνονται τῶν ἰσχνῶν.

GALENI COMMENTARIVS.

Crassos à prima ætate, & graciles inter se comparans, crassos celerius quàm graciles emori pronunciat. Optimum siquidem est bene carnosum nasci, hoc est, ita commoderatum vt neque adsit crassitudo, neque gracilitas. Tales enim possunt ad longam senectutem peruenire. Si verò à commoderatione recedatur, præstantior quidem gracilitas, deterior verò crassitudinis excessus est. Angustæ enim sunt horum arteriæ ac venæ, proindeque paucum omnino sanguinem, & spiritum continent; adeo vt ipsis ætate prouectis leui occasione calor natiuus celeriter destruatur. Graciles autem hac quidem ratione non periclitantur. Quia verò partes in his principes ita affectæ sunt, vt nullum habeant propugnaculum, ab externis causis promptè læduntur. Qui autem natura quidem symmetri aut commoderati erant (hoc est corpulenti) sed pleniore victu; & otiosa vita vsi post-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς ἐκ τῆς πρώτης ἡλικίας παχεῖς καὶ ἰσχνοὺς, ἀλλήλοις παραβάλλων, ἀποφαίνεται περὶ τῶν παχέων, E ὡς εἰσὶ ταχυθάνατοι μᾶλλον τῶν ἰσχνῶν. Ἄριστον μὲν γὰρ εὔσαρκον φῦναι, τουτέστι σύμμετρον, ὥστε μήτε παχὺν εἶναι, μήτ' ἰσχνὸν, οὕτω γὰρ ἂν δυνατὸν, καὶ εἰς μακρὸν ἀφικέσθαι γῆρας. εἰ δ' ὑπερβάλλοι τὸ σύμμετρον, ἀμείνων μὲν ἰσχνότης, μοχθηρὰ δὲ ἡ εἰς πάχος ὑπερβολή. Στεναὶ γάρ εἰσι τούτων αἱ ἀρτηρίαι, καὶ αἱ φλέβες, καὶ διὰ τοῦτο, καὶ αἷμα, καὶ πνεῦμα παντελῶς ὀλίγον ἔχουσιν, ὥστ' ἐπειδὰν προέρχωνται κατὰ τὴν ἡλικίαν, ταχέως αὐτοῖς, ἐπὶ μικρᾷ προφάσει ἡ ἔμφυτος θερ- F μασία διαφθείρεται. Οἱ δ' ἰσχνοὶ ταύτῃ μὲν οὐ κινδυνεύουσι. τῷ δὲ διακεῖσθαι τὰ κύρια μόρια μηδὲν ἔχοντα πρόβλημα, πρὸς τῶν ἔξωθεν αἰτίων ἑτοίμως βλάπτονται. ὅσοι μὲν τοι ἦσαν σύμμετροι, διαίτῃ δ' ἀργοτέρᾳ χρησάμενοι, παχεῖς ἐγένοντο, τούτοις, εἰ καὶ σαρ-

κὸς καὶ πιμελῆς ἐπεγράφη πλῆθος, ἀλλ' εὐρεῖαι αἵ τε φλέβες εἰσὶ καὶ αἱ ἀρτηρίαι, καὶ διὰ τοῦτο μείζονα ἔχουσι τὴν ἔμφυτον θερμασίαν, ἧττον εὔσβεστον.

A modum crassi euaserunt, iis etiamsi carnis & adipis copia accesserit, venæ tamen atque arteriæ latæ sunt, atque idcirco in ipsis calor natiuus, minùs extinctioni obnoxius, major est.

Περὶ τῆς ἀποπληξίας καὶ τῆς ἐπιληψίας παραβολῆς καὶ τῶν διαφορῶν· καὶ τοὺς ἐπιληπτικοὺς νέους ἀπαλλάττεσθαι.

De apoplexiæ & epilepsiæ comparatione ac differentiis; & epilepticos juuenes liberari posse.

ΑΦΟΡΙΣΜΟΣ με'.

Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν, ἀπαλλαγὴν αἱ μεταβολαὶ τῆς ἡλικίης, καὶ τῶν χωρέων, καὶ τῶν βίων ποιέουσι. [marg.: τόπων]

B APHORISMVS XLV.

Epilepticis iuuenibus mutationes potissimum ætatis, & regionum, & victuum liberationem efficiunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐγγύς πως ἐστὶν ἀποπληξίας, τὸ τῆς ἐπιληψίας πάθος, ὡς ἂν τὸν πάσχοντα τόπον ἐχόντων ἀμφοῖν τὸν αὐτὸν, καὶ τὸν ποιοῦντα χυμόν. Ἀλλ' ἡ μὲν ἀποπληξία, διὰ παντελῆ στέρησιν τῆς ἐπιρρεούσης δυνάμεως τοῖς νεύροις, ἡ δ' ἐπιληψία, διὰ πλημμελῆ κίνησιν γίνεται. ψυχρὸς δ' ἐστὶν ἀμφοῖν, καὶ παχὺς χυμός. καὶ διὰ τοῦτο, ἡ τῶν νεανίσκων ἡλικία, ξηρὰ καὶ θερμὴ τὴν κρᾶσιν ὑπάρχουσα, μέγιστον βοήθημα γίνεται τῶν ἐπιληπτικῶν διαθέσεων, οὕτω δὲ καὶ τῶν χωρίων αἱ ἀνάλογοι μεταβολαί. λέγω δ' ἀνάλογον, ὅταν εἰς ξηρότητά τε, καὶ θερμότητα μεθιστῶνται. κατὰ ταῦτα δὲ, καὶ τῶν βίων· οὐδὲ γὰρ αἱ τούτων μεταβολαὶ πᾶσαι λύουσι τὴν ἐπιληψίαν, ἀλλ' ὅσαι θερμοτέραν καὶ ξηροτέραν ἐργάζονται τὴν τοῦ σώματος ἕξιν. ἐγχωρεῖ δὲ καὶ ἁπλῶς ἀκοῦσαι, τὴν μεταβολὴν τοῦ βίου τὰς ἐπιληψίας ὠφελεῖν. ἐπειδὴ τοὐπίπαν ἡ μοχθηρὰ δίαιτα γεννᾷ τὸ πάθος, ὥσθ' ἡ μεταβολὴ πάνυ ἐπὶ τὸ βέλτιον ἄγει.

GALENI COMMENTARIVS.

C Epilepsia affectus est apoplexiæ quodammodo vicinus; quòd vtraque eundem locum affectum, & eundem humorem causam efficientem sortiatur. Verùm apoplexia quidem vniuersam motricis facultatis ad neruos influentis priuationem, epilepsia verò ob inconcinnum ac deprauatum motum generatur. Frigidus autem & crassus humor, vtrique causa est. Atque idcirco juuenum ætas temperamento calida & sicca, maximum epilepticis remedium est. Sic & proportionales regionum mutationes. Dico autem proportionales, quum hæ in caliditatem ac siccitatem D migrant. Eodem modo & victus; Neque enim omnis victûs mutatio epilepsiam soluit; sed quæ calidiorem & sicciorem corporis habitum efficit. Contingit autem simpliciter etiam exaudire vitæ mutationem epilepsiæ prodesse; quandoquidem victus deprauatus hunc affectum plerumque generat. Quare & victus mutatio prorsus ad melius agit.

Τὸ τῶν σώματός τε, καὶ τῆς ψυχῆς ἀλγημάτων σφοδρότερον ἀμαυροῦσθαι. τόπον ἀκριβῶς τε κἂν πλάτει λαμβάνεσθαι.

E Dolorum tum corporis, tum animi vehementiorem, alterum obscurare. Locum angustè ac latè vsurpari.

ΑΦΟΡΙΣΜΟΣ μς'.

Δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

APHORISMVS XLVI.

Duorum dolorum simul non eodem in loco oborientium, alterum vehementior obscurat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ μὲν ἀκριβῶς ἀκούσῃ τις τὸν αὐτὸν τόπον, οὐδέποτε δύο δύνανται πόνοι γίνεσθαι κατὰ τὸν αὐτόν. εἰ δ' ἐν πλάτει, δυνατόν. λέγω δ' ἐν πλάτει, περὶ μόριον μεῖζον, οἷον ἢ περὶ βραχίονα, ἢ πῆχυν, ἢ μη-

F GALENI COMMENTARIVS.

Siquis angustè quidem locum eundem intelligat, nunquam duo possunt eodem in loco fieri dolores; si quis verò latè interpretetur, possunt. Dico autem latè in parte majore, vt brachio, aut cubito, aut femore,

aut tibia. Verùm hi duo dolores loci molestiam simul augent, quum neuter lateat ægrotantem. Si verò diuersis locis insideant, alter quidem (si ita contigerit) in cubito, alter verò in tibia, tunc à vehementiore alterum obtundi contingit, sensitrice facultate tota ad vehementiorem ducta ac distracta. Idem enim & nobis per mœrores accidere consueuit, qui & ipsi citra corpus velut quidam animi dolores ac morbi sunt. Quare & ex iis qui sunt vehementiores, minores occultant, quum præsertim ab vna eademque re ortum non habeant; aliàs & illi mutuum sibi dant incrementum.

A ρὸν, ἢ κνήμην. ἀλλ' οὗτοί γε οἱ πόνοι συναύξουσιν ἀλλήλοις τὴν ἀνίαν τοῦ μορίου, μηδ' ἑτέρου τὸν κάμνοντα διαλανθάνοντος. εἰ δ' ἐν διαφόροις τόποις εἶεν, ὁ μὲν, εἰ τύχῃ κατὰ τὸν πῆχυν, ὁ ἐν τῇ κνήμῃ. συμβαίνει τηνικαῦτα, πρὸς τοῦ σφοδροτέρου τὸν ἕτερον ἀμαυροῦσθαι, τῆς αἰσθητικῆς δυνάμεως ὅλης, ἐπὶ τὸ σφοδρότερον ἀπαγομένης τε, καὶ περιελκομένης. Τοῦτο γὰρ ἡμῖν καὶ κατὰ τὰς λύπας εἴωθε συμβαίνειν, οὔσας καὶ αὐτὰς οἷον ἀλγήματά τινα τῆς ψυχῆς, ἄνευ τοῦ σώματος· κατακρύπτουσι γὰρ οὕτω ἐν αὐταῖς αἱ σφο-
B δρότεραι τὰς ἐλάσσους, ὅταν γε μὴ περὶ ἑνὸς γίνονται πράγματος. εἰ δὲ μήγε, ἀλλήλας κἀκεῖναι συναύξουσιν.

De puris ortu & caussis; & quomodo dum pus fit, dolores & febres, & quæ oboriantur.

Περὶ τοῦ πύου γενέσεως καὶ τῶν αἰτιῶν. καὶ πῶς τοῦ πύου γινομένου οἱ πόνοι τε, καὶ οἱ πυρετοὶ ὁποῖοι συμβαίνουσι.

APHORISMVS XLVII.

C

ΑΦΟΡΙΣΜΟΣ μζ.

DVm pus procreatur, simul dolores ac febres magis quàm eo procreato oboriuntur.

Περὶ τὰς γενέσιας τοῦ πύου, οἱ πόνοι, καὶ οἱ πυρετοὶ ξυμβαίνουσι μᾶλλον, ἢ γενομένου.

GALENI COMMENTARIVS.

PVs ex sanguine fit, in semiprauam (si cui ita loqui liceat) mutationem degenerante. Nam praua absolutè *sanguinis mutatio*, graueolente putredine perficitur; quemadmodum absolutè bona, partium animalis nutritio est; at quæ pus procreat inter has existat media, quæ neque à solo præter naturam calore; neque à solo secundùm naturam peragitur. Mixtus enim quodam modo ex vtrisque calor est inflammationis. Dolor autem excitatur quum pars inflammata præter naturam tum tenditur, tum incalescit. Febres verò accensum simul vitæ principium sequuntur; & hæc ambo ex quodam veluti feruore atque incendio sanguinis oboriuntur. Quum autem sanguis planè exustus fuerit, eius residuum pus efformatur, quemadmodum in lignis combustis, cinis. Quare per id tempus tum febres cessant, præsertim quum pus excretum fuerit, vt pote jam materia consumpta, & inflammatorio calore extincto.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΤΟ πύον ἐξ αἵματος γίνεται, μεταβάλλοντος εἰς ἡμιμόχθηρον, ὡς ἄν εἴπῃ τις μεταβολήν· ἡ μὲν γὰρ ἁπλῶς μοχθηρὰ, μετὰ σηπεδόνος ἀποτελεῖται δυσώδους, ὥσπερ καὶ ἡ ἁπλῶς χρηστὴ, θρέψις ἐστὶ τῶν τοῦ ζώου μορίων. ἡ δὲ τὸ πύον ἐργαζομένη, μεταξὺ τούτων ἐστὶν, οὔθ' ὑπὸ τῆς παρὰ φύσιν μόνης, οὔθ' ὑπὸ τῆς ἐμφύτου θερμασίας γινομένη. μικτὴ γάρ πως ἐξ ἀμφοῖν ἐστιν ἡ τῆς φλεγμονῆς. πόνος μὲν γίνεται, τεινομένου τε ἅμα, καὶ θερμαινομένου παρὰ φύσιν τοῦ φλεγμαίνοντος μορίου. πυρετοὶ δ' ἕπονται καὶ ἀρχῆς συνεκθερ-
E μανθείσης, καὶ ταῦτ' ἄμφω συμβαίνει, κατὰ τὴν οἷον ζέσιν τε, καὶ καῦσιν τοῦ αἵματος. ἐπειδὰν δὲ τελέως καυθῇ, τὸ λείψανον αὐτοῦ, πύον γίνεται, καθάπερ ἐπὶ τῶν καυθέντων ξύλων ἡ τέφρα· καὶ διὰ τοῦτο, κατ' ἐκεῖνον τὸν χρόνον, οἵ τε πόνοι, καὶ οἱ πυρετοὶ λωφῶσι, καὶ μάλισθ' ὅταν ἐκκριθῇ τὸ πύον, ὡς ἂν ἤδη δεδαπανημένης μὲν τῆς ὕλης, ἐσβεσμένης δὲ τῆς φλογώδους θερμασίας.

A

Τὴν ἡσυχίαν τῷ πόνῳ ἄκοπον θεραπεύτικον εἶναι.

Quietem labori ac laſſitudini remedium eſſe.

ΑΦΟΡΙΣΜΟΣ μη΄.

ΕΝ πάσῃ κινήσει τοῦ σώματος, ὅταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον.

APHORISMVS XLVIII.

IN omni corporis motu, quum id laborare cœperit, quies ſtatim laſſitudinem leuat.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ πονεῖν, σημαίνει μὲν καὶ τὸ ἀλγεῖν, σημαίνει δὲ καὶ τὸ κάμνειν, καὶ καθ᾽ ἑκάτερόν γε ὁ λόγος αὐτῶν ἀληθής ἐστιν. ἐάν τε γὰρ ἀλγῶσιν ἤδη τὰ μόρια, διὰ τὰς πλείονας κινήσεις, ἐάν τε καὶ κάμνωσιν, ὡς ἐνεργεῖν ἔτι μόγις δύνασθαι, τὸ διαναπαύειν εὐθύς ἐστιν ἄκοπον.

GALENI COMMENTARIVS.

LAborare verbum, dolere ſignificat, ſignificat & defatigari; atque vtroque ſignificatu ſententia vera eſt; ſiue enim partes iam doleant propter plures motus, ſiue etiam ita ſint defeſſæ, vt vix jam ſuas functiones obire queant, requieſcere ſtatim laſſitudinem ſoluit.

C

Διά τι οἱ περὶ τοὺς πόνους εἰθισμένοι τοὺς συνήθεις πόνους ῥᾷον φέρωσιν.

Cur laboribus aſſueti conſueta exercitia facilius ferant.

ΑΦΟΡΙΣΜΟΣ μθ΄.

ΟΙ εἰθισμένοι τοὺς συνήθεας πόνους φέρειν, κἂν ὦσιν ἀσθενέες, ἢ γέροντες, τῶν ἀσυνήθων ἰσχυρῶν τε, καὶ νέων, ῥᾷον φέρουσι.

APHORISMVS XLIX.

D

QVi ſolitos labores ferre conſueuerunt, etiamſi inualidi ſint, aut ſenes, eos facilius ferunt, quàm non aſſueti, tum robuſti, tum iuuenes.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΛλος ἄλλῳ συνήθης πόνος ἐστὶ, τῷ μὲν δρόμος, ἤ τις ἑτέρα κίνησις διὰ τῶν σκελῶν, τῷ δὲ τὸ χειρονομεῖν, ἤ τις ἄλλη διὰ τῶν χειρῶν ἐνέργεια· τοῖς δὲ, τὸ σκάπτειν, ἢ ἐρέσσειν, ἢ ἀροῦν, ἢ ἁπλῶς ὁποιοῦν ἄλλο. διαφορὰ δ᾽ ἐν ἅπασι τοῖς τοιούτοις ἐστὶ πόνοις, παρά τε τὸ πλείοσιν, ἐλάσσοσιν ἐνεργεῖν μορίοις, καὶ παρὰ τὸ, αὖθις, ἢ μᾶλλον, ἢ ἧττον. ἀλλὰ τό γε κοινὸν ἐπὶ πᾶσιν, εὐτονώτερα τῶν ἄλλων γίνεσθαι τὰ γυμναζόμενα μόρια, καὶ διὰ τοῦτο, ῥᾷον ὑπομένειν τοὺς συνήθεις πόνους.

GALENI COMMENTARIVS.

E

ALter alteri labor conſuetus eſt; huic quidem curſus, aut quidam alius motus cruribus obeundus; illi verò chironomia, aut alia quædam manuum functio. Alij terram fodere, aut remigare, aut arare, aut ſimpliciter quodvis aliud agere conſueuerunt: differunt autem omnes iſti labores, quia vel plures, vel pauciores partes operantur, & quia vel vehementius, vel leuius laborant. Hoc tamen omnibus commune exiſtit, quod exercitatæ partes fiant robuſtiores, proindeque labores conſuetos facilius ferant.

A

Consueta quæque licet deteriora, insuetis minus esse molesta; ac statam consuetudinem parum tutam; & ad insolita mutationem esse faciendam.

Τὰ συνήθεα πάντα κἂν ᾖ χείρω, τῶν ἀσυνήθων ἧσσον ἐνοχλεῖν· καὶ τὸ μονοειδὲς ἔθος σφαλερὸν εἶναι· καὶ ὅτι εἰς τὰ ἀσυνήθεα μεταβάλλειν χρή.

APHORISMVS L.

ΑΦΟΡΙΣΜΟΣ ν'.

Consueta longo tempore, etiamsi deteriora sint, insuetis molesta minus esse solent. Quare ad insueta etiam mutatio facienda.

B

ΤΑ ἐκ πολλοῦ χρόνου συνήθεα, κἂν ᾖ χείρω, τῶν ἀσυνήθων, ἧσσον ἐνοχλεῖν εἴωθε. δεῖ οὖν καὶ εἰς τὰ ἀσυνήθεα μεταβάλλειν.

GALENI COMMENTARIVS.

NOn de solis exercitationibus, vt superior, verùm absolutè de omnibus consuetis hic aphorismus enunciat, esculentis, poculentis, balneis, illotionibus, vigiliis, somno, calefactione, refrigeratione, curis ac studiis. Hæc enim singula quæ consueta sunt, minùs iis nocent, quæ sua quidem natura innocentiora, nunquam in consuetudinem peruenerunt. Quòd igitur ita se res habeat in exercitationibus ad partium agentium robur refertur, prout antè dictum est; in reliquis verò quomodo fiat jam dicemus. Cibi ac potus cùm aliis in partibus, tùm maximè in ventriculo ascititiam naturam efficiunt. Etenim etiamsi à corpore quammaximè vincantur, & transmutentur, ipsum tamen quodammodo pro sui natura ita afficiunt, vt processu temporis multa fiat immutatio, atque nutriendis cum nutrientibus similitudo concilietur. Id enim à nobis in libro de consuetudinibus demonstratum est. Demonstratum verò est etiam vnumquodque à similibus promptiùs alterari ac immutari. Ea re igitur quum similius immutando corpori immutans fuerit, celerius ipsum alterat ac immutat. Et sanè ab aliis omnibus in quibus versatur & adhæret corpus, quadantenus afficitur, veluti in aëre frigido, vel calido; à frigido quidem densatur; à calido verò laxatur; atque ideo consueta faciliùs perfert, ab insuetis verò læditur. Si enim caloris vicinia rarefacto corpori derepente frigus occurrerit, eius altum quamprimum permeat læditque magnopere. Causa itaque cuiusque rerum consuetarum in libro de consuetudinibus declarata est. Quòd verò experientiâ notum est, jam noscimus; quod solum scripsit Hippocrates, qui ejus causam ascribere non censuit. Nos verò ad hujus inuentionem quasdam ansas & occasiones dedimus. Hæc igitur ad prioris partis aphorismi explicationẽ sufficiunt. Quod verò ad finem scriptum est, vbi consulit ad insueta quodammodo faciendam esse mutationem, id sanitatis securiùs tuendæ gratiâ, additum est. Omnis enim vniformis consuetudo, periculosa est; quum omnes homines inopinatis rerum casibus subjiciantur. Ne igitur quandoque ex improuiso in res insuetas il-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ περὶ τῶν γυμνασίων ἐστὶ μόνον, ὡς ὁ πρόσθεν, ἀλλὰ περὶ πάντων ἁπλῶς ἀποφαίνεται τῶν συνήθων ὁ ἀφορισμὸς οὗτος, ἐδεσμάτων, πομάτων, λουτρῶν, ἀλουσίας, ἀγρυπνίας, ὕπνου, θάλψεως, ψύξεως, φροντίδων.

C

ἧττον γὰρ ἕκαστον αὐτῶν βλάπτει, σύνηθες γινόμενον, τῶν φύσει μὲν ἀβλαβεστέρων, μηδέποτε δὲ εἰς ἔθος ἀφιγμένων. Τὸ μὲν οὖν ἐπὶ τῶν γυμνασίων οὕτως ἔχειν, εἰς τὴν εὐρωστίαν τῶν ἐνεργούντων μορίων ἀναφέρεται, καθ' ὅ, τι προείρηται. Τὸ δ' ἐπὶ τῶν ἄλλων, ὅπως γίνεται, νῦν ἐροῦμεν. Ἐδέσματα μὲν καὶ πόματα φύσιν ἐπίκτητον ἐργάζεται, μάλιστα μὲν ἐν τῇ γαστρί, σὺν ἐκείνῃ δέ πως ἤδη καὶ κατὰ τἄλλα μόρια. Καὶ γὰρ εἰ καὶ ὅτι μάλιστα κρατοῖτο, καὶ μεταβάλλοιτο

D

πρὸς τοῦ σώματος, ἀλλά τοι καὶ αὐτὰ διατίθησί πως αὐτό, κατὰ τὴν ἑαυτῶν φύσιν, ὥστ' ἐν τῷ χρόνῳ πολλὴν γίνεσθαι τὴν ἐναλλαγήν, καὶ τὴν ὁμοίωσιν τοῖς τρεφομένοις συνίστασθαι πρὸς τὰ τρέφοντα. ἐπιδέδεικται γὰρ τοῦτο ἡμῖν ἐν τῷ περὶ ἐθῶν βιβλίῳ· δέδεικται δέ, καὶ ὅτι πρὸς τῶν ὁμοίων, ἕκαστον θᾶττον ἀλλοιοῦται. Διὰ τοῦτ' οὖν, ὅταν ὁμοιότερον γίνηται τῷ μεταβαλλομένῳ τὸ μεταβάλλον, ἀλλοιοῖ θᾶττον αὐτό· καὶ μὲν δὴ καὶ πρὸς τῶν ἄλλων ἁπάντων, οἷς ὁμιλεῖ τὸ σῶμα, διατίθεταί πως, οἷον ἐν ἀέρι ψυχρῷ καὶ θερμῷ. πυκνούμενον μὲν ὑπὸ τοῦ ψυχροῦ, ἀραιούμενον δ' ὑπὸ τοῦ θερμοῦ, καὶ διὰ

E

τοῦτο, ἀνέχονται μὲν τῶν συνήθων μᾶλλον, ἐνοχλεῖται δ' ὑπὸ τῶν ἀήθων. εἰ γὰρ ἀραιῷ σώματι, διὰ τὴν πρὸς τὸ θερμὸν ὁμιλίαν ἐξαίφνης προσπέσοι τὸ ψυχρόν, εἴς τε τὸ βάθος αὐτοῦ διαδύεται, ταράττει τε καὶ βλάπτει μεγάλως. Ἡ μὲν οὖν αἰτία καθ' ἕκαστον τῶν συνήθων, ἐν τῷ περὶ ἐθῶν λέλεκται γράμματι. Τὸ δ' ἐκ τῆς πείρας ἐγνωσμένον, ἤδη γινώσκομεν, ὃ μόνον ἔγραψεν ὁ Ἱπποκράτης, οὐκ ἀξιώσας προσγράψαι τὴν αἰτίαν. ἀλλ' ἡμεῖς καὶ πρὸς τὴν αὐτῆς εὕρεσιν, ἀφορμάς τινας δεδώκαμεν. ταῦ-

F

τα μὲν οὖν ἱκανά, πρός γε τὸ πρότερον μέρος, τοῦ κατὰ τὸν ἀφορισμὸν λόγου. Τὸ δ' ἐπὶ τῇ τελευτῇ γεγραμμένον, ἐν ᾧ συμβουλεύει, μεταβάλλειν πως εἰς τὰ μὴ συνήθη, χάριν ἀσφαλείας ὑγιεινῆς εἴρηται. Σφαλερὸν γάρ ἐστι πᾶν ἔθος μονοειδές, ἀδοκήτοις τύχαις πραγμάτων ὑποπεπτωκό-

τῶν ἀπαθῶν αἰσθέσεων. ἵν' οὖν μή ποτ' ἐξαίφνης περιπεσόντες ἀήθεσι πράγμασι, μεγάλως βλαβώμεθα, ἄμεινον εἶναί φησιν ἁπάντων πεπειρᾶσθαι. γένοιτο δ' ἂν τοῦτο, μὴ μενόντων ἡμῶν ἐπὶ τοῖς συνήθεσι διὰ παντός, ἀλλά ποτε μὲν, καὶ τῶν ἐναντίων ἀποπειρωμένων. A

lapsi grauiter oblædamur, satius esse inquit omnia tentare. Id autem fiet, si iisdem in rebus assuetis non semper immoremur; sed insolitas quoque interdum, & contrarias experiamur.

Τὴν ἀπὸ τῆς ἐσχατιᾶς εἰς τὴν ἑτέραν κατὰ πολὺ, καὶ ἐξαπίνης γινομένην κένωσιν, ἢ πλήρωσιν, ἢ ἀλλοίωσιν εἶναι σφαλεράν· τὴν δὲ κατ' ὀλίγον, ἀσφαλεστέραν. B

Quæ ab vno extremo ad aliud confertim ac repente fit vacuatio, aut repletio, aut alteratio, eam periculosam esse; quæ verò paulatim aut modicè fit, securiorem.

ΑΦΟΡΙΣΜΟΣ να'.

Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. καὶ γὰρ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον. Τὸ δὲ κατ' ὀλίγον, ἀσφαλὲς, καὶ ἄλλως ἢν καί τις ἐξ ἑτέρου μεταβαίνῃ ἐφ' ἕτερον. C

APHORISMVS LI.

Confertim ac repente vacuare, vel replere, calefacere, vel refrigerare, aut alio quocunque modo corpus mouere, periculosum. Omne siquidem nimium naturæ inimicum. Quod autem paulatim fit, securum est cùm aliàs, tum maximè, si quis ab altero ad alterum transierit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τί, τὸ κατὰ πολὺ, καὶ ἐξαπίνης πληροῦν, ἢ κενοῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁπωσοῦν κινεῖν τὸ σῶμα σφαλερόν ἐστι, αὐτὸς ἐδήλωσεν εἰπὼν, ἅπαν εἶναι τὸ πολὺ τῇ φύσει πολέμιον. Ἔστι γὰρ ἡ φύσις, ἐν συμμετρίᾳ τῶν στοιχείων ἔχουσα τὴν οὐσίαν. εἰκότως οὖν τὸ πολὺ πᾶν, ὡς ἂν φθεῖρον τὴν συμμετρίαν, διαλυτικόν ἐστι τῆς τοῦ ζώου συστάσεως. Τὸ δὲ κατὰ μικρὸν, φησὶ, πληροῦν, ἢ κενοῦν δηλονότι, καὶ τἄλλα ὅσα τούτοις ἑξῆς εἶπεν, ἀσφαλὲς, ἄλλοτε γινόμενον; καὶ μάλιστα ὅταν ἐξ ἑτέρου τινὸς τῶν ἐν ἔθει, τὴν μεταβολὴν εἰς ἕτερον ποιώμεθα. συνεβούλευσε γὰρ ἐν τῷ πρὸ τούτου ἀφορισμῷ, καὶ ἐς τὰ ἀσυνήθη μεταβαίνειν. ἐν ταῖς τοιαύταις οὖν μεταβάσεσι, τὸ μὲν κατὰ πολὺ, καὶ ἐξαπίνης, σφαλερὸν ἱκανῶς ἐστι. τὸ δὲ κατὰ μικρὸν, ἀσφαλές. D

GALENI COMMENTARIVS.

Cvr confertim ac repente implere, aut vacuare; calefacere vel refrigerare, aut alio quocunque modo corpus mouere periculosum sit, ipse declarauit, quum nimium omne, naturæ inimicum esse pronunciaret. Nam in elementorum commoderatione natura suam habet substantiam; quare ratione nimium omne, vt quod destruat commoderationem, animalis constitutionem dissoluit. Paulatim verò, inquit, implere nimirum aut vacuare, & quæ cætera deinceps commemorat facere, cùm aliàs, tum maximè quum à re quadam consueta ad alteram, mutationem facimus. Nam in præcedente aphorismo consulebat etiam ad insueta transeundum esse. In hisce igitur mutationibus, quod vniuersim ac repente fit, admodum periculosum est quod verò paulatim, tutum.

E

Τὰ κατὰ λόγον ὑποληφθέντα, εἰ καὶ μὴ ἐπιγίνεται ἀπὸ τούτων μὲν οὐ μεταληπτέον.

Ratione suscepta licet non succedant, ab his tamen non decedendum.

ΑΦΟΡΙΣΜΟΣ νβ'.

Πάντα κατὰ λόγον ποιέοντι, μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ' ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

APHORISMVS LII.

Omnia pro ratione molienti, si ex ratione non succedant, non ad aliud progrediendum est, decreto ab initio constante.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ σμικρᾶς ἐπιστήμης ἔργον ἐστὶ, τὸ μὴ μεταβαίνειν ἀπὸ τῶν ὀρθῶς δοξάντων, εἰ καὶ μηδέπω φαίνηται σαφὴς ἡ ὠφέλεια, τοῖς οὕτω γινομένοις ἑπομέ-

GALENI COMMENTARIVS.

Non paruæ scientiæ munus est à rectis decretis non discedere, etsi nondum manifesta proditur vtilitas, res ita factas sequuta. Quemadmodum enim gutta subjectam petram

cadendo

cadendo feriente vix longissimo tempore, sensibilem lapidi læsionem adferre deprehenditur: sic etiam in dyspepsiis crudisque affectibus se res habet, in quibus qui recta ratione quod conducat, inuenerit, ab eo non discedit, quod ab exordio faciendum existimauit, etiamsi nihil certum ex illius vsu subsequutum appareat.

A νη. καθάπερ γὰρ ἐπὶ τοῦ πλήττοντος τὴν ὑποκειμένην πέτραν σταλαγμοῦ, παμπόλλῳ χρόνῳ μόγις αἰσθητὸν γίνεται τὸ τοῦ λίθου πάθος, οὕτω συμβαίνει κἀπὶ τῶν δυσπέπτων διαθέσεων, ἐφ' ὧν ὁ κατὰ λόγον ὀρθὸν εὑρηκὼς τὸ συμφέρον, οὐκ ἀφίσταται τοῦ δόξαντος ἐξ ἀρχῆς, οὐδ' ἂν μηδὲν φαίνηται σαφὲς ἐπὶ τῇ χρήσει γεγενημένον.

Aluum humidam juuenibus quàm senibus salubriorem esse.

B Τὴν κοιλίην ὑγρὰν τοῖς νέοις ἢ τοῖς γεραιοῖς ὑγιεινότερην εἶναι.

APHORISMVS LIII.

QVicunque aluos humidas sortiuntur, ij quidem si iuuenes sint, meliùs degunt, quàm qui siccas habent; at in senectute deteriùs ea defunguntur. Ipsis nanque senescentibus plerunque resiccantur.

ΑΦΟΡΙΣΜΟΣ ιγ'.

ΟΚόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ὄντες, βέλτιον ἀπαλλάσσουσι τῶν τὰς ξηρὰς ἐχόντων, ἐς δὲ καὶ τὸ γῆρας, χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ ὡς ἐπὶ τὸ πολὺ τοῖσιν ἀπογηράσκουσιν.

C

GALENI COMMENTARIVS.

MAnifestus est tum hic aphorismus; tum patent quæ de eo dicenda sunt superiùs prodita eo aphorismo, cujus principium est; *Quibus juuenibus alui sunt humidæ, ijs senescentibus exsiccantur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ σαφής ἐστιν ὁ ἀφορισμὸς, καὶ ὅσα χρὴ λεχθῆναι περὶ αὐτοῦ, πρόσθεν εἴρηται κατ' ἐκεῖνον τὸν ἀφορισμὸν οὗ ἡ ἀρχὴ, ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται.

D

Magnitudinem corporis juuentuti decoram, senectuti incommodam esse.

Τὸ τοῦ σώματος μέγεθος τοῖς μὲν νέοις καλὸν, τοῖς δὲ γεραιοῖς δύσχρηστον εἶναι.

APHORISMVS LIV.

MAgnitudo corporis iuuentutem obeunti ingenua nec indecora; senectutem verò degenti incommoda, paruitateque deterior est.

ΑΦΟΡΙΣΜΟΣ ιδ'.

E ΜΕγέθει δὲ σώματος ἐννεάσαι μὲν, ἐλευθέριον, καὶ οὐκ ἀηδές ἐστιν· ἐγγηράσαι δὲ, εἶ δύσχρηστον, καὶ χεῖρον τῶν ἐλασσόνων.

GALENI COMMENTARIVS.

MAgnitudo corporis propriè quidem appellatur, quæ longitudine, latitudine, & profunditate commoderationem exuperat. Iam verò & quod longitudine sola amplius auctum est corpus, id magnum appellamus, quanuis huic proprium nomen sit longum. Nam & interdum quod latitudine ac profun-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F ΜΕγεθος σώματος, κυρίως μὲν ὀνομάζεται τὸ, κατὰ μῆκος, καὶ βάθος, καὶ πλάτος ὑπὲρ τὸ σύμμετρον ηὐξημένον, ἤδη δὲ καὶ τὸ κατὰ μῆκος μόνον ἐπὶ πλέον ηὐξημένον, σῶμα προσαγορεύομεν ἐνίοτε μέγα, καί τοι τό γε κύριον ὄνομα τούτου, τὸ μακρόν ἐστιν. ὀνομάζουσι γὰρ ἐνίοτε καὶ τὸ κατὰ πλάτος τε,

καὶ βάθος, ὑπὲρ τὴν ἀναλογίαν ηὐξημένον σῶμα, μέγα, καί τοι καὶ τοῦτο παχὺ λέγεται, κυρίως ὀνομαζόμενον. εἰ μὲν οὖν μέγεθος σώματος εἴρηκεν ὁ Ἱπποκράτης, τὸ κυρίως λεγόμενον, οὐδὲν μᾶλλον τοῦ μικροτέρου χεῖρον ἐν γήρᾳ. εἰ δὲ τὸ μακρὸν, ἢ παχὺ δηλοῖ, χείρω καὶ δυσχρηστότερα ταῦτα γερόντων γίνεται. Ἀλλὰ τό γε πάχος οὐδ' ἐννεάσαι καλὸν, οὐδ' ἐλευθέριον. ἐπὶ τοίνυν μόνου τοῦ μακροῦ, τὸ ἐννεάσαι μὲν ἐλευθέριον, ἐγγηρᾶται δὲ δύσχρηστον ἀληθῶς λέγοιτο, κυφοῦται γὰρ τούτων γερόντων, καὶ μόγις δύναται βαστάζειν, ὥσπερ εἶπεν ὁ Ἱπποκράτης, δύσφορον.

ditate vltrà modum corpus auctum est, A magnum esse proferunt; quamuis & id crassum propriè nominetur. Si igitur magnitudinem corporis quæ propriè dicitur, Hippocrates intellexerit, nihilo ipsa deterior est senectuti, quam paruitas. Si verò corporis longitudinem, vel crassitudinem intellexerit, hæ deteriores, atque senescentibus molestiores sunt. Verùm iuuentuti crassitudo neque decora, neque liberalis est. De sola ergo longitudine quòd sit iuuentuti liberalis, senectuti verò grauis & incommoda verè diceretur. Hæc enim senes- B centibus incuruescit, qui vix graue id onus perferre queunt, quod Hippocrates dysphorum molestumque dixit.





ΑΦΟΡΙΣΜΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΟ ΤΡΙΤΟΝ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟΥΣ ΑΦΟΡΙΣΜΟΥΣ ΥΠΟΜΝΗΜΑ Γ'.

APHORISMORVM HIPPOCRATIS LIBER TERTIVS, ET GALENI IN APHORISMOS COMMENTARIVS TERTIVS.

ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΒΙΒΛΙΟΥ.

Τοῦτο τὸ βιβλίον περὶ τῶν ὡρῶν καὶ τῶν ἡλικιῶν διέρχεται.

ARGVMENTVM LIBRI.

Hic liber de anni tempestatibus, ac ætatibus disserit.

A

QVæ suo in tertium aphorismorum librum commentario ad anni tempestates, ac ætates spectantia sit explicaturus Galenus præfatione denunciat, ac Lycum arguit Empiricum quòd ad experientiam & obseruationem omnia referat.

ΤΑ τῷ εἰς τὸ τρίτον ἀφορισμῶν βιβλίον ὑπομνήματι κατὰ τὰς ὥρας τε, καὶ ἡλικίας εἰσηγούμενα Γαληνὸς ἐξηγησόμενος τῷ προοιμίῳ ἐπαγγέλλει· καὶ τὸν Λύκον ἐλέγχει Ἐμπειρικὸν τὸν εἰς ἐμπειρίαν, καὶ τήρησιν ἀναπέμψαντα πάντα.

PRÆFATIO GALENI.

HOCCE tertio in aphorismos commentario, quæ tum de anni temporibus, tum ætatibus ab Hippocrate scriptis prodita sunt, explicabimus; ea maximè declarantes quæcunque in ipsis ob- B

ΠΡΟΟΙΜΙΟΝ ΓΑΛΗΝΟΥ.

ΕΝ τῷ τρίτῳ τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων τῷδε, περὶ τῶν κατὰ τὰς ὥρας τε, καὶ ἡλικίας Ἱπποκράτει γεγραμμένων ἐξηγησόμεθα. μάλιστα μὲν οὖν ὅσον ἐν αὐτοῖς ἀ-

σαφές ἐστι σαφηνίζοντες, ἔργον γὰρ τοῦτο ἴδιον ἐξηγήσεως, A οὐ μὴν ἀλλὰ, καὶ τὴν ἀπόδειξιν ἑκάστου τῶν ὀρθῶς εἰρημένων προστιθέντες, ἐπειδὴ καὶ τοῦτ' ἔστιν ἔθος ἐν τοῖς ὑπομνήμασι γίνεσθαι. Θαυμάζω δὲ κἀνταῦθα τὴν ἀνωμαλίαν τοῦ Λύκου, γράφοντος μὲν, ὥς φησιν, ἐξηγήσεις Κοΐντου τοῦ διδασκάλου, μηδεμίαν δὲ τῶν κατὰ τὰς ὥρας, καὶ ἡλικίας εἰρημένων, προσθέντος πίστιν ἀποδεικτικὴν, ἀλλ' εἰς ἐμπειρίαν καὶ τήρησιν ἀναπέμψαντος ἅπαντα· καίτοι γ' ἄλλους πολλοὺς ἀφορισμοὺς ἐξηγούμενος αὐτὸς ἐπισκέπτεται λογικῶς ὑπὲρ τῆς ἐν αὐτοῖς ἀληθείας, οὐκ ἀρκούμενος μόνῃ τῇ πείρᾳ. Ὅτι δ' οὐ B δυνατόν ἐστι μόνῃ τῇ πείρᾳ τοιαύτην ἀθροῖσαι θεωρίαν, Ἱπποκράτης τε αὐτὸς ἐνδείκνυται τοῦτο, καὶ προϊόντος ἐπιδειχθήσεται τοῦ λόγου.

scura delitescunt (hoc enim proprium est explicationis opus) apposită tamen singulorum quæ rectè dicta fuerint, demonstratione, quoniam hoc quoque in commentariis fieri consueuit. Miror autem hîc Lyci inconstantiam, qui quidem vt ipse ait, Quinti præceptoris interpretationes scribat, nec eorum quæ de anni tempestatibus & ætatibus dicta sunt, demonstratiuam vllam probationem adjiciat; sed ad experientiam, & obseruationem omnia referat: etiamsi ipse alios multos aphorismos interpretando, rationalem de contenta in ipsis veritate speculationem adhibeat, non sola experientia contentus. Quòd verò sola experientia talem contemplationem colligere nequeat, id & ipse ostendit Hippocrates, & in orationis processu demonstrabitur.

Ὅτι αἱ ὧραι τὰ νοσήματα τίκτωσι, καὶ τὰς διαφόρας μεταβολὰς ποιῶσι.

Quòd anni tempestates morbos pariant, ac varias mutationes excitent.

ΑΦΟΡΙΣΜΟΣ α'.

C

Αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι νοσήματα, καὶ ἐν τῇσι ὥρῃσιν αἱ μεγάλαι μεταβολαὶ, ἢ ψύξιος, ἢ θάλψιος, καὶ τἆλλα κατὰ λόγον οὕτως.

APHORISMVS I.

Tempestatum anni mutationes morbos potissimùm pariunt; & in ipsis anni tempestatibus magnæ mutationes aut frigoris, aut caloris, & ita pro ratione cætera.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μεταβολὰς ὡρῶν ἔνιοι νομίζουσι λέγεσθαι καθ' ἃς εἰς ἀλλήλας μεταβάλλουσιν, ὡς εἰ καὶ διαδοχὰς D τὰς μεταβολὰς εἰρήκει. Χειμῶνος μὲν γὰρ εἰς ἔαρ μεταβάλλοντος, ἡ γένεσίς ἐστι τῶν εἰρημένων νοσημάτων, ὑπὲρ ὧν αὐτὸς ἐφεξῆς ἐρεῖ. τοῦ μὲν γὰρ ἦρος τὰ μανικὰ, καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικά. Τοῦ δ' ἦρος πάλιν εἰς θέρος μεταβάλλοντος, ὅπερ ἐστὶν ἀρχομένου θέρους, πυρετοὶ συνεχεῖς, φησι, καὶ τριταῖοι, καὶ καῦσοι, καὶ τἆλλα ὅσα τούτοις ἐφεξῆς κατέλεξε. καὶ περὶ φθινοπώρου δὲ, καὶ χειμῶνος ὁμοίως ἔγραψεν, ὥς φασιν οἱ τὰς μεταβολὰς ἐν ἴσῳ τῷ διαδοχὰς ἡγούμενοι E λέγεσθαι· ἀλλὰ τὸ μάλιστα, προσκείμενον ἐν τῇ λέξει τοῦ ἀφορισμοῦ, τὴν ἐξήγησιν ταύτην οὐ προσίεται. Μεταβαλλουσῶν γὰρ ἐνίοτε εἰς ἀλλήλας τῶν ὡρῶν, ὥσπερ ἔνια συνίσταται νοσήματα, κατὰ τὸν αὐτὸν τρόπον, καὶ λύεται· καὶ τοῦτο αὐτὸς εἴρηκεν ὁ Ἱπποκράτης· ὥστε οὐδὲν μᾶλλον αἱ διαδοχαὶ τῶν ὡρῶν τίκτουσι νοσήματα, ἀλλὰ καὶ τὸ, μάλιστα προστέθεικεν. ἄμεινον τοίνυν ἐστὶ, διὰ τὴν προσθήκην τήν τε μεταβολὰς ἀκούειν, τὰς κατὰ F τὴν κρᾶσιν αὐτῶν ἀλλοιώσεις. αὗται γάρ εἰσιν, αἱ μάλιστα τίκτουσαι νόσους, ὅταν ἐφεξῆς ἀλλοιώσεις ὦσι πλείους, ὡς ἐν ταῖς ἐπιδημίαις ἔγραψε, καὶ νῦν δ' ὀλίγον ὕστερον ἐρεῖ. ἡ δὲ μιᾶς ὥρας ἀλλοίωσις μόνης,

GALENI COMMENTARIVS.

Mvtationes tempor[ũ] nonnulli autumant dici, quibus inuicem commutantur, quasi successiones mutationes diceret. Nam hyeme ad ver transeunte fit dictorum morbor[ũ] generatio, de quibus ipse deinceps loquetur. Vere nanque maniæ, melancholiæ, & epilepsiæ. Veris autem rursum in æstatem mutatione, quod æstatis est initio, febres continuæ (inquit) & tertianæ, & ardentes, cæterique deinceps morbi quos connumerauit. Atque de autumno, ac hyeme similiter scripsit, vt inquiunt illi qui pro eodem mutationes & successiones accipi augurantur. Sed vox, potissimùm aphorismi textui addita hanc explicationem non admittit. Nam quemadmodùm interdum in mutuis tempestatum anni commutationibus quidam morbi generantur, eodem etiam modo soluuntur; & hoc ipse Hippocrates pronunciauit. Quare nihilo magis successiones tempestatum morbos pariunt, quàm soluunt. Quomodo igitur non sat fuit ipsi dicere: mutationes temporum morbos pariunt; sed & potissimùm addidit? Melius itaque fuerit propter hanc additionem, eas tempestatum mutationes intelligere, quæ pro ipsarum temperamento fiunt alterationes. Hæ siquidem sunt quæ potissimùm morbos pariunt, quum plures alia post aliam alterationes oboriuntur; quemadmodum in Epidemiis scripsit, & nunc etiam paulo post dicturus est. At verò vnius temporis solius alteratio

morbos quidem nonnullos efficit, non tamen potissimùm. A Quando igitur fiunt morbi potissimùm ex vnius tempestatis alteratione? Quum magnam alterationem esse contigerit; propterea nanque dicebat; & in ipsis tempestatibus magnæ mutationes, aut caloris, aut frigoris, aut alterius cujusdam, vt humiditatis aut siccitatis, ventorum, horumve silentij. Ipsa igitur est præsentis textus explicatio rectè prodita. Est & alter quidam ejusmodi textus; Mutationes temporum pariunt morbos maximos, potissimùm autem & in quibusdam temporibus magnæ mutationes; in quo nihil obscurum existit, iis præsertim qui ea audierunt, B quæ à me statim antea dicta fuerunt. Sunt denique quædam & aliæ hujus textus lectiones, quas iis quæ diximus concitatus intellexeris atque probaueris.

ἐργάζεται, μὲν νόσους τινὰς, ἀλλ' οὐ μάλιστα. A πότ' οὖν μάλιστα νόσοι γίνονται κατὰ μίαν ὥραν ἀλλοιωθεῖσαν; ὅταν συμβῇ μεγάλην ἔσεσθαι τὴν μεταβολὴν, καὶ διὰ τοῦτ' αὐτὸς εἶπεν ὁ Ἱπποκράτης. καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταβολαὶ, ἢ ψύξιος, ἢ θάλψιος, ἢ τινος τῶν ἄλλων, οἷον ὑγρότητος, ἢ ξηρότητος, ἢ πνευμάτων, ἢ ἀπνοιῶν. Αὕτη μὲν οὖν ἡ ἐξήγησις ὀρθῶς εἴρηται τῆς προκειμένης γραφῆς. Ἔστι δέ τις καὶ ἄλλη γραφὴ τοιάδε. αἱ μεταβολαὶ τῶν ὡρέων τίκτουσι νοσήματα μέγιστα· μάλιστα δὲ καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταβολαί. καθ' ἣν οὐδὲν ἐστιν ἀσαφὲς, καὶ μάλιστα B τοῖς ἀκηκοόσιν ὧν ἄρτι πέπαυμαι λέγων. εἰσὶ δὲ καὶ ἄλλαι τινὲς γραφαὶ τῆς αὐτῆς ῥήσεως, ἃς καὶ νοήσεις, καὶ δοκιμάσεις, ἐξ ὧν εἶπον ὁρμώμενος.

C Naturam hîc pro temperamento vsurpari; de temperamentorum speciebus; & naturas quasdam æstate, alias hyeme bene vel malè se habere.

C Τὴν φύσιν νῦν ἀντὶ τῆς κράσεως δέχεσθαι. περὶ τῶν κράσεων εἰδῶν. καὶ τὰς φύσεις τινὰς μὲν πρὸς θέρος, τινὰς δὲ πρὸς χειμῶνα καλῶς, ἢ κακῶς πεφυκέναι.

APHORISMVS II.

Naturarum quædam ad æstatem, aliæ ad hyemem bene aut malè se habent.

ΑΦΟΡΙΣΜΟΣ β'.

Τῶν φυσίων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα, εὖ ἢ κακῶς πεφύκασιν.

D GALENI COMMENTARIVS.

Naturas hîc appellauit Hippocrates in maximè propria ac primaria significatione, quæ secundùm ipsam maximè substantiam naturæ est. Dicebamus autem in præcedentibus ipsam esse temperamentum ex quatuor elementis humido, sicco, calido, & frigido. In libris quoque de temperamentis demonstratum est vnum quidem esse temperamentum eucratum temperatum, idque optimum; E dyscrata verò, intemperata, eaque praua, octo numero; quatuor quidem vnica prædominante qualitate; quatuor verò alia, duabus qualitatibus. Atque vna quidem prædominante, calida, frigida, sicca, humida; duabus verò superantibus calida & sicca; calida & humida; frigida & humida; frigida & sicca. Ad æstatem itaque frigidæ & humidæ naturæ optimè afficiuntur; ad hyemem verò calidæ & siccæ; quemadmodum calidæ & siccæ per æstatem, frigidæ & humidæ per hyemem malè afficiuntur. Perfectissimè igitur hæ naturæ ad F dicta tempora optimè, ac pessimè afficiuntur; mediocriter afficiuntur quæ aliquo modo à temporibus aut juuantur aut læduntur; sicuti humida & calida, æstate & hieme; quoniam æstate quidem vt humida, hyeme verò vt calida meliùs afficitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φύσεις εἴρηκε νῦν ὁ Ἱπποκράτης, κατὰ τὸ κυριώτατόν τε, καὶ πρῶτον σημαινόμενον, ὃ καθ' αὐτὴν μάλιστα τὴν οὐσίαν ἐστὶ τῆς φύσεως. Ἐλέγομεν δὲ ἐν τοῖς ἔμπροσθεν, αὐτὴν κρᾶσιν εἶναι τῶν τεσσάρων στοιχείων, ὑγροῦ καὶ ξηροῦ, καὶ θερμοῦ, καὶ ψυχροῦ. καὶ μέντοι καὶ δέδεικται πρὸς ἡμῶν ἐν τοῖς περὶ κράσεων· μία μὲν κρᾶσις ἡ E εὔκρατός τε, καὶ ἀρίστη, δύσκρατοι δὲ καὶ μοχθηραὶ, τὸν ἀριθμὸν ὀκτώ. τέσσαρες μὲν κατὰ μίαν ἐπικρατοῦσαν ποιότητα, τέσσαρες δὲ ἄλλαι κατὰ δύο. κατὰ μίαν μὲν, ἡ θερμὴ καὶ ψυχρὰ, καὶ ξηρὰ, καὶ ὑγρά· κατὰ δύο δὲ, ἡ θερμὴ καὶ ξηρὰ, καὶ ὑγρὰ καὶ θερμὴ, καὶ ψυχρὰ καὶ ὑγρὰ, καὶ ψυχρὰ καὶ ξηρά. Πρὸς μὲν δὴ τὸ θέρος, αἱ ψυχραὶ καὶ ὑγραὶ φύσεις ἄριστα διάκεινται, πρὸς χειμῶνα δὲ, αἱ θερμαὶ καὶ ξηραί. Καθάπερ γε καὶ κακῶς, αἱ μὲν θερμαὶ καὶ ξηραὶ πρὸς θέρος, αἱ δὲ ψυχραὶ καὶ ὑγραὶ πρὸς χειμῶνα. Τελεώτατα μὲν οὖν αἱ φύσεις αὗται πρὸς τὰς εἰρημένας ὥρας, ἄριστά τε καὶ χείριστα διάκεινται. μετρίως F δὲ, αἱ καθ' ὁτιοῦν, ἢ ὠφελούμεναι πρὸς τὰς ὥρας, ἢ βλαπτόμεναι. καθάπερ ἡ ὑγρὰ καὶ θερμὴ, θέρους καὶ χειμῶνος, ἐπειδὴ κατὰ τὸ θέρος μὲν, ὡς ὑγρὰ, βέλτιον διατίθεται, κατὰ δὲ τὸν χειμῶνα πάλιν, ὡς θερμή.

A

Ὅτι νόσοι καὶ αἱ ἡλικίαι πρὸς τὰς ὁμοίας κατὰ κρᾶσιν, τὰς ὥρας, καὶ χώρας, καὶ διαίτας κακῶς διάκεινται· πρὸς τὰς δ' ἐναντίας, καλῶς.

Morbos & ætates à similibus temperamento, anni tempestatibus, regionibus, & diætis male affici, à contrariis verò bene.

ΑΦΟΡΙΣΜΟΣ γ'.

Τῶν νούσων ἄλλαι πρὸς ἄλλας, εὖ ἢ κακῶς πεφύκασι· καὶ ἡλικίαι τινὲς πρὸς ὥρας, καὶ χώρας, καὶ διαίτας.

APHORISMVS III.

B *Morborum alij ad alia benè vel malè se habere consueuerunt, & quædam ætates ad tempestates, & regiones, & victus rationes.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀτακτότερον ἑρμηνευκέναι μοι δοκεῖ τὸν ἀφορισμὸν τοῦτον ὁ Ἱπποκράτης. ἄμεινον γὰρ ἂν οὕτως εἴρητο, τῶν νούσων, καὶ τῶν ἡλικιῶν, ἄλλαι πρὸς ἄλλας ὥρας, καὶ χώρας, καὶ διαίτας, εὖ καὶ κακῶς πεφύκασι. C νόσοι μὲν οὖν εὖ πεφύκασι πρὸς ὥρας, ὡς μὲν πρὸς γένεσιν, αἱ ὅμοιαι. ὡς δὲ πρὸς λύσιν, αἱ ἐναντίαι. διώρισται γὰρ ἡμῖν ὑπὲρ τοῦδε πρόσθεν ἡνίκα ἐξηγούμεθα τὸν ἀφορισμὸν, οὗ ἡ ἀρχή, ἐν τῇσι νούσοισιν, ἧσσον κινδυνεύουσιν, οἷς ἂν οἰκείη τῆς φύσεως. ἡλικίαι δὲ, ὥσπερ καὶ φύσεις, αἱ ψυχραὶ μὲν πρὸς θερμὰς, αἱ δὲ θερμαὶ πρὸς ψυχράς. ἡ μὲν τῶν γερόντων πρὸς θέρος, ἡ δὲ τῶν ἀκμαζόντων πρὸς χειμῶνα. Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ πρὸς τὰς χώρας, οὐχ αἱ νοῦσοι D μόνον, ἀλλὰ καὶ αἱ ἡλικίαι διάκεινται. γίνονται γὰρ μᾶλλον ἐν ταῖς θερμοτέραις χώραις, αἱ θερμαὶ νοῦσοι, καὶ ἧσσόν εἰσι κινδυνώδεις. ὑγιαίνουσί τε, μᾶλλον ἐν ταῖς ψυχροτέραις χώραις, αἱ θερμότεραι τῶν ἡλικιῶν, ἐπί τε τῶν ἄλλων ἀνάλογον. οὕτω δὲ καὶ πρὸς διαίτας, ἄλλαι πρὸς ἄλλας εὖ καὶ κακῶς διάκεινται, νοῦσοί τε καὶ ἡλικίαι. Αἱ μὲν γὰρ θερμότεραι πρὸς τὰς ψυχροτέρας, αἱ δὲ ψυχρότεραι, πρὸς τὰς θερμοτέρας. καὶ αἱ μὲν ξηρότεραι πρὸς τὰς ὑγροτέρας, αἱ δὲ ὑγρότεραι πρὸς τὰς ξηροτέρας εὖ διάκεινται. καὶ ἁπλῶς εἰπεῖν, αἱ μὲν ἐναντίαι, πρὸς τὰς ἐναντίας καλῶς· κακῶς δὲ αἱ ὅ- E μοιαι πρὸς τὰς ὁμοίας. Πλὴν εἰ ἡ σύμμετρος ἡλικία συμμέτρῳ παραβάλλοιτο διαίτῃ τε, καὶ ὥρᾳ, καὶ χώρᾳ. μόνον γὰρ οὕτως ὑπὸ τῶν ὁμοίων, αἱ ὅμοιαι καλῶς διακείσονται. Ταῖς δ' ἀμετρότερον ἐχούσαις ἡλικίαις κατὰ τὴν κρᾶσιν, αἱ ἐναντίαι χῶραι, καὶ ὧραι, καὶ δίαιται συμφορώτεραι. Τῶν νόσων δ' ἀμετριῶν οὐσῶν ἁπάντων, ἡ γένεσις μὲν ἐν ταῖς ὁμοίαις ὥραις, καὶ χώραις, ἡ λύσις δ' ὑπὸ τῶν ἐναντίων γίνεται.

GALENI COMMENTARIVS.

INordinatiùs hunc aphorismum extulisse mihi videtur Hippocrates: Melius enim vtique ita dixisset; morbi & ætates, alij ad C alia tempora, & loca, & victus genera bene maléve se habent. Morbi igitur bene se habent ad tempora quod ad sui quidem generationem attinet, similes; quòd ad solutionem verò, contrarij: Id enim à nobis superiùs definitum est, quum aphorismum illum explicaremus, cujus initium est: *In morbis parciùs periclitantur, quorum naturæ proprius.* Ætates autem, quemadmodum & naturæ frigidæ quidem ad calida; calidæ verò ad frigida *tempora bene se habent.* Senum quidem ætas ad æstatem; juuenum verò ad hyemem *habent meliùs.* Eadem ratione à locis quoque non morbi tan- D tum; sed etiam ætates afficiuntur. Nam morbi calidi in locis calidioribus magis procreantur, minúsque periculosi sunt; salubriúsque degunt in frigidis regionibus ætates calidiores, & in aliis ad proportionem. Sic verò & ad victus genus, alij ad aliud bene, maléve se habent tum morbi, tum ætates. Nam calidiores ad frigidiorem victum; frigidiores ad calidiorem; & sicciores ad humidiorem; humidiores ad sicciorem bene se habent. Et vt simpliciter dixerim, contrarij quidem ad contrarium victum, similes autem ad similes malè habent; præterquam si ætas commoderata & E victui, & regioni, & loco temperatiori comparetur: hoc enim solo modo similes à similibus bene afficientur. Quæ verò immoderatiùs à temperie recesserint ætates, iis temperamento contraria loca, tempora, & victus genera magis conferunt. Quum verò omnes morbi ametriæ quædam sint, eorum quidem à similibus locis, ac temporibus ortus est, à contrariis verò solutio.

A

Diuersas eodem die caloris & frigoris mutationes autumnalium morborum esse causas.

Ταῖς τῆς αὐτῆς ἡμέρας, τοῦ θάλπεος, καὶ τοῦ ψύχεος μεταπτώσεις τῶν φθινοπωρινῶν νοσημάτων εἶναι αἰτίας.

APHORISMVS IV.

QVum per anni tempestates eodem in die modò calor, modò frigus oboriatur, autumnales morbi expectandi sunt.

ΑΦΟΡΙΣΜΟΣ δ'.

Ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος ποιέῃ, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή.

B

GALENI COMMENTARIVS.

MErito sanè; non enim tempestatum appellationes; sed temperaturæ morborum causæ sunt. Quum itaque ipsæ diuersè immutantur, morbos quoque diuersos parturire necesse est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δεόντως· οὐ γὰρ αἱ προσηγορίαι τῶν ὡρῶν, αἴτιαι τῶν νοσημάτων, ἀλλ' αἱ κράσεις εἰσίν. ὅταν οὖν αὗται μεταπέσωσιν, ἀναγκαῖόν ἐστι συμμεταπίπτειν καὶ τὰ νοσήματα.

C

Morbi ab austris & aquilonibus procreati, eorumque causæ.

Τὰ κατὰ βορέους τε, καὶ νότους γινόμενα· καὶ τούτων αἰτίαι.

APHORISMVS V.

AVstri auditus hebetudinem, visus caliginem, capitis grauitatem, torporem, ac resolutionem excitant; quum hi imperium habuerint, ista in morbis patiuntur. Atsi aquilonia tempestas fuerit, tusses, faucium D *asperitates, alui duræ, vrinæ stillicidia, horrores, laterum & pectoris dolores oboriuntur. Hoc itaque dominante talia in morbis expectanda sunt.*

ΑΦΟΡΙΣΜΟΣ ε'.

Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοί, νωθροί, διαλυτικοί· ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀρρωστίῃσι πάσχουσι. ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραί, δυσουρίαι, φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσι ἀρρωστίῃσι προσδέχεσθαι χρή.

GALENI COMMENTARIVS.

REi quidem effectum declarauit his verbis; quòd austri auditus hebetudinem, visus E caliginem, capitis grauitatem, torporem, ac resolutionem excitant; causam verò his ascriptis indicauit; quum hi imperium habuerint in morbis talia patiuntur: Semper enim Medicum id distinguere ac separare oportet, quod propter externam aliquam causam, non ratione morborum accidit, vt accuratiùs prænotiones moliatur. Quam verò ob causam austri grauiorem auditum, & visum caliginosum efficiant, difficile non est ex ipsius temperamento intelligere, quum calida & humida sit natura. Etenim ejusmodi omnia caput F replent; proindéque sensuum instrumenta plurima implent humiditate; & capitis grauitatem efficiunt. Humefacto autem neruorum principio, necesse est & circa voluntarios motus stuporem euenire, ac veluti in seipso languidum solutumque hominem conspici. Contra verò in aquiloniis (vt ipse dicturus est in-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν οὖν γινόμενον ἐδήλωσεν, εἰπών, ὅτι νότοι βαρυήκοοι, ἀχλυώδεις, καρηβαρικοί, νωθροί, διαλυτικοί. τὴν δὲ αἰτίαν προσέγραψας, ὅταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσι ἀρρωστίῃσι πάσχουσιν. Ἀεὶ γὰρ χρὴ τὸν ἰατρὸν ἀποχωρίζειν τε, καὶ διακρίνειν, ὃ διά τι τῶν ἔξωθεν, οὐ διὰ τὰς νόσους γεγονός, ἵνα καὶ τοῦ διὰ τὰς νόσους γεγονότος τὰς προγνώσεις ἀκριβεστέρας ποιῆται. Τὴν δὲ αἰτίαν, δι' ἣν οἱ νότοι βαρυηκοΐαν ποιοῦσι, καὶ ἀχλυώδη τὴν ὄψιν, οὐ χαλεπὸν ἐκ τῆς κράσεως αὐτοῦ κατανοῆσαι, θερμοῦ καὶ ὑγροῦ τὴν φύσιν ὑπάρχοντος. πάντα γὰρ τὰ τοιαῦτα πληρωτικὰ τῆς κεφαλῆς εἰσι, διὰ τοῦτ' οὖν τά τε τῶν αἰσθήσεων ὄργανα μετὰ πολλῆς ὑγρότητος ἀποφαίνουσι, καὶ καρηβαρείας ἐργάζονται. τῆς δὲ ἀρχῆς τῶν νεύρων ὑγρασμένης, ἀναγκαῖόν ἐστι καὶ περὶ τὰς καθ' ὁρμὴν ἐνεργείας γίνεσθαι νωθρότητα, καὶ ὥσπερ διαλελυμένον ἐν ἑαυτῷ φαίνεσθαι τὸν ἄνθρωπον. ἐξ ὑπεναντίου δὲ πάλιν ἐν τοῖς βορείοις, ὡς αὐτὸς ἐρεῖ κατω-

τέρῳ, συνίσταται) τὰ σώματα, καὶ εὔτονα, εὐκίνητα, καὶ εὐηκοώτερα γίνεται). νυνὶ δὲ οὐκ ἀντέθηκε ταῦτα τοῖς ὑπὸ τοῦ νότου περὶ τὸ σῶμα συμβαίνουσιν, ἐπειδὴ κατὰ τὸν ἀφορισμὸν τοῦτον, αὐτῷ περὶ τῆς ἐξ ἑκατέρων τῶν ἀνέμων βλάβης διελθεῖν προὔκειτο μόνον, ἵν' εἰδότες ταῦτα, ἀποχωρίζωμεν ὅσα διὰ τὰς νόσους συμβαίνει. Ἐν τοῖς βορείοις οὖν, φησι, γίνονται βῆχες, διὰ δυσκρασίαν δηλονότι τῶν ἀναπνευστικῶν ὀργάνων, καὶ διὰ τὴν τραχύτητα τῆς φάρυγγος, ὑπὲρ ἧς ἐνεδείξατο προσθεὶς, τὸ φάρυγγες, ἵνα προσυπακούσωμεν τὸ, πίσχουσι· καὶ γὰρ καὶ οὕτως εἴωθεν ἑρμηνεύειν ἐνίοτε· μετ' ὀλίγα οὖν ἐρεῖ τοῦ μὲν φθινοπώρου, καὶ θερινὰ τὰ πολλὰ, πυρετοὶ τεταρταῖοι, καὶ πλανῆτες, καὶ σπλῆνες. ἔνεστι δὲ καὶ συνάπτοντας ἀναγινώσκειν ἅμα τὰ δύο. φάρυγγες, κοιλίαι σκληραὶ, καθάπερ ἔνιοι τῶν ἐξηγητῶν ἠξίωσαν. Αἵ τε γὰρ φάρυγγες, ἐν ταῖς βορείαις καταστάσεσι γίνονται σκληραὶ, διὰ τὸ ξηραίνεσθαί τε καὶ ψύχεσθαι, καὶ ἡ γαστὴρ ἡ κάτω, σκληρὰ διαχωρεῖ, διά τε τὴν κρᾶσιν τῆς καταστάσεως ἐπὶ ξηρότερον ῥέπουσαν, ὅλου τοῦ σώματος ξηραινομένου, καὶ μᾶλλον ἕλκοντος εἰς ἑαυτὸ τὰς ἐκ τῶν σιτίων ὑγρότητας. οὐ μὴν ἀλλὰ καὶ διά τε χρόνῳ πλείονι μένοντα, καὶ μὴ διαχωρούμενα πάντα ἐξικμάζεται. καὶ αἱ δυσουρίαι δὲ γίνονται τῆς κύστεως βλαπτομένης ἐν τῷ βορρᾷ, διὰ τὴν ψύξιν ἄναιμός τε γάρ ἐστι ψυχρὰ, καὶ διὰ ταῦτα πλέον, ἢ τἆλλα μόρια τοῖς ψυχροῖς αἰτίοις εὐάλωτα. ἡ αὐτὴ δὲ τοῦ βορρᾶ ψυχρότης, καὶ τὰς τοῦ θώρακος ὀδύνας ἐργάζεται τῇ κοινῇ πρὸς τἆλλα μόρια βλάβῃ, καὶ τὴν ἐκ τῆς ἀναπνοῆς αὐτοῦ προσειληφότος, ἣ τις οὐχ ὁμοίως ἅπτεται πνεύμονός τε, καὶ καρδίας, διὰ τὸ πλῆθος τῆς ἐν αὐτοῖς θερμασίας. Τὸ δὲ φρικώδεις γίνεσθαι τοὺς ἀνθρώπους ἐν ταῖς βορείαις καταστάσεσι, πρόδηλον ὡς διὰ τὴν τοῦ περιέχοντος ἀκόλουθον κρᾶσιν.

feriùs) corpora coguntur, robusta, vegeta, ad A motus promptiora, & auditu valentiora redduntur. Nunc verò hæc non opposuit ab austro corpori oborientibus, quoniam hoc aphorismo de læsione tantummodò quæ ex vtroque accidit vento, differere proposuit; vt his cognitis, quæ ex morbis accidunt, separemus. In aquiloniis igitur, inquit, tusses oboriuntur, propter videlicet instrumentorum respirationi seruientium intemperiem & propter faucium asperitatem; de qua nobis se loqui ostendit, quum, *fauces*, addidit, vt inde subintelligeremus, patiuntur. Nam interdum hoc modo B loqui consueuit. Paulò post enim dicet; Autumno æstiui multi morbi & febres quartanæ, & erraticæ, & lienum tumores. Possumus & coniunctim ista legere, fauces, alui duræ, vt nonnulli augurantur interpretes. Fauces enim aquiloniis constitutionibus duræ fiunt, quoniam tum exsiccantur, tum refrigerantur, ventérque inferior dura dejicit, tum propter temporis constitutionem ad siccius temperamentum vergentem, toto siccescente corpore, & auidiùs ad se obortas ex cibis humiditates C trahente; tum etiam quia longiori tempore retenta excrementa nec permeantia tota exucta arescunt. Dysuriæ etiam accidunt, læsa aquilonis frigore vesica; est enim tum exanguis, tum frigida, proptereáque causis frigidis patens plus quàm cæteræ partes ab ipsis afficitur. Idem boreale frigus etiam thoracis tum dolores efficit communi aliis partibus læsione, tum proprium ipsius partis dolorem consequutæ, qui non peræquè pulmonem & cor attingit ob caloris ipsarum partium copiam. Homines verò ab aquilonio flatu horridos fieri produnt D consentaneæ ambientis aëris temperaturæ.

Τὸ θέρος θερμὸν καὶ ὑγρὸν ἐν τοῖς πυρετοῖς τοὺς ἱδρῶτας πολλοὺς ποιεῖν τε, καὶ σημαίνειν.

Æstatem calidam & humidam in febribus copiosos sudores excitare, ac portendere.

ΑΦΟΡΙΣΜΟΣ ϛ'.

Ὁκόταν θέρος γίνηται ἦρι ὅμοιον, ἐν τοῖσι πυρετοῖσιν ἱδρῶτας πολλοὺς προσδέχεσθαι χρή.

APHORISMVS VI.

E *Qvum æstas veri similis fuerit, in febribus copiosi sudores expectandi sunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ ὀλίγον ἔμπροσθεν ἔλεγεν· ὅταν τῆς αὐτῆς ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος ποιέῃ φθινοπωρινὰ τὰ νοσήματα δεῖ προσδέχεσθαι, οὕτω νῦν πάλιν, ὅταν θέρος ὅμοιον γένηται ἦρι, τουτέστι, σύμμετρον τῇ κράσει, προσδέχεσθαί φησι χρῆναι πολλοὺς ἱδρῶτας ἐν τοῖς πυρετοῖς εἰκότως. οὔτε γὰρ ἄνευ τοῦ θερμὸν εἶναι τὸ περιέχον, ἱδρῶτες δύνανται γίνεσθαι πολλοὶ, οὔτ' ἄνευ τοῦ περιέχεσθαί τινα ὑγρότητα περιττὴν ἐν τῷ σώματι. τούτων δὲ, τὸ μὲν ἕτερόν ἐστιν, ἐν τῷ θέρει, τὸ δ' ἕτερον ἐν τῷ χει-

GALENI COMMENTARIVS.

Qvemadmodum paulò ante dicebat; quum eodem die modò calor, modò frigus accidit, morbos autumnales expectare oportet: sic nunc rursùs, Quum æstas sit verisimilis, hoc est, temperamento commoderata, expectare, F inquit, oportet multos sudores in febribus, ratione optima. Nam sine aëris nos ambientis calore, & nisi aliqua redundans humiditas in corpore contineatur, multi sudores fieri nequeunt. Horum primum æstate, alterum hyeme, neutrum autumno, vtrumque vere oboritur.

ritur. Decenter igitur æstas quæ sit arida satis, humiditatem absumit discutitque. Similis auté veri per calorem quidem ad cutim attrahit; sed præ humiditate in vaporis speciem discutere non potest. Morborum itaque crisibus dum tota humiditas affatim excernitur, multos sudores efficit.

A

μένη. Κατὰ δὲ τὸ φθινόπωρον, ὑστέρῳ, ἄμφω δὴ ἐν τῷ ἦρι. δέοντος οὖν, τὸ μὲν αὐχμηρὸν ἱκανῶς θέρος, δαπανᾷ τε, καὶ διαφορεῖ τὴν ὑγρότητα. τὸ δ' ὅμοιον ἦρι, διὰ μὲν τὴν θερμασίαν, ἕλκει πρὸς τὸ δέρμα, διὰ δὲ τὴν ὑγρότητα, διαφορεῖν ἀτμοειδῶς οὐ δύναται. ἀθρόως οὖν ἐν ταῖς τῶν νόσων κρίσεσι τὸ ὑγρὸν ἅπαν ἐκκρινόμενον, ἱδρῶτας πολλοὺς ἐργάζεται.

Sicco tempore, febres acutas; humido, diuturnos morbos procreari.

B

Τοὺς κατὰ τὴν ξηρότητα τῆς ὥρας πυρετοὺς ὀξέας, τοὺς δὲ κατὰ τὴν ὑγρότητα νόσους μακρὰς γίνεσθαι.

APHORISMVS VII.

PEr squalores febres acutæ fiunt. Quodsi annus magna ex parte talis extiterit qualem temporis statum effecerit, tales plerunque morbos expectare oportet.

ΑΦΟΡΙΣΜΟΣ ζ'.

ΕΝ τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίνονται, καὶ ἢν μὲν ἐπὶ πλέον ἢ τὸ ἔτος τοιοῦτον ἐὸν, ὁκοίην καὶ τὴν κατάστασιν ἐποίησεν, ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

GALENI COMMENTARIVS.

C

NOn multas ait oboriri febres siccitatibus, sed acutas; quoniam paulo post dicturus est; *Ex anni constitutionibus in vniuersum dixerim siccitates imbribus longè salubriores, minusque lethales.* Rursum illud deinceps conjungens pronunciabit: *Per assiduos imbres morbi plerunque generantur, & febres longæ* decenter profecto: nam ambientis humiditas pituitosos humores congerit, neque aquosa excrementa pauca accumulat; siccitas verò copiâ quidem pauciores humores; sed qualitate biliosiores efficit, ac proinde febres numero quidem iis sunt pauciores quæ per assiduos imbres oboriuntur; sed acutiores. Quæ verò deinceps in aphorismo dicuntur, manifesta sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ πολλοὺς πυρετοὺς ἐν τοῖς αὐχμοῖς γίνεσθαί φησιν, ἀλλ' ὀξέας, ἐπεί τοί γε μετ' ὀλίγον ἐρεῖ· τῶν δὲ καταστάσιων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβρειῶν μᾶλλόν εἰσιν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες, καὶ τοῦτο ἐφεξῆς συνάπτων πάλιν ἐρεῖ· νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρείῃσιν, ὡς τὰ πολλὰ γίνονται, πυρετοί τε μακροὶ, δεόντως. ἡ μὲν γὰρ ὑγρότης τοῦ περιέχοντος, τούς τε φλεγματώδεις ἀθροίζει χυμοὺς, καὶ τῶν ὑδατωδῶν περιττωμάτων οὐκ ὀλίγα. ἡ δὲ ξηρότης, ἐνδεεστέρους μὲν τῷ πλήθει τοὺς χυμοὺς ἐργάζεται.

D

Χολωδεστέρους δὲ τῇ ποιότητι· καὶ διὰ τοῦτο, οἱ πυρετοὶ τὸν ἀριθμὸν μέν εἰσιν ἐλάττους τῶν ἐν ταῖς ἐπομβρείαις, ὀξύτεροι δὲ γίνονται. τὰ δ' ἑξῆς τούτων εἰρημένα κατὰ τὸν ἀφορισμὸν, δῆλα.

De morborum tempestiuorum, iudicatu facilium; ac contra intempestiuorum, malè moratorum, ac iudicatu difficilium, ortu & causis.

E

Περὶ τῆς τῶν νοσημάτων εὐσταθῶν καὶ εὐκρινήτων, καὶ πάλιν ἀκαταστάτων καὶ δυσκρίτων γενέσεως καὶ αἰτιῶν.

APHORISMVS VIII.

SI statis temporibus tempestiuè anni tempestates succedant, morbi bene morati & iudicatu faciles oriuntur. Malè verò constitutis, male morati, ac intempestiui difficilisque iudicii.

ΑΦΟΡΙΣΜΟΣ η'.

ΕΝ τῇσι καθεστεώσῃσι καιροῖσι, ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, εὐσταθέες, καὶ εὐκρινέσταται γίνονται αἱ νοῦσοι. ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι.

F

GALENI COMMENTARIVS.

STata tempora vocitant anni tempestates ordinatim proprium temperamentum sortitas. Quem verò statum annum appellet, ab

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑθεστῶτας καλεῖται καιροὺς, τὰς ὥρας τὰς ἐν τάξει τὴν οἰκείαν κρᾶσιν ἀπειληφυίας. Τίνα δὲ καθεστῶτα

καλεῖ τὴν ἐτῶν, ἔνεστί σοι μαθεῖν παρ' αὐτοῦ λέγοντος ἐν τοῖς περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων, ὧδε. ἢν μὲν κατὰ λόγον γένηται, τὰ σημεῖα ταῦτ' ἐπὶ τοῖσι ἄστροις δύνουσί τε, καὶ ἐπιτέλλουσι, ἔν τε τῷ μετοπώρῳ, ἢν ὕδατα γένηται, καὶ ὁ χειμὼν μέτριος, καὶ μήτε λίαν εὔδιος, μήτε ὑπερβάλλων τὸν καιρὸν τῷ ψύχει, ἔν τε τῷ ἦρι γένηται ὕδατα ὡραῖα, καὶ ἐν τῷ θέρει, οὕτω τὸ ἔτος ὑγιεινότατον εἰκὸς ὑπάρχειν. Ὁπότ' οὖν ἤδη μεμάθηκας, ὁποῖόν τι τὸ καθεστὸς ἔτος εἶναι βούλεται, ῥᾷστόν σοι νοῆσαι τὸ ἀκατάστατον. Ἅπαντα γὰρ ὅσα μὴ φυλάττῃ κατά τι, τὴν τοῦ καθεστῶτος ἔτους ἀγωγήν, αὐτά τε καλεῖ νῦν καὶ Ἱπποκράτης ἀκατάστατα, καὶ τὰς ἐν αὐτοῖς νόσους ὁμοίως προσαγορεύει. Φησὶ δ' αὐτὰς καὶ δυσκρίτους εἶναι, τουτέστι κακοκρίτους. ἢ γὰρ μετὰ κινδυνωδῶν συμπτωμάτων αἱ κρίσεις γίνονται τοῖς τοιούτοις νοσήμασιν, ἢ αὐτίκα ὀλέθριοι, ἢ πάντως ὑποτροπιάζουσιν.

A ipso tibi licet discere in libro de aëre, locis, & aquis ita pronunciante ; si sanè in sydervm ortu & occasu rationi consona signa appareant, si autumni postremo imbres fiant, si hyems moderata sit, neque nimis tepens, neque frigore tempus legitimum excedens, si vere & æstate imbres tempestiui decidant, sic annum fore saluberrimum par est. Quum itaque iam didiceris quem statum annum aut constantem esse velit, facile est etiam instabilem & inconstantem intelligere. Nam quæcunque tempora aliqua ex parte stati anni moderationem non seruarint, ea nunc Hippocrates instabilia & intempestiua vocitat ; & B qui in ipsis oboriuntur morbi, eos similiter instabiles & intempestiuos appellat. Ait autem ipsos difficilis, hoc est, praui esse judicij. Aut enim cum periculosis symptomatis crises in morbis eueniunt, aut quamprimum perniciosi sunt, aut omnino reuertuntur.

Κατὰ φθινόπωρον τὰς νόσους ὀξυτάτας καὶ θανατωδεστάτας γένεσθαι· ἦρ δὲ ὑγιεινότατον εἶναι.

C Autumno morbos acutissimos ac lethales oboriri ; ver autem saluberrimum esse.

ΑΦΟΡΙΣΜΟΣ θ'.

ΕΝ φθινοπώρῳ, ὀξύταται αἱ νόσοι, καὶ θανατωδέσταται ὡς ἐπίπαν· ἦρ δὲ ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες.

το

APHORISMVS IX.

AVtumno in vniuersum morbi acutissimi, & maximè lethales : ver autem saluberrimum & minime exitiale.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΠότων αἱ ὧραι τὴν προσήκουσαν ἅπασαν φυλάττωσι κρᾶσιν, ὑγιεινότατον μὲν ἐν αὐταῖς ἔσται τὸ ἔαρ, ὡς ἂν εὔκρατον ὄν. Ὀξυτάτας δὲ νόσους, καὶ θανατώδεις, ὡς ἐν ὥραις, οἴσει τὸ φθινόπωρον, ἐπειδὴ τὸ μὲν ἔαρ εὔκρατόν ἐστι. Τὸ δὲ φθινοπώρῳ πρῶτον μὲν ὑπάρχει, τὸ, τῆς αὐτῆς ἡμέρας, ὁτὲ δὲ μὲν θάλπος, ὁτὲ δὲ ψύχος ἴσχειν· εἶτα διαδέχεται τὴν θερινὴν ὥραν, ἐν ᾗ πολλοῖς μὲν, οἱ χυμοὶ κατωπτήθησαν, ἐνίοις δὲ, καὶ ἡ δύναμις ἔκαμεν. οὐ μόνον δὲ κατὰ τοῦτο μοχθηρόν ἐστι τὸ φθινόπωρον, ἀλλὰ καὶ ὅτι πρότερον μὲν, οἱ χυμοὶ τὴν ἐπὶ τὸ δέρμα κίνησιν ἐκινοῦντο, καὶ διεπνέοντο· κατὰ δὲ τὸ φθινόπωρον, εἰς τὸ βάθος, ὑπὸ τῆς τοῦ περιέχοντος ψύξεως, ὠθοῦνταί τε, καὶ συνελαύνονται. Ταῦτα μὲν οὖν ἅπασιν ἀνθρώποις κοινά, τοῖς δ' οὐκ ὀρθῶς διαιτωμένοις ἐξ ἐπιμέτρου προσέρχεται, τὸ κατὰ τὰς ὀπώρας, ὧν ἀφθόνως ἐμπιπλάμενοι, κακοχυμίας πληροῦνται.

D GALENI COMMENTARIVS.

QVum anni tempestates consentaneum seruant totum temperamentum, ver quidem earum erit saluberrimum prout temperatum existit, morbos autem acutissimos atque lethales, pro tempestatum ratione autumnus aduecturus est, quoniam ver quidem probè temperatum est ; Autumno verò hoc imprimis inest *mali*, quod eodem die modò calorem, modo frigus proferat ; deinde quòd æstiuam tempestatem excipiat, in qua plerisque humores quidem assati fuerunt, quibusdam verò etiam vires prostratæ. E At non solùm hac ratione autumnus prauus est, verumetiam quòd qui priùs ad cutim humores mouebantur, atque perspiratu discutiebantur, per autumnum ab ambientis aëris frigore in altum propellantur, coganturque. Atque hæc omnibus hominibus sunt communia. Sed prauo victu vtentibus ampliùs accedunt autumnales fructus, quibus copiosius impleti prauorum humorum copiam accumulant.

A

Tabidis autumnum esse inimicum; & qui tabidi sint.

Τοῖς φθίνουσι τὸ φθινόπωρον εἶναι πολέμιον· καὶ οἵτινες φθίνοντές εἰσι.

APHORISMVS X.

ΑΦΟΡΙΣΜΟΣ ι΄.

AVtumnus tabidis malum.

ΤΟ φθινόπωρον τοῖσι φθίνουσι κακόν.

GALENI COMMENTARIVS.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

SVperiore quidem aphorismo aliàs autumnum, nunc autem vt ipsis tabidis noxium rursum vituperat. Vtrùm verò phthoe laborantes solos tabidos nominet, quibus nimirum pulmo exulceratus est, an omnes quomodocunque colliquefactos conijcere non possumus. Autumnum autem vtrisque malum esse, quum simul siccus ac frigidus & inæqualis existat, apertum est.

ΕΜέμφετο μὲν καὶ ἄλλως τὸ φθινόπωρον ἐν τῷ πρόσθεν ἀφορισμῷ, νυνὶ δὲ ὡς ἐξαιρέτως αὐτοὺς βλάπτον τοὺς φθίνοντας, αὖθις μέμφεται. Πότερον δὲ τοὺς φθόην νοσοῦντας μόνους ὀνομάζει φθίνοντας, οἷς ἥλκωται δηλονότι ὁ πνεύμων, ἢ πάντας τοὺς ὁπωσοῦν τοὺς συντηκομένους, οὐχ οἷόν τε ἀμφιβάλλειν. ὅτι δὲ ἀμφοτέροις κακὸν τὸ φθινόπωρον, δῆλον, ἐπειδὴ ξηρόν τέ ἐστιν ἅμα, καὶ ψυχρὸν, καὶ ἀνώμαλον.

C

Qui morbi æstate hyemem siccam & aquiloniam; & ver humidum & australe sequente grassaturi sint, vt febres acutæ, opthalmiæ, dysenteriæ, ac de eorum & similium causis.

Τίνα νοσήματα τὰ κατὰ θέρος τῷ χειμῶνι αὐχμηρῷ καὶ βορείῳ, καὶ τῷ ἦρι ὑγρῷ, καὶ νοτίῳ ἑπόμενον ἐπιδημησόμενα, ὡς πυρετοὶ ὀξεῖς, καὶ ὀφθαλμίαι, καὶ δυσεντερίαι. καὶ περὶ τούτων, καὶ ὁμοίων αἰτιῶν·

APHORISMVS XI.

ΑΦΟΡΙΣΜΟΣ ια΄.

INter anni tempestates, si hyems sicca quidem & aquilonia fuerit; ver autem pluuiosum & austrinum, febres acutas, lippitudines, & dysenterias ad æstatem oboriri necesse est, præsertim verò mulieribus ac viris humidiore natura præditis.

D

ΠΕρὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον, καὶ νότιον, ἀνάγκη τοῦ θέρεος, πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα δὲ τῇσι γυναιξὶ, καὶ ἀνδράσι τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

DE tempestatum anni variatione ac mutatione agit hic aphorismus, ab hyeme quidem sicca & aquilonia, & vere pluuioso ac australi ducto exordio. Eiusmodi autem mutationes quanquam paruæ existunt, sunt tamen præter naturam: quare & aduentante æstate morbos, fore prædicit, febres acutas, ophthalmias, dysenterias. Causam verò qua post talem prædictum statum huiuscemodi exuberent morbi, ipse explicuit in libro de aëre, locis, & aquis. Sic autem se habet textus. *Si hiems quidem sicca, & aquilonia, ver autem pluuium & austrinum fuerit, æstatem febribus abundare, & ophthalmias. & dysenterias oboriri necesse est. Quum enim vernis imbribus, & austro madefacta & humectata terra, æstatis derepente æstus interuenerit, tum à terra permadescente & calida, tùm à sole adurente geminari ardorem necesse est, hominum propterea neque constantibus;*

E

ΠΕρὶ τῆς ἐν ταῖς ὥραις ἀλλοιώσεως, ἐν τούτοις διδάσκει, τὴν ἀρχὴν ἀπὸ χειμῶνος αὐχμηροῦ, καὶ βορείου, ποιησάμενος, ἦρος δὲ ἐπόμβρου καὶ νοτίου. μικραὶ μὲν οὖν αἱ τοιαῦται μεταβολαὶ, παρὰ φύσιν δὲ ὅμως εἰσὶ διὸ καὶ εἰς τὸ θέρος ἔσεσθαί φησι νοσήματα, πυρετοὺς ὀξεῖς, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας. Τὴν δὲ αἰτίαν τοῦ πλεονάζειν ἐπὶ τῇ προειρημένῃ καταστάσει τοιαῦτα νοσήματα, διῆλθεν αὐτὸς, ἐν τῷ περὶ ὑδάτων, τόπων, καὶ ἀέρων. ἔχει δὲ ἡ ῥῆσις ὧδε. Ἢν δὲ ὁ μὲν χειμὼν αὐχμηρὸς, καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον, καὶ νότιον, ἀνάγκη τὸ θέρος πυρετῶδες εἶναι, καὶ ὀφθαλμίας ἐγγίνεσθαι. Ὅταν γὰρ τοῦ θέρεος ἐπιγίνεται

F

πνῖγος ἐξαίφνης, τῆς τε γῆς ὑγρᾶς ἐούσης ὑπὸ τῶν ὀμβρείων τῶν ἠρινῶν, καὶ ὑπὸ τοῦ νότου, ἀνάγκη διπλοῦν τὸ καῦμα εἶναι, ἀπό τε τῆς γῆς διαβρόχου ἐούσης καὶ θερμῆς, καὶ ὑπὸ τοῦ ἡλίου καίοντος, τῶν τε κοιλιῶν

μὴ συνεστηκυιῶν τοῖς ἀνθρώποις, μήτε τοῦ ἐγκεφάλου ἀνεξηραμμένου· οὐ γὰρ οἷόν τε τοῦ ἦρος τοιούτου ἐόντος μὴ συντήκεσθαι τὸ σῶμα, καὶ τὴν σάρκα, ὥστε τοὺς πυρετοὺς συνεμπίπτειν ὀξυτάτους τοῖσιν ἅπασι, μάλιστα δὲ τοῖσι φλεγματίαισι. Τὰς δὲ δυσεντερίας εἰκὸς γίνεσθαι τῇσι γυναιξὶ, καὶ τοῖσιν ἀνδράσι, τοῖσιν ὑγροτέροισιν. Ταῦτα μὲν οὖν ὁ Ἱπποκράτης εἴρηκεν, ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων. ἡμεῖς δὲ ἐπὶ πλέον ἐξεργασάμεθα τὸν λόγον αὐτοῦ, καὶ πρῶτόν γε, διὰ τί μήτ' ἐν αὐτῷ τῷ χειμῶνι, μήτ' ἐν τῷ ἦρι κατὰ τὴν τοιαύτην κατάστασιν ἐπιδημεῖν φησι νοσήματα· καίτοι γε ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, κατ' αὐτὴν τὴν βεβλαμμένην ὥραν, ἐν Κρανῶνι λέγων γίνεσθαι τοὺς ἄνθρακας· ἔχει δὲ ἡ ῥῆσις οὕτως· ἄνθρακες ἐν Κρανῶνι θερινοὶ, ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ δι' ὅλου· ἐγίνοντο δὲ μᾶλλον νότῳ· δῆλον τοίνυν, ἐξ ὧν εἶπε, καὶ ἡ αἰτία τοῦ κατὰ τὸ θέρος ἐν Κρανῶνι γίνεσθαι τοὺς ἄνθρακας· οὐ γὰρ ἐπὶ βραχὺ μετέστη τῆς κατὰ φύσιν κράσεως, ἀλλ' εἰς τοιαύτην κατάστασιν ἧκεν, ἐν ᾗ σήπεται ῥᾳδίως, ὅσα σήπεσθαι φύσιν ἔχει· ἱκαναὶ μὲν γὰρ ὑγρότητες ἄμετροι γενηθεῖσαι, σήπειν, ὥσπερ αὐτὸς ἐρεῖ. νοσήματα δὲ, ἐν μὲν ταῖς ἐπομβρίαις, ὡς τὰ πολλὰ γίνεται, πυρετοί γε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ σηπεδόνες, ἔτι δὲ μᾶλλον αὐτῶν αἱ θερμότητες· ἐς ταὐτὸν δ' ἀμφοῖν ἀφικομένων, οὕτως ἰσχυρῶν τε, καὶ ἀμέτρων ὡς ἐν Κρανῶνι. δευτέραν ὥραν οὐκ ἀναμένει τὸ σῶμα, φθάνον ἐν αὐτῇ τῇ προτέρῃ, μέγιστα βλάπτεσθαι. κατὰ δὲ τὸν αὐχμηρὸν καὶ βόρειον χειμῶνα, λυπηθείη μὲν ἄν τι τὰ σώματα τούτων, οἷον αὐτὸς εἶπε. ἢν δὲ βόρειον ᾖ βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρῶν. στηθέων, οὐ μὴν ἀξιόλογόν τε τὸ νόσημα συστήσεται. πρὸς γὰρ τοῖς ἄλλοις, καὶ αἱ ξηρότεραι τῶν καταστάσεων ὑγιεινότεραι. τὸ γὰρ ὅλον, φησὶν, οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσὶν ὑγιεινότεροι, καὶ ἧττον θανατώδεες. ὁ δὲ χειμὼν ὁ βόρειος, καὶ αὐχμηρὸς, λυπήσει μὲν ὀρθοστάδην τοὺς ἀνθρώπους, εἰς βῆχάς τε, καὶ γαστρὸς ἐποχὴν, καὶ δυσουρίαν, καὶ τὰς ὀδύνας τῶν κατὰ τὸν θώρακα χωρίων· οὐ μὴν πυρετοὺς ἢ δυσεντερίας, ἢ τοιοῦτόν τι ἐργάσεται. Τί δή ποτ' οὖν, οὐδὲ κατὰ τὸ ἔαρ ἔπομβρόν τε, καὶ νότιον γινόμενον ἐπιδημήσει νοσήματα. ὅτι προϋπῆρχεν ὁ χειμὼν, ἱκανῶς ψυχρός τε, καὶ ξηρός. εἴρηκε δ' αὐτὸς, οὐχ ἁπλῶς χρὴ σκοπεῖσθαι τὰς ἐνεστώσας καταστάσεις, ἀλλὰ καὶ τὸ, ἐξ οἵων εἰς οἷά εἰσιν αἱ μεταβολαὶ, προσεπισκοπεῖσθαι. Προεξηρασμένον οὖν τὸ σῶμα κατὰ τὸν χειμῶνα, γινόμενον αὐχμηρὸν καὶ βόρειον, οὐ μόνον οὐδὲν πείσεται τοῖς ὄμβροις τοῖς ἠρινοῖς, ἀλλά τι καὶ προσωφεληθήσεται μέχρι τινὸς εἰς κατὰ φύσιν ἐπανερχόμενον συμμετρίαν εἰ δ' ὅλον τὸ ἔαρ ὑγρὸν γένηται, πρὸς τὴν ἐναντίαν ἀχθήσεται τὸ σῶμα κατάστασιν, τῆς ἔμπροσθεν ὑπαρχούσης αὐτῷ τῆς ξηρᾶς, ὑπερβαῖνον τὴν ἐν τῷ μέσῳ συμμετρίαν, ὥσθ' ἕτοιμον αὐτὸ πρὸς βλάβην διαδέξεται τὸ θέρος, ἔτι τῆς γῆς ὑγρᾶς οὔσης. καὶ διὰ τοῦτο πνῖγος ἐργαζομένης, ἅτε μήτε τῶν ἐτησίων ἤδη πνεῖν δυναμένων. ὕστερον γὰρ ἐκεῖνοι, καὶ μετὰ κύνα, πεφύκα-

A *sed potius laxatis ventribus, neque resiccato cerebro. Neque enim fieri potest quin vbi ver ejusmodi præcessit, corpus, & caro colliquefiant, simulque tum omnibus acutissimæ febres, tum maxime pituitosis eueniant. Mulieribus verò par est dysenterias fieri, & viris natura humidioribus.* Hæc in libro de aëre, locis & aquis protulit Hippocrates. Nos verò latiùs eius orationem explanabimus; ac primo quidem quamobrem neque ipsa hyeme, neque vere per ejusmodi statum morbos vulgus adoriri dixerit, quanuis secundo epidemiorum ipsa læsa tempestate Cranone carbunculos ortos fuisse prodiderit. Sic autem B se habet eius dictio Cranone, anthraces æstiui; vbique per æstus imbre largo pluebat, ijque austro magis fiebant. Patet igitur ex eius dictis etiam causa, cur Cranone per æstatem facti sint carbunculi. Non enim parum naturale temperamentum mutauerat; sed ad talem statum peruenerat, per quem facile putrent quæcunque naturam putredini obnoxiam sortiuntur. Possunt enim humiditates præter modum auctæ putrefacere, quemadmodum ipse dicturus est. At morbi pluuiosis temporibus plerunque fiunt, febres longæ, alui fluxus, & putredines; sed iis ipsis etiamnum magis calo- C res: Ambabus verò in idem concurrentibus, & vt Cranone vehementibus ac immoderatis alteram tempestatem corpus non expectat, quum in ipsa priore maximè lædi queat. Per hyemem verò siccam & aquiloniam corpora iis molestiis afficiuntur quas ipse priùs his verbis protulit. *Atsi aquilonia tempestas fuerit, tusses, faucium asperitates, alui duræ, dysuriæ, horrores, laterum & pectoris dolores oboriuntur;* Non tamen morbus effatu dignus contrahetur; nam & alioqui ficciores tempestates sunt salubriores minúsque lethales; *In vniuersum enim,* dixit, *siccio-* D *res tempestater pluuiosis esse salubriores, minusque lethales.* Hyems itaque aquilonia & sicca homines quidem recta structura donatos tussibus, alui retentione, dysuria, partiumque thoracicarum doloribus vexabit; non tamen febres, aut dysenterias, aut quid eiusmodi effectura est. Sed cur nè vere quidem pluuioso, atque australi in vulgus morbi grassantur? Quia præcessit hyems vehementer frigida & sicca. Ipse verò dixerat non simpliciter præsentes constitutiones spectandas esse, sed etiam ex quibus in quas fiant mutationes. Corpus ita- E que prius per hyemem siccam & aquiloniam resiccatur, non modò nihil ex vernis imbribus patietur; sed nonnihil ad naturalem quadamtenus rediens commoderationem juuabitur. Si verò totum ver humidum fuerit ad contrariam priori, quæ ipsi sicca erat, constitutionem ducetur corpus, in medio positam symmetriam excedens. Quare paratum ipsum ad læsionem æstas excipiet, terrâ adhuc humectâ existente, atque ob id suffocantem æstum efficiente, etesiis nimirum iam flare minimè so- F litis. Nam ij posteà, & post canem pro consuetudine flare incipiunt. Quare totum illud tempus medium febres habebit acutas propter caliditatem & humiditatem humoribus in corpore putrescentibus; ophthalmias quoque & dysenterias pro partium facilè læsionem admittentium aptitudine. Aliæ nanque aliis pro

corporum temperamentis ad patiendum faciliores aut difficiliores sunt. Nam ophthalmiæ propè omnes infestant repleto capite, nisi quibus oculi sunt prævalidi. Dysenteriæ verò, vt ipse dixit, natura humida præditos, ac mulieres; hæ siquidem viris sunt humidiores. Si igitur totam constitutionem tanquam nostra putrefacientem corpora damnamus, constat putredinem humidis corporibus magis oborturam. Enimverò quòd nostris in corporibus putrescit humidum, idipsum tanquam materia quædam est vi caloris parta. Ambientis verò humiditas quòd humores in corpore redundantes desiccari prohibeat, propterea vim putrefacientem adiuuat. Itaque nihil mirum talibus constitutionibus naturas humidiores magis lædi, & propterea febres pituitosis magis oboriri; hi siquidem necessariò sunt humidiores. Manente igitur putredine in corpore fiunt febres; si verò ea per aluum vacuetur, dysenteriæ. Atque hæc per totam æstatem aderunt, nisi circa canis ortum alia fiat mutatio, de qua ipse in libro de aëre, locis, & aquis egit; post sententiam paulo ante deinceps scriptam, cuius hæc fuit clausula. Dysenterias autem mulieribus par est accidere, & viris humidioribus. His enim subsequentem textum connectens scribit. *Et quidem si circa canis ortum superuenerit aqua, & hyberna tempestas, & Etesiæ flauerint, spes est cessuros morbos, & autumnum fore salubrem; alioqui mortis periculum pueris imminet, & mulieribus, minimè verò senibus, & ne qui euaserint in quartanam decidant, & ipsa quartana in hydropem terminetur.* Verùm de iis quæ adiecit in libro de aëre, locis, & aquis, quum eum librum interpretabimur, accuratiùs disceptabimus. De iis verò quæ in præsenti aphorismo opponuntur, satis dictum est excepta dictione, *necesse*, quàm non solùm in aphorismis apposuit; sed etiam in libro de aëre locis, & aquis, per eam indicans quod rei naturâ persuasus, non aliqua obseruatione hæc literis prodidit. Quoties igitur par esset ipsum vidisse talem constitutionem, vel quot in locis, num bis, terve, quaterve? At neque si vicisse multoties dixerit, jam possumus ita semper fore pronunciare; quemadmodum neque si medicamento aliquo videris sex aut septem homines purgatos dicere certò poteris omnes post hac homines ex necessitate purgandos esse. Quare pro manifesto relinquitur, quòd rei naturam Hippocrates non aliquã obseruationem sequutus his verbis scripserit; necesse est æstate febres acutas, & ophthalmias, & dysenterias oboriri.

σιν ἄρχεσθαι, ὥστε ὁ μεταξὺ χρόνος ἅπας, ἕξει τούς τε πυρετοὺς ὀξεῖς τε, διά τε τὴν ὑγρότητα καὶ θερμότητα σηπομένων τῶν ἐν τῷ σώματι χυμῶν, καὶ τὰς ὀφθαλμίας, καὶ τὰς δυσεντερίας, κατά γε τὴν ἐπιτηδειότητα τῶν δυναμένων βλάπτεσθαι μορίων. ἄλλα γὰρ ἄλλων μᾶλλον εὐπαθῆ τέ ἐστι καὶ δυσπαθῆ κατὰ τὰς κράσεις τῶν σωμάτων. Αἱ μὲν γὰρ ὀφθαλμίαι σχεδὸν ἅπαντας ἐνοχλοῦσι πληθυνομένης τῆς κεφαλῆς, πλὴν εἴ τινες ἰσχυροὶ πάνυ τοῖς ὀφθαλμοῖς εἶεν. δυσεντερίαι δὲ, ὡς αὐτὸς εἴρηκε, τοῖς ὑγρὰς ἔχουσι τὰς φύσεις, καὶ ταῖς γυναιξὶν, ὑγρότεραι γάρ εἰσιν αὗται τῶν ἀνδρῶν. εἴπερ οὖν ὅλην τὴν κατάστασιν, ὡς σηπούσας ἡμῶν τὰ σώματα, μεμφόμεθα, πρόδηλον ὅτι μᾶλλον ἡ σηπεδὼν ἐν τοῖς ὑγροῖς ἔσται σώμασι. αὐτὸ γὰρ δὴ τοῦτ' ἐστὶ τὸ σηπόμενον ἐν τοῖς σώμασιν ὑγρὸν, ὡς ὕλη τις, ὑπὸ δυνάμεως τῆς θερμότητος. ἡ δὲ ὑγρότης ἡ τοῦ περιέχοντος, ὅτι κωλύει ξηραίνεσθαι τὴν ἐν τῷ σώματι περιουσίαν τῶν ὑγρῶν, κατὰ τοῦτο συντελεῖ τῇ σηπτικῇ δυνάμει. Θαυμαστὸν οὖν οὐδὲν ἐν ταῖς τοιαύταις καταστάσεσι, μᾶλλον βλάπτεσθαι τὰς ὑγροτέρας φύσεις. διὰ τοῦτο, καὶ τοὺς πυρετοὺς ἔφη τοῖς φλεγματώδεσι μᾶλλον γίνεσθαι, καὶ γὰρ καὶ τούτους ὑγροτέρους ἀναγκαῖον εἶναι. μενούσης μὲν οὖν ἐν τῷ σώματι τῆς σηπεδόνος, οἱ πυρετοὶ γίνονται. κενουμένης δὲ διὰ τῆς γαστρὸς, αἱ δυσεντερίαι, καὶ ταῦτ' ἔσται σοὶ δι' ὅλου τοῦ θέρους, ἐὰν μὴ μεταβολή τις περὶ κυνὸς ἐπιτολὴν γένηται, περὶ ἧς αὐτὸς ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων, ἐφεξῆς τῇ γεγραμμένῃ μικρὸν ἔμπροσθεν ῥήσει, διῆλθεν· ἧς ἐστὶ τελευτὴ, τὰς δὲ δυσεντερίας εἰκὸς γίνεσθαι ταῖς γυναιξὶ, καὶ τοῖς ἀνδράσι τοῖς ὑγροτέροις. τούτοις γὰρ συνάπτων ἐφεξῆς γράφει, καὶ ἢν μὲν ἐπιγένηται περὶ κυνὸς ἐπιτολὴν ὕδωρ, καὶ χειμὼν, ἐτησίαι πνεύσωσιν, ἐλπὶς παύσεσθαι, καὶ τὸ μετόπωρον ὑγιεινὸν γενέσθαι. εἰ δὲ μὴ, κίνδυνος θανάτους γενέσθαι τοῖς παιδίοις, καὶ ταῖς γυναιξὶν, ἥκιστα δὲ τοῖσι πρεσβυτέροισι. τοὺς δὲ περιγενομένους εἰς τεταρταῖον ἀποτελευτᾷν, καὶ αὐτὸν τεταρταῖον, εἰς ὕδρωπα. Ἀλλὰ περὶ μὲν τούτων, ὧν προστέθηκεν ἐν τῷ περὶ ἀέρων, καὶ τόπων, καὶ ὑδάτων, ὅταν τὸ εἰς ἐκεῖνο τὸ βιβλίον ἐξηγησόμεθα, διασκεψόμεθα. περὶ δὲ τῶν κατὰ τὸν προγεγραμμένον ἀφορισμὸν, αὐτάρκως εἴρηται, πλὴν μιᾶς λέξεως, τῆς ἐξ ἀνάγκης, ἣν οὐ μόνον ἐν τοῖς ἀφορισμοῖς προσέθηκεν, ἀλλὰ καὶ ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων ἐνδεικνύμενος, ὅτι τῇ φύσει τοῦ πράγματος πεπιστευκὼς, οὐ τηρήσει τινὶ γράφει ταῦτα. Ποσάκις οὖν εἰκός ἐστιν ἑωρακέναι τοιαύτην αὐτὸν κατάστασιν, ἢ ἐν πόσοις χωρίοις, ἆρά γε δὶς ἢ τρὶς ἔσται, ἢ τετράκις, ἀλλ' οὐδ' εἰ πλεονάκις εἴπῃς, δυνατόν ἐστιν ἤδη εἰπεῖν, ὅτι διὰ παντὸς οὕτως ἔσται. καθάπερ οὐδ' εἰ κεκαθαρμένους ὑπὸ φαρμάκου τινὸς ἴδῃς ἀνθρώπους ϛ. ἢ ζ. δυνήσῃ διατεταγμένως εἰπεῖν, ὅτι πάντες οἱ μετὰ ταῦτα, ἐξ ἀνάγκης καθαρθήσονται. δῆλον οὖν ἐστιν, ὅτι τῇ φύσει τοῦ πράγματος ὁ Ἱπποκράτης ἑπόμενος, οὐ τηρήσει τινὶ, προσέγραψεν εἰπὼν, ἀνάγκη, τοῦ θέρους, πυρετοὺς ὀξεῖς, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι.

A

Τίνα παθήματα τῷ χειμῶνι ἐπόμβρῳ, καὶ εὐδίῳ· καὶ τῷ ἦρι αὐχμηρῷ, καὶ βορείῳ ἐπιγινόμενα, τὰ ἐκτρώματα, οἱ τόκοι ἀσθενέες, καὶ συντόμως ἀπολλύντες, ἢ ζῶντες νοσώδεις, αἱ δυσεντερίαι, ὀφθαλμίαι ξηραὶ κατάρροι τοῖς πρεσβυτέροις ἀπολλύντες. καὶ περὶ τῆς ἑκάστου αἰτιῶν τε καὶ λόγων.

Qui affectus hyemem austrinam ac pluuiosam, & ver siccum & aquilonium sequantur, abortus; imbecilles partus breui interituri, aut valetudinarij viuentes; dysenteriæ; ophthalmiæ aridæ; catharri senibus lethales; ac de singulorum causis, ac rationibus.

ΑΦΟΡΙΣΜΟΣ ιβ'.

B

Ἢν δὲ νότιος ὁ χειμὼν, καὶ ἔπομβρος, καὶ εὔδιος γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν, καὶ βόρειον, αἱ μὲν γυναῖκες ἧσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσιν. αἱ δ' ἂν τέκωσιν, ἀκρατέα, καὶ νοσώδεα τὰ παιδία τίκτουσιν, ὥστε, ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ, καὶ νοσώδεα ζῆν ἐόντα. τοῖσι δὲ ἄλλοισι δυσεντερίαι, καὶ ὀφθαλμίαι ξηραὶ γίνονται τοῖσι δὲ πρεσβυτέροισι, κατάρροι συντόμως ἀπολλύντες.

APHORISMVS XII.

At si australis hyems, & pluuiosa, ac tepens fuerit; ver autem siccum & aquilonium; mulieres quidem quibus ad ver partus imminet, ex quacunque causa abortiunt. Quæ verò pariunt, ita imbecillos ac morbosos infantes edunt, vt aut quamprimum intereant, aut tenues, & valetudinarij viuant. Cæteris autem mortalibus dysenteriæ, & ophthalmiæ aridæ oriuntur; senioribus verò catharri qui breui enecant.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔμπαλιν ἡ κρᾶσις ἔχει ταῖς κατὰ τὸν πρότερον ἀφορισμὸν εἰρημέναις ὥραις δύο, πρὸς τὰς νῦν λεγομένας. οἷος μὲν γὰρ πρότερος ὁ χειμὼν ἐν ἐκείνῳ, τοιοῦτον νῦν ἐστι τὸ ἔαρ. ὁποῖον δὲ τὸ ἔαρ ἐν ἐκείνῳ, τοιοῦτον νῦν ἐστιν ὁ χειμών. Ὅτι μὲν οὖν, ἐπ' ἐκείνων, οὐκ ἦν ἀναγκαῖον ἐν τῷ ἦρι νόσους ἐπιδημῆσαι σφοδρὰς αὐτάρκως ἐδείχθη. νυνὶ δὲ ὅτι τοῦ χει- D μῶνος μὲν ὑγροῦ καὶ θερμοῦ γινομένου, τοῦ δ' ἦρος ξηροῦ καὶ ψυχροῦ, νοσεῖν ἀναγκαῖόν ἐστι τοὺς ἀνθρώπους, ἐν αὐτῷ τῷ ἦρι δεικτέον ἐστί. Αἱ μὲν οὖν γυναῖκες, αἷς ἂν ὁ τόκος ᾖ πρὸς τὸ ἔαρ, ἐπὶ ταῖς τυχούσαις προφάσεσιν ἐκτιτρώσκουσι· ὑγρὰ γὰρ τὰ σώματα καὶ μαλακὰ, ἀραιὰ γεγονότα κατὰ τὸν εὔδιον χειμῶνα, ῥᾳδίως εἰς τὸ βάθος αὐτῶν διαδίδωσι τὴν ἐκ τοῦ περιέχοντος ψύξιν, ὥσθ' ὅσα τῶν παίδων ἤδη πολυχρόνιον ἔθος ἔσχεν ἀέρος ἀλέας, ταῦτα πληττόμενα σφοδρῶς, ὑπὸ τοῦ κρύους, εἰκότως ἁλίσκεσθαι, τὰ μὲν ἤδη νεκρὰ, τὰ δὲ E ἀποθνήσκοντα κατ' αὐτὸν τὸν τόκον· ἃ δ' ἂν αὐτῶν ζῶντα τεχθῇ, τὴν εἰς τοὐναντίον ἐξαιφνίδιον οὐ φέροντα μεταβολὴν, ἤτοι διὰ τάχους ἀποθνήσκει, ἢ λεπτὰ, καὶ νοσώδεα γινόμενα, μόλις διαζῇ. Τῶν δ' ἄλλων τοῖς μὲν φλεγματώδεσι, καὶ ταῖς γυναιξὶ, δυσεντερίας φησὶ γίνεσθαι, φλέγματος ἀπὸ τῆς κεφαλῆς εἰς τὴν γαστέρα καταρρέοντος. Εἰκὸς γὰρ δήπου τοῦτο πολὺ γενᾶσθαι κατὰ τὴν εἰρημένην κατάστασιν· ἐν μὲν τῷ χειμῶνι πληρωθείσης τῆς κεφαλῆς, ψυχθείσης δὲ ἀθρόως ἐν ἀρχῇ τοῦ ἦρος, ἐπειδὴ φλεγματικὰ περιττώματα πέφυκε γεννᾶν ὁ F ἐγκέφαλος, ὅταν ψυχθεὶς, ἀδυνατεῖ κρατεῖν τῆς τροφῆς· ὑπάρχει δὲ καὶ τοῦτο τῇ τοῦ φλέγματος γενέσει, τὸ μὲν γὰρ ὑπὸ ψύξεως ἰσχυρᾶς γιγνόμενον, ὀξὺ γίνεται. τὸ δ', ὑπὸ θερμασίας πληρούσης τὴν κεφαλὴν,

GALENI COMMENTARIVS.

Duarum anni tempestatum superiore aphorismo proditarum temperatura ad eas quæ nunc explicandæ sunt tempestates vice versa se habet. Qualis enim erat hyems priùs in illo, tale nunc ver est; quale verò erat in illo ver, talis nunc existit hyems. Itaque in illis non fuisse necessarium vere morbos vehementes grassari abunde dictum est. Nunc autem quòd hyeme humida quidem & calida existente, vere autem frigido & sicco necessarium sit ipso vere homines ægrotare demonstratum est. Mulieres itaque quibus partus ad ver sit, quacunque occasione abortiunt. Corpora siquidem per hyemem tepentem humida & mollia, & rara facta intrò ita facilè ad intimas vsque sui partes ambientis aëris frigus admittunt, vt qui jam infantes diuturno tempore aeris tempori assueuerunt, vehementer à frigore percussi, cum ratione hi quidem priùs, jam in vtero mortui deprehendantur, illi verò mox in partu intereant. Qui verò ex ipsis viui in lucem prodierint repentinam in contrarium mutationem non ferentes, vel breui post tempore moriuntur, vel tenues ac morbosi facti vix in vita perdurant. Cæteris verò pituitosis ut mulieribus dysenterias ex pituita à capite in aluum defluente oboriri pronunciat. Hunc enim humorem par est dicto cæli statu copiosum procreari; per hyemem quidem capite repleto; per veris autem initia repente refrigerato; quandoquidem cerebrum pituitosa excrementa procreare consueuit, quum refrigeratum alimentum vincere ac coquere non potest. Jd autem & pituitæ generationi accedit, vt quæ à vehementi frigiditate fit, arida euadat; quæ verò à calore caput replente, salsa; quemadmodum & quæ ob exiguam fit frigiditatem, vel paucam dulcedi-

nem, vel nullam manifestam qualitatem habeat. Quæ igitur ob præsentem aëris statum pituita fuit propter hyemis calorem, salsa erit; & hac ratione maxime dysenterias generabit, quum longiori tempore mordens & radens intestinum oblæserit. Nam & quum propter lentorem in transitu intestinis hæreat & immoretur, semperque sua qualitate ipsa jactet ac deterat, dysenteriam efficit. Natura verò calidis ac biliosis dicit ipse Hippocrates ophthalmias siccas accidere. Sic autem eas appellat quæ citra fluxionem oboriuntur. Calidis siquidem ac siccis naturis sicco ac frigido statu calidum & humidum excipiente ophthalmias fieri rationi consentaneum est. Caput enim prius calido ac humido statu repletum est: frigus autem superueniens, velut manu quadam exterius apprehenso ac compresso, vt spongia quadam cerebro contentam humiditatem exprimit. Hæc verò delata aliàs ad alium locum iniuriæ excipiendæ opportunum complures morbos procreat; & quibus oculi naturâ sunt imbecilles, iis ophthalmiæ oboriuntur. Nihil autem foras ex ipsis effluet propter ambientis aëris frigus superficiem densantis. Quòd verò ipse Hippocrates ad causas singula quæ diximus referat, liquet ex iis quæ libro de aëre, locis, & aquis his verbis prodidit. Pituitosis itaque, & mulieribus par est dysenterias oboriri, propter naturæ humiditatem, pituita à cerebro; biliosis autem siccas ophthalmias, carnis caliditatem ac siccitatem. Quòd verò in aphorismi fine scriptum est; *Senibus verò catharri qui breui enecant*, ipse in libro de aëre, locis, & aquis, his verbis scripsit; valde autem senibus tales propter venarum raritatem & extenuationem catharri fiunt, itaut derepente nonnulli intereant; quibusdam verò pars dextra, sinistrave resoluta stupeat. His verbis Hippocrates non illos valde consuetos catarrhos appellatos qui ex capite par asperam arteriam ad pulmonem fiunt; sed eas fluxiones omnes quæ à capite per venas in partes inferiores feruntur. Quare illud, *breui enecant*, belle adjectum videtur, quia hæ fluxiones cita crisi terminantur, quum alij catharri diutius perdurent. Nonnulli tamen interpretes per eos catharros defluxiones quæ à capite per fauces & arterias in pulmones fiunt, cum negatione, non, hanc orationem scribentes: *Senibus vero catharri qui breui non enecant*; decenter loquuntur. Non enim ipsis ob ætatem frigidæ fluxiones coquuntur; verùm in quibusdam exemplaribus scriptum est: *Breui enecant*, quandoquidem & in libro de aëre, locis, & aquis, ipse inquit: *Vt repente ex iis nonnulli intereant.*

A ἀλυκόν. ὥσπερ γε καὶ τὸ διὰ βραχεῖαν ψύξιν, ἤ τε βραχὺ γλυκύτητος ἔχει, ἢ μηδεμίαν ἐναργῆ ποιότητα. Τὸ τοίνυν ἐπὶ τῇ προκειμένῃ καταστάσει γενόμενον φλέγμα, διὰ τὴν ἐν τῷ χειμῶνι θερμασίαν ἁλυκὸν ἔσται, καὶ κατὰ τοῦτο μάλιστα γεννήσει δυσεντερίας, ὅταν ἐν χρόνῳ πλείονι δάκνον καὶ ξύον, κακώσῃ τὸ ἔντερον. ἅτε γὰρ, διὰ τὴν γλισχρότητα, κατὰ τὴν διέξοδον ἐν τοῖς ἐντέροις ἰσχόμενόν τε καὶ βραδῦνον, ἀεί τε ῥύπτον αὐτὸ διὰ τὴν ποιότητα, τὴν δυσεντερίαν ἐργάζεται. Τοῖς μέντοι φύσει θερμοῖς, καὶ χολώδεσιν, αὐτός φησιν ὀφθαλμίας γίνεσθαι ξηράς. οὕτω δ' ὀνομάζει τὰς ἄνευ ῥευμάτων.
B εἰκὸς δὲ δή τι ταῖς θερμαῖς καὶ ξηραῖς φύσεσιν, ἐν ξηρᾷ καὶ ψυχρᾷ καταστάσει διαδεξαμένῃ θερμὴν, καὶ ὑγρὰν τοιαύτας γίνεσθαι τὰς ὀφθαλμίας. ἡ μὲν γὰρ κεφαλὴ πεπλήρωται πρόσθεν τῇ θερμῇ, καὶ ὑγρᾷ καταστάσει, τὸ δὲ κρύος ἐπιγινόμενον, ὥσπερ χείρ τις ἔξωθεν λαβοῦσα καὶ θλίψασα, καθάπερ τινὰ σπόγγον, τὸν ἐγκέφαλον, ἐκθλίβει τὴν κατ' αὐτὸν ὑγρότητα. φερομένη δ' αὕτη ἄλλο τε πρὸς ἄλλον τόπον τῶν εὐπαθῶν, πλείονα γεννᾷ τὰ νοσήματα. καὶ κατὰ τοῦτο, καὶ ὀφθαλμίαι συμβήσονται τοῖς ἀσθενέσι φύσει τοὺς ὀφθαλμούς. ἀπορρήσεται
C δὲ οὐδὲν αὐτῶν ἐκτὸς, διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος πυκνοῦντος τὴν ἐπιφάνειαν. Ὅτι δ' αὐτὸς ὁ Ἱπποκράτης, εἰς τὰς δὲ τὰς αἰτίας ἕκαστον τῶν εἰρημένων ἀναφέρει, δῆλον ἐξ ὧν ἔγραψεν ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων, κατὰ τήνδε τὴν ῥῆσιν. τοῖσι μὲν οὖν φλεγματίοισι τὰς δυσεντερίας εἰκὸς γίνεσθαι, καὶ τῇσι γυναιξὶ, φλέγματος ἐπικαταρρέοντος ἀπὸ τοῦ ἐγκεφάλου, διὰ τὴν ὑγρότητα τῆς φύσεως. τοῖσι δὲ χολώδεσιν, ὀφθαλμίας ξηρὰς διὰ τὴν θερμότητα, καὶ ξηρότητα τῆς σαρκός. τὸ δ' ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον. τοῖσι δὲ
D πρεσβυτέροισι κατάρροι συντόμως ἀπολλύντες, κατὰ τήνδε τὴν λέξιν αὐτὸς ἔγραψεν ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων. τοῖσι δ' ἄγαν πρεσβυτέροισι, κατάρροες διὰ τὴν ἀραιότητα, καὶ τὴν ἔκτηξιν τῶν φλεβῶν, ὥστε ἐξαπίνης ἀπόλλυσθαι τοὺς δὲ, παραπλῆγας γίνεσθαι τὰ δεξιὰ, ἢ τὰ ἀριστερά. διὰ τούτων ἔοικεν ὁ Ἱπποκράτης, οὐ τοὺς πάνυ συνήθεις λεγομένους καταῤῥοῦς δηλοῦν, τοὺς ἐκ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα, διὰ τῆς τραχείας ἀρτηρίας γιγνομένους, ἀλλὰ πάντα καταφερό-
E μενα ῥεύματα διὰ τῶν φλεβῶν, ἀπὸ τῆς κεφαλῆς εἰς τὰ κάτω μόρια. διὸ καὶ τὸ συντόμως ἀπολλύντες, καλῶς δοκεῖ προσκεῖσθαι, διότι ταχεῖαν τὴν κρίσιν οὗτοι ποιοῦνται, τῶν ἄλλων χρονιζόντων. ἔνιοι δὲ τῶν ἐξηγητῶν καταῤῥοὺς ἀκούσαντες, τοὺς ἀπὸ τῆς κεφαλῆς εἰς τὸν πνεύμονα γιγνομένους διὰ φάρυγγος καὶ ἀρτηρίας, μετὰ τῆς ἀποφάσεως τοῦ, οὐ γράφουσι τὴν λέξιν. καταῤῥόους γίνεσθαι τοῖς πρεσβυτέροισι, οὐ συντόμως ἀπολλύντας, εἰκότως φάσκοντες. οὐ γὰρ πέττεται τὰ ψυχρὰ τῶν ῥευμάτων αὐτοῖς,
F διὰ τὴν ἡλικίαν. ἔν τισι δὲ τῶν ἀντιγράφων γέγραπται συντόμως ἀπολλύντες. ἐπειδὴ κἀν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων, αὐτὸς εἶπεν, ὥστε ἐξαπίνης ἀπόλλυσθαι.

A

Τίνα τὰ νοσήματα τὰ τῷ θέρει αὐχμηρῷ καὶ βορείῳ, καὶ τῷ φθινοπώρῳ ἑπομένῳ καὶ νοτίῳ ἐπιγινόμενα, κεφαλαλγίαι, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι, φθίσιες, καὶ περὶ τούτων αἰτιῶν.

Qui morbi æstati siccæ & aquiloniæ; & autumno subsequenti pluuioso & austrino succedant, cephalalgiæ, tusses, raucitates, & tabes; ac de eorum causis.

ΑΦΟΡΙΣΜΟΣ ιγ΄.

Ἢν δὲ τὸ θέρος αὐχμηρὸν, καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον, καὶ νότιον, κεφαλαλγίαι ἰσχυραὶ ἐς τὸν χειμῶνα γίνονται, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι, ἐνίοισι δὲ καὶ φθίσιες.

APHORISMVS XIII.

B *Si verò æstas sicca & aquilonia; autumnus verò pluuiosus ac austrinus fuerit, capitis dolores ad hyemem, & tusses, & raucedines, nonnullis etiam & tabes oriuntur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν αὐτὴν κρᾶσιν διατίθησι νῦν θέρει καὶ φθινοπώρῳ, τὴν μικρὸν ἔμπροσθεν εἰρημένην, περί τε χειμῶνος, καὶ ἦρος, ἡνίκα ἔλεγεν· ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δ' ἔαρ ἔπομβρον καὶ νότιον. ἀλλ' ἐκεῖ μὲν ἐπὶ ταύτῃ τῇ καταστάσει τοῦ θέρους, ἔφησε τοὺς πυρετοὺς ὀξεῖς, ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι. νυνὶ δὲ, ἐν τῷ χειμῶνι κεφαλαλγίας, καὶ βῆχας, καὶ βράγχους, καὶ κορύζας. προσέγραψε δὲ, οὔτε ἐκεῖ τὴν τοῦ θέρους κατάστασιν, οὔτε ἐνταῦθα, τὴν τοῦ χειμῶνος, ὡς ἐν τῇ κατὰ φύσιν ἀξιῶν φυλάττεσθαι κράσει τὰς ὥρας ἀμφοτέρας. ἐὰν γὰρ ἔτι καὶ κατὰ ταύτας, ἑτέρα τις γένηται δυσκρασία τοῦ περιέχοντος, ἔσται τι καὶ δι' ἐκείνην ἕτερον ἐπὶ τοῖς εἰρημένοις νοσήμασι, τῆς δυσκρασίας οἰκεῖον· ἀλλ' ἐπὶ μὲν ἐκείνης τῆς καταστάσεως, ἐν ᾗ τὸν χειμῶνά φησιν αὐχμηρὸν καὶ βόρειον γίνεσθαι, τὸ δ' ἔαρ ἔπομβρον, καὶ νότιον, αὐτὸς ἔγραψε τὰς αἰτίας τῶν εἰρημένων νοσημάτων ἐν τῷ θέρει γίνεσθαι, ἐν τῷ περὶ ἀέρων, καὶ τόπων, καὶ ὑδάτων, βιβλίῳ. ἐπὶ δὲ τῆς νῦν προκειμένης, οὐδὲν εἶπεν ἐν ἐκείνῳ. μετὰ γὰρ τὰς δύο τὰς προγεγραμμένας καταστάσεις, μίαν μὲν, ἐν ᾗ τὸν χειμῶνα βόρειόν τε ἅμα καὶ αὐχμηρὸν ἀξιοῖ γενέσθαι τὸ δ' ἔαρ ἔπομβρον καὶ νότιον. ἑτέραν δὲ, ἐν ᾗ τοὐναντίον, ἔπομβρον μὲν, καὶ νότιον, τὸν χειμῶνα, τὸ δ' ἔαρ αὐχμηρὸν καὶ βόρειον. τὴν δ' ἐφεξῆς αὐταῖς τὴν τρίτην οὖσαν ταύτην, ὑπὲρ ἧς ὁ ἐνεστηκὼς λόγος, οὐκέτι προσέγραψεν, ἀλλὰ ἀντὶ ταύτης, ἑτέραν τοιαύτην. ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, καὶ φθινόπωρον ὡσαύτως, ἀνάγκη τὸν χειμῶνα νοσερὸν εἶναι, εἶτ' ἐφεξῆς ἄλλας τινὰς, οὐδὲ ἐκείνας ὡσαύτως τῇ νῦν προκειμένῃ. Περὶ μὲν οὖν ἐκείνων, ὅταν εἰς αὐτὰ ἐξηγησώμεθα, τὸν λόγον ποιησόμεθα. Νυνὶ δὲ περὶ τῆς ἐν τοῖς ἀφορισμοῖς εἰρημένης ὑπ' αὐτοῦ, λέγωμεν, ἀρχὴν τῷ λόγῳ τὴν αὐτὴν θέμενοι, τὴν μικρῷ πρόσθεν εἰρημένην. Φυλάττειν γὰρ εἰκός ἐστιν αὐτὸν ὅμοιον τῷ κατὰ φύσιν τὸν χειμῶνα, τουτέστιν ὑγρόν τε, καὶ ψυχρὸν,

GALENI COMMENTARIVS.

C Eandem temperaturam æstati & autumno attribuit, quam paulo ante tum de vere, tum de hyeme pronunciauerat, ita loquutus: *Si hyems sicca & aquilonia fuerit, ver pluuium & australe.* Verùm ibi quidem ob hunc statum æstate dixit febres acutas, ophthalmias, & dysenterias oboriri. Nunc verò per hyemem capitis dolores, tusses, raucedines atque grauedines. Sed neque illic æstiuam constitutionem, neque hîc hybernam ascripsit, vt qui in naturali temperatione vtrasque anni tempestates seruare velit. Nam si etiamnum his diuersa quædam accesserit aëris ambientis intemperies, D prædictis quoque morbis propter illam quiddam aliud intemperiei proprium accidet. Verùm in eo cæli statu quo dixit hyemem fieri siccam & aquiloniam, ver pluuium & austrinum, ipse morborum qui per æstatem oboriuntur causas scriptis prodidit libro de aëre locis & aquis; in quo de præsenti statu, nihil protulit. Nam post duos antè scriptos status, vnum quidem quo hyemem borealem simul & siccam, ver pluuium & australe esse statuit; alterum verò in quo contrarium, E pluuiosam & australem hyemem, ver autem siccum & aquilonium: hunc istis consequenter tertium statum mutatum, de quo præsens agit aphorismus, non etiam adscripsit; sed hujus loco alterum qui talis est; si verò æstas pluuiosa fuerit australis, & autumnus similiter, morbis hyemem scatere necesse est. Deinde per ordinem quosdam alios scripsit status neque eos præsenti similiter. De illis quidem quum in eum librum commentabimur verba facturi sumus. Nunc verò de eo statu ab ipso in aphorismis edito agamus eodem orationis F facto exordio, quod paulo antè pronunciauimus. Etenim par est Hippocratem ipsam hyemem ei quæ secundum naturam est similem seruare, hoc est, frigidam atque humidam, quatenùs hæc vtraque qualitas temperatis orbis terrarum regionibus conuenit, de quibus & ipse loquitur, & quorum paulo post nominatim

natum mentionem faciemus. Seruante itaque suum temperamentum hyeme, nullus vehemens in ea morbus constituetur; sed tantùm cephalalgiæ, tusses, raucedines, & grauedines, repleti capitis symptomata. Si igitur, vt & prius diximus, in vtraque anni tempestate tum æstiua, tum autumnali, pluuias australes fieri contigerit, fortassis etiam in ipsa æstate, sin minus, autumno certè morbi statim humidi & australis proprij & familiares in vulgus grassabuntur. Nunc verò quum æstatem siccam & aquiloniam præcessisse supposuit, autumnum autem humidum & austrinum sequutum fuisse; rationi consentaneum est non solùm protinus neminem ægrotare cœpisse, verumetiam immoderatioris per æstatem siccitatis habere remedium non paruum, factam autumno humidam constitutionem. Quia verò totus autumnus talis est subsequutus; proindéque humidiorem naturam sortitis immmoderatiùs repletum fuit caput prædictos morbos hyeme obuenire necesse est; ut & quibusdam eorum tabem, huic nimirum affectui naturâ obnoxiis; quales sunt tum qui angusto sunt pectore, tum quibus à capite in pulmonem fluxio defertur. His igitur phthises accident; cæteris verò nullus quidem vehemens morbus, sed tusses, raucedines, & alia huiusmodi symptomata oborientur, quæ hyemali tempestate capita austrinis pluuiis prius repleta excipiente, atque situ in nonnullis quidem hoc solum efficiente, quod in capite immoratur excrementum, id ipsi doloris esse causam. Nullam siquidem plenitudinem vlla in corporis parte hyems discutit. In quibusdam verò coacto amplius & veluti compresso capite expressum excrementum in partes capite inferiores descendit. Hoc itaque velut purgatio quædam capitis est, & vacuatio. Quibus verò plenitudine grauatum caput prius laborauit, nec hyemis frigus ferre potuit; in his jam per intemperiem refrigeratum, majorum inferioribus sibi partibus fluxionum causa existit.

A εἰς ὅσον αὐτῶν ἑκάτερον πρέπει τοῖς εὐκράτοις τῆς οἰκουμένης χωρίοις, ὑπὲρ ὧν ποιεῖται τὸν λόγον, ὧν, ὀλίγον ὕστερον ὀνομαστὶ μνημονεύσω. φυλαξάσης τε τὴν ἑαυτοῦ κρᾶσιν τοῦ χειμῶνος, οὐδὲν ἐν αὐτῷ συστήσεται ἰσχυρὸν νόσημα, κεφαλαλγίαι δὲ μόνον, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι, πεπληρωμένης τῆς κεφαλῆς συμπτώματα. εἰ μὲν οὖν, ὡς καὶ πρόσθεν ἔφην, ἀμφοτέραις ταῖς ὥραις, τῇ θερινῇ, καὶ τῇ φθινοπωρινῇ, τοὺς νοτίους ὄμβρους γενέσθαι συνέβη, τάχα μὲν ἂν καὶ κατ' αὐτὸ τὸ θέρος. εἰ δὲ μὴ, ἀλλὰ πάντως γε κατὰ B τὸ φθινόπωρον ἐπεδήμησεν ἂν οἰκεῖα νοσήματα καταστάσεως ὑγρᾶς καὶ νοτίου. Νῦν ἐπειδὴ τὸ θέρος αὐχμηρόν τε, καὶ βόρειον ὑπέθετο προγεγονέναι, τὸ δὲ φθινόπωρον, ὑγρόν τε καὶ νότιον, εὔλογον, οὐ μόνον αὐτίκα νοσεῖν οὐκ ἄρξασθαί τινας, ἀλλὰ καὶ τῆς ἀμετροτέρας ἐν τῷ θέρει ξηρότητος ἴαμα ἔχειν οὐ σμικρὸν, τὴν ἐν τῷ φθινοπώρῳ κατάστασιν ὑγρὰν γενομένην. Ἐπεὶ δὴ ὅλον τὸ φθινόπωρον ἠκολούθησε τοιοῦτον, ἀναγκαῖον ἔσται τοῖς ὑγροτέραν ἔχουσι τὴν φύσιν, ἱκανώτερον τοῦ μετρίου πληρωθείσης τῆς κεφαλῆς, ἀπαντῆσαι κατὰ τὸν χειμῶνα, τὰ προειρημένα νοσήματα. τισὶ δὲ αὐτῶν δηλονότι καὶ φθίσιν, ὅσοι πρὸς C τὸ πάθος ἐπιτηδείως εἶχον, οἵ τε κατὰ τὸν θώρακα στενοὶ, καὶ οἷς ἀπὸ τῆς κεφαλῆς εἰς πνεύμονα καταφέρεται ῥεῦμα. τούτοις οὖν ἔσονται φθίσιες, τοῖς δὲ ἄλλοις οὐδὲν μὲν ἰσχυρὸν νόσημα. τὰ δὲ περὶ τὰς βῆχας, καὶ τοὺς βράγχους, ὅσα τἆλλα γενήσεται συμπτώματα, τοιαῦτα, τῆς χειμερινῆς ὥρας, πεπληρωμένας ὑπὸ τῶν νοτίων ὄμβρων κεφαλὰς διαδεξαμένης, εἶτ' ἐπ' ἐνίων μὲν αὐτὸ δὴ τοῦτο μόνον ἐργασαμένης, ὡς ἐν τῇ κεφαλῇ διαμένον τὸ περιττὸν, ἀλγήματος αἴτιον αὐτῇ γίνεσθαι. D διαφορεῖ γὰρ οὐδὲν πλῆθος, οὐδὲ καθ' ἓν μόριον ὁ χειμών. ἐπ' ἐνίων δὲ συναχθείσης ἐπὶ πλέον, καὶ οἱονεὶ πιληθείσης τῆς κεφαλῆς, ἐκθλιβόμενον τὸ περιττὸν, εἰς τὰ κάτω τῆς κεφαλῆς ἰέναι χωρία. Τοῦτο μὲν οὖν, οἷον κάθαρσίς ἐστι καὶ κένωσις τῆς κεφαλῆς. ἐφ' ὧν δὲ, διὰ τὸ βαρυνθῆναι τῷ πλήθει, προκαμούσῃ, τὸ τοῦ χειμῶνος οὐκ ἤνεγκε κρύος, ἐπὶ τούτων ψυχθεῖσα, κατὰ δυσκρασίαν, ἤδη μειζόνων ῥευμάτων αἰτία τοῖς κάτω μέρεσιν ἑαυτῆς γίνεται.

E

A

Περὶ φθινοπώρου τοῦ βορείου καὶ αὐχμηροῦ, καὶ τῶν ἀπὸ τούτου ποικίλων παθημάτων, ὀφθαλμιῶν ξηρῶν, καὶ πυρετῶν ὀξέων καὶ χρονίων. καὶ περὶ τῶν χωρίων διαφόρων, καὶ περὶ τῶν ὡρῶν μοιρῶν, καὶ κράσεων.

ΑΦΟΡΙΣΜΟΣ ιδ'.

B Ἢν δὲ βόρειον ᾖ, καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν ἐοῦσι τὰς φύσιας, καὶ τῇσι γυναιξὶ ξύμφορον, τοῖσι δὲ λοιποῖσιν, ὀφθαλμίαι ἔσονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες, καὶ κόρυζαι χρόνιαι, ἐνίοισι δὲ καὶ μελαγχολίαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ λόγος ὁ νῦν εἰρημένος, εὔδηλον ὡς οὐκ ἔστι τέλειος ἀφορισμὸς, ἀλλ᾽ ἑνὸς ἀφορισμοῦ μέρος δεύτερον, οὗ τὸ πρότερον μέρος, ἄρτι πεπαύμεθα διεξερχόμενοι. C μενούσης γὰρ κοινῆς τῆς κατὰ τὸ θέρος ὑποθέσεως ἀμφοτέροις τοῖς λόγοις, ὁ μὲν πρότερος, ἔπομβρον καὶ νότιον ἐπ᾽ αὐτῇ προϋποτίθεται τὸ φθινόπωρον. ὁ δὲ δεύτερος ὁ νῦν ἐνεστὼς, ἄνυδρον καὶ βόρειον. ὅτι δ᾽ οὐδὲν διαφέρει ξηρὸν, ἢ αὐχμηρὸν, ἢ ἄνυδρον εἰπεῖν, πρόδηλον παντί. Γενομένων οὖν ἀμφοτέρων τῶν ὡρῶν τε καὶ ξηρῶν, αἱ μὲν ὑγραὶ φύσεις, οὐ μόνον οὐδὲν βλαβήσονται πρὸς τῆς τοιαύτης καταστάσεως, ἀλλὰ καὶ ὠφέλειά τις ἐν αὐταῖς γενήσεται. Τὴν δ᾽ αἰτίαν αὐτὸς εἶπεν, ἐν τῷ περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων, οὕτω γράψας. D τοῖσι δὲ φλεγματίῃσι ταῦτα πάντα ἀρωγά ἐστιν. ἀναξηραίνονται γὰρ, καὶ εἰς τὸν χειμῶνα ἀφικνέονται, οὐ πλαδῶντες, ἀλλ᾽ ἀνεξηραμμένοι. τοῖσι δὲ λοιποῖσιν, ὅσοι μὴ τοιοῦτοι, ξηραὶ μὲν ὀφθαλμίαι, πυρετοὶ δὲ ὀξέες ἔσονται, καὶ κόρυζαι, τισὶ δ᾽ αὐτῶν, καὶ μελαγχολίαι. Τὴν δ᾽ αἰτίαν τῆς τούτων γενέσεως, αὐτὸς εἶπεν ἐν τῷ προγεγραμμένῳ βιβλίῳ, διὰ τῆς δὲ τῆς λέξεως. Τοῖσι δὲ χολώδεσι τοῦτο πολεμιώτατον γίνεται, λίαν γὰρ ἀναξηραίνονται, καὶ ὀφθαλμίαι τούτοισι ἐπιγίνονται ξηραὶ, E καὶ πυρετοὶ ὀξέες καὶ πολυχρόνιοι, ἐνίοισι δὲ καὶ μελαγχολίαι. εἶτα ἐπιφέρων φησὶν, τῆς γὰρ χολῆς τὸ μὲν ὑγρότατον, καὶ ὑδαρέστατον, ἀποξηραίνεται καὶ ἀναλίσκεται. τὸ δὲ παχύτατον, καὶ δριμύτατον λείπεται, καὶ τοῦ αἵματος, κατὰ τὸν αὐτὸν λόγον, ἀφ᾽ ὧν ταῦτα τὰ νοσήματα αὐτοῖς γίνεται. Ταῦτα μὲν οὖν ἡμῖν εἰς τὰς προκειμένας καταστάσεις αὐτάρκως εἰρήσθω. διὰ τί δὲ μόνον τούτων τῶν καταστάσεων ἐμνημόνευσεν ὁ Ἱπποκράτης, οὐσῶν γε ἄλλων πολλῶν, οὐκ ἔχω φάναι. δηλῶσαι δὲ μᾶλλον βούλομαι τὴν μέθοδον, ᾗ τις ἂν χρώμενος, συμπλέκοι πάσας τὰς καταστάσεις, οὖσαν τοιάνδε. F Ἄρξασθαι μὲν οὖν ἀναγκαῖόν ἐστιν, ὡς ἀπὸ στοιχείων, τῶν ἁπλῶν δυσκρασιῶν τοῦ περιέχοντος ἡμᾶς ἀέρος· διελομένων δὲ αὐτὰς εἴς τε τὰς πάνυ μικρὰς, καὶ εἰς τὰς πάνυ σφοδρὰς, καὶ εἰς τὰς

De Autumno aquilonio & sicco; & ijs quos excitat affectibus ophthalmiis aridis, acutis febribus, ac diuturnis; ac de diuersis regionibus, ac tempestatum anni partibus, ac temperamentis.

APHORISMVS XIV.

Si verò autumnus *aquilonius & pluuiarum expers fuerit, hominibus natura humidis, & mulieribus confert; reliquis autem ophthalmiæ erunt aridæ, & febres tum acutæ, tum diuturnæ, atque nonnullis melancholiæ.*

GALENI COMMENTARIVS.

Patet hanc orationem nunc pronunciatam integrum aphorismum non esse; sed vnius aphorismi partem alteram, cuius priorem partem nuper explicare destitimus. Nam manente communi ea, quæ æstatis est, vtrique orationi suppositione; prior quidem autumnum illic pluuium & australem præsupponit; posterior verò quæ nunc instat, siccum & aquilonium. Quòd verò nihil differat siccum aut squallentem pluuiarum expertem aut inaquosum proferre, cuique manifestum est. Ambabus ergo anni tempestatibus & squallidis & siccis effectis, humidæ quidem naturæ non modo nihil offendentur ab eiusmodi constitutione; sed potius aliquam vtilitatem capient. Causam verò ipse dixit libro de aëre, locis, & aquis, sic scribens: *Pituitosis verò hæc omnia sunt auxilia. Desiccantur enim atque ad hyemem minimè humecti; sed exsiccati perueniunt. Reliquos verò minimè tales, ophthalmiæ siccæ, febres acutæ, atque grauedines, & eorum nonnullos melancholiæ comitantur. Horum generationis causam ipse prædicto libro his verbis explicat. Biliosis verò hæc tempestas est inimicissima: admodum enim exsiccantur, his siccæ ophthalmiæ succedunt, & febres tum acutæ, tum diuturnæ, quibusdam etiam melancholiæ.* Deinde causam his verbis adfert. *Bilis enim pars humidissima atque aquosissima exsiccatur, atque absumitur; crassissima verò & acerrima relinquitur; pars quoque sanguinis eadem ratione, ex quibus hi morbi ipsis contingunt.* Hæc itaque à nobis in propositas constitutiones satis explicata sunt. Cur verò de his solis constitutionibus mentionem fecerit Hippocrates, quum & aliæ sint multæ, non habeo dicere. Malo autem declarare methodum quâ quis vtens omnes constitutiones complecteretur; quæ talis est. Primum igitur à simplicibus ambientis nos aëris intempestatibus tanquam ab elementis exordiri necessarium est; deinde ipsas in minimas, maximas, ac medias diuidere; postea sic prædictarum intempestatum vnaquaque singulis in temporibus oborta dicere, quos morbos pro cuius-

que naturæ ratione sit procreatura; atque deinceps duorum temporum intemperies sibi inuicem complicare, quemadmodum nunc aggressus est Hippocrates. His verò commemoratis omnibus, trium deinceps temporum, deinde quatuor intemperies copulandæ sunt: Sic enim perfecta euadet exercitatio. Hæc igitur & nos fortassis aliquando, si plus otij nacti fuerimus, seorsum scribemus. Sufficiat autem in præsentia hoc solùm dixisse paucas admodum intempestatum complexiones Hippocratem ita scripsisse, vt hæ potius quoddam exemplum esse videantur, quàm pars aliqua effatu digna totius circa talia disciplinæ. Dicemus autem pleniùs de ipsis, quum librum de aëre, locis, & aquis, & Epidemiorum primum interpretabimur. Iam verò quòd paulo antè sum me dicturum pollicitus, eo ascripto, in ipso finem orationis sum positurus. Intelligere nanque nos oportet omnes, de quibus scripsit Hippocrates, constitutiones in temperatis mundi regionibus fuisse; exceptis Thraciæ locis à mari remotioribus. Hæc enim supra modum sunt humida & frigida; quemadmodum tum Ægyptus, tum Libya regiones calidiores ac sicciores, exceptis earum tractibus illic mari adjacentibus. Frigidis enim regionibus, qualis Thracia, ac Pontus, quia humiliores, mari sunt finitimæ, propterea temperamento calidiores existunt. Calidis verò, qualis Ægyptus ac Libya, quoniam per æstatem à ventis ab Arcto spirantibus refrigerantur, idcirco minus calent, quàm quæ ad mediterraneum recesserunt. Zona verò exquisitè temperata ac media orbis habitabilis est, quæ per Cnidum & Coum insulas, & quæ loca non longè ab his ad Vrsam aut ad Austrum recesserunt. Intelligere autem te oportet, & cogitatione comprehendere rectam quandam lineam, per quæ dixi loca tum ad ortum, tum ad occasum porrectam, temperatam esse Zonam nominatam, quod ab ijs qui his in rebus versantur accuratè didiceris. Nonnulli autem Astrologi non Zonas, sed parallellas tales vocitant habitationum similitudines, ab ortu ad occasum porrectas. Itaque de ijs potissimùm locis Hippocrati sermo est. Temporum autem ordo, vt & ipse passim libris Epidemiorum indicauit, & vt præstantissimi earum rerum periti scripserunt, talis est. Vergiliarum ortus, æstatis initium est; cui succedit canis ortus, oporæ vocatæ, quam etiam secundam æstatis partem appellant. Post hanc Arcturus oriens, autumno dat initium. Deinde Vergiliarium occasus, hyemis principium existit. Atque quod inde hyemem sequitur æquinoctium, veris exordium continet.

A μέρας, καὶ μετὰ ταῦτα εἰπεῖν περὶ ἑκάστης τῶν εἰρημένων δυσκρασιῶν, ἐν ἑκάστῃ τῶν ὡρῶν γινομένης, τίνα γίνεσθαι νοσήματα καθ' ἑκάστην φύσιν. εἶθ' ἑξῆς συμπλέκειν ἀλλήλαις δυοῖν ὡρῶν δυσκρασίας, ὡς νῦν Ἱπποκράτης ἐπεχείρησε. διελθόντας δὲ καὶ ταύτας ἁπάσας, ἐφεξῆς τὰς τῶν τριῶν ὡρῶν δυσκρασίας συμπλέξαι πάσας πάσαις, εἶθ' ἑξῆς τὰς τῶν τεσσάρων, οὕτως γὰρ ἂν ἡ γυμνασία γένοιτο τελεία. Ταυτὶ μὲν οὖν ἴσως ποτὲ καὶ ἡμεῖς, σχολῆς ἐὰν ἐπιλαβώμεθα πλείονος, ἰδίᾳ γράψομεν. ἐν τῷ παρόντι δ' ἀρκείτω μόνον τοῦτο εἰρημένον, ὡς B ὀλίγας πάνυ συμπλοκὰς δυσκρασιῶν ἔγραψεν ὁ Ἱπποκράτης, ὡς παράδειγμα δοκεῖν εἶναι μᾶλλον αὐτάς, ἤ τι μέρος ἀξιόλογον ὅλης τῆς περὶ ταῦτα διδασκαλίας. ἐροῦμεν δ' ἐπὶ πλέον ὑπὲρ αὐτῶν, ἐπειδὰν ἐξηγησόμεθα, τό τε περὶ τῶν ὑδάτων, καὶ ἀέρων, καὶ τόπων σύγγραμμα, καὶ τὸ πρῶτον τῶν ἐπιδημιῶν. ὃ δὲ ὑπεσχόμην ὀλίγον ἔμπροσθεν ἐρεῖν, ἤδη προσγράψας, ἐπ' αὐτῷ καταπαύσω τὸν λόγον· ἀκούειν γὰρ ἡμᾶς χρή, τῶν καταστάσεων ἁπασῶν, ὧν ἔγραψεν ὁ Ἱπποκράτης, ἐν τοῖς εὐκράτοις χωρίοις τῆς οἰκουμένης γινομένων, ἐξῃρημένων τοῦ λόγου τῆς C μὲν Θρᾴκης, ὅσα τῆς θαλάττης ἀποκεχώρηκεν· ὑγρὰ γὰρ ταῦτα, καὶ ψυχρὰ περαιτέρω τοῦ μετρίου, καθάπερ τὰ κατ' Αἴγυπτόν τε καὶ Λιβύην, θερμὰ καὶ ξηρά, πλὴν κἀνταῦθα τῶν ἐπὶ τῇ θαλάττῃ κειμένων. ἐν γὰρ τοῖς ψυχροῖς χωρίοις ὁποῖα τὰ κατὰ τὴν Θρᾴκην ἐστὶ καὶ Πόντον, ἐπειδὴ ταπεινὰ τὰ πρὸς τῇ θαλάττῃ, διὰ τοῦτ' ἐστὶ θερμότερα ταῖς κράσεσιν. ἐν δὲ τοῖς θερμοῖς, ὁποῖα τὰ κατ' Αἴγυπτόν τε καὶ Λιβύην, ἐπειδή, τοῦ θέρους, ἀναψύχεται τοῖς ἀρκτικοῖς ἀνέμοις, διὰ τοῦτ' ἐστιν ἧττον θερμὰ τῶν ἀποκεχωρηκότων εἰς μεσόγειον. ἡ δ' ἀκριβῶς D εὔκρατός τε καὶ μέση ζώνη τῆς οἰκουμένης ἐστίν, ἡ διὰ Κνίδου, καὶ Κῶ, καὶ ὅσα χωρία μὴ πολὺ τούτων ἀποκεχώρηκεν, ἤτοι πρὸς ἄρκτον, ἢ πρὸς νότον. ἐπινοῆσαι δέ σε χρή, δι' ὧν εἴρηκα χωρίων, ἐπ' ἀνατολήν τε καὶ δύσιν, εὐθεῖάν τινα τεταμένην γραμμὴν εἶναι, τὴν εὔκρατον καλουμένην ζώνην, καὶ ὑπὸ τῶν περὶ τὰ τοιαῦτα δεινῶν, ἀκριβῶς νοήσεις. ὀνομάζουσι δ' ἔνιοι τῶν ἀστρολόγων, οὐ ζώνας, ἀλλὰ παραλλήλους, τὰς τοιαύτας ἐπὶ τῆς γῆς ὁμοιότητας τῶν οἰκήσεων, ἐπ' ἀνατολῆς ἕως δύσεως ἐκτεταμένας. ὁ μὲν οὖν λόγος τῷ Ἱπποκράτει E περὶ τούτων ἐστὶ μάλιστα τῶν χωρίων· ἡ δὲ τῶν ὡρῶν τάξις, ὡς αὐτός τε πολλάκις ἐνδείκνυται διὰ τῶν ἐπιδημιῶν, οἵ τ' ἄριστοι τῶν περὶ τὰ τοιαῦτα δεινῶν ἔγραψαν, ἥδ' ἐστίν. ἐπιτολὴ πλειάδος ἀρχὴ θέρους ἐστί, μεθ' ἣν, κυνὸς ἐπιτολὴ τῆς καλουμένης ὀπώρας, ἣν δὴ καὶ αὐτήν, τὸ δεύτερον μέρος τοῦ θέρους τίθενται, μεθ' ἣν, ἀρκτοῦρος ἐπιτέλλων, ἀρχὴν ποιεῖται φθινοπώρου, κἄπειτα, δύσις πλειάδων χειμῶνος ἀρχὴ γίνεται, εἶτα μετὰ τὸν χειμῶνα, ἰσημερία τὴν ἀρχὴν ἔχει τοῦ ἦρος.

A

Τοὺς αὐχμοὺς τῶν ἐπομβριῶν ὑγιεινοτέρους εἶναι, καὶ ἧσσον θανατώδεας δοκιμάζει ὁ Γαληνὸς, ὃς τὸ περιπλεῖν τρίτης πέψεως περίττωμα ποιεῖ.

ΑΦΟΡΙΣΜΟΣ ιέ.

Τῶν δὲ καταστάσιων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι βέλτιον ἦν τῶν προειρημένων ἀφορισμῶν, ἐν οἷς διδάσκει περὶ τῆς ἐν ταῖς ὥραις καταστάσεως, γεγράφθαι τοῦτον πρῶτον τὸν ἀφορισμὸν, ὃν νῦν προκεχειρίσμεθα, δι' αὐτῶν τῶν πραγμάτων ἐμάθομεν, ἐν τῷ πιστώσασθαι τοὺς προγεγραμμένους ἀφορισμοὺς, δεηθέντες αὐτοῦ· καὶ τοῦτο ἐξ ἀνάγκης ἐμάθομεν· ἐπειδὴ πρότερόν ἐστι καὶ τῇ φύσει, καὶ τῇ διδασκαλίᾳ τὸ ἁπλοῦν τοῦ συνθέτου. C μετ' ἐκεῖνον οὖν τὸν ἀφορισμὸν οὗ ἡ ἀρχὴ, νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοί. πρότερον μὲν τάξομεν οὗ ἡ ἀρχὴ, αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι τά τε σώματα συνιστῶσι· δεύτερον δὲ τόν γε νῦν ἡμῖν προκείμενον, ἐν ᾧ τῶν ὅλων τοῦ ἐνιαυτοῦ καταστάσεων, προκρίνει τοὺς αὐχμοὺς, τῶν ἐπομβρίων, εἰκότως. ἐν μὲν γὰρ τοῖς αὐχμοῖς, διαφορεῖται τὰ περιττὰ ὑγρὰ, κατὰ δὲ τὰς ἐπομβρίας, ἔνδον τοῦ σώματος ἀθροιζόμενα σήπεται, πλὴν εἴ τις αὐτὰ καθ' ἑκάστην ἡμέραν ἀθροιζόμενα ἐκκαθαίρει τοῖς D γυμνασίοις. οὐ μεγάλη γὰρ ἡ διὰ τῶν βαλανείων κένωσις, καὶ μόνον σχεδόν τι τῶν κατὰ τὸ δέρμα. τὰ δὴ ἐν τῷ βάθει κατεσπαρμένα, τῇ τε σαρκὶ, καὶ τοῖς στερεωτέροις ὀργάνοις, οὐκ αὐτάρκως ἐκκενοῦται διὰ τῶν βαλανείων, οὐ μὴν οὐδὲ διὰ τῶν καθαρτικῶν φαρμάκων ἡ κένωσίς γε τῶν περιττῶν ἐπιτήδειος. μεγάλως τε γὰρ δεομένοις χρήσιμος, καὶ διὰ χρόνων μακρῶν αἱ δὲ τῶν ὁσημέραι γενομένων ἐν τῷ σώματι περιττωμάτων κενώσεις, ἐλάττους εἰσὶν, ἢ κατὰ φαρμάκου καθαίροντος ἐνέργειαν. εἰ δὲ καὶ βουληθείη τις αὐταῖς χρῆσθαι δὶς τοῦ μηνὸς, ἢ πάντως E γε ἅπαξ, εὐλαβούμενος ἀθροισθῆναι πολλὰ τῶν περιττωμάτων, κακώσει τὸ σῶμα, μετὰ καὶ τοῦ μοχθηρῷ περιβάλλειν ἔθει. τῆς γάρ τοι τροφῆς, τὸ μὲν οἷον ὀρρῶδές ἐστι καὶ ὑγρὸν, ὃ χάριν τῆς ἀναδόσεως αὐτῇ μέμικται. τὸ δὲ οἷον λιγνυῶδες περίττωμα, κατὰ πλεῖστά γε τῶν σιτίων ὅσα μοχθηρότερα, ‸ καὶ διαφεύγει τὴν ἐργασίαν τῆς φύσεως, ὡς μήθ' ὁμοιωθῆναι τῷ τε τρεφομένῳ σώματι, μήτε προσφῦναι. ταῦτα οὖν πάντα κενοῦσθαι μὲν ἐφ' ἡμέρᾳ δεῖται· κενοῦται δὲ μᾶλλον ἐν ταῖς ξηραῖς καταστάσεσιν, ἤπερ ἐν ταῖς ὑγραῖς, καὶ διὰ τοῦτο, ταύτας ὑγιεινοτέρας εἶπεν. F

ἔστιν, ἐπεὶ

Siccitates imbribus salubriores esse, minusque lethales probat Galenus, qui triplex efficit tertiæ coctionis excrementum.

APHORISMVS XV.

Ex anni constitutionibus in vniuersum siccitates assiduis imbribus sunt salubriores minusque lethales.

GALENI COMMENTARIVS.

Qvod præstiterit prædictorum aphorismorum in quibus de tempestatum anni statu docet, hunc aphorismum primum scribere, quem nunc explicandum suscepimus, ex ipsis rebus didicimus, cum ipso ad priùs scriptos aphorismos probandos, hoc etiam eguimus, tum hoc necessitate edocti sumus; quandoquidem & natura, & doctrina simplex composito prius est. Post illum igitur aphorismum cuius initium est; *Austri auditus hebetudinem, visus caliginem, capitis grauitatem, torporem, ac resolutionem excitant*; Priorem illum ordine locabimus, cuius initium: *Quotidiani temporum status Aquilonij quidem densant corpora*. Secundum verò nunc nobis propositum statuemus, in quo ex omnibus anni constitutionibus siccitates imbribus præfert; idque meritò. Nam per siccitates humida excrementa discutiuntur, quæ per imbres in corpore collecta putrescunt, nisi quis ipsa quotidie exercitationibus expurget. Non enim quæ balneis vacuatio perficitur, magna est; sed nonnihil cuti cominus impactum duntaxat vacuat; quæ verò in profundo per carnem & solidiores partes organicas sparsa sunt, non satis abundè per balneas vacuantur; Neque certè quæ purgantibus medicamentis excrementorum vacuatio promouetur, idonea fuerit; quippe quæ magnopere egentibus & longis temporum interuallis vtenda veniat. Ad hæc quæ quotidie in corpore excrementa procreantur, pauciores eorum vacuationes purgantis medicamenti facultatibus cedunt. Quod si quis veritus ne copiosa in corpore excrementa cumulentur, purgationibus bis aut certè semel in mense vti voluerit, is prætérquamquòd prauæ corpus implicabit consuetudini, etiam ipsum labefactabit. Enimvero alimenti excrementum quoddam est velut serosum ac humidum, quod ipsi distributionis gratiâ permixtum est; alterum est tanquam fuliginosum residuum in permultis cibariis præsertim deterioribus, quod naturæ opificium coctionemve subterfugit, vt quod neque alendo corpori assimilari, neque agglutinari queat. Hæc igitur omnia quotidie vacuanda sunt; sed siccis potius quam humidis tempestatibus vacuantur, proptereaque illas salubriores esse pronunciauit.

A

Qui morbi assiduos imbres, & qui magnas siccitates sequuntur; ac de singulorum caussis, & explicationibus.

APHORISMVS XVI.

PEr assiduos imbres morbi plerunque oriuntur, febres diuturnæ, alui fluxiones,
B *putredines, epilepsiæ, apoplexiæ, anginæ. Per magnas autem, siccitates tabes, ophthalmiæ, arthritides, stranguriæ, ac dysenteriæ.*

GALENI COMMENTARIVS.

FEbres quidem longas humiditatis multitudinem sequi mirum non est, siquidem ægroti ad morborum solutionem coctione egent; plures autem humiditates non nisi lon-
C go tempore concoqui possunt. Huc accedit, quòd pluuiarum assiduitate frigidiores & pituitosiores humores procreentur; quemadmodum contra siccitatibus biliosiores. Quare hac quoque ratione febres pluuiosis temporibus diuturniores, contraque siccitatibus acutiores euadunt. Alui autem fluxiones meritò pluuiosis temporibus oboriri ex humorum redundantia per aluum expurgata obscurum non est, quemadmodum & putredines. Sicca nanque humidis putredini minus esse obnoxia manifestè conspiciuntur. Sunt vtique & epilepsiæ,
D & apoplexiæ morbi pituitosi. Angina autem fit interdum ipsa excrementorum ad fauces delata multitudine; fit etiam plerunque fluxionibus à capite in faucibus impactis. Quòd autem pluuiosis temporibus tum alias fluxiones, tum potissimùm è capite ruentes exuberent & manifestum & multoties à me dictum est. Per siccitates autem tabificos morbos, ophthalmias, arthritides, strangurias, & dysenterias scatere proferens, indistinctius mea quidem sententia de his orationem fecit. Morbi nanque tabidi hasce duas constitutiones sequuntur; vnam summè frigidam, qua vas aliquod
E instrumentorum respirationi seruientium rumpitur; alteram calidam simulque humidam, qua caput repletum ad pulmonem fluxiones ablegat; siccam vero constitutionem, quantum in calore ac frigore secundùm naturam se habentem, omnes potius morbi quam tabes comitabuntur. Propterea mihi videntur nonnulli coacti fuisse ad oculos affectos tabificum *adiectiuum* relatum intelligere, vt sit huiusmodi oratio; *Immoderatis autem siccitatibus ophthalmiæ tabificæ fiunt*, hoc, est quæ in oculorum tabem desinant, qua ipsi præter naturam tum macilentiores, tum sicciores prorsus eua-
F dunt, eorumque pupilla redditur angustior, exsiccatis videlicet humoribus à quibus moderatè quidem distenta in naturali symmetria seruabatur, magis verò quam oporteat, ad prauam latitudinem extendebatur. Si verò ipsas per se dici ophthalmias intelligamus, ipsis sic-

Τίνα νοσήματα τὰ ταῖς ἐπομβρίαις, καὶ τὰ τοῖς αὐχμοῖς ἐπιγινόμενα· καὶ περὶ τῆς ἑκάστου αἰτίας, καὶ ἐξηγήσεων.

ΑΦΟΡΙΣΜΟΣ ιϛʹ.

Νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίνεται, πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες,
B καὶ σηπεδόνες, καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι. ἐν δὲ τοῖσιν αὐχμοῖσι, φθινώδεες, ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι, καὶ δυσεντερίαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν, τοὺς μακροὺς πυρετοὺς, ὑγρότητος ἕπεσθαι πλήθει, θαυμαστὸν οὐδέν. εἴ γε δέονται μὲν τῆς πέψεως οἱ κάμνοντες εἰς λύσιν τῶν νοσημάτων, τὰς πλεί-
C στας δὲ ὑγρότητας, εἰκὸς ἐν πλείονι χρόνῳ πέττεσθαι. πρόσεστι δὲ καὶ τὸ ψυχροτέρους, καὶ φλεγματικωτέρους ἐν ταῖς ἐπομβρίαις γίνεσθαι τοὺς χυμοὺς, ὥσπερ αὖ πάλιν ἐν τοῖς αὐχμοῖς χολωδεστέρους, ὥστε καὶ κατὰ τοῦτο, (χρονιοῦσι μὲν ἐν ταῖς ἐπομβρίαις, ὀξύτεροι δὲ ἐν τοῖς αὐχμοῖς πυρετοὶ γίνονται), τὸ δὲ, καὶ τὰς ῥύσεις τῆς κοιλίας εἰκότως ἐν ταῖς ἐπομβρίαις γίνεσθαι, τῆς ἐν τοῖς χυμοῖς περιουσίας ἐκκαθαιρομένης διὰ τῆς γαστρὸς οὐκ ἄδηλον, ὥσπερ γε οὐδὲ τὰς σηπεδόνας· ἀσηπτότερα γὰρ ἐναργῶς ὁρᾶται τὰ ξηρὰ τῶν ὑγρῶν. Εἰσὶ δὲ δήπου καὶ
D αἱ ἀποπληξίαι, καὶ αἱ ἐπιληψίαι, φλεγματικὰ νοσήματα. κυνάγχη δὲ, γίνεται μὲν ἔστιν ὅτε καὶ αὐτοῦ τοῦ πλήθους τῶν περιττωμάτων ἐνεχθέντος εἰς φάρυγγα· γίνεται δὲ ὡς τὰ πολλὰ, καὶ τῶν ἐκ τῆς κεφαλῆς ῥευμάτων, ἐν φάρυγγι στηριχθέντων. Ὅτι δὲ ἐν ταῖς ἐπομβρίαις τά τε ἄλλα ῥεύματα, καὶ μάλιστα τὰ ἐκ τῆς κεφαλῆς ὁρμώμενα πλεονάζει, πρόδηλόν ἐστι, καὶ λέλεκται πολλάκις. ἐν δὲ τοῖς αὐχμοῖς, τάς τε φθινώδεις νόσους φησὶ πλεονάζειν, καὶ τὰς ὀφθαλμίας, ἀρθρίτιδάς τε, καὶ στραγγουρίας, καὶ δυσεντερίας, ἀδιοριστότερον, ὡς ἐμοὶ δο-
E κεῖ, τὴν περὶ τούτων ἀπόφασιν ποιησάμενος. Αἱ γὰρ φθινώδεις νόσοι, δύο ταύταις ἕπονται καταστάσεσι τῇ τε ἄκρως ψυχρᾷ καθ' ἣν καὶ ῥήγνυταί τι τῶν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἀγγείων τινὰ, καὶ τῇ μεθ' ὑγρότητος θερμῇ. καθ' ἣν ἡ κεφαλὴ πληρουμένη, καταπέμπει τῷ πνεύμονι ῥεύματα. τῇ δὲ ξηρᾷ μὲν, ἴσον ἐπὶ τῇ θερμότητι καὶ ψυχρότητι κατὰ φύσιν ἐχούσῃ, πάντα μᾶλλον ἢ φθινώδεες ἀκολουθήσουσι νόσοι. διό μοι δοκοῦσί τινες ἀναγκασθῆναι τὸ περὶ τῶν ὀφθαλμῶν ἀκοῦσαι τὸ φθινῶδες, ἵνα ὁ λόγος ᾖ τοιοῦτος. ἐν δὲ τοῖς ἀμέτροις αὐχμοῖς, αἱ τ' ὀφθαλμίαι
F φθινώδεις γίνονται, τουτέστιν εἰς φθίσιν ὀφθαλμῶν τελευτῶσι, καθ' ἣν ἀτροφώτεροί τε καὶ ξηρότεροι τοῦ κατὰ φύσιν ἀποτελοῦνται μετὰ τοῦ καὶ τὴν κόρην αὐτῶν στενὴν γίνεσθαι, ξηραινομένων δηλονότι τῶν ὑγρῶν, ὑφ' ὧν διατεινομένη μετρίως μὲν ἐν τῇ κατὰ φύσιν ἐφυλάττετο συμμετρία, μειζόνως δὲ ἢ προσῆκεν, εἰς πλάτος ἐξετείνετο μοχθηρόν. Εἰ δ' αὐ-

τὰς καθ' ἑαυτὰς ἀκούομεν εἰρῆσθαι τὰς ὀφθαλμίας, προσθή- A σομεν αὐταῖς τὰς ξηράς. Εἴρηται δὲ ὀλίγον ἔμπροσθεν ἡ αἰτία, τοῦ ξηρὰς ὀφθαλμίας ἐν τοῖς ἀμέτροις αὐχμοῖς γίνεσθαι. Καὶ μὴν δὴ καὶ τὰ ἀρθριτικὰ νοσήματα, τὰ μὲν ἐπὶ ῥεύμασιν, οὐδὲ ὅλως ἔσται κατὰ τὰς ἀμέτρους ξηρότητας. τὰ δὲ ὑπὸ δριμύτητός τινος, ἐὰν καὶ θερμότης ἄμετρος προσγένηται, τηνικαῦτα μόνον ἔσται. Τίνας οὖν εἴρηκεν ἀρθρίτιδας, ἐν τοῖς αὐχμοῖς γίνεσθαι, ζητητέον· εἰ γὰρ ἄμετροι γενηθέντες δαπανήσειαν ἐκ τῶν ἄρθρων τὴν ὑγρότητα, δυσκινησίαν μέν τινα κατὰ ξηρότητα ποιήσουσιν, ἴσως δὲ ἄν ποτε καὶ ἄλγημα· τὴν μέντοι καλουμένην ἀρθρῖτιν, οὐκ ἂν ἐργάσαιντο, πλὴν εἰ πᾶν ἄρθρων ἄλγη- B μα καλεῖν τὸ τοιοῦτον τις ἐθέλῃ. καίτοι αὐτὸς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν φησίν. Ἐν Αἴνῳ, ἐν λιμῷ ὀσπριοφαγέοντες, σκελέων ἀκρατέες ἐγένοντο· ἀτὰρ καὶ ὀροβοφαγέοντες, γονυαλγέες, οὐκ ἀρθριτικοὺς, ἀλλὰ γονυαλγεῖς ὠνόμασεν αὐτούς. ἴσως δὲ ἄν τις λέγοι, μὴ τὸν ἑνὸς ἄρθρου πόνον, ἀλλὰ τῶν πολλῶν, ἀρθρῖτιν ὀνομάζεσθαι. καὶ κατὰ τοῦτο, μηδέπω τοὺς γονυαλγεῖς ἀρθριτικοὺς προσαγορεύεσθαι. περὶ μὲν οὖν τῆς ἀρθρίτιδος ἀρκείτω διηπορῆσθαι μέχρι τοσούτου. Περὶ δὲ τῶν στραγγουριῶν ἐφεξῆς εἴπωμεν· οὐδὲ γὰρ οὐδ' αὗται τοῖς αὐχμοῖς ἁπλῶς ἕπονται, C χωρὶς τοῦ διορίσασθαι τοὺς τρεῖς διορισμούς. ἕνα μὲν τὴν ἀμετρίαν τῆς ξηρότητος, ἕτερον δὲ, τὴν μετὰ θερμότητος, καὶ τρίτον, τὴν μετὰ ψυχρότητος, ὧν οὐκ ἐμνημόνευσεν ὁ Ἱπποκράτης. ἀλλ' ἐάν τις, ὡς ἔφην, ἐθελήσῃ πασῶν τῶν ἐν ταῖς ὥραις καταστάσεων ἐρευνήσασθαι τὴν φύσιν, οὕτως αὐτῷ ποιητέον. ἔσται δὲ ὁ λόγος σαφὴς, ἐπὶ παραδείγματος, αὐτοῦ τοῦ νῦν προκειμένου σκέμματος. αὐχμὸς μὲν γὰρ ἄμετρος, ἐν μὲν ταῖς εὐκράτοις φύσεσιν, ἑτέραν ἐργάζεται κατὰ τὸ σῶμα διάθεσιν· ἑτέραν δὲ ἐν ταῖς ξηραῖς, ὥσπερ γε κἀν ταῖς ὑγραῖς ἑτέραν. οὕτω δὲ D καὶ κατὰ τὴν θερμήν τε καὶ ψυχρὰν, ἄλλην ἐν ἑκατέρᾳ διάθεσιν ἐργάζεται· καὶ κατὰ τὰς συζυγίας δὲ τῶν ἁπλῶν δυσκρασιῶν, ἄλλην μὲν ἐν τῇ θερμῇ τε καὶ ξηρᾷ, διαφέρουσαν δὲ ταύτης ἐν τῇ ψυχρᾷ τε καὶ ξηρᾷ, κἀπὶ τῶν ὑπολοίπων δυοῖν ὡσαύτως. ὥσπερ δὲ ἁπλῆν φυλάξαντες ἄρτι τὴν τοῦ περιέχοντος δυσκρασίαν, καθ' ἑκάστην φύσιν ἔφαμεν τινὰ ἰδίαν ἐργάζεσθαι διάθεσιν, οὕτω σύνθετον ὑποθέμενοι, καθ' ἑκάστην αὖ πάλιν φύσιν ἐπισκεψόμεθα τὰς ἐσομένας διαθέσεις. ἔσται δὲ σύν- E θετος, ἡ ξηρὰ τοῦ περιέχοντος κατάστασις, ὅταν ἤτοι μετὰ ψυχρότητος ἢ θερμότητος μιχθῇ. καίτοι γε ἁπλῆ, δόξειεν ἂν εἶναί πως σύνθετος, ἐμίγνυτο γὰρ εὐκράτῳ καταστάσει μέση τῶν ἀμετριῶν ἑκατέρων, τῆς τε κατὰ θερμότητα, καὶ τῆς κατὰ ψυχρότητα. Συγκεχωρημένου δὲ ἐν ταῖς διδασκαλίαις, ἁπλᾶς μὲν δυσκρασίας γίνεσθαι, τὰς κατὰ μίαν ποιότητα τοῦ κατὰ φύσιν ἐξισταμένας, οὐχ ἁπλᾶς δὲ, τὰς κατὰ πλείους εἰκότως. ὅταν ἐν μὲν τῇ κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν ἀντιθέσει, δύσκρατον ᾖ τὸ περιέχον, ἐν δὲ τῇ F κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν, εὔκρατον, ἁπλῆν ἐροῦμεν εἶναι τὴν δυσκρασίαν. ἐφ' ἁπάντων οὕτω σκοποῦσιν ἡμῖν, εὔδηλον εἰς ὅσον ἐκταθήσεται μῆκος ὅ τ' ἄλλος τῶν καταστάσεων λόγος, ὅ τε νῦν εἰρημένος ἐπὶ τῆς κύστεως. Αἱ γάρ τοι στραγγουρίαι, γίγνονται διά τε τὴν

cas adjungemus. Dicta verò paulò antè causa est, qua siccæ ophthalmiæ per immoderatos squalores procreentur. Iam verò arthritici morbi à fluxionibus oriundi nullo modo per immoderatas siccitates fient. Qui nanque ab acrimonia quadam procedunt, si calor quoque immoderatus accesserit, tunc solum oborientur. Quas igitur arthritides per squalores fieri dixerit, quærendum est. Si enim immoderati squalores facti articulorum humiditatem consumpserint, aliquam sanè præ siccitate motus difficultatem, fortassis etiam interdum dolorem efficient; nunquam tamen affectionem arthritim vocatam concitauerint, nisi quis omnem articulorum dolorem ita vocare velit. Quanquam ipse Epidemiorum secundo ita pronunciat. *Æni famis tempore qui leguminibus vescebantur in crurum debilitatem inciderant, & propter eorum esum genuum dolores patiebantur*, non arthriticos, sed genua dolentes ipsos appellauit. At quidam fortassis censet non vnius articuli dolorem; sed multorum simul arthritin nominari; & idcirco genua dolentes nondum arthriticos appellari. Atque de arthritide hactenus hæc quæsiisse sufficiat. De stranguriis autem deinceps disseramus: Neque enim ipsæ etiam siccitates absolutè comitantur, nisi tribus adhibitis distinctionibus. Prima est immoderata siccitas; secunda cum calore *siccitas*; tertia siccitas cum frigore; quarum non meminit Hippocrates. Si cui tamen vt dixi, libeat omnium in anni tempestatibus constitutionum naturam inuestigare, sic ipsi faciendum. Erit autem manifesta exemplo propositæ huius quæstionis oratio: Nam immoderata siccitas aliam in temperatis naturis, aliam in siccis, quemadmodum & aliam in humidis corporis affectionem efficit: sic & in calidis ac frigidis, diuersam in vtraque affectionem creat. Secundum etiam conjugationes simplicium intemperatum, aliam quidem in calida & sicca; diuersam autem ab ipsa in frigida & sicca; & in reliquis duabus eodem modo fit *conjugationibus*. Et quemadmodum simplicem paulo ante seruantes ambientis aëris intemperiem, in vnaquaque natura futuras affectiones considerabimus. Erat autem compositæ sicca ambientis aëris constitutio, quum frigiditati, aut caliditati admixta fuerit, quanquam & simplex quodammmodo vibebatur & composita: Nam miscebatur temperatæ constitutioni inter vtramque incommoderationem tum eam quæ in calore, tum eam quæ in frigore existit, mediæ. Hoc autem concesso in doctrinis, simplices quidem intemperies eas esse quæ qualitate vna à naturali statu recedant, non simplices autem eas quæ pluribus, meritò; quum aër ambiens sicci & humidi oppositione fuerit intemperatus, & calidi & frigidi contentione temperatus, simplicem esse intemperiem dicemus. At in omnibus nobis ita speculantibus perspicuum est orationem tum eam aliam quæ de constitutionibus est, tum eam quæ nunc de vesica habetur, in magnam prolixitatem euasuram. Strangutiæ nanque fiunt tum propter vrinarum acrimoniam, tum propter facultatis retentricis vesicæ imbecillitatem; quæ rursum imbecilitas ob immoderatam ali-

quam intemperiem oboritur. Quum verò octo sint immoderationes, ipsarum vnaquaque imbecilla erit vesica; atque idcirco eam stranguriæ consequentur. Quinetiam vrinæ acrimonia à quadam fit intemperie; sed primum ac frequentius à caloris; deinde à caloris, & humiditatis; ac tertio à siccitatis excessu. Fiet itaque tum ab his causis stranguria, tum ab exceptis propriis ipsius vesicæ affectibus, quos symptomatis ratione stranguria consequitur; veluti quum quis propter vlcus, aut erysipelas, aut abscessum in ea factum, aut inflammationem, aut eiusmodi aliud, in stranguriam inciderit. Nunc enim non de his existit oratio; sed de iis solùm, quæ ab aëris ambientis temperatione proueniunt; quemadmodum neque de illis quæ ex mendoso victu procedit. Quæ de stranguria dicta sunt, hæc etiam à nobis de dysenteria dicta esse mente percipe, de qua neque ipse Hippocrati assentior. Non enim dysenteria absolutè siccitates sequitur nisi distinctè explicet primùm summam siccitatis ametriam; deinde ambientis in calore & frigore mutationem; postremò etiam affectas corporum naturas. De Hippocrate verò addubitare, quòd tantam *artis* speculationem quam primus constituit, vniuersam non absoluerit non ita æquum est, quemadmodum de Diocle primum, deinde post ipsum de Mnesitheo; postremò de cæteris plerisque Medicis qui veras Hippocratis vias sequuti multa sibi particulatim elaboranda proposuerunt. Quum enim eos deceret si quicquam aliud, eam quoque de temporum constitutionibus contemplationem, vt nuper supposui, articulatè explicare, totamque elaboratam reddere prorsus neglexerunt. Verùm nos id facere aggrediemur proprio his dicato opere, si quæ præ manibus habemus, priùs absoluta fuerint.

A δριμύτητα τῶν οὔρων, καὶ ἀῤῥωστίαν τῆς ἐν τῇ κύστει καθεκτικῆς δυνάμεως, ἥτις πάλιν ἀῤῥωστία γίνεται δι' ἄμετρόν τινα δυσκρασίαν. οὐσῶν δὲ ὀκτὼ τῶν ἀμετριῶν, καθ' ἑκάστην αὐτῶν ἄῤῥωστός τε ἡ κύστις ἔσται, καὶ διὰ τοῦτο, ἀκολουθήσουσιν αὐτῇ στραγγουρίαι. καὶ μὲν δὴ καὶ αἱ δριμύτητες τῶν οὔρων, ὑπὸ δυσκρασιῶν γίνονται τινῶν, καὶ μᾶλλον ἐπὶ τῆς κατὰ τὸ θερμόν, ἐφεξῆς δ' ἐπὶ τῆς κατὰ τὰ θερμότητά τε καὶ ὑγρότητα, καὶ τρίτον τῆς κατὰ ξηρότητα γίνονται. γοῦν καὶ διὰ ταῦτα στραγγουρία τῶν αὐτῆς τῆς κύστεως παθῶν ἰδίων ἐξῃρημένων, οἷς ἀκολουθοῦσιν αἱ στραγγουρίαι λόγῳ συμπτώματος, οἷον ὅταν ἤτοι B δι' ἕλκος, ἢ ἐρυσίπελας, ἢ ἀπόστημα κατ' αὐτὴν γενόμενον, ἢ φλεγμονήν, ἤ τι τῶν τοιούτων ἕτερον, τῇ στραγγουρίᾳ συμπέσῃ. νυνὶ γὰρ οὐ περὶ τούτων ὁ λόγος, ἀλλὰ μόνον τῶν ἐκ τῆς τοῦ περιέχοντος κράσεως γινομένων ἐστίν. ὥσπερ γε οὐδὲ περὶ τῶν ἐκ διαίτης τινὸς πλημμελοῦς. Ἃ δὲ ἐπὶ τῆς στραγγουρίας εἴρηται, ταῦτά μοι νόει κἀπὶ τῆς δυσεντερίας εἰρῆσθαι, περὶ ἧς οὐδ' αὐτὸς συμφέρομαι τῷ Ἱπποκράτει. δυσεντερίαι γὰρ οὐχ ἁπλῶς ἀκολουθήσουσι ταῖς ξηρότησιν αὐτὸν τοῦ διορίσασθαι, πρῶτον μὲν τὸ κατ' αὐτὴν ἐσχάτως ἄμετρον, εἶτα τὴν C θερμότητα καὶ ψυχρότητα τοῦ περιέχοντος ἐξαλλαγήν, εἶτα καὶ τὰς παρούσας φύσεις τῶν σωμάτων. Ἔστι δ' οὐχ οὕτως ὑπὲρ Ἱπποκράτους ἀπορῆσαι δίκαιον, ὅτι τηλικαύτην θεωρίαν πρῶτος συστησάμενος, οὐκ ἐξειργάσατο πᾶσαν. ὥσπερ Διοκλέους μὲν πρῶτον, καὶ Μνησιθέου μετ' αὐτόν, εἶτα καὶ ἄλλων πολλῶν ἰατρῶν, ὅσοι ταῖς ἀληθέσιν ὁδοῖς Ἱπποκράτους χρώμενοι, πολλὰ τῶν κατὰ μέρος ἐξεργάσασθαι προὔθεντο· δέον γὰρ αὐτοὺς, εἴπερ τι καὶ ἄλλο, τὴν περὶ τῶν καταστάσεων θεωρίαν, ὡς ὑπεθέμην ἄρτι διαρθρῶσαι, καὶ πᾶσαν ἐξεργάσασθαι, D παντελῶς ὠλιγώρησαν. ἀλλ' ἡμεῖς αὐτὸ πειρασόμεθα ποιῆσαι, γράψαντες ἑτέραν ἰδίαν πραγματείαν ὅλην περὶ τούτων. ταῦτα ἡμῖν πρότερον ὅταν μετὰ χεῖρας ἔχομεν, συντελεσθῇ.

De status tum borealis, tum australis probitate ac prauitate; ac de vtriusque affectibus, & eorum causis.

Περὶ τῆς καταστάσεως τῆς βορείου τε καὶ τῆς νοτίου ἀγαθότητος καὶ μοχθηρίας· καὶ περὶ τῶν ἑκατέρας παθῶν, E καὶ αὐτῶν αἰτίων.

APHORISMVS XVII.

Qvotidiani temporum status, aquilonij quidem corpora densant, robusta, motu facilia, probe colorata, probéque audientia reddunt, aluos exsiccant, oculos mordent, & si quis dolor thoracem prius obsederit, dolorem irritant. Austrini verò corpora tum exoluunt, tum humectant, auditum obtundunt, capitis grauitatem, & vertigines oculis, & corporibus difficilem motionem inducunt, & aluos humectant.

ΑΦΟΡΙΣΜΟΣ ιζ.

ΑΙ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι, τά τε σώματα ξυνιστᾶσι, καὶ εὔτονα, καὶ εὐκίνητα, καὶ εὔχροα, καὶ εὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρακα ἄλγημα ἤν τι προϋπάρχῃ, πονέουσι μᾶλλον. F αἱ δὲ νότιοι, διαλύουσι τὰ σώματα, καὶ ὑγραίνουσι, καὶ καρηβαρίας, καὶ βαρυηκοΐας, καὶ ἰλίγγους ποιέουσιν, ἔν τε τοῖσιν ὀφθαλμοῖσι, καὶ ἐν τοῖσι δυσκινησίην· καὶ τὰς κοιλίας ὑγραίνουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

A

Ξηρὸς καὶ ψυχρὸς ἄνεμος ὑπάρχων ὁ βορρᾶς, ἀναλίσκει μὲν ἅπαντα τὰ ἐκ τοῦ σώματος περιττὰ, τόνον δὲ ἐντίθησι τοῖς ὀργάνοις αὐτοῖς, ἐκ τοῦ σφίγγειν τε καὶ συνάγειν αὐτὰ, πιλήσει τῆς οὐσίας. διὰ τοῦτο γοῦν βελτίω πάντα γίγνεσθαι, φησὶ, κατά τε τὰς φυσικὰς, καὶ τὰς ψυχικὰς ἐνεργείας. τὰς μὲν γὰρ ψυχικὰς ἐνεδείξατο διὰ τοῦ φάναι, εὐκίνητά τε, καὶ εὐηκοώτερα, τὰς δὲ φυσικὰς ἐνεργείας, ὅταν εὔχροα λέγει. B κοινὸν δ' ἀμφοῖν ἡ εὐτονία· καὶ δῆλον ὡς ἐκ μιᾶς αἰσθήσεως τῆς ἀκοῆς, οἷον παραδείγματος, ἐδήλωσε καὶ περὶ τῶν ἄλλων. ταυτὶ μὲν οὖν ἀγαθὰ ταῖς βορείαις ὑπάρχει καταστάσεσι, καὶ μάλιστα τούτων ἀπολαύουσιν οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, καὶ τούτων αὐτῶν οἱ ὑγρότεροι μᾶλλον. ὑπάρχει δέ τινα καὶ κακὰ ταῖς καταστάσεσι ταύταις, ἀλλὰ μικρὰ, καὶ οὐχ ὅμοια τοῖς νοτίοις. πῶς γὰρ οὐ σμικρὰ, τό τε ἐπισχεθῆναι τὴν γαστέρα, καὶ δηχθῆναι τοὺς ὀφθαλμοὺς, καὶ παροξυνθῆναι τὰς προϋπαρχούσας ὀδύνας κατὰ τὸν θώρακα; γνώσῃ δ' ἐναργέστερον αὐτῶν τὴν σμικρότητα, C παραβάλλων ταῖς νοτίαις καταστάσεσιν, ἃς διαλύειν ἔφη τὰ σώματα. μέγιστον γὰρ τοῦτο κακὸν εἰς ἅπαν ἐστὶν ἔργον, ζωτικόν τε καὶ ψυχικόν· οὐ μικρὸν δ' οὐδ' ἡ καρηβαρία τε, καὶ δυσηκοΐα. Περὶ δὲ τῶν ἰλίγγων, τί δεῖ καὶ λέγειν; ἐγγὺς γὰρ οὗτοι εἰσὶν ἐπιληψίας τε καὶ ἀποπληξίας· ἴλιγγος γάρ ἐστιν ἡ σκοτοδινία, ἥτις γίνεται, ὑγροῦ μετὰ παχέος πνεύματος κινουμένου κατὰ τὴν κεφαλὴν, διὸ καὶ προηγεῖται ἐπιληψίας, καὶ ἀποπληξίας. ἀλλὰ καὶ δυσκινησίας, φησὶ, κατά τε τοὺς ὀφθαλμοὺς ἀποτελοῦσι, D καὶ σύμπαν τὸ σῶμα, μοχθηρὰ δὲ καὶ ταῦτα τὰ συμπτώματα. μόνον δ' ἐν αὐτοῖς ὑπάρχει τὸ μέτριον, ὅτι τὰς γαστέρας ὑγροτέρας ἐργάζονται. δρῶσι δὲ καὶ τοῦτο, καὶ τὰ ἄλλα πάντα μάλιστα μὲν διὰ τὴν ὑγρότητα, πρὸς ταῦτα δὲ, καὶ διὰ τὴν θερμότητα. καὶ τό γε κατὰ τὴν ἀρχὴν τοῦ λόγου γεγραμμένον, ἄμεινον ἦν ἐνελλάχθαι τῇ τάξει, πρῶτον μὲν ἔχον ἐν ἑαυτῷ, τὸ, ὑγραίνουσι, δεύτερον δὲ, τὸ, διαλύουσιν, εἶθ' οὕτω τὰ ἐφεξῆς. εἰ γὰρ ὑγραίνουσι, καὶ τῶν ἄλλων ἕκαστον ποιοῦσι, συντελούσης εἰς ταῦτα καὶ τῆς θερμασίας. E αἱ μὲν γὰρ ἐνέργειαι γίνονται διὰ τῶν στερεῶν τοῦ ζώου μορίων, ἅπερ δὴ καὶ ὄντως ἐστὶν αὐτοῦ μόρια. βαρύνεται δὲ ταῦτα, καὶ διὰ τοῦτ' ἐνεργεῖ χεῖρον, ὑπὸ πλήθους τῶν ὑγρῶν.

GALENI COMMENTARIVS.

QVum siccus ac frigidus ventus sit boreas, omnia ex corpore absumit excrementa. Ipsis autem instrumentis substantiæ densatione à se constrictis & coactis robur infert. Quamobrem perfectiùs, inquit, omnes suas functiones obeunt tam naturales quàm animales facultates. Nam animales quidem functiones his verbis ostendit: *Et motu facilia, probè audientia.* Naturales verò functiones quum probè colorata pronunciat. Vtrisque autem commune virium robur. Manifestum etiam est vnico auditus sensu veluti exemplo idem quoque de relictis sensibus intellexisse. Hæc igitur bona aquiloniis constitutionibus insunt, quibus maximè perfruuntur sanis corporibus præditi, & ex his ipsis humidiores. Adsunt tamen sua his etiam constitutionibus mala; verùm parua, miniméque malis quæ auster inuehit similia. Qua ratione non parua sint, aluum sisti, oculos pungi, & præcedentes thoracis dolores exacerbari? At ipsorum paruitatem apertius nosces, si Aquilonias cum Austrinis constitutionibus contuleris, quas dixit corpora dissoluere: id enim ad omnem functionem vitalem ac animalem maximum malum est; nec paruum etiam capitis grauitas, & obtusus auditus malum. Quid autem de vertiginibus quoque dicendum? Hæ nanque tum epilepsiæ, tum apoplexiæ proximæ sunt. Ilingus enim est tenebricosa vertigo, quæ fit quum humor cum crasso spiritu in capite mouetur, ideóque epilepsiam & apoplexiam præcedit; imò & dyscinesiam, inquit, difficilemve tum oculorum, tum totius corporis motum, quæ & ipsa praua sunt symptomata: id solùm ipsis moderatum est, quòd aluos humidiores efficiant. Atque id & alia omnia efficiunt tum maximè propter humiditatem, tum etiam propter caliditatem. Quod autem orationis initio scriptum est, id præstitisset commutato ordine legi, vt primo loco legeretur, humectant, secundo dissoluunt; deinde quæ deinceps, eodem ordine. Si enim humectant, etiam aliorum quodque efficiunt, calore ad hæc conferente. Actiones enim per solidas fiunt animalis partes, quæ sane reipsa ac verè sunt eius partes. Hæ verò humorum plenitudine grauatæ deteriùs agunt.

A

Vere, ac ineunte æstate pueros & adolescentes sanos optimè degere; residuo æstatis & autumni principio senes; reliquo autumno, & hyeme juuenes & constantes.

Τὰς παῖδας, καὶ τὰ μειράκια τοῦ μὲν ἦρος καὶ ἐν ἀρχῇ τοῦ θέρεος ἄριστα διάγειν· τοὺς δὲ γέροντας ἐν λοιπῷ τοῦ θέρεος καὶ ἐν τῇ φθινοπώρου ἀρχῇ· καὶ τοὺς ἐν τῷ λοιπῷ φθινοπώρου, καὶ τῷ χειμῶνι νεανίσκους τε καὶ ἀκμάζοντας ἄριστα διάγειν.

APHORISMVS XVIII.

At pro anni tempestatibus, vere quidem & prima æstate proximi, tum optimè degunt, tum maximè valent; æstate vero, & quadantenus autumno, senes. Reliqua autumni & hyemis parte, qui inter has ætates sunt medij.

ΑΦΟΡΙΣΜΟΣ ιη'.

B Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος, καὶ ἄκρου τοῦ θέρεος οἱ παῖδες, καὶ οἱ τούτων ἐχόμενοι τῇσιν ἡλικίῃσιν, ἄριστά τε διάγουσιν καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος, καὶ τοῦ φθινοπώρου μέχρι μέν τινος οἱ γέροντες. τὸ δὲ λοιπὸν τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσι.

GALENI COMMENTARIVS.

Non solùm in ætatibus, verum etiam in cæteris omnibus quæ secundùm temperationem vel moderatè, vel immoderatè se habent, si quis orationem hoc in loco Hippocratis examinauerit, veram comperiet. Naturis siquidem ætatibus, & regionibus temperatis tempus est optimum, quod temperatissimum, quippe quæ non habitudinis quam habent mutatione; sed conseruatione egeant, quandoquidem à similibus res quæque seruatur, mutatur à contrariis. Quare pueri, & adhuc magis adolescentes (ipsorum enim ætas est omnium optima) ætatem vere degunt optimè. Eadem quoque ratione quæcunque regiones aut naturæ temperatæ sunt vere se habent bellissimè. Adjunxit autem veri æstatis principium Hippocrates, latius extendens vniuscujusq; theorematis vsum; Accuratius autem fuisset pronunciare: *Adolescentes vere, pueri æstatis principio optimè degunt.* At vero senibus propter temperamenti frigiditatem æstas est vtilis, ætatis vigore florentibus hyems vtilissima. Hæc enim biliosæ ipsorum temperiei contraria est. Sic & naturæ biliosiores hyeme, pituitosiores æstate, temperatæ vere degunt optimè. Similiter temperatis regionibus ver optimum est, vt frigidis æstas, & hyems calidis. Quin pessima etiam cuique ætati, & naturæ, & regioni tempora ex iis quæ dicta sunt innuenire possumus. Nam pessima sunt optimis maximè contraria. Eadem ratione media etiam inter optima & pessima comperies. Illud præterea diligenter animaduertendum, ver quidem adolescentibus dictum optimum, alis omnibus esse medium; neque enim his optimum est, neque pessimum. Sic sanè & ad naturas, & regiones, se res habet. Et autumnus omnibus vtique & ætatibus, & naturis, & regionibus malus est; minùs tamen per autumnum calidæ & humidæ naturæ, quam aliæ læduntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ μόνον ἐπὶ τῶν ἡλικιῶν, ἀλλὰ κἀπὶ τῶν ἄλλων
C ἁπάντων, ὅσα κατὰ κρᾶσιν, ἤτοι συμμέτρως ἢ ἀμέτρως ἔχει, τὸν εἰρημένον νῦν ὑπὸ Ἱπποκράτους λόγον ἐξετάζων, εὑρήσεις ἀληθῆ. ταῖς μὲν γὰρ εὐκράτοις φύσεσι, καὶ ἡλικίαις, καὶ χώραις, ἀρίστη τῶν ὡρῶν ἐστιν ἡ εὐκρατοτάτη, δεομέναις γε οὐ μεταβολῆς ἧς ἔχουσιν ἕξεως, ἀλλὰ φυλακῆς. ἐπειδὴ τῶν ὄντων ἕκαστον ὑπὸ μὲν τῶν ὁμοίων φυλάττεται, μεταβάλλεται δὲ ὑπὸ τῶν ἐναντίων· ὥστε ἡ τῶν παίδων ἡλικία, καὶ τούτων μᾶλλον ἔτι, ἡ τῶν μειρακίων, αὕτη γὰρ ἀρίστη τῶν ἡλικιῶν ἐστιν, ἐν ἦρι κάλλιστα διάγουσι, καὶ κατὰ τὸν αὐτὸν λόγον ὅσαι τῶν φύσεων, ἢ τῶν χωρῶν εἰσιν εὔκρατοι. προσέθηκε δὲ τὸ ἦρι τὴν ἀρχὴν τοῦ
D θέρεος ὁ Ἱπποκράτης, εἰς πλάτος ἐκτείνων τὴν χρείαν ἑκάστου τῶν θεωρημάτων. ἀκριβέστερον δ' ἦν εἰπεῖν, τὰ μὲν μειράκια, τοῦ ἦρος, τοὺς δὲ παῖδας, ἐν ἀρχῇ τοῦ θέρεος ἄριστα διάγειν. ἐπὶ δὲ τῶν γερόντων, διὰ τὴν ψυχρότητα τῆς κράσεως, ὠφέλιμόν ἐστι τὸ θέρος, ὥσπερ γε καὶ τοῖς ἀκμάζουσιν, ὁ χειμὼν ὠφελιμώτατός ἐστιν. ἐναντίος γάρ ἐστι καὶ οὗτος τῇ κατὰ τούτους δυσκρασίᾳ χολώδει οὔσῃ· οὕτω καὶ τῶν φύσεων αἱ μὲν χολωδέστεραι, χειμῶνος ἄριστα διάγουσιν, αἱ δὲ φλεγματικώτεραι, θέρεος, αἱ δ' εὔκρατοι, τοῦ ἦρος.
E ὁμοίως δὲ, καὶ τῶν χωρῶν, αἱ μὲν εὔκρατοι κάλλιστον ἔχουσι τὸ ἔαρ, αἱ δ' ἄλλαι, θέρεος μὲν αἱ ψυχραὶ, χειμῶνος δ' αἱ θερμαί. καὶ μὴν δὴ, καὶ τὰς χειρίστας ὥρας ἑκάστῃ τῶν ἡλικιῶν, καὶ τῶν φύσεων, καὶ τῶν χωρῶν, ἐκ τῶν εἰρημένων ἔνεστιν εὑρεῖν· ἐναντιώταται γάρ εἰσι ταῖς ἀρίσταις αἱ κάκισται. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὰς μέσας τῶν ἀρίστων τε, καὶ χειρίστων εὑρήσεις. ἔτι δὲ κἀκείνῳ χρὴ προσέχειν ἀκριβῶς τὸν νοῦν, ὡς τὸ μὲν ἔαρ ἄριστον εἴρηται τοῖς μειρακίοις, ἅπασι δὲ τοῖς ἄλλοις ἐστὶ μέσον· οὔτε γὰρ ἄριστον ὑπάρχει, οὔτε χείριστον. οὕτω δὴ καὶ πρὸς τὰς
F φύσεις ἔχει, καὶ τὰς χώρας. τὸ γε μὴν φθινόπωρον, ἁπάσαις, καὶ ἡλικίαις κακὸν, καὶ φύσεσι, καὶ χώραις. ἧττον δ' ἐν αὐταῖς τῶν ἄλλων, αἱ ὑγραὶ καὶ θερμαὶ βλάπτονται κατὰ τὸ φθινόπωρον.

A

Τὰ πάντα νοσήματα διὰ τὴν ἐν τῷ βίῳ πλημμέλειαν ἐν ταῖς πάσαις ὥραις γίνεσθαι, πλείονα δὲ ἑκάστῃ τῇ ὥρᾳ οἰκεῖα καὶ ἀνάλογα.

Omnes morbos ob deprauatam diætam omnibus anni tempestatibus oboriri; plures tamen cuique tempestati proprios & analogos.

ΑΦΟΡΙΣΜΟΣ ιθ'.

Νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνονται, μᾶλλον δ' ἔνια, κατ' ἐνίας αὐτέων καὶ γίνεται, καὶ παροξύνεται. B

APHORISMVS XIX.

Morbi omnes in omnibus anni tempestatibus oriuntur: nonnulli tamen in quibusdam magis tum fiunt, tum irritantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ μὲν ἡ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσις ἦν αἰτία μόνη τῶν νοσημάτων, ἅπαντες ἂν ἐνοσοῦμεν ἐν ἑκάστῃ τῶν ὡρῶν, ἐκείνας τὰς νόσους, ὅσαι τῶν ὡρῶν εἰσιν οἰκεῖαι. νυνὶ δὲ, ἐπειδὴ καὶ διὰ τὰς ἐν τῷ βίῳ πλημμελείας αἱ νόσοι γίνονται, πᾶσαι μὲν ἐν ἁπάσαις ἔσονται ταῖς ὥραις, πλείους δὲ καθ' ἑκάστην αὐτῶν, αἱ οἰκεῖαι. συμβάλλεται μὲν οὐ μικρὸν εἰς τοῦτο, καὶ ἡ τῶν φύσεων διαφορά· οὐ γὰρ ὁμοίως ὑπὸ τῆς αὐτῆς αἰτίας ὁ θερμὸς, τῷ ψυχρῷ βλάπτεσθαι πέφυκεν, ἢ ὁ ὑγρὸς, τῷ ξηρῷ. καθάπερ οὐδὲ ὁ εὔκρατος ἑκάστῳ τούτων, οὔτε τοῖς κατὰ συζυγίαν τινὰ δυσκράτοις, ὡς ἔμπροσθεν εἴρηται. C

GALENI COMMENTARIVS.

SI ambientis aëris temperatio sola esset morborum causa, singulis temporibus omnes illis morbis ægrotaremus, qui temporum proprij sunt ac peculiares. Nunc verò quum etiam ob vitæ ac victus delicta morbi oboriantur, omnes in omnibus temporibus creabuntur; plures tamen cuique ipsorum familiares. Non paruum ad id etiam confert naturarum discrimen. Non enim similiter ab eadem causa calidus, ac frigidus; nec humidus, ac siccus; quemadmodum neque temperatus ac istorum quiuis, neque ij qui per aliquam coniugationem intemperati sunt, vt antea diximus.

Περὶ τῶν ποικίλων νοσημάτων τοῦ ἦρος γινομένων, δι' ὧν τὸ ἔαρ ὑγιεινότατον λελεγμένον οὐκ ἀδοκιμάζεσθαι δοκιμάζει ὁ Γαληνός. D

De variis morbis vere oborientibus quibus ver saluberrimum dictum non improbari probat Galenus.

ΑΦΟΡΙΣΜΟΣ κ'.

Τοῦ μὲν ἦρος τὰ μανικὰ, καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι, καὶ κόρυζαι, καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, καὶ λειχῆνες, καὶ ἀλφοὶ, καὶ ἐξανθήσιες, ἑλκώδεες πλεῖσται, καὶ φύματα, καὶ ἀρθριτικά.

APHORISMVS XX.

Vere nanque maniæ, melancholiæ, epilepsiæ, sanguinis profusiones, anginæ, granedines, raucedines, tusses, lepræ, impetigines, vitiligines, pustulæ vlcerosæ plurimæ, tubercula, & arthritides. E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ πῶς ἂν ἔτι δόξειεν ὀρθῶς εἰρῆσθαι πρόσθεν, ἔαρ δ' ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες, παμπόλλων παθῶν ἐν αὐτῷ γιγνομένων· ἔοικε γὰρ μᾶλλον ἁπάσῃ ὥρᾳ ἐξισοῦσθαι, κατὰ τὴν ποικιλίαν ὧν γεννᾷ νοσημάτων. αἱ μὲν γὰρ μανίαι, καὶ αἱ μελαγχολίαι, ἐπιληψίαι τε, καὶ κυνάγχαι, φθινοπωρινὰ νοσήματα. κόρυζαι δὲ, καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, χειμερινά. περὶ δὲ τοῦ θέρεος αὐτὸς ἐφεξῆς ἐρεῖ, τὴν κοινωνίαν ἐνδεικνύμενος αὐτοῦ τὴν πρὸς τὸ ἔαρ. τοῦ δὲ θέρεος, ἔνια τουτέων, τουτέστι τῶν προειρημένων κατὰ τὸ ἔαρ. ἐξ ἐπιμέτρου δὲ, παρὰ τὰς ἄλλας, F

GALENI COMMENTARIVS.

ATque quomodo jam antea rectè ab eo dictum videatur, *ver saluberrimum & minimè lethale*, quum permulti in eo fiant morbi? ipsum siquidem magis vniuersas anni tempestates morborum quos generant, varietate adæquare videtur. Etenim maniæ, melancholiæ, epilepsiæ, anginæ morbi sunt autumnales; grauedines autem, & raucedines, & tusses, & lepræ, sunt hyemales. De æstate autem ipse deinceps dicturus, eius cum vere communionem prodit: Æstate verò horum nonnulli, hoc est, prædictorum in vere morborum. Auctarij autem vice, præter alios

temporum morbos, ver sanguinis profusiones, lepras, impetigines, vitiligines, pustulas vlcerosas plurimas efficit, tubercula, & arthritides. Hi certè morbi vernæ tempestatis proprij omnes periculo vacant; tantúmque abest vt aphorismum illum falsum esse convincant, in quo ipse dixit: *Ver autem saluberrimum, ac minimè lethale*, vt solidiùs ipsum astruere videantur: Nam hac ipsa tempestate corporis profundum expurgatur vitiosis humoribus à partibus principibus ad cutem peruenientibus: Sic enim lepræ, vitiligines, impetigines, & pustulæ quædam vlcerosæ multæ generantur. Alio verò modo tuberculis & arthritidibus altum corporis expurgatur prauorum humorum in extremas partes facta translatione. Quòd autem sanguinis profusiones, tum plenitudinem, tum cacochymiam, id est, humorum prauitatem oriundos in ipsis morbos arceant omnino perspicuum existit. Quod si corpus aliquod probis præditum humoribus verna tempestas excipiat, id seruat saluberrimum nihil ex propria innouans natura; non tamen sic æstas, aut autumnus, aut hyems. Hæ nanque anni tempestates etsi purum corpus ac omnino illæsum excipiant, æstas tamen flauam bilem vltra modum procreare consueuit, atram autumnus, hyems denique pituitam. At tale quoddam vere oboritur, quale in exercitationibus euenire conspicimus; etenim hæ quoque sunt saluberrimæ. Verùm si hominem pituita, aut flaua bile, vel atra, aut ipso etiam sanguine plenum exercere volueris, eum exercitationibus aut epilepticum, aut apoplecticum effeceris; aut nisi hæc mala accidant, periculum imminebit, ne rupto aliquo in pulmone vase, in morbum procidat insanabilem. At multi quum febricitare cœpissent, propter exercitationes acutissimis morbis correpti fuere. Quibus verò vicem purgationis humorum in alto latentium exercitatio suppleuerit, ea ad cutem prauos humores euocans, vlcera, & scabiem excitat. Ac proinde id ipse dicebat Hippocrates: *Si impurgatus sese exercuerit vlcera, erumpent*. Et sanè verno tempore calor aëris ambientis humores fundens ad cutem educit, isque effectus ipsius exercitationibus persimilis existit. Nec verò solum exercitationum effectibus veris effectus sunt similes; sed ipsius etiam naturæ operibus. Illius siquidem partes sunt tum occultam toto corpore perspirationem efficere, qua superuacanea excernantur, tum etiam per morbos variis modis corpus expurgare.

A τὸ ἔαρ, αἵματός τε ῥύσεις, καὶ λέπρας, καὶ λειχῆνας, καὶ ἀλφούς, καὶ ἐξανθήσεις ἑλκώδεις πλείστας ἐργάζεται, καὶ φύματα, καὶ ἀρθριτικά. ταῦτα μὲν οὖν ὅσα τῆς ἐαρινῆς ὥρας ἴδια, διὰ παντός ἐστιν ἀκίνδυνα, καὶ τοσοῦτον δεῖ τὸν ἀφορισμὸν ἐκεῖνον ἀποφαίνειν ψευδῆ, καθ' ὃν εἶπεν αὐτός, ἔαρ δὲ ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες, ὥστε μαρτυρεῖν αὐτῷ μᾶλλον ἔοικεν. ἐκκαθαίρεται γὰρ ἐν αὐτῇ τῇ ὥρᾳ, τὸ βάθος τοῦ σώματος ἀπὸ τῶν κυρίων μερῶν, ἐπὶ τὸ δέρμα, τῶν μοχθηρῶν χυμῶν ἀφικνουμένων. οὕτω γοῦν αἵ τε λέπραι, καὶ οἱ
B ἀλφοί, ἑλκώδεις τέ τινες ἐξανθήσεις πολλαὶ γίγνονται. καθ' ἕτερον δὲ τρόπον, ἐν τοῖς φύμασι, καὶ ταῖς ἀρθρίτισι καθαίρεται τὸ βάθος τοῦ σώματος, εἰς τὰ ἄκρα μόρια τῆς μεταστάσεως γινομένης τῶν μοχθηρῶν χυμῶν. Ὅτι δὲ καὶ αἱ τοῦ αἵματος ῥύσεις κενοῦσαι τὸ πλῆθος, καὶ τὴν κακοχυμίαν κωλύουσι τὰς ἐν αὐτοῖς νόσους ἄντικρυς δῆλον. Εἰ δέ τι σῶμα εὔχυμον παρέλαβεν ἡ τοῦ ἦρος ὥρα, φυλάττει τοῦτο ὑγιεινότατον, οὐδὲν ἐκ τῆς ἰδίας φύσεως νεωτερίζουσα. οὐ μὴν τό γε θέρος, ἢ τὸ φθινόπωρον, ἢ ὁ χειμών. ταῦτα γάρ, εἰ καθαρὸν τὸ σῶμα, καὶ παντελῶς
C ἄμεμπτον παραλάβοι, τὸ μέν, τὴν ὠχρὰν εἴωθε χολὴν πλείονα τοῦ δέοντος γεννᾶν· τὸ δέ, τὴν μέλαιναν· ὁ χειμὼν δέ, τὸ φλέγμα. παραπλήσιον δέ τι συμβαίνει κατὰ τὸ ἔαρ, ὁποῖον ἐπὶ τῶν γυμνασίων ὁρῶμεν γιγνόμενον· καὶ γὰρ καὶ ταῦθ' ὑγιεινότατα μέν ἐστιν· ἀλλ' ἐὰν φλέγματος ἄνθρωπον μεστόν, ἢ χολῆς ὠχρᾶς, ἢ μελαίνης, ἢ καὶ αὐτοῦ τοῦ αἵματος, ἐθελήσῃς γυμνάζειν, ἤτοι γε ἐπίληπτον αὐτόν, ἢ ἀπόπληκτον ἐργάσῃ τοῖς γυμνασίοις· ἢ εἰ μὴ ταῦτα, κινδυνεύει, ῥαγέντος ἀγγείου κατὰ τὸν πνεύμονα, περιπεσεῖν ἀνηκέστῳ κακῷ. πολλοὶ δὲ πυρέττειν ἀρξάμενοι, διὰ τὰ γυμνάσια νόσοις ὀξυτάταις ἑάλωσαν. ὅ-
D σοις δ' ἀντὶ καθάρσεως τῶν ἐν τῷ βάθει χυμῶν, γίνεται τὸ γυμνάσιον, εἰς τὸ δέρμα τὴν κακοχυμίαν ἐκτεῖνον, ἕλκη, καὶ ψώρας ἐργάζεται. κατὰ τοῦτο γοῦν, καὶ αὐτὸς ὁ Ἱπποκράτης ἔλεγεν, ἕλκεα ἐκφύουσιν, ἢν ἀκάθαρτος ἐὼν πονέῃ. καὶ δὴ καὶ κατὰ τὸ ἔαρ ἡ ἐκ τοῦ περιέχοντος θερμασία, χέουσα τοὺς χυμούς, ἐξάγει πρὸς τὸ δέρμα, καὶ τοῦτο τὸ ἔργον αὐτοῦ τοῖς γυμνασίοις ἐστὶ παραπλήσιον. οὐ μόνον δὲ τοῖς τούτων ἔργοις ἔοικε τὰ τοῦ ἦρος, ἀλλὰ καὶ τοῖς τῆς φύσεως αὐτῆς. ταύτης γοῦν ἐστιν ἔργα, τήν τε ἄδηλον διαπνοὴν ἐργάζεσθαι καθ' ὅλον τὸ
E σῶμα, δι' ἧς ἐκκενοῦνται τὰ περιττά, καθαίρειν τε τὸ σῶμα πολυειδῶς ἐν ταῖς νόσοις.

A

Κατ' ἀρχὰς τοῦ θέρους τὰς νόσους τινὰς ἐαρινὰς καὶ τῷ θέρει οἰκείας γίνεσθαι λέγει ὁ Ἱπποκράτης, ἃς δι' ὀλίγων ἐξηγεῖται ὁ Γαληνός.

ΑΦΟΡΙΣΜΟΣ κα'.

Τοῦ δὲ θέρεος, ἔνιά τε τούτων, καὶ πυρετοὶ ξυνεχέες, καὶ καῦσοι, καὶ τριταῖοι πλεῖστοι, καὶ τεταρταῖοι, ἔμετοι, καὶ διάρροιαι, καὶ ὀφθαλμίαι, καὶ ὤτων πόνοι, καὶ στομάτων ἑλκώσιες, καὶ σηπεδόνες αἰδοίων, καὶ ἵδρωα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦ θέρους φησὶν ἔνια μὲν καὶ τῶν ἠρινῶν γίνεσθαι νοσημάτων, κατὰ τὴν ἀρχὴν δηλονότι αὐτοῦ. τὰ γὰρ συνάπτοντα τῷ τέλει τοῦ ἦρος, ὥσπερ ὁμοιότητα τῆς κράσεως ἔχει πρὸς τὸ θέρος, οὕτω καὶ τῆς τῶν παθῶν γενέσεως. γίνεσθαι μὲν γάρ φησι κἄλλα τινὰ τοῦ θέρους ἴδια πυρετοὺς συνεχεῖς, καὶ καύσους, καὶ τριταίους, καὶ ἁπλῶς εἰπεῖν, ὅσα διὰ τὴν ξανθὴν χολὴν συμβαίνει πάσχειν τὰ σώματα. καὶ γὰρ οὖν, καὶ οἱ ἔμετοι, ταύτης ἐπιπολαζούσης, καὶ διάρροιαι, κάτω χωρούσης, γίγνονται, καὶ ὀφθαλμίαι δὲ τοῦ θέρους πολλαί, ὡς ἂν τῆς κεφαλῆς πληρουμένης. οὕτω δὲ καὶ ὤτων πόνοι, καὶ τὰ ἄλλα τὰ ὅμοια πάσχει τῷ θέρει τὸ σῶμα, διὰ τὴν πλήρωσιν τῆς κεφαλῆς, ἄλλο τι εἰς ἄλλο μέρος ἀποτιθεμένης τὸ περιττόν. αἱ δὲ ἑλκώσεις αἱ τῶν στομάτων, ὅτι διὰ τὸν χολώδη γίγνονται χυμόν, εὔδηλόν ἐστιν. αἱ μέντοι σηπεδόνες τῶν αἰδοίων, οὐχ ἁπλῶς, ἀλλ' ὅταν ὑγρότερον μᾶλλον ἢ ἀπνούστερον, ἢ νοτιώτερον γένηται. τὸ μὲν γὰρ ἐπὶ πολὺ τοῦ κατὰ φύσιν, ἀποκεχωρηκὸς εἰς ὑγρότητα, καὶ ἀπνοίας, οὐκ αἰδοίων μόνων ἐργάζεται σηπεδόνας, ἀλλὰ καὶ πάντων ἄλλων μορίων, καθάπερ ἥ τε ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν κατάστασις, ἥ τ' ἐν τῷ δευτέρῳ κατὰ τὴν ἀρχήν. αἱ δ' ἐπ' ὀλίγον ἐκτροπαί, τῶν αἰδοίων ἅπτονται, δι' ὑγρότητα καὶ θερμότητα σήπεσθαι πεφυκότων, ἐπὶ ταῖς τυχούσαις προφάσεσιν· ὥς τ' ἐπειδὰν τὴν ἑαυτοῦ κρᾶσιν φυλάττῃ τὸ θέρος οἱ περιττώμασιν ἐνοχλούμενοι πολλοῖς, ἐπειδὰν ῥυῇ ταῦτα κατά τινα πρόφασιν, ἐπὶ τὰ αἰδοῖα, τὰς σηπεδόνας αὐτῶν πάσχουσι. τὰ δ' ἵδρωα, τῶν κατὰ τὴν ἐπιφάνειαν ἐξανθημάτων ἐστίν, ἑλκωδῶς τραχύνοντα τὸ δέρμα. καὶ γίγνεται, καθάπερ καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται, διὰ τοὺς πολλοὺς ἱδρῶτας, ὅταν χολωδέστεροί πως, ἢ ὅλως δακνωδέστεροι τυγχάνουσιν ὄντες. δάκνουσι γὰρ οὗτοι τὸ δέρμα, καὶ κνησμώδες ἐργάζονται, καὶ τραχύνουσιν ἑλκωδῶς.

Per æstatis exordia vernos quosdam morbos, & æstati proprios oriri pronunciat Hippocrates, quos paucis explicat Galenus.

APHORISMVS XXI.

Æstate verò horum nonnulli & febres assiduæ, & ardentes, & tertianæ plurimæ, & quartanæ, vomitiones, B *diarrhoiæ, ophthalmiæ, aurium dolores, oris exulcerationes genitalium putredines, & sudamina.*

GALENI COMMENTARIVS.

Æstate nonnullos etiam ex vernis morbis nimirum per eius exordia fieri pronunciat. Nam æstatis partes veris postremo copulatæ, quemadmodum temperationis cum vere, ita generationis morborum similitudinem sortiuntur. Alios enim quosdam æstatis proprios C morbos fieri dicit, febres assiduas, & ardentes, & tertianas; & , vt summatim dixerim, quicunque ex flaua bile morbi corporibus accidunt. Etenim bile per summa natante, vomitiones fiunt, deorsum secedente diarrhœæ, ophthalmiæ quoque æstate plurimæ, vtpote repleto capite. Sic & aurium dolores, & alia similia corpus æstate patitur propter capitis repletionem, alias ad alias corporis partes excrementum deponentis. Oris etiam vlcerationes propter biliosum humorem oboriri perspicuum est. Genitalium verò putredines non D simpliciter; sed quum æstas diutius humidior, aut ventis minus perflata, aut plusculum austrina fuerit. Nam quum plurimum à naturali statu ad humiditatem, aut flatuum vacationem recessit, non modò pudendorum; sed etiam cujuscunque partis alterius putredines facit; qualis erat status tum qui tertio Epidemiorum, tum qui secundi initio describitur. At paruæ æstatis deprauationes genitalia lædunt quæ ob humiditatem & caliditatem putrescere ex quacunque occasione parata sint. Quare quum E suum æstas temperamentum seruat, qui multis excrementis infestantur, quum hæc aliquam ob causam ad genitalia defluxerint, ipsorum puttredines patiuntur. Sudamina autem è genere sunt exanthematum, quæ in cutis superficie efflorescentia vlcerũ ore cutem exasperant. Fiunt autem quemadmodum & ipsum ostendit nomen, propter multos sudores, qui vel biliosiores, vel omnino mordaciores euaserunt. Hi nanque cutim mordent & pruritum in ea, ardoremque excitant, & vlcerum instar exasperant.

Autumno morbos æstiuos multos oriri; & alios quamplurimos, autumno proprios siue autumnales, quos paucis explicat Galenus.

APHORISMVS XXII.

AVtumno verò etiam æstiui morbi, febres quartanæ, erraticæ, splenis tumores, B *hydropes, tabes, stranguriæ, lienteriæ, dysenteriæ, ischiades, anginæ, asthmata, voluuli, epilepsiæ, maniæ, & melancholiæ.*

GALENI COMMENTARIVS.

AVtumno, inquit, & æstiuorum morborum multi fiunt, manente etiamnum per id temporis æstiuo humore, flaua scilicet bile: C non enim quemadmodum æstas veri succedens vernos humores vacuat, ita & autumnus vacuat æstiuos; sed modo prorsus contrario à partibus summis & externis ad internas ac profundas reuocat. Itaque meritò æstatem quidem nonnullos morbos generare, autumno verò æstiuos non paucos; sed multos creare dicit. Quin etiam hac tempestate quartanas febres fieri pronunciat nimirum ex atrâ procreatas bile geminam generationem sortita; alteram quidem ex flaua bile retorrida & perusta; alteram verò ex crasso sanguine. D Fiunt autem & erraticæ febres per autumnum propter temperaturæ inæqualitatem; Fiunt & lienes magni ob melancholicum excrementum; & hydropes ex lienis vitio. Et siqua tabes suspecta sit, maximè autumno deprehenditur ob siccitatem & frigiditatem, & inæqualitatem tempestatis, nihiloque minus propter humorum prauitatem. Fiunt quoque ob easdem causas ea tempestate potissimum stranguriæ. Nam vesica incertis, inordinatis, ac repentinis caloris ac frigoris mutationibus refrigeratur, & ex prauis humoribus obortæ acrimoniæ ipsam molestant, præsertim quum E derepente facta in frigidius mutatione, qui antea perspiratione discutiebantur & per sudores vacuabantur humores ad vesicam recesserint. Leienteriæ verò sunt celeres, & sine vlla omnino mutatione ciborum dejectiones, quæ fiunt aut propter ventriculi aut intestinorum exulcerationem in superficie eodem modo factam, quo in pueris aphthæ vocatæ; aut propter retentricis facultatis imbecillitatem. Quorum prius propter mordaces & substantiâ tenues humores; secundùm ob magnam ventriculi, atque intestinorum intemperiem fit. F Hæc autem ambo maximè autumno fieri contingit. Ischiadas autem ex humorum cùm malignitate, tum refrigeratione maximè fieri rationi consentaneum est. At verò anginæ ex biliosis humoribus ortum ducunt, autumno ad fauces decumbentibus, ab ijs quæ vere fiunt,

Τὰ φθινοπώρου θερινὰ πολλὰ νοσήματα γίνεται. καὶ τὰ ἄλλα πλείονα τῷ φθινοπώρῳ οἰκεῖα, ἤτοι φθινοπωρινά. ἃ δηλοῖ ἐν βραχεῖ ὁ Γαληνός.

ΑΦΟΡΙΣΜΟΣ κβʹ.

Τοῦ δὲ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ πυρετοὶ τεταρταῖοι, καὶ πλάνητες, καὶ σπλῆνες, καὶ ὕδρωπες, φθίσιες, καὶ στραγγουρίαι, λειεντερίαι, καὶ δυσεντερίαι, καὶ ἰσχιάδες. καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ εἰλεοὶ, καὶ ἐπιληψίαι, καὶ τὰ μανικὰ, καὶ τὰ μελαγχολικά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τῷ φθινοπώρῳ, φησὶ, καὶ τῶν θερινῶν νοσημάτων γίνονται πολλὰ, μένοντος ἔτι κατ' αὐτὸ τοῦ θερινοῦ χυμοῦ, δηλονότι τῆς ξανθῆς χολῆς. οὐ γὰρ, ὥσπερ ἐπὶ τῷ ἦρι τὸ θέρος γιγνόμενον, ἐκκενοῖ τοὺς χυμοὺς, οὕτω καὶ τὸ φθινόπωρον ἐκκενοῖ τοὺς θερινοὺς, ἀλλὰ τοὐναντίον ἅπαν, ἀπὸ τῶν ἐκτὸς μερῶν, εἰς τὸ βάθος ἄγει. δεόντως οὖν τὸ μὲν θέρος ἔνια τῶν θερινῶν νοσημάτων φησὶ γεννᾷν. τὸ δὲ φθινόπωρον, οὐκ ἔνια, τῶν θερινῶν, ἀλλὰ πολλά. καὶ μέντοι, καὶ τεταρταίους πυρετοὺς ἐν ταύτῃ τῇ ὥρᾳ γίγνεσθαι φησὶν, ἐπὶ τῇ μελαίνῃ δηλονότι συνισταμένους χολῇ, διττὴν ἐχούσῃ τὴν γένεσιν· ἐκ μὲν τῆς ξανθῆς ὑπεροπτηθείσης, τὴν ἑτέραν, ἐκ δὲ τοῦ πάχους αἵματος, τὴν ἑτέραν. γίνονται δὲ καὶ πλάνητες ἐν φθινοπώρῳ πυρετοὶ, διὰ τὴν ἀνωμαλίαν τῆς κράσεως, καὶ σπλῆνες μεγάλοι, διὰ τὸ μελαγχολικὸν περίττωμα, καὶ δὴ καὶ ὕδεροι, διὰ τὸν σπλῆνα. καὶ εἴ τι φθινῶδες ἀμφίβολον, ἐν φθινοπώρῳ μάλιστα ἐξελέγχεται, διὰ τὴν ξηρότητα, καὶ τὴν ψύξιν, καὶ τὴν ἀνωμαλίαν τῆς ὥρας, οὐδὲν δὲ ἧττον, καὶ διὰ τὴν κακοχυμίαν. διὰ δὲ τὰ αὐτὰ ταῦτα, καὶ αἱ στραγγουρίαι γίνονται μάλιστα κατὰ τὴν ὥραν ἐκείνην. ψύχεται γὰρ ἡ κύστις ἐν ταῖς ἀτάκτοις, καὶ ἐξαπίνης ἐπὶ τὸ θερμὸν καὶ ψυχρὸν μεταβολαῖς, αἵ τ' ἐκ τῆς κακοχυμίας, ἐνοχλοῦσιν αὐτὴν δριμύτητες, καὶ μάλιστα ὅταν ἐξαίφνης ἐπὶ τὸ ψυχρὸν γιγνομένης μεταβολῆς, τοὺς τέως διαπνεομένους, καὶ δι' ἱδρώτων κενουμένους χυμοὺς ἀποστρέψῃ πρὸς τὴν κύστιν. Αἱ λειεντερίαι δὲ ταχεῖαί τέ εἰσι, καὶ κατὰ πάντα ἀμετάβλητοι τῶν σιτίων διαχωρήσεις, ἤτοι δι' ἕλκωσιν ἐπιπολῆς, κατά γε τὴν γαστέρα, ἢ κατὰ τὰ ἔντερα συνισταμένην τοιαύτην, οἷαί περ καὶ ἐπὶ τῶν παιδίων αἱ ἄφθαι καλούμεναι, ἢ δι' ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως. ὧν, τὸ μὲν πρότερον ἐπὶ δακνώδεσι χυμοῖς, ἢ λεπτοῖς τῇ συστάσει· τὸ δὲ δεύτερον, ἐπὶ δυσκρασίᾳ μεγάλῃ τῆς κοιλίας τε καὶ τῶν ἐντέρων γίγνεται. ἄμφω δὲ ταῦτα, τῷ φθινοπώρῳ μάλιστα γίνεσθαι συμβαίνει. Τὰς δὲ ἰσχιάδας, εὔλογον ἐπί τε τῇ κακοηθείᾳ τῶν χυμῶν, καὶ τῇ ψύξει μάλιστα γίνεσθαι συμβαίνει. Κυνάγχαι δὲ ἐπὶ χολώδεσι χυμοῖς συνίστανται, κατασκήπτουσιν εἰς τὴν

φάρυγγα. καὶ διαφέρουσι τῶν κατὰ τὸ ἔαρ, ὅτι φλεγματωδέστεραί πως ἐκεῖναι. Καὶ μὲν δὴ καὶ τὰ ἄσθματα, διά τε τὴν ἔσω κίνησιν τῶν χυμῶν, καὶ τὴν ψύξιν, εἴωθε γίγνεσθαι. Δι' αὐτὰ δὲ ταῦτα, καὶ οἱ εἰλεοὶ, τῆς κάτω διεξόδου τῶν τῆς τροφῆς περιττωμάτων ἐπίσχεσις ὄντες, ἐπὶ φλεγμοναῖς, τὰ πολλὰ, μέρους τινὸς ἐντέρων γίγνονται. μάλιστα δὲ εἰκὸς ἐν ψυχρῷ, καὶ ξηρῷ, καὶ ἀνωμάλῳ, καὶ κακοχύμῳ καιρῷ βλάπτεσθαι τὰ κατὰ γαστέρα τε, καὶ τὰ ἔντερα. Λεπτοὺς γὰρ καὶ εὐκινήτους, ἐν τῷ θέρει τοὺς χυμοὺς γιγνομένους, διαδεχόμενον τὸ φθινόπωρον, ψυχρόν τε ἅμα καὶ ἀνώμαλον ὑπάρχον, εἰς τὸ βάθος ἄγει τοῦ σώματος· ἐν τῷ βάθει δ' ἐστὶ καί ἡ τῶν ἐντέρων θέσις. Αἱ δ' ἐπιληψίαι γίγνονται τοῖς ἐπιτηδείως ἔχουσι πάσχειν τὸ πάθος τοῦτο, διὰ τὴν ἐξαιφνίδιον ἐπὶ τἀναντία μεταβολήν. θάλπος μὲν γὰρ, ἐν τοῖς μέσοις τῆς ἡμέρας, ψύχος δ', ἐν τοῖς πρώτοις καὶ τελευταίοις γίγνεται, οὐδὲν δ' οὕτω τοὺς ἐπιληπτικοὺς, ὡς ἡ τοιαύτη μεταβολὴ κινεῖν πέφυκε. τὰ δὲ μανικὰ πάθη, διὰ τὴν ἐν τοῖς λεπτοῖς χολώδεσι χυμοῖς κακοήθειαν γίγνεται, καθάπερ γε καὶ τὰ μελαγχολικὰ, διὰ τὴν μέλαιναν, ὑπὲρ ἧς ὀλίγον ἔμπροσθεν εἴρηται.

A eo differentes, quòd illæ sint quodammodò pituitosiores. Iam verò asthmata tum propter humorum ad interna motum, tum propter refrigerationem fieri consueuerunt. Propter has ipsas causas etiam voluuli concitantur, qui excrementorum alimenti deorsum prolabentium transitus sunt suppressiones, quæ plerunque ab alicujus intestinorum partis inflammatione oboritur. Maximè verò par est frigida, sicca & inæquali tempestate prauos humores procreante tum ventriculum, tum intestina lædi. Nam æstate tenues ac mobiles humores factos autumnus excipiens suo frigore & inæqualitate in altum agit corporis. B Est verò profundus intestinorum situs. Epilepsiæ verò hominibus huic affectui sibi familiari ferendo obnoxiis ob repentinam in contrarium mutationem accidunt. Calor nanque meridianis, frigus verò primis & vltimis diei horis dominatur; Nihil autem adeo epilepticas accessiones ac talis mutatio generare potest. Maniæ verò affectiones ob tenuium ac biliosorum humorum malignitatem oboriuntur, quemadmodum & ob atram bilem melancholiæ, qua de re paulo ante dictum est. C

Περὶ τῶν χειμερινῶν νοσημάτων τῶν ἀπὸ τοῦ Γαληνοῦ ἐξηγηθέντων.

De hyemalibus morbis qui à Galeno explicantur.

ΑΦΟΡΙΣΜΟΣ κγ'.

ΤΟῦ δὲ χειμῶνος, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι κόρυζαι, βράγχοι, βῆχες, πόνοι στηθέων, καὶ πλευρέων, καὶ ὀσφύος, καὶ κεφαλαλγίαι, ἴλιγγοι, ἀποπληξίαι.

APHORISMVS XXIII.

D *Hyeme vero pleuritides, peripneumoniæ, lethargi, grauedines, raucedines, tusses, pectorum, laterum, & lumborum dolores, cephalalgiæ, vertigines, apoplexiæ.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ χειμερινὰ νοσήματα ἐξηγούμενος ἐφεξῆς τῶν φθινοπωρινῶν, οὐκέθ' ὁμοίως ὡς ἔμπροσθεν, εἶπεν, οὐδ' ὅτι τοῦ χειμῶνος, τὰ πολλὰ τῶν φθινοπωρινῶν, καί τοι γ' ἔμπροσθεν, ἐπὶ μὲν τῶν θερινῶν εἰρήκει, παραβάλλων αὐτὰ τοῖς ἠρινοῖς, τοῦ δὲ θέρεος, ἔνιά τε τουτέων. ἐπὶ δὲ τῶν φθινοπωρινῶν, τοῦ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλά. νυνὶ δὲ, τοῦ χειμῶνος ἁπλῶς τὸν κατάλογον ἐποιήσατο τῶν νοσημάτων, ἤτοι γὰρ ἀπὸ κοινοῦ βουλόμενος ἡμᾶς κἀνταῦθα προσυπακοῦσαί τι τῶν εἰρημένων, ἢ ἁπλῶς ἀποφαινόμενος μὴ κατὰ μηδὲν κοινωνούσης τῆς φθινοπωρινῆς ὥρας τῇ χειμερινῇ. καί τοι τά γε πρῶτα τοῦ χειμῶνος, εὔλογόν τε ἅμα, καὶ διὰ τῆς πείρας φαίνεται κοινωνοῦντα τῷ φθινοπώρῳ. καὶ γὰρ αὐτὸς εἶπεν· Οἱ θερινοὶ τεταρταῖοι τὰ πολλὰ γίνονται βραχέες, οἱ δὲ φθινοπωρινοὶ μακροὶ, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες. εἰ μὴ λέγοι τὸν αὐτὸν τῶν ἐν τῷ φθινοπώρου ἐσχάτῳ γινομένων μνημονεύειν. ἀλλὰ τά γε τοῦ χειμῶνος ἴδια ταῦτ' εἶναι βούλεται, πλευρίτιδας, καὶ περιπνευμονίας, διὰ τὸ κρύος βλαπτομένων τῶν ἀναπνευστικῶν ὀργάνων, ἐπεὶ τὰ μὲν

GALENI COMMENTARIVS.

HYemales morbos statim post autumnales explicans non eâdem qua in superioribus vsus est loquendi forma, hyeme scilicet multos etiam autumnales morbos fieri; quanquam prius, quum de æstiuis ageret, vernis eos comparans dixit: *Æstate autem horum etiam nonnulli;* & quum de autumnalibus, *Autumno æstiuorum etiam multi.* E Nunc autem morborum hyemalium catalogum planè confecit, siue quod de communi voluerit hoc etiam loco nos dictorum morborum aliquem subaudire, siue absolutè pronunciare tanquam nihil autumnale tempus cum hyemali communicet. Atqui primas hyemis partes rationi consentaneum est, & experientia comprobatur cum autumno communitatem habere. Ipse enim dicebat: *Æstiuæ quartanæ plerunque breues existunt, autumnales verò longæ, ac præsertim quæ hyemem attigerint.* F Nisi quis dicat ipsum de iis, quæ extrema autumni parte generantur, *quartanis* mentionem facere. Verùm hosce vult hyemis proprios morbos esse pleuritides, & peripneumonias, quòd instrumenta respirationi seruientia à frigore

lædantur. Cætera nanque ita exactè obtegi queunt, vt aut nihil, aut certè minimum injuriarum ab ambientis frigore percipiant. Respirationis verò vsus nemini prohiberi potest, neque aliunde datur respirandi facultas. Ob hanc igitur ipsam refrigerationem caput oblæsum grauedines, tusses, atque raucedines efficit. Et quemadmodum laterum dolores ob refrigerationem fiunt: sic & capitis, lumborum, omnium denique partium neruosarum. Vertigines quoque capitis læsiones consequuntur, vt & apoplexiæ; etenim & hic affectus fit quum cerebrum pituita repletum est.

ἄλλα, καὶ σκεπάσαι δυνατὸν οὕτως ἀκριβῶς, ὡς ἤτοι μηδὲν ἢ ὡς ἥκιστα αἰσθάνεσθαι τῆς τοῦ περιέχοντος ψυχρότητος. τῆς δὲ ἀναπνοῆς, οὔτ' εἶρξαί τινα δυνατὸν, οὔτ' ἀναπνεῖν ἑτέρωθεν ἐγχωρεῖ. διά τε οὖν ταύτην αὐτὴν τὴν ψύξιν, αἵ τε βῆχες ἐν χειμῶνι γίνονται μάλιστα, καὶ οἱ τῶν πλευρῶν πόνοι. διὰ δὲ τὴν αὐτὴν ταύτην ψύξιν, καὶ ἡ κεφαλὴ βλαπτομένη, κορύζας τε, καὶ βῆχας, καὶ βράγχους ἐργάζεται. γίγνονται δὲ ὥσπερ τῶν πλευρῶν οἱ πόνοι διὰ τὴν ψύξιν, οὕτω καὶ τῆς κεφαλῆς καὶ τῆς ὀσφύος, καὶ ἁπλῶς τῶν νευρωδῶν. καὶ οἱ ἴλιγγοι δὲ, ταῖς τῆς κεφαλῆς ἕπονται βλάβαις, ὥσπερ γε καὶ ἀποπληξίαι. καὶ γὰρ καὶ τοῦτο τὸ πάθος, ὅταν ὁ ἐγκέφαλος ἐμπλησθῇ φλέγματος, γίνεται.

De morbis recens editorum infantium propriis.

Περὶ τῶν παθημάτων τῶν τοῖς νεογνοῖς παιδίοις οἰκείων.

APHORISMVS XXIV.

PEr ætates autem hæc oboriuntur, paruis quidem & recens natis puerilis aphthæ, vomitiones, tusses, vigiliæ, pauores, vmbilici inflammationes, aurium humidtates.

ΑΦΟΡΙΣΜΟΣ κδ'.

ΕΝ δὲ τῇσι ἡλικίῃσι τοιάδε συμβαίνει, τοῖσι μὲν μικροῖσι, καὶ νεογνοῖσι παιδίοισιν ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναὶ, ὤτων ὑγρότητες.

GALENI COMMENTARIVS.

QVæ ad ætates spectant accuratiùs exoluit quàm quæ ad anni tempora, factâ in minimas partes diuisione. In puerulis nanque recens in lucem editis aphthas fieri pronunciat: Sic autem Græci vocitant vlcuscula oris superficiem obsidentia ob instrumentorum mollitiem maximè facta, neque contactum, neque qualitatem ferentium lactis quod in se non paucum seri continet. Hoc autem serum detergendi facultatem habet; quare non est mirum in mollium corporum superficie quasdam creari exulcerationes. Vomitus autem tunc his fieri par est, propter lactis quod assumunt, copiam. Vigiliæ verò nequaquam ipsis consuetæ sunt; majorem enim temporis partem dormiunt, nisi quis ab ipso aut alio affectu infantibus excitari vigilias iudicet. Quandoquidem somni diuturnitas ipsis maximè secundum naturam est. Pauores autem per somnos infantibus oboriuntur pueris, ac præsertim voracibus, quum ventriculi regio sensu quidem præpolleat; sed naturali imbecillitate laboret, cibus verò corrumpitur. Nos enim non in tantillis solùm verum etiam ætate iam adultis terrificas per somnos fieri imaginationes obseruauimus. Hoc enim orificium sentiendi facultate præpollet. Vmbilicorum autem inflammationes non multo antè præcisorum merito recens natis puerulis accidunt, quemadmodum si qua alia pars foret vlcerata. Sed & aurium humiditates inter morbos reponit, etiamsi tum palati, tum narium excrementa non reponat, quòd secundùm naturam sit per nares, atque palatum cerebri excrementum per deriuationem expurgare; idque ijs accidat qui iam ætate perfecta sunt; præ-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠιμελέστερον ἐξείργασται τὰ κατὰ τὰς ἡλικίας, τῶν κατὰ τὰς ὥρας, εἰς μικρὰ μόρια τέμνων αὐτάς. ἐπὶ μὲν τῶν παιδίων τῶν νεογνῶν, ἄφθας φησὶ γίγνεσθαι. καλοῦσι δὲ οὕτως τὰς ἐπιπολῆς ἑλκώσεις κατὰ τὸ στόμα, διὰ μαλακότητα μάλιστα τῶν ὀργάνων γιγνομένας, μὴ φερόντων, μήτε τὴν ποιότητα τοῦ γάλακτος, ἔχοντος οὐκ ὀλίγον ὀῤῥῶδες ἐν αὐτῷ. ῥυπτικὸν δέ ἐστι τοῦτο τὴν φύσιν, ὥστ' οὐδὲν θαυμαστὸν, ἐν μαλακοῖς σώμασιν ἐργάζεσθαί τινας ἐπιπολῆς ἑλκώσεις. τοὺς δὲ ἐμέτους τηνικαῦτα εἰκὸς γίνεσθαι τούτοις, διὰ τὸ πλῆθος τοῦ προσφερομένου γάλακτος· ἀγρυπνίαι δὲ αὐτοῖς οὐδαμῶς συνήθεις εἰσὶ, κοιμῶνται γὰρ τὸ πλέον τοῦ χρόνου, πλὴν εἰ δὴ αὐτὸ τὸ πάθος νομίζει γινομένας ποτ' ἀγρυπνίας τοῖς παιδίοις, ἐπειδὴ τὸ πλῆθος τῶν ὕπνων κατὰ φύσιν ἦν αὐτοῖς μάλιστα. οἱ φόβοι δὲ, τοῖς παιδίοις γίνονται κατὰ τοὺς ὕπνους, καὶ μάλιστα ἐξ αὐτῶν τοῖς ἀδδηφάγοις, ὅταν εὐαίσθητα μὲν ᾖ, ἀσθενῆ δὲ ὑπάρχει φύσει τὰ κατὰ τὴν γαστέρα χωρία, διαφθείρεται δὲ ἡ τροφή· παρεφυλαξάμεθα γὰρ οὐκ ἐπὶ τῶν τηλικούτων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἤδη τελείων, ἐν τοῖς ὕπνοις γιγνομένας φαντασίας φοβερὰς, ὅταν πολλοί τε ἅμα, καὶ μοχθηροὶ χυμοὶ βαρύνωσι, καὶ δάκνωσι τὰ κατὰ τὴν γαστέρα, καὶ μάλιστα αὐτῆς τὸ στόμα, τοῦτο γὰρ αὐτῆς ἐστὶ τὸ αἰσθητικώτατον. Αἱ δὲ τῶν ὀμφαλῶν φλεγμοναὶ τῶν ἀποτετμημένων, οὐ πρὸ πολλοῦ δεόντως τοῖς νεογενέσι παιδίοις γίνονται, καθάπερ εἰ καί τι μέρος ἔτυχεν ἑλκωθέν. Ἀλλά τάς γέ μὴν τῶν ὤτων ὑγρότητας ἐν παθήμασι τίθεται, καίτοι τάς γε τῆς ὑπερῴας, καὶ τῆς ῥινὸς, οὐ τιθέμενος, ὅτι κατὰ φύσιν μέν ἐστι, διὰ ῥινῶν, καὶ ὑπερῴας μετοχετεύεσθαι τὸ περίττωμα τοῦ ἐγκεφάλου, καὶ γίγνεται τοῦτο

καὶ τοῖς τελείοις ἤδη, παρὰ φύσιν δὲ, διὰ τῶν ὤτων. Ἀλλὰ τοῖς γε βρέφεσι, καὶ διὰ τούτων ὁ ἐγκέφαλος καὶ ἐκκαθαίρεται, καὶ καλῶς ὁ Ἱπποκράτης ἐν τοῖς ἰδίοις τῆς ἡλικίας, ἔγραψε καὶ τὰς τῶν ὤτων ὑγρότητας. ἔστι μὲν οὖν καὶ ὅλον τὸ σῶμα τοῖς νεογνοῖς παιδίοις ἐσχάτως ὑγρὸν, ὡς καὶ τὴν τῶν ὀστῶν φύσιν ἐν αὐτοῖς οἷον κηρώδη μᾶλλον ὑπάρχειν, ἢ λιθώδη. πολὺ δὲ μᾶλλον τῶν ἄλλων μορίων ὁ ἐγκέφαλος ὑγρός ἐστιν, ὡς αὖ καὶ τοῖς τελείοις ὑπάρχων τοιοῦτος, ὥστε εὐλόγως αὐτοῖς, ἐπειδὴ πλῆθος ἐστὶ τῶν περιττῶν, διὰ πάντων ἐκκρίνεσθαι τῶν πόρων.

A ter naturam autem per aures deriuatio pueris tamen infantibus etiam per aures cerebrũ expurgatur; & rectè Hippocrates inter proprios huius ætatis morbos, etiam aurium scripsit humiditates. Est siquidem & totum corpus recens natis puerulis summè humidum, adeo vt & ossium natura in ipsis velut cerea potius quàm lapidea videatur. Cæterarum verò partium cerebrum quamhumidissimum existit, vt quod etiam in adultis tale existat. Quare optima ratione quum ipsis excrementorum copia redundet per omnes meatus excernitur.

B

Περὶ νοσημάτων τῶν τοῖς παιδίοις ἤδη ὀδοντοφυέουσιν οἰκείων.

De morbis puerorum iam dentientium familiaribus.

ΑΦΟΡΙΣΜΟΣ κε'.

Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν, οὔλων ὀδαξησμοὶ, πυρετοὶ, σπασμοὶ, διάρροιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παιδίων, καὶ τοῖσι τὰς κοιλίας σκληρὰς ἔχουσι.

APHORISMVS XXV.

AD dentitionem verò productis, gingiuarum pruritus, febres, conuulsiones, diarrhœæ, ac maximè quum caninos dentes edunt, crassissimísque pueris, ac duras C *aluos habentibus* oboriuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν ὀδαξισμούς τινας γίνεσθαι τῶν οὔλων, ὅταν οἱ ὀδόντες φύειν μέλλωσι τοῖς παιδίοις, οὐδὲν θαυμαστόν. ὁ γὰρ ὀδαξισμὸς κνησμός τίς ἐστι, μετὰ βραχείας τινὸς ὀδύνης. Οἱ πυρετοὶ δὲ, καὶ οἱ σπασμοὶ, καὶ αἱ διάρροιαι, συμβαίνουσι τοῖς παιδίοις, ὀδοντοφυοῦσιν ἤδη, καὶ μηκέτι μέλλουσιν, ὡς καὶ αὐτὸς ἐδήλωσεν, εἰπὼν, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας. εὔλογον δὲ δή που, ὅτι διατετραμμένων τῶν οὔλων ὑπὸ τῶν ἀνιόντων ὀδόντων, ταῦτα γίνεται τὰ συμπτώματα, καθάπερ ὅταν ἐμπεπαρμένος ᾖ σκόλοψ σαρκὶ, καὶ πλεόν γ' ἐστὶ τὸ κατὰ τοὺς ὀδόντας, ἢ τοὺς σκόλοπας, τὸ τῆς ὀδύνης. οἱ μὲν γὰρ σκόλοπες ἡσυχάζουσιν ἐστηριγμένοι κατὰ τὸ μόριον, ᾧ κατ' ἀρχὰς ἐμπεπήγασιν. οἱ δ' ὀδόντες ἀεὶ προχωροῦσι τοσοῦτον, ὅσον αὐξάνονται. πυρέττει μὲν οὖν ἐν τούτῳ τῆς ἡλικίας, τὰ παιδία, διά τε τὰς ὀδύνας, καὶ τὰς ἀγρυπνίας, καὶ τὰς φλεγμονάς. οἱ σπασμοὶ δ' αὐτοῖς ἕπονται, διά τε ταῦτα, καὶ διὰ τὴν τροφὴν ἀπεπτουμένην, καὶ διότι μηδέπω τὰ κατὰ τὴν νεύρων φύσιν ἐστὶν ἰσχυρά. τούτοις ἅπασιν ἀκολουθοῦσι ἐξ ἀνάγκης, καὶ αἱ διάρροιαι, διὰ τὸ μὴ πέττεσθαι καλῶς τὴν τροφὴν, μήτε ἀναδίδοσθαι. τὸ δὲ, καὶ τοῖς παχυτάτοις τῶν παιδίων, καὶ τοῖς τὰς κοιλίας σκληρὰς ἔχουσιν ἐπὶ τοὺς σπασμοὺς ἀναφέρεται. τούτοις μάλιστα λέγοντος αὐτοῦ τῶν παιδίων γίνεσθαι σπασμοὺς, ἅπερ ἂν ᾖ παχύτατα, καὶ κοιλίας ἔχοντα σκληράς. πληθωρικὰ γάρ ἐστι τὰ τοιαῦτα, καὶ περιττωματικὰ, καὶ διὰ τοῦτο, σπασμοῖς εὐάλωτα, μάλιστα δὲ σπασμοὶ τὰς τοιαύτας καταλαμβάνουσι φύσεις.

GALENI COMMENTARIVS.

QVum puerulis dentes oborturi sunt, gingiuarum pruritus fieri nihil mirum. Pruritus enim prurigo quædam est cum leni quodam dolore. Febres verò, conuulsiones, atque diarrhœæ pueris jam dentientibus, ac nondum dentes edituris accidunt, quemadmodum ipse his verbis ostendit: *Et maximè quum caninos* D *edunt dentes.* Liquet autem foratis à dentibus prodeuntibus gingiuis hæc euenire symptomata, quemadmodum quum paxillus carni fuerit impactus; atque sanè plus molestiæ quam infixi paxilli, dentes excitant. Hi siquidem paxilli semel firmati in membro quiescunt cui ab exordio infixi sunt; dentes verò semper tantum procedunt, quantum augentur. Febricitant ergo hac ætate pueruli & propter dolores, & vigilias, & inflammationes. Conuulsiones autem sequuntur tum propter hæc, tum propter crudum alimentum, & quod neruosæ E partes nondum satis sint validæ. His omnibus etiam diarrhœæ succedunt, quòd alimentum non bellè coquatur, neque distribuatur. Illud autem, *Pueris crassissimis & aluos duras habentibus*, ad conuulsiones refertur, quum his maximè pueris dicat conuulsiones fieri, qui crassissimi sunt & aluos duras habent. Tales enim plethorici sunt, & scatent excrementis, ideoque conuulsionibus facilè capiuntur; maximè verò eiusmodi naturas conuulsiones obsident, lædúntque.

F

Morbis

Morbi adultioribus factis proprij, ac familiares.

Τὰ παθήματα, τὰ τοῖς πρεσβυτέροις ἴδια, καὶ οἰκεῖα.

APHORISMVS XXVI.

At adultioribus factis tonsillarum inflammationes, vertebræ ad occipitium intro luxationes. asthmata, calculi, lumbrici rotundi, ascarides, verrucæ pensiles, satyriasmi, strumæ, & alia tubercula, præcipuè verò prædicta.

ΑΦΟΡΙΣΜΟΣ κϛ'.

Πρεσβυτέροισι δὲ γενομένοισι παρίσθμια, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσιες, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοὶ, χοιράδες, καὶ τ' ἄλλα φύματα, μάλιστα δὲ τὰ προειρημένα.

GALENI COMMENTARIVS.

Primùm quidem scripsit de recens natis puerulis; deinde de dentientibus; nunc verò de iis qui mediam ætatem agunt inter eos qui jam dentire desierunt, & eos qui pubertati sunt proximi. Nam de pubertati proximis deinceps sequenti aphorismo mentionem facit, quartum ab iis ordine locum obtinentibus. Verum tertiam ætatem quæ nunc proponitur, ad duodecimum, & tertiumdecimum vsque annum progredientem iis corripi ait affectibus, quorum prima paristhmia scribit, quæ sunt locorum ad isthmum pertinentium inflammationes. Hîc autem per isthmum pars illa intelligenda est quæ os & gulam interjacet, per metaphoram ab isthmis propriè dictis ita nominata. Sunt autem angusti quidam terræ tramites ac transitus inter duo maria sitæ. Hæc autem parithmia nonnunquam solius sunt tunicæ ventriculo, & gulæ, & faucibus, totique ori communis inflammationes; nonnunquam verò & subjectorum ipsi musculorum; quum vertebræ etiam quæ est in occipite antrorsum fiunt inclinationes, de quibus post parithmia inquit: *Et vertebræ ad occipitium intro luxationes.* Nam à musculis inflammationem patientibus vertebra hæc tracta ad partem inclinat ceruicis anteriorem. Nominauit autem hanc partem Hippocrates non anteriorem; sed interiorem, vt qui ad vertebram pone locatam orationem referret: corporis enim è sua sede in profundum emotio, siue ex anterioribus, siue ex posterioribus fiat partibus, vnica voce, introrsum, significatur. Cur igitur Hippocrates in puerulis recens natis, neque de paristhmiis, neque de vertebræ in occipitio luxatione quicquam dixit, quum & illi nihilominùs cerebrum humidum, & scatens excrementis habeant, adeovt in subjectas partes fluxiones demittat? An quòd hi tam pusilli prius intereant, quàm subjecti faucibus musculi vnà cum neruis vehementem inflammationem patiantur? quódque præterea ipsis hæ partes sint molles, ac proinde vehementem sustinere tensionem nequeant, vt vertebram intro ad se possint attrahere. Iam verò asthma (sic autem Græci vocant crebram respirationem, qualis currentibus, aut quouis a-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πρῶτον μὲν ἔγραψε περὶ τῶν νεογνῶν παιδίων, εἶτα ἐξῆς τῶν ὀδοντοφυούντων, εἶτα νῦν περὶ τῶν μεταξὺ κατὰ τὴν ἡλικίαν ἤδη, τῶν πεπαυμένων τοὺς ὀδόντας φύειν, καὶ τῶν πλησίον τοῦ ἡβάσκειν. ἐφεξῆς γὰρ ἐκείνων, ἐπὶ τοῖς δὲ τετάρτων τῇ τάξει, μνημονεύει κατὰ τὸν ἐξῆς ἀφορισμόν. ἀλλὰ τήν γε τρίτην ἡλικίαν, ἥ τις νῦν πρόκειται ἡμῖν, τὴν ἄχρι δωδεκάτου καὶ τρισκαιδεκάτου προϊοῦσαν ἔτους, ἁλίσκεσθαι πάθεσί φησιν, ὧν πρῶτα γράφει παρίσθμια, φλεγμονὰς ὄντα τῶν κατὰ τὸν ἰσθμὸν χωρίων. ἀκούειν δὲ νῦν ἰσθμὸν χρὴ, τὸ μεταξὺ τοῦ στόματός τε καὶ τοῦ στομάχου μόριον, ἐκ μεταφορᾶς οὕτως ὠνομασμένον, ἀπὸ τῶν κυρίως λεγομένων ἰσθμῶν· αἳ δή τινες εἰσὶ στεναὶ γῆς διέξοδοι, μεταξὺ δυοῖν θαλαττῶν. Τὰ δὲ παρίσθμια ταῦτα, ποτὲ μὲν αὐτοῦ μόνου τοῦ κοινοῦ, τῇ τε γαστρὶ καὶ τῷ στομάχῳ, καὶ τῇ φάρυγγι, καὶ ὅλῳ τῷ στόματι, χιτῶνος εἰσὶ φλεγμοναὶ, ποτὲ δὲ καὶ τῶν ὑποκειμένων αὐτῷ μυῶν, ἡνίκα καὶ τοῦ κατὰ τὸ ἰνίον σπονδύλου, συμβαίνουσιν αἱ εἴσω ῥοπαὶ, περὶ ὧν ἐφεξῆς ἐν τοῖς παρισθμίοις ἐρεῖ. σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες. ἑλκόμενος γὰρ ὑπὸ τῶν φλεγμαινόντων μυῶν ὁ σπόνδυλος οὕτως, εἰς τὸ πρόσω τοῦ τραχήλου μέρος ἐπινεύει. κέκληκε δὲ, οὐ πρόσω, τοῦτο μέρος, ἀλλ' εἴσω, Ἱπποκράτης, ὡς πρὸς τὸν σπόνδυλον ἀναφέρων τὸν λόγον ὀπίσω κείμενον. ἡ γὰρ εἰς τὸ βάθος μετάστασις τοῦ σώματος, ἐάν τε ἐκ τῶν ὀπίσω, ἐάν τε ἐκ τῶν πρόσω γίνηται, διὰ μιᾶς φωνῆς δηλοῦται, τῆς εἴσω· τί δή ποτ' οὖν Ἱπποκράτης ἐπὶ τῶν ἀρτιγενῶν παιδίων, οὔτε περὶ τῶν παρισθμίων, οὔτε περὶ τῆς εἴσω ῥοπῆς τοῦ κατὰ τὸ ἰνίον σπονδύλου διῆλθεν, οὐδὲν ἧττον κἀκείνων ὑγρὸν καὶ περιττωματικὸν ἐχόντων τὸν ἐγκέφαλον, ὡς ἐπιπέμπειν ῥεῦμα τοῖς ὑποκειμένοις μορίοις· ἢ ὅτι φθάνει τὰ τηλικαῦτα διαφθειρόμενα, πρὶν ὑπομεῖναι φλεγμονὴν ἰσχυρὰν, τοὺς ὑποκειμένους τῇ φάρυγγι μύας ἅμα τοῖς νεύροις. καὶ ἄλλως ὅτι μαλακὰ ταῦτά ἐστιν αὐτοῖς τὰ μόρια, καὶ διὰ τοῦτο ἀδύνατα τάσιν ὑπομεῖναι σφοδρὰν, ὡς ἐπισπᾶσθαι δύνασθαι τὸν σπόνδυλον εἴσω πρὸς αὐτά. Καὶ μὲν δὴ καὶ τὸ ἆσθμα, καλοῦσι δ' οὕτως οἱ Ἕλληνες τὴν πυκνὴν ἀναπνοὴν, οἵα συμβαίνει τοῖς δραμοῦσιν, ἢ ὁπωσοῦν ἑτέρως εἰς σφοδρὰν κίνησιν ἀχθεῖσιν. Ἐπὶ μὲν τούτων γίνεται, δι' αὐτὸ τὸ γυμνά-

σιον, ἀκαπνοῦς πολλῆς τοῦ ζώου χρήζοντος. ἐπὶ δὲ τῶν ἄλλων γυμνασίων, διὰ τὴν στενοχωρίαν τῆς ἐν τῷ πνεύμονι κοιλίας. ἡ στενοχωρία δὲ αὕτη πληρουμένου τοῦ σπλάγχνου, τῶν ἄνωθεν ῥευμάτων, γίνεται. Τὰ δὲ ῥεύματα ταῦτα, πλείω μὲν ἐστι τοῖς νεογνοῖς παιδίοις, ἀναιρεῖ δὲ ὀξέως αὐτὰ, διότι καὶ ἄλλως ἔχει κακῶς. ἥ τε γὰρ ἐκ τῆς μήτρας εἰς τὸν πέριξ ἀέρα κατάστασις, ἥ τε τῆς τροφῆς ἑτερότης, ἥ τε φλεγμονὴ, κατ' ἀρχὰς μὲν τῶν κατὰ τὸν ὀμφαλὸν χωρίων, αὖθις δὲ διὰ τὴν τῶν ὀδόντων φύσιν, ἀσθενῆ πάντα ποιεῖ τὰ τοιαῦτα, καὶ μόγις ἐφ' οἷς εἴρηκα διαρκοῦνται, μή τί γε δὴ πρὸς ἐκείνοις, ἔτι καὶ τὸ ῥεῦμα δύνασθαι φέρειν, εἰς πνεύμονα κατασκῆπτον. Αἱ δὲ λιθιάσεις ἴδιόν ἐστι τῶν παίδων πάθημα, διὰ τὴν ἀδδηφαγίαν ὠμοὺς χυμοὺς ἀθροιζόντων οὐκ ὀλίγους, ἐξ ὧν τὸ παχύτερον, ἅμα τοῖς οὔροις εἰς τὴν κύστιν ἀφικνούμενον, ὕλη τῆς τῶν λίθων ἐστὶ γενέσεως, καὶ διὰ τὴν θερμασίαν τὴν πολλήν. Ἀθροίζουσι μὲν γὰρ καὶ οἱ γέροντες οὐκ ὀλίγον ὠμὸν χυμὸν, οὐ διὰ τὴν ἀδδηφαγίαν, ὡς οἱ παῖδες, ἀλλὰ διὰ τὴν ἀρρωστίαν τῆς πεπτικῆς δυνάμεως. οὐ μὴν τό γε θερμὸν ἔχουσιν ἰσχυρὸν, ὃ τὴν παχεῖαν ὕλην ἐξατμίζον, ἐργάζεται τοὺς λίθους. Ἕλμινθες δὲ, καὶ ἀσκαρίδες ἀνάλογον ἐοίκασι γίνεσθαι τοῖς ἄλλοις ζώοις, ὅσα τὴν φύσιν οὐκ ἐκ σπερμάτων, ἀλλ' ἐκ σηπεδόνος ἔχει μόνον· μόνη γὰρ οὐχ ἱκανὴ ταῦτα φῦσαι σηπεδὼν, ἀλλὰ καὶ θερμασίας πολλῆς προσδεῖται. διαφθείρεται μὲν οὖν ἡ τροφὴ πολλάκις ἐν τῇ γαστρὶ, καὶ μάλιστα ἐν τῇ κάτω, τοῖς παιδίοις. ἀλλ' ἡ θερμασία, τοῖς μὲν πάνυ νέοις, οὐδέπω τῆς ὕλης ἐγκρατής ἐστι. Τῶν δὲ ἡλικιωτῶν, καὶ τὴν ὕλην ἐπέχει τὴν ἐπιτήδειον εἰς ζώων τοιούτων φύσιν, ἐπ' αὐτῇ τε, τὴν θερμασίαν προσείληφεν. ἀσκαρίδες μὲν οὖν εἰσι, λεπταί τινες ἕλμινθες, ἐν τῷ κάτω μάλιστα τοῦ παχέος ἐντέρου μέρει φυόμεναι, καὶ φαίνονταί γε πλεῖσται σαφῶς ἐπὶ τῶν ἀπεπτούντων ὑποζυγίων γινόμεναι. Τὴν δὲ ἀπεψίαν αὐτῶν, ἡ δυσωδία τῶν διαχωρημάτων ἐνδείκνυται. Τὸ δὲ ἄλλο γένος τῶν ἑλμίνθων, αἱ στρογγύλαι, γίνονται μὲν ἐν τοῖς ἄνω μᾶλλον ἐντέροις, ὥστε καὶ εἰς αὐτὴν ἐπιβαίνουσιν ἐστιν ὅτε τὴν γαστέρα· πολὺ δὲ πλείους αὗται τῶν ἀσκαρίδων ἐν τοῖς παισὶ γίγνονται. σπανιωτέρα δὲ ἡ τῆς πλατείας ἕλμινθος φύσις ἐστιν, ἥ τις καὶ μακροτάτη γίγνεται, παρεκτεινομένη πολλάκις ἅπασι τοῖς ἐντέροις. ἀλλὰ ταύτης μὲν οὐδ' ὅλως ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ὅτι μηδὲ προὔκειτο περὶ πάντων αὐτῷ διεξέρχεσθαι τῶν παθημάτων, ὅσα συμβαίνει τοῖς ἀνθρώποις, ἀλλ' ἐκείνων μόνων ὅσα γίγνεται καθ' ἑκάστην τῶν ἡλικιῶν. διὰ τοῦτο γοῦν αὐτὸς, μετὰ τῶν εἰρημένων κατάλογον, ἐφεξῆς ἀκροχορδόνας τε, καὶ χοιράδας ἔγραψε κακοχύμου πλήθους ἔγγονα νοσήματα, ῥέποντος ἔξω τε, καὶ πρὸς τὸ δέρμα. πᾶν δὲ αὐτῶν τὸ γένος ὀνομάζει φύματα γράψας ἐφεξῆς οὕτως, ἀκροχορδόνες, χοιράδες, καὶ τἆλλα φύματα. λέγονται δὲ ἐξαιρέτως ἔνια φύματα, φλεγμοναί τινες αὐτόματοι, τάχιστα μὲν γινόμεναι τάχιστα δὲ εἰς ὀξὺ ὑψηλὸν αἰρόμεναι, τάχιστα δὲ καὶ ἐκπυϊσκόμεναι, καὶ πλείστη γε καὶ ἡ τούτων φύσις

ἡ κάτω γαστὴρ

A lio modo ad vehementem motionem adductis accidit) in his quidem fit quòd multa ob ipsum exercitiũ indigeat animal respiratione; in aliis autem citra exercitium ob cauitatum pulmonis angustiam; hæc verò angustia fit fluxionibus superne irruentibus repleto viscere. At hæ fluxiones plures quidem in recens natis puerulis fiunt, ac cito ipsos interimunt, quoniam & alias malè se habent. Nam & ab vtero in ambientem aërem transitus, & alimenti diuersitas per initia quidem locorum ad vmbilicum inflammatio, deinde ob dentium ortum eos omnes imbecillos reddit, & vixea quæ dixi mala tolerant; nedum præter hæc, fluxiones
B etiam in pulmonem decumbentes ferre possint. Lithiasis verò *calculi generatio* proprius est puerorum morbus, ob edacitatem crudos humores non paucos coaceruantium, ex quibus pars crassior vnà cum vrinis ad vesicam delata, fit lapidum generationis materia; accedente altera causa, caloris vehementia. Aceruant quidem & senes humorem crudum non paucum, non propter voracitatem vt pueri; sed propter facultatis coctricis imbecillitatem; non tamen calorem vehementem habent, qui ex crassa materia vaporem resoluens lapidem generet. Lumbrici verò, & ascarides videntur
C aliis animalibus similiter gigni quæ non ex semine; sed ex putredine sola ortum habent. Sola enim putredo hisce procreandis non satis est, sed multo etiam calore indiget. Cibus itaque plerunque corrumpitur in ventre, ac potissimum inferiore puerulis, verum calor in valde paruis ac tenellis nondum materiâ superior existit; in adultioribus autem & materia idonea est ad talium animalium generationem, ac præter eam, calorem asciscit. Ascarides igitur sunt tenues quidam lumbrici in parte præcipuè inferiore crassi intestini procreati, cu-
D jusmodi plurimi manifesto procreari conspiciuntur in veterinis animalibus malè cibum coquentibus, quorum deprauatam coctionem fœtor indicat excrementorum. Aliud verò genus lumbricorum rotundorum in superioribus magis intestinis generantur, adeout adipsum quandoque ventriculum ascendant; atque multo plures hi, quàm ascarides gignuntur in pueris. Rarior autem est lumbrici lati generatio, qui & longissimus est, & sæpe per omnia extenditur intestina. Verum de hoc nullam
E penitus fecit Hippocrates mentionem, quoniam neque ipsi erat propositum de omnibus morbis agere, qui hominibus accidunt; sed de iis tantùm qui singulis ætatibus vtplurimum accidunt. Propterea igitur ipse enumeratis jam dictis deinceps *verrucas pensiles* acrochordonas, & strumas adjecit, morbos prauorum humorum plenitudinis sobolem. Totum autem ipsorum genus phymata *tubercula* nominat, ita deinceps scribens; *Verrucæ pensiles, strumæ, & alia tubercula.* Verùm eximiè phymata
F quædam appellantur inflammationes nonnullæ, sponte nascentes, quæ & celerrimè in acumen generantur, quæ celerrimè in altum attolluntur, & celerrimè etiam suppurantur, quorum plurima est in inguinibus, & axillis generatio, quòd his in locis plures

sint adenes, naturam excrementis in se promptè excipiendis idoneam sortiti. Horum adenum morbus struma quoque est, non ex calida materia, neque ad suppurationem properante; sed ex pituitosiore, & frigidiore maximè constans.

A ἐστὶν ἐν βουβῶσι, καὶ μασχάλῃ, ὅτι καὶ ἀδένες ἐνταῦθα πολλοὶ φύσιν ἔχοντες, εἰς ἑαυτοὺς ἑτοίμως δέχεσθαι τὰ περιττά. Τούτων τῶν ἀδένων ἐστὶ πάθημα καὶ ἡ χοιράς, οὐχ ὑπὸ θερμῆς ὕλης, οὐδ' εἰς ἐκπύησιν ἐπειγομένης, μάλιστα δὲ ψυχροτέρας τε καὶ φλεγματικωτέρας.

De adultiorum ac puberum morbis, & quando pubescunt pueri.

Τὰ τῶν πρεσβυτέρων, καὶ τῶν ἐφήβων νοσήματα, καὶ ὅτε ἡβάσκουσιν οἱ παῖδες.

B

APHORISMVS XXVII.

AT etiamnum adultioribus, & ad pubertatem accedentibus ex ijs multa, & febres diuturniores, & ex naribus sanguinis profluuia.

ΑΦΟΡΙΣΜΟΣ κζ.

Τοῖσι δὲ ἔτι πρεσβυτέροισι, καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τε τὰ πολλὰ, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

C

GALENI COMMENTARIVS.

PVeri post annum quartumdecimum pubescere incipiunt. Qui verò prope hanc ætatem accedunt, sunt qui duodecimum, aut tertiumdecimum, aut quartumdecimum etiam annum agunt. Non enim vnus omnium certissimus pubertatis est terminus propter temperamenti caliditatem & frigiditatem. Calidi nanque citiùs, frigidi verò tardiùs pubescunt. Ægrotant autem pueri multis morbis jam prædictis propter temperamenti similitudinem, & præterea febribus diuturnioribus quàm superiores; non tamen quicquam de ijs protulit quæ prima illa ætate febres abundant, quales essent: verùm ex eo, quod nunc dicitur, aperte ostendit ipsas acutas esse. Immutantur enim alterantúrque puerorum status citissimè propter corporis humiditatem, & naturalis facultatis imbecillitatem. Sanguinis verò profluuia ex naribus fiunt grandioribus, quoniam hic humor ea ætate redundare incipit, non quod copiosior quàm anteà generetur; sed quod nunc ipsius minus absumatur, propterea quod & augmentum pro corporis ratione hac ætate, quam superiore procedat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΡχονται μὲν ἡβάσκειν μετὰ τὸ τεσσαρεσκαιδέκατον ἔτος οἱ παῖδες. ὅσοι δὲ πλησίον ἥκουσι τῆς ἡλικίας ἐκείνης, εἶεν ἄν ποτε ἐτῶν δυοκαίδεκα, ἢ τρισκαίδεκα, καὶ μέντοι καὶ τεσσαρεσκαίδεκά τινες αὐτῶν. οὐ γὰρ ἁπάντων ἀκριβὴς μία προθεσμία τῆς ἥβης ἐστὶ, διὰ τὴν θερμότητα καὶ ψυχρότητα τῆς κράσεως. Οἱ μὲν γὰρ θερμοὶ πρωϊαίτερον, οἱ ψυχροὶ δὲ, ὀψιαίτερον ἡβάσκουσι. D νοσοῦσι δὲ οἱ παῖδες οὗτοι, πολλὰ μὲν καὶ τῶν ἤδη προειρημένων, τῇ τῆς κράσεως ὁμοιότητι, καὶ μέντοι καὶ πυρετοὺς, χρονιωτέρους τῶν ἔμπροσθεν. οὐ μὴν εἴρηκέ τι περὶ τῶν ἐν ἐκείνῃ τῇ ἡλικίᾳ πλεοναζόντων πυρετῶν ἀλλ' ἐκ τοῦ νῦν εἰρημένου δῆλός ἐστιν ἐνδεικνύμενος ὀξεῖς αὐτοὺς γίγνεσθαι. ἀλλοιοῦνται γὰρ αἱ διαθέσεις τῶν παίδων τάχιστα, διὰ τὴν ὑγρότητα τοῦ σώματος, καὶ τὴν τῆς φυσικῆς δυνάμεως ἀῤῥωστίαν. αἵματος δὲ ῥύσεις ἐκ τῶν ῥινῶν γίνονται τοῖς τηλικούτοις, ἐπειδὴ πλεονάζειν ἄρχεται κατὰ τὴν ἡλικίαν ἐκείνην E ὁ χυμὸς οὗτος, οὐχ ὅτι πλείων γεννᾶται, ἢ πρόσθεν, ἀλλ' ὅτι νῦν ἧττον ἀναλίσκεται, διὰ τὸ, καὶ τὴν αὔξησιν, ὡς πρὸς τὴν ἀναλογίαν τοῦ σώματος, ἧττον κατὰ τὴν ἡλικίαν ταύτην γίνεσθαι τῆς ἔμπροσθεν.

F

A

Ἐν ᾧ χρόνῳ τὰ τῶν νεανίσκων νοσήματα κρίνωνται, καὶ λύωνται, ἢ χρόνια γενήσεται τὰ ἐν μησὶ, καὶ ἔτεσι κρινόμενα· τί τὸ πάθος.

ΑΦΟΡΙΣΜΟΣ κη'.

ΤΑ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσι. ὅσα δὲ ἂν διαμένῃ τοῖσι παιδίοισι πάθεα, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τῇσι θηλείῃσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθεν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙ προσέκειτο τῷ λόγῳ τὰ χρόνια, κάλλιον ἂν ἦν, ὅθεν ἔνιοι τὸ τοῦ πάθους ὄνομα κατὰ τῶν χρονίων μόνων οἴονται λέγειν αὐτόν. ἀλλ' ἐναντιοῦταί γε αὐτοῖς τὰ τοιαῦτα, κατὰ τοὺς ἀφορισμοὺς εἰρημένα, ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι, τῇσι φαρμακείῃσι χρέεσθαι, καὶ αἱ λεπταὶ δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσι. δῆλον οὖν ἐκ τούτων ἐστὶν, ὡς οὐ μόνον ἐπὶ τῶν χρονίων, ἀλλὰ καὶ ἐπὶ ὀξέων λέγειν εἴωθεν ὁ Ἱπποκράτης τὸ τοῦ πάθους ὄνομα. φαίνεταί γε μὴν νῦν, ἤτοι κατὰ τῶν χρονίων αὐτὸ φέρων, ἢ τὸν λόγον ἐλλιπῆ πεποιημένος. Ἀλλ' ἡμεῖς γε ἀναπληρώσαντες αὐτὸν, φήσομεν οὕτως. Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθη χρόνια κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι. τῶν μὲν οὖν ἡμερῶν ἡ τεσσαρακοστὴ, πρώτη μὲν τῶν χρονιζόντων ἐστὶ κρίσιμος, ἐσχάτη δὲ τῶν ἐκ μεταπτώσεως ὀξέων, ὡς καὶ πρόσθεν εἶπον. ὅσα δὲ τὸν ἀριθμὸν τοῦτον ὑπερβαίνῃ, κατὰ τὸν τῆς ἑβδομάδος λόγον ἴσχει τὴν κρίσιν, οὐκέτι ἡμερῶν ἑπτὰ συναριθμουμένων, ἀλλὰ πρότερον μὲν μηνῶν, εἶτα ἑξῆς ἐτῶν. καὶ μὲν δὴ καὶ ὅτι κατὰ τοῦτον ὑπερβαίνοντα τὸν χρόνον εἰς τὴν τετάρτην ἡλικίαν ἀφικνεῖται πρόδηλον. δευτέρα τε γὰρ ἑβδομὰς ἐν τούτῳ τῷ χρόνῳ συμπληροῦται. καὶ ἄλλως, αἱ μεταβολαὶ τοῦ σώματος μεγάλαι γίνονται κατὰ τὴν ἥβην, καὶ μάλιστα ἐπὶ τῶν θηλειῶν, διὰ τὴν τῶν καταμηνίων φορὰν, ὥσθ' ὅσα γε νοσήματα μηδὲ κατὰ ταύτην τὴν ἡλικίαν ἐλύθη, μέχρι πολλοῦ χρόνου παραμένειν εἴωθεν.

Quo tempore pueriles morbi iudicentur, soluantúrque, aut diuturni euadant qui mensibus & annis iudicantur, quid πάθος?

APHORISMVS XXVIII.

B *AT verò pueris plurimi morbi iudicantur; alij quidem intra dies quadraginta; nonnulli verò intra septem menses; quidam intra annos septem; quidam denique ad pubertatem accedentibus. Quicunque verò morbi pueris permanserint, neque pueris circa pubertatem, neque fœminis circa menstruorum eruptiones soluti fuerint, diuturni esse consueuerunt.*

GALENI COMMENTARIVS.

C SI vox, diuturni, orationi adjecta fuisset, melius foret. Vnde nonnulli nomen πάθους, *affectionis*, de diuturnis tantùm *morbis* ipsum intelligere arbitrantur. Verùm his aduersantur, quæ in aphorismis pronunciata sunt. *In acutis* πάθεσι, *morbis, rarò & per initia medicamentis purgantibus vtendum.* Et, *tenuis victus tum in longis* πάθεσι, *morbis semper, tum in acutis.* Itaque ex his manifestum est non in diuturnis tantùm morbis, sed etiam in acutis Hippocratem πάθους, *affectionis* nomen pro consuetudine pronunciasse. Videtur tamen nunc aut de D diuturnis morbis id intelligere, aut imperfectam orationem protulisse. At nos ipsi *quod deest ad perfectionem* supplentes ita dicemus. Plurimi autem puerulis morbi diuturni iudicantur; alij quidem intra dies quadraginta, nonnulli verò intra septem menses, quidam intra annos septem: quadragesimus nanque dies diuturnorũ morborum primus est decretorius & de generum ex decidentia acutorum vltimus, quemadmodũ supra docuimus. Qui verò hunc superant numerum, septenaria ratione judicationem sortiuntur, non iam diebus connumeratis E septem; sed primum quidem mensibus, deinde annis. Et verò sanè morbos, qui hoc tempus superauerint, ad quartumdecimum annum peruenire manifestũ est: Nam secundus septenarius eo tempore completur, deinde etiam in pubertate magnæ fiunt corporis mutationes, in fœminis præsertim propter menstruorum eruptionem. Quare qui morbi næ hac ætate soluti fuerint, in longum vsque tempus permanere consueuerunt.

F

A

De juuenilibus morbis, sanguinis expuitione, tabe, febribus acutis, epilepsia, & aliis.

APHORISMVS XXIX.

IVuenibus sanguinis expuitiones, tabes, febres acutæ, epilepsiæ, aliique morbi; sed maximè prædicti.

B

GALENI COMMENTARIVS.

QVum primas ætates ad pubertatem vsque minutissimè explicuerit, nescio quomodo adolescentiam prætermiserit, inter puberes ac ætate florentes mediam. Verùm ex pronunciatis tibi licet etiam qualis ea sit conjicere, quæ in multis quidem communicat cum illis ætatibus vtrinque ipsam circunstantibus; sed in maribus peculiarem, eximiamque habet sanguinis per nares profusionem cuius in ætatibus pubertati proximis meminit. C Nam hoc symptoma ea ætate apparere incipit; sed maximè viget in adolescentibus; deinde remittitur in viris. Verùm hanc ætatem prætergressus Hippocrates ad iuuenum ætatem peruenit, ac primum sanguinis expuitiones, & tabem, deinde febres acutas, ac deinceps epilepsiam scripsit; postremo ad hæc, & alij, inquit, morbi; sed maximè priùs commomorati, rectè hoc adijciens. Nam ita rem se habere cernimus; sed non integrè de febribus acutis disseruit: Non enim dicere absolutè oportuit acutas, quæ & in pueris nihilominus fieri conspiciuntur; D sed ex acutis tertianas maximè, & ardentes. Hæ nanque omnium febrium sunt biliosissimæ, ac sæpissimè iuuenes inuadunt, quoniam flaua quoque bilis hac ætate abundat, ex qua morbi tales ætate florentibus accidunt. Tabes autem & sanguinis expuitiones non secundùm ætatis naturam afficiunt; sed ex quodam ipsius accidenti: quare & antea dicebat senes vtplurimum minùs quàm iuuenes ægrotare, vbi nos quoque diximus propter intemperantiam, non ob facultatis imbecillitatem, iuuenibus E multos morbos oboriri. Re igitur eadem iuuenibus sanguinis expuitiones accidunt, aut ictu accepto, aut contusione facta, saltu, vehementi clamore, aut frigore, & humi-cubitu, aut plenitudine, aut aliqua eiusmodi causa. Ad sanguinis verò sputum tabes consequitur. Quare & his causis iuuenes per accidens ægrotabunt, non primariò, neque ætatis ratione. Epilepsiæ verò ipsis iuuenibus, quamuis malo victu vtantur, non tamen frequenter accidunt; mirórque quomodo & has F Hippocrates scripserit, quum alibi non modo pueris frequentius accidere; sed inde etiam puerilem morbum nominari, & ætatis mutatione sedari protulerit. Fiunt igitur & in quibusdam iuuenibus epilepsiæ prius non obortæ, propter victus errorem quem in assumen-

Περὶ νεανίσκων νοσημάτων, τῆς αἵματος πτύσεως, καὶ φθίσεως, καὶ πυρετῶν ὀξέων, καὶ ἐπιληψίας, καὶ τῶν ἄλλων.

ΑΦΟΡΙΣΜΟΣ κθ'.

Τοῖσι δὲ νεανίσκοισιν, αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τἆλλα νοσήματα, μάλιστα δὲ τὰ προειρημένα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Λεπτομερῶς πάνυ διελθὼν τὰς πρώτας ἡλικίας, ἄχρι τῆς τῶν ἡβώντων, οὐκ οἶδ' ὅπως παρέβη τὴν τῶν μειρακίων, ἐν τῷ μεταξὺ τῆς τῶν ἡβώντων, καὶ τῶν ἀκμαζόντων οὖσαν. ἀλλ' ἐκ τῶν εἰρημένων, ἔνεστί σοι τι καὶ περὶ ταύτης τεκμήρασθαι. κοινωνοῦσα μὲν κατὰ πολλὰ ταῖς περιεχούσαις αὐτὴν ἑκατέρωθεν ἡλικίαις, ἴδιον δὲ ἐξαίρετον ἐχούσης ἐπὶ τῶν ἀρρένων, τὴν ἐκ ῥινῶν αἱμορ- C ῥαγίαν, ἧς ἐμνημόνευσεν ἐπὶ τῶν ἐγγὺς τῆς ἥβης. ἄρχεται μὲν γὰρ ἐπιφαίνεσθαι κατ' ἐκείνην τὴν ἡλικίαν τοῦτο τὸ σύμπτωμα, μάλιστα δὲ ἀκμάζει τοῖς μειρακίοις, εἶθ' ὑφίησι τοῖς ἀνδρουμένοις. ἀλλὰ ταύτην τὴν ἡλικίαν ὑπερβὰς ὁ Ἱπποκράτης, ἐπὶ τὴν τῶν νεανίσκων ἀφικνεῖται, καὶ πρῶτον μὲν αἵματος πτύσιν, καὶ φθίσιν ἔγραψεν, εἶθ' ἑξῆς πυρετοὺς ὀξεῖς, καὶ μετ' αὐτοὺς, ἐπιληψίας. εἶτ' ἐπὶ τούτοις ἔφη, καὶ τὰ ἄλλα νοσήματα, μάλιστα δὲ τὰ προειρημένα. Καλῶς μὲν τοῦτο προσγράψας, ὁρᾶται γὰρ οὕτως ἔχον, ἐλλιπῶς δὲ περὶ τῶν ὀξέων πυρετῶν διελθών. οὐ γὰρ ἁπλῶς ἐχρῆν εἰπεῖν D ὀξεῖς, καὶ οἵ γε τοῖς παισὶν, οὐδὲν ἧττον ὁρῶνται γιγνόμενοι, ἀλλὰ τῶν ὀξέων τριταίους μάλιστα, καὶ καύσους. οὗτοι γὰρ χολωδέστατοί τε πυρετῶν ἁπάντων εἰσὶ, καὶ πλεῖστοι τοῖς νεανίσκοις γίνονται. διότι καὶ ἡ ξανθὴ χολὴ πλεονάζει κατ' αὐτὴν τὴν ἡλικίαν, ἐφ' ἧς αἱ τοιαῦται νόσοι τοῖς ἀκμάζουσι γίνονται. Φθίσεις δὲ, καὶ πτύσεις αἵματος, οὐ κατὰ τὴν φύσιν τῆς ἡλικίας πάσχουσιν, ἀλλὰ κατά τι τῶν συμβεβηκότων αὐτῇ. διὸ καὶ πρόσθεν ἔλεγεν οἱ πρεσβῦται, τῶν νέων, τὰ μὲν πλεῖστα νοσέουσιν ἧττον, ἔνθα καὶ ἡμεῖς εἴπομεν, ὡς διὰ τὴν ἀκρασίαν τοῖς νέοις, οὐ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως E τὰ νοσήματα γίγνεται πολλά. Κατὰ τοῦτο οὖν, καὶ τοῖς νεανίσκοις αἱ τοῦ αἵματος πτύσεις συμβαίνουσιν, ἤτοι διὰ τὸ πληγῆναι, καὶ θλασθῆναι, καὶ πηδῆσαι, καὶ κεκράξαι σφοδρῶς, ἢ διὰ ψύξιν, καὶ χαμευνίας, ἢ πλησμονὴν, ἤ τι τοιοῦτον. Ταῖς δὲ τοῦ αἵματος πτύσεσιν ἕπονται φθίσεις, ὥστε καὶ διὰ ταῦτα νοσήσουσιν οἱ νεανίσκοι κατὰ συμβεβηκὸς, οὐ πρώτως, οὐδὲ τῷ λόγῳ τῆς ἡλικίας. ἐπιληψίαι δὲ καίτοι κακῶς διαιτωμένοις αὐτοῖς, ὅμως οὐ γίγνονται πολλαὶ, καὶ θαυμάζω, πῶς καὶ ταύτας ἔγραψεν ὁ Ἱπ- F ποκράτης αὐτὸς ἐν ἑτέροις, οὐ μόνον ὅτι πλεονάζουσι τοῖς παισὶν εἰπών. ἀλλὰ καὶ ὅτι διὰ τοῦτο παιδικὸν ὀνομάζεται τὸ πάθημα, καὶ ὅτι κατὰ τὴν μεταβολὴν τῆς ἡλικίας παύονται. Γίνονται μὲν οὖν ποτὲ καὶ τῶν νεανίσκων ἐπιληψίαι πρότερον οὐκ οὖσαι, διὰ

τὴν ἐν τῇ διαίτῃ πλημμέλειαν, ἥν ἔν τε τοῖς προσφερομένοις ποιοῦνται, καὶ ἣν ἐν τοῖς διαπραττομένοις ὑπ᾽ αὐτῶν ἔργοις, ἔν τε χαμευνίαις, καὶ ἡλιώσεσι, καὶ χειμῶσι, καὶ τοιούτοις. ἀλλ᾽ αὗταί γε, οὐ πολλαί τινές εἰσι, καὶ γίνεται δὲ καὶ ἄλλα τινὰ νοσήματα κατὰ τὸν αὐτὸν λόγον, ὥστε κάλλιον ἦν ὧδέ πως εἰρῆσθαι τὸν ἀφορισμόν. Τοῖς δὲ νεανίσκοις, γίνεται μὲν καὶ τἄλλα σχεδὸν ἅπαντα τὰ ῥητὰ κατὰ τὰς ἄλλας ἡλικίας, ἐξαιρέτως δὲ, οἵ τε καῦσοι, καὶ οἱ τριταῖοι πυρετοί. ἰστέον δὲ ὅτι ἡ ἀκμαστικὴ ἡλικία λε´ ἔτεσι περιγράφεται, ἡ δὲ παρακμαστικὴ μη´.

dis committunt, ac in aliis quas obeunt actionibus, A quum humi cubant, quum soli, ac imbribus se exponunt, aliáque patiuntur similia. Verùm hæ frequentes non sunt; atque alij morbi quidam eadem ratione oboriuntur. Quare melius fuerit ita aphorismum scribere; iuuenibus autem tum alij propè omnes morbi dicti aliis ætatibus accidunt, tum verò præcipuè ardentes ac tertianæ febres. Porrò sciendum est quòd vigens ætas triginta quinque annis circumscribitur; declinans autem quadraginta octo.

B

Περὶ νοσημάτων, τῶν τῇ παρακμαζόντων ἡλικίᾳ οἰκείων· καὶ περὶ τῆς τούτων ἐξηγήσεως.

De morbis constanti ætati proprijs, ac eorumexplicatione.

ΑΦΟΡΙΣΜΟΣ λ´.

Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην, ἄσθματα, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, χολέραι, διάῤῥοιαι χρόνιαι, δυσεντερίαι, αἱμοῤῥοΐδες.

APHORISMVS XXX.

Vltra hanc iuuenilem *ætatem prouectis, asthmata, pleuritides, peripneumoniæ,* C *lethargi, phrenitides, febres ardentes, diarrhœæ diuturnæ, cholera, dysenteriæ, lienteriæ, hæmorrhoides.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν νεανίσκων ἡλικία, κατὰ τὴν πέμπτην ἑβδομάδα περιγράφεται. Κατὰ τοῦτο γοῦν, καὶ αὐτὸς ἔλεγεν ἐν τῷ προγνωστικῷ. μᾶλλον δὲ χρὴ προσδέχεσθαι, τοῦ μὲν αἵματος τὴν ῥύσιν τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων. ἡ γὰρ ἐχομένη τῶν νεανίσκων ἡλικία, ταῖς ἐφεξῆς ἑβδομάσι δύο παρεκτείνεται. πάντα μὲν ἔτι πράττειν ἐπιχειρούντων αὐτῶν τὰ κατὰ τὸν βίον, παραπλησίως τοῖς ἀκμάζουσιν, οὐ μὴν ὁμοίως γε ἐξαρκούντων τοῖς πόνοις. ὑπό τε γὰρ ἐγκαύσεως, καὶ ψύξεως, καὶ χαμευνίας, ἀγρυπνίας τε καὶ πλησμονῆς, μᾶλλον ἐκείνων βλάπτονται, καὶ μὲν δὴ καὶ ἡ κρᾶσις αὐτὴ τῶν τοιούτων, μελαγχολικωτέρα πως ἐστί· καὶ διὰ τοῦτο ἐν αὐτῇ μελαγχολῶσι πολλοὶ, καθάπερ τῶν ὡρῶν ἐν φθινοπώρῳ. ὡς γὰρ ἐκεῖνο τὴν ἐν τῷ θέρει κατοπτηθεῖσαν ὠχρὰν χολὴν διαδέχεται ψυχρὸν ὄν, οὕτω καὶ ἡ παρακμαζόντων ἡλικία, τὴν τῶν νεανίσκων· ἐπεὶ αὐτῇ ἐοικυῖα μάλιστα θέρει, καὶ θαυμάζειν γέ ἐστι, πῶς οὐκ ἔγραψεν ἐπ᾽ αὐτῆς μελαγχολίαν. εὗρον γε μὴν ἔν τισι τῶν ἀντιγράφων, καὶ ταύτην γεγραμμένην, ἤτοι προσθεῖναι τὸ λεῖπον τολμήσαντός τινος, ὡς παρεωραμένον ὑφ᾽ Ἱπποκράτους, ἢ τῶν ἄλλων ἡμαρτημένοις, ἀντιγράφοις πιστευσάντων. ἀπόλλυνται δὲ καὶ τῶν φθινόντων πολλοὶ κατὰ ταύτην τὴν ἡλικίαν, καὶ τῶν νεανίσκων, καὶ ὅσοι ἐξ αἵματος πτύσεως ἁλίσκονται φθόῃ, κατὰ ταύτην ἀπόλλυνται. οὐ μὴν πτύουσί γε αἷμα πολλοὶ κατὰ ταύτην, ὅτι μηδὲ πλῆθος αἵματός ἐστιν ἐπὶ τοῖς τηλικούτοις. Ἄσθμασι δὲ, καὶ περιπνευμονίαις, καὶ πλευρί-

GALENI COMMENTARIVS.

Ivuenum ætas quinto septenario circumscribitur. Quamobrem & ipse in prognostico dicebat: In junioribus autem annis triginta quinque, sanguinis quidem profusio magis expectanda est. Nam quæ iuuentutem ætas D excipit, ad duos sequentes septenarios extenditur, qua ætate prouecti omnia vitæ munia peræque ætate florentibus etiamnum facere aggrediuntur, non tamen similiter laboribus sufficiunt. Nam ab æstu, frigore, humi-cubatu, vigiliis, atque repletione magis quàm iuuenes læduntur. Et sanè horum quoque temperamentum ipsum quodammodo estmagis melancholicum, ideóque per eam ætatem, vt inter anni tempora per autumnum multi melancholia vexantur. Quemadmodum enim hoc tempus frigidum existens flauam biE lem æstiuis ardoribus perustam excipit: sic vigore decedentium ætas, iuuenum ætatem æstati simillimam subsequitur, proindéque mirandum est cur in ea scriptis non meminerit melancholiæ. Hanc tamen in quibusdam exemplaribus ascriptam quoque comperi, siue sit quispiam ausus adijcere quod deesse videbatur, tanquam ab Hippocrate prætermissum, siue alij qui deprauatis exemplaribus fidentes ita legendum putauerint. Moriuntur autem & tabe laborantium multi, & iuuenum quicunque ex sanguinis sputo in phthoem inciderint, hac ætate intereunt. Non tamen F hac ætate multi sanguinem exspuunt, quod his grandævis non sit sanguinis plenitudo. Asthmatis autem *anhelationibus*, & peripneumoniis, & pleuritidibus ac ætate prouecti

magis quam iuuenes corripiuntur; vt qui & victu simili, & laboribus vtantur; sed multo imbecillius quam juuenes corpus habeant. Denique quos omnino morbos prætermisit, quum de ætate florentibus ageret, nunc omnes recenset. Etenim phrenitides, & ardentes febres, & choleræ, & dysenteriæ, nihilo minùs juuenibus quàm ætate prouectis accidunt, sui ortus occasionem ex flaua bile sortitæ. Diuturniores autem constante ætate, prouectis diarrhœæ contingunt, propter distributionis alimenti defectum: Nam omnium propè ætatum decedens constantia ad corporis instaurationem paucissimis indiget, quia quod ex ipsa discutitur ac dissipatur, paucissimum est. Neque enim corpus similiter calidum est ac priùs, neque amplius in eius incrementum quicquam absumitur; sed neque his retentrice facultate admodum imbecilla, vt in senibus ex corpore plus effluit. Quia igitur diarrhœæ vel concoctione, vel alimenti distributione frustratis accidunt, aut bilis acrimonia intestinum abradentis: hæc autem omnia in ætate decedentibus sunt, qua ratione ipsis diarrhœæ diuturnæ euadunt. Cæterum febres lethargicæ fiunt ex humore pituitoso in cerebro aceruato. Prioribus autem ætatibus hic humor deficit magis quàm redundet. In senili verò ætate plurimus quidem est, verùm propter ætatis frigiditatem febres non accendit. At in ætate decedentibus & hic humor exuberat, necdum corpus frigidum est. Lienterias verò ostendimus, alias quidem facultatem imbecillam efficiente; alias denique ab vlcerosa quadam affectione. Atque hæc omnia ætate decedentibus affluunt. Hæmorrhoides autem propriæ verè sunt hujus ætatis affectiones, quemadmodum melancholiæ. Fiunt enim ab atra bile ad sedis venas cumulatiùs decumbente. A me quidem omnium enumeratarum affectionum causæ explicatæ sunt; at harum scientia cum probatione illis aderunt, qui legerint demonstrationes, quas de his nostris in operibus scripsimus; quæ quot qualésque sint, & quam, quæque rei contemplationem doceat, legenti librum de librorum nostrorum ordine licebit discere. His enim promotus quomodo ipsorum singula sint perlegenda cognoscet.

A πτωσιν, ἁλίσκονται) μᾶλλον τῶν νεανίσκων, ὡς ἂν τῇ μὲν διαίτῃ, καὶ τοῖς πόνοις ὁμοίως χρώμενοι, πολὺ δ' ἀσθενέστερον ἐκείνων ἔχοντες τὸ σῶμα· καὶ ὅλως ἃ παρέλιπεν ἐπὶ τῶν ἀκμαζόντων, κατὰ λέξιν νοσήματα, ταῦτα νῦν ἅπαντα διέρχεται. Καὶ γὰρ αἱ φρενίτιδες, καὶ οἱ καῦσοι, καὶ αἱ χολέραι, καὶ αἱ δυσεντερίαι, τοῖς νεανίσκοις οὐδὲν ἧττον, ἢ τοῖς παρακμάζουσι γένονται, τὴν ὑπόθεσιν τῆς γενέσεως ἐκ τῆς ὠχρᾶς χολῆς λαμβάνουσαι. χρονιώτεραι δὲ ἐπὶ τῶν παρακμαζόντων αἱ διάρροιαι γίνονται, διὰ τὸ τῆς ἀναδόσεως ἐλλιπές. σχεδὸν γὰρ ἁπασῶν τῶν ἡλικιῶν, ἡ παρακμαστικὴ, βραχυτάτων δεῖται τῶν ἀναλαμβανομένων
B εἰς τὴν ἕξιν, ὅτι καὶ τὸ διαφορούμενον ὑπ' αὐτῶν ἐλάχιστον. οὔτε γὰρ ἔτι θερμὸν ὁμοίως ἐστὶ τὸ σῶμα ὡς ἔμπροσθεν, οὔτε εἰς αὔξησιν ἔτι δαπανᾶται κατ' αὐτήν, ἀλλ' οὐδὲ τῆς καθεκτικῆς δυνάμεως ἱκανῶς ἀρρωστούσης, ὡς ἐπὶ τῶν γερόντων, ἀπορρεῖ τι πλέον ἐκ τοῦ σώματος. Ἐπεὶ τοίνυν αἱ διάρροιαι γίγνονται μὲν, ἤτοι τῆς πέψεως, ἢ τῆς ἀναδόσεως ἀποτυγχανομένων, γίγνονται δὲ καὶ διὰ χολῆς δριμύτητα, ξυούσης τὸ ἔντερον, ἅπαντα δὲ ταῦτα ἐπὶ τῶν παρακμαζόντων ἐστὶν, εἰκότως ἐπ' αὐτῶν αἱ διάρροιαι χρονίζουσιν. Οἵ γε μὴν ληθαργικοὶ
C πυρετοὶ, γίγνονται μὲν ἐπὶ φλεγματώδει χυμῷ κατὰ τὸν ἐγκέφαλον ἠθροισμένῳ. ταῖς δὲ ἔμπροσθεν ἡλικίαις, ἐνδεῖ μᾶλλον ὁ χυμὸς οὗτος ἢ περιττεύει. κατά γε μὴν τὴν τῶν γερόντων, πάμπολυς μέν ἐστιν, ἀλλὰ διὰ τὸ ψυχρὸν τῆς ἡλικίας, οὐκ ἐξάπτει πυρετούς. ἐπὶ δὲ τῆς τῶν ἀκμαζόντων, καὶ περιττεύει ὁ τοιοῦτος χυμὸς, καὶ ψυχρὸν οὐδέ πω τὸ σῶμα ἐστίν. αἱ λειεντερίαι δὲ, ἐδείχθησαν, αἱ μὲν ὑπὸ τοῦ ψυχροῦ φλέγματος, αἱ δὲ ὑπὸ δυσκρασίας μόνης ἄρρωστον ἐργαζομένης τὴν καθεκτικὴν τῆς γαστρὸς δύναμιν. αἱ δ' ὑπό τινος ἑλκώδους
D διαθέσεως, γιγνόμεναι, καὶ ταῦτα πάντα πλεονάζει τοῖς παρακμάζουσιν. Αἱ δ' αἱμορροΐδες οἰκεῖον ὄντως εἰσὶ τῆς ἡλικίας ταύτης πάθος, ὥσπερ αἱ μελαγχολίαι. γίνονται γὰρ ὑπὸ μελαίνης χολῆς, ἐπειδὰν εἰς τὰς κατὰ τὴν ἕδραν φλέβας ἀθροώτερον κατασκήψῃ. ἐμοὶ μὲν οὖν εἴρηται τῶν κατειλεγμένων ἁπάντων παθῶν ἡ αἰτία. τὸ δ' ἐπιστημονικὸν τῆς πίστεως αὐτῶν, ὑπάρχει τοῖς ἀναλεξαμένοις τὰς περὶ τούτων ἀποδείξεις, ἃς ἐν ταῖς ἡμετέραις πραγματείαις πεποιήμεθα. καταμαθήσεται
E δ' αὐτὰς ὁ βουλόμενος ὁπόσαι τέ εἰσι, καὶ ὁποῖαι, καὶ ἥν τινα θεωρίαν διδάσκουσα ἑκάστη, τὸ περὶ τῆς τάξεως τῶν ἡμετέρων ὑπομνημάτων ἀναγνοὺς βιβλίον. ἐκ τούτων γὰρ ὁρμηθεὶς, εἴσεται πῶς ἑκάστῳ αὐτῶν ἀναγνωστέον ἐστί.

A

Περὶ πρεσβυτικῶν τῶν νοσημάτων, καὶ τῆς ἑκάστου ἐξηγήσεως.

ΑΦΟΡΙΣΜΟΣ λα΄.

Τοῖσι δὲ πρεσβύτῃσι δύσπνοιαι, καὶ κατάρροι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, ξυσμὸς τοῦ σώματος ὅλου, ἀγρυπνίαι, κοιλίης, καὶ ὀφθαλμῶν, καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρυηκοΐαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς πρεσβύτας τῶν γερόντων ἔνιοι τῶν ἀπὸ Ἱπποκράτους διορίζουσιν, ἐπὶ μὲν τῆς τελευταίας ἡλικίας, τὸ τῶν γερόντων ὄνομα διορίζοντές τε, καὶ διὰ παντὸς ἡγούμενοι λέγεσθαι. Τὸ δὲ τῶν πρεσβυτῶν ἐπὶ τῆς πρὸ αὐτῆς, ἥ τις ἐστὶ μέση, τῆς τε τῶν νεανίσκων, καὶ τῆς τῶν γερόντων. ἀλλά νῦν γε σαφῶς ἐνεδείξατο, πρεσβύτας ὀνομάζων τοὺς τὴν ἐσχάτην ἄγοντας ἡλικίαν, ἐν αὐτοῖς γοῦν καταπαύει τὸν λόγον, ὡς ἁπάσας ἤδη διεληλυθώς. ἁλίσκονται δὲ οὗτοι συνεχέστατα κατάρροις βηχώδεσι, διά τε τὸ ῥαδίως ψύχεσθαι τὰ περὶ τὴν κεφαλὴν, καὶ διὰ τὸ πολλὰ γίνεσθαι περιττώματα τούτοις φλεγματικὰ, ψυχρὰν τὴν κρᾶσιν ἱκανῶς ἤδη γινομένων τῶν κατὰ τὸν ἐγκέφαλον. Ἄσθματα δὲ, διά τε τοὺς κατάρρους τούτους, καὶ ἄλλως τῶν ἀναπνευστικῶν ἰδίαν ἀρχὴν ψύξεως, πολλάκις λαμβανόντων. ἅ τε δὴ πολλῶν τε, καὶ παχέων ἐν αὐτοῖς περιττωμάτων γιγνομένων, καὶ προσέτι τῆς δυνάμεως ἀσθενοῦς οὔσης, ἐμφράττονται πολλάκις οἱ νεφροὶ, καὶ τοὺς λίθους γεννῶσιν, ὅταν γλίσχρον ἢ παχὺ περίττωμα μένον αὐτόθι, πωρώδη λάβῃ σύστασιν. ἄρθρων δὲ πόνοι γίνονται, ὅτε μὲν ἐπιρρεόντων ἐνίοις περιττῶν ἐνταῦθα, ἔστι δὲ ὅτε καὶ τῇ ψύξει τῶν κινούντων ὀργάνων αὐτά. καὶ τοὺς ἰλίγγους δὲ πολλάκις μὲν αὐτοῖς τοῖς κατὰ τὸν ἐγκέφαλον χωρίοις ἀτμώδους πνεύματος ἄτακτος κίνησις ἐργάζεται. πολλάκις δὲ ἀθροισθέντων ἐν τῇ γαστρὶ περιττωμάτων μοχθηρῶν, ἀτμώδης ἀναθυμίασις ἐπὶ τὸν ἐγκέφαλον φέρεται. περὶ δὲ τῆς ἀποπληξίας, τί δεῖ καὶ λέγειν· οὐδὲν γὰρ οὕτως οἰκεῖόν ἐστι νόσημα τῇ τῶν γερόντων ἡλικίᾳ, διὰ τὸ πληροῦσθαι τὸν ἐγκέφαλον αὐτοῖς φλεγματωδῶν περιττωμάτων. εἴ γε μὴν ἕλκος που γένηται γέροντι, δυσχερῶς ὑγιάζεται, διὰ τὴν ἔνδειαν τοῦ αἵματος, καὶ κνῶνται πυκνῶς, ὅπερ ὠνόμασε ξυσμοὺς, ὡς ἂν, τῶν τὴν κίνησιν ἐργαζομένων περιττωμάτων, δυσχερῆ τὴν διὰ τοῦ δέρματος ἐχόντων κένωσιν. εἰκὸς γάρ που τῇ ψύξει καὶ τὸ δέρμα πυκνούμενον αὐτοῖς εἶναι, καὶ τὰ περιττώματα πλείω τε ἅμα, καὶ παχύτερα. οὐ γὰρ δὴ πάντες συνεχῶς ἀγρυπνοῦσι, καὶ ἄλλως μὲν ὅτι φροντιστικόν πως

De morbis senilibus & cuiusque ipsorum explicatione.

APHORISMVS XXXI.

Senibus autem spirandi difficultates, catharri tussiculosi, stranguriæ, dysuriæ, articulorum dolores, nephritides, vertigines, apoplexiæ, malus corporis habitus, totius corporis pruritus, vigiliæ, alui, oculorum & narium humiditates, visus hebetudines, glaucedines, auditus graues.

GALENI COMMENTARIVS.

Virentes senes à decrepitis senibus nonnulli Hippocratis sectatores distinguunt, nomen γερόντων, decrepitorum ætati postremæ tribuentes, idque perpetuum recenseri existimantes πρεσβυτῶν, viridium autem senum nomen in priori ætate statuentes, inter juuenes ac decrepitos senes media. Sed nunc manifestè monstrauit se πρεσβύτας, senes eos appellare qui postremam ætatem agunt. In ipsis siquidem de ætatibus sententiam finiuit, ac si jam omnes ætates percurrisset. At hi senes tussiculosis catharris sæpissime corripiuntur, tum quod ipsis caput facillimè refrigeretur, tum quòd copiosa ipsis pituitosa excrementa procreentur, quum jam valde frigidum cerebri temperamentum habeant. Asthmata verò tum ex catharris ortum habent; tum etiam quòd alias ipsa spirandi instrumenta non raro proprium sui frigoris principium subeant. Quum verò ipsis multa ac crassa excrementa generentur, insupérque virium adsit imbecillitas, renes sæpius obstruuntur & lapides procreant, postquam crassum excrementum ibidem immoratum callosam concretionem assumpserit. Articulorum quoque dolores interdum fiunt affluentibus ad hæc loca excrementis; interdum verò instrumentorum articulos mouentium frigore. Vertigines verò sæpe quidem vapidi spiritus in cerebri regionibus contenti inordinata & turbata motio sæpe excitat, sæpe etiam in ventriculo vitiosis excrementis coaceruatis in cerebrum vapida fertur exhalatio. De apoplexia autem quid quoque dicendum? Nullus enim adeo senili ætati familiaris morbus est, quoniam cerebrum in ea pituitosis repletur excrementis. Sicubi verò vlcus factum fuerit, ægrè sanatur, propter sanguinis defectum. Assiduè quoque se scabunt, toto pruriente corpore quod pruritum appellauit; quia quæ pruritum excitant superuacanea, difficilem habent per cutem vacuationem. Rationi siquidem consentaneum est, tum cutem ipsis frigore densari cogique, tum plura excrementa simul & crassiora euadere. Complures etenim (neque sanè omnes) continenter vigilant, quòd senectus sollicita & anxia sit,

A sit, tum etiam præsertim propter corporis siccitatem. Quare tunc etiam magis vigilant, quum integra sanitate fruuntur. Dictum nanque à nobis est in commentario de temperamentis ipsas quidem corporis partes per senectutem sicciores euadere; sed pituitosorum excrementorum copiam aceruari; qua ratione à multis frigida & humida senectus astruitur. At quandiu hæc plura in cerebro excrementa accumulata fuerint, & pauciora gigni excrementa, & celerius excerni accidit bene & salubriter habentibus: vnde & maximè propria senilis ætatis affectio videtur esse vigilia. B Humiditates autem in ipsis & oculorum, & narium liquet fieri, propter cerebri superflua excrementa. His ipsis in aluum defluentibus, ipsa etiam humectatur. Obtusior autem visus, & grauior auditus propter facultatis sensitricis imbecillitatem ipsis accidunt. Glaucedines verò ob immoderatam instrumentorum *visui seruientium* siccitatem, & quia suffusionis speciem sortiuntur.

A ὑπάρχει τὸ γῆρας, ἀλλὰ καὶ διὰ τὴν τοῦ σώματος ξηρότητα, διὸ καὶ μᾶλλον ἀγρυπνοῦσιν ὅταν ἀκριβῶς ὑγιαίνουσι. λέλεκται γὰρ ἡμῖν ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν, αὐτὰ μὲν τὰ μόρια τοῦ σώματος ἐν τῷ γήρᾳ γίνεσθαι ξηρότατα. περιττωμάτων δὲ πλῆθος ἀθροίζεσθαι φλεγματωδῶν· διὸ πρὸς τῶν πολλῶν εἰκότως ὑπολαμβάνεται ψυχρὸν καὶ ὑγρὸν τὸ γῆρας. ἐν ᾧ μὲν χρόνῳ ταῦτ' ἀθροισθῇ πλείω κατὰ τὸν ἐγκέφαλον, ὑπνώδεις γίγνονται μᾶλλον, ἐν ᾧ δ' αὖ ἐκκριθῆναι καλῶς, ἀγρυπνητικοί. συμβαίνει δὲ καὶ γεννᾶσθαι μείω, καὶ θᾶττον ἐκκρίνεσθαι μᾶλλον, καθ' ὃν αὖ ὑγιαίνοντες διάγουσι B χρόνον, ὅθεν καὶ μάλιστα πάθος ἴδιον δοκεῖ γεροντικῆς ἡλικίας, ἀγρυπνία. αἱ δ' ὑγρότητες αὐτοῖς, αἵ τε τῶν ὀφθαλμῶν, καὶ τῶν ῥινῶν, εὔδηλον ὅτι διὰ τὰ τοῦ ἐγκεφάλου περιττώματα γίγνεται. τῶν δ' αὐτῶν τούτων καταρρεόντων εἰς τὴν γαστέρα, καὶ αὐτὴ πολλάκις ὑγραίνεται. Αἱ δ' ἀμβλυωπίαι, καὶ αἱ βαρυηκοΐαι, διὰ τὴν τῆς αἰσθητικῆς δυνάμεως ἀμαύρωσιν αὐτοῖς γίγνονται. γλαυκώσεις δὲ, διὰ τὴν τῶν ὀργάνων ἄμετρον ξηρότητα, καὶ διὰ τὸ τὴν ἰδέαν τοῦ ὑποχύματος ἔχειν.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΩΟΥ ΑΦΟΡΙΣΜΩΝ ΤΕΤΑΡΤΟΝ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΥΣ ΑΦΟΡΙΣΜΟΥΣ ΥΠΟΜΝΗΜΑ Δ.

HIPPOCRATIS COI APHORISMORVM LIBER QVARTVS, ET GALENI IN APHORISMOS COMMENTARIVS QVARTVS.

ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΒΙΒΛΙΟΥ.

Τέταρτον ἀφορισμῶν βιβλίον τὰς καθάρσεις κατὰ τέχνην, καὶ αὐτομάτως ποιουμένας, καὶ τὰς κριτικὰς, καὶ συμπτωματικὰς ἐντεῦθεν πολλὰ τὰ θεραπευτικὰ, καὶ διαγνωστικὰ, καὶ προγνωστικὰ περιέχει.

ARGVMENTVM LIBRI.

Quartus aphorismorum liber purgationes arte ac sponte factas, criticas, & symptomaticas; ac inde multa therapeutica, diagnostica, & prognostica complectitur.

A

Ὅτε τὰς γυναῖκας κυούσας φαρμακεύειν χρή.

ΑΦΟΡΙΣΜΟΣ α'.

ΤΑ'Σ κυούσας φαρμακεύειν ἢν ὀργᾷ, τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν, ἧσσον δὲ ταύτας. τὰ δὲ, νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

Quando grauidæ mulieres medicamentis purgandæ sint.

APHORISMVS I.


PRægnantes medicamentis purgandæ sunt, si humor turgeat, quadrimestres, & ad septimum vsque mensem; sed h minus. Minoribus autem aut grandioribus fœtibus cauendæ sunt purgationes.

GALENI COMMENTARIVS.

A

EANDEM cum veteris fœtuum coalitus rationem habent, *quam cum plantis fructuum connexus.* Hi nanque primi à generatione infirmis pediculis continentur, ideóque facilè decidunt, quum ventus vehementior ipsos concusserit. Postea verò aucti solutu difficilem cum stirpibus communionē sortiuntur. Quemadmodum rursus ibi perfecti maturuerint, etiam citra vim externam decidunt. Eodem B sanè modo conceptus primo post seminis injectionem tempore, si quando saltare contigerit, aut per lubrica cadere, aut quoquo modo aliter aut animo, aut corpore vehementiùs moueri, facilè abrumpuntur: Sic etiam & quum perfecti jam adoleuerint. Intermedio verò tempore firmiorem habent coalitum. Quare tum grauida mulier vehementiores motus citra fœtûs læsionem sustinere potest. Quæ sciens Hippocrates, rectè pronunciat, Prægnantes medicamentis purgendæ sunt, si humor turgeat, quadrimestres, etiam ad septimum vsque mensem; C quod medium est prægnationis tempus, quô tum vtero fœtus planè annectitur. Non tamen quæ hocce tempore purgatione indigeant, omnes purgari concedit. Sed si humor turgeat, inquit, hoc est, vrgeatur; quod vocabulum ab animalibus ad coitum concitatis translatum est. Quum igitur redundantes humores mouentur, & quoquouersum corporis feruntur, nondum aliqua in parte firmati, tum ad eorum expulsionem natura incitatur atque aliquo qui manum porrigat, & ipsum humorum impetum ad aluum deducat, D indiget. Qui verò aliqua in parte firmati fuerint humores, eos mouere non oportet. Sic igitur & illud edictum est. *Quicunque statim per initia morborum inflammatas partes medicamento purgante aggrediuntur, ij de parte contenta atque inflammata nihil educunt (neque enim cedit quicquam quæ cruda est affectio) sanas etiam partes, & morbo reluctantes colliquant.* Quod autem Hippocrates verbum φαρμακεύειν, pro *purgare medicamento* vsurpare consueuerit omnes concedunt quicunque vel minimam habent eius dictionis notitiam. Nam vt alia quis- E piam omittat ipsius scripta, & conscriptorum aphorismorum meminerit nihil quicquam aliud per hanc vocem φαρμακεύειν, in ipsis significari posse intelliget, vt paulò post declarabitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.



ΑΙ πρὸς τὰς μήτρας συμφύσεις τῶν ἐμβρύων, ἀνάλογον ἔχουσι ταῖς τῶν καρπῶν, πρὸς τὰ φυτά. ταυτὶ γάρ τοι κατὰ μὲν τὴν πρώτην γένεσιν, ἀσθενέσι λαβαῖς συνέχεται, καὶ διὰ τοῦτο ἀποπίπτει ῥᾳδίως, ἐπειδὰν σφοδρότερος ἄνεμος αὐτὰ διασείσῃ. μετὰ ταῦτα δὲ αὐξανόμενα δύσλυτον ἔχει τὴν πρὸς τὰ φυτὰ κοινωνίαν. ὥσπερ αὖ πάλιν, ἐπειδὰν τελειωθῇ, καὶ χωρὶς τῆς ἔξωθεν βίας ἀποπίπτει. κατὰ τὸν αὐτὸν δὴ τρόπον, καὶ τὰ κυούμενα, ἐν μὲν τῷ πρώτῳ χρόνῳ τῆς καταβολῆς τοῦ σπέρματος, κἂν ἅλλεσθαί ποτε συμβῇ τὴν γυναῖκα, ἢ καταπεσεῖν ὀλισθήσασαν, ἢ ὁπωσοῦν ἄλλως σφοδρότερον, ἢ κατὰ ψυχὴν, ἢ κατὰ σῶμα κινηθῆναι, ῥᾳδίως ἀπορρήγνυνται. παραπλησίως δὲ, καὶ ἐπειδὰν ἤδη τέλεια τυγχάνει ὄντα. ὁ δὲ μεταξὺ χρόνος, ἀσφαλεστέραν ἔχει τὴν σύμφυσιν ὥς τε καὶ κινήσεων σφοδροτέρων ἀνέχεσθαι τὴν κύουσαν, ἄνευ τοῦ βλαβῆναι τὸ ἔμβρυον· ἅπερ ἐπιστάμενος ὁ Ἱπποκράτης, εἰκότως ἔφη, τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρις ἑπτὰ μηνῶν. ὅσπερ ἐστὶν ἐν τῷ μέσῳ τῆς κυήσεως, ἡνίκα ἀκριβῶς ἐνέχεται τῇ μήτρᾳ τὸ κυούμενον. οὐ μὴν οὐδ' ἐν τούτῳ, πάσας ὅσαι δέονται καθάρσεως, ἐπιτρέπει καθαίρειν, ἀλλ' ἢν ὀργᾷ, φησί, τουτέστιν ἐπείγεται· μετενήνεκται γὰρ ἀπὸ τῶν ὀργώντων ἐπὶ συνουσίαν ζώων, ἡ προσηγορία. ὅταν οὖν κινῶνταί τε καὶ φέρωνται πάντῃ τοῦ σώματος οἱ πλεονάζοντες χυμοὶ, μηδέπω καθ' ἕν τι μόριον ἐστηριγμένοι, τηνικαῦτα πρὸς τὴν ἀπόκρισιν αὐτῶν ἡ φύσις ὁρμᾷ, καὶ δεῖταί τινος ὀρέξοντος χεῖρα, καὶ ποδηγήσοντος αὐτὴν τὴν ὁρμὴν ἐπὶ τὴν γαστέρα. τοὺς δὲ καθ' ἕν τι μόριον ἐστηριγμένους χυμοὺς, οὐ χρὴ κινεῖν. οὕτως γοῦν εἴρηται κἀκεῖνο· ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇσι τῶν νοσημάτων φαρμακεύειν λύειν εὐθέως ἐπιχειροῦσι, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος, οὐδὲν ἀφαιρέουσιν, οὐ γὰρ ἐνδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νοσήματι, καὶ ὑγιέα, συντήκουσιν. ὅτι δὲ τὸ φαρμακεύειν ὁ Ἱπποκράτης, ἐπὶ τοῦ διὰ φαρμάκου καθαίρειν, εἴωθε λέγειν, ὡμολόγηται πᾶσιν ὅσοι κἂν ἐπὶ βραχὺ τῆς λέξεως αὐτοῦ συνιᾶσιν. ἵνα γὰρ ἐάσας τις τὰ ἄλλα βιβλία, τῶνδε γεγραμμένων ἀφορισμῶν μνημονεύσῃ, κατ' οὐδένα τρόπον οἷόν τ' ἐστὶν ἀκούειν, ἐν αὐτοῖς ἄλλο τι σημαίνεσθαι πρὸς τῆς, φαρμακεύειν, φωνῆς, ὡς ὀλίγον ὕστερον ἔσται δῆλον.

A

Ἐν τῇ φαρμακείας χρήσει τὸ περιττὸν ὑγρὸν καθαρτέον εἶναι· τῆς ἀγαθῆς καθάρσεως ἑπομένην εὐφορίαν· τί, καὶ ποσαπλάσιον, καὶ ὅθεν ἡ κένωσις, καὶ οἵτινες ὦσιν οἱ τῆς καθάρσεως σκοπὸς, καὶ ἐνδείξεις.

In purgationis vſu humorem noxium purgandum eſſe. Probæ purgationis comitem euphoriam. Quid, quotuplex, & vnde vacuatio, & quæ ſint purgationis indicationes.

ΑΦΟΡΙΣΜΟΣ β'.

B

Ἐν τῇσι φαρμακείῃσι, τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, ὁκοῖα καὶ αὐτόματα ἰόντα, χρήσιμα· τὰ δὲ ἐναντίως ἰόντα, παύειν.

APHORISMVS II.

IN ijs quæ medicamento fiunt purgationibus, talia è corpore educenda ſunt, qualia quæ etiam ſponte prodeuntia iuuant. Quæ verò contrario modo prodeunt, ſiſtenda.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Αὐτόματα κενοῦσθαι λέγομεν ἐκ τοῦ σώματος, ὅσα, χωρὶς τοῦ πρᾶξαί τι τὸν ἰατρὸν, ἐκκρίνεται. ποτὲ μὲν τῆς διοικούσης τὸ σῶμα φύσεως, ἐκκαθαιρούσης αὐτὰ, ποτὲ δὲ δι' ἐρεθισμὸν, ἢ τὸ μὴ στέγεσθαι πρὸς τῶν ἀγγείων. ὅτε μὲν οὖν ἡ φύσις ἐκκενοῖ τὸ περιττὸν, ὠφελεῖται τὸ ζῶον. ὅταν δ' ἄλλως ἀποκρίνηται, λόγῳ συμπτώματος, οὔτ' ὠφέλειά τις ἕπεται, καὶ σημεῖον ἐστὶν ἡ τοιαύτη κένωσις μοχθηρᾶς διαθέσεως. εἰκότως οὖν ὁ Ἱπποκράτης συμβουλεύει μιμεῖσθαι τὴν φύσιν. ἡ μίμησις δ' ἐστὶν, ἐν τῷ πειρᾶσθαι κενοῦν τοὺς τοιούτους χυμοὺς, ἐφ' ἑκάστῳ τῶν νοσημάτων, οἵους εἴδομεν ὠφε-

D

λοῦντας ἐν ταῖς αὐτομάτοις κενώσεσιν. ἔμπροσθεν μὲν οὖν εἴρηται περὶ πάσης κενώσεως αὐτῷ καθολικώτερον. οὕτω δὲ, καὶ κενεαγγείη, ἢν μὲν οἵην δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσι. νυνὶ δὲ περὶ μόνης καθάρσεως τὸν αὐτὸν ἐποιήσατο λόγον, ἐπειδὴ περὶ ταύτης αὐτῷ προὔκειτο διδάσκειν ἐν τῷ χωρίῳ τῷδε τοῦ βιβλίου. βέλτιον δ' οὖν ἴσως ἐστὶ, κἀμὲ ἀναλαμβάνειν τὸν λόγον ὑπὲρ ἁπασῶν κενώσεων, ἃς οἱ ἰατροὶ μηχανῶνται περὶ τὰ τῶν καμνόντων σώματα. γίγνονται δ' αὗται, ποτὲ μὲν διὰ τῶν καθαιρόντων, ὅλον τὸ σῶμα φαρμάκων ἐμετηρίων τε, καὶ

E

ὑπηλάτων. ἐνίοτε δὲ μορίου τινὸς κενωτικόν ἐστι τὸ φάρμακον, οἷον ὅσα δι' ὑπερῴας, καὶ ῥινῶν, ἀπάγει τῆς κεφαλῆς τὰ περιττά. τοῦ γένους δ' ἐστὶ τῶν καθαιρόντων τὰ περιττὰ, καὶ ὅσα διὰ βηχὸς ἐκκαθαίρει τὰ κατὰ θώρακα, καὶ πνεύμονα, καὶ ὅσα δι' οὔρων ἀπάγει τὸ τοῦ παντὸς αἵματος ὀρρῶδες περίττωμα, καὶ κλυστὴρ δ' ἂν ἐκ τοῦ τοιούτου γένους εἴη, καὶ πᾶν ὁτιοῦν ἄλλο τῶν μὴ κενούντων ὁμοτίμως ὅλον τὸ σῶμα. καθάπερ ἥ τε φλεβοτομία κενοῦν πεπίστευται, καὶ ὅλως ἀφαίρεσις αἵματος πᾶσα, καθ' ὁντιναοῦν γιγνομένη τρόπον. ἐκ τῶν τοιούτων δ' ἐστὶ

F

κενώσεων, ἥ τε διὰ μήτρας, καὶ ἡ δι' αἱμορροΐδων, ἥ τ' ἐπὶ τοῖς γυμνασίοις, καὶ τρίψεσι, καὶ πάσῃ κινήσει τε, καὶ ἀλέᾳ, καὶ λουτροῖς θερμοῖς, καὶ μάλιστα εἰ νη-

GALENI COMMENTARIVS.

C

SPonte ex corpore vacuari dicimus quæcunque citra aliquam Medici operam excernuntur, interdum quidem moderante *noſtrum* corpus naturâ ea per ſe expurgante, interdum verò aliunde irritamentis, aut quia à vaſis non conteguntur. Quum itaque natura ſuperuacaneum euacuat, iuuatur animal: Quum verò aliter excernitur ratione ſymptomatis, neque inde vtilitas vlla ſequitur, talis vacuatio prauæ etiam affectionis ſignum eſt. Rectè igitur Hippocrates conſulit naturam imitandam eſſe. Eſt autem mutatio in ſingulis morbis experiri tales humores euacuare,

D

quales nouimus in ſpontaneis prodeſſe vacuationibus. Suprà itaque de omni humorum euacuatione generaliùs dictum eſt. *Sic & vaſorum vacuatio ſi quidem qualem fieri oportet, talis fiat, & leuiter ferunt.* Nunc verò de ſola purgatione eandem orationem condidit, quoniam de eâ, hoc in præſentis libri loco docere propoſuerat. Melius igitur fortaſſis eſt de omnibus quas Medici circa ægrotantium corpora *occupati* moliuntur vacuationibus, nos quoque ſermonem repetere. Hæ verò *vacuationes* fiunt interdum quidem medicamentis tum vomito-

E

riis, tum dejectoriis corpus vniuerſum purgantibus; interdum verò medicamentis partis alicujus vacuandæ facultatem habentibus, qualia quæ per palatum & nares capitis educunt excrementa. De genere quoque ſuperflua purgantium ſunt quæ per tuſſem, thoracem & pulmonem expurgant, & quæ per vrinas ſeroſum totius ſanguinis excrementum eliciunt. Clyſter quoque de hoc genere fuerit, & quodcunque aliud totum corpus æquabiliter non euacuat. Quo modo tum venæ ſectio vacuare creditur, tum vniuerſè omnis ſanguinis detractio quocunque modo facta.

F

Eiuſmodi quoque vacuationum eſt quæ per vterum fit, quæ per hæmorrhoidas, quæ per exercitia, frictiones, omnem motum, & quæ tepore fit, & balneis calidis, ſi præſertim ni-

trosæ, vel sulphureæ, vel bituminosæ fuerint, & ex accidenti inedia. Hæc siquidem omnia videntur quidem totum æquabiliter corpus vacuare. Quanquam si quis accuratè *veritatem* exquirat, non æqualiter vacuare comperiet. Verùm in his quum paruus sit alterius ad alterum excessus, secundum eorum quæ vacuantur qualitatem & quantitatem; ideo vacuatio mihi æqualis esse videtur. At verò quæ cathartica pharmaca vocantur, speciem vacuationis manifeste differentem constituunt; de quibus, vt dixi, nunc ipsi disserendi est propositum, non tamen majus quicquam docet, quàm quod de omnibus vacuationibus ipse redundans, cuius dignoscendi peritia petenda est, tum ex colore præter naturam toto corpore apparente, tum etiam ex symptomatis, & morbis, anni etiam tempestate, regione, ætate, cæli statu, ægrotantis natura, vitæ institutis, & victu. Vt si, exempli gratiâ, flauus toto corpore color factus appareat, vt in auriginibus, & per sedem bilis non excernatur, aut biliosa quædam exanthemata per totum corpus eruperint; particulatim autem si ventriculi morsus, & cibi fastidium in appetentia adsint, si sitis, si oris amaror, aut si aliqua in parte corporis sit erysipelas, aut tertiana febris hominem obsideat, aut ardens ex sæuiente bile, febris quam causum amarulentum vocitant. Nam his in omnibus flaua bilis abundat; atque idcirco ipsam educere conabimur illis medicamentis quæ ab effectis chologoga, hoc est bilem ducentia nominantur. Atque illud est quod ab Hippocrate dicebatur. *Si qualia oportet purgari, purgentur, confert, facileque ferunt.* Nam illud, *qualia oportet*, humorum videlicet sua qualitate ægrotantem infestantium abundantiam significat. Eâ re profectò huiusmodi vacuationes conferre pronunciat. Sed quoniam omnes solertes & artificiosæ conjecturæ in actionibus existunt, & fallunt interdum (similitudines enim, vt ipse profert, non solùm vulgaribus; sed etiam præstantibus Medicis errorem inuehunt.) Alterum nos docuit indicium bonis vacuationibus conjugam euphoriam, seu ferendi facilitatem, vt hujus fiducia in vacuationem rectè molienda securi simus. Quod igitur de flaua bile exempli gratiâ dixi, hoc & de atrâ mecum intellige. Etenim & in hac totius corporis color in nigriorem mutatur, & atræ pustulæ atræ bilis colore efflorescunt. Quicunq; etiam morbi ob ejus redundantiam oborti manifestò humoris copiam indicant, quemadmodum elephas, & cancer. Cùm etiam quartana periodus ex humore melancholico generatur; Lien quoque magnus, & varices nigrescentes, affectus sunt eiusdem humoris propagines, quemadmodum & quæ melancholia vocatur, & omnis desipientia mentis, iracundia, temeraria, & fera. Hippocrates verò & ex menstruis redundantem in mulieribus humorem conjectabat, cujus rei signa ab eo scripta sunt primo libro de morbis mulierum. Ex his igitur atram bilem redundare tibi dignoscendum est, atque his adducto indicationibus ad eius vacuationem

A βώδη, καὶ θειώδη, καὶ ἀσφαλτώδη τύχῃ, καὶ κατὰ συμβεβηκὸς ἡ ἀσιτία. τὰ γὰρ τοιαῦτα πάντα, δοκεῖ μὲν ὁμοτίμως ὅλον τὸ σῶμα κενοῦν. καίτοι γε εἰ ἀκριβῶς τις ἐξετάζοι, εὑρήσει μὴ κενοῦν ὁμοτίμως, ἀλλ' ἐν τούτοις μὲν ἐπειδὴ μικρὰ τοῦ ἑτέρου πρὸς τὸ, παρὰ τὸ ἕτερόν ἐστιν ὑπεροχὴ κατὰ τὴν ποιότητα τῶν κενουμένων, ὁμοτίμως εἶναί μοι δοκεῖ. τὰ δὲ καθαρτικὰ καλούμενα φάρμακα, φανερῶς διάφορον εἶδος ἐργάζεται κενώσεως, ὑπὲρ ὧν, ὡς ἔφην, νῦν αὐτῷ πρόκειται λέγειν. οὐ μὴν πλειστότερόν γε διδάσκει τι, τοῦ περὶ πασῶν κενώσεων αὐτῷ εἰρημένου. σκοπὸς γὰρ ἐστιν ἁπάσαις εἷς, ὁ
B πλεονάζων χυμὸς, οὗ πειρᾶσθαι διαγνωστικὸν ὑπάρχειν, ἔκ τε τῆς καθ' ὅλον τὸ σῶμα παρὰ φύσιν ἑκάστῳ γινομένης χρόας, ἔτι τε τῶν συμπτωμάτων καὶ τῶν νοσημάτων, ὥρας τε, καὶ χώρας, καὶ ἡλικίας, καὶ καταστάσεως, καὶ φύσεως τοῦ κάμνοντος, ἐπιτηδευμάτων τε, καὶ διαίτης. οἷον εἰ τύχῃ καθ' ὅλον μὲν τὸ σῶμα τῆς χρόας ὠχροτέρας γεγενημένης, ὡς ἐν ἰκτέροις, οὐχ ὑποχωρούσης δὲ δι' ἕδρας τῆς χολῆς ἢ τινῶν ἐξανθημάτων ἐν ὅλῳ τῷ σώματι γεγενημένων χολωδῶν. κατὰ μέρος δὲ, δήξεως ἐν τῇ γαστρὶ, καὶ ἄσης, καὶ ἀσιτίας, καὶ δίψης,
C ἐκπικρουμένου τε τοῦ στόματος, ἢ κατά τι μέρος, ἐρυσιπέλατος, ἢ τριταίου πυρετοῦ κατέχοντος τὸν ἄνθρωπον, ἢ τῶν καυσωδῶν τοῦ πικροχόλου. πλεονάζει γὰρ ἐν τοῖς τοιούτοις ἅπασιν ἡ ξανθὴ χολὴ, καὶ διὰ τοῦτο, ἐξάγειν αὐτὴν ἐπιχειρήσομεν ἐκείνοις τοῖς φαρμάκοις, ἃ διὰ τὴν ἐνέργειαν, ὀνομάζουσι χολαγωγά· καὶ τοῦτ' ἐστὶ τὸ ὑφ' Ἱπποκράτους εἰρημένον. ἢν μὲν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσι. τὸ γὰρ οἷα δεῖ, τὸ πλεονάζον ἐστὶ, τῶν λυπούντων δηλονότι κατὰ ποιότητα τὸν κάμνοντα, διὰ τοῦτ' οὖν συμ-
D φέρειν φησὶ τὰς τοιαύτας κενώσεις. ἀλλ' ἐπεὶ πάντες οἱ τεχνικοὶ στοχασμοὶ κατὰ τὰς πράξεις ἔστιν ὅτε καὶ διαμαρτάνουσι, αἱ γὰρ ὁμοιότητες, ὡς αὐτὸς εἶπεν, οὐ μόνον τοῖς ἐπιτυχοῦσιν, ἀλλὰ καὶ τοῖς ἀγαθοῖς ἰατροῖς φέρουσιν ἀπάτην, ἕτερον ἡμᾶς γνώρισμα ταῖς ἀγαθαῖς κενώσεσιν ἐζευγμένον ἐδίδαξε, τὴν εὐφορίαν, ἵνα κἂν τούτῳ θαρρῶμεν, ὀρθῶς ποιούμενοι τὴν κένωσιν. ὅπερ οὖν ἐπὶ τῆς ξανθῆς χολῆς, ὡς ἐπὶ παραδείγματος εἴρηκα, τοῦτό μοι καὶ ἐπὶ τῆς μελαίνης νόει. καὶ γὰρ κἀπὶ ταύτης, ἡ μὲν
E καθ' ὅλον τὸ σῶμα χρόα, πρὸς τὸ μελάντερον τρέπεται, τά τε ἐξανθήματα μέλανα, διὰ τὴν τῆς μελαίνης γίνεται χρόαν. ὅσα δὲ πάθη διὰ τὴν πλεονεξίαν αὐτῆς γίνεται, φανερῶς ἐνδείκνυται τὸ πλῆθος τοῦ χυμοῦ, καθάπερ ἐλέφας τε, καὶ καρκῖνος, καὶ μὴν καὶ ἡ τεταρταία περίοδος ἐπὶ τῷ μελαγχολικῷ γίνεται χυμῷ, καὶ σπλὴν μέγας, καὶ κιρσοὶ μελαινόμενοι, τῆς αὐτῆς ταύτης ἔγγονα πάθη, καθάπερ γε καὶ ἡ μελαγχολία καλουμένη, καὶ πᾶσα παραφορὰ διανοίας ὀργίλη, θρασεία,
F θηριώδης. Ἱπποκράτης δὲ, κἀκ τῶν καταμηνίων ἐτεκμαίρετο τὸν πλεονάζοντα χυμὸν ταῖς γυναιξὶ, καὶ γέγραπται αὐτῷ τὰ γνωρίσματα κατὰ τὸ πρότερον τῶν γυναικείων. ἐκ τούτων μὲν οὖν, ὅτι πλεονάζει μέλαινα, διαγινώσκειν χρὴ, καὶ τούτοις ἔχοντά σε τοῖς σκοποῖς, ἐπὶ τὴν κένωσιν αὐτῆς ἰέναι,

δεύτερον δὲ κατ' αὐτὴν τὴν κένωσιν σκοπὸν ἔχειν, τὴν εὐφορίαν. ὅσα δὲ ἐπὶ τῆς μελαίνης χολῆς, καὶ ὠχρᾶς εἴρηται, ταῦτα καὶ ἐπὶ τοῦ φλέγματός μοι νόει, ὄγκους οἰδηματώδεις, ἐξανθήματά τε, καὶ σύμπαν τοῦ σώματος τὸ χρῶμα κατὰ τὴν ἰδέαν τοῦ χυμοῦ, καὶ τῶν πυρετῶν τοὺς ἀμφημερινούς, καὶ τῆς διανοίας ἀργίας, καὶ νωθρότητας, ἔτι τε καταφορὰς ὑπνώδεις, καὶ βάρη τῆς κεφαλῆς, ὀξυρεγμίας τέ τινας, ὅταν ἐν τῇ γαστρὶ πλεονάζῃ τὰ τοιαῦτα, προστέτακται διδόναι φάρμακον ἐκκαθαῖρον τὸ φλέγμα. γινομένης δ' ἤδη τῆς καθάρσεως, ἡ εὐφορία ἐπιμαρτυρήσει τῇ τε διαγνώσει, καὶ τῇ δι' ἐκείνην τολμηθείσῃ κενώσει. πρός τε τὴν διάγνωσιν καὶ ἐλπίδα τῆς κενώσεως, ἔχεις ἄν τι συντελοῦσαν οὐχ ἡλικίαν μόνην, ἢ φύσιν τοῦ κάμνοντος, ἀλλὰ καὶ τὴν ὥραν τοῦ ἔτους, καὶ τὴν παροῦσαν κατάστασιν. ἔτι δὲ καὶ τὴν χώραν, καὶ τὴν προγεγενημένην δίαιταν, ἅμα τοῖς ἄλλοις ἅπασιν ἐπιτηδεύμασιν. ἔμαθες γὰρ, ὡς καὶ τούτων ἁπάντων, τὰ μὲν τὸ φλέγμα, τὰ δὲ τὴν ξανθήν, τὰ δὲ τὴν μέλαιναν αὔξει χολήν. ταῦτα μὲν ὡς εἴρηται πάντα, σκοποὶ τοῦ προσάγειν τὸ καθαρτικὸν τοῦ λυποῦντος χυμοῦ φάρμακον. ἐν αὐτῇ δὲ τῇ κενώσει, σκοπὸς ἔσται ἕτερος. ἤτοι μαρτυρῶν ἡμῖν ὅτι καλῶς, διέγνωμεν, ἢ διελέγχων τὸ σφάλμα, μαρτυρῶν τῇ μὲν εὐφορίᾳ· διελέγχων δὲ τῇ δυσφορίᾳ· τῶν μὲν γὰρ λυπούντων κενουμένων, εὐφορήσουσιν οἱ κάμνοντες. εἰ δὲ ἕτερόν τι κενοῖτο, καὶ μὴ τὸ λυποῦν εἴη κενούμενον, ἀνάγκη πᾶσα δυσφορεῖν αὐτούς. ὅπερ οὖν, ὡς ἔφην ἐν ἀρχῇ τοῦ βιβλίου, δι' ἑνὸς ἐδίδαξεν ἀφορισμοῦ, λέγων. οὕτω καὶ κενεαγγείη, ἢν μὲν οἵη δεῖ γίγνεσθαι γίγνεται ξυμφέρει τε καὶ εὐφόρως φέρουσι, τοῦτο νῦν ἐνταῦθα διχῆ τεμὼν ἐν ταῖς φαρμακείαις, διὰ μὲν τοῦ προτέρου λόγου, τίνες εἰσὶν αἱ συμφέρουσαι κενώσεις διδάσκει, διὰ δὲ τοῦ μετ' αὐτὸν, ὅτι ταῖς τοιαύταις ἕπεται γνώρισμα βέβαιον ἡ εὐφορία. παραδείγματα δ' αὐτὸς εἴρηκε τῶν αὐτομάτως γιγνομένων κενώσεων ἐπ' ἀγαθῷ. πάμπολλα μὲν ἐν τοῖς τῶν ἐπιδημιῶν, ὀλίγα δὲ καὶ κατ' αὐτὸ τοῦτο τὸ βιβλίον τὸ τῶν ἀφορισμῶν, ὁποῖα καὶ ταῦτά ἐστιν, ὑπὸ ὕδρωπος ἐχομένῳ κατὰ τὰς φλέβας, εἰς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις. ὀφθαλμιῶντα ὑπὸ διαῤῥοίας ληφθῆναι ἀγαθόν· οἷσι χολώδεα διαχωρήματα κωφώσιος γινομένης, παύεται· καὶ ὁκόσοισι κώφωσις, χολωδέων γινομένων παύεται.

accedendum. Posterius autem ipsa durante
A vacuatione, secunda sumetur indicatio ab æ-
grotantis euphoria. Quæcunque de atra bile
& flaua dicta sunt, ea mihi de pituita quoque
intellige, tumores œdematosos, eruptiones,
totius corporis colorem pro humoris idea; ad
hæc febres quotidianas, mentis pigritiam,
torpores etiamnum cataphoras capitis graui-
tates, & quosdam ructus acidos quum in
ventre huiusmodi redundat pituita: Hæc
enim suadent medicamentum dari phleg-
magogum. Iam vero peracta purgatione, eu-
phoria tum dignotionem, tum eam quam
B illius gratiâ ausus est moliri vacuationem
attestabitur. Ad dignotionem verò & vacua-
tionis fiduciam, habes etiam conferentem ali-
quid, non solùm ætatem, vel naturam æ-
grotantis, verumetiam anni tempestatem, &
præsentem cæli statum, præterea & regionem,
& victum antecedentem, vnà cum aliis vitæ
institutis. Etenim didicisti ex istis omnibus a-
lia pituitam, alia flauam bilem, alia atram
adaugere. Hæc quidem omnia, vt dictum est,
scopi sunt medicamenti exhibendi quod in-
C festantis, humores purgatricem facultatem sor-
tiatur; qui vel nos *humorem* probè dignouisse
nobis significet, vel qui errorem coarguat. Si-
gnificat quidem euphoriâ; coarguit verò dys-
phoriâ. Nam si infestantes humores vacuen-
tur, facilè ferent ægrotantes; si quid verò a-
liud, & non quod molestum est vacuetur, eos
omnino grauiter molestéque ferre necesse est.
Quod igitur vt dicebam libri initio, comple-
xus vno aphorismo his verbis ostendit. *Sic &*
vasorum depletio talis fiat, qualem fieri oportet,
& confert, & facilè ferunt: Id nunc hoc loco
D de purgationibus agens in duas secuit orationis
partes, quarum priore quænam sint quæ con-
ferant vacuationes; posteriore quod ejusmodi
vacuationes certum indicium concitetur eu-
phoria docuit. Porro vacuationum bene ac fe-
liciter sponte naturæ factarum exempla protu-
lit ipse, permulta quidem in Epidemiorum li-
bris, pauca verò hoc ipso aphorismorum libro,
qualia & hæc sunt. *Hydrope laboranti aquâ per*
venas in ventrem fluente, morbi solutio. Oph-
thalmia laborantem diarrhœâ corripi bonum. Qui-
bus biliosæ sunt dejectiones surditate superueniente,
cessant; & quibus surditas, biliosis deiectionibus
E *succedentibus, cessat.*

A

Quòd legitimam purgationem euphoria, & illegitimam dysphoria comitetur.

Ὅτι τῇ νομικῇ καθάρσει εὐφορία, καὶ ἀνομίμῃ δυσφορία ἕπεται.

APHORISMVS III.

SI qualia purgari oportet, purgentur, & confert, & placidè ferunt: contrà verò, molestè.

ΑΦΟΡΙΣΜΟΣ γ'.

Ἣν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, συμφέρει τε, καὶ εὐφόρως φέρουσι. τὰ δ' ἐναντία δυσχερῶς.

B

GALENI COMMENTARIVS.

HVnc aphorismum in præcedentis aphorismi explanatione prius explicauimus, in superiori libri parte iisdem verbis scriptum, quare nonnulli eum ex hoc loco sustulerunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προεξήγημαι τοῦτον ἐν τῇ κατὰ τὸν προγεγραμμένον ἀφορισμὸν ἐξηγήσει, γεγραμμένον κἀν τοῖς ἀνωτέρω τοῦ βιβλίου κατὰ τὴν αὐτὴν λέξιν, ὅθεν ἔνιοι καὶ περιαιροῦσιν αὐτὸν ἐντεῦθεν.

C

Æstate per superiora, hyeme per inferiora purgandum esse, id non absolutè dictum.

Θέρους μὲν ἄνω, χειμῶνος δὲ κάτω καθαρτέον, καὶ τοῦτο οὐχ ἁπλῶς εἰρημένον.

APHORISMVS IV.

ÆState quidem superiores ventres liberaliùs, hyeme verò inferiores medicamentis purgandi sunt.

ΑΦΟΡΙΣΜΟΣ δ'.

Φαρμακεύειν, θέρεος μὲν, τὰς ἄνω μᾶλλον, χειμῶνος δὲ, τὰς κάτω.

GALENI COMMENTARIVS.

D

VEntres nimirum subaudiendi sunt. At rectè æstate purgat supernè: etenim qui tunc temporis humor redundat, bilis est flaua, & vniuersa omnino animalis natura propter aëris ambientis calorem magis sursum mouetur. Superuacaneum quodque ac redundans quo vergit, id per loca idonea ducendum est, quemadmodum ipse in libro de humoribus scripsit. Adjecit huic aphorismi sententiæ aduerbium *magis* seu *liberaliùs*: neque absolutè loquutus est. *Æstate superiores ventres, hyeme verò inferiores purgandos esse.* Etenim etsi non sæpe, rarò tamen æstatis tempore, nonnunquam pituitosus humor in quodam visus est abundare, quemadmodum hyeme aliquando flaua bilis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προϋπακοῦσαι χρὴ δηλονότι κοιλίας. εἰκότως δὲ, θέρους μὲν, ἄνω καθαίρει. καὶ γὰρ ὁ πλεονάζων τηνικαῦτα χυμὸς, ἡ ξανθὴ χολὴ, καὶ ὅλως, ἡ φύσις ἅπασα τοῦ ζώου, διὰ τὴν περιέχουσαν θερμασίαν, ἄνω κινεῖται μᾶλλον. ἀκτέον δέ ἐστιν ἕκαστον τῶν περιττῶν, ᾗ ῥέπει, διὰ τῶν συμφερόντων, ὡς αὐτὸς ἐν τῷ περὶ χυμῶν ἔγραψε. προσέθηκε δὲ τῷ κατὰ τὸν ἀφορισμὸν λόγῳ, μᾶλλον. καὶ οὐχ ἁπλῶς εἶπε φαρμακεύειν θέρεος τὰς ἄνω, χειμῶνος δὲ, τὰς κάτω. E καὶ γὰρ εἰ μὴ πολλάκις, ἀλλὰ σπανίως γοῦν ποτε θέρους ὥρᾳ φλεγματικὸς ὤφθη τινὶ πλεονάζων χυμὸς, ὥσπερ ἐνίοτε τῆς ὠχρᾶς χολῆς, χειμῶνος.

In cane, æstiuis ardoribus, & calidis balneis molestas ac noxias esse purgationes.

Ὑπὸ κύνα διὰ τῶν καυμάτων θερινῶν, καὶ θερμῶν λουτρῶν τὰς φαρμακείας ἐργώδεις, καὶ μοχθηρὰς εἶναι.

F

APHORISMVS V.

SVb cane, & ante canem molestæ sunt per medicamenta purgationes.

ΑΦΟΡΙΣΜΟΣ ε'.

Ὑπὸ κύνα, καὶ πρὸ κυνὸς, ἐργώδεες αἱ φαρμακεῖαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκπεπυρωμένη τε γὰρ ἡμῶν ἡ φύσις οὖσα τηνικαῦτα, τὴν ἀπὸ τῶν καθαρτικῶν οὐκ οἴσει δριμύτητα, διὸ καὶ πυρέττουσι πολλοὶ τῶν ἐν τούτῳ τῷ καιρῷ καθαρθέντων. ἀσθενής τε οὖσα ἡ δύναμις διὰ τὸ καῦμα, προσκαταλυθήσεται τῇ καθάρσει. καὶ μέντοι καὶ ἡ κάθαρσις αὐτὴ γενήσεται μοχθηρά, ἀντισπώσης τοῦ καθαρτικοῦ φαρμάκου, τῆς τοῦ περιέχοντος ἀλέας, πρὸς τοὐκτὸς τοὺς χυμούς. ὥσπερ γὰρ τὰ θερμὰ λουτρὰ ταῖς καθάρσεσιν ἀντιπράττειν πέφυκεν, οὕτω καὶ ἡ κατὰ τὸ θέρος θερμασία, καὶ μάλιστα ὅταν ᾖ σφοδρότερον ἑαυτοῦ.

GALENI COMMENTARIVS.

A Etenim nostra natura tunc temporis æstiuis deflagrans ardoribus, purgantium medicamentorum acrimoniam minimè tulerit. Quapropter plerique hoc tempore purgati febricitant; & vires ob æstum imbecillæ purgationibus magis dissoluentur. Quin & purgatio ipsa praua fiet, reuellente foras humores ambientis calore. Quemadmodum enim thermæ contrarios purgationibus effectus producere B consueuerunt: sic & æstatis calor, ac præsertim quum seipso vehementior extiterit.

Τοὺς ἰσχνοὺς χολώδεις, καὶ εὐημέας ἄνω φαρμακευτέον εἶναι, πλὴν εἰ μὴ χειμὼν ἐπείγῃ.

Graciles biliosos, & facilè vomentes per superiora purgandos esse, nisi hyems prohibuerit.

C

ΑΦΟΡΙΣΜΟΣ ϛʹ.

Τοὺς ἰσχνοὺς, καὶ εὐημέας, ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα.

APHORISMVS VI.

Graciles & ad vomendum faciles per superiora, medicamento purgandi sunt, demptâ hyeme.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προσθεῖναι κἀνταῦθα χρὴ τὸ μικρὸν ἔμπροσθεν εἰρημένον τὸ, μᾶλλον, ὡς τὸ πολὺ γὰρ, οἱ ἰσχνοὶ, χολώδεις εἰσίν. ἐὰν οὖν αὐτοῖς ὑπάρχῃ καὶ εὐεμέσιν εἶναι, φαρμακευτέον ἄνω, πλὴν εἰ μὴ χειμὼν ἐναντιοῖτο. προειρήκει γὰρ, ὡς θέρους μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ, τὰς κάτω φαρμακευτέον δεῖ.

GALENI COMMENTARIVS.

Hic etiam addendum quod paulò ante dictum est, aduerbium *magis*. Nam D plerunque graciles biliosi sunt. Si igitur ipsis accesserit vt sint ad vomendum faciles, per superiora purgandi sunt, nisi reclamet hyems. Suprà nanque pronunciauit, *æstate superiores magis, hyeme autem inferiores ventres purgandos esse*.

Τοὺς δυσεμέας καὶ μέσως εὐσάρκους κάτω τοῦ θέρους φυλαττομένους φαρμακευτέον.

Ad vomitum difficiles, & mediocriter carnosos per inferiora, cauendo æstatem, purgan- E dos esse.

ΑΦΟΡΙΣΜΟΣ ζʹ.

Τοὺς δὲ δυσεμέας, καὶ μέσως εὐσάρκους, κάτω, ὑποστελλομένους θέρος.

APHORISMVS VII.

Ad vomitum difficiles, & mediocriter carnosos per inferiora purgare oportet vitata æstate.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ μὲν εὐεμής τε εἴη, ἰσχνὸς, ἄνω φαρμακεύειν αὐτόν. πλὴν εἰ μὴ χειμὼν εἴη, τουτέστι καὶ θέρους, καὶ φθινοπώρου, καὶ ἦρος. ἢν δὲ δυσεμὴς εἴη, καὶ μέσος εὔσαρκος, κάτω φαρμακευτέον ἐὰν ἐπείγῃ, μόνον τὸ θέρος φυλαττόμενον. ἐν ἄλλῃ δὲ ὥρᾳ οὐ φυλακτέον.

GALENI COMMENTARIVS.

Si quidem ad vomendum facilis, & gracilis sit, ipse per superiora purgandus est, F nisi hyems extiterit, hoc est, æstate, autumno, & vere. Si verò ad vomendum difficilis, & modicè carnosus sit, per inferiora purgandus est, si res vrgeat solùm cauendo æstatem; aliud verò nullum anni tempus cauendum est.

Tabidos

A

Tabidos per superiora purgandos non esse.

APHORISMVS VIII.

TAbescentibus superiores prohibendæ sunt purgationes.

GALENI COMMENTARIVS.

B AD superiores, inquit, purgationes nunquam tabescentes duxeris, veritus nimirum spirabilium instrumentorum imbecillitatem. Per tabescentes autem intelligere par est, vel eos qui phtisi morbo seu tabe correpti sunt; vel eos qui ad tabem propendent idonei, de quibus ipse primo epidemiorum scribit, *maximéque moriebantur quibus natura ad tabem propendebat.* His autem thorax est angustus, & qui in eo pulmo continetur.

Φθινώδεας ἄνω μὴ φαρμακεύειν χρή.

ΑΦΟΡΙΣΜΟΣ η΄.

ΤΟὺς δὲ φθινώδεας ἀποστελλομένους τὰς ἄνω φαρμακείας.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠὶ τὰς ἄνω φησὶ φαρμακείας οὐδέποτ᾽ ἄξεις, εὐλαβούμενος δηλονότι τὴν ἐν τοῖς ἀναπνευστικοῖς αὐτῶν ὀργάνοις ἀσθένειαν. ἀκουστέον δὲ φθινώδεις, ἤτοι τοὺς φθίσει τῇ νόσῳ ἑαλωκότας, ἢ τοὺς ἐπιτηδείως ἔχοντας πρὸς τὴν φθίσιν, ὑπὲρ ὧν εἴρηκεν αὐτὸς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. καὶ μάλιστα ἔθνησκον οἷσιν ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες. στενὸς δὲ τούτοις ἐστὶν ὁ θώραξ, καὶ ὁ περιεχόμενος ἐν αὐτῷ πνεύμων.

C

Melancholicos vehementiùs per inferiora purgandos esse.

APHORISMVS IX.

MElancholici liberaliùs per inferiora purgandi sunt, contrarijs eâdem ratiocinatione appositis.

GALENI COMMENTARIVS.

D PVrgare ventres nimirum inferiores melancholicorum liberaliùs oportet. Liberaliùs autem dixit pro vehementer. Quia verò deorsum tendit hic humor, meritò ipsum per ventrem inferiorem vacuari iubet; sicuti flavam bilem per superiorem, quum lenis humor sit, & assiduò sponte in summa fluitet. Vtriusque igitur commune est, duci quò vergunt, per loca conuenientia. Proprium autem alterius quidem humoris per superiora sui vacuationem mouere, quòd eo vergat; alterius verò per inferiora, quòd & eò ipse declinet. Itaque quæ per superiora fit vacuatio, vacuationi per inferiora ductæ contraria est. Vtraque verò secundùm vnam communem ratiocinationem contingit. Quare decenter Hippocrates pronunciauit, *contrarijs eâdem ratiocinatione appositis.*

Φαρμακευτέον τοὺς μελαγχολικοὺς κάτω σφοδρῶς.

ΑΦΟΡΙΣΜΟΣ θ΄.

ΤΟὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τὰς κάτω· τῷ αὐτῷ λογισμῷ τὰ ἐναντία προστιθείς.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΦΑρμακεύειν τὰς κοιλίας δηλονότι τὰς κάτω, τῶν μελαγχολικῶν ἁδροτέρως χρή. ἁδροτέρως δὲ εἴρηκεν, ἀντὶ τοῦ σφοδρῶς.+ ὅτι δὲ κάτω ῥέπει ὁ χυμὸς οὗτος, εἰκότως αὐτὸν ἐκκενοῦν διὰ τῆς κάτω κελεύει γαστρὸς, ὥσπερ τὴν ξανθὴν χολὴν, διὰ τῆς ἄνω, κοῦφον ὄντα χυμὸν, ἐπιπολάζοντά τε συνεχῶς αὐτόματον. ἐν ἀμφοτέροις μὲν οὖν, κοινὸν τὸ ἄγειν, ἢ ῥέπειν διὰ τῶν ξυμφερόντων χωρίων. E ἴδιον δὲ, τοῦ μὲν ἑτέρου τῶν χυμῶν, ἄνω ποιεῖσθαι τὴν κένωσιν, ὅτι ταύτῃ ῥέπει. τοῦ δὲ ἑτέρου, κάτω, διότι καὶ οὗτος ῥέπει ταύτῃ. ἐναντίον οὖν τὸ ἄνω κενοῦν, τῷ κάτω, ὃ καθ᾽ ἕνα γίγνεται λογισμὸν κοινὸν, διὸ καὶ προσηκόντως εἶπεν ὁ Ἱπποκράτης, τῷ αὐτῷ λογισμῷ τὰ ἐναντία προστιθείς.

+ hic deest aliquid

F

A

Ἐν καλοξέσι νοσήμασι χυμὸν ὀργοῦντα καὶ ἀρχὰς, καὶ αὐθημερὸν φαρμακεύειν.

In peracutis morbis turgentem humorem in principio ac primo die purgandum esse.

ΑΦΟΡΙΣΜΟΣ ί.

Φαρμακεύειν ἐν τῇσι λίην ὀξέσιν, ἢν ὀργᾷ αὐθημερόν, χρονίζειν γὰρ ἐν τοῖσι τοιουτέοισι κακόν.

APHORISMVS X.

IN valde acutis, si turgeat, eô ipse die purgandum est; in talibus enim immorari malum.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηταί μοι καὶ πρόσθεν, ὅτι τὴν, ὀργᾷ, φωνὴν, ὁ Ἱπποκράτης ἀπὸ τῶν ζώων μετενήνοχε, τῶν ἐπιθυμούντων χρῆσθαι συνουσίᾳ, φυσικήν τινα ταύτην ἐπιθυμίαν ἰσχόντων αὐτῶν εἰς τὴν τοῦ σπέρματος ἀπόκρισιν. ἐδείχθη γὰρ ἐν τοῖς περὶ σπέρματος λόγοις, καὶ τὸ θῆλυ κατὰ τὰς συνουσίας σπερμαῖνον. ὅταν οὖν, ἤτοι γε ἐν ὅλῳ τῷ σώματι παραπλησία τῇδε γένηται τῆς φύσεως ὁρμὴ, πρὸς ἀπόκρισιν τῶν περιττῶν, ἢ εἰ καὶ μὴ καθ' ὅλον, ἀλλά γε κατὰ τὰ κυριώτατα μέρη, τὸ τοιοῦτον ὁ Ἱπποκράτης, ὀργᾷν, ὀνομάζειν εἴωθεν. ἀξιοῖ τε, διὰ φαρμάκου κενοῦν αὐτίκα, πρὶν ἤ τοι κακωθῆναι τὴν δύναμιν, ἢ αὐξηθῆναι τὴν τοῦ πυρετοῦ θερμασίαν, ἢ εἰς κύριον τι κατασκῆψαι μόριον τοὺς πλανωμένους κατὰ τὸ σῶμα χυμούς. ὅτι δὲ λίαν ὀξέα κέκληκε νῦν, ἃ πρόσθεν ὠνόμασε κατόξεα, δῆλον παντί. καὶ μέντοι καὶ ὅτι τῆς τούτων κρίσεως ὅρος ἐστὶν ἡ ἑβδομὰς ἡ πρώτη, λέλεκταί μοι καὶ τοῦτο πρόσθεν.

GALENI COMMENTARIVS.

SVperius etiam mihi dictum est, Hippocratem vocem, *turgere* ad animalibus ad humores transtulisse, quum ad veneris vsum impelluntur ipsa naturali quadam cupiditate ad seminis excretionem ducta. Ostensum est enim in libris de semine, fœminam quoque in coitu semen emittere. Quando igitur vel toto corpore similis huic fuerit naturæ impetus ad humorum redundantium excretionem; vel si non toto corpore, at certè partibus principibus. Tale quid verbo *turgere* significare consueuit C Hippocrates. Itaque statim medicamento vacuandum esse iudicat, priusquam vires collabantur, imminuantúrque, vel febris augeatur, vel ad aliquam partem principem vagi ac errantes per corpus humores decumbant. Quòd autem valde acutos morbos nunc vocauerit, quos priùs peracutos appellauit, patet omnibus. Quin etiam horum indicationis terminum primam esse septimanam id à me prius commemoratum est.

D

Τί ξηρὸς ὕδρωψ· περὶ τῆς ὕδρωπος γενέσεως, καὶ τῶν αἰτίων, καὶ σημείων· τί καὶ πόθεν οἱ στρόφοι, καὶ οἱ περὶ τὸν ὀμφαλὸν καὶ ὀσφὺν ἐστηριγμένοι.

Quid siccus hydrops. De hydropis ortu, caussis, & signis. Quid & vnde tormina & labores circa vmbilicum firmati.

ΑΦΟΡΙΣΜΟΣ ια'.

Ὁκόσοισι στρόφοι, καὶ περὶ τὸν ὀμφαλὸν πόνοι, καὶ ὀσφύος ἄλγημα μὴ λυόμενον, μήτε ὑπὸ φαρμακίης, μήτ' ἄλλως, εἰς ὕδρωπα ξηρὸν ἱδρύεται.

APHORISMVS XI.

QVibus tormina, & circa vmbilicum labores, & lumborum dolor, qui ne- E *que medicamento purgante, neque aliàs soluitur, in siccum hydropem firmatur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ μὲν στρόφοι γίγνονται διά τε δῆξιν ἰσχυρὰν, καὶ πνεῦμα φυσῶδες, οὐκ ἔχον διέξοδον, ἀλλ' ἐν ταῖς τῶν ἐντέρων ἕλιξιν ἐναπειλημμένον. οἱ πόνοι δὲ ὅτι ταῖς τοιαύταις διαθέσεσιν ἕπονται, πρόδηλον. ἀλλ' ὅταν μὲν κατὰ τὸν ὀμφαλὸν ἐρείδωσι, καὶ τὴν ὀσφὺν, εἶτα μήθ' ὑπὸ φαρμακείας, μήτε ὑπὸ τῶν ἄλλων βοηθημάτων λύονται, δυσκρασία τίς ἐστιν ἑκτικὴ τῶν αὐτῶν μορίων, ἥτις ὡς τὰ πολλὰ χρονίζουσα, τὸν ὑφ' Ἱπποκράτους ὀνομαζόμενον ξηρὸν ὕδρωπα ἐργάζεται. ὀνομάζεται δὲ ὑπὸ τῶν μετ' αὐτὸν ἰατρῶν ὁ τοιοῦτος, ὕδερος τυμπανίας,

GALENI COMMENTARIVS.

TOrmina fiunt tum propter morsum vehementem, tum propter spiritum flatulentum, exitum non habentem; sed flexuosis intestinorum anfractibus interceptum. Quòd verò dolores tales affectiones consequantur manifestum est. Verùm quum circa vmbilicum ac lumbos se firmauerint, neque F postea medicamentis, neque aliis soluantur auxiliis, quædam est earum partium habitualis intemperies, quæ plerunque perseuerans eum hydropem efficit, qui ab Hippocrate siccus nominatur. Vocatur autem huiusmodi

hyderus à posterioribus Medicis tympanias, quòd abdomen percussum talem sonitum reddat, qualem edunt tympana. Etenim & in his circumtensam pellem contentus aër verberatur, quemadmodum qui in illo morbi genere per mediam cutim in profundo est, flatus percutitur. Quod autem à tumoris similitudine hydropem Hippocrates nominauerit manifestum est. Non tamen humidum dixit quemadmodum ascitem ab asci, hoc est, vtris similitudine appellatum in quo materia collecta flatulentus aër non est, sed humor aquosus. Videtur autem à majori frigiditate generari aquosus hydrops quem ascitem appellant, quòd in peritonæo humor velut in vtre quodam contineatur, à minore verò tympanias, neque enim humiditas in flatulentum aërem sine calore quodam transmutari potest.

ὅτι κρουόμενον τὸ ὑπογάστριον, ἀποτελεῖ ψόφον οἷόνπερ τὰ τύμπανα. καὶ γὰρ οὖν, καὶ κατ' ἐκεῖνα, διὰ τοῦ περιτεταμένου δέρματος ὁ ἀὴρ πλήττεται, καθάπερ ὁ ἐν τῷ βάθει τῶν τοιούτων ὑδρώπων. ὅτι δὲ ἀπὸ τῆς κατὰ τὸν ὄγκον ὁμοιότητος, ὕδρωπα καὶ τοῦτον ὁ Ἱπποκράτης ὠνόμασεν, εὔδηλον. οὐ μὴν ὑγρόν γε καθάπερ τὸν ἀσκίτην, ἐφ' ᾧ τὸ συνειλεγμένον, οὐκ ἀήρ ἐστι φυσώδης, ἀλλ' ὑγρὸν ὑδατῶδες. ἔοικε δὲ μείζονος μὲν τῆς ψύξεως ἔκγονος ὑπάρχειν ὁ ὑδατώδης ὕδερος, ὃν ἀσκίτην ὀνομάζουσιν. ὅτι καθάπερ ἐν ἀσκῷ τινι, τῷ περιτοναίῳ, κατακέκλεισθαι τὸ ὑγρὸν, ἐλάττονος δὲ ὁ τυμπανίας. οὐ δὲ γὰρ, οὐδὲ μεταβάλλειν ἡ ὑγρότης εἰς ἀέρα φυσώδη δύναται, χωρὶς θερμασίας τινός.

Quid lienteria, quæ sint eius causæ, & quòd lientericos hyeme per superiora purgare malum sit, etiam eos quorum intestina pituitâ scatent

Τί ἡ λειεντερία, αἵτινες ταύτης αἰτίαι, καὶ ὅτι λειεντερικοὺς, χειμῶνος φαρμακεύειν ἄνω κακὸν ᾖ, καὶ ὅταν τὸ φλέγμα τοῖς ἐντέροις ἐμπεπλασμένον ᾖ.

APHORISMVS XII.

Qvibus sunt alvi lientericæ, eos hyeme per superiora purgare malum.

ΑΦΟΡΙΣΜΟΣ ιβ'.

Ὁκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω, κακόν.

GALENI COMMENTARIVS.

Qvum celeriter quæ comeduntur, talia dejiciuntur, qualia deuorata fuerint lienteriam *læuitatem intestinorum* hunc morbum nominant. Fit autem propter retentricis facultatis infirmitatem, imò omnem sequitur omnium alui instrumentorum intemperiem, hoc est ipsius ventriculi in quem cibos deglutimus, & intestinorum quæ ab hoc ipsos excipiunt ac transmittunt. Fit etiam nonnunquam lienteria ex vlceratione quadam partium superficiem obsidente aphthis consimili. Intemperies igitur aliquando oboriuntur, vt quis protulerit, habituales (sic verò eas vocitant intemperies, quæ ipso corporum habitu læso perficiuntur) interdum verò propter piuitam frigidam, qualis potissimùm est acida. Superficiariarum autem exulcerationum causa humor existit acris & tenuis. Hic ergo etiamsi ducentem per superiora purgationem postulet, quod huiusmodi humores magis sursum ferantur, quam deorsum secedant, non tamen hyeme datur purgatio, quemadmodum & superiùs enunciatum est. Alter verò pituitosus humor quum intestinis infarcitus fuerit nunquam educentis per superiora purgationis indiget, hoc est, vomitorio medicamento. Sola nanque euomi consueuerunt, quæ ventriculus complectitur, eorum verò quæ intestinis continentur, nihil quicquam per vomitus vacuari potest.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν ἐν τάχει, τῶν ἐσθιομένων ἡ διαχώρησις γίγνηται τοιούτων οἷα κατεπόθη, λειεντερίαν ὀνομάζουσι τὸ νόσημα. γίγνεται μὲν οὖν ἐπὶ τῇ τῆς καθεκτικῆς δυνάμεως ἀρρωστίᾳ, ταῖς δυσκρασίαις δὲ ἕπεται πάντων τῶν κατὰ τὴν κοιλίαν ὀργάνων, τουτέστιν αὐτῆς τε τῆς γαστρὸς εἰς ἣν καταπίνομεν τὰ σιτία, καὶ τῶν ἐκ ταύτης αὐτὰ διαδεχομένων τε, καὶ παραπεμπόντων ἐντέρων. γίγνεσθαι δὲ ἔστιν ὅτε λειεντερία, καὶ κατά τινα ἐπιπολῆς ἕλκωσιν, ὁμοίαν ταῖς ἄφθαις. αἱ μὲν οὖν δυσκρασίαι ποτὲ μὲν, ὡς ἂν εἴποι τις, ἑκτικαὶ γίνονται. καλοῦσι δὲ οὕτως τὰς αὐτῆς τῆς ἕξεως τῶν σωμάτων βεβλαμμένης, ἀποτελουμένας, ἔστι ὅτε διὰ φλέγμα ψυχρὸν, οἷόν ἐστι μάλιστα τὸ ὀξύ. τῶν δὲ ἐπιπολῆς ἑλκώσεων, αἴτιόν ἐστι χυμὸς, ὁ δριμὺς, καὶ λεπτός. οὗτος μὲν οὖν, εἰ καὶ τῆς ἄνω φαρμακείας δεῖται, διὰ τὸ μᾶλλον ἐπιπολάζειν, ἢν ὑποχωρεῖν κάτω τοὺς τοιούτους χυμοὺς, ἀλλ' οὐκ ἐν χειμῶνί γε δίδοται, καθότι καὶ πρόσθεν εἴρηται. ὁ δὲ ἕτερος, ὁ φλεγματικὸς, ὅταν ᾖ τοῖς ἐντέροις ἐμπεπλασμένος, οὐδέ ποτε δεῖται τῆς ἄνω φαρμακείας, ὅπερ ἐστὶν ἐμετηρίου φαρμάκου. μόνα γὰρ ἐμεῖσθαι πέφυκε τὰ κατὰ τὴν γαστέρα. τῶν δὲ ἐν τοῖς ἐντέροις περιεχομένων, οὐδὲν οἷόν τε διὰ ἐμέτου κενῶσαι.

A

Οἱ μὴ ῥαδίως ἄνω καθαιρόμενοι, τούτους πρὸ τῆς ἐλλεβορισμοῦ πόσιος τῇ πλείονι τροφῇ τε καὶ ἀναπαύσει προπαρασκευάζειν, καὶ προϋγραίνειν χρή.

Qui difficile per superiora purgantur, eos ante ellebori potionem copiosiorem cibo & quiete præparandos ac præhumectandos esse.

ΑΦΟΡΙΣΜΟΣ ιγ'.

Πρὸς τοὺς ἐλλεβόρους, οἷσι μὴ ῥαδίως καθαιρομένοισι, πρὸ τῆς πόσιος, ὑγραίνειν τὰ σώματα πλείονι τροφῇ, καὶ ἀναπαύσει.

APHORISMVS XIII.

B *QVi à veratris non facile per superiora purgentur; ijs ante potionem corpora copiosiore alimento, & quiete prælumectanda.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προπειρᾶσθαι χρὴ τῆς τοῦ μέλλοντος τὸν ἐλλέβορον λήψεσθαι, φύσεως ὅπως ἔχει πρὸς τὰς ἄνω καθάρσεις, τουτέστι τὰς δι' ἐμέτων. γιγνέσθω δὲ ἡ πεῖρά σοι, διὰ τῶν ἐμετικῶν φαρμάκων ὅσα μέτρια. ἐὰν οὖν φαίνηται μὴ ῥαδίως καθαιρόμενος, οὐ χρὴ τὸν τοιοῦτον ἄνθρωπον ἐπὶ τὸν ἐλλέβορον ἄγειν, πρὶν τοῦ προπαρασκευάσασθαι. γίγνοιτο δ' ἂν τοῦτο, καὶ διὰ τῶν συνεχῶν μὲν ἐμέτων ἐθισθέντος ἑτοίμως ἐμεῖν τοῦ ληψομένου τὸν ἐλλέβορον. ἀλλ' ὡς μικρὸν τοῦτο καὶ γνώριμον ἅπασιν, ὁ Ἱπποκράτης παρέλιπε. γένοιτο δ' ἂν ἄμεινον, καὶ διὰ τοῦ προϋγραίνειν τὰ σώματα. προϋγραίνεται δὲ πλείονι τροφῇ, καὶ ἀναπαύσει. τὸ μὲν οὖν τῆς ἀναπαύσεως δῆλον. ὡς γὰρ τὰ γυμνάσια ξηραίνειν πέφυκεν, οὕτως καὶ ἡ ἀνάπαυσις, ὅπερ ἐστὶν, ἡσυχία τε, καὶ ἀγυμνασία φυλάττει τὰς ὑγρότητας· ἡ τροφὴ δὲ οὐχ ἁπλῶς ἡ πλείων ὑγραίνειν πέφυκεν, ἀλλ' εἴ τις ἄνευ ποιότητος ἰσχυρᾶς ᾖ, τουτέστι μήτε στρυφνῆς μήτε δριμείας, μήτ' ἁλυκῆς, μήτε πικρᾶς. τάχα δὲ, οὐδὲ τροφὴν ἁπλῶς φατέον εἶναι τὴν τοιαύτην, ἀλλ' οἷον φαρμακώδη τροφὴν, ὡς τῇ γε ἁπλῶς τροφῇ μόνῃ τῶν ἁπάντων ὑπάρχειν κατὰ τὴν ἑαυτῆς φύσιν, οὐ κατά τι συμβεβηκὸς, ὑγραίνειν τὰ στερεὰ τοῦ ζώου μόρια, τῆς ἀναπαύσεως, οὐ καθ' αὑτὴν, ἀλλὰ κατά τι συμβεβηκὸς τοῦτο ποιούσης. ὅτι γὰρ οὐ ξηραίνει τὴν ἐκ τῆς τροφῆς ὑγρότητα, διὰ τοῦτο ὑγραίνειν λέγεται. τὸ δὲ ὕδωρ, οὔτε πινόμενον, οὔτ' ἔξω προσπίπτον, ὑγραίνειν πέφυκεν αὐτὰ τὰ στερεὰ τοῦ ζώου μόρια. μαθεῖν δὲ ἐστί σοι τελεώτερον ὑπὲρ τῶν τοιούτων τῇ τῶν φυσικῶν δυνάμεων ἐντυχόντι πραγματείᾳ τῇ ἡμετέρᾳ, καὶ τῷ περὶ μαρασμοῦ βιβλίῳ.

GALENI COMMENTARIVS.

PRætentare oportet naturam eius qui elleborum sumpturus est, quo modo se habeat ad superiores purgationes, hoc est, ad eas quæ fiunt per vomitiones. Fiat autem tibi periculum per medicamenta vomitoria quæ C moderata sint. Si igitur non facile purgari videatur, non oportet huiusmodi hominem, priusquam præparetur, ad elleborum ducere. Id autem fiet si qui sumpturus est elleborum, is per continuos vomitus ad promptè vomendum assueuerit. Verùm hoc tanquam parui momenti, atque notum omnibus prætermisit Hippocrates. Melius autem fieret præhumectando corpora. Præhumectantur autem *corpora copiosiore alimento, & quiete.* Quiete quidem *humectari corpora*, clarum est: Quemad- D modum enim exercitia exsiccare solent: Sic & quies (quæ & ocium est, & ab exercitatione vacatio) humiditates tuetur. Cibus verò non qui plenior absolutè humectandi facultatem habet; sed quicunque fit citra vehementem qualitatem, hoc est, neque acerbam, neque acrem, neque salsam, neque amaram. Fortassis autem non simpliciter alimentum, quod eiusmodi sit appellandum est; sed quasi medicamentosum alimentum. Quippe quod absolutè est alimentum, solum ex E omnibus secundum suam ipsius naturam, non ex accidenti potest solidas animalis partes humectare; quod ipsum non per se; sed per accidens præstat quies. Cæterum solidiorem de his doctrinam didicisse potes qui tum opus nostrum de naturalibus facultatibus, tum librum de marcore prælegeris.

A

Quòd ab assumpto elleboro corpus moueri, non quiescere oporteat.

Ὅτι ἀπὸ τοῦ ἐλλεβόρου προσληφθέντος τὰ σώματα κινεῖσθαι, καὶ μὴ ἀναπαύεσθαι δεῖ.

APHORISMVS XIV.

Qvum quis veratrum potauerit, ad corporis quidem motus magis ducendus est: ad somnos verò, & quietem, minùs. Et verò motu turbari corpora prodit nauigatio.

ΑΦΟΡΙΣΜΟΣ ιδ'.

Ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, πρὸς δὲ τοὺς
B ὕπνους, καὶ μὴ κινήσιας, ἧσσον. δηλοῖ δὲ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει.

GALENI COMMENTARIVS.

IPse causam protulit, ob quam eorum corpora moueri præcipiat qui veratrum assumpserunt. Quies siquidem eodem in statu corpus tuetur, motus verò mutat & alterat, vt indicat nauigatio, quæ motus quidem est, turbat autem corpora, quousque ad vomitum impellat. Quum igitur talis motio idonea & sola possit ad vomitum corpus præparare, consentaneum est certè ipsam cuidam paruo vomitorio medicamento junctam longè maiorem habituram efficaciam. Nonnulli pro nauigatione nauseam scribunt, vt sit talis oratio. Ostendit autem & nausea quæ vehementibus corporis motionibus succedit, ex motione corpus turbari. Liquido constat hunc aphorismum eandem cum superiore vim habere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ Αὐτὸς εἶπε τὴν αἰτίαν δι᾽ ἣν κινεῖσθαι κελεύει τὰ σώματα τῶν τὸν ἐλλέβορον εἰληφότων. ἡσυχία μὲν γὰρ ἐπὶ τῆς καταστάσεως φυλάττει, μεταβάλλει δὲ, καὶ ἀλλοιοῖ τὸ σῶμα κίνησις, ὡς δηλοῖ καὶ
C ναυτιλία, κίνησις μὲν οὖσα, ταράττουσα δὲ τὰ σώματα μέχρι τοῦ καὶ πρὸς ἔμετον ὁρμᾶν. ὁπότ᾽ οὖν ἡ τοιαύτη κίνησις, ἱκανὴ καὶ μόνη παρασκευάσαι τὸ σῶμα πρὸς ἔμετον, εἰκὸς δή που συνελθοῦσαν αὐτὴν ἐμετικῷ φαρμάκῳ, μικρῷ τινι γίνεσθαι δραστικωτέραν. ἔνιοι δὲ, ἀντὶ τοῦ ναυτιλίη, ναυτίη γράφουσιν, ὡς εἶναι τὸν λόγον τοιοῦτον. δηλοῖ δὲ καὶ ἡ ναυτίη, ταῖς σφοδραῖς τοῦ σώματος κινήσεσιν ἐπιγιγνομένη, ὅτι κίνησις αὐτὰ ταράσσει. πρόδηλον δὲ, ὡς καὶ οὗτος ὁ λόγος, ὁ αὐτός ἐστι τῇ δυνάμει, τῷ προειρημένῳ.

D

Quòd elleborismum motus cieat, sistátque quies.

Ὅτι μὲν τὸν ἐλλεβορισμὸν αἱ κινήσεις ποιῶσι, αἱ δὲ ἡσυχίαι παύωσι.

APHORISMVS XV.

Qvum velis elleborum magis agere, moue corpus; quum verò sistere, somnum concilia, neque moue.

ΑΦΟΡΙΣΜΟΣ ιε'.

E Ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα. ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει, καὶ μὴ κίνει.

GALENI COMMENTARIVS.

SVperior quidem aphorismus, quomodo oporteat hominem qui elleborum sumpsit, ad purgationem præpare nos docuit: præsens verò, quomodo sistenda sit purgatio tradit. Est autem rationi consonum, ea purgationem sistere, quæ vomitum cientibus sint contraria. Quod itaque ciet motio, id quies sistit, multóque magis somnus, quo actionum animalium quies conciliatur, tum quæ per sensuum fiunt organa, tum quæ per *musculos* in motibus voluntariis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ Μὲν πρότερος ἀφορισμὸς, ὅπως χρὴ παρασκευάζειν τὸν ἐλλέβορον εἰληφότα πρὸς τὴν κάθαρσιν, ἐδίδαξεν· ὁ δὲ νῦν, ὅπως χρὴ παύειν τοὺς καθαιρομένους. εὔλογον δὲ τἀναντία τοῖς ποιοῦσι τὸν ἔμετον, παύειν τὴν κάθαρσιν. ὅπερ οὖν αἱ κινήσεις ποιοῦσιν, αἱ
F ἡσυχίαι παύουσι καὶ πολὺ δὴ μᾶλλον ὁ ὕπνος ἠρεμίαν ἐργαζόμενος τῶν ψυχικῶν ἐνεργειῶν, ὅσαι διὰ τῶν αἰσθήσεων γίνονται, καὶ προσέτι διὰ τῶν μυῶν ἐν ταῖς καθ᾽ ὁρμὴν κινήσεσιν.

A

Τοῖς ὑγιέσιν ἐπικίνδυνον καὶ σπασμῶδες τὸν ἐλλέβορον εἶναι.

Sanis periculosum & conuulsiuum esse veratrum.

ΑΦΟΡΙΣΜΟΣ ιϛ΄.

Ἐλλέβορος ἐπικίνδυνος τοῖσι σάρκας ὑγιέας ἔχουσι· σπασμὸν γὰρ ἐμποιέει.

APHORISMVS XVI.

Veratrum sanas carnes habentibus periculosum est, conuulsionem enim inducit.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅπερ ἐν τοῖς ἔμπροσθεν ἐπὶ πασῶν τῶν καθάρσεων εἶπε, τοῦτο νῦν ἐπὶ μόνης τῆς δι᾽ ἐλλεβόρου ὥστε καὶ συναφθῆναι δύνασθαι τοὺς ἀφορισμοὺς τρόπῳ τῷδε. οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες. οὕτω γοῦν καὶ ὁ ἐλλέβορος, ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι, σπασμὸν γὰρ ἐμποιέει· ἐξαίρετον γάρ τι πρόσεστι τῷ ἐλλεβόρῳ, τὸ τοῦ σπασμοῦ, διὰ τὸ σφοδρὸν τῆς ἐνεργείας.

GALENI COMMENTARIVS.

Qvod superioribus *aphorismis* de omnibus purgationibus dixerat, hoc nunc de eâ sola quæ fit elleboro pronunciat. Quare duo aphorismi possunt inuicem iungi hoc pacto; Qui corporibus bene se habent, purgationes ægrè molestéque ferunt. Sic nanque veratrum sanas carnes habentibus periculosum est. Conuulsiones enim excitat. Eximium nanque inest elleboro, vt propter actionis vehementiam causa sit conuulsionis. C

Ἅτινα τὰ συμπτώματα ἢ τὰ σημεῖα ἄνω φαρμακευτέον εἶναι σημαίνει.

Quæ symptomata aut signa per superiora purgandum esse significent.

ΑΦΟΡΙΣΜΟΣ ιζ΄.

D

Ἀπυρέτῳ ἐόντι, ἀποσιτίη, καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει.

APHORISMVS XVII.

Citra febrem existenti cibi fastidium, stomachi morsus, vertigo tenebricosa, & os amarulentum medicamento per superiora opus esse significant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ μὲν ἀσιτία, τὸ αὐτὸ δηλοῖ τῇ ἀνορεξίᾳ. ὁ δὲ καρδιωγμὸς, δῆξίς ἐστι καρδίας, τουτέστι τοῦ στόματος τῆς γαστρός. ὠνόμαζον γὰρ οἱ παλαιοὶ καὶ τοῦτο καρδίαν. σκοτόδινος δέ ἐστιν, ἐπειδὰν ἅμα περιδινεῖσθαι δοκῇ τὰ βλεπόμενα, ἥ τε διὰ τῆς ὄψεως αἴσθησις ἐξαίφνης ἀπόλλυται, δοκούντων αὐτῶν σκότος περικεχύσθαι· γίγνεται δὲ τοῦτο, τοῦ στόματος τῆς κοιλίας ὑπὸ μοχθηρῶν χυμῶν δακνομένου. διὰ γὰρ τὸ μέγεθος τῶν νεύρων, τῶν ἐξ ἐγκεφάλου καθηκόντων εἰς αὐτὸ, βλάπτεται τὰ τῆς ψυχῆς ἔργα, κακοπραγοῦντος τοῦ μορίου. τὰ μὲν τοιαῦτα συμπτώματα κοινὰ πάντων ἐστὶ τῶν δάκνειν δυναμένων χυμῶν. τὸ δὲ ἐκπικροῦσθαι τὸ στόμα, μόνης τῆς ὠχρᾶς τε, καὶ ξανθῆς ὀνομαζομένης χολῆς. διὸ καὶ καλῶς τοῖς εἰρημένοις συμπτώμασιν, ὁ Ἱπποκράτης εἶπεν, ἄνω φαρμακείην σημαίνειν, ὅπερ ἐξαπλωθὲν, οὕτως ἑρμηνευθήσεται. τὰ εἰρημένα συμπτώματα σημαίνει τῷ ἰατρῷ, τὸν ἄνθρωπον τῆς ἄνω δεῖσθαι φαρμακείης, τουτέστι τῆς δι᾽ ἐμέτων.

GALENI COMMENTARIVS.

Apositia, *cibi fastidium*, idem quod anorexia *inappetentia* significat. Cardiogmos autem *cordis morsus* est, hoc est, oris ventriculi. Hoc siquidem & veteres cor nominabant. E Scotodinos autem, hoc est, *tenebricosa vertigo* fit quando res simul conspectæ circunuolui videntur, & sensus visus repente deperditur ægrotis sibi tenebras circumfundi existimantibus. Hoc autem accidit ore ventriculi à prauis humoribus demorso. Ob magnitudinem enim neruorum à cerebro in ipsum procedentium animæ functiones læduntur. Atque huiusmodi symptomata cunctis humoribus mordendi vim habentibus communia sunt. Os autem amarescere solius bilis & pallidæ & F flauæ nominatæ symptoma existit. Quare etiam præclarè pronunciat Hippocrates commemoratis symptomatis purgationem per superiora significari. Quod explanatum ita interpretabimur. Enumerata symptomata significare Medico hominem superna medicatione, hoc est, per vomitus indigere.

A

Qui dolores per ſuperiora, & qui per inferiora purgandum ſignificent.

Ἅτινα ὀδυνήματα ἄνω, καὶ ἅτινα κάτω, φαρμακευτέον εἶναι σημαίνῃ.

APHORISMVS XVIII.

QVicunque ſupra ſeptum tranſuerſum dolores egent purgatione per ſuperiora purgandum eſſe ſignificant, qui verò infra ſunt, per inferiora.

B

ΑΦΟΡΙΣΜΟΣ ιη'.

Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ὁκόσα καθάρσεως δέονται, ἄνω φαρμακείας σημαίνει δεῖσθαι, ὁκόσα δὲ κάτω, κάτω.

GALENI COMMENTARIVS.

HIc aphoriſmus, quod ſuperior de vno oris ventriculi dolore docuit, hoc ad omnes dolores extendit. Nam quicunque ſupra ſeptum tranſuerſum conſiſtunt dolores purgatione nimirum egentes, per ſuperiora purgari conſulit: quicunque verò infra ſeptum tranſuerſum, eos quoque per inferiora purgandos eſſe manifeſtum eſt. Addidit autem orationi, *purgatione egentes*, ne quis arbitretur Hippocratem abſolutè omnes dolores per purgationem ſanare; neque enim nunc hoc protulit; ſed pro humorum infeſtantium inclinationibus vacuationes eſſe faciendas; neque ſupra ſeptum tranſuerſum dolores per ſubducentia medicamenta, neque infra ſitos per vomitoria vacuare oportere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἀφορισμὸς ὅπερ ὁ πρόσθεν ἐφ' ἑνὸς ἀλγήματος ἐδίδαξε, τοῦ κατὰ τὸ στόμα τῆς κοιλίας, τοῦτ' ἐπὶ πάσας ἐκτείνει τὰς ὀδύνας. ὅσαι μὲν ἄνω τῶν φρενῶν συνίστανται καθάρσεως δεόμεναι, δηλονότι συμβουλεύει ἄνω φαρμακεύειν. ὅσαι δὲ κάτω τῶν φρενῶν, εὔδηλον, ὅτι καὶ ταύτας κάτω. προσέθηκε δὲ τῷ λόγῳ, τὸ, καθάρσεως δεόμεναι, χάριν τοῦ μὴ δόξαι τινὰ

C

πάσας ἁπλῶς τὰς ὀδύνας τὸν Ἱπποκράτην διὰ καθάρσεως ἰᾶσθαι. νυνὶ γὰρ οὐ τοῦτ' εἶπεν, ἀλλ' ὅτι κατὰ τὰς ῥοπὰς τῶν λυπούντων χυμῶν, χρὴ τὰς κενώσεις ποιεῖσθαι, καὶ μήτε τὰς ἄνω τῶν φρενῶν ὀδύνας διὰ τῶν ὑπηλάτων ἐκκενοῦν, μήτε τὰς κάτω, διὰ τῶν ἐμετικῶν.

Sitim idoneam potionis medicæ vacuationem ſequi. Tres hîc ſitis, ac totidem non ſitiendi cauſas eſſe.

D

Ὅτι ἡ δίψα ἱκανὴ τῆς φαρμακοποσίας κενώσεως ἕπεται. καὶ τρεῖς ἐνταῦθα δίψης, καὶ τοσαῦται μὴ διψᾶν αἰτίαι ὦσι.

APHORISMVS XIX.

QVi per medicas potiones dum purgantur non ſitiunt, ij purgandi finem non faciunt, priuſquam ſitiuerint.

ΑΦΟΡΙΣΜΟΣ ιθ'.

Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι, μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται πρὶν ἢ διψήσωσιν.

GALENI COMMENTARIVS.

E

QVi purgantur eorum quidam ſtatim ſitiunt, nonnulli poſtea. Hócque fit tum propter ipſius ventriculi affectionem, tum propter datum medicamentum, tum etiam humoris vacuandi ideam. Ac propter ventriculum quidem fit, qui præ calore, vel ſiccitate, vel vtraque promptè ad ſitim ducitur, ſiue hoc naturâ inſit ei qui hauſit medicamentum, ſiue eo duntaxat tempore. Ratione verò eius medicamenti quòd acre, & calidum & mordax fuerit, propter humorem autem qui vacuatur, quum bilis amara fuerit. Hiſce quidem de cauſis ſitiunt. Contrariis verò plurimo tempore ſine ſiti permanent, quum qui purgatur vel frigidiorem & humidiorem ventriculum ſortitur, aut ab initio, aut purgatio-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν καθαιρομένων τινὲς μὲν εὐθέως διψῶσι, τινὲς δὲ ὕστερον. καὶ γίνεται τοῦτο, διά τε τὴν αὐτῆς τῆς κοιλίας διάθεσιν, καὶ τὸ δοθὲν φάρμακον, καὶ τὴν ἰδέαν τοῦ κενουμένου χυμοῦ. διὰ μὲν τὴν κοιλίαν, ὑπὸ θερμότητος, ἢ ξηρότητος, ἢ ἀμφοῖν ἑτοίμως, εἰς τὸ διψῆν ἀγομένην, ἐάν τε φύσει τοῦθ' ὑπάρχει τῷ πεπωκότι τὸ φάρμακον, ἐάν τε κατ' ἐκεῖνον μόνον τὸν καιρόν. διὰ δὲ αὐτὸ τὸ φάρμακον, δριμὺ, καὶ θερμὸν, καὶ δηκτικὸν ὑπάρχῃ. διὰ δὲ τὸν κενούμενον χυμὸν, ὅταν

F

πικρόχολος ᾖ. ἐπὶ μὲν δὴ τοῖς τοιούτοις αἰτίοις, διψῶσιν, ἐπὶ δὲ τοῖς ἐναντίοις, ἄδιψοι μέχρι πλείστου διατελοῦσιν. ὅταν, ἤτοι ψυχροτέραν, καὶ ὑγροτέραν ἔχῃ ὁ καθαιρόμενος τὴν κοιλίαν, ἤτοι γε ἐξ ἀρχῆς, ἢ κατὰ τὸν

τῆς φαρμακοποσίας χρόνον, ἢ ὅταν αὐτὸ τὸ φάρμακον ἄδηκτον ᾖ, καὶ τρίτον, ὅταν ἤτοι φλεγματικὸς ὁ κενούμενος ὑπάρχει χυμὸς, ὑδατώδης· ἀλλά τι κἀπὶ τούτων, ὅταν δαψιλῶς κενωθῶσιν, ἕπεται δίψος. ἱκανὴ μὲν γὰρ ἡ ἐπὶ τῇ κενώσει ξηρότης, ἐργάζεσθαι τοῦτο. πρὸς τούτοις δὲ καὶ ἡ ἀπὸ τοῦ καθαίροντος φαρμάκου δύναμις, ἔχοντός τινα, κἂν εἰ μὴ φανερὰν, μηδ᾽ αἰσθητὴν, ἀλλὰ λεληθυῖαν δριμύτητα, καὶ θερμασίαν.

nis tempore, aut quum ipsum medicamentum omni mordacitate vacat; tertio quoque quum humor pituitosus aut aquosus extitit. A
Verùm & in his quum abundè euacuati fuerint, sitis consequitur: potest etenim ea quæ ex vacuatione prouenit siccitas sitim, efficere. Præterea medicamenti purgantis facultas, aliquam etsi neque manifestam, neque sensibilem, attamen latentem habentis acrimoniam, & caliditatem, sitim accendit.

B

Τρία συμπτώματα μὲν ἐνταῦθα τὴν κάτω φαρμακείαν ποιησαμένην εἶναι σημαίνει.

Tria symptomata hîc posita purgationem per inferiora mouendam esse significant.

ΑΦΟΡΙΣΜΟΣ κ΄.

Ἀπυρέτοισιν ἐοῦσιν, ἢν γίνηται στρόφος, καὶ γονάτων βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης δεῖσθαι σημαίνει.

APHORISMVS XX.

SI febre vacuos tormina, & genuum grauitas, & lumborum dolor obsideant, purgante per inferiora medicamento opus esse significant. C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ ὀλίγον ἔμπροσθεν ἐδίδαξε τὰ σημεῖα τῶν δεομένων τῆς ἄνω φαρμακείας, οὕτω νῦν διδάσκει δι᾽ ὧν ἄν τις γνοίη τοὺς δεομένους τῆς κάτω. κοινὸς δ᾽ ἀμφοῖν ἐστιν ὁ λογισμὸς, ἐπὶ διαφέρουσι συμπτώμασι. κατὰ γὰρ τὰς ῥοπὰς τῶν λυπούντων, καὶ τὰς κενώσεις χρὴ ποιεῖσθαι.

GALENI COMMENTARIVS.

QVemadmodum paulò antè signa docuit eorum qui medicamento per superiora purgante indigent: ita nunc signa docet, quibus eos mouerit aliquis, qui & inferiora purgari postulant. Est autem vtrisque communis ratio in discrepantibus symptomatis: Nam pro noxiorum humorum propensionibus, vacuationes quoque moliendæ sunt.

D

Ὑποχωρήματα ἢ τὰ μέλανα, τοῖς πλείοσι, τούτοις πονηροτέροις χρώμασι κεχρωσμένα κάκιστα εἶναι. τί τὸ μέλαν ὑποχώρημα, καὶ τί μέλαινα χολή.

Nigras dejectiones, aut pluribus, iisque deterioribus coloribus coloratas, pessimas esse. Quid nigrum excrementum, & quid atra bilis.

ΑΦΟΡΙΣΜΟΣ κα΄.

Ὑποχωρήματα μέλανα, ὁκοῖον αἷμα μέλαν ἀπὸ ταὐτομάτου ἰόντα, καὶ σὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ, κάκιστα, καὶ ὁκόσῳ ἂν χρώματα πλείω πονηρότερα ᾖ, μᾶλλον κακόν. ξὺν φαρμάκῳ δὲ, ἄμεινον, καὶ ὁκόσῳ ἂν χρώματα πλείω ᾖ, οὐ πονηρόν.

APHORISMVS XXI.

ATræ deiectiones, qualis sanguis niger, sponte procedentes, & cum febre, & citra febrem, pessimæ; eóque peiores, quo plures earum colores deteriores fuerint. A medicamento autem melius, & quo plures colores extiterint, non praui. E

ΥΠΟΜΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν διαχωρημάτων, αὐτῷ νῦν ὁ λόγος ἐστὶν, ἅπερ ὀνομάζεται μὲν ὑπὸ τῶν παλαιῶν ἰατρῶν μέλανα. μέλαινα δ᾽ ἀκριβῶς οὐκ ἔστι χολὴ, τὸ γὰρ δριμὺ, καὶ διαβρωτικὸν, καὶ ὀξῶδες, οὐκ ἔχει. πολὺ δὲ δὴ μᾶλλον, οὐδὲ ζυμοῖ τὴν γῆν ἐκχεόμενα κατ᾽ αὐτῆς, ἀλλ᾽ ἔστιν ἅπερ ἂν εἴ τις εἰκάζων εἴποι σαφῶς, οἷον ἰλύς τις αἵματος, οἷα καὶ τοῖς παχέσιν οἴνοις καθισταμένοις ὑφίστασθαι πέφυκεν, ἣν ὀνομάζουσι τρύγα. χρονι-

GALENI COMMENTARIVS.

DE dejectionibus nunc ipsi oratio, quæ à priscis Medicis nigræ appellantur, bilis verò atra planè non sunt. Nam acre, & corrodens, & acidum non habent: ac sanè quod multò plus est, in terram effusæ ipsam non fermentant; sed sunt, vt si quis ejus formam dilucidè referens diceret, velut quidam limus sanguinis, qualis etiam crassioribus venis consistentibus subsidere solet, quam fæcem nominant. Hæc autem si corpori diutiùs F

tiùs immoretur, neque etiam per aliquem sensibilem effluxum, neque per abditum excernatur, verùm transmutetur, atque putrescat, atra bilis planè generatur. Priusquàm verò procreata sit, eam lien trahit, tanquam sanguinis fæcem, atque jecur expurgat; quemadmodum in commentariis de facultatibus naturalibus demonstratum est. Enimuerò splen quoque melancholico humore ad sui nutritionem abutitur, quod rursum ipse fecerit excrementum, id deinceps in aluum cum cæteris excrementis excernendis propellit. Si quando igitur lien non probè iecur expurgauerit, atque ipse sanguis hepatis copiosum huiusmodi limum habuerit, & viscus imbecillum ita euadat, vt superuacanea in se excrementa continere nequeat, ac tunc atras vocatas dejectiones subducit, de quibus nunc ipsi sermo habetur. Hoc autem in textu addidit, *qualis sanguis niger*, quibus verbis tale quiddam significat. Qualis sanguis nonnullus fit nigratus, tum per intestina defertur, tales sunt atræ dejectiones. Nam planè stupidi est conjicere sanguini secundum naturam se habenti istas atras dejectiones esse similes. Hæ nanque & rubræ, & nigræ fient: Atqui impossibile est eundem sanguinem & rubrum & nigrum esse. Permultas eiusmodi dejectiones in pestilenti hoc morbo longo conspeximus quæ non magis perniciosè se habentibus, quam sospitibus euasuris apparebant, neque tamen per morborum principia, neque per incrementa conspiciebantur. Tunc enim quæ vacuabantur tum flauæ, tum rufæ calore, syntexes erant; quæ verò posteriùs apparebant, nigra velut sanguinis fæx, vel ipso retorrido ac perusto sanguine, vel aliquam extraneam putredinem adepto ortum habuerant, ortis in ventriculo cruditatibus consimilem, quum ad vitiosos humores eduliorum corruptela desierit. Quare per initia quidem *morborum* nunquam ad bonum hujusmodi *dejectiones* prodeunt, quæ magnam visceris læsionem indicant, & vigorem *morborum* sæpe sequuntur, naturâ superuacanea expurgante. Istud tamen hoc in aphorismo adjecit Hippocrates, quanquam alibi vniuersè pronunciauit, *signa indicatoria non protinus apparere*; & particulatim sequenti aphorismo his verbis. *Quibuscunque morbis incipientibus, si bilis atra sursum, aut deorsum prodierit, lethale.* Nunquid igitur satis mentem suam aperire visus est, quum *procedentes* protulit. Id enim nomen temporis longinquitatem prodit, ac si vel per totum morbum, vel per longum ipsius tempus tales procedant dejectiones? si nanque vnum quoddam tempus ostendere voluisset, omnino vel quæ post apparuissent, vel quæ processissent, protulisset, non *sponte procedentes.* Hoc enim verbum, *procedentes*, non processisse; sed procedere significat. Sumpto tamen medicamento, quô nigra vacuantur, talia dejici nihil mirum. Sic sanè plures dejectionum colores præter naturam vacuati multarum in corpore affectionum signa sunt indicantia. A medicamento verò ducti, plures humores euacuandi facultate donato, nihil absurdum significant.

ζέσης δ' αὐτῆς ἐν τῷ σώματι, καὶ μήτε ἐκκενουμένης
A
κατά τινα τῶν αἰσθητῶν ἐκροῶν, μήτε κατὰ τὸ ἄδηλον, ἀλλὰ μεταβαλλομένης τε, καὶ σηπομένης ἀκριβῶς, μέλαινα γίνεται χολή. πρὶν δὲ γεννηθῆναι ταύτην, ὁ σπλὴν ἕλκει τὴν οἷον τρύγα τοῦ αἵματος, ἐκκαθαίρων τὸ ἧπαρ, ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι δέδεικται. καὶ τοίνυν καὶ καταχρῆται τούτῳ μελαγχολικῷ χυμῷ, πρὸς τὴν ἑαυτοῦ τροφὴν ὁ σπλὴν, ὅσον δ' αὖ πάλιν αὐτὸς ἐργάζεται περίττωμα, τοῦτο ὠθεῖ πάλιν εἰς τὴν γαστέρα, μετὰ τῶν ἄλλων περιττωμάτων ἐκκριθησόμενον. ἐὰν οὖν ποτὲ μήθ' ὁ σπλὴν
B
ἐκκαθαίρῃ καλῶς, αὐτό τε τὸ αἷμα τὸ κατὰ τὸ ἧπαρ, ἔχῃ πολλὴν ἰλὺν τοιαύτην, ἀρρωστήσει τε τὸ σπλάγχνον, ὡς μὴ κατέχειν ἐν ἑαυτῷ τὰ περιττὰ δυνάμενον, τηνικαῦτα ὑποχωρεῖ τὰ καλούμενα μέλανα, περὶ ὧν ὁ λόγος ἐστὶν αὐτῷ νῦν. προσέθηκε δ' ἐν τῷ λόγῳ, τὸ, οἷον αἷμα, τοιοῦτον δηλῶν, ὁποῖόν τι γίνεται τὸ αἷμα τὸ μελανθὲν ἐν τῇ διὰ τῶν ἐντέρων φορᾷ, τοιαῦτ' ἐστὶ τὰ μέλανα. τελέως γὰρ ἠλίθιόν ἐστιν ὑπολαμβάνειν, αἵματι τῷ κατὰ φύσιν ἔχοντι ταῦτα ἐοικέναι τὰ μέλανα. γενήσεται γὰρ ἐρυθρά τε, καὶ μέλανα ταῦτα. καί τοι γε ἀ-
C
δύνατον αἷμα ταὐτὸν ἐρυθρόν τε καὶ μέλανα ὑπάρχειν. πάμπολλα τοιαῦτα διαχωρήματα κατὰ τὴν λοιμώδη νόσον εἴδομεν ταύτην τὴν μακρὰν, οὐ μᾶλλόν τι τοῖς ὀλεθρίως ἔχουσιν, ἢ τοῖς σωθησομένοις ἐπιφαινέντα, οὐ μὴν ἀρχομένων τε καὶ αὐξανομένων τῶν νοσημάτων ἑωρᾶτο. συντήξεις γὰρ ἦσαν αἱ τό τε κενούμεναι ξανθαί τε, καὶ πυῤῥαὶ τὸ χρῶμα. τὰ δ' ὕστερον ἐπιφαινόμενα μέλανα, καθάπερ αἵματος τρὺξ, ἤτοι γε ὑπεροπτηθέντος αὐτοῦ τὴν γένεσιν εἶχεν, ἢ σηπεδόνα τινὰ ἀλλόκοτον, ἀνάλογον ταῖς ἐν τῇ γαστρὶ γινομέναις ἀπεψίαις, ὅταν εἰς μοχθηροὺς
D
χυμοὺς, ἡ διαφθορὰ τελευτήσει. διὸ καὶ κατ' ἀρχὰς μὲν οὐδέποτε ἐπ' ἀγαθῷ φαίνεται τοιαῦτα, μεγάλην κάκωσιν ἐνδεικνύμενα τοῦ σπλάγχνου, ταῖς δ' ἀκμαῖς ἐπιγίνεται πολλάκις, ἐκκαθαιρούσης τὰ περιττὰ τῆς φύσεως, οὐ μὴν προσέθηκέ γε αὐτὸ, κατὰ τὸν ἀφορισμὸν ὁ Ἱπποκράτης, καίτοι γε ἀλλόθι μὲν εἰπὼν, καθόλου τὰ κρίσιμα μὴ αὐτίκα ἐπιφαίνεσθαι. κατὰ δὲ τὸν ἐφεξῆς ἀφορισμὸν, ἐπὶ μέρους, ἐν τῷ φάναι· νοσημάτων ὁκόσων ἀρχομένων, ἢν χολὴ μέλαινα, ἢ ἄνω, ἢ κάτω ὑπέλθῃ, θανάσιμον.
E
μήτι τοίνυν ἔδοξεν αὐτάρκως δεδηλωκέναι τὴν ἑαυτοῦ γνώμην, ἰόντα φάμενος. ἐνδείκνυται γὰρ τοῦτο τοὔνομα, χρόνου μῆκος, ὡς ἤτοι δι' ὅλου τοῦ νοσήματος, ἢ κατὰ πολὺν χρόνον αὐτοῦ, ἰόντων τοιούτων ὑποχωρημάτων. εἰ γὰρ ἕνα τινὰ καιρὸν ἐβούλετο δηλῶσαι, πάντως ἂν, ἢ ἐπιφανέντα, ἢ ἐλθόντα εἶπεν, οὐκ ἀπὸ ταὐτομάτου ἰόντα· τουτὶ γὰρ τὸ, ἰόντα, τῷ ἐρχόμενα, ταὐτὸν, οὐ τῷ, ἐλθόντα, δηλοῖ. φαρμάκου μέντοι ληφθέντος ὑφ' οὗ κενοῦται μέλανα, διαχωρῆσαι τὰ τοιαῦτα, θαυμαστὸν οὐδέν. οὕτω δὴ καὶ τὰ πλείω τῶν διαχωρημάτων χρώματα παρὰ φύσιν, αὐτόματα μὲν ἐκκενούμενα, σημεῖα πολλῶν ἐστι διαθέσεων
F
ἐν τῷ σώματι ἐνδεικτικά. τὰ ὑπὸ φαρμάκου δ' ἀγόμενα πεφυκότος ἐκκενοῦν ἤδη πλείονα χυμὸν, οὐδὲν ἄτοπον σημαίνει.

A

Καὶ ἀρχὰς τῶν νοσημάτων τὴν μέλαιναν χολὴν ἐκκρίνειν θανάσιμον. οὐ μὴν καὶ ἀκμὴν, ἢ παρακμήν· καὶ τούτου αἰτίας διδάσκει ὁ Γαληνός.

In morborum principiis bilem atram excerni lethale; non autem in statu, aut declinatione; cujus rei causas docet Galenus.

ΑΦΟΡΙΣΜΟΣ κβ'.

B

Νοσημάτων ὁκόσων ἀρχομένων, ἢν χολὴ μέλαινα, ἢ ἄνω ἢ κάτω ἐπέλθῃ, θανάσιμον.

APHORISMVS XXII.

Quibuscunque morbis incipientibus, si bilis atra sursum, aut deorsum prodeat, lethale.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διώρισταί μοι, καὶ κατὰ τὸν προγεγραμμένον ἀφορισμὸν ὁ μελαγχολικὸς χυμὸς, ἀπὸ τῆς μελαίνης χολῆς, ὑπὲρ ἧς νῦν ὁ λόγος αὐτῷ, καὶ τὴν γ' αἰτίαν (C) τοῦ κατ' ἀρχὰς μὲν ὀλεθρίους εἶναι τοὺς τοιούτους χυμοὺς, ἐξ ὑστέρου δὲ κρισίμους ἐπιφαίνεσθαι, καὶ κατ' ἐκεῖνον μὲν αὐτάρκως διῆλθον. ἀναλήψομαι δὲ καὶ νῦν, ἐπειδὴ καὶ περὶ τῶν ἀναγκαιοτάτων τῇ τέχνῃ διέρχεσθαι, πολλάκις, ἄμεινόν ἐστιν. ὅταν ἄρχηται τὸ νόσημα, τῶν ἐκκρινομένων οὐδὲν ἐκκρίνεται τηνικαῦτα τῷ λόγῳ τῆς φύσεως, ἀλλ' ἔστιν ἅπαντα συμπτώματα τῶν ἐν τῷ σώματι παρὰ φύσιν διαθέσεων. ἐν ᾧ γὰρ χρόνῳ, βαρύνεται μὲν ὑπὸ νοσωδῶν αἰτίων ἡ φύσις, ἀπεψία δ' ἐστὶ τῶν χυμῶν, ἐν τούτῳ κενοῦσθαί τι χρηστῶς ἀδύνατον. (D) εἴ γε προηγεῖσθαι μὲν χρὴ πέψιν, ἀκολουθῆσαι δὲ διάκρισιν, εἶθ' ἑξῆς κένωσιν, ἵν' ἀγαθὴ γένηται κρίσις. ἐδίδαξε γοῦν ἡμᾶς ταῦτα αὐτὸς, κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν εἰπών. πεπασμοὶ ταχυτῆτα κρίσεως, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ, καὶ ἄπεπτα, καὶ ἐς κακὰς ἀποστάσιας τρεπόμενα, ἀκρισίας, ἢ πόνους, ἢ χρόνους ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. ὅταν οὖν ἐπὶ πέψει νοσήματος, ἔκκρισις γένηται μοχθηροῦ χυμοῦ, καθαίρεται τηνικαῦτα τὸ σῶμα πρὸς τῆς φύσεως, καὶ διὰ (E) τοῦτο καὶ μέλαινα χολή. καὶ πᾶς ἄλλος τοιοῦτος χυμὸς, ἐπειδὴ πέψεως φανῇ σημεῖα, προήκοντος τοῦ νοσήματος, ἀγαθὴν σημαίνει τὴν κένωσιν. εἰ δ' ἄλλως ἐκκρίνοιτο χωρὶς τῶν τῆς πέψεως σημείων, ὀλέθριόν ἐστι τὸ σύμπτωμα. ὥστ', ἐπειδὴ κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἀπεψίας ἐστὶν ἀεὶ σημεῖα μοχθηρὰ, διὰ τοῦτο ἔσται τῶν τοιούτων χυμῶν ἡ κένωσις.

GALENI COMMENTARIVS.

Præcedente aphorismo, melancholicus humor scriptis ab atrâ bile à nobis quoque distinctum est, de quâ nunc ipsi est oratio, & quam ob causam per initia lethales sint hujusmodi humores, posteriùs verò judicatorij appareant, in illius quoque commentario abunde disseruimus. Quia verò satius est, & de ijs arti maximè necessariis sæpius disserere, propterea etiamnum ea repetemus. Quum aliquis morbus incipit, si quid excernatur, id tunc naturæ ratione non excernitur; sed omnia earum quæ præter naturam sunt in corpore affectionum symptomata. Quandiu enim à causis morbum facientibus natura grauatur, & humorum adest cruditas, tunc ut aliquid rectè vacuetur fieri omnino non potest. Siquidem vt bona crisis oboriatur coctionem præcedere oportet, & secretionem subsequi, tandémque vacuationem. Hæc autem nos ipse docuit Epidemiorum primo his verbis. Coctiones crisis celeritatem, salutísque securitatem significant: cruda verò & incocta in abscessus vertuntur; vel crisis vacuitatem, vel dolores, vel diuturnitatem, vel mortem, vel eorundum affectuum reditus *denunciant*. Quando igitur post morbi coctionem praui alicujus humoris fit excretio, tum corpus à natura expurgatur. Ac proinde & atra bilis, & quicunque alius eiusmodi humor quum coctionis signa procedente morbo apparuerint, bonam vacuationem significant. Aliàs verò si absque coctionis signis excernantur, exitiosum est symptoma. Quare quum in morbi principio semper sint cruditatis signa, mala semper futura est talium humorum vacuatio.

A

Atram bilem, aut nigras dejectiones morbo extenuatis succedere, lethale signum esse.

Τὴν χολὴν μελαίνην, ἢ μέλανα τὰ ὑποχωρήματα τοῖς λελεπτυσμένοις ἐπιγίνεσθαι, θανάσιμον σημεῖον εἶναι.

APHORISMUS XXIII.

ΑΦΟΡΙΣΜΟΣ κγ΄.

Quibus per morbos acutos, aut diuturnos, aut vulnera aut alium quemcunque modum extenuatis bilis atra, aut velut sanguis niger subierit, ij postridie moriuntur.

B

Ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων, ἢ ἐκ πολυχρονίων, ἢ τρωμάτων, ἢ ἄλλως πῶς <u>λελεπτυσμέ</u>νοισι, χολὴ μέλαινα, ἢ ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

GALENI COMMENTARIUS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ORatio hujus aphorismi talis est potestate Siue atra bilis (de qua præcedens docuit aphorismus) siue nigra quædam atro sanguini similia (de quibus superior aphorismus) summè extenuatis superuenerint, postridie moriuntur. In talibus enim imbecillis est adeo natura, vt neque coquere, neq; secernere neq; excernere possit quæ ita praua sunt. Quare propter morbi magnitudinem, quum contineri & regi nequeant, effunduntur, & eodem die acerbam mortem adferunt, non in posterum, quemadmodum aliis in morbis propter virium imbecillitatem. Ostendit porrò hoc aphorismo manifestè quod & in priore, quum diceret: *Dejectiones nigræ, vel qualis sanguis*, subaudire oportet, *niger*, vt hæc expleta sit oratio. Ostendit autem & nos rectè à nigris dejectionibus bilem atram distinxisse. Hæ nanque sanguini denigrato similes deijciuntur, sed differunt, quod fusæ sint, & non vt illæ concretæ. Atra verò bilis differt, quòd absque concretione fusa sit, quódque fulgentem nigrorem habeat, & præterea vt acetum mordax sit, & terram abradat, atque fermentet; quorum nihil nigris adest.

Ὁ κατὰ τόνδε τὸν ἀφορισμὸν λόγος ἐστὶ δυνάμει τοιοῦτος, ἐάν τε χολὴ μέλαινα περὶ ἧς ὁ προγεγραμμένος ἀφορισμὸς ἐδίδαξεν, ἐάν τε τὰ μέλανα, τὰ τῷ αἵματι ἐοικότα, περὶ ὧν ὁ προκείμενος, λελεπτυσμένοις ἐσχάτως ἐπιφανῇ, κατὰ τὴν ὑστεραίαν ἀποθνήσκουσιν. ἀσθενὴς γὰρ ἐπὶ τῶν τοιούτων ἡ φύσις, ὡς μήτε C πέψαι δύνασθαι, μήτε διακρίναι, μήτε ἐκκρίναι τὰ οὕτω μοχθηρά. διὰ μέγεθος οὖν τοῦ νοσήματος, ἀποχεῖται μὴ στεγόμενα, καὶ ταύτῃ, χαλεπὸν τὸν θάνατον οὐκ ἐν ὑστέρῳ φέρει, καθάπερ ἐν ἄλλοις νοσήμασι, διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως. ἐδήλωσε μέν τοι κατὰ τοῦτον τὸν ἀφορισμὸν ἐναργῶς, ὅ, τι καὶ κατὰ τὸν ἔμπροσθεν ἀφορισμὸν, ἡνίκα ἔλεγεν, ὑποχωρήματα μέλανα, ἢ οἷον αἷμα, προσυπακούεσθαι χρὴ τὸ, μέλαν, ἵνα ᾖ τὸ πλῆρες τοιοῦτον, ὑποχωρήματα οἷον αἷμα μέλαν. ἐδήλωσε δὲ καὶ ὅτι καλῶς ἡμεῖς διωρισάμεθα ἀπὸ τῶν μελάνων, D τὴν μέλαιναν χολήν. τὰ μὲν γὰρ αἵματι μεμελασμένῳ παραπλήσια φέρεται, διαφέροντα τῷ κεχύσθαι τε, καὶ μὴ πεπηγέναι καθάπερ ἐκεῖνο. μέλαινα δὲ χολὴ, καὶ τῷ κεχύσθαι, χωρὶς πεπῆχθαι, καὶ τῷ στίλβον ἔχει τὸ μέλαν. ἔτι δὲ δακνῶδές ἐστι καθάπερ ὄξος, ἀναδέρειν τε, καὶ ζυμοῦν τὴν γῆν ὧν οὐδὲν ὑπάρχει τοῖς μέλασιν.

E

Cur dysenteria ab atra bile incipiens sit lethalis.

Διά τι ἡ δυσεντερία ἀπὸ τῆς μελαίνης χολῆς ἀρχομένη ἦ θανάσιμος

APHORISMUS XXIV.

ΑΦΟΡΙΣΜΟΣ κδ΄.

DYsenteria si ab atrâ bile ortum duxerit, lethale.

Δυσεντερίη, ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

GALENI COMMENTARIUS.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

A Bile pallidâ nonnullis, ab aliis flaua nominata plerunque dysenteria incipit, derasis primùm propter humorum acrimoniam intestinis; deinde etiam excsis adeò vt

Ὑπὸ τῆς ὠχρᾶς μὲν, ὑπ᾿ ἐνίων, ὑπ᾿ ἄλλων δὲ, ξανθῆς ὀνομαζομένης χολῆς ἄρχεται τοὐπίπαν ἡ δυσεντερία. ξυομένων τὰ πρῶτα τῇ τοῦ χυ-

μῶν δριμύτητι, τῶν ἐντέρων ἀναβιβρωσκομένων δ' ὕστερον, ὡς ἑλκοῦσθαι, καὶ γίνεσθαι δυσεντερίαν. ταύτην μὲν οὖν τὴν δυσεντερίαν ἰώμεθα πολλάκις. ἣ τις δ' ἂν ὑπὸ τῆς μελαίνης γίνηται χολῆς, ἀνίατός ἐστιν πάντῃ, οὐδὲν διαφέρουσα καρκίνου, τοῦ μεθ' ἑλκώσεως. ὅπου πέρ γε ἐπιπολῆς συνιστάμενος ὁ τοιοῦτος καρκίνος, ἤτοι δυσίατος, ἢ παντάπασιν ἀνίατός ἐστι, καίτοι διὰ παντὸς ἐπικείμενον ἑαυτῷ φάρμακον ἔχειν δυνάμενος, εἰκὸς δήπου τὸν ἐν τοῖς ἐντέροις γιγνόμενον, οὐ μόνον τῷ μηδὲν ἔχειν δύνασθαι παντὸς ὁμιλοῦν φάρμακον ἑαυτῷ, ἀλλὰ καὶ τῷ τῆς τροφῆς περιττῶν ἀεὶ ψαυόντων αὐτοῦ, παντάπασιν ἀνίατον μένειν.

A exulcerentur, fiatque dysenteria. Hanc igitur dysenteriam sæpe sanauimus. Cæterùm quæ ab atra bile ortum duxerit; prorsus est insanabilis, quum nihil ab vlcerato cancro differat. Si igitur *in corporis* superficie consistens eiusmodi cancer vix curetur, aut etiam omnino curationem non recipiat, licet impositum sibi remedium semper habere queat, eum profectò qui occupauit intestina, non solùm quia medicamentum continenter adhærescens habere non potest; sed quod alimenti præterea & excrementorum contactu perpetuò irritetur, insanabilem prorsùs remansurum ratio- B ni consentaneum est.

Τὸ αἷμα μὲν ἄνω ἐκκρίνεσθαι κακόν· τὸ δὲ μέλαν κάτω ὑποχωρεῖν, ἀγαθόν.

Sanguinem per superiora excerni, malum; nigrum verò per inferiora, bonum esse explicat Galenus.

ΑΦΟΡΙΣΜΟΣ κε΄.

Αἷμα, ἄνωθεν μὲν ὁκοῖον ἂν ᾖ, κακόν, κάτω δὲ, ἀγαθόν, καὶ τὰ μέλανα ὑποχωρέοντα κακόν.

APHORISMVS XXV.

C *Sanguinem sursum quidem efferri qualiscunque sit, malum; deorsum verò deijci, bonum.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τοῖς ἔμπροσθεν ἀφορισμοῖς, ὁ λόγος αὐτῷ γέγονε περὶ τῶν διὰ τοῦ στόματος, ἢ τῆς ἕδρας ἐκκρινομένων, ὥστε καὶ κατὰ τόνδε τὸν προκείμενον, ἀκούομεν αὐτοῦ λέγοντος, ἄνω τὴν διὰ τοῦ στόματος ἔκκρισιν μόνην, ἄνευ τοῦ περιλαμβάνεσθαι τὴν διὰ τῶν ῥινῶν. ταύτην οὖν φησὶ, διὰ παντὸς εἶναι κακὴν, ὁποῖον ἂν ᾖ τὸ αἷμα ἐκκρινόμενον, τουτέστιν, ἄν τε ἀφρῶδες, ἄν τε ἐρυθρὸν, ἄν τε ξανθὸν, ἄν τε μέλαν ἄν τε ὑδατῶδες, ἄν τε παχύ. κάτω γὰρ ὑπέρχεσθαι, βέλτιον εἶναι φησὶν αὐτό. οὐκ οὖν οὐδ' ἐνταῦθα τρόπον αἱμορραγικὸν, ἀλλὰ κατὰ βραχὺ συῤῥέον, ὥστε ἐν τῷ βραδεῖ τῆς διεξόδου μελανθῆναι. αὐτὸ μὲν οὖν τὸ συῤῥεῖν ὅλως εἰς τι τῶν ἐντέρων αἷμα, φαῦλον εἶναι χρὴ νομίζειν. ἄμεινον δ' ὀλίγον, ἤπερ ὅταν αἱμορραγικῶς ἐκκρίνηται πάμπολλα. διὸ καὶ τὸ ἀγαθὸν, ὡς οὐ κυρίως εἰρημένον ἀκούειν προσήκει, ἀλλ' ἐν ἴσῳ τῷ ἄμεινον, ὡς εἰ καὶ οὕτως εἴρητο. κάτω δὲ, ἄμεινον τὰ μέλανα χωρέοντα. τῷ γὰρ ὄντι τοῦτ' ἂν ἕλοιτό τις περὶ τοῦ διὰ στόματος ὁπωσοῦν ἀναφέρεσθαι τὸ αἷμα. τοῦτο μὲν οὖν ἄν τις εἴποι, διαλυόμενος τὴν μάχην τῶν λόγων τοῦ παλαιοῦ. νυνὶ μὲν εἰπόντος, ἀγαθὸν εἶναι κάτω ὑποχωρεῖν τὰ μέλανα, μικρὸν δ' ἔμπροσθεν, κάκιστον ὑπάρχειν. ἐγχωρεῖ δὲ καὶ οὕτως ἀκοῦσαι τὰ μέλανα, καθάπερ αὐτὸς ἐπὶ τῶν αἱμορροΐδων ἐν ἐπιδημίαις ἔλεγεν, ὡς ἰωμένων τὰ μελαγχολικὰ πάθη. τῷ γὰρ ὄντι, μελαγχολίας ἤδη γεγενημένης, ἴαμα μέγιστόν ἐστιν αἱμοῤῥοΐς, μελλούσης ἔσεσθαί γε κώλυμα. τοιγαροῦν οὕτως ἀκουόντων ἡμῶν, ὁ λόγος ἔσται τοιοῦτος. αἷμα, ἄνω μὲν

GALENI COMMENTARIVS.

SVperioribus aphorismis de iis quæ per os & sedem excernuntur, ipse verba fecit. Quare proposito etiam aphorismo, quum ipse, *sursum*, pronunciat ea, sola quæ per os fit D excretio nobis intelligenda est, minimè verò quæ per nares comprehensa. Illam itaque ait semper esse malam, qualiscunque sit is qui excernitur sanguis, hoc est, siue spumosus, siue ruber, siue flauus, siue niger, siue aquosus, crassúsve extiterit. Deorsum enim ipsum subire melius esse profert, non tamen illac erumpentis sanguinis more, vt in hæmorrhagia, sed paulatim ita fluentis vt sui transitus morâ denigretur. Et verò ipsum omnino sanguinem in aliquod intestinum confluere, malum esse augurandum est. Sed melius quum paulatim, quam quùm hæmorrhagiæ instar cumulatè ex- E cernitur. Quare quod legitur, *bonum*, non tanquam propriè dictum; sed tanquam idem quod melius significet accipiendum est; quasi ita diceret: *Deorsum autem nigra deijci melius.* Nam reuerâ quiuis hoc magis eliget quàm per os quocunque modo sanguinem efferri. Hoc siquidem quispiam dixerit, quo sententiarum senis pugnam diluat, pronunciantis nunc bonum esse nigra deorsum excerni, quod paulo ante pessimum esse dixerat. Possumus quoque nigra sic accipere, quemadmodum ipse in Epidemijs, quum de hæmorrhoidibus age- F ret vsurpauit, prout melancholicis affectibus medentur. Nam reuera melancholiæ jam factæ maximum remedium est, & futuræ ne accedat impedimentum aperta hæmorrhois. Itaque nobis ita accipientibus, talis erit oratio; *Sanguinem sursum qualiscunque, fuerit effer-*

ri, malum; deorsum per hæmorrhoidas, bonum, quum nigra euacuantur, hoc est quùm hominis natura copiosum huiusmodi humorem accumulat. Aliàs autem ei quæ fit per hæmorrhoidas vacuationi assuefaciendum non est, quæ periculosam sortiatur vtranque incommoderationem, & quum vltra modum sanguis excernitur, & quum ex toto supprimitur.

A ὁποῖον ἂν ᾖ, κακὸν, κάτω δὲ δι' αἱμοῤῥοΐδων, ἀγαθὸν, ὅταν ἐκκενοῖ τὰ μέλανα· τουτέστιν ὅταν ἡ φύσις τοῦ ἀνθρώπου, πολὺν τὸν τοιοῦτον ἀθροίζῃ χυμόν. ἄλλως δὲ οὐκ ἐπιτρεπτέον ἐθίζεσθαι τῇ διὰ τῶν αἱμοῤῥοΐδων κενώσει σφαλερὰν ἐχούσῃ τὴν ἀμετρίαν ἑκατέρα, ἔν τε τῷ περαιτέρω τοῦ προσήκοντος ἐκκενοῦσθαι, κἀν τῷ παντάπασιν ἴσχεσθαι.

B In dysenteria caruunculam deijci lethale.

Ἐν τῇ δυσεντερίᾳ τὴν σάρκα ὑποχωρεῖν θανάσιμον.

APHORISMVS XXVI.

ΑΦΟΡΙΣΜΟΣ κϛʹ.

SI dysenteria laboranti veluti caruunculæ deiiciantur, mortiferum.

ΗΝ ὑπὸ δυσεντερίης ἐχομένῳ σάρκες ὑποχωρήσωσι, θανάσιμον.

GALENI COMMENTARIVS.

C ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

IN dysenteriis quum adhuc hæ constituuntur, primùm pinguia quædam corpora excernuntur. Deinde verò nisi priùs desierint, quædam ipsorum intestinorum ramenta, derasâ interiore ipsorum superficie membranosâ existentes cuticulæ cutim exteriùs contegenti consimili. Postremò ex ipsa intestinorum substantia aliquid abraditur, quo demum tempore non adhuc fieri dysenteriam; sed jam factam D atque constitutam esse dicimus. Quando igitur per dysenteriam adeo magnæ intestinorum partes excernuntur, vt ipsæ carnes nominari possint, tum morbum lethalem esse pronunciat, quum tanta exulceratio neque carne expleri, neque cicatrice obduci queat.

ΕΝ ταῖς δυσεντερίαις, ἔτι μὲν συνισταμέναις, ἐκκρίνεταί τινα πιμελώδη σώματα. τούτοις δ' ἐφεξῆς, ὅταν μὴ φθάσῃ παυσαμένη, ξύσματά τινα τῶν ἐντέρων αὐτῶν, ἀποῤῥιπτομένης τῆς ἔνδοθεν ἐπιφανείας αὐτῶν, ὑμενώδους οὔσης καὶ πυκνῆς, ἀνάλογον τῇ κατὰ τὸ δέρμα τοὐκτὸς ἐπιδερμίδι. μετὰ δὲ ταῦτα, αὐτῆς τι οὐσίας τῶν ἐντέρων ἀποξύεται, καθ' ὃν ἤδη χρόνον, οὐκέτι γίνεσθαι τὴν δυσεντερίαν, ἀλλ' ἤδη γεγονέναι, καὶ κατεσκευάσθαι φαμέν. ὅταν οὖν οὕτω μεγάλα μέρη τῶν ἐντέρων ἐκκρίνεται κατὰ τὴν δυσεντερίαν, ὡς δύνασθαι σάρκας ὀνομάζεσθαι αὐτὰ, θανάσιμον εἶναι φησὶ τὸ νόσημα, μήτε σαρκωθῆναι τῆς τηλικαύτης ἑλκώσεως, μήτε ἐπουλωθῆναι δυναμένης.

Ab hæmorrhagia aluum humectari.

E Ἀπὸ τῆς αἱμοῤῥαγίας τὴν κοιλίην καθυγραίνεσθαι.

APHORISMVS XXVII.

ΑΦΟΡΙΣΜΟΣ κζʹ.

QVibus per febres vndecunque sanguinis erumpit copia, his conualescentibus alui humectantur.

ΟΚόσοισιν, ἐν τοῖσι πυρετοῖσιν, αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν κοιλίαι καθυγραίνονται.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F CAlore natiuo propter hæmorrhagiam cibi neque probè concoqui, neque in sanguinem mutari, imò verò neque distribui possunt. His omnibus aluos seipsis humidiores fieri consentaneum est, quod longiori tempore suas vires natura recuperauerit.

ΤΗς ἐμφύτου θερμασίας ἀῤῥώστου γιγνομένης, διὰ τὴν αἱμοῤῥαγίαν, οὔτε πέττεσθαι καλῶς τὰ σιτία, οὔθ' αἱματοῦσθαι, πολὺ δὲ δὴ μᾶλλον, οὐδ' ἀναδίδοσθαι δύναται, καὶ διὰ ταῦτα πάντα, τὰς κοιλίας ὑγροτέρας γίνεσθαι τοῖς τοιούτοις εἰκός ἐστι, μέχριπερ, ἂν ἐν χρόνῳ πλείονι, τὴν ἑαυτῆς ἰσχὺν ἡ φύσις ἀνακτήσηται.

A

Τὴν τοῖς χολώδεσι διαχωρήμασι κώφωσιν ἐπιγινομένην, καὶ τὰ τῇ κωφώσει τὰ χολώδεα διαχωρήματα ἐπιγινόμενα παύεσθαι.

Succedentem biliosis dejectionibus surditatem, & surditati biliosas dejectiones cessare.

ΑΦΟΡΙΣΜΟΣ κη'.

Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος γινομένης παύεται, καὶ ὁκόσοισι κώφωσις, χολωδέων γινομένων παύεται.

APHORISMVS XXVIII.

Qvibus biliosæ sunt deiectiones, hæ succedente surditate cessant; & quibus
B *adest surditas, hæc obortis biliosis deiectionibus, cessat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ περὶ τῆς ἐν ἕξει δυσλύτου κωφώσεως, ὁ λόγος αὐτῷ νῦν ἐστὶν, ἀλλὰ περὶ τῆς ἐξαίφνης πυρετοῖς, ἢ ἄλλως γινομένης, ἀναδραμούσης ἐπὶ τὴν κεφαλὴν τῆς χολῆς. αὕτη γὰρ, ὅταν μὲν καταλάβῃ τοὺς ἀκουστικοὺς πόρους, τὴν κώφωσιν ἐργάζεται. ὅταν δ' ἐντεῦθεν ἀπωσαμένης αὐτὴν τῆς φύσεως, ἐπὶ τὴν διαχώρησιν ἀφίκηται, λύει τὴν κώφωσιν.

GALENI COMMENTARIVS.

Non de eâ quæ in habitu est solutu difficili surditate nunc ipsi sermo est, sed de eâ quæ repente in febribus, aut aliter oboritur, bile ad cerebrum recurrente. Quum enim ipsa meatus auditorios obsederit, surditatem efficit. Quum verò inde ipsa à naturâ deturbata ad dejectionem peruene-
C rit, surditatem soluit.

Τὰ ῥίγη τοῖς πυρεταίνουσιν ἐν τῇ ἕκτῃ ἡμέρᾳ ἢ κακόκριτα, ἢ δύσκριτα, καὶ δύσλυτα, εἶναι.

Rigores febricitantibus sexto deortos, prauæ vel difficilis judicationis, ac solutionis esse.

ΑΦΟΡΙΣΜΟΣ κθ'

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι, ῥίγεα γίνεται, δύσκριτα. D

APHORISMVS XXIX.

Qvibus in febribus sexto die rigores oboriuntur, ii arduam crisin portendunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅσα τοῖς πυρετοῖς, καὶ μάλιστα τοῖς καυσώδεσι ἐπιγίνεται, ῥίγη, κρίνει εἴωθεν, ἀγαθὴν μὲν καὶ τελέαν κρίσιν, ὅταν ἐν ἡμέρᾳ κρισίμῳ γίνηται, καὶ μετὰ τῶν τῆς πέψεως σημείων. οὐκ ἀγαθὴν δὲ, οὐδὲ τελέαν, ὅταν ἤτοι τὰ τῆς ἡμέρας, ἢ τὰ τῆς πέψεως σημεῖα ἐλλιπῶς ἔχῃ. ὅτι μὲν οὖν πεπέφθαι χρὴ τὰ μέλλοντα κρίνεσθαι καλῶς, ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐδίδαξε, διὰ τῆς ὀλίγον ἔμπροσθεν εἰρημένης ῥήσεως, ἧς ἡ ἀρχὴ, πεπασμοὶ, ταχύτητα κρίσιος, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὅτι δ' οὐδ' ἐν ἁπάσαις ταῖς ἡμέραις, ἔν τε τῷ προγνωστικῷ δῆλον, καὶ κατὰ τουτὶ τὸ βιβλίον τῶν ἀφορισμῶν, ἔτι δὲ κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν. ἠθροίσθη δ' ὑφ' ἡμῶν ἅπαντα ταῦτα, μετὰ τῆς προσηκούσης ἐξηγήσεως. ὅσα μὲν εἴρηται περὶ τῶν κρισίμων ἡμερῶν, κατὰ τὴν περὶ κρισίμων ἡμερῶν πραγματείαν, ὅσα δὲ περὶ τῶν τῆς πέψεως σημείων, ἐν τῇ περὶ τῶν κρίσεων. εἴρηται δ' ἐν αὐταῖς, καὶ περὶ τῆς κατὰ τὴν ἕκτην ἡμέραν κρίσεως, ἧς καὶ νῦν μνημονεύων,

GALENI COMMENTARIVS.

Qvicunque febribus, præcipuéque ardentibus rigores superueniunt, bonam quidem ac perfectam crisim decernere consueuerunt, quum die iudicatorio, & cum signis coctionis acciderint; non bonam autem ne-
E que perfectam, quum vel diei vel coctionis signa imperfecta fuerint. Quod igitur concocta esse oporteat quæ judicari debeant, docuit primo epidemiorum eâ sententiâ quàm paulò antea protulimus, cuius est initium, *Coctiones crisis celeritatem, salutisque securitatem significant.* Quod autem neque in omnes dies crisis incidat, tum in prognostico, tum hoc in ipso aphorismorum libro declarauit, & præterea in primo Epidemiorum. Hæc autem omnia cum decenti explicatione à nobis collecta
F sunt quæcunque de diebus judicatoriis ab eo in tractatu de diebus iudicatoriis scripta sunt; quæcunque verò de signis coctionis, in altero de crisibus. De iis autem, & de crisi quæ sexto die oboritur, narratum est, cuius etiam nunc memor ait: *Qui hoc die fiunt rigores,*

eos dyscritos *judicatu esse difficiles*, hoc est, vel malam crisim adferunt ac si cacocritos dixisset, vel incertam; itaut facile *febres* reuertantur, vel in longum tempus protrahantur ac si solutu difficiles dixisset; atque interdum cum grauibus symptomatis sexto die fit crisis: de quibus omnibus in commemoratis tractationibus à me conscriptum est. Hæc verò ita fieri ipsa etiam experientia testatur. Eorum autem causas in præsentia longum foret exponere. De diebus enim iudicantibus, tertio de crisibus libro diximus: de rigore autem seorsim proprio hoc libro.

A ἔφη, τὰ κατ' αὐτὴν ῥίγη δυσκριτά γίνεσθαι, τουτέστιν, ἤτοι κακὴν ἐπιφέροντα κρίσιν, ὡσεὶ καὶ κακόκριτα ἐλέλεκτο, ἢ οὐ βεβαίαν. ἀλλ' ὡς τε ῥᾳδίως ὑποστρέφειν ὑποπιάζειν, ἢ εἰς μακρὸν ἐμπίπτοντα χρόνον, ὡσεὶ καὶ δύσλυτα ἐλέλεκτο. καὶ μετὰ συμπτωμάτων δ' ἔστιν ὅτε χαλεπῶν, εἰ ἐκταία γίνεται ἡ κρίσις, ὑπὲρ ὧν ἁπάντων γέγραπταί μοι τελέως, ἐν ταῖς προγματείαις προειρημέναις. ταῦτα μὲν οὖν οὕτως γίγνεσθαι, καὶ πρὸς τῆς ἐμπειρίας μεμαρτύρηται. τὰς δὲ αἰτίας αὐτῶν, μακρὸν ἂν εἴη νῦν B διεξέρχεσθαι. περὶ μὲν γὰρ τῶν κρινουσῶν ἡμερῶν, ἐν τῷ τρίτῳ τῶν περὶ κρίσεων εἴρηται. περὶ δὲ τοῦ ῥίγους, ἰδίᾳ κατ' αὐτό.

Accessiones febrium iisdem horis repetentes, iudicatu ac solutu esse difficiles.

Τοὺς τῶν πυρετῶν παροξυσμοὺς κατὰ τὰς αὐτὰς ὥρας ἐπαμερχομένους τὰ δύσκριτα, καὶ δύσλυτα.

APHORISMVS XXX.

C

ΑΦΟΡΙΣΜΟΣ λʹ.

QVibus accessiones fiunt quantacúnque horâ febris dimiserit, si postero die eâdem quâ antea hora prehenderit, difficilis sunt iudicationis.

Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἢ ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, εἰς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

GALENI COMMENTARIVS.

SVpponamus primo die nonnullum febricitare cœpisse horâ tertia, & aliâ quauis hora desiisse, deinde secundo die eâdem hora tertia cœpisse; rursúmque cessasse quacunque hora febrem. Item tertio rursum die, tertia hora cœpisse; mox rursus quauis hora desiisse cœpisse iterum quarto die, eâdem hora tertia; atque ita deinceps seruari semper horam tertiam, in qua accessio suum sumit exordium; alias autem *horas* non seruari, in quibus desinit. Qui tali morbo laboret, eum diuturniori illis tempore ægrotare necesse est, qui inordinatam principij accessionis horam sortiuntur. Hoc sanè nos experientia comprobatum *ab Hippocrate* pronunciatum esse arbitramur. Sunt autem qui quod ab ipso pronunciatur, id esse velint ejusmodi. Si quæ primo die ægrotum accessio inuaserit horâ, exempli gratiâ, tertiâ, & (si ita sors tulit) horâ duodecima desierit, eadem secundo rursum die hora duodecima incipiat, morbum aiunt ipsi *iudicatu* fore *difficilem*: quum *interim* nullam *sui dicti* rationem adferre, nullam attestante experientia probationem monstrare possint: jam verò illud, *iudicatu difficilis*, alio significatu intelligere non possumus, quàm pro *solutu difficilis*; quasi Hippocrates diceret; siue quotidie, siue tertio, quartóue quoque die accessio eadem horâ repetat morbum hunc fore solutu difficilem, siue multas siue paucas horas duret accessio. Hoc igitur, vt dixi, experientia comprobatur. Eius verò causam talem esse arbitrandum est. Quum accessionum causa mini-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΥΠοθώμεθά τινα κατὰ τὴν πρώτην ἡμέραν ἀρξάμενον ὥραν τὴν τρίτην, πεπαῦσθαι δὲ καθ' ἡντιναοῦν ὥραν ἑτέραν, εἶθ' ὑπάρξασθαι πάλιν ἐν τῇ δευτέρᾳ D τῶν ἡμερῶν κατὰ τὴν αὐτὴν ὥραν τὴν τρίτην, εἶτα παυσάμενον αὖθις, ὅτε δή ποτε, τῇ τρίτῃ τῶν ἡμερῶν, πάλιν ἄρξασθαι κατὰ τὴν τρίτην ὥραν. εἶτ' αὖθις, ὡς ἔτυχε, παυσάμενον, ἄρξασθαι τῇ τετάρτῃ τῶν ἡμερῶν, κατὰ τὴν τρίτην ὥραν, καὶ οὕτως ἀεὶ κατὰ τὸ ἑξῆς φυλάττεσθαι μὲν αὐτῷ τὴν τρίτην ὥραν, ἐν ᾗ τὴν ἀρχὴν ὁ παροξυσμὸς λαμβάνει, μὴ φυλάττεσθαι δὲ τὰς ἄλλας, ἐν αἷς παύεται. τὸν οὖν οὕτω νοσοῦντα μακρότερον ἀνάγκη νοσῆσαι χρόνον, τῶν ἄτακτον ἐχόντων τὴν ὥραν τῆς ἀρχῆς τοῦ παροξυσμοῦ. τοῦτο μὲν οὖν ἡμεῖς ὑπὸ τῆς πείρας μαρτυρούμενον εἰρῆσθαι φαμέν. εἰσὶ δ' οἱ τοιοῦτό τι φασὶν εἶναι τὸ E λεγόμενον. εἰ τῇ πρώτῃ τῶν ἡμερῶν παροξυνθεὶς ὁ κάμνων, ὥρᾳ, φέρε εἰπεῖν, τρίτῃ, παυσάμενός τε δωδεκάτην ὥραν, εἰ τύχοι, πάλιν ἄρξαιτο τῇ δευτέρᾳ τῶν ἡμερῶν, κατὰ τὴν δωδεκάτην ὥραν, δύσκριτον ἔσεσθαί φασιν αὐτῷ τὸ νόσημα, μήτε λογισμόν τινα προστιθέντες, ἀλλὰ μηδ' ἀπὸ τῆς πείρας μαρτυρούμενον ὑποδεῖξαι δυνάμενοι τὸν ἑαυτῶν λόγον. οὐ μὴν οὐδὲ τὸ δύσκριτον, οἷόν τ' ἐστὶν ἐπινοῆσαι κατ' ἄλλο τι σημαινόμενον εἰρῆσθαι, παρὰ τὸ δύσλυτον, ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον, F ἐάν τε καθ' ἑκάστην ἡμέραν, ἐάν τε διὰ τετάρτης, ὁ κάμνων παροξύνηται κατὰ τὴν αὐτὴν ὥραν, δύσλυτον ἔσται τοῦτο νόσημα, κἂν πολλαῖς, κἂν ὀλίγαις ὁ παροξυσμὸς ὥραις γένηται. τοῦτο μὲν οὖν, ὡς ἔφην, ὑπὸ τῆς ἐμπειρίας μαρτυρεῖται. τὴν δ' αἰτίαν αὐτοῦ νομιστέον εἶναι τοιαύ-

A

τὴν, ὅταν μὲν ἀστήρικτον ᾖ τὸ τὴν παρέγχυσιν αἴτιον, οὐ φυλάττει τήν τ' αὐτὴν περίοδόν τε, καὶ προθεσμίαν, ὅταν δὲ ἐστηριγμένον, φυλάττει, καὶ διὰ τοῦτο δύσλυτον μέν ἐστι τὸ ἐστηριγμένον, εὔλυτον δὲ τὸ μὴ τοιοῦτον. μοχλείας γὰρ ὡς ἂν εἴποι τις, ἰσχυρᾶς δεῖ τοῖς ἐστηριγμένοις, ἥτις ἐν χρόνῳ πλείονι, καὶ διὰ βοηθημάτων ἰσχυροτέρων τε, καὶ πλειόνων γίγνεται.

me stabilita fuerit, eandem periodum & statam horam non seruat; quum verò stabilis extiterit, eandem seruat; atque idcirco quæ causa firmata constat, eadem solutu difficilis; quæ verò talis non est, solutu facilis existit. Nam quæ firmata & impacta sunt robusto quodam, vt vulgus loquitur, vecte opus habent vt dimoueantur, qui & longo tempore, & per fortiora, ac plura auxilia comparatur.

B

Τὸν πόνον ἐν τοῖς πυρετοῖς τὸ τῆς ἀποστάσιος ἐς ἄρθρα, καὶ παρὰ τὰς γνάθους γινομένης σημεῖον εἶναι.

Lassitudinem in febribus, abscessûs in articulis aut maxillis oborientis esse signum.

ΑΦΟΡΙΣΜΟΣ λα'.

ΤΟῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους μάλιστα, αἱ ἀποστάσιες γίνονται.

APHORISMVS XXXI.

Lassitudine per febres laborantibus, ad articulos, ac maxime circa maxillas abscessus oriuntur.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΡρέθη ἤδη καὶ πρόσθεν, ὡς τῶν κόπων ἔνιοι μὲν ἐπὶ κινήσεσι γίγνονται πολλαῖς, οἵπερ ἁπλῶς τε, καὶ κυρίως ὀνομάζονται κόποι. τινὲς δὲ, οὔτε σφοδρὰς κινήσεις κινηθέντες, εἰώθασι γίγνεσθαι κοπώδεις. τοὺς τοιούτους οὖν κόπους, οὐχ ἁπλῶς κόπους, ἀλλὰ μετὰ προσθήκης ὀνομάζουσι κόπους αὐτομάτους. ἀμφοτέρων δὲ αὐτῶν κοινὸς ὁ πεπονθὼς ὑπάρχει τόπος. ἔστι δὲ οὗτος, ἅπαν τὸ μυῶδες

D

ἐν τῷ σώματι γένος· ὅσοι δὲ ἐπὶ κινήσεσι πλείοσι γίγνονται κόποι, πρόσεστιν αὐτοῖς ἴδιον ἐξαίρετον, ἡ ἐν τοῖς ἄρθροις θερμότης, ὥστ' ἐπὶ τούτων μὲν οὐδὲν θαυμαστὸν εἰς τὰ ἄρθρα γίγνεσθαι τὰς ἀποστάσεις, ὡς καὶ πεπονηκότα τοῖς μυσὶν, ὁμοίως καὶ τεθερμασμένα περαιτέρω τοῦ προσήκοντος. τοῖς δὲ αὐτομάτοις κόποις, ἑνὶ μόνῳ λόγῳ, τὰ ῥεύματα κατασκήπτειν εἰς ἄρθρα συμβέβηκεν, ὡς καὶ τοῖς ἄλλοις σχεδὸν ἅπασι νοσήμασιν, ὅσα δι' ἀποστάσεως κρίνεται, τῆς εὐρυχωρίας αὐτῶν ἐπιτηδείως ἐχούσης ὑποδέξασθαι τὰ περιττά. σπανιώτερα μὲν οὖν ἐπ' ἐκείνων εἰσὶν αἱ

E

ἀποστάσεις, ἐπὶ δὲ τῶν κοπωδῶν, πλείους, καὶ μάλισθ' ὅταν αὐτόματος ὁ κόπος ᾖ, καὶ τούτων αὐτῶν μάλιστ', ὅσοι διὰ πλῆθος. ἔσται τοιγαροῦν, καὶ κατὰ τὸν ἀφορισμὸν τοῦ λόγου τὸ κεφάλαιον τοιοῦτον. τοῖς κοπώδεσιν ὁποσοῦν ἐν πυρετοῖς γενομένοις, ἐς ἄρθρα, καὶ μάλιστα περὶ τὰς γνάθους αἱ ἀποστάσιες γίνονται. συμβαίνει δὲ τοῦτο, διὰ τὴν ἐν τοῖς πυρετοῖς θερμασίαν, ἐπὶ κεφαλὴν ἀναφερομένου τοῦ πλήθους, εἶτ' ἐντεῦθεν, τῶν περὶ τὰς γνάθους ἀδένων ὑποδεχομένων αὐτὸ, καθάπερ ὅταν εἰς βουβῶνας, ἢ

F

μασχάλας ἀφίκηταί τι τῶν ἐν ἐκείνοις τοῖς μέρεσιν.

GALENI COMMENTARIVS.

NOnnullas lassitudines ob multos motus fieri jam suprà sæpius dictum est, quæ simpliciter ac propriè lassitudines nominantur. Quidam verò neque multis iactati motionibus lassitudines pati consueuerunt. Tales itaque lassitudines, non simpliciter lassitudines, sed cum adjectione spontaneas lassitudines appellarunt. Vtrique autem ipsarum communis est locus affectus: hic verò totum est musculorum in corpore genus. At quæ ex pluribus motionibus lassitudines oboriuntur, ipsis inest proprius ac peculiaris articulorum calor. Quare per has in articulos abscessus mirum non est, vt qui vna cum musculis laborauerint, atque præter modum incaluerint. Spontaneis autem lassitudinibus quemadmodum & aliis omnibus ferè morbis qui abscessu judicantur, vt fluxiones decumbant in articulos, vna fit ratione sola quòd spatia superuacaneis recipiendis idonea faciliáque sortiantur. Rariores igitur cæteris in morbis sunt abscessus; lassitudine verò affectis plures, ac potissimum quum spontanea fuerit lassitudo, & his ipsis præsertim à plenitudine profectis. Erit igitur orationis aphorismi summa eiusmodi. *Lassatis quomodocunque per febres factis ad articulos, præcipuè verò circa maxillas abscessus oboriuntur.* Hoc autem propter febrium calorem accidit quo sursum ad caput fertur humorum copia, quam inde postea defluentem circa maxillas excipiunt glandulæ; quomodo fit, quum in inguina aut genas à superioribus partibus aliquid appulerit.

Conualescentium

A

Conualescentium partem laborantem orientis abscessus signum esse.

APHORISMVS XXXII.

QVibus ex morbis conualescentibus, si qua pars laborauerit; illic abscessus oriuntur.

B

GALENI COMMENTARIVS.

SI labor & vehementem motum, & dolorem, & læsionem significet, quemadmodum supra demonstratum est, constat sanè laborare quoque verbum tum in vehementiori motu esse, tum dolorem aliquem, aut læsionem habere significare. Quamobrem in quibusdam etiam ex morbo conualescentibus apparet, quum humores morbum efficientes non satis purgati fuerint, sed quædam superuacanea reliquerint, quum vel laborantem vel dolentem partem aliquam habeant, illuc abscessus decumbere, labore quidem causæ, dolore verò signi rationem obtinente. Nam per vehementiores motus tum vires imbecilliores fiunt, tum calor major accenditur: dolor autem fluxione jam decumbente perficitur. Hic igitur, vt diximus, oborientis abscessus signum est. Imbecillitas verò & calor ad partem affectam excrementa prouehit. Vtroque igitur (vt demonstrauimus) modo accipere possumus verbum laborare. Vniuersæ tamen eorum sententiæ, quæ nunc ab Hippocrate pronunciatur, alterum magis congruit significatuum. Siquidem priùs de lassariis aut cum lassitudine febribus loquutus est, rursumque deinceps inquit; sed *si pars priùs laborauerit.* Videtur enim præcedens aphorismus, cuius initium, *lassitudine per febres laborantibus*, de iis quæ in morbis fiunt lassitudinibus explicari; Nunc verò propositus, de iis quæ conualescentibus accidunt; sequens denique de illis quæ morbum antecedunt.

Τὸ τῶν ἀνισταμένων μέρεος πονοῦν τῆς γινομένης ἀποστάσεως σημεῖον ἐστί.

ΑΦΟΡΙΣΜΟΣ λβ'.

ΟΚόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων, ἤν τι πονέσῃ, ἐνταῦθα αἱ ἀποστάσιες γίνονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙπερ ὁ πόνος τήν τε σφοδρὰν κίνησιν σημαίνει, καὶ τὴν ὀδύνην, καὶ τὴν βλάβην, ὡς ἔμπροσθεν ἐδείχθη, πρόδηλον δήπου, ὅτι καὶ πονεῖν, τὸ ἐν πλείονι κινήσει γενέσθαι δηλώσει, καὶ τὸ ἔχειν τινὰ ὀδύνην, ἢ βλάβην. C ἀτὰρ οὖν καὶ φαίνεται τισὶ τῶν ἀνακομιζομένων ἐκ νόσου, μὴ πάνυ καλῶς κεκαθαρμένων, τῶν ἐργασαμένων τὴν νόσον χυμῶν, ἀλλά τινα περιττὰ καταλελοιπότων, ὅταν ἤτοι κάμνωσιν, ἢ ὀδυνηθῶσι τι μόριον, ἐκεῖσε κατασκήπτειν ἀποστήματα. τοῦ μὲν καμάτου λόγον αἰτίας ἔχοντος, τῆς δὲ ὀδύνης σημείου. κατὰ μὲν γὰρ τὰς σφοδροτέρας κινήσεις, ἥ τε δύναμις ἀρρωστοτέρα γίνεται, καὶ θερμασία πλείων ἀνάπτεται. τὸ δὲ ὀδυνᾶσθαι, τοῦ ῥεύματος ἤδη κατασκήπτοντος ἀποτελεῖται. τοῦτο μὲν οὖν, ὡς ἔφην, γιγνομένης ἀποστάσεώς ἐστι D σημεῖον. ἡ ἀρρωστία δὲ, καὶ ἡ θερμασία, προσάγει τοὺς περιττοὺς ἐπὶ τὸ πεπονθός. ἑκατέρως μὲν οὖν, ὡς ἐπιδέδεικται, δυνατὸν ἀκούειν τοῦ πονῆσαι. τῷ μέντοι λόγῳ παντὶ τῷ νῦν ὑφ' Ἱπποκράτους περαινομένῳ, τὸ ἕτερον τῶν σημαινομένων, οἰκειότερόν ἐστιν· εἴ γε δὴ προειρήκει μὲν ὑπὲρ τῶν κοπωδῶν πυρετῶν. ἐφεξῆς δὲ, πάλιν, φησίν, ἀτὰρ καὶ ἤν προπεπονηκός τι ᾖ. φαίνεται γὰρ, ὁ μὲν πρῶτος ἀφορισμὸς, οὗ ἡ ἀρχὴ, ἐν τοῖσι κοπώδεσι, περὶ τῶν ἐν ταῖς νόσοις κόπων διαλεγόμενος. ὁ δὲ νῦν προκείμενος, ὑπὲρ τῶν ἐν ταῖς ἀναλήψεσιν. ὁ δὲ ἑξῆς, ὑπὲρ τῶν προηγησαμένων τῆς νόσου. E

A

Τὸ μόριον προπεπονηκὸς νόσου, τὴν ἕδραν τῆς νόσου προσημαίνειν.

Partem ante morbum laborantem, morbi sedem portendere.

ΑΦΟΡΙΣΜΟΣ λγ'.

Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσεῖν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

B

APHORISMVS XXXIII.

Sed & si qua pars ante morbum laborauerit, illic morbus insidet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴ τε συνάπτειν τις ἐθέλει τοῖς προειρημένοις δύο λόγοις, καὶ τοῦτον νῦν εἰρημένον, εἰς ἑνὸς ἀφορισμοῦ συμπλήρωσιν, εἴ θ' ἕκαστον ἰδίᾳ περιγράφειν, οὐ διοίσει. δέδεικται γὰρ ἥ τε κοινότης αὐτῶν, καὶ ἡ καθ' ἕκαστον ἰδιότης, ἐν τῷ προειρημένῳ λόγῳ. ῥηθήσεται δὲ καὶ νῦν ἔτι διὰ βραχέων. ὅταν ἐν νοσήματι κοπώδης αἴσθησις ᾖ, τῷ κάμνοντι προσδέχεσθαι χρὴ γενήσεσθαί τινα ἀποστάσιν εἰς ἄρθρα, καὶ μάλιστα περὶ τὰς γνάθους. ὁμοίως δὲ, καὶ ἐὰν ἀνακομιζόμενος ἐκ νόσου, κάμῃ τινὶ μορίῳ τοῦ σώματος, ἢ πρὶν ἢ νοσεῖν. εἴωθε γὰρ κατὰ πολὺ, κατασκήπτειν εἰς τὰ τυχόντα, κατ' ἐκείνας δηλονότι τὰς νόσους, ἐφ' ὧν ἐλπίς ἐστιν ἀποστάσιν γενέσθαι, καὶ μὴ προκεκρίσθαι τὸ νόσημα δι' ἐκκρίσεως. εἴρηται μὲν οὖν τινα κἀν τοῖς πρόσθεν, ὑπὲρ τῆς τῶν τοιούτων νοσημάτων διαγνώσεως. ὁ δὲ σύμπας λόγος, ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι διήρηται.

(margin: πρὶν ἢ)

C

GALENI COMMENTARIVS.

Siue quis velit duobus superioribus aphorismis præsentem, ad vnius aphorismi complementum connectere, siue seorsum vnumquemque scribere, nihil retulerit. Nam & eorum communitas, & singulorum proprietas in prædicto textu demonstrata est: Nunc quoque paucis à nobis etiamnum explicabitur. Quum in morbo lassitudinis sensus fuerit, ægrotanti abscessus aliquis in articulos ac præsertim circa maxillas expectandus. Similí modo si quis ex morbo conualescens, aut priusquam ægrotaret, parte aliqua corporis laborauerit, ipsi abscessus metuendus. Nam plerunque in tales partes humorum decubitus fieri consueuit, iis videlicet morbis, in quibus spes est futuri abscessus, neque morbus per excretionem priùs iudicandus est. De eiusmodi verò morborum dignotione, in superioribus nonnulla diximus; sed vniuersa de iis explanatio in commentariis de crisibus declarata est.

D

Περὶ τῆς ἐξαίφνης πνιγὸς θανασίμου. τί ἡ πνὶξ καὶ τίνες αἱ ταύτης αἰτίαι. περὶ τριπλασίου οἰδήματος. τί οἴδημα ὀνομάζεται. καὶ ἐν ᾧ μορίῳ ἡ πνὶξ γίνηται.

De repentina lethali suffocatione. Quid suffocatio, ejúsque causæ. De triplici tumore. Quid tumor nominetur; quâ in parte fiat suffocatio.

E

ΑΦΟΡΙΣΜΟΣ λδ'.

Ἢν, ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγίγνηται, θανάσιμον.

APHORISMVS XXXIV.

Si febre detento, tumore multo in faucibus existente, suffocatio derepente superuenerit, mortiferum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Ἔνεστι μὲν καὶ ἁπλῶς ἀκοῦσαι τῆς ἀρχῆς τοῦ ἀφορισμοῦ, καθ' ἥν φησιν, ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, ὡς εἰ καὶ οὕτως ἔτυχεν εἰπὼν, ἢν πυρέσσοντι ἀνθρώπῳ, οἰδήματος μὴ ἐόντος. ἔνεστι δὲ καὶ σὺν ἐνδείξει

GALENI COMMENTARIVS.

Nobis inest & huius aphorismi initium simpliciter intelligere, in quo ait: *Si febre detento*, ac si dixisset; *si homini febricitanti nullo existente in faucibus tumore.* Licet & cum majore quadam emphasi

febris inest, ita eloquens. Contingit itaque & absque magna febre, strangulatione derepente superueniente, hominem interire. Sed ineuitabilior & ita celerior mors est vt ne inopinatè quidem vllus vnquam saluus euaserit, quum vehemens febris ægrotantem detinet. Indiget enim eiusmodi febris (vt in libris de dispnœa demonstrauimus) copiosa inspiratione. Fit verò non modo copiosa, sed etiam prorsus exigua, quibus suffocationis periculum imminet. Enimuero nihil aliud quicquam est suffocatio, nisi repentinus ob inspirationis penuriam obortus interitus, quæ propter alicujus spirabilium instrumentorum angustiam efficitur: Talis enim angustia seorsum est eo in genere quod apnœa *spiritus vacuitas*, nominatur. Strangulatio verò omnino ob angustiam oritur. Angustia autem fit, vel repletâ regione, quæ inter thoracem atque pulmonem media est, aut pulmonis fistulis, vel aliquâ inflammatione tum viscus obsidente, vel asperam arteriam, vel eam partem quæ veluti caput est eius, quam laryngem *& guttur* nominant. Atque in eâ capacitate gutturi præjacente, quam pharyngem & fauces appellant, suffocatio quandoque fieri consueuit. Sic enim & Homerus quod spatium laxius gulæ & laryngi præjacet, fauces nominauit

——— Vinúmque eructat faucibus imis
Humanósque artus.

Videtur autem & nunc Hippocrates eandem particulam eodem modo quo Homerus vocasse. Dicit igitur tumore nullo in faucibus existente, tanquam sit facultas ore ampliùs adaperto partem ipsam accuratius inspiciendi, quod gutturi non datur. Vniuersa igitur oratio erit hujusmodi. *Si febre detento suffocatio repente superuenerit citra faucium tumorem, lethale est.* Etenim prisci & œdema & tumorem idem appellabant. Scimus autem triplicem esse quamdam tumorum differentiam. Aut enim hi cum dolore sunt, quos inflammationes juniores nominant; aut absque dolore ac duri, quos scirrhos vocitant, aut citra dolorem & molles, quos iidem veteres œdemata propriè appellant, proptereáque ab antiquo vsu tantopere recesserunt, vt nondum omnia præter naturam incrementa sub œdematis vocabulo complectantur. Quum igitur sine tumore fauces apparuerint, suffocatio verò derepente superuenerit, solius gutturis est huiusmodi affectus. Suffocantur sanè (vt dixi) etiam propter morbos alios paulò ante commemoratos. Sed repentina suffocatio, soli inest gutturi: Nam peripneumonia derepente non suffocat ægrotos homines, verùm paulatim ab initio incrementum capescens ad proprium vsque vigorem in quo id symptoma adducit. Si quod etiam tuberculum & abscessus in pulmone procreetur, hic quoque morbus diuturnus est, quemadmodum etiam spatium inter pulmonem & thoracem pure repletum hominem sæpe suffocat, rupto viso, quod & ipsum multo tempore compa-

A τινὶ πλείονι, καθάπερ εἴωθεν καὶ ἐν τοῖς τῶν ἐπιδημιῶν γραφῇ, οὐ τὸν ἁπλῶς ὁποσοῦν πυρέττοντα δηλῶν, ὅταν εἴπῃ πυρετὸς εἶχεν αὐτὸν, ἀλλ' ὅτε μέγας ἐστὶν ὁ πυρετὸς, οὕτως ἑρμηνεύων. ἐγχωρεῖ μὲν οὖν, καὶ χωρὶς μεγάλου πυρετοῦ, πνίξεως ἐξαίφνης ἐπιγινομένης, ἀπολέσθαι τὸν ἄνθρωπον. ἀφυκτότερος δὲ καὶ θᾶττων ὁ θάνατος, ὡς μηδ' ἐκ παραδόξου ποτὲ σωθῆναι, σφοδροῦ κατέχοντος τὸν κάμνοντα πυρετοῦ. δεῖται γὰρ ὁ τοιοῦτος πυρετὸς, ὡς ἐν τοῖς περὶ δυσπνοίας δέδεικται λόγοις εἰσπνοῆς δαψιλοῦς. γίνεται δ' οὐχ ὅπως δαψιλὴς, B ἀλλὰ καὶ παντάπασιν ὀλίγη, τοῖς πνιγομένοις. οὐ γὰρ δὴ οὐδ' ἄλλο τί ἐστιν ἡ πνὶξ παρὰ τὴν γινομένην ἀπώλειαν ἐξαιφνίδιον ἐξ ἐνδείας ἀναπνοῆς, διὰ στενοχωρίαν τῶν ἀναπνευστικῶν τινος ὀργάνων ἀποτελουμένης· ἡ γάρ τοιαύτη στενοχωρία, ἐν αὐτῷ χωρὶς τῆς τῆς ἀναπνοῆς ἐστι, γινομένης καὶ ταύτης, ἤτοι διὰ τὴν ἀρρωστίαν τῆς κινούσης τὸν θώρακα δυνάμεως, ἢ διὰ ψύξιν ἰσχυρὰν τῆς ζωτικῆς ἀρχῆς. ἀλλ' ἥ γε πνὶξ, ἐπὶ στενοχωρίᾳ μὲν γίνεται πάντως. C ἡ στενοχωρία δὲ, ἤτοι πεπληρωμένης τῆς μεταξὺ τοῦ θώρακός τε, τῆς πνεύμονος χώρας, ἢ τῶν σηράγγων τοῦ πνεύμονος, ἢ τινος φλεγμονῆς περὶ τὸ σπλάγχνον ὅλον οὔσης, ἢ κατὰ τὴν τραχεῖαν ἀρτηρίαν, ἢ τὴν οἷον κεφαλὴν αὐτῆς, ἣν ὀνομάζουσι λάρυγγα. καί ποτε κατὰ τὴν προκειμένην εὐρυχωρίαν ταύτης, ἧς τοὔνομα φάρυγξ ἐστί, πνίγεσθαι πέφυκεν. οὕτως οὖν καὶ Ὅμηρος ἔφη,

——— φάρυγος δ' ἐξέσσυτο οἶνος,
——— ψωμοί τ' ἀνδρόμεοι.

D Τὴν προκειμένην εὐρυχωρίαν στομάχου, καὶ λάρυγγος, ὀνομάζων φάρυγγα. φαίνεται δὲ καὶ νῦν ὁ Ἱπποκράτης, ταὐτὸ τοῦτο τὸ μόριον ὡσαύτως Ὁμήρῳ καλέσας, φησὶ γοῦν. οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι. ὡς δυνατὸν ἐπὶ πλέον ἀνοιχθέντος τοῦ στόματος, ἀκριβῶς θεάσασθαι τὸ μόριον, ὅπερ οὐχ ὑπάρχει τῷ λάρυγγι. γενήσεται γοῦν ὁ σύμπας λόγος τοιοῦτος. ἐὰν ὑπὸ πυρετοῦ ἐχομένῳ, πνὶξ ἐξαίφνης ἐπιγένηται χωρὶς ὄγκου, τοῦ κατὰ τὴν φάρυγγα, θανατῶδές ἐστιν. ὡσαύτως ὠνόμαζον οἱ παλαιοὶ τὸ, οἴδημα, καὶ τὸν ὄγκον. ἴσμεν δ' ὅτι τριττή τίς ἐστιν ἡ διαφορὰ τῶν ὄγκων. ἤτοι γὰρ μετ' ὀδύνης E εἰσὶ, καὶ καλοῦσιν αὐτοὺς οἱ νεώτεροι φλεγμονάς· ἢ χωρὶς ὀδύνης καὶ σκληροὶ, καλοῦσι δὲ καὶ τούτους σκίρρους, ἢ χωρὶς ὀδύνης, καὶ μαλακοί. προσαγορεύουσι δὲ καὶ τούτους ἰδίως οἰδήματα, καὶ δι' αὐτό γε τοῦτο τῆς παλαιᾶς χρήσεως ἀπέστησαν, ὡς μηκέτι τὰς παρὰ φύσιν αὐξήσεις ἁπάσας, οἰδήματα προσαγορεύειν. ὅταν οὖν ἡ φάρυγξ φαίνηται χωρὶς ὄγκου, πνὶξ δὲ ἐξαίφνης ἐπιγένηται, τοῦ λάρυγγός ἐστι μόνου τὸ τοιοῦτον πάθημα. πνίγονται μὲν γὰρ, ὡς ἔφην, καὶ δι' ἄλλα νοσήματα, τὰ μικρῷ πρόσθεν εἰρημένα. τὸ δ' ἐξαίφνης ὑπάρχει μόνῳ τῷ λάρυγγι· περιπνευμονία γὰρ οὐκ ἐξαίφνης πνίγει τοὺς κάμνοντας ἀνθρώπους, F ἀλλὰ κατὰ βραχὺ τὴν αὔξησιν ἀπὸ τῆς ἀρχῆς λαβοῦσα, μέχρι τῆς ἰδίας ἀκμῆς, ἐν ᾗ τοῦτ' ἐπάγει τὸ σύμπτωμα. καὶ εἴ τι φῦμα, καὶ ἀπόστημα κατὰ πνεύμονα γίνεται, χρόνιον καὶ τοῦτ' ἐστι, καθάπερ γε καὶ ἡ μεταξὺ πνεύμονός τε, καὶ θώρακος χώρα πληρουμένη πύου, πολλάκις ἀποπνίγει τὸν ἄνθρωπον, ἀποστήματος εἰς αὐτὴν

ῥαγέντος, ἐν χρόνῳ πολλῷ δηλονότι καὶ τούτου συστάντος. γε μὴν ἡ τῆς τραχείας ἀρτηρίας φλεγμονὴ, δύσπνοιαν μέν τινα δύναται ποιῆσαι· πνῖγα δ' οὐ δύναται, διά τε τὸ μέγεθος τῆς κατ' αὐτὴν εὐρυχωρίας, καὶ τὴν λεπτότητα τοῦ χιτῶνος. ἀδύνατον γάρ ἐστιν οὕτω λεπτοῦ σώματος φλεγμονὴν εὐρυχωρίαν ἀξιόλογον πληρῶσαι· λοιπὸν οὖν ὁ λάρυγξ ἐστὶν, ὁ τὴν αἰφνίδιον πνῖγα δυνάμενος ποιῆσαι, ἐπειδὴ στενοῦταί τε κατὰ τοῦτον, ὁ τοῦ πνεύμονος πόρος. οἵ τ' ἔνδον αὐτοῦ μύες, ἅμα τῷ περιέχοντι χιτῶνι φλεγμήναντες, ἀποκλεῖσαι δύνανται τὴν ὁδὸν τοῦ πνεύματος. ὀνομάζουσι δ' ἔνιοι τῶν ἰατρῶν, τὴν τοιαύτην διάθεσιν, οὐ διὰ τοῦ σ συνάγχην, ἀλλὰ διὰ τοῦ κ κυνάγχην, οἷς ἀρέσκει τὴν τῆς φάρυγγος φλεγμονὴν, διὰ τοῦ σ συνάγχην. ἔνιοι δὲ καὶ παρασυνάγχην, καὶ παρακυνάγχην ὀνομάζουσι. παρασυνάγχην μὲν, ὅταν τῶν ἐπικειμένων τῇ φάρυγγι μυῶν, γένηται φλεγμονὴ, παρακυνάγχην δὲ, ὅταν ἔξωθεν τοῦ λάρυγγος. ἐκ γοῦν τῶν εἰρημένων εὔλογόν ἐστι, τὴν τοιαύτην διάθεσιν ὀδύνην τινὰ φέρειν κατὰ τὸν λάρυγγα· καὶ φαίνεταί γε σαφῶς μεμνημένος ὁ Ἱπποκράτης αὐτῆς, ἐν τῷ προρρητικῷ, κατὰ τήνδε, τὴν ῥῆσιν. φάρυγξ ἐπώδυνος, ἰσχνὴ, μετὰ δυσφορίης, πνιγώδης, ὀλέθριοι ὀξέως. ἀλλὰ νῦν γε τὸ ἐπώδυνον οὐκ εἶπεν, ὡς τοῖς προειρημένοις συνεπινοεῖσθαι δυνάμενον, ἢ ὡς καὶ χωρὶς ὀδύνης, ὑπολαμβάνων ποτὲ τὴν ἐν τῷ προειρημένῳ λόγῳ συνίστασθαι πνῖγα. εἴπερ ὅλως δύναται χωρὶς ὀδύνης γίνεσθαι πνὶξ, ἐπ' αἰτίαις ἔσται τοιαῖσδε. δυνατὸν μὲν καὶ πλήθους ὑγρότητος, καὶ μάλιστα φλεγματώδους διαβρέξαι, τὸν ἔνδοθεν τοῦ λάρυγγος χιτῶνα, γίνεσθαι τὸν ὄγκον ἀνώδυνον αὐτῷ. δυνατὸν δὲ, καὶ τῶν διοιγόντων αὐτὸν μυῶν παχυνθέντων στενώτερον ἀποτελεσθῆναι τὸν πόρον, ἐγχωρεῖ δὲ καὶ ἄμφω συνελθεῖν. οὐκ ἀδύνατον δὲ οὐδὲ δι' ὑπερβάλλουσαν ξηρότητα τῶν ἔνδον τοῦ λάρυγγος μυῶν ἐπὶ πλεῖον ταθέντων, στενωθῆναι τὸν πόρον. οἵτινες δ' εἰσὶν οὗτοι, καὶ ὅπως κλείουσι τὸν λάρυγγα τεινόμενοι, δέδεικται κατὰ τὴν περὶ φωνῆς πραγματείαν.

ſo, quod & ipſum multo tempore compa- A ctum fuit. Aſperæ verò arteriæ inflammatio difficultatem ſpirandi quidem aliquam efficere poteſt; ſuffocationem verò non poteſt, tum propter eius capacitatis magnitudinem, tum ob tunicæ tenuitatem. Impoſſibile ſiquidem eſt corporis adeo tenuis inflammationem, ſpatium effatu dignum replere. Reliquum igitur guttur eſt, quod ſubitam poſſit ſuffocationem efficere; quandoquidem ab ipſo coarctatur pulmonis meatus, & interiores ipſius muſculi vnà cum ambiente tunica inflammationem patientes, ſpiritus viam intercipere poſſunt. Nonnulli verò Medici talem B affectum non per S, ſynanchen, ſed per C, cynanchen nominant; quibus placet faucium inflammationem per S, *ſynanchen* anginam nominare. Nonnulli verò & paraſynanchem, & paracynanchen nominant. Paraſynanchen quando adjacentium faucibus muſculorum inflammatio fuerit; paracynanchen autem, quum extrauagantur. Ex prius igitur commemoratis rationi conſentaneum eſt talem affectum gutturi aliquem dolorem inferre cuius etiam Hippocrates manifeſtò meminiſſe videtur in Prorrhetico hiſce verbis. C *Fauces dolorem inferentes tenues cum jactatione ſuffocantes celeriter perniciem inuehunt.* Nunc verò dolorem inuehentes appellant, aut quod ex prædictis poſſet ſubintelligi; aut quod etiam citra dolorem putauerit memoratam præcedente oratione ſuffocationem aliquando oboriri poſſe. Quod ſi omnino eſſe poſſit ſine olore ſuffocatio ejuſmodi cauſas conſequetur. Fieri poteſt, humoris præſertim pituicoſi copia interiorem gutturis tunicam madefaciente, in eo tumorem doloris expertem excitari. Poteſt etiam aperientibus ipſum muſculis craſſioribus factis meatus anguſtior D reddi. Datur & vtrunque conjungi. Nec vt impoſſibile præ exuperante ſiccitate muſculis interius gutturis admodum tenſis meatum coarctari. At qui & quales ſint muſculi, & quo modo dum tenduntur guttur claudant, in tractatu de voce demonſtrauimus.

Τὴν ἐξαιφνίδιαν τοῦ τραχήλου διαστροφὴν τῷ πυρέττοντι γινομένην, θανάσιμον εἶναι σημεῖον. αἵτινες τούτου συμπτώματος αἰτίαι. ὅθεν αἱ τῶν σπονδύλων διαστροφαί· οἷς ἐστιν ἡ κύφωσις, καὶ λόρδωσις, καὶ σκολίωσις τῶν σπονδύλων διαστροφή.

Repentinam ceruicis intorſionem febricitanti E obortam mortiferum ſignum eſſe. Quæ huius ſymptomatis cauſæ. Vnde vertebrarum diſtortiones; quibus, gibba, caua, & obliqua diſtortio vertebratum ſpinæ.

ΑΦΟΡΙΣΜΟΣ λε'.

ΗΝ ὑπὸ πυρετοῦ ἐχομένῳ, ὁ τράχηλος ἐξαίφνης ἐπιστράφηται, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος, θανάσιμον.

APHORISMVS XXXV.

SI febre capto derepente ceruix intorqueatur, ac vox deglutire queat tumore non exiſtente, mortiferum. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥκέτι προσέθηκεν ἐνταῦθα τὸν τόπον ἐν ᾧ φησιν, οἰδήματος μὴ ἐόντος, ὥσπερ ἐν τῷ προ-

GALENI COMMENTARIVS.

NOn jam hîc locum adjecit in quo pronunciat, tumore non exiſtente, quemadmodum in præcedente aphoriſmo, quum

faucium his verbis meminit, *tumore nullo in faucibus existente.* Nos verò ex duobus alterum dicturi sumus, vel de communi subaudiendum esse in faucibus, vel certè in omnibus colli locis. Quum enim in horum nullo apparuerit, neque aperto ore in faucibus, neque extrinsecus tumor, hominem verò contigerit deglutire non posse symptomata, perniciosum est, quod ex inflammatione interdum musculorum qui gulæ præjacent, interdum gulæ ipsius oboritur.. Est enim istis partibus per neruos & ligamenta communio quædam & societas cum dorsali medulla & meningibus ipsam ambientibus, ac præterea extrinsecus adjacentibus vertebrarum ossibus. Quum itaque ad partes inflammatas ligamenta & nerui tenduntur, vertebras quoque vel intro, vel ad latus trahi necesse est. Nam si in altero neruorum ex ortu tensionem fieri contigerit, ad latus; si in vtroque, intro fiet vertebrarum distortio. Verùm pluribus de istis agemus, quum de articulis librum interpretabimur, vbi spinæ distortiones fieri tradit, crudis tuberculis intra ipsam constitutis. Illo itaque libro cyphoses etiam, hoc est, gibbos fieri pronunciauit, tensis intro vertebrarum partibus, non solùm lordoses, *hoc est, excauationes, & scolioses,* seu *obliquationes.* Secundo verò Epidemiorum libro, de proposita nunc in aphorismo angina mentionem faciens, inquit: *Erant autem ejusmodi anginâ laborantium affectus; ceruicis vertebræ intro vergebant, & foris manifesta erat in ceruice cauitas, in qua dum tangeretur, dolebat.* Quibus verbis vnicam vertebrarum peruersionem quæ intro fertur, significauit. Præsenti antem aphorismo generaliori vsus est oratione dicens: *Si collum intorqueatur.* Verbum enim, intorquiri omnem præter naturam rectitudinis vertebrarum euersionem declarat. Porrò Epidemiorum secundo adjecit orationi, *qua parte dum tangeretur, ægrotus dolebat.* At hîc nihil de dolore protulit; quanquam dolorem vnà cum ceruicis inflammatione adesse necessarium est, nihil hîc etiam præ siccitate exuperante tractionem partium factam, & tensionem, & peruersionem solùm demonstret, proptereáque dicat symptoma esse mortiferum, quum alterum ex inflammatione ortum, omnino lethale non sit. quale illud priùs erat, siccitatem ceruicis peruersio accidat, & deglutiendi difficultas erat conjuncta. Verùm si propter exuperantem siccitatem ceruicis peruersio accidat, & deglutiendi labor, lethale erit tale symptoma, & maximè quum febris vehemens extiterit; vt verba illa, *si febre captu*, in hunc etiam sensum exaudienda veniant. Sed ob hanc eandem febrem par est immoderatam membris siccitatem conciliari. Atque ita vehemens illa febris duplicem ad mortem rationem habitura est, tum quia vt signum ceruicis peruersionem illam & in deglutiendo difficultatem propter siccitatem accidisse indicabit, tum etiam quia & ipsa aliquid conferet, tanquam vna quædam ex causis ad mortem perducentibus.

A θεν ἀφορισμῷ τῆς φάρυγγος ἐμνημόνευσεν εἰπών, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι. ἀλλ' ἡμεῖς γε δυοῖν θάτερον ἐροῦμεν. ἤτοι ἀπὸ κοινοῦ δεῖν ἀκούειν ἐπὶ τῆς φάρυγγος, ἢ ὅλως ἐπὶ πάντων τῶν κατὰ τὸν τράχηλον χωρίων. ὁπόταν γὰρ ἐν μηδενὶ τούτων φαίνηται, μήτε διοιγομένου τοῦ στόματος ἐν τῇ φάρυγγι, μήτ' ἔξωθεν οἴδημα, συμβῇ δὲ τὸν ἄνθρωπον ἀδυνατεῖν καταπίνειν, ὀλέθριον σύμπτωμά ἐστι, γινόμενον ἐπὶ φλεγμονῇ, ποτὲ μὲν τῶν προβεβλημένων μυῶν τοῦ στομάχου, ποτὲ δὲ αὐτοῦ τοῦ στομάχου. κοινωνία γάρ τις ἐστὶ τούτοις τοῖς

B μορίοις, διὰ νεύρων, καὶ συνδέσμων, πρός τε τὸν νωτιαῖον μυελόν, καὶ τὰς ἀμφ' αὐτὸν μήνιγγας, ἔτι τε τὰ παρακείμενα τούτοις ἔξωθεν ὀστᾶ τῶν σπονδύλων. τεινομένων οὖν ἐπὶ τὰ φλεγμαίνοντα μόρια, τῶν τε συνδέσμων, καὶ τῶν νεύρων, ἕλκεσθαι τοῖς σπονδύλοις, ἤτοι γε εἰς τὸ ἐντός, ἢ εἰς τὰ πλάγια, ἀναγκαῖόν ἐστιν. εἰ μὲν, κατὰ τὴν ἑτέραν ἀπόφυσιν τῶν νεύρων, τὴν τάσιν συμβαίνῃ γίνεσθαι, πρὸς τὰ πλάγια· εἰ δὲ κατ' ἀμφοτέρας, εἰς τὸ ἐκτός. ἐπὶ πλέον δὲ περὶ τούτων ἐροῦμεν, ἐξηγούμενοι τὸ περὶ τῶν ἄρθρων βιβλίον, ἔνθα τὰς διαστροφὰς τῆς

C ῥάχεως γίγνεσθαί φησι, φυμάτων ἀπέπτων ἔνδον αὐτῆς συστάντων. ἐν ἐκείνῳ μὲν οὖν τῷ βιβλίῳ, καὶ τὰς κυφώσεις ἔφη γίνεσθαι, τεινομένων ἔσω τῶν τοῦ σπονδύλου μορίων, οὐ μόνον τὰς λορδώσεις τε, καὶ σκολιώσεις. ἐν μέντοι τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, καὶ νῦν προκειμένης κατὰ τὸν ἀφορισμὸν συνάγχης μνημονεύων, ἔφη, ἦν δὲ τῶν συναγχικῶν τὰ παθήματα τοιάδε. οἱ σπόνδυλοι τοῦ τραχήλου εἴσω ἔρρεπον, καὶ ἔξωθεν, ἦν δῆλος, κοῖλον ἔχων ὁ τράχηλος, καὶ ἤλγεε ταύτῃ ψαυόμενος. ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ, μίαν ἐδήλωσε διαστροφὴν τῶν σπονδύλων τὴν ἐπὶ

D τὰ ἔσω. κατὰ δὲ τὸν προκείμενον ἀφορισμόν, ὀνόματι γενικωτέρῳ κέχρηται, λέγων, ἢν ὁ τράχηλος ἐπιστραφῇ. τὸ γὰρ ἐπιστραφῇ ῥῆμα, τὴν ἐκτροπὴν τὴν εἰς τὸ παρὰ φύσιν ἅπασαν δηλοῖ τῆς τῶν σπονδύλων εὐθυωρίας. ἐν μὲν οὖν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, προστέθεικε τῷ λόγῳ, καὶ ἤλγεε ταύτῃ ψαυόμενος. ἐνταυθοῖ δ' οὐδὲν εἶπεν ὑπὲρ ἀλγήματος, καί τοί γε ἀναγκαῖον ἄλγημα συνεῖναι τῇ κατὰ τὸν τράχηλον φλεγμονῇ. πλὴν εἰ κἀνταῦθα τὴν δι' ὑπερβάλλουσαν ξηρότητα γιγνομένην ὁλκήν, καὶ τάσιν, καὶ διαστροφὴν τῶν μορίων ἐνδείκνυται μόνην, καὶ διὰ τοῦτο αὐτό, θανά-

E σιμον εἶναι φησὶ τὸ σύμπτωμα, τοῦ ἑτέρου τοῦ κατὰ τὴν φλεγμονὴν συνισταμένου μὴ πάντως ὄντος θανασίμου, καθάπερ τὸ πρότερον ἦν, τὸ μετὰ τοῦ πνίγεσθαι, καὶ τοῦ καταπίνειν μόγις. ἀλλ' ἐὰν δι' ὑπερβάλλουσαν ξηρότητα γεγονὸς ᾖ τὸ διεστράφθαι τὸν τράχηλον, καὶ τὸ καταπίνειν μόγις, ὀλέθριον ἔσται τὸ σύμπτωμα, καὶ μάλιστ' ὅταν ὁ πυρετὸς ᾖ σφοδρός, ἵνα τὸ ἦν ὑπὸ τοῦ πυρετοῦ ἐχομένῳ. καὶ κατὰ τοῦτο, ἀκούοι τις, διὰ δὲ τὸν αὐτὸν τοῦτον πυρετόν, καὶ τὴν ἄμετρον ἐν τοῖς μέλεσιν εἰκὸς γίγνεσθαι ξηρότητα· καὶ διττὸν ἕξει λόγον ὁ σφοδρὸς πυρετός, ὡς πρὸς τὸν θάνατον, ὅτι τε σημεῖον ἔσται τοῦ, διὰ

F ξηρότητα, τήν τε διαστροφὴν γεγονέναι, καὶ τὸ καταπίνειν μόγις, ὅτι τε συντελέσει τι καὶ αὐτός, ὡς ἕν τι τῶν ἐπὶ θάνατον ἀγόντων αἰτίων.

Περὶ τῶν ἀγαθῶν τε καὶ κακῶν τοῖς πυρέττουσι ἱδρώτων. περὶ τῶν ἡμερῶν κρισίμων καθ' ἃς ἀγαθοὶ ἱδρῶτες γίνονται. Διὰ τί τετάρτη ἡμέρα ἐνταῦθα κρίσιμος οὐκ ἀριθμεῖται.

De probis prauísque febricitantium sudoribus. De diebus criticis, quibus boni fiunt sudores. Cur quartus dies hîc criticus non numeretur.

ΑΦΟΡΙΣΜΟΣ λϛ'

Ἱδρῶτες, πυρεταίνοντι ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐναταῖοι, καὶ ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ μιῇ καὶ εἰκοστῇ, καὶ ἑβδόμῃ, καὶ εἰκοστῇ καὶ τριηκοστῇ πρώτῃ, καὶ τριηκοστῇ τετάρτῃ. οὗτοι γὰρ οἱ ἱδρῶτες νόσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι, καὶ μῆκος νόσου, καὶ ὑποτροπιασμόν.

APHORISMVS XXXVI.

SVdores febricitantibus boni, si cœperint tertio die, quinto, septimo, nono, vndecimo, decimoquarto, decimoseptimo, vicesimoprimo, vicesimoseptimo, tricesimoprimo, & tricesimo quarto; hi nanque sudores morbos iudicant. Qui verò non ita prodeunt, laborem, morbi, longitudinem, & reuersiones significant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ἱδρῶτες μόνον, ἀλλὰ καὶ διαχωρήσεις γαστρὸς ἀξιόλογοι, καὶ οὖρα πολλά, καὶ ἀποστήματα παρ' οὖς, ἢ κατ' ἄλλο τι τῶν ἄρθρων, ἐν ταῖς ἡμέραις ταῖς εἰρημέναις ἐπιφαίνεται χρηστῶς. ὁ γάρ τοι καθόλου λόγος ἐστὶ τοιόσδε. τὰ δὲ κρίσιμα σημεῖά τε καὶ συμπτώματα, ταῖς κρισίμοις ἡμέραις ἄρχεσθαι· καὶ ἤρκει οὗτος ὁ λόγος ὁ εἰρημένος. ἀλλ' ὁ Ἱπποκράτης νῦν οὐ περὶ πάντων αὐτὸν ἐποιήσατο τῶν κρισίμων, ἀλλ' ἱδρώτων μόνων· ἀνέμνησέ τε τῶν κρισίμων ἡμᾶς ἡμερῶν, ὅσαι τῆς τεσσαρακοστῆς ἐντός εἰσι. τὰ γὰρ τούτων χρονιώτερα νοσήματα, δι' ἱδρώτων οὐ πάνυ τι κρίνεσθαι πέφυκεν, ὥσπερ οὐδὲ δι' ἐκκρίσεως ὅλως, ἀλλ' ἤτοι κατὰ τὴν σύμπεψιν, ἢ δι' ἀποστημάτων. ὅτι δ' οὐ πάσης τῆς ἡμέρας ἀριθμὸς ἐπιτήδειος εἰς κρίσιν, ἐναργῶς ἡ πεῖρα μαρτυρεῖ, καὶ θαυμάσειεν ἄν τις τῶν φασκόντων μηδεμίαν ἐν αὐταῖς εἶναι διαφοράν. ἄμεινον μὲν γάρ, ἐκ τῶν ἐναργῶς φαινομένων διδάσκεσθαι τὴν διαφοράν. τὴν δ' αἰτίαν τοῦ γιγνομένου, κατὰ πολλὴν ἐπισκέπτεσθαι σχολήν, ὅπερ ἡμεῖς ἐποιήσαμεν ἐν τῇ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ. τὸ μὲν εἰς τὴν χρείαν τῆς τέχνης διαφορὰν, ἐν τοῖς προτέροις ὑπομνήμασι δύο διελθόντες, τὰς δ' αἰτίας αὐτῶν, ἐν τῷ τρίτῳ πειραθέντες ζητῆσαι. διαπεφώνηνται δ' ἱκανῶς αἱ νῦν εἰρημέναι κατὰ τὸν ἀφορισμὸν ἡμέραι, γραφόντων αὐτὰς ἄλλων ἄλλως ὡς ἂν ἐθέλωσιν. ἀλλ' ἡμεῖς γε, κατὰ τὰ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους εἰρημένα, διά τε τοῦ προγνωστικοῦ, καὶ τῶν ἐπιδημιῶν, καὶ αὐτοῦ τοῦ βιβλίου τοῦ τῶν ἀφορισμῶν τὴν ἐξαρίθμησιν αὐτῶν ἐποιησάμεθα. τὰς δὲ ῥήσεις, ἐν αἷς ἔγραψε περὶ τούτων τῶν ἡμερῶν ὁ Ἱπποκράτης, ἔν τε τῇ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ, καὶ τῇ τῶν κρίσεων, ἁπάσας ἔχεις ἠθροισμένας. νῦν δ' ἀπὸ τῆς τρίτης ἤρξατο, προλαμβανούσης τὴν τετράδα κατὰ βραχὺ τὰ χρονιώτερα τῶν νοσημάτων, καὶ μετὰ ταύτην ἔγραψε τὴν πέμπτην, ὑστερίζουσαν ἡμέραν μίαν τῆς τετάρτης. οὕτω γὰρ σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις εὑρίσκεται, οὐκέτι γεγραμμένης τῆς τετάρτης ἡμέρας κατὰ τὸν ἀφορισμόν. καί τοι δοκεῖ πρώτη κρίσιμος ὑπάρχειν αὕτη, ἀλλ' ὅμως αὐτὴν ὑπερέβη νῦν, ἢ αὐτὸς ὁ Ἱπποκράτης,

βραχύτερα

GALENI COMMENTARIVS.

NOn sudores duntaxat, sed & alui non contemnendæ dejectiones & vrinæ copiosæ, & iuxta aurem, aut in aliquem alium articulum abscessus *dictis* diebus commodè apparent. Vniuersalis enim oratio talis est. Et decretoria signa, ac symptomata diebus judicatoriis incipiant. Atque hæc oratio pronunciata suppeditabat. Verùm Hippocrates non de omnibus judicatoriis ipsam fecit, sed de solis sudoribus, nobísque dies iudicatorios qui sunt intra quadragesimum, in memoriam redegit. Morbi nanque istis diuturniores, non admodum per sudores judicari consueuerunt, vt per excretiones, sed vel per concoctionem, vel per abscessus. Quod autem non omnis dierum numerus sit ad crisim idoneus experientia manifestò testatur, & cuique erunt admirationi qui nullas in his esse differentias statuunt. Satius enim est ex manifestè apparentibus *eorum dierum* differentiam ediscere, causas verò effecti per multum otium indagare, quod nos in tractatu de diebus iudicatoriis egimus. Nam differentias in duobus prioribus commentariis ad artem necessarias explicauimus, eorum verò causas in tertio pro viribus exquisiuimus. At nunc hoc in aphorismo commemorati dies in magnam controuersiam adducti sunt, ipsos aliis aliter pro arbitrio scribentibus. Non verò ex sententiis ab ipso Hippocrate pronunciatis tum in prognostico, tum in Epidemiis, & hoc ipso aphorismorum libro, eorum enumerationem fecimus, sententias verò quibus de rebus scripsit Hippocrates in opere de diebus iudicatoriis, tum de crisibus omnes à nobis collectas habes. Nunc autem à tertio incœpit quartum anticipante per breuioris temporis morbos; post hunc quintum scripsit vno die quarto posteriorem. Sic enim in omnibus fere exemplaribus scriptum inuenitur, nondum in aphorismo quarto die ascripto, etiamsi ipse criticus esse videatur. Verumtamen ipsum nunc prætermisit, vel ipse Hippocrates,

vel qui primus librum scripsit. Si verò omnino Hippocrates eum præterierit, hanc ob causam id mihi fecisse videtur; quòd plurimi peracuti morbi, qui cum sudore iudicantur, tertio & quinto die magis quàm quarto judicium subeant. Rariores enim sunt qui die quarto iudicentur. Atque hoc à me fuit inuentum per experientiam, quum hoc ipsum valde admodum quæsiuissem, quamobrem dies quartus fuisset ab Hippocrate in præsenti aphorismo prætermissus. Hoc autem ideo accidere videtur, quia morbi peracuti tum primam statim accessionem vehementissimam sortiuntur, tum eam quæ die tertio fit, illi proportione respondentem. Per vehementiores autem accessiones crises fieri, & morbos qui diebus imparibus exacerbantur, celeriùs iudicari; qui verò paribus diuturniores reddi, id quoque nos experientia didicimus. Atque ideo siquis in principio morbus exacerbetur, indices impares magis, si diuturnior euasurus sit in dies pares vehementiores accessiones incidunt. Hæc sanè sunt quæ de die quarto dicerem: Ad finem autem aphorismi nonnulli trigesimum primum diem, quidam trigesimum quartum scribunt, quos criticorum dierum numero contineri certò scimus. Ac fortassis trigesimus quartus majorem vim sortitur; non tamen quadragesimi meminit, quòd fortè hunc diuturniorum morborum principium quoddam existimabat, qui non admodum per sudores judicantur. Etenim & ipsum trigesimumprimum, & trigesimumquartum, & ante ipsos vigesimumseptimum raro per sudores judicare comperimus.

A ἢ ὁ πρῶτος τὸ βιβλίον γράψας. εἴπερ δὲ ὅλως ὁ Ἱπποκράτης αὐτὴν παρέβη, δοκεῖ μοι διὰ τὴν δὲ τὴν αἰτίαν αὐτὸ ποιῆσαι, τὰ πλεῖστα κατοξέων νοσημάτων, ὅσα σὺν ἱδρῶτι κρίνεται, τῇ τρίτῃ, καὶ τῇ πέμπτῃ μᾶλλον, ἢ τετάρτῃ τὴν κρίσιν λαμβάνει· σπανιώτεροι γὰρ οἱ διὰ τῆς τετάρτης κρινόμενοι, καί μοι τοῦτο ἐξεύρηται πάνυ σφόδρα διὰ πείρας αὐτὸ τοῦτο ζητήσαντι, διότι παραλέλειπται κατὰ τὸν προκείμενον ἀφορισμόν· ἔοικε δὲ συμβαίνειν οὕτως, ἐπειδὴ τὰ κατόξεα νοσήματα, τόν τε πρῶτον εὐθὺς παροξυσμὸν ἔχει σφοδρότερον, καὶ τὸν ἀ- B νάλογον αὐτῷ, διὰ τρίτης, ἐμάθομεν δὲ ὡς ἐν τοῖς σφοδροτέροις παροξυσμοῖς αἱ κρίσεις γίνονται. καὶ μέντοι καὶ ὅτι τὰ μὲν ἐν περιτταῖς ἡμέραις παροξυνόμενα, θᾶττον κρίνεται. τὰ δὲ ἐν ἀρτίαις, χρονίζει· καὶ διὰ τοῦτο, κἂν ἐν ἀρχῇ τι παροξύνηται νόσημα, κατὰ τὰς περιττὰς μᾶλλον. ἐὰν δὲ, μέλλῃ χρονίζειν, εἰς τὰς ἀρτίους μεταπίπτουσιν οἱ σφοδρότεροι παροξυσμοί. ταῦτα μὲν ἔχω περὶ τῆς τετάρτης λέγειν. ἐπὶ δὲ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ, τινὲς μὲν τὴν τριακοστὴν πρώτην ἡμέραν, τινὲς δὲ, τὴν τριακοστὴν τετάρτην γράφου- C σιν· ἴσμεν δὲ αὐτὰς ἐν τῷ καταλόγῳ περιεχομένας τῶν κρισίμων ἡμερῶν, καὶ ἴσως ἰσχυροτέραν γε τὴν τριακοστὴν τετάρτην· οὐ μὴν τῆς τεσσαρακοστῆς ἐμνημόνευσεν ἴσως, ἐπειδὴ ταύτην τινὰ ἀρχὴν τῶν χρονίων ἐνόμιζεν, ἃ δι' ἱδρώτων οὐ πάνυ τι κρίνεται. καὶ γὰρ καὶ αὐτὴν τὴν τριακοστὴν πρώτην, καὶ τριακοστὴν τετάρτην, καὶ πρὸ αὐτῶν τὴν εἰκοστὴν ἑβδόμην, σπανίως ἐστὶν ἱδρῶσι κρινούσας εὑρεῖν.

D

Qui frigidi sudores mortem, & qui, morbi longitudinem significent; & vnde sudores frigidi.

Οἱ τίνες ψυχροὶ ἱδρῶτες θάνατον, καὶ τίνες τὸ μῆκος νόσου σημαίνωσι, καὶ ὅθεν οἱ ψυχροὶ ἱδρῶτες.

APHORISMVS XXXVII.

ΑΦΟΡΙΣΜΟΣ λζ.

Frigidi sudores cum acutâ quidem febre oborti, mortem; cum mitiore verò, morbi longitudinem significant.

Οἱ ψυχροὶ ἱδρῶτες, σὺν ὀξεῖ πυρετῷ γινόμενοι, θάνατον σημαίνουσι, ξὺν δὲ πρηοτέρῳ, μῆκος νόσου.

E

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Qvod quidem ita oboriatur, sæpe docet experientia. Quæ verò sit huius rei oborientis causa, explorandum. Explicatu nanque difficillimum esse videtur, febre calidissima hominem detinente, sudorem frigidum obotiri. Quod itaque in aliis corporis partibus vehementem inesse calorem, ex aliis verò sudores frigidos vacuari oporteat, manifestum est. Calefacti siquidem fuissent, si ex partibus calidissimis manassent. Vacuantur autem ex eâdem cute sudores, quæ frigida esse potest, flagrantibus ipsi suppositis partibus. Nam quibusdam humoribus putrescen-

Ὅτι μὲν οὖν οὕτω γίνεται, πολλάκις ἡ πεῖρα διδάσκει. τίς δ' ἡ αἰτία τοῦ γινομένου, σκεπτέον. ἀπορώτατον γὰρ εἶναι δοκεῖ, πυρετοῦ θερμοτάτου κατέχοντος τὸν ἄνθρωπον, ἱδρῶτα ψυχρὸν γίγνεσθαι· ὅτι μὲν οὖν ἐν ἄλλοις χρὴ μέρεσι τοῦ σώματος εἶναι τὴν σφοδρὰν θερμασίαν, ἐξ ἄλλων δὲ κενοῦσθαι τοὺς ψυχροὺς ἱδρῶ- F τας, εὔδηλον· ἐθερμάνθησαν γὰρ ἄν, εἴπερ ἐκ τῶν θερμοτάτων ἐφέροντο. κενοῦνται δὲ ἐκ τοῦ αὐτοῦ δέρματος οἱ ἱδρῶτες, ὅπερ ἐγχωρεῖ ψυχρὸν εἶναι, διακαιομένων τῶν ὑπ' αὐτό. σηπομένων γάρ τινων χυμῶν, ἐδείχθησαν ὀξέες γινόμενοι πυρετοί. σήπονται δὲ οὗτοι, πολ-

λάκις μὲν ἐν ὅλῳ τῷ σώματι, πολλάκις δὲ ἐν τοῖς ἀγγείοις μόνοις. ὅταν οὖν ποτὲ συμβῇ δύο ταῦτα, τοὺς μὲν ἐν τοῖς ἀγγείοις χυμοὺς σήπεσθαι, τὴν δὲ τὰ στερεὰ μόρια διοικοῦσαν φύσιν, ἥ τίς ἐστι καθ' Ἱπποκράτην τὸ ἔμφυτον θερμὸν, ἤτοι γε ἐσβέσθαι παντάπασιν, ἢ πλησίον ἥκειν σβέσεως, τὰ μὲν ἐκ τούτων κενούμενα, ψυχρὰ φαίνεται. τὴν δ' ἐπὶ τῇ σήψει θερμασίαν, οὐδὲν κωλύει σφοδροτάτην εἶναι, καὶ διὰ τοῦτο, ὀλέθριον τὸ σημεῖον, ἐνδεικνύμενον ἐν τῷ τοῦ ζώου σώματι πλεονεκτεῖν ὑγρῶν πλῆθος, ψυχρῶν τοσοῦτον, ὡς μήθ' ὑπὸ τῆς ἐμφύτου, μήθ' ὑπὸ τῆς πυρεκτικῆς ἐκθερμαίνεσθαι. χλιαρῶν μέντοι πυρετῶν ὑπαρχόντων, ἐγχωρεῖ σωθῆναι τὸν ἄνθρωπον, ἐν χρόνῳ πλείονι τοῦ ψυχροῦ πλήθους πεφθέντος, καὶ κρατηθέντος ὑπὸ τῆς φύσεως. ὁ μὲν γὰρ ὀξὺς πυρετὸς, αἴτιόν ἐστι, καὶ σημεῖον δὲ ὀλεθριώτατον· αἴτιον μὲν, ἐπειδὴ πέφυκε διαλύειν τὰ σώματα· σημεῖον δὲ, ὅτι τὸ πλῆθος τῶν ὑγρῶν ἐνδείκνυται, ὅτι ψυχρότατον ὑπάρχει, ὅπου γε μήθ' ὑπὸ τῆς τοῦ πυρετοῦ μεταβάλλεται θερμότητος. ὁ δ' οὐκ ὀξὺς, ἀλλὰ μέτριος πυρετὸς, ἐπιτρέπει χρόνῳ, πλείονι πρὸς τῆς φύσεως πεφθῆναι τὸ πλῆθος, ὡς ἂν μὴ φθάνων διαλύειν τὸ ζῶον. σημεῖον δ' οὐκ ἔστιν οὕτως ὀλέθριον, ὡς ὁ σφοδρός. ἐγχωρεῖ γὰρ ἐν χλιαρῷ πυρετῷ, κἂν μετρίως ψυχρὸν ᾖ τὸ πλῆθος, ἀνεκθέρμαντον μένειν.

tibus febres acutas fieri ostendimus. Hi verò
A sæpe in toto corpore, sæpe etiam in vasis solis putrescunt. Quum ergo hæc duo interdum contigerint, humores qui vasis insunt, putrescere, & regentem solida corpora naturam (quæ secundum Hippocratem natiuus calor est) vel prorsus extingui, vel propius ad extinctionem accedere; quæ tum ex his vacuantur, frigida percipiuntur. Ortum verò ex putredine calorem vehementissimum esse nihil prohibet; proindéque frigidus ille sudor exitiale signum est, quod in animalis corpore humorum plenitudinem exuberare prodit, eo
B vsque frigidorum, vt neque ab insito, neque à febrili calore incalescant. Verùm si tepidæ ac remissiores existant febres, conceditur hominem saluum euadere, concocta longiore tempore humorum copia, atque euicta à natura. Nam acuta febris & causa, & signum est perniciosissimum. Causa quidem, quandoquidem suapte natura corpora potest resoluere. Signum verò, quia humorum multitudinem ostendit, quæ frigidissima est, quum ne à febrili quidem calore mutetur. Quæ ve-
C rò acuta non est, sed moderata febris, longiori tempore à naturâ plenitudinem concoqui permittit; quippe quæ animal dissoluere non præoccupat. Signum autem adeo perniciosum non est ac vehemens febris. Contingit enim in lenta febre etiamsi moderatè frigida plenitudo sit, eam incalefactam permanere.

Ὅπου ἱδρὼς, ἐκεῖ τὴν νόσον εἶναι διά τι, καὶ πῶς.

D Vbi sudor, ibi morbum esse; cur & quomodo.

ΑΦΟΡΙΣΜΟΣ λή

APHORISMVS XXXIII.

Καὶ ὅκου ἔνι τοῦ σώματος, ἱδρὼς, ἐκεῖ φράζει τὴν νοῦσον.

ET quâ corporis parte sudor inest, ibi morbum esse denunciat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIVS. E

Εἴπερ γὰρ εἰς ὅλον ἡ νόσος ἐξέτατο τοῦ ζώου τὸ σῶμα, καὶ τὴν κένωσιν ἂν ἐξ ἁπάντων ὁμοίως ὁμότιμον ἐποιεῖτο. γίγνονται μὲν γὰρ οἱ ἱδρῶτες, ἤτοι τῆς φύσεως ἐκκενούσης τὰ περιττὰ, ἡνίκα καὶ κρίνουσι χρηστῶς, ἢ καὶ τῷ μὴ στέγεσθαι κατὰ τὸ σῶμα, τῷ λόγῳ τοῦ νοσήματος. ὁποτέρως δ' ἂν γίνωνται, τὴν τῶν πεπονθότων μερῶν ἐκκρίνουσιν ὑγρότητα.

SI morbus ad totum animalis corpus extenderetur, ex toto etiam æquabiliter fieret vacuatio: Sudores enim oboriuntur vel naturâ superuacanea vacuante (quo tempore ipsi commodè & vtiliter decernunt) vel etiam quòd in corpore contineri non possint, morbi ratione fiunt. Vtrolibet autem fiant modo, partibus affectis contentam humiditatem vacuant.

F

A

Calorem partis aut frigus, morbi sedem prodere.

Τὴν τοῦ μορίου θερμότητα, ἢ τὴν ψύξιν τὴν τοῦ νοσήματος ἕδραν ἐμφανίζειν.

APHORISMVS XXXIX.

ET qua parte corporis inest calor, aut frigus, ibi morbus insidet.

ΑΦΟΡΙΣΜΟΣ λθʹ.

B

ΚΑὶ ὅκου ἔνι τοῦ σώματος ψυχρὸν ἢ θερμὸν, ἐνταῦθα ἡ νοῦσος.

GALENI COMMENTARIVS.

QVacunque corporis parte insignis aut calor, aut frigus fuerit, in ea morbum esse necesse est. Hæc *pars* siquidem à naturali temperie, quæ sanitas est, recessit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ ᾧπερ ἂν ᾖ μορίῳ τοῦ σώματος, ἐπίσημος, ἥτις θερμότης, ἢ ψύξις, ἐν τούτῳ, καὶ τὴν νόσον ἀναγκαῖον ὑπάρχειν. ἐξέστηκε γὰρ τοῦτο δηλονότι τῆς κατὰ φύσιν εὐκρασίας, ἥ τις ἐστὶν ἡ ὑγίεια.

C

Varias corporis mutationes in calore, frigore, & coloribus, morbi longitudinem significare.

Τὰς ποικίλας τοῦ σώματος μεταβολὰς κατὰ τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὰ χρώματα μῆκος νόσου σημαίνειν.

APHORISMVS XL.

ATque vbi toto in corpore mutationes contingunt; ac si corpus refrigeretur, rursumque calefiat; vel color alius ex alio oriatur, morbi longitudinem significat.

ΑΦΟΡΙΣΜΟΣ μʹ.

ΚΑὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα καταψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει.

D

GALENI COMMENTARIVS.

AFfectus varij semper diuturniores fiunt, quàm qui sunt vniusmodi & formæ: quum natura paruo tempore multos affectus subigere & concoquere nequeat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΙ ποικίλαι διαθέσεις, ἀεὶ χρονιώτεραι γίγνονται τῶν μονοειδῶν, ἀδυνατούσης δηλονότι τῆς φύσεως ἐν ὀλίγῳ χρόνῳ κατεργάζεσθαι τὰς πολλὰς διαθέσεις.

E

Quid sudor copiosus per somnum obortus significet.

Τί ἱδρὼς πολὺς ἐξ ὕπνου γιγνόμενος σημαίνει.

APHORISMVS XLI.

QVi sudor copiosus ex somno citra manifestam causam oboritur, copiosiore cibo corpus vti significat. Quod si cibum non assumenti hoc accidat, vacuatione opus esse significat.

ΑΦΟΡΙΣΜΟΣ μαʹ.

ΙΔρὼς πολὺς ἐξ ὕπνου γινόμενος ἄνευ φανερῆς αἰτίης, τὸ σῶμα σημαίνει, τροφῇ ὅτι πλείονι χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίγνηται, σημαίνει ὅτι κενώσιος δεῖται.

F

GALENI COMMENTARIVS.

NOnnulli aphorismum ita scribunt; Qui sudor copiosus per somnum citra causam manifestam oboritur. Quidam verò abs-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝιοι γράφουσιν οὕτω τὸν ἀφορισμὸν, ἱδρὼς πολὺς ἐξ ὕπνου γιγνόμενος ἄνευ φανερᾶς αἰτίας, ἔνιοι,

A

δὲ αὐτὴν τινὸς αἰτίας ἑτέρας. ἀλλά γε τὰ τοιαῦτα, κἂν μὴ προσγραφῇ νοεῖται, μυριάκις ἐν μυρίαις ῥήσεσιν ὑπ' αὐτοῦ παραλελειμμένα, διὰ τὸ προσυπακούειν ἡμᾶς αὐτὰ κἂν μὴ ῥηθῇ, μεμαθηκότας γε ἅπαξ παρ' αὐτοῦ, ὅτι διὰ τὴν ἔξωθεν αἰτίαν, οὐκ ἐκ τῆς τοῦ σώματος διαθέσεως γιγνόμενα συμπτώματα, πρόγνωσιν οὐδεμίαν ποιεῖται ἀσφαλῆ. τούτου μὲν οὖν ἀεὶ χρὴ μεμνῆσθαι. ὃ δὲ κατὰ τὸν προκείμενον ἀφορισμὸν διδασκόμενον, ἐν τῇ τοῦ, πολὺς, προσθήκῃ μάλιστα ἐστίν. εἰ γὰρ μὴ πολὺς ἱδρὼς ᾖ, δύναιτ' ἂν καὶ διὰ τὴν τῆς δυνάμεως ἀρρωστίαν, καὶ διὰ τὴν τοῦ σώματος ἀραιότητα γίγνεσθαι. τὸ γὰρ πλῆθος αὐτοῦ, δυοῖν θάτερον, ἤτοι διὰ τὴν τῶν ἄρτι λαμβανομένων σιτίων ἀμετρίαν, ἢ διὰ τὴν τῶν ἔμπροσθεν ὑπάρχει. εἰ μὲν διὰ τὴν τῶν ἄρτι λαμβανομένων σιτίων ἀμετρίαν κωλυτέον πολλὰ λαμβάνειν. εἰ δὲ διὰ τὴν τῶν ἔμπροσθεν, κενωτέον.

que alia quadam causa. Verùm hæc etiamsi non ascribantur, millies in mille textibus ab ipso prætermissa intelliguntur; quia licet non dicantur, à nobis tamen subaudiantur, vt qui semel ab ipso didicerimus, propter externam causam, non corporis affectum sequuta symptomata, nullam certam adferre præsagitionem, quod *documentum* semper meminisse oportet. Quod autem in præsenti aphorismo docetur, id in adiectione vocis, *copiosus*, maximè consistit. Si nanque sudor copiosus non esset, posset & propter virium imbecillitatem, & corporis raritatem accidere. *Sudoris*

B

verò copia altera duarum causarum existit, propter ciborum vel recenter, vel antea sumptorum in commoderationem. Quod si propter recenter assumptorum eduliorum abundantiam fiat, plura sumere prohibendum; quod si propter præsumptorum multitudinem, vacuandum est.

Τοῦ ἱδρῶτος πολλοῦ ψυχροῦ ὄντος τὴν μείζονα, τοῦ δὲ θερμοῦ ἐλάσσονα νόσον σημαίνεσθαι.

C

Sudore copioso frigido majorem, calido minorem morbum significari.

ΑΦΟΡΙΣΜΟΣ μβ'.

Ἱδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς ἀεὶ ῥέων, ὁ ψυχρὸς μείζω, ὁ δὲ θερμὸς ἐλάσσω, νοῦσον σημαίνει.

APHORISMVS XLII.

SVdor copiosus, frigidus aut calidus, semper fluens; frigidus quidem, maiorem, calidus verò minorem morbum significat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D

Περὶ μὲν οὖν τῶν ἐν ταῖς κρισίμοις ἡμέραις γιγνομένων ἱδρώτων, ἔμπροσθεν εἴρηται. περὶ δὲ τῶν ἐν ὅλῳ χρόνῳ τοῦ νοσήματος ἐπιφαινομένων ἀκρίτως, ἐν τῷδε δηλοῖ. χαλεπωτέρους μὲν εἶναι λέγων τοὺς ψυχροτέρους, ἧττον δὲ τούτων μοχθηροὺς τοὺς θερμούς. ἀμφότεροι μὲν γὰρ ἐνδείκνυνται πλῆθος. ἀλλ' οἱ μὲν ἕτεροι ψυχρόν. οἵ γε καὶ χείρους εἰσίν· οἱ δὲ ἕτεροι θερμόν, ἧττον ἐκείνων ὄντες ὀλέθριοι πυρετοί.

GALENI COMMENTARIVS.

DE sudoribus qui diebus criticis oriuntur, priùs dictum est; de iis verò qui toto morbi tempore citrà crisim vllam apparent, hoc in aphorismo declarat; qui deteriores quidem sudores esse frigidos, his verò minus prauos calidos. Vtrique siquidem plenitudinem adesse demonstrant; sed alteri frigidam, qui & deteriores sunt; alteri calidam, qui illis minus periculosi sunt.

E

Ὁπόσοι πυρετοὶ μὴ διαλείποντες ἐν τῇ τρίτῃ παροξυνόμενοι τοὺς αὐτοὺς ἐπικινδυνοτέρους εἶναι, τοὺς δὲ διαλείποντας ἀκινδύνους.

Quæcunque febres continuæ tertio die exacerbanrur vehementius, eas periculosiores, quæ verò intermittunt, eas periculi expertes esse.

ΑΦΟΡΙΣΜΟΣ μγ'.

F

Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης, ἰσχυρότεροι γίνονται, μᾶλλον ἐπικίνδυνοι. ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

APHORISMVS XLIII.

QVæ febres non intermittentes tertio quoque die vehementiores fiunt, periculosiores. Quocunque autem modo intermiserint, citra periculum esse significant.

GALENI COMMENTARIVS.

QVod Hippocrates *verbum* intermittere, de accessionibus in apyrexiam, & *febris vacuitatem* desinentibus efferat, hoc in aphorismo manifestum fecit, qui accessiones quoquo modo intermittentes, tertio quoque die repetentes periculo vacare pronunciat. Ex ipsis enim ea solæ periculo vacant, etiamsi vehementissimam & valde longam accessionem sortiantur. Si nanque accessio breuis fuerit, vt in tertianis fit exquisitis, minore vtique quàm duodecim horarum tempore circumscripta, non solùm periculo vacat eiusmodi febris, sed citò etiam iudicatur. Si verò longior fuerit, vt horarum exempli gratiâ, octodecim, hæc quoque citra periculum existit; sed tantò est diuturnior, quantò major exstiterit eius accessio, quàm pro sincera tertiana. Porro ratione siqæ in apyrexiam desinunt, eas citrà periculum esse pronunciat, vt quæ neque propter inflammationem aliquam fiant, neque ob malignam humorum putredinem: Neutra nanque harum ad apyrexiam peruenit. Quocunque igitur modo intermiserint, periculum abesse significatur, hoc est, siue vehemens, siue longa fuerit accessio.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι τὸ διαλείπειν ὁ Ἱπποκράτης ἐπὶ τῶν εἰς ἀπυρεξίαν παυομένων παροξυσμῶν λέγει, δῆλον, ἐποίησεν ἐν τῷδε τῷ ἀφορισμῷ, τοὺς ὁπωσοῦν διαλείποντας τῶν διὰ τρίτης παροξυνομένων, ἀκινδύνους ἀποφαινόμενος. μόνοι γὰρ οἱ εἰς ἀπυρεξίαν λήγοντες ἐξ αὐτῶν, εἰσὶν ἀκίνδυνοι, κἂν σφοδρότατον ποιῶνται τὸν παροξυσμὸν, κἂν ἱκανῶς μακρόν. ἐὰν μὲν γὰρ οὕτως ᾖ βραχὺς, ὡς ἐν τοῖς ἀκριβέσι τριταίοις ἐστὶν ἐλάττονι ἢ τῶν δώδεκα ὡρῶν χρόνῳ περιγραφόμενος, οὐ μόνον B ἀκίνδυνος ὁ τοιοῦτός ἐστι πυρετὸς, ἀλλὰ καὶ ταχυκρίσιμος. ἐὰν δὲ μακρότερος, ὡς ὡρῶν εἰ τύχοι ιη, ὑπάρχει ἀκίνδυνος μὲν ἔτι τῆς οὕτως. εἰς τοσοῦτον δὲ χρονιώτερος, εἰς ὅσον ὁ παροξυσμὸς αὐτοῦ μείζων ἐστὶν, ἢ κατὰ τὸν ἀκριβῆ τριταῖον. εἰκότως δὲ, τοὺς εἰς ἀπυρεξίαν τελευτῶντας ἀκινδύνους εἶναί φησιν, ὡς ἂν μήτε διὰ φλεγμονήν τινα γινομένους, μήτε ἐπὶ κακοήθει σήψει χυμῶν. οὐδέτεροι γὰρ τούτων εἰς ἀπυρεξίαν ἀφικνοῦνται. ὅτῳ δ' ἂν οὖν τρόπῳ διαλείπῃ σημαίνει ὅτι ἀκίνδυνος, C τουτέστιν, ἐάν τε σφοδροῦ τοῦ παροξυσμοῦ γενομένου, ἐάν τε μακροῦ.

(marg.: ιη / τὸ)

Longis febribus tubercula, & articulorum dolores succedere, & tres esse morborum diuturnorum causas, humorum plenitudinem, crassitiem, & frigiditatem.

Τὰ τοῖς πυρετοῖς φύματα, καὶ τοὺς ἄρθρων πόνους ἐπιγίνεσθαι. καὶ τρία εἶναι, τῶν νοσημάτων μακρῶν αἴτια, τὸ τῶν χυμῶν πλῆθος, καὶ τὸ πάχος, καὶ τὴν ψυχρότητα.

D

APHORISMVS XLIV.

ΑΦΟΡΙΣΜΟΣ μδ'.

QVibus febres longæ sunt, his ad articulos tubercula, vel dolores oboriuntur.

ΟΚόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν, ἢ φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι γίνονται.

GALENI COMMENTARIVS.

HÆc sententia neque perpetua est, vt neque alium aliud quicquam; sed vt plerunq; contingere videtur. Eius autem causa manifesta est: Nam propter humorum febres efficientiũ vel copiam, vel crassitiem, vel frigiditatem quamplurimùm morbi producuntur, ipsis nimirum ad coctionem tempus postulantibus. Par igitur est & ab ijs tubercula fieri, & in articulos superuacanea decumbere. Siue autem per labores, dolorem siue læsionem dici intellexerimus, vterque rationem aliquam habet intellectûs. Nam vtrumque apostemata hoc est humorum decubitus & abscessus comitatur.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ διὰ παντὸς οὐδὲ τοῦτο καθάπερ οὐδ' ἄλλο οὐδὲν τῶν ὁμοίων, ἀλλ' ὡς τὸ πολὺ δηλονότι φαίνεται συμβαῖνον· ἡ δ' αἰτία φανερά. διὰ γάρ τοι τὸ πλῆθος, ἢ τὸ πάχος, ἢ τὴν ψυχρότητα τῶν τοὺς πυρετοὺς ἐργαζομένων χυμῶν, ἐπὶ πλεῖστον ἐκτείνεται τὰ νοσήματα, χρόνου μακροῦ δεομένων αὐτῶν εἰς τὴν πέψιν. εἰκὸς οὖν ἐστιν ἐπ' αὐτοῖς καὶ φύματα γίνεσθαι, καὶ κατασκήπτειν εἰς F ἄρθρα τὸ περιττόν. εἴ τε δ' αἰτὶ τῶν ἀλγημάτων ἀκούσομεν εἰρῆσθαι τοὺς πόνους, εἴτ' αἰτὶ τῆς βλάβης, ἑκάτερον ἔχει τινὰ λόγον. ἄμφω γὰρ ἕπεται τοῖς ἀποσκήμμασιν.

A

Τὴν δὲ πλέονος σιτίου χρείαν τοῖς φύμασιν, ἢ τοῖς τῶν ἄρθρων πόνοις μετὰ τοὺς μακροὺς πυρετοὺς γινομένοις σημαίνεσθαι.

Copiosioris alimenti vsum tuberculis, aut articulorum laboribus post diuturnas febres obortis significari.

ΑΦΟΡΙΣΜΟΣ με'.

APHORISMVS XLV.

Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐκ πυρετῶν μακρῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται. B

QVibus ad articulos tubercula, aut dolores à longis febribus oriuntur, hi cibis copiosioribus vtuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIVS.

Περὶ τῶν ἀναλαμβανομένων ἐκ νόσου διδάσκει. τούτοις γὰρ ἐμπιπλαμένοις εἰκός ἐστι γίγνεσθαι πληθωρικὰ περιττώματα, καὶ μάλιστα διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως. C

DE ijs qui ex morbo conualescunt docet. His enim repletis plethorica excrementa, maximéque ob virium imbecillitatem procreari par est.

Περὶ τοῦ ῥίγους πυρετικοῦ θανασίμου, καὶ τούτου διορισμοῦ.

De rigore febrili mortifero, ejúsque distinctione.

ΑΦΟΡΙΣΜΟΣ μϛ'.

APHORISMVS XLVI.

Ἢν ῥῖγος ἐμπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον. D

SI rigor febre non intermittente, ægro iam debili incidat, lethale.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIVS.

Οὐ ταὐτόν ἐστιν, ἢ ἐπιπέσῃ φάναι, καὶ ἢν ἐμπίπτῃ. ὃ μὲν γὰρ ἐπιπέσῃ, μίαν καταβολὴν τοῦ ῥίγους δηλοῖ, ὃ δὲ ἐμπίπτῃ, πλείονας. ἅπαξ μὲν οὖν ἐπιπεπτωκότος τοῦ ῥίγους, οὔπω δῆλον, εἴτ᾽ ὀλέθριος, εἴτε χρηστὴ κρίσις ἀκολουθήσει. δύναται μὲν γὰρ καὶ διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως, ὀλέθριον γενέσθαι τὸ σύμπτωμα, δύναται δὲ καὶ σφαλερὰ κρίσις, ἀλλ᾽ ὅμως εἰς ἀγαθὸν τελευτῆσαι. ὃ δὲ πλεονάκις γενέσθαι τὸ ῥῖγος, μὴ διαλείποντος τοῦ πυρετοῦ, καὶ ἄλλως μὲν οὐκ ἀγαθόν, ἐπ᾽ ἀσθενεῖ δὲ τῇ δυνάμει γιγνόμενον, ὀλέθριον. E εἰ μὲν γὰρ καὶ κένωσίς τις ἕποιτο τῷ ῥίγει, διάλειμμα μηδὲν ἐργαζομένη, κατ᾽ ἄμφω διαλυθῆναι τὸν ἄνθρωπον εἰκός, οὔτε τῆς δυνάμεως φερούσης τὸν κλόνον τοῦ ῥίγους, ὑπό τε τῆς κενώσεως καταλυομένης. F εἰ δὲ τὸ ῥῖγος γίγνοιτο μόνον, οὐδεμιᾶς γιγνομένης κενώσεως, ἑκατέρως οὐκ ἀγαθὸν τὸ σύμπτωμα. καὶ γὰρ ὡς αἴτιον κακόν, ἅπτεται τῆς δυνάμεως, καὶ σημεῖον ἔσται

NOn idem est dicere si superuenerit, & si inuadat. Illud enim, *superuenerit*, vnicum rigoris impetum, hoc verò, *inuadat*, plures insultus significat. Itaque si semel rigor inuaserit, nondum liquet, an perniciosa, an salutaris crisis sequutura sit. Potest enim & propter virium imbecillitatem exitiosum esse symptoma. Potest etiam dubia & fallax esse iudicatio, quæ tamen in bonum finem desinat. Sæpius verò si irruerit rigor, febre non intermittente, tum id aliàs minimè bonum est, tum in virium imbecillitate perniciosum. Nam si qua etiam vacuatio rigorem sequatur quæ nullam moliatur febris intermissionem, vtriúsque ratione hominem dissolui verisimile est. Tum quia vires imbecillæ rigoris concussum ferre nequeant, tum quia vacuatione resoluuntur. Si verò rigor solus accidat, nulla vacuatione subsequente, vtroque modo symptoma minime bonum. Etenim vt mala causa vires

tentabit corporis; & vt malum signum extabit, quod extremum ipsarum vitium imbecillitatem indicabit; quippe quæ molestos humores rigoribus vacuare consueuerint; nunc autem id præstare nequeant.

A μοχθηρὸν, ἐνδεικνύμενον ἀῤῥωστίαν ἐσχάτην αὐτῆς. εἰωθυίας μὲν ἐπὶ τοῖς ῥίγεσιν ἐκκρίνειν τοὺς λυποῦντας χυμοὺς, ἀδυνατούσης δὲ αὐτὸ νῦν ποιεῖν.

Omnes excretiones si commode prodeant, bonas esse, si non iuuent, malas. De excretionibus prauis.

Πάσας τὰς ἐκκρίσεις καλῶς μὲν ἐκκρινομένας, ἀγαθὰς εἶναι· τὰς δὲ μὴ συμφερούσας κακάς· περὶ τῶν κακῶν ἐκκρίσεων.

B

APHORISMVS XLVII.

IN febribus non intermittentibus excreationes liuidæ, cruentæ, graueolentes, & biliosæ, omnes malæ; bene tamen si prodeant, bonæ; tum per alui excretiones, tum per vrinas. At si quid eorum quæ non iuuant per hæc loca excernatur, malum.

ΑΦΟΡΙΣΜΟΣ μζ

ΑΙ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσιν, αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται
C διὰ τῶν τόπων τούτων, κακόν.

GALENI COMMENTARIVS.

FOrtè decebat doctrinam aphoristicam dici compendiosiùs, omnes prauas excretiones commodè prodeuntes ad bonum exitum peruenire. Ita tamen non loquutus est Hippocrates; sed primùm quidem trium excretionis generum meminit, tum eius quæ per os fit, tum eius quæ per dejectiones, & eius quæ per vrinas; deinde illius quæ per os fit magis particulatim: Non enim simpliciter dixit prauas excretiones commodè exeuntes bonas esse; sed speciatim earum meminit his verbis *liuidæ, cruentæ, fœtidæ, & biliosæ*. Porro vna quædam est communis hisce omnibus ratio, malas vacuationes prauarum affectionum signa existere; ac sæpe quidem eiusmodi excretiones eodem modo fiunt quo putridis in vlceribus, à quibus sanies defluit, quæ affectum nihil iuuat; nonnumquam verò in pus ex rupto abscessu, quod belle partem affectam expurgat. Quòd verò bene & commodè excernatur, maxima sunt & certa indicia coctio, & ferendi facilitas seu leuatio, quibuscum *numeratur* morbi species, & anni tempestas, & regio, & ægrotantis tum ætas, tum natura. Quod autem ad finem est aphorismi, duobus modis scriptum inuenitur. In quibusdam exemplaribus vt suprà scriptum est: *At si quid eorum quæ non conferunt, excernatur.* In quibusdam verò sine negante particula, *non*, hoc modo, *si vero eorum quæ conferunt aliquid excernatur.* Secundum priorem lectionem, talis erit orationis sententia: siquid eorum quæ non conferunt, vacuari videatur, minime bonum. Ex posteriore verò scriptura, talis erit sensus: Siquid autem eorum quæ animali conferunt, & familiaria sunt, excernatur, non est bonum. Itaque prior lectio præstantior est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΝ μὲν ἴσως πρέπον ἀφοριστικῇ διδασκαλίᾳ, συντομώτερον εἰρῆσθαι, πάσας τὰς πονηρὰς ἐκκρίσεις καλῶς ἀποχωρούσας εἰς ἀγαθὸν τελευτᾶν. ὁ δὲ
D Ἱπποκράτης, οὐχ οὕτως ἐποίησεν, ἀλλὰ πρῶτον μὲν ἐμνημόνευσε τριῶν γενῶν ἐκκρίσεως, τῆς τε διὰ στόματος, καὶ τῆς τῶν διαχωρουμένων, καὶ τῆς τῶν οὔρων, εἶτα καὶ τῆς διὰ στόματος αὐτῆς λεπτομερέστερον. οὐ γὰρ ἁπλῶς εἶπε τὰς μοχθηρὰς, ἀποχωρούσας καλῶς, ἀγαθὰς ὑπάρχειν, ἀλλὰ καὶ κατ' εἶδος, αὐτῶν ἐμνημόνευσεν, εἰπών. αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες. εἷς δέ τίς ἐστιν ὁ κοινὸς ἐπὶ πάντων τούτων λόγος, αἱ μοχθηραὶ κενώσεις μοχθηρῶν διαθέσεων εἰσὶ σημεῖα, καὶ γίνονται πολλάκις μὲν οὕτως. ὡς ἐπὶ τῶν σηπεδονωδῶν ἑλκῶν ἡμῖν οἷς ἰχῶρες ἀπορ-
E ῥέουσιν, οὐδὲν ὠφελοῦντες τὴν διάθεσιν, ἐνίοτε δὲ οὕτως, ὡς πύον ἐξ ἀποστήματος ῥαγέντος, ἐκκαθαιρομένου καλῶς τοῦ πεπονθότος. τεκμήρια δὲ τοῦ καλῶς ἀποκρίνεσθαι, μέγιστα μὲν, εἰ πέψις εἴη, καὶ ἡ εὐφορία. σὺν αὐτοῖς δὲ, καὶ ἡ τοῦ νοσήματος ἰδέα, καὶ μετ' αὐτῶν ὥρα, καὶ χώρα καὶ ἡλικία, καὶ ἡ τοῦ κάμνοντος φύσις. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ, διχῶς εὑρίσκεται γεγραμμένον, ἔν τισι μὲν, ὡς προγέγραπται. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται. ἔν τισι δὲ, χωρὶς τοῦ, μὴ κατὰ τόνδε τὸν τρόπον, ἢν δέ τι τῶν συμφερόντων ἐκκρίνηται. κατὰ μὲν τὴν προτέραν γραφὴν, ὁ λόγος ἔσται τοιοῦτος,
F ἢν δέ τι τῶν μὴ συμφερόντων ἐκκρίνεσθαι, φαίνηται κενούμενον, οὐκ ἀγαθόν ἐστι. κατὰ δὲ τὴν δευτέραν, ἢν δέ τι τῶν συμφερόντων τῷ ζώῳ, καὶ οἰκείων, ἐκκρίνηται, οὐκ ἀγαθόν ἐστι. βελτίων οὖν ἡ προτέρα γραφή.

A

Κατὰ τοὺς πυρετοὺς μὴ διαλείποντας τὰ μὲν ἔξω ψύχεσθαι, καὶ τὰ ἔνδον καίεσθαι, μετὰ δίψης, θανάσιμον.

In continuis febribus externa frigere, & interna vri cum siti lethale.

ΑΦΟΡΙΣΜΟΣ μή.

ΕΝ τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται καὶ δίψαν ἔχῃ, θανάσιμον. B

APHORISMVS XLVIII.

IN febribus non intermittentibus si partes quidem externæ frigidæ sint internæ verò vrantur, & siti vexentur, lethale est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΣΚεπτέον εἰ δυνατὸν ἔσται τὰ εἰρημένα συμπτώματα, καὶ κατὰ τὸν διαλείποντα γίνεσθαι πυρετόν. ἐγὼ μὲν γὰρ οὔτ' εἶδον, οὔτ' ἐπινοῶ. φαίνεται δὲ μόνον τοῖς ὀλεθρίοις ὑπάρχοντα καύσοις, ἢ εἰ βούλοιο καλεῖν ἑτέρως, τοῖς κακοηθεστάτοις, οἷον λιπυρίαις. C ἄλλος δ' οὐδεὶς πυρετὸς διακαίει τὸ βάθος ἐψυγμένου τοῦ δέρματος. οὔτε γὰρ ὁ ἐπιεικὴς καῦσος, οὔθ' ὁ τριταῖος, οἵπερ ἁπάντων εἰσὶ πυρετῶν θερμότατοι. ἔοικεν οὖν οὐχ ἕνεκα διορισμοῦ προσκεῖσθαι τῷ κατὰ τὸν ἀφορισμὸν τὸ ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἀλλ' ὁμοίως εἰρῆσθαι τῷ, σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, οὐχ ὡς καὶ ἄλλοθί που τοῦ σώματος ὄντων σπονδύλων, ἀλλ' ὥσπερ εἰ καὶ οὕτως εἶπε, σπόνδυλοι δὲ οἷς ὑπάρχει κατὰ ῥάχιν εἶναι, καὶ D νῦν οὕτως ἀκουσόμεθα τοῦ λόγου. τὸ διακαίεσθαι τὸ βάθος, ἐψυγμένου τοῦ δέρματος, ὀλέθριόν ἐστι. γίνεται δὲ τοῦτο κατά τινας τῶν μὴ διαλειπόντων πυρετῶν. αἰτία δ' αὐτοῦ τοιάδε τίς ἐστιν. ὅταν ἤτοι φλεγμονή τίς ἐστιν ἰσχυρὰ κατά τι τῶν ἐν βάθει μορίων, ἢ ἐρυσίπελας συστῇ, πολὺ ἐπὶ τὸ πεπονθὸς μέρος ἐξ ὅλου τοῦ σώματος ἕλκεται τὸ αἷμα, καὶ διὰ ταῦτα μὲν διακαίεται τὸ βάθος, ἀποψύχεται δὲ τὸ δέρμα, καθάπερ ἐν ταῖς ἐπισημασίαις. E

GALENI COMMENTARIVS.

EXplorandum est vtrùm etiam in intermittente febre commemorata symptomata fieri possint. Perniciosis si quidem duntaxat ardentibus febribus accidere videntur, aut si aliter libeat vocitare, malignissimis veluti lipyriis. Nulla verò febris alia profundum corpus perurit, cute inalgescente: Neque enim mitior febris ardens, neque tertiana, quæ *duæ* febrium omnium sunt calidissimæ. Videtur itaque non distinctionis gratiâ illud aphorismo adjectum fuisse, *in febribus, non intermittentibus*; sed loquutionem protulisse huic coincidens spinæ vertebræ non quod in alia corporis parte sint vertebræ, sed quasi ita diceretur. Vertebræ quibus hoc inest, vt in spina sint: ita & nunc Hippocratis textui accipiemus. Si altum corpus exuratur, cute perfrigerata, lethale est. Hoc autem oboritur nonnullis in febribus non intermittentibus; At huius rei talis est causa: Quùm vehemens aliqua inflammatio, aut erysipelas in aliqua profunda corporis parte constiterit, vniuersus ex toto corpore sanguis in partem affectam trahitur, atque ideò vruntur profunda; cutis autem perfrigeratur, quemadmodum in primis febrium insultibus.

Περὶ τῶν τοῦ θανάτου ἐγγὺς ἐπικειμένου σημείων, ἐν διαλείποντι πυρετῷ.

De mortis impendentis signis, in febre non intermittente.

ΑΦΟΡΙΣΜΟΣ μθ'.

ΕΝ μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ τὸ βλέφαρον, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, F ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενέος ἐόντος τοῦ κάμνοντος ὅ τι ἂν τουτέων γίνηται, ἐγγὺς ὁ θάνατος.

APHORISMVS XLIX.

IN febre non intermittente si labrum, aut palpebra, aut supercilium, aut oculus, aut nasus peruertatur, si non videat, si non audiat; imbecillo iam corpore, quicquid horum acciderit, mors proxima.

GALENI COMMENTARIVS.

PEruersiones partium fiunt, quum nerui ad eas porrecti tenduntur, & ad sua principia contrahuntur. Atque ipsa tensio & inflammationes, & scirrhos, & siccitates, & perfrigerationes immoderatas sequitur. Hæc autem grauia sunt, quum prope neruorum originem constituta fuerint. Quare quum febris continua fuerit, ægerque debilis, proximam esse mortem meritò augurandum est, multóque magis, quum aut æger non audit, aut non videt, propter sensitricis facultatis imbecillitatem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΙ διαστροφαὶ τῶν μορίων γίνονται, τεινομένων τε καὶ συνελκομένων ἐπὶ τὰς ἰδίας ἀρχὰς, τῶν εἰς αὐτὰ καθηκόντων νεύρων, αὐτό τε τὸ τείνεσθαι φλεγμοναῖς, καὶ σκίρροις, καὶ ξηρότησι, καὶ ψύξεσιν ἀμέτροις ἕπεται. χαλεπὰ δὲ ταῦτά ἐστι, ὁπόταν τῆς τῶν νεύρων ἀρχῆς πλησίον συνίστηται. διὸ κἀπειδὰν ὅ τε πυρετὸς ᾖ συνεχὴς, καὶ ὁ κάμνων ἀσθενὴς, ἐγγὺς εἶναι τὸν θάνατον εἰκός ἐστι. ἔτι δὲ μᾶλλον, ὅταν ἢ μὴ ἀκούῃ τις, ἢ μὴ βλέπῃ, διὰ τὴν τῆς αἰσθητικῆς δυνάμεως ἀρρωστίαν.

Dyspnœam & delirationem in febribus continuis signa esse lethalia.

Τὴν δύσπνοιαν καὶ τὴν παραφροσύνην ἐν τοῖς συνέχεσι σημεῖα εἶναι τὰ θανάσιμα.

APHORISMVS L.

QVibuscunque in febre non intermittente spirandi difficultas, & delirium acciderit, lethale.

ΑΦΟΡΙΣΜΟΣ ν.

Ὁκόσοισι δ', ἐν τῷ πυρετῷ μὴ διαλείποντι δύσπνοια γίνεται, καὶ παραφροσύνη, θανάσιμον.

GALENI COMMENTARIVS.

FIt interdum ob vnicam causam vtraque, & spirandi difficultas, & deliratio, affecto cerebro; túncque apparet spiritus (vt ipse in prognostico pronunciat) & magnus ex multo interuallo haustus, hoc est, magnus & rarus. Potest etiam propter aliquem partium respirationi inseruientium affectum fieri spirandi difficultas. Etenim pleuritides, & peripneumoniæ & cæteræ thoracis & pulmonis affectiones spirandi difficultatem efficiunt. Hæc autem omnia periculosa sunt, adjunctâ præsertim febre continua; Nam semper cum eiusmodi febre fieri consueuerunt. Quare & hîc verba illa in febre non intermittente, eadem ratione dicta esse videntur, qua in aphorismo præcedente.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΓΙνεται μὲν ἐνίοτε καὶ διὰ μίαν αἰτίαν, ἀμφότερα, δύσπνοια καὶ παραφροσύνη, πεπονθότος τοῦ ἐγκεφάλου, καὶ φαίνεται τηνικαῦτα τὸ πνεῦμα, καθάπερ αὐτὸς εἶπεν ἐν τῷ προγνωστικῷ, μέγα τε, καὶ διὰ πολλοῦ, τουτέστι μέγα τε, καὶ ἀραιόν. ἐγχωρεῖ δὲ καὶ διά τι τῶν ἀναπνευστικῶν ὀργάνων πεπονθὸς, γίνεσθαι τὴν δύσπνοιαν. αἵ τε γὰρ πλευρίτιδες, καὶ περιπνευμονίαι, τά τ' ἄλλα τὰ κατὰ θώρακα καὶ πνεύμονα πάθη, δύσπνοιαν ἐργάζεται· κινδυνώδη δὲ ταῦτα πάντ' ἐστὶ, καὶ μάλιστα μετὰ συνεχοῦς πυρετοῦ. καὶ γὰρ καὶ γίνεσθαι πέφυκεν ἀεὶ μετὰ τοιούτου, ὥς τε κἀνταῦθα, τὸ, ἐν πυρετῷ μὴ διαλείποντι, κατὰ τὸν αὐτὸν ἔοικε λόγον εἰρῆσθαι, τῷ, κατὰ τὸν ἔμπροσθεν ἀφορισμόν.

A

Τὰ μὲν ἀποστήματα πυρετικὰ κατὰ τὰς πρώτας μὴ λυόμενα, μῆκος τῆς νόσου σημαίνει.

Abscessus febriles primis iudicationibus non solutos, morbi longitudinem portendere.

ΑΦΟΡΙΣΜΟΣ να΄.

ΕΝ τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νούσου σημαίνει.

B

APHORISMVS LI.

QVi per febres abscessus non soluuntur, morbi longitudinem significant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡόδηλος ὁ λόγος, καὶ ἴσως οὐδὲ Ἱπποκράτους δεόμενος. ἐν αὐτῷ γὰρ τῷ μὴ λύεσθαι κατὰ τὰς πρώτας κρισίμους, εὔδηλον ὡς χρονίζει τὰ τοιαῦτα παθήματα.

GALENI COMMENTARIVS.

ITa dilucida est oratio, vt fortassis Hippocrate non indigeat: satis enim ex eo ipso quòd primis diebus criticis non soluantur, constat huiusmodi affectus fore diuturnos.

C

Αὐτόματα μὲν ἐν τοῖς νοσήμασι δάκρυα καταχέειν μὴ ἄτοπον, ἑκούσια δὲ ἀτοπώτερον.

Spontaneas in morbis lachrymas fundere, non absurdum, iniussas verò absurdius.

ΑΦΟΡΙΣΜΟΣ νβ΄.

ΟΚόσοισιν, ἐν τοῖσι πυρετοῖσιν, ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι, κατὰ προαίρεσιν δακρύουσιν, οὐδὲν ἄτοπον. ὁκόσοισι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

D

APHORISMVS LII.

QVibus, in febribus, aut aliis morbus oculi ex voluntate illachrymant, nihil absurdum; quibus verò præter voluntatem, absurdius.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙρηται κἀν τῷ προγνωστικῷ, τὸ δακρύειν οὐκ ἀγαθὸν εἶναι σημεῖον· ὅταν γε δηλονότι, μηδὲν ᾖ πεπονθὸς αὐτὸς ὁ ὀφθαλμὸς ἴδιον ἐξαίρετον πάθος, οἷαι ὀφθαλμίαι, ἢ τραχύτητα περὶ τὰ βλέφαρα, ἤ τι τοιοῦτον. ἀῤῥωστία γάρ τις ἐμφαίνεται τῆς καθεκτικῆς δυνάμεως, ἐπειδὰν μηδενὸς ὄντος τοιούτου, δακρύωσιν· οὐκ ὀρθῶς δὲ, ἀτοπώτερον γέγραπται παραβλητικῶς. ἄμεινον γὰρ ἦν, ἀπολελυμένως ἄτοπον εἰρῆσθαι, καί μοι δοκεῖ τὸ σφάλμα τοῦ πρώτου βιβλιογράφου γεγονέναι μᾶλλον, ἢ Ἱπποκράτους αὐτοῦ.

E

GALENI COMMENTARIVS.

IN prognostico quoque dixerat lachrymari bonum signum non esse, quando scilicet oculus nullo peculiari ac proprio morbo laborat, vt ophthalmia, vt palpebrarum scabritie, aut simili. Certa nanque facultatis retentricis debilitas indicatur, quum nullo eiusmodi oculorum affectu ægri lachrymantur. Porro non recte scriptum est absurdius comparatiuè. Rectius enim fuisset absurdum absolutè, dicere, quæ primi potius bibliographi, quàm Hippocratis menda esse videtur.

A

Vehementioris febris signum ab humorum lentore circa dentes petitum.

Τὸ τοῦ ἰσχυροτέρου πυρετοῦ σημεῖον ἀπὸ τοῦ περιγλίσχρου ἐπὶ τῶν ὀδόντων ζητηθέν.

APHORISMVS LIII.

QVibus per febres dentibus lentores adnascuntur, vehementiores febres redduntur.

B

ΑΦΟΡΙΣΜΟΣ ιγ'.

ΟΚόσοισι δὲ ἐπὶ τῶν ὀδόντων, ἐν τοῖσι πυρετοῖσι περιγλίσχρα γίνεται, ἰσχυροὶ γίνονται οἱ πυρετοί.

GALENI COMMENTARIVS.

NEque enim huiusmodi lentores & sordes sine copioso calore pituitosiorem humiditatem exiccante oboriri queunt

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥδὲ γὰρ γενέσθαι δύναται ταῦτα τὰ περίγλισχρα, χωρὶς πολλῆς θερμασίας ὑγρότητα φλεγματικωτέραν ξηραινούσης.

C

In febribus ardentibus tussiculas aridas parciorem sitim excitare; & cur, & quid tussis arida.

Ἐν πυρετοῖς καυσώδεσι βῆχας ξηρὰς τὴν ὀλιγοτέραν δίψαν ἐργάζεσθαι, καὶ διὰ τί, καὶ τί ἡ βὴξ ξηρά.

APHORISMVS LIV.

QVos in febribus ardentibus plerunque tusses aridæ leuiter proritant, ij non admodum siticulosi sunt.

D

ΑΦΟΡΙΣΜΟΣ νδ'.

ΟΚόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ, βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεές εἰσι.

GALENI COMMENTARIVS.

SIccas *seu aridas* tusses nominant, quibus nihil expuitur. Hæ verò interdum quidem ob spirabilium instrumentorum intemperiem oboriuntur: interdum verò faucium asperitate, vel etiam aliquo tenui & pauco humore destillante. Quicquid horum acciderit, quodammodo irrigantur loci qui ad asperam arteriam porriguntur, propatereáque minus siticulosi fiunt. Si nanque sola sit asperitas, propter eum qui tussi concitatur motum, ex vicinis locis humor quidam attrahitur: sic etiam si sola fuerit intemperies.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΞΗρὰς ὀνομάζουσι βῆχας, ἐφ' ὧν οὐδὲν ἀναπτύεται, γίγνονται δέ ποτε μὲν, ἐπὶ δυσκρασίᾳ τῶν ἀναπνευστικῶν ὀργάνων. ἔστι δ' ὅτε, ἐπὶ τραχύτητι τῆς φάρυγγος, ἢ τινος ὑγροῦ λεπτοῦ τε, καὶ ὀλίγου καταῤῥέοντος. ὅ, τι δ' ἂν ᾖ τούτων, ἐπιτέγγεταί πως τὰ περὶ τὴν ἀρτηρίαν χωρία, καὶ διὰ τοῦθ', ἧττον γίγνονται διψώδεις. καὶ γὰρ ἐὰν τραχύτης ᾖ μόνη, διὰ τὴν ἐν τῇ βηχὶ κίνησιν, ἐκ τῶν πλησίον ἕλκεταί τις ὑγρότης· οὕτω δὲ κἂν ᾖ δυσκρασία μόνη.

A

Τοὺς πυρετοὺς πάντας πλὴν τῶν ἐφημέρων τοῖς βουβῶσι ἐπιγινομένους, κακοὺς εἶναι. τί ἐφήμεροι, καὶ τί, καὶ ποσαπλοῦς ὁ βουβών.

Febres omnes præter ephemeras bubonibus succedentes, malas esse. Quid diaria, & quid & quotuplex bubo.

ΑΦΟΡΙΣΜΟΣ νε

Οἱ ἐπὶ βουβῶσι πυρετοὶ πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

APHORISMVS LV.

Ex bubonibus febres omnes malæ, præter diarias.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐφήμεροι πυρετοὶ πάντες πρὸς αὐτοῦ καλοῦνται, ὅσοι κατὰ τὸν ἴδιον λόγον ἡμέρᾳ γίγνονται μιᾷ. τοιοῦτοι δέ εἰσι, καὶ οἱ ἐπὶ τοῖς βουβῶσιν, ὅταν ἐπὶ φανεροῖς αἰτίοις συστῶσι. τοὺς δ' ἄλλους βουβῶνας, ὅσοι χωρὶς αἰτίας φανερᾶς ἐγένοντο, ταῖς τῶν σπλάγχνων εἰκὸς ἐπισυμβάλλειν φλεγμοναῖς, καὶ διὰ τοῦτο, καὶ τοὺς ἅμα αὐτοῖς γιγνομένους πυρετοὺς, κακοὺς εἶναι.

GALENI COMMENTARIVS.

Diariæ febres omnes ab ipso vocantur, quæcunque secundùm suam naturam vnicum diem perdurant. Tales autem sunt quæ ex bubonibus oriuntur, quum ex causis euidentibus consistunt. Alios verò bubones, qui sine causa manifesta proueniunt, verisimile est vnà cum viscerum inflammationibus inuadere, ideóque febres vnà cum ipsis bubonibus obortas, malas esse. C

Πυρέσσοντι τὸν ἱδρῶτα ἐπιγινόμενον μὴ ἐκλείποντος τοῦ πυρετοῦ κακὸν εἶναι, καὶ τὸ νόσημα μηκύνειν σημαίνειν.

Febricitanti obortum sudorem febre perseuerante, malum esse, ac morbi prorogationem significare, & cur.

D

ΑΦΟΡΙΣΜΟΣ νϛʹ.

Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλείω σημαίνει.

APHORISMVS LVI.

Febricitanti succedens sudor, non deficiente febre, malum; prorogatur enim morbus, humorémque copiosiorem significat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

Ἐχρῆν τοῦτον τὸν ἀφορισμὸν ἐζεῦχθαι τῷ μικρῷ πρόσθεν εἰρημένῳ, καθ' ὃν ἔφη, ἱδρὼς πολὺς ψυχρὸς, ἢ θερμὸς ἀεὶ ῥέων. αὐτὸς τ' ἐδήλωσε, καὶ ὅπως κακὸν ἔφησε τὸν τοιοῦτον εἶναι, καὶ διά τινα αἰτίαν. κακὸς μὲν οὖν ἐστὶν, ὅτι πρὸς τῷ μὴ λύειν τὴν νόσον, ἔτι καὶ μηκύνειν αὐτὴν δηλοῖ. τὴν δ' αἰτίαν τοῦ κατὰ τὸν χρόνον μήκους, ὑγρότητα πολλὴν εἶναί φησιν, ἣν ἐν χρόνῳ πλείονι διαφορούσης τε, καὶ πεττούσης τῆς φύσεως, F ἀναγκαῖόν ἐστι μηκῦναι τὸ νόσημα.

GALENI COMMENTARIVS.

Hunc aphorismum cum *quadragesimo secundo* paulò antè pronunciato conjungi oportuit, in quo dicebat, *Sudor copiosus frigidus, aut calidus semper fluens.* Ipse verò & quo pacto eiusmodi sudorem dixerit malum esse, & quam ob causam indicauit. Malus itaque existit, quia cum eo quòd morbum non soluat, ipsum etiam prorogari significat. Causam verò longitudinis temporis seu prorogationis copiosam humiditatem esse profert, quam quum longiori tempore discutiat & concoquat natura, morbum prorogari necesse est.

A

Febrem conuulsionibus aut tetanis succedentem morbum soluere ; & quomodo ; quid conuulsio, quid tetanus & quotuplex, & quæ sint conuulsionis causæ.

Τὸν πυρετὸν τοῖς σπασμοῖς ἢ τετάνοις ἐπιγινόμενον, τὸ νόσημα λύειν, καὶ πῶς. τί σπασμός. τί καὶ ποσαπλοῦς τέτανος, καὶ αἵ τινες τοῦ σπασμοῦ αἰτίαι.

APHORISMVS LVII.

ΑΦΟΡΙΣΜΟΣ νζ´.

B *Conuulsione aut tetano laboranti febris succedens morbum soluit.*

Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ, πυρετὸς ἐπιγενόμενος, λύει τὸ νόσημα.

GALENI COMMENTARIVS.

Est sanè tetanus etiam conuulsio ; sed in tetano partes conuelli non videntur ; quòd peræque rursum prorsumque tendantur, ideóq; propriũ illi nomen est tetanus itaut tres sint eius omnes conuulsiones, opisthotonos, emprosthotonos & tetanos, hoc est, *postentio, pretentio, & partentio*. Omnes verò conuulsiones secundum ipsum fiunt aut ex repletione, aut vacuatione partium videlicet neruosarum. Quæcunque igitur febribus ardentibus conuulsiones superueniunt, has ob siccitatem fieri rationi consentaneum est ; quæcunque verò ab initio proprio inuadunt, ex repletione ortum habent. Hisce igitur conuulsionibus febres succedentes partim quidem superfluam humiditatem discutiunt ; partim verò frigiditatem concoquunt ; qui duo sunt Medicis remediorum scopi. Itaque meritò à febribus conuulsiones sunt lethales, non lethales verò quæ febres antecedunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔστι μὲν δή πως καὶ ὁ τέτανος σπασμὸς, ἀλλ᾽ οὐ φαίνεται σπώμενα τὰ μόρια κατ᾽ αὐτὸν, ὅτι κατ᾽ ἴσον ὀπίσω τε καὶ πρόσω τείνεται, καὶ διὰ τοῦτο ἐξαίρετόν ἐστιν ὄνομα τέτανος, ὡς εἶναι πάντας τοὺς τρεῖς σπασμοὺς, C ὀπισθότονον, ἐμπροσθότονον, τέτανον. ἅπαντες δ᾽ οἱ σπασμοὶ γίγνονται, κατ᾽ αὐτὸν, ὑπὸ κενώσεως ἢ πληρώσεως τῶν νευρωδῶν δηλονότι μορίων. ὅσοι μὲν οὖν ἐπιγίγνονται πυρετοῖς καυσώδεσι σπασμοὶ, τούτους μὲν εἰκός ἐστι διὰ ξηρότητα συνίστασθαι. ὅσοι δ᾽ ἀπ᾽ ἀρχῆς ἰδίας εἰσβάλλουσιν, ἐπὶ πληρώσει τὴν γένεσιν ἴσχουσι. τούτοις οὖν τοῖς σπασμοῖς, ἐπιγινόμενοι πυρετοὶ, τὸ μέν τι διαφοροῦσι τῆς περιττῆς ὑγρότητος. τὸ δέ τι καὶ συμπέττουσι τῆς ψυχρότητος, οἵπερ εἰσὶ καὶ τοῖς ἰατροῖς σκοποὶ τῶν ἰαμάτων, εἰκότως οὖν ὀλέθριοι μὲν, οἱ ἐπὶ πυρετοῖς σπασμοὶ, οὐκ ὀλέθριοι δὲ, οἱ πρὸ τῶν πυρετῶν.

D

Quòd qui febri ardenti rigor superuenit, febrem soluat. De rigoris & febris ardentis ortu.

Ὅτι ὁ τῷ καύσῳ ῥῖγος ἐπιγινόμενος τὸν πυρετὸν λύσῃ περὶ τῆς τοῦ ῥίγεως καὶ τοῦ καύσου γενέσεως.

APHORISMVS LVIII.

ΑΦΟΡΙΣΜΟΣ νη´.

Ardente febre laboranti superueniente rigore solutio contingit.

Ὑπὸ καύσου ἐχομένῳ ῥίγεος ἐπιγενομένου, λύσις.

E

GALENI COMMENTARIVS.

In libro nanque de rigore demonstratum est, etiam ob flauam bilem, quæ per sentientia corpora ocyùs feratur, fieri rigorem ; quam ob rem & alui soluuntur, & sudores, & vomitus biliosi superueniunt. Expurgata igitur bile febris ardentis causa efficiente, fit febris solutio. Nam febrem ardentem fieri nouimus, quum æstiua anni tempestate venulæ exiccatæ acres ac biliosos ad se ichoras attraxerint.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐδείχθη γὰρ ἐν τῷ περὶ ῥίγους λόγῳ, καὶ διὰ τὴν ξανθὴν χολὴν φερομένην ὀξέως διὰ τῶν αἰσθητικῶν σωμάτων ῥῖγος γιγνόμενον. ἐφ᾽ ὧν δηλονότι καὶ κοιλίαι καταῤῥήγνυνται, καὶ ἱδρῶτες, καὶ ἔμετοι χολώδεις ἐπιφαίνονται. καθαιρομένης οὖν τῆς τὸν καῦσον ἐργαζομένης χολῆς, ἡ λύσις τοῦ πυρετοῦ. καῦσον γὰρ ἴσμεν γιγνόμενον, ὅταν ἐν θερινῇ ὥρᾳ ἀναξηρανθέντα τὰ F φλέβια ἐπισπάσηται δριμέας καὶ χολώδεις ἰχῶρας εἰς ἑαυτά.

A

Τίς ἡ μεταξὺ τριταίου καὶ καύσου πυρετοῦ ἡ ὁμοιότης καὶ ἡ διαφορά. Τί τριταῖος ἀκριβὴς, καὶ ὅτι οὗτος ἐν ἑπτὰ περιόδοις κρίνεται.

Quæ sit inter tertianam & ardentem febrem similitudo ac differentia. Quid tertiana legitima ac sincera; & quòd hæc septem periodis iudicetur.

ΑΦΟΡΙΣΜΟΣ νθ'.

APHORISMVS LIX.

Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι, τὸ μακρότατον. B

Tertiana exquisita septem circuitibus, vt longissimè, iudicatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ τριταῖος πυρετὸς, τοῦ καύσου, κατὰ μὲν τὸν ποιοῦντα χυμὸν οὐ διαφέρει· γίνονται γὰρ ὑπὸ τῆς ξανθῆς χολῆς ἀμφότεροι. διαφέρουσι δὲ πολὺ, τῷ τὸν μὲν καῦσον ἐν ταῖς φλεψὶν ἅμα τῷ αἵματι, τὴν ξανθὴν χολὴν πλεονάζουσάν τε, καὶ ζέουσαν ἔχειν, τὸν δὲ C τριταῖον ἐν ὅλῳ τῷ σώματι φερομένην τε, καὶ κινουμένην. ἀκριβὴς οὖν ἔσται ὁ τριταῖος, ὁ τὴν ἑαυτοῦ φύσιν εἰλικρινῆ διασώζων. διασώζει δὲ, ὁ ξανθὴν χολὴν ἔχων, ὡς εἴρηται, πλεονεκτοῦσάν τε, καὶ κινουμένην, τήν τε ὥραν θερινὴν, καὶ τὸ χωρίον ὁμοίως τῇ ὥρᾳ θερμὸν, καὶ ξηρὸν, καὶ τὴν ἡλικίαν τοῦ ἀνθρώπου, καὶ τὴν κρᾶσιν ὁμοίαν. εὐθὺς δ᾽ ἂν τῷ τοιούτῳ τριταίῳ, καὶ ὁ παροξυσμὸς γίγνοιτο μετὰ ῥίγους, καὶ ἡ λύσις αὐτοῦ μεθ᾽ ἱδρῶτος, ἢ ἐμουμένης, ἢ ὑπιούσης τῆς ξανθῆς χολῆς, D ἢ καὶ πάντων ἅμα τούτων γιγνομένων. ἔσται δὲ τῷ τοιούτῳ τριταίῳ, καὶ ὁ τοῦ παροξυσμοῦ χρόνος ἐλάττων πολλῷ τοῦ τῆς ἀνέσεως. ἐν δυοῖν γὰρ ἡμέραις καὶ νυξὶ ταῖς ἴσαις συντελουμένης ὅλης αὐτοῦ τῆς περιόδου, τὸν ἀκριβῆ τριταῖον, οὐκ ἄν ποθ᾽ εὕροις ἐξωτέρω τῶν δώδεκα ὡρῶν ἐκτείνοντα τὸν παροξυσμόν. τὸν τοιοῦτον οὖν ὁ Ἱπποκράτης φησὶν ἐν ἑπτὰ περιόδοισι κρίνεσθαι τὸ μακρότατον. ὃ γὰρ ἐπὶ τῶν συνεχῶν, ἡμέρα μία δύναται, τοῦτο ἐπὶ τῶν διαλειπόντων ὁ παροξυσμός. κατὰ γοῦν τὴν τούτων συναρίθμησιν αἱ κρίσεις αὐτῶν γίγνονται. E τοῦτο δ᾽ ἠνίξατο μὲν καὶ αὐτὸς ἐν τῷ προγνωστικῷ, κατὰ τὸν περὶ τεταρταίων λόγον εἰπών· γίγνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τοῦ τοιούτου κόσμου· τετήρηται δὲ καὶ ἡμῖν ἐπὶ τῶν τεταρταίων αὐτῶν, καὶ τῶν τριταίων, ἡ κρίσις γιγνομένη κατὰ τὸν τῶν περιόδων ἀριθμὸν, οὐ τὸν τῶν ἡμερῶν. εὐθὺς γοῦν ἐπὶ τοῦ τριταίου πυρετοῦ ὁ ἕβδομος ἀπὸ τῆς ἀρχῆς παροξυσμὸς, εἰς τὴν τρισκαιδεκάτην ἡμέραν ἐμπίπτει, καὶ κρίνεται πολλάκις ἐν αὐτῇ, τὸ νόσημα, μὴ περιμεῖνον τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν. καθάπερ οὖν ἐν τοῖς συνεχέσι νοσήμασι τῶν μὲν F ὀξέων νοσημάτων ὅρος ἦν ἡ τεσσαρεσκαιδεκάτη, τῶν δὲ κατοξέων ἡ ἑβδόμη, οὕτως ἐν τοῖς διαλείπουσιν, ὁ μακροχρονιώτατος πυρετὸς τριταῖος, ὅρον ἔχει τὴν ἑβδόμην

GALENI COMMENTARIVS.

Tertiana febris ab ardente humoris efficientis ratione non differt. Ambæ nanque à flaua bile procreantur. Multum autem differunt, quòd ardens in venis vnà cum sanguine flauam bilem redundantem & feruentem habeat: tertiana verò quòd eadem bilis toto feratur ac moueatur corpore. Exquisita igitur tertiana erit, quæ sui ipsius naturam puram sincerámque seruat. Seruat autem quæ flauam bilem (vt diximus) redundantem & concitatam habet; & prætereà vbi adest æstiua tempestas, & regio tempestati similiter calida ac sicca; & hominis tum ætas, tum temperatio similis. Statim autem in tali tertiana cum rigore fiet accessio; & eius solutio cum sudore, aut bile flaua per vomitum, aut aluum euacuata, aut hisce omnibus simul factis. Erit etiam eiusmodi tertianæ tempus accessionis multò minus, quàm remissionis: Nam quum duobus diebus & totidem noctibus totus eius circuitus perficiatur, exquisitam tertianam vltrà horas duodecim accessionem proferre nunquam reperies. Talem igitur ait Hippocrates septem circuitibus, quod longissimum sit, iudicari. Quod enim in continuis vnus dies potest, hoc in intermittentibus accessio: Nam secundùm accessionum supputationem, intermittentium fiunt iudicationes. Hoc ipse in prognostico innuebat, quum de quartana agens ita loquitur; seruat etiam quartanarum constitutio talem ordinem. Sed & ipsi quoque obseruauimus tum in quartanis ipsis, tum in tertianis fieri iudicationem, secundùm periodorum non dierum numerum. Iamprimum ergo in tertiana febre à principio septima accessio in tertium & decimum diem incidit, ac sæpius in ipso morbus iudicatur, non expectato quartodecimo die. Quemadmodum igitur in morbis continuis acutorum quidem morborum terminus est quartusdecimus, peracutorum verò septimus: sic in intermittentibus, quæ longissimum tempus durat tertiana febris terminum habet circuitum septimum. Atque rursùm vt in peracutis quinto,

quarto, & tertio die morbus iudicari poterat: Sic in tertiana quoque iisdem circuitibus fieri solutio potest, natura minime septimam periodum expectante. Porrò Hippocrates tertianam aliquando cum adjectione exquisitam nominat; aliquando verò simplici appellatione contentus tertianam absolutè dicit, quæ nunc etiam aliorum omnium Græcorum est consuetudo, huiusmodi res omnes indefinitè nominare.

A περίοδον. ὥσπερ δὲ πάλιν ἐπὶ τῶν κατοξέων ἐνεδέχετο κριθῆναι τὸ νόσημα, καὶ κατὰ τὴν πέμπτην ἡμέραν, καὶ κατὰ τὴν τετάρτην, καὶ κατὰ τὴν τρίτην, οὕτως καὶ τοῦ τριταίου, καὶ κατὰ τὰς αὐτὰς περιόδους, ἐνδέχεται γενέσθαι τὴν λύσιν, οὐκ ἀναμενούσης τῆς φύσεως τὴν ἑβδόμην περίοδον. ἐνίοτε μὲν οὖν μετὰ προσθήκης, ὁ Ἱπποκράτης ἀκριβῆ τριταῖον ὀνομάζει τὸν τοιοῦτον. ἐνίοτε δὲ ἁπλῶς ἀρκεῖται τριταῖον εἰπών. ὥσπερ καὶ νῦν ἔθους ὄντος καὶ τοῖς ἄλλοις ἅπασιν Ἕλλησι, τὰ τοιαῦτα πάντα πράγματα ἀδιορίστως ὀνομάζειν.

B

Vnde surditas; eámque aut hæmorrhagiâ, aut diarrhœâ solui.

Ἐξ οὗ ἡ κώφωσις, καὶ αὐτὴν ἢ διὰ τῆς αἱμοῤῥαγίας, ἢ διὰ τῆς διαῤῥοίας λύεσθαι.

APHORISMVS LX.

ΑΦΟΡΙΣΜΟΣ ξ'.

Qvibus per febres aures obsurduerunt, sanguis è naribus profluens, aut aluus exturbata, morbum soluit.

C Ὀκόσοισιν αἱ, ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νόσημα.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Svrditatem fieri biliosis excrementis, & ad caput recurrentibus etiam antea ab ipso pronunciatum est; talemque surditatem aluo exturbatâ solui. Idem quoque nunc is ipse pronunciat, & præterea de profluuio sanguinis è naribus mentione facta. Etenim hoc etiam surditatem soluit, etiam vdelicet quæ per febres absque vlla propria atque insigni instrumenti auditus affectione suboritur. Neque mirum est si noxiis humoribus excretis & translatis morbi cessent.

Εἴρηται καὶ πρόσθεν αὐτῷ, κώφωσιν γίγνεσθαι, χολωδῶν διαχωρημάτων ἐπισχεθέντων, καὶ ἀναδραμόντων ἐπὶ τὴν κεφαλὴν, λύεσθαί τε τὴν τοιαύτην κώφωσιν, ἐκταραχθείσης τῆς γαστρός. εἴρηται δὲ καὶ νῦν
D αὐτῷ τοῦτο, καὶ πρὸς αὐτὸ τὸ περὶ τῆς διὰ τῆς ῥινὸς αἱμοῤῥαγίας. καὶ γὰρ καὶ αὕτη λύει κώφωσιν, τὴν ἐν πυρετοῖς γιγνομένην, δηλονότι χωρὶς τοῦ πεπονθέναι τι τὸ τῆς ἀκοῆς ὄργανον ἴδιον ἐξαίρετον πάθημα· καὶ οὐδὲν θαυμαστὸν, ἐκκενουμένων τε καὶ μεταβαλλομένων τῶν λυπούντων χυμῶν παύεσθαι τὰ νοσήματα.

E Nisi febris die impari, hoc est, iudicatorio desierit, eam reuersuram.

Ἢν μὴ ὁ πυρετὸς περισσῇ ἡμέρῃ τουτέστι τῇ κρισίμῃ παύσῃ ταύτην ἀναστρέψειν.

APHORISMVS LXI.

ΑΦΟΡΙΣΜΟΣ ξα'.

Febricitantem nisi diebus imparibus febris dimiserit, reuerti consueuit.

Πυρέσσοντι, ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ὁ πυρετὸς ἀφῇ, ὑποστροφιάζειν εἴωθεν.

GALENI COMMENTARIVS. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Vtrùm hunc aphorismum Hippocrates ipse scripserit, neque inter falso ascriptos fuerit nescio. Etenim in prognostico

Οὐκ οἶδα εἰ τοῦτον τὸν ἀφορισμὸν Ἱπποκράτης αὐτὸς ἔγραψε, καὶ μὴ τῶν παρεγγεγραμμένων ἐστίν.

ἔν τε γὰρ τῷ προγνωστικῷ, τὰς κατὰ τετράδα τῶν κρισίμων ἡμερῶν αὐξήσεις τε, καὶ συνθέσεις ἐδίδαξε, καὶ κατὰ τοῦτ' αὐτὸ τὸ βιβλίον τῶν ἀφορισμῶν, ἔν τε ταῖς Ἐπιδημίαις, οὐ μόνον ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πολλοὺς οἶδε κρινομένους, ἀλλὰ καὶ κατὰ τὴν εἰκοστὴν, καὶ τὴν τεσσαρακοστὴν, καὶ ἑξηκοστὴν, καὶ ὀγδοηκοστήν. κρίνει δ' αὐτῷ καὶ εἰκοστὴ τετάρτη, καὶ τριακοστὴ τετάρτη, ὀγδοηκοστή τε, καὶ κατ' ἀρχὰς εὐθέως ἡ τετάρτη. πῶς οὖν νῦν φησὶν, εἰ μὴ ἐν περισσῇ ἡμέρᾳ ὁ πυρετὸς παύσεται, μὴ γίνεσθαι πιστὴν τὴν κρίσιν· ἄμεινον οὖν ἀντὶ τοῦ, ἐν περισσῇ ἡμέρᾳ, ἐν κριτικῇ γράφειν, ὡς ἐνίοις ἔδοξε. πολλὰ μέντοι τῶν ἀντιγράφων πληθυντικῶς, τὸ, τ' ἐν περισσῇσι, καὶ τὸ, ἡμέρῃσιν ἔχει γεγραμμένα.

A ea dierum iudicantium incrementa ac compositiones quæ per quaternarium fiunt, docuit, & in hoc ipso aphorismorum Libro, atque in Epidemiis non solùm decimoquarto die iudicari vidit: verumetiam vigesimo, quadragesimo, sexagesimo, & octogesimo. Sed & vicesimusquartus, & tricesimus, & ab initio statim quartus secundùm ipsum iudicant. Quomodo igitur nunc nisi imparibus diebus febris desierit, minimè fidem fore iudicationem pronunciat: Præstat igitur pro impari die scribere crisimo, id est, iudicatorio, vt nonnullis visum est. Quanquam multa exemplaria multitudinis numero imparibus diebus scriptum habent. B

Τὸν ἴκτερον πρὸ τῆς ἑβδόμης ἡμέρας ἐπιγίνεσθαι κακόν. διὰ τί κακόν; διττὸν τὸν ἴκτερον εἶναι, κριτικόν τε καὶ συμπτωματικόν.

Icterum ante septimum diem superuenire malum: cur malum. Duplicem icterum esse, criticum & symptomaticum.

C

ΑΦΟΡΙΣΜΟΣ ξβ'.

Ὁκόσοισιν, ἐν τοῖσι πυρετοῖσιν, ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακόν. ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται.

APHORISMVS LXII.

Quibus per febres ante septimum diem aurigines oboriuntur, malum, nisi humores per aluum cedant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἴκτερος μὲν ἐνίοτε γίνεται καὶ κριτικὸς, ἀποτιθεμένης τῆς φύσεως εἰς ὅλον τὸ σῶμα, καὶ μάλιστα πρὸς τὸ δέρμα, τὴν ξανθὴν χολήν. γίνεται δὲ καὶ σύμπτωμα κακοπραγοῦντος τοῦ ἥπατος. αἱ κακοπραγίαι δ' αὐτοῦ τρεῖς εἰσιν ἐφ' αἷς ἴκτερος εἴωθεν ἐπιγίνεσθαι, σκίρρος, καὶ φλεγμονὴ, καὶ ἔμφραξις. ἀλλὰ σκίρρος μὲν χρόνιον νόσημα, φλεγμονὴ δὲ καὶ ἔμφραξις, καὶ ἐξαίφνης δύναται γίνεσθαι. καὶ δὴ καὶ οἱ πρὸ τῆς ἑβδόμης ἡμέρας ἴκτεροι κατά τι τούτων γίνονται. θᾶττον γὰρ οὐχ οἷόν τε κριτικῶς ἀναχυθῆναι τὴν χολὴν εἰς τὸ σῶμα· τὸ μὲν οὖν πρὸ τῆς ἑβδόμης ἡμέρας κακὸν εἶναι τὸν ἴκτερον, ἀληθές. οὐ μὴν τό γε μετὰ τὴν ἑβδόμην ἀκίνδυνον, ὁμοίως ἀληθὲς, οὐδ' εἴρηται νῦν τοῦτο. δύναται γὰρ καὶ φλεγμονὴ καὶ ἔμφραξις, ἄχρι πλείονος παραμεῖναι. θᾶττον μέντοι τῆς ἑβδόμης, ἀναχυθῆναι τὴν χολὴν κριτικῶς, ἀδύνατόν ἐστιν. ἔν τισι δὲ τῶν ἀντιγράφων πρόσκειται τῷ ἀφορισμῷ, κατὰ τὸ τέλος, ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γίνονται. τῶν προστιθέντων αὐτὸ, βουλομένων καὶ κατὰ τὴν κοιλίαν ἐκκαθαίρεσθαι τὴν χολήν.

GALENI COMMENTARIVS.

D

Icterus interdum criticus est, hoc est, iudicatoriè fit, natura in totum corpus, maximéque in cutem flauam bilem deponente; interdum symptomaticus; symptoma nanque est jecoris male affecti. Mali autem jecoris affectus ex quibus aurigo oboriri consueuit, tres sunt, scirrhus, inflammatio, & obstructio. Verùm scirrhus diuturnus morbus est; inflammatio verò & obstructio etiam repente fieri possunt. At profectò qui icteri ante
E septimum diem acciderint, ex horum alterutro ortum habent. Nam citiùs judicatoriè bilis in corpus effundi non potest. Ante septimum quidem diem icterum malum esse, verum existit: non tamen post septimum omni vacare periculo, similiter verum est; neque istud nunc pronunciatur. Potest enim & inflammatio & obstructio diutiùs permanere. Verùm ante septimum criticè bilem effundi est impossibile: Porro in quibusdam exemplaribus aphorismo circa finem adiectum
F est: nisi humores per aluum cedant; ijs qui hæc adjiciunt per aluum quoque bilem expurgari volentibus.

A

Febres solui quotidie, quum quotidie rigores fiunt, & quare. Vnde rigor.

Τοὺς πυρετοὺς καθ' ἡμέραν λύεσθαι ὅταν καθ' ἡμέραν τὰ ῥίγη γίνεται. καὶ διὰ τί ποτε τὸ ῥῖγος.

APHORISMVS LXIII.

Qvibus in febribus quotidie rigores fiunt, quotidie febres soluuntur.

B

ΑΦΟΡΙΣΜΟΣ ξγ'.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται.

GALENI COMMENTARIVS.

Qvum bilis per totum corporis habitum motione rigores accidant, atque ideò singulis ipsa accessionibus expurgetur & vacuetur, non absque ratione ad apyrexiam peruenit eiusmodi febrium intermissio. Hoc igitur ipsum est quod nunc dicitur: *Quotidie febres soluuntur*; ac si dixisset, ægrotos quotidie sine febre fieri. Quemadmodum autem si quotidie rigores fiant, quotidie etiam febres cessant; sic etiam si tertio, quartove quoque die: quod vtique & in tertianis & quartanis circuitibus fieri apparet, in quibus febres soluuntur, & rursum redeunt; remanet tamen quædam in corpore præter naturam affectio, à qua per circuitum aliæ febres & morbi generantur.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ κινουμένης τῆς χολῆς κατὰ τὴν ὅλην τοῦ σώματος ἕξιν ἐπιγίνεται ῥίγη, καὶ διὰ τοῦτο, ἐκκαθαίρεταί τε, καὶ κενοῦται καθ' ἕκαστον παροξυσμόν, εἰκότως εἰς ἀπυρεξίαν ἀφικνεῖται τὸ διάλειμμα τῶν τοιούτων πυρετῶν. τοῦτο οὖν ἐστὶν αὐτὸ τὸ νῦν εἰρημένον, τὸ καθ' ἑκάστην ἡμέραν οἱ πυρετοὶ λύονται, ὡς εἰ καὶ καθ' ἡμέραν ἀπυρέτους γίγνεσθαι τοὺς κάμνοντας εἰρήκει. ὥσπερ δὲ εἰ καθ' ἡμέραν γίγνοιτο τὰ ῥίγη, καθ' ἡμέραν οἱ πυρετοὶ παύοιντο, οὕτω δηλονότι, καὶ εἰ διὰ τρίτης, καὶ εἰ διὰ τετάρτης, ὅπερ ἀμέλει καὶ φαίνεται γιγνόμενον, ἐπί τε τῶν τριταίων, καὶ τεταρταίων περιόδων, ἐφ' ὧν οἱ μὲν πυρετοὶ λύονταί τε, καὶ πάλιν γίνονται. μένει δέ τις ἐν τῷ σώματι παρὰ φύσιν διάθεσις, ἐφ' ἧς κατὰ περίοδον οἵ τ' ἄλλοι πυρετοὶ, καὶ τὰ νοσήματα γεννῶνται.

D

Icterum diebus criticis oboriri (nisi durum sit hypochondrium) bonum; aliis verò, minime bonum.

Ἴκτερον μὲν ἐν ταῖς ἡμέραις κρισίμοις ἐπιγίνεσθαι, ἢν μὴ τὸ ὑποχόνδριον δεξιὸν σκληρὸν γένηται, ἀγαθόν· ἄλλαις δὲ, μὴ ἀγαθόν.

APHORISMVS LXIV.

Qvibus per febres die septimo, aut nono, aut decimoquarto, icterus obortus fuerit, bonum; nisi dextrum hypochondrium durum sit; alioqui minime bonum.

E

ΑΦΟΡΙΣΜΟΣ ξδ'.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ ἑβδόμῃ ἢ ἐνάτῃ ἢ τῇ τεσσαρεσκαιδεκάτῃ, ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ ὑποχόνδριον τὸ δεξιὸν σκληρὸν γένηται, εἰ δὲ μὴ, οὐκ ἀγαθόν.

GALENI COMMENTARIVS.

F

Qvi ante hunc scriptus est aphorismus citrà ordinem interjectus fuisse mihi videtur. Satius enim fuisset nunc pronunciatum aphorismum illi conjunctum fuisse, in

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ πρὸ τούτου γεγραμμένος ἀφορισμὸς, ἀτάκτως μοι δοκεῖ παρεγκεῖσθαι. βέλτιον γὰρ ἦν συνῆφθαι τὸν νῦν εἰρημένον ἀφορισμὸν ἐκείνῳ, καθ' ὃν φησι·

οἷσιν αἱ ἐν πυρετῷ, ἴκτεροι ἐπιγένωνται πρὸ ἑπτὰ ἡμερῶν, κακόν. ἵν' ὁ σύμπας λόγος γένηται τοιοῦτος, πρὸ μὲν τῶν ἑπτὰ ἡμερῶν ἴκτερον γενέσθαι, κακὸν πάντως, μετὰ δὲ τὰς ἑπτὰ χρηστόν. εἰ μή τι τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν εἴη, τουτέστιν εἰ μή τις ἐν τῷ σπλάγχνῳ ἤ τοι τῷ ἥπατι κακοπραγία, τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων ὑπάρχει. καθαιρομένου γὰρ ἐν αὐτῷ τοῦ αἵματος, καὶ τῆς χολῆς μεταλαμβανομένης ἐκ τῶν φλεβῶν εἰς τοὺς χοληδόχους πόρους. ἐάν τε ἔμφραξίς τις γένηται κατά τι τῶν μεταλαμβανόντων χωρίων, ἐάν τε φλεγμονή τις ἢ σκίρρος, ἀνάγκη πᾶσα, μήτε καθαίρεσθαι τὸ αἷμα, καὶ συναναφέρεσθαι τὴν χολὴν αὐτῷ πάντη τοῦ σώματος, ἐντεῦθέν τε τὸν ἴκτερον γίνεσθαι.

A quo ait: *Quibus per febres aurigines ante septimum diem oboriuntur, malum*; vt tota eiusmodi procederet oratio. Ante septimum diem icterum fieri prorsus malum est; post septimum verò, bonum; nisi dextrum hypochondrium obduruerit, id est, nisi quis malus affectus ex ijs quos paulò suprà retulimus, visceri seu hepati acciderit. Quum enim sanguis in eo expurgetur, & bilis ex venis in meatus cholidochos, *bilis receptacula*, traducatur; siue in his locis obstructio, aut inflammatio aliqua, vel scirrhus fuerit, sanB guinem prorsus non expurgari; sed vnà cum ipso bilem quoquouersum per totum corpus deferri, atque inde auriginem fieri necesse est.

Ἐν τοῖς πυρετοῖς τὸ καῦμα τῆς κοιλίας, καὶ καρδιωγμὸν, κακὸν εἶναι.

In febribus æstum ventriculi, & cardiogmum malum esse.

ΑΦΟΡΙΣΜΟΣ ξέ.

ΕΝ τοῖσι πυρετοῖσι, περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν, καὶ καρδιωγμὸς, κακόν.

C APHORISMVS LXV.

IN febribus circa ventriculum æstus vehemens, & cordimorsus, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν οὖν, οὐ μόνον τὸ σφύζον ἐξ ἑαυτοῦ κατὰ φύσιν σπλάγχνον, ἀλλὰ καὶ τὸ στόμα τῆς γαστρὸς, οἱ παλαιοὶ καρδίαν ὠνόμαζον, ἕν τι τῶν ὁμολογουμένων ἐστίν. ὥσπερ γε καὶ ὅτι καρδιαλγίας, τὰ τούτου μέρους ἀλγήματα προσαγορεύουσι. Τό γε μὴν καρδιώσσειν, οἱ πλεῖστοι μὲν τῶν ἐξηγησαμένων, τοὺς ἀφορισμοὺς, ταὐτὸν ἡγοῦνται σημαίνειν, τῷ καρδιαλγεῖν. ἔνιοι δὲ τῆς καρδίας αὐτῆς, λέγω δὴ τοῦ σπλάγχνου, καρδιωγμὸν δηλοῦσθαί φασιν, ἐξηγούμενοί τε, κίνησιν τινὰ, φασὶ, παλμώδη, τὸν καρδιωγμὸν εἶναι. τὸ μὲν οὖν ἰσχυρὸν καῦμα τῆς κοιλίας, ὑπὸ τῆς ξανθῆς χολῆς ζεούσης, ἐν τοῖς χιτῶσιν αὐτῆς, γίνεται. κατὰ λόγον δὲ τοῖς οὕτω διακειμένοις, καὶ τὸ στόμα τῆς γαστρὸς δάκνεται, καὶ διὰ τοῦτο, κακόν ἐστι τὸ σύμπτωμα. εἰ δὲ καὶ τὴν πυκνὴν, καὶ ταχεῖαν κίνησιν τῆς καρδίας, καὶ μάλιστ' ὅταν ᾖ καὶ παλμώδης, ἀκούοι τις εἰρῆσθαι καρδιωγμὸν, ἔσχατον ἤδη τοῦτο κακόν ἐστι, σημαῖνον ἐκπεπυρῶσθαι τὴν ζωτικὴν ἀρχήν.

GALENI COMMENTARIVS.

D QVòd Veteres non solùm viscus illud quod ex se secundum naturam pulsat; sed etiam os ventriculi cor appellauerint, res est concessa, quemadmodum etiam quod cardialgiam *cordolium*, huius partis dolores appellitant. Enimvero plurimi aphorismorum Interpretes καρδιώσσειν, idem quod καρδιαλγεῖν, *corde morderi*, *idem ac corde dolere*, significare autumant. Nonnulli verò cordis ipsius visceris scilicet cardiogmum hîc significari dicunt, motionem quandam palpitationi similem cardiogmum esse. Itaque vehemens ventriculi æstus à flaua bile in ipsius tunicis feruente E generatur. Rationi autem consentaneum est ita affectis & os ventriculi morderi, & ob id malum esse symptoma. Si quis verò cardiogmum dici crebrum illum & celerem cordis motum quum palpitationi sit similis intellexerit, extremum iam hoc malum est, quod inflammatum ac incensum vitæ principium significat.

In

A

In acutis conuulsiones, & viscerum dolores mala esse signa: vnde, & quare.

Ἐν τοῖς ὀξέσι τοὺς σπασμοὺς, καὶ τοὺς περὶ τὰ σπλάγχνα πόνους εἶναι κακὰ τὰ σημεῖα· ὅθεν, καὶ διὰ τί.

APHORISMVS LXVI.

ΑΦΟΡΙΣΜΟΣ ξϛ΄.

IN febribus acutis conuulsiones, & vehementes circa viscera dolores, malum.

ΕΝ τοῖσι πυρετοῖσι ὀξέσιν οἱ σπασμοὶ, καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

B

GALENI COMMENTARIVS.

VEhementes febres ignis instar neruos exiccantes tendunt, & conuellunt, proindéque perniciosas conuulsiones adferunt. Nonnunquam verò viscera quoque ipsa per talem affectum dolent, propter inflammationis ac siccitatis vehementiam; atque idcirco ipse malum esse pronunciat; Sed multò pejor erit, si vehementes dolores accesserint. Scimus autem etiam propter inflammationem, aut erysipelas, aut fortem obstructionem, aut abscessus, in visceribus dolores fieri. Sed de his nunc ipsi sermonem haberi verisimile non est. Manifestissimum siquidem ipsis inest periculum; non tamen necessariò conuulsioni adjungitur. Et quum Hippocrates *in febribus* dicit, morbos febriles intelligere consueuit, quum febres ipsæ sint morbi, non etiam partis alicuius aliquo dictorum affectuum laborantis symptomata.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙ σφοδροὶ πυρετοὶ παραπλησίως πυρὶ ξηραίνοντες τὰ νεῦρα, τείνουσί τε, καὶ σπῶσι, καὶ κατὰ τοῦτο ἐπιφέρουσιν ὀλεθρίους σπασμούς. ἐνίοτε δὲ καὶ αὐτὰ τὰ σπλάγχνα, κατὰ τὴν τοιαύτην διάθεσιν ὀδυνᾶται, τῷ σφοδρῷ τῆς φλογώσεώς τε καὶ ξηρότητος, καὶ διὰ τοῦτο κακὴν εἶναί φησιν αὐτὴν, ἔτι δὲ μᾶλλον κακὴ ἔσται τῶν πόνων ἰσχυρῶν γιγνομένων. ἴσμεν δὲ δή που, καὶ διὰ φλεγμονὴν, ἢ ἐρυσίπελας, ἢ ἔμφραξιν ἰσχυρὰν, ἢ ἀποστήματα, ἐν τοῖς σπλάγχνοις ὀδύνας γιγνομένας. ἀλλὰ νῦν οὐκ εἰκὸς αὐτῷ τὸν λόγον ὑπὲρ ἐκείνων εἶναι. προφανής τε γὰρ ὁ ἐπ᾽ αὐτῆς κίνδυνός ἐστι, καὶ οὐκ ἐξ ἀνάγκης συνημμένος σπασμῷ, καὶ, ὅταν ἐν πυρετοῖς, εἴωθε λέγειν ὁ Ἱπποκράτης, ἀντὶ τοῦ πυρετικοῖς νοσήμασιν, ὅταν αὐτοῖς πάθος ὑπάρχωσιν οἱ πυρετοὶ, καὶ μὴ σύμπτωμα μορίου πεπονθότος τι τῶν προειρημένων παθῶν.

C

D

Pauores in somnis, labores, & conuulsiones per febres mala esse signa, cur, & vnde.

Τοὺς φόβους ἐκ τῶν ὕπνων, καὶ τοὺς πόνους, καὶ σπασμοὺς ἐν τοῖς πυρετοῖς κακὰ εἶναι σημεῖα, διὰ τί, καὶ ὅθεν.

APHORISMVS LXVII.

ΑΦΟΡΙΣΜΟΣ ξζ΄.

E

IN febribus per somnos, pauores, aut conuulsiones malum portendunt.

ΕΝ τοῖσι πυρετοῖσιν, οἱ ἐκ τῶν ὕπνων φόβοι, ἢ σπασμοὶ, κακόν.

GALENI COMMENTARIVS.

AB ipso quoque antea pronunciatum est: *Qui somnus ægrotantem lædit, eum esse mortiferum; qui verò non lædit, lethalem non esse*, vbi & pronunciati exemplum adijciens ita loquitur; *Vbi delirium somnus sedat, bonum*; tanquam somnus aliquis sit qui delirium non sedet, sed conciteт interdum & generet. Verùm & nunc tamen non pauores,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙρηται μὲν ὑπ᾽ αὐτοῦ καὶ πρόσθεν, ὅτι ὁ μὲν βλάπτων τὸν ἄρρωστον ὕπνος, θανάσιμος ὑπάρχει. ὁ δὲ μὴ βλάπτων, οὐ θανάσιμος. ἔνθα καὶ παράδειγμα τοῦ λόγου προσθεὶς, εἶπεν· ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν. ὡς ὄντος τινὸς ὕπνου, τοῦ μήτε παύοντος παραφροσύνην, παροξύνοντος ἐνίοτε, καὶ γεννῶντος. ἀλλὰ καὶ νῦν, ἕτερα παραδείγματα τῆς ἐξ

F

ὕπνου βλάβης εἶπε, τοὺς φόβους καὶ τοὺς σπασμούς. γράφουσι δὲ οὐ φόβους, ἀλλὰ πόνους ἔνιοι, καὶ μέντοι καὶ τεθεάμεθα πολλάκις ἐν ὀλεθρίοις νοσήμασι, καὶ φόβους, καὶ πόνους, καὶ σπασμοὺς ἐξ ὕπνου γινομένους. ἔοικε δὲ τοῦτο συμβαίνειν, ὅταν ἐν τοῖς ὕπνοις ἐπὶ τὸν ἐγκέφαλον, ὁ λυπῶν ἀφίκηται χυμός, ἔσω κινουμένης τηνικαῦτα τῆς φύσεως μᾶλλον, ἤπερ ἔξω. καὶ μέντοι, καὶ ὥσπερ ἐπὶ τῇ τροφῇ κατενεχθέντες εἰς ὕπνον πληροῦνται τὴν κεφαλήν, οὕτω κἂν ταῖς πληθωρικαῖς διαθέσεσιν οἱ ὕπνοι πληροῦντες αὐτήν, βαρύνουσι τὸν ἐγκέφαλον. ἐὰν μὲν οὖν μελαγχολικώτερον ᾖ τὸ πλῆθος, οἱ φόβοι γίνονται· μὴ τοιούτου δὲ ὄντος, οἱ πόνοι τε, καὶ οἱ σπασμοί· καὶ οἱ ὕπνοι δὲ δηλονότι διὰ παντὸς ἂν ἔβλαπτον, ὅσον ἐπὶ τὸ συρρεῖν εἰς τὸ βάθος τε, καὶ τὰ σπλάγχνα τὴν ὕλην, εἰ μὴ τῷ τῆς πέψεως λόγῳ πλέον εἶχε τὸ τῆς ὠφελείας, ἤπερ τὸ τῆς βλάβης ἐστὶν ἐκ τῆς ἔσω ῥοπῆς. οὐ μόνον δὲ κατὰ τὸν ἐγκέφαλον αὐτὸν ἀθροιζόμενοι μοχθηροὶ χυμοὶ τοιαῦτα συμπτώματα φέρουσιν, ἀλλὰ καὶ κατὰ τὸ στόμα τῆς γαστρός, ὅθεν καὶ μᾶλλον ἐν τοῖς ὕπνοις αἱ ἀναθυμιάσεις γίνονται, μενόντων ἀπέπτων αὐτῶν, ὡς αἵ γε πέψεις τοὺς ὠφελίμους ἐπιφέρουσιν ὕπνους.

ſed labores ſcribunt. Verùm & ipſi ſæpe vidimus in perniciosis morbis & pauores, & labores, & conuulſiones ex ſomno concitatos fuiſſe. Quod accidere videtur, quum in cerebrum noxius humor peruenerit per id temporis intrò magis quàm foras, motâ naturâ. Quin etiam quemadmodum à cibo in ſomnum collapſis caput repletur: ſic plethoricis affectibus ſomni caput replentes cerebrum obruunt. Si itaque ea plenitudo magis ad atræ bilis naturam accedat, pauores inuadunt: alioqui ſi talis non ſit, labores fiunt & conuulſiones. Et verò ſomni etiam ipſi, quantum in ea eſt materia quæ in profundum & viſcera iipſa per quietem confluit, ſemper læderent, niſi collectionis ratione maiorem vtilitatem adferrent, quàm ſit damnum illud quod motum ad interiora conſequitur. Nec ſolùm in cerebro ipſo aceruati praui humores, talia inuehunt ſymptomata, ſed etiam in ipſo ore ventriculi. Vnde magis etiam per ſomnum exhalationes fiunt, ipſis incoctis manentibus. Nam coctiones ſomnos vtiles adferunt.

Τὸ πνεῦμα προσκόπτον τὸ σπασμοῦ σημεῖον εἶναι κακόν. Τί τὸ πνεῦμα προσκόπτον· πῶς γίνηται· περὶ τῶν τοῦ πνεύματος μορίων.

Illiſam ſpirationem conuulſionis ſignum eſſe malum. Quid ſpiritus illidens, quomodo fiat; de ſpirationis partibus.

ΑΦΟΡΙΣΜΟΣ ξη΄.

ΕΝ τοῖσι πυρετοῖσι, τὸ πνεῦμα προσκόπτον, κακόν· σπασμὸν γὰρ σημαίνει.

APHORISMVS LXVIII.

IN febribus ſpiritus illidens malum; conuulſionem enim portendit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΝεῦμα νῦν ἀκουστέον αὐτὸν λέγειν, ὥσπερ κἂν ἐν τῷ προγνωστικῷ, τὸ κατὰ τὴν ἀναπνοήν, ὅπερ ἐπειδὰν προσκόπτῃ, τουτέστιν ἴσχηται μεταξύ, καὶ διακόπτηται, σπασμὸν σημαίνει. καὶ γὰρ καὶ γίνεται, τῶν τὸν θώρακα κινούντων μυῶν, καὶ νεύρων ἤδη σπασμωδῶς διακειμένων. αὐξηθείσης οὖν τῆς διαθέσεως, ἐπιλαβούσης τε πλείονα μόρια, σαφὴς σπασμὸς καταλήψεται τὸν ἄνθρωπον. οὔσης δὲ διπλῆς τῆς κατὰ τὴν ἀναπνοὴν κινήσεως, ἡ μὲν ἔσω φορὰ τοῦ πνεύματος, εἰσπνοὴ προσαγορεύεται· ἡ δ' ἔξω, τὴν ἐναντίαν εἴληφε προσηγορίαν ἐκπνοὴ κληθεῖσα. προσκόπτει δὲ τὸ πνεῦμα, ποτὲ μὲν ἡμῶν εἰσπνεόντων, ὥσπερ ὅταν εἴπῃ, διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπίπνευσις. ποτὲ δὲ ἐκπνεόντων, ὡς ὅταν εἴπῃ, καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἔξω φορῇ. ἐν τούτοις μὲν οὖν, ἑκατέρου τοῦ μέρους τῆς ἀναπνοῆς ἐμνημόνευσε μόνον. κατὰ δὲ τὸν νῦν προκείμενον ἀφορισμόν, ὑπὲρ ὅλης αὐτῆς ἀποφαινόμενος, ἔφη, τὸ πνεῦμα προσκόπτον, εἴ τε κατὰ τὴν ἔσω φορὰν, εἴτε κατὰ τὴν ἔξω, εἴ τε κατ' ἀμφοτέρας, πάσχει τὸ τοιοῦτον.

GALENI COMMENTARIVS.

SPiritum hîc ab ipſo dici quemadmodùm & in prognoſtico, reſpirationem, exaudiendum eſt; qui quum illidat, hoc eſt, in ſui medio ſiſtatur & interrumpatur, conuulſionem ſignificat. Etenim hoc fit muſculis thoracem mouentibus, ac neruis jiam conuulſione affectis, qua ſane aucta affectione & plures partes occupante, tum aperta conuulſio hominem prehendet. Quum verò geminus ſit reſpirationis motus, alter quo ſpiritus intrò fertur, inſpiratio dicitur; alter quo foràs fertur, contrariam appellationem ſortitus, expiratio nuncupatur. Illidit autem ſpiritus ac interciditur, nobis interdum inſpirantibus, vt quum ipſe dixit. *Duplex intro reuocatio*, veluti ſuperinſpiratio; interdum exſpirantibus, vt quum dixit: *Et ſpiritus illiſus*, quum foras effertur. In his igitur vtriuſque partis reſpirationis tantùm meminit. At in propoſito aphoriſmo de tota ipſa pronuncians, inquit, *ſpiritus offendens*, ſiue intrò foràſve, ſiue vtróque feratur, id accidit.

Vrinas primùm crassas, deinde grumosas, easque prauas, postea tenues ac copiosas prodeuntes iuuare. Cur, quando, & quomodo tales fiant ac iuuent.

APHORISMVS LXIX.

QVibus febre non vacuis vrinæ crassæ, grumosæ, ac paucæ sunt, vbi copia ex his successit, tenuis prodest. Tales autem his maximè prodeunt, quibus ab initio, aut quamprimum sedimentum sortiuntur.

GALENI COMMENTARIVS.

NOn simpliciter vrinas crassas pronunciauit; sed etiam grumosas addidit, duorum alterum indicans, aut crassitudinis quantitatem, aut sedimenti inæqualitatem ac diuulsionem: ita vt secundùm quandam etiam circunscriptionem multæ ipsarum concretiones tanquam grumi appareant. Itaque nonnulli, vt Numisianus & Dionysius non grumosas, sed cœnosas scribunt; qui si per id verbum simul fœtorem quendam indicent, quiddam amplius quam alij interpretes explicant; Si verò crassitudinis copiam, nihil quicquam quod non alij, hoc ipso docent. Enimverò tota Hippocratis oratio non de graueolentibus vrinis esse videtur; sed de solis paucis ac crassis, vt ex antithesi, seu oppositione fiet manifestum. Vbi ex his copia successit tenuis, iuuat. Quare si hoc solum scriberetur; quibus vrinæ crassæ paucæ, nihil orationi deesset. Fiunt autem quibusdam febre vacuis tales vrinæ, naturâ per renes totius corporis superuacanea expurgante; fiunt etiam cum febribus, in quibus quispiam fortassis suspicetur eiusmodi vrinarum in contrarium factum transmutationem non esse bonam. Quandoquidem maximam partem in febribus ex vrinis ab initio tenuibus fit in crassiores conuersio, morbo jam ad solutionem tendente. Atqui propterea mihi hic aphorismus ab eo scriptus esse maximè videtur, quod rarum accidit, edocent. Contingit enim interdum aut per morbi initia, aut non multò post principium vrinas crassas redditas propter *materiæ* grauitatem sedimentum habere. His igitur in vrinis sedimentum bonum signum non est, quemadmodum in cæteris quæ quum ab initio tenues existant, totius morbi coctionis ratione sedimentum consequuntur. Porrò meritò crassæ vrinæ multitudine paucæ sunt, vt quæ vix renes permeent. Postquam igitur simul tum major eiusmodi, cacochymiæ pars vacuata fuerit, tum simul residuum concoctum euaserit, tunc multò prioribus tenuiores excernuntur. Præ-

Οὖρα τὰ πρῶτον μὲν παχέα, ἔπειτα δὲ θρομβώδεα, καὶ ταῦτα κακὰ, μετὰ τοῦτο λεπτὰ καὶ πολλὰ ἐπελθόντα ὠφελεῖν. διὰ τί, πότε, καὶ πῶς τοιοῦτα γίνεται, καὶ ὠφελεῖ.

ΑΦΟΡΙΣΜΟΣ ξθ'.

ΟΚόσοισιν οὖρα παχέα, θρομβώδεα ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν ὠφελέει, μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται οἷσιν ἐξ ἀρχῆς ἢ διὰ βραχέων ταχέων ὑπόστασιν ἔχει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥκ ἁπλῶς εἴρηκεν οὖρα παχέα, ἀλλὰ προσέθηκε καὶ θρομβώδεα, δυοῖν θάτερον ἐνδεικνύμενος, ἤτοι τοῦ πάχους τὸ ποσὸν, ἢ τὸ τῆς ὑποστάσεως ἀνώμαλόν τε, καὶ διεσπασμένον, ὡς καὶ κατὰ περιγραφήν τινα φαίνεσθαι πολλὰς συστάσεις αὐτῶν, ὥσπερ θρόμβους. ἔνιοι μὲν οὖν, οὐ θρομβώδεα γράφουσιν, ἀλλὰ βορβορώδεα, καθάπερ καὶ ὁ Νουμισιανὸς, καὶ ὁ Διονύσιος, εἰ μὲν καὶ δυσωδίαν τινὰ συνενδεικνύμενοι διὰ τῆς λέξεως, πλέον τι τῶν ἄλλων δηλοῦντες· εἰ δ' ὡς τοῦ πάχους τὸ ποσὸν, οὐδὲν περιττότερον, ἐν τῷδε διδάσκοντες. ὁ γε μὴν σύμπας λόγος τοῦ Ἱπποκράτους, οὐ φαίνεται περὶ δυσωδῶν οὔρων γινόμενος, ἀλλὰ μόνων ὀλίγων τε, καὶ παχέων, ὡς ἐκ τῆς ἀντιθέσεως ἔσται δῆλον. πλῆθος γάρ φησιν, ἐλθὸν ἐκ τούτων λεπτὸν, ὠφελέει, ὥστε εἰ καὶ μόνον ἐγέγραπτο τοῦτο, ὅσοις οὖρα παχέα ὀλίγα, μηδὲν ἂν λείπειν τῷ λόγῳ. γίνεται μὲν οὖν καὶ χωρὶς πυρετοῦ τισὶν οὖρα τοιαῦτα, τῆς φύσεως ἐκκαθαιρούσης διὰ νεφρῶν τὰ τοῦ παντὸς σώματος περιττώματα. γίνεται δὲ καὶ μετὰ πυρετῶν, ἐφ' ὧν ἴσως ἄν τις ὑπονοήσειε τὴν εἰς τοὐναντίον αὐτῶν μετάπτωσιν οὐκ εἶναι χρηστήν. ἐπειδὴ, τοὐπίπαν ἐν τοῖς πυρετοῖς, ἐκ λεπτῶν κατ' ἀρχὰς τῶν οὔρων, ἡ μετάπτωσις εἰς τὸ παχύτερον γίνεται πρὸς τὴν λύσιν ἰούσης τῆς νόσου, καὶ διὰ τοῦτό μοι δοκεῖ μάλιστα καὶ ὁ ἀφορισμὸς οὗτος αὐτῷ γεγράφθαι, διδάσκοντι τὸ σπάνιον τοῦ πράγματος. ἔστιν ὅτε γὰρ, ἤτοι κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος, ἢ οὐ μετὰ πολύ γε τῆς ἀρχῆς, οὖρα γινόμενα παχέα, διὰ τὸ βάρος ὑπόστασιν ἴσχει. τούτοις οὖν τοῖς οὔροις, οὐκ ἔστιν ἀγαθὸν σημεῖον ἡ ὑπόστασις, ὥσπερ τοῖς ἄλλοις, ὁπόσα λεπτὰ κατ' ἀρχὰς ὄντα τῷ λόγῳ τῆς πέψεως ὅλου τοῦ νοσήματος ὑπόστασιν λαμβάνει. τῷ πλήθει δ' εἰκότως ἐστὶν ὀλίγα τὰ παχέα τῶν οὔρων, ὡς ἂν μόγις διεξερχόμενα τῶν νεφρῶν. ὁπόταν οὖν ἅμα μὲν ἐκκενωθῇ τὸ πλέον τῆς τοιαύτης κακοχυμίας, ἅμα δὲ καὶ πεφθῇ τὸ καταλοιπὸν, ἐκκρίνεται, τηνικαῦτα λεπτότερα πολὺ τῶν πρόσθεν, ἀμέλει.

νον γὰρ οὕτως εἰπεῖν, οὐκ ἀπολύτως, ὡς Ἱπποκράτης εἶπε λεπτά. τὰ γὰρ κατὰ φύσιν, οὐχ ἁπλῶς ἐστὶ λεπτὰ, καθάπερ οὐδὲ παχέα. μέσα δὲ ἑκατέρας τῆς ὑπερβολῆς καὶ σύμμετρα ὄντα, παχύτερα μέν ἐστι καὶ λέγεται τῶν ὑδατωδῶν, λεπτότερα δὲ τῶν θρομβωδῶν. πολλὰ δὲ εἰκότως ἐκκρίνεται, διὰ τὸ πρόσθεν ἐπέχεσθαι, καθ' ὃν χρόνον μόγις διεξῄει τὰ παχέα.

A stiterit; nanque sic appellare non tenues absolutè, quemadmodum dixit Hippocrates. Nam quæ secundùm naturam sunt, non absolutè tenues existunt, vt neque crassæ; sed inter vtrumque excessum mediæ & commoderatæ sunt; & aquosis quidem crassiores sunt, atque dicuntur; tenuiores verò grumosis. Multæ autem ratione excernuntur, quia priùs retentæ fuere, quo tempore præ crassitie vix percolabantur.

B

Τὰ ἀνατεταραγμένα οὖρα ταῖς κεφαλαλγίαις εἶναι ἐπόμενα, ἢ ταύτας τῶν προσημασίας. Τί, καὶ πόθεν τὰ οὖρα ἀνατεταραγμένα ἐστὶν ὑποζυγίαι.

Perturbatas vrinas cephalalgiarum esse comites aut prænuncias. Quid & vnde vrinæ perturbatæ vrinis jumentorum similes.

ΑΦΟΡΙΣΜΟΣ ό.

Ὁκόσοισι δὲ ἐν πυρετοῖσι, τὰ οὖρα ἀνατεταραγμένα οἷα ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι, ἢ πάρεισιν, παρέσονται.

APHORISMVS LXX.

C *Quibus per febres vrinæ perturbatæ sunt, quales iumentorum, ijs capitis dolores adsunt, aut aderunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτον ἔνιοι τὸν ἀφορισμὸν τῷ πρὸ αὐτοῦ συνάπτουσιν ὡς μέρος ἐκείνου, γράφοντες οὕτως. οἷσιν δὲ ἀνατεταραγμένα τὰ οὖρα, τούτοισι κεφαλαλγίαι. Καὶ βούλονταί τινες μὲν, τὸ ἀνατεταραγμένα, τὰ ἐναντία δηλοῦν τοῖς προειρημένοις, τοῖς λεπτοῖς, τινὲς δὲ παχέσι καὶ θρομβώδεσι, τινὲς δὲ αὐτὰ τὰ ἀνατεταραγμένα ἐξηγοῦνται. ψεῦδος γε μήν ἐστι τὸ τὰ λεπτὰ τῶν οὔρων εἶναι κεφαλαλγικά. φαίνονται γὰρ αἱ κεφαλαλγίαι, ποτὲ μὲν προηγούμεναι, ποτὲ δὲ συνοῦσαι τοῖς ἀνατεταραγμένοις οὔροις. ὁποῖα δέ ἐστι ταῦτα, σαφῶς ἐδήλωσεν εἰπὼν, οἷον ὑποζυγίου, καὶ γίγνεται τοιαῦτα, παχείας τε καὶ πυκνῆς ὕλης ὑπὸ θερμοῦ κατεργαζομένης. αὗται γὰρ μάλιστα καὶ πρὸς τῆς ἔξω θερμασίας φαίνονται πνευματούμεναι καθάπερ, ἄσφαλτος, καὶ πίσσα, καὶ ῥητίνη. τινὰ μὲν οὖν τῶν τοιούτων οὔρων, ἐπὶ πλεῖστον ἀνατεταραγμένα μένει, τινὰ δὲ ὑπόστασιν ἴσχει παχεῖαν ἀλλὰ ταχέων, καὶ δηλοῖ βραδέως λυθήσεσθαι τὸ νόσημα. τὰ δὲ ἕτερα, τὰ μὴ καθιστάμενα, σὺν μὲν ἰσχυρᾷ τῇ δυνάμει μηκυνεῖσθαι τὸ νόσημα δηλοῖ, σὺν ἀσθενεῖ δὲ, τεθνήξεσθαι τὸν κάμνοντα. ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἴρηταί μοι, διότι χρήσιμά ἐστιν. ἃ δὲ εἰς αὐτὸν τὸν ἀφορισμὸν ἔτι χρὴ εἰπεῖν ἐστὶ τοιαῦτα. τοῖς ἀνατεταραγμένοις οὔροις, ἐξ ἀνάγκης αἱ κεφαλαλγίαι καθὼς προεῖπεν ὁ Ἱπποκράτης, ἢ σύνεισιν, ἢ ἔσονται, ἐπειδὴ τὸ φυσῶδες πνεῦμα μετὰ τῆς θερμασίας ἐπὶ τὴν κεφαλὴν ἑτοίμως ἀναφέρεται, οὐ μὴν εἴ τις ἐκεφαλάλγησεν, ἢ κεφαλαλγεῖ, τούτῳ πάντως τοιαῦτα τὰ οὖρά ἐστι. γίγνονται γὰρ αἱ κεφαλαλγίαι, καὶ διὰ θερμότητα μόνην. ἐνίοτε δὲ καὶ διὰ τὴν ξανθὴν χολὴν, ἤτοι γε ἐν τῇ κεφαλῇ περιεχομένην, ἢ ἐν τῇ γαστρὶ, καὶ διὰ πλῆθος ὑγρῶν κατειληφὸς τὴν κεφαλὴν, καὶ δι' ἐμφρα-

textus hic maxime depravatus ē: clarior sensus videbitur si legatur: παχέσι καὶ θρομβώδεσι· τινὲς δ' αὐτὰ τὰ ἀνατεταραγμένα, λεπτὰ ἐξηγοῦνται. ψεῦδος

GALENI COMMENTARIVS.

Hunc aphorismum nonnulli superiori tanquam eius partem connectunt ita scribentes; *Quibus verò vrinæ turbatæ sunt, hisce recentes capitis dolores.* Ac volunt quidam vocem *turbatæ* prædictis tenuibus contrarias prodere; quidam verò crassis & grumosis; quidam etiam, ipsas perturbatas, tenues explicant. Atqui tenues vrinas doloris capitis indices D esse falsum est. Interdum enim capitis dolores præcedere videntur, interdum simul cum perturbatis vrinis adesse. Quales autem hæ sint, his verbis manifestò declarauit; *quales jumentorum.* Tales verò fiunt calore materiam crassam ac densam agitante ac versante. Hæ siquidem *materiæ* maximè ab externo etiam calore, sicuti bitumen, pix, & resina flatulentum spiritum concipere ac edere videntur. Nonnullæ igitur vrinæ perturbatæ diutissimè manent, nonnullæ citò sedimentum crassum consequuntur, ac tardam morbi solutionem fore significant. Quæ cæteræ non resident viribus constantibus, longum fore E morbum, prostratis verò ægrum interiturum prænunciant. Hæc obiter quòd vtilia sint, à nobis explicata sunt. Quæ verò ad ipsum aphorismum explicandum etiamnum dicenda restant, sunt huiusmodi. *Vrinis perturbatis capitis dolores necessariò adsunt, aut aderunt*, vi pronunciat Hippocrates, quoniam flatulentus spiritus vnà cum calore promptè in caput attollitur; Non tamen si cui caput doluit, aut dolet, huic omnino tales vrinæ sunt. Cephalalgiæ siquidem fiunt etiam propter calorem F solum; interdum verò propter flauam bilem quæ in capite aut ventriculo continetur, vel ob humorum caput aggrauantium copiam, vel localem aliquam obstructionem, vel spiritu flatulento ea ipsa in parte generationem

sortito: ex quibus nulla talem vrinam necessariò adfert.

Rubram nubeculam, magisque albam quartò die in vrinis apparentem die septimo futuræ crisis signum esse: sic enæoremata & alia.

APHORISMVS LXXI.

QVibus die septimo contingit crisis, ijs vrina rubram habet die quarto nubeculam, ac pro ratione cætera.

GALENI COMMENTARIVS.

QVemadmodum in multis aliis seipsos artis Hippocratis imperitos ostenderunt eorum plurimi qui hunc *aphorismorum* librum explicarunt: sic & in hoc aphorismo. Existimant enim hæc aphorismo addita, *ac pro ratione cætera*, significari quæcunque ad somnos spectant, & vigilias, aut respirationem, aut decubitum, aut surrectionem, aut si quid aliud eiusmodi in prognostico scripsit; vt si hæc omnia rectè fieri videantur, die septimo futuram iudicationem speremus. Quâ in re maxima prænotionum capita ignorare videntur: Vigilant enim plerunque, jactantur, ac vehementiùs febricitant ægri, quanto propius ad crisim accesserint. Ex ipsis autem multi iudicationi proximi difficulter spirant. Minime verò præsens ex vrinis signum, etiam citra isthæc commemorata symptomata, ad certiorem futuræ iudicationis spem & conjecturam signis apparentibus in vrinis indiget; sed sunt multa alia, quæ frequentiùs in vrina quàm istud spectantur; quæ ignorare mihi prorsus videntur ij qui Hippocratis scripta, priusquam ipsius artem vniuersam perdidicerint, audent exponere. Nam quum quartus dies sit index, quemadmodum ipse docuit, & qualis futurus sit septimus prænunciet, quodcunque in ipso primùm effatu dignum coctionis signum apparet, futuram septimo die judicationem significat. Verùm & alba multò magis enæorema *sublimamentum* album, æquale, atque constans. Quòd si celeriter admodùm morbus moueatur, & coloris & corporis vrinæ seu consistentiæ mutatio sit, idonea sunt futuræ iudicationis signa. Tenuis itaque vrina si mediocriter crassa efficiatur, sique alba vel pallida fiat, in tali morbo iudicationem prænunciat. Vnius itaque signi nominatim Hippocrates meminit, rubræ nimirùm nubeculæ. Dignum autem existimat, vt tum hoc, tum alia ex ratione intelligamus, quæcunque futuras crises ostendunt. Hæc autem sunt, quæ diebus indicibus ab ipso vocatis, & spectabilibus, vel in vrinis, vel dejectionibus, vel sputis superueniunt: semper enim eiusmodi omnia crises prænunciant, non tamen semper bonas. Solis enim

A ξίν τινα τοπικὴν, ἢ πνεύματος φυσώδους ἐν αὐτῷ τῷ μορίῳ, τὴν γένεσιν ἐχόντος, ὧν οὐδεμία τοιοῦτον οὖρον ἐπιφέρει ἐξ ἀνάγκης.

Τὸ ἐπινέφελον ἐρυθρὸν, καὶ μᾶλλον τῇ τετάρτῃ ἐν τοῖς οὔροις ἐπιφαῖνον ἐπὶ τῆς ἑβδόμης τῆς ἐσομένης κρίσεως σημεῖον εἶναι. οὕτως τὰ ἐναιωρήματα, καὶ τὰ ἄλλα.

ΑΦΟΡΙΣΜΟΣ οα΄.

B

Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον, τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τὰ ἄλλα κατὰ λόγον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ ἐν ἄλλοις πολλοῖς ἐπεδείξαντο τῆς Ἱπποκράτους τέχνης ἑαυτοὺς ἀμαθεῖς ὄντας, οἱ πλεῖστοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, οὕτω κἂν τῷδε. C νομίζουσι γὰρ προσκεῖσθαι τῷ ἀφορισμῷ, τὸ καὶ τἄλλα κατὰ λόγον, ὅσα περὶ ὕπνους, ἢ ἐγρήγορσιν, ἢ ἀναπνοὴν, ἢ ἀνάκλησιν, ἢ διανάστασιν, ἤ τι τοιοῦτον ἄλλο τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων, ἵνα εἰ ταῦτα πάντα φαίη καλῶς γινόμενα, τὴν κρίσιν ἔσεσθαι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐλπίζοιμεν· ἀγνοεῖν δ' ἐοίκασι τὰ μέγιστα τῶν προγνωστικῶν κεφαλαίων. ἀγρυπνοῦσί τε γὰρ ὡς τὰ πολλὰ, καὶ δυσφοροῦσι, καὶ πυρέττουσι σφοδρότερον οἱ κάμνοντες, ὅσῳπερ ἂν ἐγγυτέρω τῆς κρίσεως ἀφίκωνται. πολλοὶ δ' D αὐτῶν, καὶ δυσπνοοῦσιν ἐγγυτέρω τῆς κρίσεως. ἥκιστα δεῖται τοῦτο διὰ τῶν οὔρων φανὲν σημεῖον, ἄνευ τῶν εἰρημένων συμπτωμάτων, εἰς πιστοτέραν ἐλπίδα τῆς μελλούσης ἔσεσθαι κρίσεως, σημεῖον ἐν οὔροις, ἀλλ' ἕτερα πολλὰ συνεχέστερον αὐτοῦ φαινόμενα, περὶ ὧν ἐοίκασιν οὐδὲν γινώσκειν οἱ τολμῶντες ἐξηγεῖσθαι τὰ Ἱπποκράτους συγγράμματα, πρὶν ἐκμαθεῖν ἅπασαν αὐτοῦ τὴν τέχνην. οὔσης γὰρ τῆς τετάρτης ἡμέρας ἐπιδήλου, καθάπερ αὐτὸς ἐδήλωσε, καὶ μηνυούσης ὁποία τις ἡ ἑβδόμη γενήσεται, πᾶν ὅτι περ ἂν ἐν αὐτῇ πρῶτον φανῇ σημεῖον ἀξιόλογον πέψεως, τὴν ἐσομένην κρίσιν ἐπὶ τῆς ἑβδόμης δηλοῖ, ὥστε E οὐ μόνον ἐρυθρά τις ἐπιφανεῖσα νεφέλη πρότερον οὐ γεγενημένη, σημαίνει τὴν κρίσιν, ἀλλὰ καὶ ἡ λευκὴ, πολὺ μᾶλλον αὐτῆς. ἔτι δὲ μᾶλλον ἐναιώρημα λευκὸν, ὁμαλόν τε, καὶ συνεστηκός. εἰ δ' ὀξέως πάνυ κινοῖτο τὸ νόσημα, καὶ ἡ τῆς χρόας μεταβολὴ, καὶ ἡ τῆς συστάσεως, ἱκανὰ σημεῖα τῆς μελλούσης ἔσεσθαι κρίσεως. τὸ γοῦν λεπτὸν οὖρον, εἰ συμμέτρως γένηται παχὺ, καὶ τὸ λευκὸν, ἢ ὠχρὸν, ἐν τοιούτῳ νοσήματι προδηλοῖ τὴν κρίσιν. ἑνὸς μὲν οὖν ὀνομαστὶ σημείου τοῦ κατὰ τὴν ἐρυθρὰν νεφέλην ἐμνημόνευσεν ὁ F Ἱπποκράτης· ἀξιοῖ δ' ὡς τοῦτο, καὶ τἄλλα κατὰ λόγον ἡμᾶς ἐννοεῖν, ὅσα σημαίνει μελλούσας ἔσεσθαι κρίσεις. ἔστι δὲ ταῦτα, τὰ κατὰ τὰς ὑπ' αὐτοῦ καλουμένας ἐπιδήλους τε, καὶ θεωρητὰς ἡμέρας ἐπιγινόμενα, ἢ δι' οὔρων, ἢ διαχωρημάτων, ἢ πτυσμάτων· ἀεὶ μὲν γὰρ ἅπαντα τὰ τοιαῦτα δηλοῖ κρίσεις, οὐκ ἀεί γε τὰς ἀγαθάς. μόνοις γὰρ

ἑτέρων πολλῶν συνεχέστερον αὐτοῦ φαινομένων.

τοῖς τῆς πέψεως σημείοις ἐν ταῖς θεωρηταῖς ἡμέραις ἐπιφανεῖσιν, ἀγαθαὶ προδηλοῦνται κρίσεις. ἡ μὲν οὖν διάνοια τοῦ κατὰ τὸν ἀφορισμὸν λόγου, τοιαύτη τίς ἐστιν, ἐμνημόνευσε δὲ τῆς ἐρυθρᾶς νεφέλης, ὡς σπανίου σημείου. λευκαὶ μὲν γὰρ συνεχέστατα φαίνονται, καί εἰσιν ἐναργέστερον πέψεως σημεῖον. αἱ δὲ ἐρυθραὶ, σπανίως γίνονται· καὶ εἰ μὴ νῦν ὑφ' Ἱπποκράτους εἴρηνται καὶ αὗται κατὰ τὰς ἐπιδήλους ὁρώμεναι, μέλλουσαν ἐπαγγέλλεσθαι κρίσιν, ἴσως οὐ τις οὐδὲ προσεδόκησε τοιαύτην ὑπάρχειν αὐταῖς δύναμιν. εἴ γε γοῦν τὸ ἐρυθρὸν χρῶμα, σωτήριον μὲν εἶναί φησι, χρονιώτερον δέ. λέγει γὰρ ἐν προγνωστικῷ κατὰ λέξιν οὕτως. εἰ γε εἴη τό τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε, καὶ λείη, πολὺ χρονιώτερον μὲν τοῦτο τοῦ προτέρου γίνεται, σωτήριον δὲ κάρτα. ἆρ' οὖν ἐν τετάρτῃ τῶν ἡμερῶν ἡ τοιαύτη νεφέλη φανεῖσα, δηλώσει τὴν ἐπὶ τῆς ἑβδόμης ἐσομένην κρίσιν, ἐν ἄλλῃ δέ τινι τῶν ἐπιδήλων οὐ δηλώσει, σκεπτέον ἀκριβῶς· ὅπερ ἐστὶ παραφυλακτέον ἐπ' αὐτῶν τῶν ἔργων. ὅσον μὲν γὰρ ἐπὶ αὐτῷ τῷ λόγῳ δυνατὸν εἰς ἑκάτερον ἐπιχειρῆσαι, καὶ μᾶλλόν τε ὡς οὐ δηλώσει, πλὴν εἰ πάνυ σφόδρα τὸ νόσημα ταχέως κινοῖτο. κατὰ μὲν γὰρ τὴν τετάρτην ἡμέραν γινόμενον, ἴσον τῷ προσελθὸν χρόνῳ τὸν ἑξῆς ἐπιλαβὸν, οὐκ ἀδύνατόν ἐστι δηλῶσαι κρίσιν. ἐπὶ δὲ τῆς ἑνδεκάτης φανὲν, οὐ πάνυ τί μοι δοκεῖ τριῶν ἡμερῶν δεήσεσθαι μόνων, ἀλλὰ καὶ πλειόνων. ἀληθέστατον μὲν γάρ ἐστι τὸ τὴν τοιαύτην χρείαν ἐπιμεμφθεῖν τι ταῖς λύσεσι, ἐθεασάμην γοῦν ἐγὼ σπανιάκις τὸ τοιοῦτον σημεῖον ἐν ἄλλαις ἡμέραις, παρὰ τὴν τετάρτην. ᾧ μὲν οὖν ἐπὶ τῆς ἑβδόμης ἐφάνη, τεσσαρεσκαιδεκαταῖος ἐκρίθη. ᾧ δὲ ἐπὶ τῆς τεσσαρεσκαιδεκάτης, εἰκοσταῖος, *ἐφάνη δὲ καὶ ἄλλῳ κατὰ τὴν ἑνδεκάτην, ὅστις ἑπτακαιδεκαταῖος ἐκρίθη, καὶ ἄλλῳ πάλιν ἐπὶ τῆς αὐτῆς ἑνδεκάτης, ὅς τις εἰκοσταῖος.

τῆς τέχνης forte addend.

A coctionis signis diebus spectabilibus apparentibus, bonæ crises futuræ denunciantur. Ergo talis est textûs aphorismi sensus: At rubræ nubeculæ tanquam signi perrari meminit. Albæ enim frequentissimè apparent, suntque euidentiora coctionis signa. Rubræ verò rarò fiunt: & nisi nunc ipsas pronunciasset Hippocrates diebus indicibus spectatas futuram crisim denunciare, nemo fortassis talem ipsis vim inesse crederet. Siquidem rubrum colorem salutarē quidem esse profert; sed diuturniorem morbum portendere. Nam in Prognostico ad verbum ita scribit. *Si vero vrina* B *subrubra, & sedimentum subrubrum, ac læue fuerit, hæc priore quidem multò diuturniorem, sed admodum salutarem significat.* Vtrùm igitur quarto die talis conspecta nubecula futuram crisim septimo significatura sit, in alio verò quodam indice non significatura, id accuratè perpendendum est; quòd in ipsis artis operibus obseruari debet. Nam quod ad rationes attinet, sunt in vtramque partem, ac magis in alteram, quod non prænunciabit, nisi morbus celeriter admodum moueatur. Nam si quod quarto die designatum est, tantundem temporis *hoc est tres insuper accipiat*, C potest futuram crisim prodere: vndecimo verò si appareat, non tribus solùm diebus, sed etiam pluribus indigere sæpe videtur. Verissimum siquidem est talem *dierum indigentiam* aliquid suffragari solutionibus: Ego certè rarò eiusmodi signum alijs diebus spectavi quàm quarto. Cui igitur septimo apparuerint, is quartodecimo fuit iudicatus; cui verò quartodecimo, is vicesimo. Apparuit & cuidam alteri vndecimo, qui decimo septimo iudicatus est. Cuidam rursum alteri eodem vndecimo apparuit, qui vicesimo die fuit iudicatus. D

Τὰ οὖρα διαφανέα καὶ λευκὰ εἶναι πονηρὰ, μάλιστα δὲ ἐν τοῖς φρενιτικοῖς· διὰ τί, καὶ πόθεν. καὶ ταῦτα τῆς ἀπεψίας καὶ χρονίου νοσήματος σημεῖα.

Vrinas pellucidas & albas malas esse, præsertim verò in phreneticis; cur, & vnde: Eásque cruditatis & longi morbi signa.

ΑΦΟΡΙΣΜΟΣ οβ'.

Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, πονηρά· μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

E

APHORISMVS LXXII.

Quibus vrinæ pellucidæ, albæ, malæ; maximè verò in phreneticis apparent.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ τοιαῦτα τῶν οὔρων ἀπεψίας ἐσχάτης ἐστὶ σημεῖα, διὸ καὶ χρονίζει τὰ νοσήματά τινα δι' αὐτῶν. ὅταν γε φθάσῃ προκαταλύσαντα τὴν δύναμιν, ὄλεθρος γίγνεται, καθάπερ ἐν ταῖς φρενίτισιν. οὐδένα γοῦν οἶδα σωθέντα φρενιτικὸν, ᾧ τοιοῦτον οὖρον ὤφθη. βέλτιον γὰρ, ὥσπερ ὅλον τὸ νόσημα χολῶδες, οὕτω καὶ

GALENI COMMENTARIVS.

F Tales vrinæ extremæ cruditatis signa sunt, quare & morbos diuturnos significant. Quædam verò ex ipsis dejectis priùs *per morbum* & prostratis viribus sunt perniciosæ, vt in phrenitide. Nullum siquidem vidi, in quo talis apparuisset vrina, phreniticum saluum euasisse; Melius enim est, quemadmo-

dum totus morbus bilioſus eſt, ſic & vrinas bilioſas apparere. Aquoſæ verò vrinæ (ejuſmodi nanque ſunt pellucidæ albæ) maximam cruditatem oſtendunt, & præterea totum flauæ bilis impetum ſurſum in caput factum eſſe denunciant: Quibuſdam enim vrinæ ſunt perſpicuæ, non etiam albæ, compage quidem tenues, colore verò bilioſæ. Quæ verò limpidæ ſimul & albæ exiſtunt, prorſus aquoſæ ſunt. Si igitur ſimpliciter ſcriptum ſit maximè verò in phreniticis malæ, manifeſta eſt aphoriſmi ſententia. Si verò vt in aliis habetur exemplaribus, ad finem orationis adjiciatur verbum *apparent*, ſenſus erit talis: *Aquoſæ vrinæ malæ ſunt, maximè verò tales apparent in phreniticis qui pernicioſè ſe habent.* Neque enim in omnibus, quemadmodum nonnulli huius Libri Interpretes intellexerunt, ignari prorſus eorum quæ in ægotis apparent. In quibuſdam autem exemplaribus ita finis aphoriſmi ſcriptus eſt; præcipuè verò in phreniticis apparent; & idem eſt intellectus, qui ſecundæ lectionis ſuperiùs à nobis explicatæ.

A τὰ οὖρα φαίνεσθαι χολώδη. τὰ δὲ ὑδατώδεα τῶν οὔρων, τοιαῦτα γάρ ἐστι τὰ διαφανέα λευκὰ, παμπόλλην τε τὴν ἀπεψίαν δηλοῖ καὶ προσέτι, τῆς ξανθῆς χολῆς ἅπασαν τὴν ὁρμὴν, ἄνω γεγενῆσθαι πρὸς τὴν κεφαλήν. διαφανῆ μὲν γὰρ γίνεταί τισιν οὖρα, χωρὶς τοῦ λευκά. λεπτὰ μὲν ὄντα τῇ συστάσει, χολώδη δὲ τῇ χρόᾳ. τὰ δὲ διαφανῆ τε ἅμα, καὶ λευκὰ, τελέως ἐστὶν ὑδατώδη. εἰ μὲν οὖν ἁπλῶς εἴη γεγραμμένον, μάλιστα δὲ τοῖς φρενιτικοῖσιν, εἴρηται σαφῶς ὁ νοῦς τοῦ λόγου. προσκειμένου δὲ ἐπὶ τῇ τελευτῇ τοῦ ἐπιφαίνεται, καθάπερ ἐν ἄλλοις πρόσκειται τῶν ἀντιγράφων, τὸ δηλούμενον ἔσται τοιοῦτον.
B τὰ ὑδατώδη τῶν οὔρων ἐστὶ πονηρὰ, μάλιστα ἐπιφαίνεται τοιαῦτα τοῖς ὀλεθρίως ἔχουσι φρενιτικοῖς. οὐ γὰρ δὴ πᾶσί γε, ὥς τινες ἤκουσαν τῶν ἐξηγησαμένων τὸ βιβλίον, οὐδὲν ἐπιστάμενοι τῶν κατὰ τοὺς ἀρρώστους ἐπιφαινομένων. ἐν τισὶ δὲ τῶν ἀντιγράφων οὕτω γέγραπται τὸ τέλος τοῦ ἀφορισμοῦ. μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται τὰ τοιαῦτα, καὶ ἔστιν ἡ αὐτὴ διάνοια τῇ κατὰ τὴν προειρημένην δευτέραν γραφήν.

C

Quid in febribus elata cum murmure & lumborum dolore hypochondria ſignificent; vnde attollantur hypochondria; quorum elatio vna cum murmure, altera cum borborygmo; quæ murmuris, & quæ doloris lumborum cauſa.

Τί ἐν τοῖς πυρετοῖς τὰ μετέωρα μετὰ βορβορυγμοῦ καὶ τοῦ ὀσφύος ἀλγήματος ὑποχόνδρια σημαίνῃ· πόθεν μετεωρίζηται τὰ ὑποχόνδρια, ὧν ὁ μετεωρισμὸς εἷς μὲν μετὰ τοῦ βορβορυγμοῦ, ἕτερος δὲ οὐ μετὰ βορβορυγμοῦ, ἥτις τοῦ βορβορυγμοῦ, καὶ τίς ὀσφύος ἀλγήματος αἰτία.

APHORISMVS LXXIII.

D *Quibus ſublata hypochondria murmurant, ſuccedente lumborum dolore, iis alui humectantur, niſi flatus deorſum erumpant, aut vrinarum copia prodeat. Hæc autem in febribus.*

ΑΦΟΡΙΣΜΟΣ ογ΄.

Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, ὀσφύος ἀλγήματος ἐπιγινομένου, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται, ἢν μὴ φῦσαι καταρραγῶσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι τὰ ταῦτα.

GALENI COMMENTARIVS.

Qvum multis de cauſis hypochondria tollantur, hoc eſt, majorem in tumorem adducantur, ex his vna ſpiritus eſt flatulentus, de qua nunc diſſerit, bifariàm fieri ſolita: interdum propter affectum aliquem inueteratum & ſolutu difficilem partium ad ventrem attinentium: interdum verò ob recentem aliquã occaſionem. Has autem affectiones nunc diſtinguit Hippocrates; Nam prior affectio ſine murmure fit: Tenſa nanque atque inflata vtris inſtar reddit hypochondria; altera fit cum murmure. Sic autem vocatur ſtrepitus ſpiritu editus quum neque magnus, neque multus exiſtit, & cum quadam mediocri humiditate deorſum mouetur. Accidit igitur tali murmure ad lumbos deſcendente, vnà cum ipſo tumorem ex hypochondriis deuehi; vnde partibus hic poſitis ab eodem diſtentis dolorem

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Ὑποχονδρίων μετεώρων, ὅπερ ἐστὶν ἐν ὄγκῳ μείζονι, κατὰ πολλὰς αἰτίας γιγνομένων, ἔστι μία καὶ ἡ διὰ πνεῦμα φυσῶδες, ὑπὲρ ἧς νῦν διαλέγεται, διττῶς αὐτῆς γιγνομένης. ἐνίοτε μὲν ἐπὶ διαθέσει τινὶ δυσλύτῳ τῶν κατὰ τὴν γαστέρα χωρίων, ἐνίοτε δὲ ἐπί τινι προσφάτῳ προφάσει. διακρίνει δὲ ταῦτα νῦν ὁ Ἱπποκράτης. ἡ μὲν γὰρ προτέρα διάθεσις, οὐ μετὰ βορβορυγμοῦ γίνεται, τεταμένα γὰρ καὶ πεφυσημένα, καθάπερ ἀσκὸν, ἀποφαίνει τὰ ὑποχόνδρια, ἡ δὲ ἑτέρα, μετὰ βορβορυγμοῦ συνίσταται. καλεῖται δὲ οὕτως ὁ ψόφος τοῦ πνεύματος, ὅταν μὴ μέγας ᾖ, μηδὲ πολὺς, σὺν
F ὑγρότητι δέ τινι μετρίᾳ κινούμενος ἐπὶ τὰ κάτω. καὶ τοίνυν καὶ συμβαίνει τῷ τοιούτῳ βορβορυγμῷ κατιόντι τὸν ἐκ τῶν ὑποχονδρίων ὄγκον εἰς τὰ κατὰ τὴν ὀσφὺν ἅμα ἑαυτῷ καταφέρειν, ἐφ᾽ ᾧ τεινομένων τῶν ἐνταῦθα μορίων,

ἄλγημά τι γίγνεσθαι κατ' αὐτήν. εἶθ' οὕτως ἐνίοτε μὲν εἰς ἀνάδοσιν ὁρμήσαντος τοῦ ὑγροῦ, τὸ φυσῶδες πνεῦμα διαχωρηθῆναι μόνον, ἐνίοτε δὲ σὺν τῷ ὑγρῷ. καὶ μέντοι καὶ τὸ ἀναδοθὲν ὑγρὸν, ὡς τὰ πολλὰ δι' οὔρων ἐκκρίνεσθαι. προσηκόντως οὖν εἶπεν ἐν τοῖς εἰρημένοις σημείοις, κοιλίην καταῤῥήγνυσθαι, εἰ μή γε συμβῇ ἰδίᾳ μὲν ἀναδοθῆναι τὸ ὑγρὸν, ἰδίᾳ δὲ τὸ καταληφθὲν ἐν τοῖς ἐντέροις πνεῦμα, δι' ἕδρας ἐκκριθῆναι. ἔστι δ' ὅτε ἄμφω πρὸς ἀνάδοσιν ὁρμώμενα τὸ ὑγρὸν, καὶ τὸ πνεῦμα διεξέρχεται ῥᾳδίως ἐπὶ τὴν κύστιν. τὸ δ' ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον, ἐν πυρετοῖσι δὲ ταῦτα, τοιοῦτόν μοι δοκεῖ δηλοῦν. πυρετοῖς ἐνοχλεῖσθαι τοὺς νοσοῦντας ὠνόμαζον οἱ παλαιοὶ, τοὺς ἄνευ τινὸς φλεγμονῆς, ἢ ἀποστήματος, ἢ ἀλγήματος, ἢ ἐρυσιπέλατος, ἢ ἁπλῶς εἰπεῖν, ἄνευ μορίου τινὸς ἐξαιρέτως πεπονθότος, ἔχοντας κακῶς. εἰ δ' ἤτοι διὰ πλευροῦ φλεγμονὴν, ἢ πνεύμονος, ἢ τινος ἑτέρου τοιούτου πυρέττοιεν, οὐ πυρεταίνοντας αὐτοὺς ὠνόμαζον, οὐδ' ὑπὸ πυρετῶν ἐνοχλουμένους, ἀλλὰ πλευριτικούς τε, καὶ περιπνευμονικοὺς, ἡπατικούς τε, καὶ σπληνικοὺς, ὅσα τ' ἄλλα τοιαῦτα. νῦν οὖν μοι δοκεῖ βούλεσθαι δηλοῦν ὁ Ἱπποκράτης, δυοῖν θάτερον, ὡς, ἢ τοῖς πυρετοῖς τούτων ὧν εἴρηκε συμβαινόντων, ἐν οἷς οὐδέν ἐστι τὸ πεπονθὸς μόριον, ἢ ὡς γιγνομένων μὲν, καὶ κατ' ἐκεῖνα τὰ νοσήματα, μὴ μέντοι καταῤῥηγνυμένης αὐτῶν γαστρὸς, ἢ φυσῶν, ἢ οὔρων διερχομένων. οὐδὲ γὰρ οὐδὲ φυσικῇ τινι κινήσει τῶν μορίων ἀπωθουμένων τὸ φυσῶδες πνεῦμα γίνεσθαι συμβαίνει τὸν βορβορυγμὸν ἐν ἐκείνοις, ἀλλ' ὡς σύμπτωμα μόνον.

A excitari contingit; deinde hoc pacto humore ad distributionem concitato, solus spiritus, nonnunquam etiam vnà cum humore per aluum emittitur. Quinetiam distributus humor fere per vrinas excernitur. Proditis ergo decenter signis, ait aluum erumpi, nisi seorsim humorem quidem distribui, seorsim verò spiritum in intestinis detentum per sedem excerni contingat. Contingit verò interdum vtrumque & spiritum & humorem ad distributionem concitatum in vesicam facilè permeare. Quod autem ad finem aphorismi scriptum est: *Hæc autem in febribus*, tale quiddam mihi significare videtur. B A febribus vexari veteres eos dicebant, qui absque aliqua inflammatione, aut abscessu, aut dolore, aut erysipelate, aut (vt simpliciter dixerim) absque aliqua parte præcipuè affecta ægrotabant. Quòd si vel propter lateris, vel pulmonis, aut eiusmodi alterius cuiusdam partis inflammationem febricitarent, non febricitantes, ipsos nominabant, neque febribus vexari dicebant; sed pleuriticos, aut peripneumonicos, aut hepaticos, aut splenicos, aliisve similibus nominibus appellabant. Nunc itaque mihi videtur Hippocrates ex duobus alterum velle significare; C vel quòd quæ dixit ea febribus accidant in quibus nulla pars est affecta; vel quòd illis etiam morbis, *qui ob malè affectam aliquam partem fiunt*, accidant; non tamen, ipsis aluus profluat, vel flatus, aut vrinæ prodeant. Neque enim aliquo naturali motu partium flatulentum spiritum depellentium, murmur in illis fieri contingit; sed tanquam symptoma duntaxat *est affectûs partem aliquam male habentis.*

D

Περὶ τῶν ἐς τὰ ἄρθρα ἀποστάσεων αἰτιῶν, καὶ τῆς γενέσεως, καὶ τῆς δι' οὔρων, ἢ τῆς αἱμοῤῥαγίας λύσεως.

De abscessuum in articulis causis, generatione, & per vrinas aut hæmorrhagiam solutione.

ΑΦΟΡΙΣΜΟΣ οδ'.

Ὁκόσοισιν ἐλπὶς ἐς τὰ ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον, πολὺ καὶ παχὺ, καὶ λευκὸν γενόμενον, οἷον ἐν τοῖσι κοπώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχέως λύεται. E

APHORISMVS LXXIV.

Quibus spes est ad articulos abscessum fore, eos abscessu liberat vrina copiosa, & crassa & alba reddita, qualis in febribus laboriosis quarto die quibusdam ferri incipit. Quòd si ex naribus sanguis profluxerit, tum breui admodum soluitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Λέλεκταί μοι καὶ πρόσθεν ὡς ἀποστάσεις εἰς τὰ ἄρθρα γίγνονται, τοῖς τε προπεπονηκόσιν αὐτὰ, F καὶ τοῖς ὁπωσοῦν κοπώδεσιν ἐν τῇ νόσῳ γιγνομένοις, ἔτι τε πρὸς τούτοις, ὅσοι χρονίζουσι παχέων χυμῶν ἐπὶ πλήθει. ἐὰν οὖν ἡ φύσις ἀῤῥωστήσῃ δι' οὔρων ἐκκαθαίρειν τὸ

GALENI COMMENTARIVS.

Abscessus ad articulos procreari etiam à me priùs dictum est, tum in iis quibus articuli priùs laborauerint; tum quibus quoquomodo per morbum ipsi lassitudinem subierint; & in iis præterea, quibuscunque morbus propter crassorum humorum copiam diuturnus

diuturnus perseueret. Si itaque natura valuerit corpus per vrinam expurgare, ægrum abscessu liberabit quum humorem ad articulos decubiturum per vesicam euacuet. At satis habuit *Hippocrates* febrium laboriosarum tanquam exempli gratiâ meminisse, quæ die indice, motionis initium ad vrinas sumunt. Hisce nanque laboriosis febribus hoc inest, aut abscessus faciant, non expectato (quod cæteræ febres faciunt) longiori tempore. Iisdem ipsis secundùm aures etiam fieri abscessus consueuere, quemadmodum aliis chronicis & diuturnis febribus in partes inferiores humorum redundantia magis decumbit. Quibus igitur major calor in altum materiam sustulerit, ipsis vel profluit è naribus sanguis, aut parotides oboriuntur. Quod autem eiusmodi febris solutio celerius fiat, quàm quæ per vrinas, oratione non indiget. Quare post eam addidit Hippocrates, *breui admodum soluitur*, quum altera quæ per vrinas fit vacuatio, plures ad solutionem dies requirat. Quod autem ab ipso quarto die pronunciatur, exempli vice scriptum est. Tibi autem ad alios etiam dies omnes, indices & critici transferendi sunt.

A σῶμα, τῆς ἀποστάσεως ἐρύσαιτο τὴν κοινωνίαν, τὸ μέλλον εἰς ἄρθρα κατασκήπτειν, ἐκκενώσασα διὰ κύστεως. ἠρκέσθη δὲ τῶν κοπωδῶν πυρετῶν, ὡς παραδείγματος μνημονεῦσαι, τὴν ἀρχὴν τὴν εἰς οὖρα ῥοπὴν ἐν ἡμέρᾳ λαβόντων ἐπιδήλῳ. τούτοις γὰρ τοῖς κοπώδεσι ἀποστήματα ποιεῖν ὑπάρχει διὰ ταχέων, οὐκ ἀναμένουσι πλείονα χρόνον, ὥσπερ οἱ ἄλλοι. γίνεται δὴ αὖθις τούτοις, καὶ τὰ παρ' οὖς ἀποστήματα πέφυκε γίνεσθαι, ὡς τοῖς γε ἄλλοις χρονίοις, εἰς τὰ κάτω μᾶλλον ἀποσκήπτει τὸ πλῆθος. οἷς οὖν ἡ θερμασία πλείων γινομένη μετέωρον
B εἰργάσατο τὴν ὕλην, ἤτοι διὰ ῥινῶν αἱμορραγοῦσιν, ἢ παρωτίδας ἴσχουσιν. ὅτι δὴ ἡ τοιαύτη λύσις θᾶττόν ἐστι τῆς δι' οὔρων, οὐδὲ λόγου δεῖται. διὸ καὶ προσέθηκεν ὁ Ἱπποκράτης ἐπ' αὐτῆς, καὶ πάνυ ταχὺ λύεται τῆς ἑτέρας τῆς δι' οὔρων κενώσεως, ἡμερῶν πλειόνων δεομένης. τὸ δὴ ἐπὶ τῆς τετάρτης, ἐν παραδείγματι γέγραπται πρὸς αὐτοῦ· μετάγειν δέ σε χρὴ καὶ πρὸς τὰς ἄλλας ἁπάσας, ὅσαι θεωρηταί εἰσι, καὶ κρίσιμοι.

C

Sanguinis, aut puris mictu, renum, aut vesicæ, aut vreterum, aut partium superiorum exulcerationem significari; puris verò solius excretione, vretræ.

Τῆς αἵματος, ἢ πύου οὐρήσει τὴν τῶν νεφρῶν, ἢ τῆς κύστιος, ἢ τῶν οὐρητήρων, ἢ μορίων τῶν ἄνω ἕλκωσιν σημαίνεσθαι. τῇ δὲ πύου μόνου ἐκκρίσει, τῆς οὐρήθρας.

APHORISMVS LXXV.

SI quis sanguinem aut pus meiat, renum aut vesicæ vlcerationem significat.

ΑΦΟΡΙΣΜΟΣ οε'.

D Ἢν αἷμα, ἢ πύον οὐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

GALENI COMMENTARIVS.

SIue in vesica, siue in renibus sit vlcus, si simul quidem cum vasis alicuius majusculi ruptione, maximéque erosione inciderit, sanguinis subsequitur excretio: si verò ista abfuerint, solum pus excerni solet. Sed fieri etiam potest vt in aliquo meatuum vrinariorum facto vlcere tum pus excernatur, tum sanguis. Hi verò quia renes & vesicam interjacent, vnà cum illis intelligendi veniunt. Vreteres autem ijs plerunque exulcerantur quum à quodam lapide acuto, aut impensè scabro ipsis intercepto excoriantur; Enimvero in ipso pene si vlcera consistant, etiam sine vrinis tum pus, tum sanguis excernitur. In aliqua verò superiorum regionum etiam interdum simul cum vrinis, rupto abscessu, pus egreditur. Vnde nonnulli Interpretes, ijque plures alteram lectionem magis probarunt, quæ cum copulandi particula, *&*, in hunc modum legitur. *Si quis sanguinem & pus meiat, renum & vesicæ exulcerationem significat.* Quòd si horum alterum pus scilicet solum meiatur, non modo renum aut vesicæ exulceratorum; sed superiorum etiam partium alicujus si

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ

Ἐάν τε κατὰ τὴν κύστιν, ἐάν τε ἐν νεφροῖς ἕλκος γένηται, κατὰ μὲν ἀγγείου τινὸς ἀξιολόγου ῥῆξιν, συστάντος αὐτοῦ, καὶ μάλιστα μετὰ ἀναβρώσεως, αἵματος ἔκκρισις ἐπακολουθεῖ, χωρὶς δὲ τούτου πύου μόνου. ἐγχωρεῖ δὲ καὶ κατά τινα τῶν οὐρητήρων ἕλκους γινομένου, καὶ πύον οὐρη-
E θῆναι, καὶ αἷμα. μέσοι δὴ οὗτοι κεῖνται νεφρῶν τε, καὶ κύστεως, καὶ χρὴ συνυπακούειν αὐτοὺς ἐκείνοις. ἑλκοῦνται δ' ὡς τὰ πολλὰ τοῖς λιθιῶσι κατὰ νεφροὺς οὐρητῆρες, ὅταν ὑπὸ λίθου τινὸς ὀξέος, ἢ σφόδρα τραχέος ἐμφραχθέντος αὖθις ἀναδαρῶσι, τῶν μέντοι κατὰ τὸ αἰδοῖον αὐτὸ γινομένων ἑλκῶν, καὶ χωρὶς τῶν οὔρων ἐκκρίνεται, ὅ, τε πύον καὶ τὸ αἷμα. συνεξέρχεται δὲ τοῖς οὔροις πύον ἐνίοτε, συρραγέντος ἀποστήματος ἔν τινι τῶν ἄνω χωρίων· ὅθεν ἔνιοι τῶν ἐξηγητῶν, καὶ οἱ πλείους εἵλοντο τὴν ἑτέραν
F γραφὴν, τὴν διὰ τοῦ, καὶ, συνδέσμου, τὴν δὲ τὴν λέξιν ἔχουσαν. ἢν αἷμα, καὶ πύον οὐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύστεως ἕλκωσιν σημαίνει, ὡς τοῦ ἑτέρου μόνου αὐτῶν, οὐρουμένου τοῦ πύου, δυνατὸν οὐ νεφρῶν, ἢ κύστεως μόνον ἡλκωμένων, ἀλλὰ καί τινος τῶν ἀνωτέρω τὸ σημεῖον εἶναι.

τάχα μὲν οὖν τι καὶ οὗτοι λέγουσι, τάχα δὲ καὶ τὸ, οὐρέῃ, ῥῆμα διάφορόν τι δηλοῖ τοῦ οὐρῆσαι, τὸν διορισμὸν ἐν αὑτῷ περιέχον. οὐ γάρ ἐστι ταὐτὸν, ἢ οὕτως εἰπεῖν, ἢν αἷμα, ἢ πύον οὐρέῃ, ἢ ἐκείνως, ἢν αἷμα καὶ πύον οὐρήσῃ. ἐν μιᾷ μὲν γὰρ, ἢ δυοῖν, ἢ τρισὶν ἡμέραις ἐγχωρεῖ πύον οὐρῆσαι, συῤῥαγέντος ἀποστήματος εἰς τὰ τῆς οὐρήσεως ὄργανα. πολλαῖς δ' ἡμέραις, ἢ καὶ μησὶν ἐπειδὰν τοῦτο γένηται, νεφρῶν ἢ κύστεως ἕλκωσις δηλοῦται. ὁποτέρου δ' αὐτῶν μᾶλλον, ἥ τε ὀδύνη διακρίνει κατὰ διαφέροντα χωρία γιγνομένη, καὶ τὰ συνεκκρινόμενα τοῖς οὔροις, ὑπὲρ ὧν ἐφεξῆς ἐρεῖ. καὶ μὲν δὴ καὶ περὶ τῶν οὐρητήρων, ὁ αὐτός ἐστι λόγος.

gnum esse possit. Hi sanè fortassis aliquid di- A cunt : fortassis etiam verbum, *meiat*, aliud quiddam significat, quàm minxerit, atque in se distinctionem continet. Non enim idem est vel ita dicere : si quis sanguinem aut pus meiat ; aut illo modo ; si quis sanguinem & pus minxerit. Vno nanque, aut duobus, aut tribus diebus potuit minxisse pus rupto abscessu, & in mictionis instrumenta effuso: Multis autem diebus ac mensibus vbi hoc factum fuerit, renum aut vesicæ exulceratio B significatur. Vtrùm autem ipsorum magis sit, tum dolor in discrepantibus locis factus, tum ea quæ cum vrinis excernuntur, distinguunt ; de quibus deinceps loquetur. Iam verò & de vreteribus eadem est ratio.

Ἐκ τῶν σαρκίοις σμικροῖς μετὰ τοῦ παχέος μὲν οὔρου ὥσπερ τρίχες, νεφροῦ· μετὰ δὲ λεπτοῦ τὸ φλεβώδεος γένους πάθημα σημαίνεσθαι. ὅτι ὁ νεφρὸς εἰς τὰ τριχώδεα σαρκίδια καταλύεσθαι μὴ δύνηται.

Excretis carunculis cum crassa quidem vrina capillis similibus renis ; cum tenui verò venosi generis pathema significari. Quod C ren in capillares carunculas solui nequeat.

ΑΦΟΡΙΣΜΟΣ ος'.

Ὁκόσοισιν, ἐν τῷ οὔρῳ παχεῖ ἐόντι, σαρκία σμικρὰ, ἢ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισι ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

APHORISMVS LXXVI.

Quibus cum vrina crassa exiles caruncula, aut veluti capilli simul exeunt, ij à renibus excernuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ μικρὰ μὲν σαρκία, τῆς τῶν νεφρῶν οὐσίας εἰσὶ γνωρίσματα, τὰ δ' ὥσπερ τρίχες, οὐδαμῶς μὲν τῆς τῶν νεφρῶν. οὐ γὰρ οἷόν τε διαλυθῆναι νεφρὸν εἰς τοιοῦτον εἶδος οὐσίας, ἀλλ' ὅσοι τοῦτο λέγουσιν, ἀγνοοῦσι φύσιν νεφρῶν. οὐ μὴν οὐδὲ κύστεως ἀναλυομένης τε, καὶ ἀναβιβρωσκομένης, ὥς τισιν ἔδοξεν, οὐρεῖται τὰ τοιαῦτα. πεταλώδη γάρ ἐστι μᾶλλον τὰ ταύτης μόρια, καθάπερ καὶ αὐτὸς ὁ Ἱπποκράτης ὀλίγον ὕστερον αὐτὰ προσαγορεύει λεπίδας. ἀλλὰ τό γε ἀληθὲς οὕτως ἔχει πολλάκις ἡμῖν ἑωραμένα ἔκ τινος τύχης. ἄλλοι γοῦν τινὲς ἰατροὶ πάνυ τρίβωνες, ἑωρακέναι πολλάκις φασὶν οὖρα τοιαῦτα. καλοῦσι δ' οἱ νεώτεροι τριχίασιν τὸ πάθος, ἐπειδὴ θριξὶν ὅμοια, καὶ μᾶλλόν γε ταῖς λευκαῖς ἐοικότα φαίνεται τὰ τοῖς οὔροις ἐμφαινόμενα. ἔναγχος δέ τις οὔρει τοιαῦτα σώματα μακρὰ, ὥς τ' ἄπιστον τὸ μῆκος ἐδόκει εἶναι· τινὰ γὰρ αὐτῶν εἰς ἥμισυ πήχεως ἐξετείνετο. προσενήνεκτο δ' ἐπὶ ὅλῳ σχεδὸν ἐνιαυτῷ τῷ προελθεῖν, ἐρεγμῶν τε καὶ κυάμων πάνυ πολλάκις, καὶ τυρῶν ἁπαλῶν τε καὶ ξηρῶν. καὶ οἱ ἄλλοι δὲ πάντες οἷς οὐρῆσαι συνέβη τὰ τοιαῦτα, παχυχύμοις ἐδέσμασιν ἐκέχρηντο. τούτου τοίνυν τοῦ χυμοῦ καταπτωμένου πως ἐν νεφροῖς, αἱ τριχώδεις γίνονται συστάσεις. καὶ μέντοι καὶ ἡ θεραπεία μαρτυρεῖ τῷ λογισμῷ τῆς αἰτίας. ὑπὸ γὰρ λεπτυνόντων, καὶ τεμνόντων φαρμάκων, ἅμα καὶ τῇ τῶν ἄλλων διαίτῃ ὑγραινούσῃ ὑπάρχειν, ἐθεραπεύ-

GALENI COMMENTARIVS.

D Exiles quidem carunculæ certa renũ substantiæ sunt indicia; Illa verò veluti capilli nullo modo renum : Neque enim fieri potest vt in talem substantiæ formam ren dissoluatur ; Et qui hoc asseuerant, renum naturam ignorant. Sed neque retextâ vesicâ aut exesâ, talia meiuntur, vt quibusdam visum est. Sunt enim huius particulæ bracteis similiores, quemmodum & Hippocrates paulò post eas squamulas appellat. Verum rei veritas ita se habet, quod nobis sorte quadam sæpius vidisse contigit : alij quoque nonnulli Medici experientissimi sæpe se tales vrinas vidisse dicunt ; quam affectionem Medici recentiores pilimictionem vocitant, quod villis præser- E tim albis ea quæ per vrinas feruntur, similia appareant. Sed nuper etiam quidam eiusmodi corpora tam longa meiebat, vt incredibili longitudine viserentur : Quædam enim ex ipsis ad dimidium cubitum extendebantur. Is toto fere anno prægresso frequentissimè legumina, fresa, fabámque potissimùm, & caseum tenerum & siccum comederat. Et cæteri denique omnes quibus talia meiere contigit, pachychymis & crassis eduliis vescebantur. Tali igitur humore in renibus quo- F dammodo torrefacto capillis similia corpora generantur. Quin etiam curatio causæ considerationem testatur : Nam qui ita ægrotarent, medicamentorum attenuantium & incidentium via simul cum reliqua victus ratione hu-

mectante curati sunt. Quòd si tanti fuisset renum aut vesicæ exulceratio, vt eorum substantia dissolueretur, non modò nihil eiusmodi medicamentis eorum adjuti, verumetiam supra modum irritati fuissent. Quare quemadmodum in aliis, sic & in his admiratione dignus est Hippocrates, quòd ea inuenerit quæ Medicis compluribus ad hunc vsque diem prorsus ignorata fuerint. Quin etiam orationis integritas admirationem habet talia excerni dicentis: Non enim quemadmodum in superiori aphorismo renum incusat exulcerationem, ita & nunc pronunciauit; sed simpliciter ex renibus excerni affirmat, quemadmodum si aliquo calculum meiente à renibus ipsum delatum esse dixerimus. Non quòd eorum sit substantiæ particula; sed quòd in ipsis suam compagem sit sortitus. Exiguæ itaque carunculæ exulceratorum omnino renum substantiæ partes existunt. Quæ verò sunt pilis similia, in renibus quidem suam compagem accipiunt, vt & lapides; sed eorum substantiæ partes non sunt. Malè ergo in omnibus exemplaribus hic aphorismus sine disiungendi particula, *aut* legitur: *Exiles carunculæ veluti pili*: Nequaquam enim exiguæ carunculæ pilis sunt similes. Verùm inter, *exiguæ & veluti*, media disiunctio, aut, collocanda est, quia duarum rerum, non vnius hoc aphorismo Hippocrates mentionem faciat; quarum vna est, exiguæ carunculæ: altera veluti pili. Atque in iis quidem quæ pilis sunt simillima, semper crassa vrina spectatur, vt pituitosam substantiam quam venæ cumularent natura per renes expurgante: In carunculis non est necessarium. Nunquam tamen talem renum affectionem spectaui; sed veluti carunculas sæpiùs in illis febribus, in quibus etiam sedimenta eruosa vocata fieri cernimus ex crasso sanguine in renibus, aut in jecore assato & torrefacto. Non tamen perfectas carunculas vnquam cum tenui vrina exire vidi. Potuit itaque, meâ quidem sententiâ, crassa vrina ab ipso dici quæ commoderatas & secundùm naturam est. Agnoscimus propriè quidem secundum excessus oppositiones ita dici: per abusionem autem & medium & commoderatum vtrisque extremorum tribui nominibus; quum ad summè quidem crassum tenue; ad summè verò tenue crassum nominetur. Quòd si ita accipiantur, eiusmodi erit oratio; Quibus in vrina non tenui vnà exeunt supra commemorata, renum est pathema: Si verò sit tenuis, totum venosum genus patitur. Eandem etiam mihi sequenti aphorismo sententiam indicare videtur.

A θησαν οἱ κάμνοντες οὕτως. εἴπερ γὰρ ἦν ἡ ἕλκωσις τηλικαύτη νεφρῶν, ἢ κύστεως, ὡς διαλύεσθαι τὴν οὐσίαν αὐτῶν, οὐ μόνον οὐδὲν ἂν ὠνίναντο ὑπὸ τῶν τοιούτων φαρμάκων, ἀλλὰ καὶ παρωξύνοντο ἐσχάτως. ἄξιον οὖν ἐστιν ὥσπερ ἐν τοῖς ἄλλοις, οὕτω κἂν τούτῳ θαυμάσαι τὸν Ἱπποκράτην, τὰ μηδέπω μηδὲ τήμερον ἐγνωσμένα πολλοῖς τῶν ἰατρῶν, αὐτὸν ἐξευρεῖν. καὶ μέντοι, καὶ ἡ λέξεως ἀκρίβεια, θαυμαστῶς ὅπως ἔχει, λέγοντος ἀπὸ τῶν νεφρῶν ἐκκρίνεσθαι τὰ τοιαῦτα. οὐ γὰρ ὥσπερ ἐπὶ τοῦ πρόσθεν ἀφορισμοῦ ἕλκωσιν τοῦ νεφροῦ αἰτιᾶται, οὕτω καὶ νῦν εἶπεν, ἀλλ' ἁπλῶς ἀπὸ νεφρῶν ἐκκρίνε-

B σθαί φησιν, ὡς καὶ λίθον τινὸς οὐρήσαντος ἀπὸ νεφρῶν ἐνηνέχθαι φαίημεν ἂν αὐτόν, οὐχ ὅτι τῆς οὐσίας αὐτῶν ἐστὶ μόριον, ἀλλ' ὅτι τὴν σύστασιν ἐν ἐκείνοις λαμβάνει. τὰ μὲν οὖν σμικρὰ σαρκία τῆς οὐσίας ἐστὶ μόρια ἑλκωθέντων ὅλως τῶν νεφρῶν. τὰ δ' οἷον τρίχες, ἐν νεφροῖς μὲν λαμβάνει τὴν σύστασιν, ὥσπερ καὶ οἱ λίθοι, μόρια δ' οὐκ ἔστι τῆς οὐσίας αὐτῶν. κακῶς ἐν ἅπασι τοῖς ἀντιγράφοις ὁ ἀφορισμὸς οὗτος ἄνευ τοῦ, ἤ, γέγραπται, σαρκία σμικρὰ ὥσπερ τρίχες. οὐδαμῶς γὰρ ἔοικε τὰ σμικρὰ σαρκία ταῖς θριξίν. ἀλλὰ χρὴ μετα-

C ξὺ, τοῦ τε σμικρὰ, καὶ τοῦ ὥσπερ, τὸ, ἤ, φωνῆεν τάξαι, ὡς δυοῖν πραγμάτων, οὐχ ἑνὸς ἐν τῷ λόγῳ μνημονεύοντος τοῦ Ἱπποκράτους. τὸ μὲν οὖν ἕτερον αὐτῶν ἐστὶ σαρκία σμικρὰ, τὸ δ' ἕτερον, ὥσπερ τρίχες. ἐπὶ μὲν οὖν τῶν ταῖς θριξὶν ὁμοίων, ἀεὶ φαίνεται παχὺ τὸ οὖρον, ὡς ἂν φλεγματικῆς οὐσίας, ἣν ἤθροιζον αἱ φλέβες, ἐκκαθαιρομένης διὰ τῶν νεφρῶν, ἐπὶ δὲ τῶν σαρκίων, οὐκ ἀναγκαῖον. οὐ μὴν οὐδὲ ἐθεασάμην ποτὲ τοιαύτην νεφρῶν διάθεσιν· ἀλλὰ τὸ μὲν οἷον σαρκία, πολλάκις ἐν ἐκείνοις τοῖς πυρετοῖς, ἐν οἷς καὶ τὰς

D καλουμένας ὀροβοειδεῖς ὑποστάσεις ὁρῶμεν γιγνομένας, κατωπτημένου παχέος αἵματος ἐν νεφροῖς, ἢ καθ' ἧπαρ. οὐ μὴν ἀκριβῆ γε σαρκία τεθέαμαί ποτε συνεξερχόμενα τοῖς οὔροις. ἐγχωρεῖ οὖν, ἡγοῦμαι, παχὺ οὖρον εἰρῆσθαι πρὸς αὐτοῦ, τὸ σύμμετρόν τε, καὶ κατὰ φύσιν. ἀντίκειται γὰρ τοῦτό πως τῷ λεπτῷ, καὶ γινώσκομεν ὅτι κυρίως μὲν, αἱ κατὰ τὰς ὑπερβολὰς ἀντιθέσεις οὕτω λέγονται· καταχρηστικῶς δὲ, καὶ τὸ μέσον ἐνίοτε καὶ σύμμετρον ἀμφοτέροις χρῆται τοῖς ὀνόμασι τῶν ἄκρων. πρὸς μὲν τὸ τελέως παχὺ, λεπτὸν ὀνομαζόμενον,

E πρὸς δὲ τὸ λεπτὸν ἐσχάτως, παχύ, καὶ εἴπερ οὕτως ἀκούσαιμεν, ὁ λόγος ἔσται πιστός· οἷς ἐν τῷ οὔρῳ μὴ ὄντι λεπτῷ, συνεξέρχεται τὰ εἰρημένα, τῶν νεφρῶν ἐστὶ τὸ πάθημα, λεπτῶν μέντοι τῶν οὔρων ὄντων, ὅλον τὸ φλεβῶδες γένος πέπονθε. τὴν δ' αὐτὴν ταύτην γνώμην δείκνυσθαί μοι δοκεῖ, καὶ κατὰ τὸν ἑξῆς ἀφορισμόν.

ὀλίγον

F

A

Ὅτι οὖρα πιτυρώδεα τὴν κύστιν, ἢ τοὺς φλεβῶν χιτῶνας ψωριᾶν σημαίνῃ.

Quod vrinæ furfuraceæ veſicam ſcabie, aut venarum tunicas affici portendant.

ΑΦΟΡΙΣΜΟΣ οζ΄.

Ὁκόσοισιν, ἐν τῷ οὔρῳ παχεῖ ἐόντι, πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

APHORISMVS LXXVII.

B *Qvibus cum vrina craſſa furfuroſa quædam ſimul mictu exeunt, his veſica ſcabie laborat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐὰν μὲν οὖν λεπτὸν ᾖ τὸ οὖρον, οὐ κατὰ φύσιν αἱ φλέβες· ἐὰν δὲ μὴ ᾖ λεπτὸν, ἀλλὰ μετρίως συνεστηκὸς, ὅπερ ἀκοῦσαι νῦν χρὴ τὸ παχὺ, τὰ συνεκκρινόμενα τῷ τοιούτῳ, περὶ τοὺς νεφροὺς, ἢ τὴν κύστιν ἐνδείξεταί τι πάθος. ἐπειδὴ γὰρ ἐκ μὲν τῶν φλεβῶν ἥκει τὸ οὖρον, διηθεῖται δὲ διὰ τῶν νεφρῶν, ἀθροίζεται δὲ ἐν τῇ κύστει, πᾶν ὅτι περ ἂν ἐν αὐτῷ φαίνηται παρὰ φύσιν, ἢ τὰς φλέβας ἐνδείξεται φαύλως ἔχειν, ἢ τὰ κατὰ τοὺς νεφροὺς, ἢ κύστιν, ὥσπερ καὶ νῦν τὰ πιτυρώδεα τὴν κύστιν ψωριᾶν, ὅταν γε αἱ φλέβες ἀπαθεῖς ὑπάρχωσι. φέρεται γὰρ ἐνίοτε καὶ ἐξ ἐκείνων τὰ πιτυρώδη, ποτὲ μὲν αὐτοῦ τοῦ χιτῶνος αὐτῶν παθόντος, ὥσπερ καὶ τοῦ τῆς κύστεως· ἔστι δ' ὅτε τοῦ κατ' αὐτὰς αἵματος ὑπὸ καυσώδους θερμοῦ φρυγέντος. ἐπιτηδειότερος δὲ δηλονότι πρὸς τοῦτο πᾶς ὁ παχὺς ἐν αὐταῖς χυμός ἐστι, καὶ μᾶλλον ἔτι ἡ οἷον τρύξ τοῦ αἵματος, ὃν ὀνομάζειν εἰθίσμεθα μελαγχολικὸν χυμόν. ὥσπερ γὰρ ἡ τοῦ δέρματος ἐπιφάνεια (καλοῦσι δ' αὐτὴν ἐπιδερμίδα) κατὰ τὰς ψώρας, καὶ τὰς λέπρας, καὶ τοὺς λειχῆνας, ἀποβάλλει τι λεπτὸν, οἷόν περ τὸ γῆράς ἐστι τῶν ὄφεων, οὕτω κἀπειδάν τι τῶν ἔνδον μορίων, ὅμοιόν τι πάθημα πάθῃ, τὸ οἷον δέρμα, καὶ τὸ σύμπτωμα τοῦ παθήματος ὅμοιον γενήσεται. κατὰ τοῦτο οὖν αἱ φλέβες αὗται, καὶ ἡ κύστις ψωριῶσα, πιτυρώδεα δέρματα σὺν τοῖς οὔροις ἔξω κενώσουσι. διορισθήσεται δὲ τῇ λεπτότητι καὶ τῷ πάχει τῶν οὔρων, ὡς προείρηται. τὰ μὲν γὰρ λεπτὰ, πεπονθέναι τὰς φλέβας ἐνδείξεται, τὰ δ' οὐ λεπτὰ, τὴν κύστιν.

GALENI COMMENTARIVS.

Si tenuis quidem vrina fuerit, non ſecundùm naturam venæ ſe habent: Si verò non tenuis; ſed mediocriter conſtans & compacta fuerit (quo ſignificato craſſam nunc non accipere oportet) tum ea quæ ſimul C cum tali vrina excernuntur, in renibus aut veſica affectionem eſſe indicabunt. Quum enim ex venis vrina veniat, *& à renibus prolectetur*, & per eos percoletur, *per vteres in veſicam tranſmittatur*, atque in veſica colligatur, quicquid in ipſa præter naturam apparuerit, aut venas, aut renes, *aut vreteres*, aut veſicam malè habere ſignificabit: quo modo nunc furfuroſa iſta affectam ſcabie veſicam portendunt, quum venæ nullum affectum patiuntur. Ex ipſis enim interdum etiam eiuſ- D modi furfuroſa deferuntur, ipſarum aliàs affecta tunica, quemadmodum veſicæ quoque tunicam affici accidit: aliàs etiam ſanguine in ipſis contento, caloris feruore & vehementia peruſto & fricto. Ad hanc affectionem nimirum aptior eſt quiuis craſſus humor ipſis incluſus, iſque magis qui veluti fæx ſanguinis exiſtit; quem humorem melancholicum nominare conſueuimus. Quemadmodum enim cutis ſuperficies (eam verò extimam cuticulam vocitant) per ſcabiem, lepram, atque lichenas tenue quoddam corpuſculum abjicit, qualis eſt ſerpentum ſenectus: ſic e- E tiam quum partium interiorum quædam eundem ſubeat affectum quo cutis laborauerit, etiam ſymptoma affectui ſimile oborietur. Proindéque tum venæ ipſæ, tum veſica ſcabie laborantes furfuroſas cuticulas vnà cum vrinis emittent. *Quæ vnde prodeant*, tum vrinarum tenuitate, tum craſſitie diſtinguentur, quemadmodum ſupra dictum eſt. Tenues enim vrinæ venas, non tenues venarum affectum eſſe oſtendent.

F

A

Mictu sanguinis sinceri ruptam quidem tenis venulam, subcruentæ verò vrinæ apertam anastomosi significari; vesicæ quoque venas erosas sanguinis mictu, ac præcedentibus erosionis signis.

Τῇ μὲν οὐρήσει ἀκριβοῦς, αἵματος ῥαγεῖσαν τοῦ νεφροῦ φλέβιον, ὕφαιμον δὲ οὔρου ἀναστομωθὲν τῇ ἀναστομώσει σημαίνεσθαι, καὶ τὰς κύστεως φλέβας. ἀναβρωθείσας τῇ αἵματος οὐρήσει, καὶ τοῖς προγινομένοις τῆς ἀναβρώσεως σημείοις.

APHORISMVS LXXVIII.

ΑΦΟΡΙΣΜΟΣ οη'.

B

QVi sponte sanguinem meiunt, iis à renibus venulæ ruptutam esse significat.

ΟΚόσοι, ἀπὸ ταὐτομάτου, αἷμα οὐρέουσι, τουτέοισι, ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

GALENI COMMENTARIVS.

ILlud sponte idem potest quòd sine causa externa significare. Potest etiam idem fere quod derepente multo prægresso symptomate ex iis qualia apparent in vesica vlcerata. Neque enim in ipsa propter sanguinis affluentis copiam vena rumpi potest, quemadmodum in renibus accidere consueuit; quòd per eius venas sanguis non percoletur; sed solùm suppeditetur quantum ad ipsam alendam satis esse potest. Huc adde quòd neque venæ per vesicam sparsæ naturâ nudæ sunt, aut minus benè firmatæ & constabilitæ quemadmodum quæ in renum ventres inferuntur, quarum osculationes seu apertiones & ruptiones propter humorum, qui in ipsis continentur, crassitiem & multitudinem oboriuntur. Ruptio quidem sinceri sanguinis vacuationem efficit: osculatio verò non confertim sanguinem profundit, præsertim quum exilis sit; sed paulatim tenuiorem percolans subcruentam vrinam reddit. Fit autem, vt dixi, vesicæ etiam venis erosione laborantibus sanguinis vacuatio, quam vlceris in ea consistentis signa præcedunt, id est, tum partis dolor, tum pus, tum ipsius sæpè corporis vesicæ veluti minuta quædam ramenta. Hac igitur ratione præstat vocem sponte pro derepente significatione quàm pro citra euidentem causam accipere: Nam ex renibus siquidem sine externa etiam causa propter nimiam copiam vase rupto, aliquando verò etiam contentiùs saltantibus, aut ex alto lapsis, aut percussis meitur sangus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ ἀπὸ ταὐτομάτου, δύναται μὲν καὶ χωρὶς αἰτίας τῆς ἔξω δηλοῦν. δύναται δὲ καὶ τὸ, οἷον
ἐξαίφνης οὐδενὸς προηγησαμένου συμπτώματος, οἷά περ
ἐπὶ κύστεως ἡλκωμένης φαίνεται. κατὰ ταύτην γὰρ, οἷόν τε
C ῥαγῆναι φλέβα διὰ πλῆθος αἵματος ἐπιρρυέντος, ὡς
ἐπὶ τῶν νεφρῶν εἴωθε συμβαίνειν, οὐδὲ γὰρ διηθεῖσθαι διὰ
τῶν ἐν αὐτῇ φλεβῶν αἷμα, μόνον δὲ ὅσον εἰς τροφὴν
αὔταρκες αὐτῇ χορηγεῖται. πρὸς τούτῳ δὲ, οὐδὲ αἱ
φλέβες αἱ κατὰ τὴν κύστιν γυμναί πως καὶ ἀστήρικτοι πεφύκασιν, ὥσπερ αἱ εἰς τὰς κοιλίας τῶν νεφρῶν ἐμβάλλουσαι, καθ' ἃς ἀναστομώσεις τε καὶ ῥῆξις, ὑπὸ πάχους καὶ πλήθους γίνεται τῶν κατ' αὐτὰς χυμῶν. ἡ μὲν
οὖν ῥῆξις ἀκριβοῦς αἵματος ἐργάζεται κένωσιν· ἡ δὲ
ἀναστόμωσις, οὐκ ἀθρόον αἷμα παρέχουσα, καὶ μά-
D λιστα ὅταν ᾖ βραχύ· κατ' ὀλίγον δὲ τὸ λεπτότερον
διηθοῦσα, τὸ ὅλον οὖρον ὕφαιμον ἐργάζεται. γίνεται δὲ,
ὡς ἔφην, καὶ τῶν ἐν κύστει φλεβῶν ἐξ ἀναβρώσεως πεπονθυιῶν, αἵματος κένωσις, ἐφ' ᾗ προηγεῖται τοῦ κατὰ
τὴν κύστιν ἕλκους τὰ σημεῖα, τουτέστιν, ὀδύνη τε τοῦ
μορίου, καὶ πύον, καί τινα πολλάκις, αὐτοῦ τοῦ σώματος
τῆς κύστεως οἷόν περ θρύμματα. κατὰ τοῦτο οὖν, ἄμεινον ἀκούειν τὸ, ἀπὸ ταὐτομάτου σημαίνειν τὸ ἐξαίφνης,
οὐ τὸ, χωρὶς αἰτίας, φανερῶς ἐκκρίνεσθαι. ἐκ γὰρ τῶν
E νεφρῶν, αἷμα πολλάκις μὲν καὶ χωρὶς τῆς ἔξωθεν αἰτίας,
ῥαγέντος τοῦ ἀγγείου διὰ πλῆθος, ἔστι δὲ ὅτε καὶ ἐπιπηδησάντων, σφοδρότερον, ἢ κατενεχθέντων, ἢ πληγέντων.

Vrinam arenosam calculi vesicæ, aut renum signum esse.

Τὸ οὖρον ψαμμῶδες τῆς κύστεως, ἢ νεφροῦ λιθιῶντος σημεῖον εἶναι.

APHORISMVS LXXIX.

ΑΦΟΡΙΣΜΟΣ οθ'.

F

QVibus in vrina arenosa subsident, iis vesica calculo laborat.

ΟΙσιν, ἐν τοῖς οὔροισι, ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

A

ΟΥ πάντως ἡ κύστις, ἀλλ' ἐνδέχεται καὶ νεφρούς, ὥστ' ἠμάρτηται φανερῶς ὁ ἀφορισμὸς, ἤτοι γε αὐτοῦ τοῦ Ἱπποκράτους παριδόντος ὅλου τοῦ λόγου τὸ ἥμισυ μέρος, ἢ τοῦ πρώτου βιβλιογράφου παραλιπόντος. ἐάν τε γὰρ ἐν νεφροῖς, ἐάν τ' ἐν κύστει λίθοι γίνωνται, συνεξέρχονται τοῖς οὔροις τὰ ψαμμώδη.

GALENI COMMENTARIVS.

NOn plane vesica, sed & renes calculo laborare queunt. Quare constat mutilatum esse aphorismum, aut sanè quod Hippocrates esse dimidiam orationis partem neglexerit, aut quod primus bibliographus omiserit. Siue enim in renibus, siue in vesica calculi procreentur, vnà cum vrinis arenosa prodeunt.

B

Ἅτινα σημεῖα τὴν κύστιν, καὶ τὰ κύστεως μόρια πονεῖν δηλοῖ, τὰ ἐκ τῶν οὔρων, ὑφαίμων, καὶ θρομβωδέων, μετὰ τῆς στραγγουρίας, καὶ τοῦ ὑπογαστρίου, καὶ τοῦ περιναίου ἀλγήματος ληφθέντα.

Quæ signa vesicam & vesicæ partes laborare prodant, ex vrinis cruentis & grumosis cum stranguria, & imi ventris, & perinæi dolore petita.

ΑΦΟΡΙΣΜΟΣ π'.

ΗΝ αἷμα οὐρέῃ, καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον, καὶ τὸ περίναιον, τὰ περὶ κύστιν πονέει.

APHORISMVS LXXX.

C

SI quis sanguinem, & grumos meiat, & stranguriam habeat, dolórque in imum ventrem, & perineum incidat, vesicæ partes laborant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΓΕγράπται μὲν διχῶς ἡ τελευτὴ τοῦ ἀφορισμοῦ. κατά τινα μὲν τῶν ἀντιγράφων πονέει, κατ' ἔνια δὲ, νοσέει, καὶ σχεδὸν ἀλλήλων ταύτῃ γε οὐδὲν διαφέρουσιν αἱ γραφαί. κοινῇ δ' ἀμφότεραι σφάλλονται, εἴ τις ἀκούσειε τὰ περὶ τὴν κύστιν εἰρῆσθαι πρὸς Ἱπποκράτους, ὥσπερ καὶ αὐτὴν τὴν κύστιν ἐγεγράφει. τὰ γὰρ εἰρημένα συμπτώματα κοινὰ τῶν οὐρητικῶν ὀνομαζομένων ὀργάνων ἁπάντων ἐστὶ, κύστεως, νεφρῶν, οὐρητήρων. οὕτως οὖν ἄμεινον ἀκούειν τὰ περὶ τὴν κύστιν, οὐχ ὡς αὐτῆς μόνης δηλουμένης, ἀλλ' ὡς καὶ τῶν συνεζευγμένων αὐτῇ μορίων. ἔτι δὲ μᾶλλον, οὕτως ἀκούειν ἡμᾶς, καὶ ὁ ἑξῆς ἀφορισμὸς ἐπιτρέψει, καθ' ὃν οὐ τὰ περὶ τὴν κύστιν νοσεῖν φησιν, ἀλλὰ τῆς κύστεως ἕλκωσιν ὑπάρχειν, ὡς οὐ ταὐτὸν ὂν, αὐτὴν τὴν κύστιν ἁπλῶς μόνην ἀποφαίνεσθαί τι πάσχειν, ἢ τὰ περὶ αὐτήν.

GALENI COMMENTARIVS.

D

DVobus modis finis aphorismi scriptus est. In quibusdam exemplaribus, laborant, in quibusdam ægrotant, legitur; atque hac ratione ab inuicem nihilo propè verè discrepant. Ambo textus simul errorem subeunt, si quis illud vesicæ partes, *vel circa vesicam* intellexerit ab Hippocrate dici, ac si ipsam vesicam laborare enunciasset. Commemorata siquidem symptomata, vreticis appellatis mixtionis instrumentis omnibus vesicæ, renibus, & vreteribus communia sunt. Sic itaque præstat *circa vesicam partes* accipere, non vt ipsa sola vesica; sed etiam vt partes ipsi connexæ significentur. At etiamnum magis ita nos intelligere sequens etiam aphorismus hortabitur; quo non quæ partes circà vesicam existunt, eas ægrotare profert; sed vesicæ exulcerationem incusat; quasi non idem dicturus sit is, qui vesicam ipsam solam absolutè pati aliquid & qui circa vesicam partes affectas esse pronunciat.

E

Τὸ τῆς κύστεως ἡλκωμένης σημεῖον, ἐκ τῆς τοῦ αἵματος, καὶ πύου, καὶ τῶν λεπίδων, μετά τε βαρυόσμου οὐρήσεως ληφθέν.

Exulceratæ vesicæ signum, ex sanguinis, puris, & squammularum cum graui odore mictione petitum.

ΑΦΟΡΙΣΜΟΣ πα'.

F

ΗΝ αἷμα, καὶ πύον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρεῖα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

APHORISMVS LXXXI.

SI quis sanguinem, & pus, & squamulas meiat, odórque grauis adsit, vesicæ exulcerationem significat.

GALENI COMMENTARIVS. A

SAnguinem & pus meiere vreticorum instrumentorum *mixtioni* inseruientium vlceratorum planè communia signa sunt. At graueolentia, quam prodit insuauis, & ingratus odor, & adhuc magis squamulæ vesicæ propria. In pluribus itaque exemplaribus, *si sanguinem & pus meiat*, scriptum est. In quibusdam ipsorum, *si sanguinem aut pus meiat*, Ipsa verò lectio secunda conjunctionem, aut esse disiunctiuam indicat, vt commemoratorum vtrunque vel simul vnà, vel vicissim adesse postulabit. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν αἷμα, καὶ τὸ πύον οὐρεῖν, πάντως ἐστὶ τῶν οὐρητικῶν ὀργάνων ἡλκωμένων κοινὰ σημεῖα, τὸ δὲ βαρὺ τῆς ὀσμῆς, ὅπερ δηλοῖ τὸ ἀηδὲς, ἔτι τε μᾶλλον, αἱ λεπίδες, ἴδια τῆς κύστεως. ἐν μὲν οὖν τοῖς πλείστοις ἀντιγράφων, ἢν αἷμα καὶ πύον οὐρέῃ, γέγραπται. κατὰ δὲ τινα αὐτῶν, ἢν αἷμα, ἢ πύον οὐρέῃ. δηλώσει δ' αὐτὴ μὲν ἡ δευτέρα γραφὴ, διαζευκτικὸν εἶναι τὸν, ἢ, σύνδεσμον, ὡς ὁπότερον ἂν ὑπάρχῃ τῶν εἰρημένων, ἑκάστου ἐστὶ σημεῖον, ἡ δ' ἑτέρα, τὰ δύο βουλήσεται συνεδρεύειν, ἢ ἅμα ἀλλήλοις, ἢ ἐναλλάξ.

Quòd vretræ tuberculum suppuratione, & ruptione soluatur.

Ὅτι τὸ ἐν τῇ οὐρήθρᾳ φῦμα τῇ διαπυήσει, καὶ τῇ ῥήξει λύεται.

APHORISMVS LXXXII. C

ΑΦΟΡΙΣΜΟΣ πβ'.

QVibus in vretra tuberculum nascitur, eo suppurato & rupto, solutio.

ΟΚόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα γίνεται, τουτέοισι, διαπυήσαντος, καὶ ἐκραγέντος, λύσις.

GALENI COMMENTARIVS.

PRopter orationis breuitatem nihil effatu dignum habere hic aphorismus conjicitur. Promptum enim est vnicuique nosse in D meatu urinario qui in pene est (hunc enim vretram vocitant) si consistant tubercula quæ postea rumpantur, fieri solutionem. Verùm si accuratiùs animaduerterimus rei cuiusdam maioris fit indicatio. Contingit enim ischuriam i. vrinæ suppressionem aliquam ob eiusmodi tuberculum oboriri, eóque rupto tuberculo, futuram ischuriæ sanationem esse certò constat. Verùm ex dictis illa quæstio suboritur; vtrùm procreatum hoc in loco tuberculum rumpi duntaxat velit Hippocrates, an sæpissime quidem id ipsum accidere; discuti tamen posse, an hoc vnum solutionum e- E xemplum ruptionum scriptis proposuerit? Quod vltimum veriùs vrinetur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΙὰ βραχυλογίαν οὐδὲν ἀξιόλογον ἔοικεν ὁ ἀφορισμὸς ἔχειν ὑποληφθήσεται. πρόχειρον γὰρ παντὶ γνῶναι τῶν ἐν τῷ πόρῳ τοῦ οὐρητικοῦ, τοῦ κατὰ τὸ αἰδοῖον, τοῦτο γὰρ οὐρήθραν καλοῦσι, συνισταμένων φυμάτων, τὴν λύσιν γίγνεσθαι ῥαγέντων. ἀλλ' εἰ προσέχωμεν τὸν νοῦν, ἔνδειξίς ἐστι τινος μείζονος πράγματος. ἐνδέχεται γὰρ ἰσχουρίαν δή τινα γενέσθαι, καὶ διὰ τὸ τοιοῦτον φῦμα, καὶ μέντοι, καὶ ὡς τὸ φῦμα τοῦτο ῥαγὲν, ἰάσεται τὴν ἰσχουρίαν, εὔδηλον. ἀλλὰ ἐκεῖνό γε παραφύεται τοῖς εἰρημένοις ἑπόμενον ζήτημα, πότερον ῥήγνυσθαι μόνον βούλεται τὸ κατὰ τοῦτο χωρίον συνιστάμενον φῦμα, ἢ πλειστάκις μὲν αὐτὸ τοῦτο συμβαίνειν, δύνασθαι δὲ διαφορεῖσθαι, ἢ παράδειγμα τῶν λύσεων ἓν τοῦτο ἔγραψε, τὴν ῥῆξιν, ὅπερ καὶ ἀληθέστερόν ἐστιν.

Copiosam vrinam parcioris dejectionis signum esse, & contrà.

Ὅτι οὖρον τὸ πολὺ τῆς σμικροτέρας ὑποχωρήσεως σημεῖον εἴη, καὶ ἐναντίον.

APHORISMVS LXXXIII. F

ΑΦΟΡΙΣΜΟΣ πγ'.

QVi mictus noctu fit copiosus, paucam deiectionem significat.

ΟΥρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν οὖν ἀναγκαῖόν ἐστιν, ἀναδοθέντος τοῦ κατὰ τὴν κοιλίαν ὑγροῦ, βραχυτέραν γίνεσθαι τὴν ὑποχώρησιν, πρόδηλον παντί. συνεμφαίνει δὲ τούτῳ καὶ ὅτι διεξελθόντος ἅμα τοῖς σιτίοις ὑγροτέρα μὲν ἡ γαστὴρ γενήσεται, καὶ διὰ τοῦτο πλείω ὑποχωρήσει· τὸ δ' αὖ οὖρον ἔλαττον ἐκκριθήσεται. διδάξει δ' ἡμᾶς ὁ λόγος οὗτος, ἰάματα ῥευμάτων γαστρὸς καὶ ξηρότητος· ἐφ' ὧν μὲν ὑγροτέρα γίνεται τοῦ προσήκοντος, B τό τε πόμα ἔλαττον διδόντες ἐπί τε κύστιν ἐπιτρέψομεν ἀφικέσθαι. ἐφ' ὧν δὲ ξηροτέρα, καὶ πλεῖον δώσομεν τὸ πόμα, καὶ τὴν ἀνάδοσιν, ὡς οἷόν τε, κωλύσομεν.

GALENI COMMENTARIVS.

Qvod necessarium quidem sit distributo ventris humore pauciorem fieri dejectionem vnicuique manifestum est. Sed & simul illud apparet, quòd eo *humore* vnà cum cibariis *intestina* peruadente, aluus quidem humidior reddatur; idcircò & plura dejiciet, & vrina paucior excernetur. Docebit autem nos hæc ratio & defluxionum & siccitatis ventris remedia. In quibus enim aluus quàm deceat humidior est, iis parciorem potum dabimus, atque ipsius motum ad vesicam ciebimus. Quibus verò siccior est, vberiorem potum exhibebimus, & eius distributionem quoad fieri potest, prohibebimus.



ΙΠΠΟΚΡΑΤΟΥΣ



ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΩΟΥ ΑΦΟΡΙΣΜΩΝ ΠΕΜΠΤΟΝ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΥΣ ΥΠΟΜΝΗΜΑ Ε.

HIPPOCRATIS COI APHORISMORVM LIBER QVINTVS, ET ET IN EOS GALENI COMMENTARIVS QVINTVS.

ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΒΙΒΛΙΟΥ.

Ἀπὸ τῆς τοῦ θερμοῦ, καὶ ὑγροῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ ὑπερβολῆς τὰ τῶν νοσημάτων εἴδη γίνεσθαι. τὰ σπώμενα, ἐμπυούμενα γυναικεῖα, ἕλκεα, προγνωστικά, θεραπευτικά.

ARGVMENTVM LIBRI.

Ab calidi, humidi, frigidi & ſicci exuperantia & ametria varias morborum ſpecies oboriri conuulſa, ſuppurata, muliebria, vlcera, prognoſtica, therapeutica.

A

Quòd ab elleboro conuulſio ſit mortifera; quando, quomodo, & quibus cauſis excitetur, & qualis hîc materia vomitu per elleborum vacuatur.

APHORISMVS I.

Conuulſio ex veratro lethalis.

GALENI COMMENTARIVS.

B

QVi veratrum aſſumpſerunt, album ſcilicet (hunc enim ſimpliciter elleborum, non ſicut nigrum cum adiectione, nominare conſueuerunt) iis ſi dum purgantur conuulſio ſuperueniat,

Ὅτι ἐξ ἐλλεβόρου σπασμὸς ἢ θανάσιμος· πότε ὅπως καὶ δι' ὧν αἰτιῶν γένηται· καὶ ποία ἐνταῦθα ὕλη κατ' ἔμετον ἐξ ἐλλεβόρου κενουμένη.

ΑΦΟΡΙΣΜΟΣ α'.

Σπασμὸς ἐξ ἐλλεβόρου θανάσιμον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῖς ἐλλέβορον εἰληφόσι λευκὸν δηλονότι, τοῦτο γὰρ ἁπλῶς εἰώθασιν ὀνομάζειν ἐλλέβορον, οὐχ ὥσπερ τὸν μέλανα μετὰ προσθήκης. τούτοις οὖν ἐὰν καθαιρομένοις ἐπιγένηται σπασμὸς, ὀλέ-

θριοι εἶ) φησι τὸ σύμπτωμα. γίνεται μὲν γὰρ, οὐ κατὰ τὴν ἀρχὴν τῆς καθάρσεως, ἡνίκα τοῦ πνιγῆναι κίνδυνος, ἀλλ' ὅταν παραχθῶσι σφοδρότερον ἐμοῦντες, δι' αὐτὴν μάλιστα τὴν ἐν τοῖς ἐμέτοις συντονίαν πονησάντων τῶν νεύρων, κατὰ συμπάθειαν τὴν πρὸς τὸ στόμα τῆς γαστρὸς, ἐφ' ᾧ καὶ ἄλλως ἑωράκαμεν, ὅταν ἰσχυρῶς δηχθῇ, γεγενημένους σπασμοὺς, ὥσπερ καὶ τῷ νεανίσκῳ, τὸν ἰὸν ἐμέσαντι. βέλτιον γὰρ ἰὸν οὐκ ἰώδη τὸν ἔμετον ὀνομάζειν ἐκεῖνον, ἐπειδήπερ ἦν οἷος ἀκριβὴς ἰὸς, ὀνομαζόμενος εὐανθέστατος. ἀλλὰ κατά γε τὸν ἔμετον ἐσπάσθη πᾶν τὸ σῶμα, καὶ ὅ τε πυρετὸς αὐτοῦ, καὶ ὁ σπασμὸς ἐπαύσατο παραχρῆμα, κενωθέντος τοῦ ἰοῦ. τοιοῦτον δὲ ἦν τὸ ἐμεθὲν, οἷον εἴ τις ὕδατι διαλύσειεν ἰὸν τὸν ἄριστον, ὡς γενέσθαι σύστασιν ἐξ ἀμφοῖν σιραίῳ πάχει προσεοικυῖαν. οὐκ ἀδύνατον μὲν οὖν, ὡς ἔφην, καὶ κατὰ συμπάθειαν τὴν πρὸς τὸ στόμα τῆς γαστρὸς, γενέσθαι σπασμὸν ἐπ' ἐλλεβόρῳ λευκῷ, καὶ εἴη ἂν ὁ μετριώτατος σπασμὸς οὗτος. ἐγχωρεῖ δὲ, καὶ δι' αὐτὴν τὴν κένωσιν ὑπερκαθαιρομένοις αὐτοῖς γενέσθαι σπασμὸν, ὡς καὶ τοῖς χολερικοῖς ἐπιγίνονται συνολκαὶ πολλάκις, καὶ μάλιστα τῶν κατὰ τὰς γαστροκνημίας μυῶν. οὐκ ἀδύνατον δὲ, οὐδὲ διὰ τὴν ἐνέργειαν τοῦ φαρμάκου, τὰ ἐκ τῶν νεύρων ὑγρὰ πρὸς ἑαυτὸ βίᾳ σπῶντος, ἐκ τῆς κακοπαθείας ταύτης ἐπιγενέσθαι σπασμόν. ἀλλὰ καὶ τῆς δυνάμεως ἐνίοτε τοῦ ἐλλεβόρου πρὸς ἀνάδοσιν ὁρμησάσης σφοδρότερον, ἐγχωρεῖ τὴν τῶν νεύρων οὐσίαν ξηρανθῆναι βιαιότερον. ἐδίδαξε δ' ἡμᾶς αὐτὸς ὁ Ἱπποκράτης, ὡς ὁ σπασμὸς ἐπὶ κενώσει καὶ πληρώσει γίγνεται τῶν νευρωδῶν δηλονότι σωμάτων, ὑφ' ὧν αἱ κατὰ προαίρεσιν ἐνεργοῦνται κινήσεις. ἔστι δὲ ταῦτα τόνοι σύνδεσμοι, καὶ μύες, καὶ τένοντες· ὥσπερ ὁρῶμεν ἐπὶ τῶν ἐκτὸς, ἱμάντας τε, καὶ χορδὰς τεινομένας, ἐάν τε ξηρανθῶσιν ἐπὶ πλέον, ἐάν τε ὑγρότητι πολλῇ διαβραχῶσιν, οὕτω καὶ κατὰ τῶν ζώων σώματα, τὰ πολλὰ τὸν σπασμὸν εἰκὸς γίνεσθαι· πρόδηλον δ' ὡς ὁ μὲν ἐπὶ πληρώσει δυνατός ἐστι ἰαθῆναι κενώσει. τὸν δ' ἐπὶ κενώσει τε, καὶ ξηρότητι τῶν νεύρων, οὐ πάνυ τι δυνατόν ἐστιν ἰάσασθαι. γίνεται δ', ὡς ἔφην, καὶ κατὰ συμπάθειαν σπασμὸς, ὃν οὐχ ἡγητέον ὑπὸ τοῦ Ἱπποκράτους παραλελεῖφθαι. τὸν γὰρ πρώτως γιγνόμενον σπασμὸν ἐδήλωσεν ἐν τῷ φάναι, σπασμὸν ἐπὶ πληρώσει, καὶ κενώσει συνίστασθαι, καὶ μὴν καὶ τῷ λόγῳ τῆς δήξεως, ἴσμεν ἐπὶ τῷ στομάχῳ λυγμὸν γινόμενον, ὡς ἄν τινα καὶ τὰ νεῦρα πάσχειν ὁμοίως προσδοκῆσαι, καὶ δόξει καὶ ὁ σπασμὸς οὗτος ἐνίοτε γίνεσθαι τοῖς ἐπ' ἐλλεβόρου καθαιρομένοις, ὑφ' Ἱπποκράτους οὐκ εἰρημένος· εἰ μὴ, νὴ Δία, φαίης τις αὐτὸν ἐπὶ κενώσει συμβαίνειν, τῶν δακνόντων χυμῶν ξηραντικῶν ὑπαρχόντων. οὗτοι μὲν οἱ τρόποι τῶν ἐπ' ἐλλεβόρῳ σπωμένων· θεραπεύονται δ' αὐτῶν, ὅτε διὰ δῆξιν, καὶ ὁ διὰ τὴν συντονίαν τὴν ἐπὶ τοῖς ἐμέτοις, ὁ δὲ διὰ ξηρότητα, τῶν ἀνιάτων ἐστίν. εἰκότως τοιγαροῦν ὅλον τὸ γένος τοῦ τοιούτου σπασμοῦ φησὶ θανάσιμον ὑπάρχειν ὁ Ἱπποκράτης. ἐπειδή τινες μὲν αὐτοῦ διαφοραὶ δυσίατοι, μία δ' ἀνίατός ἐστιν.

perniciosum symptoma esse pronunciat. Fit enim non initio purgationis, quo tempore suffocationis periculum imminet; seu quando vomentes vehementius vellicati vexantur, propter ipsam maximè quæ in vomitibus concitatur, contentionem, neruis per eam quam cum ore ventriculi sympathiam sortiuntur, laborantibus. Qua in re etiam aliàs quum vehementiùs morderetur, conuulsiones fieri videmus; quemadmodum adolescenti accidit, qui æruginem vomuit. Præstat enim æruginem, quàm æruginosum vomitum illum appellare, quandoquidem talis erat, qualis mera ærugo nominata *viridissimus*. Verùm per vomitum totum corpus conuulsum est, atque euacuato ærugine, quamprimùm febris ipsius & conuulsio cessarunt. Quod vomitu exclusum est, tale erat, ac si quis optimam æruginem sic aqua soluat, vt ex vtraque conflatum corpus, sapæ referat crassitudinem. Non impossibile est igitur (vt dixi) & per consensum cum ore ventriculi ab elleboro albo fieri conuulsionem; & hæc foret conuulsio moderatissima. Possibile quoque est & propter ipsam vacuationem iis qui supra modum purgantur, conuulsionem oboriri, vt quæ cholericis contractiones sæpius eueniunt, ac potissimùm eorum qui suris inseruntur musculorum. Nec non etiam fieri potest propter actionem pharmaci ex neruis humores ad se vi attrahentis ex hoc labore conuulsionem superuenire. Quinetiam ellebori interdum vi ad distributionem vehementiùs concitata contingit neruorum substantiam violentiùs exiccari. Nos enim ipse Hippocrates conuulsionem exinanitione & repletione fieri docuit corporum videlicet neruosorum, à quibus voluntarii motus perficiuntur. Hæc autem sunt, nerui, ligamenta, musculi, & tendones; Quemadmodum enim in rebus etiam externis lora & chordas extendi cernimus, siue vehementiùs exiccentur, siue copioso humore imbuantur: sic etiam in animalium corporibus par est fieri non rarò conuulsionem. Porrò liquet ex repletione conuulsionem curabilem esse per vacuationem; quæ verò ex inanitione fit & siccitate neruorum, eam vix vnquam curationem admittere. Fit etiam (vt dixi) per sympathiam conuulsio, quam ab Hippocrate prætermissam fuisse augurandum est. Eam enim quæ primùm fit, conuulsionem declarauit, quum spasmum ex repletione, atque inanitione generari pronunciat. Et sanè etiam vellicationis aut morsus ratione singultum in ore ventriculi fieri nouimus, adeò vt quispiam & neruos similiter affici existimauerit. Et hæc conuulsio iis qui veratro purgantur, fieri interdum videbitur, ab Hippocrate non enunciata, nisi, per Iouem illam quis dixerit ex inanitione oboriri, quum mordaces humores siccandi facultate polleant. Hi sanè sunt modi, quibus homines ex elleboro conuelluntur; curatur autem ex ipsis tum qui propter morsum; tum qui propter contentionem ex vomitibus conuellitur; qui denique ob siccitatem, insanabilis est. Quare meritò Hippocrates totum huiusmodi conuulsionis genus esse lethale pronunciat; quoniam ipsius quidem nonnullæ differentiæ curatu sunt difficiles, vna autem est insanabilis.

A

Conuulſionem vulneri ſuccedentem pernicioſam eſſe, non tamen perpetuò lethalem docet Galenus.

APHORISMVS II.

Vulneri ſuccedens conuulſio lethale.

GALENI COMMENTARIVS.

QVemadmodum in eo qui hunc præcedit textum, lethalem dicebat conuulſionem, quod idem eſt ac ſi periculoſam, & ſæpius ad mortem terminantem proferret: Sic etiam nunc obortam ex vulnere conuulſionem lethalem nominauit; non quòd ex neceſſitate ac ſemper; ſed quòd rarò admodum mortem adferat. Eodem quoque modo in ſuperioribus multis aphoriſmis lethalis nomine vti viſus eſt. Vulneribus ſiquidem conuulſiones ſuperueniunt inflammationis ipſa ſequentis ratione, vbi partes neruoſas attigerit. Ac primùm quidem conuelli videntur, quæ è directo partibus inflammatione laborantibus reſpondent. Deinde vbi ipſum etiam principium attigerit inflammatio, in totum corpus extenditur conuulſio.

D

Conuulſionem aut ſingultum ex ſanguinis profuſione malum eſſe. Quid inter malum & lethale differentia ſit.

APHORISMVS III.

Effuſo copioſo ſanguine, conuulſio aut ſingultus accedens malum.

E

GALENI COMMENTARIVS.

NOn aliud quidem ſuperiore aphoriſmo lethalis nomine, aliud verò præſenti per malum ſignificari exiſtimandum eſt. Conſueuit ſiquidem Hippocrates ea ſymptomata ſic appellare, quibus mors ſæpe ſuperuenit. Si quid verò magis minúſve differre hæc nomina inter ſe videantur, maius per lethale periculum, quàm per malum ſignificabitur. Siquidem quæ copioſâ ſanguinis vacuatione accedit conuulſio ex altero genere eſt cauſarum ipſam efficientium, vt ſuprà dictum eſt.

F

Τὸν σπασμὸν τῷ τραύματι ἐπιγινόμενον ὀλέθριον εἶναι, οὐ μὴν διὰ παντὸς θανάσιμον διδάσκει ὁ Γαληνός.

ΑΦΟΡΙΣΜΟΣ β'.

B Ἐπὶ τραύματι σπασμὸς ἐπιγινόμενος, θανάσιμον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ ἐν τῷ πρὸ τούτου λόγῳ, θανάσιμον ἔφη τὸν σπασμὸν, ἐν ἴσῳ τῷ κινδυνώδη τε, καὶ τελευτῶντα πολλάκις εἰς θάνατον, οὕτω καὶ νῦν, τὸν ἐπὶ τῷ τραύματι σπασμὸν ὠνόμασε θανάσιμον, οὐκ ἐξ ἀνάγκης τε, καὶ διὰ παντὸς ἐπιφέροντα θάνατον, ἀλλ' ὡς πάνυ πολλάκις. ὡσαύτως δὲ καὶ κατὰ C πολλοὺς τῶν ἔμπροσθεν ἀφορισμῶν ἐφαίνετο τῷ θανασίμου ὀνόματι χρώμενος. ἐπὶ γοῦν τοῖς τραύμασιν οἱ σπασμοὶ γίγνονται, τῷ λόγῳ τῆς ἑπομένης αὐτοῖς φλεγμονῆς, ὅταν ἅψηται τῶν νευρωδῶν μορίων. καὶ πρῶτα γε φαίνεται σπώμενα, τά τε κατ' εὐθὺ τῶν φλεγμαινόντων. εἶθ' οὕτως ὅταν καὶ τῆς ἀρχῆς αὐτῆς ἅψηται τὸ πάθος, ἐπὶ πᾶν ἐκτείνεσθαι τὸ σῶμα.

Τὸν σπασμὸν ἢ λυγμὸν ἐκ τῆς αἱμορραγίας κακὸν εἶναι· τίς διαφορὰ πρὸς τὸ κακὸν, καὶ τὸ θανάσιμον ἦ.

ΑΦΟΡΙΣΜΟΣ γ'.

Αἵματος πολλοῦ ῥυέντος, σπασμὸς, ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἄλλο μέντοι νομιστέον δηλοῦσθαι ἐκ τοῦ πρόσθεν ὀνόματος τοῦ θανάσιμον, ἄλλο δὲ ἐκ τοῦ νῦν, τοῦ, κακόν. εἴωθε γὰρ ὁ Ἱπποκράτης ἐκεῖνα τῶν συμπτωμάτων ὀνομάζειν οὕτως, οἷς ἐπιγίνεται πολλάκις καὶ θάνατος. εἰ δὲ τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων δόξειεν τὰ ὀνόματα διαφέρειν, μείζονα τὸν κίνδυνον ἐνδείξαιτ' ἂν ἡ θανάσιμον, φωνὴ τῆς κακόν. ὁ γοῦν ἐπὶ πολλῇ κενώσει τοῦ αἵματος γινόμενος σπασμὸς, ἐκ θατέρου γένους ἐστὶ τῶν ποιούντων αὐτὸν αἰτίων, ὡς προείρηται.

A

Τὸν σπασμὸν ἢ τὸν λυγμὸν τῇ ὑπὲρ καθάρσει ἐπιγινόμενον κακὸν εἶναι.

Conuulsionem aut singultum immoderatatiori purgationi succedentem, malum esse.

ΑΦΟΡΙΣΜΟΣ δ.

Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

APHORISMVS IV.

B *Quæ profusæ purgationi conuulsio, aut singultus succedit, malum.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅπερ ἐνίοτε τοῖς ἐλλέβορον εἰληφόσιν ἐλέγομεν γίγνεσθαι, τοῦτο νῦν ὑπὲρ ἁπάντων ἀπεφήνατο τῶν ὁπωσοῦν καθαιρομένων. σπῶνται γὰρ οἱ ὑπερκαθαιρόμενοι κατὰ τὰς εἰρημένας αἰτίας, ἐπὶ τὸν ἐλλέβορον εἰληφότων, κίνδυνός τε καταλαμβάνει τοὺς οὕτω κάμνοντας, οὐ σμικρός, ἐπειδὴ πολὺ χείρων ἐστὶν ὁ ἐπὶ κενώσει σπασμὸς, τοῦ διὰ πλήρωσιν. ὅτι δὲ καὶ ὁ λυγμὸς, σπασμός ἐστι στομάχου, κατὰ τὸν Ἱπποκράτην γινωσκομένη δήπου.

GALENI COMMENTARIVS.

Quod nonnullis sumpto elleboro accidere dicebamus, hoc nunc de omnibus qui quouis modo purgantur, pronunciat. Qui nanque præter modum purgantur, ob commemoratas causas ipsi conuelluntur, quibus qui elleborum sumpserunt, ita laborantibus non paruum impendet periculum; multò siquidem C peior est à vacuatione quàm per repletionem facta conuulsio. Quòd autem & singultus sit stomachi conuulsio, secundùm Hippocratem nos vtique nouimus.

Ἐκ τοῦ μεθύσματος ἀφωνίαν, ἐκ τῆς ἀφωνίας τὸν σπασμὸν γίνεσθαι, εἰ μὴ φθέγξηται. τίνος ἕνεκα, καὶ πόθεν, καὶ πῶς ὁ οἶνος τοιαῦτα προσάπτει παθήματα. τί κάρος. τί ἀφωνία. τί κραιπάλη. καὶ ἐνταῦθα τὴν ὥραν ἀντὶ τοῦ χρόνου λαμβάνεσθαι.

Ex ebrietate aphoniam, ex aphonia conuulsionem lethalem sequi; nisi vox redierit. Cur, vnde, & quomodo vinum tales inuehat affectus. Quid carus; quid aphonia; D quid crapula; & hîc horam pro tempore vsurpari.

ΑΦΟΡΙΣΜΟΣ ε.

Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

APHORISMVS V.

Si quis ebrius derepente obmutescat, conuulsus moritur, nisi eum febris corripuerit; aut qua hora crapula, soluitur, vocem ediderit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πληρουμένων τῶν νεύρων, ὁ τοιοῦτος ἐπιγίνεται σπασμός. εἴωθε δὲ ῥᾳδίως αὐτὰ πληροῦν ὁ οἶνος, ὡς ἂν θερμὸς ὑπάρχων τὴν κρᾶσιν. τοιαύτη φύσις, ἑτοίμως ἅπασιν ἐγκαταδύεται, καὶ μάλιστα ὅταν μὴ πάνυ τι παχυμερὴς ᾖ. τῷ μὲν οὖν πλήθει τῆς οὐσίας, τὸν σπασμὸν ἐπιφέρει τοῖς νεύροις. τῇ ποιότητι δὲ θεραπεύει πάλιν αὐτὸς ἣν εἰργάσατο διάθεσιν, ἐκθερμαίνων τε, καὶ ξηραίνων τὰ νεῦρα. ἐὰν οὖν ποτε τοῦτο μὴ δυνηθῇ ποιῆσαι, θάνατον ἀκολουθεῖν ἀναγκαῖόν ἐστιν. ἣ δὲ δυνάμει τὸν οἶνον ἔφαμεν ἰᾶσθαι τοὺς σπασμοὺς ταύτῃ δηλονότι καὶ ὁ πυρετὸς ἰᾶται. προσεκτέον δὲ ἐνταῦθα μάλιστα τῷ ἔθει τοῦ Ἱπποκράτους, ἀφώνους ὀνομάζοντος τοὺς ὁπωσοῦν καρουμένους. ἀλλὰ κυρίως λέγεται κάρος, ἡ παντὸς τοῦ σώματος αἰφνίδιος ἀναισθησία τε, καὶ

GALENI COMMENTARIVS.

E Repletis neruis, talis conuulsio oboritur. Vinum autem eos facilè replere solet, vt quod temperamento sit calidum. Talis siquidem natura prompte omnia penetrat, ac præserim si non admodum crassis constet partibus. Substantiæ igitur copia vinum neruis conuulsionem adfert; sua verò qualitate neruos excalefaciendo atque desiccando ipsum, rursus eam quam fecerat affectionem sanat. Quod si quando id præstare nequeat, mortem sequi necesse est. Verùm quâ facultate vinum diximus conuulsionem sanare, eadem febris quoque sanat. Hîc verò maximè obseruanda est F Hippocratis consuetudo qui mutos illos nominat, qui quouis modo caro laborant. Verùm propriè carus nominatur totius corporis repentina sensûs, motúsque priuatio. Hanc ita-

que affectionem ex vno symptomate, *nimirum aphonia*, nominare consueuit Hippocrates; quæ vtique fit affecto neruorum principio. Neque enim aliter omnino corpus conuelli potest, priusquam id principium patiatur vel primariò, vel per consensum, altera prius affectâ parte. Quod autem Græci omnes crapulas nominent obortas capitis noxas manifestum est. Sic nanque nonnulli nominis etymologiam fecerunt à κάρηον πάλλεσθαι quod *caput percelli* significat, ductam esse proferunt. Horam autem, qua crapulæ soluuntur pro tempore vocauit Hippocrates, quod non omnibus vnâ & eadem mensurâ præcisum aut circunscriptum est. Quidam enim postridie crapulâ liberantur, quidam sequenti nocte; nonnulli tertio duntaxat die; idque fit pro vini copiâ ac viribus, & ipsa pectoris natura. Quemadmodum enim cibi concoquendi vnum omnibus hominibus præfinitum tempus non est; sic neque vini *exhalandi*. Aut igitur oportet nos ægri naturam experientiâ compertam notamque habere aut extremum *crapulæ exhalandæ*, terminum obseruare; in quo si neque febricitare, neque loqui anticipauerit, procul dubio conuulsus moritur.

ἀκινησία, ταύτην οὖν τὴν διάθεσιν, ἀφ' ἑνὸς τῶν συμ-
A πτωμάτων ὀνομάζειν εἴωθεν ὁ Ἱπποκράτης, καὶ γίνεται
δηλονότι τῆς ἀρχῆς τῶν νεύρων παθούσης. οὐδὲ γὰρ οὐδὲ ἄλλως ὅλως οἷόν τε σπασθῆναι τὸ σῶμα, πρὶν ἢ ταύτην παθεῖν, ἤτοι πρώτως, ἢ κατὰ συμπάθειαν ἑτέρου προπεπονθότος μορίου. κραιπάλας δὲ ὅτι πάντες οἱ Ἕλληνες ὀνομάζουσι τὰς ἐκ οἴνου βλάβας τῆς κεφαλῆς, εὔδηλον. οὕτως γοῦν ἔνιοι καὶ τὴν ἐτυμολογίαν ἐποιήσαντο τῆς προσηγορίας, ἀπὸ τοῦ κάρηνον πάλλεσθαι γεγονέναι φάσκοντες. τὴν δὲ ὥραν καθ' ἣν αἱ κραιπάλαι
B λύονται, κέκληκεν ὁ Ἱπποκράτης, αἰτὶ τοῦ τὸν καιρόν. ἔστι δὲ οὗτος οὐκ ἀποτετμημένος, οὐδὲ περιγεγραμμένος ἅπασιν ἑνὶ μέτρῳ. τινὲς μὲν γὰρ κατὰ τὴν ὑστεραίαν ἡμέραν ἐπαύσαντο τῆς κραιπάλης, τινὲς δὲ καὶ κατὰ τὴν ἐπιγιγνομένην αὐτὴν νύκτα. τινὲς δὲ ἐν τῇ τρίτῃ πάντως ἡμέρᾳ, καὶ γίνεται τοῦτο, διά τε τὴν δύναμιν, καὶ τὸ πλῆθος τοῦ ποθέντος οἴνου, καὶ αὐτὴν τοῦ πιόντος φύσιν. ὥσπερ γὰρ οὖν ἡ τροφὴ, τοῦ πεφθῆναι, μίαν ἅπασιν ἀνθρώποις οὐκ ἔχει προθεσμίαν, οὕτως οὐδὲ ὁ οἶνος. ἢ τοίνυν ἡμᾶς ἐμπείρως ἔχειν χρὴ τῆς φύ-
C σεως τοῦ κάμνοντος, ἢ τὴν ἐξωτάτω προθεσμίαν ἐπιτηρεῖν, καθ' ἣν, ἐὰν μήτε πυρέξαι φθάσῃ, μήτε φθέγξηται, τεθνήξεται πάντως σπασθείς.

Tetano laborantes quatuor diebus interire, aliàs incolumes euadere. Quid tetanus.

Οἱ ὑπὸ τετάνου ἁλισκόμενοι, ἐν τέσσαρσιν ἡμέραις ἀπόλλυσθαι· ἄλλως ὑγιέες γίνεσθαι. τί τέτανος.

APHORISMVS VI.

Qui tetano corripiuntur, intra quatuor dies intereunt; hos, verò si effugerint, sanescunt.

D ΑΦΟΡΙΣΜΟΣ ϛʹ.

Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέτρασιν ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

GALENI COMMENTARIVS.

Tetanus morbus peracutus est, vt ex emprosthotono, & opisthotono compositus. Quo iure fit vt breuior eius sit iudicatio diuturniorem tensionis laborem non ferente natura. Primo igitur statim dierum criticorum circuitu crisis morbo accidit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κάτοξυ πάθος ὁ τέτανός ἐστιν, ὡς ἂν ἐξ ὀπισθοτόνου τε, καὶ ἐμπροσθοτόνου συγκείμενος;
E ὡς εἰκότως αὐτὸν συντομωτέραν ποιεῖσθαι τὴν κρίσιν. οὐ φερούσης τὸν ἐπὶ τῇ τάσει κάματον τῆς φύσεως, ἐν πλείονι χρόνῳ. κατὰ τὴν πρώτην οὖν περίοδον τῶν κρισίμων ἡμερῶν ἡ κρίσις τῷ πάθει.

Qui & quando epileptici curantur; & epilepsiam post vigesimum quintum annum insanabilem esse.

Οἵ τινες, καὶ πότε ἐπιληπτικοὶ θεραπεύονται. καὶ τὴν ἐπιληψίαν μετὰ τὸ εἰκοστὸν καὶ πέμπτον ἔτος ἀνίατον εἶναι.

APHORISMVS VII.

Quibus comitiales affectus ante pubertatem oriuntur, decessum sortiuntur; quibus verò quintum & vigesimum annum agentibus oboriuntur, ijs plerunque commoriuntur.

F ΑΦΟΡΙΣΜΟΣ ζʹ.

Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἔχει. ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ συναποθνήσκει.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κυρίως μὲν ὀνομάζονται μεταστάσεις πάθους, ὅταν ἐξ ἑτέρου μέρους εἰς ἕτερον μετέρχωνται, καταχρωμένων δὲ καὶ αἱ λύσεις οὕτω προσαγορεύονται. καί μοι δοκεῖ νῦν ὁ Ἱπποκράτης, κατὰ τὸ δεύτερον σημαινόμενον κεχρῆσθαι τῇ προσηγορίᾳ. οὐ μόνον γὰρ εἰς ἕτερα μόρια μεθισταμένων τῶν τὴν ἐπιληψίαν ἐργαζομένων χυμῶν, λύεται τὸ πάθος, ἀλλὰ καὶ τελέως ἐκθεραπευομένων· εἰσὶ μὲν γὰρ οὗτοι παχεῖς, καὶ ψυχροὶ, καὶ φλεγματικοί. παύονται δ' ὑπό τε τῆς ἡλικίας ἐπὶ τὸ ξηρότερον μεταβαλλούσης, καὶ διὰ γυμνασίων, καὶ διὰ δίαιταν ξηραντικὴν, ἅμα τοῖς ἐπιτηδείοις φαρμάκοις. ἀλλὰ νῦν γε ὁ Ἱπποκράτης μόνης τῆς καθ' ἡλικίαν μέμνηται μεταβολῆς, ὑφ' ἧς διδασκόμενοι, καὶ τὸ τῆς διαίτης εἶδος ἅμα τοῖς φαρμάκοις εὑρήσομεν. ὅπερ οὖν ἐν ἑτέρῳ μέρει τῶν ἀφορισμῶν εἶπε, τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν, ἀπαλλαγὴν αἱ μεγάλαι μεταβολαὶ, μάλιστα τῆς ἡλικίας, καὶ τῶν χωρέων, καὶ τῶν βίων, καὶ τῶν τόπων ποιέουσι, ταῦτα νῦν ἐπ' αὐτῶν τῶν παθῶν ἐδήλωσε. τὰ μὲν πρὸ τῆς ἥβης συνιστάμενα τῶν ἐπιληπτικῶν παθῶν, παύεσθαι λέγων ἐν τῇ τῆς ἡλικίας μεταβολῇ· τὰ δ' ἐξωτέρω τῶν εἴκοσι πέντε ἐτῶν, συναποθνήσκειν, ᾧ καὶ δῆλον, ὡς καὶ τὸν τῆς ἥβης χρόνον ἕως τῶν πέντε καὶ εἴκοσιν ἐτῶν ἐκτετάσθαι νομίζει, τὴν ἀρχὴν λαμβάνοντα μετὰ τὴν δευτέραν ἑβδομάδα. πρόδηλον δὲ, ὡς οὔτε πᾶσιν ἰαθήσεται τὸ πάθος, ὑπὸ τῆς ἡβητικῆς ἡλικίας, εἰ μὴ καὶ τἄλλα πράττοιεν ὀρθῶς, οὔθ' οἷς ἐν ταύτῃ συνέστη διὰ παντὸς παραμένει καλῶς διαιτωμένοις. ἀλλ' ὅτι γε τὴν ἀπὸ τῆς ἡλικίας ἴασιν οὐκ ἔχει, συγκαταγηράσει δὲ, ὅσον ἐπ' αὐτῷ τὸ πάθος αὐτοῖς, ἐδήλωσε σαφῶς, οὐ μὴν σαφῶς γέ τι λέλεκται. καί τοι δοκοῦν εἶναι σαφὲς, τοῖς ἀμελέστερον ἀκούουσι, τοῖς πέντε καὶ εἴκοσιν ἐτῶν συναποθνήσκειν τὸ πάθος οἷς ἐγένετο πέμπτον καὶ εἰκοστὸν ἔτος ἄγουσιν, ἀλλ' ἔτι καὶ μᾶλλον οἷς ἐξωτέρω. προσθέντες οὖν τὸ λεῖπον τῇ λέξει τοῦ Ἱπποκράτους ἀληθῆ τελέως αὐτὴν ἀπεργασόμεθα, τὰ ἐπιληπτικὰ παθήματα. τὰ μὲν πρὸ τῆς ἥβης συνιστάμενα, κατὰ τὸν ἐκείνης λύεται καιρὸν, τὰ δ' ἐξωτέρω τῆς ἥβης, συναποθνήσκει. καιρὸς δ' ἥβης ἐστὶν, ὁ μετὰ τεσσαρεσκαίδεκα μέχρι πέντε καὶ εἴκοσιν ἐτῶν. ἔστι δὲ καὶ ἄλλη τις γραφὴ τοιαύτη. οἷσι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τὰ πολλὰ συναποθνήσκει, σημαίνοντος τοῦ, τὰ πολλὰ, ταὐτὸν τῷ, ὡς ἐπὶ τὸ πολύ.

GALENI COMMENTARIVS.

Propriè morbi metastases *decessus* appellantur quum ex parte vna in alteram decedunt, per abusionem autem solutiones ita nominantur. Atque nunc mihi videtur Hippocrates secundo hoc significatu hanc dictionem vsurpare. Non enim solùm in alias partes translatis humoribus comitialem morbum facientibus soluitur affectus; sed etiam omnino percuratis: Sunt enim hi crassi, frigidi, & pituitosi. Cessant autem & B curantur tum ætatis in siccius mutatione; tum exercitatione, tum victu exiccante, accedente ad hæc idoneorum medicamentorum vsu. Verùm nunc Hippocrates solius ætatis meminit mutationis; à qua edocti victus formam etiam vnà cum medicamentis inueniemus. Quod igitur altera aphorismorum parte dixit: *Epilepticis iuuenibus mutationes potissimum ætatis, & regionum, & victus, & locorum liberationem efficiunt.* hæc nunc in ipsis morbis declarauit, morbos epilepticos qui ante pubertatem oboriuntur, C in ætatis mutatione finiri; qui verò vltra vicesimum quintum annum processere, eos commori pronunciat. Vnde liquet *Hippocratem* arbitrari pubertatis tempus adusque vicesimum quintum annum extendi, sumpto post secundam septimanam exordio. Constat autem neque omnibus hunc morbum ab ætate pubere fore sanabilem, nisi in aliis quoque bene se gesserint; neque quibus ab ætate accidit, omnino permanet, si proba victus ratione vrantur. Imò quòd ab ætate sanationem non sortiantur; sed quantum in ipsa est, consenescat affectus, apertè indicauit, non D tamen quiddam dilucidè dictum est, etiamsi manifestum iis videatur qui negligentiùs illud exaudiunt: Quibus verò vicesimoquinto anno epilepsia fit, iis commoritur. Neque enim iis solis hic affectus commoritur, quibus vicesimum quintum annum agentibus aduenit; sed multò magis etiamnum vltra hanc ætatem progressis. Si igitur quod deest, dictioni Hippocratis addiderimus, veritati vndequaque eam consentaneam efficiemus. Comitiales affectus qui ante pubertatem ortum E habent, pubertatis tempore soluuntur: qui verò vlterius pubertatem sunt, commoriuntur. Tempus autem pubertatis est à quartodecimo anno adusque vicesimum quintum: Est & alia lectio huiusmodi. Quibus verò vicesimoquinto anno fiunt epilepsiæ, plerunque commoriuntur, aduerbio *plerunque* idem quod magna ex parte significante.

A

Pleuritidem in suppuratum abire, nisi expectoratione quatuordecim diebus repurgetur.

Τὴν πλευρῖτιν εἰς ἐμπύημα μεταστῆναι, εἰ μὴ ἐκ τῆς ἀνακαθάρσεως τεσσαρεσκαίδεκα ἡμέρῃσι.

APHORISMVS VIII.

QVi pleuritide laborantes intra quatuordecim dies superne non repurgantur, iis in empyema pleuritidis *translatio fit.*

B

ΑΦΟΡΙΣΜΟΣ η'.

Ὁκόσοι πλευριτικοὶ γινόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν, τουτέοισιν ἐς ἐμπύημα μεθίσταται.

GALENI COMMENTARIVS.

PEr sputa vacuationem, humorum pleuritidem efficientium Hippocrates repurgationem ac purgationem *absolutè* dicere consueuit: quemadmodum etiam expuere pro purgari, tum in libro de acutorum victu, tum in prognostico vsurpauit. Verùm nunc & ipsius purgationis tempus circumscribit, in quo si non fiat, in suppurationem pleuritim transire dicit; aut omnem in pus mutationem ita nominans (vt in prognostico sæpius appellat) aut factam inter thoracem & pulmonem puris effusionem; vtrumque enim horum accidit, quum pleuritici per sputa non expurgantur. Verùm quòd secundo loco diximus, ipse sn sequentibus empyematis ruptiouem appellauit.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗν διὰ τῶν πτυσμάτων κένωσιν, τῶν τὴν πλευρῖτιν ἐργασαμένων χυμῶν, ἀνακάθαρσιν καὶ κάθαρσιν εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης, ὥσπερ γε καὶ τὸ πτύειν τοῦ πῦον καθαίρεσθαι, κατά τε τὸ περὶ διαίτης ὀξέων, καὶ τὸ προγνωστικὸν ὀνόμασιν. ἀλλὰ νῦν γε χρόνον ὁρίζει τῆς καθάρσεως, ἐν ᾧ μὴ γενομένης αὐτῆς, εἰς ἐμπύημά φησι μεθίστασθαι τὴν πλευρῖτιν, ἤτοι τὴν εἰς πῦον μεταβολὴν οὕτως ὀνομάζων ἅπασαν, ὥσπερ κἀν τῷ προγνωστικῷ πολλάκις, ἢ τὴν μεταξὺ θώρακός τε καὶ πνεύμονος ἔκχυσιν τοῦ πύου· γίνεται γὰρ ἑκάτερον τούτων, ὅταν οἱ πλευριτικοὶ μὴ καθαρθῶσι διὰ τῶν πτυσμάτων. ἀλλὰ τό γε δεύτερον τῶν εἰρημένων, ἐν τοῖς ἐφεξῆς αὐτὸς ὀνόμασε ῥῆξιν ἐμπυήματος.

D

Quo ætate tabes fiat, & quæ adolescentiæ & iuuentutis circunscriptio.

Ἡ ἡλικία φθίσιος γίνεται, καὶ ἡ τῆς ἡλικίας τῶν μειρακίων, καὶ τῶν νεανίσκων περιγραφή.

APHORISMVS IX.

TAbes iis maximè contingit ætatibus, quæ ab anno decimo octauo ad trigesimum-quintum excurrunt.

ΑΦΟΡΙΣΜΟΣ θ'.

Φθίσις γίνεται μάλιστα ἡλικίῃσι, τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων, μέχρι πέντε καὶ τριήκοντα.

E

GALENI COMMENTARIVS.

QVum superioribus aphorismis morbos secundùm ætates narrabat, iuuenibus autem, inquit, sanguinis expuitiones, tabes: Nunc verò etiam annorum numerum apppofuit, non propterea eadem denuò scripsit quæ suprà; sed propter affectionum tum thoracis, tum pulmonis communionem. Cur igitur iuuenes his morbis præcipuè corripiantur anteà diximus. De ætatum autem annis nunc decernendum, quoniam & Hippocrates dixit, tabem iis fieri ætatibus, quæ ab anno decimo-octauo ad trigesimum-quintum vsque sunt. Quod enim ætatibus numero plurali dicitur, quandam sortitur significationem, quòd non vnam existimet Hip-

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΙὰ τῶν ἔμπροσθεν ἀφορισμῶν, ἡνίκα τὰ νοσήματα κατὰ τὰς ἡλικίας διηγεῖτο, τοῖσι δὲ νεανίσκοισιν, αἵματος πτύσιες, ἔφη. νυνὶ δὲ καὶ τὸν τῶν ἐτῶν ἀριθμὸν προσέθηκεν, οὐ διὰ τοῦτο γράψας πάλιν αὖθις ὑπὲρ αὐτῶν, ἀλλὰ τῇ κοινωνίᾳ τῶν κατὰ θώρακά τε καὶ πνεύμονα παθῶν. διὰ τί μὲν οὖν οἱ νεανίσκοι καὶ μάλιστα τοῖς τοιούτοις ἁλίσκονται παθήμασιν, ἔμπροσθεν εἴρηται. περὶ δὲ τῶν κατὰ τὰς ἡλικίας ἐτῶν, ἐν τῷδε διαιρετέον. ἐπεὶ καὶ ὁ Ἱπποκράτης ἔφη, φθίσιν γενέσθαι ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων, μέχρι τριάκοντα πέντε. τὸ γὰρ ἡλικίῃσι πληθυντικῶς εἰρημένον, ἔνδειξίν τιν' ἔχει, τοῦ μὴ μίαν ἡλικίαν ὑ-

πολαμβάνειν ἔοικε τὸν Ἱπποκράτην, τὴν μεταξὺ τῶν εἰρημένων ἐτῶν. οὐδὲ γὰρ ἐστὶ μία, σκοπουμένοις ἀκριβέστερον, ἀλλ' ἡ μὲν ἀπὸ τῶν ὀκτωκαίδεκα, μέχρι τῶν πέντε καὶ εἴκοσι ἐτῶν, μειρακίων ἐστίν. ἡ δὲ ἀπὸ τοῦδε τῶν νεανίσκων, μέχρι πέντε καὶ τριάκοντα.

A pocrates inter commemoratos annos esse mediam. Neque enim accuratiùs rem spectantibus vna est; sed quæ ab anno decimo-octauo est ad vicesimum-quintum adolescentum est ætas: inde verò quæ ad tricesimum-quintum intercedit, iuuenibus est attributa.

Περὶ τῆς τῶν ὑγρῶν μεταστάσεως, ἀπὸ τῆς κυνάγχης ἐς τὸν πνεύμονα, ἢ θανάσιμος ὑπάρχει, ἄλλως δὲ ἐς ἐμπύημα.

B De humorum translatione ab anginâ in pulmonem (quæ lethalis proditur) aliàs in empyema.

ΑΦΟΡΙΣΜΟΣ ι'.

ΟΚόσοι κυνάγχην διαφεύγουσιν, ἐς τὸν πνεύμονα αὐτέοισι τρέπεται, καὶ ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν. ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται.

APHORISMVS X.

QVi anginam effugiunt, iis in pulmonem vertitur, & intrà dies septem intereunt. Si verò hos euaserint, suppurati fiunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕρὶ μεταστάσεως ὁ λόγος αὐτῷ νῦν ἐστὶ τῆς ἐκ κυνάγχης, εἰς τὸν πνεύμονα γενομένης, ἥντινά φησιν ἀναιρεῖν μὲν ὡς τὰ πολλὰ ὑπὸ τῶν ἑπτὰ ἡμερῶν πνιγομένου δηλονότι τοῦ κάμνοντος. εἰ δ' ὑπερβαλεῖν αὐτὰς δυνηθεῖεν, μεταβάλλοντος εἰς πύον τοῦ ῥεύματος, ἐμπύους γίνεσθαι. Γινώσκεται δὲ ἐς τὸν πνεύμονα τρέπεσθαι τὴν κυνάγχην ἐκ τοῦ σφυγμοῦ. Σκληρὸς γὰρ, καὶ ἄτακτος, καὶ ἀνώμαλος ἐς τὸ ἡγεμονικὸν μόριον τῆς ὕλης μετάστασιν γενομένην εἶναι σημαίνει. μαλθακὸς δὲ, καὶ ὁμαλὸς, καὶ τακτὸς μετὰ τῆς εὐπνοίας ὁμαλῆς δήλην ἀπόλυσιν σημαίνει.

C GALENI COMMENTARIVS.

DE *humorum* translatione nunc ipsi sermo est, quæ ab angina fit in pulmonem; quam per septem plerunque dies interimere pronunciat, suffocato scilicet ægroto. Quod si ipsos dies possit euadere, fluxione in pus conuersâ, suppurari. Ex pulsu autem anginam in pulmonem migrasse cognoscitur; nam durus, inordinatus, & inæqualis in partem principem translatatam esse materiam significat: D mollis autem, ordinatus, & æqualis cùm facili & æquabili respiratione certam dimissionem indicat.

Τὰ πτύσματα βαρύοδμα, καὶ τὴν ἐκ τῆς κεφαλῆς τριχῶν ῥύσιν τῆς φθίσεως θανάσιμα εἶναι σημεῖα.

Sputa graueolentia, & capillorum defluuium tabis lethalis esse signa.

ΑΦΟΡΙΣΜΟΣ ια'.

ΤΟῖσιν ὑπὸ τῶν φθίσεων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα, ὅ τι ἂν ἀποβήσσωσι βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέωσιν, θανάσιμον.

E APHORISMVS XI.

TAbe vexatis si quod sputum extussiunt, carbonibus iniectum grauiter oleat, & à capite capilli defluant, lethale.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑς ἐπὶ πνεύμονι ἑλκώδεις διαθέσεις ὀνομάσει νῦν φθίσεις, ἐφ' ὧν ἀξιοῖ δοκιμάζειν ἀκριβέστερον τὴν ὀσμὴν ἐπιχέοντας ἄνθραξι τὸ ἀναπτυόμενον. ὥσπερ δ' ἐν τοῖς ἔμπροσθεν ἐπὶ τῶν κατὰ τὴν κύστιν ἑλκῶν ὀσμὴν γίνεσθαι βαρεῖαν ἔφησεν, οὕτω καὶ νῦν ὄζειν βαρὺ τὸ πτύσμα τῶν φθισικῶν. εἰ δὲ καὶ

GALENI COMMENTARIVS.

VLcerosam pulmonis affectionem tabem nunc appellat; in qua quod expuitur F carbunculis infundendum, & ex odore accuratius explorandum esse censet. Quemadmodum autem suprà in vesicæ vlceribus grauem odorem percipi dicit: ita nunc phthisicorum quoque sputum grauiter olere affirmat.

mat. Quòd si ita affectis capilli etiam è capite defluant, tum ipsos perniciosè ægrotare, quandoquidem vltimi alimenti defectus, atque etiam aliquando humorum corruptela proditur.

Capillorum defluuio diarrhœam succedentem tabidos morti vicinos denunciare.

APHORISMVS XII.

Quibuscunque tabe laborantibus capilli è capite defluunt, ii, diarrhœa succedente, intereunt.

GALENI COMMENTARIVS.

De tabidis iam morti vicinis ipsi nunc habetur sermo, quos malè quidem habere capillorum indicabat defluuium. Diarrhœa verò superueniente, mortem quamprimùm affore expectandum: quum eiusmodi symptoma, & mala causa, & malum signum existat. Quum enim propter virium imbecillitatem fiat, ipsas rursum imbecilliores illud symptoma efficit.

Sanguinis ex vlcerato pulmone fluentis signum.

APHORISMVS XIII.

Qui spumosum sanguinem expuunt, his ex pulmone talis eductio fit.

GALENI COMMENTARIVS.

Et multa habent exemplaria, & huius Libri Interpretes non pauci sciunt in hæc verba scriptum aphorismum. *Qui spumosum sanguinem vomunt, iis ex pulmone reiectatur.* Quin etiam nonnulli qui ipsius aphorismi explicationem tradunt, eo vocabulo copiam indicari proferunt, ac propterea à proprio significatu translatum esse. Verùm isti, reclamante euidentiâ, palàm mentiuntur: Sæpius enim spumosi sanguinis expuitio citrà copiam fieri visa est. Itaque si reuera ab Hippocrate ita scriptum sit, ipsum vocabulo abusum fuisse dicemus: Non enim copia ex pulmone reiectionem, neque paucitas ex alio quopiam loco eductionem significat. Si verò expuimus aut extussimus, scriptum sit, tunc ipsum & proprio vsum fuisse vocabulo, & indicare sanguinem eiusmodi carniformem pulmonis substantiam (quod ipsius est

A τῆς κεφαλῆς αἱ τρίχες ἐκρέοιεν τοῖς οὕτω διακειμένοις, ὀλεθρίως ἔχειν αὐτοὺς, ἐνδείκνυται γὰρ ἔνδειαν τροφῆς ἐσχάτης. ἔστι ὅτε, καὶ διαφθορὰν χυμῶν.

Τῇ ἐκ τῆς κεφαλῆς ῥύσει τὴν διαῤῥοίαν ἐπιγινομένην τοὺς φθισικοὺς ἐγγὺς τοῦ θανάτου σημαίνειν.

ΑΦΟΡΙΣΜΟΣ ιβ'.

B Ὁκόσοισι φθισιῶσιν ἀποῤῥέωσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς, οὗτοι, διαῤῥοίας ἐπιγινομένης, ἀποθνήσκουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν ἐγγὺς ἤδη τοῦ θανάτου φθισικῶν, ὁ λόγος αὐτῷ νῦν ἐστιν, οὓς ἐδήλου μὲν ἔχειν κακῶς, καὶ ἡ τῶν τριχῶν ῥύσις. ἐπιγινομένης δὲ διαῤῥοίας, ἐπίδοξος αὖ ἧ ὁ θάνατος ὅσον οὔπω γενήσεσθαι, ὡς αὖ αἰ-
C τίου τε ἅμα, καὶ σημείου κακοῦ, τοῦ τοιούτου συμπτώματος ὄντος. γίγνεται μὲν γὰρ ἐπ' ἀῤῥωστίᾳ τῆς δυνάμεως, αὐτὸ δὲ πάλιν ἀῤῥωστοτέραν αὐτὴν ἀπεργάζεται.

Τὸ, τοῦ αἵματος, ἐκ τοῦ ἑλκωθέντος πνεύματος ῥέοντος σημεῖον.

D
ΑΦΟΡΙΣΜΟΣ ιγ'.

Ὁκόσοι αἷμα ἀφρῶδες πτύουσι, τουτέοισιν ἐκ τοῦ πνεύμονος ἡ ἀναγωγὴ γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τῶν ἀντιγράφων τὰ πολλὰ, καὶ τῶν ἐξηγησαμένων τὸ βιβλίον οὐκ ὀλίγοι, ἴσασι κατὰ τήνδε
E τὴν λέξιν τὸν ἀφορισμὸν γεγραμμένον· ὁκόσοι ἀφρώδες αἷμα ἐμέουσι. καὶ τινές γε τὴν ἐξήγησιν αὐτοῦ ποιούμενοι, πλῆθος ἐνδείκνυσθαί φασι τοὔνομα, καὶ διὰ τοῦτο ἀπὸ τοῦ κυρίου μετενηνέχθαι. προδήλως δ' οὗτοι καταψεύδονται τοῦ φαινομένου. πολλάκις γὰρ ὤφθαι πτύσις αἵματος ἀφρώδους ἄνευ πλήθους γεγενημένη. εἰ μὲν οὖν ὄντως ὑφ' Ἱπποκράτους οὕτως ἐγράφη, καταχεχρῆσθαι τῇ προσηγορίᾳ φήσομεν αὐτόν· οὐ γὰρ δὴ τὸ μὲν πολὺ τὴν ἐκ πνεύμονος ἀναγωγὴν δηλοῖ, τὸ δ' ὀλίγον ἐξ ἄλλου τινός. εἰ δ' ἀναπτύουσιν, ἢ ἀναβήττουσιν εἴη γεγραμ-
F μένον, ὠνομάσθαι τε κυρίως ἐνδείκνυσθαί τε τὸ τοιοῦτον αἷμα τῆς σαρκοειδοῦς τοῦ πνεύμονος οὐσίας, ὅπερ ἐστὶ τὸ ἴδιον αὐτοῦ σῶμα, δεδέχθαι τὴν ἕλκωσιν, ὡς ἀλη-

θὲς μὲν φάναι τὸ ἀφρῶδες αἷμα μόνου τοῦ πνεύμονος ἐνδείκνυσθαι τὴν ἕλκωσιν· οὐκ ἀληθὲς δὲ τοῦ πνεύμονος ἑλκωθέντος, ἐξ ἀνάγκης ἀφρῶδες ἀναπτύεσθαι· πολλάκις γὰρ ἐθεασάμεθα κατενεχθέντων τινῶν ἀφ᾽ ὑψηλοῦ, καὶ λακτισθέντων, καὶ πληγέντων ἐν ταῖς παλαίστραις, κατ᾽ ἐκεῖνο μάλιστα τὸ τῆς πληγῆς μέρος, ἐν ᾧ καταφερομένῳ τινὶ πρὸς τοὔδαφος, ἕτερος ἐπιπίπτει κατὰ τοῦ θώρακος, αἷμα μὲν ἐπιχὸς ἀναπτυσθὲν πλεῖστον εὐχρούστατον, ἄνευ πάσης ὀδύνης, ὅπερ εὔλογόν ἐστιν ἔκ τινος τοῦ κατὰ πνεύμονα ῥαγέντος ἀγγείου φέρεσθαι.

A proprium corpus) vlcerationem suscepisse; adeout verè dici queat sanguinem spumosum solius pulmonis exulcerationem indicare: Non verè autem exulcerato pulmone, necessariò spumantem excreari sanguinem; sæpe nanque lapsis quibusdam ex alto, aut calcibus cæsis, aut in palæstra percussis, ab illa maximè ictus parte, in quam cuipiam ad solum ruenti, alter super thoracem inciderit, sanguinis coloratissimi plurimum tussiendo expui sine vllo dolore vidimus, quem ex rupto pulmonis vase quopiam prodiisse est verisimile.

B

Τὴν φθίνουσιν ἐπιγινομένην διάῤῥοιαν θανατῶδες.

Tabidis succedentem diarrhœam lethalem esse.

ΑΦΟΡΙΣΜΟΣ ιδ΄.

Ὑπὸ φθίσιος ἐχομένῳ διαῤῥοίας ἐπιγινομένης, θανατῶδες.

APHORISMVS XIV.

C *Si tabe detento diarrhœa superueniat, lethale.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀλίγον ἔμπροσθεν εἴρηκε τοῖς φθίνουσιν ἐπειδὰν τότε πύον ἢ δυσῶδες, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ἐκρέωσι, διαῤῥοίας ἐπιγινομένης, ἕπεσθαι θάνατον. ἐνταυθοῖ δὲ ἁπλῶς εἶπε, θανατῶδες διάῤῥοιαν εἶναι ἐπὶ φθίσει, μήτε τῶν τριχῶν μνημονεύσας, ὡς ἱκανῆς οὔσης καὶ μόνης τὸν θάνατον δηλῶσαι, οὐ μὴν οὕτω γε ὑπόγυον, οὐδὲ ταχὺ γενησόμενον, ὡς ὅταν ἅμα τῇ ῥύσει τῶν τριχῶν.

GALENI COMMENTARIVS.

Paulò antè dixerat, tabidis quum pus grauiter olet & capilli defluunt diarrhœâ superueniente, mortem subsequi. Hîc verò simpliciter dixit accedens tabe alui profluuium lethale esse, nulla de pure, & capillis facta mentione, quasi hoc per se ad mortis significationem satis esse possit, non tamen ita propinquam, neque tam citò sequuturam perniciem indicet, ac si capillorum defluuium simul adiungatur. D

Τὴν τῆς πλευρίτιδος ἐν τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, μὴ ἐκκαθαρθείσης ἐς ἐμπύημα, καὶ τοῦ ἐμπυήματος ἐν τεσσαράκοντα ἡμέραις μὴ ἐκκαθαρθέντος εἰς φθίσιν μετάστασιν γίνεσθαι.

E Pleuritidis intra quatuordecim dies non expurgatæ in empyema, & empyematis quadraginta diebus non expurgati in tabem translationem fieri.

ΑΦΟΡΙΣΜΟΣ ιε΄.

Ὁκόσοι, ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ᾽ ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται. ἢν δὲ μὴ, εἰς φθίσιν μεθίστανται.

APHORISMVS XV.

Qui ex pleuritide suppurati fiunt, si intra dies quadraginta, ex quo ruptio facta est, repurgentur, liberantur; alioqui in tabem transeunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Προσθεὶς τῷ λόγῳ τὸ τῆς ῥήξεως ὄνομα, σαφῶς ἐδήλωσεν αὐτὸν ὑπὲρ ἐκείνων διαλεγόμενον, οἷς εἰς ἐμπύημα τῆς κατὰ τὴν πλευρὰν φλεγμονῆς τρεπομένης, εἶτα ἐκραγείσης, ἐν τῷ μεταξὺ θώρακός τε καὶ

GALENI COMMENTARIVS.

Addito ruptionis nomine, de iis se disserere palàm ostendit, quibus lateris inflammatione in empyema conuersa; deinde rupta in medio spatio inter thoracem & pulmonem, pus colligitur. His enim omnibus,

nisi ad summum intrà quadraginta dies puris screatu expurgandi vacuatio fiat, pulmonem exedi necesse est, pure temporis diuturnitate putrescente. Itaque pleuritidi Hippocrates quartumdecimum diem purgationis statuit terminum, suppuratis verò quadragesimum. Verùm nos de horum & aliorum criticorum dierum differentiis copiosissimè in ea commentatione sumus loquuti quæ de diebus decretoriis nobis scripta est; quem tractatum si quis perlegerit, facilè ea omnia assequetur quæ Hippocrate de diebus decretoriis dicta sunt.

Quænam frequentior aut immoderatior calidi vsus inuehat incommoda.

APHORISMVS XVI.

Calidum eo frequentiùs vtentibus has adfert noxas, carnium effœminationem, neruorum impotentiam, mentis stuporem, sanguinis profluuia, animi defectiones, quibus per hæc mors succedit.

GALENI COMMENTARIVS.

De calidi & frigidi vsu incommoderato & commoderato non pauca tum in Libro de humidorum vsu pronunciata sunt, tum in hac Libri aphorismorum parte, omnia fere capita sunt exposita: ac imprimis illud, quòd calidi incommoderatè vtentibus has ipsum affectiones efficiat, carnium effœminationem, hoc est, imbecillitatem: metaphoricè nanque dictum est, quoniam in vniuersum sit fœmina mare imbecillior. Cui consentaneum est quod subsequitur, neruorum impotentia. Etenim imbecilles redduntur, quum eorum substantia à calore dissoluitur. Mentis etiam torpor mentis est atonia, cerebri scilicet perinde ac neruorum dissoluta substantia. Eodem modo hæmorrhagias, *sanguinis eruptiones*, immoderatas calidi vsus iis corporum naturis inducit quæ ad sanguinis profusionem aptæ ac dispositæ sunt. Sequuntur autem sanguinis profluuia defectus animi, quos & cætera priùs commemorata mors comitatur. Verùm illa quidem longiori tempore in illis quidem magis, in his verò minus; hæmorrhagiæ & animi defectus derepentè. In exemplaribus aphorismi finis vario modo scriptus est; sed lectiones omnes enunciatam sententiam demonstrant. Harum hæc vna est, *his mors succedit*; altera, *ad quæ mors*; tertia hæc, *quibus mors*; quarta, *hæc ad mortem ferunt*.

A πνεύμονος χωρίῳ περιέχεται τὸ πῦον. ἅπασι γὰρ τούτοις, ἐὰν μὴ τὸ πλεῖστον ἐν τεσσαράκοντα ἡμέραις ἡ κένωσις γένηται, τοῦ πύου διὰ τῶν πτυσμάτων ἐκκαθαρθέντος, ἀναγκαῖόν ἐστι διαβρωθῆναι τὸν πνεύμονα, σηπομένου τῷ χρόνῳ τοῦ πύου. τῇ μὲν οὖν πλευρίτιδι, τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ὅρον ἔθετο τῆς καθάρσεως· τοῖς δ᾽ ἐμπύοις, τὴν τεσσαρακοστήν. εἴρηται δ᾽ ἐπὶ πλεῖστον ὑπὲρ τῆς διαφορᾶς τῶν ἄλλων κρισίμων ἡμερῶν, καὶ τῶνδε, κατὰ τὴν περὶ τῶν κρισίμων πραγματείαν, ὅθεν ἀναλεξαμένῳ τινὶ τὴν θεωρίαν ἅπασαν, ἕτοιμον ἕπεσθαι πᾶσι τοῖς ὑφ᾽ Ἱπποκράτους εἰρημένοις
B περὶ κρισίμων ἡμερῶν.

Τίς πυκνοτέρα ἢ ἀμετροτέρα τοῦ θερμοῦ χρῆσις τὰ παθήματα ἐπιφέρει.

ΑΦΟΡΙΣΜΟΣ ιϛʹ.

C ΤΟ θερμὸν βλάπτει ταῦτα, τοῖσι πλεονάκις χρεομένοισι, σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκρατέαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας· ταῦτα οἷσι θάνατος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕρὶ θερμοῦ καὶ ψυχροῦ χρήσεως ἀμέτρου τε, καὶ συμμέτρου, λέλεκται μὲν οὐκ ὀλίγα κἂν τῷ πε-
D ρὶ χρήσεως ὑγρῶν. εἴρηται δὲ καὶ κατὰ τοῦτο τὸ χωρίον τῶν ἀφορισμῶν τὰ ἅπαντα σχεδόν γε τὰ κεφάλαια· καὶ πρῶτόν γε αὐτῶν, ὅτι τῷ θερμῷ ἀμέτρως χρωμένων, ταῦτ᾽ ἐργάζεται τὰ πάθη, σαρκῶν ἐκθήλυνσιν, ὅπερ ἐστὶν ἀτονία. εἴρηται γὰρ ἐκ μεταφορᾶς, ἐπειδὴ τὸ θῆλυ πᾶν, ἀσθενέστερόν ἐστι τοῦ ἄρρενος· ὡμολόγηται δὲ τούτῳ καὶ τὸ ἐπιφερόμενον, ἡ τῶν νεύρων ἀκράτεια. καὶ γὰρ ταῦτα ἄρρωστα γίνεται, λυομένης αὐτῶν ὑπὸ τοῦ θερμοῦ τῆς οὐσίας. καὶ ἡ τῆς γνώμης δὲ νάρκωσις, ἀτο-
E νία γνώμης ἐστὶ διαλυομένης δηλονότι καθάπερ τῆς τῶν νεύρων οὐσίας, οὕτω καὶ τῆς τοῦ ἐγκεφάλου. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱμοῤῥαγίας ἐπιφέρει ἡ τοῦ θερμοῦ χρῆσις ἄμετρος, ἐκείναις δηλονότι ταῖς διαθέσεσι τοῦ σώματος, αἳ πρὸς αἱμοῤῥαγίαν ἐπιτηδείως ἔχουσιν. ἕπονται δὲ ταῖς αἱμοῤῥαγίαις λειποθυμίαι, καὶ ταύταις ὁ θάνατος, ὥσπερ γε καὶ τοῖς ἄλλοις τοῖς προειρημένοις. ἀλλ᾽ ἐκείνοις μὲν ἐν χρόνῳ πλείονι, τοῖς μὲν μᾶλλον, τοῖς δ᾽ ἧττον. αἱμοῤῥαγίαις δὲ λειποθυμίαις αὐτίκα.
F γέγραπται μὲν οὖν ἡ τελευτὴ τοῦ ἀφορισμοῦ διαφερόντως, ἐν τοῖς ἀντιγράφοις, ἅπασαι δὲ αἱ γραφαὶ, τὴν εἰρημένην ἐνδείκνυνται διάνοιαν· ἔστι δ᾽ αὐτῶν μία μὲν ἥδε, τούτοισι θάνατος. ἑτέρα δὲ, ταῦτα ἐφ᾽ οἷς ὁ θάνατος. ἡ τρίτη δὲ, ταῦτα οἷσι θάνατος, ἄλλη δὲ, ταῦτα εἰς θάνατον.

A

Ταῖς τῇ ψυχροῦ χρήσει ἀμετροτέρᾳ βλάβαις, τε καὶ τὰ παθήματα γίνεται.

Vsu frigidi immoderatiore læsiones & morbi.

ΑΦΟΡΙΣΜΟΣ ιζ.

ΤΟ δὲ ψυχρὸν σπασμοὺς, τετάνους, μελασμοὺς, ῥίγεα πυρετώδεα.

APHORISMVS XVII.

Frigidum verò conuulsiones, tetanos, nigrores, & febriles rigores adfert.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ ἄμετρον δηλονότι ψυχρὸν, ἐργάζεται σπασμοὺς, καὶ τετάνους, καὶ κατάψυξιν τῶν νεύρων. ὥσπερ γὰρ οὐ χρὴ λύεσθαι τὴν οὐσίαν αὐτῶν ὑπὸ τῆς ἀμέτρου θερμασίας, οὕτως οὐδὲ περαιτέρω τοῦ προσήκοντος ἀποψύχεσθαί τε, καὶ συνάγεσθαι, καὶ σφίγγεσθαι. καὶ μὲν δὴ καὶ μελασμοὺς ἐργάζεται τῇ ψύξει, καὶ ῥίγη πυρετοὺς ἐπικαλούμενα διὰ τὴν δέρματος πυκνότητα, καὶ τῶν πόρων στενοχώρησιν. κάλλιον δ' ἦν εἰρῆσθαι, ῥίγη τά τε σπασμοὺς ἐργαζόμενα, καὶ μελασμοὺς, καὶ πυρετούς. εἴρηται δ' ἐπὶ πλέον ὑπὲρ τῆς τῶν συμπτωμάτων αἰτίας ἰδίᾳ.

GALENI COMMENTARIVS.

INcommoderatum scilicet frigidum conuulsiones, tetanos, & neruorum perfrigerationem efficit. Quemadmodum enim ipsorum substantia ab immodico calore dissolvenda non est: sic neque præter modum refrigerando, & in vnum cogendo ac constringenda. Sed & sanè nigrores perfrigeratione, & rigores febres accersentes, *cutis densatione, & pororum coarctatione faciunt.* Melius itaque ita dictum fuisset: Rigores qui & conuulsiones & tetanos, & nigrores & febres excitant. Verùm de symptomatum causis copiosiùs priuato opere diximus.

C

Τὸ ψυχρὸν μὲν τοῖς μορίοις τῇ φύσει ψυχροτέροις πολέμιον ἐστὶ, θερμὸν δὲ φίλον.

Frigidum partibus naturâ frigidis inimicum, calidum verò amicum esse.

D

ΑΦΟΡΙΣΜΟΣ ιη'.

ΤΟ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροις, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ· τὸ δὲ θερμὸν φίλιον.

APHORISMVS XVIII.

Frigidum inimicum ossibus, dentibus, neruis, cerebro, dorsali medullæ; calidum verò amicum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΣα φύσει ψυχρότερα μόρια, τοιαῦτα δ' ἐστὶν ἐν τοῖς ζώοις ἁπλῶς ὅσα τελέως ἐστὶν ἄναιμα, θᾶττόν τε, καὶ μᾶλλον, ὑπὸ τῆς ἀμέτρου χρήσεως τοῦ ψυχροῦ βλάπτεται. τοῖς δ' αὐτοῖς τούτοις εἰκότως οἰκειότερόν ἐστι τὸ θερμόν.

GALENI COMMENTARIVS.

E

PArtes naturâ frigidiores (cuiusmodi animalibus insunt omnes planè exangues) citiùs ac magis ab immoderato frigidi vsu oblæduntur: His ipsis ratione optima calidum familiariùs conuenit.

Καταψυχέντα ἐκθερμαίνειν δεῖ, εἰ μὴ παρῇ ἢ ἐπίκειται αἱμορραγία.

Perfrigerata calefacienda esse, nisi adsit aut immineat hæmorrhagia.

F

ΑΦΟΡΙΣΜΟΣ. ιθ'.

ΟΚόσα κατέψυκται, ἐκθερμαίνειν δεῖ, πλὴν ὁκόσα αἱμορραγεῖν μέλλει.

APHORISMVS XIX.

QVæ perfrigerata sunt, excalefacere oportet, præter ea quæ sanguinem effundunt, aut breuì effusura sunt.

A

GALENI COMMENTARIVS.

PRæsens exceptio illud theorema non euertit; contraria contrariorum esse remedia; de quo plenius in opere de Medendi methodo diximus: vbi ostendimus aliud esse quoddam theorema huic præuertendum, quo iubet ea priùs curanda esse, quæ magis vrgent, hoc est, præsentius periculum adferunt; quemadmodum & nunc hæmorrhagia minatur. Huic igitur priùs obsistendum est, tum demum pars affecta ad propriam temperiem reuocanda.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἀνατρέπεται πρὸς τοῦ νῦν εἰρημένου, τὸ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα ὑπάρχειν, περὶ οὗ θεωρήματος ἐπὶ πλέον εἴπομεν ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ, δεικνύντες, ὡς ἕτερόν τι θεώρημά ἐστιν ἀναγκαιότερον, ἰᾶσθαι πρότερον κελεῦον, ὅσα κατεπείγει μᾶλλον, τουτέστιν ὅσα φέρει τὸν κίνδυνον, ὥσπερ καὶ νῦν ἡ αἱμοῤῥαγία. πρὸς ἐκείνην οὖν πρότερον ἵστασθαι χρὴ, κἄπειθ' οὕτως εἰς τὴν οἰκείαν εὐκρασίαν ἀνακομίζειν τὸ πεπονθός.

B

De frigidi facultatibus ac effectibus.

Περὶ τῶν ψυχροῦ δυνάμεων καὶ τῶν ἐνεργημάτων.

APHORISMVS XX.

C

ΑΦΟΡΙΣΜΟΣ κ'.

VLceribus frigidum mordax cutem obdurat, dolorem insuppurabilem facit, nigrores, rigores febriles, conuulsiones, & tetanos creat.

Ἕλκεσι, τὸ μὲν ψυχρὸν δακνῶδες δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιεῖ, μελασμοὺς, ῥίγεα πυρετώδεα, σπασμοὺς, τετάνους.

GALENI COMMENTARIVS.

D

PRopriè quidem appellanti calidum mordax est, sensus autem similitudine frigida etiam aqua mordax appellatur, non simpliciter cuti, sed vlceratæ occursans. Quod enim morsus sensum est relicturum, rei mordendæ substantiam peruadere debet, quod in cute habenti secundùm naturam frigida aqua facere non potest, quòd cutis densior sit, quàm vt eam penetrare possit frigidæ substantia. In partibus verò vlceratis, vt potè rarioribus peruadere potest earum substantiam in profundum vsque subiens. Verùm nos de mordacium in libris de Simplicium Medicamentorum facultatibus abundè diximus. Vlceratis igitur frigidum mordax; non vlceratis autem minimè mordax, sed cutem indurat eius densata substantia. Dolorem etiam reddit insuppurabilem, quòd natiuum calorem vlcera ad suppurationem perducentem refrigeret, & quæ dolorem efficiunt ea perspiratione vacuari prohibeat. Quæ sequuntur, priùs ipsi sunt exposita, nigrores, rigores febriles, conuulsiones, & tetani.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κυρίως μὲν ὀνομάζοντι, τὸ θερμόν ἐστι δακνῶδες. τῇ δὲ ὁμοιότητι τῆς αἰσθήσεως καὶ τὸ ψυχρὸν ὕδωρ ὀνομάζεται δακνῶδες, οὐχ ἁπλῶς τῷ δέρματι προσπῖπτον, ἀλλ' ὁπόταν ἑλκωθῇ. διεξέρχεσθαι γὰρ χρὴ τὴν τοῦ δάκνεσθαι μέλλοντος οὐσίαν τὸ δακνῶδες αὐτῇ γινόμενον, ὅπερ ἐπὶ μὲν τοῦ κατὰ φύσιν ἔχοντος δέρματος, οὐχ οἷόν τε ποιεῖν ἐστὶ τὸ ψυχρὸν ὕδωρ, ἐπειδὴ πυκνότερον, ἢ κατὰ τὴν οὐσίαν αὐτοῦ τὸ δέρμα ἐστίν. ἐπὶ δὲ τῶν ἡλκωμένων ὡς ἀραιοτέρων ὑπαρχόντων, διεξέρχεσθαι δύναται, διὰ τῆς οὐσίας αὐτῶν ἐγκαταβαῖνον ἐν τῷ βάθει. λέλεκται δὲ ἐπὶ πλέον ὑπὲρ καὶ τῶν δακνωδῶν φύσεως, ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως· τοῖς μὲν οὖν ἡλκωμένοις δακνῶδες τὸ ψυχρὸν, τοῖς δὲ ἀνελκώτοις, οὔτε δακνῶδες, καὶ σκληρὸν ἐργάζεται τὸ δέρμα, τῇ πιλώσει τῆς οὐσίας αὐτοῦ. καὶ μὲν δὴ καὶ τὴν ἀνεκπύητον ὀδύνην ἐργάζεται, τῷ καταψύχειν τὸ ἔμφυτον θερμὸν, ὅπερ ἐκπυΐσκει τὰ ἕλκη, κωλύει τε διαπνεῖσθαι τὰ τὴν ὀδύνην ἐργαζόμενα. τὰ δὲ ἐφεξῆς εἴρηται, καὶ πρόσθεν αὐτῷ μελασμοὶ, καὶ ῥίγη πυρετώδη, καὶ σπασμοὶ, καὶ τέτανοι.

E

F

A

Περὶ τινῶν τοῦ θερμοῦ τε, καὶ ψυχροῦ ὠφελειῶν, ὡς τῆς τοῦ ὕδατος ψυχροῦ τῷ νέῳ εὐσάρκῳ κατὰ τὴν μέσην ὥραν θερινὴν τῷ τετάνῳ νοσέοντι καταχύσεως πεποιημένης.

De quibusdam frigidi & calidi commodis, vt aquæ iuueni carnoso æstate media, tetano laboranti profusione facta.

ΑΦΟΡΙΣΜΟΣ κα'.

B

Ἔστι δὲ ὅκου ἐπὶ τετάνῳ ἄνευ ἕλκεος, νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις, ἐπανάκλησιν θέρμης ποιέεται, θέρμη δὲ ταῦτα ῥύεται.

APHORISMVS XXI.

Nonnunquam verò vbi in tetano citra vlcus, iuuene carnoso, æstate media frigidæ copiosæ profusio caloris reuocationem efficit, calor autem hæc soluit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Ὅσα σπανίως ὠφελεῖ τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ἐφεξῆς τοῖς προειρημένοις ὁ Ἱπποκράτης διεξέρχεται, καὶ πρῶτόν γε περὶ τοῦ ψυχροῦ φησὶν, ὡς ἐπὶ τετάνου, δῆλον δ' ὅτι καὶ παντὸς ἄλλου σπασμοῦ, κατὰ τὴν μέσην ὥραν θερινὴν, ὅταν εὔσαρκος ὁ κάμνων ἦ καὶ νέος, ἡ τοῦ ψυχροῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιησαμένη, θεραπεύσῃ τὸ πάθος. ὃ καὶ δῆλον, ὡς οὐ κατὰ τὴν ἑαυτοῦ δύναμιν ἰατικὸν τοῦ νοσήματος ἐστὶ τὸ ψυχρὸν, ἀλλὰ κατὰ συμβεβηκὸς, ἐπειδὴ τοῖς εὐσάρκοις νέοις, ἐπανάκλησιν θέρμης ποιεῖται. ἐπ' ἄλλης γὰρ οὐκ ὠφελήσει γε ἡλικίας, διότι μηδὲ τὴν ἐπανάκλησιν ἐργάζεται· ὅπου δ' οὐδὲ ἐπὶ ταύτης ἐν ἄλλῃ τινὶ τῶν ὡρῶν, ὅτι μὴ κατὰ μέσον τοῦ θέρους. ἡ γάρ τοι τοῦ ψυχροῦ προσπέλασις, ἤτοι νικᾷ τὴν ἔμφυτον θερμασίαν, ἢ ἀθροίζει. νικᾷ μὲν ὅταν ἀσθενὴς ὑπάρχῃ, ἀθροίζει δ' ὅταν ἰσχυρὰ, τὴν διαπνοὴν αὐτῆς συνέχουσα καὶ διακωλύουσα. παραιτεῖται δὲ τοὺς ἐφ' ἕλκεσι σπασμοὺς, ὡς οὐκ ἄν ποτε τούτων ὑπὸ τοῦ ψυχροῦ θεραπευθησομένων, οὐδ' εἰ νέος εἴη ὁ κάμνων, καὶ φύσει θερμὸς, καὶ κατὰ τὴν θερινὴν ὥραν, χώραν· ἐπειδὴ, καθὰ προείρηκεν αὐτὸς, ἕλκεσι, τὸ μὲν ψυχρὸν δακνῶδες, ὀδύνην ἀνεκπύητον ποιεῖ. γενομένων οὖν τῶν ἐφ' ἕλκεσι, διὰ τὴν τῶν νευρωδῶν σωμάτων φλεγμονὴν ἐναντιώτατον ἔσται τὸ ψυχρὸν, οὔτε τὸ ἕλκος αὐτὸ παρηγοροῦν, οὔτε τὴν τῶν νευρωδῶν σωμάτων φλεγμονὴν διαλύον.

GALENI COMMENTARIVS.

Posteaquam à calido & frigido incommoda retulit Hippocrates, deinceps rara quædam eorum commoda explicat. Ac primùm quidem frigidum ait in tetano (liquet autem in alia etiam quauis conuulsione idem vsu venire) media æstate, ægro eusarco, ac iuuene frigidæ perfusionem per caloris reuocationem eum affectum curare. Vnde fit manifestum non propria facultate frigidam id morbi sanare; sed ex accidenti quòd in iuuenibus eusarcis caloris reuocationem efficiat. In alia siquidem ætate nihil profuerit talis

D

frigidæ profusio, quia neque caloris efficit reuocationem: quando ne hac quidem ætate, nec alio quopiam anni tempore, præterquàm æstate media facere potest. Nam aquæ frigidæ occursus aut natiuum calorem euincit, aut colligit. Vincit quidem quum debilis est; colligit verò, quum fortiùs ipsius perspirationem prohibet & effluuium supprimit. Conjunctas vlceri conuulsiones excipit, vt quæ ab aqua frigida sanari nunquam possunt, ne si iuuenis quidem æger & calidus naturâ,

E

& æstiuum anni tempus, & regio calida sit, quia frigidum, vt ipse supra dixit, vlceribus mordax dolorem insuppurabilem facit. Iis igitur qui cum vlceribus conuelluntur ob neruosorum corporum inflammationem, aduersissima erit frigida, vt quæ neque vlcus mitiget, neque neruosorum corporum inflammationem soluat.

F

A

De calidi & frigidi externi effectibus iuuantibus, & lædentibus. De vlceribus insuppurabilibus, nimirum putridis, dysepuloticis, malignis, cancrosis, chironiis, telephiis, & phagedenicis. Quibus partibus, ac partium affectibus calidum amicum, & frigidum inimicum.

Περὶ τῶν τοῦ θερμοῦ τε καὶ ψυχροῦ ἔργων ὠφελίμων τε καὶ βλαβερῶν. περὶ τῶν ἑλκῶν ἀνεκπυήτων δήπου τῶν σηπεδονωδῶν, καὶ δυσεπουλώτων, καὶ κακοηθῶν, καὶ καρκινωδῶν, καὶ χειρωνείων, καὶ τηλεφείων, καὶ φαγεδαινικῶν. οἷς μορίοις, καὶ τοῖς μορίων παθήμασι τὸ θερμὸν μὲν φίλιον, τὸ δὲ ψυχρὸν πολέμιον.

APHORISMVS XXII. B

Calidum suppuratorium est; non in omni vlcere maximum securitatis signum; cutem emollit, extenuat, dolorem sedat; rigores, conuulsiones, tetanos mitigat; capitis grauitatem soluit; ossium fracturis plurimùm confert; sed maxime sua carne nudatis, & iis potissimum quibus in capite sunt vlcera. His etiam quæ à frigore emoriuntur, aut exulcerantur; herpetibus denique exedentibus sedi, pudendo vtero, vesicæ, his calidum amicum & iudicatorium; frigidum verò inimicum & interimens.

ΑΦΟΡΙΣΜΟΣ κβ΄.

ΤΟ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφάλειαν· δέρμα μαλθάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν· τὴν δ' ἐν τῇ κεφαλῇ καρηβαρείην λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατάγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι, τούτων δὲ μάλιστα τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι. καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει, ἢ ἑλκοῦται, καὶ ἕρπησιν ἐσθιομένοισι, ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστει, C τουτέοισι τὸ θερμὸν φίλον, καὶ κεῖνον, τὸ δὲ ψυχρὸν, πολέμιον καὶ κτεῖνον.

GALENI COMMENTARIVS.

QVemadmodum frigidum conuulsiones & tetanos suâ naturâ efficit, interdum tamen, quanquam rarò tetanum sanat: sic etiam calidum pro sua facultate suppurationem mouet, nonnunquam ipsam prohibet. In putridis siquidem vlceribus, ac planè omnibus rheumaticis calidum, pus non procreat; imò & his magnopere noxium est. Atquæ hæc ambo in idem concidunt, & quod lædit, & quod non suppurat vlcera: sicuti contrà, & quod iuuat, & quod maturat vlcera. Maximum enim ulceri ad securitatem signum est tum pus ipsum, tum puris conficiendi vim habens medicamentum: Nihil enim mali potest accidere vlceri pus procreanti. Quæ igitur conuulsionem adferunt, prorsus sunt insuppurabilia. Similiter etiam vlcera dysepulotica *quæ cicatrice vix obducuntur*, insuppurabilia sunt omnia. Item ex malignis vlceribus quæ per excellentiam quandam propriis nominibus sunt insignita, qualia cancrosa, chironia, telephia, & phagedænica eiusmodi sunt omnia etiam insuppurabilia. Pus igitur maximum vlceri ad securitatem signum est; atque hoc ex calidi vsu conjicis: In quibus enim non congruit, hæc à calido insuppurabilia permanere intueberis. Qui calidi effectus frequenter apparent, eos deinceps enumerat: Etenim cutem induratam emollit, incrassatam extenuat, est anodynum, conuulsiones ac tetanos mitigat; nec vt frigidum, dolorem insuppurabilem efficit, quod à natura nostra

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΩΣπερ τὸ ψυχρὸν σπασμῶν καὶ τετάνων ὑπάρχει ποιητικὸν, ὅμως θεραπεύει σπανίως ποτὲ τέτανον, οὕτω καὶ τὸ θερμὸν ἐκπυητικὸν ὂν ὅσον ἐφ' ἑαυτῷ γίνεταί ποτ' ἀνεκπύητον. ἐπὶ γοῦν τῶν σηπεδονωδῶν D ἑλκῶν καὶ ἁπλῶς ἁπάντων τῶν ῥευματικῶν, οὐκ ἐκπυΐσκει τὸ θερμὸν, ἀλλὰ καὶ βλάπτει μεγάλως αὐτά. καὶ συμβαίνει ἐς ταὐτὸν ἄμφω, τό τε βλάπτον ἕλκη, καὶ τὸ μὴ ἐκπυΐσκον, ὥσπερ οὖν καὶ κατὰ τοὐναντίον, τό τ' ὠφελοῦν, καὶ τὸ ἐκπυΐσκον. μέγιστον γάρ ἐστι σημεῖον πρὸς ἀσφάλειαν ἕλκει, τό, τε πύον καὶ τὸ τούτου ποιητικὸν φάρμακον· οὐδὲν γὰρ δύναται γενέσθαι κακὸν ἐφ' ἕλκει πύον γεννῶντι. τὰ γοῦν σπασμὸν ἐπιφέροντα, πάντως ἀνεκπύητά ἐστι. ὁμοίως δὲ καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν, ὅσα τε τῶν πέριξ E χωρίων ἀνάβρωσιν ἔχει, καὶ τὰ δυσεπούλωτα δὲ πάντ' ἐστὶ ἀνεκπύητα, καὶ ὅσα τῶν κακοήθων ἑλκῶν ἰδίοις ὀνόμασι κατ' ἐξοχήν τινα κέκληται, καρκινώδη, χειρώνεια, τηλέφεια, καὶ φαγεδαινικὰ, πάντ' ἐστὶ καὶ ταῦτ' ἀνεκπύητα. μέγιστον οὖν σημεῖον εἰς ἀσφάλειαν ἕλκει, τὸ πύον ἐστὶ, καὶ τοῦτο γε τεκμαίρου ἐπὶ τῆς τοῦ θερμοῦ χρήσεως. ἐφ' ὧν γὰρ οὐκ ἁρμόττει, θεάσῃ ταῦτ' ἀνεκπύητα μένοντα πρὸς τοῦ θερμοῦ. τὰ δ' ἐφεξῆς ἔργα τοῦ θερμοῦ φαινόμενα συνεχῶς καταλέγει. καὶ γὰρ F μαλάττει τὸ ἐσκληρυμμένον δέρμα, καὶ ἰσχναίνει τὸ πεπαχυσμένον, ἀνώδυνόν τ' ἐστι, καὶ σπασμῶν, καὶ τετάνων παρηγορικὸν, οὐχ ὥσπερ τὸ ψυχρὸν, ὀδύνην ἀνεκπύητον ἐργάζεται, τῷ τῆς φύσεως ἡμῶν ἀλλότριον

ὑπάρχειν, ἥτις ἐστὶ τὸ ἔμφυτον θερμὸν, ἥν τινα συναύξει, ὅταν γε μετρίως ὁμιλῇ τὸ δ' ἔξωθεν θερμὸν ἐργάζεται πάνθ' ὅσα λέλεκται, τὰ μὲν συμπέττον τε καὶ ἀλλοιοῦν ἐπὶ τὸ βέλτιον· ἔνια δὲ, τῷ διαφορεῖν καὶ κενοῦν τὰ λυποῦντα ἐκθεραπεῦον. εἰ δὲ καὶ μὴ τελέως ἐκθεραπεύσειεν, ἀλλὰ τάς γ' ὀδύνας πραΰνει. ἐπὶ δὲ τῶν ἐν τῇ κεφαλῇ διαθέσεων, αὐτά τε ταῦτα δρᾷ, καὶ τὰς καλουμένας καρηβαρείας, αἵ τινές εἰσι βαρύτητες τῆς κεφαλῆς, ἰᾶται, συμπέττον καὶ διαφοροῦν τὰ λυποῦντα. καὶ μὲν δὴ καὶ τοῖς τῶν ὀστῶν κατάγμασιν ὠφελιμώτατόν ἐστι, καὶ μᾶλλον τοῖς ἐψιλωμένοις, ὅπερ ἐστὶ γεγυμνωμένοις τῆς σαρκός. ἔτι δὲ μᾶλλον, ὅσα κατὰ τὴν κεφαλὴν γίγνεται· βλαβερώτατον γάρ ἐστι καὶ τούτοις τὸ ψυχρὸν, ὡς ἂν μὴ μόνον τοῖς ὀστοῖς, ἀλλὰ καὶ αὐτῷ τῷ ἐγκεφάλῳ πολέμιον ὑπάρχειν· καὶ μὲν δὴ καὶ ὅσα μόρια διὰ τὸ κατεψῦχθαι νενέκρωται, καὶ τούτων ἴαμα ἔσται τὸ θερμόν. οὕτω δὲ καὶ ὅσα διὰ τὴν ψύξιν ἑλκοῦται, καθάπερ ἐν χειμῶνι, πτέρναι, καὶ δάκτυλοι, καὶ ὅλως τὰ ἄκρα, καὶ τούτων ἴαμα ἔσται τὸ θερμόν. οὕτω δὲ καὶ τῶν ἑρπήτων τοῖς ἀναβιβρωσκομένοις, κἄν τοι ὑπὸ χολώδους καὶ θερμοῦ χυμοῦ γιγνομένοις. ἀλλὰ διὰ τὴν ἕλκωσιν, ἐναντίον αὐτοῖς τὸ ψυχρὸν, ὡς δακνῶδες ἑλκῶν ὑπάρχον. οὕτω δὲ καὶ ταῖς κατὰ τὴν ἕδραν ἁπάσαις διαθέσεσιν, οἰκεῖον μὲν τὸ θερμὸν, ἐναντιώτατον δὲ τὸ ψυχρὸν, ὅτι τε νευρώδης ἡ ἕδρα, πολέμιον δὲ τοῖς νεύροις τὸ ψυχρὸν, καὶ ὅτι κατὰ τὴν κοινωνίαν ἥ τε ψύξις ἐπαναβαίνει ῥᾳδίως ἐκ τῆς ἕδρας, εἰς τὰ κατὰ τὴν κοιλίαν, ἥ τε θερμασία κατὰ τὸν αὐτὸν τρόπον. οὕτω δὲ καὶ ὑστέρᾳ, καὶ κύστει, τὸ μὲν θερμὸν φίλον, καὶ κεῖνον, τὸ δὲ ψυχρὸν, πολέμιον καὶ κτεῖνον. αὐτά γε γάρ ἐστι νευρώδη, καὶ μεταδίδωσι τοῖς ὑπερκειμένοις ῥᾳδίως τῆς ψύξεως. ὅτι δὲ ἅπασι τοῖς εἰρημένοις κατὰ τὸν ἀφορισμὸν ἐπιπεφώνηκε κοινῇ τούτοισι τὸ θερμὸν, φίλιον καὶ κεῖνον, τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον, εὔδηλόν ἐστι κἂν ἐγὼ μὴ λέγω.

sit alienum, quæ vtique calor est natiuus; A quem adauget vbi moderate adhibetur. Calidum itaque externum ea præstat omnia quæ diximus; quum & nonnulla quidem concoquit, & in melius alterat, nonnulla verò discussis ac vacuatis noxiis dolorem facientibus, persanat. Quod si perfectè non sanet, saltem dolores mitigat. In capitis verò affectibus hæc eadem facit, & carebariis appellatis, quæ capitis sunt grauitates, concoctis ac discussis noxas inferentibus medetur, concoquens, atque discutiens quæcunq; molesta sunt. Quinetiam ossium fracturis vtilissimum est, magisque nudatis, hoc est, carne exutis, iisque B etiamnum magis quæ capiti oboriuntur. Nam talia frigidum maxime lædit, vt quod non ossibus duntaxat; sed ipsi quoque cerebro sit inimicum. Cæterùm partibus quibuscunque, quòd perfrixerint, emorientibus remedio calidum est. Ita verò quæ perfrigeratione exulcerantur, vt hyeme calcanei ac digiti, cæteræque partes extremæ, his calidum quoque remedium futurum est. Necnon etiam herpetibus exedentibus medetur, etiamsi à bilioso & calido humore procreentur. Verùm propter exulcerationem frigidum ipsis aduersum est, vt quod vlceribus mordax existat. C Sic & omnibus sedis affectibus familiare quidem est calidum, aduersissimum verò frigidum; tum quòd sedes neruosa sit (frigidum verò neruis inimicum) tum quòd per communicationem frigiditas facile ex sede ad ventrem ascendat, eodémque modo caliditas. Sic & vtero genitali, & vesicæ calidum quidem amicum & salutare; inimicum verò, & mortiferum frigidum: Hæ nanque partes neruosæ sunt, & superioribus partibus facile frigiditatem impertiuntur. Quod autem de omnibus in aphorismo scriptis com- D muniter pronunciauerit, his calidum esse salutare, frigidum verò inimicum ac interimens, etiam me tacente, manifestum est.

Περὶ τῶν ψυχροῦ τοῦ ἔξω ὠφελειῶν τε καὶ βλαβῶν. ὅτι ταῦτο ταῖς αἱμορραγίαις καὶ φλεγμοναῖς, καὶ ἐρυσιπέλασι ἑλκομένοις βοηθῇ.

De frigidi externi commodis & incommodis; quod ipsum hæmorrhagiæ, inflammationi- E bus, & erysipelatis vlceratis medeatur.

ΑΦΟΡΙΣΜΟΣ κγ'.

Ἐν τουτέοισι δὲ δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμορραγέει, ἢ αἱμορραγέειν μέλλει, μὴ ἐπ' αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιρρέει. καὶ ὁκόσαι φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι ἐπὶ ταῦτα, ἐπεὶ τά γε παλαιὰ μελαίνει, καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον ὠφελέει, ἐπεὶ τό γε ἑλκούμενον βλάπτει.

APHORISMVS XXIII.

At in his frigido vtendum, vnde sanguis profluit, aut profluxurus est, non supra ipsas partes; sed circa ipsas vnde profluit, admoto. *Et quæ inflammationes, aut deflagrationes ad rubrum & suberuen-* F *tum colorem ex recenti sanguine vergunt, iis ipsis adhibito: Inueteratas enim denigrat. Erysipelas etiam non vlceratum iuuat; exulceratum si quidem lædit.*

GALENI

GALENI COMMENTARIVS.

QVæ à frigido commoda & incommoda, *corporibus* inuehuntur, hocce aphorismo percenset. Primùm quidem ipsum partibus hæmorrhagia laborantibus, aut in eam lapsuris admotum conferre pronunciat, non partibus ipsis sanguinem profundentibus (vlceribus enim frigidum mordax) sed circunstantibus, illisque præsertim vnde aliquid vlceribus influat. Quinetiam omnes inflammationes, *iuuare profert*, , & quæcunque incendia epiphlogismata nominauit, hæc est, propter humorum ipsas efficientium calorem à flammâ succensas partes & vstas: hæ nanque frigido oblectantur. Hæc autem omnia tibi spectanti colore rubra & subcruenta apparent, recenti nimirum, non vetusto sanguine suffusa Nam vetustus sanguis floridum colorem non habet. Quare frigido admoto liuere, ac nigrescere affecta contingat: Eodem modo planè erysipelas etiam non vlceratum à frigido iuuatur, sicuti vlcerato mordax & dolorificum est frigidum. Quâ quidem ratione nocet, quum dolentes partes in se semper fluxiones moueant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰς ἐκ τοῦ ψυχροῦ γινομένας ὠφελείας τε, καὶ βλάβας ἐν τῷδε διεξέρχεται, πρῶτον μὲν λέγων ἐπὶ τῶν αἱμορραγησάντων, ἢ μελλόντων, χρήσιμον ὑπάρχειν αὐτὸ, μὴ τοῖς αἱμορραγοῦσι μέρεσιν αὐτοῖς προσφερόμενον, ἕλκεσι γὰρ τὸ ψυχρὸν δακνῶδες, ἀλλὰ τοῖς πέριξ αὐτῶν, καὶ μάλιστα ἐκείνοις ὅθεν ἐπιρρεῖ τι τοῖς ἕλκεσι καὶ μὲν δὴ καὶ τὰς φλεγμονὰς ἁπάσας, ὅσα τε ὡς αὐτὸς ὠνόμασεν ἐπιφλογίσματα, τουτέστιν ὥσπερ ὑπὸ φλογὸς ἐπικεκαυμένα διὰ τὴν θερμασίαν τῶν ἐργαζομένων αὐτὰ χυμῶν, καὶ γὰρ καὶ ταῦτα χαίρει τῷ ψυχρῷ, φαίνεται δέ σοι θεωμένῳ ταῦτα πάντα, κατὰ τὴν χρόαν ἐρυθρὰ, καὶ ὕφαιμα, νεαρῷ δηλονότι, καὶ οὐ παλαιῷ τῷ αἵματι, τὸ γὰρ εὐανθὲς, οὐκ ἔχει τὸ παλαιὸν αἷμα· διὸ καὶ προσφερομένου τοῦ ψυχροῦ, τῷ τοιούτῳ πελιδνοῦσθαί τε, καὶ μελαίνεσθαι συμβαίνει τὰ πεπονθότα μόρια. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐρυσίπελας ὠφελεῖται πρὸς τοῦ ψυχροῦ, τὸ χωρὶς ἕλκους, ὡς τῷ γε ἡλκωμένῳ δακνῶδές τε, καὶ ὀδυνῶδές ἐστι τὸ ψυχρὸν, καὶ ταύτῃ βλάπτει τῶν ὀδυνωμένων μερῶν ἀεὶ ῥεῦμα κινούντων ἐφ' ἑαυτά.

De læsionibus à gelida & niue factis.

Περὶ τῶν βλάψιων ἀπὸ τοῦ ὕδατος κρυμώδεος καὶ τοῦ χιόνος γενομένων.

APHORISMVS XXIV.

Frigida velut nix & glacies pectori inimica, tusses mouent, sanguinis eruptiones cient, & catharros excitant.

ΑΦΟΡΙΣΜΟΣ κδ'.

Τὰ ψυχρὰ οἷον χιὼν, καὶ κρύσταλλος, τῷ στήθει πολέμια, βηχέων κινητικὰ, καὶ αἱμορραγικὰ, καὶ καταρροϊκά.

GALENI COMMENTARIVS.

HActenus de calida aqua & frigida orationem habuit; nunc autem de niue & glacie disserit, ab his tantò maiora inuehi incommoda ostendens, quantò hæ sunt aquâ frigidiores: Nam thoracis partibus sunt inimicissimæ, quum & tusses moueant, & vasorum ruptiones faciant, hæmorrhagiæ sæpe causæ existunt, atque distillationes è capite thoracem & pulmonem oblædunt. Has enim efficiunt nix & glacies, cæteráque cerebrum refrigerantia.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μέχρι μὲν τοῦδε τοῦ λόγου, ὑπὲρ ὕδατος ἐποιήσατο θερμοῦ, καὶ ψυχροῦ, νυνὶ δὲ καὶ περὶ χιόνος, καὶ κρυστάλλου διῆλθεν, ἐνδεικνύμενος ὡς τὰς βλάβας μείζονας εἰς τοσοῦτον τῶν κατὰ τὸ ψυχρὸν ὕδωρ ἐργάζεσθαι πέφυκεν, εἰς ὅσον ἐκείνου ψυχρότερά ἐστι, καὶ τοῖς κατὰ θώρακα χωρίοις πολεμιώτατα ὑπάρχει, βῆχας τε κινοῦντα, καὶ ῥήξεις ἀγγείων ἐργαζόμενα, πολλάκις αἱμορραγικὰ γίγνεται. καὶ μέντοι καὶ τοῖς ἀπὸ κεφαλῆς καταρρόοις, ἀδικοῦνται θώρακά τε καὶ πνεύμονα. καὶ γὰρ καὶ τούτους ἐργάζεται χιὼν, καὶ κρύσταλλος, καταψύχοντα τὸν ἐγκέφαλον.

A

Περὶ τῆς τοῦ ψυχροῦ περιχύσεως τῆς τὰ οἰδήματα, καὶ ἀλγήματα ἀρθριτικὰ, καὶ σπάσματα παρηγορούσης καὶ λυούσης τῇ μετρίᾳ ἣν ἐπιφέρει νάρκῃ.

De frigidæ profusione, quæ arthriticos tumores & dolores & conuulsiones leuat, soluitque, moderato quem inuehit stupore.

ΑΦΟΡΙΣΜΟΣ κέ.

Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα, καὶ ἀλγήματα ἄτερ ἕλκεως, καὶ ποδαγρικὰ, καὶ σπάσματα, τούτων τὰ πλεῖστα, τὸ ψυχρὸν πολλὸν καταχεόμενον, ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει. νάρκη δὲ μετρίη ὀδύνης λυτική.

APHORISMVS XXV.

B

Tumores articulis, & citra vlcus dolores, & podagricos affectus, & conuulsa, hæc magna ex parte frigida copiose affusa & leuat & minuit, dolorémque soluit: Moderatus nanque stupor dolorem soluit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν τὰ πλεῖστα τῶν τοιούτων, ὀνίνησι τὸ ψυχρὸν ἐδήλωσε. τίνα δέ ποτ᾽ ἐστὶ ταῦτα παρέλιπεν εἰπεῖν, ὡς ἐξ ὧν προείρηκεν, οὐ χαλεπὸν ἐξευρεῖν. ὁκόσαι γὰρ, φησι, φλεγμοναὶ, ἢ ἐπιφλογίσματα, εἰς τὸ ἐρυθρὸν, καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι, ταῦθ᾽ ὑπὸ τοῦ ψυχροῦ θεραπεύεσθαι, τὴν ἐπιῤῥοὴν ἀναστέλλοντος δηλονότι, καὶ ταύτῃ κενοῦντος τὰ σώματα. διὸ καὶ τὴν ὀδύνην ἐν τοῖς τοιούτοις λύει, καὶ τὴν αἰτίαν αὐτῆς ἐκκόπτει. καὶ ἡ ψύξις δὲ τῶν μορίων ἐπὶ πλέον, νάρκην φέρει μετρίαν, ἥ τις καὶ αὐτὴ λύει τὴν ὀδύνην, ἀμβλύνουσα τὴν αἴσθησιν.

GALENI COMMENTARIVS.

C

Horum quidem quamplurima aquam iuuare frigidum ostendit. Sed quænam hæc sint dicere prætermisit, quòd quæ suprà protulit, ea inuenire non sit arduum. Quæcunque enim inflammationes aut deflagrationes in rubrum & subcruentum colorem ex recenti sanguine propendent à frigidâ sanari dixit, quæ influxum reprimat, & eatenùs corpora vacuet. Quapropter etiam dolorem in talibus soluit, & eius causam exscindit. Partium quoque refrigeratio vehementior moderatum torporem adfert, qui & ipse dolorem hebeti sensu reddito, soluit.

D

Περὶ τῶν σημείων τὸ ὕδωρ ἄριστον δοκιμαζόντων, καὶ τί ἦ κουφότατον.

De signis optimam aquam probantibus, & quæ sit leuissima.

ΑΦΟΡΙΣΜΟΣ κϛ΄.

Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, κουφότατον.

APHORISMVS XXVI.

E

Quæ aqua cito calescit, & citò refrigeratur, leuissima.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ τῷ σταθμῷ κουφότατον εἶναι τὸ τοιοῦτον λεκτέον. οὐδὲ γὰρ ἂν οὕτω μέγα διδάσκοι πρὸς τῷ καὶ διὰ περιόδου τινὸς ἐξευρίσκειν, ὃ ῥᾳδίως ἦν ἐξ ἀρχῆς ἐξευρεῖν. εἴπερ δὲ βούλεται τὸ τῷ σταθμῷ κουφότατον ὕδωρ διαγνῶναι, πρόχειρον ἐπὶ τὸ τῶν ἱσταμένων ἴδιον ἄγειν κριτήριον, διὰ ζυγοῦ καὶ σταθμοῦ ποιουμένῳ αὐτῶν τὴν ἐξέτασιν. ἀλλὰ κουφότερον εἶπε νῦν, τὸ μὴ βαρῦνον τὴν γαστέρα, καὶ διεξερχόμενον ταχέως. ὥσπερ καὶ βαρὺ λέγομεν, τὸ ἐναντίον αὐτῷ, τὸ μὴ διεξερχόμενον ταχέως· εὔδηλον δὲ, ὡς οὐ μόνον τοῦτο κριτήριον ὕδατός ἐστιν ἀρετῆς, ἀλλ᾽ ὡς τῶν μὲν ἄλλων εὐπορωτάτων ὑπαρχόντων, καὶ πᾶσι γινωσκομένων. τού-

GALENI COMMENTARIVS.

Non pondere eiusmodi aquam leuissimam esse dicendum est: Sic enim nihil magnum doceret; præterea per quendam circuitum inueniendum foret, quod facile erat statim inuenire. Nam si pondere leuiorem aquam dignoscere velit, ad manum est rerum ponderandarum trutina, ad quam reuocatam aquam expendere & examinare poterit. Verùm in præsentia leviorem aquam

F

esse dixit, quæ ventri & hypochondrio grauis non diu; sed citò permeat: sicut contrariam grauem dicimus, quæ non citò peruadit. Liquet autem non solam hanc esse salubritatis aquæ probandæ regulam; sed quum alia bonitatis aquæ signa obvia sint & omnibus nota; hoc verò artis nonnihil ha-

beat, ideo factum esse vt ad id scribendum veniret Hippocrates. Sed quænam alia sunt? Primò quidem si neque turbida, nequæ cœnosa sit; deinde si neque odore, neque gustu aliquam absurdam qualitatem præ se ferat; postremò, si quod nunc Hippocrates pronunciauit, citò refrigeretur & calefiat; nam non constat eiusmodi aquam facile alterari posse. Quemadmodum autem cibi virtus est esse vt facilè alteretur: ita & aquæ. Siquidem mutari volumus quicquid ab instrumentis concoquentibus probè consequendum est. Quæcunque verò solâ bibentium affectione de optima aqua iudicant, ii certissimo quidem iudicio vtuntur: verùm si hoc solum assumpserint, non rectè faciunt: Priùs enim de aqua ex dictis signis iudicandum est, quàm ad talem experientiam veniatur.

A τοῦ δ' ἔχοντός τι τεχνικὸν, οὕτως ἐπὶ τὴν γραφὴν αὐτοῦ ἥκειν τὸν Ἱπποκράτην. τίνα δὲ τἆλλα ἐστί; πρῶτον μὲν εἰ μὴ θολερὸν, μήτ' ἰλυῶδες· εἶθ' ἑξῆς εἰ μή τι κατὰ τὴν ὀσμὴν, μήτε κατὰ τὴν γεῦσιν ἐμφαίνει τινὸς ἀλλοκότου ποιότητος. εἶθ' οὕτως, ὃ νῦν εἶπεν Ἱπποκράτης, εἰ θερμαίνεται, καὶ ψύχεται ταχέως· δῆλον γὰρ, ὡς εὐαλλοίωτόν ἐστι τὸ τοιοῦτον, ἀρετὴ δ' ὥσπερ σίτου, τὸ εὐαλλοίωτον, οὕτω καὶ τοῦ ὕδατος. εἴ γε δὴ ῥᾷστα μεταβάλλεσθαι βουλόμεθα πᾶν τὸ μέλλον πεφθήσεσθαι, καλῶς ὑπὸ τῶν πεπτικῶν ὀργάνων. ὅσοι δὲ τῇ τῶν πινόντων διαθέσει μὴ κρίνουσι τὸ ἄριστον ὕδωρ, ἀσφαλέστατα μὲν χρῶνται τεκμηρίῳ. B μόνον δ' εἴπερ αὐτὸ παραλαμβάνουσιν, οὐκ ὀρθῶς ποιοῦσι. χρὴ γὰρ αὐτὸ πρότερον προκεκρίσθαι τοῖς εἰρημένοις σημείοις, πρὶν ὅλως τις ἐπὶ τὴν τοιαύτην ἀφίκηται πεῖραν.

Sitientibus somnum esse remedium. An potus noctu sitientibus concedendus.

Τοῖς διψήσασι τὸν ὕπνον εἶναι ἴαμα. εἰ ποτὸν ἐν νυκτὶ διψώδεσι δοτέον.

C

APHORISMVS XXVII.

QVibus noctu bibendi est appetentia, iis admodum sitientibus, si obdormierint, bonum.

ΑΦΟΡΙΣΜΟΣ κζ'.

Ὁκόσοισι δὲ πίνειν ὄρεξις νύκτωρ, τοῖσι πάνυ διψώδεσιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

GALENI COMMENTARIVS.

AN dandus sit potus, an minimè dandus iis qui noctu magnopere sitiunt non declarauit; sed solum quod super dormire conferat. Coquetur enim per somnum videlicet & subdescendet sitis causa quæcunque sit: Non tamen illud abditum est valde sitientibus potum dandum esse, siue meracioris vini haustu, siue potus indigentia sitis nata sit. Nam & inopiæ ciborum ablatione, & ortum ex vino calorem aquâ restinguere sanitatis tuendæ præcepta sunt. Si tamen modicè sitierint, non plane potus ipsis exhibendus est; sed considerandum vtrùm humidi defectu tale quid patiantur, an vberiore vini potione. Contingit enim si dormierint, eos ex somno iuuari.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὔτ' εἰ δοτέον ἐστὶ τὸ ποτὸν, ἐπὶ τῶν ἐν νυκτὶ πάνυ διψησάντων ἐδήλωσεν, ἀλλὰ μόνον ὅτι D συμφέρει τούτοις ἐπικοιμηθῆναι. πεφθήσεται γὰρ δηλονότι, καὶ ὑποκαταβήσεται κατὰ τὸν ὕπνον, ὅ τι περ ἂν ᾖ τὸ τῆς δίψης αἴτιον. οὐ μὴν οὐδ' ἄδηλόν ἐστιν, ὡς τοῖς πάνυ διψῶσι δοτέον ἐστὶ τὸ ποτόν· εἴ τ' ἐξ οἴνου πόσεως ἀκρατεστέρου τοῦτ' αὐτοῖς εἴη γεγενημένον, εἴ τ' ἐξ ἐνδείας ποτοῦ. τό, τε γὰρ τὴν ἔνδειαν ἰᾶσθαι προσφορᾷ, τό τε τὴν ἐξ οἴνου θερμασίαν ὕδατι σβεννύναι, τῶν ὑγιεινῶν ἐστὶ θεωρημάτων. εἰ μέντοι μετρίως εἶεν διψώδεις, οὐ πάντως ἐστὶ δοτέον αὐτοῖς τὸ ποτόν. E ἀλλ' ἐπισκεπτέον, εἴ τ' ἐνδείᾳ πάσχουσιν ὑγρότητος τὸ τοιοῦτον, εἴτε δι' οἴνου πλείονα πόσιν, ἐγχωρεῖ γὰρ τούτους κοιμηθέντας ὠφεληθῆναι.

Quòd aromatum suffitus educat muliebria; de suppressionis muliebrium causis, ac curatione per suffitum.

Ὅτι ἐν ἀρώμασι πυρία τὰ γυναικεῖα ἐξάγει· περὶ τῆς τῶν γυναικείων ἐπισχέσεως αἰτιῶν, καὶ διὰ τῆς πυρίας θεραπείας.

F

APHORISMVS XXVIII.

MVliebria suffitus aromatum educit. Ad alia verò plerunque vtilis esset, nisi capitis grauitatem induceret.

ΑΦΟΡΙΣΜΟΣ κη'.

Γυναικείων ἀγωγὸν, ἡ ἐν ἀρώμασι πυρίη. πολλαχῇ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρείας ἐνεποίει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γυναικείων εἴρηκε τῶν ἐκκενουμένων δηλονότι διὰ μήτρας ταῖς γυναιξὶ, κατά τε τὰς ἐμμήνους καθάρσεις, καὶ μετὰ τοὺς τόκους. εὔδηλον δ᾽ ὡς κἀνταῦθα, τὰς μὲν ἤτοι διὰ φλεγμονὴν τῆς μήτρας, ἢ διαστροφὴν, ἤ τι τοιοῦτον μὴ καθαιρομένας καλῶς, ἰασόμεθα τὸ πάθος ἐκθεραπεύοντες, οὗ σύμπτωμά ἐστιν ἡ τῶν γυναικείων ἐπίσχεσις. τὰς δ᾽ ἄνευ τοῦ τοιούτου παθήματος ἐνδεῶς καθαιρομένας, ταῖς νῦν ὑπ᾽ αὐτοῦ διδασκομέναις πυρίαις ἰᾶται. ἐπὶ τούτων γὰρ, ἤτοι πάχος αἵματος αἴτιόν ἐστι τῆς ἐπισχέσεως, ἢ ἔμφραξις τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων, ἢ μύσις τῶν αὐτῶν τούτων, ἢ πύκνωσις ὅλης τῆς οὐσίας αὐτῆς. ὅ τι δ᾽ ἂν ᾖ τῶν εἰρημένων, ἡ διὰ τῶν ἀρωμάτων πυρία θεραπεύει τὴν διάθεσιν, ἀναστομοῦν μὲν δυναμένη τὰ μεμυκότα πέρατα τῶν ἀγγείων, λεπτύνειν δὲ τὸ πάχος τῶν χυμῶν. τὰς δ᾽ ἐμφράξεις, τῷ τέμνειν ἐκφράττουσα, πολλαχοῦ δὲ καὶ εἰς ἄλλα, φησὶν, ἦν ἂν χρήσιμος, εἰ μὴ καρηβαρείας ἐνεποίει· τὸ γὰρ ὅλον σῶμα πυριᾶσθαι διὰ τῆς μήτρας ἠδύνατο συνεχῶς ἐν ἁπάσαις ταῖς ψυχραῖς καὶ ὑγραῖς διαθέσεσιν, εἰ μὴ τὴν ἀπὸ πυρίας ἐφοβούμεθα κεφαλαλγίαν, καὶ μάλιστα ἐν τοῖς πυρετοῖς. ὅτι γὰρ κεφαλαλγῆ σχεδὸν ἅπαντά ἐστι τὰ ἀρώματα, δηλοῖ μὲν ἡ πεῖρα, διδάσκει δὲ καὶ ὁ λόγος. ὅσα γὰρ ἱκανῶς θερμαίνει κεφαλαλγῆ πάντ᾽ ἐστὶν, ὡς ἂν ἄνω φύσει φερομένου τοῦ θερμοῦ. θερμὴ δὲ ἱκανῶς ἐστὶν ἁπάντων τῶν ἀρωμάτων ἡ φύσις, καὶ μάλιστα κασσίας, καὶ κόστου, καὶ κινναμώμου, καὶ ἀμώμου.

GALENI COMMENTARIVS.

A Mvliebra nuncupauit, quæ nimirum mulieribus per vterum menstruis purgationibus & à partu vacuantur. Hîc quoque liquidò constat, eas quidem quæ propter vteri inflammationem, vel peruersionem, vel eiusmodi aliquid non bellè purgantur, non aliter sanari posse quàm eâ affectione percuratâ, cuis symptoma mensium est suppressio; B eas verò quæ sine eiusmodi affectu parciùs purgantur, iis ipsis quæ nunc ab ipso docentur, odorum suffitibus ac fomentis curandas esse. In his enim aut sanguinis crassitudo, aut vasorum ad vterum pertinentium obstructio, aut eorundem præclusio, aut totius substantiæ vteri præclusio, eorum suppressionis causa existit. At dictorum quodcunque causa fuerit parati ex aromatibus suffitus *aut fœtus* affectionem sanat qui suâ facultate præclusa, vasorum extrema reserare, & humorum crassitiem attenuare, & obstructiones incidendo deobstruere possit. C Multoties verò & ad alia, inquit, esset vtilis nisi capitis grauitatem excitaret. Nam continenter per vterum in omnibus frigidis atque humidis affectibus totum corpus suffiri poterat, nisi à suffitione cephalalgiam quum aliàs, tum in febribus maxime timeremus. Nam aromata propè omnia capitis dolorem commouere, tum experientia ipsa ostendit, tum ratio docet. Quæ nanque vehementer calefaciunt, ea omnia caput tentant, calore nimirum naturaliter sursùm tendente. Atqui omnium aromatum quum abundè calet natura, tum verò maximè cassiæ aromaticæ, costi, cinamomi, & amomi. D

Ὧι χρόνῳ τὰς κυούσας φαρμακεύειν χρή.

ΑΦΟΡΙΣΜΟΣ κθ'.

Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν ἧσσον. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

Quo tempore grauidæ purgandæ sint.

APHORISMVS XXIX.

E *Prægnantes si* ad excretionem *turgeat humor, purgandæ sunt quarto mense, & adusque septimum, sed hæ minus. Minoribus autem & grandioribus fœtibus religiosè agendum.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἀφορισμὸς εἴρηται καὶ πρόσθεν ἐν τοῖς περὶ φαρμάκων λόγοις. ἀλλὰ καὶ νῦν ἐν τοῖς περὶ τῶν γυναικείων, κατά γε τὰ πλεῖστα τῶν ἀντιγράφων εὑρίσκεται. τινὲς δ᾽ ἐξαίρουσιν αὐτὸν ὅπως μηδεὶς ᾖ γεγραμμένος, ἐξηγήσεως δὲ οὐ δεῖται νεωτέρας ἡμῖν τοῖς ἔμπροσθεν εἰρημένοις.

GALENI COMMENTARIVS.

Hic aphorismus supra quoque pronunciatus est, vbi de purgatione habebatur oratio. Sed & nunc vbi de muliebribus agitur in quamplurimis exemplaribus inuenitur. F Quidam verò ipsum eximunt, nè bis scriptus comperiatur. Noua autem explicatione altera nobis non opus est, præter eam quàm suprà scripsimus.

A

Acutum morbum grauidæ lethalem esse.

Τὸ ὀξὺ νόσημα τῇ κυούσῃ θανάσιμον εἶναι.

APHORISMVS XXX.

MVlierem vtero gerentem morbo quodam acuto corripi lethale.

ΑΦΟΡΙΣΜΟΣ λ'.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι, θανάσιμον.

B

GALENI COMMENTARIVS.

MEritò: Siue enim sit febrilis morbus, ipsam febre continua affici necesse est; talis enim est morbus acutus, in quo duplex fœtui impendet periculum: vnum à febre ipsa fœtum perimente; alterum quòd exhibitis ægrotanti per longum interuallum cibariis, alimenti penuriâ fœtum enecamus. Quòd si ut hunc seruemus cibos blande ac crebro exhibuerimus, intempestiuo cibo aucta febre continua grauidam occidemus. Sic etiam si absque febre alius quidam morbus acutus obortus sit, qualis epilepsia, apoplexia aut conuulsio, aut tetanus, morbi magnitudini, & vehementiæ ægrota par esse non poterit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰκότως, ἐάν τε γὰρ πυρετῶδες ᾖ τὸ νόσημα, συνεχεῖς ἀνάγκη τοὺς πυρετοὺς ἔχειν αὐτό. τοιοῦτο γάρ ἐστι τὸ ὀξὺ, καὶ κίνδυνος ἐν τῷδε διττὸς εἷς μὲν αὐτοῦ τοῦ πυρετοῦ ἀναιροῦντος τὸ ἔμβρυον. ἕτερος δὲ ὅτι διὰ μακροῦ μὲν τρέφοντες, ἐνδείᾳ τροφῆς ἀναιροῦμεν τὸ ἔμβρυον. εἰ δ' ἵνα τοῦτο διασώζωμεν, ἀφειδήσωμεν τοῦ συνεχῶς τρέφειν, αὐξήσαντες τῇ τῶν τροφῶν ἀκαιρείᾳ τοὺς συνεχεῖς πυρετοὺς, C ἀποκτενοῦμεν τὴν κύουσαν. οὕτω δὲ κἂν χωρὶς πυρετοῦ τῶν ἄλλων τι γένηται νοσημάτων ὀξέων, οἷον ἐπιληψία, ἢ ἀποπληξία, ἢ σπασμὸς, ἢ τέτανος, ἅμα τῷ μεγέθει, καὶ τῇ σφοδρότητι τοῦ νοσήματος, ἀδύνατον ἐξαρκέσαι τὴν κάμνουσαν.

Venæ sectionem & inediam abortionis esse causas.

Τὴν φλεβοτομίαν τε καὶ ἀσιτίαν τὰς τῆς τοῦ ἐκτρώσεως αἰτίας εἶναι.

D

APHORISMVS XXXI.

MVlier vtero gerens venâ sectâ abortit, eóque magis si fœtus grandior fuerit.

ΑΦΟΡΙΣΜΟΣ λα'.

Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

GALENI COMMENTARIVS.

DEfectu alimenti, non modo venæ sectione, verum etiam longiore inediâ fœtus E in vtero necatur; quòd paulò post aliis etiam aphorismis ostensuri sumus. Meritò itaque fœtus grandior, sectâ prægnanti vena, citiùs corrumpitur, quòd nimirum copiosiore indigeat alimento.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐνδείᾳ τροφῆς φθείρεται τὸ ἔμβρυον οὐ μόνον ἐκ τῆς φλεβοτομίας, ἀλλὰ κἂν ταῖς μακροτέραις ἀσιτίαις. ἐπιδείξομεν δὲ τοῦτο μικρὸν ὕστερον, καὶ δι' ἄλλων ἀφορισμῶν. εἰκότως οὖν τὸ ἔμβρυον τὸ μεῖζον, μᾶλλον φθείρεται, φλεβοτομηθείσης τῆς γυναικὸς, διὰ τὸ πλείονος δεῖσθαι τροφῆς.

Menstrua erumpentia vt venæ pedis sectionem sanguinis vomitum soluere.

Ὅτι τὰ ῥαγέντα καταμήνια καθάπερ ἡ τοῦ ποδὸς φλεβοτομία τὸν αἵματος ἔμετον λύῃ.

F

APHORISMVS XXXII.

MVlieri sanguinem vomenti, menstruis erumpentibus, solutio contingit.

ΑΦΟΡΙΣΜΟΣ λβ'.

Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων λύσις γίνεται.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰκότως· ἀντίσπασίς τε γὰρ ἅμα καὶ κένωσις ἔσται τῆς τὴν ὁρμὴν εἰληφότος αἵματος ἄνω· τοῦτο μὲν οὖν καὶ ἡ πεῖρα διδάσκει συμφερόντως γιγνόμενον, ἐξ αὐτῆς δὲ ὁρμηθέντες καὶ ἡμεῖς, μιμησόμεθα τὰ καλῶς ὑπὸ τῆς φύσεως ἀποτελούμενα, καὶ διὰ φλεβοτομίας κενώσομεν τὰς οὕτω πασχούσας.

GALENI COMMENTARIVS.

IVre ac meritò: Etenim sanguinis erit sursum impetum consequuti reuulsio simul & vacuatio. Quòd quàm vtiliter fiat *ipsa* nos docet experientia, quâ nos inducti, quæ præclarè natura gerit opera imitabimur, atque sic affectas *mulieres venæ poplitis aut maleoli* sectione vacuabimus.

B

Τὸ αἷμα διὰ ῥινῶν, ἢ τῶν αἱμορροΐδων, ἢ τῶν χωρίων ὁμοίων, ἐκλειπόντων ῥυῆναι ἀγαθὸν εἶναι.

Sanguinem per nares, aut hæmorrhoidas, au alias locas similia, menstruis deficientibus profluere bonum esse.

ΑΦΟΡΙΣΜΟΣ λγʹ.

Γυναικὶ, τῶν καταμηνίων ἐκλειπόντων αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν.

APHORISMVS XXXIII.

MVlieri menstruis deficientibus, sanguis ex naribus profluens, bonum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Ὅτι μὲν οὖν ἀναγκαῖόν ἐστι τὸ καλῶς ἐφ' ἑκάστῳ μηνὶ κενούμενον αἷμα, ἐπειδὰν κατά τινα διάθεσιν ἐπισχεθῇ, βλάπτειν τὴν γυναῖκα, καὶ ὅτι δι' ἑτέρου χωρίου κενούμενον, ἰᾶσθαι τῆς βλάβης τὸ πᾶν σῶμα, πρόδηλον παντί. πολλῶν δὲ ὄντων χωρίων δι' ὧν ἐκκενοῦσθαι δύναται, τοῖς μὲν ἄλλοις ἅπασι πρόσεστί τις μείζων, ἢ ἐλάττων βλάβη. μόνη δὲ ἡ διὰ τῶν ῥινῶν κένωσις ἄλυπός ἐστιν, ἣν ἐπαινεῖ νῦν ὁ Ἱπποκράτης· οὐ μὴν οὐδ' εἴ τις ἄλλη κένωσις ἄλυπος εὑρίσκοιτο, τούτου χάριν ὁ ἀφορισμὸς ψευδής ἐστιν. οὐ γὰρ ὅτι μόνη κένωσις ἡ διὰ τῶν ῥινῶν, ἀγαθὴ, τῶν καταμηνίων ἐκλειπόντων εἴρηκεν, ἀλλ' ἁπλῶς ἐπήνεσεν αὐτὴν, μὴ προσθεὶς ὅτι μόνη. κἂν τὴν δι' ἕδρας οὖν τὴν ἀγαθὴν εἶναι λέγῃ ταῖς οὕτως ἐχούσαις γυναιξὶν, οὐ μάχεται τῷ ἀφορισμῷ. φαίνεται γὰρ ἐνίοτε δι' ἑνὸς, ὡς παραδείγματος, ὁ Ἱπποκράτης ἀποφαινόμενος ὑπὲρ τῶν ὁμοίων ἁπάντων.

D

GALENI COMMENTARIVS.

QVòd qui sanguis singulis mensibus probè vacuatur, quum propter aliquam affectionem retentus fuerit, eum mulierem oblædere necesse sit; quódque per alium locum vacuatus vniuersum corpus à læsione sanum liberet, patet omnibus. Quum autem multa sint loca, per quæ vacuari queat, aliis quidem omnibus sua quædam maior minorque inest læsio; sola verò per nares vacuatio, innoxia, quàm nunc laudat Hippocrates: Non tamen si qua alia comperiatur citra noxam vacuatio, propterea falsus est aphorismus. Non enim quòd sola per nares vacuatio deficientibus menstruis bona, sit edixit; sed ipsam simpliciter commendauit, non quòd sola sit addito. Quod si quis eam quæ per sedem fit vacuationem ita affectis mulieribus vtilem esse proferat, non aphorismo reluctatur: Nonnunquam enim Hippocrates vnico velut exempli gratiâ proposito, de similibus omnibus pronunciare videtur.

E

Τὴν τῆς κοιλίας ῥεῦσιν ἀμετροτέραν εἶναι τὴν ἄλλην κένωσιν πλείονα τὴν τοῦ ἐκτρωσμοῦ αἰτίαν εἶναι.

Alui profluuium immoderatiùs, vt aliam vacuationem liberaliorem abortionis esse causam.

ΑΦΟΡΙΣΜΟΣ λδʹ.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ἡ κοιλίη ῥυῇ πολλάκις, κίνδυνος ἐκτρῶσαι.

APHORISMVS XXXIV.

MVlieri vtero gerenti, si aluus multoties profluit abortionis periculum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Τῷ λόγῳ τῆς κενώσεως, καὶ νῦν ὁ Ἱπποκράτης κίνδυνός φησιν ἐκτρῶσαι καθότι, καὶ πρόσθεν ἐπὶ τῆς φλεβοτομίας ἐνδεικνύμεθα.

GALENI COMMENTARIVS.

RAtione vacuationis nunc quoque Hippocrates abortionis periculum esse pronunciat, quemadmodum & antea in sanguinis per sectam venam missione ostendebamus.

A

Sternutamentum hystericæ aut ægrè parturienti bonum esse. Quid & vnde hystericum pathema.

Τὸν πταρμὸν, τῇ ὑστερικῇ ἢ τῇ δυστοκούσῃ ἀγαθὸν εἶναι, καὶ ὅθεν ὑστερικὸν πάθος.

APHORISMVS XXXV.

B *MVlieri vteri strangulatu vexatæ, aut partus difficultate laboranti, sternutamentum succedens bonum.*

ΑΦΟΡΙΣΜΟΣ λε'.

Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ, ἢ δυστοκούσῃ πταρμὸς ἐπιγινόμενος ἀγαθόν.

GALENI COMMENTARIVS.

OBscurum est in aphorismo hystericum nomen: Nonnulli siquidem pro omnibus vterorum affectibus accipiunt; nonnulli verò pro illis solis affectibus vteri exaudiunt C quos sequitur affectio quam hystericam suffocationem vocitant; quanquam reuera strangulatio non est, sed apnœa, *seu respirationis ablatio*; alii denique secundas intelligunt, quandoquidem & has vteros appellitant. Verùm hi apertè aberrant, etiamsi quammaximè in eo verum dicere videantur, quòd secundæ vtero retentæ sternutamentis deturbentur; Alius enim etiam de his aphorismus ab ipso scriptus est, atque nomine plurimum hystera & hysterica inter se differunt. Falsum porro est de omnibus vteri affectibus orationem efferri: neque enim exulceratio- D nes, neque inflammationes, neque erysipelata, vt neque abscessus sternutatio iuuat. At illud verum est in hystericis apnœis: interueniente sternutatione affectas mulieres leuari, non solùm quia bonum signum est sternutatio sponte naturæ ita affectis mulieribus superueniens; sed etiam quia vt causa huic affectui remedium est. Signum itaque bonum est, quia naturam prius torpentem nunc exsuscitari ac recreari, & propriarum motionum reminisci: quandoquidem ipsa quædam excrementa reiicit; Ita enim in Libro de E symptomatum causis sternutamentum fieri ostendimus. Causa verò vtilitatis existit, quia vehementiore concussione atque iactatione partim quidem naturam excitat, partim verò quæ partibus corporis tenaciter impacta sunt, excernit; sic enim & singultum sanare solet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ἈΣαφές ἐστι τὸ κατὰ τὸν ἀφορισμὸν ὄνομα τὸ ὑστερικῶν· ἔνιοι μὲν γὰρ ἀκούουσιν ἐπὶ πασῶν κατὰ τὰς ὑστέρας διαθέσεων, ἔνιοι δὲ ἐπὶ μόνων ἐκείνων C αἷς ἕπεται πάθος, ὃ προσαγορεύουσιν ὑστερικὴν πνίγα, καίτοι γε οὐ πνίγα κατ' ἀλήθειαν οὖσαν, ἀλλ' ἄπνοιαν. ἔνιοι δὲ ἐπὶ τῶν χορίων ἀκούουσιν, ἐπειδὴ καὶ ταῦτα τὰ ὕστερα καλοῦσιν. ἀλλ' οὗτοι μὲν ἄντικρυς ἁμαρτάνουσιν, εἰ καὶ ὅτι μάλιστα δοκοῦσιν ἀληθεύειν, ἐν τῷ καταρρήγνυσθαι τὰ ἐν τῇ μήτρᾳ κατεχόμενα χορία πρὸς τὸν πταρμόν. ἄλλος τε γὰρ ὑπὲρ τούτων ἀφορισμὸς αὐτῷ γέγραπται, καὶ διαφέρει πάμπολυ, καὶ κατὰ τοὔνομα τὰ ὕστερα τῶν ὑστερικῶν. ψεῦδος γε μήν ἐστι, καὶ τὸ περὶ πάντων τῶν κατὰ τὰς ὑστέρας παθῶν εἰρῆσθαι τὸν D λόγον. οὔτε γὰρ ἑλκώσεις, οὔτε φλεγμονὰς, οὔτ' ἐρυσιπέλατα, καθάπερ οὐδ' ἀποστήματα, πταρμὸς ὀνίνησιν. ἀληθὲς δὲ τὸ, καὶ κατὰ ὑστερικὰς ἀπνοίας ἐπιγινομένου πταρμοῦ, ῥαστωνεῖν τὰς καμνούσας. οὐ μόνον ὅτι σημεῖον ἀγαθόν ἐστιν αὐτομάτως ἐπιγινόμενος ὁ πταρμὸς ταῖς οὕτως ἐχούσαις, ἀλλὰ καὶ αἴτιον ὥσπερ τι βοήθημα τοῦ πάθους γινόμενος. σημεῖον μὲν οὖν ἀγαθόν ἐστι, διότι δηλοῖ τὴν φύσιν ἔμπροσθεν νεναρκωμένην, ἐπεγείρεσθαί τε, καὶ ἀναζωπυρεῖσθαι, καὶ τῶν οἰκείων κινήσεων ἀναμιμνήσκεσθαι, ὁπότε γε καὶ ἀποτίθεταί τινα E τῶν περιττωμάτων. ἐδείχθη γὰρ ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις, ὁ πταρμὸς οὕτω γινόμενος, αἴτιον δὲ τῆς ὠφελείας, ὅτι τῷ σφοδροτέρῳ κλόνῳ καὶ βρασμῷ, τοῦτο μὲν ἐπεγείρει τὴν φύσιν, τοῦτο δὲ ἐκκρίνει τὰ δυσεκκρίτως ἐμπεπηγμένα τοῖς μορίοις τοῦ σώματος. οὕτω γὰρ καὶ τὴν λύγγα πέφυκεν ἰᾶσθαι.

Τὰ καταμήνια ἄχροα καὶ μὴ περιοδικὰ τῶν καθάρσεων δεῖσθαι.

ΑΦΟΡΙΣΜΟΣ λϛʹ.

Γυναικὶ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δεῖσθαι σημαίνει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πολλὰ τῶν ἀντιγράφων βιβλία ἐστὶν εὑρεῖν οὕτως ἔχοντα τὴν λέξιν. γυναικὶ καταμήνια χρόνια, καὶ μὴ κατὰ τὰ αὐτὰ ἰόντα. δύναται μὲν οὖν καὶ τὰ χρόνια καταμήνια, τουτέστιν ὅσα τῆς εἰθισμένης ὑστερίζει περιόδου, καθάρσεως δεῖσθαι χυμοῦ φλεγματικοῦ, διὸ καὶ δύσχροα γίγνεται, οὐ μὴν ἐξ ἀνάγκης γε ταύτης μόνης, καὶ γὰρ δὴ καὶ διὰ τῆς λεπτυνούσης διαίτης, ἐνίοτε τὰς τοιαύτας διαθέσεις πολλάκις ἰασόμεθα. γέγραπται δὲ περὶ τῆς διαίτης ταύτης ἐν ἰδίᾳ βιβλίον, ἅμα δ' αὐτῇ καὶ ἡ τῶν ἀρωμάτων πυρία, καὶ οἱ τὴν αὐτὴν ἐκείνῃ δύναμιν ἔχοντες πεσσοὶ προσθετοί, καὶ τὰ πινόμενα φάρμακα τμητικά τε καὶ λεπτυντικὰ πάχους τῶν χυμῶν, ὁποῖόν ἐστι, καὶ τὸ διὰ τῆς καλαμίνθης, ᾧ συνήθως ἑκάστοτε χρώμεθα, ὃ καὶ τὰς ἐμμήνους καθάρσεις βραδυνούσας ἐκίνησε πολλάκις. ὁ γάρ τοι σκοπὸς τῆς ἰάσεως αὐτῶν ἐστὶν, ἀναστομῶσαι μὲν τὰ στόματα τῶν εἰς τὴν μήτραν καθηκόντως ἀγγείων, λεπτῦναι τε τὸ αἷμα· καὶ μὴν δὴ καὶ ἡ τοῦ παντὸς σώματος κάθαρσις, ὡς εἶπον, ὅτε δὴ τῶν παχέων γίνηται χυμῶν, ἰᾶται τὰς τοιαύτας διαθέσεις. εἰ δ' ἄχροα γεγραμμένον εἴη, πολὺ δὴ μᾶλλον ἡ κάθαρσις ἰάσεται τὰς οὕτως ἐχούσας. οὐδὲ γὰρ διὰ τὸν φλεγματικὸν μόνον χυμὸν, ἀλλὰ καὶ τὸν μελαγχολικὸν, καὶ τὸν πικρόχολον, ἄχροα γίνεται τὰ καταμήνια. πῶς μὲν οὖν χρὴ διαγινώσκειν τὸν πλεονάζοντα χυμὸν, ἐν τῷ προτέρῳ τῶν γυναικείων αὐτὸς ἐδίδαξεν, νῦν δ' ὅτι διὰ καθάρσεώς ἐστι κενωτέον, αὐτὸ ἐδήλωσεν. τὸ δὲ μὴ κατὰ τὰ αὐτὰ ἰόντα, τῇδε τῇ γραφῇ συμφωνεῖ μᾶλλον, ἵν' ὁ σύμπας λόγος ᾖ τοιοῦτος. ἐὰν ἄχροα γένηται τὰ καταμήνια, καὶ μὴ κατὰ τὰ αὐτὰ ἰόντα, τοῖς δ' ἔθοις ἔμπροσθεν γινομένοις τῇ γυναικὶ, καθάρσεως δεῖται. συμβαίνει γὰρ ἐπὶ τῶν κακοχύμων γυναικῶν, οὐ μόνον ἀχρουστέρας φαίνεσθαι τὰς ἐμμήνους καθάρσεις, ἀλλὰ καὶ τὸν χρόνον τῆς περιόδου διαφθείρειν. εἰ μὲν παχύτεροί τε, καὶ δυσρευστότεροι τῶν κατὰ φύσιν εἶεν οἱ χυμοὶ γεγονότες, ἐπιβραδύνοντες, καὶ χρονίζοντες, φθάνονται δὲ τὴν συνήθη προθεσμίαν ἐπὶ τοῖς ἐναντίοις, ὑγροτέροις τε, καὶ λεπτοτέροις δηλονότι.

Menſes decolores nec periodicos purgationibus indigere.

APHORISMVS XXXVI.

MVlieri menſes decolores, neque ſemper eadem periodo prodeuntes purgatione opus eſſe ſignificant.

GALENI COMMENTARIVS.

IN multis exemplaribus dictionem ita ſe habere reperire licet. Mulieri menſtrua tarda, neque tempore per ſe prodeuntia. Poſſunt itaque menſtrua tarda, hoc eſt, poſt conſuetum circuitum prodeuntia purgatione egere humoris pituitoſi, ob quem male colorata redduntur, non tamen hac ſola neceſſariò; etenim etiam aliquando extenuante victu tales affectiones ſæpe ſanauimus. De hoc autem victu à nobis liber vnus ſeorſùm ſcriptus eſt; vnà quoque cum eo aromatum ſuffitus, quique eandem cum eo facultatem ſortiuntur peſſi ſuppoſititij, & potulenta medicamenta, quæ humorum craſſitiem incidant, & attenuent: quale eſt diacalaminthes, quo aſſueto quotidie utimur, quodque commorantes purgationes ſæpe prouocauit. Indicatio nanque ac ſcopus earum ſanationis eſt tum vaſorum ad uterum peruenientium ora recludere, tum ſanguinem extenuare. Et verò totius etiam corporis purgatio, vt dixi, quum videlicet craſſorum ſit humorum, tales affectiones ſanat. Quòd ſi *decolores* ſcribatur, multò magis purgatio ſic affectas mulieres ſanauerit. Neque enim propter pituitoſum humorem ſolum; ſed etiam propter melancholicum & bilioſum decolores fiunt menſes. Quo verò modo humorem redundantem dignoſcere oporteat ipſemet primo de morbis muliebribus docuit; nunc autem quòd purgatione vacuandum ſit, id declarauit. Illud etiam: *Neque eâdem periodo prodeuntes*, huic textui magis conſonat, vt vniuerſa ſit eiuſmodi oratio. *Si menſes decolores fiant*, nec mulieri ſimili periodo prodeant, ac antea manare conſueuerunt, ipſa eget purgatione. Accidit enim cacochymis mulieribus non modò decolores apparere menſtruas purgationes; ſed etiam ſtatum periodi tempus labefactari. Si & craſſiores quidem humores fuerint, & ad fluendum humoribus ſecundum naturam ſe habentibus ineptiores, quum immorantur ac tardant. His verò contrarij, hoc eſt, humidiores, ac tenuiores, quum præfinitum tempus anticipant.

A

Mammarum extenuationem abortionem prænunciare. Quæ venæ mammis & vtero communes. Vnde mammarum extenuatio. Quæ causæ interitus fœtus, aut abortus, aut exitus.

APHORISMVS XXXVII.

B *MVlieri vtero gerenti si mammæ derepente extenuentur, ipsa abortit.*

GALENI COMMENTARIVS.

HIc etiam aphorismus ex illis est, quos diximus alimenti penuriam fœtus significare. Quædam enim venæ sunt vteris ac mammis communes, quæ quum sanguinis penuriâ laborant, mammas graciles quidem efficiunt, fœtum verò interdum alimenti inopia perimunt, interdum etiam ad exitum concitant: eam ob causam quam ipse libro de natura pueri his scriptis prodidit. C *Alimentum & incrementum quod à matre defluit, non ampliùs infanti sufficit, quum peractis decem mensibus, fœtus grandior euaserit. Ad sese nanque trahit à sanguine quod dulcissimum est, simulque lactis portione aliqua fruitur. Hæc vbi rariora & pauciora ipsi fuerint, & infans maturus extiterit præsenti copiosiorem cibum quærens calcitrat, & disruptis membranis matri partûs nuntium adfert.*

D

Mammam vnam extenuatam gemellorum alterum abortu periturum; sed dextrâ mamma gracilescente, marem, sinistra fœminam significari.

APHORISMVS XXXVIII.

MVlieri gemellos vtero gerenti, si altera mamma gracilis euadat, alterum abortu edit; & si dextra quidem mamma gracilescat, marem; si verò sinistra, fœminam.

GALENI COMMENTARIVS.

E

QVod antè scriptus aphorismus de ambabus mammis, id hîc de altera verba facit; atque propter prænunciatam causam, venarum communitatem fœtus è directò mammæ imminutæ situs abortum patitur. Quod autem dum gemelli tum mas, tum fœmina vtero gestantur, si dextra mamma emarcescat, mas solus; si sinistra, sola fœmina corrumpatur, ex illa ipsius opinione pendet, quâ mares quidem in dextris, fœminas verò in sinistris magis gestari auguratur.

Ὅτι ἡ τῶν μαστῶν ἰσχνότης τὸν ἐκτρωσμὸν προσημαίνει. αἵτινες αἱ φλέβες ὦσι τιτθῶν τε καὶ ὑστερῶν κοιναί. πόθεν ἡ τῶν μαστῶν ἰσχνότης. τίνες τῆς ἀναιρέσεως τοῦ ἐμβρύου, ἢ τοῦ ἐκτρωσμοῦ, ἢ ἐξόδου αἰτίαι.

ΑΦΟΡΙΣΜΟΣ λζ.

B Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν οἱ μαστοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ οὗτος ὁ ἀφορισμὸς ἐκ ἐκείνων ἐστὶν, οὓς ἔφαμεν ἔνδειαν τῆς τροφῆς σημαίνειν τῷ ἐμβρύῳ· κοιναὶ γάρ τινες εἰσὶ φλέβες ὑστερῶν τε, καὶ τιτθῶν, αἵτινες ὅταν ἐνδεῶς ἔχωσιν αἵματος, ἰσχνοὺς μὲν τοὺς τιτθοὺς ἀποφαίνουσι· τῇ δὲ ἀτροφίᾳ, ποτὲ μὲν ἀναιροῦσι τὸ ἔμβρυον, ἔστι δ' ὅτε πρὸς ἔκκρισιν παρορμῶσι· διὰ τὴν C αἰτίαν, ἣν αὐτὸς ἐν τῷ περὶ φύσεως παιδίου γράφει, κατὰ τήνδε τὴν ῥῆσιν. ἡ τροφὴ, καὶ ἡ αὔξησις, τὰ ἀπὸ τῆς μήτρας κατιόντα, οὐκέτι αὐτάρκη τῷ παιδίῳ ἐστὶν, ὅταν οἱ δέκα μῆνες παρέλθωσι καὶ τὸ ἔμβρυον αὐξηθῇ. ἕλκει γὰρ ἀπὸ τοῦ αἵματος εἰς ἑωυτὸ γλυκύτατον, ἅμα δὲ καὶ ἀπὸ τοῦ γάλακτος ἐπαυρίσκεται ὀλίγον. ὅταν δ' αὐτῷ ταῦτα σπανιώτερα γένηται, καὶ ἁδρὸν ᾖ τὸ παιδίον, ζητοῦν τε πλέον τῆς ὑπαρχούσης τροφῆς, ἀσκαρίζει, καὶ τοὺς ὑμένας ῥηγνύον, ἀρχὴν ἀποκυήσεως παρέχει τῇ μητρί.

D

Ὅτι εἷς μαστὸς ἰσχνὸς γινόμενος τὸ διδύμων ἕτερον ἐκτρωσμῷ ἀπολυσόμενον, ἀλλὰ μὲν δεξιοῦ μαστοῦ ἰσχνοῦ γινομένου τὸ ἄρσεν, τοῦ δὲ ἀριστεροῦ τὸ θῆλυ σημαίνεσθαι.

ΑΦΟΡΙΣΜΟΣ λη.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ὁ ἕτερος μαστὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει, καὶ ἢν μὲν δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν· ἢν δὲ ὁ ἀριστερὸς, E τὸ θῆλυ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅπερ ὁ προγεγραμμένος ἀφορισμὸς ἐπ' ἀμφοτέρων ἔλεγε τῶν τιτθῶν, τοῦθ' οὗτος ἐπὶ θατέρου. διὰ δὲ τὴν προειρημένην αἰτίαν, τῇ κοινωνίᾳ τῶν φλεβῶν, τὸ κατ' εὐθὺ τοῦ μειωθέντος τιτθουμένον ἔμβρυον, ἐκτιτρώσκεσθαι. τὸ δ' ὅτι διδύμων ὄντων, ἄρρενός τε, καὶ θήλεος, ἐὰν μὲν ὁ δεξιὸς τιτθὸς ἰσχνὸς γένηται, τὸ ἄρρεν μόνον, ἐὰν δ' ὁ ἀριστερὸς, τὸ θῆλυ διαφθείρεται, ἐξ ἐκείνης ἤρτηται τῆς δόξης αὐτοῦ, ἔμβρυα τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς μᾶλλον.

A

Τὸ γάλα ἐν τοῖς μασθοῖς τῆς γυναικὸς τῆς μήτε κυούσης, μήτε τετοκυίας, τὴν καταμηνίων ἔκλειψιν μὴ σημαίνειν. τί, καὶ ποσαπλάσιος τροφὴ, καὶ πόθεν τὸ γάλα.

Lac in mammis mulieris neque grauidæ, neque puerperæ, menstruorum defectum prodere; quid & quotuplex alimentum & vnde lac.

ΑΦΟΡΙΣΜΟΣ λθ'.

Γυνὴ κύουσα, μηδὲ τετοκυῖα εἰ γάλα ἔχει, τὰ καταμήνια αὐτῆς ἐκλέλοιπε.

APHORISMVS XXXIX.

*SI mulier quæ neque grauida est, neque peperit, lac habeat, huic menstrua defe-*B *cerunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μακροτέρου ὁ λόγος καὶ δεῖται τοῦ μέλλοντος αὐτῷ παρακολουθήσειν, ἀκριβῶς γεγυμνασμένου κατὰ τὰ περὶ φυσικῶν δυνάμεων ὑπομνήματα· λεχθήσεται δὲ τοσοῦτον ὅμως αὐτοῦ νῦν, ὅσον ἐνδέχεται διὰ βραχυτάτων ῥηθὲν, εἰς τὸ προκείμενον γενέσθαι χρήσιμον, κοινὸν δὴ τοῦθ᾽ ὑπάρχει πᾶσι τοῖς τοῦ ζώου μορίοις, ὅσα χυμῶν τινῶν ἐστι γεννητικὰ χρησίμων, ἤτοι γε ἑτέροις μορίοις, ἢ εἰς τὴν τοῦ γένους διαδοχὴν, ἢ εἰς τὴν τῶν κυουμένων τροφὴν, περιττὸν ὑπάρχειν τὸν χυμὸν ἐκεῖνον τῆς τροφῆς τοῦ γεννῶντος αὐτὸν μορίου. οὐ γὰρ τῷ γινώσκειν εἰς ὅ τι χρήσιμος ὁ χυμὸς ἔσται τῷ ζώῳ, τὴν γένεσιν αὐτοῦ ποιεῖται τὸ μόριον. εἴ γε μὴ μέλλει νοῦν ἕξειν τὸν τοιοῦτον, ὁποῖον ἀξιοῦμεν ἔχειν τοὺς πολιτικοὺς ἄνδρας, ἀλλ᾽ ὁ μὲν δημιουργήσας τὸ ζῶον, ἔχει τὸν νοῦν, αὐτὸ δὲ τὸ μόριον, ὡς ἐδείχθη, διοικεῖται δυνάμεσι φυσικαῖς. ἄλλαις τέ τισι, καὶ τῇ ἀλλοιωτικῇ, καθ᾽ ἣν ὁμοιοῖ τὴν τροφὴν αὐτῷ. ὅσον μὲν οὖν τῆς ἀλλοιωθείσης ὑπ᾽ αὐτοῦ τροφῆς ἀκριβῶς ὡμοιώθη τῷ τρεφομένῳ, προστίθεταί γε, καὶ τρέφει τὸ μόριον ἐκεῖνο, καὶ τοῦτό ἐστιν ὥσπερ αὐτὸς ἔφη. τροφὴ δὲ τὸ τρέφον, καὶ τὸ οἷον τροφὴ, καὶ τὸ μέλλον. τὸ δὲ περιττὸν ὑπολειπόμενον, ὅμοιος γέ τίς ἐστι τῇ τοῦ μορίου φύσει χυμός. ἐν μὲν τοῖς ὀστοῖς, τὸ κατὰ τὰς σήραγγας αὐτὰς, κατὰ δὲ τὸ ἧπαρ τὸ αἷμα. τούτου τοῦ γένους ἐστὶ, καὶ τὸ κατὰ σάρκα τοῦ πνεύμονος ἀφρῶδες ὑγρὸν, καὶ ὁ κατὰ τὰς διαρθρώσεις, γλίσχρος χυμὸς, καὶ τὸ κατὰ τοὺς ὄρχεις τε, καὶ παραστάτας ὀνομαζόμενον σπέρμα, καὶ τὸ κατὰ τὴν γλῶτταν, ᾧ τοὔνομα σίαλον. εἰσὶ δέ τινες κἂν τοῖς μασθοῖς ἀδένες ὁμοιοῦν ἑαυτοῖς δυνάμενοι τὸ ἐπιρρέον. ὄντες οὖν ἄναιμοί τε, καὶ λευκοὶ, τὸ οἰκεῖον χυμὸν ἐργάζονται τοιοῦτον, οἷόνπερ ἐστὶ τὸ γάλα, καὶ πλεῖόν γε ποιοῦσι τοιοῦτον, ὅταν ἐπιρρέῃ τροφὴ πλείων ἐν αὐτοῖς. πλείων δὲ ἐπιρρεῖ κατὰ τὸν ὄγδοον μῆνα, καὶ τὸν ἔνατον τῆς κυήσεως, ἡνίκα καὶ πεπλήρωνται δαψιλῶς αἱ κοιναὶ φλέβες ὑστερῶν τε, καὶ τιτθῶν, ὡς καὶ διὰ τῆς τῶν κυουμένων ζώων ἀνατομῆς, ἐναργῶς φαίνεται. γίνεται δέ ποτε καὶ χωρὶς τοῦ κυῆσαι σπανίως τὸ τοιοῦτον, ὅταν ἀφίκωνται εἰς ὁμοίαν πλήρωσιν αἱ φλέβες ἐξ ἐπισχέσεως καταμηνίων γινομένης, ἧς νῦν μέμνηται διαθέσεως ὁ Ἱπποκράτης.

GALENI COMMENTARIVS.

LOngior oratio lectorem quoque desiderat, qui eam sit assequuturus, in Commentariis de naturalibus facultatibus accuratè versatum. De his tamen in præsentia tantum dicturi sumus, quantum breuissimè dictum ad proposita conferre possit. Hoc sanè omnibus animantis partibus est commune C (quæ aut ad aliarum partium vsum, aut ad generis propagationem, aut ad conceptus nutritionem quosdam humores vtiles procreant) humorem illum alimenti partis ipsum generantis residuum existere. Non enim, quòd partis natura cognoscat ad quem vsum animali profuturus sit humor, ipsius generationem molitur, nisi tali polleat intellectu, qualem eos habere arbitramur oportere qui ciuitatum tenent gubernacula. Verum animalis quidem opifex illum habet intellectum; ipsa verò pars, vt demonstratum est, naturalibus facultatibus regitur, cùm aliis quibusdam, tum alte-D ratrice, quâ sibi alimentum assimilat. Quantum itaque alimenti ab ipsa immutati & alterati alendo corpori fuerit perfectè assimilatum, ipsi apponitur parti, eámque alit; atque quod ipse dicebat, hoc est. Alimentum est quod alit, quod veluti alimentum & quod aliturum est: Alimenti verò residuum ac reliquiæ, humor quidam est partis naturæ similis; in ossibus quidem quod in eorum cauernis est reliquus, in iecore verò sanguis. Huius generis est qui spumosus in pulmonis carne contine-E tur, in articulorum commissuris glutinosus humor, in testibus & parastatis appellatum semen, & in lingua cui nomen saliua. Sunt autem & in mammis glandulæ, quod ad ipsas affluit, id sibi ipsis assimilandi facultatem sortitæ, quæ quum exangues & albæ sint, familiarem & proprium humorem, quale lac est, efficiunt; atque vberius tale efficiunt quum ad ipsas copiosius defertur alimentum. Copiosiùs verò affluit octauo & nono à conceptionis mense, quo tempore communes & mammarum & vteri venæ liberaliùs oppletæ sunt, F quemadmodum grauidatorum animalium anatome manifesto conspicitur. Cuiusmodi res aliquando etiam licet rarò citrà vteri gestionem accidit, quum propter remoratos menses venæ ad similem repletionem peruenerint; cuius nunc affectionis meminit Hippocrates.

A

Collectionem sanguinis in mammis maniam significare; cur & quomodo hîc oritur mania.

Τὴν συστροφὴν ἐν τοῖς μαστοῖς τοῦ αἵματος τὴν μανίαν σημαίνειν. Διὰ τί καὶ πῶς ἐνταῦθα γίνεται ἡ μανία·

APHORISMVS XL.

QVibus mulieribus sanguis in mammis colligitur, maniam significat.

ΑΦΟΡΙΣΜΟΣ μ'.

B Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει.

GALENI COMMENTARIVS.

QVòd sanguis quidem in mammas feratur, deinde à glandulis illic incumbentibus in lac transmutetur, præcedente aphorismo scriptis proditum est. Nunc verò quum appulsus ad eas sanguis immutabilis permaneat, maniam significari pronunciat Hippocrates. Equidem nondum hoc accidere vidi. Quare si quando vsuveniat, ex iis fuerit quæ raro eueniunt. Hippocrates autem ac si viderit illud, scribit. Quòd si verùm est, aliquam eiusmodi existimare oportet eius causam existere. Glandularum *cùm omnium*, tum earum maximè quæ mammis insunt, exanguis natura est, ac proinde frigida, omne enim exangue frigidum; ac propterea etiam sanguis eò delati alterationem in frigidius faciunt. Quanto enim hæ glandulæ sunt iecoris carne frigidiores; tanto lac est sanguine frigidius. Quum igitur copiosus simulque frigidus aliquando sanguis ex toto corpore sursum, ac præcipuè in caput feratur, ea in *furorem* maniámve agetur, quoniam caput eiusmodi sanguis occupat. Quæ verò ipsius portio in mammas cogitur, in contrarium fieri solitam alterationem nanscisci non poterit vt lac euadat, propter ipsius tum feruorem, tum abundantiam.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν εἰς τοὺς τιτθοὺς τὸ αἷμα φερόμενον, εἶτ' ἀπὸ τῶν αὐτόθι ἀδένων μεταβαλλόμενον γάλα γίνεται, κατὰ τὸν προγεγραμμένον ἀφορισμὸν εἴρηται· νυνὶ δ' ὅταν ἀμετάβλητον διαμένῃ τὸ παραγινόμενον εἰς αὐτοὺς αἷμα, φησὶν ὁ Ἱπποκράτης, μανίην σημαίνεσθαι. ἐγὼ μὲν οὖν οὔπω τοῦτο γινόμενον ἐθεασάμην, ὥστ' εἰ καὶ C γίνεταί ποτε μὲν, τῶν σπανίων ἐστίν. ὁ Ἱπποκράτης δ' ὡς ἑωρακὼς αὐτὸ γράφει, καὶ εἴπερ γε ἀληθές ἐστι, τοιαύτην δέ τινα χρὴ νομίζειν αὐτῆς τὴν αἰτίαν ὑπάρχειν. τῶν ἀδένων ἡ φύσις, καὶ μάλιστα κατὰ τοὺς τιτθοὺς, ἄναιμός τέ ἐστι καὶ δηλονότι ψυχρά. τὸ γὰρ ἄναιμον ἅπαν ψυχρὸν, καὶ δὴ καὶ τὴν τοῦ φερομένου πρὸς αὐτοὺς αἵματος ἀλλοίωσιν, ἐπὶ τὸ ψυχρότερον ἐργάζεται. ὅσῳ γάρ εἰσιν οἱ ἀδένες οὗτοι τῆς τοῦ ἥπατος σαρκὸς ψυχρότεροι, τοσοῦτον τὸ γάλα, τοῦ αἵματος. ὅταν οὖν ποτε πο- D λύ τε ἅμα, καὶ ζέον αἷμα πάντη τοῦ σώματος ἀναφέρηται, καὶ μάλιστα ἐπὶ τὴν κεφαλὴν, μανήσονται μὲν, ὅτι τὴν κεφαλὴν καταλαμβάνει τὸ τοιοῦτον αἷμα, τὸ δ' ἐπὶ τοὺς τιτθοὺς ὁρμῆσαν αὐτοῦ, τὴν εἰς τοὐναντίον οὐ δυνήσεται λαβεῖν ἀλλοίωσιν, ὡς γενέσθαι γάλα, διά τε τὴν ζέσιν καὶ τὸ πλῆθος.

Conceptionis factæ aut itritæ signum. Torminum generatio & causæ.

E Τὸ τῆς κυήσεως γενομένης, ἢ ἀθέτου σημεῖον. ἡ τοῦ στρόφου γένεσις, καὶ αἰτίαι.

APHORISMVS XLI.

SI nosse velis an mulier conceperit, dormituræ aquam mulsam potui dato; quod si ventris torminibus vexetur, concepit; sin minus, non concepit.

ΑΦΟΡΙΣΜΟΣ μα'.

Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ, μελίκρητον διδοὺς πιεῖν, κἢν μὲν στρόφον ἔχῃ περὶ τὴν γαστέρα, κύει, εἰ δὲ μὴ, οὐ κύει.

GALENI COMMENTARIVS.

F

TOrmina fiunt tum propter morsum, tum etiam propter spiritum flatulentum qui facilem exitum non habet; quæ tormina fie-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ στρόφος γίνεται μὲν, καὶ διὰ δῆξιν· γίνεται δὲ καὶ διὰ πνεῦμα φυσῶδες, οὐκ ἔχον εὔπορον διέξ-

οδον. ὅν τινα καὶ τὴν στρόφον ἡγητέον ἐπὶ τῶν κυουσῶν γίγνεσθαι, διὰ τὴν ἀπὸ τῆς μήτρας στενοχωρίαν. καθεύδειν δὲ μελλούσῃ, διδόναι τὸ μελίκρατον, ὠμὸν δηλονότι. τοῦ γὰρ φυσώδους αὐτοῦ, πρὸς τὴν διάγνωσιν χρήζει, βουλόμενος ἡσυχάζειν τε ἅμα, καὶ πεπληρῶσθαι σιτίων τὴν γυναῖκα. συντελέσει γὰρ ἄμφω ταῦτα πρὸς τὴν τοῦ στρόφου γένεσιν.

ri etiam iis quæ conceperunt mulieribus nunc
A arbitrandum est, propter *intestinorum* ab vtero coarctationem. Dat autem aquam mulsam mulieri dormituræ, crudam videlicet. Eâ nanque flatulentâ ad dignotionem opus habet: quippe qui & quiescere & cibis impleri velit mulierem. Siquidem vtrunque ad torminum generationem confert.

Ἐκ τῆς εὐχροίας καὶ τῆς δυσχροίας, καὶ ἐκ τῶν πλειόνων καὶ ἰσχυροτέρων, καὶ τῶν ἀμυδροτέρων, καὶ ἀσθενεστέρων κινήσεων, τοῦ γένεος ἐν τῇ κυούσῃ διειρημένου ληφθέντα σημεῖα μὴ διὰ παντὸς ἀληθέα.

B Ex bono & malo colore, ex frequentibus & validioribus, paucioribus & obscurioribus motibus, sexus in grauida discernendi deprompta signa non perpetuò vera.

ΑΦΟΡΙΣΜΟΣ μβ'.

Γυνὴ ἢν μὲν ἄρρεν κύῃ, εὔχροός ἐστι, ἢν δὲ θῆλυ, δύσχροος.

APHORISMVS XXIX.

C *Mulier grauida si marem gestet, probè colorata est; si fœminam, decolor.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὡς πρὸς ἑαυτὴν κειμένης τῆς γυναικὸς, οὐ πρὸς ἑτέραν, ἡ διάγνωσις, ἀπό τε τῆς εὐχροίας δηλονότι, καὶ τῆς δυσχροίας εἴρηται τῷ Ἱπποκράτει. ἑαυτῆς γὰρ ἀχρουστέρα φαίνεται κύουσα τὸ θῆλυ, διότι ψυχρότερόν ἐστι τὸ θῆλυ, τοῦ ἄρρενος, οὐκ ἂν δὲ συνελήφθη τοιοῦτον, εἰ μὴ τό τε σπέρμα τἀνδρὸς, ἥ θ' ὑστέρα τῆς γυναικὸς, ψυχροτέρα κατ' ἐκεῖνον τὸν χρόνον ἦν, ἐν ᾧ συνελάμβανε, διὸ καὶ τοῦ πλειστάκις ἔχεται τὸ λεγόμενον. ἐνδέχεται γὰρ οὕτω καλῶς ἅπαντα πρᾶξαι τὴν γυναῖκα, μετὰ τὸν τῆς λήψεως καιρὸν, ὡς εὔχρουν γενέσθαι. δῆλον δὲ, ὅτι καὶ ἄλλα ἐστὶ γνωρίσματα κύειν ἄρρεν, ὥσπερ αὐτοῦ τοῦ κυουμένου, τό τε πλῆθος, καὶ ἡ ἰσχὺς τῶν κινήσεων, οὐδ' αὐτὰ τῶν διηνεκῶν ὄντα σημείων. ἐνδέχεται γάρ ποτε κατὰ τὸ σπάνιον καὶ θῆλυ κυόμενον, ῥωμαλεώτερον ἄρρενος, ἰσχυράς τε ἅμα, καὶ πολλὰς κινεῖσθαι κινήσεις, καί ποτε τὸ ἄρρεν ἀσθενέστερον τοῦ θήλεος ὑπάρχειν, ἐλάττους τε, καὶ ἀμυδροτέρας κινήσεις κινεῖσθαι.

GALENI COMMENTARIVS.

VT mulieris ad seipsam non ad alteram collatæ dignotio ex colore videlicet tum probo, tum prauo sumpta, ab Hippocrate pronunciata est: Nam quæ fœminam vtero gerit, seipsa minùs colorata apparet, quod mas sit fœmina frigidior. Nunquàm verò talis conceptus fuisset, nisi & viri semen &
D mulieris vterus, quo concepit tempore, frigidiora fuissent. Quare quod dicitur ex eorum numero est, quæ sæpius eueniunt. Contingit enim mulierem ita omnia rectè agere post conceptionis tempus vt probè colorata reddatur. Constat autem alia esse maris concepti signa, quales sunt frequentes & validi ipsius motus; quæ tamen neque ipsi signa perpetua sunt. Contingit enim interdum licet rarò, conceptam fœminam mare robustiorem esse, multisque ac validis motibus cieri. Contingit quoque nonnunquam marem fœmina
E imbecilliorem esse, ac pauciores debilioresque motus edere.

Τὸ ἐν τῇ μήτρῃ ἐρυσίπελας, καὶ ὀξὺν πυρετὸν, καὶ τὴν φλεγμονὴν πολλάκις τῇ γυναικὶ κυούσῃ σημεῖα θανατώδεα.

Vteri erysipelas, acutam febrem, & sæpiusculè phlegmonem grauidæ mulieri signa lethalia esse.

ΑΦΟΡΙΣΜΟΣ μγ'.

Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

F APHORISMVS XLIII.

SI mulieri prægnanti in vtero oriatur erysypelas, lethale.

A

GALENI COMMENTARIVS.

Itaque solum erysipelas in grauidæ mulieris vtero constitutum censet esse lethale, vel etiam proprie dictam phlegmonem. Fœtum enim, facto in vtero erysipelate, necessariò interiturum esse manifestum est. Quandoquidem & acutæ febres sine erysipelate multoties ipsum perimunt. An verò vtero inflammationem patiente, possit aliquando viuere, digna quæstione res est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἆρά γε τὸ ἐρυσίπελας ἡγεῖται μόνον ἐν τῇ μήτρᾳ συνιστάμενον ἐπὶ τῆς κυούσης θανατῶδες ὑπάρχειν, ἢ καὶ τὴν ἰδίως ὀνομαζομένην φλεγμονήν· ὅτι μὲν γὰρ ἐρυσιπέλατος γινομένου, τεθνήξεται τὸ ἔμβρυον, ἐξ ἀνάγκης εὔδηλον. εἴγε καὶ ὀξεῖς πυρετοὶ, πολλάκις ἀναιροῦσιν αὐτὸ χωρὶς ἐρυσιπέλατος. εἰ δὲ καὶ φλεγμηνάσης τῆς μήτρας, δυνήσεταί ποτε διασῶσαι τὸ
B ἔμβρυον, ἄξιον σκέψεως.

Grauidas graciliores, priusquàm crassescant, abortire.

Τὰς κυούσας λεπτοτέρας πρὶν ἢ παχυνθῆναι ἐκτιτρώσκειν.

APHORISMVS XLIV.

Quæ præter naturam tenues vtero gerunt, abortiunt, priusquam crassiores euaserint.

ΑΦΟΡΙΣΜΟΣ μδʹ.

C Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι, ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι δίμηνα πρὶν ἢ παχυνθῆναι.

GALENI COMMENTARIVS.

Tribus modis Libri huius Interpretes propositi aphorismi sensum acceperunt. Quidam enim arbitrantur ipsas omnino abortire; quidam verò, si neque crassescant,
D neque reficiantur, sed emaciatæ ac attenuatæ permaneant; nonnulli denique quum ipsæ reficiantur, tum maximè eas abortire; quod prædictis minus probabile esse videtur. Verumtamen ita Numesianus exposuit, de iis pronunciatum esse aphorismum, affirmans quæ præter naturam extenuatæ sunt, quásque priùs refici, *deinde grauidari* oporteat; sed quum priusquàm sint refocillatæ, concipere præoccupant, eas ait refici non posse; quòd sanguis ad fœtus nutricationem suppeditandus, ad grauidæ ipsius nutritionem rapiatur.
E Quare pacta ratione fœtus sufficienti egens alimento enecatur: Sed & illud, *præter naturam tenues*, quidam sicut Numesianus, interpretati sunt, vt præter naturam grauida mulier attenuata sit. Quidam verò per exuperantiam dicunt significari, volente Hippocrate nobis indicare mediocriter extenuatas id non ex necessitate pati; sed admodum emaciatas. Vtraque autem expositio suâ quadam ratione nititur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ τρεῖς τρόπους ἀκηκόασιν οἱ ἐξηγησάμενοι τὸ βιβλίον, τῆς διανοίας τοῦ προκειμένου νῦν ἀφορισμοῦ. τινὲς μὲν γὰρ ἡγοῦνται πάντως ἐκτιτρώσκειν αὐτάς· τινὲς δὲ, εἰ μὴ παχυνθεῖέν τε, καὶ ἀναθρέψειεν, ἀλλὰ διαμένοιεν ἄτροφοί τε καὶ ἰσχναί. τινὲς δὲ ὅταν ἀναθρέφονται, τότε μάλιστα ἐκτιτρώσκουσιν, ὃ καὶ δοκεῖ τῶν προειρημένων ἀπιθανώτερον ὑπάρχειν· ἀλλ' ὅμως οὕτως ἐξηγήσατο τὸν ἀφορισμὸν Νουμησιανός. εἰρῆσθαι μὲν φάσκων ὅτι τῶν παρὰ φύσιν ἰσχνῶν γεγενημένων, δεομένων δὲ ἀναθρεφθῆναι πρότερον, εἶτα φθανουσῶν λαβεῖν, ἃς οὐχ οἷόν τε εἶναι, φησιν, ἀναθρεφθῆναι, χωρὶς τοῦ τὸ χορηγούμενον αἷμα εἰς τροφὴν τῷ κυουμένῳ, πρὸς τὴν τῆς κυούσης ἀναλαμβάνεσθαι θρέψιν, ὥς τε εἰκότως ἀπορίᾳ αὐτάρκους τροφῆς τὸ ἔμβρυον, ἀποφθείρεσθαι. ἀλλὰ καὶ τὸ παρὰ φύσιν λεπταὶ, τινὲς μὲν οὕτως ἤκουσαν, ὡς ὁ Νουμησιανὸς, ἵνα παρὰ τὴν ἑαυτῆς φύσιν ἡ κύουσα εἴη γεγενημένη λεπτή· τινὲς δὲ τὸ ὑπερβαλλόντως φασὶ σημαίνεσθαι, δηλοῦν βουλομένου τοῦ Ἱπποκράτους, ὡς οὐχ αἱ μετρίως λεπτυνθεῖσαι τοῦτο πάσχουσιν ἐξ ἀνάγκης, ἀλλ' ὅσαι κατελεπτύνθησαν ἱκανῶς· ἑκατέρα δὲ ἡ ἐξήγησις ἔχει τινὰ λόγον.

A

Τὰς τῆς μήτρας κοτυληδόνας μυξώδεος περίπλεας φλέγματος, τὸ ἐκτιτρώσκειν αἰτίας τὰς ἕνδεκα τοῦ ἐκτρωσμοῦ εἶναι αἰτίας ὁ παραδίδωσι Γαληνός.

Vteri acetabula mucosæ ac lentæ pituitæ plena abortûs esse causas. Vndecim abortûs causæ traduntur à Galeno.

ΑΦΟΡΙΣΜΟΣ με΄.

Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα, καὶ τρίμηνα, ἄπερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσιν, καὶ οὐ δύνανται κρατέειν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ᾽ ἀπορρήγνυνται.

APHORISMVS XLV.

B *Quæ verò mediocriter corpulentæ, fœtus bimestres, & trimestres citra causam manifestam abortiunt, iis vteri acetabula mucoris plena sunt, neque præ pondere fœtum continere possunt, sed abrumpuntur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄνευ φανερᾶς προφάσεως λέγει, πυρετοῦ σφοδροῦ καὶ γαστρὸς ῥεύματος, ἢ αἱμορραγίας, ἢ ἐρυσιπέλατος ἐν αὐτῇ τῇ μήτρᾳ συστάντος, ἢ πηδησάσης σφοδρότερον τῆς κυούσης, ἢ κεκραγυίας, ἢ λυπηθείσης, ἢ θυμωθείσης, ἢ φοβηθείσης, ἢ ἐνδεῶς διαιτηθείσης, ἢ τι τοιοῦτον ἕτερον διαπραξάσης, ἢ παθούσης. εἰκὸς γὰρ ταῖς τοιαύταις μυξώδη τὰ στόματα τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων ὑπάρχειν, ἐξ ὧν ἤρτηται τὸ χορίον, ἃ δὴ καὶ κοτυληδόνας ὠνόμασεν, οὐχ ὡς ἔνιοι νομίζουσι τὰς ἐπιπεφυκυίας ἀδενώδεις σάρκας αὐταῖς. ἔν τε γὰρ τῷ προτέρῳ τῶν γυναικείων, αὐτός φησιν ἢν δὲ αἱ κοτυληδόνες φλέγματος περίπλεες ἔωσι, τὰ καταμήνια γίνεται ἐλάσσονα, καὶ ὁ Πραξαγόρας ἐν τῷ πρώτῳ τῶν φυσικῶν. κοτυληδόνες δέ εἰσι, τὰ στόματα τῶν φλεβῶν, καὶ τῶν ἀρτηριῶν, τῶν εἰς τὴν μήτραν φερουσῶν.

GALENI COMMENTARIVS.

Citrà causam euidentem, hoc est, absque febre vehemente, vel alui fluxione, vel sanguinis profluuio, vel erysipelate in ipso vtero constituto, vel grauidæ mulieris saltu vehementiore, vel clamore, vel mœstitia, vel excandescentia, vel metu, vel victu parciore, vel alterius cuiusdam rei similis actione C vel passione. Vero nanque simile est in his mucosæ pituitæ plena esse ora vasorum ad vterum procedentium, ex quibus secundæ pendent, quæ sanè ora cotyledonas appellauit, non vt quorundam est sententia, adnatas ipsis carnes glandulosas: Nam ipse quoque primo de mulierum affectibus ait, si cotyledones pituitâ refertæ fuerint, pauciora fluunt menstrua. Praxagoras etiam de naturalibus primo, Cotyledones, inquit, ora sunt venarum & arteriarum quæ ad vterum feruntur.

D

Τοῦ τῇ γυναικὶ παχυτέρῃ ἐπίπλουν τὸ τῆς ὑστέρας στόμα ἀποπιέζοντος τὴν κύησιν κωλύεσθαι.

Crassiori mulieri omento os vteri comprimente, conceptionem prohiberi.

ΑΦΟΡΙΣΜΟΣ μϛ΄.

Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν τῇ γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον, τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῶσιν, οὐ κύουσιν.

APHORISMVS XLVI.

E *Quæ præter naturam crassæ in vtero non concipiunt, iis omentum os vteri comprimit, neque priusquam extenuentur, prægnantes efficiuntur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦ παρὰ φύσιν, διχῶς ἀκούουσι κἀνταῦθα· τινὲς μὲν τὸ ὑπερβαλλόντως νομίζοντες, τινὲς δὲ τὸ παρ᾽ αὐτὴν αὐτῆς τῆς κυούσης τὴν φύσιν. ἀληθέστερον δὲ τὸ πρότερον. ὑπὸ γάρ τοι τῆς κατὰ τὸ ἐπίπλοον πιμελῆς, ἀποπιέζεται, καὶ στενοχωρεῖται τὸ τῆς ὑστέρας στόμα, ταῖς ὑπερβαλλόντως παχείαις γινομέναις. λέγει δὲ νῦν στόμα, δηλονότι τὸ ἔνδον, ἔνθα τε-

GALENI COMMENTARIVS.

Verba, *præter naturam*, duobus etiam hîc modis accipiunt. Quidam enim ea præter modum significari arbitrantur; quidam vero præter ipsius mulieris grauidè naturam. F Verior est prior acceptio: Nam ab omenti pinguedine os vteri comprimitur & coarctatur, mulieribus supra modum crassis. Os autem nunc appellat internam vteri partem, vbi vterus definit, & ipsius ceruix incipit,

quod magis propriè os vteri nuncupatur: Nam alterum ceruicis extremum quod mulie- A
ris pudendo committitur, non vteri; sed ipsius ceruicis os meritò vocaretur.

λευτᾷ μὲν ἡ μήτρα, ὃ δὴ αὐχὴν ἄρχεται, ὃ καὶ κυριώτερον ἂν ὑστέρας ὀνομάζοιτο στόμα. τὸ γὰρ ἕτερον πέρας τοῦ αὐχένος, τὸ συνάπτον τῷ γυναικείῳ αἰδοίῳ, οὐ τῆς μήτρας, ἀλλὰ τοῦ αὐχένος αὐτῆς, εἰκότως ἄν τις ὀνομάσειε στόμα.

Vteri suppurati coxæ incumbentis curationem linamentis admotis fieri; & quid emmotum seu linamentum.

Τὴν τῆς ὑστέρας διαπυήσεως τῷ ἰσχίῳ ἐγκειμένης θεραπείαν διὰ τῶν ἐμμοτῶν γίνεσθαι· καὶ τί ἔμμοτον.

B

APHORISMVS XLVII.

SI vterus quâ parte ad coxam incumbit, suppurauerit, eum concerptis linamentis curari.

ΑΦΟΡΙΣΜΟΣ μζ.

ΗΝ ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

GALENI COMMENTARIVS.

VTerum qui eam quæ per linamenta fit curationem postulat, linamentarium appellauit. Qui verò vterus suppurauerit, ac C
præsertim extrorsum propenderit (nunc enim hoc demonstrare videtur) tali eum necessariò curatione opus habiturum esse non abditum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗν δεομένην τῆς διὰ τῶν μοτῶν θεραπείας, ἔμμοτον ὠνόμασεν. ὅτι δὲ διαπυήσασα ἡ μήτρα, καὶ μάλιστα πρὸς τοὐκτὸς, ἔοικε γὰρ τοῦτο ἐνδείκνυσθαι νῦν, ἐξ ἀνάγκης δεηθήσεσθαι θεραπείας βιαίτης, οὐκ ἄδηλον.

Masculos fœtus dextris vterorum partibus, fœminas verò sinistris potius gestari; & vnde hæc conjiciantur.

Τὰ μὲν ἔμβρυα ἄρρενα ἐν τοῖς δεξιοῖς μορίοις, θήλεα δὲ ἐν τοῖς ἀριστεροῖς κυεῖσθαι καὶ φέρεσθαι, καὶ πόθεν τεκμαίρεται.

D

APHORISMVS XLVIII.

FOEtus mares in dextris, fœminæ in sinistris vteri partibus *magis gestantur.*

ΑΦΟΡΙΣΜΟΣ μη΄.

ΕΜβρυα, τὰ μὲν ἄρρενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖς μᾶλλον.

GALENI COMMENTARIVS.

QVòd propter temperamentum protinùs ab initio calidius, masculus fœtus generetur, in commentariis de semine à nobis demonstratum est. Calidior temperatio fœ- E
tibus etiam oboritur maximè verò ob locum, hoc est, dextram vteri partem (hæc autem protinus ob hepatis viciniam calidior existit.) Ad eiusdem fœtus caliditatem aliquid confert muliebre quoque semen ex propriis testiculis per vtraque cornua profusum, partim in dextrum vteri sinum, partim in sinistrum quod est dissimile, vt hoc quoque demonstrauimus. Si igitur serosius sit, atque frigidius, quod in sinistro testiculo continetur semen, eâ ratione conceptus læua vteri parte con- F
stitutus ab initio statim frigidior euadit. Porro de his omnibus quinto anatomicorum Hippocratis Libro abunde diximus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι διὰ τὴν κρᾶσιν εὐθὺς ἐξ ἀρχῆς οὖσαν θερμοτέραν, ἄρρεν γίγνεται τὸ ἔμβρυον, ἐν τοῖσι περὶ σπέρματος ὑπομνήμασιν ἐπιδέδεικται. θερμοτέρα δὲ ἡ
E κρᾶσις γίγνεται τοῖς ἐμβρύοις, οὐχ ἥκιστα καὶ διὰ τὸ χωρίον, ὅπερ ἐστὶ τὸ δεξιὸν τῆς ὑστέρας μόριον, αὐτίκα δὲ, τοῦτο θερμότερόν ἐστι τῇ γειτνιάσει τοῦ ἥπατος. εἴη δ᾽ ἄν τι πρὸς τὴν θερμότητα τοῦ κυουμένου συντελοῦν, καὶ τὸ τῆς θηλείας σπέρμα, προερχόμενον μὲν ἐκ τῶν οἰκείων ὄρχεων δι᾽ ἑκατέρας τῆς κεραίας, τὸ μὲν εἰς τὸν δεξιὸν κόλπον τῆς μήτρας, τὸ δὲ εἰς τὸν ἀριστερὸν, ἀνόμοιον ὑπάρχον, ὡς καὶ τοῦτ᾽ ἐπεδείξαμεν. εἴπερ οὖν ὀρρωδέστερόν ἐστι, καὶ ψυχρότερον τὸ κατὰ τὸν ἀριστερὸν
F ὄρχιν σπέρμα, καὶ κατὰ τοῦτ᾽ ἂν εἰκότως, ἐν τοῖς ἀριστεροῖς μέρεσι τῆς μήτρας τὸ συνιστάμενον εὐθὺς ἐξ ἀρχῆς κύημα, γίγνοιτο ψυχρότερον. εἴρηται δὲ περὶ τῶν τοιούτων ἁπάντων αὐτάρκως, κἂν τῷ πέμπτῳ τῶν Ἱπποκράτους ἀνατομικῶν.

A

Τὰ ὕστερα διὰ τῶν πταρμικῶν ἐκπίπτειν.

Secundas sternutatorio excidere.

ΑΦΟΡΙΣΜΟΣ μθ'.

Ἐς ὑστέρων ἐκπτώσιας, πταρμικὸν ἐπιτιθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας, καὶ τὸ στόμα.

APHORISMVS XLIX.

AD secundarum elapsum sternutatorio admoto, nares & os comprimere oportet.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ περισπῶντας χρὴ τὴν ὑστάτην συλλαβὴν ἀναγινώσκειν ὑστερῶν, ἀλλὰ βαρύνοντας ὑστέρων. οὐ γὰρ δὴ αὐτὰς τὰς ὑστέρας ἐκπεσεῖν βούλεται διὰ τῆς γινομένης ἐντάσεως διὰ τῶν πταρμικῶν φαρμάκων, ἀλλὰ τὰ καλούμενα χορία τε καὶ ὕστερα.

GALENI COMMENTARIVS.

CVm accentu circunflexo vltima ὑστερῶν, sillaba legenda non est, sed cum graui ὑστέρων. Non enim sanè ipsos veros, sed choria atque secundas vocatas contentio sternutatoriis medicamentis concitata excidere vult.

C

Τὴν μεγίστην σικύην τοῖς τιτθοῖς προσβαλλομένην τὰ καταμήνια ἐπίσχειν. διὰ τί, ὅπως, καὶ ποῦ, αὐτὴν προσπήγνυσθαι χρή.

Admotam mammis cucurbiculam magnam menstrua sistere, cur, quomodo, & vbi affigenda.

ΑΦΟΡΙΣΜΟΣ ν'.

Γυναικὶ, τὰ καταμήνια ἢ βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλε.

APHORISMVS L.

SI mulieri menstrua velis sistere, cucurbitulam quammaximam mammis admoue.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ τῶν ἐλλιπῶς, ἢ μηδὲ ὅλως κενουμένων καταμηνίων ἐδίδαξεν ἰάσεις ὁ Ἱπποκράτης, οὕτω καὶ νῦν τῶν ἀμέτρως κενουμένων διδάσκει, κελεύων ἡμῖν μεγίστην σικύην προσβάλλειν τοῖς τιτθοῖς. ἄμεινον δὲ οὐκ αὐτοῖς τοῖς τιτθοῖς, ἀλλ' ὑπ' αὐτοὺς ἐκ τῶν κάτω μερῶν ἐρείδειν αὐτὴν, καθ' ὃ μάλιστα εἰσὶν αἱ κάτωθεν ὑπ' αὐτοὺς ἀναφερόμεναι φλέβες· καὶ μέντοι καὶ γράφουσιν ἔνιοι σικύην ὡς μεγίστην ὑπὸ τοὺς τιτθοὺς πρόσβαλλε. μεγίστην δὲ ἀξιοῖ τὴν σικύην εἶναι, ἵνα σφοδροτέραν ἀπὸ τῆς μήτρας ἐργάσηται τὴν ἀντίσπασιν ἄνω, διὰ τῶν κοινῶν τοῦτο ἐπιτεχνώμενος φλεβῶν.

GALENI COMMENTARIVS.

QVemadmodum menstruorum parciùs, aut omnino non fluentium curationem supra docuit Hippocrates: sic etiam nunc ipsorum vltra modum prodeuntium sistendi methodum tradit; amplam iubens cucurbiculam nos mammis admouere. Verùm non in mammis ipsis, sed infra ipsas cucurbitulam ipsam affigere quâ maximè parte venæ ex partibus inferioribus ad ipsas efferuntur. Proindéque nonnulli scribunt *cucurbitulam quammaximam sub mammis defige.* Quammaximam verò vult esse cucurbitulam, quò vehementiorem ab vtero sursum reuulsionem efficiat, per communes id venas machinatus.

E

Τὸ μεμυκὸς τῆς ὑστέρας στόμα τῷ τῆς μαίας δακτύλῳ φανερὸν γενόμενον τὸ ἐν γαστρὶ ἐχούσης, ἢ τῆς φλεγμονῆς, ἢ σκίῤῥου εἶναι σημεῖον.

Occlusum vteri osculum, obstetricis digito proditum, grauidæ, aut inflammationis, aut scirrhi indicium esse.

F

ΑΦΟΡΙΣΜΟΣ να'.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων συμμύει τὸ στόμα τῶν ὑστερέων.

APHORISMVS LI.

QVi vtero gerunt, iis os vteri conniuet.

A

GALENI COMMENTARIVS.

HOc maximum est mulieris quæ concepit, indicium, si digito immisso, obstetrix os vteri potuerit attingere: Nam vbi primùm vterus intra se semen concepit, vniuersam capacitatem suam contrahit, osque claudit. Videtur tamen propter inflammationem etiam & scirrhum arctari os vteri. Id verò ipsius duritie distingues.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΜΕγιστον τοῦτο γνώρισμα κυούσης γυναικὸς, ἢν ἡ μαιεύτρια δυνηθῇ καθέσει δακτύλου ψαῦσαι τοῦ στόματος τῆς ὑστέρας· ἀφ' οὗ γὰρ ἂν τὸ πρῶτον, ἐντὸς ἑαυτῆς λάβωσι τὸ σπέρμα, περιστέλλουσι μὲν ἑαυτῶν τὸ κύτος ἅπαν, κλείουσι δὲ τὸ στόμα. φαίνεταί γε μὴν καὶ διὰ φλεγμονὴν, καὶ σκίρρον μεμυκὸς τῶν ὑστερῶν τὸ στόμα, καὶ διορίζεται.

B

Lacte copioso è mammis prodeunte, fœtum imbecillum, mammis verò solidis manentibus, valentiorem significari.

Γάλακτος τοῦ ἐκ τῶν μαζῶν πολὺ ῥυέντος, τὸ ἔμβρυον ἀσθενὲς, τὸ δὲ μαζῶν στερεῶν μενόντων ὑγιεινότερον σημαίνεσθαι.

APHORISMVS LII.

MVlieri vtero gerenti si lac copiosum è mammis effluat, fœtum imbecillum significat. Quòd si solidæ mammæ fuerint, valentiorem fœtum indicant.

ΑΦΟΡΙΣΜΟΣ νβ'.

C

ΓΥναικὶ ἢν ἐν γαστρὶ ἐχούσῃ, γάλα ἐκ τῶν μαζῶν πολὺ ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει, ἢν δὲ στερεοὶ οἱ μαστοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

GALENI COMMENTARIVS.

EO nimirum tempore lac fluit (quibus fluere conspicitur) quo natura fert in grauidis procreari. Non enim sanè primis mensibus procreatur. Quòd autem omnino fluat, nec intus maneat, hoc propterea fit, quia copiosiùs colligitur. Copiosiùs autem colligitur oppletis vberiùs venis mammarum cum vtero communitatem habentibus: Sed multo magis implentur, quum fœtus paucum assumit. Hoc ipsum ob eiusdem conceptus imbecillitatem accidit. Constat igitur neque in mulieribus grauidis mammas tenues; quemadmodum in minime prægnantibus necessariò apparere (hoc enim signum sanguinis penuriam prodit, proptereáque fœtum fame contabescere) nequ adeo plenas, vt lac effluat; sed tantopere attolli, vt solidæ tangentibus appareant. Media nanque hæc est inter *duras digito* obnitentes propter nimiam repletionem, & molles ac laxas, ob sanguinis inopiam. Quare meritò hoc signum celebrat Hippocrates, vt quod neque fœtum imbecillum esse, neque alimentum ipsi deficere indicet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D

ΚΑτ' ἐκεῖνον δηλονότι τὸν χρόνον ῥεῖ τὸ γάλα, αἷς ἂν φαίνεται ῥέον, ἡνίκα φύσιν ἔχει ταῖς κυούσαις γυναιξί. οὐ γὰρ δὴ κατά γε τοὺς πρώτους μῆνας γεννᾶται, τὸ δ' ὅλως ῥεῖν αὐτὸ, καὶ μὴ μένειν ἔνδον, ἐκ τοῦ πλέον ἀθροίζεσθαι, γίνεται. πλέον δ' ἀθροίζεται, πληρουμένων ἐπὶ πλέον τῶν κοινωνουσῶν ἐν τιτθοῖς πρὸς τὰς ὑστέρας φλεβῶν. πληροῦνται δ' ἔτι μᾶλλον, ὀλίγον ἀναλίσκοντος τοῦ κυουμένου· τοῦτο δ' αὐτὸ γίνεται διὰ τὴν ἀσθένειαν αὐτοῦ· δῆλον οὖν ὅτι τοὺς τιτθοὺς, οὐκ ἰσχνοὺς φαίνεσθαι χρὴ, καθάπερ ὅτ' ἦν ἀκύμων ἡ γυνή. τοῦτο γὰρ σημεῖον ἔνδειαν αἵματος ἐνδείκνυται, διὰ τοῦτο, ἐπ' αὐτῷ διαφθείρεται τὸ ἔμβρυον, οὐθ' οὕτως μεστοὺς ὡς ἀπορρεῖν τὸ γάλα. διαιρομένους δὲ εἰς τοσοῦτον, ὡς στερεοὺς ἁπτομένοις φαίνεσθαι. μέση γὰρ ἡ τοιαύτη κατάστασίς ἐστι, τῶν τε ἀντιτύπων, διὰ τὸ πεπληρῶσθαι σφοδρῶς, καὶ τῶν μαλακῶν τε καὶ χαλαρῶν, διὰ τὴν ἔνδειαν τοῦ αἵματος. ὅθεν εἰκότως ἐπαινεῖ τὸ τοιοῦτο σημεῖον ὁ Ἱπποκράτης, ὡς ἂν ἐνδεικνύμενον οὔτ' ἀσθενεῖν τὸ κυούμενον, οὔτ' ἐνδεῖν αὐτῷ τὴν τροφήν.

E

F

Ὅτι τιτθοὶ ἰσχνοὶ μὲν καὶ κενοὶ γινόμενοι τὴν τῶν ἐμβρύων μέλλουσαν διαφθορὰν, σκληροὶ δὲ καὶ μεστοὶ τὴν ὑγείαν σημαίνουσι· διὰ τί, καὶ πῶς.

Quòd extenuatæ ac vacuæ mammæ futurum fœtus interitum, duræ verò & plenæ incolumitatem significent, cur, & quomodo?

ΑΦΟΡΙΣΜΟΣ νγ'.

Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται, ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται, ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

APHORISMVS LIII.

Quæ fœtus corrupturæ sunt, iis mammæ extenuantur. Quòd si contrà duræ euaserint, dolor erit aut in mammis, aut in coxis, aut in oculis, aut in genibus, neque fœtum corrumpunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔμπροσθεν εἰρήκει, ἐν γαστρὶ ἐχούσῃ γυναικὶ, ἢν ἐξαίφνης οἱ μαστοὶ ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει. εἰρήκει δὲ, καὶ ἢν ὁ ἕτερος μαστὸς ἰσχνὸς γένηται δίδυμα ἐχούσῃ, τὸ ἕτερον τῶν ἐμβρύων ἐκτιτρώσκεσθαι. νυνὶ δὲ τὴν τάξιν τῆς ἀκολουθίας ὑπαλλάξας, οὐκ ἀπὸ τῶν σημείων, ἀλλ᾽ ἀπ᾽ αὐτῶν τῶν γυναικῶν τῶν διαφθειρουσῶν ἤρξατο, προηγεῖσθαι λέγων αὐταῖς ἰσχνοὺς τοὺς τιτθούς. ἔστι δ᾽ οὐ πάντῃ ταυτὸν, ἢ τοῖς ἰσχνοῖς τιτθοῖς ἕπεσθαι διαφθορὰν εἰπεῖν, ἢ τῆς διαφθορᾶς μελλούσης ἔσεσθαι τοὺς ἰσχνοὺς τιτθοὺς προηγεῖσθαι. ὁ μὲν γὰρ ἕπεσθαι λέγων τῇ τῶν τιτθῶν ἰσχνότητι τὴν διαφθορὰν, οὗτος ἀποφαίνεται τοῦτο μόνον σημεῖον εἶναι τῆς μελλούσης φθορᾶς. ὁ δὲ ταῖς μελλούσαις διαφθείρειν λέγων τοὺς τιτθοὺς ἰσχνοὺς γίνεσθαι, οὐ μόνον ἔοικεν ἐνδείκνυσθαι τοῦτο, προηγεῖσθαι διαφθορὰν τῶν ἐμβρύων. Ἐπισκεπτέον οὖν ἀκριβέστερόν ἐστι, καὶ παραφυλακτέον ἐπ᾽ αὐτῶν φαινομένων κατὰ τὰς κυούσας, εἰ μή ποτ᾽ ἄλλως διαφθείρουσιν, ἀλλ᾽ ἀεὶ μετ᾽ οὐ προηγήσασθαι τὴν ἰσχνότητα τῶν τιτθῶν, ἢ ταῖς πηδησάσαις, ἢ ταῖς μέγα βοησάσαις, ἢ θυμωθείσαις, ἢ φοβηθείσαις ἐξαίφνης ἰσχυρῶς, ἐγχωρεῖ ποτὲ μὲν μὴ προηγήσασθαι τὴν ἰσχνότητα τῶν τιτθῶν. ἐγχωρεῖ δὲ καὶ ταῖς διὰ πυρετοῦ μέγεθος, ἢ ἐρυσιπέλατος ἐν ταῖς ὑστέραις γινομένου, ἢ διὰ καὶ τὸ μυξῶδες τῶν κοτυληδόνων, ἤ τι τοιοῦτον ἕτερον, ἀκολουθῆσαι φθορὰν ἄνευ τῆς τῶν τιτθῶν ἰσχνότητος. Ἱπποκράτης μὲν γὰρ ἔοικεν ὑπολαμβάνειν ἀεὶ προηγεῖσθαι, καί μοι παραφυλάττοντι πολλάκις, ἐφάνησαν ἐπὶ τῶν προειρημένων αἰτίων τῆς φθορᾶς οἱ τιτθοὶ προϊσχνούμενοι. μή ποτε οὖν, ὅταν ἄνευ τῶν τοιούτων τινὸς αἰτίων, ἡ τῶν τιτθῶν ἰσχνότης γένηται, τὴν ἔνδειαν τοῦ αἵματος αἰτιατέον ἐστὶ ἐν ταῖς κοιναῖς φλεψὶ τιτθῶν τε, καὶ ὑστερῶν, ἀφ᾽ ἧς ἔφη διὰ τὴν ἀτροφίαν φθείρεσθαι τὸ ἔμβρυον. ἐπὶ δὲ ταῖς ἄλλαις αἰτίαις ἐφ᾽ αἷς ἤτοι γε ἀποθνήσκει τι παθὸν, ἢ ἀπορρήγνυται τὸ ἔμβρυον, ὅταν οἱ περιέχοντες αὐτὸ ὑμένες διασπῶνται τῆς φύσεως ἀνασομούσης τὰς μήτρας, ὠδῖνάς τε ἐγειρούσης, ῥοπὴν γίνεσθαι διὰ ταῦτα τοῦ αἵματος ἐπὶ τὰ γεννητικὰ μόρια. κοινὸς γάρ τίς ἐστι ὁ-

hic alicubi aliquid deesse videtur.

GALENI COMMENTARIVS.

Svpra effatus est: *Mulieri vtero gerenti si mammæ derepente extenuentur, ipsa abortit.* Edixerat quoque, *si altera mamma extenuetur gemellos vtero gerenti, alterius abortus sequitur.* Nunc verò commutato consequutionis ordine, non à signis; sed ab ipsis mulieribus fœtum corrumpentibus duxit exordium; quum ipsis mammas extenuatas enunciat præcedere. Non est autem omnino idem, quum mammas extenuatas sequi corruptionem dicitur, & futuræ corruptionis mammas tenues præcedere. Qui nanque ad mammarum gracilitatem consequi fœtus corruptionem, id solum ipse pronunciat futuræ corruptionis signum esse. Qui verò fœtus elisuris mammas extenuari profert, non solum hoc fœtus corruptionem præcedere; *sed etiam aliter conceptum non perimi* indicare videtur. Itaque accuratius perscrutandum est & obseruandum in iis quæ per grauiditatem mulieribus oboriuntur, an nunquam aliâ quàm cum mammarum extenuatione præcedente sint fœtum corrupturæ; an saltantibus ipsis, aut multum vociferatis, aut ira excandescentibus, aut repentino aliquo timore percussis, mammarum nonnunquam ex præcedente extenuatione fœtum interimi accidat. Contingit etiam quibusdam propter febris magnitudinem, aut ortum in vtero erysipelas, aut cotylodunum mucorem, aut quid aliud eiusmodi citra mammarum extenuationem fœtus corruptionem subsequi. Enimverò Hippocrates hanc semper præcedere arbitrari videtur; atque mihi obseruanti sæpe in prædictis corruptionis fœtus causis, mammarum visa est præcedere extenuatio. An non igitur quando citra aliquam eiusmodi causam mammarum fit extenuatio, sanguinis in venis vteri mammarumque communibus penuriam in causa esse dicendum? Proindéque ob alimenti defectum seu atrophiam fœtum perimi dicebat. In cæteris verò causis ob quas vel aliquid passus fœtus enecatur, vel ab vtero abrumpitur quum membranæ ipsum continentes diuelluntur, natura os vteri aperiente, & dolores excitante, tum propterea sanguinis ad genitales partes fertur impetus? Hæc

enim communis est quædam ratio, vt in quibus natura aliquid violenter excernit, eò sanguinis ac spiritus motus fiat; quibus veluti instrumentis quibusdam vsa, quæ infestant, ea per vim expellit. Hac siquidem ratione & dolentibus partibus inflammationes superueniunt doloris causam excernere & propulsare enitente & properante natura, quæ vt id præstet, sanguine ac spiritu dolentem locum replet. Atque hæc mihi in priorem aphorismi partem dicta sint. Altera verò pars quæ sequitur, & in qua mammarum contrariæ affectionis meminit, hæc est: *Quod si contrà, inquit, mammæ duræ euaserint.* Quum verò duo in eiusmodi loquutionibus significet particula *contrà*, vnum quo antea dictæ coniungitur affectioni; alterum quod alia dictione, è contrario, efferre, verius mihi & Hippocrates sententiæ congruentius secundum significatum esse videtur; vt quod toto dicitur aphorismo: sit eiusmodi: extenuatæ mammæ fœtuum omnino præcedunt corruptionem, nec nisi prius extenuatis mammis, hi corrumpi possunt: duræ verò mammæ corruptionem quidem fœtus non portendunt; sed partium enumeratarum dolor aliquis earum duritiem consequitur: vt quemadmodum mammæ graciliores sanguinis penuriam indicant: ita duræ copiam demonstrent, ab illis differentes quas paulò antè solidas appellauit; à quibus rursum naturâ ad quasdam partes excrementum deponente, hæ quidem dolore vexantur; sed fœtus illæsus permanet. At hîc orietur quæstio, quam ob causam in vteri corpus redundantem materiam nunquam natura deponit, & inflammationem efficit, vel cur inflammato vtero, fœtus non corrumpetur? An diuersum est quod ab Hippocrate pronunciatur? Non enim quod nunquam mammas duras fœtuum corruptio sequatur, ab ipso dictum fuisse existimandum est; sed quod non perpetuò, quemadmodum in extenuatis. Verùm si alterum in locum quod redundat natura propellat (quod dolore cognoscimus) fœtus non erit corruptio. Rursum si ita accipiamus, tota eiusmodi erit oratio; Grauidis fœtum corruptum semper mammarum extenuatio præcedit, durities verò ac plenitudo non semper: In his enim omnino quod redundat superuacaneum in aliam quandam partem protrudit. Quod si in vtero ipsam redundantiam propulerit, etiam tum graciles omnino mammæ fient. Nam secundùm Hippocratis (vt apparet) sententiam, etiamsi propter aliud quicquam, & non ob alimenti egestatem abortus fiat, mammarum prægressura est omnino gracilitas, ob explicatam à nobis causam. Quare si vel propter cotyledonum humiditatem conceptus prolabatur, etiam tum ipsum natura ad exitum contrudente & propellente, fiet sanguinis ad vterum motus, eóque modo graciliores quàm erant anteà, mammæ euadent.

τος ὁ λόγος ἐφ᾽ ὧν ἡ φύσις ἐκκρίνει τι μετὰ βίας, ὡς A τὴν ῥοπὴν ἐκεῖσε γίνεσθαι τοῦ τε αἵματος καὶ τοῦ πνεύματος· οἷς ὥσπερ τισὶν ὀργάνοις χρωμένη διωθεῖται τὰ λυποῦντα βίᾳ. κατὰ τοῦτο γοῦν, καὶ τοῖς ὀδυνωμένοις μορίοις ἐπιγίνονται φλεγμοναὶ τῆς φύσεως μὲν ἐκκρῖναί τε καὶ διώσασθαι σπευδούσης, τὸ τὴν ὀδύνην ἐργαζόμενον. ἵνα δὲ τοῦτο πράξῃ πληρούσης αἵματός τε, καὶ πνεύματος αὐτό. ταῦτα μὲν οὖν εἰς τὸ πρότερον μέρος τοῦ ἀφορισμοῦ λελέχθω μοι. τὸ δ᾽ ἑξῆς αὐτῷ τὸ δεύτερον, ἐν ᾧ διαθέσεως ἐναντίας μέμνηται τῶν τιτθῶν ἐστὶ τοιοῦτον. ἢν B δὲ πάλιν, φησίν, οἱ μαστοὶ γίνονται σκληροί. σημαίνοντος δὲ τοῦ πάλιν, ἐν ταῖς τοιαύταις ῥήσεσι δύο. τὸ μὲν ἕτερον ὃ συνῆπται τῇ προειρημένῃ διαθέσει, τὸ δ᾽ ἕτερον, ὅπερ καὶ δι᾽ ἄλλης λέξεως εἰώθασιν ἔμπαλιν λέγειν, ἀληθέστερόν γέ μοι φαίνεται καὶ κατὰ τὴν Ἱπποκράτους εἶναι γνώμην τὸ δεύτερον σημαινόμενον, ἵν᾽ ᾖ τὸ καθ᾽ ὅλον τὸν ἀφορισμὸν λεγόμενον, τοιοῦτον. οἱ μὲν ἰσχνοὶ τιτθοὶ πάντως προηγοῦνται τῆς διαφθορᾶς τῶν ἐμβρύων, καὶ οὐκ οἷόν τε διαφθαρῆναι ταῦτα, μὴ προϊσχνωθέντων αὐτῶν. οἱ μέντοι σκληροί, φθορὰν μὲν οὐ σημαίνουσιν, ὀδύνη δέ τις ἀκόλουθος αὐτοῖς τῶν εἰρημένων C μορίων, ἵν᾽, ὥσπερ ἐνδείας αἵματος, ἰσχνότεροι τιτθοὶ τὴν ἔνδειξιν ἔχωσιν, οὕτω πλήθους οἱ σκληροί, διαφέροντες δηλονότι τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων τῶν στερεῶν, ἐφ᾽ ὧν πάλιν ἀποτιθεμένης τῆς φύσεως εἴς τινα μόρια τὸ περιττὸν, ὀδυνᾶται μὲν ἐκεῖνα, τὸ δ᾽ ἔμβρυον ἀβλαβὲς διαμένει. ζητηθήσεται δὲ ἐνθάδε, διὰ τινα αἰτίαν, οὐδέποτε τῷ τῆς μήτρας σώματι τὸ περιττὸν ἡ φύσις ἐναποτίθεται, καὶ ποιήσει φλεγμονὴν, ἢ διά τι φλεγμηνάσης τῆς μήτρας, φθαρήσεται τὸ ἔμβρυον; D ἢ τὸ λεγόμενον ὑπὸ Ἱπποκράτους, ἕτερόν ἐστι, οὐ γὰρ ὅτι μηδέποτε τοῖς σκληροῖς τιτθοῖς ἕπεται φθορὰ τῶν ἐμβρύων εἰρηκέναι νομιστέον αὐτὸν, ἀλλ᾽ ὅτι μὴ διὰ παντὸς, ὥσπερ ἐπὶ τῶν ἰσχνῶν, ἀλλ᾽ ἐὰν εἰς ἕτερον μόριον ἀπωθεῖται τὸ περιττὸν ἡ φύσις, ὃ διὰ τῆς ὀδύνης γνωρίζομεν, οὐκ ἔστι φθορά, γενήσεται πάλιν ὁ σύμπας λόγος, ἐὰν οὕτως ἀκούσωμεν, τοιοῦτος. τῶν φθείρειν μελλουσῶν, ἰσχνοὶ μὲν ἀεὶ προηγοῦνται οἱ τιτθοὶ, σκληροὶ, δὲ καὶ πλήρεις οὐκ ἀεί. τοὐπίπαν γὰρ ἐπὶ τῶν πιέτων, εἰς ἕτερόν τι μόριον ἡ φύσις ἐναποτίθεται τὸ περιττόν. E εἴ γε μὴν ἐπὶ τὰς μήτρας αὐτὸ διώσαιτο, γενήσονται καὶ τότε πάντως ἰσχνοί. κατὰ γὰρ τὴν Ἱπποκράτους γνώμην, ὡς ἔοικεν, εἰ καὶ δι᾽ ἕτερόν τι, καὶ μὴ διὰ τὴν ἔνδειαν τῆς τροφῆς ὁ ἐκτρωσμὸς γένοιτο, προηγήσεται πάντως ἡ ἰσχνότης τῶν τιτθῶν, δι᾽ ἣν εἶπον αἰτίαν, ὥστε κἂν δι᾽ ὑγρότητα τῶν κοτυληδόνων ἀπορρυήσεται τὸ κύημα, καὶ τότε διωθουμένης, αὐτὸ τῆς φύσεως εἰς ἔκκρισιν, ἡ ῥοπὴ τοῦ αἵματος ἐπὶ τὰς μήτρας ἔσται, καὶ κατὰ τοῦτο καὶ οἱ τιτθοὶ τῆς ἔμπροσθεν καταστάσεως ἰσχνότεροι γενήσονται.

A

Τὸ σκληρὸν στόμα τῆς ὑστέρας ἑαυτῆς συμμύσιν σημαίνειν. πῶς ἡ τῆς ὑστέρας συμμύσι διὰ τὴν κύησιν, ἀπὸ ταύτης διὰ τὴν φλεγμονὴν καὶ τὸ σκιῤῥὸν γινομένης διακρίνεσθαι.

Durum os vteri sui præclusionem prodere. Quomodo vteri præclusio ob grauiditatem ab ea quæ ob inflammationem, & scirrhum fit, distinguatur.

ΑΦΟΡΙΣΜΟΣ νδ.

Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσι ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν. B

APHORISMVS LIV.

QVibus os vteri durum est, his os vteri conniuere necesse est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται μὲν καὶ πρόσθεν ὡς τὸ συμμύειν τὸ στόμα τῶν ὑστερέων, κοινόν ἐστι σημεῖον, ὄγκου τέ τινος ἐν αὐτῷ παρὰ φύσιν, καὶ κυήσεως τῇ γυναικὶ, καὶ ὡς χρὴ διακρίνειν αὐτὸ τῇ σκληρότητι. ταῖς μὲν γὰρ κυούσαις, ἁπαλόν ἐστι, καὶ κατὰ φύσιν. αἷς δὲ ὄγκος παρὰ φύσιν, ἢ φλεγμονώδης, ἢ σκιῤῥώδης γίνεται, σκληρόν. ἄμεινον οὖν ἦν τὸν ἀφορισμὸν τοῦτον ἐφεξῆς ἐκείνῳ γεγράφθαι, καθ' ὃν ἔλεγεν. ὅσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα συμμύει τῶν ὑστερέων. C

GALENI COMMENTARIVS.

SVperiùs etiam dictum est præclusionem oris vteri commune signum esse tum tumoris cuiusdam in ipso contra naturam consistentis, tum conceptionis in muliere, idque ex duritie & *mollitie* distinguendum esse. Grauidis nanque molliculum, & secundùm naturam est; durum autem est quibus vteri tumor præter naturam, aut cum inflammatione, aut scirrho durus adest. Præstiterat itaque hunc aphorismum post eum scribere, in quo dicebatur. Quæ vtero gerunt, iis os vteri conniuet..

Τὰς ἐν γαστρὶ ἐχούσας ὑπὸ πυρετῶν λαμβανομένας, καὶ ἰσχναινομένας ἐκτιτρώσκεσθαι, ἢ χαλεπῶς τίκτειν.

Grauidas febribus correptas, & extenuatas abortire, aut difficile parere.

D

ΑΦΟΡΙΣΜΟΣ νέ.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄτερ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

APHORISMVS LV

QVæ vtero gerentes febribus corripiuntur, aut vehementer citra manifestam causam extenuantur, hæ difficile ac periculosè pariunt, aut abortione periclitantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συμβαίνει τισὶ τῶν τικτουσῶν, ἐφ' αἷς πρότερον ἠθροίσθησαν κακοχυμίαι πρὶν κυεῖν, ἐνίοτε μὲν ἁλίσκεσθαι σφοδροῖς πυρετοῖς, ὡς ἐκτιτρώσκειν ἐξ ἀνάγκης, ἐνίοτε δὲ μετρίοις μὲν, ἀλλ' οὐ καθαιρομένοις ἀκριβῶς, ὑπολείπουσι δέ τι λείψανον ἐν τῷ σώματι τῆς κακοχυμίας, ἐφ' ᾗ συνέστησαν, ὡς ἂν μὴ δυναμένων τῶν ἰατρῶν, διὰ τὸ κύειν τὴν γυναῖκα, μήτε βοήθημα προστάττειν ἰσχυρὸν, μήτ' ἀκριβῶς διαιτᾶσθαι. διὰ τοῦτ' οὖν αὐταῖς, ὅ τε πυρετὸς ὑποτροπιάζει συνεχῶς, καὶ δυσφόρως τῷ πλείστῳ τοῦ χρόνου σύνεστι. εἰκότως τοιγαροῦν ποτὲ μὲν οὐκ ἀντέχει τὸ ἔμβρυον, ἀλλ' ἀποφθείρεται διά τε τοὺς πυρετοὺς, καὶ τὴν κακοχυμίαν· F

E GALENI COMMENTARIVS.

ACcidit quibusdam grauidis, in quibus priusquam conceperint, vitiosi humores aceruati sunt, nonnunquam febribus ita vehementibus corripi, vt necessariò abortiant, nonnunquam verò, moderatioribus detineantur quidem; sed his non accuratè perpurgatis quiddam in corpore reliquiarum humoris vitiosi superest, vnde *reuersæ febres*, astruuntur, quòd Medici grauidæ mulieri quoddam vehemens præsidium adhibere; aut exquisitam victus rationem imperare nequeant. Quamobrem ipsis febris subinde reuertitur, & maxima temporis parte iactationem incutiat. Quapropter meritò fœtus interdum non obsistit; sed & propter

febres, & humoris vitium corrumpitur; interdum verò vsque ad partionis tempus perdurat. Verùm cùm ipse valetudinarius existat, vt qui longo tempore miserè laborauerit: & matrem imbecillam sortiatur, non sine periculo paritur. Ad partus nanque facilitatem robustis vtrisque corporibus, tum ipsius grauidæ, tum infantis opus est.

A. ἐνίοτε δὲ ἀρκεῖ μὲν ἄχρι τῆς ἀποκυήσεως. ἀλλ᾽ αὐτό τε νοσῶδες ὄν, ὡς ἂν ἐν πολλῷ χρόνῳ τεταλαιπωρημένον, ἀσθενῆ τε καὶ τὴν κυήσασαν ἔχον, οὐκ ἀκινδύνως τίκτεται. πρὸς γάρ τοι τὴν εὐτοκίαν ἰσχυρῶν ἀμφοτέρων δεῖται τῶν σωμάτων, τοῦ τε τῆς κυούσης αὐτῆς, καὶ τοῦ παιδίου.

Quòd vehementem, aut diuturnum fluorem muliebrem leipothymia, aut conuulsio sequatur, idque malum signum.

B Ὅτι τῷ σφοδρῷ ἢ χρονίζοντι ῥόῳ γυναικείῳ ἕπηται ἢ λειποθυμία ἢ σπασμός, καὶ τοῦτο κακὸν σημεῖον.

APHORISMVS LVI.

IN fluore muliebri si conuulsio, aut animi defectio superueniat, malum.

ΑΦΟΡΙΣΜΟΣ νϛ΄.

Ἐπὶ ῥόῳ γυναικείῳ, σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

GALENI COMMENTARIVS.

NOn quàmprimum orto fluore, hæc accidunt, quemadmodum nec aliud quicquam eorum quæ sequenti oratione quibusdam aliis superueniunt; sed quum vel vehementia fuerint, vel diu durauerint leipothymia quidem omnis immoderatæ vacuationis commune symptoma est: conuulsio verò etiamsi non commune non sit *omnium vacuationum symptoma*, plurimas tamen sequitur, multoque magis si pars affecta neruosa sit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Οὐκ εὐθέως δηλονότι γενομένου τοῦ ῥοῦ γίνεται ταῦτα, καθάπερ οὐδὲ τῶν ἄλλων οὐδέν, ὅσα κατὰ τὸν ἑξῆς λόγον ἐπιγίνεταί τισιν ἑτέροις, ἀλλ᾽ ἤτοι σφοδροῖς γινομένοις, ἢ χρονίζουσιν. ἡ μὲν οὖν λειποθυμία κοινὸν ἁπάσης ἀμέτρου κενώσεώς ἐστι σύμπτωμα. ὁ δὲ σπασμός, εἰ καὶ μὴ κοινόν, ἀλλά γε ταῖς πλείσταις ἑπόμενον, καὶ μᾶλλον ὅταν ᾖ τὸ πεπονθὸς μόριον νευρῶδες.

Quòd menstruis copiosioribus, aut vlterius profluentibus non ab vtero morbi procedant symptoma; sed à suppressis, aut pauribus.

D Ὅτι ἀπὸ τῶν καταμηνίων πλειόνων ἢ περαιτέρω ἀπορρεόντων μὴ ἀπὸ τῆς ὑστέρας αἱ νόσοι γίνονται, ἀλλὰ μὲν ἀποσκηπτόντων ἢ ἐλαττόνων.

APHORISMVS LVII.

MEnstruis copiosioribus profluentibus morbi oboriuntur at non prodeuntibus accidunt ab vtero morbi.

ΑΦΟΡΙΣΜΟΣ νζ.

Καταμηνίων γινομένων πλεόνων, νοῦσοι ξυμβαίνουσι· καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρης ξυμβαίνουσι νοῦσοι.

GALENI COMMENTARIVS.

NOnnullis Medicorum visum est multos ex plenitudine morbos oboriri, ex penuria verò, nullum. Verùm Hippocrates non mulieres duntaxat etiam propter penuriam; sed viros quoque ægrotare interdum arbitratur. Penuriam siquidem modò siccitas sequitur, modò frigiditas, modò vtræque. At quæcunque intemperies tantæ sunt magnitudinis, vt actionem iam lædant, eas huius generis morborum esse demonstrauimus. Verùm hactenus neque falsum, neque obscurum quicquam ab Hippocrate pronunciatum est. Quatenus autem pluribus menstruis simpliciter morbos fieri dixit, ab vtero non addidit. At non prodeuntibus, aut paucioribus, istud

E **ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.**

Ἐνίοις τῶν ἰατρῶν ἔδοξεν ἐπὶ πλήθει μὲν γίνεσθαι πολλὰ νοσήματα, δι᾽ ἔνδειαν δὲ μηδέν, ἀλλ᾽ ὁ Ἱπποκράτης ἡγεῖται ἐνίοτε καὶ δι᾽ ἔνδειαν νοσεῖν, οὐ γυναῖκας μόνον, ἀλλὰ καὶ τοὺς ἄνδρας. εἴγε ἐν ταῖς ἐνδείαις ἕπεταί ποτε μὲν ψυχρότης, ποτὲ ξηρότης, ποτὲ δ᾽ ἄμφω. δέδεικται δ᾽ ὅτι ὅσαι τῶν δυσκρασιῶν τηλικαῦται τὸ μέγεθός εἰσιν, ὡς ἐνέργειαν ἤδη βλάπτειν, ἐκ τούτου τοῦ νοσημάτων ὑπάρχουσι γένους. ἀλλὰ κατὰ τοῦτο μέν, οὔτε F. ψεῦδος πρὸς Ἱπποκράτους, οὔτ᾽ ἀσαφὲς εἴρηται. καθὸ δ᾽ ἐπὶ μὲν τῶν πλεόνων καταμηνίων εἶπεν ἁπλῶς γίνεσθαι νόσους, μὴ προσθεὶς τὸ ἀπὸ τῆς ὑστέρας. ἐπὶ δὲ τῶν μὴ γινομένων καὶ τοῦτο προσέθηκεν, ἄξιον ἐπισκέ-

ψασθαι, πότερον ἀμφοτέροις τοῖς προειρημένοις ἐπενήνεκται κοινῇ τὸ ἀπὸ τῆς ὑστέρας, ἢ μόνον ἴδιόν ἐστι τῶν μὴ γινομένων. A ἀδύνατον δὲ τοῦτο ἀκριβῶς ἐπιδιασκέψασθαι χωρὶς τοῦ γνῶναι τὰς αἰτίας ἁπάσας, ἐφ' αἷς πλείω τοῦ προσήκοντος, ἢ ἐλάττω γίνεται καταμήνια. δυνατὸν οὖν ἐστι καὶ ἀνεστομωθέντων ἐπὶ πλέον τῶν εἰς τὴν μήτραν καθηκόντων ἀγγείων, καὶ λεπτοτέρου τοῦ αἵματος, ἢ θερμοτέρου γινομένου, καὶ τοῦ σώματος ὅλου διὰ καχεξίαν τινὰ βαρυνομένου τῷ αἵματι, κἂν μηδέπω τὴν κατὰ φύσιν ὑπερβαίνῃ συμμετρίαν, ὠθοῦντος αὐτὸ πρὸς τὰς ἐν τῇ μήτρᾳ φλέβας, ὥσπερ ἐν ταῖς ῥευματικαῖς B διαθέσεσιν, ἄλλοτ' εἰς ἄλλο μόριον ἄμετρον κένωσιν γίνεσθαι καταμηνίων. ἐλάττω δὲ αὖ καταμήνια δυνατόν ἐστι γίνεσθαι, διά τε μύσιν, ἢ ἔμφραξιν τῶν τὴν ἔμμηνον κάθαρσιν ἐπὶ τὴν μήτραν φερουσῶν φλεβῶν, διὰ πάχος αἵματος, ἢ διὰ ψυχρότητα καὶ ῥώμην αὐτῶν τῶν κατὰ τὴν μήτραν ἀγγείων, ὡς μὴ παραδέχεσθαι τὸ ἐπιρρέον. ὅτι δ' αὖ ἢ τούτων ἀναγκαῖόν ἐστιν ἐν τῷ χρόνῳ, καὶ τὴν μήτραν αὐτὴν πάσχειν τι πάθος ἤτοι φλεγμονῶδες, ἢ ἐρυσιπελατῶδες, ἢ σκιρρῶδες, ἢ καρκινῶδες, ᾧ πάλιν συμπάσχειν ὅλον τὸ σῶμα. κατὰ μέντοι τὰς C ἀμέτρους κενώσεις οὐδὲν τοιοῦτον πάθημα γίνεται ταῖς ὑστέραις, ᾧ συννοσήσει τὸ σύμπαν σῶμα λόγῳ συμπαθείας, ὥστε πιθανώτερον ἐπὶ τῶν ἰσχομένων καταμηνίων εἰρῆσθαι μόνον ἀπὸ τῆς ὑστέρας τὰς νόσους συμβαίνειν.

adiecit, perquisitione dignum est. Vtrum ad vtrosque commemoratos affectus communiter ab vtero retulerit, an deficientium menstruorum sit proprium. Hoc autem certò peruestigare non possumus, nisi causas omnes quibus aut plura quàm par est, aut pauciora fluunt menstrua nouerimus. Possunt igitur immoderatæ fieri menstruorum vacuationes, tum osculis vasorum ad vterum pertinentium nimium patentibus, tum tenuiore aut calidiore sanguine, tum toto corpore propter aliquam cachexiam sanguine, grauato (etsi nondum is naturalem symmetriam superat) ipsúmque propterea in vteri venas protrudente, vt quod rheumaticis affectibus aliàs in aliam aliámque partem solet mittere. Eadem rursum menstrua pauciora fiunt, vel propter venarum in vterum menstruam purgationem deferentium conniuentiam, aut obstructionem, aut sanguinis crassitiem, vel frigiditatem, vel ipsorum vteri vasorum robur affluentem sanguinem non admittentium. Quicquid autem fuerit, temporis progressu vterum ipsum aliquem affectum pati vel phlegmonodem, vel erysipelatodem, vel scirrhodem, vel carcinodem, quo per consensum totum corpus affici necesse est. Immoderatis verò mensium vacuationibus nullus talis vtero conciliatur affectus, quo sympathiæ ratione vnà quoque totum corpus ægrotet. Quare verisimilius fit de sola menstruorum retentione Hippocratem illud extulisse, ab vtero morbos, accidere.

Τί ἡ στραγγουρία, αἵτινες τῆς στραγγουρίας καὶ τοῦ λυγγὸς αἰτίαι, καὶ ὁπόσοις ἄμφω ἐπιγίνεται.

Quid stranguria, quæ stranguriæ & singultus causæ, & quibus vtrunque succedat.

ΑΦΟΡΙΣΜΟΣ νη΄.

D

ΕΠὶ ἀρχῷ φλεγμαίνοντι, καὶ ἐπὶ ὑστέρῃ φλεγμαινούσῃ στραγγουρίη ἐπιγίνεται. ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι λὺγξ ἐπιγίνεται.

APHORISMVS LVIII.

Recto intestino inflammato, & vtero inflammato, & renibus purulentis stranguria succedit. Iecori verò inflammato superuenit singultus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤαν τις ὀλίγον ἀποκρίνῃ οὖρον συνεχῶς, στραγγουρία τὸ πάθος καλεῖται, καὶ γίνεταί ποτε μὲν E ἐπ' ἀρρωστίᾳ τῆς καθεκτικῆς δυνάμεως ἐν τῇ κύστει, ποτὲ δὲ ἐπὶ δριμύτητι τῶν οὔρων. ἡ μὲν οὖν ἀρρωστία, διά τε δυσκρασίαν γίνεται, καί τινα τῶν παρὰ φύσιν ὄγκων. ἡ δριμύτης δὲ, ἤτοι διὰ πάθος νεφρῶν, ἢ τὸ τοιοῦτον ἥκειν εἰς αὐτοὺς ἐκ τῶν φλεβῶν τὸ διηθούμενον ὀρρῶδες περίττωμα. δεόντως οὖν ὁ Ἱπποκράτης ἐπιγίνεσθαί φησι στραγγουρίαν ἀρχῷ, καὶ ὑστέρᾳ φλεγμαινούσῃ, καὶ νεφροῖς ἐμπύοις. ἐπὶ μὲν ἀρχῷ καὶ μήτρᾳ κατὰ συμπάθειαν πασχούσης τῆς κύστεως, ἐπὶ δὲ νεφροῖς ἐμπύοις, F ἐκκρινομένου τοῦ πύου διὰ τῆς κύστεως. τοῦτο μὲν οὖν τῇ δριμύτητι δάκνον τὴν κύστιν ἐρεθίζει πρὸς τὴν ἀπόκρισιν. ἐπὶ δὲ τῇ κατ' ἀρχὸν, ἢ μήτραν φλεγμονῇ τῷ τῆς γειτνιάσεως λόγῳ πάσχειν ἀναγκαῖόν ἐστι τὴν κύστιν, καὶ

GALENI COMMENTARIVS.

QVum quis vrinæ perpaucum continenter excernit, is affectus stranguria, *aut vrinæ* stillicidium vocatur; *quod symptoma* accidit interdum quidem ob facultatis retentricis imbecillitatem; interdũ verò propter ipsius vrinæ acrimoniam. Imbecillitas quidem fit tũ intemperie, tum tumore quodam præter naturam. Acrimonia verò accidit vel propter renũ affectionem, vel quia tale in ipsos ex venis per colatũ serosum excrementũ prolectatur. Præclarè itaque Hippocrates stranguriam ait recto intestino & vtero inflammatione affectis, & purulentis renibus accidere: In recto quidem intestino & vtero per consensum patiente vesicâ in renibus autem purulentis pure per vesicam excreto. Hoc igitur suâ acrimoniâ mordens vesicam ad excretionem stimulat. Porro in vteri & recti intestini inflammatione viciniæ ratione, vesicam affici necesse est,

vt quæ & intemperiei & inflammationis sit particeps, vexetúrque præterea & prematur à tumoribus præter naturam eas partes obsidentibus. Iam verò suprà diximus non simpliciter affectionem alteram alteri superuenire solere; sed vbi iustam primigenia magnitudinem acquisierit. sic itaque & iecore inflammationem patiente singultus succedit propter neruorum commnitatem, non quidem semper; sed vbi in maximam iecur inflammationem peruenerit.

A τῆς δυσκρασίας τε, καὶ τῆς φλεγμονῆς μεταλαμβανούσαις, ἔτι τε θλιβομένῳ αὖ καὶ στενοχωρουμένῳ ὑπὸ τῶν παρὰ φύσιν ὄγκων ἐν αὐτοῖς. εἴρηται δέ μοι καὶ πρόσθεν, ὡς οὐχ ἁπλῶς ἕτερον ἑτέρῳ πάθος ἐπιγίνεσθαι πέφυκεν, ἀλλὰ τοῖς ἀξιολόγοις κατὰ μέγεθος. οὕτως οὖν καὶ τῷ ἥπατι φλεγμαίνοντι λύγξ ἐπιγίνεται, διὰ τὴν τῶν νεύρων κοινωνίαν, οὐ διὰ παντὸς, ἀλλ᾽ ὅταν εἰς μεγίστην ἀποκαταστῇ φλεγμονήν.

B

De mulieris, quæ non concepit, an conceptura sit, per suffitum exploratione.

Περὶ γυναικὸς μὴ κυισκούσης εἰ λήψεται διὰ θυμιάματος δοκιμάσεως.

APHORISMVS LIX.

ΑΦΟΡΙΣΜΟΣ νθ΄.

Si mulier vtero concipiat, scire autem velis an conceptura sit vestibus obuolutam subter suffito: atque si odor quidem ad nares & os vsque per corpus tibi peruadere videatur, ipsam nosce per se infœcundam non esse.

C Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι θυμία κάτωθεν. κἢν μὲν πορεύεσθαι σοὶ δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας, καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι᾽ ἑαυτὴν ἄγονός ἐστιν.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

VErbum suffire materiam quæ suapte natura suffiri potest indicat, vt thus, myrrham, styracem, cæteáque temperamento calida & valde odorata. Vult enim in totum corpus facultatem ab iis manantem efferri, vt quum ad os & nares peruenerit, à muliere manifestò sentiatur. In iis itaque solis totem corpus non permuabit suffituum qualitas, quibus durum ac densum est vteri corpus. Tale verò ad conceptionem ineptum est, vt paulò post ipse dicturus est. Quæ frigidos ac densos habent vteros, non concipiunt. Quod autem sub finem aphorismi scribitur; *ipsam nosce per se infœcundam esse*, ipsius aphorismi vsum demonstrat. Sæpe enim vt sacerdotalis quædam aut regalis supersit soboles, studiosè faciunt ciuitates, vt ab iis seu viris seu mulieribus susceptos liberos habeant, ad quos solos eius progeniei spes est redacta: deinde vbi mulieres non concipiunt, vtrius causâ id accidat quæritur, vt facto diuortio ex aliis liberi suscipiantur. Atque hanc Plato in Thæteto doctarum pronubarum artem esse innuere videtur. Tota autem ea de re disputatio paulò post absoluetur, vbi omnes ad id attinentes aphorismos explicabimus.

D ΤΟ θυμία ῥῆμα, τῆς ὕλης ἐνδεικτικόν ἐστι, τῆς θυμιᾶσθαι πεφυκυίας, λιβανωτοῦ δηλονότι, καὶ σμύρνης, καὶ στύρακος, ὅσα τἄλλα, θερμὰ μὲν τὴν κρᾶσιν, εὐώδη δὲ ἱκανῶς. βούλεται γὰρ εἰς ὅλον ἀνενεχθῆναι τὸ σῶμα τὴν ἀπ᾽ αὐτῶν δύναμιν, ἵνα καὶ κατὰ τὸ στόμα, καὶ κατὰ τοὺς μυκτῆρας αὐτῆς γινομένης, αἴσθηται σαφῶς ἡ γυνή. μόναις οὖν ἐκείναις οὐ διαδοθήσεται πρὸς ὅλον τὸ σῶμα τῶν θυμιαμάτων ἡ ποιότης, ὅσαις σκληρὸν ἢ πυκνόν ἐστι τὸ τῆς ὑστέρας σῶμα. τοιοῦτον δὲ ὂν, οὐκ ἐπιτήδειον εἰς τὰς συλλήψεις ἐστὶν, ὡς καὶ αὐτὸς μικρὸν ὕστερον ἐρεῖ. ὁκόσαι ψυχρὰς, καὶ πυκνὰς ἔχουσι τὰς μήτρας, οὐ κυΐσκουσι. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ γεγραμμένον ἐν ᾧ φησὶ, γίνωσκε ὅτι οὐ δι᾽ ἑαυτὴν ἄγονός ἐστι, ἐνδεικτικόν ἐστι τῆς χρείας αὐτοῦ. πολλάκις γὰρ ἕνεκα διαμονῆς γένους, ἤτοι γε ἱερατικοῦ τινὸς, ἢ βασιλικοῦ, σπουδάζουσιν αἱ πόλεις ἔκγονα ἔχειν ἀνδρῶν ἢ γυναικῶν, εἰς οὓς αὖ ἔτι μόνους καθέστηκε τὸ γένος. εἶθ᾽ ὅταν αἱ γυναῖκες μὴ κυΐσκωσιν, ζήτησις γίγνεται, δι᾽ ὁπότερον αὐτὸ συμβαίνει τοῦτο. καὶ ταύτην αἰνίττεται τὴν τέχνην εἶναι ταῖς ἀγαθαῖς προμνηστρίαις, ὁ Πλάτων ἐν Θεαιτήτῳ. λεχθήσεται δὲ ὁ σύμπας λόγος ὀλίγον ὕστερον, ὅταν ἅπαντας ἐξηγησώμεθα τοὺς διαφέροντας εἰς αὐτὸν ἀφορισμούς.

E

F

A

Τὰς καθάρσεας τῇσι γυναικὸς κυούσης πορευομένας τὸ ἔμβρυον ἀσθενὲς καὶ νοσηρὸν σημαίνειν.

Menstrua grauidæ prodeuntia fœtum imbecillum & ægrum significare.

ΑΦΟΡΙΣΜΟΣ ξ'.

Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύονται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

APHORISMVS LX.

SI mulieri vtero gerenti purgationes prodeant, fœtum esse sanum impossibile.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B

Καὶ τὸ καθάρσιες πληθυντικῶς εἰρημένων, καὶ τὸ, πορεύωνται, μετ' αὐτοῦ λεγόμενον, ἐνδείκνυται μήτε ὀλίγον εἶναι τὸ ἐκκενούμενον αἷμα, μήτε ἅπαξ, ἀλλὰ καὶ πολλάκις καὶ πολύ. τὸ γὰρ ἅπαξ ἢ δὶς ὀλίγον ἐκκενωθὲν, ἐπιφαίνεται πολλάκις ἄνευ τοῦ πεπονθέναι τι τὸ ἔμβρυον. ὅταν δὲ μηδὲν ἀπολείπηται τοῦ πλήθους τῆς τῶν ἐμμηνίων καθάρσεως, ἐφεξῆς δὲ καὶ σώζηται τὴν προθεσμίαν τῶν περιόδων κατὰ τοὺς μῆνας, ἀδύνατον ὑγιαίνειν τὸ ἔμβρυον, εἴπερ γε τὸ ἐρρωμένον εἰς τροφὴν ἑαυτοῦ καταχρῆται τῷ φερομένῳ εἰς τὰς μήτρας ἐξ ὅλου τοῦ σώματος. ἥ γε μὴν ἔκκρισις, ἡ γινομένη ταῖς κυούσαις, ἐκ τῶν κατὰ τὸν αὐχένα φλεβῶν ἔοικεν ἐπιφαίνεσθαι. τῶν γὰρ ἔνδον ἐν αὐτῷ τῷ κύτει τῆς μήτρας ἐξήρτηται τὸ χορίον, ὥστε οὐδὲν δι' ἐκείνων εἰς τὸν γυναικεῖον κόλπον ἐκκενωθῆναι δύναται.

C

GALENI COMMENTARIVS

ATque nomen *purgationes* numero plurali enunciatum, ipsique verbum, *prodeunt*. adjunctum, neque paucum qui excernatur, sanguinem esse, neque semel; sed sæpè ac multum erumpere. Qui nanque semel aut bis paucus excernitur *sanguis*, in multis citra vllam fœtus læsionem conspicitur. Quum verò nihil à purgationis menstruorum multitudine differt, seruatque deinceps menstruæ circuitionis terminum, non potest fœtus esse sanus. Fœtus siquidem fortis ac robustus ad sui alimentum abutitur sanguine, qui ex toto corpore ad vteros fertur. At excretio quæ grauidis accidit ex ceruicis vteri venis fieri videtur: Nam ab internis vteri partibus secundæ pendent; quare nihil per eas in muliebrem sinum excerni potest.

Τὴν καταμηνίων ἐπίσχεσιν, καὶ τὴν ἄσην καὶ τὴν κίσσαν ἄνευ τῆς φρίκης, καὶ τοῦ πυρετοῦ τὰ τῆς κυήσεως εἶναι σημεῖα.

D

Menstruorum retentionem ciborum fastidium, & picam, citrà horrorem & febrem grauiditatis esse signa.

ΑΦΟΡΙΣΜΟΣ ξα'.

Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγινομένου, ἄσαι δὲ αὐτῇ προσπίπτωσι λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

APHORISMVS LXI.

SI mulieri purgationes non prodeant, neque horrore, neque febre succedente ciborum, ipsi accidant fastidia, hanc grauidam esse ratione ducito.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τῶν ἀμέμπτως καθαιρομένων γυναικῶν. εἶτ' ἐξαίφνης ἐπισχεθεισῶν τῶν καθάρσεων, ἄνευ φανερᾶς αἰτίας, τὸν λόγον τοῦτον ὁ Ἱπποκράτης ἐποιήσατο, διδάσκων ἡμᾶς ἅπερ αἱ πλεῖσται τῶν γυναικῶν διὰ πείρας ἴσασιν. ὅταν γὰρ ἀσώδεις ὦσιν ἐπεσχημένων τῶν καταμηνίων, συνειληφέναι τεκμαίρονται. γίνεται δὲ ἡ ἄση, καθ' ὃν λόγον καὶ ἡ κίσσα, τοῦ στομάχου κεκακωμένου ταῖς συνειληφυίαις. ἐγχωρεῖ δέ ποτε, καὶ διὰ τὴν ἐν ὅλῳ τῷ σώματι κακοχυμίαν συμβῆναι, τὸ τοιοῦτον. ἀλλὰ φρικώδεις τε, καὶ πυρετώδεις ἐκεῖναι γίγνονται, καὶ ταύτῃ διαφέρουσι τῶν κυουσῶν.

F

GALENI COMMENTARIVS.

IN iis quæ rectè antea purgantur mulieribus, & quibus derepente sine causa manifesta supprimuntur purgationes, hanc orationem fecit Hippocrates; quâ nos ea docet quæ plurimæ mulieres ipsa experientia didicerunt. Quum enim menstruis suppressis ciborum fastidio laborant, tum se concepisse coniiciunt. Fit autem cibi fastidium, eádem quâ pica ratione, ore ventriculi grauidis mulieribus deprauato. Interdum etiam propter vitiosos vniuersi corporis humores, aliquid eiusmodi accidere potest; verùm id cum horrore & febre quadam patiuntur, atque his à grauidis distinguuntur.

Quot

A

Quot modis & causis mulieres fœcundæ aut in fœcundæ sint.

APHORISMVS LII.

QVÆ frigidos ac densos habent vteros, non concipiunt; & quæ præhumidos habent vteros, non concipiunt; in ipsis enim genitura extinguitur; & quæ vltra modum aridos ac æstuosos: alimenti nanque penuriâ semen corrumpitur. At quæ ex vtrisque commoderatam temperiem sortitæ sunt, eæ fœcundæ euadunt.

GALENI COMMENTARIVS.

SI mihi liceret consentaneum omnibus aphorismis ordinem imponere, non essem veritus paulo antea pronunciatum aphorismum in huius locum transferre, vt absoluta de mulierum purgationibus oratione, quæ de ipsis est vteris, ea deinceps scriberetur, & quot modis sterilescant, mulieres ipsa doceret. Primus itaque inter eos ordine fuerit is aphorismus. In quo dicebat: *Si mulier vtero non concipiat, scire autem velis, an conceptura sit, eam vestibus obuolutam, subter suffito.* Secundus autem is est nunc à nobis propositus, cuius summa est; Probè quidem temperatos vteros ad conceptionem idoneos esse; intemperatos verò, si mediocriter quidem id patiantur, difficulter concipere; si verò immoderatiùs, infœcundas mulieres efficere. Proindeque virorum etiam infœcunditatis causa simul intelligitur, quæ multos latet. Verùm qui quæ pronunciantur *ab Hippocrate*, iis accuratè mentem adhibuerit, is primùm nouerit, cur etiam virorum nonnulli prorsus infœcundi sint; secundum deinde, temperatos quidem tam viros quàm mulieres semper gignere, etiamsi cum intemperatis coeant. Intemperatos verò cum iis solis qui contrario sunt temperamento, copulatos generare discet. Priùs tamen de mulierum sterilitate dicendum, quarum vteri statim ab initio intemperata est constitutio, exuperante vel vnica primarum qualitatum, vel duabus; quemadmodum in Commentariis de temperamentis explicauimus, vbi intemperies omnes octo esse demonstrauimus, simplices quidem quatuor, quarum nunc Hippocrates meminit; compositas autem alias quatuor his simplicibus inuicem implicatis. Quum itaque immoderata frigiditas tantum exuperat vt densiorem vterum efficiat; summè quidem angusta sunt vasorum ad ipsum procedentium ora; mulieres verò steriles redduntur. Quare neque secundæ vasorum orificiis connecti queunt, neque si hoc aliquando fiat, conceptus probè

Πόσοις τοῖς τρόποις, καὶ ταῖς αἰτίαις, αἱ γυναῖκες ἐπίτεκνοι, καὶ ἄτεκνοι ὦσι.

ΑΦΟΡΙΣΜΟΣ ξβ'.

ΟΚόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσι, οὐ κυίσκουσι. καὶ ὁκόσαι καθ' ὑγρὰς ἔχουσι τὰς μήτρας, οὐ κυίσκουσιν, ἀποσβέννυται γὰρ αὐταῖς ὁ γόνος. B καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαεῖς· ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι συμμέτρως, ἐπίτεκνοι γίγνονται αἱ τοιαῦται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙ τὴν προσήκουσαν ἅπασι τοῖς ἀφορισμοῖς ἐξῆν ἐπιθεῖναί μοι τάξιν, οὐκ ἂν ὤκνησα μεταθεῖναι τὸν ὀλίγον ἔμπροσθεν εἰρημένον ἀφορισμὸν, εἰς τὴν τοῦδε C χώραν, ὥστε συμπληρωθέντος τοῦ περὶ τῶν καθάρσεων λόγου, τὸν περὶ τῶν μητρῶν αὐτοῦ, ἐφεξῆς γεγράφθαι, διδάσκοντες αὐτοῦ καὶ πόσοις τρόποις αἱ γυναῖκες γίνονται στεῖραι. πρῶτος οὖν τῶν ἐν αὐτοῖς ἐκεῖνος ὁ ἀφορισμὸς ἔσται, καθ' ὃν ἔφη, ἢν γυνὴ μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοις, θυμία κάτω, δεύτερος δὲ οὗτος ὁ νῦν ἡμῖν προκείμενος, οὗ τὸ κεφάλαιόν ἐστι. τὰς μὲν εὐκράτους μήτρας ἐπιτηδείας εἶναι πρὸς σύλληψιν, τὰς δὲ δυσκράτους, ἐὰν μὲν τοῦτο μετρίως πεπόνθασι, δυσχερῶς συλλαμβάνειν. D ἐὰν δὲ ἀμέτρως, στείρας ἐργάζεσθαι τὰς γυναῖκας· ὥστε συνεπινοεῖται μὲν ἡ τῆς τῶν ἀνδρῶν ἀγονίας αἰτία, λανθάνει δὲ τοὺς πολλούς. ἀλλ' ὁ προσέχων ἀκριβῶς τὸν νοῦν τοῖς λεγομένοις, πρῶτον μὲν εἴσεται διά τι, καὶ τῶν ἀνδρῶν ἔνιοι παντάπασιν ἄγονοι γίνονται, δεύτερον δὲ ἐπὶ τῷδε περὶ μὲν τῶν εὐκράτως ἐχόντων ἀνδρῶν τε καὶ γυναικῶν, ὡς ἀεὶ γεννῶσι, κἂν καὶ δυσκράτοις μίγνυνται, περὶ δὲ τῶν δυσκράτων, ὡς μετὰ τῶν ἐναντίων μόνων. εἰρήσεται γοῦν πρότερον περὶ τῶν στειρῶν γυναικῶν, ὧν ἡ κατασκευὴ καὶ μήτρας εὐθὺς ἐξ E ἀρχῆς ἀμέτρως ἐστὶ δύσκρατος, ἐπικρατούσης ἤτοι μιᾶς τῶν πρώτων, ἢ δυοῖν, ὡς ἐν τοῖς περὶ κράσεων ὑπομνήμασι διώρισται, δεικνύντων ἡμῶν, ὀκτὼ τὰς πάσας εἶναι δυσκρασίας, ἁπλᾶς μὲν τέτταρας, ὧν καὶ νῦν Ἱπποκράτης ἐμνημόνευσε· συνθέτους δὲ ἄλλας τέτταρας ἀλλήλαις ἐπιπλεκομένας τούτων. ἔνθα μὲν οὖν ἐπικρατεῖ ψυχρότης ἄμετρος, ὡς πυκνὴν ἐργάσασθαι τὴν μήτραν, στενὰ μὲν ἐσχάτως ἐπὶ τούτων ἐστὶ τὰ στόματα τῶν εἰς αὐτὴν καθηκόντων ἀγγείων. στεῖραι δὲ αἱ F γυναῖκες, ὡς ἂν μήτε συμφῦναι τοῦ χορίου δυναμένου τοῖς στόμασι τῶν ἀγγείων, μήτ' εἰ τοῦτό ποτε γένοιτο, τραφῆναι καλῶς τὸ κύημα. ἢ γὰρ οὐδ' ὅλως αἱ καθάρσεις γίνονται ταῖς τοιαύταις, ἢ παντάπασιν

ὀλίγαι, καὶ αὗται μοχθηραὶ, μόνου τοῦ λεπτοτέρου καὶ ὑδατωδεστέρου διεκπίπτοντος τοῦ αἵματος. καὶ γὰρ οὖν, καὶ ῥᾳδίως ἐμφράττεται ταῦτα, διά τε τὴν οἰκείαν στενότητα, καὶ διότι φλεγματικώτερον ἀθροίζουσι χυμὸν αἱ τοιαῦται γυναῖκες ὡς τὸ πολύ. καὶ γὰρ καὶ τὸ σύμπαν σῶμα τούτων ἐπίπαν ὅμοιόν ἐστι ταῖς μήτραις. ἐγχωρεῖ δὲ καὶ ψυχθῆναι τὸ τοῦ ἄρρενος σπέρμα κατὰ τὰς τοιαύτας μήτρας, εἰ μὴ θερμότερον εἴη φύσει. πρώτης μὲν οὖν τῆς ψυχρᾶς κράσεως Ἱπποκράτης ἐμνημόνευσεν, εἰπὼν, ὁπόσαι ψυχρὰς, καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν. οὐ μὰ Δία συμπλέξαι βουλόμενος ἐπ᾽ αὐτῶν τῇ ψυχρότητι τὴν πυκνότητα, καθάπερ εἰ καὶ ξηρότητα προσέθηκεν, ἢ ὑγρότητα. τούτων μὲν γὰρ οὐδετέρα διὰ παντὸς ἕπεται τῇ ψυχρότητι, καὶ διὰ ταῦτα ἀνὰ μέρος ἑκατέρα μίγνυται. πυκνότης δὲ ἐξ ἀνάγκης σύνεστι ταῖς ἄγαν ψυχραῖς ὑστέραις, δι᾽ ἣν οὐδὲ κυῆσαι δύνανται καθότι προείρηται. καὶ τοίνυν, ἀκούσωμεν οὕτω τοῦ κατὰ τὸν ἀφορισμὸν λόγου παντὸς, ὅσαι ψυχρὰς τὰς μήτρας ἔχουσιν, οὐ κυΐσκονται διὰ τὴν πυκνότητα τῆς οὐσίας αὐτῶν. διὰ τί δὲ ἡ πυκνότης ἐναντιοῦται τῇ κυήσει, παρέλιπεν εἰπεῖν, ὡς ἡμῶν συνιέναι δυναμένων. καὶ ὅσαι δὲ ὑγρὰς ἀμέτρως ἔχουσι τὰς μήτρας, οὐ κυΐσκονται, σβέννυται γὰρ ὁ γόνος, ὥσπερ ἐν τελματώδει γῇ τὰ δημήτρια σπέρματα· καὶ μὴν ὅσαι ξηρὰς, παραπλήσιόν συμβαίνει τοῖς εἰς ψάμμον, ἢ εἰς ἀργιλώδη γῆν, ἢ πετρώδη καταβαλλομένοις σπέρμασι. κατὰ δὲ τὰς ἀμέτρως θερμὰς, τοῖς εἰς πάνυ θερμὴν, οἷάπερ ἐστὶν ἐν τοῖς ὑπὸ κύνα καύμασιν. οὕτω μὲν δὴ τεττάρων ποιοτήτων ὁ Ἱπποκράτης ἐμνημόνευσεν, ἑκάστης ἰδίᾳ τὴν δύναμιν ἐξηγησάμενος, ἵν᾽ εἰ καί ποτε μιχθεῖεν ἀλλήλαις, εὔδηλος ἡ μίξις ὑπάρχῃ. μετὰ δὲ ταῦτα, φησιν, ὅσαι δὲ ἐξ ἀμφοτέρων τῇ κράσει συμμέτρως ἔχωσιν, ἐπίτεκνοι γίνονται· τίνων ἀμφοτέρων, οὐ τῶν ποιοτήτων δηλονότι, τέτταρες γάρ εἰσιν, ἀλλὰ τῶν κατ᾽ αὐτὰς ἀντιθέσεων. ὡς γὰρ ἐν τοῖς περὶ κράσεων ἐδείχθη, μία μὲν εὐκρασία γίνεται· συμμέτρως ἀλλήλοις μιχθέντων, τοῦ ψυχροῦ, καὶ τοῦ θερμοῦ. μία δὲ ἄλλη, τοῦ θ᾽ ὑγροῦ καὶ τοῦ ξηροῦ, καὶ δύναταί τις ὑστέρα, κατὰ μὲν τὴν ἑτέραν ἀντίθεσιν εὔκρατος εἶναι, κατὰ δὲ τὴν ἑτέραν, δύσκρατος. ἀλλ᾽ εἰς μὲν τὸ μὴ κυΐσκεσθαι, καὶ ἡ ἑτέρα τῶν δυσκρασιῶν, ἱκανή. γίνεσθαι δὲ ἐπίτεκνον γυναῖκα, χωρὶς τῶν ἀμφοτέρων εὐκρασιῶν, ἀδύνατον· ὁ μὲν οὖν Ἱπποκράτης ὥσπερ τὸν ἔμπροσθεν λόγον ἅπαντα περὶ τῶν γυναικείων ἔγραψεν, οὕτω καὶ τόνδε τὸν νῦν εἰρημένων ὑπὲρ τῶν κατὰ τὰς ὑστέρας κράσεων, οὐ μὴν γέ τι προσέγραψε περὶ τῶν ἀνδρῶν, ἤτοι γ᾽ ὡς ἐκ τῶν εἰρημένων ἕτοιμον ἡμῖν ὂν, ἐπὶ τὸ σπέρμα τὰς αὐτὰς δυσκρασίας μετενεγκεῖν, ἢ ὡς ὕστερον μὲν εἰπεῖν ἀναβαλλόμενος, ἐπιλαθόμενος. τινὲς δὲ μέντοι προσέγραψαν ὑπὲρ τῶν ἀρρένων ἐφεξῆς ἀφορισμὸν ἕτερον, οὗ ἡ ἀρχὴ, παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων, ὃν οἱ δοκιμώτατοι τῶν ἐξηγησαμένων τοὺς ἀφορισμοὺς λείπεσθαί φασι φανερῶς καὶ τῆς διανοίας τοῦ Ἱπποκράτους, καὶ τῆς ἑρμηνείας· καὶ μέντοι, καὶ κατὰ τὴν ἀναλογίαν ὧν ἐ-

A nutriri. Vel enim nullo prorsus modo hisce mulieribus fluunt purgationes, vel omnino paucæ, hæque ipsæ vitiosæ, solo tenuiore & aquosiore sanguine perlabente. Enimverò ipsa quoque *ora* facilè obstruuntur cùm propter natiuam angustiam, tum propter pituitosiorem humorem quem plerunque eiusmodi mulieres accumulant, quarum certè vniuersum corpus fere est vtero simile. Quinetiam maris quoque semen talibus uteris exceptum refrigerari contingit, nisi sit natura calidius. Primi itaque temperamenti frigidi his verbis B meminit Hippocrates: *Quæ frigidos ac densos vteros habent*, non per Iouem in ipsis volens implicare cũ frigiditate densitatem non secus ac si siccitatem aut humiditatem addidisset. Harũ enim neutra frigiditatem perpetuò comitatur, proptereáque ipsi modò vna, modò altera miscetur. Densitas verò vteris admodum frigidis adest necessario, ob quam concipere nequeunt, prout explicatum est. Proindque totam huius aphorismi sententiam sic accipiemus. Quæ frigidos vteros habent, non concipiunt ob substantiæ ipsorum densitatem. Cur verò conceptioni aduersetur densitas di- C cere prætermisit, tanquam nobis intelligere valentibus. *Et quæ immoderatiùs præhumidos habent vteros, non concipiunt; in ipsis enim extinguitur genitura*, quemadmodum in terra pallustri cerealia semina. Et quæcunque siccos vel adurentes habent vteros, ob alimenti penuriam non concipiunt; Nam siccis vteris tale quiddam accidit, quale quum aut arenæ, aut argillosæ telluri & putrosæ semina mandantur. Calidis verò immoderatè & ardentibus contingit quale vbi valde calenti D terræ per caniculæ ardores semina committuntur. Sic profectò quatuor qualitatum Hippocrates meminit, singularum seorsim facultate exposita: vt si quando inuicem misceantur, manifesta sit earum commixtio. Post hæc autem, inquit: *At quæ ex vtrisque commoderatam temperiem sortitæ sunt, eæ fœcundæ euadunt*. Quibus vtrisque? Non profectò qualitatibus) sunt enim quatuor) sed ipsarum oppositionibus. Vt enim in libris de temperamentis demonstratum est, vna quidem est temperies ex calido ac frigido, altera verò humido & sicco commoderatè inter se mixtis. Atque E vterus aliquis vnâ quidem oppositione temperatus, altera verò intemperatus esse potest: Verùm ne mulier concipiat, potest etiam altera intemperies efficere. Mulierem autẽ fœcundam euadere, citra vtramque probã temperiem fieri non potest. Quemadmodum igitur Hippocrates superiorem de mulieribus vniuersam disputationem scripsit: sic etiam hîc præsentem de vteri temperamentis loquitur. Nihil tamen quicquam ipse de viris addidit; vel quia nobis promptum facileque esset ex iis quæ protulit, easdem ad semen intemperies transferre, vel F quum in posterum sermonem distulisset, postea oblitus est dicere. Quidam tamen alterũ deinceps aphorismum de maribus ascripsere, cuius initium est; *similiter etiam in maribus*. Sed probatissimi aphorismorũ Interpretes affirmant ipsũ ab Hippocratis sententia & eloqutionis ra-

tione manifestè deficere. Et verò ad analogiam eorum quæ de mulieribus scripsit Hippocrates, licet nobis ad viros transeuntibus dicere vel propter temperamenti frigiditatem non planè semen ipsis concoqui; atque propterea si mediocris ipsi intemperies adest, vterum calidiorem postulare. Si verò immoderata sit, omnino infœcundum esse, vel propter humiditatem rursus non concoqui, idque etiam, si moderata sit intemperies, vtero calidiori ac sicciori indigere: Si verò immoderata, infœcundum existere. Eodem quoque modo excedente etiam calore semen prætorrido cremio quid simile fieri; ob siccitatem verò prima procidentia extendi non posse, qua maximè re, ad mulieris grauiditatem opus est. In Libris siquidem de semine ostendimus nisi per plurimam fundi vteri partem, semen extendatur, mulierem non concipere. His igitur veluti quibusdam elementis à nobis astructis, deinceps dicamus quod huc supra dicere distulimus à Platone in Thæeteto propositum: Inquit enim hoc esse maximum munus obstetricum scire apta ad liberorum procreationem corpora conciliare inter se ac copulare (quæ res hoc aphorismo est tradita) simulque posse qui viri infœcundi sint, & quæ mulieres steriles dignoscere: Nam immoderatæ intemperies horum sunt causæ; moderatæ vero si sint, & contrariis coniungantur, tunc grauidæ fient mulieres; si verò similibus copulentur, non concipient. Non enim fieri potest vt frigidius semen in vtero frigidiore fœcundetur, vt nec quoque siccius in sicciore, & cæterorum alterutrum eodem modo: verum frigidius quidem semen tantò calidiore vtero indiget, quantò ipsum longiùs abest ab optima temperatione; humidius verò sicciore; eodemque modo in cæteris. At dignotio omnis immoderationi vteri intemperies est, & quam paulò ante Hippocrates per aromatum suffitum fieri pronunciauit. Frigiditas enim propter vteri densitatem ad os & nares sursum aromatum halitum efferri non sinit: eodem modo nec siccitas. Humiditas verò quemadmodum Hippocrati dicta est genituram extinguere: ita aromatum quoque qualitatem obtundet. Reliqua vehemens est caliditas quæ si odorum facultatem alterabit & corrumpet; atque propterea ipsam, seruatâ sinceritate, ad os & nares subuehi non permittet; satis tum in his etiam calidioribus naturis esse poterit ad sterilitatis dignotionem aromatum suffitio. Si verò hæc præstare nequeat, ex aliis tunc nobis indiciis erit eiusmodi spectanda natura, hoc ipsum imprimis tenentibus raram admodum in mulieribus talem temperationem esse; quandoquidem fœmina naturâ est mare frigidior. Quare ob id etiam quam ex aromatum suffitu mulierum sterilium explorationem facit Hippocrates, ea vtilissima est, quum vel omnis immoderata intemperies isti subjiciatur, vel rarissimè vnica ipsâ effugiat in mulieribus illis quæ tenues, nigræ & hirtæ apparent: itaut ex his signis immoderata ipsarum

γράφειν ἐπὶ τῶν γυναικῶν ὁ Ἱπποκράτης, ἔστιν ἡμῖν ἐ-
A πὶ τοὺς ἄνδρας μεταβαίνουσι λέγειν, ἤτοι διὰ τὴν ψυχρότητα τῆς κράσεως οὐκ ἀκριβῶς πέττεσθαι τὸ σπέρμα, καὶ διὰ τοῦτο μετρίας μὲν τῆς ἐν αὐτῷ γινομένης δυσκρασίας, δεῖσθαι μήτρας ἱκανῶς θερμῆς, ἀμέτρου δ' ὑπαρχούσης, ἄγονον εἶναι παντάπασιν, ἢ δι' ὑγρότητα πάλιν οὐκ ἐκπέττεσθαι, καὶ δεῖσθαι καὶ τότε μετρίας μὲν τῆς δυσκρασίας οὔσης, θερμοτέρας τε καὶ ξηροτέρας τῆς μήτρας, ἀμέτρου δὲ γινομένης, ἄγονον ὑπάρχειν. ὡσαύτως δὲ διὰ μὲν ὑπερβάλλουσαν θερμότητα πεφρυγ-
B μένῳ παραπλήσιόν τι γίνεσθαι τὸ σπέρμα. διὰ δὲ ξηρότητα, μηδ' ἐκταθῆναι δύνασθαι κατὰ τὴν πρώτην ἔκπτωσιν, οὗ μάλιστα δεῖ πρὸς τὸ κυῆσαι τὴν γυναῖκα. δέδεικται γὰρ ἐν τοῖς περὶ σπέρματος λόγοις, εἰ μὴ τῷ πλείστῳ τοῦ κύτους τῆς μήτρας ἐπεκταθείη τὸ σπέρμα, μὴ συλλαμβάνειν αὐτήν. τούτων οὖν ἡμῖν ὥσπερ στοιχείων προκατεσκευασμένων ἐφεξῆς εἴπωμεν ὅπερ ἔμπροσθεν εἰπεῖν ἀνεβαλλόμεθα, προβεβλημένων ὑπὸ τοῦ Πλάτωνος ἐν τῷ Θεαιτήτῳ. φησὶ γὰρ τοῦτο ἔργον εἶναι μέγιστον τῶν μαιῶν, ὡς ἐπίστασθαι συνάγειν ἀλλήλοις ἐπιτή-
C δεια σώματα πρὸς κύησιν, ὅπερ ἐδείχθη νῦν ἐν τῷ λόγῳ, μετὰ τοῦ διαγινώσκειν δύνασθαι, τινὲς μὲν ἄγονοι τῶν ἀνδρῶν εἰσί, τινὲς δὲ στερίφαι τῶν γυναικῶν. αἱ μὲν γὰρ ἄμετροι δυσκρασίαι, τούτων αἰτίαι· μέτριαι δ' εἴπερ εἰσί, εἰ μὲν ταῖς ἐναντίαις συνάγοιντο, κυήσουσιν αἱ γυναῖκες, εἰ δὲ ταῖς ὁμοίαις, οὐ κυήσουσιν. οὐ γὰρ οἷόν τέ ἐστι τὸ ψυχρότερον σπέρμα κατὰ τὴν ψυχροτέραν ὑστέραν τελεσφορεῖσθαι, καθάπερ οὐδὲ τὸ ξηρότερον ἐν τῇ ξηροτέρᾳ, καὶ τῶν ἄλλων ἑκάτερον ὡσαύτως. ἀλλὰ δεῖται τὸ μὲν ψυχρότερον σπέρμα τοσούτῳ θερμοτέρας
D ὑστέρας, ὅσῳπερ ἂν αὐτὸ τῆς ἀρίστης ἀπολείπηται κράσεως, τὸ δ' ὑγρότερον τῆς ξηροτέρας, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. διάγνωσις δὲ πασῶν τῶν ἀμέτρων κατὰ τὴν ὑστέραν δυσκρασιῶν ἐστίν, ἣν ὀλίγον ἔμπροσθεν εἴρηκεν ὁ Ἱπποκράτης διὰ τῆς τῶν ἀρωμάτων πυρίας. ἡ μὲν γὰρ ψυχρότης, διὰ τὴν πυκνότητα τῆς ὑστέρας, οὐκ ἐᾷ μέχρι τοῦ στόματος, καὶ τῶν ῥινῶν ἀναφέρεσθαι τὴν ὀσμὴν τῶν θυμιωμένων, ὡσαύτως δὲ καὶ ἡ ξηρότης. ἡ δὲ ὑγρότης ὥσπερ τὸν γόνον ὑπ' αὐτοῦ λέλεκται σβεννύειν, οὕτω καὶ τὴν τῶν ἀρωμάτων ποιότητα. λοιπὴ δὲ ἡ σφοδρὰ θερμότης, εἰ τὴν τῶν ἀρωμάτων δύναμιν ἀλλοιώ-
E σει τε, καὶ διαφθείρει, καὶ διὰ τοῦτο οὐκ ἐάσει διασώζουσαν αὐτὴν τὸ εἰλικρινὲς ἀναφέρεσθαι πρός τε τὸ στόμα καὶ τὰς ῥῖνας αὐτάρκης, κἀπὶ τούτων τῶν φύσεων, εἰς διάγνωσιν, καὶ τῶν ἀρωμάτων γενέσθαι πυρία. εἰ δὲ οὐχ ἱκανὴ ταῦτα δρᾶν ἐστίν, ἐξ ἄλλων γνωρισμάτων ἐπισκεπτέον ἡμῖν ἔσται τὴν τοιαύτην φύσιν, αὐτὸ τοῦτο πρῶτον ἐγνωκότας, ὡς ἔστι σπάνιος ἡ τοιαύτη κρᾶσις ἐπὶ τῶν γυναικῶν, ἐπειδὴ φύσει ψυχρότερόν ἐστι τὸ θῆλυ, τοῦ ἄρρενος. ὥστε καὶ διὰ τοῦτο τὴν Ἱπποκράτους διά-
F γνωσιν ἣν ἐκ τῆς τῶν ἀρωμάτων ποιεῖται πυρίας ἐπὶ τῶν στειφῶν γυναικῶν εἶναι χρησιμωτάτην ἤτοι πάσης ἀμέτρου δυσκρασίας ὑποπιπτούσης, ἢ κατὰ τὸ σπάνιον ἐκφευγούσης αὐτὴν μιᾶς ἐπ' ἐκείνων τῶν γυναικῶν αἳ λεπταί τε φαίνονται, καὶ μέλαιναι, καὶ δασεῖαι, ὥστε ἐξ αὐ-

τῶν τούτων, γινώσκεσθαι τὴν ἀμετρίαν τῆς κράσεως, ἄνευ τῆς διὰ τῶν ἀρωμάτων πυρίας.

A intemperies sine aromatum suffitu percipiatur.

Τὰς ἐπὶ τῶν ἀρρένων καὶ τῶν γυναικῶν ἀγονίας εἶναι παραπλησίας. Ἀλλὰ τοῦτον ἀφορισμὸν νόθον ἀποδοκιμάζει ὁ Γαληνὸς ὃς τὴν ἀραιότητα τοῦ σώματος τῆς ἀφορίας οὐκ αἰτίαν εἶναι διδάσκει.

In viris & mulieribus sterilitatis causas esse similes. Sed hunc aphorismum vt spurium improbat Galenus qui raritatem corporis sterilitatis non esse causam docet.

ΑΦΟΡΙΣΜΟΣ. ξγ΄.

Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων, ἢ γὰρ δι᾽ ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται, πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα, ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω, ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυροῦται ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον, ἢ διὰ τὴν θερμασίην τὸ αὐτὸ τοῦτο γίνεται.

APHORISMVS LXIII.

B *Consimilis verò est in maribus ratio; aut enim propter corporis raritatem spiritus extra fertur, ita ut semen non eiaculetur; aut propter densitatem humor foras non excernatur; aut ob frigiditatem non accenditur, vt ad eum locum cogatur; aut ob caliditatem hoc idem contingit.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ τοῦτον παραθεὶς τὸν ἀφορισμὸν, οὐδὲ τῶν ἰδίων ἀκούει φωνῶν. ἐπαγγειλάμενος γὰρ ἐπὶ τῶν ἀρρένων παραπλήσιον ποιήσασθαι τὸν λόγον, ὥσπερ ἐπὶ τῶν γυναικῶν ὁ Ἱπποκράτης ἔγραψεν, οὐκ ἔπραξε τοῦτο. τεττάρων γὰρ ἐκεῖνου δυσκρασιῶν μνημονεύσαντος ἐχρῆν, καὶ τοῦτον ἐπὶ τῶν ἀρρένων εἰρηκέναι τὰς τέσσαρας, ὥσπερ ἡμεῖς ἐποιήσαμεν. ὁ δὲ οὐχ οὕτως, ἀλλὰ πρῶτον μὲν τὴν ἀραιότητα εὐθέως τοῦ σώματος μέμφεται, μὴ λελεγμένην ἐπὶ τῶν γυναικῶν, εἶτ᾽ οὐδ᾽ αὐτὸς ὁ λόγος αὐτὸς καθ᾽ ἑαυτὸν ἐξεταζόμενος, ἀληθής ἐστι. φαίνονται γὰρ οὐκ ὀλίγοι τῶν ἀνδρῶν, ἀραιὸν μὲν ἔχοντες τὸ σῶμα, γονιμώτατον δὲ σπερμαίνοντες, καὶ οὐδὲν θαυμαστόν· ἡ γὰρ ἀραιότης τοῦ σώματος ἐπὶ θερμοτέραις ἅμα καὶ ὑγροτέραις γίνεται κράσεσιν, αἵπερ δὴ μάλιστά εἰσι πολυσπερμόταται ἅμα, καὶ γονιμώταται. καὶ γὰρ καὶ τὴν ὕλην ἔχουσιν ἐξ ἧς τὸ σπέρμα γίνεται δαψιλῆ, καὶ τὴν δύναμιν ἐξ ἧς πέττεται. ἐξακοντίζεται δὲ τὸ σπέρμα, τῇ συντονίᾳ τῶν σπερματικῶν ἀγγείων ἐκθλιβόμενον, οὐχ ὑπὸ πνεύματος ὠθούμενον· ἀναμέμικται μὲν γὰρ οὐσία πνευματικὴ τῇ τοῦ σπέρματος ὑγρότητι, δεῖται δὲ καὶ αὕτη τῶν ἐκθλιβόντων αὐτὴν, ὥσπερ καὶ ἡ ὑγρότης, τοσοῦτον πλεονεκτοῦσα τῆς ξηρότητος, ὅσον καὶ θᾶττον ἐξακοντίζεται, καὶ μέχρι πλείονος φέρεται. ταῦτα μὲν οὖν ὁ παραγράψας τὸν ἀφορισμὸν ἀγνοεῖ, καὶ πρὸς τούτοις ὅταν φῇ, διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρεῖν ἔξω. εἰ μὲν γὰρ ὑγρὸν ἄλλο τι λέγει, καὶ μὴ τὸ σπέρμα, ληρώδης ὁ λόγος, εἰ δὲ τὸ σπέρμα φησὶ διὰ τὴν πυκνότητα τοῦ σώματος ὅλου, μὴ διαχωρεῖν ἔξω, παντάπασιν ἀγνοεῖ τὴν τῶν σπερματικῶν ὀργάνων κατασκευήν· ἄμεινον γὰρ ἦν αἰτιᾶσθαι τὴν ἐκείνων στενότητα. καὶ μὲν δὴ καὶ τὸ ἐφεξῆς εἰρημένον, ἄχρι τινὸς, ἀληθῶς ἀδιανόητον ἔχει τὸ ἐπιφερόμενον. τὸ μὲν γὰρ διὰ τὴν ψυχρότητα τῆς κράσεως μὴ ἐκπυροῦσθαι τὸ σπέρμα, καὶ διὰ τοῦτο ἄγονον ὑπάρχειν, ἀληθές ἐστι· τὸ δὲ ἀθροίζεσθαι μὴ δύνασθαι πρὸς τὸν τόπον τοῦτον, ἐκ περιττοῦ πρόσ-

GALENI COMMENTARIVS.

C Qvi hunc aphorismum interpretatus est, proprias eius dictiones non intelligit. Nam eundem sibi de viris sermonem, quem de mulieribus Hippocrates habuit fore pollicitus, hoc non præstitit. Quum enim ille de quatuor intemperiebus mentionem fecisset, hunc etiam quatuor in maribus, quemadmodum nos fecimus intemperies prosequi oportuit: Verùm non ita fecit, sed imprimis quidem corporis raritatem statim damnat, quæ mulieribus fuit prætermissa; deinde neque ipsa oratio per se diligenter examinata vera existit. Viri siquidem non pauci conspiciuntur qui licet corpus rarum laxumque sortiantur, semen tamen habent fœcundissimum, quod minimè mirum est: Raritas siquidem corporis calidioribus simul & humidioribus inest temperaturis quæ vtique potissimùm plurimo semine simúlque fœcundissimo abundant. Nam & materiam ex qua semen generatur, & facultatem à qua concoquitur, habent copiosam. Porrò autem spermaticorum vasorum contentione expressam genituram, non spiritus violentia propulsam foras ejaculamur. Spiritalis enim substantia cum seminis humiditate permiscetur, quæ & ipsa vt erumpat, vasis exprimentibus indiget similiter atque spermatica humiditas, quæ tantò siccitatem exuperat, quantò celeriùs emicat, & diutius & longiùs fertur. Ista igitur is ignorabat qui aphorismum ascripsit; & præterea quum humorem propter densitatem negat foras peruadere: Si nanque diuersum à semine humorem dicit, leuis est & nugatoria est eius oratio; si verò propter totius corporis spissitudinem semen dicit foras non prodire, seminalium instrumentorum structuram prorsùs ignorat; præstitisset enim ipsorum angustiam causari. Quinetiam quod deinceps dicitur, id quadanitenùs verum existens sequentem habet clausulam ab omni sensu abhorrentem. Nam propter temperamenti frigiditatem semen non incendi, ac propterea infœcundum

D E F

existere verum est. Quod autem eò loci colligi nequeat, ex abundanti additum est, cum eo quòd neque locus ab ipso enunciatur; sed à nobis intelligendus relinquitur: tametsi vox demonstratiua, eò, ad aliquid quod supra dictum esse oportuit, habet relationem. Sed hæc quidem parua sunt; at sub aphorismi finem error magnus est, quum ipse propter caliditatem idem euenire dicat; manifestò nanque ad superius dictum hæc oratio referenda est. Dictum verò suprà fuit *ob frigiditatem semen non incalescere, vt eo loci cogatur.* Quare & propter calorem neque incendi semen, neque in spermaticis vasis coaceruari intelligendum est. Hoc autem evidenter absurdum est: Nam torreri, aut assari, aut eiusmodi aliquid affirmare pati semen à calore, rationem habet; at non incalescere, omnino absurdum est.

A κεῖται. μετὰ δὲ τοῦ μὴ προσγεγράφθαι τὸν τόπον ὑπ' αὐτοῦ, καταλελεῖφθαι δὴ ὑφ' ἡμῶν νοηθῆναι. καί τι γ' ἡ τούτων φωνὴ, τὴν ἀναφορὰν ἔχει ὡς ἐπὶ τὸ προειρημένον. ἀλλὰ ταῦτα μὲν σμικρά· τὸ δὴ ἐπὶ τῇ τελευτῇ, μέγα σφάλμα, λέγοντος αὐτοῦ διὰ τὴν θερμασίην. τὸ αὐτὸ τοῦτο γίνεσθαι, φανερῶς γὰρ ἐπὶ τὸ προειρημένον ὁ λόγος οὗτος ἀναφέρεται. προείρηται δὲ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυρειᾶται, ὡς ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον, ὥστε καὶ διὰ τὴν θερμασίαν χρὴ νοεῖν οὐκ ἐκπυρειώμενον, οὐδὲ ἀθροιζόμενον ἐν τοῖς σπερματικοῖς B ὀργάνοις τὸ σπέρμα· προφανῶς δέ ἐστιν ἄτοπον τοῦτο. φρύγεσθαι μὲν γὰρ, ἢ ὀπτᾶσθαι, ἢ τι τοιοῦτον λέγειν, πάσχειν τὸ σπέρμα διὰ τὴν θερμότητα, λόγον ἔχει· τὸ δὲ μὴ ἐκπυρειᾶσθαι, παντάπασιν ἄτοπον.

Quibus lactis vsus noceat, & quibus prosit, ij enumerantur. De nocumenti & vtilitatis lactis causis; de cita lactis alteratione, coctione, nidore, acore, & vnde.

C Οἷς ἡ τοῦ γάλακτος χρεία ἢ βλαβερὰ, ἢ ὀνήσιμος, αὗται μὲν ἀριθμοῦνται. περὶ τῶν τῆς βλάβης, τε καὶ τῆς ὠφελείας αἰτιῶν. περὶ τῆς τοῦ γάλακτος ἀλλοιώσεως, καὶ τῆς πέψεως, καὶ κνίσσης, καὶ ὀξύτητος, καὶ ὅθεν.

APHORISMVS LXIV.

LAc exhibere capite dolentibus malum; Malum etiam febricitantibus & quibus hypochondria sublata obmurmurant, & siticulosis. Malum quoque & quibus biliosæ sunt deiectiones; & acuta febre laborantibus, & quibus copiosi sanguinis deiectio facta est. At tabidis lac dare conuenit non valde admodum febricitantibus, & in febribus diuturnis ac lentis, si prædictorum signorum nullum adfuerit, & præter rationem extenuatis.

ΑΦΟΡΙΣΜΟΣ ξδ'.

ΓΑλα διδόναι κεφαλαλγέουσι καὶ πυρεταίνουσι, κακὸν, καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, καὶ τοῖσι διψώδεσι. κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ ὑποχωρήσιες, καὶ ἐν τοῖσι ὀξέσι πυρετοῖσιν ἐοῦσι, καὶ οἷσιν αὖ αἵματος πολλοῦ διαχώρησις γέγονεν. Αρμόζει δὲ τοῖσι D φθινώδεσι μὴ λίην πολλῷ πυρέσσουσι, διδόναι γάλα, καὶ ἐν πυρετοῖσι μακροῖσι, καὶ βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος, παρὰ λόγον δὲ ἐκτετηκόσι.

GALENI COMMENTARIVS.

QVòd lac citò alteretur, quodque duplicē subeat mutationem, plurimo admotū calori quamprimum in nidorem abiens, pauco protinus acescens, tibi scire licet, si partim vt è mammis emulctum est, supra ignem decoxeris, partim verò seorsū per se reposueris: Nam decocto, fit in nidorē deprauatio; reposito, acor omnino vel citius vel tardiùs contrahitur. Sic autē & in sanis nisi probè concoquatur, quibusdā acescit, nonnullis in nidorē abit. Ventriculo frigidiore prorsus acescit tardiùs citiúsve; calidiore, nidorulentus euadit. Lac tamen probè coctū alit, probumq; creat humorē. Inter coquendū ipsis etiā sanis hypochondria lac attollit, capútque ferit. Hos igitur lactis effectus & affectus in sanis quoq; spectaturus es: verū quæ bo laborantibus *hausto lacte* accidunt, ea percurrit Hippocrates, eorundem experientia passim omnibus manifesta; quæ possunt etiam ante experientiam cognosci. Vbi nanque integra

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E ΟΤι τὸ γάλα ταχέως ἀλλοιοῦται, διττὴν ἔχει τὴν ἀλλοίωσιν, ὅταν μὲν ὁμιλεῖ πλείονι θερμασίᾳ, κνισσούμενον εὐθέως, ὅταν δὴ ὀλίγῃ, ταχέως ὀξυνόμενον, ἔνεστι μέν σοι κατανοῆσαι, τοῦτο ἐπὶ πυρὸς ἕψοντι παραχρῆμα μετὰ τὸ τῶν τιτθῶν ἐκπεσεῖν αὐτὸ, τοῦτο δὲ ἐν τῷ κεῖσθαι καθ' ἑαυτό· τῷ μὲν γὰρ ἑψομένῳ, ἡ πρὸς τὸ κνισῶδες ἀποτυχία. τῷ δὴ ἀποκειμένῳ ὀξύνεται πάντως, ἤτοι θᾶττον, ἢ βραδύτερον. οὕτω δὲ κἀπὶ τῶν ὑγιαινόντων, εἰ μὴ πεφθείη καλῶς, τοῖς μὲν ὀξύνεται, τοῖς δὲ κνισοῦται. κατὰ μὲν γὰρ τὴν ψυχροτέραν κοιλίαν, ὀξύνεται F πάντως, ἤτοι θᾶττον, ἢ βραδύτερον, κατὰ δὲ τὴν θερμοτέραν κνισοῦται· τό μέντοι καλῶς πεφθὲν γάλα, τρόφιμόν τ' ἐστὶ καὶ εὔχυμον. ἐν αὐτῷ δὲ τῷ πέττεσθαι καὶ τούτοις ἐξαίρει τε τὰ ὑποχόνδρια, καὶ κεφαλῆς ἅπτεται. ταῦτα μὲν οὖν αὐτοῦ τὰ ἔργα, καὶ τὰ πάθη, κἀπὶ τῶν ὑγιαινόντων θεάσῃ. τὰ δὴ ἐπὶ τῶν νο- τὸ κνίψενον

σούντων, ὁ Ἱπποκράτης διεξέρχεται, φαινόμενα μὲν ἑκάστοτε, καὶ διὰ τῆς αὐτῶν ἐκείνων πείρας, καὶ τὰ περὶ τῆς ἐμπειρείας γιγνώσκεσθαι δυνάμενα. ὅπου γὰρ, ἐπὶ τῶν ἀμέμπτως ὑγιαινόντων ἴσμεν αὐτὸ κεφαλαλγές τε ἅμα καὶ φυσῶδες ὑποχονδρίων ὑπάρχον, οὐδὲν δὴ θαυμαστὸν ἐπινοεῖν, ὡς τοῖς ἤδη κεφαλαλγοῦσιν, ἢ μετέωρα τὰ ὑποχόνδρια ἔχουσιν, ἐναντιώτατόν ἐστι. καλῶς δὲ εἶπεν ὑποχόνδρια μετέωρα, καίτοι δυνάμενος εἰπεῖν ἐμπεφυσημένα, καὶ φυσώδη. οὐ γὰρ ταῦτα μόνον τὸ γάλα βλάπτειν πέφυκεν, ἀλλὰ καὶ τἄλλα πάντα τὰ ὁποσοῦν ἄλλως μετέωρα κατά τι φλεγμονῶδες, ἢ ἐρυσιπελατῶδες, ἢ σκιρρῶδες, ἢ οἰδηματῶδες πάθος. ἔτι δὲ δὴ μᾶλλον ἂν ἀπόστημα μηδέπω συνερρηγμένον ᾖ καθ' ὑποχόνδριον, οὐκ ἀγαθὸν οὐδὲ τούτοις τὸ γάλα. τὰ μὲν οὖν τοιαῦτα πάντα δι' ἑνὸς ὀνόματος ἐδήλωσεν εἰπὼν, ὑποχόνδρια μετέωρα. βλάπτεσθαι δέ φησι, καὶ διαβορβορύζοντα πρὸς τοῦ γάλακτος, ἕτερα μὲν ὄντα τῶν ἐμπεφυσημένων, καὶ τεταμένων, φυσώδη γε μὴν καὶ ταῦτα, καὶ πνευματώδη. μείζων μὲν οὖν ἡ βλάβη τοῖς διατεταμένοις ὑποχονδρίοις, ἐλάττων δὲ, τοῖς διαβορβορύζουσιν, ἀλλ' ὅμως οὐδὲ τούτοις ἐστὶ τὸ γάλα χρήσιμον, ὀξύνεται γὰρ ἐπ' αὐτῶν. ὀῤῥὸν μέντοι γάλακτος ἡδύνοντες ἁλσὶ καὶ μέλιτι, πολλοῖς τῶν τοιούτων ἐδώκαμεν. ὀνίνανται γὰρ ὑπιούσης αὐτοῖς τῆς γαστρός, καὶ τοῖς διψώδεσι κακὸν εἶναί φησι τὸ γάλα, κνισοῦται γὰρ ἐπ' αὐτῶν, ἐάν τε φύσει διψῶσιν, ἐάν τε καὶ κατὰ τὸν καιρόν τινα γένηται. καὶ μὲν δὴ ὅσοι διαχωροῦσι χολώδη, καὶ τούτοις ἐγὼ φαίην ἂν τὸ γάλα κνισῶδες, οὐχ ἧττον δὲ καὶ τοῖς ἐμοῦσι τοιαῦτα· καθόλου γὰρ ἐμάθομεν ὡς ἀλλοιοῦται τάχιστα πρὸς ἁπάντων τῶν θερμῶν αἰτίων, ἐπὶ τὸ κνισῶδες· εἰκότως οὖν βλαβερὸν καὶ τοῖς ὀξέως πυρέττουσι. καί μοι δοκεῖ βέλτιον ἂν ἡ λέξις οὕτως ἔχειν, κακὸν δὲ, καὶ οἷσι χολώδεις ὑποχωρήσιες, καὶ τοῖς ὀξέσι πυρετοῖσιν ἐοῦσιν. οὐ γὰρ ἐπὶ τούτων ἀμφοτέρων μόνον βλαβερόν ἐστιν, ἀλλὰ καὶ καθ' ἑκάτερον ἰδίᾳ. ταῦτα μὲν οὖν τὰ πάθη βλάπτει τὸ γάλα μεγάλως, τὰ δ' ἐφεξῆς, ὠφελεῖ, περὶ ὧν ὁ Ἱπποκράτης οὕτως ἔγραψεν, ἁρμόζει δὲ φθινώδεσι, μὴ λίην πολλῷ πυρέττουσι διδόναι, περὶ τῶν φθινωδῶν γὰρ ποιεῖται τὸν λόγον πρῶτον. ἀκουστέον δ' οὕτως ὀνομάζειν αὐτὸν ἐκείνους, ὅσοι νοσοῦσι φθόην, τοὺς δ' ἄλλους ἐκτετηκότας ἐφεξῆς ἐρεῖ κατὰ τὴν λέξιν, ἧς ἡ ἀρχὴ, καὶ ἐν πυρετοῖσι βληχροῖσι καὶ μακροῖσι κοινὸν δ' ἐπὶ πάντων, ὅσοι γάλακτος χρήζουσι, τὸ δεῖσθαι τροφῆς εὐχύμου τε ἅμα καὶ ταχέως ἀναδιδομένης· καὶ οὐ δεῖ ταράττεσθαι εἰ τὸ γάλα φαμὲν εὔχυμον, φυσῶδές τι ἔχον. καθόλου γὰρ εὔχυμα λέγομεν εἶναι, ὅσα μετὰ τὴν πέψιν εἰς χρηστὸν χυμὸν μεταβάλλει, ἤτοι εἰς αἱματικὸν, οὗτος γὰρ φίλιος ἡμῶν χυμός. διὰ τί δὲ εἰπὼν, ἁρμόζει δὲ φθινώδεσι, προσέθηκε, μὴ λίην πολλῷ πυρέσσουσιν, ἄξιον εἶναί μοι δοκεῖ σκέψεως οὐ μικρᾶς· ἤρκει γὰρ καὶ χωρὶς τοῦ λίην, ἆρ' οὖν καὶ τοῖς πολλῷ πυρέττουσι μόνοις μὴ διδόναι τὸ γάλα? ἢ τοῖς μὲν λίην πολλῷ πυρέττουσι μόνοις δίδωσι, ἢ παρεγγέγραπται πρός τινος τὸ, λίην, ὥσπερ καὶ ἄλλα πολλά. ταυτὶ μὲν οὖν ἐπὶ σχολῆς τις

sanitate fruentibus lac capitis dolorem moue- A
re, simulque hypochondria inflare nouimus, mirum certè non est quibus iam caput dolitat, aut sublata sunt hypochondria lac inimicissimum esse colligere. Rectè verò suspensa dixit hypochondria, etiamsi potuerit inflata & flatuosa dicere. Non enim hæc solùm hypochondria lac lædere solet; sed & alia omnia *viscera* quæ quoquo modo suspensa sunt propter aliquam affectionem phlegmonodem, vel erysipelatodem, vel propter scirrhodem, vel œdematodem. Ac sane etiamnum magis si abscessus sit in hypochondrio
B nondum ruptus; his etiam lac est inutile. Atque hæc omnia Hippocrates vno verbo significauit, dum inquit hypochondria elata. Lac quoque murmurantibus hypochondriis, quæ ab inflatis ac distentis sunt diuersa; flatulenta tamen ac flatuosa hæc quoque sunt. Maior itaque læsio contentis hypochondriis obuenit, minor autem murmurantibus. Verumtamen neque lac ipsis est vtile; in iis enim lac acescit. Serum tamen lactis sale & melle conditum multis eiusmodi exhibuimus, quo ipsi aluo subducta
C auxilium reciperent. Siticulosis quoque lac prauum esse pronunciat, nidorulentum enim in ipsis redditur, siue ipsi natura sitiant, siue aliqua occasione siticulosi euaserint. Et verò quæ biliosa dejiciunt, iis quoque nidorulentum fieri lac ipse dixerim, non minùs quàm qui talia biliosa euomunt. Ab omnibus siquidem causis calidis lac in nidorem celerrimè verti omnino iam didicimus. Meritò igitur etiam acutè febricitantibus lac noxium. Atque mihi melius ita se habere dictio videtur. *Malum etiam lac quibus biliosæ sunt dejectiones, quibus febres sunt acutæ.* Non
D enim vtrisque simul iunctis solùm; sed seorsim etiam lac noxium est. His igitur affectibus lac magnopere noxam infert; iis verò qui sequuntur, est perutile; de quibus ita scripsit Hippocrates. *At tabidis lac dare conuenit non magnopere febricitantibus*: Primùm enim de tabidis verba facit (sic autem ipsum illos nominare percipiendum est, qui phthoe laborant.) De cæteris autem extenuatis & exhaustis deinceps dicturus est in ea dictione, cuius initium est; *& in febribus diuturnis*
E *ac lentis.* At omnibus lactis vsum concedentibus communis sensus est, cibo opus esse qui boni sit succi, quique simul celeriter distribuatur: Neque perturbandum est, si lac flatulentum aliquid habens euchymum esse dicamus: Nam in vniuersum euchyma esse dicimus, quæ post coctionem in bonum succum videlicet sanguinem mutantur; hic enim nobis amicabilis succus est. Cur autem quum dixisset, conuenit autem tabidis, adjecit *non admodum valde febricitantibus*, dignum mihi videtur consideratione non parua: Nam sufficiebat citra valde, ad-
F modum dicere. Vtrum igitur solis admodum febricitantibus lac non exhibet? an solis non valde admodum febricitantibus exhibet? An ab aliquo falsò ascripta sit particula, *valde*, vt & pleraque alia? Per otium ergo ista

quidam perquirat, à nobis verò hoc in præsentia habeto, lac valde febricitantibus dandum non esse. Miror autem quomodo in illis quibus lac dari iubet ascripsit, *si prædictorum signorum nullum affuerit.* Id enim à doctrinæ aphoristicæ breuiloquentia alienum est. Ex iis siquidem quæ prius dixerat, intelligebatur, etiamsi dictum non fuisset, dandum scilicet tabidis; & præter rationem extenuatis lac esse, nisi caput doleat, aut hypochondrium tumeat, aut biliosæ sint dejectiones, aut denique aliud eiusmodi ipsis adsit. An non simpliciter, neque semper breuitatem seruare videtur Hippocrates; sed in quibus magnum aliquod periculum imminet, si negligentius quod ipse docet, accipiatur, in his bis térve eadem repetere non veretur?

A ζητείτω. τὸ δὲ τοῖς πολλῷ πυρέττουσι μὴ διδόναι τὸ γάλα, παρ' ἡμῶν ἤδη μαθὼν ἴστω. θαυμάζω δὲ πῶς ἐφ' ὧν κελεύει διδόναι τὸ γάλα προσέγραψε, μηδενὸς ὧν προείρηται παρόντος, οὐ κατὰ βραχυλογίαν τοῦτο ὂν τῆς ἀφοριστικῆς διδασκαλίας. ἐγινώσκετο γὰρ ἐξ ὧν προείρηκε, καὶ μὴ ῥηθὲν ὅτι δοτέον φθινώδεσι, καὶ παραλόγως ἐκτετηκόσιν, ἀλλ' οὐ κεφαλαλγεῖν, ἢ ὀγκοῦσθαι τὸ ὑποχόνδριον, ἢ χολώδεις γίνεσθαι διαχωρήσεις, ἢ τῶν ἄλλων τι τῶν τοιούτων ὑπάρχειν αὐτοῖς, ἢ οὐχ ἁπλῶς, οὐδὲ ἀεὶ βραχυλογίαν ἀσκεῖν ἔοικεν ὁ Ἱπποκράτης, ἀλλ' ἐν οἷς μέγα τι τὸ κινδυνευόμενον τοῖς ἀμε-
B λῶς ἀκουσθεῖσι διδάσκει, λέγειν ἐπὶ τούτων οὐκ ὀκνεῖ ταῦτα ἐνίοτε δὶς, ἢ καὶ τρίς.

Quos affectus aduehant tumores vlcerum comites & conspicui & rubri, & qui cito euanuerint; & tumores omnes œdemata appellari.

Αἱ διαθέσεις περιπάγουσιν οἰδήματα τῶν ἑλκέων ἀκολουθητικὰ, καὶ φαινόμενα, καὶ ἐρυθρὰ, καὶ ἀφανισθέντα ἐξαίφνης. καὶ ὄγκους ἅπαντας τὰ οἰδήματα προσαγορεύεσθαι.

C

APHORISMVS LXV.

Quibus cum vlceribus tumores conspiciuntur, ii fere non conuelluntur, neque in maniam incidunt. His autem derepente euanescentibus, quibus quidem retrorsum conuulsiones & tetani oboriuntur; quibus verò antrorsum, maniæ, lateris dolores acuti, aut empyema, aut dysenteria, si rubri tumores extiterint.

ΑΦΟΡΙΣΜΟΣ ξε'.

Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνεται, οὐ μάλα σπῶνται, οὐδὲ μαίνονται, τουτέων δὲ ἀφανισθέντων ἐξαίφνης, τοῖσι μὲν ὄπισθεν σπασμοὶ, τέτανοι, τοῖσι δὲ, ἔμπροσθεν, μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι, ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ ᾖ τὰ οἰδήματα.

D

GALENI COMMENTARIVS.

TVmores omnes præter naturam œdemata nominat Hippocrates, quibus videlicet etiam phlegmonæ comprehenduntur: quanquam hoc ipsum phlegmones i. *inflammationis* nomen de phlogosi seu *flagrantia* prisci omnes dicebant, etiamsi citra tumorem consisteret. Quod itaque nunc pronunciatur, est huiusmodi; in quibus tumores vlceribus superueniunt, non admodum conuelluntur, neque insaniunt. Hæc autem indicat oratio nonnullos quidem in ipsis conuelli ac insanire; sed raro id accidere, quum videlicet in parte neruosa in signem magnitudinem, aut malignitatem subierint; si verò tumores derepente oblituerint, conuulsiones ac tetanos sequi affirmat duntaxat si in partibus posterioribus, hoc est in dorso ulcera fuerint: si verò in partibus anterioribus constiterint, tum alia quæ deinceps enumerat consequi profert. Posteriores nanque partes neruosæ sunt; anteriores autem venosæ & arteriosæ. Quum igitur ab vlceratis partibus humor qui tumorem fecit in aliquam partem principem remeauit, in partibus quidem neruosis poste-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς παρὰ φύσιν ὄγκους ἅπαντας ὁ Ἱπποκράτης οἰδήματα προσαγορεύει, περιεχομένων ἐν αὐτοῖς δηλονότι καὶ τῶν φλεγμονῶν, καὶ μέντοι καὶ αὐτὸ τοῦτο τοὔνομα, τὸ τῆς φλεγμονῆς, ἐπὶ τῆς φλογώσεως μᾶλλον οἱ παλαιοὶ πάντες ἔλεγον, εἰ καὶ χωρὶς ὄγκου συσταίη. ἔστι μὲν οὖν τὸ νῦν λεγόμενον τοιοῦτον, οἷς ὄγκοι
E τοῖς ἕλκεσιν ἐπιγίνονται, οὐ πάνυ τι σπῶνται, οὐδὲ μαίνονται. τοῦτο δ' ἔνδειξιν ἔχει τοῦ καὶ σπᾶσθαι μέν τινας ἐπ' αὐτοῖς καὶ μαίνεσθαι, ἀλλὰ σπανίως τοῦτο πάσχειν, ὅταν δηλονότι μέγεθος ἀξιόλογον, ἢ κακοήθειάν τινα προσλάβωσιν, ἂν μέντοι τύχωσιν ἀφανισθέντες ἐξαίφνης οἱ ὄγκοι, σπασμούς τε, καὶ τετάνους, ὅταν ἐν τοῖς ὀπίσω μέρεσιν ᾖ τὰ ἕλκη τουτέστι κατὰ τὸν νῶτον. τὰ δ' ἄλλα τὰ ἐφεξῆς εἰρημένα, τοῖς ἐν τοῖς πρόσω μέρεσι γεγενημένοις, ἕπεσθαί φησι. νευρώδη μὲν γὰρ τὰ ὄπισθεν, ἀρ-
F τηριώδη δὲ, καὶ φλεβώδη τὰ ἔμπροσθεν ἐστίν. ὅταν οὖν ἀπὸ τῶν ἡλκωμένων μορίων ὁ χυμὸς, ὁ ποιήσας τὸ οἴδημα ἐπαναβῇ πρός τι τῶν κυρίων μορίων, ἐν μὲν τοῖς νευρώδεσι μέρεσι τοῖς ὀπίσω σπασμοὶ καὶ τέτανοι γε-

νύσονται, νεύρων δὲ ταῦτα πάθη, ἐν δὲ τοῖς πρόσω μανία μὲν, ἐὰν ἐπὶ τὴν κεφαλὴν ἀνενεχθῇ, πλευροῦ δ' ἄλγημα, ῥέποντος ἐπὶ θώρακα τοῦ χυμοῦ. πολλάκις δ' ἔστι καὶ ἔμπυοι γίνονται, μὴ διαφορηθέντος αὐτοῦ. δυσεντερίαν δ' ἔσεσθαί φησιν, ἐὰν ἐρυθρῶν ὄντων τῶν οἰδημάτων, ἐξαίφνης γένηται μετάστασις. ἐκείνην μέντοι τὴν δυσεντερίαν ὀνομάζομεν αἱματηρὰν, ἥ τις ἐστὶ αἵματος κένωσις δι' ἐντέρων, χωρὶς ἑλκώσεως. ὅτι μὲν οὖν, ἂν κατὰ νῶτον, ἢ τὰ πρόσω μόρια τὰ τούτοις ἀντικείμενά ποτε συμβῇ ἀφανισθῆναι τὰ οἰδήματα, τοῖς εἰρημένοις πάθεσι περιπίπτουσιν οἱ κάμνοντες, ἐστὶ φανερόν. οὐ μὴν ὁ Ἱπποκράτης αὐτὸς ἐδήλωσεν, εἴ τε περὶ τούτων λέγει μόνων τῶν μορίων, εἴτε περὶ πάντων ἁπλῶς ὥστε καὶ τὰ κῶλα περιλαμβάνεσθαι κατὰ τὸν λόγον. ἐπὶ μὲν οὖν κνημῶν οὐκ εἰσὶν ἐν τοῖς πρόσω μέρεσι μύες, εἰς τένοντας εὐρώστους τελευτῶντες. ἐπὶ δὲ τοῦ μηροῦ, τὸν ἐν τοῖς πρόσω μέρεσι τοῦ γόνατος τένοντα μέγιστον ὁρῶμεν, ἐφ' ᾧ κατὰ συμπάθειαν εὔλογόν ἐστιν ἀκολουθῆσαι σπασμὸν μᾶλλον, ἤ τινι τῶν ὀπίσω τοῦ μηροῦ κειμένων μυῶν, σαρκώδεις γάρ εἰσιν ἅπαντες. ὥστ' οὐκ ἀληθὲς εἶναι δόξει τὸ καθόλου λεγόμενον, ὡς τοῖς ὄπισθεν μέρεσι μόνοις ἕπονται σπασμοί. φαίνεται γε μὴν ὡς τὸ πολὺ τοῦτο γινόμενον, οὐκ ἐπὶ σκελῶν μόνων, ἀλλὰ καὶ χειρῶν, ἴσως διὰ τὸ κατ' εὐθυωρίαν εἶναι ταῦτα πάντα τὰ μέρη τῷ νωτιαίῳ, πεφυκέναι δὲ ἀπὸ τούτου, τά τε τῶν κώλων νεῦρα, καὶ τὰ τῶν ῥαχιτῶν μυῶν.

A rioribus conuulsiones fient ac tetani (nam hi sunt neruorum affectus) in anterioribus mania, si humor in caput feratur; lateris autem dolor, si in thoracem humor vertatur. At hi sæpius purulenti euadunt, humore minimè discusso. Dysenteriam autem fore, inquit, si rubentibus tumoribus materiæ repente fiat in ventrem translatio. Porro dysenteriam eiusmodi cruentam appellamus, quæ vtique definitur sanguinis per intestina citra exulcerationem vacuatio. Quod itaque si vel in dorso, vel partibus anterioribus ipsi oppositis contigerit aliquando tumores derepen- B te euanescere, in tales affectus ægros incidere manifestum est. Non tamen Hippocrates ipse declarauit, an de his partibus solis loquatur, an simpliciter de omnibus, ita vt artus quoque hac oratione comprehendantur. In tibiis certè non sunt anteriore parte musculi in tendones validos desinentes. In femore verò parte genu anteriore maximum tendonem cernimus; quo affecto, conuulsionem per consensum sequutum iri est probabilius, quàm aliquo ex musculis parte femoris posteriore positis; carnosi nanque sunt omnes. Quare verum esse non videretur C quod vniuersaliter pronunciatur, nimirum solis partibus posterioribus conuulsiones accidere. Et quidem plerunque id non in cruribus solis; sed etiam manibus *accidere videtur*; fortasse quia hæ partes omnes è directo dorsali medullæ respondent, ab eáque tum artuum, tum dorsalium musculorum nerui oriuntur.

Τὸ μὲν οἴδημα ἐν τοῖς ἰσχυροῖς τραύμασι μὴ φαίνεσθαι, μέγα κακόν. τί μέγα καὶ πονηρὸν τραῦμα.

Tumorem in magnis & prauis vulneribus D non conspici ingens malum. Quid magnum ac prauum vulnus.

ΑΦΟΡΙΣΜΟΣ ξϛ'.

ΗΝ τραυμάτων ἰσχυρῶν καὶ πονηρῶν ἐόντων, οἴδημα μὴ φαίνηται, μέγα κακόν.

APHORISMVS LXVI.

SI vehementibus ac prauis vulneribus existentibus, tumor non appareat, ingens malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΥναται μὲν καὶ τῷ κατὰ τὴν τελευτὴν εἰρημένῳ, τὸ κακὸν, συναφθῆναι τὸ μέγα, δύναται καὶ τῷ προτέρῳ τοῦ ἀφορισμοῦ μέρει. γενήσεται γὰρ ὁ λόγος τοιοῦτος· τραυμάτων πονηρῶν ἐόντων, οἴδημα μὴ φαίνεσθαι, κακόν ἐστι μέγα, εἴ τε οὕτως, τραυμάτων πονηρῶν ἐόντων οἴδημα μέγα μὴ φαίνεσθαι, κακόν· ἐγχωρεῖ δὲ καὶ κοινὸν ἀμφοῖν εἰρῆσθαι τὸ μέγα, ὡς καὶ οὕτως εἰπεῖν. ἢν τραυμάτων πονηρῶν ἐόντων οἴδημα μέγα μὴ φαίνηται, κακόν ἐστι μέγα: βελτίων δὲ τῶν τριῶν λόγων ἐστὶ, κατά γε τὴν ἐμὴν κρίσιν, ὁ τοιοῦτος. ἢν τραυμάτων πονηρῶν ἐόντων, μὴ φαίνηται οἴδημα, κακόν ἐστι μέγα. προείρηται δέ μοι κατὰ τῶν παρὰ φύσιν ὄγκων ἁπάντων ὑπ' αὐτοῦ λέγεσθαι τὸ οἴδημα. πονηρὰ δ' ἡγητέον εἰρῆσθαι

GALENI COMMENTARIVS.

E

POtest tum ei quæ sub finem est aphorismi dictioni *malum, ingens*; Potest & priori aphorismi parti coniungi: Fiet enim talis oratio, vulneribus prauis existentibus tumorem non apparere, ingens malum est: Vel ita. Vulneribus prauis existentibus, si tumor *ingens* non appareat, malum. Potest autem ingens etiam vtrique communi attribui, ac si ita dixisset; si vulneribus prauis existentibus non appareat, malum est ingens Trium verò lectionum meo quidem F iudicio talis est optima; si vulneribus prauis existentibus, tumor non appareat, malum est ingens. Cæterum priùs à me enunciatum est œdema de omnibus præter naturam tumoribus ab ipso prædicari. Praua autem vulnera dici

dici

dici explicandum est, quæ in capite aut fine musculorum, maximéque neruosorum, accepta sunt. In musculorum nanque capita nerui musculorum inseruntur; ex finibus autem tendones exoriuntur. Quemadmodum igitur paulò antè tumores derepente euanescentes damnabat: ita nunc illos, qui prauis vulneribus nullo modo succedunt: Nam suspicio quædam est in ipsis humores vulneribus affluentes, ad partes principes transferri. Atque hoc potissimum iis in vulneribus fieri videtur, quibus dolor inest, propter quem aliquid omnino in partem influit, sed ab imperitis Medicis medicamentis valde refrigerantibus aut astringentibus reprimitur. Maximè verò omnium partes neruosæ *vulnerata* dolent, quæ calefacientibus & siccantibus medicamentis curari postulant.

A ἕλκεσι, τὰ κατὰ τὰς κεφαλὰς, ἢ τελευτὰς τῶν μυῶν, καὶ μάλιστα τῶν νευρωδῶν. κατὰ μὲν τὰς κεφαλὰς τῶν μυῶν ἐμφύεται τοῖς μυσὶ τὰ νεῦρα, κατὰ δὲ τὰς τελευτὰς, οἱ τένοντες ἐκφύονται. ὥσπερ οὖν ὀλίγον ἔμπροσθεν ἐμέμψατο τὰ ἐξαίφνης ἀφανιζόμενα τῶν οἰδημάτων, οὕτω νῦν τὰ μηδ᾽ ὅλως ἐπιγινόμενα τοῖς πονηροῖς ἕλκεσιν. ὑποψία γάρ τίς ἐστιν ἐπὶ τούτων, ἐπὶ τὰ κυριώτερα μεθίστασθαι τοὺς ἐπιρρέοντας τοῖς ἕλκεσι χυμοὺς, καὶ μάλιστα τοῦτ᾽ ἔοικε γίνεσθαι κατ᾽ ἐκεῖνα τῶν ἑλκῶν, ἐν οἷς ὀδύνη μέν ἐστι, καὶ δι᾽ αὐτὴν ἐπιρρεῖ τι πάντως. ἀναστέλλεται δὲ ὑπὸ τῶν ἰατρῶν, τοῖς ἰσχυρῶς B ψύχουσιν, ἢ στύφουσι φαρμάκοις, ὥς γε χωρὶς ὀδύνης οὐδὲ ῥεῦμα κινεῖ. μάλιστα δ᾽ ὀδυνᾶται τὰ νευρώδη μόρια, δεόμενα διὰ τῶν θερμαινόντων καὶ ξηραινόντων θεραπεύεσθαι φαρμάκων.

Tumores molles ac cedentes, bonos; duros verò ac renitentes, prauos esse.

Τὰ οἰδήματα χαῦνα μὲν χρηστὸν εἶναι, τὰ δὲ σκληρὰ καὶ ἀντίτυπα μοχθηρά.

APHORISMVS LXVII. C

ΑΦΟΡΙΣΜΟΣ ξζ΄.

MOlles, boni; crudi praui sunt.

ΤΑ χαῦνα χρηστὰ, τὰ ἔνωμα κακά.

GALENI COMMENTARIVS.

HIc textus præcedentis pars est, docente qui tumores sint molles, eos omnes bonos esse, contrarios verò prauos. Propriè igitur molli durum opponitur atque renitens: Id verò Hippocrates crudum appellauit; Nequaquam enim tumor renitens fieri potest, partis natura humores affluentes probè concoquente.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥτος ὁ λόγος μόριόν ἐστι τοῦ προγεγραμμένου, διδάσκοντος τοῦ Ἱπποκράτους ὅσα μὲν οἰδήματα χαῦνα, χρηστὰ πάντ᾽ εἶναι, τὰ δὲ ἐναντία, μοχθηρά. D κυρίως μὲν οὖν ἀντίκειται τῷ χαύνῳ, τὸ σκληρὸν, καὶ ἀντίτυπον. ὁ δὲ Ἱπποκράτης ἔνωμον αὐτὸ προσηγόρευσεν. οὐδὲ γὰρ οἷόν τε γενέσθαι ποτὲ ἀντίτυπον οἴδημα πεπτούσης καλῶς τῆς ἐν τῷ μορίῳ φύσεως, τοὺς ἐπιρρέοντας χυμούς.

Quòd dolorem capitis posterioris vena frontis, anterioris verò occipitis vena incisa per reuulsionem curet.

Ὅτι μὲν ἡ τοῦ μετώπου φλὲψ τμηθεῖσα τὴν τῆς ὄπισθεν κεφαλῆς ὀδύνην θεραπεύῃ· τὴν δὲ τῆς ἔμπροσθεν ἡ φλὲψ τμηθεῖσα κατ᾽ ἀντίσπασιν. E

APHORISMVS LXVIII.

ΑΦΟΡΙΣΜΟΣ ξη΄.

POsteriore capitis parte dolenti, recta in fronte vena incisa prodest.

ΤΩι ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα, ὠφελέει.

GALENI COMMENTARIVS.

NOn vacuare solùm Hippocrates, quum vsus postulat, sed etiam cum reuulsione vacuationem instituit: Fit porro reuulsio in contrarium. Ac secundum longitudinem quidem sursum ac deorsum; secundùm latitudinem verò huc & illuc, hoc est, dextror-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F ΟΥ μόνον ἐπιτηδεύει κενοῦν ὁ Ἱπποκράτης ἔνθα χρεία κενοῦν, ἀλλὰ καὶ μετ᾽ ἀντισπάσεως. ἡ δὲ ἀντίσπασις ἐπὶ τἀναντία γίνεται, κατὰ μῆκος μὲν ἄνω καὶ κάτω, κατὰ πλάτος δὲ ἔνθα καὶ ἔνθα. τοῦτ᾽ ἐστὶν εἰς ἀριστερά τε, καὶ δεξιὰ, κατὰ βάθος δὲ, ὀπίσω τε καὶ πρό-

σω. νυνὶ οὖν ἐν τοῖς ὄπισθεν τῆς κεφαλῆς ἀλγήμασι μετὰ ἀντισπάσεως κένωσις ἐκ μετώπου γενήσεται, ὥσπερ καὶ ἐν τοῖς ἔμπροσθεν, ἡ κατ᾽ ἰνίον. οὕτω γοῦν ὀφθαλμῶν χρόνια ῥεύματα πολλάκις ἐθεραπεύθη διὰ τῶν κατ᾽ ἰνίον μερῶν, αἵματος ἀφαιρεθέντος ἅμα χρήσει σικύας.

sùm & sinistrorsùm; & secundùm profunditatem antè & ponè. A Nunc itaque posteriore capitis parte dolente cum reuulsione, ex fronte fiet vacuatio; quemadmodum & quum anterior pars laborat, ex occipite. Ità enim sæpe diuturnæ oculorum fluxiones sanatæ sunt ex occipitis partibus detracto sanguine, & admotis cucurbitulis.

B

Ὅτι ἡ τοῦ ῥίγεος ἀρχὴ, καὶ ἐκδρομὴ, καὶ θέσις. ὅτι ἄλλη μὲν ῥίγεος ἡ ἀρχὴ ἐν ταῖς γυναιξὶν, ἄλλη δὲ ἐν τοῖς ἀνδράσιν.

Vbi rigoris ortus, excursus, & sedes. Alium rigoris ortum in mulieribus, alium in viris esse.

ΑΦΟΡΙΣΜΟΣ ξθ'.

Ῥίγεα ἄρχεται γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς κεφαλὴν, ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν τοῦ σώματος μᾶλλον, ἢ ἔμπροσθεν, οἷον ἀπό τε πήχεων μηρῶν, ἀτὰρ καὶ τὸ δέρμα ἀραιὸν ἔχουσι καὶ δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

APHORISMVS LXIX.

Rigores mulieribus quidem initium ducunt ex lumbis magis, ac per dorsum ad caput perueniunt. Quinetiam viris parte corporis posteriore magis, quàm anteriore, veluti ex cubitis & femoribus, quod C *& prodit cutis raritas, prodit & hanc pilus.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ῥῖγος πᾶν ἄρχεται μὲν μετά τινος αἰσθητῆς ψύξεως. ἑτοιμότερα δ᾽ οὐ ψύχεσθαι μόνον, ἀλλὰ καὶ τῆς ψύξεως αἰσθάνεσθαι τὰ κατὰ νῶτον, ὥστ᾽ εἰκότως ἐντεῦθεν ἄρχεται τὰ ῥίγη, καὶ μᾶλλόν γε ταῖς γυναιξὶ τῶν ἀνδρῶν ταυτὶ, διότι καὶ ψυχρότερόν ἐστι τὸ θῆλυ φύσει, καὶ ἀσθενέστερον. ἄνεισι δ᾽ ἐντεῦθεν ἀρξάμενον τὸ ῥῖγος, ἐπὶ τὴν ἀρχὴν τῶν νεύρων, τὴν κεφαλὴν, τάχιστα γινομένης διὰ τοῦ νωτιαίου, τῆς συμπαθείας. ἐπειδὴ καὶ οὗτος ὁμοίως ἐγκεφάλου, ψυχρός ἐστι φύσει, καὶ διὰ τὴν μαλακότητα τῆς οὐσίας ὁμοίως εὐάλωτος. ἐκ δὲ τῶν προσθίων μερῶν, οὐκ ἄρχεται τὰ ῥίγη, διότι θερμότερα τῶν ὀπίσω τὴν κρᾶσιν ἐστὶ, καὶ τούτων γνώρισμα τίθεται τὴν ἀραιότητα τοῦ δέρματος, αὐτῆς δὲ πάλιν ταύτης, τὸ πλῆθος τῶν τριχῶν. εἴρηται δέ μοι περὶ τριχῶν γενέσεως αὐτάρκως, ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν.

GALENI COMMENTARIVS.

Rigor omnis incipit cum sensibili quodam frigore. Dorsi autem partes non solùm faciliùs refrigerantur, sed promptiùs etiam frigus sentiunt: Quare meritò inde rigores initium ducunt, D hique magis mulieribus accidunt; quia fœmina viro frigidior naturâ est & imbecillior. At hinc incipiens rigor excurrit in caput neruorum principium, celerrimè per spinalem medullam facta consensione, *id est, affectionis communicatione.* Quandoquidem & ipsa peræque ac cerebrum frigida est naturâ, & propter substantiæ mollitudinem similiter obnoxia. At verò ex partibus anterioribus rigores non incipiunt, quia posterioribus calidiores sunt temperamento. Cuius rei indicium statuit cutis raritatem, E & huius rursus ipsius pilorum multitudinem. De quorum generatione in Libris de temperamentis abunde egimus.

Τοὺς ὑπὸ σπασμῶν ἁλισκομένους τοῦ τεταρταίου ἐπιγενομένου παύεσθαι, ὑφ᾽ οὗ τοὺς ἐπιληφθέντας ὑπὸ σπασμῶν σπανίως ἁλίσκεσθαι. διὰ τί, καὶ πῶς.

Conuulsionibus correptos succedente quartanâ liberari, quâ detentos conuulsionibus rarò corripi, cur, & quomodo.

ΑΦΟΡΙΣΜΟΣ ο'.

Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, οὐ πάνυ τι ὑπὸ σπασμῶν ἁλίσκονται. ἢν δὲ ἁλίσκωνται πρότερον, εἶτα καὶ ἐπιγένηται τεταρταῖος, παύονται.

F APHORISMVS LXX.

Qvartanis correpti non admodum conuulsionibus prehenduntur. Quod si prius corripiantur, deinde quartana quoque succedat, liberantur.

A

GALENI COMMENTARIVS.

QVæ propter vacuationem fit conuulſio, acutiſſima eſt & pernicioſiſſima ; quæ verò ob neruoſarum partium repletionem accidit, qualis eſt epileptica, neque acutiſſima eſt, neque ſimiliter ægris periculoſa. Nunc autem huiuſmodi conuulſionis meminit Hippocrates: Nam verba, *correpti* & *prehenduntur*, temporis productionem declarant. Hanc ergo conuulſionem fieri quartana non ſolum prohibet, verumetiam ſi præripuerit, ſoluit. Fit autem hæc conuulſio lentis ac pituitoſis humoribus partes neruoſas infarcientibus ac obſtruentibus. Quibus humoribus liberandis quum duplex ſit medendi ratio, excretio & coctio, vtranque habet quartana: Excretionem quidem vi rigoris: huiuſmodi nanque concuſſio & conuulſio ſola poteſt craſſum humorem excernere, coctionem verò caloris ratione rigorem excipientis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ Μὲν ἐπὶ κενώσει γινόμενος σπασμὸς, ὀξύτατός ἐστι καὶ ὀλεθριώτατος. ὁ δ' ἐπὶ πληρώσει τῶν νευρωδῶν μορίων οἷος καὶ ἐπιληπτικὸς, οὔτ' ὀξύτατος, οὔθ' ὁμοίως ἐκείνῳ κινδυνώδης· μέμνηται δὲ νῦν ὁ Ἱπποκράτης τοιούτου σπασμοῦ. τὸ γὰρ ἁλισκόμενοι, ἁλίσκονται, παράτασιν δηλοῖ τοῦ χρόνου. τοῦτον οὖν τὸν σπασμὸν, ὁ τεταρταῖος οὐκ ἐᾷ γίνεσθαι, ἀλλὰ καὶ εἰ φθάσειε προσγενέσθαι λύει. B γίνεται δ' ὑπὸ γλίσχρων χυμῶν τε καὶ φλεγματικῶν ἐμπλαττομένων γε τοῖς νευρώδεσι μορίοις. οὔσης δὲ τοῖς τοιούτοις χυμοῖς διττῆς τῆς ἰάσεως, ἐκκριτικῶς τε, καὶ πέψεως, ἀμφοτέρας ὁ τεταρταῖος ἔχει, τὴν μὲν ἔκκρισιν, τῷ ῥίγει. μόνος γὰρ ὁ τοιοῦτος σπασμὸς ἱκανὸς ἐκκρῖναι παχὺν χυμόν. τὴν δὲ πέψιν, τῷ λόγῳ τῆς ἐπιγινομένης τῷ ῥίγει θερμασίας.

C

Duram, aridam, ac obtenſam cutim citra ſudores; mollem verò, raram & laxam cum ſudoribus interituros portendere.

Τοὺς σκληρὸν μὲν καὶ ξηρὸν, καὶ τεταμένον δέρμα τοὺς ἄνευ ἱδρώτων, μαλακὸν δὲ καὶ ἀραιὸν, καὶ χαλαρὸν σὺν ἱδρώτων διαφθαρησομένους προσημαίνειν.

APHORISMVS LXXI.

QVibus cutis obtenditur arida ac dura, ſine ſudoribus moriuntur : quibus verò laxa & rara cum ſudore, vita defunguntur.

ΑΦΟΡΙΣΜΟΣ οα'.

Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα, καὶ σκληρὰ, ἄνευ ἱδρώτων τελευτῶσιν. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, σὺν ἱδρῶτι τελευτῶσιν.

D

GALENI COMMENTARIVS.

MOrituris quibus dura, ſqualida ſicca, & obtenſa cutis eſt, ij ſine ſudore vitam finiunt. Si contrà rara, mollis & laxa, cum ſudore fato concedunt. Prioribus ſiquidem vel omnino eſt exhauſta humiditas, vel cuti deeſt, aliis verò cuti ineſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν μελλόντων ἀποθνήσκειν, οἷς μὲν αὐχμώδη καὶ σκληρὰ, καὶ ξηρὰ, καὶ τεταμένα τὰ δέρματα, χωρὶς ἱδρῶτος ἀποθνήσκουσιν. οἷς δὲ τἀναντία ἀραιὰ καὶ μαλακὰ, καὶ χαλαρὰ, σὺν ἱδρῶτι τελευτῶσι. τοῖς μὲν γὰρ προτέροις, ἢ οὐχ ὅλως ἐστὶν ὑγρότης, ἢ οὐκ ἐν τῷ δέρματι. τοῖς δ' ἄλλοις, καὶ κατὰ τὸ δέρμα ἐστίν.

E

Raro ictericos flatulentos eſſe; qui ſint flatulenti, vnde flatus, & quæ eorum cauſæ.

Τοὺς ἰκτερώδεας σπανίως πνευματώδεας εἶναι. οἵτινες εἶδοι πνευματώδεες. πόθεν αἱ φῦσαι, καὶ αἵτινες ταύτων αἰτίαι.

APHORISMVS LXXII.

ICterici non admodum flatulenti exiſtunt.

ΑΦΟΡΙΣΜΟΣ οβ'.

Οἱ ἰκτερώδεες οὐ πάνυ τι πνευματώδεές εἰσιν.

F

GALENI COMMENTARIVS.

FLatulentos hîc eos dici exiſtimandum eſt, qui flatulenti ſpiritus copiam in ventre colligunt, qui vel per ructus, vel flatus

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πνευματώδεις νῦν εἰρῆσθαι νομιστέον ἐκείνους ὅσοι κατὰ γαστέρα πλῆθος ἀθροίζουσι φυσώδους πνεύματος

τος, ἤτοι δι' ἐρυγῶν κενούμενον, ἢ διὰ φυσῶν, ἢ περιμένον τε καὶ διατεῖνον τὰ τῇδε. A γίνεται δὲ τοῦτο, ποτὲ μὲν δι' ἀῤῥωστίαν τέ τινα, καὶ ἀσθένειαν αὐτῶν τῶν κατὰ γαστέρα μορίων, ἐνίοτε δ' ἐπὶ φλεγματώδει χυμῷ καὶ ψυχρῷ. οὗτοι μὲν οὖν οἱ διὰ φλεγματικὸν χυμὸν πνευματώδεις, ἐναντίοι τοῖς ἰκτερώδεσιν εἰσὶ χολώδεσιν οὖσιν, ὥστε οὐκ ἄν ποτε κατὰ τὴν τοῦ πλεονάζοντος χυμοῦ φύσιν, οἱ ἰκτερώδεις γίγνονται πνευματώδεις. ἐγχωρεῖ δ' αὐτοὺς ἐπ' ἀῤῥωστίᾳ τῶν μερῶν φυσώδεις γίνεσθαι. διὰ τοῦτ' οὖν προσέθηκε τῷ λόγῳ, τὸ, οὐ πάνυ τι, τὸ μὲν διηνεκὲς τῆς ἀποφάσεως κωλύων, ἐνδεικνύμενος δὲ ὡς τὸ πολὺ B γίνεσθαι τὸ προειρημένον. οὐ πάνυ γάρ τοι τοῖς κατὰ γαστέρα μορίοις, ἄπρωτα ἄτονα ἔστιν εὑρεῖν τοὺς ἰκτερώδεις.

excernitur, vel remanet, & quæ illic iacent partes, eas distendit. Hoc autem fit interdum tum ob facultatis imbecillitatem, tum partium ventris infirmitatem; interdum verò ob pituitosum & frigidum humorem. Qui itaque propter pituitosum humorem flatulenti sunt, ictericis opponuntur biliosis existentibus. Quare ıcterici nunquam ob humoris exuperantis naturam flatulenti sunt. Contingit autem ipsos ob partium imbecillitatem nonnunquam flatulentos fieri. Idcircò textui adiecit, *non admodum*, quo perpetuitatem quidem negationis interrumpit, quòd verò plerunque prius fieri pronunciauerat, ostendit. Perrarò nanque ictericos inuenire contingit, qui ventris partes imbecillas sortiantur.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΩΟΥ ΑΦΟΡΙΣΜΩΝ ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ϛʹ.

HIPPOCRATIS COI APHORISMORVM LIBER SEXTVS, ET ET IN EOS GALENI COMMENTARIVS SEXTVS.

ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΒΙΒΛΙΟΥ.

Τὰ πλείονα νοσήματα, καὶ πολλὰ τὰ συμπτώματα, καὶ σημεῖα προγνωστικὰ, καί τινα θεραπευτικὰ ἕκτον τοῦτο βιβλίον περιλαμβάνει τε, καὶ διδάσκει.

ARGVMENTVM LIBRI.

Plures morbos, multa ſymptomata, ac ſigna prognoſtica, & quædam therapeutica hic ſextus liber complectitur, docetque.


A

Leienteriæ ructum acidum ſuccedentem ſignum bonum eſſe. Quid lienteria; cur nomen eius improbet Galenus. Apotychia quid, eius cauſæ. Affectus inteſtinorum triplex Eraſiſtrateo dyſenteria, leienteria, teneſmus. Quid quiſque affectus ſit.

APHORISMVS I.

IN diuturnis leiëteriis ſi ructus acidus qui priùs non extitit oboriatur, ſignũ bonũ eſt.

GALENI COMMENTARIVS.



Eienteria celer eſt per ventrem & inteſtina tum eſculentorum, tum poculentorum tranſitus, quâ talia dejiciuntur, qualia deuorata fuere. Quod ſi quis ipſam breuiùs definire velit, di-


Τὴν τῇ λειεντερίᾳ ὀξυρεγμίαν ἐπιγινομένην σημεῖον ἀγαθὸν εἶναι. τί λειεντερία· διὰ τί τούτου ὄνομα Γαληνὸς ἀποδοκιμάζῃ. τί ἀποτυχία, καὶ ταύτης αἰτίαι. ἡ τῶν ἐντέρων διάθεσις τριπλῆ κατ᾽ Ἐρασίστρατον, ἡ δυσεντερία, καὶ λειεντερία, καὶ τεινεσμός. τί ἕκαστον πάθημα ᾖ.

ΑΦΟΡΙΣΜΟΣ αʹ.

ΕΝ τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη μὴ πρότερον γινομένη, σημεῖον ἀγαθόν.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.



Λειεντερία ταχεῖα διὰ τῆς κοιλίας, καὶ τῶν ἐντέρων διέξοδός ἐστι τῶν ἐσθιομένων τε, καὶ πινομένων, τοιούτων ὑποχωρουμένων ὁποῖα κατεπόθη. συντομώτερον δ᾽ ἄν τις αὐτὴν ἀφοριζόμενος, εἰ-

ποι, στέρησιν πέψεως, οὔτε κατὰ χροιὰν, οὔτε κατὰ σύστασιν, ἢ ὀσμὴν, ἢ ὅλως ἡντιναοῦν ποιότητα γινομένης ἐν τῇ γαστρὶ μεταβολῆς τῶν σιτίων. ὠνομάσθη δὲ τὸ πάθος οὕτως, ὑπονοησάντων τῶν πρώτως θεμένων τὴν προσηγορίαν αὐτῷ, διὰ λειότητα γεγονέναι τῆς ἔνδον ἐπιφανείας τῶν ἐντέρων, δι᾽ ἣν οὐκέτι ἀντιλαμβάνεται τῶν ἐμπεριεχομένων ἐν αὐτοῖς, ὡς ἂν ὅτε κατὰ φύσιν εἶχε τῇ τραχύτητι κατεχόντων αὐτά. πολλὰ μὲν οὖν καὶ ἄλλα τῶν πρώτως ὀνομασάντων τὰ πράγματα δίκαιον ἐπαινεῖν, οὐ μὴν ἐπί γε ταῖς λειεντερίαις ἀποδέχομαι τοὺς ἄνδρας, ἀγνοήσαντας ὅτι τῆς γαστρὸς αὐτῆς ἔργον ἐστὶ περιπτύσσεσθαί τε τὰ σιτία ἔν τινι χρόνῳ, ὡς σφιγγούσης τε καὶ κατεχούσης αὐτὰ, καὶ αὖθις ὠθεῖν κάτω, καὶ ὡς ἡ κατὰ τὴν κύστιν γίνεται στραγγουρία, μὴ περιμενούσης ἀθροισθῆναι τὸ οὖρον, ἀλλ᾽ εὐθὺς ἀποτιθεμένης αὐτῆς, ἢ ὡς δακνῶδες, ἢ ὡς βαρῦνον, οὕτω δὴ καὶ κατὰ τὴν γαστέρα αἱ ταχεῖαι διέξοδοι. αὗται γὰρ αἱ αἰτίαι κοιναὶ ἁπάσης εἰσὶν ἐκκρίσεως. ἃς εἴπερ οἱ πρῶτοι θέμενοι τοὔνομα τῷ πάθει λειεντερίαν ἠπίσταντο, τὴν μὲν περὶ τῆς λειότητος τῶν ἐντέρων ὑπόνοιαν οὐκ ἂν ἐπῄνεσαν, ἀντ᾽ αὐτῆς δὲ τὴν ἀρρωστίαν τῆς γαστρὸς ὅλης, καὶ τῶν ἐντέρων ἠπίσταντο, δι᾽ ἣν αἰτίαν βαρυνόμενα ταῦτα τὰ μόρια πρὸς τῶν καταποθέντων, ἀποτίθεται διὰ ταχέων αὐτά. δυνατὸν δέ ποτε, καὶ διά τινας χυμοὺς δακνώδεις ἐπιπολῆς ἑλκωθέντων αὐτῶν γίνεσθαι τὸ πάθος, εἰ καὶ μὴ μεγάλως πεπόνθοι τὰ τῆς δυνάμεως. ἀναγκαῖον γάρ ἐστι καὶ τότε διεξερχομένων τῶν σιτίων, ἀνιώμενα τὰ ἡλκωμένα, προωθεῖν αὐτὰ κάτω, καὶ πέμπειν ἀφ᾽ ἑαυτῶν ὅτι τάχιστα. τούτου δὲ διὰ πάντων τῶν μορίων γινομένου, τό, τε τάχος ἀκολουθήσει τῆς διεξόδου, καὶ τὸ μηδ᾽ ἀρχήν τινα πέψεως εἰληφέναι. ἀλλὰ τῇ μὲν τοιαύτῃ λειεντερίᾳ δήξεώς τινος αἴσθησις ἔσται. τῇ δὲ δι᾽ ἀρρωστίαν τῆς κατὰ γαστρὸς καὶ τὰ ἔντερα, χωρὶς ἁπάσης ἀνιαρᾶς αἰσθήσεως γίνεσθαι τὴν ὑποχώρησιν, ὑπάρχει δέ τι τοῦτο διαφορᾷ οὐ μικρὸν τῇ ἑτέρᾳ τῶν λειεντεριῶν. ἡ μὲν γὰρ ὑπὸ δριμέων χυμῶν ἐξεσμένης ἐπιπολῆς, τῆς τε γαστρὸς ὅλης, καὶ τῶν ἐντέρων γινομένη, εἰ μὲν ἡ κακοχυμία παύσαιτο, τάχιστα θεραπεύεται διὰ τῶν στυφόντων ἐδεσμάτων τε, καὶ πομάτων. εἰ δ᾽ ἐπὶ πλείονα παραμείνῃ χρόνον, εἰς δυσεντερίαν μεταπίπτει. ἡ δὲ δι᾽ ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως, ἐπὶ δυσκρασίᾳ μὲν πάντως ἐγγίνεται, ἤτοι δ᾽ αὐτῶν ἐστὶ τῶν σωμάτων διάθεσις ἕξιν ἤδη τινὰ ἔχουσα δύσλυτον, ἢ διὰ χυμόν τινα περιεχόμενον ἐν τῇ κοιλίᾳ, καὶ τοῖς ἐντέροις, εἷς δὲ ἐκ τούτων τῶν χυμῶν ἐστὶ καὶ τὸ φλέγμα. διὸ καὶ ὀξεῖαι τοῖς κάμνουσιν ἐρυγαὶ συμβαίνουσιν, ἃς ὀξυρεγμίας ὀνομάζουσι, γινομένας καὶ χωρὶς φλέγματός τινος, ἐπὶ ψυχροτέρᾳ γαστρί. καί τισι γε τῶν λειεντεριῶν, ὅσαι διὰ ψυχρότητα γίνονται, συνεισβάλλουσι μὲν ὀξυρεγμίαι, προϊουσῶν δὲ παύονται. κατ᾽ ἀρχὰς μὲν γὰρ, ὀλίγον τινὰ χρόνον ἐν τῇ γαστρὶ μένει τὰ σιτία, προϊόντος δὲ, καὶ ἐπαυξανομένου τοῦ πάθους οὐδὲ τοῦτο. ἐφ᾽ οἷς μὲν οὖν ὀλιγοχρόνιός ἐστιν ἡ μονὴ, γίνεταί τις οἷον ἀρχὴ πέψεως, καὶ διὰ τοῦτο ἀποτυχία. μεμαθήκαμεν δὲ τὰς διὰ ψυχρὰν αἰτίαν ἀποτυχίας τῆς πέψεως, ὀξυρεγμίας

τοῦτο ἔτι να ὁμοίως διαμένει vel ὑπομένει vel οὐδὲ πίστη.

ceret coctionis priuationem esse, nulla neque secundum consistentiam, neque secundum colorem, aut odorem, aut nullam aliam omnino qualitatem in ventriculo ciborum mutatione facta. Ità verò morbus hic appellatus est existimantibus illis qui primùm ipsi talem appellationem imposuerunt, propter interioris intestinorum superficiei læuitatem fieri, ob quàm non ampliùs ipsa retineant in se contenta cibaria, sed celerrimè præterlabi sinant; quasi verò sua, quum secundum naturam se habebant, asperitate ipsa retinerent. Quum itaque in multis aliis eos laudandos æquum sit qui primùm rebus imposuerunt nomina, in leienteria tamen eos viros minime probare possum, quum ipsius ventriculi munus esse ignorauerint, cibos circumplecti, aut ipsos constringendo quodam tempore retinere, rursusque deorsum propellere. Et rursus quemadmodum in vesica fit vrinæ stillicidium patienter non ferente vrinam colligi, sed statim, vt mordentem, aut grauantem expellente: sic & in ventriculo celeres cibariorum transitus. Hi enim sunt omnium excretionum communes causæ: quas si illi sciuissent qui primi huic affectui lienteriæ nomen indiderunt, talem de ea intestinorum læuitate opinionem improbassent, ac eius vice totius ventriculi & intestinorum imbecillitatem caussam statuissent, ob quam hæ corporis partes cibis assumptis grauatæ ipsos citissimè propellunt. Potest etiam interdum quorundam humorum mordacitate & acrimonia in superficie exulceratis intestinis hæc affectio accidere, etiamsi vires ipsorum non magnopere laborent. Tum enim necessarium fuerit, vt permeantibus cibis partes exulceratæ dolorem inferant, atque ideo deorsum illos propellant & à seipsis quàm citissimè amittant; quo per omnes partes facto tanta sequetur transitus celeritas, vt nullum fiet coctionis rudimentum. Verùm tali leienteriæ morsus cuiusdam sensus inerit. In ea verò quæ propter ventriculi & intestinorum imbecillitatem accidit, citra omnem doloris sensum fient deiectiones. Cæterum hoc non paruum quoddam est vtrique leienteriarum discrimen: Nam quæ ab humorum fit acrimonia totius ventriculi & intestinorum abrasa superficie, si quidem humorum prauitas cessauerit, astringentibus tum eduliis, tum potibus citissimè curatur. Si verò longiori tempore perseueret, in dysenteriam transit, mutaturque. At quæ propter retentricis facultatis imbecillitatem fit ab intemperie planè, conciliatur, quæ vel ipsorum corporum dispositio est aliquem iam habitum solutu difficilem non sequuta, vel quæ propter humorem aliquem in ventriculo atque intestinis contentum euenit, ex quibus humoribus vnus est pituita, qua ægrotantibus acidi ructus eueniunt, quas oxyregmias appellitant, etiam citra pituitæ cuiusdam consortiū ventriculo frigidiore obortas. Et sanè cū quibusdam leienteriis ex frigiditate ortum ducentibus, vnà inuadunt acidi ructus, sed temporis progressu cessant: Nam per initia exiguo quodam tempore cibi in ventriculo retinentur; procedente autem, atque aucto

morbo, ne hoc quidem accidit. Vbi igitur in ventriculo breuis est cibi mora, tum quædam fit coctionis inchoatio, proindéque *eiusdem* frustratio. Nos autem à frigida causa profectas coctionis frustrationes ructus acidos gignere didicimus. In quibus autē per initia cibi nullum subeunt coctionis rudimentū, nulla quoque fit ipsorum secundùm qualitatem mutatio, ac proinde neque ructus acidus, nisi pituita, eáque potissimum in ventriculo exuberet. Propterea Hippocrates in lienteriis acidū ructum bonum signum esse non absolutè pronunciauit, verùm primùm in diuturnis addidit: Nam cum incipientibus, vt dictum est, sæpe simul acidi ructus oboriuntur, deinde *qui prius*, inquit, *non exciterunt*. Quæ nanque à pituita ventriculum refrigerante fiunt leienteriæ, semper cum ipsis tanquam symptoma quoddam oxyregmia est. Cum illis igitur quæ neque etiamnum incipiunt, neque à pituita procreantur, non sunt acidi ructus. Si quando verò fiant, tantum iam temporis cibum in ventriculo permanere, quoad mutationis principium consequantur, & naturam suorum operum reminisci significabit. Atque mihi videor quæ ad textus explicationem spectant, ea satis expleuisse. Si quis autem eorum quæ dicta sunt capita scienter discere velit, is in opere de naturalibus facultatibus, & in Libris de symptomatum causis omnium quæ celeriter excernuntur, explicatas causas habet. Quoniam verò Erasistratus secundo de ventriculo superiorum Medicorum auctoritatem ementitus est, aç de leienteria notionem turbauit, confuditque, melius esse mihi visum est hæc etiam superaddere, ac primùm ipsius Erasistrati textum ita se habentem subscribere. *De leienteria vocata dicendum est: Superiores enim Medici insestinorum affectum in tres partes diuiserunt, leienteriam, dysenteriam & tenesmum. Atque ex his nonnulli in ipsis excretis morbis differentias spectantes dicunt.* Quum enim ex aluo & cruenta & mucosa prodeunt, tum hunc affectum dysenteriam vocabant; si verò quæ excernuntur, cruda fuerint, *sed cruentis & mucosis permixta leienteriam; quum verò biliosa sanguinolentis atque mucosis permixta subeunt, tenesmum affectum appellabant.* Hæc igitur Erasistratus protulit, nescio qua ductus opinione crudis deiectionibus mucosa & cruenta addiderit: Hoc enim nullus apposuit, neque eorum qui iisdem temporibus claruerunt Medici quales Philotimus, Herophilus, & Eudemus; neque eorum qui posteri adusque recentiores istos Archigenis sectatores extiterunt; sed nec quod ipse dicit, Medicorum superiorum, hoc est, eorum qui ante Erasistrati seculum fuerunt, vllus affirmauit. Diocles siquidem in Libro de causæ morbi curatione hæc scribit. *Tertium morbi genus plerunque dysenteriam excipit, vocatur autem leienteria, quam sequitur humida, spumans, cruda, multa & cita ab assumpto cibo ac potu deiectio.* Praxagoras autem secundo de signis assidentibus inquit: leientericis quia lubrica sunt intestina, imprimisque ieiunum, citò ferri necessariò ciborum deiectiones. Præterea Praxagoras deinceps scribit: *Cibaria quæ citò permeant, omninò cruda esse oportere*; qui maximam affectionis

ἐργαζομένας. ἐφ' οἷς δὲ οὐκ ἄρχεται πέττεσθαι τὰ σιτία
A τὴν ἀρχὴν, οὐδὲ μεταβολή τις αὐτῶν γίνεται κατὰ ποιότητα, ὥστε οὐδ' ὀξυρεγμίαι, πλὴν εἰ μὴ φλέγμα, καὶ μάλιστα ὀξὺ πλεονάζοιτο κατὰ τὴν γαστέρα. διὰ τοῦτ' οὖν ὁ Ἱπποκράτης οὐχ ἁπλῶς εἶπεν, τὴν ὀξυρεγμίαν σημεῖον ἀγαθὸν εἶναι ταῖς λειεντερίαις, ἀλλὰ πρῶτον μὲν ἐν ταῖς χρονίαις προσέθηκεν, ὡς ταῖς γε ἀρχομέναις, ὡς εἴρηται, συμβάλλει πολλάκις, εἶτα, πρόσθεν οὐ γινομένη, φησίν. ὅσαι γὰρ ὑπὸ φλέγματος καταψυχθείσης τὴν γαστέρα γίγνονται λειεντερίαι,
B σύνεστιν αὐταῖς ἡ ὀξυρεγμία διὰ παντὸς ὥς τι σύμπτωμα. ταῖς μὲν οὖν μήτε ἀρχομέναις ἔτι, μήτε διὰ φλέγμα γινομέναις, οὐ σύνεστιν ὀξυρεγμία, γιγνομένη δέ ποτε σημαίνει διαμένειν μὲν τοσοῦτον ἤδη χρόνον ἐν τῇ γαστρὶ τὴν τροφὴν, ὡς ἀρχὴν μεταβολῆς λαμβάνειν, ἀναμιμνήσκεσθαι δὲ τῶν οἰκείων ἔργων τὴν φύσιν. ἐμοὶ μὲν ἱκανῶς, ὡς νομίζω, πεπλήρωται τὰ τῆς ἐξηγήσεως. εἰ δέ τις ἐπιστημονικῶς ἐκμαθεῖν βούλεται τὰ κεφάλαια τῶν εἰρημένων, ἐν μὲν τῇ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ, περὶ τῶν τῆς γαστρὸς ἔχει δυνάμεων ἀποδείξεις οὐκ ὀλίγας, ἐν δὲ ταῖς τῶν συμπτωμάτων αἰ-
C τίαις, περὶ τῶν ταχέως ἀποκρινομένων ἀπέπτων. ἐπεὶ δ' Ἐρασίστρατος ἐν τῷ δευτέρῳ περὶ κοιλίας κατεψεύσατό τε τῶν ἑαυτοῦ πρεσβυτέρων, ἐτάραξέ τε, καὶ συνέχεε τὴν ἔννοιαν τῆς λειεντερίας, ἄμεινον εἶναί μοι δοκεῖ καὶ ταῦτα προσθεῖναι, καὶ πρῶτά γε, αὐτὴν τοῦ Ἐρασιστράτου παραγράψαι ῥῆσιν ἔχουσαν οὕτως· περὶ δὲ τῆς καλουμένης λειεντερίας ῥητέον. οἱ μὲν οὖν πρότερον ἰατροὶ, εἰς τρία μέρη διῄρουν τὸ πάθος, λειεντερίαν, δυσεντερίαν, τεινεσμόν. καί τινες μὲν ἐν τοῖς ἐκκρινομένοις τὰς διαφορὰς τοῦ πάθους θεωροῦντες καὶ λέ-
D γοντες. ὅτε μὲν γὰρ αἱματώδη τε καὶ μυξώδη παραχωροίη τὰ ἀπὸ τῆς κοιλίης, τότε μὲν δυσεντερίαν τὸ πάθος ἐκάλουν· εἰ δ' ἄπεπτα εἶεν τὰ διαχωρούμενα, μεμιγμένα δὲ τοῖς αἱματώδεσι καὶ μυξώδεσι, λειεντερίαν, ὅτε δὲ ὑπαρχοίη χολώδεα τοῖς αἱματώδεσι καὶ μυξώδεσι μεμιγμένα, τεινεσμὸν, προσηγόρευον τὸ πάθος. ταυτὶ μὲν οὖν ὁ Ἐρασίστρατος εἶπεν οὐκ οἶδα τί δόξαν αὐτῷ, προσθεὶς τοῖς ἀπέπτοις διαχωρήμασιν, αἱματώδη τε καὶ μυξώδη. τοῦτο γὰρ οὐδεὶς προσέθηκεν, οὔτε τῶν κατὰ τὸν αὐτὸν αὐτῷ γεγονότων χρόνων ἐπιφανεστάτων, οἷον Φι-
E λότιμος, Ἡρόφιλος, Εὔδημος, οὔτε τῶν μετ' αὐτὸν γενομένων τις, ἄχρι τῶν νεωτέρων τούτων τῶν περὶ τὸν Ἀρχιγένην. οὐ μὴν οὐδ', ὡς αὐτὸς εἶπεν, οἱ πρότεροι ἰατροὶ, τουτέστιν ὅσοι πρεσβύτεροι τῶν Ἐρασιστράτου χρόνων. Διοκλῆς μὲν γὰρ ἐν τῷ περὶ πάθους αἰτίας θεραπείας βιβλίῳ ταῦτα γράφει. τὸ δὲ τρίτον γίνεται μὲν ὡς τὰ πολλὰ, ἐκ δυσεντερίας, καλεῖται δὲ λειεντερία. ἕπεται δ' αὐτῇ, καὶ διαχώρησις ὑγρὰ, καὶ ἀφρίζουσα, καὶ ὠμὴ, καὶ πολλὴ, καὶ ταχεῖα μετὰ τὸ πιεῖν καὶ φαγεῖν.
F Πραξαγόρας δ' ἐν τῷ δευτέρῳ τῶν συνεδρευόντων· τοῖς δὲ λειεντερικοῖς, φησὶν, ἐπειδὴ ὀλισθηρὸν ἔχει τὸ ἔντερον, καὶ οὐχ ἥκιστα τὸ περὶ τὴν νῆστιν, ἀνάγκη ταχέως φέρεσθαι τὰ ἀπὸ τῶν σιτίων διαχωρήματα. εἶθ' ἑξῆς ὅτι τοῖς ταχέως διεξερχομένοις ἀναγκαῖόν ἐστιν ἀπέπτοις εἶναι πάμ-

τάπασιν, ὁ Πραξαγόρας γράφει. τὸ μὲν ἰδιαίτατον τοῦ πάθους ἐν τῇ ταχείᾳ διεξόδῳ τιθέμενος, τὸ δὲ μὴ πέπτεσθαι τῶν ἐξ ἀνάγκης ἀκολουθούντων τι ποιούμενος. οὐ γὰρ ὅτι παντάπασιν ἄπεπτα μένει τὰ σιτία, διὰ τοῦτ' ἐκκρίνεται ταχέως, ἀλλ' ὅτι ταχέως ἐκκρίνεται, διὰ τοῦτο οὐδ' ὅλως πέττεσθαι, καὶ διὰ τοῦτο καὶ ἡμεῖς, καὶ ἄλλοι πολλοὶ τῶν ἰατρῶν, ταχεῖαν διέξοδον ἀπέπτων παντάπασι τῶν σιτίων φαμὲν εἶναι τὴν λειεντερίαν· οὕτως δὲ περὶ αὐτῆς ἐοίκασι γινώσκειν καὶ ἄλλοι παλαιοί. ἐν μὲν γὰρ τῷ περὶ παθῶν, Ἱπποκράτους εἴτ' οὖν αὐτοῦ τοῦ Ἱπποκράτους ἐστὶ τὸ βιβλίον, εἴτε Πολύβου τοῦ μαθητοῦ αὐτοῦ, ταυτὶ γέγραπται περὶ τῆς λειεντερίας. τὰ σιτία διαχωρέει ἄσηπτα, ὑγρὰ, ὀδύνην οὐ κινέει, λεπτύνεται δὲ τὸ σῶμα. δηλονότι παλαιά τις ἦν συνήθεια τούτοις τοῖς ἀνδράσιν ἄσηπτα καλεῖν, ἅπερ ἡμεῖς ἄπεπτα λέγομεν. ἐν δὲ τῷ διαιτητικῷ τῷ ὑγιεινῷ, τῷ Ἱπποκράτει μὲν ἐπιγεγραμμένῳ καὶ αὐτῷ, τοῖς δ' ἀποξενοῦσιν αὐτὸ, τινὲς μὲν εἰς Φιλιστίωνα, τινὲς δ' εἰς Ἀρίστωνα, τινὲς δ' εἰς Φερεκύδην ἀναφέρουσι, γέγραπται ταυτί. πάσχουσι δέ τινες καὶ τοιαῦτα· διαχωρέει αὐτοῖς τὸ σιτίον ὑγρὸν ἄπεπτον, οὐ διὰ νόσημα, οἷον λειεντερίην, οὐδὲ πόνον οὐδένα παρέχει. οὗτοι μὲν οὖν οἱ ἄνδρες ἅπαντες, Ἐρασιστράτου πρεσβύτεροι, μυρίοι δ', ὡς ἔφην, ἄλλοι πάντες κατ' αὐτὸν τὸν Ἐρασίστρατον ὕστεροι γεγονότες, ὡσαύτως τοῖσδε περὶ τῆς λειεντερίας ἔγραψαν, ὥστ' οὐκ οἶδ' ὅ, τι παθὼν Ἐρασίστρατος καταψεύδεται τῶν πρεσβυτέρων αἱματώδη, καὶ μυξώδη, τοῖς ἀπέπτοις μεμίχθαι, λέγων ὑπολαμβάνειν αὐτοὺς ἐν ταῖς λειεντερίαις.

A proprietatem in celeri deiectionum transitu statuit, & quod cibi coctionis expertes permaneant, quiddam eorum efficit quæ necessariò consequuntur. Non enim certè quia omnino crudi permanent, propterea citò deiiciuntur; sed quia confestim excernuntur, nullam propterea coctionem subeunt. Quamobrem tum nos, tum alij Medici plerique leienteriam definimus citam esse ciborum nullam prorsus coctionem habentium peruasionem. Sic de ipsa veteres quoque Medici sentire videntur: Nam in Libro Hippocratis de morbis, siue ipsius sit B Hippocratis liber, siue Polybi eius discipuli hæc de leinteria scripta sunt. *Cibaria dejiciuntur imputrida, humida, dolorem non concitantia, corpus autem extenuatur.* Nimirum hisce viris fuit consuetudo iam olim recepta appellandi imputrida quæ nos cruda & coctionis expertia vocamus. In libro quoque de victu salubri, qui & ipse Hippocrati ascribitur (licet qui adulterinum censent, nonnulli ad Aristonem, nonnulli ad Philistionem, quidam ad Pherecydem referant) hæc scriptis patent. *Hæc nonnulli patiuntur. Cibus eis deiicitur humidus, non* C *coctus, non propter morbum, verbi gratia, leienteriam, neque aliquem dolorem adfert.* Hi quidem viri omnes Erasistrato sunt seniores, milleque alij, vt dixi, tum qui Erasistrati ætate floruerunt, tum qui post eum fuerunt, in eandem omnes sententiam de leienteria scripserunt: Quare quod Erasistrato in mentem venerit nescio, vt de maioribus mentiretur, dum in leuitate intestinorum cruenta & mucosa cibis non coctis permisceri sententiam eorum esse prædicat.

D

Τὰς μὲν ῥῖνας ὑγροτέρας, καὶ τὴν γονὴν ὑγροτέραν τὸ ὑγιαῖνον νοσηρότερον, τὰς δὲ ξηροτέρας φύσεις τῶν ὑγροτέρων ὑγιεινοτέρας εἶναι.

Nares humidiores, & humidiorem genituram infirmam valetudinem prodere: Et ficciores naturas humidioribus salubriores esse.

ΑΦΟΡΙΣΜΟΣ β'.

Οἷσι ῥῖνες ὑγρότεραι φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον. οἷσι δὲ τἀναντία, ὑγιεινότερον.

APHORISMVS II.

E *QVibus nares humidiores naturâ sunt, & humidior genitura, ii morbosiore sunt valetudine; at quibus contraria sunt, salubriore.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ μὲν ταῖς ξηροτέραις φύσει κράσεσιν, οὐδὲν ὅλως ἐκεῖ διὰ τῶν ῥινῶν ἐξ ἐγκεφάλου, περίττωμα σαφὲς, οὐδ' αἰσθητὸν, ὥσπερ οὐδὲ διὰ τοῦ δέρματος ἱδρὼς, ἀλλ' ἡ καλουμένη παρὰ τῶν ἰατρῶν ἄδηλος διαπνοὴ, τὰ λελεπτυσμένα τῶν περιττωμάτων ἀτμοειδῶς ἐκκενοῖ. ταῖς δ' ὑγροτέραις φύσεσιν αἰσθητὰ γίνεται περιττώματα, καὶ μάλιστα κατὰ τὸν ἐγκέφαλον, ὅτι φύσει ψυχρότερος ἐστί. ταῖς δ' αὐταῖς ταύταις, καὶ τὴν γονὴν, τουτέστι τὸ σπέρμα γίνεσθαί φησιν ὑγροτέραν, ὥσπερ καὶ ἐν ταῖς ξηροτέραις ἀναλισκομένης τῆς ὑδατώδους ὑ-

GALENI COMMENTARIVS.

SIccioribus naturâ temperamentis nullum è cerebro per nares manifestum aut sensibile excrementum effluit, quemadmodum neque per cutem sudor; sed quæ abdita Medicis cutis perspiratio vocata extenuata excrementa vaporis instar euacuat. Humidioribus F verò naturis sensibilia fiunt excrementa præsertimque cerebri quòd naturâ sit frigidius: his ipsis genituram, hoc est semen ipsum, humidiorem esse pronunciat, vt sicciorbus aquosâ humiditate exhaustâ, tum crassius, tum siccius semen est. Qui igitur siue solo cerebro, siue vniuerso corpore sunt humidiores, hi salubrem

brem vitæ statum ac illæsum habere nequeunt: verùm continuò catharrhis leues ob causas corripiuntur. Quod si per palatum ipsis deorsum redundans humor feratur, subiectas partes malè affici necesse est, fauces, guttur, asperam arteriam, pulmonem stomachum & ventrem, tusses etiam ipsis oboriri, dyspnœas, anginas, cruditates, diarrhœas, interdum etiam dysenterias, quum distillans humor salsior quodammodò fuerit. Porro de his ipsis egit Libro de aëre, locis, & aquis, quemadmodum & Libris de morbis & affectibus.

A γρότητος, παχύτερόν τε, καὶ ξηρότερόν ἐστι τὸ σπέρμα. τοὺς δὲ ὑγροτέρους, εἴ τ' οὖν μόνον τὸν ἐγκέφαλον, εἴ τε καὶ τὸ σύμπαν σῶμα τὴν ὑγρὰν διαγωγὴν οὐκ ἄμεμπτον ἔχειν συμβέβηκεν, ἀλλὰ καταῤῥόοις τε, συνεχῶς ἐπὶ σμικραῖς αἰτίαις ἁλίσκεσθαι, κἂν δι' ὑπερώας αὖθις κάτω ῥέπῃ τὸ περίττωμα, κακοῦσθαι τὰ ὑποκείμενα φάρυγγα, καὶ λάρυγγα, καὶ τραχεῖαν ἀρτηρίαν, καὶ πνεύμονα, καὶ στόμαχον, καὶ γαστέρα, καὶ βῆχάς τε, αὐτοῖς γίνεσθαι, καὶ δυσπνοίας, καὶ συνάγχας, ἀπεψίας τε, καὶ διαῤῥοίας. ἔστι δ' ὅτε, καὶ δυσεντερίας, ὅταν ἁλμυρότερόν πως γένηται τὸ καταῤῥέον, ἀναγκαῖόν ἐστιν. εἴρηται δ' αὐτῷ, κἂν τῷ
B περὶ ὑδάτων, καὶ τόπων, καὶ ἀέρων βιβλίῳ, περὶ τούτων, ὥσπερ γε κἂν τοῖς περὶ νούσων τε, καὶ παθῶν.

In dysenteriis ciborum fastidium & inappetentiam malum, & cum febre deterius esse. Quid dysenteria: vnde asitia, & apositia.

Τὴν ἐν ταῖς δυσεντερίαις ἀποσιτίαν καὶ ἀσιτίαν κακὸν, καὶ σὺν πυρετῷ κάκιον εἶναι. τί ἡ δυσεντερία, πόθεν ἀσιτία καὶ ἀποσιτία.

APHORISMVS III.

IN longis dysenteriis cibi fastidia malum, & cum febre, peius denunciant.

ΑΦΟΡΙΣΜΟΣ γ'.

C ΕΝ τῇσι μακρῇσι δυσεντερίῃσιν, αἱ ἀποσιτίαι, κακὸν, καὶ ξὺν πυρετῷ κάκιον.

GALENI COMMENTARIVS.

DYsenteriæ exulcerationes sunt intestinorum ab acutis humoribus factæ: Nam initio abraditur extima eorum superficies; deinde temporis spatio profundiora & putria habent vlcera, quo maximè tempore ventriculi per consensum affecti coctione læduntur, quâ noxâ magis ac magis semper sursùm euecta simul ventriculi os est affectum, cibos fastidiunt, hoc est, non appetunt: Nam per initia etiam interdum cibum auersantur propter defluentes ab hepate ichoras, à quibus intestina abradi dicebamus, si præsertim hi picrocholi fuerint: nam eorum pars supernatans ad os ventriculi effertur. Longis verò dysenteriis, quum hoc symptoma superuenerit, quandam iam per consensum ventriculo mortificationem aduenisse indicat, quâ appetentiam aboleri prorsus necesse est opus ad vitam necessarium. Si verò vnà cum inappetentia dysenteriæ febris accesserit, ex duabus altera, vel aliqua vlcerum putredo, vel ingens inflammatio adest; atque ita, vt dictum est, toto per consensum ventre affecto, perniciosè habent ægroti.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΙ δυσεντερίαι γίνονται μὲν ὑπὸ δριμέων χυμῶν, ἑλκώσεις δ' εἰσὶν ἐντέρων. ἐν ἀρχῇ μὲν ἐπιπολῆς ξυομένων, τῷ χρόνῳ δὲ, βαθύτερα, καὶ σηπεδονώδη τοὐπίπαν ἰσχόντων τὰ ἕλκη, καθ' ὃν μάλιστα χρόνον, ἡ γαστὴρ αὐτοῖς συμπάσχουσα βλάπτεται περὶ τὰς πέ-
D ψεις. ἐπανιούσης δ' ἀεὶ καὶ μᾶλλον ἀνωτέρω τῆς κακώσεως, ἐπειδὰν καὶ τὸ στόμα συμπαθῆ τῆς κοιλίας, ἀπόσιτοι γίνονται, τουτέστιν ἀνόρεκτοι. γίγνονται μὲν γὰρ ἐνίοτε καὶ κατ' ἀρχὰς ἀπόσιτοι, διὰ τοὺς συῤῥέοντας ἰχῶρας ἐξ ἥπατος, ἐφ' ὧν ἔφαμεν ἐξύεσθαι τὰ ἔντερα, καὶ μάλισθ' ὅταν ὦσιν οὗτοι πικρόχολοι, μέρος γὰρ αὐτῶν ἐπιπολάζον, ἀναφέρεται πρὸς τὸ στόμα τῆς γαστρός. κατὰ δὲ τὰς χρονίας δυσεντερίας, ὅταν ἐπιγένηται τοῦτο τὸ σύμπτωμα, νέκρωσιν, ἤδη τινὰ σημαίνει γεγονέναι τῇ γαστρὶ, κατὰ συμπάθειαν, ἐφ' ᾗ τελέως ἀπολωλεκέναι ἀναγκαῖον τὸ εἰς τὴν ζωὴν ἔρ-
E γον. εἰ δ' ἅμα τῇ ἀνορεξίᾳ, καὶ πυρετὸς ἐπιγένοιτο τῇ δυσεντερίᾳ, δυοῖν θάτερον, ἢ σηπεδών τις ἐστι περὶ τὰ ἕλκη, ἢ ἀξιόλογος φλεγμονή· καὶ οὕτως, ὡς εἴρηται, συμπασχούσης ὅλης αὐτῆς ἤδη τῆς γαστρὸς, ὀλεθρίως ἔχουσιν οἱ κάμνοντες.

Circunglabra vlcera prauos humores prodere.

F Τὰ περιμάδηρα τὰ ἕλκεα τοὺς μοχθηροὺς χυμοὺς σημαίνειν.

APHORISMVS IV.

CIrcunglabra vlcera, maligna sunt.

ΑΦΟΡΙΣΜΟΣ δ'.

ΤΑ περιμάδηρα ἕλκεα, κακοήθεα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν ἤτοι τὰς τρίχας ἐκπιπτούσας ἴδῃς τῶν περικειμένων τῷ ἕλκει χωρίων, ἢ καὶ τὸ δέρμα, λεπίδας ἐπιπολῆς ἀφιὲν, ἴσθι τοῖς οὕτως ἔχουσι, μοχθηροὺς χυμοὺς ἐπιρρεῖν τῷ μέρει ἀκριβῶς ἀναβιβρώσκοντας τὸ ἕλκος. οὐ γὰρ δήπου τὰς μὲν ῥίζας τῶν τριχῶν διαφθείρειν δύναται, τὸ δ' ἡλκωμένον ἐᾶν συνεπουλοῦσθαι.

A GALENI COMMENTARIVS.

Qvum vel pilos à circunjectis vlceri regionibus defluere, vel cutem squamulas è summa parte amittere videris, scito qui ita se habent, iis prauos humores in partem affluere qui vehementer vlcus erodunt. Non enim certè pilorum radices corrumpere queũt, & vlceratum locum non prohibere cicatrice obduci.

B

Τὰς τῶν ὀδυνῶν ἐν τοῖς στήθεσι καὶ ταῖς πλευραῖς, καὶ ἄλλοις μορίοις διαφορὰς τῷ ἰατρῷ καταμαθητέον. Ἐν τοῖς ἀλγήμασι δύο ἐστὶν ἐπισκεπτέον, τὸν τῆς ὀδύνης τόπον, καὶ τὸ μέγεθος, τὰς τῶν ὀδυνῶν διαφορὰς, καὶ ὁμοιότητας ἐκ τῆς ὀδύνης ἰδέας τε καὶ τοῦ μεγέθους γιγνώσκεσθαι.

Dolorum pectoris, laterum, & cæterarum partium differentias Medico esse discendas. In doloribus duo esse animaduertenda, doloris locum & magnitudinem; dolorum differentias ac similitudines tum doloris specie, tum vehementia dignosci.

ΑΦΟΡΙΣΜΟΣ ε'.

Τῶν ὀδυνέων, καὶ ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισιν, εἰ μέγα διαφέρουσι καταμαθητέον.

C APHORISMVS V.

Dolores tum laterum, tum pectoris, cæterarumque partium, an multùm differant, perdiscendum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καταμανθάνειν οὐ μόνον χρὴ τὸν ὀδυνώμενον τόπον, ὁποῖός ἐστιν, ἀλλὰ καὶ τὸ μέγεθος τῆς κατ' αὐτὸν ὀδύνης πηλίκον ἐστί. χρήσιμον γὰρ τοῦτο, πρός τε διάγνωσιν τοῦ πεπονθότος τόπου, καὶ πρόγνωσιν τῶν γενησομένων περὶ τὸν κάμνοντα, καὶ προσέτι, τὴν τῆς θεραπείας εὕρεσιν. ἐν τῇ γοῦν πλευρᾷ ὅταν ἄλγημα ᾖ μέγα, πρῶτον μὲν, οὐκ ἀκίνδυνον, εἶτα καὶ θεραπείας δεήσεται πλείονος. εἰ μὲν εἰς κλεῖν ἡ ὀδύνη διατείνοι, φλεβοτομίας, εἰ δ' εἰς ὑποχόνδριον, καθάρσεως, ὡς αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων ἐδίδαξεν. εἰ μέντοι μέτριον εἴη τὸ ἄλγημα, καὶ προσέτι μηδὲ νυγματῶδες, οἷόν περ ἦν κατὰ τὸν ὑπεζωκότα, μήτε διατεῖνον πρὸς ὑποχόνδριον, ἢ κλεῖν, ἐγχωρεῖ καὶ τῶν σαρκωδῶν μορίων ἐπὶ ταῖς πλευραῖς πεπονθότων αὐτὸ γίνεσθαι, καὶ διὰ τοῦτο, μήτε κινδυνῶδες εἶναι, μήτε μεγάλου δεῖσθαι βοηθήματος. οὕτω δὲ καὶ καθ' ἕκαστον τῶν ἄλλων μορίων ἐπισκεπτέον ἐστὶ τὸ μέγεθος τῆς ὀδύνης, οἷον ἐπὶ νεφρῶν, εἰ τύχοι τοῦ σαρκώδους μὲν αὐτῶν φλεγμαίνοντος, ἔσται βαρεῖα ἡ ὀδύνη, καθάπερ αὐτὸς ἐν ἐπιδημίαις εἶπε, τὴν, οἷον βάρους τινὸς ἐγκειμένου κατὰ τὸ χωρίον, αἴσθησιν ἐπάγουσαν, οὕτως ὀνομάσας. τῶν δ' ἄλλων μερῶν τῶν κατὰ τοὺς νεφροὺς πασχόντων, ὀξεῖα ἡ ὀδύνη. λέγω δ' ἄλλα μέρη, τόν τε περιέχοντα χιτῶνα τούτων, καὶ τὴν ἔνδον κοιλίαν, καὶ τὰς εἰς αὐτὴν περαινούσας ἀρτηρίας τε, καὶ φλέβας, καὶ προσέτι τὰς ἐκφύσεις τῶν οὐρητήρων. οὕτως δ' ἔχει κἀπὶ τοῦ ἥπατος, αὐτοῦ μὲν τοῦ σαρκώδους φλεγμαίνοντος ὀδύνη γίνεται βαρεῖα.

GALENI COMMENTARIVS.

Perdiscere oportet non modò locum dolentem qualis sit, sed & in eo doloris magnitudinem quanta sit. Hæc autem tum ad loci affecti dignotionem, tum ad prænotionem D eorum quæ laboranti euentura sunt, tum prætereà ad curationis inuentionem confert. Quũ ergo in latere magnus dolor fuerit, primùm is esse non potest, quin membrana costas succingens vocata patiatur; secundò non vacat periculo, deinde maiore etiam indiget curatione: Nam si ad clauiculam dolor porrigatur, venæ sectione vtendum erit; si verò ad hypochondrium, purgatione, quemadmodum in Libro de victu acutorum ipse docuit. Si verò mediocris dolor extiterit, & prætereà minimè punctorius, qualis in membrana erat succin- E gente, neque ad clauiculam, aut hypochondrium pertingat: tum ipsum carnosis costarum partibus affectis fieri contingit, atque ideo neque esse periculosum, neque magno auxilio indigere. Sic & in singulis aliis partibus doloris magnitudo consideranda est, veluti in renibus, si fortè carnosa eorum pars inflammationem subeat, dolor grauis erit, quemadmodum ipse in Epidemiis tradidit, ita eum dolorẽ appellans, qui veluti ponderis cuiusdam affecto loco incumbentis sensum inuehit. Aliis verò renum partibus affectis, acutus dolor cruciabit. F Alias dico partes, tunicam renes obtegentem, internum ventriculum, & in hunc desinentes tum arterias, tum venas, ac prætereà vreterum exortus: Sic etiam in iecore se res habet, parte siquidem eius carnosâ inflammatâ dolor grauis oritur, obtegente verò tunica, aut vasis in-

flammatis acutus. Atque ipsius doloris acuti A indicium adfert maior, minorve efficientis causæ magnitudo. Biliosus siquidem & acris humor dolorem intendit, sicut & spiritus flatulentus exitum non habens; remittit pituitosus. Non solùm autem qualitatis cuiusdam magnitudo nobis aliquam dat doloris significationem, sed etiam quantitatis: Intenditur enim cuiusvis causæ efficientis actio aucta eius substantia. Si itaque Hippocrates quia doloris magnitudinem considerandam esse vellet, hunc aphorismum scripsit, satis ipsius usum sum exposuimus: Si verò non ratione magnitudinis duntaxat dolorum differentias spectan- B das esse pronunciat, sed generalius etiamnum quiddam ac veluti vniuersalius indicat, qui omnes effatu dignas dolorum differentias animaduertendas esse consulit, multò etiam majorem ex ipso vtilitatis fructum percepturi sumus; Erit enim oratio huiusmodi: Non simpliciter partium dolorem considerare oportet, neque eandem esse in omnibus affectionem arbitrari oportere, vt si exempli gratiâ, antea quidem Dioni, posteà verò Theoni latus doluerit, non eodem modo vtrunque se habere existimandum; sed num multùm inter se dolore C differant, an quodammodo existant similes cognoscendum. Id verò ex duobus fit perspicuum, doloris tum specie, tum vehementia. Ex specie quidem, si punctorius, si tensiuus, aut torpidus, aut phantasiâ grauis, aut tanquam lancinans, aut erodens, aut pertundens, aut continuus, aut cum intermissione, aut æquabilis, aut inæquabilis. Ex vehementia etiam qui vehementior remissiorve sit spectare oportet, quæ paulò suprà secundùm magnitudinem in doloribus dicebatur differentia. Consuetum enim erat Medicis vocabulo abu- D tentibus quicquid vehementius est maius nominare, etiamsi id non quantum, sed quale existat. Febrem enim quæ suam habet in calore essentiam, magnam, aut paruam, aut mediocrem omnes nominare non cessant. Quare mirū non si est dolorem etiam vehementiorem maiorem vocitent. Imò verò magis admiratione dignum non est, si quæ speciebus separata sunt, ea inter se multùm differre dicantur; veluti si dolorem qui ponderis cuiusdam phantasiam refert, ab eo qui lancinare & pertundere partem, qui aliud quidpiam ex iis quæ supra dicta sunt facere videtur, diuersum E esse dixeris.

οὐ δὲ περιεχόμενον χιτῶνος, ἢ τῶν ἀγγείων, ὀξεία, καὶ αὐτῆς δὲ τῆς ὀξείας ἔνδειξιν φέρει, τὸ μᾶλλον καὶ ἧττον τοῦ ποιοῦντος αἰτίου. χολώδης μὲν γὰρ, καὶ δριμὺς χυμὸς ἐπιτείνει τὴν ὀδύνην, οὕτω δὲ καὶ φυσῶδες πνεῦμα, διέξοδον οὐκ ἔχον, ἐκλύει δὲ ὁ φλεγματώδης· οὐ μόνον δὲ ποιότητός τινος μέγεθος ὀδύνης ἔνδειξίν τινα ἡμῖν δίδωσιν, ἀλλὰ καὶ ποσότητος. ἐπιτείνεται γὰρ ἑκάστου τῶν ὁποιοῦν ἐργαζομένων αἰτίων ἡ ἐνέργεια τῆς οὐσίας αὐξανομένης. εἰ μὲν οὖν τὸ μέγεθος ἑκάστης ὀδύνης ἀξιῶν ἐπισκέψασθαι, τοῦτον ἔγραψε τὸν ἀφορισμὸν Ἱπποκράτης, αὐτάρκως ἐξήγημαι τὴν χρείαν αὐτοῦ. εἰ δ' οὐ μόνον τὴν κατὰ μέγεθος διαφορὰν τῶν ὀδυνῶν ἐπισκέπτεσθαί φησι δεῖν, ἀλλ' ἔτι γενικώτερον, καὶ οἷον καθολικώτερον ἐνδείκνυται, συμβουλεύων ἁπάσας τὰς ἀξιολόγους ἐν ταῖς ὀδύναις ἐπισκέπτεσθαι διαφορὰς, ἐπὶ μείζονα χρείαν ἐξ αὐτοῦ καρπωσόμεθα· γενήσεται γὰρ ὁ λόγος τοιοῦτος. οὐχ ἁπλῶς χρὴ σκοπεῖσθαι τὴν ὀδύνην τῶν μορίων, οὐδ' ἡγεῖσθαι, τὴν αὐτὴν ἐπὶ πάντων εἶναι διάθεσιν. οἷον εἰ ἔμπροσθεν μὲν Δίων, νυνὶ δὲ Θέων ἀλγεῖ πλευρὰν, ὑπολαμβάνειν ὡσαύτως ἔχειν αὐτοὺς, ἀλλὰ καταμαθητέον, εἴ τε μεγάλα διαφέρουσιν ἀλλήλων, εἴ τε παραπλήσιοί πως εἰσί. γίνεται δὲ τοῦτο, ἐκ δυοῖν καταφανὲς, ἰδέας τε τῆς ὀδύνης, καὶ σφοδρότητος. ἰδέας μὲν, εἰ νυγματώδης, ἢ τονώδης, ἢ ναρκώδης, ἢ κατὰ βάρους ἐμφάσεως, ἢ οἱονεὶ κεντοῦντός τινος, ἢ διαβιβρώσκοντος, ἢ διηνεκὴς, ἢ διάλειμμα ἔχοντος, ἢ ὁμαλὴ, ἢ ἀνωμάλου τινός. κατὰ δὲ τὰς σφοδρότητας, τὸ μᾶλλόν τε, καὶ ἧττον σκοπεῖν, ὅπερ ὀλίγον ἔμπροσθεν, ἡ κατὰ μέγεθος, ἐν ταῖς ὀδύναις ὠνομάζετο διαφορά. σύνηθες γάρ ἐστι τοῖς ἰατροῖς καταχρωμένοις, τὸ σφοδρότερον ἅπαν, ὀνομάζειν μεῖζον, εἰ καὶ μὴ ποσὸν, ἀλλὰ καὶ ποιὸν ὑπάρχει. τὸν μὲν γὰρ πυρετὸν, οὐδὲ παύονται μέγαν, ἢ μικρὸν, ἢ μέτριον ἅπαντες ὀνομάζοντες, ἐν θερμασίᾳ τὴν ὕπαρξιν ἔχοντα. θαυμαστὸν οὖν οὐδὲν, εἰ καὶ τὸν σφοδρότερον πόνον μείζονα προσαγορεύουσιν. ἔτι δὲ μᾶλλον, οὐδὲν θαυμαστόν ἐστιν ὅσα κεχώρισται ταῖς ἰδέαις, ἀλλήλων μέγα διαφέρειν αὐτὰ λέγειν, οἷον τὸν κατὰ βάρους ἐμφάσεως πόνον, τοῦ μετὰ τοῦ τιτρώσκεσθαι δοκεῖν, ἢ τι τῶν ἄλλων πάσχειν τῶν προειρημένων.

Renum & vesicæ affectus in senilibus corporibus vix sanescere, rationes & causas prodit Galenus.

Τὰ νεφριτικὰ καὶ κατὰ τὴν κύστιν παθήματα τοῖς πρεσβυτικοῖς σώμασι μόγις ὑγιάζεσθαι, τοὺς λόγους καὶ τὰς αἰτίας δηλοῖ ὁ Γαληνός.

APHORISMVS VI.

ΑΦΟΡΙΣΜΟΣ ϛʹ.

F

Renum & vesicæ affectiones ac dolores senibus operosè sanantur.

ΤΑ νεφριτικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν ἀλγήματα ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτησιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῖς γέρουσι μόγις ὑγιάζεσθαί φησι, τουτέστι μετὰ πολλῆς πραγματείας, καὶ χρόνου μακροῦ τὰ κατὰ νεφροὺς, καὶ κύστιν. ὅτι δὴ τοὔργον αὐτῶν ἄπαυστόν ἐστιν, ἡσυχίας δὲ δεῖ τοῖς ὁποιουοῦν μέλλουσι θεραπευθήσεσθαι. καὶ ὅτι περίττωμα δι' αὐτῶν κενοῦται δριμὺ πρὸς ὀξυνθὲν ἐπιτήδειον, εἴθ' ἕλκος, εἴ τε φλεγμονή τις ἐν αὐτοῖς, εἴθ' ὁποιονοῦν ἄλλο συσταίη πάθημα. πολὺ δὲ δὴ μᾶλλον τῶν πρεσβυτικῶν σωμάτων, ἐργωδῶς ὑγιάζεται τὰ κατὰ τὴν κύστιν, ὅτι καὶ τἄλλα σύμπαντα νοσήματα, καὶ μάλιστα ὅσα ἢ χρόνια, ταῦτα γὰρ τοιαῦτα, καὶ αὐτὸς ἔφη πρόσθεν συναποθνήσκειν.

GALENI COMMENTARIVS.

A Ffectus renum & vesicæ senibus vix sanari pronunciat, hoc est, multo negotio, ac longo tempore. Quod certè earum partium actio irrequieta sit; quiete autem opus est quodcunque sanari debeat, quódque excrementũ quod per eas vacuatur, acre sit, quod irritandi siue vlceris, siue inflammationis, siue alterius cuiuspiam affectionis in ipsis consistentis vim habet. Multò verò difficilius sanantur in senibus vesicæ affectus, quoniam alij etiam morbi omnes, præcipuéque longi in ipsis vix medelam admittunt: Tales enim senes adusque mortem comitari suprà dixit.

Ὅτι τὰ μὲν κατὰ τὴν κοιλίαν ἀλγήματα μετέωρα κουφότερα ἤ, τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα. τίνα ἤ. τὰ ἄμφω.

Quòd sublimes ventris dolores leuiores sint; non sublimes verò vehementiores. Qui sint vtrique.

ΑΦΟΡΙΣΜΟΣ. ζ.

Τὰ ἀλγήματα, τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα κουφότατα· τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα.

APHORISMVS VII.

QVi dolores in ventre concitantur, sublimes quidem, leuiores; non sublimes verò vehementiores.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μετέωρα νῦν ἀκουστέον, οὐ κατὰ τὸ μῆκος τοῦ σώματος, ἀλλὰ κατὰ τὸ βάθος. ὁρίζει δὲ ταῦτα, ἐπὶ τῶν κατὰ τὴν γαστέρα χωρίων, τὸ περιτόναιον· ὥσθ' ὅσα μὲν ἐν τοῖς ἐπικειμένοις τούτου γίνεται, κεκλῆσθαι μετέωρα. τὰ δ' ἐν τοῖς ὑποκειμένοις, τουτέστιν ἐν αὐτοῖς τοῖς ἐντέροις, καὶ τῇ γαστρὶ, καὶ τὰ ἐν τῷ βάθει, ταῦτα λέγει μὴ μετέωρα. πρόδηλον δ' ὅτι τὰ τοιαῦτα καλῶς κέκληκεν ἰσχυρότερα.

GALENI COMMENTARIVS.

SVblimes nunc non secundùm corporis longitudinem, sed profunditatem intelligendi sunt. Hos autem circunscribit in ventris regione peritonæum; ita vt qui in partibus hoc elatioribus fiunt, sublimes vocentur; qui verò partibus huic subjacentibus, hoc est, intestinis ipsis, atque ventriculo, & alto corpore consistunt, non sublimes dicantur. Porro liquet eiusmodi dolores vehementiores *Hippocratem* meritò vocasse.

Τὰ τῶν ὑδρωπικῶν ἕλκεα μὴ ὑγιάζεσθαι.

Hydropicorum vlcera non curari.

ΑΦΟΡΙΣΜΟΣ η'.

Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥηϊδίως ὑγιάζεται.

APHORISMVS VIII.

ORta hydropicis in corpore vlcera non facilè sanantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐδίδαξεν αὐτὸς ἐν τῷ περὶ ἑλκῶν, οὐ πρότερον ἐπουλούμενα τὰ ἕλκη, πρὶν ἀκριβῶς ξηρανθῆναι. τοῦτο δ' οὐ ῥᾴδιον ἐπὶ τῶν ὑδρωπικῶν ἐργάζεσθαι, διὰ τὴν ἀμετρίαν τῆς ὑγρότητος.

GALENI COMMENTARIVS.

DOcuit ipse Libro de vlceribus non priùs ad cicatricem vlcera perduci, quàm planè exiccata sint. Hoc autem in hydropicis ob humiditatis incommoderationem non facilè fieri.

A

Pustulas duplices esse humiles, latas, rarò pruriginosas; & sublimes acutas; has ab humore calidiore; illas à frigidiore fieri, sic & tubercula.

Τὰ ἐξανθήματα διπλᾶ εἶναι, τὰ μὲν ταπεινότερα πλατέα, τὰ δὲ ὑψηλότερα ὀξέα. τὰ μὲν θερμότερος ὁ χυμὸς, τὰ δὲ ψυχρότερος ἐργάζεται, οὕτω καὶ τὰ φύματα.

APHORISMVS IX.

Latæ pustulæ rarò pruriginosæ.

ΑΦΟΡΙΣΜΟΣ θ΄.

B Τὰ πλατέα ἐξανθήματα, οὐ πάνυ τι κνησμώδεα.

GALENI COMMENTARIVS.

Qvemadmodum tuberculorum omnium duplex est differentia. Quædam enim in acutum fastigiantur, & sublimia existunt; quædam in ampliorem locum extenduntur; non tamen in altum attolluntur: sic & pustularum nonnullæ sublimes acuminantur, nonnullæ humiles latæ fiunt. Elatiora autem tubercula, sublimiorésque pustulas calidior humor procreat; humiliora verò frigidior. Quare ob duplicem causam latæ pustulæ non admodum pruriunt: cutis enim perspiratu in latitudinem exhalant extensæ, & efficientem ipsas humorem minus acrem obtinent.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καθάπερ τῶν φυμάτων ἁπάντων διττή τίς ἐστιν ἡ διαφορὰ, τῶν μὲν ἀνατεινομένων εἰς ὀξὺ, καὶ ὑψηλῶν γινομένων, τῶν δὲ ἐκτεινομένων μὲν ἐπὶ πλέονα τόπον, οὐ μὴν εἰς ὕψος αἰρομένων. οὕτως καὶ τῶν ἐξανθημάτων ἔνια μὲν ὑψηλὰ γίνεται, τινὰ δὲ πλατέα. τὰ μὲν οὖν ὑψηλότερα φύματα, καὶ ἐξανθήματα θερμότερος ἐργάζεται
C χυμός· τὰ δὲ ταπεινότερα· ψυχρότερος, τι ὥστε διὰ διττὴν τὴν αἰτίαν οὐ πάνυ τι κνησμώδεα γίνεται τὰ πλατέα. διαπνεῖται γὰρ εἰς πλάτος ἐκτεταμένα, καὶ τὸν ἐργαζόμενον αὐτὰ χυμὸν ἧττον ἔχει δριμύν.

Dolorem capitis faciente vacuatâ ex quâ fit materiâ per os, aut nares, aut aures solui.

Ὀδύνην τῆς κεφαλῆς ἐκκριθείσης δραστικῆς τῆς ὕλης κατὰ τὸ στόμα, ἢ τὰς ῥῖνας, ἢ τὰ ὦτα λύεσθαι.

D

APHORISMVS X.

Capite dolenti, ac vehementer laboranti pus, aut aqua, aut sanguis per nares, vel os, vel aures effluens, morbum soluit.

ΑΦΟΡΙΣΜΟΣ ι΄.

Κεφαλὴν πονέοντι, περιωδυνέοντι, πύον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα, ἢ κατὰ τὸ στόμα, λύει τὸ νόσημα.

GALENI COMMENTARIVS.

Plura & alia sic Hippocrates pronunciare demonstrauimus, quibus nisi quis animum aduertat, videatur quod ab ipso dicitur, solum & vnicum esse affectionis propositæ remedium, aliud verò nullum. Verùm ipse non hoc duntaxat esse dicit, sed simpliciter quod pus vel aqua per aures, aut nares effluens morbum soluit. Quod si inuerso ordine dixisset, quemadmodum ego nunc *feci*, oratio reprehensione vacasset. Quum vel propter inflammationem, vel humorum crudorum multitudinem in capite aceruatam, fieri dolorem contigerit, tunc inflammatione suppuratâ,
F aut excreto humore, morbi fiet solutio. Si verò propter flatulentum spiritum, aut sanguinis copiam, aut bilem mordacem, aut denique ob intemperiem dolor acciderit, per alia remedia sanabitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Πολλὰ καὶ ἄλλα οὕτω δέδεικται λέγων ὁ Ἱπποκράτης, ἐφ᾽ ὧν, ἐὰν μὴ προσέχῃ τις τὸν νοῦν, δοκεῖ μόνον εἶναι τὸ λεγόμενον ὑπ᾽ αὐτοῦ θεραπευτικὸν τοῦ πάθους, ἄλλο δὲ οὐδέν. ὁ δὲ οὐ τοῦτο μόνον φησὶν, ἀλλ᾽ ἁπλῶς ὅτι πύον, ἢ ὕδωρ ῥυὲν, ἤτοι διὰ τῶν ὤτων ἢ τῶν ῥινῶν λύει τὸ νόσημα. καὶ εἴ γε οὕτως ἀντιστρέφων εἰρήκει, καθάπερ ἐγὼ νῦν, ἀνέγκλητος ἂν ἦν ὁ λόγος. ἐπειδὰν ἤτοι διὰ φλεγμονὴν, ἢ ὑγρῶν ἀπέπτων πλῆθος ἠθροισμένον ἐν τῇ κεφαλῇ τὴν ὀδύνην συμβαίνει γίνεσθαι, τηνικαῦτα τῆς φλεγμονῆς διαπυησάσης, ἢ τῆς ὑγρότητος ἐκκριθείσης,
F λύσιν γίνεσθαι τῆς ὀδύνης. ἐὰν δὲ διὰ πνεῦμα φυσῶδες, ἢ αἵματος πλῆθος, ἢ δάκνουσαν χολὴν, ἢ ὅλως κατὰ δυσκρασίαν, ἡ ὀδύνη γίνεται, δι᾽ ἄλλων ἰαθήσεται.

A

Τοὺς μελαγχολικούς τε, καὶ νεφριτικοὺς διὰ τῶν αἱμοῤῥοΐδων ἐπιγενομένων ἰᾶσθαι.

Melancholicos, & nephriticos succedentibus hæmorrhoidibus sanari.

ΑΦΟΡΙΣΜΟΣ ια΄.

Τοῖσι μελαγχολικοῖσι, καὶ τοῖσι νεφριτικοῖσιν αἱμοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν.

APHORISMVS XI.

Melancholicis & nephriticis succedentes hæmorrhoides bonum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ τῷ τῆς κενώσεως μόνον λόγῳ, αἱμοῤῥοΐδες ἰῶνται τὰ τοιαῦτα τῶν παθῶν, ἀλλὰ καὶ αὐτὴ ἡ ποιότης τοῦ κενουμένου. παχὺ γὰρ εἰώθασιν αἱ τοιαῦται κενοῦν αἷμα μεστὸν τοῦ μελαγχολικοῦ χυμοῦ, παραπλησίαν ἔχοντος ἐν αἵματι δύναμιν, οἵαπερ ἐν τοῖς οἴνοις ἡ τρύξ, ὥστ' οὐδὲν θαυμαστὸν καὶ μελαγχολίαν καὶ νεφρῖτιν ἰᾶσθαι διὰ τῶν αἱμοῤῥοΐδων, ἐκκενοῦν πεφυκυιῶν τὴν οἷον ἰλὺν τοῦ αἵματος.

B

GALENI COMMENTARIVS.

Non vacuationis ratione solùm, sed ipsa etiam humoris vacuandi qualitate eiusmodi affectus hæmorrhoides sanant. Hæ nanque crassum sanguinem profundere solent humoris melancholici plenum, talem in sanguine vim obtinentis, qualem in venis fæx habet. Quare nihil mirum & melancholiam & nephritim per hæmorrhoidas curari, vt potè quæ sanguinis veluti fæcem vacuare soleant.

C

Ἐν τῇ τῶν αἱμοῤῥοΐδων θεραπείᾳ, ἢν μὴ μία διαφυλαχθῇ, τὰ τοῦ ὕδρωπος ἢ τὰς φθίσεως τὴν κίνδυνον εἶναι.

In hæmorrhoidum curatione, nisi vna seruetur, hydropis aut tabis metum esse.

ΑΦΟΡΙΣΜΟΣ ιβ΄.

Αἱμοῤῥοΐδας ἰησάμενῳ χρονίας, ἢν μὴ μία διαφυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι, ἢ φθίσιν.

D

APHORISMVS XII.

Diuturnas hæmorrhoidas curanti, nisi vna seruata sit, hydropem aut tabem succedere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰς αἱμοῤῥοΐδας ἀδύνατον γενέσθαι, χωρὶς τοῦ διὰ πλῆθός τε, καὶ πάχος αἵματος ἀναστομωθῆναί τινας φλέβας, ἀποτιθεμένου τοῦ ἥπατος εἰς αὐτὰς ἰλυῶδές τε, καὶ μελαγχολικὸν αἷμα. ἐὰν οὖν ἀποκλείσῃ τις αὐτῷ, τῆς ἐντεῦθεν φορᾶς, ἅμα μὲν σκιῤῥῶδες ἐργάζεται τὸ ἧπαρ, ἅμα δὲ καὶ τῷ πλήθει, καὶ τῷ πάχει βαρυνόμενον, ἀποσβέννυσι τὴν ἐν αὐτῷ θερμασίαν. ὅμοιον τοῦ συμβαίνοντος ὄντος, τῷ κατὰ τὰς ἐκτὸς φλόγας, ὑφ' ὧν, κακῶς ξύλα πολλὰ σωρευθέντα, πνίγει τε, καὶ σβέννυσι τὸ πῦρ. εἴ περ οὖν ὑπὸ τῆς ἐμφύτου θερμασίας γίνεται τὸ αἷμα, πρόδηλον ὡς οὐκέτι γεννηθήσεται σβεννυμένης αὐτῆς, ὁ δὲ ὕδερος ἀποτυχία τῆς αἱματώσεως γίνεται. ἐὰν δέ ποτε δυνηθῇ τὸ ἧπαρ ἀπώσασθαι τὸ πλῆθος ἐπὶ τὰς ἐν τῷ πνεύμονι φλέβας, ἀγγείου ῥαγέντος ἐνταῦθα, φθινώδεις γίνονται. εἰκότως οὖν συμβουλεύει, κἂν μίαν φυλάττειν αἱμοῤῥοΐδα, ὡς διὰ ταύτης ἐκκενοῦσθαι τὴν ἰλυώδη κακοχυμίαν τοῦ ἥπατος, καὶ μάλιστα ἐφ' ὧν ἐμελέτησε χρόνῳ πλείονι διὰ τούτων ἐκκρίνειν αὐτὰς φλεβῶν.

GALENI COMMENTARIVS.

Hæmorrhoidas citari est impossibile, quin propter sanguinis multitudinem & crassitudinem venarum ora quædam aperiantur, iecore in ipsas fœculentum & melancholicum sanguinem deponente. Si quis

E

igitur ipsi viam præcluserit, tum scirrhosum ipsum effecerit, tum multitudine & crassitie grauatum calorem in ipso extinxerit; quum quid simile acciderit, quale flammis externis, in quibus multa ligna ignem suffocant atque extinguunt. Itaque si à natiuo calore generetur sanguis, constat ipso extincto, non ampliùs procreatum iri; At verò hyderus procreationis sanguinis frustratione oboritur. Quòd si quandoque iecur plenitudinem in pulmonis venas protendere queat, vase hîc rapto tabidi fiunt. Ratione igitur vnam saltem hæmorrhoidem

F

seruandam esse consulit, vt per hanc fœculenta iecoris cacochymia vacuetur, præsertim quibus longo tempore per huiusmodi venas excerni consueuit.

A

Singultus esse remedium à plenitudine sternutationem.

Τοῦ λυγμοῦ ὑπὸ τῆς πληρώσεως γινομένου τὸν πταρμὸν εἶναι βοήθημα.

APHORISMVS XIII.

Singultu laboranti sternutamenta succedentia singultum soluunt.

ΑΦΟΡΙΣΜΟΣ ιγ'.

Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγινόμενοι λύουσι τὸν λυγμόν.

GALENI COMMENTARIVS.

B

Quemadmodum author conuulsionem tum à plenitudine tum, vacuatione fieri docebat: ita quoque singultum accidere. Quum igitur à plenitudine (nam plerunque ita creatur) violento opus est motu, vt tanquam vecte quodam remotæ humiditates ipsum efficientes perflentur, vacuentúrque: Hoc autem sternutatio efficit. Qui verò ob inanitionem rarò fiunt singultus, eos non sanat sternutamentum. Quòd autem ob plenitudinem singultus frequenter oboriatur, in pueris etiam conspicitur, qui quum se supra modum repleuerint, crebrò singultiunt. C Frigus & perfrigeratio neruosa corpora omnia ægrè perspirabilia reddunt, quorum repletionem efficiunt, proindeque singultus ipsis accidit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καθάπερ αὐτὸς εἶπεν ὑπὸ πληρώσεώς τε, καὶ κενώσεως γίνεσθαι τὸν σπασμὸν, οὕτω καὶ τὸν λυγμόν. ὅταν οὖν ὑπὸ πληρώσεως γίνηται, τοὐπίπαν δὲ οὕτω συνίσταται, βιαίας δεῖται κενώσεως, ἵν' ὥσπερ μοχλευθέντα τὰ κατὰ τοῦτον ὑγρὰ διαπνεύσῃ τε, καὶ κενωθῇ· τοῦτο δὲ ὁ πταρμὸς ἐργάζεται. τοὺς δὲ ἐπὶ κενώσει λυγμοὺς σπανίως ἐπιγινομένους, οὐκ ἰᾶται πταρμός. ὅτι δ' ἐπὶ, πληρώσει συνεχῶς γίνεται λυγμὸς, ὁρᾶται κἀπὶ τῶν παιδίων λυζόντων πολλάκις ὅταν ὑπερπλησθῇ· καὶ τὸ κρύος δὲ, καὶ ψύξις τῷ δυσδιάπνευστα ἐργάζεσθαι πάντα τὰ νευρώδη σώματα τὴν πλήρωσιν αὐτῶν ἀποτελεῖ, καὶ διὰ τοῦτο λύζουσιν ἐπ' αὐτῶν.

Quòd aquæ in ventrem profluuium, hydropem soluat.

Ὅτι τοῦ ὕδατος ἐς τὴν κοιλίαν καταῤῥοὴ τὸν ὕδρωπα λύῃ.

APHORISMVS XIV. D

Hydrope laboranti si aqua ex venis in ventrem fluxerit, morbi fit solutio.

ΑΦΟΡΙΣΜΟΣ ιδ'.

Ὑπὸ ὕδρωπος ἐχομένῳ, οὗ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

GALENI COMMENTARIVS.

Hoc etiam vnum est exemplum vacuationum quæ sponte & vtiliter oboriuntur. Spontaneas autem dicimus non quæ sine causa, sed sine opera nostra fiunt. Si nanque dato medicamento aquas ducente, talis facta fuerit vacuatio, non amplius hanc spontaneam appellamus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἓν καὶ τοῦτό ἐστι παράδειγμα τῶν αὐτομάτων γινομένων ἐπ' ὠφελείᾳ κενώσεων· αὐτομάτων δὲ δηλονότι λεγομένων, οὐ τῶν χωρὶς αἰτίας, ἀλλὰ χωρὶς τῆς ἐξ ἡμῶν αἰτίας. ὅταν γὰρ δόντων ὑδραγωγὸν φάρμακον ἡ τοιαύτη κένωσις γένηται, οὐκέτ' αὐτὴν ὀνομάζομεν αὐτόματον.

E

Diuturnam diarrhœam vomitu spontaneo solui.

Διαῤῥοίαν τὴν χρονίαν τῷ ταυτομάτῳ ἐμέτῳ λύεσθαι.

APHORISMVS XV.

F

Longo alui profluuio laboranti spontanea succedens vomitio alui profluuium soluit.

ΑΦΟΡΙΣΜΟΣ ιε'.

Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγινόμενος λύει τὴν διάῤῥοιαν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ καὶ τοῦτο ἐστιν ὡσαύτως παράδειγμα, τῶν καλῶς ὑπὸ τῆς φύσεως γινομένων, ὃ χρὴ μιμεῖσθαι τὸν ἰατρόν· ἡ δὲ ὠφέλεια τῷ τῆς ἀντισπάσεως λόγῳ.

A

GALENI COMMENTARIVS.

HOc quoque similiter exemplum est eorum quæ præclare à natura geruntur; quod Medicum imitari oportet; Eius autem vtilitas reuulsionis ratione æstimatur.

Τὴν διάρροιαν ἰσχυρὰν τῇ πλευρίτιδι ἢ περιπνευμονίᾳ διὰ τὸ νόσημα, καὶ μὴ ἐξ ἐδέσματός τινος, ἢ πόματος κακίας ἐπιγινομένην, εἰ μὴ φαίνηται τὰ τῆς πέψεως σημεῖα, τὸ σημεῖον εἶναι κακόν.

B Diarrhœam vehementem pleuritidi aut peripneumoniæ vi morbi, non cibi aut potus vitio succedentem, nisi signa coctionis appareant, signum esse malum.

ΑΦΟΡΙΣΜΟΣ ιϛ΄.

ΥΠὸ πλευρίτιδος, ἢ ὑπὸ περιπλευμονίης ἐχομένῳ, διάρροια ἐπιγινομένη, κακόν.

APHORISMVS XVI.

Pleuritide aut peripneumonia affecto, diarrhœa succedens malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟῖς πάσχουσι μορίοις, οὐχ ἁπλῶς ἕτερα συμπάσχειν πέφυκεν, ἀλλ' ὅταν ἐν ἰσχυρῷ γένωνται πάθει. κατὰ τοῦτ' οὖν καὶ τῷ ἥπατι παθόντι λυγμὸς μὲν ἐπιγίνεται, στομάχου συμπαθοῦντος. βὴξ δὲ καὶ δύσπνοια, τῶν ἀναπνευστικῶν ὀργάνων. ὑπὸ γοῦν καὶ τοῖς ἀναπνευστικοῖς ὀργάνοις μεγάλως κακοπραγοῦσι, τὸ ἧπαρ συμπάσχει, καὶ τοῦτό γε σαφῶς ἐνεδείξατο καὶ αὐτὸς ὁ Ἱπποκράτης, οὐχ ἁπλῶς εἰπών, ὑπὸ πλευρίτιδος, ἢ περιπνευμονίας ἐκταραχθεῖσαν τὴν κοιλίαν, κακὸν εἶναι σημεῖον, ἀλλὰ προσθεὶς τῷ ἐχομένῳ, ὥσπερ κατεχομένῳ, καὶ βιαζομένῳ, τῷ κάμνοντι πρὸς τῶν τοιούτων παθῶν, εἰρήκει τὴν διάρροιαν ἐπιγινομένην, κακὸν εἶναι σημεῖον. ἐπειδὴ τοῖς οὕτως ἔχουσι διάρροια γίνεται, μήθ' ἕλκειν ἔτι καλῶς εἰς ἑαυτὸ τὴν τροφὴν δυναμένου τοῦ ἥπατος, μήθ' αἱματοῦν, ἔστι δ' ὅτε καὶ τῆς κοιλίας διαφθειρούσης αὐτήν. ἐπὶ μέντοι μετρίᾳ πλευρίτιδί τε, καὶ περιπνευμονίᾳ διάρροια ἐπιγινομένη, δύναταί ποτε τῷ λόγῳ τῆς κενώσεως ὠφελῆσαι, καὶ μᾶλλον ὅταν φαίνηται τὰ τῆς πέψεως σημεῖα τοῖς πάθεσι παρόντα, καὶ οὔτε φόβος ἐστὶν, ἀλλὰ καὶ ἀκινδύνως. κοινῇ δ' ἐπὶ τούτων, καὶ τῶν ἄλλων ἁπάντων, ὅσα κατὰ τὸν αὐτὸν λέγεται τρόπον, ἐκείνου μεμνῆσθαι προσήκει, τοῦ διὰ μηδὲν ἄλλο πρόσκαιρόν τε, καὶ πρόδηλον ἐπιγεγονέναι τὸ σύμπτωμα. καθάπερ γε καὶ νῦν τὴν διάρροιαν ἐξ ἐδέσματός τινος, ἢ πόματος, ἀλλὰ τῷ λόγῳ τοῦ νοσήματος. ὅσα γὰρ δι' ἄλλο τι, καὶ μὴ διὰ τὸ νόσημα γέγονεν, οὐ δύναται σημαίνειν αὐτοῦ τὸ ἦθος, εἴ γε συνῆφθαι χρὴ κατά τι τὸ σημεῖον, τῷ δηλουμένῳ πρὸς αὐτοῦ.

C

GALENI COMMENTARIVS.

PArtibus affectis aliæ non simpliciter consentire consueuerunt; sed quum vehementi affectu detinentur. Hac itaque ratione & iecore grauiter patiente, singultus quidem superuenit per consensum affecto stomacho, tussis autem & spirandi difficultas per consensum affectis spirabilibus instrumentis. Sic sanè & spirabilibus organis magnopere affectis hepar compatitur: hocque ipsum manifestè ostendit ipse Hippocrates, quum non
D simpliciter dixit: *In pleuritide aut peripneumonia turbatam & solutam aluum malum esse signum*; sed adiecit, *affecto*, ac si detento & talibus morbis vexato laboranti diceret diarrhœam superuenientem signum esse malum; quoniam his ita affectis alui profluuium oboritur, quum iecur non ampliùs ad se attrahere alimentum, neque probè in sanguinem conuertere valeat, & ventriculus etiam interdum ipsum corrumpat. Moderatæ tamen pleuritidi & peripneumoniæ superueniens alui solutio potest ali-
E quando vacuationis ratio prodesse, multoque magis postquam coctionis signa morbis inesse apparuerint, neque metus adest, sed morbus periculo vacat. Communiter autem in his & aliis omnibus quæ eodem modo efferuntur, exceptionis huius meminisse decet, dummodò nulla alia extemporali & manifesta occasione acciderit eiusmodi symptoma, veluti si nunc diarrhœa ex cibo aut potu aliquo sit orta; sed morbi ratione interuenerit: Nam quæ alia ex causa & non vi morbi eueniunt, ipsius morem significare nequeunt: signum siquidem in aliquo cum re si-
F gnificata coniunctum esse oportet.

Diarrhœam

A

Diarrhœam ophthalmiæ ſuccedentem bonum eſſe; quòd humor noxius vacuetur, & reuellatur.

Τὴν διαῤῥοίαν τῇ ὀφθαλμίᾳ ἐπιγινομένην καλὸν εἶναι, ὅτι κακοχυμία κενοῦται καὶ ἀντισπᾶται.

APHORISMVS XVII.

Ophthalmia laborantem diarrhœâ corripi, bonum.

ΑΦΟΡΙΣΜΟΣ ιζ'.

B Ὀφθαλμιῶντα ὑπὸ διαῤῥοίης ληφθῆναι, ἀγαθόν.

GALENI COMMENTARIVS.

Hoc non tanquam bonum ophthalmiâ laborantibus ſignum, ſed vt cauſa ab eo pronunciatur, quòd humorum redundantia ſimul vacuetur, & ad inferiora reuellatur. Quod vnum ipſi quoque exemplum eſt eorum quæ ſponte & vtiliter vacuantur, & quæ Medicum imitari oportet; nimirum ita omnes faciunt qui in ophthalmiis aluum tum clyſteribus; tum purgationibus ſubducunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ὡς σημεῖον τοῦτο τῶν ὀφθαλμιώντων ἀγαθόν, ἀλλ' ὡς αἴτιον παρ' αὐτοῦ εἴρηται. διὰ τὸ, τὴν πλεονεξίαν τῶν χυμῶν ἐκκενοῦν τε ἅμα καὶ ἀντισπᾶν κάτω. ἔστι δ' αὐτῷ καὶ τοῦτο παράδειγμα ἓν τῶν αὐτομάτως ἐπ' ὠφελείᾳ κενουμένων, ἃ χρὴ τὸν ἰατρὸν μιμεῖσθαι, ἀμέλει καὶ ποιοῦσιν οὕτω πάντες ἐν ὀφθαλ-
C μίαις, τὴν γαστέρα, διά τε κλυστήρων καὶ καθάρσεων ὑπάγοντες.

Diacopas aut magna vulnera veſicæ, cerebri, cordis, ſepti tranſuerſi, tenuis inteſtini, ventriculi & iecoris mortem adferre, rationes & cauſæ producuntur.

Ὅτι αἱ διακοπαὶ, ἢ μεγάλαι τρώσεις τῆς κύστεως, ἢ ἐγκεφάλου, ἢ καρδίας, ἢ διαφράγματος, ἢ ἐντέρου λεπτοῦ, καὶ τῆς κοιλίας, καὶ τοῦ ἥπατος τὸν θάνατον ἐπιφέρωσιν οἱ λόγοι, καὶ αἰτίαι.

APHORISMVS XVIII. D

Cui præciſa veſica fuerit, aut cerebrum, aut cor, aut ſeptum tranſuerſum, aut tenue quoddam inteſtinum, aut ventriculus, aut iecur, lethale eſt.

ΑΦΟΡΙΣΜΟΣ ιη'.

Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες.

GALENI COMMENTARIVS.

Nomen lethale tum aliis in Libris, tum hoc ipſo ſæpe de iis qui ex neceſſitate
E interituri ſunt, ſæpe etiam de iis qui plerunque, protulit. Quare nunc abditum eſt vtrùm dictarum partium præciſiones omnino mortem ſequi velit innuere, an in quibuſdam raròhominem ſeruari contingat. Quòd itaque cordis vulnus mortem neceſſariò adferat ex iis quæ ab omnibus conceduntur, vnum eſt; non tamen ab aliis conceſſum eſt quodcunque vulnus mortem inuehere; ſed quod magnum atque profundum eſt, quod conſentaneum eſt per dictionem, *præciſa*, ſignificari; vt tota veſicæ tunica diuiſa ad internam vſque capacitatem pertuſa, atque aliorum vnumquodque
F ſimiliter diviſum intelligatur. In veſica ſiquidem conceſſum eſt tale vulnus non coaleſcere, vt nec in parte etiam ſepti tranſuerſi neruoſa, ac tenuibus inteſtinis. De ventriculo verò dubitatur: Quoſdam enim in eo vulneratos di-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ, θανατῶδες ὄνομα πολλάκις εἴρηται ἐν ἄλλοις τε, καὶ κατ' αὐτὸ τοῦτο τὸ βιβλίον, ἐπὶ τῶν ἐξ ἀνάγκης τεθνηξομένων, πολλάκις δὲ, τῶν ὡς ἐπὶ τὸ πολύ. διὸ καὶ νῦν ἄδηλόν ἐστιν, εἴ τι πάντως ἀποφαίνεται, θάνατον ἕπεσθαι ταῖς τῶν εἰρημένων μορίων διακοπαῖς, εἴτ' ἐπί τινων ἐγχωρεῖ σωθῆναι σπανίως τὸν ἄνθρωπον. ὅτι μὲν οὖν ἡ τῆς καρδίας τρῶσις ἐπιφέρει θάνατον ἐξ ἀνάγκης, ἕν τι τῶν ὁμολογουμένων ἐστὶν, οὐ μὴν ἐπί γε τῶν ἄλλων ὁμολόγηται πᾶσα τρῶσις, ἀφυκτὸν ἔχειν τὸν θάνατον, ἀλλ' ἡ μεγάλη τε, καὶ μέχρι βάθους, ὅπερ εἰκός ἐστι σημαίνεσθαι πρὸς τῆς, διακοπέντι φωνῆς, ἵνα ὅ, τε τῆς κύστεως χιτὼν ὅλος διακοπῇ μέ-
F χρι τῆς ἐντὸς εὐρυχωρίας, ἕκαστόν τε τῶν ἄλλων. ἐπὶ μὲν οὖν τῆς κύστεως ὡμολόγηται τὸ μὴ συμφύεσθαι τὴν τοιαύτην τρῶσιν, ὥσπερ γε καὶ τοῦ νευρώδους τῶν φρενῶν, καὶ τῶν λεπτῶν ἐντέρων. ἐπὶ δὲ τῆς κοιλίας, ἀμφισβη-

πεῖται, τινὲς γὰρ σεσῶσθαί φασιν ἐπ' αὐτῇ σπανίως τοὺς τρωθέντας. ἥπατος δὲ οὐ μόνον τρῶσιν βαθεῖαν, ἐπὶ τῶν λοβῶν γινομένην θεραπεύεσθαί φασιν, ἀλλὰ καὶ λοβὸν ἀποτμηθέντα. ἴσμεν δ' ὅτι καὶ τῷ περὶ τῶν ὀλεθρίων τραυμάτων, ἔνια τῶν εἰρημένων ἐπιχειρεῖ θεραπεύειν ὁ γράψας τὸ βιβλίον. τό γε μὴν ἀκόλλητον μένειν τὴν διακοπὴν αὐτῶν, ἐπὶ μὲν τῆς καρδίας τε, καὶ τοῦ διαφράγματος, ἐκ τῆς διηνεκοῦς τῶν μορίων γίνεται κινήσεως, ἐπὶ δὲ τῆς κύστεως ὅτι νευρώδης καὶ λεπτὴ, καὶ ἄναιμος, ἀμέλει, καὶ τὸν τράχηλον αὐτῆς ὁρῶμεν ὁσημέραι θεραπευόμενον ἐν ταῖς λιθοτομίαις, ἐπειδὴ σαρκώδης ἐστί. τὸ δ' ἧπαρ αἱμορραγικὰς ἔχει τὰς τρώσεις, καὶ διὰ τοῦτο, ἀποθνήσκειν φθάνουσιν οἱ τρωθέντες οὕτως, πρὶν αὐτὸ κολληθῆναι. τὸ δ' οὕτως, εἶπον, ἵνα καὶ φλέψ τις διακοπῇ, διὰ τοῦτ' οὖν, οὔτε οἱ τὰς ἐπιπολῆς αὐτοῦ τρώσεις ἰᾶσθαι λέγοντες, οὔτε οἱ τοὺς λοβοὺς ἀφῃρηκέναι δοκοῦσιν ἀληθεύειν. ἐγκέφαλον δὲ τρωθέντα, πολλάκις εἴδομεν ἰαθέντα, καὶ ἅπαξ ἐν τῇ κατὰ τὴν Ἰωνίαν Σμύρνῃ, ἔτι γε τοῦ διδασκάλου Πέλοπος ζῶντος, ἐπ' ἀξιολόγῳ τῇ τρώσει, τοῦτο μὲν οὖν τῶν πάνυ σπανίων ἐστὶν, ἀληθὲς δὲ, ὃ, τὰς μεγάλας τρώσεις, οἵας περ ἔοικεν ὁ Ἱπποκράτης ὀνομάζειν διακοπὰς, ἐπιφέρειν θάνατον. αἵ γε μὴν ἄχρι τινὸς τῶν ἐν αὐτῷ κοιλιῶν τρώσεις ὁμολογοῦνται πᾶσι θάνατον ἐπιφέρειν. ἡ δὲ τῶν λεπτῶν ἐντέρων φύσις, καὶ μᾶλλόν γε ἡ τῆς κοιλίας, οὐκ ὀλίγον μετέχει τῆς σαρκώδους οὐσίας, καὶ διὰ τοῦτο, ἐπιπολῆς μὲν τρωθέντα, κολλᾶται πολλάκις, ὅλα δὲ διακοπέντα μέχρι τῆς ἔσω κοιλίας, ἐν τῷ σπανιωτάτῳ. οὐ τοῦτο δέ μοι δοκεῖ διὰ τὴν οὐσίαν αὐτῶν, ἀλλ' ὅτι φάρμακον ἐπιθεῖναι, καθάπερ τοῖς ἔξω τραύμασιν οὐ δυνάμεθα. διὸ καὶ διὰ τῶν καταπινομένων ἐπιχειρεῖ θεραπεύειν τὴν κοιλίαν, ὁ περὶ τῶν ὀλεθρίων τραυμάτων γράψας, εἴτ' αὐτὸς ὁ Ἱπποκράτης, εἴτ' ἄλλος τις ἕτερος.

A cunt, aliquando sed rarò fuisse sanatos. At verò non vulnus solùm in iecoris fibris acceptum, sed fibram etiam abscissam sanatam fuisse proferunt. Scimus autem, Libro de vulneribus exitiosis inscripto, ex his quædam eius Libri auctorem curare aggredi. Quòd verò earum partium diacope inglutinata maneat, in corde quidem ac septo transuerso fit ob perpetuum eorum motum; in vesica verò quia neruosa, tenuis & exanguis existit: Nam ipsam ceruicem, quod carnosa sit, in calculorum extractione quotidie sanari conspicimus; Hepar verò sauciatum vulnerationes habet B hæmorrhoicas, atque idcircò priùs moriuntur qui ita vulnerati sunt, quàm vulnera conglutinari queant. Hoc autem ita dixi, vt per sectam venam etiam esse intelligatur. Eâ re igitur nec qui minimè superficiaria iecoris vulnera se curasse, nec qui eius lobos abstulisse proferunt, veritatem proferre videntur. Vulneratum autem cerebrum sæpe sanatum vidimus, semelque Smyrnæ Ioniæ, viuente adhuc præceptore Pelope, ex insigni vulnere: At id ex iis est quæ rarissimè eueniunt, ve- C rum autem est magnas vulnerationes, quales Hippocrates diacopas appellare videtur, mortem adferre; quæ tamen adusque aliquem ventriculum cerebri vulnera penetrant, interitum inuehere concedunt omnes. Tenuium autem intestinorum & ventriculi magis natura carnosæ substantiæ non parum participat; atque ideo summa parte vulnerata sæpius agglutinantur; tota verò persecta ad eorum cauitatem vsque, rarissimè. Hoc autem meâ quidem sententiâ propter eorum substantiã accidere non videtur; sed quia medicamentum ipsis internis, vt externis vulneri- D bus imponere non possumus. Quapropter per assumpta vulneratum ventriculum author Libri de vulneribus exitiosis inscripti, siue Hippocrates is fuerit, siue alius quispiam, curare aggreditur.

Ἅτινα καὶ διὰ τί. τὰ διακοπέντα μόρια μήτε ἀναφύναι αὔξηται, μήτε συμφύηται.

Quæ, & cur partes persectæ neque regenerentur, neque coalescant.

E

ΑΦΟΡΙΣΜΟΣ ιθ'.

Ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε συμφύεται.

APHORISMVS XIX.

QVum os persectum fuerit, aut cartilago, aut neruus, aut tenuis genæ particula, aut præputium, neque augescit, neque coalescit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὔξεσθαι μὲν γὰρ λέγει, τὸ γεννᾶσθαί τινα ἑτέραν οὐσίαν τοιαύτην, οἵα τοῦ διακοπέντος ἐστὶν, ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ὁρᾶται σὰρξ βλαστάνουσα, συμφύεσθαι δὲ, ὅταν τοῦ διακοπέντος σώματος τὰ χείλη κολληθῇ. τὸ μὲν οὖν μὴ γεννᾶσθαι χόνδρον, ἢ ὀστοῦν,

GALENI COMMENTARIVS.

F AVgeri vocat aliquam huiusmodi alteram procreari substantiam, qualis est persectæ partis, quemadmodum in cauis vlceribus caro succrescere conspicitur; coalescere autem, quum discissi corporis labra conglutinantur. Iam verò quod neque cartilago, neque os ge-

nerentur, concessa res est; an verò conglutinentur, nonnulli dubitant: nam perspicuè conspici proferunt ossa perfracta conglutinari; sed hi aberrant, idque doceri possunt in brutis animalibus, quorum pars quædam fracta callum contraxit. Hæc enim si quis viua aut mortua dissectione velit inspicere, manifestò partes ossium separatas callo tanquam vinculo circunscripto constrictas esse comperiet, quas si abraserit, fracturæ profundum non conglutinatum conspicietur. Sic autem & commemoratis sententiis ambigunt, nonnulli augeri affirmantes, non tamen coalescere; quidam verò coalescere, sed rarò. Quæ itaque per erosionem vlcerata sunt, augeri postulant, etiam nullum vidi ita affectorum, cui caro non regenerata sit: conglutinari autem desiderant quæ diuisa, & non persecta sunt: Hæc enim inter se differunt, quia persecta divisionem sortiuntur ad extremum vsque peruadentem, quæ nunc Hippocrates coalescere non profert; non ob id tantùm quod neruosa sint, & tenuia; sed vulneris labra à se inuicem non parum distnet.

ὡμολόγηται, περὶ δὲ τοῦ μὴ κολλᾶσθαι, τινὲς ἀμφισβητοῦσιν, ἐναργῶς γὰρ ὁρᾶσθαί φασι τὰ καταγνύμενα τῶν ὀστῶν κολλώμενα. πεπλάνηνται δ' οἱ τοιοῦτοι, καὶ διδάξειεν ἄν τις αὐτοὺς ἐπὶ τῶν ἀλόγων ζώων, ὅσα κατεάξαντά τι μόριον ἐπωρώθη. ταῦτα γὰρ, εἴ τε τις ζῶντα, εἴ τε τεθνεῶτα βούλοιτο σκοπεῖν, ἀνατεμὼν, εὑρήσει σαφῶς ὑπὸ τοῦ πώρου καθάπερ ὑπὸ δεσμοῦ τινὸς ἐν κύκλῳ περιγραφέντος ἐσφιγμένα τὰ κεχωρισμένα μόρια τῶν ὀστέων, ἅπερ εἰ ἀποξέσειεν, ἀκόλλητον ὄψεται τὸ βάθος τοῦ κατάγματος. οὕτω δὲ καὶ περὶ τῶν εἰρημένων ἀμφισβητοῦσί τινες, οἱ μὲν αὐξάνεσθαι λέγοντες, οὐ μὴν συμφύεσθαι, τινὲς δὲ ἐν τῷ σπανίῳ, καὶ συμφύεσθαι. τοῦ μὲν οὖν αὐξηθῆναι τὰ κατὰ διάβρωσιν ἡλκωμένα δεῖται, καὶ οὐδένα τεθέαμαι τῶν οὕτω παθόντων, μὴ σαρκωθέντα, τοῦ κολληθῆναι δὲ τὰ διῃρημένα, καὶ οὐ τὰ διακεκομμένα. διαφέρει γὰρ ἀλλήλων ταῦτα, τῶν διακεκομμένων ἐς τὸ πέρας ἐχόντων διήκουσαν τὴν διαίρεσιν, ἅπερ ἔφη νῦν ὁ Ἱπποκράτης μὴ συμφύεσθαι, οὐ μόνον ὅτι νευρώδη τέ ἐστιν, καὶ λεπτὰ, ἀλλ' ὅτι καὶ τοιούτων αὐτῶν ὄντων, ἀφίστανται τὰ χείλη τῆς τρώσεως ἀλλήλων οὐκ ὀλίγον.

Quòd sanguis è suis venis in ventrem, aut aliam partem effusus in pus vertatur, aut putrescat, aut nigrescat, aut concrescat, & corrumpatur.

Ὅτι τὸ αἷμα ἐκ τῶν φλεβῶν ἐς τὴν κοιλίην, ἢ ἄλλο τὸ μόριον ἐκχυθὲν ἐκπυΐσκηται, ἢ φθείρηται, ἢ μελαίνηται, ἢ θρομβοῦται.

APHORISMVS XX.

SI sanguis in ventrem præter naturam effusus fuerit, eum suppurari necesse est.

ΑΦΟΡΙΣΜΟΣ κ'.

Ἢν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

GALENI COMMENTARIVS.

QVidam sine articulo, *si in ventrem effusus fuerit sanguis*, scribunt, omnem volentes cauitatem significari, ipsisque testimonio est, *præter naturam*, additum, per quam adjectionem tale quid ostendit Hippocrates. Si quando sanguis à proprio conceptaculo in aliam quacunque cauitatem peruenerit, vt hic sanguis permaneat, omnino perarduum est. Sic igitur & in phlegmonis, & in suggilationibus appellatis fieri conspicitur; in phlegmonis quidem per minimas partes disperso sanguine in eas musculorum cauitates, quas sola ratione speculamur; suggilationibus verò affuso in spatia & vasa circumjacentia sanguine: Porrò suppurari dictum est, quum nomen sit vnius in sanguine factæ mutationis; quare nonnulli ipsum ad generalius hoc est, ad omnem sanguinis corruptelam transferunt, idque ab ipso dicunt significari. Sic etenim fieri videtur sanguinem non permanere, quum è suo naturali loco exciderit; sed aliquando suppurari, aliquando nigrescere, aliquando in grumos concrescere, ac præsertim quum in magnam capacitatem præter naturam exciderit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τινὲς μὲν, χωρὶς ἄρθρου γράφουσιν, ἢν ἐς κοιλίην αἷμα ἐκχυθῇ, βουλόμενοι πᾶσαν δηλοῦσθαι κοιλότητα· μαρτυρεῖ γ' αὐτοῖς, ἡ τοῦ παρὰ φύσιν προσθήκη, τοιοῦτόν τι δι' αὐτῆς ἐνδεικνυμένου τοῦ Ἱπποκράτους. ἐὰν ἐκχυθῇ ποτὲ τῆς οἰκείας κοιλότητος τὸ αἷμα, καὶ εἰς ἑτέραν κοιλότητα ἡντιναοῦν ἀφίκηται, μένειν αἷμα τι τοῦτο παντάπασιν ἀμήχανον. οὕτω γοῦν καὶ κατὰ τὰς φλεγμονὰς, καὶ τὰς ἐκχυμώσεις ὀνομαζομένας, φαίνεται γιγνόμενον, ἐπὶ μὲν τῶν φλεγμονῶν κατὰ μικρὰ διασπειρομένου τοῦ αἵματος εἰς τὰς λόγῳ θεωρητὰς ἐν τοῖς μυσὶ κοιλότητας, ἐπὶ δὲ τῶν ἐκχυμώσεων, εἰς τὰς περικειμένας χώρας τοῖς ἀγγείοις ἐκχεομένου. τὸ δ' ἐκπυηθῆναι καλῶς εἴρηται μιᾶς μεταβολῆς ὄνομα ὑπάρχον. διὸ καί τινες εἰς τὸ γενικώτερον αὐτὸ μεταλαμβάνουσιν εἰς τὸ φθαρῆναι, τοῦτο σημαίνεσθαι λέγοντες ὑπ' αὐτοῦ· καὶ γὰρ οὕτω φαίνεται γιγνόμενον, ὡς μὴ διαμένειν αἷμα, τὸ τῆς κατὰ φύσιν χώρας ἐκπεσὸν, ἀλλά ποτε μὲν ἐκπυΐσκεσθαι, ποτὲ δὲ μελαίνεσθαι, ποτὲ δὲ θρομβοῦσθαι, καὶ μάλιστα ὅταν εἰς μεγάλην κοιλότητα ἐκπέσῃ παρὰ φύσιν.

A

Ὅτι τὸν μαινόμενον ὁ κιρσὸς ἐπιγενόμενος ἢ αἱμορροΐδες μανίας καὶ μελαγχολίας λύουσι.

Insaniâ laborantem varices aut hæmorrhoidas sanare, quid insania, quid varix.

ΑΦΟΡΙΣΜΟΣ κα'.

Τοῖσι μαινομένοισι κιρσῶν, ἢ αἱμορροΐδων ἐπιγινομένων, τῆς μανίης λύσις.

APHORISMVS XXI.

INsanientibus si varices aut hæmorrhoides accesserint, insaniæ solutio.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. B

Ἐνταῦθα μανίαν τὴν κυρίως μελαγχολίαν καλεῖ, οὐχὶ τὴν ἀπὸ χολῆς. κιρσὸς γάρ ἐστιν ἀνεύρυσις τῶν φλεβῶν, τῶν ἐν τοῖς μηροῖς, καὶ σκέλεσιν ἀπὸ παχέος, καὶ μελαγχολικοῦ γινόμενος αἵματος, ὥστε ὠθούσης τῆς φύσεως εἰς ἀκυρώτερα μόρια τοὺς τὴν μανίαν ἐργαζομένους χυμοὺς, καὶ μάλιστα ὅταν ὦσι μελαγχολικοὶ, καὶ παχεῖς, ἥ τε τῶν εἰρημένων παθῶν ἕπεται γένεσις, ἥ τε τῆς μανίας λύσις.

GALENI COMMENTARIVS.

HIc insaniam propriè melancholiam vocat, non à bile *furorem*. Varix autem est venarum, quæ in femoribus & cruribus habentur, à crasso & melancholico sanguine facta dilatatio. Natura nanque humores insaniam efficientes, maximeque melancholicos & crassos, ad partes ignobiliores protrudente, dictorum affectuum tum generatio, tum insaniæ solutio sequitur.

C

Τὰ διὰ τὰ ῥήγματα ἢ μᾶλλον χυμοὺς ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταῤῥεόντων ἀλγήματα γενόμενα διὰ τῆς φλεβοτομίας λύεσθαι.

Dolores ex ruptione, aut potius humore à dorso ad cubit articulum defluente excitatos venæ sectione solui.

ΑΦΟΡΙΣΜΟΣ κβ'.

Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομία λύει.

APHORISMVS XXII.

RVptiones quæ ex dorso ad cubit articulum descendunt, venæ sectio soluit.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κάλλιον ἔνιοι γράφουσιν, ὁκόσα ἀλγήματα. τὸ γὰρ τοι ῥῆγμα μεταβαίνειν αὐτὸ, τῶν ἀδυνάτων ἐστίν. εἴ γε δὴ διασπωμένου τε καὶ ῥηγνυμένου κατὰ τὸ σαρκῶδες αὐτοῦ μορίου τοῦ μυὸς, γίνεται τὸ ῥῆγμα. φαίνεται γοῦν ἐνίοτε, πάνυ σαφῶς ἀθροιζόμενον ἐν τῇ τῆς ῥήξεως χώρᾳ τὸ αἷμα, καὶ ἡ ἴασις ἐν τῷ διαφορῆσαι τοῦτο κεῖται. τὰ δ' ἄλλα τὰ κατὰ τὸν νῶτον ἀλγήματα μεθιστάμενα, καταῤῥέων ἐργάζεται χυμὸς, ἐνίοτε μὲν καὶ μόνος, ὡς τὰ πολλὰ δὲ, καὶ μετὰ φυσώδους καὶ παχέος πνεύματος, ὃν ἐκλαμβάνειν τε χρὴ, καὶ κενοῦν διὰ τῆς κατ' ἀγκῶνα φλεβοτομίας, ὅταν ἐνταῦθα φαίνηται ῥέων. αὐτὸς γὰρ ἐκέλευσε κατὰ τὰς ῥοπὰς τῶν χυμῶν τὰς κενώσεις ποιεῖσθαι. ταὐτὸ δὲ σημαίνει, καὶ ἥδε ἡ λέξις, ἀκτέα γὰρ ᾗ ῥέπει, διὰ τῶν συμφερόντων χωρίων. εἰ δὲ περὶ τῶν ῥηγμάτων ὁ λόγος αὐτῷ γέγραπται, τὰ κατὰ συμπάθειαν ἀλγήματα γινόμενα λεκτέον εἰρῆσθαι καταβαίνειν εἰς τοὺς ἀγκῶνας, οὐκ αὐτὴν τὴν διαίρεσιν τοῦ σαρκώδους μορίου. καὶ μέντοι καὶ ὠφελεῖσθαι δυνατόν ἐστιν ὑπὸ τῆς φλεβοτομίας τὰ τοιαῦτα, τῷ κοινῷ λόγῳ τῆς κενώσεως.

GALENI COMMENTARIVS.

MElius quidam scribunt, *Dolores qui*; nam ruptionem ipsam descendere vnum est impossibilium: Siquidem diuulsa ac rupta musculi parte carnosa ruptio. Videtur itaque nonnunquam admodum manifestè collectus in loco ruptionis sanguis, huicque curatio in discussione statuitur. Reliquos verò dorsi dolores translatitios defluens humor procreat, interdum solus, sed magna ex parte cum flatulento & crasso spiritu coniunctus, quem secta in cubito excipere & vacuare oportet, quum eò fluere apparet. Ipse nanque imperauit pro inclinationum impetu, humorum vacuationes faciendas esse. Idem verò hic textus significat: *Eò ducendum quò vergunt per loca conferentia.* Quòd si de ruptis ab ipso scripta sit oratio, dolores per consensum & sympathiam factos, exaudiendum est dici ab eo in cubitos descendere, non ipsam carnosæ partis diuisionem. Et certè talibus vtilis esse potest venæ sectio communi vacuationis ratione.

E

F

A

Metum & mœstitiam citra causas manifestas perseuerantes melancholicum affectum prodere.

Τὸν φόβον καὶ δυσθυμίαν χωρὶς αἰτίων φανερῶν χρονίζοντα τὴν μελαγχολικὸν πάθος ἐνδείκνυσθαι.

APHORISMVS XXIII.

SI metus & mœstitia longo tempore perseuerent, eiusmodi symptoma melancholicum est.

ΑΦΟΡΙΣΜΟΣ κγ'.

ΗΝ φόβος καὶ δυσθυμίη, πολὺν χρόνον ἔχουσα διατελέει, μελαγχολικὸν τὸ τοιοῦτον.

B

GALENI COMMENTARIVS.

SI quis non manifestam ob causam metuat, aut mœstus sit, liquidò constat melancholica esse eiusmodi symptomata, & magis si longum tempus perseuerarint. Si tamen propter causam manifestam orta sint, diúque postea perseuerent, non te lateat melancholiam significare. Etenim iam multos in maniam incidisse constat, quæ ab excandescentia, aut ira, aut mœstitia principium habuit: ipso scilicet corpore id temporis idoneo ad tales suscipiendas affectiones existente.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΑν μὴ διά τινας φανερὰς αἰτίας φοβεῖταί τις, ἢ δυσθυμῇ, φανερῶς ἐστὶ μελαγχολικά, καὶ τὰ τοιαῦτα συμπτώματα, καὶ μᾶλλον εἰ τύχῃ κεχρονικότα. διὰ μέντοι φανερὰν αἰτίαν ἀρξάμενα, κἄπειτα χρονίζοντα, μὴ λανθανέτω σε μελαγχολίαν ἐνδεικνύμενα. καὶ γὰρ ἡ μανία πολλοῖς ἤδη φαίνεται γεγενημένη, διὰ θυμὸν, ἢ ὀργὴν, ἢ λύπην ἀρξαμένη, αὐτοῦ τοῦ σώματος δηλονότι πρὸς τὸ παθεῖν τὰ παθήματα ταῦτα κατὰ τὸν καιρὸν
C ἐκεῖνον ἐπιτηδείως ἔχοντος.

Tenuium intestinorum vulnera non coalescere.

Τὰς τῶν ἐντέρων λεπτῶν διακοπὰς μὴ συμφύεσθαι.

APHORISMVS XXIV.

SI quod intestinorum tenuium perfectum fuerit, id non coalescit.

D

ΑΦΟΡΙΣΜΟΣ κδ'.

ΕΝτέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

GALENI COMMENTARIVS.

HOc etiam paulò antè pronunciato aphorismo declarauit, cuius initium, *si cui perfecta vesica, vel cerebrum fuerit*, non noui quo pacto scriptus sit. Idem quoque in aliis quibusdam aphorismis factum esse certò scimus quos expungere fuerit melius.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟῦτο, καὶ κατὰ τὸν ὀλίγον ἔμπροσθεν εἰρημένον ἀφορισμὸν ἐδήλωσεν, οὗ ἡ ἀρχὴ, κύστις ἢν διακοπῇ, ἢ ἐγκέφαλος. οὐκ οἶδα δ' ὅπως νῦν μάτην γέγραπται. κατεμάθομεν δὲ αὐτὸ τοῦτο, καὶ κατ' ἄλλους τινὰς
E ἀφορισμοὺς, οὓς καὶ ἐξαιρεῖν ἄμεινον.

Erysipelas, aut alium quemcunque affectum foras prodire, bonum; intro verò verti malum esse.

Τὸ ἐρυσίπελας ἢ τὸ ἄλλο πάθημα ἕκαστον ἔξω μεθιστάμενον, ἀγαθὸν, εἴσω δὲ τρέπεσθαι, κακὸν εἶναι.

APHORISMVS XXV.

F

ERysipelas foris intro verti, minimè bonum; intus verò foràs, bonum.

ΑΦΟΡΙΣΜΟΣ κε'.

ΕΡυσιπέλας ἔξωθεν μὲν εἴσω τρέπεσθαι, οὐκ ἀγαθόν· ἔσωθεν δὲ, ἔξω, ἀγαθόν.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἐρυσίπελας μόνον, ἀλλὰ καὶ πᾶν ἄλλο ὁτιοῦν μεθιστάμενον, ἐκ τῶν βαθέων τε, καὶ κυρίων μερῶν, ἐπὶ τὸ δέρμα, τῶν ἀγαθῶν εἶναι σημείων τε ἅμα, καὶ αἰτίων ὑποληπτέον ἐστί· ἔμπαλιν δὲ μεθιστάμενόν γε ἐπὶ τὸ βάθος, τῶν κακῶν. ἀλλὰ καὶ ἄλλα πολλὰ φαίνεται κατὰ τὸ βιβλίον ὁμοίως εἰρηκὼς ὁ Ἱπποκράτης, ὥσπερ τινὰ παραδείγματα τῶν καθόλου λόγων, ἐφ᾽ ὧν, καὶ τὴν τοῦ συμβαίνοντος ἐμπειρίαν ἐναργεστέραν ἔχειν δυνάμεθα· τοιαῦτα γὰρ εἶναι χρὴ τὰ παραδείγματα.

GALENI COMMENTARIVS.

Non erysipelas solum, sed & alium quemcunque affectum ex profundis ac principibus partibus ad cutem traduci & bonum signum, & bonam causam esse existimandum est; contra verò ad internas & profundas partes remigrare, malum. Sed alia atque alia multa hoc Libro similiter protulit Hippocrates, B quædam veluti vniuersalium sententiarum & præceptorum exempla, à quibus euidentiorem rei euentus experientiam habere possimus: Eiusmodi enim esse exempla oportet.

Τοὺς πυρετικοὺς τρόμους τῇ παρακοπῇ λύεσθαι τῆς τῶν αἰτιῶν ἐκ τῶν ἀρτηριῶν καὶ φλεβῶν εἰς τὰ νεῦρα προτέρως, καὶ ἐκ τῶν νεύρων εἰς τὸν ἐγκέφαλον μεταστάσεως γινομένης.

C

Febriles tremores delirio solui causarum ex arteriis & venis in neruos primariò, & è neruis in cerebrum per consensum translatione facta.

ΑΦΟΡΙΣΜΟΣ κϛ.

Οἷσιν ἂν ἐν πυρετοῖσι καύσοισι τρόμοι γένωνται, παρακοπὴ λύει.

APHORISMVS XXVI.

Quibus in febribus ardentibus tremores oboriuntur, eas delirium soluit.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴτ᾽ αὐτὸς ὁ Ἱπποκράτης τοὺς τοιούτους ἀφορισμοὺς ἔγραψεν, οἷον παραδείγματα λόγων γενικωτέρων τε, καὶ καθολικωτέρων, εἴτ᾽ ἄλλοι προσέθεσαν, ἐάσαντες ζητεῖν ἑτέροις, ἐκεῖνο μόνον ἐν αὐτῶν φυλάττοιμεν, ὅπερ καὶ πρόσθεν μὲν εἴρηται, καὶ νῦν δὲ ἐπὶ τοῦ καύσου λεχθήσεται. τὰ γὰρ ποιοῦντα τὸν πυρετὸν τοῦτον, αἴτια κατὰ τὸ φλεβῶδες ὑπάρχοντα γένος. ὅταν εἰς τὰ νεῦρα μεταστῇ, τρόμον μὲν προτέρως ἐργάζεται, συμπασχούσης δὲ τῆς ἀρχῆς, καὶ παραφροσύνας. ὡς οὖν ἐπὶ καύσου ἡ μετάστασις, οὕτω κἀπὶ παντὸς ἄλλου πυρετοῦ δύναται γενέσθαι, καὶ ὅλως ἐξ ἀρτηριῶν καὶ φλεβῶν εἰς νεῦρα μετάστασις τῶν λυπούντων χυμῶν, ὥσπερ αὖ πάλιν ἐκ νεύρων εἰς αὐτά. οὐκ ἀκριβῶς οὖν εἴρηκε, τὸν καῦσον ὑπὸ τῆς παραφροσύνης λύεσθαι. ταῦτα γὰρ ὀνομάζειν εἴωθεν ὁ Ἱπποκράτης ἐπιγινόμενά τισι, λύειν αὐτῶν τὴν κατασκευήν, ὅσα τελέως ἐκθεραπεύει τὸν ἄνθρωπον, οὐχ ὅσα γεννᾷ πάθος ἕτερον, οὐδὲν ἧττον τοῦ πρόσθεν ἐπικίνδυνον.

GALENI COMMENTARIVS.

Siue Hippocrates ipse tales aphorismos scripsit, veluti quædam generaliorum, & vniuersaliorum documentorum exempla; siue alij addiderunt, cæteris id exquirendum relinquentes, illud duntaxat in ipsis obseruabimus quod & antea dictum est, & nunc in E febre ardente repetetur. Quæ enim hanc febrem efficiunt causæ in venoso genere consistentes, quum ad neruos translatæ fuerint, primariò tremores faciunt, per consensum verò ardente translatio fit: sic & in omni alia febre fieri potest; denique tum ex arteriis, tum venis in neruos, & contrà ex neruis in arterias & venas noxiorum humorum fit transfluxus. Porrò non planè pronunciauit febrem ardentem à delirio solui: Ea nanque Hippocrates dicere consueuit constitutionem eo- F rum quibus superuenerint soluere, quæcunque hominem prorsus persanant, non quæ aliam affectionem generant priore non minùs periculosam.

A

Confertim vstione, aut paracentesi factam vacuationem empyis, hydropicis & cæteris similibus mortiferam esse.

Τὴν τῇ καύσει, ἢ τῇ παρακεντήσει ἀθρόαν κένωσιν τοῖς ἐμπυοῖς, καὶ ὑδρωπικοῖς, καὶ τοῖς ἄλλοις ὁμοίοις θανάσημον εἶναι.

APHORISMVS XXVII.

B *Qvi empyi, aut hydropici vruntur, aut secantur pure, aut aqua confertim effluente, omnino intereunt.*

ΑΦΟΡΙΣΜΟΣ κζ'.

Ὁκόσοι ἔμπυοι, ἢ ὑδρωπικοὶ καίονται, ἐκρυέντος τοῦ πύου, ἢ τοῦ ὕδατος, ἀθρόου, πάντως ἀπόλλωνται.

GALENI COMMENTARIVS.

Empyos maximè nominare consueuit, qui thoracis & pulmonis intermedio spatio, collectum pus continent; quos quomodo oporteat vrere, tradidit in magno de morbis Libro, cuius initium, *pulmonis arteriæ*; quidam hunc Librum, De suppuratis inscribunt. C Egent igitur vstione qui tantam puris copiam habent, vt id per sputa expurgari posse desperent, atque his ipsis vehemens spirandi difficultas oboritur propter loci angustiam, itaut huius ratione cogamur nos eos vrere. In hydropicis autem punctiones seu paracenteses appellatæ, quàm vstiones Medicis vsitatiores existunt. Verùm in præsenti Hippocrates quod vstioni & paracentesi commune est, uniuersam scilicet & confertam vacuationem vitandam esse consulit: Ita enim vt ipse pronunciat, euenire apparet. D Ab Erasistrato etiam scriptum est de hydropicis tum subtiliùs tum copiosiùs: atque is experientiâ compertum & comprobatum habere se dicit, vniuersim factam vacuationem febres ac mortem adferre. Sed & in aliis partibus, vt thorace, quum magnus tumor aliquis suppurauit, confertim factam vacuationem periculosam esse conspicimus, nimirum ipsis animo defectis, & viribus prostratis; quæ virium debilitatio postea non facilè sarciri aut refocillari queat. E In talibus itaque ob magnam corporum à se inuicem separationem, & puris acrimoniam, vasa quædam arteriosa recludi videntur, quæ priùs operculi vice pus habebant; quo derepente & confertim vacuato, multus spiritus vnà cum eo excernitur, vnde detrimentum ægrotantibus accidit. In hyderis non ob id duntaxat laborantes oblæduntur, sed etiam visceris scirrhus vt pote non amplius sustentatus ab aquosa substantia, deorsum tum diaphragma, tum viscera thorace contenta retrahit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐμπύους ὀνομάζειν μάλιστα εἴωθεν τοὺς ἐν τῇ μεταξὺ θώρακός τε, καὶ πνεύμονος εὐρυχωρίᾳ τὸ πύον ἔχοντας, οὓς ὅπως χρὴ καίειν, εἴρηκεν ἐν τῷ μεγάλῳ περὶ παθῶν, οὗ ἡ ἀρχὴ, ἢν τοῦ πνεύμονος αἱ ἀρτηρίαι. τινὲς δὲ ἐπιγράφουσι τὸ βιβλίον τοῦτο, περὶ ἐμπύων· δέονται μὲν οὖν καύσεως οἱ πλεῖστον ἔχοντες πύον, ὡς ἀπογνῶναι διὰ τῶν πτυσμάτων ἐκκαθαρθῆναι, τοῖς δὲ αὐτοῖς τούτοις, καὶ ἡ δύσπνοια γίνεται σφοδρὰ, διὰ τὴν στενοχωρίαν, ὥστε καὶ διὰ ταύτην ἡμᾶς ἀναγκάζεσθαι καίειν αὐτούς. ἐπὶ δὲ τῶν ὑδρωπικῶν αἱ παρακεντήσεις ὀνομαζόμεναι, μᾶλλον τῶν καύσεων ἐν ἔθει τοῖς ἰατροῖς εἰσίν. ἀλλὰ νῦν γε τὸ κοινὸν παρακεντήσεώς τε καὶ καύσεως, ὅπερ ἐστὶ ἀθρόα κένωσις, ὁ Ἱπποκράτης συμβουλεύει φυλάττεσθαι, φαίνεται γὰρ οὕτως ἀποβαῖνον, ὡς λέγει. γέγραπται δὲ καὶ παρὰ Ἐρασιστράτῳ λεπτομερέστερον περὶ τῶν ὑδερικῶν ἐπὶ πλέον ὡς φάσκοντος αὐτοῦ πεπειρᾶσθαι τῆς ἀθρόας κενώσεως, πυρετούς τε φερούσης, καὶ θάνατον. ὁρῶμεν δὲ ἐπὶ τῶν ἄλλων μορίων, ὥσπερ ἐπὶ θώρακος, ὅταν ὄγκος τις ἐμπυήσῃ μέγας, ἐπισφαλῆ γινομένην τὴν ἀθρόαν κένωσιν, εἴ γε παραχρῆμα λειποψυχούντων τε, καὶ καταπιπτόντων τὴν δύναμιν, καὶ μετὰ ταῦτα δυσανάκλητον ἐχόντων τὴν ἀσθένειαν. ἔοικεν οὖν ἐπὶ μὲν τούτων, ἐκ τῆς ἐπὶ πολὺ τῶν σωμάτων διαστάσεως, καὶ τῆς τοῦ πύου δριμύτητος, ἀνεστομῶσθαί τινα τῶν ἀρτηριωδῶν ἀγγείων, ἃ πρότερον μὲν οἷον ἐπίπωμά τι τὸ πύον εἶχε. κενωθέντι δὲ ἀθρόως τῷ πύῳ, συνέπεται, καὶ συνεκκρίνεται πνεῦμα, καὶ κατὰ τοῦτο ἡ βλάβη γίνεται τοῖς κάμνουσιν. κατὰ μέντοι τοὺς ὑδέρους οὐ διὰ τοῦτο μόνον βλάβη γίνεται τοῖς κάμνουσιν, ἀλλὰ καὶ ὁ τοῦ σπλάγχνου σκίρρος, ὡς ἂν μηκέτ' ὀχούμενος ὑπὸ τῆς ὑδατώδους οὐσίας, κατασπᾷ τό τε διάφραγμα, καὶ τὰ κατὰ F τὸν θώρακα σπλάγχνα.

A

Περὶ τῶν εὐνούχων, καὶ ποδαγρικῶν, καὶ ἀρθριτικῶν, καὶ τῶν αὐτῶν αἰτιῶν. τοὺς εὐνούχους μὴ μόνον διὰ τὴν ἀφροδίτην, ἀλλὰ καὶ διὰ τὰς ἄλλας αἰτίας ποδαγρικοὺς γίνεσθαι.

ΑΦΟΡΙΣΜΟΣ κη΄.

Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς εὐνούχους τὸ τῆς τομῆς τῶν ὄρχεων πάθος, ὁμοίους ταῖς γυναιξὶν ποιεῖ. ἐκείναις οὖν ὥσπερ οὐ γίνεται φαλάκρωσις, οὕτως οὐδὲ τοῖς εὐνούχοις, διὰ τὸ ψυχρὸν τῆς κράσεως. τὸ μέντοι μὴ ποδαγριᾷν αὐτούς, ἐν μὲν τοῖς καθ' Ἱπποκράτην χρόνοις ἦν ἀληθές, ἐν δὲ τῷ νῦν οὐκέτι, διὰ τὴν ὑπερβάλλουσαν ἀργίαν τε ἅμα καὶ ἀκολασίαν τῆς διαίτης. ἔχει δὲ ὧδε τὸ σύμπαν· ἀναγκαῖον μὲν ἀσθενεστέρους ἔχειν τοὺς πόδας, μέλλει τις ἁλῶναι ποδάγρᾳ, καθάπερ τὸν ἐγκέφαλον, εἰ μέλλει τις ἐπιληπτικὸς ἔσεσθαι. οὐ μὴν ἀναγκαῖόν γε πάντως ἑκάτερον ἁλῶναι τῷ πάθει, μηδὲν ἐν τῷ βίῳ πλημμελοῦντα. μαθήσῃ δὲ ἐναργῶς ὅτι τοῦ μέρους ἡ ἀσθένεια τὸ πάθος οὐχ ἱκανὴ ποιεῖν ἐστὶν, ἐκ τῷ μεταξὺ χρόνῳ τῶν παροξυσμῶν, ἐν ᾧ μηδὲν ὅλως ἐνοχλοῦνται, καίτοι τῆς φυσικῆς ἀσθενείας διὰ παντὸς ὑπαρχούσης αὐτῇ. εὔδηλον δὲ καὶ τοῦτ' ἐστὶν ἐπὶ τῶν ποδαγρικῶν ἐναργῶς φαινόμενον, ὡς ἐπιρρέοντος αὐτοῖς τινὸς ἐπὶ τοὺς πόδας χυμοῦ περιττοῦ, συνίσταται τὸ πάθος. ἐὰν οὖν μηδέ ποτ' οὗτος ἐπιρρέῃ, πρόδηλον ὡς οὐδὲ τὸ πάθος ἔσται ποτέ, οὐκ ἐπιρρυήσεται δὲ διὰ παντὸς, εἰ τὸ σῶμα φυλάσσεται ἀπέριττον, ἐὰν γυμνάζηται τὰ μέτρια, καὶ πέττῃ καλῶς ὁ ἄνθρωπος τὴν τροφήν, ὅθεν ἀργίαι τε καὶ ἀδηφαγίαι βλάπτουσιν αὐτούς. βλάπτουσι δὲ καὶ τῶν ἰσχυρῶν καὶ πολλῶν οἴνων αἱ πόσεις, καὶ μάλισθ' ὅταν αὐτὰ πρὸ τοῦ προσεδηδοκέναι τις αὐτῶν προσφέρηται. πληροῦσι γὰρ ἑτοίμως οὗτοι τὸ νευρῶδες γένος, ὥσπερ καὶ αἱ συνουσίαι. κατὰ μὲν τοὺς Ἱπποκράτους χρόνους, ὀλίγοι παντάπασιν ἐποδαγρίων, διὰ τὸ τοῦ βίου κόσμιον. ηὐξημένης δὲ τῆς τροφῆς εἰς τοσοῦτον ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ὡς ἂν μηδ' ἐπινοεῖν ἔτι προσθήκην αὐτῇ, ἄπλετόν τι τὸ πλῆθος τῶν ποδαγριώντων ἐστίν. ἐνίων μὲν οὖν οὔτε γυμναζομένων, καὶ παρὰ τῆς τροφῆς πινόντων οἴνους ἰσχυροὺς, ἀφροδισίοις τε χρωμένων ἀμέτρως. ἐνίων δέ, εἰ καὶ μὴ περὶ πάντα, καθ' ἕν γοῦν, ἢ δεύτερον, ὧν εἶπον, πάντως ἁμαρτανόντων. ἀλλ' ὅταν ἡ πλημμέλεια γίνεται μεγάλη, πολλάκις ἐξαρκεῖ καὶ μόνον ἕν τι τῶν εἰρημένων ἁμαρτηθέν. διὰ τοῦτο γοῦν, καὶ οἱ εὐνοῦχοι ποδαγριῶσιν, εἰ καὶ ὅτι μάλιστα τῶν ἀφροδισίων ἀπέχονται. τηλικαύτη γοῦν ἐστὶν ἥ τε ἀργία, καὶ ἡ ἀπληστία ἔτι αὐτῶν, καὶ οἰνοφλυγία, ὥστε καὶ τῶν ἀ-

ἐν

De Eunuchis, podagricis, arthriticis, ac de eorum affectuum causis. Eunuchos non ob venerem solum, sed & ob alias causas podagricos fieri.

APHORISMVS XXVIII.

B *EVnuchi neque podagra laborant, neque calui fiunt.*

GALENI COMMENTARIVS.

EXectio testiculorum eunuchos fœminis efficit similes. Quemadmodum ergo fœminis caluitium non accidit: sic nec eunuchis propter frigidum temperamentum. Cæterum eunuchos podagra laborare Hippocratis quidem temporibus verum erat, nunc verò non amplius tum propter nimium otium, tum simul victus intemperantiam. Res autem vni-
C uersa ita se habet. Siquis podagrâ corripi debeat, ei pedes imbecilliores esse necesse est, quemadmodum cerebrum si quis futurus sit epilepticus. Neutrum tamen his affectibus omnino corripi necessarium est, si nihil in victus instituto deliquerit. Quod autem partis imbecillitas ad morbi generationem idonea non sit, ex intermedio accessionum tempore manifestò didiceris, quo prorsus non infestantur, etiamsi naturalis imbecillitas ipsis semper insit. Hoc autem manifestum esse, etiam in podagricis, & apertè constat humore quodam
D superuacaneo in pedes defluente hunc ipsis affectum constitui. Si ergo hic humor nunquam affluat, liquet quoque nunquam morbum futurum esse; non affluet autem si corpus perpetuò excrementis vacet. Vacat autem excrementis, si moderato vtatur exercitio, probeque cibum concoxerit; vnde tum segnities, tum edacitas ipsos lædit; lædunt; etiam multorum ac vehementium vinorum potiones, ac maximè quum quis ante præsumptum cibum ipsis vtatur. Hæc enim quemad-
E modum & coitus promptè neruosum genus opplent. Hippocratis quidem temporibus pauci omnino podagrâ laborabant propter honestam vitæ temperantiam; nostra verò ætate aucto huc vsque epularum luxu, vt nihil suprà addi posse videatur, infinita est podagrâ laborantium multitudo; quum nonnulli nunquam sese exerceant, sed & praue concoquant, seque inebrient, & ante cibum vina fortia potent, ac immoderata venere vtantur; nonnulli verò etiamsi in omnibus, in vno tamen aut altero ex enarratis delinquant. Et ve-
F rò sæpe cùm peccatum magnum est, in vno eorum quæ diximus deliquisse, sat est. Ob has igitur causas etiam eunuchi podagrâ corripiuntur, etiamsi quammaximè sibi à rebus venereis temperent: Talis enim est eorum desidia, tanta ingluuies & crapula, vt etiam absque

podagrâ corripi possint. Hæc eadem & de arthriticis; siquidem fere omnes priùs podagrici fiunt. Accedit ad has causas quibus plerique nunc in podagras incidunt, quòd multi & parentes & auos podagricos habuere, in quibus semen nimirum vitiatum erat, quod ideò vehementiorem partium imbecillitatem conciliauit.

A φροδισίων χωρὶς ἁλῶναι δύνασθαι ποδάγρᾳ. τὰ δ' αὐτὰ δηλονότι κἀπὶ τῶν ἀρθριτικῶν εἰρῆσθαι νόμιζε. τοὐπίπαν γὰρ ἅπαντες οἱ ἀρθριτικοὶ πρότεροι γίνονται ποδαγρικοί. προσελήλυθε δὲ ταῖς εἰρημέναις αἰτίαις, δι' ἃς νῦν ποδαγριῶσι πολλοί, καὶ τὸ πατέρων τοὺς πλείστους γεγονέναι, καὶ πάππων ἤδη ποδαγρικῶν, ἐφ' ὧν δηλονότι τὸ σπέρμα μοχθηρότερον ἦν, καὶ διὰ τοῦτο καὶ τοῖς ἐγγόνοις ἰσχυροτέραν τοῖς μορίοις εἰργάσατο τὴν ἀσθένειαν.

Podagricas fieri mulieres non ob menstruorum vacuationem, sed ob eorum defectum, liásve causas.

B Τὰς μὲν γυναῖκας μὴ ποδαγριᾶν διὰ τὴν τῶν καταμηνίων κένωσιν, ἀλλὰ διὰ τὴν αὐτῶν ἔλλειψιν, ἢ ἄλλας τὰς αἰτίας.

APHORISMVS XXIX.

ΑΦΟΡΙΣΜΟΣ κθ΄.

MVlier podagrâ non laborat, nisi ipsam menstrua defecerint.

Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτῇ ἐκλείπῃ.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

MVlieres non menstruarum vacuationũ ratione podagricæ fiunt. In superiore siquidem Commentario ostensum est sine humorum redundantia, ex sola partium consensu facili podagram oboriri non posse. At verò hoc quoque rursum olim verum erat, antequam menstrua omnino defecissent, *mulieres podagra non corripi*, propter errorum quos superiore ætate mulieres admittebant paruitatem. Nunc verò ob eorum magnitudinem nonnullæ podagra laborant, priusquam eas menstrua deficiunt, quamplurimis ipsarum parciùs, paucis verò etiam commoderatè fluentibus.

C Τῷ λόγῳ τῆς κενώσεως οὐ ποδαγριῶσιν αἱ γυναῖκες. ἐδείχθη γὰρ ἐν τῷ περὶ τούτου λόγῳ, χωρὶς τῆς κατὰ τοὺς χυμοὺς πλεονασίας ἐκ μόνης τῆς τῶν μορίων εὐπαθείας, μὴ δυναμένην συστῆσαι ποδάγραν. ἀλλὰ κἀνταῦθα πάλιν, ἔμπροσθεν μὲν ἀληθὲς ἦν τὸ χωρὶς τοῦ τελέως ἐκλιπεῖν τὰ καταμήνια, διὰ τὴν σμικρότητα τῶν ἁμαρτημάτων ὧν ἔμπροσθεν ἡμάρτανον αἱ γυναῖκες. νῦν δὲ διὰ τὸ μέγεθος αὐτῶν ἔνιαι ποδαγριῶσι, πρὶν ἐκλιπεῖν τὰ καταμήνια, παμπόλλαις μὲν ἐλλιπῶς γινο-
D μένων, ὀλίγαις δὲ καὶ συμμέτρως.

Pueros ante veneris vsum podagrâ non laborare, & venerem præcipuam podagræ causam esse.

Τὰ παιδία πρὸ τῆς χρήσεως τῶν ἀφροδισίων μὴ ποδαγριᾶν, καὶ τὰ ἀφροδίσια, κυρίας τῆς ποδάγρας αἰτίας εἶναι.

APHORISMVS XXX.

ΑΦΟΡΙΣΜΟΣ λ΄.

PVer ante venereorum vsum podagrâ non laborat.

E Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιάζειν.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

QVod magnam vim ad podagræ generationem veneris vsus habeat manifestum est etiam in pueris, quemadmodũ paulo antea de eunuchis quoque dicebat. Eunuchos certè podagra cruciari vidimus, pueros non vidimus. Verùm si quis tali affectu correptus sit, vnà cũ genuum & articulorum qui in manibus habentur, magno tumore id mali passus est arthridi cuipiam derepentè ortæ non dissimiliter propter plethoram multis cruditatibus aceruatam.

Ὅτι μεγίστην δύναμιν εἰς ποδάγρας γένεσιν ἡ τῶν ἀφροδισίων ἔχει χρῆσις εὔδηλον κἀπὶ τῶν παίδων, ὥσπερ ὀλίγον ἔμπροσθεν κἀπὶ τῶν εὐνούχων ἔλεγον. εὐνούχους μὲν οὖν ἑωράκαμέν τινας ποδαγριῶντας, παῖ-
F δας δὲ οὐκ εἴδομεν. ἀλλ' εἰ καί τις ἑάλω τοιούτῳ πάθει, μετὰ τοῦ καὶ τὰ γόνατα, καὶ τὰ κατὰ τὰς χεῖρας ἄρθρα συνεξοιδῆσαι πέπονθεν, ἀρθριτικὸν τρόπον τινὰ αἰφνίδιον, ὑπὸ πληθώρας ἐκ πολλῶν ἀπεψιῶν ἀθροισθείσης.

A

Ὅτι τὰς ὀφθαλμῶν ὀδύνας ἀκρητοποσία, ἢ τὸ λουτρὸν, ἢ πυρία, ἢ φλεβοτομία, ἢ φαρμακοποσία λύῃ. Διὰ τί, καὶ πότε, καὶ ὅπως, κατὰ τὰς ἱστορίας διδάσκει ὁ Γαληνός.

ΑΦΟΡΙΣΜΟΣ λα'.

Ὀφθαλμῶν ὀδύνας ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ πείρας μοι δοκεῖ μᾶλλον, οὐκ ἐκ λόγου τινὸς ἐγνωκέναι τῶν εἰρημένων ἕκαστον ὁ Ἱπποκράτης· οὐδὲν γὰρ θαυμαστὸν ὀδυνώμενον ἄνθρωπον, ἐπὶ λουτρὸν ὁρμήσαντα, παύσασθαι τῆς ὀδύνης, ἢ κωλυόμενον οἶνον πιεῖν, εἶτ' οὐδὲν ὀνινάμενον, ὁρμῆσαι πρὸς αὐτὸν, ὄντα καὶ ἄλλως οἰνόφυγα, κἄπειτα ὠφεληθῆναι. καθάπερ οὖν καὶ ἄλλα πολλὰ τῶν οὕτως ὁραθέντων, ἐγράφη τοῖς ἰατροῖς ἀδιορίστως, οὕτω κἀνταῦθα δοκεῖ μοι γεγράφθαι, μήτε λογικῶς εἰπόντος αὐτοῦ τὰς διαθέσεις, μήτ' ἐμπειρικῶς τὰς συνδρομάς. ὅ γε μὴν ἐκ τῶν οὕτω γραφομένων λόγων χρήσιμον ἡμῖν ἐστιν εἰς τὸ ζητῆσαι τὰς διαθέσεις ἐφ' αἷς ἀκρητοποσίη τε, καὶ λουτρὸν ἕκαστόν τε τῶν εἰρημένων ἐφεξῆς ὀνίνησιν, ὅπερ κἀμοὶ συνέβη· τὸ μὲν γὰρ ὅτι πάντως εἰσί τινες τῶν ὀδυνωμένων ὀφθαλμοὺς, οἱ μὲν ἀκρητοποσίαις, οἱ δὲ λουτροῖς ὀνινάμενοι, πιστεύων Ἱπποκράτει, ἐπεπείσμην. οὐ γὰρ ἂν ἔγραψεν αὐτὸ μὴ θεασάμενος, οὐ μὴν ὑπό γε τῶν διδασκάλων τινὸς ἐθεασάμην ποτὲ τοιοῦτον βοήθημα προσενεχθὲν κάμνοντι. ζητήσας οὖν πάσας τὰς διαθέσεις, ἐφ' αἷς ἀναγκαῖόν ἐστιν, οὐ κατὰ τὸν ὀφθαλμὸν μόνον, ἀλλὰ καὶ κατ' ἄλλα μόρια γίνεσθαι τὰς ὀδύνας, εἶτ' ἐμαυτὸν πείσας εὑρηκέναι. τοὐντεῦθεν ἐσκεψάμην αὐτῶν τὰ γνωρίσματα, κἀπειδὴ καὶ περὶ τούτων ἐπείσθην, ἐτόλμησα προσαγαγεῖν τὰ βοηθήματα τοῖς ὀδυνωμένοις. καὶ πρῶτον μὲν ἔλουσα νεανίσκον ὃν εὐλόγως ὁ θεραπεύων πεφλεβοτόμηκε κατὰ τὴν δευτέραν ἡμέραν ἀπ' ἀρχῆς, εἶτ' ἐξῆς ἐθεράπευσε τοῖς διὰ πείρας φαρμάκοις, φλεγμονῆς μόνης οὔσης κατὰ τοὺς ὀφθαλμούς. ὠδυνᾶτο δὲ κατά τινας εἰσβολὰς σφοδρότατα, καθ' ἃς αὐτὸς ἔφασκεν αἰσθάνεσθαι δριμέων ὑγρῶν ἀθρόως ἐπιρρυέντων τοῖς ὀφθαλμοῖς, εἶτ' ἐκκριθέντων αὐτῶν ἐπαύετο τὸ σφοδρότατον τῆς ὀδύνης, οὐ μὴν παντάπασιν ἀνώδυνος ἐγίγνετο, καὶ τοῦτο αὐτὸ συνέβη δι' ὅλης τῆς πέμπτης ἡμέρας, ἀεὶ καὶ μᾶλλον αὐξανόμενον, οὐκέτ' οὖν φέρων τὴν ὀδύνην, ἐκάλεσεν ἐμέ τε, καὶ τῶν ὀφθαλμικῶν ἰατρῶν τινὰ τῶν τότε ὄντων ἐν ῥώμῃ τὸν δοκιμώτατον. ἐκείνῳ μὲν οὖν ἐδόκει τό τε χρῆσθαί τινι κολλυρίῳ τῶν ἐμπλαστικῶν τε ἅμα, καὶ ἀνωδύνων, οἷα

Quòd oculorum dolores meri potu, aut balneo, aut fotu, aut venæ sectione, aut medicamento purgante soluantur; cur, quando, & quomodo per historias docet Galenus.

APHORISMVS XXXI.

B *Oculorum dolores meri potio, aut balneum, aut fomentum, aut venæ sectio, aut purgatio soluit.*

GALENI COMMENTARIVS.

Hippocrates pronunciatorum quodque experientiâ magis quàm ratione aliquâ cognouisse mihi videtur. Nihil enim mirum si quis homo dolens oculis ad balneum profectus dolore liberatus fuerit; aut interdicto vini potu, deinde nulla hinc percepta vtilitate ad vini potionem se contulerit, ipse alioqui vino & crapulæ deditus postea melius habuerit.
C Quemadmodum igitur & pleraque alia quæ sic vidisset, Medicis citra vllam distinctionem scripsit: ita hæc quoque mihi tradidisse videtur, quum neque vt Rationalis affectiones, neque vt Empyricus symptomatum concursus explicet. Cæterum ex aphorismis hoc modo scriptis vtilitatem capiemus, si affectus in quibus meraca potio, aut balneum, atque deinceps enumeratorum quodque conueniat exquisiuerimus, quod & mihi contigit: nam quosdam omnino esse oculorum doloribus affectos, quorum nonnulli meri potionibus, nonnulli balneis iuuarentur: fidem Hippocrati adhibens eram persuasus (non enim istud nisi intuitus ipse scripsisset) quum tamen à nemine præceptorum vnquam huiusmodi remedium *oculorum doloribus* laboranti adhibitum fuisse spectassem.
D Indagatis itaque cunctis affectibus, quibus non in oculis duntaxat, verumetiam cæteris in partibus dolores oboriri necessarium est; deinde ratus meme ipsos inuenisse; hinc & propria ipsorum signa speculatus sum, quibus adductus tum demum auxilia dolentibus adferre non dubitaui.
E Atque imprimis adolescentem laui, cui Medicus curationi incumbens, ratione duce, secundo ab initio morbi die, venam secuit, ac deinceps curauit medicamentis quæ per experientiam nouerat, sola inflammatione oculos obsidente. Cruciabatur autem vehementissimis doloribus per quosdam insultus, quibus ipse acres humores confertim affluentes in oculos se sentire dicebat; ipsis deinde excretis doloris vehementia, non tamen prorsus doloris erat expers; & hoc ipsi quinto *quoque* die vniuerso accidebat, semperque magis ac magis invalescebat.
F Quum igitur dolorem diutius ferre non posset, & me & quendam ex ocularijs Medicis qui tunc Romæ erant, celeberrimum accersiuit. Huic itaque videbatur

collyrio quodam emplastico simulque anodyno vtendum esse; cuiusmodi sunt collyria quæ ex cerussa lota, amylo, & papauere componuntur: Nam sic maximè posse reprimi per emplastica id quod influebat, simulque sensum stupefieri per narcotica sperabat: Ego verò ab initio suspecta habui talia medicamenta; neque enim vehementes fluxiones reprimunt, sed eas excerni prohibent, ideóque si acres ipsi humores extiterint, corneam vlcerari accidit; si verò multi, extendi ac vehementer irritari, quia si rumpantur, euenit. Quibus nisi medicamentum sit vehementer narcoticum, dolores intolerabiles excitantur. Si verò adeo ipsos stupefaciat, vt oculi maximam inflammationem non sentiant, tum visoriam facultatem adeo lædi necesse est, vt postquam inflammatio cessarit, aut omnino subobscurè, aut nihil planè cernat; tum etiam quandam præduram affectionem curatu difficilem in oculorum tunicis relinqui. Quum igitur ista nouissem & affluentem humorem animaduerterem, non paucum, valdéque acrem & calidum, primùm fomento vtendum censui experientiæ gratia, vt qui certiùs ex eâ qualisnam foret affectio intellecturus essem. Solet enim fomentum in his aliquantisper dolorem mitigare, sed alteram fluxionem euocare. Qua enim ratione consueuit contentum oculis humorem discutere; eadem ratione alterum quoque ex vicinis partibus attrahere. Verùm simul atque aquam calidam, & spongiam adferri iussi, æger ipse dixit se multoties iam idem remedium toto die expertum esse, quod primùm dolorem imminuit, sed paulò post dolorem maiorem inuehit. Quæ quum ego audiuissem, ocularium Medicum abire permisi pollicitus ipse me apud ægrum commorari, eúmque absque frigido medicamento dolore vacantem redditurum. Quamprimum itaque solo balneo vsus sic ægrotum dolore vacuum reddidi, vt tota nocte dormierit, nec assidentium qui iuxta dormiebant, quenquã semel appellauerit. Ab huius curatione in posterum in quibus acres humores in oculos influere, nec dum tamen plethoricum corpus esse signis deprehendi, balnei vsu eorum dolorem sanaui. Sed alterum quoque quendam adolescentem qui ruri non prope vrbem profectum conspicatus squalidos quidem oculos habere & plenas sanguine ipsorum venas admodum tumere, iussi vbi lauisset, vino vti meraciore, atque ita quò suauem somnum iniret, contendere. Cæterum somnus profundus ipsum inuasit, & mane dolore vacuus surrexit, mihique fiduciam præbuit, in quibus sanguis crassus oculorum venulas distenderet nulla toto corpore affectione plethorica, vtendi vini potione, quod quidem sanguinem & attenuare & vacuare, suique motus vehementia obstructiones liberare possit. Atque hæc sunt doloris oculorum remedia agonistica. Securissimum autem est fomentum, quod aliquam omnino vtilitatem adfert, vel vt signum ad dignotionem, vel vt causa sanitatis oculorum effectrix. Quum enim nihil omnino influit ampliùs in oculos, admotum fomentum contentum ipsis super-

τά τε διὰ ψιμμυθίου πεπλυμμένου, καὶ ἀμύλου, καὶ
A μήκωνος συντιθέμενα. μάλιστα γὰρ ᾤετο οὕτως ἀνασταλήσεσθαι τὸ ἐπιρρέον ἤλπιζε διὰ τῶν ἐμπλαστικῶν, ναρκωθήσεσθαί τε ἅμα, διὰ τῶν ναρκωτικῶν τὴν αἴσθησιν. ἐγὼ δὲ ἐξ ἀρχῆς ὑπόπτως ἔσχηκα πρὸς τὰ τοιαῦτα τῶν φαρμάκων· οὔτε γὰρ ἀναστέλλει τὰ σφοδρὰ τῶν ῥευμάτων, ἀλλ᾽ ἐκκενοῦσθαι κωλύει, καὶ διὰ τοῦτο δριμέων μὲν ὄντων αὐτῶν, ἑλκοῦσθαι συμβαίνει τὸν κερατοειδῆ· πολλῶν δὲ διατείνεσθαί τε καὶ παροξύνεσθαι σφοδρῶς, ὥσπερ ῥηγνυμένων, ἐφ᾽ οἷς εἰ μὴ καὶ μεγάλως
B εἴη ναρκωτικὸν τὸ φάρμακον, ἀφορήτους συμβαίνει εἶναι τὰς ὀδύνας. εἰ δ᾽ οὕτως εἴη ναρκωτικὸν, ὡς καὶ τῆς μεγίστης φλεγμονῆς ἀναισθήτους ἐργάζεσθαι τοὺς ὀφθαλμοὺς, ἀναγκαῖόν ἐστιν ἅμα κακοῦσθαι τὴν ὀπτικὴν δύναμιν, ὡς μετὰ τὸ παύσασθαι τὴν ὀφθαλμίαν, ἢ παντελῶς ἀμυδρὸν, ἢ μηδ᾽ ὅλως αὐτοὺς ὁρᾶν, ἅμα δ᾽ ὑπολείπεσθαί τινα σκιρρώδη διάθεσιν ἐν τοῖς χιτῶσι δυσίατον. ἅ τε οὖν ταῦτα γινώσκων, ὁρῶν τε τὸ ἐπιρρέον οὐκ ὀλίγον ἰσχυρῶς τε δριμὺ, καὶ θερμὸν, ἐνόησα χρήσασθαι πυρίᾳ πρότερον, ἕνεκα πείρας, ὡς ἐξ αὐτῆς ἀκριβέστερον
C εἰσόμενος ὁποία τίς ἐστιν ἡ διάθεσις. εἴωθε γὰρ ἐπὶ τῶν τοιούτων ἡ πυρία παρηγορεῖν μὲν ἄχρι τινὸς, ἐπικαλεῖσθαι δ᾽ ἕτερον ῥεῦμα. καθ᾽ ὃν γὰρ λόγον διαφορεῖν πέφυκε τὸ περιεχόμενον ἐν τοῖς ὀφθαλμοῖς, κατὰ τὸν αὐτὸν λόγον ἕλκειν ἕτερον ἐκ τῶν πλησίων. ἀλλ᾽ ἅμα γε τῷ κελεῦσαί με τό θ᾽ ὕδωρ κομισθῆναι τὸ θερμὸν, καὶ τὸν σπόγγον, αὐτὸς ὁ κάμνων ἔφη πεπειρᾶσθαι ἤδη πολλάκις δι᾽ ὅλης ἡμέρας, τοῦ βοηθήματος, παρηγοροῦντος μὲν αὐτὸν, ὀλίγῳ δ᾽ ὕστερον ὀδύνην μείζονα
D ἐπιφέροντος. ἀκούσας οὖν ἐγὼ τοῦτο, τὸν μὲν ὀφθαλμικὸν ἰατρὸν ἀπέλυσα παραμένειν, αὐτὸς ὑποσχόμενος καὶ ποιήσειν ἀνώδυνον τὸν κάμνοντα χωρὶς φαρμάκου ψυκτικοῦ, τῷ λουτρῷ δὲ αὐτίκα χρησάμενος καὶ μόνῳ, οὕτως ἀνώδυνον εἰργασάμην αὐτὸν, ὡς δι᾽ ὅλης νυκτὸς κοιμηθῆναι, μηδ᾽ ἅπαξ καλέσαντα τῶν παρακοιμωμένων μηδένα. τοὐντεῦθεν δὲ λοιπὸν ἐφ᾽ ὧν ἐσημειωσάμην ἐπιρρεῖν μὲν τοὺς δριμεῖς χυμοὺς τοῖς ὀφθαλμοῖς, οὐ μὴν ἔτι γε πληθωρικὸν εἶναι τὸ σῶμα, βαλανείου χρήσει τὴν ὀδύνην αὐτῶν ἰασάμην. ἄλλον δέ τινα νεανίσκον ἡ-
E μερῶν μὲν ἤδη πλειόνων ὀφθαλμιῶντα, κατ᾽ ἀγρὸν οὐκ ἔξω ὄντα τῆς πόλεως, ὕστερον δ᾽ ὡς ἐν αὐτοῖς διέμεινεν, ἀφικόμενον εἰς τὴν πόλιν, ἰδὼν αὐχμηροὺς μὲν ἔχοντα τοὺς ὀφθαλμοὺς, ἰσχυρῶς δ᾽ ὠγκωμένας καὶ πλήρεις αἵματος τὰς κατ᾽ αὐτοὺς φλέβας, ἐκέλευσα λουσάμενον, ἀκρατεστέρῳ χρῆσθαι τῷ πόματι, οὕτω πειραθῆναι καθυπνῶσαι. καὶ γίνεται ὕπνος τε βαθὺς αὐτῷ γίνεται, καὶ ἀνώδυνος ἕωθεν ἀνέστη, καί μοι θάρσος ἐνεποίησεν, ἐφ᾽ ὧν ἐστιν ἔνστασις αἵματος παχέος ἐν τοῖς τῶν
F ὀφθαλμῶν φλεβίοις, ἄνευ πληθωρικῆς διαθέσεως ἐν ὅλῳ τῷ σώματι, οἴνου χρῆσθαι πόσει δυναμένου, καὶ κενοῦν τὸ αἷμα, καὶ τῷ σφοδρῷ τῆς κινήσεως, ἐκφράττειν τὰς ἐνστάσεις. ταυτὶ μὲν οὖν ἀγωνιστικὰ βοηθήματα τῆς κατ᾽ ὀφθαλμοὺς ὀδύνης. ἀσφαλέστατον δ᾽ ἡ πυρία, καὶ πάντως τινὰ χρείαν παρέχον, ἢ ὡς σημεῖον εἰς διάγνωσιν,

ἐκέλευσα
κινεῖν

A ἢ ὡς αἴτιον ὑγιείας τοῖς ὀφθαλμοῖς. ὅταν μὲν γὰρ μηκέτι ὅλως ἐπιῤῥέῃ, κατὰ μὲν τὴν πρώτην προσφορὰν, αὐτῷ τῷ θερμαίνειν μόνῳ παρηγορίαν τινὰ μετρίαν ἤνεγκεν, ὀλίγῳ δ' ὕστερον αὐξάνει τὴν ὀδύνην, καὶ γίνεται τηνικαῦτα διαγνωστικὸν σημεῖον, ὡς καταμαθόντας ἡμᾶς τὴν διάθεσιν, ἐπί τινα κένωσιν ὅλου τοῦ σώματος ἀφικέσθαι. πληθωρικοῦ μὲν ὄντος αὐτοῦ, διὰ φλεβοτομίας, κακοχύμου δὲ διὰ καθάρσεως· οὐ γὰρ δὴ χαλεπόν γέ σοι διακρίναι κακοχυμίαν, ἀπὸ πλήθους αἵματος.

uacaneum humorem discutit, atque ita ipsis sanitatem restituit. Quum verò adhuc influit ad primam admotionem ipso solo calefactu quandam mitigationem adfert, sed paulò post dolorem amplificat; ac tunc diagnosticum fit signum, vnde nos affectu intellecto, ad aliquam totius corporis vacuationem peruenimus; si nanque plethoricum corpus fuerit, venæ sectione; si cacochymum, purgatione vacuabimus: Non enim profectò tibi à sanguinis plenitudine cacochymiam distinguere perarduum est.

B

Τοὺς τραυλοὺς ταῖς μακραῖς διαῤῥοίαις ὑποκεῖσθαι. τίς ἡ διαφορὰ μεταξὺ τοῦ τραυλοῦ, καὶ τοῦ ψελλοῦ, καὶ περὶ τραυλώσεως αἰτιῶν.

Balbos diuturnis diarrhœis esse obnoxios. Quid differentiæ inter traulum & psellum; ac de balbutiei caussis.

ΑΦΟΡΙΣΜΟΣ λβ'.

Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς. C

APHORISMVS XXXII.

Balbi longá diarrhœa maximè corripiuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ τὸ ψελλίζεσθαι, τῆς διαλέκτου πάθος ἐστίν, οὐ τῆς φωνῆς, οὕτω καὶ τὸ τραυλίζειν, μὴ δυναμένης τῆς γλώττης ἀκριβῶς ἐκείνας διαρθροῦν τὰς φωνὰς, ὅσαι διὰ τοῦ τ' καὶ ρ' λέγονται, καθάπερ αὐτήν τε ταύτην τὴν τραύλωσιν, καὶ ὁμοίως τρέσδε, τρέχει, τρέμει, τραχύς, τροχὸς, τρυφερὸς, ὅσαι τε ἄλλαι παραπλήσιαι. δέονται γὰρ αἱ τοιαῦται πᾶσαι τῆς γλώττης μετὰ τοῦ πλατύνεσθαι στηριζομένης ἐπὶ τοῖς προσθίοις ὀδοῦσιν. D ὅταν οὖν ἀτονωτέρα τισὶ ὑπάρχῃ, στηρίζεται χεῖρον, καὶ οὐ διαρθροῖ τὸν τοῦ τ'. καὶ ρ'. φθόγγον, ἀλλ' ἐπὶ τὸν τ' καὶ λ'. μεταπίπτει. δύναται δ' αὐτῇ γενέσθαι τοῦτο, καὶ διότι βραχυτέρα πώς ἐστι τοῦ προσήκοντος, ὅπερ ἐστὶ σπανιώτατον. ἀλλὰ καὶ διότι μαλακωτέρα τε, καὶ ὑγροτέρα τὴν κρᾶσιν ἡ τραύλωσις γίνεται. οὕτω γοῦν καὶ τὰ παιδία τραυλίζει παραπλησίου τοῦ συμβαίνοντος αὐτοῖς ὑπάρχοντος, οἷόν τι καὶ περὶ τὴν βάδισιν γίνεται. καὶ γὰρ καὶ ταύτην, τὰ μὲν οὐδ' ὅλως, τὰ δ' οὐχ ἱκανῶς E ἔχει, τῶν σκελῶν αὐτοῖς διὰ μαλακότητα στηρίζεσθαι βεβαίως ἀδυνατούντων. ἐνίοις δὲ καὶ τῶν τελείων, ὅταν διαλεγόμενοι κάμνωσι, συμβαίνει τραυλίζειν, ὥσπερ καὶ τοῖς ἐπὶ τὸ πλεῖστον αὐλήσασιν, οὕτω δὲ καὶ τοῖς ἐν νόσῳ κεκμηκόσιν ἰσχυρῶς τὴν δύναμιν, ὥσπερ γε καὶ διὰ τὸ σφοδρότερον ξηρανθῆναι τὴν γλῶτταν ἐνίοις. ἀλλ' ἡ τοιαύτη ξηρότης οὐδενὶ τῶν κατὰ φύσιν ἐχόντων ὑπάρξαι δύναται. καὶ διὰ τοῦτο μόνης ὑγρότητος ἀμέτρου σύμπτωμά ἐστιν, ἐν τοῖς φύσει τραυλοῖς, ἡ τῆς διαλέκτου βλάβη, F μὴ δυναμένων τῶν μυῶν τῆς γλώττης ἐγκρατῶς στηρίζεσθαι. τοῦτο δὲ αὐτοῖς συμβαίνειν ἐγχωρεῖ μὲν, καὶ διὰ τὴν οἰκείαν ἀῤῥωστίαν, ἐγχωρεῖ δὲ, καὶ διὰ τὴν τῶν νεύρων, ὧν παρ' ἐγκεφάλου λαμβάνει δηλονότι. καὶ οἱ μεθύοντες οὖν ἐνίοτε τραυλίζουσι, τοῦτο μὲν ὑ-

GALENI COMMENTARIVS.

Qvemadmodum balbutire linguæ non vocis vitium est: sic etiam traulizere, quum lingua eas voces articulatè pronunciare non potest quæ per *t* & *r* proferuntur, qualis hæc ipsa est traulosis & hæ similes trepidat, tremit, tragula, trochus, triticum & quæ cæteræ sunt his consimiles. Omnes siquidem huiusmodi linguam & quæ dilatetur, & quæ primoribus innitatur dentibus, desiderant. Quum igitur quibusdam lingua imbecillior, existat deteriùs innititur & quem sonum *t* & *r* edunt, articulatè efferre nequit, sed ad *t* & *l* pronunciandum labitur. Id autem ipsi accidere potest, quòd lingua quodammodo breuior sit quàm deceat; quod rarissimum existit; sed & molliori & humidiori sit temperamento, accidit balbuties: quam ob caussam pueri balbutiunt consimili in ipsis euentu, atque ambulando fit. Etenim ex his nonnulli nequaquam prorsus incedunt, alia verò incessu sunt parum firmo, cruribus, præ mollitudine titubantibus & vacillantibus. Nonnullis etiam ætate integrâ interloquẽdo defessis balbutire contingit; quemadmodum ex iis qui plurimum tibia cecinerunt, & quibus vires morbo vehementer prostratæ sunt; & quibus demum lingua vehementiùs exaruit. Verùm tanta siccitas nemini secundùm naturam se habenti adesse potest. Atque ideo solius humiditatis immoderatæ natura balbis symptoma est loquutionis læsio, quum linguæ musculi validè stabiliri nequeant. Hoc autem ipsi vel propter propriam imbecillitatem accidere potest, & propter neruorum, quos videlicet à cerebro suscipit, infirmitatem. Quare & ebrij nonnunquam balbutiunt, tum quia multa humiditate cerebrum perfunditur, tum quia ipsius copia prægrauatur. Sic itaque con-

ringet naturâ balbis, vt vel cerebrum humidum habeant, vel linguã, vel vtrunque. Atque cerebro quidem tale temperamentum adepto, humidorũ excrementorũ copiam ex eo defluere par est, eáque fluentia ventriculum suscipere, indéq; longis alui profluuiis hominem corripi. Quum verò ipsa lingua præhumidior existat naturâ, ventriculum quoque talem esse consentaneum est, vt potè qui alteram sui tunicam habeat cum lingua communem quæ propter humiditatem imbecillis redditur; ventriculi verò familiaris affectio diuturna diarrhœa est.

A ὑγρότητι πολλῇ διαβρεχομένου τοῦ ἐγκεφάλου, τοῦτο δὲ, ὑπὸ πλήθους αὐτῆς βαρυνομένου. συμβήσεσθαι γοῦν τοῦτο καὶ τοῖς φύσει τραυλοῖς, ἤτοι τὸν ἐγκέφαλον ὑγρὸν ὑπάρχειν, ἢ τὴν γλῶτταν, ἢ ἀμφότερα. τοῦ μὲν ἐγκεφάλου τοιαύτην ἔχοντος κρᾶσιν, ἀπορρεῖν μὲν εἰκός ἐστι περιττωμάτων ὑγρῶν πλῆθος. ὑποδέχεσθαι δὲ αὐτὰ καταρρέοντα τὴν γαστέρα, κἀντεῦθεν ἁλίσκεσθαι διαρροίαις μακραῖς τὸν ἄνθρωπον. τῆς γλώττης δὲ αὐτῆς ὑγροτέρας οὔσης σφόδρα φύσει, καὶ τὴν κοιλίαν εἰκὸς εἶναι τοιαύτην, ὡς ἂν θατέρου τῶν χιτώνων αὐτῆς, κοινοῦ πρὸς τὴν γλῶτταν
B ὑπάρχοντος, ἀσθενοῦς δὲ δι᾽ ὑγρότητα, κοιλίας δὲ οἰκεῖον πάθημα, χρονία διάρροια.

Acidum eructantes rarò pleuritide corripi. Quid pleuritis.

Τοὺς ὀξυρεγμιώδεις σπανίως τῇ πλευρίτιδι ἁλίσκεσθαι. τί πλευρῖτις.

APHORISMVS XXXIII.

Qvi acidum eructant, non admodum pleuritici fiunt.

ΑΦΟΡΙΣΜΟΣ λγ΄.

C Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πλευριτικοὶ γίνονται.

GALENI COMMENTARIVS.

Oxyregmiodes, acidum ructum habentes rarò pleuritide corripi tradit: Nam illud *non admodum* id quod rarò, non quod nullo modo vsuuenit, declarat, vt quidam Libri interpretes scripserunt. In sermonibus autem de pleuritide, à nobis dictum est, pleuritidem quæ cum pallidis & flauis sputis esset, ex biliosis humoribus ortum habere; quæ verò cum spumosis, ex pituitosis; quemadmodum & quæ cum nigrioribus, ex melancholicis; quæ denique cum rubris, ex sanguine fieri ostendimus. Etenim inflammatio membranæ costas succingentis appellatæ pleuriticorum affectus. Quum verò omnis inflammatio ex alicuius humoris redũdantia gignatur pro eius naturâ, tum sputi species pleuriticis superuenit, tum salutis aut mortis expectatio. Non peræque autem membranæ ac pulmo humoribus suscipiendis nati sunt; densa siquidem est membranarum natura, pulmo verò omnem in partem rarus ac laxus; quare huic quidem promptum est omnes humores suscipere, membranæ verò succingenti biliosos magis. Ob hanc igitur causam quibus naturâ pituita exuberat, ij rarò pleuritide corripiuntur, præsertimque si salsedinem aliquam atq; acrimoniam assumpserit: Talis enim pituita mordens intestina ad deiectionem proritat, tumque non solam pituitam vacuari, sed vnà cum eâ alia etiam multa excrementa dejici contingit. Sed ipse in Libro etiam de aquis, locis, & aëre minime pleuritidi aliisque morbis obnoxios esse dicebat eos qui aluum naturâ humidam haberent.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς ὀξυρεγμιώδεις ὀξεῖαν ἔχοντας ἐρυγὴν, σπανίως φησὶν ἁλίσκεσθαι πλευρίτισι. τὸ γὰρ οὐ πάνυ, τῶν σπανίως γινομένων δηλωτικόν ἐστιν, οὐ τῶν οὐδ᾽ ὅλως, ὡς ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον ἔγραψαν. εἴρηται δὲ ἡμῖν ἐν τοῖς περὶ πλευρίτιδος λόγοις, ὡς ἡ μὲν ἅμα τοῖς ὠχροῖς τε, καὶ ξανθοῖς πτύσμασιν, ἐπὶ χολώδεσι γίνεται χυμοῖς, ἡ δὲ ἅμα τοῖς ἀφρώδεσιν ἐπὶ φλεγματικοῖς.
D ὥσπερ καὶ ἡ μὲν ἅμα τοῖς μελαντέροις, ἐπὶ τοῖς μελαγχολικοῖς, ἡ δὲ ἅμα τοῖς ἐρυθροῖς, ἐπ᾽ αὐτῷ τῷ αἵματι. φλεγμονὴ μὲν γάρ ἐστι περὶ τὸν ὑπεζωκότα καλούμενον ὑμένα, ἡ τῶν πλευριτικῶν διάθεσις. ἁπάσης δὲ φλεγμονῆς γινομένης ὑπὸ πλεονεξίας τινὸς χυμοῦ, κατὰ τὴν ἐκείνου φύσιν, τό τε τῶν πτυσμάτων εἶδος ἐπιγίνεται τοῖς πλευριτικοῖς, ἥ τε τῆς σωτηρίας, ἥ τε τοῦ θανάτου προσδοκία. καταδέχεσθαι δὲ οὐχ ὁμοίως πεφύκασι τοὺς χυμοὺς, οἵ θ᾽ ὑμένες καὶ ὁ πνεύμων. πυκ-
E νὴ μὲν γὰρ καὶ ἡ τῶν ὑμένων φύσις, ἀραιὸς δὲ πάντη, καὶ μανὸς ὁ πνεύμων ἐστὶ, ὥστε τούτῳ μὲν ἅπαντας ἕτοιμον δέχεσθαι τοὺς χυμούς. τῷ δὲ ὑπεζωκότι, τοὺς χολώδεις μᾶλλον. διὰ τοῦτο οὖν οἷς φύσει πλεονάζει τὸ φλέγμα, σπανίως ἁλίσκονται πλευρίτισι, καὶ μάλιστ᾽ ἐὰν ἁλυκότητά τινα, καὶ δριμύτητα προσλάβῃ. τὸ γὰρ τοιοῦτον, δάκνον τὰ ἔντερα, πρὸς τὴν διαχώρησιν ἐρεθίζει, καὶ συμβαίνει τηνικαῦτα, μὴ μόνον τῷ φλέγματι κενοῦσθαι, συναπέρχεσθαι δὲ αὐτῷ πολλὰ καὶ τῶν ἄλλων περιττωμάτων. ἔλεγε δὲ αὐτὸς ἐν τῷ περὶ ὑδάτων
F τε, καὶ τόπων, καὶ ἀέρων, ἥκιστα πλευρίτισί τε, καὶ τοῖς ἄλλοις νοσήμασιν ἁλίσκεσθαι τοὺς ὑγρὰν ἔχοντας φύσει τὴν γαστέρα.

A

Τοῖς φαλακροῖς τοὺς μὲν κιρσοὺς μεγάλους οὐ γίνεσθαι. τῶν δὲ κιρσῶν γενομένων πάλιν τὸ τρίχωμα γίνεσθαι· πότερον ἡ φαλάκρωσις ἀνίατος.

Caluis varices magnos non fieri; factis varicibus, rursus capillitium gigni; quomodo. An caluitium insanabile.

ΑΦΟΡΙΣΜΟΣ λδʹ.

ΟΚόσοι φαλακροὶ τουτέοισι κιρσοὶ μεγάλοι οὐ γίνονται, ὁκόσοις δ᾽ αὖ φαλακροῖς ἐοῦσι κιρσοὶ ἐπιγενωνται, πάλιν οὗτοι γίνονται δασέες.

APHORISMVS XXXIV.

QVi calui sunt, iis varices magni non oboriuntur: quibus verò caluis existentibus varices succedunt, ii rursum capillati fiunt. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΠόταν ἐν ἀνδρὸς φρονίμου συγγράμματι λόγος εὑρεθῇ προφανῶς ψευδὴς, εἰκότως ἀπορεῖσθαι συμβαίνει τοὺς ἀναγινώσκοντας αὐτὸν, καὶ πρῶτον μὲν ἑαυτοῖς ἀπιστεῖν, ὡς μηδὲ τὰ φανερὰ γινώσκουσιν, εἶθ᾽ ἑξῆς ὑποπτεύειν, μή τι τῶν ὑποκειμένων ψευδὲς εἴη. τίς γὰρ οὐκ οἶδε ἀνίατόν τι πάθημα τὴν φαλάκρωσιν ὑπάρχουσαν; ἀλλὰ καὶ τὸ μηδέ ποτε ἐπιγίνεσθαι μεγάλους κιρσοὺς τοῖς φαλακροῖς, οὐκ ἀληθὲς, ὥσπερ οὐδὲ τὸ γινομένων κιρσῶν, παύεσθαι τὴν φαλάκρωσιν. εἰ μή τι ἄρα καθάπερ ἔνιοί φασιν, τὴν καλουμένην ὑπὸ τῶν ἰατρῶν μαδάρωσιν ὀνομάζει φαλάκρωσιν. ἐκείνη γὰρ ὑπὸ μοχθηρῶν χυμῶν γιγνομένη, καθάπερ αἵ τε ὀφιάσεις, καὶ ἀλωπεκίαι ὀνομαζόμεναι, μεταστάντων εἰς τὰ σκέλη τῶν φαύλων χυμῶν, ἐργάζεσθαι δύναται κιρσοὺς, ἀναφύσασθαί τε τὰς τρίχας. εἰ γὰρ ἔμπροσθεν ὑπὸ μοχθηρῶν χυμῶν φθειρομένων αὐταῖς τῶν ῥιζῶν, ἡ διαφθορὰ συνέβαινεν, εἰκότως νῦν ἐπὶ τῇ μεταστάσει τῶν χυμῶν, εἰς τὴν κατὰ φύσιν ἐπανήξουσι κατάστασιν.

GALENI COMMENTARIVS.

QVum in viri prudentis opere oratio comperitur euidenter falsa, meritò Lectores ipsum dubitare accidit, ac primùm quidem sibiipsis diffidere, tanquam ea non assequantur quæ etiam sint manifesta; deinde verò suspicari ne quid ex iis quæ proposita, sunt falsum fuerit. Quis enim non nouit caluitium quendam affectum esse insanabilem? Sed neque illud verum est magnos varices caluis nunquam superuenire, sicuti neque varicibus ortis, caluitium cessare; nisi fortè (vt nonnulli aiunt) vocatum à Medicis capillorum defluuium caluitium nominet: Illud enim quum à vitiosis humoribus ortum habeat, vt & quæ ophiasis & alopecia nominatur, iisdem prauis humoribus in crura translatis varices facere, & capillos restituere potest. Si nanque prius à vitiosis humoribus corruptis capillorum radicibus eorum fiat iactura, meritò nunc iisdem aliò migrantibus, ad naturalem statum reuertentur.

Τὴν βῆχα τοῖς ὑδρωπικοῖς ἐπιγινομένην, κακὸν εἶναι· διὰ τί.

Tussim hydropicis succedentem, malum esse; cur.

E

ΑΦΟΡΙΣΜΟΣ λεʹ.

ΤΟῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη, κακόν.

APHORISMVS XXXV.

HYdropicis tussis succedens malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠιγίνεσθαι τοῖς πάθεσιν ἕτερα πάθη τε, καὶ συμπτώματα, τοῖς παλαιοῖς ἰατροῖς ἔθος ἐστὶ λέγειν, ὅσα κατὰ τὸν αὐτοῦ πάθους λόγον αὐξανομένου συμβαίνειν εἴωθε. τοιοῦτον γάρ τι καὶ τὸ τῶν ἐπιγινομένων ἐστὶ Πραξαγόρου βιβλίον. οὕτω δὲ καὶ νῦν εἴρηται ἐπὶ τῆς βηχός· οὐ γὰρ ἐπειδὰν δι᾽ ἄλλην τινὰ γένηται πρόφασιν

GALENI COMMENTARIVS.

MOrbis alios morbos & symptomata superuenire Medicis moris fuit dicere, F quæ ipsius morbi augescentis ratione accidere consueuerunt: Talis enim est Praxagoræ Liber de superuenientibus. Sic etiam nunc de tussi dictum est: non enim quum ex alia occasione fit hydropico tussis, signum est exitio-

sum, sed quum ipsius morbi ratione. Quum enim in hydropicis affectibus aquosa humiditas tantrâ copiâ creuerit, vt iam asperas arterias occupet, deinde tussis superueniat, tunc ne haud id ita multò pòst homo suffocetur, periculum imminet.

A ὑδερικῷ βὴξ, ὀλέθριόν ἐστι σημεῖον, ἀλλ' ὅταν αὐτῷ τῷ λόγῳ τοῦ νοσήματος. ἡνίκα γὰρ αὖ ἐς ποσὸν αὐξηθῇ πλῆθος, ἐπὶ τῶν ὑδερικῶν παθῶν ἡ ὑδατώδης ὑγρότης, ὡς ἤδη καὶ τὰς τραχείας ἀρτηρίας καταλαμβάνειν, εἶτα βὴξ ἐπιγένηται, τότε κίνδυνος ἔπεται πνιγῆναι τὸν ἄνθρωπον, οὐκ εἰς μακράν.

Dysuriam venarum interiorum pedis sectione solui.

B Τὴν δυσουρίην τῇ τῶν εἴσω φλεβῶν ποδὸς τομῇ λύεσθαι.

APHORISMVS XXXVI.

Vrinæ difficultatem venæ sectio soluit; secandæ autem sunt interiores.

ΑΦΟΡΙΣΜΟΣ λϛ'.

Δυσουρίην φλεβοτομὴ λύει, τέμνειν δὲ τὰς εἴσω.

GALENI COMMENTARIVS.

Sed neque sana est hæc oratio, nisi, *etiam*, conjunctionem assumpserit, ut ejusmodi sit aphorismus; *difficultatem vrinæ etiam venæ sectio soluit*. Reuera enim etiam venæ sectio dysuriam soluit; illam videlicet quæ propter inflammationem & plenitudinem facta est. Illud autem, *secandas esse interiores*, si de manuum venis dicatur, neque verum est, neque ac Hippocrate concessum. In omnibus siquidem suis operibus, partibus supra jecur affectis ex manibus sanguinem mittere, inferioribus verò, poplitis & malleoli venas secare iubet. De quibus si quis ipsum illud dixisse arbitretur, *secundas autē esse interiores*, parui id est momenti. Ab vna nanque & eâdem vena, vtraque tam interior quàm exterior nascitur, in poplite trifariàm divisa, non quemadmodum in manum, duæ. Quare melius est hunc etiam aphorismum vnum esse inter ascititios opinari.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Οὐδ' οὗτος ὁ λόγος ὑγιής ἐστιν εἰ μὴ προσλάβῃ τὸν, καὶ, σύνδεσμον, ὥστε γενέσθαι τὸν ἀφορισμὸν τοιόνδε· δυσουρίην καὶ φλεβοτομία λύει. ὄντως γὰρ καὶ φλεβοτομία λύει δυσουρίαν, ἐκείνην δηλονότι τὴν διὰ φλεγμονὴν καὶ πλῆθος γεγενημένην. τὸ δὲ τέμνειν τὰς εἴσω περὶ τῶν ἐν ταῖς χερσὶ φλεβῶν λεγόμενον, οὔτ' ἀληθές ἐστιν, οὔτε ὁμολογούμενον Ἱπποκράτει. φαίνεται γὰρ ἐν ἅπασι τοῖς συγγράμμασιν, ἐπὶ μὲν τῶν ἀνωτέρω τοῦ ἥπατος, ἐκ τῶν χειρῶν ἀποχέων τοῦ αἵματος, ἐπὶ δὲ τῶν κατωτέρω, τὰς κατ' ἰγνὺν ἢ σφυρὸν, κελεύων τέμνειν. εἰ δὲ περὶ τούτων αὐτῶν εἰρῆσθαί
D τις ὑπολάβοι τὸ τέμνειν τὰς εἴσω, μικρὰν τοῦτο δύναμιν ἔχει. ἀπὸ μιᾶς γὰρ ἀμφότερα πεφύκασι, φλεβὸς τῆς ἐν ἰγνύϊ τριχῇ σχισθείσης, ὅτι καὶ μία φλὲψ εἰς τοῦθ' ἥκει τὸ κῶλον, οὐχ ὥσπερ ἐπὶ τῆς χειρὸς δύο. βέλτιον οὖν ἐστι καὶ τοῦτον τὸν ἀφορισμὸν, ἕνα τῶν παρακειμένων ὑπολαβεῖν.

Ceruicis tumorem anginæ succedere bonum esse.

E Τὸ τραχήλου οἴδημα τῇ κυνάγχῃ ἐπιγινόμενον ἀγαθὸν εἶναι.

APHORISMVS XXXVII.

Angina correpto ceruicis tumorem oboriri, bonum; foras enim morbus vertitur.

ΑΦΟΡΙΣΜΟΣ λζ'.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ τραχήλῳ, ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ νόσημα.

GALENI COMMENTARIVS.

Vera est oratio, & causa manifesta. Ex profundis siquidem & principibus partibus morbos ad cutem transferri confert.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Ἀληθὴς ὁ λόγος, καὶ ἡ αἰτία πρόδηλος, εἴγε ἐκ τῶν διὰ βάθους τε, καὶ κυριωτέρων μορίων εἰς τὸ δέρμα μεθίστασθαι τὰ πάθη λυσιτελεῖ.

A

Τοὺς καρκίνους κρυπτοὺς ἄνευ θανάτου μὴ θεραπεύειν δεῖν. τί καρκῖνος κρυπτὸς, ἡ τούτου θεραπεία διττή. τίς καρκῖνος θεραπευσόμενος ᾖ.

Cancros occultos citrà necem curandos non esse. Quid cancer occultus, eius curatio duplex. Quis cancer curandus sit.

ΑΦΟΡΙΣΜΟΣ λη'.

Ὁκόσοισι κρυπτοὶ καρκῖνοι γίνονται, μὴ θεραπεύειν βέλτιον. θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως, μὴ θεραπευόμενοι δὲ, πολὺν χρόνον διατελοῦσιν.

APHORISMVS XXXVIII.

B *QVibus occulti cancri oriuntur, eos non curare præstat. Curati nanque citò intereunt; non curati verò diuturniori tempore perdurant.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κρυπτοὺς καρκίνους εἴρηκεν, ἢ τοὺς χωρὶς ἑλκώσεως, ἢ τοὺς κεκρυμμένους, ὅπερ ἐστὶ μὴ φαινομένους, ὃ πάλιν ἴσον δύναται, τῷ διὰ βάθους εἶναι τοῦ σώματος. ἀλλὰ καὶ τὸ θεραπεύειν διττὸν ἐστιν. ἓν μὲν, τὸ, πάντα πράττειν ὡς ὑγιὲς ἀποφῆναι τὸ πεπονθὸς μέρος. ἕτερον δὲ τὸ προνοεῖσθαι τὴν ἁρμόττουσαν τῷ πάθει πρόνοιαν, ὅπερ ἐστὶ παρηγορεῖν τε, καὶ πραΰνειν αὐτὸ, καὶ μάλιστα ὅταν ᾖ μεθ' ἑλκώσεως. ἀναγκαῖον γὰρ εἰ καὶ μηδὲν ἄλλο τηνικαῦτα τοὺς ἰχῶρας ἀποπλύνειν ὑγρῷ τινὶ χρώμενον ὅπερ οὐ τὸ τυχὸν εἶναι προσήκει, ἀλλ' ὅπερ ἂν, ἤτοι διὰ πείρας, ἢ δι' ἐνδείξεως εὑρεθῇ, μήτε σήπειν πεφυκὸς, μήτ' ἐρεθίζειν τὸ πεπονθὸς μέρος. ταύτης μὲν οὖν τῆς θεραπείας, οὐκ ἀφίστασθαι προσήκει, οὐδ' οἱ χωρὶς ἑλκώσεως δέονται καρκῖνοι. τῆς δὲ ἐκ τοῦ τεμεῖν καὶ καῦσαι, ἃ μόνῳ καρκίνῳ γινομένῳ ἐστὶν ἰάματα, συμβουλεύει μὴ προσάγεσθαι κατὰ τοὺς κρυπτοὺς καρκίνους. ὅτι μὲν οὖν οἱ ἐν τῷ βάθει, διὰ τῆς τοιαύτης ἀγωγῆς, οὐ θεραπεύονται, καὶ ἡ πεῖρα διδάσκει. πάντας γὰρ οἶδα τοὺς ἐπιχειρήσαντας ἰᾶσθαι καρκίνους τοιούτους, παροξύναντας μᾶλλον αὐτοὺς, ἐν τάχει τε τοὺς ἀνθρώπους ἀποκτείναντας. οἵ τε γὰρ τὸν ἐν τῷ οὐρανίσκῳ συστάντα, καὶ τὸν ἐν τῇ ἕδρᾳ, καὶ τὸν ἐν τῷ κρυπτῷ τῷ γυναικείῳ τεμόντες καὶ καύσαντες, οὐκ ἠδυνήθησαν ἀπουλῶσαι τὰ ἕλκη, καὶ τῇ τῆς ἰάσεως ταλαιπωρίᾳ, συνέτηξαν τοὺς ἀνθρώπους ἄχρι θανάτου, οἷς ἐνὸν μὴ θεραπευομένοις, ἀλυπότερον ἄχρι πλείονος διαρκέσαι χρόνου. τοὺς μὲν οὖν τοιούτους καρκίνους, οὐδ' ὅλως ἐπιχειρητέον ἰᾶσθαι. τοὺς δ' ἐπιπολῆς, ἐκείνους μόνους, οὓς ἐκτεμεῖν οἷόν τε σὺν ταῖς ῥίζαις αὐταῖς, ὡς ἂν εἴποι τις. οὐδὲν γὰρ χεῖρον οἱονεὶ ῥίζας τινὰς ὀνομάσαι τοῦ καρκίνου τὰς διατεταμένας ἄχρι τῶν πέριξ σωμάτων, πεπληρωμένας φλέβας αἵματος μελαγχολικοῦ. πολλοὶ μὲν γὰρ τῶν ἀξιολόγων ἰατρῶν, οὐδὲ τούτοις ἐπιτρέπουσι χειρουργεῖν, ἀλλὰ μόνοις, ὅσοι περ ἂν ἑλκωθέντες, ἅμα μὲν ἀνιαροὶ τοῖς κάμνουσιν ὦσιν, ὡς αὐτοὺς ὀρεχθῆναι τῆς χειρουργίας, ἅμα δ' ἐν τοῖς τοιούτοις συστῶσι μορίοις, ἃ μετὰ τῶν ῥιζῶν ἐκτεμεῖν καὶ καῦσαι δυνατόν ἐστιν. ἔνιοι δὲ οὐδὲ τούτοις ἀνασκευάζεσθαι ἐῶσιν, ἀλλὰ τελέως ἀφίστασθαι συμβουλεύουσι βοηθημάτων ἀγωνιστικῶν,

GALENI COMMENTARIVS.

OCcultos cancros dixit, vel qui sunt sine vlceratione, vel abditos, hoc est non apparentes: quod rursus idem significat, ac si dicatur, qui in alto sunt corpore. Sed & curatio duplex est: vna quidem omnia agere quo pars affecta ad sanitatem perducatur; alC ra verò eam adhibere prouidentiam quæ affectui congruat, hoc est, ipsum mitiget ac demulceat, præsertim si conjunctam habeat vlcerationem. Tunc enim si non aliud quicquam agatur, saniem humido quodam vsurpato abluere necessum est, non quocunque, sed quod per experientiam aut indicationem, nec putrescere, nec irritare partem affectam compertum habeatur. Ab hac igitur curatione abstinere non decet; neque qui sine vlceratione cancri sunt, eam postulant. Altera verò quæ secando & vrendo fit (quæ D soli qui fit cancro sunt remedia) ne in cancris occultis adhibeamus consulit. Quod igitur qui in profundo latent, eiusmodi præsidiis non curentur docet etiam experientia. Omnes enim noui, qui huiusmodi cancros curare sunt aggressi, magis irritasse, breuique homines enecasse: Nam & qui cancrum in palato ortum, & qui in sede, & qui in sinu muliebri secuerunt, aut usserunt, vlcera ad cicatricem perducere non potuerunt; sed homines curationis cruciatu adusque mortem excarnificarunt; qui citra curationem longiori tempore cum minore E molestia vitam exegissent. Hisce igitur cancris medendi prouincia suscipienda non est. Ex iis verò qui summa corporis parte consistunt, eos solùm curare tentandum est, quos vnà cum ipsis; vt sic loquar, radicibus exscindere & extirpare licet: Nihil enim deterius fit similitudine quasdam cancri venas radices nominare, quæ sanguine melancholico impletæ adusque parpartium ambitum distenduntur. Multi siquidem insignes Medici ne hos quidem Chirurgiâ curari concedunt, sed illos solos qui exulcerati tum laborantibus ita sæui sunt, vt ipsi vltrò F manum admouere desiderent, tum in iis sunt partibus, quas vnà cum radicibus exscindere & vrere possumus. Nonnulli verò neque hos extirpare permittunt; sed in omni cancro remediis agonisticis omnino abstinendum esse consulunt. Hippocrates certè quod

tè quod cancros in alto corpore delitescentes non semper agonisticè curandos esse suaserit, ex ipsa affectionis naturâ conjectare licet. An verò eos etiam qui summa corporis parte, sine vlceratione consistunt, quantum ex aphorismi textu conijci potest, incertum est; quem quidem aphorismum Artemidorus & Dioscorides scripserunt vsque ad ea verba, *non curare præstat.*

A ἐπὶ καρκίνε παντός. Ἱπποκράτης γοῦν, ὅτι μὴ τοὺς ἐν τῷ βάθει τοῦ σώματος, οὐκ ἀεὶ συνεβούλευσε θεραπεύειν ἀγωνιστικῶς, ἐξ αὐτῆς τῆς τοῦ πάθους τῆς φύσεως ἔνεστι τεκμήρασθαι. εἰ δὲ καὶ τὸν ἐπιπολῆς τε, καὶ χωρὶς ἑλκώσεως, ἄδηλόν ἐστιν, ὅσον ἐπὶ τῇ κατὰ τὸν ἀφορισμὸν λέξει. γεγράφασι δ' αὐτὸν οἱ περὶ τὸν Ἀρτεμίδωρόν τε, καὶ τὸν Διοσκορίδην, ἄχρι τοῦ, μὴ θεραπεύειν βέλτιον.

Conuulsionem & singultum ex repletione aut vacuatione ortum ducere. Quid & quomodo fiat conuulsio, & quæ eius causæ. Quid singultus, & quæ eius causæ. De singultus ac vomitus differentiis.

B Τὸν σπασμὸν καὶ τὸν λυγμὸν ὑπὸ τῆς πληρώσεως ἢ τῆς κενώσεως γίγνεσθαι. τί καὶ ὅπως γίνεται ὁ σπασμὸς, καὶ τίνες τούτου αἰτίαι. τί ὁ λυγμὸς, καὶ τίνες τούτου αἰτίαι. περὶ τῆς τοῦ λυγμοῦ τε καὶ τοῦ ἐμέτου διαφορᾶς.

APHORISMVS XLIX.

Conuulsio aut à repletione, aut vacuatione oboritur, ità verò etiam singultus.

ΑΦΟΡΙΣΜΟΣ λθ'.

Σπασμὸς γίνεται, ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος, οὕτω δὲ καὶ λυγμός.

GALENI COMMENTARIVS.

Conuulsio (vt & ipsum nomen indicat) conuulsis fit ad propria capita musculis, vel vt quis apertiùs definiat, reuulsis, qualis etiam ipsis secundùm naturam motus est. Verùm hic quidem non sine natiuo animalis fit impetu, conuulsio verò affectus est inuoluntarius, neruosis partibus ad consimilem affectum accedentibus, quem etiam in motibus pro animi impetu editis assumebant: Nam idē in spasmo à repletione ipsis fit, quod ambientis aëris statu supra modum humido, fidibus accidit, quo inebriatæ sæpe rumpuntur. Sic etiam siccioribus cæli constitutionibus idem oboritur: Nam in sese coguntur & conuelluntur omnia corpora neruosa violentiùs exiccata, quemadmodum quæ ad ignem diutius excalefacta sunt lora, & quæ his similia patiuntur, quæque solis æstus exiccauit. Conuulsio igitur meritò à contrariis fit causis; Singultus verò concedatur stomachi conuulsio dici, dum erit alterum orationis propositum. Quum verò hoc ipsum solum studium extet, vt affectionis huius substantiam dignoscamus, præstat fortassis non conuulsionem appellare; sed quandam motionem, quæ sit in eodem cum vomitu genere, sed eo porrectior ac vehementior: Nam quum quid in se contentum stomachus expellere appetit, ad duo symptomata incitatur, vnum quidem vehementius in singultibus, alterum moderatius in vomitionibus; quandoquidem per vomitus, quæ in ventriculi capacitate continentur, ea tantum appetit propellere; per singultus verò etiam ea quæ ipso ventriculi ore penitiora comprehenduntur. Stomachum nunc à me non solùm ipsum quem propriè appellant; sed etiam ventriculum intellige. Quæ nanque in hoc continentur, appetente ventriculo excernere fit singultus. Iam verò quod eorum quæ difficulter excernuntur, & quæ veluti

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Ὁ σπασμὸς, ὡς καὶ τοὔνομα αὐτὸ δηλοῖ, σπωμένων ἐπὶ τὰς οἰκείας κεφαλὰς γίνεται τῶν μυῶν. ἐναργέστερον δ' ἂν εἴποι τις ἀνασπωμένων, ὥσπερ κἀν τῷ κατὰ φύσιν αὖθις ἐστὶ κίνησις. ἀλλ' ἐκείνη μὲν, σὺν αὐτῇ τῆς ὁρμῆς, γίνεται τοῦ ζώου, πάθος δ' ἀκούσιόν ἐστιν ὁ σπασμὸς, εἰς παραπλησίαν διάθεσιν ἐρχομένων τῶν νευρωδῶν μορίων ἐν αὐτοῖς, ἥνπερ κἀν ταῖς κατὰ ὁρμὴν κινήσεσιν ἐλάμβανον. D ὑπὸ γάρ τοι πληρώσεως γίνεται, καθάπερ ἐν ταῖς ὑπερβαλλόντως ὑγραῖς καταστάσεσι τοῦ περιέχοντος ἀέρος αἱ χορδαί, διὰ τοῦτο γοῦν καὶ ῥήγνυνται πολλάκις. οὕτω δὲ κἀν ταῖς ξηροτέραις καταστάσεσι συμβαίνει, συνάγεται γὰρ εἰς ἑαυτὰ, καὶ σπᾶται πάντα τὰ νευρώδη σώματα ξηραινόμενα βιαιότερον, ὥσπερ οἱ πρὸς τῷ πυρὶ θερμανθέντες ἄχρι πλείονος ἱμάντες, ὅμοιοι δ' αὖθις πάσχουσι, καὶ ὅσους ἥλιος θερμὸς ἐξήρανεν. ὁ μὲν οὖν σπασμὸς ὑπὸ τῶν ἐναντίων εἰκότως γίνεται, λυγμὸς δὲ, συγχωρείσθω μὲν ὀνομάζεσθαι στομάχου πάθος, ὅταν ἕτερόν τι προκείμενον ᾖ κατὰ λόγον. σπασμὸς E ὅταν δ' αὐτὸ μόνον τοῦτο ὑπάρχῃ σπούδασμα τὸ γνῶναι τὴν οὐσίαν τοῦ παθήματος ἄμεινον ἴσως ἐστὶν οὐ σπασμὸν ὀνομάζειν αὐτὸ, ἀλλὰ κίνησίν τινα, ἐν μὲν γὰρ τῷ αὐτῷ γένει τῷ κατὰ τοὺς ἐμέτους, ἐπιτεταμένην δὲ καὶ σφοδροτέραν ἐκείνης. ἀπώσασθαι γάρ τι τῶν καθ' ἑαυτὸν ὁ στόμαχος ὀρεγόμενος, ἐπ' ἄμφω τὰ συμπτώματα ὁρμᾷ, σφοδρότερον μὲν ἐν τοῖς λυγμοῖς, μετριώτερον δὲ, ἐν τοῖς ἐμέτοις, ἐπειδὴ κατὰ μὲν τοὺς ἐμέτους, τὸ περιεχόμενον ἐν τῇ τῆς γαστρὸς εὐρυχωρίᾳ μόνον ἐφίεται διώσασθαι· κατὰ δὲ τοὺς λυγμοὺς, καὶ τὰ διὰ βάθους ἐν αὐτῷ τῆς γαστρὸς τῷ σώματι περιεχόμενα. F στόμαχον δέ μοι νῦν ἄκουε, μὴ μόνον αὐτὸν ὃν ὀνομάζουσι κυρίως, ἀλλὰ τὸ τῆς γαστρὸς σῶμα. τὰ γὰρ ἐν τούτῳ περιεχόμενα τῆς γαστρὸς ὀρεχθείσης ἐκκρῖναι, λύζουσιν. ὅτι δὲ τῶν δυσεκκρίτων τε, καὶ οἷον ἐναποθει-

των εἰς τὸ στόμα τῆς γαστρὸς, ἢ διὰ τὸν λυγμὸν ἔκκρισις γίνεται, μαθεῖν ἐστὶ κατὰ τῶν ὁσημέραι συμβαινόντων πᾶσι σχεδὸν, ἢ μᾶλλον, ἢ ἧττον. ἐάν τε γὰρ αὐτὸ μόνον δριμὺ ὂν τὸ πέπερι καταπίωσιν, ἐάν τε καὶ μετὰ μέλιτος, ἢ τινος ἄλλου, κἄπειτα ἐπιπίωσιν οἶνον ὕδατι κεράσαντες θερμῷ, εὐθέως λύζουσι, τῆς μὲν τοῦ πόματος θερμότητος, ποδηγούσης εἰς τὸ βάθος τὸ πέπερι, τῇ δριμύτητι δὲ αὐτοῦ, τῆς γαστρὸς ἀνιωμένης, ἐπιχειρούσης δὲ τῇ βίᾳ τῆς κινήσεως ἀπορρῖψαι τὸ λυποῦν. ἐδείχθη δ' ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις, ὅτι καὶ ἡ βὴξ, καὶ ὁ πταρμὸς, καὶ τὸ ῥῖγος, ἐκ τῶν τοιούτων εἰσὶ κινήσεων.

A absorpserit ventriculi os, fiat per singultus excretio, ex iis discendum quæ quotidie prope omnibus plus minus vsu-veniunt. Siue enim solum quid acre veluti piper deuorauerint, siue cum melle aut alio quopiam, posteáque vinum superbiberint calida temperatum, protinus singultiunt; potionis quidem calore piperi viam in profundum præeunte, suâ vero acrimonia pipere ventriculum molestiâ afficiente; vnde ipse violentiore motu, quod molestum est exigere & expurgare conatur. Cæterum in Libris de symptomatum B causis, & tussim, & sternutationem, & rigorem ex talium motionum esse genere à nobis demonstratum est.

Τοὺς ὑποχονδρίων πόνους ἄνευ τῆς φλεγμονῆς τοῦ πυρετοῦ ἐπιγινομένου λύεσθαι. τίνες ὦσι οὗτοι πόνοι, καὶ τίνες τούτων αἰτίαι;

Hypochondriorum dolores citra phlegmonem, succedente febre, solui. Qui sint hi dolores, & quæ eorum causæ?

ΑΦΟΡΙΣΜΟΣ μ'.

C

Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὸν πόνον.

APHORISMVS XL.

Qvibus ad hypochondrium dolores citra inflammationem oriuntur, iis succedens febris dolorem soluit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἕπεται μὲν καὶ ταῖς δήξεσι πόνος, ἀλλ' εἰθισμένοι τῷ τῆς δήξεως ὀνόματι προσαγορεύειν εἰσὶν, οὐ τῷ τοῦ πόνου, τὰ τοιαῦτα συμπτώματα. γίνεται δὲ καὶ διὰ φλεγμονώδη τινὰ διάθεσιν, ὁ πόνος. οὕτως δ' ὠνόμασται, διότι καὶ τοῖς ἐρυσιπέλασιν ἕπεται ὁ πόνος· ὅταν οὖν μήτε διὰ τοιαύτην τινὰ διάθεσιν ὀδύνη τις ᾖ κατὰ τὸ ὑποχόνδριον, ἥ τε τῆς δήξεως αἴσθησις αὐτῇ ἀπῇ, καταλείπεται γίνεσθαι τὸν πόνον, ἢ δι' ἔμφραξιν, ἢ διὰ πνεῦμα φυσῶδες, ἢ τινα δυσκρασίαν ἀνώμαλον, ἅπερ ἡ τοῦ πυρετοῦ θερμότης ἰᾶσθαι πέφυκε, τὰ μὲν τέμνουσα, καὶ λεπτύνουσα, καὶ διαφοροῦσα, τὰς δὲ, εἰς ὁμαλότητα κράσεως ἄγουσα.

GALENI COMMENTARIVS.

D Sequitur & morsus dolor. Verùm consueti sunt morsus nomine non talia doloris symptomata appellare. Fit etiam dolor propter quandam phlegmonodem affectionem. Sic autem appellata est, quòd erysipelata etiam dolor comitetur. Quum igitur neque ob huiusmodi aliquam affectionem hypochondrio dolor incubuerit, & morsus ipse sensus abfuerit, relinquitur dolor vel propter obstructionem, vel propter flatulentum spiritum, vel ob aliquam inæqualem intemperiem; quibus omnibus febrilis calor suâ naturâ mederi potest, quum incidat, attenuet ac discutiat; hanc verò ad temperamenti æqualitatem adducat.

E

Διὰ τὴν τοῦ πύου περιεχομένου, καὶ τοῦ τόπου περιέχοντος παχύτητα τὴν τοῦ πύου διάγνωσιν κατακρύπτεσθαι.

Ob puris contenti, & loci continentis crassitiem, puris notitiam occultari.

ΑΦΟΡΙΣΜΟΣ μα'.

F

Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ ἀποσημαίνῃ, τουτέοισι, διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει.

APHORISMVS XLI.

Qvibus suppuratum quoddam in corpore existens signis non proditur, iis ob puris, aut loci crassitudinem, sui signa non edit.

A

GALENI COMMENTARIVS.

Bifariàm scripta est aphorismi oratio, & bifariàm ipsam explicant interpretes, & vtraque rationem habet tum oratio, tum interpretatio: Nam & propter puris & loci crassitudinem sæpe occultatur puris quodam loco contenti dignotio. Recte ergo nonnulli scripserunt, *his ob loci craßitudinem sui signa non edit*; quidam verò, *his propter puris craßitudinem*.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ διττῶς γέγραπται ἡ κατὰ τὸν ἀφορισμὸν ἑρμηνεία, καὶ διττῶς αὐτὴν ἐξηγοῦνται, καὶ λόγον ἡ ἑκατέρα τῶν τε γραφῶν ἔχει, καὶ τῶν ἐξηγήσεων· καὶ γὰρ καὶ διὰ τὴν τοῦ πύου παχύτητα, καὶ διὰ τὴν τοῦ τόπου, κατακρύπτεται πολλάκις ἡ διάγνωσις τοῦ περιεχομένου κατά τι χωρίον πύου. δεόντως οὖν τινὲς μὲν ἔγραψαν τούτοισι διὰ παχύτητα τοῦ τόπου, οὐκ ἀποσημαίνει, τινὲς δὲ τούτοισι, διὰ παχύτητα τοῦ πύου.

B

Ictericis iecur durum ob phlegmonem, aut scirrhum fieri, malum.

Ἐν τοῖς ἰκτερικοῖς τὸ ἧπαρ σκληρὸν διὰ τὴν φλεγμονὴν ἢ σκίρρον γίνεσθαι, κακόν.

APHORISMVS XLII.

Ictericis iecur durum fieri, malum.

ΑΦΟΡΙΣΜΟΣ μβ'.

Ἐν τοῖσιν ἰκτερικοῖσι, τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν.

C

GALENI COMMENTARIVS.

Icterum hîc dicit ex hepatis ortum inflammatione. Tunc enim durities phlegmonem aut scirrhum viscus obsidere prodit; quemadmodum & sine hac potest etiam propter eiusdem obstructionem icterus oboriri; potest & critico modo naturâ redundantem in venis humorem ad cutem protrudente.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐνδείκνυται γὰρ ἡ σκληρότης τηνικαῦτα φλεγμονὴν ἢ σκίρρον εἶναι κατὰ τὸ σπλάγχνον, ὡς ἄνευ γε ταύτης, ἐγχωρεῖ μὲν καὶ δι' ἔμφραξιν αὐτοῦ γεγονέναι τὸν ἴκτερον, ἐγχωρεῖ δὲ καὶ τῆς φύσεως κριτικῶς ἀπωσαμένης εἰς τὸ δέρμα τὸν ἐν ταῖς φλεψὶ πλεονάζοντα χυμόν.

D

Qui lienosi dicendi sint; ac lienosos primùm dysenteria succedente, deinde hydrope aut lienteria correptos interire.

Τίνες σπληνώδεες ὦσι ὀνομαζόμενοι. καὶ τοὺς σπληνώδεας πρῶτον τῆς δυσεντερίας ἐπιγινομένης, εἶτα τοὺς ὕδρωπος ἁλισκομένους ἢ τῆς λειεντερίας ἀποθνήσκειν.

APHORISMVS XLIII.

Qui lienosi dysenteriâ corripiuntur, iis oborta longa dysenteria, hydrops, aut lienteria succedit, ac intereunt.

ΑΦΟΡΙΣΜΟΣ μγ'.

Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται τουτέοισιν ἐπιγιγνομένης μακρῆς δυσεντερίης, ἢ ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

GALENI COMMENTARIVS.

Oportebat huic aphorismo illum præponi, in quo ait, lienosis dysenteria superueniens, bonum. Verùm is in sequentibus post alios quatuor intermedios scribitur; sed nobis nunc ipsius meminisse necesse est. Quicunque enim lienosi sunt, hoc est, quibus iamdiu lien obduruit, iis dysenteria superueniens affectionem soluit quantum ratione tum translationis, tum vacuationis humorum crasso-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐχρῆν τούτου προτετάχθαι τὸν ἀφορισμὸν ἐκεῖνον, καθ' ὃν φησὶ, τοῖς σπληνώδεσι δυσεντερίη ἐπιγινομένη, ἀγαθόν. ἀλλ' οὗτος μὲν ἐν τοῖς ἑξῆς ἐστὶ μετὰ τέσσαρας ἄλλους μέσους, ἡμῖν δ' ἀναγκαῖον αὐτοῦ ἤδη μνημονεῦσαι. ὅσοι γὰρ σπληνώδεις εἰσὶ τουτέστιν, ὅσοι σπλῆνα χρονίως ἐσκληρυσμένον ἔχουσι, τούτοις ἐπιγινομένη δυσεντερία, λύει τὴν διάθεσιν. ὅσον γε κατὰ τὸν λό-

F

γὰρ τῆς μεταστάσεώς τε, καὶ κενώσεως τῶν ἐμπεπλασμένων τῷ σπληνὶ παχέων τε, καὶ μελαγχολικῶν χυμῶν ἀποτελεσθῇ. ἀλλ' ἐπεὶ πολλάκις ὑπὲρ τὸ σύμμετρον αἱ τοιαῦται κενώσεις ἐκτεινόμεναι, βλαβεραὶ τοῖς κάμνουσι γίνονται, δεόντως ὁ Ἱπποκράτης ἐδήλωσεν ἐς ὅ τι τελευτᾶν πέφυκεν ἄμετρος δυσεντερία, τοιαύταις ἐπιγινομένη διαθέσεσι. κακωθέντων γάρ τοι τῶν ἐντέρων ὑπὸ τῆς διόδου τῶν μοχθηρῶν χυμῶν, ἥ τε δύναμις αὐτῶν κάμνει, καὶ ἡ συμμετρία τῆς ἐμφύτου θερμασίας ἀπόλλυται. διὰ τοῦτο οὖν, ἡ λειεντερία, καὶ ὁ ὕδερος ἐπιγίνονται. λειεντερία μὲν, ἐπὶ τῇ τῶν ἐντέρων κακώσει μόνῃ. ὁ δὲ ὕδερος, κατὰ συμπάθειαν τε ἥπατος, καὶ σπληνὸς, καὶ παντὸς τοῦ γένους τῶν φλεβῶν.

A rum, & melancholicorum lieni infarctorum effectum sit. Sed quoniam sæpe huiusmodi vacuationes supra modum extenduntur, & noxiæ sunt laborantibus, decenter Hippocrates quem exitum incommoderata dysenteria, quæ talibus successit affectionibus habere soleat, declarauit. Malè siquidem affectis intestinis vitiosorum humorum transitu, tum ipsorum vires laborans, tum caloris innati symmetria deperditur. Quamobrem leienteria & hyderus superueniunt; leienteria quidem solo intestinorum vitio; hyderus verò propter jecoris aut lienis, & totius generis venosi consensum. B

Τὸν εἰλεὸν τῇ στραγγουρίᾳ ἐπιγινόμενον ὑπὸ τῶν πολλῶν καὶ ὠμῶν ὑγρῶν, καὶ τῆς ἀποψύξεως γενόμενον, θανάσιμον εἶναι. τί ὁ εἰλεός; τίνες τούτου αἰτίαι.

Ileum stranguriæ succedentem à multis & crudis humoribus, ac refrigeratione ortum, lethalem esse. Quid ileus, & quæ eius sint causæ?

ΑΦΟΡΙΣΜΟΣ μδ'.

Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεὸς ἐπιγίνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται οὗτοι, ἢν μὴ πυρετοῦ ἐπιγινομένου ἅλις τὸ οὖρον ῥυῇ.

C

APHORISMVS XLIV.

Quibus ex stranguria voluulus succedit, intra septem dies intereunt, nisi oborta febre copiosa vrina effluat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ τὸν εἰλεὸν, οὐδὲν μὲν διεξέρχεται κάτω, οὐδ' ἂν δριμυτέρῳ κλύσματι χρήσεταί τις, ἔμετος δὲ κόπρου ἐπιγίνεται τοῖς ὀλεθρίοις αὐτῶν εἰλεοῖς. ὅτι μὲν οὖν ἀποκεκλεισμένης τῆς κάτω διεξόδου, γίνεται τὸ πάθος, ὅτι τε περὶ τὰ λεπτὰ τῶν ἐντέρων, οὐ τὰ παχέα, σχεδὸν ἅπασιν ὡμολόγηται. καὶ μὲν δὴ καὶ ὅτι διὰ φλεγμονὴν, ἔμφραξιν ἤτοι κόπρου σκληρᾶς, ἢ γλίσχρων ὑγρῶν, καὶ παχέων γίνεται, λέλεκται πολλοῖς. ἐμοὶ δὲ δοκεῖ, καὶ φλεγμονὴν, ἢ σκίρρον, ἢ ἀπόστημα δύνασθαι τὴν στενοχωρίαν ἐργάζεσθαι τοιαύτην, ὥστε μηδὲν κάτω διεξέρχεσθαι δύνασθαι. τὸ δὲ ὑφ' ὑγρῶν παχέων, ἢ γλίσχρων, οὐ πάνυ τι δοκεῖ πιθανὸν εἶναι. τίθει δ' εἰ βούλει καὶ τοῦτο, καὶ εἴ τι περὶ τούτῳ λέγοιεν ἕτερον, ἀλλ' ἐκεῖνό γε τὸ σχεδὸν ἅπασι δόξαν, ὅσοι τοὺς ἀφορισμοὺς ἐξηγήσαντο, πάνυ μοι δοκεῖ τῶν ἀπιθάνων εἶναι. λέγουσι γὰρ ὅτι τῆς κύστεως φλεγμαινούσης, στενοχωρίαν ἔν τινι τῶν ἐντέρων ἐκ τῆς παραθλίψεως γινομένην, ἐπιφέρειν τὸ πάθος τὸν εἰλεόν. ἐγὼ δὲ πλείστους μὲν δοκῶ καθ' ὅλον ἐμαυτοῦ τὸν βίον ἑωρακέναι, τοὺς μὲν κινδυνεύσαντας μόνον, οὐκ ὀλίγους δὲ καὶ ἀποθανόντας διὰ ἐπισχέσεως οὔρων, ἐναργῶς ἅπασι φαινομένης τηνικαῦτα κατὰ περιγραφὴν ἰδίαν, μεγίστης τῆς κύστεως, ὡς διατετάσθαι μὲν ἐσχάτως, ὀδυνᾶσθαι δὲ, ὡς εἰκὸς, ἐπὶ τῇ διατάσει, καὶ τούτων οὐδεὶς εἰλεώδης ἐγένετο. πῶς ἂν οὖν τίς ποτε πεισθῇ, διὰ φλεγμονὴν κύστεως ἐντέρου στενοχωρουμένου γίνεσθαί ποτε τὸν εἰλεὸν, οὐ μᾶλλον, ἢ κατὰ τὸν ὄγκον τῆς μήτρας

GALENI COMMENTARIVS.

In ileo nihil deorsum deiicitur, ne si quis etiam acriori vtatur clystere. Stercoris autem vomitus iis accidit qui exitialiter laborant. Quod igitur intercluso inferiore transitu
D in tenuibus intestinis & non crassis hic morbus fiat propè ab omnibus concessum est. Quinetiam propter inflammationem & obstructionem vel duri stercoris, vel crassorum & viscidorum humorum fieri dixerunt nonnulli. Mihi verò videtur etiam inflammatio, vel scirrhus, vel abscessus tantam posse coarctationem facere, vt nihil infernè peruadat. Quod autem humores crassi & lenti in causa esse possunt, non admodum mihi probabile videtur: Verùm hoc etiam si placet ponito, & si quid aliud præterea dixerint. Illud verò,
E quod aphorismorum Interpretibus ferè omnibus visum est, nullam prorsus mihi verisimilitudinem habere videtur: Aiunt enim inflammata vesica viæ angustiam factâ in quibusdam intestinis compressione, ileum morbum adferre. Ego verò plurimos per totam meam vitam me vidisse videor, alios quidem periclitari tantum, non paucos verò emori etiam ex vrinæ suppressione, omnibus tunc luculenter secundùm propriam circunscriptionem maxima apparente vesica, adeo vt extremè distenderetur, & ob eam, vt par est, tensionem
F doleret; quorum tamen nullus ileosus factus est. Quomodo igitur aliquis vnquam crediderit ob vesicæ inflammationem angustiore facto intestino, ileum aliquando fieri, potius

quàm vteri tumore prægnationis tempore? Atqui vsque ad hypochondria illius tumor extenditur, atque magis premere tenuia intestina & coarctare potest: vesica verò in tumorem sublata solùm potest rectum intestinum premere. Absurdius etiam nonnulli dicunt aborta febre ileum iuuari. Ea nanque febris ob vesicæ inflammationem meritò accenderetur, quæ quantò phlegmone maior & grauior fuerit, tantò illam quoque augeri par est, quum sit inflammationis symptoma. Ileus verò (vt ipsi aiunt) ex inflammatione ortum habuit, & unicam solutionis spem habet, inflammationis cessationis, cum quâ etiam febrem sedari necessarium est. Bonum igitur solutionis *cruciatuum* & affectuum quos ileus adfert febris vel remissa, vel soluta. Quæ verò superuenit febris, aut augetur, neque bonum signum est, neque bona causa. Eos enim solos morbos à febribus iuuari nouimus qui refrigeratione constant, interdum quidem sola, interdum verò cum humoribus crudis & pituitosis, vel flatulentis spiritibus. Satius est itaque fateri nos ignorare quomodo accipienda sint, quæ hoc in aphorismo ab Hippocrate pronunciata sunt. Neque enim ratio eorum veritatem demonstrat, neque docet experientia: tertium autem nullum aliud habemus ad fidem faciendam. An talis nunquam ægrotus Hippocrati, aut alteri cuipiam visus est? Neque enim an legitimus sit hic aphorismus profiteri possum. Quare crudorum humorum multitudinem vnà cum vehementi perfrigeratione commemoratorum symptomatum esse causam præstat supponere: Sic enim & sola febris fuerit affectionis remedium, & retentarum vrinarum vacuatio. Sic enim hæ copiosæ & confertæ vacuari consueuerunt, ipsis concoctis humoribus.

A τὸν ἐν τῇ κυήσει, καίτοι μέχρι τῶν ὑποχονδρίων, ὁ καὶ ἐκείνης ὄγκος ἀνατείνεται, καὶ μᾶλλον θλίβειν τε, καὶ στενοχωρεῖν δύναται τὰ λεπτὰ τῶν ἐντέρων. ἡ δὲ κύστις εἰς ὄγκον ἀρθεῖσα, θλίβειν μόνον οἵα τ' ἐστὶ τὸ ἀπευθυσμένον. ἀτοπώτερον δ' ἔνιοι λέγουσι, τό, διὰ τὸν ἐπιγενόμενον πυρετὸν ὠφελεῖσθαι τὸν εἰλεόν. ὁ μὲν γὰρ πυρετὸς, ἐπί τινι φλεγμονῇ τῆς κύστεως εἰκότως ἂν γένοιτο, καὶ ὅσῳ ἂν μείζων ᾖ, καὶ χαλεπώτερον, τοσοῦτον εἰκὸς κἀκεῖνον αὐξάνεσθαι σύμπτωμα ὑπάρχοντα τῆς φλεγμονῆς. ὁ δ' εἰλεὸς, ὡς αὐτοὶ λέγουσιν, ἐπὶ τῇ φλεγμονῇ B συνέστηκε, καὶ μόνην ἐλπίδα λύσεως ἔχει τὴν παῦλαν τῆς φλεγμονῆς, ᾗ καὶ τὸν πυρετὸν ἀναγκαῖόν ἐστι συμπαρευνάζεσθαι. σημεῖον οὖν ἀγαθὸν ἔστω τῆς λύσεως, ἐπὶ τῶν κατὰ τὸν εἰλεὸν παθημάτων, πραϋνόμενος ὁ πυρετὸς, ἢ λυόμενος. οὔτε δὲ ἐστι σημεῖον, ἢ αἴτιον ἀγαθὸν ἐπιγιγνόμενος, ἢ αὐξανόμενος. ἴσμεν γὰρ ἐκεῖνα μόνα τῶν νοσημάτων ὀνινάμενα πρὸς τῶν πυρετῶν, ὅσα κατὰ ψύξιν συνέστη, ποτὲ μὲν αὐτὴν μόνην, ἐνίοτε δὲ ἅμα χυμοῖς ὠμοῖς, καὶ φλεγματώδεσιν, ἢ φυσώδει πνεύματι. βέλτιον οὖν ἀγνοεῖν ὁμολογεῖν ὅπως εἴρηται τὰ κατὰ τὸν ἀφορισμὸν C τοῦτον ὑφ' Ἱπποκράτους. οὔτε γὰρ ὁ λόγος ἐνδείκνυται τὴν ἀλήθειαν αὐτῶν, οὔθ' ἡ πεῖρα διδάσκει, τρίτον δ' οὐδὲν ἔχομεν ἄλλο πρὸς πίστιν. εἴ γε μὴ ὤφθαι ποτὲ τοιοῦτος ἄρρωστος, οὔθ' ὑφ' Ἱπποκράτους, οὔθ' ὑπ' ἄλλου τινὸς, οὔτε γὰρ εἰ γνήσιός ἐστιν ὁ ἀφορισμὸς, εἰπεῖν ἔχω. πλῆθος οὖν ὠμῶν καὶ παχέων χυμῶν, ἅμα ψύξει σφοδρᾷ, βέλτιόν ἐστιν ὑποτίθεσθαι τῶν εἰρημένων συμπτωμάτων αἴτιον. οὕτως γὰρ ἂν μόνως ὅ τε πυρετὸς ἴαμα γένοιτο τῆς διαθέσεως, ἥ τε τῶν εἰργομένων οὔρων κένωσις. οὕτως γὰρ εἴωθε παχέα καὶ πολλὰ D καὶ ἀθρόα κενοῦσθαι πεττομένων αὐτῶν.

De ossis abscedentis signis; de vlceribus diuturnis, Chironiis, phagedænis, carbunculo, herpete, eorumque causis & curatione.

Περὶ τῶν τοῦ ὀστοῦ ἀφισταμένου σημείων· περὶ τῶν ἑλκῶν χρονιζόντων χειρωνείων, καὶ φαγεδαινῶν, καὶ τηλεφείων, καὶ τοῦ ἄνθρακος, καὶ ἕρπητος, καὶ τῶν τούτων αἰτιῶν, καὶ τῆς θεραπείας.

APHORISMVS XLV.

E

Vlcera annua quæcunque fuerint, aut longius tempus habuerint, os abscedere, & cicatrices cauas fieri necesse est.

ΑΦΟΡΙΣΜΟΣ μέ.

Ἑλκέα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχουσιν ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι.

GALENI COMMENTARIVS.

Qvæ diuturna manent vlcera, aut ipsis nullomodo cicatrix obducitur, aut si obducta, sit rursum resoluatur (nihil videlicet Medicis in curatione peccantibus) vel propter aliquam prauorum humorum affluentiam, vel propter affectionem in ipsa parte ex affluentibus humoribus diuturnitate partam, vel ob aliquod ossis eo in loco corrupti vitium, cu-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁκόσα χρονίζει τῶν ἑλκῶν, ἤτοι μηδ' ὅλως οὐλῆς αὐτοῖς ἐπιγιγνομένης, ἢ κἂν ἐπιγένηται, πάλιν F ἀναλυομένης, οὐδὲν ἁμαρτανόντων δηλονότι κατὰ τὴν θεραπείαν τῶν ἰατρῶν, ἀναγκαῖόν ἐστι, ἤτοι δι' ἐπιρροήν τινα μοχθηρῶν ὑγρῶν, ἢ τὴν ἐν αὐτῷ τῷ μορίῳ διάθεσιν ἐν χρόνῳ κατασκευασθεῖσαν ἐκ τῶν ἐπιρρεόντων

ὑγιῶν, ἢ διά τι πάθος ὀστοῦ φθειρομένου κατὰ τὸ χωρίον ἐκεῖνο, γίνεσθαι δυσίατα. τὰ μὲν οὖν ἄλλα τῶν ἑλκῶν, ἀεὶ μείζω καὶ χείρω γίνεται, καὶ σύμπαντα ταῦτα, φαγεδαίνας ἐκάλουν οἱ παλαιοί. διαιρεῖσθαι δ' ὕστερον ἐπεχείρησαν ἔνιοι, προσηγορίαις ἕκαστον ἰδίαις, ἔνια μὲν αὐτῶν χειρώνεια καλοῦντες, ἔνια δὲ τηλέφια, φαγεδαίνας δ' ἄλλα, καί τινες ἔτι ἄλλας περιεργοτέρας ἐπιφέροντες προσηγορίας. ἀλλ' ἡμῖν ἀρκέσει, τῶν μὲν ἐπιλαμβανομένων τι τοῦ πέριξ χωρίου, τὰ μὲν ἕρπητας ὀνομάζειν, ὅταν ἐπιπολῆς ᾖ καὶ κατ' αὐτὸ τὸ δέρμα, τὰ δὲ, φαγεδαίνας, ὅσα καὶ τὴν ὑποκειμένην διαφθείρει σάρκα. τὸ γὰρ σηπεδονῶδες ὑπό τινων ὀνομαζόμενον ἕλκος, οὐχ ἕλκους ἐστὶ διαφορά τις ἴδιος, ἀλλ' ἐπιπεπλεγμένον πάθος ἐξ ἕλκους τε, καὶ σηπεδόνος. ἴσμεν δ' ὅτι καὶ χωρὶς ἕλκους, αὐτὴ καθ' ἑαυτὴν ἡ σηπεδὼν, ἐν πολλοῖς τῶν μορίων συνίσταται. καλεῖται δέ τι καὶ ἄνθραξ ἕλκος ἐσχαρῶδες, ἅμα πολλῇ τῇ τῶν πέριξ σωμάτων φλογώσει. ταυτὶ μὲν οὖν ἰδίαν ἔσχηκε προσηγορίαν, ὅ τε ἄνθραξ, καὶ ἡ φαγέδαινα, καὶ ὁ ἕρπης. ὅσα δ' ἕλκη γίνεται χωρὶς τῶν εἰρημένων συμπτωμάτων, αὐτὰ καθ' ἑαυτὰ προσαγορεύειν ἔθος ἐστὶ τοῖς παλαιοῖς, αὐτὸ τοῦτο μόνον ἕλκη, περὶ ὧν καὶ νῦν ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει διδάσκοντι ὡς ὅσα τοιαῦτα τῶν ἑλκῶν ἐστιν, εἰς χρόνον ἐκπίπτει πλείονα. φαίνεται δὲ καὶ ἡ πεῖρα τῷ λόγῳ μαρτυροῦσα, καὶ πολλάκις γε, πολλὰ τῶν τοιούτων ἑλκῶν συνουλωθέντα. μετὰ χρόνον οὐ πολὺν ἀναφλεγμαίνειν τε, καὶ αὖθις ἀναρρήγνυσθαι, λυομένης αὐτῶν τῆς οὐλῆς. γίνεται δὲ τοῦτο, διά τινα δέ τινα αἰτίαν, ὅταν ἐκ τῶν προσφερομένων φαρμάκων, ἡ κατὰ τοῦ πεπονθότος ὀστοῦ σὰρξ ἐπικειμένη ξηρανθεῖσα συνουλωθῇ, παραχρῆμα μὲν ταχέως ὑγιάζεσθαι δοκεῖ, μετὰ βραχὺ δὲ πάλιν, ἰχῶρός τινος ἐπιρρέοντος ἐκ τοῦ φθειρομένου κατὰ τὸ βάθος ὀστοῦ, φλεγμονή τέ τις αὖθις ἐπιγίνεται, καὶ πύου γένεσις ἕπεται, διαβιβρώσκοντος μὲν τὴν οὐλὴν ἐπιφανείαν, δάκνοντος δὲ τὴν σάρκα. τίς οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἴασίς ἐστιν; οὐκ ἄλλη τις, ἀλλ' ἣν αὐτὸς μὲν εἶπεν ἐν τῷ περὶ ἑλκῶν βιβλίῳ. ἡμεῖς δ' ἀπεδείξαμεν ἐν τῷ βιβλίῳ τῆς θεραπευτικῆς μεθόδου. ξηραίνεσθαι μὲν γὰρ ἕλκη πάντα δεῖται, μάλιστα δ' ἐφ' ὧν ὀστοῦν πέπονθεν. ὅρος δέ ἐστι τῆς ξηρότητος, ἀποστῆναι τὸ πεπονθὸς αὐτοῦ μέρος. εἰκότως δὲ καὶ τὰς οὐλὰς εἰς τοσοῦτον συμβαίνῃ γίνεσθαι κοίλας, εἰς ὅσον ἂν ἥκῃ πάχους τὸ ἀποστάν.

ratu difficilia euadere necesse est: Cætera verò vlcera semper maiora & deteriora fiant; atque hæc omnia phagedænas *exedentia* prisci vocabant. Nonnulli verò posteriores ea distinguere aggressi sunt, & proprias singulis appellationes indiderunt; ac ipsorum nonnulla chironia, quædam telephia, alia phagedænas nuncuparunt, & quasdam etiamnum alias nimis curiosas appellationes attulerunt. Verum nobis satis fuerit ex iis quæ aliquam circunstantis loci partem occupant, alia herpetas nominare, quum in superficie & cute ipsa consistunt; alia phagedænas quæ carnem etiam subiectam corrumpunt. Quod enim putridum atque depascens à nonnullis nominatur, non est propria quædam vlceris differentia; sed affectus ex vlcere & putredine implicitus. Scimus autem & absque vlcere putredinem ipsam per se multis corporis partibus consistere. Quoddam etiam vocatur carbunculus vlcus crustosum cum magna vicinarum partium inflammatione. Hæc igitur propriam appellationem sortita sunt carbunculus, phagedæna, & herpes. Quæ verò vlcera sine dictis symptomatibus ipsa per se fiunt, hæc vlcera tantum appellare veteribus consuetum erat; de quibus Hippocrati nunc est sermo, qui docet quæ ejusmodi sunt vlcera, in longius tempus excidere. Atque experientia rationi suffragari videtur, multáque sæpius huiusmodi vlcera ad cicatricem perducta non multò pòst tempore, rursum inflammantur, & cicatrice soluta rumpuntur. Hoc autem aliquam ob causam oboritur. Quum admotis medicamentis caro ossi affecto superposita siccata duxit cicatricē, sanitas quamprimùm restituta esse videtur; sed rursus ex osse altiùs corrupto ichore quopiam paulatim affluente, iterum oboritur inflammatio, & puris subsequitur generatio, à quo cicatrix eroditur, & caro exulceratur. Quænam igitur est talium vlcerum curatio? Alia profectò nulla præter eam quam Libro de vlceribus tradidit, & nos tertio therapeuticæ methodi explicauimus. Exiccari nanque postulant omnia vlcera, præcipuè verò ea in quibus os affectum est. Terminus autem siccitatis est affectam ipsius ossis partem abscedere. Et verò meritò tantum cauas fieri cicatrices contingit, quantam abscessus crassitudinem habuerit.

Τίς κύρτωσις ἡ θανατώδης. περὶ τῆς διττῆς κυρτώσεως, τῆς λορδώσεως, καὶ σκολιώσεως, καὶ σείσεως, περὶ τοῦ ἄσθματος, καὶ τῶν κατὰ μέρος αἰτιῶν.

Quæ gibbositas sit lethalis. De triplici gibbositate, lordosi, scholiosi ac seiosi, de asthmate ac de singulorum causis.

ΑΦΟΡΙΣΜΟΣ μϛ'.

Ὁκόσοι ὑβοὶ, ἐξ ἄσθματος ἢ βηχὸς γίνονται πρὸ τῆς ἥβης, ἀπόλλυνται.

APHORISMVS XLVI.

Qvi gibbi ex asthmate aut tussi fiunt, ante pubertatem intereunt.

GALENI COMMENTARIVS.

HYbos & cyphos nominare consueuit Hippocrates quos nunc omnes homines gibbosos appellitant: Etenim reuera ipsis spina à tergo extuberat. Gibbo igitur cauum opponitur, extuberanti & gibboso repandum. Verum hæc nomina de sola spina, illa verò de omnibus Græci efferunt. Quomodo autem cyphosis *seu gibbositas* fiat, ipse Libro de articulis disseruit, vt etiam quomodo lordosis, scoliosis, & seisis fiant, *hoc est, curuatio, obliquatio, & concussio.* Hæ nanque sunt propriæ ac præcipuæ spinæ affectiones, quarum affectionum peritus esse qui velit, iis qui eo in Libro scripta sunt, pleniùs ipsum incumbere oportet. Nos autem nunc quæ ad propositum aphorismum vtilia videntur, explicaturi sumus. Gibba spina fit interdum propter ictum aut casum; gibba etiam fit propter dura quædam tubercula quæ parte anteriore consistunt; à quibus si quando vna vertebra prorsum trahatur, ea parte spinæ lordosis curvatio editur: ita etiam si plures fuerint se ordine consequentes. Quum verò tensæ vertebræ non fuerint inter se continuæ, tum cyphosis *seu gibbositas* formatur tantum partibus ponè cedentibus, quantum tensæ vertebræ introrsum retorquentur: Hoc enim in omnibus duris mediocriter redditis cernitur, veluti calamis, viminibus, virgis, & huiusmodi cæteris. Atque de his copiosiùs in expositionibus Libri de articulis disseritur. Nunc verò qui ante pubertatem ex asthmate & tussi gibbi facti sunt, citò interire pronunciat. Neque enim vult in his thoracem, vt ipse ait, vnà cùm aliis augeri, atque ideo magnâ angustiâ premuntur instrumenta spirabilia. Omnibus porrò qui sponte gibbi facti sunt, hoc est, quibus sine ictu vel casu spina affecta est commune existit, quod tales propter tubercula dura & coctu difficilia euaserint. Sed quum multa sit inter tubercula pro tumore, duritie, & loco in quo consistunt, differentia; quæ dura simul ac magna sunt, pròtinus spiratu difficiliores homines efficiunt. Quæ verò de sua humiditate aliquid in asperas arterias transmittunt, homines tussiculosos reddunt. Verùm quæ de sua humiditate, aliquid transmittunt, planè dura non sunt, atque ideo vt suppurent, tandémque hominem suffocent necesse est. Quæ verò nihil transmittunt, ex crassis humoribus ortum habent, atque ob id dura sunt & cruda, longóque tempore citra suppurationem manentia hominem viuere sinunt. Quæ verò, vt dixi, vnà cum tussi ortum habuerunt, ad suppurationem properant, ideóque perniciosa sunt. Sic & quæ cum difficili anhelitu fiunt, iis qui adhuc crescunt, exitiosa existunt. Aut enim hæc magna sunt, aut in loco thoracis vitæ peropportuno. Quum igitur pulmo vnà cum corde in talibus augeatur, & spatium continens minuatur, costis nimirum non crescentibus; sed propter gibbum arctatis, totum pectus angustius effi-

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὑβοὺς, καὶ κυφοὺς εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης, οὓς ἅπαντες οἱ νῦν ἄνθρωποι προσαγορεύουσι κυρτούς. καὶ γὰρ καὶ ὄντως, ἡ ῥάχις αὐτοῖς εἰς τοὐπίσω γίνεται κυρτή. τῷ μὲν οὖν κυρτῷ, τὸ κοῖλον ἀντικειμένως λέγεται, τῷ ὑβῷ τε, καὶ κυφῷ, τὸ λορδόν. ἀλλὰ ταῦτα μὲν ἐπὶ μόνης τῆς ῥάχεως, ἐκεῖνα δὲ, ἐπὶ πάντων λέγουσιν οἱ Ἕλληνες. ὅπως δ᾽ ἡ κύφωσις γίνεται, διῆλθεν αὐτὸς ἐν τῷ περὶ ἄρθρων βιβλίῳ, καθάπερ καὶ περὶ λορδώσεώς B τε, καὶ σκολιώσεως, καὶ σείσεως. ἴδια γὰρ ἐξαίρετα ῥάχεως πάθη ταῦτα, καὶ χρὴ τὸν βουλόμενον ἐπιστήμονα γενέσθαι τῶν παθῶν τούτων, τοῖς ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένοις ἐπὶ πλέον ὁμιλῆσαι. νῦν δ᾽ ἡμεῖς ἐροῦμεν ὅσα χρήσιμα εἰσὶν εἰς τὸν προκείμενον ἀφορισμόν. ὑβοῦται ῥάχις, ἔστιν ὅτε μὲν καὶ διά τινα πληγὴν ἢ κατάπτωσιν. ὑβοῦται δὲ, καὶ διά τινα φύματα σκληρὰ, συστάντα κατὰ τὴν πρόσω χώραν, ὑφ᾽ ὧν φυμάτων, ὅταν μὲν εἷς σπόνδυλος ἑλκυσθῇ πρόσω, λορδοῦται κατ᾽ αὐτὸν C ἡ ῥάχις. οὕτω δὲ κἂν πλείους ὦσιν ἐφεξῆς ἀλλήλων. ὅταν δὲ μὴ συνεχεῖς ὦσιν ἀλλήλων οἱ τεινόμενοι σπόνδυλοι, κύφωσις γίνεται, τοσοῦτον χωρησάντων ὀπίσω τῶν μελῶν, ὅσον εἴσω κατεκάμφθησαν οἱ ταθέντες. ὁρᾶται γοῦν ἐπὶ πάντων τοῦτο τῶν σκληρῶν, μετρίως γινόμενον, οἷον καλάμων, καὶ λύγων, καὶ ῥάβδων, ὅσα τ᾽ ἄλλα τοιαῦτα. καὶ λέγεται περὶ αὐτῶν ἐπὶ πλέον ἐν ταῖς ἐξηγήσεσι ταῖς εἰς τὸ περὶ τῶν ἄρθρων βιβλίον. ἀλλὰ νῦν γε τοὺς πρὸ τῆς ἥβης ὑβωθέντας ἐπ᾽ ἄσθματι, καὶ βηχὶ, διαφθείρεσθαί φησι ταχέως. οὐ γὰρ ἐθέλει τούτοις ὁ θώραξ, D ὡς αὐτὸς ἔφη, ἐφεξῆς συναύξεσθαι, καὶ διὰ τοῦτο, στενοχωρία πολλὴ γίνεται τοῖς ἀναπνευστικοῖς ὀργάνοις. ἅπασι μὲν κοινὸν τοῖς αὐτομάτως ὑβωθεῖσι, τουτέστιν οἷς ἄνευ πληγῆς, ἢ καταπτώσεως ἔπαθεν ἡ ῥάχις, ἐπὶ φύμασι σκληροῖς, ἢ δυσπέπτοις γίνεσθαι τούτοις. διαφορᾶς δ᾽ οὔσης πολλῆς ἐν τοῖς φύμασι, κατά τε τὸν ὄγκον, καὶ τὴν σκληρότητα, καὶ τὸ χωρίον ἐν ᾧ συνέστη. τὰ μὲν ἐπὶ σκληροῖς τε ἅμα, καὶ μεγάλοις συστάντα, δυσπνουστέρους αὐτίκα τοὺς ἀνθρώπους ἐργάζεται. τὰ δὲ μεθιέντα τι τῆς ἐν αὐτοῖς ὑγρότητος εἰς τὰς τραχείας ἀρτηρίας, βη- E χώδεις ἀποτελοῦσι τοὺς ἀνθρώπους. ἀλλὰ ταῦτα μὲν ὅσα μεθίησιν ὑγρότητος, ἀκριβῶς ἐστὶ σκληρὰ, καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστιν ἐκπυῆσαί ποτε, καὶ διαφθεῖραι τὸν ἄνθρωπον. ὅσα δ᾽ οὐ μεθίησιν, ὑπὸ παχέων γίνεται χυμῶν, καὶ διὰ τοῦτό ἐστιν ἄπεπτά τε, καὶ σκληρὰ, καὶ πολλῷ χρόνῳ μένοντα χωρὶς τοῦ διαπυίσκειν, ἐπιτρέπει ζῆν, τὸν ἄνθρωπον. ὅσα δ᾽ ὡς ἔφην, ἅμα βηχὶ τὴν γένεσιν ἔσχεν, ἐπείγεται πρὸς τὴν διαπύησιν, καὶ διὰ τοῦτό ἐστιν ὀλέθρια. οὕτω δὲ καὶ ὅσα μετὰ δυσπνοίας ἐγένετο, θανατώδη τοῖς ἔτ᾽ αὐξανομένοις. ἤτοι γὰρ μεγάλα ταῦτ᾽ F ἐστὶν, ἢ ἐν ἐπικαίρῳ χωρίῳ τοῦ θώρακος. ὅταν οὖν, ὁ μὲν πνεύμων ἅμα τῇ καρδίᾳ τοῖς τοιούτοις αὐξάνεται, σμικρύνεται δ᾽ ἡ περιέχουσα χώρα, μήτ᾽ αὐξανομένων τῶν πλευρῶν, ἔν τε τῷ κάμπτεσθαι, διὰ τὴν ὕβωσιν ὅλον τὸν θώρακα στενότερον ἐργαζομένων, ἀναγκαῖον

ἐστιν ἐν τάχει τοιαύτην αὐτοῖς γίνεσθαι τὴν δύσπνοιαν ὡς διαφθεῖραι τὸν ἄνθρωπον. ὅπου γὰρ οὐδέπω τῆς κυφώσεως ἐπιγιγνομένης, ἐπὶ μόνοις τοῖς παρὰ φύσιν ὄγκοις ἐδύσπνοουν, τί χρὴ προσδοκῆσαι, τῶν μὲν φυμάτων αὐξηθέντων τῷ χρόνῳ, στενωθέντος δὲ τοῦ θώρακος; ὅτι μέντοι πολλῶν οὐσῶν δυσπνοιῶν, ἄσθμα προσαγορεύειν Ἱπποκράτης εἴωθεν ἐκείνην μόνην, ἐν ᾗ συμβαίνει πυκνοῦσθαι τὴν ἀναπνοήν, ἱκανῶς εὔδηλον πάντη. καλοῦσι γοῦν οὕτω καὶ νῦν οἱ ἄνθρωποι τὸ ἀσθμαίνειν, ἐν δρόμοις τε καὶ γυμνασίοις συντόνοις γιγνόμενον. οἱ δὲ μεθ' Ἱπποκράτην, καὶ πάθος τι χρόνιον ἔνιοι μὲν ἁπλῶς ἄσθμα προσαγορεύουσιν, ἔνιοι δὲ καὶ ὀρθόπνοιαν, ὅταν αἰεὶ πυρετοῦ χωρὶς πάντως οὕτω δυσπνοῶσιν οἱ κάμνοντες.

cientibus, tantam breuî spiritus difficultatem fieri necesse est, vt homo suffocetur & pereat. Quandoquidem si gibbositate nondum superueniente propter solos præter naturam tumores dyspnœa laborabant, quid fore putandum auctis temporis spatio tuberculis, thorace verò angustiore reddito? Porro autem quum multæ sint spirandi difficultates, constat Hippocratem solam eam asthma pro consuetudine appellare, in qua frequentiorem & crebriorem respirationem fieri contingit. Ita verò nunc & in cursibus & vehementioribus exercitationibus homines anhelare dicunt. Qui verò post Hippocratis ætatem fuere, affectum etiam quendam diuturnum nonnulli simpliciter asthma, nonnulli orthopnœam appellarunt, quum continenter citra febrem ægroti difficile spiritum ducunt.

Ἦρος καὶ τοῦ φθινοπώρου τὴν φλεβοτομίαν, καὶ τὴν φαρμακείαν, ἢ τὴν ἑκατέραν πολλοῖς λελυσιτελεκέναι, καὶ αὐτοὺς ἀνόσους πεφυλακέναι, καὶ ἀπὸ τῆς ποδάγρας, καὶ τῆς ἀρθρίτιδος, αἵματος πτύσεως, ἐπιληψίας, μελαγχολίας, ἀποπληξίας, αἱμορροΐδων, καρκίνου, ἐλεφαντίας, καὶ τοῦ ἄσθματος ἠλευθερωκέναι.

Vere & autumno venæ sectionem, aut purgationem, aut vtramque multis profuisse, ipsosque à morbis præseruasse, podagra, arthritide, hæmoptuysi, epilepsia, melancholia, apoplexia, hæmorrhoidibus, cancro, elephantiasi, asthmate.

ΑΦΟΡΙΣΜΟΣ μζ.

Ὁκόσοισι φλεβοτομίη, ἢ φαρμακείη συμφέρει, τούτοις τοῦ ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν χρή.

APHORISMVS XLVIII.

Quibus venæ sectio, aut purgatio confert, his vere venam secare, aut purgans medicamentum exhibere conuenit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πρόδηλον ὅτι περὶ τῶν ὑγιαινόντων μὲν ἔτι, νοσησόντων δὲ εἰ μὴ κενωθεῖεν, ὁ λόγος αὐτῷ νῦν ἐστι. τούτοις γὰρ φθάνειν χρὴ κενοῦν ἦρος εἰσβάλλοντος, ἤτοι διὰ φλεβοτομίας, εἰ πληθωρικοῖς ἁλίσκονται νοσήμασιν, ἢ διὰ καθάρσεως, εἰ τοῖς κατὰ διαφθοράν. ἡμεῖς γοῦν οὕτως ἀνόσους πολλοὺς φυλάττομεν, ἐτῶν ἤδη πολλῶν ἔμπροσθεν, καθ' ἕκαστον ἐνιαυτὸν ἀεὶ νοσοῦντας. ἀλλὰ καὶ ποδάγραν, καὶ ἀρθρῖτιν ἀρχομένην ἔτι, καὶ μή πω περὶ τοῖς ἄρθροις εἰργασμένην πώρους, ἐκ τῆς τοιαύτης κενώσεως ἐτῶν ἤδη πολλῶν ἐκωλύσαμεν γενέσθαι. κατὰ τὸν αὐτὸν τρόπον αἵματος πτύσιν, ἐπιληψίαν, μελαγχολίαν, ἀποπληξίαν, καὶ ἄλλα τε τοιαῦτα χρόνια πάθη, διὰ τῆς εἰρημένης κενώσεως, ἐπὶ πολλῶν ἀνθρώπων ἐπαύσαμεν. ἡ μὲν οὖν φλεβοτομία κοινὸν βοήθημά ἐστι τῶν πληθωρικῶν νοσημάτων, ἡ κάθαρσις δέ, οὑτωσὶ μὲν ἀκοῦσαι, κατὰ γένος ἕν τι βοήθημά ἐστιν, οὐ μὴν κατ' εἶδός γε ἀκοῦσαι. ἐνίοις μὲν γὰρ συμφέρει τοὺς φλεγματώδεις κενοῦσθαι χυμούς, ἐνίοις δὲ τοὺς πικροχόλους, ἐνίοις δὲ τοὺς μελαγχολικούς, ἐνίοις δὲ ὀῤῥῶδες περίττωμα, κατά γε τὴν τῶν εἰθισμένων αὐτοῖς γίνεσθαι παθῶν οὐσίαν. αὐτίκα τις μελαγχολίᾳ ἁλίσκεται καθ' ἕκαστον ἔτος, εἰ μὴ καθαρθείη, καὶ θαῦμά ἐστιν ἰδεῖν ὅπως ἤδη καὶ αὐτὸς ἀρ-

GALENI COMMENTARIVS.

Liquet de iis qui adhuc sani, sed ægrotaturi, sunt, nisi vacuentur, ipsi nunc orationem esse. Horum enim vere ineunte, anticipanda est vacuatio, vel per phlebotomiam, si plethoricis morbis corripiantur, vel per purgationem, si morbis sint ab humorum corruptione pendentibus obnoxij. Nos equidem multos à morbis ita conseruamus & incolumes tuemur, qui multos iam annos antea semper ægrotabant imò & podagram & arthritim adhuc incipientẽ modũ in articulis culto genito, per vacuationẽ multos iam annos fieri prohibuimus. Eodem modo sanguinis excreationem, epilepsiam, melancholiam, apoplexiam, & alios eiusmodi diuturnos morbos è multis hominibus dicta vacuatione sustulimus. Phlebotomia igitur commune est ad plethoricos morbos auxilium; purgatio verò, si generatim quidem exaudiatur, vnum quoddam est contra morbos remedium, non tamen si speciatim accipiatur. Nonnullis siquidem pituitosorum humorum, quibusdam biliosorum, aliis melancholicorum, & quibusdam serosi excrementi vacuatio conducit, pro morborum quibus tentari consueuerunt, natura. Exempli gratiâ, quidam quotannis nisi purgetur, laborat, melancholiâ & mira visu res est, quomodo iam ipse etiam incipientis morbi primam præsentiscat

tiscat generationem, méque protinus accersiri jubeat, quo melancholicis humoribus expurgato, euestigio cessat melancholia, atque huic quidem ex purgatione hæc tuo commodo eueniunt, vnum quòd expurgentur superuacanea, alterum quia excretorum acrimonia reclusa, paululum hæmorrhois praui sanguinis aliquid ipsa etiam profundat. Nam quum solennis ipsi & consueta sit eiusmodi excretio hæmorrhoica, eius postea suppressione melancholia orta est. Ipsum itaque non vere solùm; sed autumno etiam purgo, quia si per hæc tempora propriæ aliquando purgationis anticipationem neglexerit, nonnulla sentiat superioris morbi symptomata. Sic mulierem etiam quandam, quæ cancrosum in mamma tumorem habebat, quotannis vere ineunte, vacuans sanaui, subinde vehementi medicamento melanagogo vsus; quam quidem purgationem siquando prætermiserat, dolor ipsi profundus sentiebatur, atque ita dico accersitum me purgare se jubebat. Elephantiam quoque in altero incipientem, primam phlebotomiæ & purgatione curaui, atque huic quotannis purgatio vnica satis erat, quæ siquando negligeretur, quamprimum morbus indicationem sui edebat. Huiuscemodi igitur morbi humorum melancholicorum egent purgatione, vt epileptici & asthmatici, & apoplectici pituitosorum; arthritici verò qui cum magno sunt calore, biliosorum; qui cum frigidis tumoribus, pituitosorum purgatione gaudent. Quidam etiam alsus æstiuo tempore semper tertiana corripi solitus, iam annos multos febrem non est expertus, bile pallida per nos sub veris finem præpurgata. Tum enim tales vacuari multo præstat; quemadmodum epilepticos, apoplecticos, arthriticos, & melancholicos, & quotquot denique propter humorum crassitiem ægrotant, vacuari ineunte vere melius est; de quibus omnibus priuatim scripsimus in tractatu de iis qui verna vacuatione, qui quidem tractatus pars est totius operis quod de sanitate tuenda inscribitur.

χρῄζειν τοῦ πάθους διαγινώσκει τε τὴν πρώτην γένεσιν A εὐθύς, καὶ καλέσας με, κελεύει τε τὰ μέλαινα καὶ παραχρῆμα παύεται τῆς μελαγχολίας, καὶ συμβαίνει γε τούτῳ διὰ τῆς καθάρσεως ἄμφω ταῦτα χρηστά, τό τε καθαίρεσθαι τὰ περιττά, καὶ τό, τῇ δριμύτητι τῶν ἐκκρινομένων ἀναστομωθεῖσαν ἐπὶ βραχὺ τὴν αἱμορροΐδα, συνεκκρίνειν τι καὶ αὐτὴν αἵματος μοχθηροῦ. συνήθους γὰρ οὔσης αὐτῷ τῆς τοιαύτης ἐκκρίσεως, εἶτ' ἐπισχεθείσης, ἡ μελαγχολία συνέστηκε. καθαίρω τοιγαροῦν αὐτόν, οὐκ ἦρος μόνον, ἀλλὰ φθινοπώρου, καὶ ὡς εἰ καταφρονήσας B ἐνίοτε, ἐνταῦθα μὴ φθάσειε καθαρθῆναι, τῶν τοῦ πάθους αἰσθάνεται συμπτωμάτων. οὕτω δὲ καὶ γυναῖκά τινα καθ' ἕκαστον ἔτος εἰσβάλλοντος ἦρος ὁμοίως κενῶν, καρκινώδη ποτὲ ὄγκον ἐν μαστῷ ἔχουσαν ἰασάμην, ἰσχυρῶς κενώσας, πολλάκις διὰ φαρμάκου καθαίροντος μέλανα, καὶ εἰ παραλειφθείη ποτὲ ἡ κάθαρσις, ὀδύνη διὰ βάθους αὐτῇ γίνεται, καὶ οὕτως αὐτὴ μετακαλουμένη με, παραχρῆμα κελεύει καθαίρειν. ἐλέφαντα δὲ ἀρχόμενον, ἑτέρῳ, τὰ μὲν πρῶτα διὰ φλεβοτομίας καὶ καθάρσεως ἰασάμην. ἑκάστου δὲ ἔτους ἀρκεῖ καὶ τούτῳ μία κάθαρσις, C ἐλλειφθείσης δ' αὐτῆς, αὐτίκα τὸ πάθος ἐπισημαίνει. τὰ μὲν οὖν τοιαῦτα νοσήματα καθάρσεως χρῄζει μελαγχολικῶν χυμῶν, ἐπιληπτικὰ δέ, καὶ ἀσθματικά, καὶ ἀποπληκτικὰ τῶν φλεγματωδῶν, ἀρθριτικὰ δὲ τὰ μὲν ἅμα θερμασίᾳ πολλῇ τῶν πικροχόλων· τὰ δὲ σὺν ὄγκοις ψυχροῖς, τῶν φλεγματικῶν. ἄλλος δέ τις, ὥρᾳ θέρους ἀεὶ τριταίοις ἁλισκόμενος πυρετοῖς, ἤδη πολλῶν ἐτῶν οὐκ ἐπύρεξεν, ὠχρὰν χολὴν ὑφ' ἡμῶν φθάνων καθαιρεῖσθαι κατὰ τὴν τοῦ ἦρος τελευτήν. οὕτω γὰρ καὶ ἄμεινόν ἐστι τοὺς τοιούτους κενοῦσθαι, ὡς τοὺς ἐπιληπτικούς τε, καὶ ἀποπληκτικούς, καὶ D ἀρθριτικούς τε, καὶ μελαγχολικούς, ὅσοι τε ἄλλοι διὰ πάχος χυμῶν νοσοῦσιν, εἰσβάλλοντος ἦρος ἄμεινον κενοῦσθαι, περὶ ὧν ἁπάντων ἰδίᾳ μοι γέγραπται κατὰ τὴν πραγματείαν ἐκείνην, ἐν ᾗ γέγραπται περὶ τῶν δεομένων ἦρος ὥρᾳ κενοῦσθαι· μόριον δέ ἐστιν αὕτη τῆς ὅλης ὑγιεινῆς πραγματείας.

Lienosis dysenreriam vtilem esse.

Τοῖς σπληνώδεσι τὴν δυσεντερίαν σύμφορον εἶναι.

APHORISMVS XLVIII.

E

ΑΦΟΡΙΣΜΟΣ μη'.

Lienosis dysenteria succedens, bonum.

Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγινομένη, ἀγαθόν.

GALENI COMMENTARIVS.

Paulò antè hunc aphorismum explanaui quum de eo verba facerem hunc in modum scripta. *Qui lienosi dysenteriâ corripiuntur, iis obortâ longâ dysenteriâ, hydrops lienteriæ succedit, ac intereunt.* Quare huic nunc exposito, nouâ iterum explanatione opus non est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀλίγον ἔμπροσθεν ἐξηγησάμην τὸν ἀφορισμὸν τοῦτον, ἡνίκα τὸν λόγον ἐποιούμην ὑπὲρ τοῦ γεγραμμένου τόνδε τὸν τρόπον· ὅσοι σπληνώδεες ὑπὸ δυσεντερίης F ἁλίσκονται, τουτέοισιν ἐπιγινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται. οὐκοῦν ἔτι δεήσει τῷδε τῷ νῦν προχειρισθέντι, νεωτέρας ἐξηγήσεως.

Περὶ ποδαγρικῶν νοσημάτων, καὶ τούτων αἰτίων, καὶ ὅρων, καὶ τῆς θεραπείας.

ΑΦΟΡΙΣΜΟΣ μθ'.

Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀπὸ φλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ κατὰ τοὺς ποδαγρικοὺς φλεγμοναὶ, ῥεύματος εἰς τὰ τῶν ποδῶν ἄρθρα κατασκήπτοντος γίνονται. δέχονται δὲ τὸ ῥεῦμα τοῦτο, πρῶτον μὲν αἱ χῶραι τῶν διαρθρώσεων, ἔπειτα δὲ τὰ πέριξ πάντα μέχρι καὶ τοῦ δέρματος. ὅπου δὲ πληροῦσθαι φαμὲν τὰς διαρθρώσεις, εὔδηλον ὅτι τοὺς περικειμένους αὐταῖς ἔξωθεν κυκλῷ συνδέσμους, ἀναγκαῖόν ἐστι τείνεσθαι. τὰ μέντοι νεῦρα, καὶ τοὺς τένοντας, οὐκ εἰκὸς φλεγμαίνειν αὐτοῖς, ἀλλὰ μόνον τῷ συνεκτείνεσθαι ταῖς διαρθρώσεσιν ὀδυνᾶσθαι. δῆλον δὲ ἐκ τοῦ μηδέποτε ὁρᾶσθαι σπασθέντα ποδαγρὸν, ὅπερ εἴωθεν ἕπεσθαι συνεχέστατα, νεύρων τε καὶ τενόντων φλεγμοναῖς. ἄλλως τε τῆς ἰάσεως αὐτοῖς σκοπὸς κοινός ἐστι, πρὸς τὰ φλεγμαίνοντα πάντα. διαφορηθῆναι γὰρ χρὴ τὸ ῥυὲν εἰς τοὺς πόδας, εἰ μὲν λεπτὸν εἴη κατὰ τὴν σύστασιν, ἐλάττονι χρόνῳ. παχὺ δὲ ὑπάρχον, ἢ γλίσχρον πλείονι, καὶ πολὺ ἔτι μᾶλλον, εἰ γλίσχρον ἅμα τε εἴη καὶ παχὺ, δεήσεται χρόνου μακροτέρου. πορρωτέρω μέντοι τῶν μ. ἡμερῶν οὐκ ἂν ἐκταθείη τῆς φλεγμονῆς ἡ θεραπεία. τοῦ τ' ἰατροῦ δηλονότι πράττοντος ὀρθῶς ἅπαντα, καὶ κάμνοντος εὐπαθοῦς ὑπάρχοντος. ἡ δ' ἐν τοῖς σαρκώδεσι μορίοις φλεγμονὴ, τῷ τῶν ὀξέων ὑποπέπτωκεν ὅρῳ, τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, ἐπειδὴ μανωτέρα τέ ἐστι, καὶ μαλακωτέρα τῆς τῶν συνδέσμων καὶ νεύρων φύσεως, ἡ τῆς σαρκὸς οὐσία. διὰ τοῦτο δὲ, καὶ φλεγμαίνειν ἄρχεται βραδύτερον, ἥ τε τῶν τενόντων, καὶ συνδέσμων, καὶ νεύρων φύσις ὅταν τρωθῇ, καὶ πρὸς τὴν ἀκμὴν τῆς φλεγμονῆς ἀφικνεῖται χρόνῳ πλείονι, καὶ θεραπεύεται βραδύτερον. ᾧ γὰρ λόγῳ μόγις εἰς ἑαυτὰ παραδέχεταί τι τῆς ἔξωθεν ὑγρότητος, ὄντα πυκνὰ, καὶ σκληρὰ τὰ τοιαῦτα μόρια, τῷ τοιούτῳ λόγῳ, καὶ μεθίησι μόγις. διὰ τοῦτο οὖν, καὶ ταῖς ποδαλγικαῖς φλεγμοναῖς ὁ Ἱπποκράτης, ὅρον ἔθετο λύσεως παντελοῦς, οὐ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, ἀλλὰ τὴν τεσσαρακοστήν. ἐπειδὴ τά τε ἐν ταῖς διαρθρώσεσιν ὑγρὰ, διὰ τῶν περιεχόντων αὐτὰ συνδέσμων ἀτμοειδῶς ἐκκενωθῆναι χρὴ, καὶ τοὺς συνδέσμους κατὰ τὰ ἐμπεσόντα αὐτοῖς. μέμνηται δὲ κἂν τῷ προγνωστικῷ τῆς τεσσαρακοστῆς ἡμέρας ὡς ἂν αὐτῇ κρινομένων, ὅσα μήτ' ἀκριβῶς ἐστὶν ἤδη χρόνια, καὶ τὸν τῶν ὀξέων ὑπερεκπέπτωκεν ὅρον. εἴρηται δ' ἐπὶ πλεῖστον ὑπὲρ τῶν τοιούτων ἁπάντων, ἐν τῇ περὶ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ.

De podagricis morbis, eorumque causis, terminis, & curatione.

APHORISMVS XLIX.

Qui podagrici morbi fiunt, sedata inflammatione intra dies quadraginta desinunt.

GALENI COMMENTARIVS.

Podagricorum inflammationes fluxione fiunt in pedum articulos decumbente. Hanc autem fluxionem primum quidem articulationum spatia suscipiunt, deinde quæ circunstant adusque cutem omnia. Quum verò articulationes impleri dicimus, liquet ligamenta in orbem ipsis circumposita necessario tendi. Neruos tamen & tendones inflammari podagricis non est verisimile, sed dolere solùm quia simul cum articulationibus tenduntur: quod ex eo fit manifestum, quia podagricus conuelli nunquam visus sit, id quod frequentissimè neruorum & tendonum inflammationes sequi consueuit. Aliàs curationis indicatio ipsis communis est cum omnibus inflammatione laborantibus: Nam discuti oportet quod in pedes defluxit, breuiore quidem tempore, si tenuiori fuerit substantia, longiore verò, si crassa vel lenta; multóque longiore egebit tempore, si simul viscidum & crassum fuerit quod defluxit: vltra dies tamen quadraginta non prorogabitur inflammationis curatio, si Medicus pro suo munere ritè omnia peragat, & facilis æger obtemperet. At carnosis partibus insidens inflammatio morborum acutorum subjicitur termino, qui quartus-decimus dies est; quandoquidem rarior & mollior est carnis substantia, quàm ligamentorum & neruorum natura. Quamobrem tardiùs etiam ligamentorum, tendonum, & neruorum quum vulnerantur, natura inflammari incipit, & longiore ad inflammationis vigorem tempore peruenit, tardiúsque curatur. Quá enim ratione vix aliquid in se humoris alieni suscipiunt, quum densæ sint ac duræ huiuscemodi partes, ac ipsa ratione ægrè quoque dimittunt. Quaproptèr Hippocratès podagricis inflammationibus terminum integræ solutionis non diem quartumdecimum, sed quadragesimū statuit, quia tum qui articulationibus insunt humores per ligamenta ipsos continentis vaporis in speciem vacuari oportet, tum qui in ipsa ligamenta inciderunt. Meminit autem & in prognostico quadragesimi diei, vt in quo morbi judicantur qui non sunt planè diuturni, acutorum tamen terminum excesserunt. Sed de his omnibus in Opere de diebus iudicatoriis quamamplissimè dictum est.

A

Læsi aut vulnerati cerebri signa febrem ac bilis vomitum esse; & cur hæc oboriantur symptomata.

Τὰ δὲ διακοπέντος ἢ τι τρωθέντος ἐγκεφάλου σημεῖα τὸν πυρετὸν, καὶ τὸν τῆς χολῆς ἔμετον εἶναι. καὶ διὰ τί ταῦτα ἐπιγίνηται συμπτώματα.

APHORISMVS L.

ΑΦΟΡΙΣΜΟΣ ν.

B *Quibus perfectum fuerit cerebrum, iis febrem & bilis vomitum succedere necesse est.*

Ὁκόσοισιν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.

GALENI COMMENTARIVS.

IVre febricitant cerebro perfecto, ratione communi quâ quacunque parte principe inflammatâ, febris sequitur. Bilis verò vomitus fit ventriculo propter societatem quam cũ C cerebro habet per consensum, affecto, ore præsertim ipsius in quo ex cerebro conjugatio quædam nervorum majusculorum inseritur. Sed aliàs etiam propter magnos dolores & vehementem mœrorem, excrementum biliosum consueuit in ventriculum confluere, multóque magis si ipse imbecillitate laboret. Ad ea enim quæ infirma sunt, partium vicinarum feruntur excrementa, præsertim si tenui substantia constent, qualis humor biliosus est, & cum eo quicquid est serosi excrementi, quod per vomitiones bili sæpe permiscetur; raróque admodum bilem sinceram si- D ne seroso excremento euomi cernere est. Apparet autem etiam in bene valentibus, biliosiore præsertim naturâ præditis vbi diutiùs cibo abstienerunt tales ventriculum humores recipere. Id verò ipsis produnt tum vellicationes, tum vomitus. At non solùm cerebro vulnerato, bilem vomunt; sed dura etiam membrana ipsi circumposita, quæ multis partibus cum cerebro cohærens quamcitissimè sua ipsi mala impertit. Quia verò Erasistrati sectatores meningas neruorum principia statuunt, solam vulneratam crassiorem meninga E talia propter suam ipsius naturam inquient adferre symptomata. Quod si quando in cerebrum vulnus penetrauerit, ita etiam quòd vtraque meninx illud prius exceperit, enumeratarum affectionum generationem sequi contendent. Dixi autem sectatores Erasistrati isthæc dicturos esse, & non ipsum Erasistratum; quia jam senex erat (& quô tempore ipsi de diuisionibus libros scriptos esse aiunt) cerebrum pronunciauit neruorum esse principium. De his etiam fusiùs in Hippocratis Li- F brum de Anatome Commentariis dictum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰκότως πυρέττουσιν ἐγκεφάλου διακοπέντος, τῷ κοινῷ λόγῳ, καθ' ὃν ἁπάντος μορίου κυρίου φλεγμήναντος, ἕπεται πυρετός. ὁ δὲ τῆς χολῆς ἔμετος γίνεται, διὰ τὴν πρὸς τὸν ἐγκέφαλον κοινωνίαν συμπασχούσης τῆς γαστρὸς, καὶ μάλιστα τοῦ στόματος αὐτῆς, εἰς ὃ καταπέφυκεν ἐξ ἐγκεφάλου συζυγία τις ἀξιολόγων νεύρων. εἴωθε μὲν οὖν καὶ ἄλλως, ἐπί γε μεγάλοις ἀλγήμασι καὶ λύπαις ἰσχυραῖς, συῤῥεῖν εἰς τὴν γαστέρα χολῶδες περίττωμα, πολὺ δ' ἔτι μᾶλλον ὅταν ἀῤῥωστήσῃ. φέρεται γὰρ εἰς τὰ τοιαῦτα τῶν γειτνιώντων αὐτοῖς μορίων τὰ περιττώματα, καὶ μάλισθ' ὅσα λεπτὰ ταῖς συστάσεσίν ἐστι, οἷόνπερ αὐτό τε τὸ χολῶδες ὑπάρχον ὑγρὸν, καὶ σὺν αὐτῷ, πᾶν ὅσον ὀῤῥῶδες ὑγρὸν, ὃ δὴ καὶ μίγνυται πολλάκις ἐμουμένων τῇ χολῇ, καὶ πάνυ σπάνιόν ἐστιν, ἀκριβῆ χολὴν ἄνευ περιττώματος ὀῤῥώδους ἐμουμένην θεάσασθαι. φαίνεται δὲ καὶ ἐν τοῖς ὑγιαίνουσιν, ὅταν ἐπὶ πλέον ἀσιτήσωσι, καὶ μάλισθ' ὅσοι χολωδέστεροι, τοὺς τοιούτους χυμοὺς ἡ γαστὴρ δεχομένη. δηλοῦσι δὲ τοῦτο, αἵ τε δήξεις αὐτοῖς, καὶ οἱ ἔμετοι. οὐ μόνον δὲ ἐγκεφάλου τρωθέντος ἐμοῦσι χολὴν, ἀλλὰ καὶ τῆς περικειμένης αὐτῷ σκληρᾶς μήνιγγος, ἥ τις κατὰ πολλὰ μέρη συμφυὴς ὑπάρχουσα τῷ ἐγκεφάλῳ, τάχιστα μεταδίδωσιν αὐτῷ τῶν ἑαυτῆς παθημάτων. οἱ δ' Ἐρασιστράτειοι τὰς μήνιγγας τῶν νεύρων ἀρχὰς τιθέμενοι, διὰ μὲν τὴν ἑαυτῆς φύσιν, ἐροῦσι τὴν παχεῖαν μήνιγγα, ταῦτα ἐπιφέρειν τὰ συμπτώματα, μόνην τρωθεῖσαν. εἰ δὲ καὶ πρὸς τὸν ἐγκέφαλόν ποτε ἡ τρῶσις ἀφίκοιτο, τῷ φθάνειν ἀμφοτέρας προτιτρώσκεσθαι τὰς μήνιγγας, οὕτω φήσουσι τὴν τῶν εἰρημένων γένεσιν ἀκολουθεῖν παθημάτων. Ἐρασιστρατείους δ' ἔφην ἐρεῖν ταῦτα, καὶ οὐκ αὐτὸν Ἐρασίστρατον. ὅτι πρεσβύτης ὢν ἤδη, καθ' ὃν χρόνον αὐτοί φασι τὰ τῶν διαιρέσεων αὐτῷ γεγράφθαι βιβλία, τὸν ἐγκέφαλον ἀπεφήνατο τῶν νεύρων ἀρχὴν ὑπάρχειν. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τοῖς περὶ τῆς Ἱπποκράτους Ἀνατομῆς ὑπομνήμασιν.

A

Τὴν ἀφωνίαν τε καὶ τὸν ῥέγχον τὰ τῆς ἀποπληξίας, ἰσχυρᾶς σημεῖα θανάσιμα. τίνες ἄφωνοι λέγονται· τί καὶ πόθεν ὁ ῥέγχος, καὶ αἱ ἐξαίφνης ὀδύναι τῆς κεφαλῆς. πῶς τὴν ἀποπληξίαν λύῃ ὁ πυρετὸς ἐπιγινόμενος.

Aphoniam & stertorem vehementis apoplexiæ signa lethalia. Qui muti dicantur; quid & vnde stertor, & repentini capitis dolores. Quomodo apoplexiam febris succedens soluat.

ΑΦΟΡΙΣΜΟΣ να'.

B

Ὁκόσοισιν ὑγιαίνουσιν ἐξαίφνης ὀδύναι γίνονται ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι γίνονται, καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

APHORISMVS LI.

Quibus sanitate fruentibus derepente capitis dolores oboriuntur, & ilico muti fiunt, ac stertunt, intra dies septem nisi febris successerit, intereunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Ἀφώνους εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν, οὐχ οἷς ἡ φωνὴ μόνη βέβλαπται, κατ' ἐξοχὴν δέ τινα τῇ ταύτης βλάβῃ συνεπινοεῖν ἡμᾶς ἐνδείκνυται πάσας τὰς κατὰ προαίρεσιν ἐνεργείας, ἐνίοτε μὲν οὖν ἐκείνων βεβλαμμένων, οὐκ ἀπόλωλεν ἡ αἴσθησις. αὐτὸς γοῦν ἔφη τοὺς ἀφώνους, αἰσθανομένους συμβαίνει γίνεσθαι, πολλάκις δὲ ἄμφω πέπονθεν, ὅπερ ἀποπληξίαν ὀνομάζουσιν. ἔστι δὲ καὶ ταύτης αὐτῆς ἡ μὲν ἀσθενής, ἡ δὲ ἰσχυρά. καὶ διὰ τοῦτο εἶπε, λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον. ἔοικε δὲ νῦν τῆς ἰσχυρᾶς ἀποπληξίας γνώρισμα προστεθεικέναι τό, ῥέγχειν, ὃ καὶ τοῖς βαθέως D ὑπνοῦσι γίνεται κατὰ τὴν τῆς διαθέσεως ὁμοιότητα. καθ' ἕτερον μὲν τρόπον ἑκατέροις, ὅμως οὖν ἔχουσί τι κοινὸν ᾧ ἕπεται τὸ ῥέγχειν. ἔστι δὲ τὸ κοινὸν ἀμφοῖν ἡ ἀρρωστία τῆς τῶν νεύρων ἐνεργείας. καὶ λέλεκται περὶ τούτων ἁπάντων ἐπὶ πλέον, ἐν τῇ περὶ τῶν πεπονθότων τόπων πραγματείᾳ. νυνὶ δ' ὅσον εἰς τὸν ἀφορισμὸν ἀναγκαῖον εἰρήσεται, οἷς ἂν ὑγιαίνουσιν ἐξαίφνης ὀδύνη τις ἐν τῇ κεφαλῇ γένηται. μάλιστα εἰς πνεῦμα φυσῶδες ἀναφέρειν χρὴ τὴν αἰτίαν. ἤδη δὲ καὶ εἰς πλῆθος ὕλης ἀθρόως ἐπιρρυείσης, ἥν τινα καὶ νῦν εἰς τὸν ἐγκέφαλον E ἐνηνέχθαι δηλοῖ τὰ μετὰ τὴν ὀδύνην γινόμενα συμπτώματα, δι' ὧν ὅτι φλεγματική τίς ἐστιν ἡ ὕλη συνεμφαίνεται. καὶ διὰ τοῦτο, ὁ πυρετὸς ἐπιγινόμενος, λύει τὴν διάθεσιν, ὡς ἂν ἐκθερμαίνων τε, καὶ λεπτύνων, καὶ διαφορῶν, τό τε φυσῶδες πνεῦμα, καὶ τοὺς φλεγματικοὺς χυμούς. γίνεται δὲ τοῦτο, ποτὲ μὲν τρισί, ἢ τέτταρσιν ἡμέραις, ποτὲ δὲ καὶ πλείοσι, οὐ μὴν ἐξωτέρω γε τῶν ἑπτά, διότι κύριον τὸ μέρος· οὐκ ἀνέχεται δὲ τὰ τοιαῦτα μόρια, χρονίων τε ἅμα καὶ ἰσχυρῶν διαθέσεων, ὡς ἐπιδέδεικται πολλάκις.

GALENI COMMENTARIVS.

Mvtos Hippocrates appellare consueuit, non quibus sola vox oblæsa sit, verùm per excellentiam quandam vnà cum huius læsione omnes voluntarias actiones nobis intelligendas defert: quibus vtique sensus interdum non deperditur. Ipse siquidem dicebat mutos interdum esse sentientes contingere; sed sæpenumero vtrunque & motum & sensum læsionem pati, quem affectum apoplexiam nominant. Est autem hæc duplex, vna quidem debilis, illa verò fortis; proindedixit: *Soluere apoplexiam fortem est impossibile, debilem verò non facile.* Videtur autem nunc fortis apoplexiæ indicium apposuisse, quod est stertere: quod etiam profundè dormientibus accidit, secundùm affectionis similitudinem. Quanquam enim diuerso modo vterque fit somnus & apoplexia, nihilominus aliquid communne ad quod stertor consequitur. Id autem vtrique commune, actionis & neruorum imbecillitas. Atque de his vberiùs in opere de locis affectis dictum est. Nunc verò quantùm ad aphorismi explicationem necessarium est, dicetur. Quibus sanis derepente capitis dolor quidam oboritur, eius rei causa ad flatulentum spiritum præsertim referenda est; sed jam quoque ad materiæ confertim affluentis multitudinem, quam etiam nunc in cerebrum delatum fuisse symptomata indicant, quæ post dolorem accesserunt, quibus & materiam aliquam pituitosam simul esse innotescit; proindéque superueniens febris eam soluit affectionem, vt quæ tum flatulentum spiritum, tum pituitosos humores excalefaciat, attenuet, discutiat. Id autem fit tribus nonnunquam diebus, aut quatuor, interdum etiam pluribus non tamen vltra septimum procedit diem, quia quæ pars laborat, F est princeps: eiusmodi verò partes diuturnos simul & vehementes morbos non ferunt, vt sæpe à nobis ostensum est.

A

Album in oculis per somnum conspici, signum lethale esse; rei causas adfert Galenus.

APHORISMVS LII.

QVæ per somnos in oculis subapparent, etiam spectanda sunt. Si quid enim albi non commissis palpebris subappareat, neque id ex diarrhœa, aut medicamenti potione contingat, prauum signum est, & admodum lethale.

GALENI COMMENTARIVS.

AVt ob palpebrarum siccitatem, aut propter facultatis ipsas mouentis imbecillitatem aliquid subapparet in oculis integrè claudi non valentibus: Ob hanc enim causam alvi etiam profluuiis, & medicamentorum purgantium potionibus de oculorum albo aliquid conspicitur, quum dormiunt. Totum enim corpus exiccatur, ac talibus vacuationibus vires imbecilles redduntur. Amplius autem siccitas palpebris subsidet, quod hæ naturâ siccæ. Quemadmodum enim exiccata coria vix extenduntur, eodem quoque modo eiusmodi partes. Quinetiam quòd laborante facultate non solùm oculos; sed os etiam exactè claudere nequeunt (vnde hiante ore dormiunt) liquet vnicuique rei naturam diligentius animaduertere volenti.

Τὸ λευκὸν ἐν τοῖς ὕπνοις ὑποφαίνεσθαι σημεῖον θανάσιμον εἶναι. τὰς τούτου αἰτίας προσφέρει ὁ Γαληνός.

ΑΦΟΡΙΣΜΟΣ ιβ΄.

ΣΚοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν· ἢν γάρ τι ὑποφαίνηται

B ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, μὴ ἐκ διαῤῥοίης ἐόν τε, ἢ ἐκ φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον, καὶ θανατῶδες σφόδρα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΤοι διὰ ξηρότητα τῶν βλεφάρων, ἢ διὰ τῆς κινούσης αὐτὰ δυνάμεως ἀσθένειαν, ὑποφαίνεταί τι τοῦ λευκοῦ, μὴ δυναμένων ἀκριβῶς κλείεσθαι τῶν ὀφθαλμῶν. διὰ τοῦτο γοῦν αὐτοῦ καὶ κατὰ τὰς διαῤῥοίας,

C τῆς φαρμακοποσίας, ὅπερ ἐστὶ κατὰ τὰς καθαιρόντων φαρμάκων πόσεις, ὑποφαίνεταί τι τοῦ λευκοῦ τῶν ὀφθαλμῶν, ὅταν ὑπνοῦντες τύχωσι. ξηραίνεται γὰρ ἅπαν τὸ σῶμα, καὶ ἡ δύναμις ἀσθενὴς γίνεται κατὰ τὰς τοιαύτας κενώσεις. ἐπισυμβαίνει δὲ πλεῖον ἐν τοῖς βλεφάροις ἡ ξηρότης, ὅτι φύσει ξηρά. καθάπερ οὖν αἱ βύρσαι ξηρανθεῖσαι δυσέκτατοι γίνονται, κατὰ τὸν αὐτὸν τρόπον, καὶ τὰ τοιαῦτα μόρια. καὶ μὴν δὴ καὶ ὅτι καμνούσης τῆς δυνάμεως, οὐ μόνον ἀδυνατοῦσιν ἀκριβῶς κλείειν τοὺς ὀφθαλμοὺς, ἀλλὰ καὶ τὸ στόμα, καὶ διὰ τοῦτο κοιμῶνται χάσκοντες, εὔδηλον

D ἅπαντι, τῷ γε προσέχειν βουληθέντι τῇ φύσει τοῦ πράγματος τὸν νοῦν.

De deliriis periculosioribus & securioribus, ac de eorum differentiis pro diuersarum causarum ratione constitutis.

APHORISMVS LIII.

E

QVæ deliria cum risu fiunt, tutiora; quæ cum studio, periculosiora.

GALENI COMMENTARIVS.

NVlla deliria tuta sunt, minùs periculosa quæ cum risu concitantur, veluti audacia, quemadmopum ipse appellitat, omnium periculosissima. In amborum medio sunt quæ cum studio existunt. Porrò fiunt omnia affecto cerebro, siue primariò & per

F se, siue secundariò & per consensum: differunt autem ab inuicem causis ipsis efficientibus. Quæ nanque à solo calore citra pra-

Περὶ τῶν παραφροσυνῶν σφαλερωτέρων τε καὶ ἀσφαλεστέρων. καὶ περὶ τούτων διαφορῶν κατὰ τὰς ἑτέρας αἰτίας διατεταγμένων.

ΑΦΟΡΙΣΜΟΣ ιγ΄.

ΑΙ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι, αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥδὲ μία μὲν ἀσφαλής ἐστι παραφροσύνη. σφαλεραὶ δὲ ἧττον αἱ μετὰ γέλωτος, ὡς αἵ γε θρασεῖαι, καθάπερ αὐτὸς ὀνομάζει, σφαλερώτεραι πασῶν. ἐν τῷ μέσῳ δὲ ἀμφοῖν εἰσὶν, αἱ μετὰ σπουδῆς, γίνονται δὲ πᾶσαι μὲν ἐγκεφάλου πάσχοντος, εἴτε οὖν πρώτως τε, καὶ καθ' ἑαυτὸν, εἴτε κατὰ συμπάθειαν. ἀλλήλων δὲ διαφέρουσι, ταῖς ἐργαζομέναις αὐτὰς αἰτίαις. ὅσαι μὲν γὰρ

ἀπὸ θερμασίας γίνονται μόνης αὐτῆς μοχθηροῦ χυμοῦ, παραπλήσιαί πως εἰσὶ ταῖς ἐπὶ οἴνου πόσεσι. ὅσαι δ' ἐπὶ τῇ ξανθῇ χολῇ, μετὰ σπουδῆς ἐπιτελοῦνται. συγκαυθείσης δ' αὐτῆς ἐπὶ πλέον ὡς μελαγχολικωτέραν ὑπάρχειν ἤδη, μανιώδεις ἱκανῶς αἱ παραφροσύναι γίνονται. μεμνῆσθαι γὰρ χρὴ τῶν περὶ τῆς μελαίνης χολῆς ἐν ἄλλοις διωρισμένων, ὡς ἡ μὲν ὑπεροπτηθείσης γίνεται τῆς ξανθῆς χολῆς, ἥπερ δὴ καὶ χαλεπωτάτη παντοίως ἐστίν· ἡ δ' ἐκ τῆς τοῦ αἵματος, ὡς ἂν εἴποι τις, ἰλύος καὶ τρυγός. παχυτέρα μὲν ἐκείνη τῇ συστάσει, πολὺ δὲ ἀπολειπομένη τῷ μοχθηρῷ τῆς ποιότητος. εἴρηται δὲ καὶ ὅτι τὴν οἷον τρύγα τοῦ αἵματος ἀκριβολογούμενοι μὲν, οὐδέπω μέλαιναν χολὴν ὀνομάζομεν, ἀλλὰ μελαγχολικὸν χυμόν· καταχρώμενοι δὲ τοῖς ὀνόμασι, καὶ μέλαιναν ἔστιν ὅτε καλοῦμεν, ἐπειδὴ μικρὸν ὕστερον ἔσεσθαι μέλλει μέλαινα, μὴ φθασάντων κενῶσαι.

uum humorem oboriuntur desipientiis quodammodo sunt similes quæ vini potiones sequuntur. Quæ verò ob flauam bilem, cum studio perficiuntur; quæ bilis flaua, si multum exuratur, vt jam ad atræ naturam magis accedat, furiosæ admodum & immanes fiunt delirationes: Nam quæ aliis in Libris de atra bile definita sunt, ea in memoriam reuocanda sunt, quòd quædam ex flaua bile superassata gignatur, quæ omnium est teterrima, alia verò ex sanguinis, vt quispiam dixerit, cœno & fœce; quæ quidem crassiore quàm altera constet substantia, sed multùm à qualitatis malignitate recedat. Dictum est præterea bilem quæ veluti fæx est sanguinis, si sincere & propriè loquamur, nondum nos atram bilem, sed humorem melancholicum appellare, nominibus verò abusos atram bilem interdum quoque vocare; quandoquidem nisi prius vacuetur, atra paulò pòst euasura est.

Ὁπόθεν αἱ κλαυθμώδεες ἀναπνοαὶ γίνονται, καὶ ἡ διακεκομμένη τῶν κλαιόντων πνοή, διὰ τί ταῦτα κακὰ ἐν τοῖς ὀξέσι πυρετοῦ σημεῖα.

Vnde gemebundæ fiunt spirationes, & interruptus plorantium spiritus, cur mala sint in acutis febribus signa.

ΑΦΟΡΙΣΜΟΣ νδ'.

Ἐν τοῖσιν ὀξέσι πάθεσι, τοῖσι μετὰ πυρετοῦ αἱ κλαυθμώδεες ἀναπνοαί, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ παιδία πολλάκις ὁρᾶται κατὰ τὸν τοῦ κλαίειν καιρὸν εἰσπνέοντα διακεκομμένην πνοήν, ἱσταμένου μεταξὺ τοῦ θώρακος, εἶτ' αὖθις τὸ λεῖπον προστεθέντος, ὅπερ αὐτὸς ἐν ἐπιδημίαις ὧδέ πως εἶπε. διπλῆ εἴσω ἐπανάκλησις οἷον ἐπὶ εἰσπνέουσι. καὶ γίνεται τοῦτο, ποτὲ μὲν διὰ κάματον τῆς δυνάμεως, ποτὲ δὲ διὰ τὴν τῶν ὀργάνων σκληρότητα, ποτὲ δὲ ἀμφοῖν συνελθόντων. ἔστι δ' ὅτι καὶ διὰ σπασμώδη τινὰ τῶν μυῶν τοῦ θώρακος διάθεσιν. ἥ, τε γὰρ ἀσθενὴς δύναμις ὅταν εἰς ἅπαξ ἀδυνατήσῃ διαστεῖλαι τὸν θώρακα τοσοῦτον ὅσου δεῖται τὸ ζῶον ἵσταται μεταξὺ κατὰ τὴν ἐνέργειαν ἀναπαυομένη πρότερον, εἶθ' οὕτως αὖθις ἐξορμᾷ. τό τε σκληρὸν ὄργανον οὐχ ἑπόμενον ἑτοίμως ὁμοίως, τῇ διαστελλούσῃ δυνάμει, κραδαινόμενον ὑπ' αὐτῆς βιαίως, διαστέλλεται. περὶ δὲ τῆς σπασμώδους διαθέσεως, τί δεῖ καὶ λέγειν ὡς τοιαύτην ἀναπνοὴν ἐργάζεται; ψύξεως μὲν οὖν καταλαβούσης, ἤτοι τοὺς μῦς τοῦ θώρακος, ἢ καὶ τὰ νεῦρα, σκληρότης ἄν τις ἐν τοῖς ὀργάνοις γεννηθείη, καὶ σπασμώδης κίνησις, ἣν ὅ, τε πυρετὸς ἰᾶσθαι πέφυκε, καὶ τὰ θερμὰ βοηθήματα. πυρετοῦ δὲ σὺν τούτοις ὄντος, οὐκ ἐγχωρεῖ ψύξιν αἰτιᾶσθαι τῶν κατὰ τὸν θώρακα μυῶν ἢ νεύρων. ἀλλ' ἤτοι σκληρότητα γεγενημένην, ἢ δυνάμεως ἀρρωστίαν, ἢ σπασμώδη διάθεσιν. ὅτι δ' ἂν ᾖ τούτων, οὐκ ἀγαθὸν

APHORISMVS LIV.

IN morbis acutis cum febre gemebundæ spirationes, malum.

GALENI COMMENTARIVS.

SÆpe pueri quô tempore plorant interrupto spiritu inspirare conspiciuntur, exurgente medio thorace; deinde rursũ integræ respirationi deest quod adjiciente; quod ipse in Epidemiis hunc in modum edixit; *Gemina intro spiritus reuocatio, quasi super inspirantibus.* Hoc autem fit interdum ob facultatis laborem, interdum ob instrumentorum duritiem, interdum verò ambabus causis concurrentibus; sed & nonnunquam propter conuulsiuum aliquem musculorum thoracis affectum oboritur. Etenim imbecilla facultas quum semel thoracem tantùm attollere non potuerit quantùm ad vsum animal requirit medio primùm subsistit opere & aliquantisper quiescit; deinde rursum se effert impetu. Ac durum organum quum prompte dilatantem facultatem non sequatur, ab ipsa violentiùs concussum dilatatur. Sed quid de conuulsiuo affectu quod talem respirationem efficiat dicendum est? Nam si frigus thoracis musculos vel etiam neruos inuaserit, durities quædam instrumentis oborietur, & motus conuulsiuus quem tum febris, tum calida auxilia sanare consueuerunt. At si his febris coniuncta sit, musculorum thoracis aut neruorum perfrigerationem causari non sinit; sed vel duritiem obortam, vel facultatis imbecillitatem, vel conuulsiuum affectum. Quicquid

verò horum in causa fuerit, bonum non est in morbo acuto accidere. Si igitur de sola enunciata spirabilium instrumentorum motione gemebunda respiratio ab ipso pronunciata sit, ea iam explicationis finem habet. Si verò etiam cùm tali quodam sonitu, qualis plorantibus editur, ab ipso proditam respirationem fieri velit, præter dictas caussas quandam etiam dolorificam affectionem indicabit, quâ tanquam flentes aut gementes, aut aliquem mixtum ex ambobus sonum edentes ita respirant.

A ἕξιν ἐν ὀξεῖ νοσήματι συμβαίνειν. εἰ μὲν οὖν κατὰ μόνης τῆς εἰρημένης κινήσεως τῶν ἀναπνευστικῶν ὀργάνων, ἡ κλαυθμώδης ἀναπνοὴ λέλεκται πρὸς αὐτοῦ, τέλος ἔχει τὰ τῆς ἐξηγήσεως. εἰ δὲ καὶ μετὰ τοιούτου τινὸς ψόφου βούλεται τὴν εἰρημένην αὐτῷ ἀναπνοὴν συμβαίνειν, ὁποῖα τοῖς κλαίουσι γίνεται, καὶ πρὸς τοῖς εἰρημένοις αἰτίοις, ἐνδείξεταί τινα διάθεσιν ὀδυνώδη, καθ' ἣν οἱ οἰμώζοντες, ἢ στένοντες, ἢ μικτόν τινα ἐξ ἀμφοῖν ἀποτελοῦντες ψόφον, ἀναπνέουσιν οὕτως.

B

Podagricos & arthriticos affectus & vere & autumno excitari, fusis in articulos humoribus.

Τὰ ποδαγρικὰ καὶ τὰ ἀρθριτικὰ πάθη τοῦ ἦρος καὶ τοῦ φθινοπώρου χεομένων τῶν χυμῶν κινέεσθαι.

APHORISMVS LV.

POdagrici affectus vere & autumno plerunque mouentur.

ΑΦΟΡΙΣΜΟΣ νε'.

ΤΑ ποδαγρικὰ τοῦ ἦρος, καὶ τοῦ φθινοπώρου, κινέεται ὡς ἐπὶ τὸ πολύ.

C

GALENI COMMENTARIVS.

POdagrici affectus, quemadmodum & omnes alij articulares, vere augentur, ideóque ipse superius in morborum vernalium enumeratione, articularium meminit, in quibus videlicet podagrici continentur. Concitantur tamen interdum etiam autumno, quibus per oporam cacochymia quædam coacervata fuerit. A nobis enim Commentariis de facultatibus naturalibus demonstratum est singulis partibus quemadmodum alias quasdam facultates, ita facultatem eorum expultricem esse quæ molesta sunt. Molesta verò sunt alia quædam multitudine, alia verò alienâ qualitate. Secundum vtrumque igitur tum iis qui hyberno tempore prauo victu vsi sint, per oporam diuturni affectûs concitantur, fusis humoribus, & mox à fortioribus ad locos imbecilliores protrusis. Secundum alterum verò, autumnali tantum tempestate.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ ποδαγρικὰ καθάπερ καὶ τἆλλα πάντα ἀρθριτικὰ τοῦ ἦρος αὐξάνεται, καὶ διὰ τοῦτ', αὐτὸς ἔμπροσθεν ἐν τῷ τῶν ἐαρινῶν νοσημάτων καταλόγῳ τῶν ἀρθριτικῶν ἐμνημόνευσεν, ἐν οἷς δηλονότι περιέχεται καὶ τὰ ποδαγρικά. παροξύνεται γε μὴν ἐνίοτε καὶ κατὰ τὸ φθινόπωρον, οἷς ἂν ἐν τῷ θέρει κατὰ τὴν ὀπώραν σεσωρευθῇ τις κακοχυμία. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἑκάστου τῶν μορίων, ὥσπερ ἄλλαι τινὲς ὑπάρχουσι δυνάμεις οὕτω καὶ ἡ τῶν λυπούντων ἀποκριτικὴ δύναμις. λυπεῖ δὲ, τὰ μὲν τῷ πλήθει βαρύνοντα, τὰ δ' ἀνιῶντα, τῷ τῆς ποιότητος ἀλλοτρίῳ. κατ' ἄμφω μὲν οὖν ταῦτα, τοῖς ἐν τῷ χειμῶνι μοχθηρῶς διαιτηθεῖσι, παροξύνεται τὰ χρόνια τῶν παθῶν, ἦρος ὥρᾳ χεομένων τῶν χυμῶν, εἶτα ἐπὶ τοὺς ἀσθενεῖς τόπους ἀπὸ τῶν ἰσχυροτέρων ἀπωθουμένων, καθ' ἕτερον δὲ μόνον ἐν φθινοπώρῳ.

D

E

Periculosos esse humores melancholici & pituitosi decubitus; & quos morbos hi concitent.

Τὰς ἐπικινδύνους εἶναι τοῦ χυμοῦ φλεγματικοῦ καὶ μελαγχολικοῦ ἀποσκήψιας. καὶ ἅτινα νοσήματα ἀπὸ τούτων γίνηται.

APHORISMVS LVI.

MOrbis melancholicis per has tempestates periculosi decubitus aut apoplexiam corporis, aut conuulsionem, aut maniam, aut cæcitatem denunciant.

ΑΦΟΡΙΣΜΟΣ νς'.

F ΤΟῖσι μελαγχολικοῖσι νοσήμασιν, ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἢ ἀπόπληξίην τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνουσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γίνονται μὲν καὶ διὰ φλεγματικὸν χυμὸν ἀποπληξίαι τε, καὶ σπασμοί, καὶ πηρώσεις ὀφθαλμῶν. γίνονται δὲ διὰ μελαγχολικόν, ἐπειδὴ κοινόν ἐστιν ἐν ἀμφοτέροις τὸ πάθος. οὐ μὴν τό γε τῆς μανίας ἐστὶ κοινόν, οὐδέποτε γὰρ ἐπὶ φλεγματικῷ χυμῷ τὸ πάθος τοῦτο συνίσταται, δεόμενόν γε πρὸς τὴν γένεσιν, ἐρεθίζοντός τε, καὶ δάκνοντος χυμοῦ. τοιοῦτοι δέ εἰσιν, ὁ μὲν τῆς ξανθῆς χολῆς διὰ παντός, ὁ μελαγχολικὸς δέ, οὐ διὰ παντός, ἀλλ' ὅταν πλέον ἤτοι συγκαυθείς, ἢ διασαπείς, ἐπικτήσηταί κακοήθη δριμύτητα.

A

GALENI COMMENTARIVS.

Fiunt etiam propter pituitosum humorem apoplexiæ, conuulsiones, & cœcitates: fiunt quoque propter melancholicum; quoniam vtrisque communis est affectus; non tamen maniæ affectus est communis: Nunquam enim hic affectus ob pituitosum humorem conflatur, quum ad sui generationem humore proritante ac mordente opus habeat. Talis autem semper quidem est flaua bilis; non semper verò humor melancholicus, sed quum B supra modum aut exustus aut putrefactus malignam qualitatem induerit.

Ὠι τῆς ἡλικίας χρόνῳ ἡ ἀποπληξία ἐκ τῆς μελαίνης χολῆς γινομένης ἐπὶ τὸ πολὺ γίνεται.

Quo ætatis tempore apoplexia ab atra bile orta frequentiùs oboritur.

ΑΦΟΡΙΣΜΟΣ. νζ'.

Ἀπόπληκτοι δὲ μάλιστα γίνονται, ἡλικίῃ τῇ τεσσαράκοντα ἐτέων, ἄχρις ἑξήκοντα.

C

APHORISMVS LVII.

APoplectici verò maximè fiunt, ætate à quadragesimo anno adusque sexagesimũ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ πᾶσαν ἀποπληξίαν, ἀλλὰ τὴν προειρημένην μόνην, ἥ τις ἐπὶ μελαίνῃ μόνῃ (συνίσταται) χολῇ, συμβαίνει γίνεσθαι τοῖς τὴν εἰρημένην ἄγουσιν ἡλικίαν, ὅτι πλεονάζει μάλιστα κατ' αὐτήν, ὁ τῆς μελαίνης χυμός, ὥσπερ κἀν τῷ φθινοπώρῳ. ἁπλῶς δ' ἀποφηναμένῳ, πλείους γέροντες γίνονται ἀπόπληκτοι. εἴπερ οὖν ἀληθὴς ὁ λόγος ἔσεσθαι μέλλοι, συναπτέον αὐτὸν τῷ κατὰ τὸν προειρημένον ἀφορισμόν, ὡς εἰ καὶ οὕτως εἴρητο, τοῖσι μελαγχολικοῖσι νοσήμασιν, ἐς τά δε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἀποπληξίην τοῦ σώματος, ἥ τις καταλαμβάνει τοὺς ἀπὸ τεσσαράκοντα ἐτέων, μέχρις ἑξήκοντα.

GALENI COMMENTARIVS.

NOn omnem apoplexiam, sed solam prædictam (quæ ex sola fit atra bile) pronunciatam ætatem agentibus ortum habere contingit: quia per eam potissimum scatet atræ bilis humor quemadmodum etiam per autumnum. D Sed vt simpliciter dicam, plures senes apoplexia percelluntur. Si igitur vera futura sit oratio, ea cum præcedenti aphorismo connectenda est, ac si ita diceretur. *Morbis melancholicis per has tempestates periculosi humorum decubitus corporis apoplexiam, quæ homines à quadragesimo anno adusque sexagesimum inuadit.*

E

Τὸ ἐπίπλοον ἐκπεσόν, μὴ τ' ἔντερον ἢ σπλάγχνου λοβὸν ἀναγκαίως σήπεσθαι, καὶ διὸ μὲν ἐκεῖνο ἀποτέμνειν χρή.

Prolapsum omentum, non intestinum, aut lobum visceris necessario putrescere, proindéque illud exscindendum.

ΑΦΟΡΙΣΜΟΣ νη'.

Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

APHORISMVS LVIII.

SI omentum excidat, necessariò putrescit.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τὴν βραχυλογίαν δόξει ψευδὴς ὁ ἀφορισμὸς εἶναι τοῖς μὴ καλῶς ἀκούσασιν αὐτοῦ. τὸ γὰρ λεγόμενον

GALENI COMMENTARIVS.

PRopter sermonis breuitatem falsus is esse videbitur aphorismus qui non rectè ipsum

A

Prolapsum omentum, non intestinum, aut lobum visceris necessariò putrescere, proindeque illud exscindendum.

Τὸ ἐπίπλοον ἐκπεσὸν, μὴ τ' ἔντερον ἢ σπλάγχνου λοβὸν ἀναγκαίως σήπεσθαι, καὶ διὸ μὲν ἐκεῖνο ἀποτέμνειν χρή.

APHORISMVS LVIII.

ΑΦΟΡΙΣΜΟΣ νη'.

Si omentum excidat, necessariò putrescit.

B Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

COMMENTARIVS GALENI.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

PRopter sermonis breuitatem falsus iis esse videbitur aphorismus qui non rectè ipsum perceperint. Quod enim dicitur, est huiusmodi. *Quum omentum exciderit*, hoc est, quum nudatum fuerit, & extra peritonæum promicuerit, illud reductum sanum ac saluum permanere probabile non est, quemadmodum si quid aliud velut intestinum, aut visceris lobus foras promineat. Hæc nanque, nisi longo tempore perfrixerint, pristinum statum recuperant, abdominis ruptura ad cicatricem perducta. Omentum verò si vel minimo tempore nudetur, repositum putrescit: Quam ob causam Medici partem ipsius nudatam præcidunt. Hanc igitur sententiam habet aphorismus minus distinctè hoc textu pronunciatus. Siquis verò proferat se nonnunquam omentū pauco tempore prolapsum vidisse, deinde repositum non computruisse; enunciationis quidem Hippocratis perpetuitatem sustulerit; verumtamen obseruaueris illud plerunque contingere, *vt prolapsum foras omentum putreat*: idque huic aphorismo cum cæteris ab Hippocrate proditis commune est, vt ex dictionis forma perpetuitas ostendatur, etiamsi res ipsæ non semper eodem modo, sed interdum etiam aliter, licet rarò eueniant.

Διὰ τὴν βραχυλογίαν δόξει ψευδὴς ὁ ἀφορισμὸς εἶναι τοῖς μὴ καλῶς ἀκούσασιν αὐτοῦ. τὸ γὰρ λεγόμενόν ἐστι τοιοῦτον. ὅταν ἐκπέσῃ, τουτέστιν, ὅταν γυμνωθῇ, καὶ προκύψῃ τοῦ περιτοναίου τὸ ἐπίπλοον, οὐκ ἐνδέχεται τοῦτο καταχθὲν ὑγιὲς, καὶ σῶον μεῖναι. καθάπερ εἰ καὶ ἄλλο τι προκύψειεν, οἷον ἔντερον ἢ σπλάγχνου λοβός. ἐκεῖναι μὲν γὰρ εἰ μὴ πολλῷ χρόνῳ καταψυχθείη, τὴν ἀρχαίαν ἀπολαμβάνει χώραν, ἐπουλωθείσης τῆς γεγυμνωμένης κατὰ τὸ ἐπιγάστριον διαιρέσεως. ἐπίπλοον δὲ, κἂν ἐλαχίστῳ χρόνῳ γυμνωθείη, σήπεται καταχθὲν, δι' ἣν αἰτίαν καὶ τέμνουσιν αὐτοῦ τὸ γυμνωθὲν οἱ ἰατροί. ταύτην οὖν ἔχει ὁ ἀφορισμὸς τὴν γνώμην, ἀδιοριστότερον εἰρημένος, κατὰ λελεγμένην λέξιν, εἰ δέ τις φησιν, ὡς ἑώρακέ ποτε πρὸς βραχὺν χρόνον τὸ ἐπίπλοον ἐκπεσὸν, ἔπειτα καταχθὲν μὴ σαπῆναι, τὸ μὲν διηνεκὲς τῆς Ἱπποκράτους ἀποφάσεως, ἀναιρήσει· φυλάξει δὲ, τὸ ὡς ἐπὶ τὸ πολὺ, καὶ κοινόν ἐστι τοῦτο τοῦ ἀφορισμοῦ πρὸς ἄλλους ὑφ' Ἱπποκράτους εἰρημένον, ἐν σχήματι λέξεως τὸ διηνεκὲς ἐνδεικνύμενον. καίτοι γε οὐκ ἀποβαινόντων ἀεὶ τῶν πραγμάτων ὡσαύτως, ἀλλ' ἐν σπανίῳ ποτὲ καὶ ἐναντίως.

C

D

Muci in ischii articulo procreati laxationis causæ signum. Quid mucus.

Τὸ τῆς μύξης ἐν τῷ τοῦ ἰσχίου ἄρθρῳ γινομένης τοῦ παραρθρήματος αἰτίας σημεῖον. τί μύξα.

APHORISMVS LIX.

E

ΑΦΟΡΙΣΜΟΣ νθ'.

QVibus ab ischiade diuturna vexatis ischium è proprio loco excidit, atque rursus incidit, iis muci innascuntur.

Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

SÆpe in articulis pituitosus humor coaceruatur, quem mucum appellat, quo inebriata articulationis ligamenta, laxiora redduntur, proindeque facile cauitate sua articulus excidit, ac incidit rursus non difficile; quæ sanè nunc ischiadicis ita affectis ait accidere.

F Ἀθροίζεται πολλάκις ἐν τοῖς ἄρθροις χυμὸς φλεγματώδης, ὃν ὀνομάζει μύξαν, ὑφ' οὗ διαβρεχόμενοι τῆς διαρθρώσεως οἱ σύνδεσμοι, χαλαρώτεροι γίνονται, καὶ διὰ τοῦτο ἐξίσταται ῥᾳδίως τῆς κοιλότητος τὸ ἄρθρον, ἐμπίπτει τε πάλιν οὐ χαλεπῶς, ἃ δὴ

καὶ νῦν φησὶ, τοῖς οὕτω διακειμένοις ἰσχιαδικοῖς συμβαίνειν· ὅταν δὲ εἴπῃ, τὸ ἰσχίον ἐξίσταται, τὸ κατ' ἰσχίον ἄρθρον ἀκουστέον, ὡς κἂν τῷ περὶ ἄρθρων ἔλεγεν, ὦμον δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθαῖνον ἐν ἴσῳ τῷ κατ' ὦμον ἄρθρῳ.

A Quum verò ischium ait excidere, articulus ischii intelligendus est; quo etiam modo Libro de articulis dicebat, humeri autem articulum vno modo elabi scio, quod perinde est ac si articulum qui in humero habetur, dixisset.

Τὴν χρονίαν ἰσχιάδα τῷ τῆς μύξης ἀθροισμῷ τὴν τοῦ παραρθρήματος καὶ αἰτίαν εἶναι τοῦ σκέλεως, καὶ τὴν τῶν παθῶν θεραπείαν κατὰ τὴν τῆς μύξης ξήρανσιν τῇ καύσει περαιουμένην. B

Ischiadem diuturnam muci collectione luxationis ac tabis cruris causam esse, & horum affectionum curationem per muci exiccationem vstione ischii perficiendam esse.

ΑΦΟΡΙΣΜΟΣ ξ'.

Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, τουτέοισι φθίνει τὸ σκέλος καὶ χωλοῦνται, ἢν μὴ καυθῶσι.

APHORISMVS LX.

Quibus ischiade diuturna vexatis ischium excidit, iis crus tabescit, & claudicant, nisi vrantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ χρὴ χωρίζειν τὸν ἀφορισμὸν τοῦτον τοῦ προγεγραμμένου, συνάπτοντας δὲ αὐτοὺς εἰς ἕνα λόγον, οὕτως ἀκούειν. βούλεται γὰρ λέγειν ὅτι τοῖς ἰσχιαδικοῖς, οἷς διὰ τὸ πλῆθος τῆς μύξης ἐξίσταται τὸ ἄρθρον, ἐμπίπτει τε πάλιν, ἀναγκαῖόν ἐστιν ἐν χρόνῳ φθίνειν τὸ σκέλος, εἰ μὴ φθάσαντες τῇ καύσει ξηράνωμεν τὴν μύξαν, ὅπερ κἂν τῷ περὶ ἄρθρων συνεβούλευε πράττειν ἐπὶ τοῦ συνεχῶς ἐκπίπτοντος βραχίονος. καὶ γὰρ καὶ νῦν ἡ αὐτὴ τοῦ λόγου δύναμίς ἐστι καίειν συμβουλεύοντος αὐτοῦ κατ' ἰσχίον, ὡς ἐν τῷ περὶ ἄρθρων ἐδίδασκεν, ὅπως ἐκδαπανηθῇ τε τὸ μυξῶδες ἥ τε χαλαρότης τοῦ δέρματος, εἰς ἣν ὠλίσθανε τὸ ἄρθρον ὑπὸ τῆς καύσεως εἰς συντονίαν ἀχθεῖσα, σφίγγει τε καὶ κωλύει μεθίστασθαι, ὡς εἴ γε διὰ τὸ πλῆθος τῆς μύξεως ἐπὶ πλεῖον ἐξεστηκὸς μένει τὸ ἰσχίον, ἔστι μὲν δή που τοῦτο χωλεία τοῦ σκέλους. ἀκολουθήσει δὲ ἐξ ἀνάγκης αὐτῇ καὶ ἀτροφία, καθ' ὃ καὶ τοῖς ἄλλοις ἅπασιν, ὅσα τῆς κατὰ φύσιν ἐστερήθη κινήσεως.

C GALENI COMMENTARIVS.

Hunc aphorismum à superiore sejungere non decet, sed ipsos simul in vnam orationem conjunctos ita accipere. Vult enim nunciare, quibus ischiadicis propter muci copiam articulus excidit, rursúmque incidit, processu temporis crus tabescere necesse est, nisi anteuertentes vstione mucum exiccemus; quod & Libro de articulis in brachio iugiter excidente effici consulebat. Etenim etiam vtrobique eadem vis est orationis quæ ipse super ischium vstionem fieri consulit, vt D Libro de articulis docebat; tum vt mucosa illuuies absumatur, tum vt cutis laxitas in quam articulus elabebatur, per adustionem ad contensionem ducta articulum arctet, & loco moueri prohibeat. Quòd si ob muci copiam ischium eluxatum diutius manserit (id profectò cruris claudicatio fuerit) quam necessario eiusdem atrophia sequetur, quomodo aliis etiam omnibus accidit, quæ naturalibus motibus priuata fuerint.





ΙΠΠΟΚΡΑΤΟΥΣ ΜΕΓΑΛΟΥ ΑΦΟΡΙΣΜΩΝ ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ,

ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ζ.

HIPPOCRATIS MAGNI APHORISMORVM LIBER SEPTIMVS,

ET IN EOS GALENI COMMENTARIVS SEPTIMVS.

ΥΠΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΒΙΒΛΙΟΥ.

Τοὺς ἀφορισμοὺς δι᾽ ὧν νοσοῦσι ὄλεθρος καὶ σωτηρία προγινώσκεται καὶ προαγορεύεται βιβλίον ἑβδόματον περιέχει καὶ τὸ ὑπόμνημα διασαφηνίζει.


ARGVMENTVM LIBRI.

Aphoriſmos quibus ægris pernicies ac ſalus prænoſcuuntur ac prædicuntur, Liber ſeptimus conticet, & Commentarius explicat.

A


Eos arguit qui in enarrandis aphoriſmis nullam orationis æquabilitatem retinent.

GALENI COMMENTARIVS.

QVI propè omnes aphoriſmorum enarrationes ante nos ſcripſerunt, initio quidem longiùs quàm vtilitatis ferat ratio, Commentarios protrahunt: in progreſſu verò fatiſcentes ita remittunt, vt primò quidem ad vtilitatem vſque ſolùm procedant; deinde ſerie id imperfectius molian-

Τὸ τοὺς ἐλέγχει τοὺς ἐν τῷ διασαφηνίζειν ἀφορισμοὺς μηδεμίαν τοῦ λόγου ὁμαλότητα κατέχοντες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΑντες σχεδὸν οἱ προγράψαντες ἐξηγήσεις τῶν ἀφορισμῶν, ἐν ἀρχῇ μὲν ἐπὶ πλέον ἐπεκτείνουσι τοῦ χρησίμου τὸν λόγον, ἐκλύονται δὲ προϊόντες, ὥς τε πρῶτον μὲν ἐπὶ τὸ χρήσιμον προϊέναι μόνον, εἶθ᾽ ἑξῆς ἐλλιπέστερον τούτου, καὶ τελευτῶντες

B

A

ἐσχάτως συντέμνουσι τὰς ἐξηγήσεις, ὡς μηδὲ ὅτι νόθοι τῶν ἀφορισμῶν εἰσὶν ἔνιοι, καὶ περιφανῶς ψευδεῖς, ἔτι παραγινώσκειν. ἀλλ᾽ ὥσπερ οἱ κάμνοντες ἐν τοῖς διαλόγοις ἐπινεύουσι πρὸς ἅπαντα ἑτοίμως, οὕτω καὶ αὐτοὶ προσίενταί τε πάντας, οὓς ἂν εὕρωσι γεγραμμένους ἀφορισμοὺς, εἰς ἔσχατόν τε βραχυλογίας ἀφικνοῦνται κατὰ τὰς ἐξηγήσεις αὐτῶν ἐπιλανθανόμενοι τῆς ἐν ἀρχῇ μακρολογίας. ἀλλ᾽ ἡμεῖς γε τὰς ἄλλας αὐτῶν ἀτοπίας ἐπειράθημεν φυλάξασθαι, καὶ πάσας ὁμαλῶς ποιήσασθαι τὰς ἐξηγήσεις ἐσπουδάσαμεν, ἐστοχασμένας μὲν τῶν ἀληθῶν τε ἅμα, καὶ χρησίμων τῇ τέχνῃ, τῇ δὲ ἑρμηνείᾳ, μήτε εἰς βραχυλογίαν ἐσχάτην συνηγμένας, οὐ γὰρ ὑπομνήματι τὸ τοιοῦτον, ἀλλὰ συγγράμματι πρέπει, μήτ᾽ εἰς μῆκος τοσοῦτον, ὅσον ἐν ἀρχῇ τῶν ἐξηγήσεων ἐκεῖνοι πεποίηνται. τὸ δὲ ἄριστον ἐν ἅπασι τοῖς λόγοις, ὅπερ καὶ σύμμετρόν ἐστιν ἑκάστῃ πραγματείᾳ, τοῦτο ἐσπουδάσαμεν ἀπ᾽ ἀρχῆς μέχρι τέλους διαφυλάξαι.

tur; postremò denique expositiones ita concidunt, vt ex aphorismis nonnullos adulterinos esse, palamque falsos nequaquàm animo percipiant. Verùm quemadmodum disputationibus fessi promptè ad omnia annuunt: sic etiam quoscunque scriptos aphorismos inuenerint, omnes admittunt, & ad vltimam propriarum interpretationum breuiloquentiam deueniunt, prioris loquacitatis obliti. At verò nos quum alias ipsorum ineptias vitare conati sumus, tùm omnes explanationes æquabiliter efficere studuimus, quæ tum vera, tum simul arti perutilia spectarent, & interpretatione in summam orationis breuitatem minimè cogerentur (hæc enim concisa breuitas Libro, non Commentario conuenit) neque in tantam verborum prolixitatem proferrent, quantam illi per explanationum initia instituerunt. Sed quod in omnibus Commentariis optimè laudatur, quodque vnicuique tractatui symmetriam seruat, illud à principio ad finem vsque seruare studuimus.

B

C

Ἐν οἷς νοσήμασιν ἡ τῶν ἀκρωτηρίων ψύξις κακὸν, καὶ ἐν οἷς μὴ ἄτοπον. τί τὸ ὀξὺ νόσημα.

Quibus in morbis extremarum partium frigus malum, & in quibus non absurdum. Quid morbus acutus.

ΑΦΟΡΙΣΜΟΣ α΄.

Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, κακόν.

APHORISMVS I.

In acutis morbis extremarum partium frigus, malum.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν μὲν τοῖς χρονίοις νοσήμασι, καὶ μάλιστα ὅσα χωρὶς πυρετῶν ἐστι, καὶ κατὰ τὸν χειμῶνα, καὶ γέρουσι, ψυχρὰ γίνεσθαι τὰ τοῦ σώματος ἔσχατα μόρια, ῥῖνας, καὶ πόδας, καὶ ὦτα, καὶ χεῖρας ἄκρας, οὐδὲν ἄτοπον. οὐ μὴν ἔν γε τοῖς ὀξέσι μέτριον τὸ κακὸν, ἀλλ᾽ ἱκανῶς ὀλέθριον τὸ σύμπτωμα, φλεγμοναῖς σφοδροτάταις τῶν σπλάγχνων ἐπιγινόμενον. ὀξέα δὲ προσαγορεύεσθαι νοσήματά φησιν αὐτὸς, ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰσὶ συνεχεῖς. ἐν οἷς ὅταν ἄνευ μεγάλης φλεγμονῆς ὦσι, μὴ ὅτι καταψύχεσθαι τοῖς ἄκροις, ἀλλὰ καὶ διακαίεσθαι συμβέβηκεν. ἀλλ᾽ ὅταν τὸ τῆς φλεγμονῆς θερμὸν ᾖ οὕτω σφοδρὸν, ὡς ἕλκειν ἐφ᾽ ἑαυτὸ δίκην σικύας, ἐξ ὅλου τοῦ σώματος τὸ αἷμα, διακαίονται μὲν οἱ οὕτως ἔχοντες τὰ σπλάγχνα, ψύχονται δὲ τὰ ἀκρωτήρια διὰ τὴν ἔνδειαν τοῦ αἵματος, ἀποχωροῦντος εἰς τὰ σπλάγχνα, καὶ οἱ πλεῖστοί γε αὐτῶν οὐδὲ τῶν περιβολαίων ἀνέχονται, διὰ τὸ περὶ τοῖς σπλάγχνοις καῦμα.

GALENI COMMENTARIVS.

In morbis diuturnis, qui præsertim sine febre sunt, & per hyemem & ætatem senilem extremas corporis partes, veluti, nares, auriculas, pedes & summas manus frigidas fieri nihil absurdum. Non tamen in acutis mediocre malum est; sed admodum perniciosum symptoma, quod vehementissimis viscerum inflammationibus oboritur. Acutos autem morbos vocari pronunciat ipse, quorum febres maximam partem sunt continuæ; E in quibus quum citra magnam inflammationem fuerint, non modo non refrigerari extrema, verumetiam peruri accidit. Quum verò inflammationis calor adeò vehemens sit, vt ad se cucurbitulæ instar ex toto corpore sanguinem attrahat, iis ita affectis viscera peruruntur, extrema verò frigescunt propter sanguinis intro ad viscera se recipientis inopiam, atque eorum plurimi ne operimenta quidem ferunt propter incendium inflammationis viscera obsidentis.

F

A

Cur caro liuida ossis ægrotantis malum signum sit.

Διὰ τί ἡ σὰρξ πελιδνὴ τοῦ ὀστέου νοσέοντος κακὸν τὸ σημεῖον ᾖ.

APHORISMVS II.

PRopter os ægrotans caro liuida, malum.

ΑΦΟΡΙΣΜΟΣ β'.

ΕΠὶ ὀστέῳ νοσήσαντι σὰρξ πελιδνὴ, κακόν.

B

GALENI COMMENTARIVS.

NOn enim ob mediocrem ossium læsionem; sed ob magnam cariem talis coloris species circunstantibus carnibus oboritur, extincto videlicet calore natiuo.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ γὰρ ἐπὶ μετρίαις βλάβαις ὀστῶν, ἀλλὰ ταῖς ἰσχυραῖς σηπεδόσι, τὸ τοιοῦτον εἶδος τῆς χρόας ἐγγίνεται ταῖς περικειμέναις σαρξὶ, σβεννυμένης δηλονότι τῆς κατὰ φύσιν θερμασίας ἐν αὐταῖς.

Singultum & oculorum ruborem à vomitu aut cerebri, aut ventriculi inflammati signa esse mala.

C

Ἐπὶ ἐμέτῳ τὴν λύγκα τε καὶ τὸ τῶν ὀφθαλμῶν ἔρευθος τὰ ἢ τοῦ ἐγκεφάλου, ἢ τῆς γαστέρος φλεγμονώδεως εἶναι σημεῖα κακά.

APHORISMVS III.

A Vomitu singultus & oculorum rubor malum.

ΑΦΟΡΙΣΜΟΣ γ'.

ΕΠὶ ἐμέτῳ λὺγξ, καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

GALENI COMMENTARIVS.

D

QValis affectio musculis est conuulsio, talis est stomacho singultus, qui humoribus nonnunquam totum ventriculum infestantibus oboritur, sæpius verò os ipsius & stomachum: quibus per vomitiones eiectis, statim singultu liberatur; qui si neque per istas cesset, ex duobus alterum denunciat, aut cerebrum neruorum principium, aut ventriculum non mediocrem pati inflammationem. Oculorum vero rubor vtriusque sequitur affectiones; sed illam magis cerebri plegmonodem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙόν τι πάθος τοῖς μυσὶν ὁ σπασμός ἐστι, τοιοῦτον ἐν τῷ στομάχῳ γίνεται ἡ λὺγξ, ὑγροῖς αἰτίοισιν, ἐπιγινομένη, ποτὲ μὲν ὅλην τὴν κοιλίαν, ὡς τὰ πολλὰ δὲ τό, τε στόμα, καὶ τὸν στόμαχον αὐτῆς, ἃ καὶ ἐν τοῖς ἐμέτοις ἀποῤῥίψασα, παραχρῆμα παύεται τῆς λυγγός. ὡς ὅταν γε μηδ' ὑπὸ τούτων παύηται, δυοῖν θάτερον ἐνδείκνυται, ἤτοι τὴν ἀρχὴν τῶν νεύρων τὸν ἐγκέφαλον, ἢ τὴν γαστέρα, φλεγμαίνειν οὐ μετρίαν φλεγμονήν. τὸ δὲ τῶν ὀφθαλμῶν ἔρευθος, ἕπεται ἀμφοτέροις, καὶ μᾶλλόν γε ταῖς κατὰ τὸν ἐγκέφαλον φλεγμονώδεσι διαθέσεσιν.

E

De horrore sudori succedente.

Περὶ τῆς φρίκης τῷ ἱδρῶτι ἐπιγινομένης.

APHORISMVS IV.

HOrror post sudorem, non vtilis.

ΑΦΟΡΙΣΜΟΣ δ'.

ΕΠὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

F

GALENI COMMENTARIVS.

DEcretoria quæ non decernunt, partim lethalia esse, partim difficilis iudicij ab

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα λέλεκται πρὸς αὐτοῦ, διὰ τὸ

A τὴν φύσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν ὑπὸ τοῦ νοσήματος νικᾶσθαι.

ipſo pronunciatum eſt; quod natura in eiuſmodi affectionibus vi morbi euicta ſuccumbat.

Κατὰ τὰ συμπτώματα τοῖς χείροσι νοσήμασιν ἐπιγινόμενα ποτὲ μὲν εἶναι ἀγαθά.

Praua ſymptomata deterioribus morbis ſuccedentia interdum bona eſſe.

ΑΦΟΡΙΣΜΟΣ ε'.

Ἔκστασις hic melius intelligitur si sumatur pro μετάστασιν humorum de parte in partem

B Ἐπὶ μανίῃ, ἢ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν.

APHORISMVS V.

A Maniâ dyſenteria, aut hydrops, aut ecſtaſis, bonum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δυσεντερίαν μὲν ἢ ὕδρωπα τῷ λόγῳ τῆς μεταστάσεως, ἴαμα γίνεσθαι μανίας οὐδὲν ἄλογον, ἐκ τῆς κεφαλῆς τῶν λυπούντων κάτω μεθισταμένων, ἔκστασιν δὲ οὐδαμῶς διάλυσιν εἶναι μανίας, ὥστε μᾶλλον αὔξησιν ἄν τις εἴποι, καὶ μέν τοι, καὶ εἴπερ ὄντως ὁ Ἱπποκράτης πολλαχῆ μανίαν καὶ σφοδρὰν ὀνόμασεν ἔκστασιν, οἴδαμεν C οὕτω τινὰ παυσάμενον ἧς ἔμπροσθεν εἶχε μετρίας μανίας, ἐλογισάμεθά τε, τῇ σφοδρότητι τῆς κινήσεως τῶν ποιούντων τὴν μανίαν αἰτίων, ἀκολουθῆσαι τὴν λύσιν, ὥσπερ εἴωθε κἀν τοῖς ὀξέσι νοσήμασι, τὰ σφοδρότατα τῶν συμπτωμάτων ἔστιν ὅτε κρίσεις ἀγαθὰς ἐργάζεσθαι.

GALENI COMMENTARIVS.

Dyſenteriam quidem hydropem, tranſlationis materiæ ratione, maniæ remedium eſſe rationi non reluctatur, quum à capite deorſum noxii humores transferantur; Mentis autem emotionem ſeu ecſtaſin nullo modo maniæ ſolutionem eſſe, imo magis quivis dixerit incrementum eſſe. At profecto, ſi reuerà Hippocrates vehementem maniam ecſtaſin appellauerit, quendam moderata mania, quâ priùs detinebatur, ita liberatum fuiſſe nouimus, ratiocinationeque collegimus ex vehementi cauſarum maniam efficientium motu ſolutionem ſubſequutam fuiſſe; quemadmodum in morbis acutis vehementiſſima ſymptomata bonas interdum criſes efficere ſolent.

D Ἐν ταῖς νόσοις πολυχρονίαις τὰς ἀποσιτίας τε, καὶ τὰς ἀκράτους ὑποχωρήσεις σημεῖα εἶναι μοχθηρὰ διά τι;

Ciborum faſtidia, ac ſinceras dejectiones ſigna eſſe pernicioſa in diuturnis morbis, cur.

ΑΦΟΡΙΣΜΟΣ ϛ'.

Ἐν νούσῳ πολυχρονίῃ, ἀποσιτίη, καὶ ἄκρητοι ὑποχωρήσιες, κακόν.

APHORISMVS VI.

In morbo diuturno ciborum faſtidium, & ſinceræ deiectiones, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Καὶ αὐτὴ μὲν καθ' ἑαυτὴν ἡ ἀποσιτία, σημεῖόν ἐστι μοχθηρὸν ἐν χρονίοις νοσήμασιν. ἐπὶ γὰρ τῶν σωθήσεσθαι μελλόντων ἐκ τῶν τοιούτων νοσημάτων, αὐτὸ τοὐναντίον, ὄρεξις σφοδροτέρα γίνεται σιτίων. ὥστ' οὐκ ἀγαθὸν σημεῖον ἡ ἀποσιτία. ὅταν δὲ καὶ τὰ κατὰ τὰς διαχωρήσεις ὑπάρχῃ πονηρὰ, πολὺ δὴ καὶ μᾶλλον. ἀκράτους δὲ ὑποχωρήσεις εἴρηκε, τὰς ἀμίκτους ὑδατώδους ὑγρότητος αὐτοῦ τοῦ κενουμένου χυμοῦ μόνου διαχωρουμένου, εἴτε πικρόχολος, εἴτε μελαγχολικὸς, εἴτε πρασοειδὴς, εἴτε ὁ τῆς ἰώδους λεγομένης ὑπάρχει χολῆς, ἐνδείκνυνται F γὰρ αἱ τοιαῦται διαχωρήσεις, ἐκπεφρύχθαι τὴν κατὰ φύσιν ὑγρότητα πᾶσαν, ὑπὸ τῆς πυρετώδους θερμασίας.

GALENI COMMENTARIVS.

Ipſum per ſe cibi faſtidium in morbis diuturnis prauum ſignum eſt. Iis ſiquidem qui ab huiuſmodi morbis euaſuri ſunt, contrarius affectus, vehementior ſcilicet ciborum appetentia ſolet accidere. Quare haud bonum eſt ciborum faſtidium, multò certè minùs quum etiam prauæ ſunt deiectiones. Sinceras autem deiectiones nominauit nulli aquoſæ humiditati permixtas, eo ſolo qui vacuatur humore (ſiue bilioſo, ſiue melancholico, ſiue porraceo, ſiue bile æruginoſa dicta) inteſtina peruadente: Nam eiuſmodi dejectiones omnem natiuam humiditatem à febrili calore exuſtam & conſumptam eſſe indicant.

A

Perniciosi vinolentiæ effectus & affectus.

APHORISMVS VII.

EX multo potu rigor & delirium, malum.

GALENI COMMENTARIVS.

QVòd polyposia non copiosam aquæ, sed vini potionem significet, patet omnibus. Delirant autem nonnulli huiusmodi potionibus tum sanguine, tum spiritu calido oppleto capite. Ob hanc ipsam causam calidiores etiam redduntur præcipuè quidem capite, sed jam vniuerso etiam corpore. Ex ipsis rari sunt qui cum delirio rigeant, in quibus calor natiuus non incenditur, sed copia extinguitur quemadmodum ignem lignorum multitudine conjecta obrui, & lucernæ flammulam oleo affatim & repentè offuso opprimi cernimus.

Τὰ τῆς μεθυστικῆς πολυποσίας ἐνεργήματα τε καὶ παθήματα.

ΑΦΟΡΙΣΜΟΣ ζ.

Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Ὅτι μὲν ἡ πολυποσία πολλὴν πόσιν, οὐχ ὕδατος ἀλλ᾽ οἴνου δηλοῖ, πρόδηλον παντί. παραφρονοῦσι δ᾽ ἐπὶ ταῖς τοιαύταις πόσεσιν, ἔνιοι, πληρουμένης τῆς κεφαλῆς αἵματός τε, καὶ πνεύματος θερμοῦ. δι᾽ αὐτὸ δὲ τοῦτο, καὶ θερμότεροι γίνονται, μάλιστα μὲν τὴν κεφαλὴν, ἤδη δὲ καὶ σύμπαν τὸ σῶμα. σπάνιοι γε μὴν ἐξ αὐτῶν εἰσὶν, οἱ σὺν τῇ παραφροσύνῃ ῥιγώσαντες, ἐφ᾽ ὧν οὐκ ἐξάπτεται τὸ σύμφυτον θερμὸν, ἀλλὰ σβέννυται διὰ τὸ πλῆθος, ὥσπερ ἐπὶ τῶν πολλῶν ξύλων ἐπιβληθέντων τῷ πυρὶ, ἢ τοῦ λύχνου φλὸξ ἐξ ἐλαίου καταχυθέντος ἀθρόως. C

De empyematis intro rupti signis.

APHORISMVS VIII.

EX tuberculi introrsum ruptione exolutio, vomitio, & animi defectio oboritur.

GALENI COMMENTARIVS.

D

TVberculum nominauit quod in aliis *textibus* ipse empyema, hoc est, suppurationem appellare consueuit. Ipsius verò introruptionem in ventriculum effusionem intelligit. Hanc enim sequitur vomitio. Quemadmodum quæ in thoracem & pulmonem fiunt, tuberculorum ruptiones, non vomitiones, sed tussim necessariò concitant, sæpe verò suffocationem inuehunt: sic etiam quæ in intestina fiunt empyematum ruptiones puris dejectionem efficiunt. Porrò omnium ruptionum communis est tum virium exolutio, tum animi defectus, propter vitalis spiritus excretionem, vt alibi demonstratum est.

Περὶ τῶν τοῦ ἐμπυήματος ῥαγέντος εἴσω σημείων.

ΑΦΟΡΙΣΜΟΣ η.

Ἐπὶ φύματος εἴσω ῥήξιος ἔκλυσις, ἔμετος, καὶ λειποψυχίη γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φῦμα μὲν ὀνόμασεν, ὅπερ ἐν ἑτέροις αὐτὸς εἴωθε προσαγορεύειν ἐμπύημα, τὴν δ᾽ εἴσω ῥῆξιν αὐτοῦ, τὴν εἰς τὴν γαστέρα λέγει. ταύτῃ γὰρ ἔμετος ἕπεται, ὡς αἵ γε τὸν κατὰ θώρακά τε, καὶ πνεύμονα φυμάτων ῥήξεις, οὐκ ἐμέτους, ἀλλ᾽ ἐξ ἀνάγκης μὲν βῆχα, πολλάκις δὲ καὶ πνῖγα φέρουσιν, ὥσπερ γε καὶ αἱ εἰς τὰ ἔντερα συῤῥήξεις τῶν ἐμπυημάτων διαχώρησιν ἐργάζονται πύου. κοινὸν δὲ πασῶν ῥήξεων ἔκλυσίς τε, καὶ λειποτυχία, διὰ τὴν τοῦ ζωτικοῦ πνεύματος ἔκκρισιν, ὡς ἑτέρωθι δέδεικται. E

De prauis à sanguinis profluuio symptomatibus delirio & conuulsione.

APHORISMVS IX. F

EX sanguinis profluuio deliratio, aut etiam conuulsio, malum.

Περὶ τῶν πονηρῶν ἐπὶ αἵματος ῥύσει συμπτωμάτων, τῆς παραφροσύνης τε, καὶ τοῦ σπασμοῦ.

ΑΦΟΡΙΣΜΟΣ θ.

Ἐπὶ αἵματος ῥύσει, παραφροσύνη, ἢ καὶ σπασμὸς, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἀφορισμὸς ἡμᾶς ὠφελεῖ μεγάλα πρὸς τὸ πεισθῆναι, γίνεσθαί ποτε παραφροσύνας ἐπ' ἐνδείᾳ, παραπλησίῳ τρόπῳ τοῖς κατὰ κῶλα τρόμοις. ἐκεῖνά τε γὰρ ἀῤῥωστίᾳ τῆς κινούσης αὐτὰ δυνάμεως ἀσθενεῖς ἴσχει τὰς κινήσεις, ὅ τ' ἐγκέφαλος παραφέρεται. διόπερ οὐδὲ σφοδρὸν γίνεταί ποτε τὸ τοιοῦτον εἶδος τῆς παραφροσύνης, ἀλλὰ μέτριόν τε, καὶ ὡς ἂν εἴποι τις, ληρῶδες. αὐτὸς γὰρ εἴωθεν ὀνομάζειν λῆρον, τὴν μετρίαν παρακοπήν. εἰ δὲ οὖν καὶ σπασμός ποτε συνέλθῃ τῇ τοιαύτῃ παραφροσύνῃ, παντάπασιν ἀνιάτως ἔχουσιν. ἔνια μὲν οὖν τῶν ἀντιγράφων, διὰ τοῦ καὶ συνδέσμου γέγραπται, τινὰ δὲ τὸν διαζευκτικὸν ὀνομαζόμενον ἔχει τὸ ἤ. καθ' ὃν καὶ ἡ παραφροσύνη μὲν, οὐκ ἀγαθόν ἐστι σύμπτωμα μεθ' αἵματος ῥύσιν, εἰ καὶ μόνη συμβαίη. πολὺ δὴ μᾶλλον ὁ σπασμὸς, εἰ καὶ χωρὶς παραφροσύνης γένοιτο, μέγιστον δὲ κακὸν, εἰ ἀμφοῖν ἐστι σύνοδος. ὅπου γε καὶ μόνος ὁ διὰ τὴν ἄμετρον κένωσιν γινόμενος σπασμὸς, ὀλεθριώτατόν ἐστι σύμπτωμα· τὸ μὲν γὰρ τῆς παραφροσύνης ἧττόν ἐστι κακόν.

A GALENI COMMENTARIVS.

Hic aphoriſmus nobis ad fidem faciendam magnopere confert, delirationes nonnunquam ob defectum fieri conſimili modo, quô artuum tremores. Hi nanque artus propter facultatis ipſos mouentis imbecillitatem infirmas habent motiones, cerebrum verò errabundas. Quapropter neque vehemens eſt hoc deſipientiæ genus; ſed moderatum, atque, vt quiſpiam diceret, delirum. B Ipſe ſiquidem moderatam deſipientiam delirationem appellare conſueuit. Siquando igitur tali deſipientiæ conuulſio acceſſerit, omnino deſperata res eſt. Quædam igitur exemplaria per, &, coniunctionem copulatiuam ſcripta ſunt quædam verò, per *vel*, diſiunctiuã nominatam habent, quâ deſipientia poſt ſanguinis fluxum ſymptoma minime bonum eſt, etiamſi ſola contigerit. Multò ſanè magis conuulſio, etiamſi abſque deſipientia facta fuerit. Maximum deniq; malum eſt ſi vtriuſque conuentus oboriatur. Quandoquidem ſola etiam C conuulſio ob immoderatam vacuationem facta ſymptoma eſt pernicioſiſſimum: Nam deſipientia minus malum eſt.

Κατὰ τοῦ εἰλεοῦ ἡ πρόγνωσις, καὶ ἡ τοῦ εἰλεοῦ διαγραφή.

In ileum prognoſis; & ilei deſcriptio.

ΑΦΟΡΙΣΜΟΣ ί.

Ἐπὶ εἰλεῷ ἔμετος, ἢ λύγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, κακόν.

D APHORISMVS X.

Ab ileo vomitio aut ſingultus, aut conuulſio, aut deſipientia, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τοῖς εἰλεοῖς οὐδὲν ὑπέρχεται κάτω, καὶ τοῦτό ἐστιν ἴδιον ἀχώριστον τοῦ πάθους. ἔμετος δὲ οὐκ ἀεὶ σύνεστιν, ἀλλ' ὅταν ὀλεθρίως ἔχωσι. καὶ εἰ πλέον δὲ σπαράττονται, καὶ κόπρος αὐτοῖς ἐπανέρχεται, καὶ λύζουσιν. ἔνιοι δὲ καὶ παραφρονοῦσι, καὶ σπῶνται, συμπασχούσης τῆς ἀρχῆς τῶν νεύρων τῇ τοῦ στομάχου κακώσει. δοκεῖ δέ μοι γίνεσθαι τὰ τοιαῦτα, τῶν ἐντέρων ἐν οἷς ἡ διάθεσίς ἐστιν, ἀπώσασθαι ἑαυτῶν τὴν κόπρον ἐφιεμένων, ὅταν ἀνιαρὰ διὰ χρόνου μῆκος ᾖ, μὴ δυναμένων δὲ διὰ τὴν ἐν τοῖς κάτω μέρεσι στένωσιν ἐκεῖθεν διαπέμπειν, ἀλλ' ἀναγκαζομένων ἔμπαλιν τῇ φύσει κινεῖσθαι βιαίως, καὶ πρὸς τὴν ἄνω χώραν ἐκθλίβειν τὰ λυποῦντα.

GALENI COMMENTARIVS.

In ileis nihil ſubit deorſum, idque huius affectionis proprium eſt inſeparabile. Vomitus autem non ſemper adeſt; ſed quum pernicioſe ægrotant. Quod ſi vehementius nauſea E ac morſu diſtorqueantur, ſtercus ipſis tum remeat, tum ſingultiunt. Nonnulli verò etiam deſipiunt & conuelluntur, principio neruorum propter ſtomachi vitium affecto. Hæc verò ſymptomata fieri videntur inteſtinis quibus inſidet talis affectus, à ſeſe ſtercus depellere appetentibus, temporis longitudine moleſtum, neque propter factam in partibus inferioribus viæ coarctationem, illac tranſmittere nequeuntibus; ſed coactis inuerſo naturæ ordine violenter moveri, & ad loca ſuperiora noxiam materiam extrudere.

F

A

Sæpe pleuritidi peripneumoniam ſuperueni-re, raròcontrà.

APHORISMVS XI.

A Pleuritide peripneumonia, malum.

GALENI COMMENTARIVS.

IN plurimis quidem exemplaribus ad aphoriſmi finem adjectum eſt, *malum*; in quibuſdam verò ita ſimpliciter ſcribitur; volentibus qui ſic ſcribunt non eſſe bonum vel malum peripneumoniam pleuritidi ſuperuenientem nunc Hippocratem docere; ſed ſimpliciter hoc ipſe vnum tantùm pleuritim ſcilicet in peripneumouiam tranſmutari ſolere, aut pleuritidi peripneumoniam ſuperuenire. Degenerat igitur morbus quum priore ceſſante, ſuccedit alter; ſuccedit autem quum priore permanente, alter accedit. Verùm hoc loco videtur Hippocrates de ſuperuenientibus agere, quibus ſtatim ab initio malis eſſe accidit. Quare etiamſi hoc nomen, *malum* non adjiciatur, ſit tamen vel ſubaudiendum (quo modo vulgo enunciatur) vel poteſtate ſignificari exiſtimandum. Omnis enim eiuſmodi ſuperuenientium ortus non paruos, nec faciles; ſed magnos & malignos morbos ſequitur. Exempli gratia ne à propoſitis hoc aphoriſmo affectibus recedam, quum is humor qui pleuritim procreat pleuris contineri nequeat, pars eius aliqua ad pulmonem etiam peruenit, vnde ſequitur peripneumonia; quam tamen non admodum pleuritis ſequi ſolet; facili quidem & miti peripneumonia, totus humor noxius tuſſi rejectus expurgatur; exitiali verò ac pernicioſa priùs æger ſuffocatur, quam membranæ coſtas ſuccingentes afficiantur.

Πολλάκις μὲν τὴν περιπνευμονίαν τῇ πλευρίτιδι ἐπιγίνεσθαι, ὀλιγάκις δὲ ἐναντίως. τὸ δὲ πάθημα μεταπίπτει, καὶ ἐπιγίνεσθαι.

ΑΦΟΡΙΣΜΟΣ ια´.

B Ἐπὶ πλευρίτιδι περιπνευμονίη, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν μὲν τοῖς πλείστοις τῶν ἀντιγράφων ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ πρόσκειται, τὸ κακόν· ἐν ἐνίοις δὲ ἁπλῶς οὕτως γέγραπται. ὅτι πλευρίτιδι περιπνευμονία, βουλομένων τῶν οὕτως γραφόντων, οὐχ ὅτι κακόν ἐστιν, ἢ ἀγαθὸν ἐπιγινομένη πλευρίτιδι περιπνευμονία, διδάσκειν νῦν αὐτὸν, ἀλλ' ἁπλῶς αὐτὸ τοῦτο μόνον, ὅτι μεταπίπτειν εἴωθε πλευρῖτις εἰς περιπνευμονίαν,
C ἢ ἐπιγίνεσθαι πλευρίτιδι περιπνευμονίαν. μεταπίπτει μὲν οὖν, ὅταν τοῦ προτέρου παυσαμένου, ἕτερον γένηται. ἐπιγίνεται δὲ, ὅταν διαμείναντος ἐκείνου, προσγένηται ἕτερον, ἀλλὰ νῦν φαίνεται περὶ τῶν ἐπιγινομένων ὁ Ἱπποκράτης γράφων, οἷς εὐθὺς ἐξ ἀρχῆς, καὶ τὸ κακοῖς εἶναι ὑπάρχει, ὥστε κἂν μὴ πρόσκειται τὸ κακὸν, ἤτοι γε ἐπακουστέον αὐτὸ, κατὰ τὸν ἀπὸ κοινοῦ λεγόμενον τρόπον, ἢ δυνάμει δηλοῦσθαι νομιστέον. ἅπασα γὰρ ἡ τῶν οὕτως ἐπιγινομένων σύστασις, οὐ σμικροῖς οὐδ' ἐπιεικέσιν ἕπεται νοσήμασιν, ἀλλὰ μεγάλοις τε, καὶ κακοήθεσιν. οἷον εὐθέως ἐπὶ
D τῶν εἰρημένων κατὰ τὸν ἀφορισμὸν παθῶν, ὅταν μὴ στέγηται κατὰ τὰς πλευρὰς, ὁ τὴν πλευρῖτιν ἐργαζόμενος χυμὸς, ἀφικνεῖταί τι μέρος αὐτοῦ καὶ πρὸς τὸν πνεύμονα. τῇ μέντοι περιπνευμονίᾳ, πλευρῖτις οὐ πάνυ τι πέφυκεν ἕπεσθαι, διότι κατὰ μὲν τὴν ἐπιεικῆ περιπνευμονίαν ἐκκαθαίρεται πᾶς ὁ λυπῶν χυμὸς ἀναβηττόμενος. ἐν δὲ ταῖς ὀλεθρίαις, φθάνει πνίγειν πρὶν ἢ τὰς πλευρὰς συμπαθεῖν.

E

De phrenritide peripneumoniæ ſuccedente.

APHORISMVS XII.

A Peripneumonia phrenitis, malum.

GALENI COMMENTARIVS.

QVum à calido humore fit peripneumonia, ea multis vaporibus in caput ſublatis, replet cerebrum & phrenitidem efficit. Quæ verò cætera ad priùs pronunciatum aphoriſmum non huic ſolum, ſed & ſequentibus communia ſunt.

Περὶ φρενίτιδος, τῇ περιπνευμονίᾳ ἐπιγινομένης.

ΑΦΟΡΙΣΜΟΣ ιβ´.

Ἐπὶ περιπλευμονίης, φρενῖτις κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Ὅταν ὑπὸ θερμοῦ χυμοῦ περιπνευμονία, πολλοὺς ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν ἀναπέμπουσα πληροῖ τὸν ἐγκέφαλον ἀτμῶν, καὶ φρενῖτιν ἐργάζεται. τὰ δ' ἄλλα κοινὰ πρὸς τὸν ἔμπροσθεν εἰρημένον ἀφορισμὸν, οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ κἂν τοῖς ἐφεξῆς.

A

Τὸν ὑπὸ τοῦ περιέχοντος, ἢ τοῦ πυρετοῦ, ἢ ὑπὸ καυτηρίων καύμασι ἐπιγινόμενον σπασμὸν, ἢ τέτανον κακὸν εἶναι.

Ambientis, aut febris, aut cauterij ardoribus succedentem conuulsionem aut tetanum malum signum esse.

ΑΦΟΡΙΣΜΟΣ ιγ'.

Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς, ἢ τέτανος, κακόν.

APHORISMVS XIII.

A Vehementibus ardoribus conuulsio aut tetanus malum.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ πλεῖστοι τῶν ἐξηγητῶν, οὕτως ἴσασι γεγραμμένον τὸν ἀφορισμὸν τοῦτον, ὁ δὲ Μαρῖνος, ἐπὶ τραύμασι γράφει. καὶ γὰρ τὸν ἑξῆς ἀφορισμὸν αὐτῷ φησὶ μαρτυρεῖν. ἀληθὲς μὲν οὖν, καὶ τὸ τοῖς ἰσχυροῖς τραύμασι φλεγμονάς τε, καὶ σπασμοὺς γίνεσθαι. τῶν δὲ ἐξηγησαμένων σχεδὸν ἁπάντων, καὶ μάλιστα τῶν παλαιοτάτων, τὴν ἐπὶ καύμασιν ἰσχυροῖς γραφὴν ἐπισταμένων, ἄμεινον καὶ ἡμᾶς ἐκείνην ἐξηγεῖσθαι. τινὲς μὲν οὖν τὸ, καύμασιν, ἐν ἴσῳ τῷ πυρετοὺς ἤκουσαν. ἔνιοι δὲ, τὴν ἐκ τοῦ περιέχοντος πύρωσιν οὕτως εἰρῆσθαί φασιν. ἔνιοι δὲ, αὐτὴ ὑπὸ καυτηρίοις τε, καὶ ἐσχάραις, καὶ πάντες ἀληθεύουσιν. ἐπιγίνονται γὰρ ἅπασι τούτοις, οὐκ ἐπ' ἀγαθῷ, τέτανοί τε, καὶ σπασμοὶ κατὰ ξηρότητα τῶν νεύρων, οὕσπερ χαλεπωτάτους ἐδείκνυμεν ὄντας.

GALENI COMMENTARIVS.

Plurimi Interpretes hunc aphorismum ita scriptum esse nouerunt; Marinus verò propter vulnera scribit. Etenim sequentem aphorismum sibi ait astipulari. Sanè quidem verum est propter magna vulnera tum inflammationes, tum conuulsiones oboriri. Sed quum omnes fere enarratores ac maximè vetustissimi hunc textum agnoscunt, *A Vehementibus ardoribus*; nos quoque eundem præstat exponere. C Quidam igitur ardores peræque ac febres intellexerunt: Nonnulli verò aëris ambientis æstum ita dici autumant. Nonnulli denique pro cauteriis & escharis: atque omnes verum proferunt. His enim omnibus non boni cuiusdam gratiâ superueniunt tetani, & conuulsiones propter neruorum siccitatem, quas perarduas esse demonstrabamus.

D

Περὶ τῶν ὀλεθρίων συμπτωμάτων τῇ κεφαλῆς πληγῇ ἐπιγινομένων τῆς ἐκπλήξεώς τε, τῆς παραφροσύνης.

De perniciosis symptomatibus capitis vulneri succedentibus, stupore ac delirio.

ΑΦΟΡΙΣΜΟΣ ιδ'.

Ἐπὶ πληγῇ, ἐς τὴν κεφαλὴν ἔκπληξις, ἢ παραφροσύνη, κακόν.

APHORISMVS XIV.

OB plagam in capite acceptam stupor aut desipientia, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ μὲν γὰρ παραφροσύνη γνωρίζεται, φθεγγομένων τε, καὶ πραττόντων οὐδενὸς ἐχόμενα λόγου. ἡ δὲ ἔκπληξίς ἐστιν, ὅταν μὴ φθέγγωνται τι, μήτε πράττωσιν, ἀλλ' ἀναπεπταμένοις τοῖς ὀφθαλμοῖς, ἐφ' ἡσυχίας μένωσιν ὁμοίως τοῖς ὑπὸ δέους ἐκπλαγεῖσιν. ὅτι δὲ τὰ τοιαῦτα πάντα πάσχοντος ἐγκεφάλου γίνεται, πρόδηλον, ἐδείχθη γὰρ ἐν ἐκείνῳ, τὸ τῆς ψυχῆς ἡγεμονικόν. ἐὰν γοῦν ἐπὶ τῇ τελευτῇ προσγεγραμμένον ᾖ τὸ κακὸν, εὔδηλον ὡς ὀρθῶς εἴρηται. δηλοῖ γὰρ εἰς αὐτὸν εἴσω τὸν ἐγκέφαλον διϊκνουμένην τὴν πληγήν. ἐὰν δὲ μὴ προσγραφῇ, F δυνατὸν ἡμῖν ἐστὶ καὶ προσυπακοῦσαι, καθάπερ ἐν τοῖς ἔμπροσθεν ἔφαμεν ἀπὸ κοινοῦ. δυνατὸν δὲ καὶ τῶν συνενδείκνυσθαι τὰ συμπτώματα τὴν βλάβην τοῦ ἐγκεφάλου, τὸ μέγεθος τῆς κακώσεως ἐπινοεῖν.

GALENI COMMENTARIVS.

E

Desipientia quidem agnoscitur dissentanea & rationis nihil habentia tum loquentibus tum agentibus. Stupor verò est quum ægri quicquam neque loquuntur neque agunt; sed apertis oculis quieti manent, timore perculsis & attonitis similes. Quod verò hæc omnia affecto cerebro oboriantur manifestum est; in eo enim animæ principatum esse demonstratum est. Si igitur in aphorismi fine scriptum sit, *malum*, constat rectè dictum fuisse. Initio nanque in ipsum cerebrum penetrare plagam indicat. Si verò non ascribatur, nos nihilominus de communi ipsum subaudire commonstrant etiam læsionis magnitudinem animaduertere possumus.

A

De maligno puris ſputo.

APHORISMVS XV.

A Sanguinis ſputo puris ſputum, malum.

GALENI COMMENTARIVS.

B

QVod vniuerſa hæc ipſi enumeratio ſit eorum quæ propriè ſuperuenientia vocantur (de quibus Praxagoras vnum integrum non paruum Librum conſcripſit) vel etiam ex ipſo aphoriſmo manifeſtum eſſe auguror. Non enim omne ſputum ſanguinis ſequentem habet puris expuitionem; ſed quod ſolum malignum exiſtit, cuiuſmodi omnino eſt quod lethale ex pulmone editur.

Περὶ τῆς κακοήθους τοῦ πύου πτύσεως.

ΑΦΟΡΙΣΜΟΣ ιε'.

Ἐπὶ αἵματος πτύσει, πύου πτύσις, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι πᾶς οὗτος ὁ κατάλογος αὐτοῦ, τῶν καλουμένων ἰδίως ἐπιγινομένων ἐστὶν, ὑπὲρ ὧν καὶ Πραξαγόρας ἓν ὅλον οὐ σμικρὸν ἔγραψε βιβλίον, εὔδηλον εἶναι νομίζω κἀξ αὐτοῦ τοῦ ἀφορισμοῦ. οὐ γὰρ ἅπασα πτύσις αἵματος ἑπομένην ἔχει πύου πτύσιν, ἀλλ' ἡ κακοήθης μόνη, διὸ καὶ ἐκ τοῦ πνεύμονος τοὐπίπαν ἡ τοιαύτη.

C

Puris ſputo phthoen vt tabem lethalem ſuccedere.

APHORISMVS XVI.

A Puris ſputo tabes & fluxus. Quum vero ſputum ſiſtitur, intereunt.

GALENI COMMENTARIVS.

D

QVam propriè Græci, maximéque Athenienſes phthoen nominant, eam nunc Hippocrates phthiſim appellauit, quum propter inſanabilia pulmonis vlcera totius corporis attenuatio fit & macies cum debili febre coniuncta. Fluxum autem vel de capillorum defluuio, vel de humida dejectione protulit. Vtrumque enim tabidis ad extrema redactis euenire conſueuit; illud quidem ob ſiccitatem, hæc verò ob facultatis infirmitatem. E Cæterum quod in aphoriſmi fine ſcriptum eſt; *Quum verò ſputum ſiſtitur, intereunt*, interitus phthoe pereuntium modum explicat. Tandiu nanque extenuati viuunt, quandiu extuſſire & per ſputa pulmonem expurgare poſſunt. Quum verò intus ipſa manent, reſpirationis obſtruuntur viæ, & ægroti ſuffocantur.

Τῇ πύου πτύσει τὴν φθόην, ἢ φθίσιν ἐπιγίνεσθαι θανάσιμον.

ΑΦΟΡΙΣΜΟΣ ιϛ'.

Ἐπὶ πύου πτύσει, φθίσις καὶ ῥύσις. ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἣν ἰδίως ὀνομάζουσιν οἱ Ἕλληνες καὶ μάλιστα αὐτῶν οἱ Ἀθηναῖοι φθόην, ταύτην νῦν ὁ Ἱπποκράτης ὠνόμασεν φθίσιν, ἐπὶ πνεύμονος ἑλκώσεσιν ἀνιάτοις, γιγνομένης ἁπάσης τοῦ σώματος ἰσχνότητος μετὰ πυρετοῦ λεπτοῦ. τὸ δὲ ῥύσις, ἤτοι κατὰ τῆς τῶν τριχῶν ἐκπτώσεως, ἢ κατὰ τῆς ὑγρᾶς διαχωρήσεως εἴρηκεν. ἀμφότερα γὰρ εἴωθε γίνεσθαι, ἐσχάτως ἐχόντων τῶν φθινόντων· τὸ μὲν ἐπὶ ξηρότητι, τὸ δὲ ἐπ' ἀρρωστίᾳ δυνάμεως. τό γε μὴν ἐπὶ τέλει γεγραμμένον· ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσι, τὸν τρόπον δηλοῖ τοῦ θανάτου τῶν ὑπὸ φθόης ἀπολλυμένων. ἄχρι γὰρ τοσούτου ζῶσιν ἰσχνοὶ γιγνόμενοι, μέχρι περ ἀναβήττειν δύνανται, καὶ καθαίρειν διὰ τῶν ἀναπτυομένων τὸν πνεύμονα. μενόντων δ' ἔνδον αὐτῶν ἐμφράττονται μὲν αἱ τῆς ἀναπνοῆς ὁδοὶ, πνίγονται δ' οἱ πάσχοντες.

F

A

Τὴν λύγγα τῇ τοῦ ἥπατος φλεγμονῇ ἐπιγίνεσθαι κακόν. πόθεν ἐνταῦθα γίνηται ἡ λύγξ τρεῖς αἰτίαι λέγονται.

Singultum jecoris inflammationi superuenire malum; vnde hîc oriatur singultus tres produntur causæ.

ΑΦΟΡΙΣΜΟΣ ιζ.

Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος, λύγξ κακόν.

APHORISMVS XVII.

B *Ob iecoris inflammationem singultus, malum.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἶπον ἤδη καὶ πρόσθεν, ὡς ἅπαντες οὗτοι οἱ ἐφεξῆς ἀλλήλων ἀφορισμοὶ γεγραμμένοι, διδάσκουσι περὶ τῶν ἐπιγινομένων συμπτωμάτων τοῖς πάθεσιν αὐξανομένοις, καὶ χείροσιν αὐτῶν γιγνομένοις. οὕτως οὖν καὶ νῦν ἡ λύγξ ἐφ᾽ ἥπατι φλεγμαίνοντι γίνεσθαι λέλεκται, οὐ διὰ παντός, οὐδ᾽ ὡς ἔτυχε πάσχοντος, ἀλλ᾽ ὅταν εἰς μέγεθος αἴρηται ζεούσης τῆς φλεγμονῆς, ὑφ᾽ ἧς εἰς συμπάθειαν ὁ στόμαχος ἔρχεται, ποτὲ μὲν τῷ λόγῳ τῶν κοινῶν νεύρων, ἅπερ ἐστὶν (ὡς αὐτὸς ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν ἐδίδαξε) βραχύτατα. διὸ καὶ τότε μόνον ἡ συμπάθεια γίνεται τῷ στομάχῳ πρὸς τὸ ἧπαρ, ὅταν καὶ ἡ φλεγμονὴ, μεγίστη τε καὶ χειρίστη γένηται. καὶ μέντοι καὶ διὰ τὸ χολὴν ἱκανῶς θερμήν τε καὶ πολλὴν ἐν ταῖς φλεγμοναῖς τοῦδε τοῦ σπλάγχνου γίνεσθαί τε, καὶ συρρεῖν εἰς τὴν ἀρχὴν τῶν ἐντέρων, ἧς ἐπιπολαζούσης, καὶ ἀναθεούσης εἰς τὴν γαστέρα, δάκνεσθαί τε, καὶ διὰ τοῦτο λύζειν τῷ στομάχῳ συμβέβηκεν. ἔνιοι δὲ οἴονται, τὸ μέγεθος τῆς φλεγμονῆς τοῦ ἥπατος θλῖβον τὴν κοιλίαν, ἐργάζεσθαι τὴν λύγγα, διέξοδον οὐκ ἔχοντος ὥς ἐκεῖνοι φασὶ τοῦ πνεύματος.

COMMENTARIVS GALENI.

Iam superiùs etiam protuli hos omnes serie conscriptos aphorismos ea docere symptomata quæ morbis augescentibus, & ingrauescentibus superueniunt. Ita sanè nunc singultus quoque jecori inflammatione laboranti dicitur superuenire, non quidem semper, neque quomodocunque affecto, sed quum feruente inflammatione, in magnitudinem attollitur, quo feruore stomachus in sympathiam & mali consensum venit, communium nonnunquam neruorum ratione (qui vt ipse secundo Epidemiorum docuit) sunt perexigui. Quare tunc solum jecoris fit cum stomacho affectionis communicatio, quum phlegmone tum maxima;tum pessima euaserit. Quinetiam quia per eiusmodi visceris inflammationes bilis admodum calida & copiosa generatur, & in intestinorum principium confluit, inde ipsa in ventriculum euadente, & innatante vt stomachus vellicetur & singultiat accidit. Nonnulli vero inflammationis magnitudinem D quòd ventriculum premat, singultum facere arbitrantur, spiritu, quemadmodum inquiunt, exitum non habente.

Ταῖς ἀγρυπνίαις τὸν σπασμὸν ἢ τὴν παραφροσύνην ἐπιγίνεσθαι τὰ κακὰ συμπτώματα.

Vigiliis conuulsionem ac delirium oboriri & praua esse symptomata.

ΑΦΟΡΙΣΜΟΣ ιη.

Ἐπὶ ἀγρυπνίῃ σπασμὸς ἢ παραφροσύνη, κακόν.

APHORISMVS XVIII.

E *Ob vigiliam conuulsio aut delirium, malum.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνιοι προστεθείκασι κἀνταῦθα τό, κακόν. ἡμῖν δ᾽ εἴρηται πρόσθεν, ὡς εἰ μὴ καὶ προστεθείη, περιέχεται δυνάμει. διὰ τί δὲ ταῖς ἀμέτροις ἀγρυπνίαις ἕπεται σπασμός, ἢ παραφροσύνη, δῆλόν ἐστι τῷ μεμνημένῳ τῶν ἔμπροσθεν. ὁ μὲν γὰρ σπασμὸς ἐρρέθη καὶ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους ὥσπερ ὑπὸ πληρώσεως, οὕτω καὶ κενώσεως γίνεσθαι. κενωτικώτατόν τι δὲ καὶ ξηραντικώτατόν ἐστιν ἡ ἀγρυπνία, καὶ διὰ τοῦτο τόν τε κατὰ ξηρότητα

GALENI COMMENTARIVS.

Nonnulli quoque hîc malum addunt: Nos verò superiùs diximus etiamsi non subjungatur, potestate tamen contineri. Cur autem immoderatas vigilias sequatur conuulsio aut desipientia, superiora recordanti manifestum est: Nam quemadmodum ab ipso F Hippocrate conuulsionem à repletione, sic etiam à vacuatione oboriri pronunciatum est. Maximam autem vacuandi & exiccandi vim habent vigiliæ, proptereáque ob siccitatem

conuulsionem & desipientiam inuehunt, tum ipsi immoderatæ siccitatis ratione, tum præterea quia per longas vigilias biliosior sanguis redditur. In quibusdam tamen exemplaribus, iisque accuratissimè scriptis sine desipientia scribitur hoc modo. *Ob vigilias conuulsio*, vt arbitror pessima superuenientia hoc loco scribente Hippocrate.

A φέρει σπασμὸν, καὶ παραφροσύνην, αὐτῷ τῷ λόγῳ τῆς ἀμέτρου ξηρότητος, καὶ πρὸς τούτῳ, διότι χολωδέστερον ἐν ταῖς μακραῖς ἀγρυπνίαις γίνεται τὸ αἷμα. κατά τινα μέντοι τῶν ἀντιγράφων, καὶ τά γε ἀκριβέστατα, χωρὶς τῆς παραφροσύνης, γέγραπται ὁ ἀφορισμὸς τρόπῳ τοιῷδε. ἐπὶ ἀγρυπνίῃ σπασμὸς, ὡς ἂν οἶμαι, τὰ κάκιστα τῶν ἐπιγινομένων ἐνταῦθα γράφοντος τοῦ Ιπποκράτους.

B

Ex ossis nudatione erysipelas prauum signum esse?

Επὶ ὀστέου ψιλώσει τὸ ἐρυσίπελας κακὸν σημεῖον εἶναι.

APHORISMVS XIX.

AB ossis nudatione erysipelas.

ΑΦΟΡΙΣΜΟΣ ιθ'.

ΕΠὶ ὀστέου ψιλώσει, ἐρυσίπελας, κακόν.

GALENI COMMENTARIVS.

HOc maximè aphorismo, *malum*, subaudiendum est. Non enim hoc dicit semper, aut plerunque nudatis ossibus erysipelas superuenire (contrarium enim omnino verum est, ita scilicet affectis ossibus erysipelas raro superuenire) sed prauum esse symptoma, osse nudato carnem circunstantem obsessam erysipelate conspici.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τούτῳ τῷ λόγῳ μάλιστα χρὴ προσυπακούειν τὸ, κακόν. οὐ γὰρ δὴ τοῦτό γέ φησιν, ὡς διὰ παντὸς, ἢ ὡς ἐπὶ τὸ πολὺ, τοῖς ἐψιλωμένοις ὀστοῖς ἐρυσίπελας ἐπιγίνεται· τοὐναντίον γὰρ πᾶν ἀληθές ἐστι, τὸ σπανίως ἐπιγίνεσθαι τοῖς οὕτω παθοῦσιν ὀστοῖς ἐρυσίπελας· ἀλλ᾽ ὅτι μοχθηρόν ἐστι σύμπτωμα, συγγυμνωθέντος ὀστοῦ, τὴν πέριξ σάρκα φανῆναι κατειλημμένην ἐρυσιπέλατι.

D

Praui erysipelatis signa.

Τὰ τοῦ κακοῦ ἐρυσιπέλατος σημεῖα.

APHORISMVS XX.

AB erysipelate putredo aut suppuratio, malum.

ΑΦΟΡΙΣΜΟΣ κ'.

ΕΠὶ ἐρυσιπέλατι σηπεδὼν, ἢ ἐκπύησις, κακόν.

GALENI COMMENTARIVS.

HAc profectò etiam oratione constat malignis erysipelatis ista superuenire.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡόδηλον δή που καὶ κατὰ τοῦτον τὸν λόγον ἐστὶν, ὡς τοῖς κακοήθεσιν ἐρυσιπέλασιν ἐπιγίνεται ταῦτα.

E

Cur in vlcerum & partium inflammatione dolor fiat pulsatorius, & hæmorrhagia periculosa sit.

Διά τι ἐν τοῖς ἑλκέων τε καὶ μερῶν φλεγμοναῖς ὀδύνη σφυγμώδης γίνεται, καὶ αἱμοῤῥαγία κινδυνώδης ᾖ.

APHORISMVS XXI.

A Vehementi in vlceribus pulsu hæmorrhagia, malum.

ΑΦΟΡΙΣΜΟΣ κα'.

ΕΠὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖς ἕλκεσιν, αἱμοῤῥαγίη.

F

GALENI COMMENTARIVS.

IN vlceribus inflammatis pulsus fit carne arteriis incumbente ipsarum motum non

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τοῖς φλεγμαίνουσιν ἕλκεσιν, ὁ σφυγμὸς γίνεται μὴ φερούσης τῆς ἐπικειμένης ταῖς ἀρτηρίαις σαρ-

κὸς τὴν κίνησιν αὐτῶν, ἀλλ' ὀδυνωμένης, ἴσχειν ἐμπίπτουσιν αὗται διαστελλόμεναι. ἔστι γὰρ ὁ τοιοῦτος σφυγμὸς, ὀδυνηρά τις αἴσθησις, ἐκ τῆς τῶν ἀρτηριῶν κινήσεως γινομένη, ὧν οὐδὲ αἰσθανόμεθα τὴν ἀρχὴν, ἔν γε τῷ κατὰ φύσιν ἔχειν τὰ μόρια, διά τε τὸ τῆς ὁμιλίας αὐτῶν ἄλυπον, καὶ διὰ τὴν εὐρυχωρίαν ἐν ᾗ κινοῦνται. φλεγμαινόντων δὲ ἥ τε στενοχωρία, καὶ τὸ τῆς διαθέσεως ὀδυνηρὸν, αἴσθησιν ἀνιαρὰν ἐργάζεται τοῖς κάμνουσιν, ἐκ τῆς κινήσεως τῶν ἀρτηριῶν, ἣν καλοῦσιν οὐκ ἰατροὶ μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι, σφυγμόν. ἔοικε δὲ καὶ ἡ κίνησις αὕτη τῶν ἀρτηριῶν, κατὰ τὰς τοιαύτας διαθέσεις αὐξάνεσθαι. ἐδείχθη γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ὡς ἔστι καὶ ἡ τῶν ἀλλοτρίων ἀποκριτικὴ μία τις ἐν αὐτοῖς δύναμις, ἥ τις καὶ τοὺς κρισίμους ἱδρῶτας ἐργάζεται, καὶ τὰς αἱμορραγίας, καὶ τὰς τῆς γαστρὸς ὑποχωρήσεις, ὅσα τε ἄλλα τοιαῦτα. κατὰ ταύτην οὖν τὴν δύναμιν, ἐνίοτε σφοδρότερον ἡ φύσις ἐνεργοῦσα, μεγάλην τε ἅμα καὶ βίαιον ἐργάζεται τὴν κίνησιν τῶν ἀρτηριῶν, ἐφιεμένη διώσασθαι τὰ λυποῦντα, καὶ οὕτως ἐπιφέρει τὰς αἱμορραγίας.

A ferente, sed dolente, quum dilatatæ concidunt. Est enim huiusmodi pulsus molestus quidam sensus & dolor arteriarum motione factus, quas ab initio quum partes secundùm naturam habebant, non sentiebamus, tum propter earum viciniam dolore vacantem, angustia, & affectus dolorificus molestum laborantibus sensum ex arteriarum motu inuehunt, quem non solùm Medici, verum etiam omnes homines vocitant. Porrò is ipse arteriarum] motus per tales affectus augeri videntur. Nam in B Commentariis de naturalibus facultatibus demonstratum est quandam ipsis etiam inesse alienorum expultricem facultatem, quæ & sudores criticos, & sanguinis eruptiones, & alui deiectiones, & eiusmodi cætera promouet. Hac itaque facultate nonnunquam vehementius agens natura & magnum simul & violentum arteriarum motum efficit, appetens quæ molesta sunt depellere, atque ita hæmorrhagias inuehit.

C

Τῇ πολυχρονίᾳ ὀδύνῃ τῆς κοιλίας τὴν ἐκπύησιν σημαίνεσθαι.

Diuturno ventris dolore suppurationem prodi.

ΑΦΟΡΙΣΜΟΣ κβ'.

APHORISMVS XXII.

ΕΠὶ ὀδύνῃ πολυχρονίῃ τῶν περὶ τὴν κοιλίην, ἐκπύησις.

A Diuturno partium aluiuarum dolore, suppuratio.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIVS.

ΕΙτε γὰρ ψύξις, εἴθ' ὅλως ἀνώμαλός τις εἴη δυσκρασία περὶ τὴν κοιλίαν, εἴ τε πνεῦμα φυσῶδες, εἴ τε δριμύτης τις δακνώδης ἀδύνατον αὐτοῖς εἰς πολὺν ἐκταθῆναι χρόνον, ἁπάντων δεόντως περὶ τὸν κάμνοντα γιγνομένων. ἀναγκαῖον γὰρ τοῦτο προσυπακούειν ἐν ἅπασι τοῖς τοιούτοις λόγοις. ὑπολείπεται γοῦν ἔτι διὰ φλεγμονὴν χρονίζειν τὴν ὀδύνην, ἥ τις ἐκπυήσει τῷ χρόνῳ δηλονότι, μὴ φθάσαντός γε ἀποθανεῖν τοῦ ἀνθρώπου. καὶ γὰρ τοῦτο χρὴ προσυπακούειν ἐν τοῖς τοιούτοις λόγοις ἅπασιν.

SIue enim perfrigeratio, siue omnino inæqualis quædam intemperies circa ventrem fuerit, siue flatulentus spiritus, siue quædam mordax acrimonia, quò in longum protrahatur tempus fieri non potest, omnibus ad ægri curationem opportunè gestis. Hoc enim in omnibus eiusmodi orationibus subaudiri debet. Restat igitur adhuc propter inflammationem dolorem manere, quæ nimirum inflam- E matio suppurabit temporis, spatio, nisi hominem mors præripiat. Etenim hoc quoque in omnibus talibus orationibus supplere oportet.

Ακρήτῳ ὑποχωρήσει τὴν δυσεντερίαν ἐπιγίνεσθαι. τί ἀκρατὸς ὑποχώρησις.

Sinceræ deiectioni dysenteriam superuenire. Quid sincera deiectio.

F

ΑΦΟΡΙΣΜΟΣ κγ'.

APHORISMVS XXXIII.

ΕΠὶ ἀκρήτῳ χωρήσει, δυσεντερίη.

A Sincera deiectione dysenteria.

A

GALENI COMMENTARIVS.

SInceras deiectiones nominare consueuit Hippocrates nulli aquosæ humiditati permixtas, quæ solum eum purum & simplicem humorem sortiuntur qui per inferiora dejicitur, siue is sit bilis flaua, siue atra. Itaque mirum non est, si per tales dejectiones aliqua pars intestinorum erodatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΚρήτους ὑποχωρήσεις εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης, τὰς ἀμίκτους ὑγρότητος ὑδατώδους, αὐτὸν μόνον ἐχούσας εἰλικρινῆ ὑπερχόμενον κάτω χυμὸν, εἴτε τὸν τῆς ξανθῆς χολῆς εἴτε τὸν τῆς μελαίνης. θαυμαστὸν οὖν οὐδὲν, ἐπὶ ταῖς τοιαύταις ὑποχωρήσεσιν ἀναβρωθῆναί τι τῶν ἐντέρων.

B

Desipientiam profundi vulneris capitis signum esse.

Τὴν παραφροσύνην τῆς διακοπῆς τῆς κεφαλῆς σημεῖον εἶναι.

APHORISMVS XXIV.

AB ossis persectione delirium, si ad vacuum vsque peruaserit.

ΑΦΟΡΙΣΜΟΣ κδ´.

ΕΠὶ ὀστέου διακοπῇ παραφροσύνη, ἢν κενεὸν λάβῃ.

C

GALENI COMMENTARIVS.

DEsipientia fit osse capitis nimirum persecto non simpliciter neque vt sors tulerit ad interiorem vsque superficiem quam vacuus excipit locus, cerebrum continens. Iam enim affectio membranis & cerebro adjacet. At verò Marinus nescio quô modô seorsum illud legendum esse censet: *Ab ossis persectione desipientia.* Deinde alterius aphorismi seorsim facit principium; *Si adusque vacuum peruaserit;* hoc ipsi addito: *A medicamenti potione, conuulsio*: vt totus aphorismus sit huiusmodi; *si ad vacuum prehenderit à medicamenti potione conuulsio, lethale.* Hanc etenim lectionem, inquit, rationi consentaneam esse. À vacuatione siquidem partam conuulsionem semper damnat Hippocrates. Verùm hoc ipsum rectè quidem Marinus, factam ab immoderata vacuatione conuulsionem perniciosam esse protulit. Sic & oborta ex pharmaci potione conuulsio fuerit exitialis. At non animaduertit aphorismum priorem falsum efficere. Ab ossis enim persectione desipientiam fieri manifesto falsum est. Neque enim alio quodam osse, neque cerebrum *cranio* tegente persecto, deliratio priùs sequitur, quàm ad meningas affectio peruenerit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠὶ οὖν κατὰ τὴν κεφαλὴν ὀστέου δηλονότι διακοπέντος, οὐχ ἁπλῶς οὐδ᾽ ὡς ἔτυχεν, ἀλλὰ μέχρι τῆς ἐντὸς ἐπιφανείας, ἣν περιέχουσα τὸν ἐγκέφαλον ἐνδέχεται κενὴ χώρα, παραφροσύνη γίνεται· πλησιάζει γὰρ ἤδη τὸ πάθημα ταῖς μήνιγξι, καὶ τῷ ἐγκεφάλῳ. Μαρῖνος δὲ οὐκ οἶδ᾽ ὅπως ἰδίᾳ μὲν ἀναγινώσκειν ἀξιοῖ τὸ ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη. ἰδίᾳ δ᾽ αὖθις ἀρχὴν ἀφορισμοῦ δευτέρου ποιεῖται, τὸ, ἢν κενεὸν λάβῃ, προσθεὶς αὐτῷ, τὸ, ἐκ φαρμακοποσίης σπασμός. οὕτως ὡς ὅλος ἀφορισμὸς τοιοῦτος γίνηται, ἢν κενεὸν λάβῃ ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες. εἰκότως τε γάρ φησιν εἰρῆσθαι τοῦτο· τὸν γὰρ ἐπὶ κενώσει γινόμενον σπασμὸν ἀεὶ μέμφεσθαι τὸν Ἱπποκράτην. ἀλλὰ τοῦτο μὲν αὐτὸ καλῶς εἶπεν ὁ Μαρῖνος, ὡς ὁ διὰ κένωσιν ἀμετρον γινόμενος σπασμὸς, ὀλέθριόν ἐστιν. οὕτω γοῦν καὶ ὁ ἐκ φαρμακοποσίης ὀλέθριος γίνεται. τὸ πρότερον δ᾽ οὐκ αἰσθάνεται λόγον ἐργαζόμενος ψευδῆ. τὸ γὰρ ἐπὶ ὀστέου διακοπῇ, τὴν παραφροσύνην γίνεσθαι προφανῶς ψευδές ἐστιν. οὔτε γὰρ κατ᾽ ἄλλο τι τῶν ὀστῶν, οὔτε κατὰ τῆς κεφαλῆς ἕπεται τῇ διακοπῇ παραφροσύνη, πρὶν ἐπὶ τὰς μήνιγγας ἀφικέσθαι τὸ πάθος.

D

E

F

Conuulsionem purgationi succedentem lethalem esse.

Τὸν σπασμὸν τῇ φαρμακείᾳ ἐπιγινόμενον θανάσιμον εἶναι.

APHORISMVS XXV.

A Medicamenti potione conuulsio, lethale.

ΑΦΟΡΙΣΜΟΣ κε´.

ΕΚ φαρμακοποσίης σπασμὸς, θανατῶδες.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φαρμακοποσίας καὶ φαρμακείας, ἰδίως εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν τὰς τῶν καθαιρόντων φαρμακείας μόνον. ὅτι δὲ ἐπὶ ταύταις ἀμέτρως κενώσασι σπασμὸς ἐπιγινόμενος, ὀλέθριόν ἐστιν, εἴ τις μέμνηται τῶν ἤδη πολλάκις εἰρημένων, οὐκ ἀγνοεῖ.

GALENI COMMENTARIVS.

PHarmacoposias & pharmacias peculiaris Hippocratis mos appellandi eas duntaxat potiones quæ purgantibus constant medicamentis. Quòd autem istis quum immoderatiùs vacuauerint, superueniens conuulsio sit perniciosa, si quis eorum multoties à nobis promulgatorum meminerint, non ignorat.

B

Ἐπὶ τῆς κοιλίας ὀδύνῃ τὴν τῶν ἀκρωτηρίων ψύξιν κακὸν σημεῖον εἶναι. πόθεν αὕτη ὀδύνη, καὶ ἡ ψύξις.

In ventris dolore extremorum refrigerationem, malum signum esse, vnde hic dolor & hæc refrigeratio.

ΑΦΟΡΙΣΜΟΣ κϛ΄.

Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις, κακόν.

APHORISMVS XXVI.

A Vehementi partium aluinarum dolore extremorum refrigeratio, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γίνεται μὲν ὡς καὶ πρόσθεν ἐρρέθη, καὶ διὰ μέγεθος φλεγμονῆς σπλάγχνων, ἡ τῶν ἀκρωτηρίων ψύξις. γίνεται δὲ καὶ διὰ λειποψυχίαν, ἢ τὸ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν, ἢ τὸ πνίγεσθαι διὰ πλῆθος, καὶ μάλιστα ὅταν ψυχρὸν εἴη. γίνεται δὲ καὶ διὰ ὀδύνην ἰσχυρὰν ἐν τοῖς μέσοις τοῦ σώματος ὑπάρχουσαν, δι᾽ ἣν συστέλλεται μὲν ἡ φύσις εἰς ἑαυτήν, ἕπεται δὲ αὐτῇ καὶ τὸ αἷμα καταλεῖπον οὐ μόνον τὰ ἀκρωτήρια τοῦ σώματος, οἷον πόδας, καὶ χεῖρας, καὶ κεφαλήν, ἀλλὰ καὶ σύμπαν τὸ δέρμα. μερικὴν οὖν τινα αἰτίαν εἴρηκεν ὁ Ἱπποκράτης ἐν τῷδε τῷ λόγῳ, ψύξεως ἀκρωτηρίων, ὥσπερ, καὶ κατ᾽ ἄλλους πολλοὺς ἐδείχθη λόγους τοῦτο πεποιηκώς, καὶ θαυμαστὸν οὐδέν ἐστι τὸν ἐξευρίσκοντα πρῶτον πολλά, μὴ πάντων ὁμοῦ τὴν εὕρεσιν, ἀλλ᾽ ἑκάστου κατὰ μέρος ποιεῖσθαι.

GALENI COMMENTARIVS.

C

EXtremarum corporis partium refrigeratio fit quemadmodum & supra dictum est, tum propter inflammationis viscerum magnitudinem, tum ob animi defectum, tum quòd calor natiuus extinguatur, aut multitudine, presertim si frigida fuerit, suffocetur. Fit etiam propter vehementem dolorem altus et medias corporis partes occupantem, ob quem natura in se ipsam contrahitur *atque introrse recipit*, eamque sequitur sanguis, non solùm extremas corporis partes deserens, veluti pedes, manus, & caput; sed etiam cutim vniuersam. Particularem igitur quandam
D
hoc aphorismo Hippocrates causam attrahit frigoris partium summarum, quemadmodum in aliis quoque multis placitis hoc ipsum fecisse ostendimus. Nequaquam verò mirum est, qui primus multa adinuenit, eum non omnium simul; sed cuiusque sigillatim inuentionem fecisse.

E

Τὸν τεινεσμὸν τοῦ ἐκτρωσμοῦ αἰτίαν εἶναι. τί τεινεσμός.

Tenesmum abortus esse causam; Quid tenesmus.

ΑΦΟΡΙΣΜΟΣ κζ΄.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγινόμενος, ἐκτρῶσαι ποιέει.

APHORISMVS XXVII.

MVlieri vtero gerenti si tenesmus oboriatur abortum efficit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τὸ καλούμενον ἀπευθυσμένον ἔντερον, ὁ τεινεσμὸς γίνεται τὴν αὐτὴν ἔχων αἰτίαν τε, καὶ διάθεσιν, ἣν ἐν ταῖς δυσεντερίαις λαμβάνει τῶν ἄλλων τι τῶν ὑπερκειμένων ἐντέρων. ὀνομάζει δὲ τὸ πάθος ἀπὸ τῆς

GALENI COMMENTARIVS.

F

TEnesmus fit in recto intestino vocato, eandem & causam & affectionem habens, quam per dysenterias suscipit aliorum quoddam superiorum intestinorum. Hunc autem affectum ἀπὸ τῆς τάσεως, hoc est, à contentione

tione ab ea quæ ipso fit contentione nominari proferunt, quâ quum aluum soluere vehementer nituntur crebro expurgunt. Tali igitur contentione ac molesta sollicitatione cùm totum corpus, tum præ cæteris vterus recto intestino coalescens laborat. Nihil autem mirum est per vehementes ac frequentes exurrectiones, & contentiones conceptum aboriri, quum & propter alias vehementes, siue motiones, siue partus dolores grauidæ soleant abortire.

A πάσεως φασὶ τῆς γινομένης κατ' αὐτὴν, δι' ἣν καὶ προθυμούμενοι σφοδρῶς ἀποπατεῖν, ἐξανίστανται συνεχῶς. διὰ τὴν τοιαύτην οὖν ἔντασίν τε, καὶ κακοπάθειαν, τό, τ' ἄλλο πᾶν σῶμα κάμνει, καὶ μάλιστα πάντων ἡ μήτρα, συμφυὴς οὖσα τῷ ἀπευθυσμένῳ. θαυμαστὸν δ' οὐδὲν ἐπὶ σφοδραῖς τε καὶ συνεχέσιν ἐξαναστάσεσι, καὶ τάσεσι ἐκτιτρώσκεσθαι τὸ κυούμενον, ὅτι καὶ ἐπὶ ταῖς ἄλλαις σφοδραῖς ἤτοι κινήσεσιν, ἢ ὀδύναις τῆς κυούσης ἐκτιτρώσκεσθαι πέφυκεν.

B

Os persectum aut cartilaginem, aut neruum neque augeri, neque coalescere.

Ὀστέον διακοπὲν, ἢ χόνδρον, ἢ νεῦρον μήτε αὐξέσθαι, μήτε συμφύεσθαι.

APHORISMVS XXVIII.

Os quodcunque persectum fuerit, aut cartilago, aut neruus, neque augetur, neque coalescit.

ΑΦΟΡΙΣΜΟΣ κη'.

Ὅτι ἂν ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται, οὔτε συμφύεται.

C

GALENI COMMENTARIVS.

Atque hic aphorismus supra jam scriptus est his verbis; Quum os persectum fuerit, aut cartilago, aut neruus, aut tenuis genæ particula, aut præputium, neque augescit, neque coalescit; atque ipsum explicare sexto Commentario præcisimus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν ἤδη γέγραπται κατὰ τήνδε τὴν λέξιν. ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε συμφύεται, καὶ ἐφθάσαμεν αὐτὸν ἐξηγήσασθαι μετὰ τὸ ἕκτον ὑπόμνημα.

D

Leucophlegmatiam alui profluuio solui.

Τὸν λευκοφλεγματίαν ὑπὸ διαῤῥοίας λύεσθαι.

APHORISMVS XXIX.

Si alba pituita detento vehemens diarrhœa succedat, morbum soluit.

ΑΦΟΡΙΣΜΟΣ κθ'.

Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἰσχυρὴ ἐπιγένηται, λύει τὴν νόσον.

GALENI COMMENTARIVS.

E

Aliis quoque Medicis consuetum est quendam hyderum leucophlegmatiam, *seu albam pituitam appellare*; aut certè quod existat etiam liuido quædam pituita, aut sui quidem ratione perpetuò sit alba; sed propter quorundam aliorum humorum mixtionem verum sincerúmque colorem mutet. Potest etiam quemadmodum Libro de articulis scripsit, *Quæ in spina sunt vertebræ*, non qui tanquam sint alibi vertebræ distinguat; sed simplici adiectione vtatur: sic hoc quoque loco absque rei distinctione albi adiectionem fecisse. Iam verò à forti vel diuturna diarrhœa (vtroque enim modo scribitur) albæ pituitæ solui redundantiam commune est cum aliis etiam multis quæ similiter ab ipso dicta sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συνηθές ἐστι καὶ τοῖς ἄλλοις ἰατροῖς, ὀνομάζειν τινὰ λευκοφλεγματίαν ὕδερον, ἢ γοῦν ὡς καὶ πελιδνοῦ τινὸς φλέγματος, ἢ ὡς κατὰ μὲν τὸν ἑαυτοῦ λόγον ὑπάρχοντος ἀεὶ λευκοῦ, δι' ἐπιμιξίαν δέ τινα τῶν ἄλλων χυμῶν, μεταβάλλοντος τὸ ἀκριβὲς τῆς χρόας. δύναται δὲ, καὶ ὡς ἐν τῷ περὶ ἄρθρων ἔγραψε. σπόνδυλοι δ' οἱ κατὰ ῥάχιν, οὐχ ὡς οὐκ ὄντων τῶν σπονδύλων ἑτέρωθι διοριζόμενος, ἀλλ' ἁπλῇ προσθήκῃ χρώμενος, οὕτως κἀνταῦθα, χωρὶς διορισμοῦ τὴν προσθήκην τοῦ λευκοῦ πεποιῆσθαι. τὸ δ' ὑπὸ διαῤῥοίας ἰσχυρᾶς, ἢ χρονίας, ἑκατέρως γὰρ γράφεται, λύεσθαι τὴν τοῦ λευκοῦ φλέγματος πλεονεξίαν κοινὸν καὶ πρὸς ἄλλα πολλὰ τῶν οὕτως εἰρημένων αὐτῷ.

F

A

Τὰ μὲν ἀφρώδεα διαχωρήματα οὐκ ἐκ τῆς κεφαλῆς ἐπιρρέει. τοῦ ἀφρώδεος διαχωρήματος αἰτίαν συνεκτικὴν μίαν, προηγουμένας δὲ πλείους. τὴν φλέγματος μὴ διὰ τοῦ πνεύμονος εἰς τὴν γαστέρα μὴ γίνεσθαι, μήτε τὴν ἀφρώδεα ὕλην ἐκ τοῦ πνεύμονος ἀεὶ ἐκπτύεσθαι.

Spumosas deiectiones defluxionem à capite non perpetuò prodere. Spumosæ deiectionis causam continentem vnicam, antecedentes verò plures esse. Pituitæ viam non dari per pulmones in ventrem; nec spumosam materiam ex pulmone perpetuò expui.

ΑΦΟΡΙΣΜΟΣ λ'. B

APHORISMVS XXX.

Ὁκόσοισιν ἀφρώδεα τὰ ὑποχωρήματα ἐν τῇσι διαρροίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς φλέγμα καταρρέει.

Quibus per alui profluuia spumosæ sunt deiectiones, iis à capite pituita defluit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀδιορίστως εἴρηται τοῦτο. γένοιτο μὲν γὰρ ἄν ποτε τὸ διαχωρούμενον ἀφρῶδες, ἐκ τῆς κεφαλῆς ἐπιρρέοντος ὑγροῦ πνευματώδους εἰς τὴν γαστέρα. γένοιτο δ' ἄν ποτε καὶ τῶν εἰς αὐτὴν καθηκόντων ἀγγείων ἐκχεόντων αὐτό. C συσταίη δ' ἂν ἐνίοτε, καὶ κατὰ τὴν γαστέρα, μίαν μὲν ὡς ἂν εἴποι τις ἔχον αἰτίαν συνεκτικὴν, ὅπως ἂν ἐκκρίνηταί τε, καὶ γένηται, προηγουμένας δὲ πλείους. ἔστι δὲ ἡ συνεκτικὴ τοῦ τοιούτου φλέγματος αἰτία πνεῦμα φυσῶδες ἐν τῇ πρὸς ὑγρότητα μίξει σφοδρᾷ καὶ ἀνωμάλῳ κινήσει κεχρημένον, ὡς αὐτό τε θραυσθῆναι, καὶ τὸ φλέγμα θραῦσαι κατὰ πολλὰ καὶ σμικρὰ μόρια. τῆς δὲ τοιαύτης αὐτοῦ κινήσεως, ἥ, τε οἰκεία φύσις αἰτία, καί ποτε καὶ πλῆθος θερμασίας. οὕτως γοῦν ἐπί τε τῶν ἑψημένων ἀφρὸς ὁρᾶται, καὶ μάλιστα ὅταν ᾖ γλίσχρα τὴν φύσιν, ἔν τε τῇ θαλάττῃ, κατὰ τὰς βιαίας τῶν ἀνέμων ἐμβολάς. D ὅσοι δὲ ἡγοῦνται, διὰ τοῦ πνεύμονος εἰς τὴν γαστέρα τὴν ὁδοιπορίαν γίνεσθαι τῷ φλέγματι, καὶ διὰ τοῦτο ἀφρῶδες αὐτὸ φαίνεσθαι, οὐκ οἶδά τι φήσουσιν, ἐπὶ τῶν ἀπὸ κεφαλῆς σαφῶς εἰς πνεύμονα ῥευματιζομένων. ἐχρῆν μὲν γὰρ αὐτοὺς ἀφρώδη διαχωρεῖν. οἱ δ' οὔτε διαχωροῦσιν, οὐδ' ἀναβήττουσιν ἀφρώδη, καίτοι πολλάκις ἐναργῶς αἱ τραχεῖαι κατὰ τὸ σπλάγχνον ἀρτηρίαι, πλήρεις εἰσὶ τοῦ καταρρέοντος ἐκ τῆς κεφαλῆς, ὃ πεφθὲν μὲν ἀναπτύεται πύῳ παραπλήσιον, ἀφρῶδες δ' οὐ γίνεται. E ἀλλ' οὐδ' αἷμα διὰ παντὸς ἀφρῶδες ἀναπτύουσιν ἐκ πνεύμονος. ἔοικεν οὖν ὅταν ἐξ αὐτῆς τοῦ σπλάγχνου τῆς ἰδίας οὐσίας συναναφέρηταί τι ἀφρῶδες γίνεσθαι τὸ αἷμα. πτύουσι γε μὴν καὶ οἱ πλευριτικοί ποτε τὸ ἀφρῶδες, ἔτι τε σπανιώτερον αὐτῶν μᾶλλον οἱ περιπνευμονικοί. θερμασίας δέ μοι δοκεῖ ἀκράτου τε καὶ πυρώδους ἠθροισμένης ἐν τοῖς πάσχουσι μορίοις. εἰ δὲ τὸ καταρρέον ἐκ τῆς κεφαλῆς εἰς τὰς τραχείας ἀρτηρίας τοῦ πνεύμονος ὥς ἔνιοί φασι διεξέρχεται κάτω. F πρῶτον μὲν εἰς τὰς τῆς καρδίας κοιλίας αὐτὸ παραγίνεσθαι δεήσει, μετὰ δὲ τοῦτο δυοῖν θάτερον, ἤτοι διὰ τῆς κοίλης φλεβὸς, εἰς μὲν τὰ κυρτὰ τοῦ ἥπατος πρότερον, εἶτα ἐκεῖθεν εἰς τὰ σιμὰ, καὶ οὕτως διὰ

GALENI COMMENTARIVS.

Fiunt enim aliquando alui excrementa spumosa, flatulento humore ex capite ad ventrem defluente. Hoc indistinctè dictum est. Fiunt interdum & vasis ad ipsum porrectis illum effundentibus. Oboriuntur etiam interdum in ipso ventre vnicam, provt quispiam dixerit, causam continens, quomodocunque excernantur aut fiant, antecedentes verò plures. Est autem huius spumosæ pituitæ causa continens flatulentus spiritus, qui dum humori commiscetur, vehementi & inæquabili motione ita vtitur, vt & ipse dirumpatur, & pituitosum refringatur & in multas ac paruas partes comminuat. Eiusmodi verò motus ipsa causa est tum propriâ naturâ, tum nonnunquam etiam caloris copia. Sic enim & in iis quæ elixantur, ac maximè si lenta ac viscida naturâ fuerint, & in mari per violentos ventorum impetus spuma conspicitur. Porro qui pituitæ viam & transitum in ventrem per pulmonem fieri arbitrantur, atque ideo ipsam apparere spumosam, quid de iis qui in capite in pulmonem rheumatismo apertè laborant dicturi sint non video. Oportebat siquidem in ipsis alui excrementa spumosa esse. Verùm hi neque spumosa deiiciunt, neque extussiunt, etiamsi sæpe manifestò asperæ pulmonis arteriæ eo qui à capite defluxit humore oppletæ sint, qui concoctus puri quidem similis expuitur, spumosus autem nequaquam euadit. Quin ne sanguinem quidem spumosum ex pulmone semper expuunt. Videtur sanè quum de ipsa propria visceris substantia quicquam vnà effertur, sanguis esse spumosus. Pleuritici tamen interdum etiam spumosum expuunt; atque his ipsis multò rarius peripneumonici, calore scilicet, vt mihi videtur, intemperato atque igneo in partibus affectis collecto. Porrò si quod è capite defluit in asperas pulmonis arterias deorsum, vt nonnulli volunt ad sedem permeat; primùm in ventriculos cordis ipsum deuenire oportebit; deinde ex duabus alterum viam pergere, aut primùm per venam cauam ad iecoris gibba; indeque ad

sima deferri, atque ita per portas in intestinorum spiras peruenire; aut primum quidem in magnam arteriam, deinde sic in eam quæ mesenterium perreptat. Verùm quomodo vbi & sanguine sit permixtum, & vnà cum eo tot venas peruaserit, spumosum etiamnum maneat.

A τὴν πυλαίαν εἰς τὰς τῶν ἐντέρων ἕλικας. ἢ πρῶτον μὲν εἰς τὴν μεγάλην ἀρτηρίαν, εἶθ' οὕτως εἰς τὴν τοῦ μεσεντερίου. καὶ πῶς αὖ ἔτι μένει ἀφρῶδες ἀναμιχθέν τε τῷ αἵματι, καὶ τοσαύτας διεξελθὸν ἅμα αὐτῷ φλέβας.

Crassiora vrinarum sedimenta ac encoremata farinæ hordeaceæ crassiori similia, aut diuturni, aut lethalis morbi signa esse duabus historiis probat Galenus.

B Τὰ κριμνώδη τῶν οὔρων, καὶ τὰ ἐγκρήμματα τὰ τῆς μακρῆς τῆς ἀρρωστίας, ἢ θανατώδεως εἶναι σημεῖα δηλοῖ ὁ Γαληνὸς ἐν τῇ ἱστορίᾳ.

APHORISMVS XXXI.

QVibus febricitantibus in vrinis sedimenta crassiorem farinam referentia obrriuntur, longum morbum significant.

ΑΦΟΡΙΣΜΟΣ κα'.

Ὁκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀρρωστίην σημαίνουσι.

COMMENTARIVS GALENI.

HÆc quoque oratio adhibita distinctione vera fit, quæ ab experientia comprobatur. Crimnodes siquidem vrinas in prognostico perniciosas esse pronunciatum est; atque plurimi priusquam morbus diutius producatur, intereunt; qui verò ex ipsis seruati sunt, hi omnes diuturno morbo laborarūt, affectu nimirum in quo talis vrina redditur, multam coctionem efflagitante. Verū in Libris de crisibus, de omnibus vrinis pleniùs dictum est. Ex Epidemiis autem (satis enim mihi fuerit de duobus ægris tantummodo fecisse mentionem) primo quidem Libro de Sileno post tres aëris tempestates secundo loco scripto; de quo inter ea quæ de ipso refert Hippocrates, sic inquit; *Minxit affatim sub crassum in matella depositum, sedimentum crimnodes, extrema rursum frigida, vndecimo die morte peremptus est.* Tertio verò Libro de ægroto qui ordine tertius est, de quo historiam initio ita scripsit; *Qui in horto Dealcis decumbebat*; deinde paulò vlteriùs, *Vrinæ tenues, variæ suspensa, parua crassiori farinæ consimilia continentes.* Hunc autem dicit quadragesimo die iudicatum fuisse. Liquet igitur & his exemplis quicunque farinacea mejant si salui quidem euasuri sint, eos perdiu detineri; si verò exitialiter ægrotent, etiam posse celeriter perimi.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Καὶ οὗτος ὁ λόγος διορισθεὶς, ἀληθὴς γίνεται μαρτυρούμενος ὑπὸ τῆς πείρας. ὀλέθρια μὲν γάρ ἐστι τὰ κριμνώδη τῶν οὔρων, κἂν τῷ προγνωστικῷ λέλεκται, καὶ φθάνουσιν ἀποθνήσκειν οἱ πλεῖστοι, πρὶν χρονίσαι τὴν νόσον. ὅσοι δ' ἐξ αὐτῶν ἐσώθησαν, ἐχρόνισαν οὗτοι πάντες, ὡς ἂν πολλῆς τῆς πέψεως δεομένης τῆς διαθέσεως, ἐφ' ᾗ τὸ τοιοῦτον οὖρον οὐροῦσιν. εἴρηται δ' ἡμῖν ἐν τοῖς περὶ κρίσεων ὑπὲρ ἁπάντων οὔρων ἐπὶ πλέον, ἐν γε μὴν ταῖς ἐπιδημίαις. ἀρκέσει γάρ μοι δυοῖν ἀρρώστοιν μνημονεῦσαι, κατὰ μὲν τὸ πρῶτον, τοῦ μετὰ τρεῖς καταστάσεις δεύτερον γεγραμμένου Σιληνοῦ, περὶ οὗ κατὰ τὴν διήγησιν οὕτως εἶπεν. οὔρησεν ἀθρόως ὑπὸ τοῦ χυμοῦ κεκινημένον, ὑπόστασις κριμνώδης λευκὴ, ἄκρεα πάλιν ψυχρὰ, ἑνδεκάτῃ ἀπέθανε. κατὰ δὲ τὸ τρίτον, τοῦ τρίτου τῶν ἀρρώστων, περὶ οὗ κατὰ μὲν τὴν ἀρχὴν τῆς διηγήσεως οὕτως ἔγραψεν. ὁ κατακείμενος ἐν τῷ Δεάλκους κήπῳ. προελθὼν δὲ μετ' ὀλίγον, οὖρα λεπτὰ ποικίλα ἐναιωρήματα ἔχοντα σμικρὰ εἶναι κρίμνα. τοῦτον δέ φησι τεσσαρακοσταῖον κριθῆναι. δηλοῖ οὖν κἂν τούτοις τῶν παραδειγμάτων, ὅσοι μὲν σωθήσεσθαι μέλλουσι τῶν οὐρησάντων κριμνώδη, χρονίζουσιν. ὅσοι δὲ ὀλεθρίως ἔχουσι, τούτους ἐνδέχεται καὶ διὰ ταχέως ἀποθανεῖν.

Sedimentum biliosum vrinarum priùs tenuium acuti morbi signum esse.

Αἱ ὑποστάσιες χολώδεες πρότερον μὲν λεπταὶ, ὀξεῖαν ἀρρωστίην σημαίνειν.

APHORISMVS XXXII.

QVibus biliosa sedimenta suprà tenuia acutum morbum significant.

ΑΦΟΡΙΣΜΟΣ κβ'.

Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξεῖαν ἀρρωστίην σημαίνει.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν χολῶδες, ἀεὶ ὀξείας ἐργάζεται νόσους. εἴρηται γὰρ ἡμῖν ὅτι τὸν πικρόχολον χυμὸν, οὕτως ὀνομάζειν ἔθος ἐστὶ τοῖς παλαιοῖς ἰατροῖς, ὡς τόν γε μελαγχολικὸν, ἀεὶ μετὰ προσθήκης λέγουσι, οὐχ ἁπλῶς χολὴν ὡς τὴν ξανθὴν, ἀλλὰ μέλαιναν χολήν. τὸ δὲ ἄνωθεν λεπτὰ, τουτέστιν ὑδατώδεα, οὕτω γὰρ εἴωθεν χρῆσθαι τῇ τοῦ λεπτοῦ προσηγορίᾳ ὁ Ἱπποκράτης, δόξειεν ἂν οὐ καλῶς εἰρῆσθαι. τὸ γὰρ ὑδατῶδες οὖρον, ἄπεπτόν ἐστι, καὶ χρόνιον. ἐγὼ γοῦν οὐκ ἐθεασάμην ποτὲ οὖρον, ὡς τὸ ὑφιστάμενον ἐν αὐτῷ χολῶδες εἶναι, τὸ δὲ ἐπιπολάζον, ὑδατῶδες. οὐκ ἀλόγως οὖν ἔνιοι τῶν ἐξηγητῶν ἔφασαν, οὐ τόπου δηλωτικὸν ἀλλὰ χρόνου, τὸ, ἄνωθεν ἐπίρρημα νοεῖσθαι, καθάπερ εἰ καὶ οὕτως εἴρηται. τῶν οὔρων αἱ ὑποστάσεις ὅταν ἐξ ἀρχῆς μὲν ὦσι λεπταὶ, μετὰ δὲ ταῦτα χολώδεις γίνωνται, ὀξεῖαν ἀρρωστίαν δηλοῦσιν.

GALENI COMMENTARIVS.

BIliosus quidem humor acutos morbos semper efficit. Sic enim veteres Medicos pro consuetudine picrocholum humorem appellare diximus quemadmodum melancholicum, semper cum adjectione, non simpliciter bilem veluti flauam, sed atram bilem pronunciant. Illud verò, *suprà tenuia,* hoc est, aquosa (sic enim tenuis appellatione vti consueuit Hippocrates) non rectè dictum videretur. Aquosa siquidem vrina cruda est, diuturnumque morbum portendit. B Equidem nunquam spectaui vrinam, cuius sedimentum esset biliosum, & quod supernatat, aquosum. Non citra rationem igitur Interpretes nonnulli non locum, sed tempus hoc aphorismo per aduerbium, *suprà*, significari arbitrantur quasi dictum esset; Si vrinarum sedimenta ab initio tenuia, postea biliosa fiant, acutum morbum significant.

C

Διεστηκότα οὖρα ταραχῆς τῆς τοῦ σώματος ἰσχυρῆς σημεῖα εἶναι. Τί διεστηκὸς οὖρον.

Vrinas disparatas vehementis perturbationis corporis signa esse. Quid vrina disparata.

ΑΦΟΡΙΣΜΟΣ κγ'.

ΟΚόσοισι δὲ διεστηκότα [illegible] γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώμα[illegible]ἐστι.

APHORISMVS XXXIII.

QVibus disparatæ fiunt vrinæ, iis in corpore vehemens est perturbatio.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D

ΤΑ διεστηκότα κυρίως μὲν ἀκούοντι, ἀδύνατόν τι δηλώσει. συνεχὲς γὰρ ἑαυτῷ τὸ οὖρόν ἐστιν ἀεὶ, μηδεμίαν ἐν τῷ μέσῳ χώραν ἔχον κενήν. εἰ δὲ τὸ κατὰ τὴν σύστασιν ἀνώμαλον εἰρῆσθαι δεχοίμεθα, δεόντως εἶπε ταραχὴν ἰσχυρὰν αὐτὸ σημαίνειν. ἐπικρατούσης μὲν γὰρ τῆς φύσεως, ὁμαλῶς ἥνωται πάντα, στασιαζόντων δὲ τῶν νοσωδῶν αἰτίων αὐτῇ, τὸ μὲν κρατούμενόν τε καὶ πεττόμενον, ἑτέραν ἴσχει τὴν ἰδέαν, τὸ δὲ ἀνθιστάμενόν τε, καὶ στασιάζον, ἑτέραν. καὶ ὅταν γε πλείω τὰ τοιαῦτα ὑπάρχει, ποικιλωτέραν ἀποφαίνει τὴν ἀνωμαλίαν τῶν οὔρων, καὶ τὴν αἰτίαν αὐτῶν τὴν ταραχήν.

GALENI COMMENTARIVS.

SI diductæ vrinæ propriè accipiantur, quæ fieri nequeat res declarabitur. Continua siquidem est, sibique ipsi perpetuò cohærens vrina quæ nullum intermedium spatium vacuum sortitur. Si verò per vrinæ concretionem inæqualitatem dici concesserimus, meritò ipsam pronunciauit vehementem perturbationem significare: Nam dominante ac vincente natura, æquabiliter vnita sunt omnia. Morbificis verò causis in ipsam tumultuantibus, quod subigitur & coquitur, alteram *in vrina* præ se fert ideam: quod verò reluctatur ac tumultuatur, alteram; E quúmque plures sunt eiusmodi causæ, magis variam vrinarum inæqualitatem, eiusque causam perturbationem repræsentant.

Τί ἐν τοῖσιν οὔροισιν πομφόλυγες; ἐκ τίνων, καὶ ὅπως γίνονται, καὶ τί σημαίνουσιν.

Quid in vrinis bullæ; ex quibus & quomodo fiant; & quid significent.

ΑΦΟΡΙΣΜΟΣ κδ'.

F

ΟΚόσοισι δὲ ἐν τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνουσιν, καὶ μακρὴν ἀρρωστίην ἔσεσθαι.

APHORISMVS XXXIV.

QVibus in vrinis bullæ superstant, iis nephritim ac longum fore morbum significant.

GALENI COMMENTARIVS.

PRocreantur bullæ quum flatulentus humor spiritu circum extenditur. Id autem magis accidere consueuit, siquid lentoris humor sortiatur. Tunc etiam bullæ ipsæ manent diutiùs, ac difficilè soluuntur. Quum igitur flatulentus spiritus vnà cum vrinis excernitur, frigidæ renum inualetudinis signum est. Hæc enim flatulentum spiritum colligit, ob idque longum fore morbum prænunciat. Frigidum enim omne ægrè tum soluitur, tum coquitur, proindéque perdurat. Nonnulli porrò narrant aperta ab vrinarum acrimonia quæ renibus insunt arteriarum ora spiritum aliquem emittere qui cum vrinis illapsus bullas efficit.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΟμφόλυγες γίνονται, περιτεινομένης ὑγρότητος φυσώδει πνεύματι. μᾶλλον δὲ εἴωθε τὸ τοιοῦτον συμβαίνειν, ὁπόταν ἔχῃ τι γλίσχρον ἡ ὑγρότης. τηνικαῦτα δὲ καὶ αἱ πομφόλυγες αὗται, δύσλυτοί τε καὶ μόνιμοι γίνονται. σημεῖον οὖν ἐστὶ, τὸ, συνεκκρίνεσθαι τοῖς οὔροις πνεῦμα φυσῶδες, ἀρρωστίας νεφρῶν ψυχρᾶς. ἡ τοιαύτη γὰρ ἀθροίζει τὸ φυσῶδες πνεῦμα, καὶ διὰ τοῦτο φησὶν ἔσεσθαι τὴν ἀρρωστίαν μακράν. B τὸ γὰρ ψυχρὸν ἅπαν, δυσλυτόν τε, καὶ δύσπεπτόν ἐστι, καὶ διὰ τοῦτο χρόνιον. ἔνιοι δέ φασιν, ὑπὸ τῆς δριμύτητος τῶν οὔρων, ἀναστομουμένας τὰς κατὰ νεφροὺς ἀρτηρίας ἐκκρίνειν τι τοῦ πνεύματος, ὃ συνεξερχόμενον τοῖς οὔροις, τὰς πομφόλυγας ἐργάζεται.

Pingues dejectiones ac vrinas colliquationis partium, seu vrinas summas, pingues & confertas affectus renalis & acuti signa esse.

Αἱ λιπαραὶ διαχωρήσιες, καὶ τὰ οὖρα τῆς τῶν μερῶν συντήξεως, ἢ τὰ οὖρα λιπαρὰ καὶ ἀθρόα νεφριτικόν τε καὶ ὀξὺ νόσον σημαίνει.

C

APHORISMVS XXXV.

QVibus vrinarum summum pingue & confertum est, iis renalem & acutum morbum significant.

ΑΦΟΡΙΣΜΟΣ κέ.

ΟΚόσοισι δὲ λιπαρὴ ἡ ἐπίστασις, καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ καὶ ὀξέα σημαίνει.

GALENI COMMENTARIVS.

SIue deiectio, siue vrina sit pinguis, adipis fit colliquatione non magis in renibus, quàm toto animalis corpore commorantis: vnde neque proprium morbi renalis id signum est; sed omnis adipis ab igneo calore colliquefacti commune. Aut igitur ita intelligendus aphorismus, quò in iis quæ renum esse conceduntur affectionibus, hîc non affectionis genus; sed acumen tum dignoscat, tum prædicat Hippocrates: aut vt Interpretes nonnulli fecerunt verbum, *nephritica*, scriptum in phrenetica mutandum est; quanquam hoc neque solius phrenitidis, neque simplicis, neque incendentis, sed omnis colliquefacientis febris signum est. Porro nomen, *confertum* additum orationi, potest tum breuitatem temporis significare, tum etiam potest loci nihilominus. Quod enim in se coactum est & continens, id confertum vniuersúmque dicimus, distracto atque disperso contrarium. Atque hactenus ista à nostris etiam præceptoribus explicata sunt. Iam verò quod mihi videtur dicam. Conferta vox orationi præsenti addita mihi de temporis breuitate dici videtur, atque ideo adipis renum indicare colliquationem. In aliis siquidem corporis partibus liquefacti adipes paulatim non vniuersim cum vrina manant, traducta colliquatione in primas sibi vicinas venas, deinde in continuas, postremò rursum in a-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΕΙτε διαχώρησις εἴτ' οὖρον, ἢ λιπαρὸν, ἐπὶ συντήξει γίνεται πιμελῆς, οὐ μᾶλλόν τι τῆς κατὰ τοὺς νεφροὺς, ἢ τῆς καθ' ὅλον τὸ ζῶον. ὅθεν οὐδὲ νεφριτικὸν ἰδίως ἐστὶ τὸ σημεῖον, ἀλλὰ κοινὸν ἁπάσης πιμελῆς τηκομένης ὑπὸ θερμασίας πυρώδους. ἢ τοίνυν οὕτως ἀκουστέον ἐστὶν, ὡς ἐπὶ τῶν νεφριτικῶν εἶναι ὁμολογουμένων, οὐ τὸ γένος τοῦ πάθους, ἀλλὰ τὴν ὀξύτητα διαγινώσκοντός τε, καὶ προλέγοντος, ἐν τῷδε τοῦ Ἱπποκράτους, ἢ τὰ νεφριτικὰ μεταγραπτέον, ὡς ἔνιοι τῶν ἐξηγησαμένων ἐποίησαν εἰς τὰ φρενιτικά. καί τοι γε τοῦτο, οὐδὲ φρενίτιδος μόνης σημεῖον, οὔτε E τῆς ἁπλῶς, οὔτε τῆς διακαοῦς, ἀλλὰ παντὸς συντήκοντος πυρετοῦ. τό γε μὴν ἀθρόον προσκείμενον τῷ λόγῳ, δύναται μὲν καὶ τὴν τοῦ χρόνου βραχύτητα δηλοῦν, δύναται δ' οὐδὲν ἧττον, καὶ τὴν τοῦ τόπου. τὸ γὰρ ἐσφιγμένον ἑαυτῷ τε συνεχόμενον ἀθρόον ὀνομάζομεν, ἐναντίον ὑπάρχον τῷ διεσπασμένῳ. ταυτὶ μὲν οὖν ἄχρι τοσούτου, καὶ τοῖς διδασκάλοις ἡμῶν ἡρμήνευται. τὸ δέ μοι δοκοῦν, ἤδη φράσω. τὸ ἀθρόον προσκείμενον τῷ λόγῳ, δοκεῖ μοι κατὰ τοῦ χρόνου λελέχθαι, καὶ διὰ τοῦτο τῆς περὶ τοὺς νεφροὺς πιμελῆς ἐνδείκνυσθαι τῆξιν. αἱ γοῦν ἐν ἄλλοις μέ-F ρεσι τοῦ ζώου τηκόμεναι πιμελαὶ, κατὰ βραχὺ καὶ οὐκ ἀθρόως ἐπὶ τὴν οὔρησιν ἀφικνοῦνται, μεταλαμβανομένης τῆς συντήξεως εἰς τὰς πρώτας μὲν τὰς πλησίον αὐτῆς φλέβας, ἐφεξῆς δὲ τὰς συνεχεῖς. εἶτ' αὖθις εἰς ἄλλας τι

καὶ ἄλλας, μέχρι περ ἂν ἐπὶ τοὺς νεφροὺς ἀφίκηται. τῆς δὲ περὶ τοὺς νεφροὺς πιμελῆς τακείσης, μετάληψις εἰς οὖρα, ταχίστη τε ἅμα, καὶ οὐ κατὰ βραχύ. πᾶσα δὲ ἀθρόως γίνεται, καὶ διὰ τοῦτο περὶ τοῖς νεφροῖς αὐτοῖς ἐνδείκνυται τὴν διάθεσιν ὑπάρχειν. ἴστω δὲ τὴν πεῖραν εὑρήσεις μαρτυροῦσαν, ἐὰν ἀκριβῶς παραφυλάττῃς. καὶ μέντοι καὶ διττῆς οὔσης γραφῆς, ἐν τισὶ μὲν γὰρ ἀντιγράφοις ἐπίστασις, ἐν τισὶ δὲ ὑπόστασις γέγραπται, τὴν προτέραν ἀληθεστέραν εἶναι φαμέν, ἐφίσταται γὰρ ἀεὶ τὸ λιπαρὸν, οὐχ ὑφιζάνει. καὶ μέντοι καὶ τῇ τοῦ πρόσθεν ἀφορισμοῦ λέξει, συμφωνεῖ μᾶλλον ἡ τοιαύτη γραφή. κατ' αὐτὴν γὰρ εἶπεν ὁ Ἱπποκράτης, ὁκόσοισι δὲ ἐπὶ τοῖς οὔροις πομφόλυγες ἐφίστανται, νεφριτικὰ σημαίνει, καὶ μακρὴν τὴν ἀρρωστίαν ἔσεσθαι, ἀκόλουθον οὖν τὸ ἐφίστανται, τοῖς ἐφεξῆς εἰρημένοις ἐστίν. ὁκόσοισι δὲ λιπαρὰ ἡ ὑπόστασις καὶ ἀθρόως, τουτέοισιν νεφριτικὰ σημαίνει, καὶ ὀξεῖαν τὴν νόσον ἔσεσθαι.

lias atque alias, donec tandem in renes ipsa A peruenіat. Colliquefacti verò renum adipis in vrinas traductio celerrima est, neque paulatim; sed confertim fit, atque ideo renibus affectionem inesse indicat. Cui rei experientiam quoque astipulari comperies si diligenter obseruaueris. Cæterum quum gemina extet lectio (in quibusdam enim exemplaribus vrinarum *summum*, in aliis sedimentum scribitur) priorem veriorem esse dicimus. Supernatat enim semper quod pingue est, non subsidet. Ad hæc præcedentis aphorismi dictioni talis lectio congruit. B In illa enim dixit Hippocrates; *Quibus in vrinis bullæ superstant, iis nephritim ac longum fore morbum significant.* Superstant igitur verbum subsequentibus pronunciandis consentaneum est. Quibus vrinarum summum pingue & confertum est, iis renalem & acutum morbum significant.

Τὰ μὲν ἀλγήματα ἐπεστηριγμένα τοὺς μύας ῥαχιαίους περικαθήμενα τὸ ἔξω ἀπόστημα, τὰ δὲ εἴσω τὸ εἴσω ἀπόστημα σημαίνειν.

C Qui dolores ob firmati exteriores spinæ musculos obsident, eos exteriorem abscessum; qui interiores, interiorem futurum portendere.

ἈΦΟΡΙΣΜΟΣ λϛ'.

Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι, τὰ προειρημένα ξυμβαίνει σημεῖα, πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίνονται· ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, καὶ τὰ ἀποστήματα προσδέχου ἐσόμενα ἔξω. ἢν δὲ μᾶλλον οἱ πόνοι περὶ τοὺς εἴσω τόπους γίνονται, καὶ τὸ ἀπόστημα προσδέχου μᾶλλον ἐσόμενον εἴσω.

APHORISMVS XXXVI.

Quibus renum affectu laborantibus prædicta contingunt signa, doloresque spinæ musculis oboriuntur, si exteriores quidem locos obsideant, abscessus quoque futuros exteriores expecta: Si verò dolores D *interioribus locis magis insideant, abscessus etiam interiores magis futuros metue.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν μὲν τοῖς ἔμπροσθεν ἀφορισμοῖς, διαγνωστικὰ σημεῖα πασχόντων νεφρῶν ἔγραψεν· ἐν τούτῳ δὲ, περὶ τῶν ὁμολογουμένων ἐκ πλείονος χρόνου νεφριτικῶν εἶναι διδάσκει, λέγων ἐπ' αὐτῶν ἀπόστασιν ἔσεσθαι τοῖς προγεγραμμένοις σημείοις προσελθόντος πόνου, τουτέστιν ἀλγήματος κατὰ τοὺς ῥαχιαίους μῦς, οὓς καὶ ῥαχίτας ὀνομάζουσιν οἱ ἰατροί. διττὸν δέ ἐστι γένος τῶν μυῶν τούτων, ἓν μὲν ὄπισθεν ὑπὸ τῷ δέρματι, περιλαμβάνον ἑκατέρωθεν ὅλην τὴν ἄκανθαν. ἕτερον δὲ ἐν τοῖς πρόσω μέρεσιν ἐπιτεταμένον, οὐ καθ' ὅλης τῆς ῥάχεως, ἀλλὰ μόνων τῶν κατ' ἰσφὺν μερῶν. καθ' ὁποτέρους οὖν αὐτῶν ἐρείδῃ τὸ ἄλγημα, καὶ τὴν ἀπόστασιν ἐκεῖ γενήσεσθαι προσδέχου. πότερον δὲ τῶν νεφρῶν αὐτῶν ἐκπυησάντων, ἢ μόνων τῶν μυῶν, ἢ ποτε καὶ συναμφοτέρων, οὐκέτι διώρισεν. ἡ μέντοι πεῖρα δείκνυσιν ἅπαντα ταῦτα γινόμενα. καὶ γὰρ οἱ μύες ἐνίοτε μόνοι τοῦτο πάσχουσιν, ἤτοι γε οἱ ἔνδον τε πρόσω, ἢ οἱ ὀπίσω τε, καὶ ἔξω. καὶ χωρὶς τῶν μυῶν, οἱ νεφροὶ, ποτὲ μὲν εἴσω, ποτὲ δὲ ἔξω ῥεπούσης αὐτοῖς τῆς ἀποστάσεως.

GALENI COMMENTARIVS.

Superioribus quidem aphorismis, quibus signis affectus dignoscuntur, ea scriptis tradidit. In præsenti verò de iis agit quæ renum affectibus diuturno tempore laborantium esse conceduntur, futurum prædicens ipsis abscessum, si ad prius scripta signa labor accesse- E rit, hoc est dolor in iis spinæ musculis, quos rachiæ os & rachitas appellant Medici. Duplex autem est horum musculorum genus, vnum quidem *exteriorum* ponè sub cute totam spinam vtrinque complectentium; alterum verò *interiorum* partibus anterioribus non in totam spinam, sed solas lumborum partes porrectorum. Vtrascunque partes dolor firmus obsideat, illic abscessum quoque futurum metue. Vtrum verò renibus ipsis suppurantibus id fiat, an solis musculis, an vtrisque non explicauit Hippocrates. F Cæterum hæc omnia fieri ostendit experientia. Musculi nanque soli nonnunquam hoc patiuntur, vel interiores qui iidem sunt anteriores; vel posteriores qui & exteriores habentur: & sine musculis quoque renes officiuntur aliàs introrsum, aliàs extrorsum inclinante in ipsis abscessu.

A

Quid vomere, quid extussire. Sanguinis rejectionem periculosam esse, maximè quæ cum febre, aut inflammatione, aut vlcere sit. Quòd diuturnam sanguinis reiectionem sequatur febris.

Τί τὸ ἐμέειν, τί τὸ ἀναβήττειν. τὴν αἵματος ἀναγωγὴν εἶναι κινδυνώδη τὴν μάλιστα ἢ σὺν πυρετῷ, ἢ σὺν φλεγμονῇ, ἢ ἑλκώσει ᾖ. ὅτι τῇ αἱμοπτύσει ἕπεται πυρετός.

APHORISMVS XXXVII.

ΑΦΟΡΙΣΜΟΣ λζ.

B

QVi sanguinem vomunt, si citra febrem, salutare; si cum febre, malum. Hic affectus refrigerantibus & astringentibus curandus est.

Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον, ἢν δὲ ξὺν πυρετῷ, κακόν. θεραπεύειν δὲ τοῖς ψυκτικοῖσιν ἢ στυπτικοῖσιν.

GALENI COMMENTARIVS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

VOmitur ex stomacho & ventre; extussiuntur quæ ex aspera arteria & pulmone efferuntur. Nonnulli tamen huius Libri Enarratores verbum *vomunt*, etiam de iis dici autumant qui ex aspera arteria & pulmone sanguinem reiectant. Atqui salutarem esse hunc affectum, hoc est, ægros curari posse quum minime febricitant, nequaquam verum est. Si quis enim & quàmmaximè citra febrem ex pulmone sanguinem extussiat, non fieri huic curationem periculum impendet. Quod si *hæc sanguinis rejectio*, diuturna perseueret, omnino postea febres succedent. Quamobrem satius est hoc verbum, *vomunt*, propriè vsurpatum accipere, ac deinceps tum animaduertere, tum præfinire quid in ipso citra febrem vacet periculo, & quid periculi ex febre prodeat, aut non prodeat: Nam febre vacantibus liquet nullam loco inflammationem inesse vnde sanguis effertur. Quare vel vasis alicuius ore recluso, fit sanguinis vomitus, vel cum vlcere, sed citra inflammationem. At quæ citra inflammationem sunt vlcera, astringentibus facilè curantur: quæ verò & cum inflammatione simul & febribus existunt, non solùm curationem non sortiuntur, imò in eadem magnitudine permanere nequeunt: Nam maiora & maligniora semper euadunt.

C

Ἐμεῖται μὲν ἐκ στομάχου καὶ γαστρὸς, ἀναβήττεται δὲ, τὰ ἐκ τῆς τραχείας ἀρτηρίας ἀναφερόμενα καὶ πνεύμονος. ἔνιοι μέντοι τῶν ἐξηγησαμένων τὸ βιβλίον, εἰρῆσθαί φασι τὸ, ἐμέουσι, καὶ κατὰ τῶν ἐξ ἀρτηρίας τε, καὶ πνεύμονος ἀναγόντων αἷμα. καίτοι γε σωτήριον εἶναι τοῦτο τὸ πάθημα, τουτέστι θεραπευθῆναι δυνάμενον, ὅταν μὴ πυρέττωσιν οἱ κάμνοντες, οὐκ ἀληθές. εἰ γὰρ καὶ ὅτι μάλιστα χωρὶς πυρετοῦ τις ἐκ πνεύμονος ἀναβήττοι τὸ αἷμα, κίνδυνός ἐστι καὶ τούτῳ, μὴ θεραπευθῆναι, καὶ πάντως χρονίζοντος αὐτοῦ, γενήσονται ὕστερον καὶ οἱ πυρετοί. διὰ τοῦτο μὲν οὖν, ἄμεινον ἀκούειν, τοῦ, ἐμέουσιν, ὀνόματος ὡς κυρίως εἰρημένου, προσεπισκοπεῖσθαί τε, καὶ διορίζεσθαι τό, τε ἀκίνδυνον ἐν αὐτῷ, καὶ τὸ κινδυνῶδες ἐκ τοῦ πυρέττειν, ἢ μή.

D

τοῖς μὲν γὰρ ἀπυρέτοις, εὔδηλον ὡς οὐδεμία φλεγμονὴ κατὰ τὸν τόπον ἐστὶν, ὅθεν ἀναφέρεται τὸ αἷμα, ὥστε, ἤτοι κατ᾿ ἀναστόμωσιν ἀγγείου γίνεσθαι τὸν ἔμετον τοῦ αἵματος, ἢ μεθ᾿ ἑλκώσεως, ἀλλὰ χωρὶς φλεγμονῆς. θεραπεύεται δὲ τὰ χωρὶς φλεγμονῆς ἕλκη, ῥᾳδίως τοῖς στυπτικοῖς. ὅσα δὲ σὺν φλεγμονῇ τε ἅμα καὶ πυρετοῖς ἐστὶν, μὴ ὅτι θεραπείας τυχεῖν, ἀλλ᾿ οὐδ᾿ ἐπὶ τοῦ αὐτοῦ δύναται διαμεῖναι μεγέθους, ἀεὶ γὰρ μείζω καὶ κακοηθέστερα γίνονται.

E

Defluxionem in thoracem intra vigesimum diem suppurari. Quid venter superior. Vigesimum diem semper ab Hippocrate iudicatorium æstimari.

Τὸν κατάρροον ἐς τὸν θώρακα ἐν ἡμέραις, εἴκοσιν ἐκπυεῖσθαι. τί ἄνω κοιλία. τὴν ἡμέραν κʹ. διὰ παντὸς κρίσιμον ὑπὸ τοῦ Ἱπποκράτους διδάξεσθαι.

F

APHORISMVS XXXVIII.

ΑΦΟΡΙΣΜΟΣ λμʹ.

DEfluxiones in ventrem superiorem viginti diebus suppurantur.

Κατάρροοι ἐς τὴν ἄνω κοιλίην ἐκπυοῦνται ἐν ἡμέρῃσιν εἴκοσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄνω κοιλίαν νῦν ὀνομάζει, τὴν ὑπὸ τοῦ θώρακος περιγραφομένην, ἣν ὁ πνεύμων κατείληφε, καὶ διὰ τοῦτο, εἰς τοῦτον ἐκ τῆς κεφαλῆς ὁ κατάρρους φέρεται διὰ τῆς τραχείας ἀρτηρίας. ἐκπυΐσκεται δὲ τὸ πλεῖστον ἐν ἡμέραις εἴκοσι, καὶ οὐχ ὡς οἱ πλεῖστοι γράφουσιν, ἡμέραις εἴκοσι μιᾷ. διὰ παντὸς γὰρ ὁ Ἱπποκράτης τὴν κʹ. ἡμέραν κρίσιμον, οὐ τὴν καʹ. οἶδεν, ὡς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ὑπομνήμασιν ἔδειξα.

A GALENI COMMENTARIVS.

Svperiorem ventrem nunc appellat cauitatem thorace circunscriptam quam pulmo occupat; atque propterea in hunc per asperam arteriam fertur defluxio. Suppurat autem plerunque intra dies viginti, non vt multi scribunt intra vnum & vicesimum. Semper enim Hippocrates diem vicesimum iudicatorium statuit, non vicesimum primum, quemadmodum in Libris de diebus iudicatoriis demonstrauimus.

B

Τὰ τῆς κύστεως καμνούσης σημεῖα.

ΑΦΟΡΙΣΜΟΣ λθʹ.

Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸν περίναιον, καὶ τὸ ὑπογάστριον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

Vesicæ ægrotantis signa.

APHORISMVS XXXIX.

C *Si quis sanguinem & grumos meiat, & stranguria laboret, dolorque ad interfæmineum, imum ventrem, & pectinem concidat, vesicæ partes ægrotare significat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σχεδὸν μὲν ἐν ἅπασι τοῖς ἀντιγράφοις, ὁ ἀφορισμὸς οὗτος γέγραπται. περιελεῖν δὲ αὐτὸν χρὴ διὰ τὸν ἔμπροσθεν εἰρημένον. ἐξηγησάμεθα γὰρ αὐτὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων, τοιοῦτον ὑπάρχοντα τῇ λέξει, ἢν οὐρέῃ αἷμα, καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ εἰς τὸ ὑπογάστριον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσεῖ. κατὰ γοῦν αὐτὸν τὸν προκείμενον ἀφορισμὸν, ἡ τελευτὴ διττὴν ἔχει τὴν γραφὴν, μίαν μὲν ὡς προγέγραπται, ἑτέραν δὲ τὴν κύστιν νοσέειν σημαίνει.

GALENI COMMENTARIVS.

In omnibus fere exemplaribus hic aphorismus scriptus est; ipsum autem eximere oportet propter alterum suprà pronunciatum. Ipsum autem quarto horum Commentariorum his verbis scriptum explanauimus: *Si quis sanguinem & grumos meiat, & strangu-* D *riā laboret, dolorque in imum ventrem, & perinarem incidat, vesicæ partes laborant.* Porrò præsentis aphorismi finis geminam habet lectionem, vnam quomodo supra scriptus est, alteram in hunc modum, *vesicæ partes significat.*

Τὴν ἀκρατῆ ἐξαίφνης, γλῶσσαν ἢ τοῦ σώματος μέρος ἀπόπληκτον σημεῖον μελαγχολικὸν ἴδιον μὴ δοκιμάζει ὁ Γαληνός. τί ἡ γλῶσσα ἀκρατής; τὰ μελαγχολικὰ παθήματα λέγεται.

E Linguam derepente incontinentem signum melancholicum, aut partem sideratam proprium improbat Galenus. Quid lingua incontinens. Affectus melancholici recitantur.

ΑΦΟΡΙΣΜΟΣ μʹ.

Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτο γίνεται.

APHORISMVS XL.

Si lingua derepente incontinens, aut aliqua pars corporis siderata euadat, id signum est melancholicum.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀκρατῆ μὲν ὀνομάζει γλῶσσαν, ἤτοι τὴν ἀσθενῆ οὕτως ὡς μὴ διαρθροῦσαν ἀκριβῶς τὴν φωνὴν, ἢ τὴν ἀκίνητόν τε καὶ παραλελυμένην παντάπασιν. ἀπόπληκ-

GALENI COMMENTARIVS.

Incontinentem quidem linguam nominat quæ ita debilis ac instabilis est, vt inexplanatam prorsus vocem edat, aut immobilis, & omnino resoluta. Sideratam verò corporis

poris partem vocat quæ resoluta est. Cur autem hæc derepente oborta melancholica esse pronunciet ignoro. Enimvero melancholiæ quam certè etiam pro consuetudine Græci concedunt omnes, rectè ab ipso talia indicia sunt prodita, *Si metus & mæstitia longo tempore hominem obsideant, ac perseuerent, eiusmodi symptoma melancholicum.* Alioqui melancholicas affectiones esse dicimus cancros, elephantas, & præterea lepras, & psoras, & alphos nigros. Verùm neque talium affectionum aliquam, neque ab omnibus appellatam melancholiam, linguæ incontinentia præcedere videtur, vt neque partis alicuius sideratio. Quare superest, quemadmodum in quartana febre humorem melancholicum ipsius circuitus causam esse dicimus, sic etiam dictarum affectionum & linguæ incontinentiæ, & partis paralyseos, fierique posse vt propter humoris crassitudinem tales affectus consequantur, quales ex crassa & lenta & pituita ortum habent. Neutrum igitur commemoratorum dicemus simpliciter esse melancholicum, sicuti neque pituitosum simpliciter, sed pituitosum simul & melancholicum. At orationi additum est, *derepente* aduerbium propter noxas quæ paulatim tum ob scirrhosam inflammationem, tum intemperiem solutu difficilem contrahuntur.

τοῦ δέ τι τοῦ σώματος τὸ παραλελυμένον. διὰ τί δὲ ἐξαί-
A φνης γινόμενα ταῦτα μελαγχολικὰ ὑπάρχειν φησὶν, οὐκ οἶδα. μελαγχολίας μὲν γὰρ, ἣν δὴ καὶ συνήθως ἅπαντες Ἕλληνες ὁμολογοῦσιν, ὀρθῶς εἴρηται πρὸς αὐτοῦ τὰ τοιαῦτα γνωρίσματα, ἢν φόβος, ἢ δυσθυμία πολὺν χρόνον ἔχουσα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον. ἄλλως δὲ μελαγχολικὰ λέγομεν εἶναι πάθη, τούς τε καρκίνους, καὶ τοὺς ἐλέφαντας, ἔτι τε λέπρας, καὶ ψώρας, καὶ μέλανας ἀλφούς. ἀλλ' οὐδὲ τῶν τοιούτων παθῶν τινὸς, οὔτε τῆς ὑπὸ πάντων ὀνομαζομένης μελαγχολίας, ὁρᾶται
B προηγουμένη γλώσσης ἀκράτεια, καθάπερ οὐδὲ μορίου τινὸς ἀποπληξία. λοιπὸν οὖν ἐστι λέγειν, ὥσπερ ἐπὶ τεταρταίου πυρετοῦ, μελαγχολικὸν εἶναι φαμὲν αἴτιον, τὸν τῆς περιόδου χυμὸν, οὕτω καὶ τῶν εἰρημένων παθημάτων, τῆς τε κατὰ τὴν γλῶτταν ἀκρατείας, καὶ τῆς τοῦ μορίου παραλύσεως. καὶ δυνατόν γε τῷ πάχει τοῦ χυμοῦ τὰ τοιαῦτα ἀκολουθῆσαι παθήματα, καθάπερ τῷ παχεῖ τε, καὶ γλίσχρῳ φλέγματι. οὔκουν ἁπλῶς μελαγχολικὸν ἐροῦμεν εἶναι τῶν εἰρημένων ἑκάτερον, ὥσπερ οὐδὲ φλεγματικὸν ἁπλῶς, ἀλλὰ φλεγματικὸν καὶ μελαγχολικόν. τὸ δὲ
C ἐξαίφνης πρόσκειται τῷ λόγῳ, διὰ τὰς κατὰ βραχὺ γινομένας βλάβας, ἐπί τε φλεγμονῇ σκιρρουμένῃ, καὶ δυσκρασίᾳ δυσλύτῳ.

Singultum superpurgatis malum esse signum, ac præsertim senioribus.

Τὴν λύγγα ὑπερκαθαιρομένοις κακὸν εἶναι σημεῖον, τοῖς μάλιστα πρεσβυτέροις.

APHORISMVS XLI.

D

ΑΦΟΡΙΣΜΟΣ μα'.

SI superpurgatis senioribus singultus oboriatur, non bonum.

ΗΝ ὑπερκαθαιρομένων πρεσβυτέρων λύγξ ἐπιγένηται, οὐκ ἀγαθόν.

GALENI COMMENTARIVS.

HÆc oratio duas ob causas exposita est, tùm quatenus superpurgatis omnibus singultus non bonus est; tùm quatenus senibus mala omnia propter ætatis imbecillitatem deteriora ruunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΟινὸς οὗτος ὁ λόγος κατ' ἄμφω, καὶ καθ' ὅσον ἅπασι τοῖς ὑπερκαθαιρομένοις οὐκ ἀγαθὸν ἡ λύγξ, καὶ καθ' ὅσον τοῖς πρεσβυτέροις τὰ μοχθηρὰ πάντα, χείρω,
E διὰ τὴν ἡλικίας ἀσθένειαν.

Aquam calentem copiosam capiti affusam febres soluere. Quæ sint hæ febres.

Τὸ θερμὸν καὶ πολὺ τῇ κεφαλῇ καταχεόμενον τοὺς πυρετοὺς λύειν. Οἵ τινες ὦσι τινὲς οἱ πυρετοί.

APHORISMVS XLII.

ΑΦΟΡΙΣΜΟΣ μβ'.

F

SI febris à bile ortum non habeat, aqua copiosa & calida capiti affusa, fit febris solutio.

ΗΝ πυρετὸς μὴ ἀπὸ χολῆς ἔχεις, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου, ἐπὶ τῆς κεφαλῆς λύσις τοῦ πυρετοῦ γίνεται.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δηλοῖ σαφῶς ἐν τούτῳ τῷ λόγῳ, μὴ πάντας ἀπὸ χολῆς γίνεσθαι τοὺς πυρετούς· δηλοῖ δὲ καὶ ὅτι, πλὴν τῶν ἐπὶ χολῆς γινομένων, οἱ λοιποὶ πάντες, ὕδατος πολλοῦ καταχεομένου ἐπὶ τῆς κεφαλῆς λύονται. κατὰ τοῦτον γοῦν τὸν λόγον κἀν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἐπὶ Μελίτωνος ἔγραψε, λουτροῖς ἐχρήσατο κατὰ τῆς κεφαλῆς. οἵ τε γὰρ ἐπ' ἐγκαύσει, καὶ ψύξει γινόμενοι πυρετοί, πρὸς τῶν τοιούτων ὀνίνανται λουτρῶν, οἵ τ' ἐπὶ κόποις, οὐδὲν ἧττον, οἵ τε διὰ στέγνωσιν πόρων, εἴτε δι' ἔμφραξιν, εἴτε διὰ μύσιν στεγνωθέντων. ἀναπνεῦσαι γάρ, ἐπ' αὐτῶν χρή, καὶ διαφορηθῆναι τὴν πυρετώδη θερμασίαν. οὐ μὴν ὅταν γε φλεγμονή τις, καὶ χωρὶς φλεγμονῆς χυμῶν σηπεδών, ἀνάπτῃ τὴν πυρετώδη θερμασίαν, ὀνίνησι τὰ λουτρά, πρὶν ἤτοι κενωθῆναι τοὺς λυποῦντας χυμούς, ἢ πεφθῆναι. ἀλλὰ τά γε τοιαῦτα νοσήματα πλευρίτιδάς τε, καὶ περιπνευμονίας, ἡπατίτιδάς τε, καὶ σπληνίτιδας ἐκάλουν οἱ παλαιοί· σύμπτωμα τιθέμενοι τὸν πυρετὸν αὐτῶν, οὐκ αὐτὸ πάθος. ἐφ' ὧν δὲ χωρὶς μορίου φλεγμονῆς, οἱ κατὰ τὰς φλέβας χυμοὶ σηπόμενοι πυρετὸν ἀνάπτουσιν, ἐπ' ἐκείνων μόνων ἔλεγον ὑπὸ πυρετοῦ τὸν ἄνθρωπον ὀχλεῖσθαι, καὶ πυρετὸν ἔχειν αὐτόν. ἐπ' ἐκείνων δὲ καὶ τὰς διαφορὰς τῶν πυρετῶν ἔγραψαν, ἠπίαλον, καὶ λειπυρίαν, ἑλκώδη τε, καὶ τυφώδη, καὶ λοιμώδη, καὶ καῦσον. ἡπατίτην δὲ τὸν πυρετόν, καὶ σπληνίτην, ἢ περιπνευμονίτην, ἢ πλευρίτην οὐδεὶς εἶπεν, ὥστε νῦν ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει, περὶ τῶν αὐτῶν πυρετῶν μορίων, ἄνευ φλεγμονῆς. κατὰ μέντοι τὰ πλεῖστα τῶν ἀντιγράφων, οὐχ ὕδατος ἀλλ' ἱδρῶτος γέγραπται, τοιαύτην τινὰ ἔννοιαν ἐνδεικνυμένης τῆς γραφῆς. ἐὰν πυρετὸς μὴ ὑπὸ χολῆς ἔχῃ, πολὺς ἱδρὼς ἀπὸ τῆς κεφαλῆς καταρρέων λύει τὸν πυρετόν, οὐ δήπου τῆς κεφαλῆς μόνης ἐκχεῖσθαι τὸν ἱδρῶτα λέγοντος τοῦ Ἱπποκράτους, ἀλλ' ἀπὸ πρώτου φαινομένου μορίου περὶ παντὸς τοῦ σώματος δηλοῦντος. ἐπὶ ταύτῃ τῇ γραφῇ συμβήσεται τοὺς διὰ χολὴν πυρέττοντας, ὑπὸ τῶν τοιούτων ἱδρώτων μηδὲν ὀνίνασθαι, καὶ μὴν ἐναργῶς γε λύονται πολλάκις, οἵ τ' ἄλλοι πυρετοί, καὶ καθ' οὓς ἡ ξανθὴ χολὴ πλείστη, τριταῖοί τε, καὶ καῦσοι. βελτίων οὖν ἡ προτέρα γραφὴ θεραπείαν ἀληθῆ διδάσκουσα τοῦ γένους τῶν εἰρημένων πυρετῶν, ὅσοι διὰ κόπους, ἢ ἐγκαύσεις, ἢ ψύξεις, ἢ ὅλως στεγνώσεις τοῦ δέρματος γίνονται. τὸ μὲν οὖν μὴ ἀπὸ χολῆς ῥῆμα καὶ τὴν ὠχρὰν δύναται, καὶ τὴν μέλαιναν ἐνδείκνυσθαι χολήν. οὐ μὴν ἐπί γε ταύταις μόναις ἐνδεικνύμενον, ἀλλὰ καὶ διὰ φλέγμα σηπόμενον γίνεσθαι πυρετόν, καὶ κατὰ τοῦτο μόνον, ὁ ἀφορισμὸς οὐκ ἀληθεύειν δόξει, πλὴν εἰ τὴν σηπεδόνα τοῦ φλέγματος εἰς χολώδη χυμὸν ἀξιώσειέ τις μεταπίπτειν.

COMMENTARIVS GALENI.

Hoc aphorismo conspicue declarat omnes febres à bile ortum ducere, declarat quoque cæteras omnes febres (iis exceptis quæ ex bile procreantur) aqua tepente copiosa supra caput affusa solui. Hac igitur ratione primo etiam Epidemiorum de Melitone scripsit, *Lauationibus supra caput vsus erat.* Febres enim ab æstu & frigore concitatæ talibus lauationibus curantur; nec minus quæ ex lassitudinibus, & quæ ex meatuum exilium B angustia, siue propter obstructionem, siue conniuentiam & præclusionem coarctatorum obortæ sunt. Transpirare siquidem per ipsas oportet lauationes, febrilemque calorem discuti, dissiparique. Non tamen quum quædam inflammatio, aut citra inflammationem, humorum putredo igneum calorem accendit, balneæ sunt vtiles, nisi vacuatis priùs aut concoctis humoribus noxiis. Verùm huiusmodi morbi pleuritides, peripneumonias, hæpatides, & splenitides appellabant veteres qui febrem ipsam pro symptomate non pro C morbo ipso constituebant. In quibus verò sine partis inflammatione putrescentes in venis humores febrem accendunt, in his solis hominem febre vexari, ipsumque febrem habere dicebant. In his ipsis etiam febrium differentias scripserunt, epialam, lipyriam, heloden, typhoden, pestilentiam, & causum appellantes. Hepaticam verò febrem, aut lienosam, aut peripneumonicam, aut pleuriticam nemo protulit. Quare nunc Hippocrati habetur sermo de ipsis febribus quæ citra partium inflammationem existunt. Porro in plurimis exemplaribus non aqua, sed sudor scribitur, lectione aliquam eiusmodi sententiam D indicante. Si febris non ex bile ortum habeat, copiosus sudor è capite defluens febrem soluit. Non vtique ex solo capite sudorem effundi dicente Hippocrate; sed ex ea parte quæ prima oculis subjicitur, idem de vniuerso corpore significante. Hac igitur lectione qui ex bile febricitant eos ab huiusmodi sudoribus nihilo iuuari accidet. At profectò sæpe cùm aliæ multæ febres, tùm in quibus plurima est flaua bilis, tertianæ & ardentes sudoribus apertè soluuntur. Quare prior leE ctio præferenda est quæ veram earum febrium generatim curationem docet, quæ lassitudinibus, solis ardoribus, frigoribus, aut denique cutis constipationibus oboriuntur. Is verò textus, *non à bile*, tùm pallidam tùm atram bilem demonstrare potest; non tamen propter has solas, sed etiam & pituitam putrescentem excitari febrem ostendimus, atque, hac sola, verus aphorismus esse non videbitur, nisi quis putrefactione pituitam in biliosum humorem transire ac degenerare cenF suerit.

A

Mares amphidexios magis esse quàm mulieres; cur? Quid per ambidextram mulierem hîc intelligitur. Cur Amazones mammam dextram sibi adurebant?

Τοὺς ἄῤῥενας ἀμφιδεξίους μᾶλλον εἶναι ἢ τὰς γυναῖκας, διὰ τί. τί διὰ τῆς ἀμφιδεξίου γυναικὸς ἐνταῦθα ἐννοεῖται. Διὰ τί Ἀμαζονίδες σφίσιν ἐπέκαιον τὸν δεξιὸν τιτθόν;

APHORISMVS XLIII.

B *MVlier ambidextra non fit.*

ΑΦΟΡΙΣΜΟΣ μγ'.

ΓΥνὴ ἀμφιδέξιος οὐ γίγνεται.

GALENI COMMENTARIVS.

EVripides ancipitem & vtrinque scindentem gladium amphidexium appellauit, peridexium verò asteropæum Homerus, quòd ambabus manibus similiter vteretur quasi amphoterodexium dixisset. Eodem modo Aristophanes in Tagenitis hominem ampharisterum nuncupauit vtrimque sinistrum. Et Hipponax amphidexium dixit hoc iambo.

C

—Ego ambidexter sum, nec aberro nánque

Viri itaque qui ambabus manibus vt dextris vtuntur sæpe visi sunt, mulier verò ob naturæ imbecillitatem huc vsque nulla. Si nanque propter neruorum & musculorum robur *perrari* quidam viri ambabus manibus vtantur, par certè fuerit mulierem non vti, cui satis est si sola dextra mediocriter vtatur. Amasonidas siquidem ipse dixit mammam sibi dextram adurere, vt copiosiore alimento ad propinquam manum perueniente, maior ipsi firmitas accedat tanquam naturæ infirmæ ac debili. Nonnulli tamen amphidexiam mulierem dictam esse contendunt, quæ dextra vteri parte procreata sit. Atque his rursum absurdiùs alij qui de Hermaphroditis appellatis Hippocrati hunc aphorismum esse proferunt, in quo doceat mari quidem pudendum adnasci muliebre, mulieri verò virile nequaquàm.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ἈΜφιδέξιον Εὐριπίδης εἴρηκε σίδηρον, τὸν ἑκατέρωθεν μὲν τέμνοντα, περιδέξιον δὲ τὸν ἀστεροπαῖον Ὅμηρος, τὸν ἀμφοτέραις ταῖς χερσὶν ὁμοίως χρώμενον, ὡς εἰ καὶ ἀμφοτεροδέξιον εἰρήκει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἀμφαρίστερον Ἀριστοφάνης εἶπεν ἐν Ταγηνισταῖς ἄνθρωπον ἀμφοτέρωθεν ἀριστερόν, Ἱππῶναξ ἀμφιδέξιον ἔφη κατὰ τόνδε τὸν ἴαμβον.

—Ἀμφιδέξιος γάρ εἰμι, καὶ οὐχ ἁμαρτάνω.

D

Ἄνδρες μὲν οὖν, ἀμφοτέραις ταῖς χερσὶν ὡς δεξιαῖς χρώμενοι πολλάκις ὤφθησαν, γυνὴ δὲ οὐδεμία μέχρι δεῦρο, διὰ τὴν ἀσθένειαν τῆς φύσεως. εἴπερ γὰρ ἀμφοτέραις ταῖς χερσὶ διὰ ῥώμην τῆς κατὰ τὰ νεῦρα καὶ τοὺς μῦς δυνάμεως, ἄνδρες τινὲς χρῶνται, εἰκότως οὐδεμία γυνὴ χρήσεται, ἧ γε ἀγαπητόν ἐστι τῇ δεξιᾷ μόνῃ χρῆσθαι μετρίως. τὰς γοῦν Ἀμαζονίδας αὐτός φησιν ἐπικαίειν τὸν δεξιὸν τιτθόν, ἵνα εἰς τὴν πλησίον χεῖρα πλείονος τροφῆς ἀφικνουμένης, εὐρωστία τις αὐτῇ παραγένηται, ὡς τῇ φύσει γε καὶ ταύτης ὑπαρχούσης ἀσθενοῦς. ἔνιοι μέντοι φασὶν ἀμφιδέξιον εἰρῆσθαι τὴν ἐν τῷ δεξιῷ μέρει τῆς μήτρας γενομένην. καὶ τούτων ἔτι ἀλογώτεροι ἕτεροι, περὶ τῶν ἑρμαφροδίτων ὀνομαζομένων, τὸν λόγον εἶναι φασὶ τῷ Ἱπποκράτει, τῷ μὲν ἄῤῥενι προσγίνεσθαι φάσκοντι γυναικεῖον αἰδοῖον, τῇ θηλείᾳ δὲ, μὴ προσγίνεσθαι τὸ ἀνδρεῖον.

E

Quæ suppuratorum signa bona & mala operatione deteguntur. Quid suppuratio, & quid per suppurationem intelligitur.

Ἅτινα τῶν ἐμπύων σημεῖα τὰ καλά τε, καὶ τὰ πονηρὰ διὰ τῆς χειρουργίας ἀποτελάζεται· τί τὸ ἐμπύημα, καὶ τί διὰ τοῦ ἐμπυήματος ἐννοεῖται.

APHORISMVS XLIV.

F *QVi suppurati vruntur aut secantur, si pus purum & album effluat, euadunt; si subcruentum & cœnosum & graueolens, pereunt.*

ΑΦΟΡΙΣΜΟΣ μδ'.

ὉΚόσοισι ἔμπυοι καίονται, ἢ τέμνονται, ἢν μὲν τὸ πύον καθαρὸν ῥυῇ, καὶ λευκόν, περιγίνονται, ἢν δὲ ὕφαιμόν τε, καὶ βορβορῶδες, καὶ δυσῶδες, ἀπόλλυνται.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐμπυήματα μὲν εἴωθεν ὀνομάζειν, οὐ τὰ κατὰ θώρακα μόνον, ἀλλὰ καὶ τὰ καθ᾽ ὁποιοῦν μόριον ἄλλο τοῦ σώματος, εἰς πύον ἀλλοιωθέντα φύματα. μόνους δὲ ἐμπύους προσαγορεύει τοὐπίπαν ἐξαιρέτως, οἷς μεταξὺ θώρακός τε, καὶ πνεύμονος ἤθροισται τὸ πύον, οὓς ὅτι συνήθως ἐκάλουν οἱ παλαιοί, μαθεῖν ἔστι καὶ ἐξ ὧν εἴρηκε Πλάτων ὁ Κωμικὸς ἐπὶ Κινησίου κατὰ τήνδε τὴν ῥῆσιν. μετὰ ταῦτα δὲ Εὐαγόρου ὁ παῖς ἐκ πλευρίτιδος Κινησίας σκελετός, ἄπυος, καλάμινα σκέλη φορῶν, ὑπαρυφάδης φθόης προφήτης, ἐσχάρας κεκαυμένος πλείστας ὑπ᾽ Εὐρυφῶντος ἐν τῷ σώματι. ὅτι δέ, τὸ μὲν πύον τὸ λευκόν, ἀγαθόν ἐστι, τὸ δὲ βορβορῶδες καὶ δυσῶδες, μοχθηρόν, οὐδεὶς ἀγνοεῖ.

GALENI COMMENTARIVS.

Empyemata consueuit nominare non quæ in thorace duntaxat, sed etiam quauis in alia parte in pus mutata sunt tubercula. Præ cæteris verò empyos aut suppuratos vocitat plerunque solos, quibus inter pectus & pulmonem pus collectum est; quos vrere consueuisse veteres ex is licet discere quæ Plato comicus in Cinesia his verbis dixit. Postea verò Euagoræ filius Cnesias è pleuritide sceletus & aridus, pure vacans arundinacea gerens crura, tabis prænuncius, plurimis escharis corpus inustus ab Euriphonte in concionem prodiit. Quòd autem pus album bonum sit, fœculentum verò & fœtidum malum, nemo ignorat.

B

C

Τὰ τοῦ ἥπατος διαπύου ἀνεῳγμένου ἐκ τοῦ πύου ληφθέντα σωτήριά τε, καὶ θανάσιμα.

Signa suppurati iecoris aperti ex pure sumpta salutaria & lethalia.

ΑΦΟΡΙΣΜΟΣ μέ.

Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πύον καθαρὸν ῥυῇ, καὶ λευκόν, περιγίνονται, ἐν χιτῶνι γὰρ τὸ πύον τουτέοισίν ἐστιν. ἢν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται.

APHORISMVS XLV.

Qui suppurato iecore aduruntur, si pus purum albumque fluat, sospites euadunt (in tunica nanque his pus inest) si verò qualis amurca fluat, pereunt.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτὸς εἶπε τὴν αἰτίαν δι᾽ ἣν οἱ μὲν ἀπόλλυνται τῶν οὕτως ἐχόντων, οἱ δὲ περιγίνονται· καὶ γὰρ οἷς ἐν χιτῶνι τὸ πύον ἐστὶ μηδὲν πεπονθυίας τῆς οὐσίας τοῦ σπλάγχνου, σώζονται πάντες, οἷς δ᾽ ἄχρι τῆς τοῦ ἥπατος σαρκὸς ἡ φθορὰ διήκει, δεόντως ἀποθνήσκουσιν. ὅτι δὲ ἀμόργην ὀνομάζουσιν οἱ Ἕλληνες τὴν ὑπόστασιν τοῦ ἐλαίου, καὶ ὅτι τοιαύτης εἰκὸς γίνεσθαι τὴν ἄπεπτον σηπεδόνα τοῦ ἥπατος, εὔδηλον παντί.

GALENI COMMENTARIVS.

Ipse causam pronunciauit ob quam qui ita affecti sunt, eorum quidam intereunt, quidam euadunt. Etenim quibus est in tunica pus, illæsa visceris substantia, seruantur omnes: quibus verò in carnem vsque iecoris corruptio penetrat, ij ratione moriuntur. Quòd autem amorgen amurcam olei fœcem Græci nominent, quódque ipsi similem par sit esse iecoris crudam putredinem omnibus manifestum sit.

E

Προσγεγραμμένον εἶναι τοῦτον ἀφορισμὸν τῷ Ἱπποκράτει γράφει ὁ Γαληνός, ἐν καθ᾽ ἣν αἴσθησιν αὐτὸς φιλοσοφῇ, οἱ φύλακες σκεπτέσθωσαν ἰατροί.

Ascriptum esse hunc aphorismum Hippocrati scribit Galenus quem quô sensu ipse explicet aduertant Medici vigiles.

ΑΦΟΡΙΣΜΟΣ ϛ΄.

F

Ὀφθαλμῶν ὀδύνας ἄκρητον πιπίσας, καὶ λούσας πολλῷ θερμῷ, φλεβοτόμει.

APHORISMVS XLVI.

In oculorum doloribus epoto mero, & copiosâ calidâ loto corpore *venam secato.*

A

GALENI COMMENTARIVS.

HIc aphorismus mihi quoque videtur ex ascriptitiis esse, quum vni ex supra commemoratis minime congruat docenti: *Oculorum dolores meri potionem, aut balneum, aut fomentum, aut venæ sectionem, aut purgationem soluere.* Atque hunc sanè aphorismum sexto Commentario explanauimus, ostensis iis affectibus in quibus singula remedia ad vsum ducenda sint. Propositus verò aphorismus in vno affectu tribus præsidiis vtendum esse iubet. Quandiu verò hunc aphorismum tanquam legitimum explicuerint, neque nos quisnam is sit affectus docuerint, eorum explanationibus nequaquam fidem adhibebimus. At quæ dicunt ii qui omnibus modis aliquid etsi purum probabile dicere contendunt, sunt huiusmodi. In quibus crassus sanguis redundat, atque idcirco vacuatione eget, in his melius esse putant sanguinem priùs fundere, deinde vti phlebotomia; fusilem autem fore & renuatum iri, si meracum ægri bibant, & se balneis lauerint. Verùm in artis operibus exercitati planè norunt talia proloquutos proloquiorum suorum periculum nunquam fecisse: Neque enim vinum, neque balneum citra maximum detrimentum plethorica fert affectio. Sed hæc sunt crassi sanguinis parti cuidam impacti citra vniuersi corporis plenitudinem præsidia. Sic enim Asclepiades vino vtitur post totius corporis vacuationem enstaseōn curandarum gratiâ. Quod si totius sit corporis plenitudo priùs inter bibendum & lauandum dirumpentur tunicæ, quàm earum expediatur obstructio. Quare si citra plenitudinem dolor oboriatur propter obstructionem & cuneationem crassi sanguinis, rectè quidem lauerint illi & vinum dederint, non etiam venam secuerint. Si verò plenitudo fuerit, tùm rectè venam secabunt, male verò lauationibus & vino vtentur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν παραγεγραμμένων εἶναί μοι δοκεῖ καὶ οὗτος ὁ ἀφορισμὸς, οὐχ ὁμολογῶν ἑνὶ τῶν ἔμπροσθεν εἰρημένων, τὸ, ὀδύνην ὀφθαλμῶν ἀκρατοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει. τοῦτον μὲν τὸν ἀφορισμὸν ἐξήγημαι κατὰ τὸ ἕκτον ὑπόμνημα, δεικνὺς τὰς διαθέσεις, ἐφ' ὧν ἕκαστον χρὴ τῶν

B

βοηθημάτων ἄγειν εἰς χρῆσιν. ὁ δὲ νῦν προκείμενος ἀφορισμὸς, ἐπὶ μιᾶς διαθέσεως ἀξιοῖ χρῆσθαι τοῖς τρισὶ βοηθήμασιν. εἰ μὲν οὖν ἔχει τις ἡμᾶς διδάξαι τὴν διάθεσιν, ἐφ' ἧς χρεία τῶν τριῶν ἐστὶ βοηθημάτων, εἰσόμεθα χάριν αὐτῷ. μέχρι δ' ἂν ἐξηγῶνται μὲν τὸν ἀφορισμὸν ὡς γνήσιον, μὴ διδάσκωσι δ' ἡμᾶς τὴν διάθεσιν, οὐ πεισόμεθα ταῖς ἐξηγήσεσιν αὐτῶν. ἃ γοῦν λέγουσιν, οἱ ὅλως ἐγχειρήσαντες εἰπεῖν τι, κἂν μετρίως πιθανά ἐστι τοιαῦτα. ἐφ' ὧν αἷμα παχὺ τὸ πλεονάζον ἐστὶ, καὶ διὰ τοῦτο, κενώσεως χρῆζον, ἄμεινον νομίζουσι χέαντες πρότερον αὐτὸ,

C

μετὰ ταῦτα χρῆσθαι τῇ φλεβοτομίᾳ, χεθήσεσθαι δὲ, πινόντων τὸν ἄκρατον τῶν καμνόντων, καὶ λουσαμένων. ἀλλ' οἱ ταῦτα λέγοντες, ὅτι μηδέ ποτε διὰ πείρας ἦλθον ὧν λέγουσιν, ἀκριβῶς ἴσασιν οἱ τῶν ἔργων τῆς τέχνης τρίβωνες. οὔτε γὰρ οἶνον, οὔτε λουτρὸν ἀνέχεται ἡ πληθωρικὴ διάθεσις, ἄνευ μεγίστης βλάβης, ἀλλ' ἔστι ταῦτα τὰ βοηθήματα, ταχέως αἵματος ἐσφηνωμένου κατά τι μόριον, ἄνευ τοῦ καθ' ὅλον τὸ σῶμα πλήθους. οὕτω γοῦν καὶ ὁ Ἀσκληπιάδης οἴνῳ χρῆται μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν, ὑπὲρ τοῦ τὰς ἐνστάσεις ἰᾶσθαι. πλήθους δ' ὄντος ἐν

D

ὅλῳ τῷ σώματι, διαρρηγνῦναι φθάνουσιν οἱ χιτῶνες ὀφθαλμῶν ἐν αὐτῷ τῷ πίνειν τε, καὶ λούεσθαι, ὥστε εἰ μὲν ἄνευ πλήθους ἡ ὀδύνη γίγνοιτο, δι' ἔμφραξίν τε, καὶ σφήνωσιν αἵματος παχέος, ὀρθῶς μὲν λούσουσί τε, καὶ οἶνον δώσουσιν, οὐκ ὀρθῶς δὲ φλεβοτομήσουσιν. εἰ δὲ πλῆθος εἴη, καλῶς μὲν φλεβοτομήσουσιν, οὐκ ὀρθῶς δὲ λούσουσιν, καὶ οἶνον δώσουσιν.

E

Hydropici signum lethale.

APHORISMVS XLVII.

HYdrope laborantem si tussis detineat, desperatus est.

Θανάσιμον τοῦ ὑδρωπιῶντος σημεῖον.

ΑΦΟΡΙΣΜΟΣ μζ.

ΥΔρωπιῶντα ἢ βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν.

GALENI COMMENTARIVS.

F

HÆc sententia suprà iam pronunciata est. Hydropicis tussis succedens, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟῦτο πρόσθεν εἴρηται. τοῖς ὑδρωπικοῖς βὴξ ἐπιγινομένη κακόν.

A

Ἡ στραγγουρία καὶ δυσουρία ὁρίζεται καὶ διορίζεται, καὶ τῆς ἑκατέρας διὰ θωρήξεως καὶ φλεβοτομίας θεραπεία ὑποδεξομένη διδάσκεται.

Stranguria ac dysuria definiuntur ac distinguuntur, & vtriusque curatio per thorexin & phlebotomiam suscipienda docetur.

ΑΦΟΡΙΣΜΟΣ μη'.

Στραγγουρίην, καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει, τέμνειν δὲ τὰς εἴσω.

APHORISMVS XLVIII.

B *Strangiriam & dysuriam thorexis & venæ sectio soluit. Interiores autem venæ secandæ sunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν ἡ στραγγουρία τὴν κατὰ στράγγα τῶν οὔρων ἀπόκρισιν δηλοῖ, τὸ ὄνομα αὐτὸ διδάσκει. δυσουρία δὲ δύναται μὲν καὶ ἡ μετ' ὀδύνης οὔρησις εἰρῆσθαι, δύναται δὲ, καὶ ἡ μετὰ δυσχερείας τινὸς, ὡς μόγις ἐνεργεῖν τὴν κύστιν. τὴν μὲν οὖν στραγγουρίαν αὐτῶν τε τῶν οὔρων ἐργάζεται ἡ δριμύτης, ἀῤῥωστία τε τῆς καθεκτικῆς ἐν τῇ κύστει δυνάμεως, ἥτις γίνεται διὰ δυσκρασίαν, καὶ μάλιστα τὴν ψυχράν. τὴν δὲ δυσουρίαν, εἰ μὲν μετ' ὀδύνης εἴη, φλεγμονὴ, καὶ ἀπόστημα, καὶ ἕλκωσις ἀνώμαλός τε δυσκρασία, καὶ πνεῦμα φυσῶδες· εἰ δὲ δυσχερής τις κίνησις εἴη, ἢ ἀῤῥωστία δυνάμεως, ἢ παρὰ φύσιν ὄγκος. ἐκ τούτων ἁπασῶν τῶν διαθέσεων, τὴν μὲν ψύξιν ἡ θώρηξις λύει, τουτέστιν ἤτοι ἁπλῶς οἴνου πόσις, ἢ ἀκρατεστέρου. καὶ μέντοι τὴν τοιαύτην φλεγμονὴν, ἥ τις διὰ ἔμφραξιν παχέος αἵματος ἄνευ πλήθους ἐγένετο. τὴν δὲ σὺν πλήθει φλεγμονὴν, ἤδη δὲ καὶ τὴν ἄλλην, ὅση χωρὶς μὲν ἐνδείας ἐστὶ, μετ' εὐρωστίας δὲ δυνάμεως, ἰᾶται φλεβοτομία. περὶ δὲ τοῦ τέμνειν τὰς εἴσω φλέβας, εἴρηταί μοι κατὰ τὸ πρὸ τούτου βιβλίον, ἐν ᾧ τόνδε τὸν ἀφορισμὸν ἐξηγούμην, δυσουρίην φλεβοτομίη λύει, τέμνειν δὲ τὰς εἴσω.

GALENI COMMENTARIVS.

Quòd stranguria vrinæ guttatim stillantis excretionem significet, nomen ipsum docet. Dysuria verò dici potest tum quæ cum dolore fit mictio, tùm quæ cum quadam difficultate; adeout vix functionem suam obeat vesica. Porro stranguriam tum C vrinæ ipsius efficit acrimonia, tum retentricis facultatis vesicæ imbecillitas, quæ ob intemperiem fit, potissimumque frigidam. Dysuriam quidem si cum dolore fuerit inflammatio, & abscessus, & vlceratio, & inæqualis intemperies, & flatulentus spiritus faciunt; si verò difficilis quædam vesicæ motio extiterit, tùm vel facultatis imbecillitas, vel tumor contra naturam causa est. Inter hos omnes vesicæ affectus frigidum morbum soluit thorexis, hoc est, vini simpliciter potio, vel meracioris, eamque præterea inflammatio- D nem quæ propter obstructionem sanguinis crassioris citra plenitudinem facta sit; quæ verò cum plenitudine orta est inflammatio, imò etiam quæ sine defectu fit & cum virium robore, vtramque sanat venæ sectio. Cæterum de venis interioribus secandis superiore Libro à me dictum est, in quo mihi explicatus est aphorismus ille, dysuriam phlebotomia soluit. Vena autem interior incidenda est.

E

Ἀγαθὰ τῆς κυνάγχης σημεῖα.

Bona anginæ signa.

ΑΦΟΡΙΣΜΟΣ μθ'.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθει ἐπιγινόμενον, ἀγαθόν. ἔξω γὰρ τρέπεται τὸ νόσημα.

APHORISMVS XLIX.

Ab angina detento si tumor & rubor in pectore oboriantur, bonum; foras namque vertitur morbus.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν εἴρηται κατὰ τήνδε τὴν λέξιν. ὑπὸ κυνάγχης ἐχομένῳ, οἴδημα γενέσθαι ἐν τῷ βρόγχῳ, ἀγαθόν. ἐξήγημαι δὲ αὐτὸν ἐν

GALENI COMMENTARIVS.

Hic aphorismus antea his verbis scriptus est: *Anginâ correpto ceruicis tumorem oboriri, bonum*; quem quidem explicaui quar-

co horum Commentariorum. Hic igitur ascriptus esse videtur, volente quopiam illud adjungere, *foras enim morbus vertitur.*

Quibus sideratum est cerebrum, eos tribus diebus interituros. Quid sideratio, gangræna, necrosis.

APHORISMVS L.

QVibus cerebrum sideratum est, ii intra tres dies intereunt; si vero hos effugerint, sani euadunt.

GALENI COMMENTARIVS.

SIderari quidem (vt plerunque Libro de fracturis & articulis pronunciauit) pro corrumpi vsurpat vocabulum. Hic verò cerebri corruptionem intelligere non possumus hoc textu addito. *Si vero hos effugerint, sani euadunt.* Si nanque sphacelus totius substantiæ sit corruptio partis cuiusque sideratæ, qui ita laborat, curationem non admittit. Num igitur interdum huius verbi abusu, quum qui hanc in affectionem incidere incipiunt, eos nondum planè ipsam completam habere significent: Eiusmodi enim nonnulla carnosis etiam partibus per gangrænas accidunt, quum affectus ob inflammationis magnitudinem parti laboranti, & anæsthesiam *sensus vacuitatem*, & nigritiem, aut omnino cadauerosum quemdam colorem conciliat. Eum autem etiam gangræna laborare dicimus qui hunc in affectum incidere incipit. Quemadmodum igitur iam completam eoque progressam gangrænam vt pars emoriatur, sanare non licet, dum verò adhuc generatur, licet: sic etiam sphacelum. Quanquam carnosarum etiam partium necrosin quæ inflammationis sequitur magnitudinem, & quam Medici gangrænam propriè nominant, etiam sphacelum Græci appellabant. Ita sanè Herodotus Cambysis femur syderari dixisse mihi videtur; cerebrum quoque siderari solùm ita quispiam diceret. Atque etiam quamobrem cita mors siderato cerebro oboriatur manifestum est, tum quia grauissimus, tum quia pars maximè princeps. Quòd si tribus primis diebus æger priùs non interierit, sed ad quartum diem perueniat, morbum declinare, & vires ita roborari sperandum est, vt morbum omnino euicerint.

A τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων. ἐνταῦθα οὖν ἔοικε προσγεγράφθαι προστεθεῖναι, τινὸς βουληθέντος, τὸ, ἔξω γὰρ τρέπεται τὸ πάθος.

Ὅσοις σφακελισθῇ ὁ ἐγκέφαλος, τούτοις ἐν τρισὶν ἡμέραις θανουμένοις. τί σφάκελος, τί γάγγραινα, τί νέκρωσις.

B

ΑΦΟΡΙΣΜΟΣ ν'.

Ὁκόσοισι σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

ΤΟ σφακελίζειν μὲν, ὡς πολλάκις εἴρηκεν ἐν τῷ περὶ ἀγμῶν καὶ ἄρθρων, ἐπὶ τοῦ διαφθείρεσθαι τοὔνομα φέρει. ἐνταυθοῖ οὐκ ἐγχωρεῖ φθορὰν ἀκοῦσαι τοῦ ἐγκεφάλου, προσκειμένου τοῦ· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται. εἰ γὰρ δὴ φθορὰ τῆς οὐσίας ἐστὶν ὅλης ἑκάστου τῶν σφακελιζόντων μορίων ὁ σφάκελος, οὐκ ἐνδέχεται θεραπευθῆναι τὸν οὕτω κάμνοντα. μή ποτε οὖν ἐνίοτε οὕτω καταχρώμενοι φέρουσι τοὔνομα, καὶ κατὰ τῶν ἀρχομένων μὲν ἐμπίπτειν τῇ διαθέσει, μηδέπω δ' ἀκρι-
D βῶς ἐχόντων αὐτὴν συμπεπληρωμένην. τοιαῦτα γάρ τινα κἀπὶ τῶν σαρκωδῶν μορίων ἐν ταῖς γαγγραίναις συμβαίνει, τοῦ μὲν πάθους αὐτοῦ διὰ μέγεθος τῆς φλεγμονῆς, ἀναισθησίαν τε, καὶ μελασμὸν, ἢ πάντως γε νεκρώδη τινὰ χροιὰν ἐπιφέροντος τῷ πάσχοντι μορίῳ. γαγγραινοῦσθαι δὲ λέγομεν καὶ τὸν ἀρχόμενον ἐμπίπτειν τῇ διαθέσει. ὥσπερ οὖν γάγγραιναν ἤδη μὲν συμπεπληρωμένην, ὡς νενεκρῶσθαι τὸ μόριον, ἀδύνατον ἰᾶσθαι, γινομένην δ' ἔτι, δυνατὸν, οὕτω καὶ σφάκελον. καί τοί
E γε καὶ τὴν ἐν τοῖς σαρκώδεσι μορίοις νέκρωσιν ἐπὶ μεγέθει φλεγμονῆς, ἣν ἰδίως ὀνομάζουσι γάγγραιναν οἱ ἰατροὶ, καὶ ταύτην οἱ Ἕλληνες ἐκάλουν σφάκελον· οὕτω γοῦν μοι δοκεῖ καὶ ὁ Ἡρόδοτος τὸν μηρὸν εἰρηκέναι τοῦ Καμβύσου σφακελίζεσθαι, καὶ τὸν ἐγκέφαλον δὲ σφακελίζειν οὕτως ἄν τις εἴποι μόνως. καὶ μέντοι καὶ διὰ τί ταχὺς ὁ θάνατος ἐπ' αὐτοῦ, πρόδηλον, ὡς οὖν τε πάθους ὄντος χαλεπωτάτου, καὶ μορίου κυριωτάτου. μὴ φθάσαντος δὲ ἀποθανεῖν ἐν τρισὶ ταῖς πρώταις ἡμέραις τοῦ κάμνοντος, ἀλλ' εἰς τὴν τετάρτην ἀφικομένου, παρακμάζειν
F τε χρὴ τὸ πάθος ἐλπίζειν, ἐρρῶσθαί τε τὴν δύναμιν, ὡς κρατῆσαι τελέως αὐτοῦ.

A

Ὅ τι πταρμοῦ ὅρος, καὶ ἐξήγησις, καὶ τὰ ὄργανα, καὶ ψόφος ὅθεν γίνεται ὁ τῷ πταρμῷ τε καὶ βηχὶ κοινός. τί ἐν τῷ ἐγκεφάλῳ κενόν;

Sternutationis definitio, explicatio, causæ plures, instrumenta, & strepitus vnde fit, sternutationi & tussi communis; quid in cerebro vacuum.

ΑΦΟΡΙΣΜΟΣ να'.

Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ· ὑπερχεῖται γὰρ ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω. ψοφεῖ δὲ, ὅτι διὰ στενοῦ, αὐτῷ ἡ διέξοδός ἐστιν.

APHORISMVS LI.

B *Sternutatio cietur ex capite calefacto cerebro, aut perhumectato quod in capite est vacuo. Aër enim intus contentus foras erumpit. Strepit autem quod ipsi per angustum sit exitus.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ τοιαῦται λέξεις δύο σημαίνουσι. ἓν μὲν καθόλου λεγόμενον ἐπὶ παντὸς τοῦ προκειμένου πράγματος, ὥσπερ ἐνταῦθα τὸν πταρμὸν, ἕτερον δὲ, ἐπὶ μέρους, ὡς ἐνταῦθα περὶ τὸν ἐξ ἐγκεφάλου γινόμενον πταρμόν. ὁ μὲν οὖν πρότερος λόγος ἔσται τοιοῦτος. πᾶς πταρμὸς ἐξ ἐγκεφάλου γίνεται, διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. ὥσπερ ἐστὶν ἀληθέστερος. οὐ γὰρ πᾶς πταρμὸς γίνεται διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. πτεροῖς γοῦν τινὲς ἐρεθίζοντες τὰς ῥῖνας πτάρνυνται, καὶ μὴν βηχὸς δὲ τι πνεῦμα κάτωθεν ἀφικνούμενον εἰς τοὺς τῆς ῥινὸς πόρους, αἴτιον γίνεται πταρμοῦ. καὶ τὸ νομίζειν δὲ, τὸν ἐκ τῆς κεφαλῆς ἐκκρινόμενον ἀέρα μόνον εἶναι τὸν ψοφοῦντα, προφανῶς ψεῦδός ἐστιν. ἐναργῶς γὰρ φαίνεται κάτωθεν ἐκ τοῦ πνεύμονος ὁ ἀὴρ ἀναφερόμενος, ἀθρόως συστελλομένου τοῦ θώρακος. ἀλλὰ καὶ τὸ προηγεῖσθαι τοῦ πταρμοῦ, τὴν εἰσπνοὴν, ἀθροιζούσης τῆς φύσεως ἀέρα δαψιλῆ, πρὸς τὴν τοῦ πταρμοῦ γένεσιν, ὁμολογεῖ τοῖς εἰρημένοις. μόνος οὖν ὁ τὴν ἀρχὴν τῆς γενέσεως ἔχων, ὄρεξιν τῆς φύσεως ἀποκρῖναι φυσῶδες ἐκ τῆς κεφαλῆς πνεῦμα, τοῦτον γίνεται τὸν τρόπον, ὃν ἐπιχειρεῖ διδάσκειν ὁ ἀφορισμὸς, οὐδὲ τοῦτον ἴσως πάντα, τὸ γὰρ, διυγραινομένου, περιττὸν εἰς πταρμοῦ γένεσιν. εἰ γὰρ καὶ πλεονάζει τι κατὰ τὴν κεφαλὴν ὑγρὸν, οὐκ ἐργάζεται πταρμὸν, ἄνευ τοῦ πνευματωθῆναι. καὶ τοῦτο φαίνεται προφανῶς ἐπὶ πολλῶν ἐκκενούντων μὲν ὑγρότητα διὰ μυκτήρων παμπόλλην, οὐ πταρνυμένων δ' ἐξ ἀνάγκης ἐπὶ πολύ. ἐκεῖνοι μὲν γὰρ μόνοι πτάρνυνται τῶν οὕτω διακειμένων, οἷς δακνῶδές ἐστι τὸ καταρρέον ὑγρὸν, ὡς εἰ καὶ τοῖς μυκτῆρσιν αὐτῶν ἐνθείης τι δακνῶδες. ὥσπερ γὰρ ἡ βὴξ, φυσικόν τι σύμπτωμά ἐστιν, ἕνεκα τοῦ καθαίρεσθαι τὰς ἐν τῷ πνεύμονι τραχείας ἀρτηρίας, οὕτω καὶ ὁ πταρμὸς, ἐναργῶς φαίνεται καθαίρων τοὺς κατὰ τὴν ῥῖνα πόρους. διττῆς δ' οὔσης αὐτοῖς τῆς συντρήσεως εὐρείας μὲν εἰς τὸ στόμα, διὰ λεπτοτέρων δὲ πόρων εἰς τὸν ἐγκέφαλον. ἡ μὲν εἰς

GALENI COMMENTARIVS.

Tales sententiæ duo significant, vnum quod vniuersaliter de omni re proposita dicitur, veluti hoc textu de sternutationibus; alterum quod particulariter, vt hic de
C sternutationibus ex capite factis. Prima itaque sententia talis erit; omnis sternutatio cietur ex capite percalefacto cerebro, aut per humectato quod in capite est vacuo. Secunda verò sternutamentum ex capite sumens impetum oboritur, cerebro excalefacto aut per humectata cerebri vacuitate; quæ sententia verior existit. Non enim omnis sternutatio fit ex calefacto cerebro, aut perhumectato capitis vacuo: Quidam enim nares pennis proritantes sternutant; atque cum tussi quidam spiritus infernè elatus ad naris
D meatus sternutationis causâ fit. Præterea augurari solum qui ex capite excernitur aër eum esse qui sonitum edat, est manifestò falsum. Euidenter enim apparet qui ex pulmone infernè sursum effertur aër sese vniuersim & repente contrahente thorace. Sed & præcedente inspiratione, fieri sternutationem naturâ copiam aëris ad sternutamenti generationem colligente prædictis congruit. Sola itaque sternutatio quæ suæ generationis principium habet, appetitionem naturæ flatulentum ex capite spiritum excernendi hoc modo fit,
E quê docere vult hoc aphorismo Hippocrates, neq; fortassis hunc omnem: Nam quod ait *perhumectato*, ad sternutamenti generationem superuacaneum est. Etenim si quis in capite redundet humor, non tamen is sternutamentum efficit, nisi flatulentus reddatur. Atque hoc apertè proditur in multis qui licet copiosum per nares humorem excernant, non tamen necessariò plerunque sternuunt. Illi nanque soli ex iis ita affectis sternutant, quibus mordax est qui à capite semper defluit, ac si quid mor-
F dax naribus imponas. Quemadmodum enim tussis quoddam naturale symptoma est ad expurgandas pulmonis asperas arterias: sic etiam sternutamentum narium meatus manifestò expurgare videtur. Quum autem gemina sit perforatio, lata quidem ad os, per exiles verò meatus

meatus ad cerebrum. Quod ad os peruenit foramen à spiritu infernè sursum expeditur; qui verò in cerebrum ferunt meatus, ab eo quod inde defertur, spiritu expurgantur. Atque tibi accuratè obseruanti sternutamenta ex cerebro motus initium habentia capitis grauitatem leuare videbuntur: Fiunt enim tum rarefactis qui sunt in capite humoribus, tum naturæ impetu excretis: Rarefiunt autem ipsi concalefacti. Calefiunt autem natiuo calore sese exuscitante, cujus propter imbecillitatem priùs coaceruata fuerat superuacanea humiditas. Quum itaque ait perhumectato quod in capite est vacuo, præcipue quidem intelligenda venit ventriculorum cerebri vacua cauitas; imò etiam vacuum quod cerebrum ambit exterius. Transit enim illud per cerebrum, primum quidem in partes ventris; deinde ad nares ascendit. Quia verò confertim erumpit spiritus, sonum eiidi ipse pronunciat Hippocrates. Is autem strepitus communis est vndecunque venerit, siue ex pulmone efferatur, siue ex capite deferatur.

A τὸ στόμα σύντρησις, ὑπὸ τοῦ κάτωθεν ἀναφερομένου πνεύματος, οἱ δὲ εἰς τὸν ἐγκέφαλον ἀνήκοντες πόροι, πρὸς τοῦ καταπόντος ἐξ ἐκείνου καθαίρονται. καί σοι παραφυλάττοντι φανοῦνται κουφίζοντες τὰ βάρη τῆς κεφαλῆς, οἱ ἐξ ἐγκεφάλου τὴν ἀρχὴν τῆς κινήσεως ἔχοντες πταρμοί. γίνονται γὰρ ἀραιουμένων καθαιρομένων τε τῶν κατὰ τὴν κεφαλὴν ὑγρῶν ἐκκρινομένων τε τῇ τῆς φύσεως ὁρμῇ. τὸ δὲ ἀραιοῦσθαι γίνεται αὐτοῖς θερμαινομένοις. θερμαίνονται δὲ, ὑπὸ τῆς ἐμφύτου θερμασίας ἀναζωπυρουμένης, ἧς διὰ τὴν ἀρρωστίαν πρότερον ἠθροίσθη ἡ περιττὰ τῶν ὑγρῶν. ὅταν οὖν εἴπῃ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ, μάλιστα μὲν ἀκουστέον τοῦ κατὰ τὰς κοιλίας τοῦ B ἐγκεφάλου, ἤδη δὲ καὶ τοῦ περιέχοντος αὐτὸν ἔξωθεν. διαπορεύεται γάρ ἐστι κἀκεῖνο διὰ τοῦ ἐγκεφάλου, πρότερον μὲν εἰς τὰς κοιλίας αὐτάς, ἐντεῦθεν δὲ ὑπελθεῖν εἰς τὴν ῥῖνα. τὸ δὲ, παρὰ ἀθρόον τῆς ἐκπλήσεως αὐτοῦ γίνεσθαι τὸν ψόφον, αὐτὸς ὁ Ἱπποκράτης εἶπεν. ἔστι δὲ τοῦτο κοινὸν ὁποθενοῦν ἂν ἔρχηται, εἴ τ' οὖν ἐκ τοῦ πνεύμονος ἀναφερόμενος, εἴ τ' ἐκ τῆς κεφαλῆς καταφερόμενος.

C

Quòd febris iecoris dolorem à flatulento spiritu ortum soluat docet aphorismus.

Ὅτι πυρετὸς τὴν τοῦ ἥπατος ὀδύνην διὰ πνεῦμα φυσῶδες γινομένην λύῃ, διδάσκει ἀφορισμός.

APHORISMVS LII.

ΑΦΟΡΙΣΜΟΣ μϛ'.

QVibus iecur vehementer dolet, iis succedens febris dolorem soluit.

D

ΟΚόσοισι ἧπαρ περιωδυνᾶται, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὴν ὀδύνην.

GALENI COMMENTARIVS.

VOcabulum *succedens* indicat antea quum vehementer cruciabantur, eos non febricitasse. Si itaque iecur vehementer doleat, id fit vel propter fortem inflammationem vel ob inflammatum spiritum, sed ipsis non aderat inflammatio, alioqui omnino febricitessent. Par est igitur à flatulento spiritu viscus ipsis dolorem contraxisse. Dolet sanè iecur etiam propter obstructionem, sed moderatè, & cum quodam ponderis potius quàm vehementis doloris sensu. At vehemens dolor propter flatulentum spiritum aut inflammationem maximam, aut suppurantem concitantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ ἐπιγινόμενον ὄνομα δηλωτικόν ἐστι τοῦ πρόσθεν, ὅτε περιωδυνῶντο μὴ πυρέττειν αὐτούς. εἴπερ οὖν τὸ ἧπαρ ὀδυνᾶται σφοδρῶς, ἢ διὰ φλεγμονὴν ἰσχυρὰν, ἢ διὰ πνεῦμα φυσῶδες, οὐκ ἦν αὐτοῖς φλεγμονὴ, πάντως γὰρ ἂν ἐπύρεσσον. εὔλογον οὖν ὑπὸ φυσώδους πνεύματος ὀδυνᾶσθαι τὸ σπλάγχνον αὐτοῖς. ὀδυνᾶται μὲν καὶ δι' E ἔμφραξιν, ἀλλὰ μετρίως, καὶ μετὰ βάρους μᾶλλον, ἢ σφοδρᾶς ὀδύνης. ἡ δὲ σφοδρὰ ὀδύνη διὰ πνεῦμα φυσῶδες, ἢ φλεγμονὴν, ἤτοι μεγίστην, ἢ διαπυίσκουσαν γίνεται.

Quibus venæ sectio confert, vere iis celebranda est.

Ὅτοις συμφέρει ἡ φλεβοτομία, τούτοις ἔαρι φλεβοτομεῖν χρή.

APHORISMVS LIII.

ΑΦΟΡΙΣΜΟΣ ιγ'.

F

QVibus è venis sanguinem detrahere confert, iis vere vena secanda est.

ΟΚόσοισι συμφέρει αἷμα ἀφαιρεῖσθαι ἀπὸ τῶν φλεβῶν, τούτοις χρὴ ἔαρι φλεβοτομεῖσθαι.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὁ ἀφορισμὸς μόριόν ἐστι τοῦ διὰ τοῦ ἔμπροσθεν εἰρημένου κατὰ τόνδε τὸν τρόπον. ὁκόσοις φαρμακεύειν, ἢ φλεβοτομίη συμφέρει, τούτους ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν. ἔν τισι δὲ τῶν ἀντιγράφων ὅλως οὐ γέγραπται. καί τινες μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον ἴσασι, δίς τε γράφουσιν αὐτὸν, ἔνιοι δὲ, οὐδὲ ὅλως μέμνηνται. θαυμάσαι δέ ἐστι τῶν μὴ μόνον γραφόντων δὶς τοὺς αὐτοὺς ἀφορισμοὺς, ἀλλὰ καὶ τὰς ἐξηγήσεις προστιθέντων ἐν τοῖς αὐτοῖς ὑπομνήμασιν, αὐτὸ τὸ ἐπισημαίνεσθαι, ἤδη τῶν ἔμπροσθεν γεγραμμένων ὑπάρχειν αὐτοὺς, ἐνίους μὲν ὅλους, ἐνίους δ' ἐκ μέρους, ὥσπερ καὶ τόνδε. τί ποτ' ἂν ἔδοξεν, ἢ τοῖς προστιθεῖσι τοὺς τοιούτους ἀφορισμοὺς, ἐπὶ τῆς τοῦ βιβλίου τελευτῆς, ἢ αὐτῷ τῷ Ἱπποκράτει, δὶς ὑπὲρ τῶν αὐτῶν μνημονεύειν, καί τισι τῶν ἐξηγησαμένων δὶς ἐξηγεῖσθαι, μὰ τοὺς θεοὺς, οὐκ ἔχω συμβαλεῖν. οὔτε γὰρ αὐτὸν τὸν συγγραφέα πιθανόν ἐστιν, ἐπιλήσμονα τῶν τηλικούτων ὑπάρχειν, καὶ μάλιστα ὄντα ἢ τοιοῦτος, οἷον ἴσμεν ἐν ἅπασιν ὄντα τὸν Ἱπποκράτην, οὔτε τῶν προστιθέντων, ἢ λήθην τοσαύτην, ἢ τινα ἄλλην πανουργίαν ἐστὶν ἐπινοῆσαι δι' ἣν δὶς ἔγραψαν ὑπὲρ τῶν αὐτῶν. ἔτι τε μᾶλλόν ἐστι τῶν ἐξηγητῶν ἐκείνων θαυμάζειν, ὅσοι δὶς ἐξηγούμενοι τοὺς αὐτοὺς ἀφορισμοὺς, οὐδ' αὐτὸ τοῦτο προσέθεσαν, ὅτι δεύτερον αὐτὸ ποιοῦσι. καὶ τούτων ἔτι μᾶλλον. ὅσοι καὶ διαφόρους ἐξηγήσεις ἔγραψαν, ἔν τε τούτοις ἐπὶ τῇ τελευτῇ, καὶ τοῖς ἔμπροσθεν, ἐπὶ τῶν αὐτῶν εἰρημένοις.

GALENI COMMENTARIVS.

Hic aphorismus pars est eius qui suprà hoc modo enunciatus est. *Quibus purgatio aut vena sectio confert, iis vere vena secanda, aut purgatio imperanda est.* Vnde quibusdam in exẽplaribus non omnino scriptus est. Id sciunt Libri interpretes nonnulli, & bis scripserunt; nonnulli ipsum nequaquam prorsus meminerunt. Mirari licet quosdam qui non solùm eosdem aphorismos bis scribunt, verumetiam in iisdem Commentariis explicationes addunt, B nulla data significatione; aut mentione facta, iam antea scriptos esse integros quosdam, alios parte altera defectos, cuiusmodi præsens est. Quid igitur isti censuerint, aut qui tales ad calcem Libri aphorismos addiderint, aut ipse Hippocrates vt de iisdem bis faceret mentionem, aut quidam Interpretes qui vnum aphorismum bis exposuerunt per deos, coniicere non possum. Neque enim credibile est ipsum authorem in tantis rebus tam obliuiosum fuisse, ac præsertim quum talis fuerit, qualem Hippocratem in omnibus extitisse nouimus: C neque rursum tantam eorum qui addiderint, vel obliuionem, vel quandam aliam vafritiam cogitatione comprehendere possumus, propterquam bis de eisdem scribere voluerint. Præterea verò etiam magis eos enarratores mirari decet, qui quum eosdem aphorismos bis exponant, ne hoc quidem ipsum meminerunt, quòd secundò id facerent. Eos denique etiamnum magis miramur, qui diuersis locis & hic prope Libri finem diuersas & pugnantes expositiones scriptis mandarunt.

D

Τὴν φύσιν ἐῤῥωμένην ἀεὶ ταῖς ὕλαις ὁδὸν ἐργάζεσθαι, καὶ εὑρίσκειν. ὅθεν ὡς τὸ φλέγμα, οὕτως ἄλλη ὕλη κατὰ τὰς φλέβας ἐς τὴν ἅπασαν χώραν συμπορευομένη, καὶ ἐς τὰς αὐτὰς λελεπτυσμένη καὶ ἐπανερχομένη δύναται.

Naturam robustam semper materiæ viam moliri ac inuenire, vnde vt pituita, sic alia materia ex venis in omnem locum commeare, & in easdem tenuata remeare potest.

ΑΦΟΡΙΣΜΟΣ νδ'.

E

APHORISMVS LIV.

Ὁκόσοισι μεταξὺ τῆς γαστρὸς, καὶ τῶν φρενῶν φλέγμα ἀποκέκλεισται καὶ ὀδύνην παρέχει, οὐκ ἔχον ἔξοδον, οὐδὲ εἰς ἑτέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τρεπομένου τοῦ φλέγματος λύσις γίνεται τῆς νούσου.

Qvibus inter ventriculum & septum transuersum pituita moratur & dolorem exhibet, neque in alterutrum ventrem viam non habet; iis per venas in vesicam pituitâ versa, morbi fit solutio.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰκότως ἀπορεῖν μοι δοκεῖ Μαρῖνος, ἀδύνατον ἡγούμενος, συστῆναι μεταξὺ γαστρὸς καὶ φρενῶν, φλέγμα. καταῤῥυήσεται γὰρ αὐτὸ κάτω μέχρι τῶν τῆς ἥβης ὀστῶν. οὐ μὴν οὐδὲ μεταληφθῆναι δύνασθαί φησιν

GALENI COMMENTARIVS.

F Meritò Marinus animi pendere mihi videtur, fieri non posse ratus inter ventriculum & septum transuersum pituitam consistere. Ipsa nanque deorsum adusque pubis ossa defluxura est. Non tamen hanc etiam

pacitate, sed altius, in ipsius tunicis imbibiti. Quinetiam oscitationem & pandiculationem fieri demonstrauimus contenta in musculis (per quos voluntarii quoque motus peraguntur) vel flatulenta humiditate, vel spiritu vapido. Horror quoque prauis humoribus per cutem sparsis ac discurrentibus oboritur. Constat autem eo horore qui ex ægro corpore concitatur, nobis nunc orationem esse, non autem de eo qui ab aliqua causa externa proficiscitur. Singula igitur hæc prædicta curat vini meracioris potus, cuius temperationis commoderationem his ipse verbis declarauit, *vinum par pari aqua potum.* Vult enim profectò aquâ vinum æqua portione temperari, vt tantum materiæ molestæ propellatur, vacueturque, quantum violentæ vini delationi cessurum est, reliquum verò temperetur epicrasi: Calefacit enim vinum, vt experimur, totum corpus, & celeriter in omnes fertur partes, cum eo optimos humores efficit.

A περιεχομένης τινὸς ἐν τοῖς μυσὶ, δι᾽ ὧν καὶ κατὰ προαίρεσιν γίνονται κινήσεις, ἤτοι ὑγρότητος πνευματώδους, ἢ πνεύματος ἀτμώδους γίνεσθαι δέδεικται. καὶ ἡ φρίκη δὲ μοχθηρῶν χυμῶν διαθεόντων κατὰ τὸ δέρμα, συμβαίνει. δῆλον δὲ ὅτι περὶ τῆς ἐκ τοῦ νοσώδους σώματος ὁρμωμένης φρίκης, ὁ λόγος νῦν ἡμῖν ἐστὶν, οὐ τῆς ἀπό τινος αἰτίας ἔξωθεν. ἕκαστον οὖν τούτων τῶν εἰρημένων, οἴνου πόσις θεραπεύει ἀκρατεστέρου, τὴν συμμετρίαν δὲ τῆς κράσεως, αὐτὸς ἐδήλωσεν εἰπών. οἶνος ἴσος ἴσῳ πινόμενος. ὕδατι B γὰρ δηλονότι κεράννυσθαι βούλεται τὸν οἶνον ἴσῳ, χάριν τοῦ τὸ μὲν διώσασθαι, κενῶσαι τῶν λυπηρῶν, ὅσον ἂν ὑπείκῃ τῇ ῥύμῃ τῆς τοῦ οἴνου φορᾶς, τὸ δ᾽ ὑπόλοιπον ἐπικεράσαι. θερμαίνει γὰρ ὡς ἴσμεν ὁ οἶνος ἅπαν τὸ σῶμα καὶ ταχέως ἐπὶ πάντα φέρεται τὰ μόρια, μετὰ τοῦ χυμοὺς χρηστοὺς ἐργάζεσθαι.

Vrethræ dolorem à tuberculo suppuratione & eruptione solui.

C Τὸν ἐν τῇ οὐρήθρῃ πόνον ὑπὸ φύματος γενόμενον ὑπὸ τῆς ἐκπυήσεώς τε καὶ τῆς ῥήξεως λύεσθαι.

APHORISMVS LVII.

ΑΦΟΡΙΣΜΟΣ νζ΄.

QVibus in vrethra tubercula procreantur, iis suppuratis & ruptis, dolor soluitur.

ΟΚόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνονται, πυήσιος διαπυήσαντος, καὶ ἐκραγέντος λύεται ὁ πόνος.

GALENI COMMENTARIVS.

D
ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

HVnc quoque aphorismum in præcedentibus scripsit Hippocrates; nosque ipsi explicauimus in ea oratione quæ sic habebat. *Quibus in vrethra tuberculum nascitur, eo suppurato, & rupto, solutio.*

ΚΑὶ τοῦτον τὸν ἀφορισμὸν ἐν τοῖς ἔμπροσθεν ὁ Ἱπποκράτης ἔγραψεν. ἡμεῖς δὲ ἐξηγησάμεθα κατὰ τήνδε τὴν λέξιν εἰρημένην. ὁκόσοισιν ἐν τῇ οὐρήθρᾳ φύματα φύεται, τουτέοισι διαπυήσαντος, καὶ ἐκραγέντος λύσις.

Aphoniam & apoplexiam à concussione cerebri oboriri? vnde.

E Τὴν ἀφωνίαν, ἢ ἀποπληξίαν ἐκ τοῦ ἐγκεφάλου σεισμοῦ γίνεσθαι, πόθεν.

APHORISMVS LVIII.

ΑΦΟΡΙΣΜΟΣ νη΄.

QVibus cerebrum occasione aliqua concussum fuerit, eos quamprimum voce priuari necesse est.

ΟΚόσοισι δ᾽ ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γίνεσθαι παραχρῆμα.

GALENI COMMENTARIVS.

F
ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

HOc etiam aphorismo in nonnullis exemplaribus vocabulum, *mutos*, scriptum

ΚΑὶ κατὰ τόνδε τὸν ἀφορισμὸν, ἔν τισι μὲν τῶν ἀντιγράφων, ἀφώνους ἐστὶν εὑρεῖν, κατὰ τὴν πληθυν-

πικὴν αἰτιατικὴν πτῶσιν γεγραμμένον, ἔν τισι δὲ, κατὰ τὴν ἑνικὴν ἄφωνον, ἐν σολοικοφανεῖ σχήματι. διαφέρει δὲ οὐδὲν οὐδ' ἐνταῦθα, πρός γε τὰ παρόντα, γινωσκόντων ἡμῶν ὡς ἔθος ἐστὶ τῷ Ἱπποκράτει πολλάκις ἀφ' ἑνὸς συμπτώματος τοῦ προδηλοτάτου, τῆς ἀφωνίας, ὀνομάζειν οὕτω καὶ δηλοῦν, ὅσοι μηδ' ἄλλην τινὰ τῶν κατὰ προαίρεσιν ἀποσώζουσι κινήσεων, ἢ μηδ' ὅλως αἰσθάνονται. κεῖνται δὲ, ὡσαύτως τοῖς ἀποπληκτικοῖς ἀναίσθητοί τε ἅμα, καὶ ἀκίνητοι· γίνεται μὲν οὖν καὶ δι' ἄλλας αἰτίας τοῦτο. νυνὶ μέντοι τῆς σείσεως τοῦ ἐγκεφάλου μνημονεύει ὁ Ἱπποκράτης, καὶ ταύτῃ τὴν τοιαύτην ὅλου τοῦ σώματος ἔσεσθαί φησι διάθεσιν. σεισθῆναι δὲ οὕτω συμβαίνει τὸν ἐγκέφαλον, διά τινα βιαίαν πτῶσιν ὅλου τοῦ σώματος, ἐξ ὑψηλῶν γεγενημένην χωρίων. αἱ γὰρ τοιαῦται καταπτώσεις εἰώθασι καὶ τὴν ἐν τοῖς τῆς ῥάχεως σπονδύλοις σεῖσιν ἐργάζεσθαι, ὅταν αἱ μὲν ἁρμονίαι κινηθῶσιν αὐτῶν. ὁ δ' ἐν κοιλότητι περιεχόμενος νωτιαῖος, πονήσῃ, διασεισθεὶς δὲ σφοδρῶς, εἰς κίνδυνον ἄγει ῥήξεων, ἔνια τῶν ἀποπεφυκότων αὐτοῦ νεύρων, ὅπερ οὐχ ἥκιστα καὶ κατὰ τὸν ἐγκέφαλον γίνεται, καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ καὶ πλείων ἐστὶν ἡ πέριξ αὐτοῦ χώρα κενὴ, καὶ μᾶλλον ἐπὶ τῶν πρεσβυτέρων, ὡς ἐν ταῖς ἀνατομικαῖς πραγματείαις λέλεκται. συστέλλεται γοῦν ἡ ψυχικὴ δύναμις εἰς ἑαυτὴν ἐν ταῖς τοιαύταις διαθέσεσιν, ἀναθεῖσα τῇ σφαλερᾷ κινήσει, καὶ διὰ τοῦτο ἡσυχάζει. τῶν δ' ἀπὸ φύσεων ἔνιαι μὲν ἱκανῶς τείνονται, τινὲς δὴ ἐκ μέρους γε διασπῶνται. κατὰ τοῦτο, μέχρι περ ἂν ἀνακτήσηται πάλιν ἑαυτὴν ἡ ψυχικὴ δύναμις, ἄφωνόν τε, καὶ ἀκίνητον ὅλον κεῖται τὸ παθὸν οὕτω ζῶον. εἰ δὴ ἀποσπασθῆναι φθάσειεν, ἢ κατά τι μέρος αὐτοῦ κατασπασθῆναι ὁ ἐγκέφαλος, οὐκέτι ἀναφέρουσιν.

A multitudinis numero per accusatiuum casum inuenire datur; in quibusdam verò mutum per singularem sub solæcismi figura. Sed id nihil quicquam ad præsentia refert, quum nos Hippocrati consuetudinem esse noscimus sæpe ab vno notissimo symptomate, exempli gratiâ, aphoniam *vocis ademptionem* illos ita appellare ac significare, qui nullum alium voluntarium motum superstitem seruant, neque quicquam omnino sentiunt, & apoplecticis peræquè similes sine sensu, simulque motu prostrati iacent. Id verò & ob alias causas
B oboritur. Nunc verò concussionis cerebri meminit Hippocrates, cuius occasione talem fore corporis totius affectionem pronunciat. Ita verò concuti cerebrum accidit ob aliquem violentum totius corporis casum ab altis locis obortum. Eiusmodi nanque casus vertebrarum etiam spinæ concussionem efficere consueuerunt, quum ipsarum harmoniæ concussionem subierint, & contenta ipsarum cauo dorsalis medulla laborarit; quæ vehementiùs concussa quibusdam neruis à se propagatis ruptionum creat periculum. Quæ res cerebro maximè accidit, eoque magis
C quanto in eius ambitu vacuum spatium est amplius; multoque magis in senibus, quemadmodum in Libris anatomicis à nobis dictum est. Contrahitur siquidem in sese animalis facultas per tales affectiones periculosâ commotione vexata, & propterea quiescit feriatúrque. Porrò nonnulli neruorum processus valdè tenduntur, & quidem aliqua ex parte diuelluntur. Quibus fit vt donec animalis facultas sese rursum receperit, mutum & immobile iaceat totum animal ita affectum. Quod si abrumpi occupauerint,
D aut cerebrum parte sui quapiam auulsum, abstractumque fuerit, non iam ad se redeunt, sibique ipsis restituuntur.

Ὥσπερ τὰ ὑγρὰ παθήματα θεραπεύονται διὰ τῶν ἰαμάτων. οὕτω τὰ σώματα σαρκὰς τὰς ὑγροτέρας ἔχοντα διὰ τοῦ λιμοῦ ξηραίνοντα φυλάττεται. πῶς ὁ λιμὸς ξηραίνει τὰ σώματα.

Vt humidi affectus exiccantibus remediis curantur: sic corpora carnes humidiores habentia fame exiccante seruantur. Quomodo fames exiccat corpora.

E

ΑΦΟΡΙΣΜΟΣ νθ'.

Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι δεῖ λιμὸν ἐμποιέειν· λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

APHORISMVS LIX.

Corporibus carnes habentibus humidas inducere famem oportet: fames enim exiccat corpora.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν οὖν ὅσα ξηραίνει βοηθήματα τῶν ὑγρῶν παθημάτων ἐστὶν ἰατικὰ πρόδηλον· εἴ γε δὴ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, ὅτι δὲ καὶ ὁ λιμὸς ξηραίνει κατὰ συμβεβηκὸς, οὐκ ἄδηλον. ἐὰν γὰρ ἀποῤῥέῃ μέν τι τοῦ σώματος, ὡς καὶ πρόσθεν, ἀναπληρῶται δὲ μηκέτι ὑπὸ τροφῆς τὸ κενούμενον, ἀναγκαῖον

GALENI COMMENTARIVS.

QVÆ siccant auxilia sanè humidis affectibus mederi manifestum est. Contra-
F ria namque contrariorum sunt remedia. Famem quoq; exiccare per accidens nulli abditum est. Si quid enim eorum ex corpore continenter effluat, dissipeturque, ut antea docui, nec amplius quod vacuatur alimento,

in venas traduci ac remeare posse pronunciat, quemadmodum in hydropicis quæ tenuis & aquosa humiditas resumpta per vrinas excernitur. Itaque hic textus, inter septum transuersum & ventriculum accipiendus est, pro inter proprium septi transuersi corpus quod carnosum est & peritonei summum. Verùm etiamsi, vt vis, ità intellexerimus ô Marine, eam tamen pituitæ in venas resumptionem ac meatum similiter facilem esse dubium est: Non enim inde potest per venas in renes peruenire: quod fieri ex ea capacitate potest quæ sub peritonæo est posita. Huc adde impropriam prorsus esse appellationis ventriculi abusionem. Nihil enim peritonæo & ventriculo est simile, cuius gratiâ eiusdem nominis communionem sortiantur. Præstat igitur accipere, quemadmodum omnes intellexerunt illud spatium ab eo dici quod intra septum transuersum est, atque intra interioris peritonæi partem continetur epigastrio respondentem; simulque expendere an quod ab ipso dicitur, fieri possit. In quo nos scire oportet arbitrari Hippocratem naturam semper si sit robusta, materiæ viam moliri & inuenire; etiamsi quammaximè crassa sit, & per exiles transitura meatus; quando per ossa etiam abscessus fieri dicat: Et verò in suppuratis inter thoracem & pulmonem collectum humorem cum tussi expui conspicimus; Nonnunquam verò & per cutim integram existentem sanguinem excidere in ossibus quæ fracta occalescunt. Neque igitur nunc pituitam de qua Hippocrati sermo est, arbitrari oportet ad vrinas traduci omnino non posse. Verum hoc etiam aliquando à natura multo antè pituitam eiusmodi, vt in empyis paulatim extenuante fieri arbitrandum est.

A εἰς τὰς φλέβας τοῦτο, καθάπερ ἐπὶ τῶν ὑδερικῶν, ἡ λεπτὴ καὶ ὑδατώδης ὑγρότης μεταλαμβανομένη, δι᾽ οὔρων ἐκκρίνεται. ἀκούειν οὖν φησὶ χρῆναι τοῦ μεταξὺ τῶν φρενῶν τε, καὶ τῆς γαστρὸς, αὐτὶ τοῦ μεταξὺ φρενῶν ἰδίου σώματος, ὃ σαρκῶδές ἐστι, καὶ τῆς τοῦ περιτοναίου κορυφῆς. ἀλλ᾽ εἰ καὶ οὕτως ἀκούσαιμεν, ὦ Μαρῖνε, τὴν εἰς τὰς φλέβας μετάληψιν ὁμοίως ἄπορον εἴη· οὐ δυνατὸν γὰρ ἐντεῦθεν ἐπὶ τοὺς νεφροὺς ἀφικέσθαι διὰ φλεβῶν, οὐδ᾽ ἐκ τῆς ὑπὸ τὸ περιτόναιον εὐρυχωρίας ἀδύνατον, πρὸς τῷ καὶ παντελῶς ἄκυρον εἶναι τὴν κατάχρησιν τῆς κατὰ B γαστέρα προσηγορίας. οὐδὲν γὰρ ὅμοιόν ἐστι περιτοναίῳ καὶ γαστρὶ, διότι τῆς προσηγορίας κοινωνήσουσι. κάλλιον οὖν ἀκούειν μὲν ὥσπερ ἅπαντες ἤκουσαν, ἐκείνην ὑπ᾽ αὐτοῦ λέγεσθαι τὴν εὐρυχωρίαν, ὅση κάτω μέν ἐστι τῶν φρενῶν, ἔνδον δὲ τοῦ κατ᾽ ἐπιγάστριον περιτοναίου, σκοπεῖν τε εἰ δυνατόν ἐστιν ὃ λέγει, γινωσκόντων ἡμῶν, ὡς ἀεὶ ταῖς ὕλαις ὁδὸν εὑρίσκειν οἴεται τὴν φύσιν ὁ Ἱπποκράτης, ὅταν ἐρρωμένη τυγχάνῃ, κἂν ὅτι μάλιστα παχεῖαι πως εἰσὶ, καὶ διὰ λεπτῶν ὁδοιπορεῦσι πόρων, ὅπου γε καὶ δι᾽ ὀστῶν ἀποστάσεις γίνεσθαί φησι. ὁρῶμεν δὲ καὶ τὸ C μεταξὺ θώρακός τε, καὶ πνεύμονος ὑγρὸν, ἐπὶ τῶν ἐμπύων ἀναβηττόμενον. ἐνίοτε δὲ καὶ διὰ τοῦ δέρματος ὑγιοῦς ὑπάρχοντος, αἷμα διεκπίπτον ἐπὶ τῶν πωρουμένων ὀστῶν. ὥστε οὐδ᾽ ἐφ᾽ οὗ νῦν εἶπεν ὁ Ἱπποκράτης φλέγματος, ἀδύνατον παντάπασιν ὑποληπτέον, εἰς οὖρα γίνεσθαι μετάληψιν, ἀλλ᾽ ἐγχωρεῖν ποτὲ καὶ τοῦτο ὑπὸ τῆς φύσεως πραχθῆναι, προλεπτυνάσης κατὰ βραχὺ τὸ φλέγμα, καθάπερ ἐπὶ τῶν ἐμπύων τὸ πύον.

D

Hydropicos ob iecoris hylatidas factos interire certum decretum non est. Hyderum omnem tribus curari hydragogis, vreticis, & erithematis diaphoreticis.

Τοὺς ὑδερικοὺς διὰ τὰς ὑδατίδας γινομένας ἀποθνήσκειν ὑπόθεσις μὴ ἀληθής. τὸν ὕδερον πάντα τῶν βιαίων θεραπεύεσθαι, τῶν ὑδραγωγῶν, καὶ οὐρητικῶν, καὶ ἐπιθημάτων διαφορητικῶν.

E

APHORISMVS LV.

QVibus iecur aquâ repletum in omentum eruperit, iis venter aquâ impletur, ac intereunt.

ΑΦΟΡΙΣΜΟΣ νζ.

Ὁκόσοισι τὸ ἧπαρ ὕδατος πλησθὲν εἰς τὸν ἐπίπλοον ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐκπιμπλᾶται, καὶ ἀποθνήσκουσι.

GALENI COMMENTARIVS.

IEcur hydatidibus in ea quæ foris ipsum ambit tunica procreandis maximè idoneum est. Iugulatis siquidem animalibus apparet interdum hepar hisce vesiculis aquâ plenis refertum. Si quando igitur contigerit hydatidas rumpi, aqua sane in peritonæi regionem per epigastrium effunditur, in qua etiam per hydropas colligitur. In omentum autem a-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Ἐπιτηδειότατόν ἐστι τὸ ἧπαρ ὑδατίδας γεννῆσαι κατὰ τὸν ἔξωθεν αὐτῷ περικείμενον ὑμένα. φαίνεται γοῦν ἐπὶ τῶν σφαττομένων ζώων ἐνίοτε μεστόν. ἐὰν οὖν ποτὲ συμβῇ ῥαγῆναι τὰς ὑδατίδας, ἐκχεῖται δηλονότι τὸ ὕδωρ εἰς τὴν κατ᾽ ἐπιγάστριον περιτοναίου χώραν, ἐν ᾗ καὶ τὸ κατὰ τοὺς ὑδέρους ἀθροίζεται. εἰς δὲ τὸ ἐπι-

πλοον, οὐχ οἷόν τε ῥαγῆναι τὸ ὕδωρ, αὐτοῦ τοῦ διαβρωθῆναί πως αὐτό· στεγανὸν γάρ ἐστι πανταχόθεν, ὡς μηδὲν εἰς αὐτὸ παρεμπεσεῖν ἐκ μηδενὸς ἄλλου μορίου, πλὴν ἐκ γαστρὸς, καὶ κώλου, καὶ σπληνὸς, ἐκείνων τε τῶν μερῶν ὅθεν ἐκπέφυκεν. ἢ τοίνυν βούλεται διαβιβρώσκεσθαι τὸν περιτόναιον ἐν τοῖς δεξιοῖς δηλονότι μέρεσιν αὐτοῦ καθ' ἃ πλησιάζει τῷ ἥπατι· ἢ εἰς τὸν ἐπίπλουν, ἀκουστέον, ἀντὶ τοῦ εἰς τὴν χώραν αὐτοῦ. τὸ δὲ ἐμπίπλασθαι τὴν κοιλίαν ὕδατος, οὐκ ἐπ' αὐτῆς εἴρηται τῆς τὰ σιτία δεχομένης γαστρὸς, ἀλλὰ τοῦ παντὸς κύτους, ὃ κάτω τοῦ θώρακός ἐστι, καθ' ὃ σημαινόμενον, οἵ, τε προγάστορες λέγονται, καὶ αἱ γυναῖκες ἔχειν ἐν γαστρί. Β τὸ δ' ἀποθνήσκειν οἷς ἐνταῦθα τὸ ὕδωρ ἀθροίζεται σκεπτέον, ἢ γὰρ διηνεκῶς ἀκουστέον, ἢ ὡς τὸ πολύ. σώζονται γοῦν ἔνιοι καὶ τῶν ὑδερικῶν, καίτοι τῆς τοιαύτης χώρας αὐτοῖς ὕδατος ἐμπλησθείσης. οὐ μὴν οὐδ' ἀδύνατόν ἐστιν, ὥσπερ ἐπ' ἐκείνων, διά τε τῶν ὑδραγωγῶν καθαιρόντων φαρμάκων, καὶ προσέτι τῶν οὐρητικῶν, ἐπιθημάτων τε, τῶν ἐξατμίζειν δυναμένων ὑγρότητα τοιαύτην, οὕτω κἀπὶ τούτων γενήσεσθαι, τὴν θεραπείαν.

A qua erumpere non potest, nisi ipsum aliquatenus erodatur. Densum enim ac vndique ita solidum est, ut nihil in se ex parte alia intercidat, præterquàm ex ventriculo, colo & liene illisque partibus vnde ipsum enascitur. Aut igitur excedi vult peritonæum parte nimirū eius dextra, qua iectori vicinum est; aut in illud omentū eruperit pro in omenti regionem, accipiendum est. Ventrem autem à qua impleri non de eo qui cibaria recipit, à ventre dictum est; sed de tota quæ infra est thoracem, cauitate, quo significatu & ventricosi, & ventrem gestare mulieres dicuntur. An verò quibus eo loci aqua coaceruatur moriantur considerandum: B Nam aut semper aut plerunque ita fieri intelligere oportet. Sospites enim euadunt nonnulli hydropici, etiamsi ipsis talis regio aqua impleatur. Quemadmodum in his curatio potest perfici tum medicamentis hydragogis, tum prætereà divreticis, tum denique epithematis eiusmodi humorem discutientibus & halitum facultate elicientibus: ita in illis etiam fieri curationem posse videtur.

C

Τί ἀλύκη, τί χάσμη, τί φρίκη. πῶς αἱ διαθέσεις τῷ οἴνῳ κεκραμένῳ λύωνται.

Quid anxietudo, quid oscitatio, quid horror; quomodo hi affectus vino diluto, soluantur.

ΑΦΟΡΙΣΜΟΣ νϛ΄.

Ἀλύκη, χάσμη, φρίκη· οἶνος ἴσος ἴσῳ πινόμενος λύει τὴν νόσον.

APHORISMVS LVI.

D *Anxietudo, oscitatio, horror, vinum par pari aquæ potum morbum soluit.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σολοικοφανὲς εἰκότως ἐνίοις ἔδοξεν εἶναι τὸ σχῆμα τοῦ λόγου, καὶ διὰ τοῦτ' ἔνιοι κατ' αἰτιατικὰς πτώσεις ἔγραψαν ἀλύκην, χάσμην, φρίκην, οἶνος ἴσος ἴσῳ πινόμενος λύει. διαφέρει γοῦν οὐδὲν εἰς τὸ παρὸν, καθ' ὁποτέραν ἄν τις γραφὴν ἐξηγήσηται τὸν ἀφορισμόν. ἐπίστασθαι γὰρ χρὴ πρότερον, ὅτι προσηγόρευκεν ἀλύκην, ἣν οἱ πολλοὶ τῶν Ἑλλήνων ὀνομάζουσιν ἄλην, ἔπειτα δὲ τίς ἐστιν ἡ τοῦτ' ἐργαζομένη τὸ σύμπτωμα διάθεσις. ἀλύειν μὲν οὖν λέγουσιν ἐκείνους τῶν ὑγιαινόντων, ὅσοιπερ ἂν ἀεὶ τοῖς παροῦσι δυσχεραίνοντες, ἄλλο τε εἰς ἄλλα μεταβαίνουσι πράγματά τε, καὶ πράξεις. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ νοσούντων, ἐκείνους ἀλύειν φασὶν, ὅσοι μὴ φέροντες τὴν κατάκλισιν, ἐξαλλάττουσι τὰ σχήματα, διὰ τὸ δύσφορον ἀεὶ τὸ παρὸν εἶναι. τοῦτο δὲ ἐγνωμεν ἐκείνοις μάλιστα συμβαῖνον, οἷσπερ ἂν ἐν τῷ στόματι τῆς γαστρὸς, ὅπερ ἐνίοτε καταχρώμενοι στόμαχον ὀνομάζουσι, περιέχηταί τι ἰδιότης ὑγρότητος ἀνιαρᾶς, οὔτε πολλῆς οὔτ' ἐμπλεούσης τῷ κύτει τῆς γαστρὸς, ἀναπεπομένης δὲ εἰς τοὺς χιτῶνας αὐτῆς. ἀλλὰ καὶ τὸ χασμᾶσθαι καθάπερ καὶ σκοτοδινιᾶσθαι,

GALENI COMMENTARIVS.

HÆc orationis forma meritò nonnullis solœcismi species visa est; ideqóue nonnulli accusandi casu scripserunt, *anxietudinem, oscitationem, horrorem, vinum par pari epotum morbum soluit.* Vtram autem in præsentia sequaris lectionem nihil refert ad aphorismi explicationem: E Imprimis enim scire nos oportet ἀλύκην, *anxietudinem* appellasse Hippocratem, quam multi Græcorum, ἄλην, *anxietatem* nominant. Deinde quæ sit affectio huius symptomatis effectrix. Ἀλύειν itaque *jactari* secunda valetudine eos dicunt qui semper præsentia fastidiunt, atque ad alias subinde, aliasque tum res, tum actiones transeunt. Eodem modo adversa valetudine eos anxietate jactari proferunt qui decubitum non ferentes decumbendi formam immutant, quòd præsens semper grauis ac molesta sit. Hoc autem iis potissimùm euenire nouimus, quibus F in ore ventriculi (quod interdum abusi vocabulo stomachum nominant) propria quædam humoris molesti qualitas continetur, neque multi neque innatantis in ventriculi ca-

suppleatur instaureturque, siccius ipsũ euadere necesse est. Certum est ex singulis animantis partibus quidquid est humidius, abire prius ac euanescere. Effluuium siquidem ipsum fit, quòd extenuetur corpus & in vaporem soluatur, duabus ex causis, externa vnâ aëre ambiente, interna altera calore natiuo. Sanè verò delitescentium in cauernis animantium, quod nec externo calore ampliùs, nec interno incalescant, aut nihil prorsus aut paucissimum effluit; proptereaque nonnullæ quidem alimento prorsus non egent, nonnullæ verò vsquaque paucissimo. Post antea scriptos aphorismos alij duo fere in omnibus exemplaribus inueniuntur, & quorum Libri enarratores fere omnes meminere. Quidam etiam ipsos interpretantur; sed pugnantibus & hîc & supra explicationibus vsi, nec hoc ipsum monentes lectorem antea fuisse scriptos. Nos verò ipsorum explicationem fecimus quarto Commentario textu nonnihil differentium. Alter enim eorum hîc scriptorum superuacaneam habet hanc adjectionem: *Nec deuorare potest nisi vix.* Alter verò aduerbium *vix* inuerso ordine positum habet, vt prior quidem sit huiusmodi: *Si febre detento, tumore nullo in faucibus existente, suffocatio derepente superuenerit, ac nisi vix deglutire nequeat, mortiferum.* Secundus verò, *Si febre correpto derepente ceruix intorqueatur, ac deuorare nequeat, tumore nullo in faucibus existente, lethale.* Superiores verò quos quarto horum Commentariorum exposuisse me dixi, ita se habebant: *Si febre detento, tumore nullo in faucibus existente, suffocatio derepente superuenerit, mortiferum.* Deinde qui hunc sequitur: *Si febre capto derepente ceruix intorqueatur, ac vix deglutire queat, tumore in ceruice non existente, mortiferum.* Quod igitur in priore aphorismo ex abundanti pronunciatum est, nunc perpendamus: Etenim id etiam accidere vidimus ægrotis omnino perniciosè laborantibus. Quare siue nullo planè modo deuorare queant, siue vix, nullo tumore in faucibus existente (hoc enim aperte discernere licet ore quamplurimum hiante & aperto, & lingua ad inferiorem maxillam appulsa & firmata. In tali statu vix ac difficulter deuorandi causa suspicanda est communio tunicæ gulæ & gutturi esse ab internis suborta partibus. Hanc enim cibariorum per os commeatu ipsam quidem deorsum à ventriculo attrahi, totum verò guttur sursum trahere demonstrauimus. Tumescente igitur in gutture inflammatione fit vt aliàs ægrè obsequatur attrahenti ventriculo & deorsum reuellenti, eamque ob causam vel nullo pacto, vel ægrè, difficulterque degluttiant.

A αὐτῷ ξηρότερον γενέσθαι. δῆλον γὰρ ὅτι τῶν κατὰ τὸ ζῶον ἑκάστου μερῶν, ἀπέρχεται πρότερον ὅσον ἂν ὑγρότερον ᾖ, ὡς ἂν καὶ αὐτῆς τῆς ἀποῤῥοῆς γιγνομένης, διὰ τὸ λεπτύνεσθαί τε, καὶ εἰς ἀτμὸν λύεσθαι τὸ σῶμα διὰ διττὴν αἰτίαν, ἔξωθεν μὲν ὑπὸ τοῦ περιέχοντος, ἔνδοθεν δὲ ὑπὸ τῆς ἐμφύτου θερμασίας· ἀμέλει τῶν φωλευόντων τῶν ζώων, ὡς ἂν μήτ᾽ ἔξωθεν ἔτι θερμαινομένων, μήτ᾽ ἔνδοθεν, ὅλως οὐδὲν, ἢ παντάπασιν ὀλίγιστον ἀποῤῥεῖ, καὶ διὰ τοῦτο, τινὰ μὲν αὐτῶν, οὐδ᾽ ὅλως δεῖται τροφῆς, ἔνια δ᾽ ὀλιγίστης παντάπασιν. ἐφεξῆς τοῖς προγεγραμμένοις ἀφορισμοῖς, ἕτεροι δύο σχεδὸν B ἐν ἅπασι τοῖς ἀντιγράφοις εὑρίσκονται, μετὰ τοῦ καὶ τοὺς ἐξηγησαμένους τὸ βιβλίον ὀλίγου δεῖν ἅπαντας, μνημονεύειν αὐτῶν, καί τινες ἐξηγοῦνται αὐτοὺς, ἀλλὰ διαφόρως, ἢ ἐν τοῖς ἔμπροσθεν, οὐδὲ τοῦτο αὐτὸ προσθέντες ὅτι γεγραμμένοι ἔμπροσθεν εἰσίν. ἡμεῖς δὲ κατὰ τὸ τέταρτον ὑπόμνημα τὴν ἐξήγησιν αὐτῶν ἐποιησάμεθα, βραχύ τι τῇ λέξει διαφερόντων. ὁ μὲν γὰρ ἕτερος τῶν νῦν γεγραμμένων, ἐκ περιττοῦ προσκείμενον ἔχει καὶ καταπίνειν μὴ δύνασθαι, ἀλλ᾽ ἢ μόγις. ὁ δ᾽ ἕτερος ἔμπαλιν ὑπηλλαγμένον ἔχει τὸ μόγις, ὥστ᾽ εἶναι τὸν μὲν C πρότερον τοιοῦτον, ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι πνὶξ ἐξαίφνης ἐπιγένηται, καὶ καταπίνειν μὴ δύνηται, ἀλλ᾽ ἢ μόγις, θανάσιμον. τὸν δὲ δεύτερον, ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον. οἱ δὲ πρόσθεν, οὓς κατὰ τὸ τέταρτον ἔφην ἐξηγήσασθαι τῶνδε τῶν ὑπομνημάτων, οὕτως εἶχον. ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, θανάσιμον. εἶθ᾽ ἑξῆς ὁ μετ᾽ αὐτὸν, ἢν ὑπὸ D πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον. ὅπερ οὖν ἐν τῷ προτέρῳ τῶν ἀφορισμῶν εἴρηται περιττὸν, νῦν ἐπισκεψόμεθα. καὶ γὰρ καὶ τεθέαμαι γινόμενον αὐτὸ, παντάπασιν ὀλεθρίως ἐχόντων τῶν καμνόντων, ὥστ᾽ ἤτοι μηδ᾽ ὅλως δύνασθαι καταπίνειν, ἢ μόγις, οὐκ ὄντος οἰδήματος ἐν τῇ φάρυγγι. πάρεστι γὰρ τοῦτο διαγνῶναι σαφῶς ἀνοιχθέντος μὲν ἐπὶ πλεῖστον τοῦ στόματος, προβληθείσης δὲ τῇ κάτω γένυι τῆς γλώττης. ἐν τῇ τοιαύτῃ καταστάσει τοῦ δυσχε- E ρῶς καταπίνειν, αἰτίαν ὑποληπτέον, τὴν κοινωνίαν τοῦ χιτῶνος, ὃς ὑποπέφυκεν ἐκ τῶν ἔνδον μερῶν, τοῦ τε στομάχου καὶ τοῦ λάρυγγος. ἐδείχθη γὰρ οὗτος ἐν τῇ διὰ τοῦ στόματος πορείᾳ τῶν σιτίων, αὐτὸς μὲν ὑπὸ γαστρὸς κατασπώμενος, ἀνασπῶν δ᾽ ὅλον τὸν λάρυγγα. οἰδησάσης οὖν τῆς ἐν τῷ λάρυγγι φλεγμονῆς, ἐνίοτε μὲν οὐδ᾽ ὅλως, ἔστι δ᾽ ὅτε μόγις ἕπεται κατασπώσῃ τῇ γαστρὶ, καὶ διὰ ταύτην τὴν αἰτίαν, ἤτοι γ᾽ οὐδ᾽ ὅλως, ἢ μόγις καταπίνουσιν.

F

A

Περὶ τῆς ἐξαίφνης πνιγὸς θανασίμου.

De repentina suffocatione lethali.

ΑΦΟΡΙΣΜΟΣ ξ'.

ΗΝ ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι πνὶξ ἐξαίφνης ἐπιγένηται, καὶ καταπίνειν μὴ δύνηται, ἀλλὰ μόλις, θανάσιμον.

APHORISMVS LX.

SI febre detento, tumore nullo in faucibus existente suffocatio derepente superuenerit, ac vix deglutire queat, mortiferum.

B

Τὴν ἐξαιφνίδιον τοῦ τραχήλου διαστροφὴν τῷ πυρεταίνοντι γινομένην, θανάσιμον εἶναι.

Repentinam ceruicis intorsionem febricitanti obortam lethale.

ΑΦΟΡΙΣΜΟΣ ξα'.

ΗΝ ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ καὶ καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

APHORISMVS LXI.

C

SI febre capto derepente ceruix intorqueatur, ac vix deglutire queat, tumore non existente, mortif rum.

Τὸ μακροῦ νοσήματος σημεῖον ἐκ τῶν ποικίλων σώματος μεταβολῶν τῆς θερμότητος καὶ ψυχρότητος χρώματος ληφθέν.

Diuturni morbi signum ex variis corporis mutationibus caloris, frigoris, coloris, sumptum.

ΑΦΟΡΙΣΜΟΣ ξβ'.

D

ΟΚου ἐν ὅλῳ τῷ σώματι, καὶ τὸ σῶμα καταψύχεται, καὶ πάλιν θερμαίνεται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλει μῆκος νόσου σημαίνει.

APHORISMVS LXIII.

VBi vniuerso corpore mutato, & corpus perfrigeratur, ac rursum incalescit aut colorem ex altero alterum commutat, morbi longitudinem significat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ τοῦτον τὸν ἀφορισμὸν ἐν τῷ τετάρτῳ τῶν ὑπομνημάτων ἐξηγησάμεθα, τὴν αὐτὴν παρὰ βραχὺ λέξιν ἔχοντα τῇ νῦν εἰρημένῃ. γέγραπται γὰρ οὕτως, καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα ψύχηται, ἢ αὖθις θερμαίνηται, καὶ εἰ χρῶμα ἕτερον ἐξ ἑτέρου γένηται, νόσου μῆκος σημαίνει. E

GALENI COMMENTARIVS.

HVnc quoque aphorismum quarto horum Commentariorum exposuimus, eundem fere textum qualis præsens pronunciatur, habentem. Sic enim scriptus est. *Atque vbi toto in corpore mutationes contingunt, vt si corpus frigeat, aut rursus caleat, aut alter ex altero color oboriatur, morbi longitudinem significat.*

Ιδρὼς πολὺς ἀεὶ ῥέων ἀπακλέον εἶναι τὴν ὑγρότητα.

Sudor copiosus perp tuò fluens humorem vacuandum esse significat.

ΑΦΟΡΙΣΜΟΣ ξγ'.

F

ΙΔρὼς πολὺς, θερμὸς, ἢ ψυχρὸς, ἀεὶ ῥέων, σημαίνει ὑγρὸν ἀπάγειν, ἰσχυρῷ μὲν ἄνωθεν, τῷ δ' ἀσθενεῖ κάτωθεν.

APHORISMVS LXIV.

SVdor copiosus calidus aut frigidus semper fluens humoris plenitudinem inesse significat. Hæc igitur in robusto quidem supernè, debili verò infernè deducenda.

GALENI

A

GALENI COMMENTARIVS.

Antea alium aphorismum quartò horum Commentariorum explicauimus hoc modo scriptum; *Sudor copiosus frigidus aut calidus nempe, fluens, frigidus quidem maiorem, calidus verò minorem morbum significat.* Ac talium sudorum affectum causamve humoris plenitudinem esse diximus qui ægrotantis corpore continetur. Propterea qui nunc nobis proponitur aphorismus ad supervacaneum humorem educendum esse iubet, robustis quidem supernè, hoc est, per vomitiones, imbe- B cillis verò infernè, id est, per alvi subductionem. Quòd itaque superuacaneos corporis humores semper vacuare oporteat plane manifestum est. An verò robustis semper per superiora, infirmis verò per inferiora solùm redundans humor vacuandus sit animaduersione mihi dignum esse videtur. Præstat enim fortassis non eatenus auxiliorum vsum distinguere, sed vt in medendi methodo de eiusmodi omnibus à nobis explicatum ac definitum est. Quare & hunc aphorismum ex ascriptitiis esse censeo. C Post superiùs ascriptitios aphorismos tres alij deinceps comperiuntur in plurimis exemplaribus ab interpretibus etiam eodem fere modo conscripti pauló diuersa lectione quàm qui quarto Commentario comprehenduntur. Eos autem ita scribunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔμπροσθεν ἄλλον ἀφορισμὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων ἐξηγησάμεθα, ὃς κατὰ τόνδε τὸν τρόπον ἐγέγραπτο. ἱδρὼς πολὺς, ἢ θερμὸς, ἢ ψυχρὸς ἀεὶ ῥέων, ὁ ψυχρὸς μείζω, ὁ θερμὸς, ἐλάσσω νόσον σημαίνει. καὶ τὴν γε διάθεσιν ἔφαμεν εἶναι τῶν γε τοιούτων ἱδρώτων, ὑγρότητος πλῆθος ἐν τῷ τοῦ κάμνοντος περιεχόμενον σώματι. διὰ τοῦτ' οὖν, ὁ νῦν ἡμῖν προκείμενος ἀφορισμὸς, ἀπάγειν κελεύει τὴν περιττὴν ὑγρότητα, τοῖς μὲν ἰσχυροῖς μὲν ἄνωθεν, ὅπερ ἐστὶ διὰ τῶν ἐμέτων, τοῖς δὲ ἀσθενεστέροις κάτωθεν, ὅπερ καὶ αὐτὸ σημαίνει δι' ὑπαγωγῆς γαστρός. ὅτι μὲν οὖν ἐκκενοῦν ἀεὶ χρὴ τοῦ σώματος τὰς περιττὰς ὑγρότητας, αὐτόθεν δῆλον. εἰ δὲ τοῖς ἰσχυροῖς μὲν ἄνωθεν μόνον ἀεὶ, τοῖς δὲ ἀσθενέσι κάτωθεν, ἄξιον εἶναι δοκεῖ μοι σκέψεως. βέλτιον γὰρ ἴσως, οὐ ταύτῃ διαιρεῖν τῶν βοηθημάτων τὴν χρείαν, ἀλλ' ὡς ἡμῖν ἐν τῇ θεραπευτικῇ πραγματείᾳ περὶ τῶν τοιούτων ἁπάντων διώρισται. καὶ τοῦτον οὖν τὸν ἀφορισμὸν ἐκ τῶν παραγεγραμμένων εἶναι νομίζω. ἑξῆς τοῖς παραγεγραμμένοις ἀφορισμοῖς ἄλλοι τρεῖς εὑρίσκονται κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων, καὶ τοῖς ἐξηγηταῖς ὁμοίως γεγραμμένοι βραχύ τι διαλλάττοντες τῇ λέξει τῶν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων. γράφουσι δὲ αὐτοὺς ὧδε.

APHORISMVS LXIV. D

Qui febres non intermittentes tertio quoque die vehementiores fiunt, periculosiores. Quocunque autem modo intermiserint, citra periculum esse significant.

ΑΦΟΡΙΣΜΟΣ ξβ'.

Πυρετοὶ, ὁκόσοι μὴ διαλείποντες, διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

APHORISMVS LXV. E

Quibus febres longæ sunt, his ad articulos tubercula, vel dolores oboriuntur.

ΑΦΟΡΙΣΜΟΣ ξγ'.

Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα εἰς τὰ ἄρθρα, ἢ πόνοι ἐγγίνονται.

APHORISMVS LXVI. F

Quibus ad articulos tubercula, aut dolores à longis febribus oriuntur, hi cibis copiosioribus vtuntur.

ΑΦΟΡΙΣΜΟΣ ξδ'.

Ὁκόσοις φύματα μακρὰ, ἢ εἰς τὰ ἄρθρα πόνοι ἐκ πυρετοῦ γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

A

Εὔδηλον δὲ ὅτι καὶ οὗτοι παρέγκεινται τῶν ἔμπροσθεν, ἢ οὐδὲν, ἢ βραχύ τι τῇ λέξει διαφέροντες, ἐξήγημαι δ' αὐτοὺς ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων.

GALENI COMMENTARIVS.

Liquidò constat hosce interjectos fuisse nihil aut parum à superioribus distinctione discrepantes; ipsos autem quarto Commentariorum explanauimus.

Τὴν τῶν ὑγιαινόντων τροφὴν τοῖς πυρέσσουσι μὴ παρεατέον εἶναι, ὅτι τοῖς μὲν τὴν νόσον, τοῖς δὲ ἰσχὺν ἐμποιῇ καὶ αὐξάνῃ.

B

Sanorum cibum febricitantibus non exhibendum esse, quòd his morbum, illis robur inuehat, augeatque.

ΑΦΟΡΙΣΜΟΣ ξζ.

Ἢν τις τῷ πυρέσσοντι τροφὴν διδῷ ἣν ὑγιεῖ, τῷ μὲν ὑγιαίνοντι ἰσχύς, τῷ κάμνοντι, νόσος.

APHORISMVS LXVII.

Si quis febricitanti cibum præbeat quem sano exhibet, sano quidem robur, ægroto vero morbus est.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γράφεται δὲ καὶ οὕτως ὁ ἀφορισμὸς, ἤν τι τῷ πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ δὲ κάμνοντι, νόσος. ἑκατέρα δ' ἡ λέξις, ἀποκεχώρηκε τῆς κατὰ φύσιν ἑρμηνείας ἐπὶ τοῦτο δὴ, τὸ καλούμενον κακόζηλον, οὐκ οἶδ' ὅτι βουληθέντων ὅσοι διεσκεύασαν οὕτω πολυειδῶς, τὸ τέλος τοῦ βιβλίου. τὰ μὲν αὐτῇ τῇ λέξει γράφοντες, τῶν ἔμπροσθεν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους εἰρημένων, τὰ δ' ὑπαλλάττοντες βραχύ τι, τὰ δ' ὅλα παρεντιθέντες, ὥσπερ καὶ τοῦτο τὸν νῦν προκείμενον, οὐδ' ἐγγὺς τῆς Ἱπποκράτους ἑρμηνείας ἧκον. ἐκεῖνος μὲν γὰρ ἔμπροσθεν ἔφη. τὰ μὴ καθαρὰ σώματα ὁκόσῳ ἂν θρέψῃς, μᾶλλον βλάψεις, καὶ, ἢν ἐκ νόσου τροφὴν λαμβάνων τις, μὴ ἰσχύῃ, σημαίνει ὅτι τὸ σῶμα πλείονι τροφῇ χρῆται, ἢν δὲ χρὴ μὴ λαμβάνοντος τοῦτο γίνηται, τροφὴν εἰδέναι ὅτι κενώσεως δεῖται, καί τινα τοιαῦτα ἕτερα κατὰ φύσιν ἡρμηνευμένα. ὁ δὲ τὸν νῦν προκείμενον ἀφορισμὸν συνθεὶς, κακοζήλως εἶπεν ἐπὶ τῆς τροφῆς, εἰ τῷ ὑγιαίνοντι ἰσχὺς αὕτη, τῷ κάμνοντι νόσος, βούλεται γὰρ λέγειν, τὴν τροφὴν, ἰσχύος μὲν εἶναι τοῖς ὑγιαίνουσι ποιητικὴν, βλάβης δὲ, τοῖς νοσοῦσιν. ἢ νὴ Δία τοῖς μὲν ὑγιαίνουσιν αὔξειν τὴν ἰσχὺν, τοῖς δὲ κάμνουσι, νόσον. ἡρμήνευκε δὲ ἀλλοκότως, αὐτὸ, τὴν τροφὴν αὐτὴν εἰπὼν, ἰσχὺν μὲν τοῖς ὑγιαίνουσιν εἶναι, νόσον δὲ τοῖς κάμνουσιν, οὔτ' ἰσχὺν οὖσαν, ἀλλ' ἰσχύος ποιητικὴν, οὔτε νοῦσον ἀλλὰ νόσου ποιητικὴν ἄμεινον δὲ εἰπεῖν αὐξητικήν.

GALENI COMMENTARIVS.

Sic etiam aphorismus scribitur; *Si quis febricitanti det cibum, bene valenti robur, laboranti morbus est.* Verum vtraque lectio à naturali loquutione ad prauam, quam cacozelum vocitant, recessit. Neque enim quid sibi voluerint qui Libri finem tam variis & alienis rebus ornarunt, non video. Quædam enim eadem dictione scribunt, qua suprà ab Hippocrate sunt scripta; quædam parum immutant; alia malè interserunt, vt hunc ipsum aphorismum ab Hippocratis ratione dicendi longè alienum. Ille siquidem supra dicebat: *Impura corpora quò liberalius alueris, eò magis læseris.* Et, *si quis à morbo cibum capiens non roboretur, copiosiore corpus vti alimento significat. Si verò alimentum copiosius non assumenti id obtingat, euacuatione indigere sciendum est.* Et alia quædam huiusmodi secundum naturam enunciata. Qui verò præsentem aphorismum apposuit, affectate de cibo protulit, si ipse bene valenti exhibeatur, robur ægrotanti morbus est. Uult enim dicere cibum sanis robur efficere, ægrotantibus verò noxam; aut per Iouem sanis virium robur augere, morbum verò laborantibus. Absurdè autem id interpretatus est qui cibum ipsum robur quidem sanis, morbum verò laborantibus esse affirmauerit: quum neque robur sit, sed roboris propagator, neque morbus, sed morbi opifex, aut vt rectius dicam, auctor.

D

E

F

A

Quæ ſanis in veſica ac toto corpore ſimilia ſunt, ea bonum portendere; Quò quid à naturali ſtatu magis receſſerit, eò eſſe deterius.

Τὰ τοῖς ὑγιαίνουσι κατὰ τὴν κύστιν καὶ πᾶν σῶμα ὅμοια, τὸ ἀγαθὸν σημαίνει. εἰς ὅσον τι ἀποκεχώρηκε τοῦ κατὰ φύσιν, μᾶλλον, εἰς τοσοῦτον ἐστὶ μοχθηρόν.

APHORISMVS LXVIII.

B

QVæ veſicam permeant, ſpectare oportet, an talia qualia ſanitate fruentibus ſubeunt Nam quæ his minime ſimilia ſunt, ea morboſiora: quæ vero bene valentibus ſimiliora, minime morboſa ſunt.

ΑΦΟΡΙΣΜΟΣ ξϛ'.

Τὰ διὰ τῆς κύστεως διαχωρέοντα ὁρῆν δεῖ εἰ οἷα τοῖσιν ὑγιαίνουσιν ὑποχωρέεται. τὰ ἥκιστα οὖν ὅμοια τούτοισι, ταῦτα νοσερώτερα· τὰ δὲ ὁμοιότερα τοῖς ὑγιαίνουσι, ἥκιστα νοσερά.

GALENI COMMENTARIVS.

QVæcunque toto corpore ſanis ſimilia ſunt, ea ab Hippocrate tum in prognoſtico, tum aliis in Libris enunciantur bonum quoddam portendere; diſſimilia verò contratrarium. Hocce nunc is enarrare conatur qui hunc aphoriſmum compoſuit. Suſpicor enim hunc etiam Hippocratis non eſſe; captâ ex dictione conjecturâ, quæ eandem non habet cum Hippocratica ideam, neque iiſdem peræquè pronunciatis ipſius accuratè reſpondet. Quum enim illud protulit, *Quæ his minimè ſimilia ſunt, ea morboſiora*, quia ipſum *morboſiora* dicentem non argueret pro morboſiſſima, aut ſummè morboſa? Aduerbium nanque, *minimè*, cum quadam ſignificationis extenſione dicitur, & magna præter naturam mutatione: Atenim quæ præter naturam ſunt ſingula, quantum à naturali ſtatu receſſerunt, tanto ſunt deteriora. Quare minimè naturalibus ſimilia, ſecundùm naturam ſe habentibus maximè ſunt contraria, proindéque morboſiſſima.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Ὅμοια κατὰ τὸ σῶμα σύμπαν εἴρηται παρὰ τοῖς Ἱπποκράτους ἔν τε τῷ προγνωστικῷ, καὶ κατ' ἄλλα βιβλία, πάντα τοῖς ὑγιαίνουσι δηλοῦν ἀγαθόν τι, τὰ δ' ἀνόμοια, τοὐναντίον. τοῦτο οὖν καὶ νῦν πειρᾶται λέγειν ὁ συνθεὶς τὸν ἀφορισμὸν τοῦτον. ὑποπτεύω γὰρ καὶ τοῦτον οὐχ Ἱπποκράτους εἶναι, τῇ λέξει τεκμαιρόμενος, οὐκ ἐχούσῃ τὴν αὐτὴν ἰδέαν ταῖς ἐκείνου, καὶ τοῖς λεγομένοις αὐτοῖς οὐκ ἀπηκριβωμένῃ ὁμοίως ἐκείνου. ὅταν γοῦν εἴπῃ τό, τὰ ἥκιστα ὅμοια τούτοις, ταῦτα νοσερώτερα, τίς οὐκ ἂν μέμψαιτο νοσερώτερα λέγοντι αὐτῷ, ἀντὶ τοῦ νοσερώτατα, τοῦ τε, ὕστατον νοσώδη. τὸ γὰρ ἥκιστα, μετ' ἐπιτάσεώς τινος λέγεται,

D

καὶ πολλῆς τῆς εἰς τὸ παρὰ φύσιν παρατροπῆς. ἕκαστον δὲ τῶν παρὰ φύσιν, εἰς ὅσον ἀποκεχώρηκε τοῦ κατὰ φύσιν εἰς τοσοῦτον καὶ μοχθηρόν ἐστι. τὰ γοῦν ἥκιστα τοῖς κατὰ φύσιν ὅμοια, μάλιστά ἐστι τοῖς κατὰ φύσιν ἐναντία, καὶ διὰ τοῦτο, νοσερώτατα.

E

Quid dejectio, quid ſtrigmentum. Ex dejectionibus magni & parui morbi, & ſorbitionis exhibendæ ſigna deſumi. Sed hic aphoriſmus aſcriptitius ac nothus eſt.

Τί ὑποχώρημα, τί ξύσμα; ἐκ τῶν ὑποχωρημάτων τὰ τοῦ μεγάλου τε καὶ σμικροῦ νοσήματος, καὶ τοῦ ῥοφήματος διδομένου σημεῖα παραλαμβάνεται. Ἀλλὰ μὲν οὗτος ἀφορισμὸς παρεγγεγραμμένος τε καὶ νόθος.

APHORISMVS LXIX.

ET quibus dejectiones ſi reſidere permiſeris, neque moueri, veluti ſtrigmenta ſubſident. Quod ſi paucæ ſint, paruus eſt morbus; ſin multæ, magnus; iis aluum infernè purgari conducit. Quod ſi aluo non purgata, ſorbitiones exhibueris, quò plures dederis, eò magis læſeris.

ΑΦΟΡΙΣΜΟΣ ξζ.

Καὶ οἷσι τὰ ὑποχωρήματα ἢν ἐάσῃς στῆναι, καὶ μὴ κινέῃς, ὑφίσταται οἷον ξύσματα, καὶ ἢν ὀλίγα ᾖ, ὀλίγη ἡ νοῦσος γίγνεται. ἢν δὲ πολλά, πολλή, τουτέοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην. ἢν δὲ μὴ καθαρὴν

F

ποιήσας, διδῷς τὰ ῥοφήματα, βλάψεις, καὶ ὁκόσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ διὰ τῆς γαστρὸς ὑπιόντα λέγειν εἴωθεν αὐτὸς ὑποχωρήματά τε, καὶ διαχωρήματα. καὶ διὰ τοῦτο, καὶ νῦν ἐδέξαντό τινες, ἐπὶ τῶν κατὰ τὴν γαστέρα κινουμένων, εἰρῆσθαι τὸν λόγον αὐτῷ. μάχεται δ' αὐτῷ τὸ προσκείμενον ἐν τῇ λέξει, τὸ, ἢν ἐάσῃς στῆναι, καὶ μὴ κινέῃς, οἰκεῖον γὰρ τοῦτο τοῖς ὑγροῖς, καὶ διὰ τοῦθ', ἕτεροι πάλιν ἐπὶ τῶν οὔρων ἐδέξαντο λέγειν αὐτόν. ἑκάτεροι δὲ πάλιν διαθέντες, οἱ μὲν ἐφίστανται γράφουσι διὰ τοῦ ε, τὴν πρώτην συλλαβήν, οἱ δὲ ὑφίστανται, διὰ τοῦ υ. τοῖς μὲν οὖν οὔροις οὐδ' ἕτερον ἐναντιοῦται τῶν ῥημάτων. καὶ γὰρ καὶ διὰ τῶν ὑφισταμένων αὐτοῖς, καὶ διὰ τῶν ἐφισταμένων εἰώθαμεν καὶ τῶν παρόντων τι διαγινώσκειν, καὶ τῶν μελλόντων ἔσεσθαι, κατὰ δὲ τὰ διαχωρήματα, τὸ ἐφίστασθαι μᾶλλόν πως πρέπει. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν οὔρων ἑτοίμη τῶν ὑφισταμένων ἡ διάγνωσις, οὕτω κἀπὶ τῶν διαχωρημάτων. ἐπὶ μὲν γὰρ τῶν οὔρων, καὶ αὐτὸ τὸ ἄγγος ἐξ ὑέλου πεποιημένον ἐνδείκνυται τῶν ὑφισταμένων τὴν φύσιν, καὶ εἰ ἐν ἄλλῳ δέ τινι περιέχοιτο σκεύει, δυνατὸν ἀποχέοντας τὸ ἐπιπολῆς, αὐτὸ μόνον καταλιπεῖν τὸ ὑφιστάμενον. ἐπὶ δὲ τῶν διαχωρημάτων, οὐδέτερον πιθανόν. πάλιν δὲ αὐτὸ, τὸ ἐφεξῆς εἰρημένον, τὸ οἷον ξύσματα, τοῖς μὲν κατὰ τὴν γαστέρα διαχωροῦσι πρέπει, τοῖς δ' ἐκφερομένοις τῶν οὔρων καθ' ὁντιναοῦν τρόπον, εἴτ' ἄνωθεν, εἴ τε κάτωθεν, ἁρμόττει. ξυσματώδη μὲν γὰρ κατὰ τὴν γαστέρα διαχωρεῖται πολλάκις, ὀνομάζεταί τε συνήθως, οὐχ ὑπὸ Ἱπποκράτους μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἰατρῶν, οὐ μὴν ἐπί γε τῶν οὔρων. αὕτη τοίνυν ἡ περὶ τὰ ὀνόματα καὶ τὰ ῥήματα, χρῆσις ἄκυρος, ἐνδείκνυται παρεγκεῖσθαι καὶ τοῦτον τὸν ἀφορισμόν. ἔτι δὲ δὴ μᾶλλον, ἐπειδὰν εἴπῃ, τούτοις ξυμφέρει ὑποκαθαίρειν τὴν κοιλίην. οὐ γὰρ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν ὅτῳ ξυσματώδη κατὰ τὴν κοιλίαν ὑπάγεται, τούτῳ συμφέρει καθαίρειν αὐτήν, ὥσπερ οὐδὲ βλάβη τις ἐξ ἀνάγκης ἕπεται ῥοφήματα λαμβάνουσι τοῖς οὕτως ἔχουσιν. ὁρῶμεν γὰρ χολωδῶν διαχωρημάτων γινομένων, ἐκκρινόμενα κατὰ τὴν γαστέρα ξυσματώδη, ἐφ' οἷς οὔτε βλάπτονται ῥοφήματα λαμβάνοντες ἅπαντες, οὔτε προκαθαίρειν αὐτοὺς ἀναγκαῖόν ἐστιν, ἐάν γε πᾶν ἤδη κεκενωμένον ᾖ τὸ χολῶδες. ἔτι δὲ μᾶλλον οὐδ' εἰ τοῖς οὔροις ἐμφέροιτο οἷον ξύσματα, καθαίρειν προσήκει, πρὸς τῷ καὶ χαλεπὸν εἶναι διαγνῶναι, τὴν ἰδέαν ὁποίαν τινὰ εἶναι βούλεται τῶν ἐμφερομένων τοῖς οὔροις ξυσματωδῶν. ἀλλ' οἱ τούτους τοὺς ἀφορισμοὺς παρενθέντες, δοκοῦσί μοι χάριν αὐτοῦ τούτοις συνθεῖναι, τοῦ συγκεχύσθαι τε τὸν λόγον ὥσπερ αἴνιγμα, καὶ δεῖσθαι ζητήσεως πολλῆς, ἐν ᾗ καθιστάντες ἑαυτοὺς ἐξηγητὰς τῶν λεγομένων, εὐδοκιμοῦσι παρὰ τοῖς μειρακίοις. ὅτι δὲ οἱ λόγοι πάντες οἱ ἀσαφεῖς, ἀφορμὰς πολυλογίας παρέχουσι τοῖς σοφισταῖς, δῆλον ἔσται σοι κατ' αὐτὸν τοῦτον τὸν ἀφορισμόν. ἔνιοι γάρ τοι τῶν ἐξηγησαμένων αὐτὸν, οὔ φασιν ἀπαγορεύειν τὸν Ἱπποκράτην, διδόναι ῥοφήματα τοῖς οὕτω διακειμένοις, ἀλλὰ πλέονα κωλύειν εἰρηκέναι, ὁκόσῳ ἂν πλέονα

GALENI COMMENTARIVS.

QVæ per aluum subeunt consueuit ipse hypochoremata & diachoremata nominare. Atque idcirco nunc etiam quidam concesserunt de iis quæ per aluum vacuantur, haberi sermonem. Verùm quod additum est in textu illud, *si residere permiseris neque moueris*, repugnat, hoc enim humidorum est proprium; atque ideo alii rursum de vrinis ipsum agere censuerunt. Vtrique iterum inter se dissentiunt, hi nanque per ε primam syllabam scribunt ἐφίστανται, *insistunt*, illi verò per υ, ὑφίστανται, *subsident*. At neutrum horum verborum vrinis aduersatur; etenim & per ea quæ subsident, & per ea quæ insistunt, aut innatant in vrinis tum præsentium aliquid dignoscere, tum futurorum quiddam præsagire consueuimus, in alui autem excrementis insidere quodam modo magis competit: Non enim quemadmodum in vrinis, sic in dejectionibus facilis ac prompta est subsidentium dignotio. In vrinis siquidem & ipsum vas ex vitio factum subsidentium naturam ostendit. Quod si alio quodam vase contineatur, possumus, effusâ quæ supernatat parte, ipsum solum sedimentum in fundo relinquere. In alui autem excrementis neutrum probabile est. Rursus quod textûs serie dicitur illud, *veluti strigmenta*, excrementis aluum permeantibus congruit, iis verò quæ cum vrinis quoquo modo siue superne siue infernè educuntur, non congruit: strigmentosa nanque sæpius per aluum dejiciuntur, atque consueto more non ab Hippocrate solùm, verumetiam ab aliis Medicis nominantur, non tamen in vrinis. Is igitur nominum & verborum vsus improprius hunc quoque aphorismum interjectum esse prodit. Sane verò etiamnum magis, *quum his infernè aluum purgari conducere protulit*. Non enim simpliciter, neque vt sors tulerit, cui per aluum strigmentosa subducuntur, huic ipsum purgari conducit; quemadmodũ neq; vlla læsio eos necessariò sequutura est, qui sic affecti cibum assumunt. Videmus enim biliosis dejectionibus euacuatis strigmenta per aluum excerni, quibus neq; qui sorbitiones accipiunt, omnes oblæduntur, neque eos præpurgare necesse est, si iam quicquid biliosum inerat, vacuatum sit; sed etiamnum magis si quid per vrinas feratur veluti ramenta, purgare non conuenit. Huc adde etiam esse perarduum dignoscere qualem formam esse velit eorum quæ veluti ramenta cum vrinis feruntur. Verùm qui hos aphorismos interseruerunt ob eam mihi causam composuisse videntur, vt oratio confunderetur tanquam ænigma, & multa indigeret inquisitione, in qua seipsos constituentes Interpretes eorum quæ his aphorismis dicuntur, apud pueros gloriam aucupentur. Quod autem obscuræ orationes omnes Sophistis loquacitatis argumenta præbeant hocce aphorismo tibi fiet manifestum. Nonnulli siquidem eorum qui ipsum interpretantur, negant Hippocratem sic affectis, exhibendas prohibere sorbitiones; sed ne copiosiores den-

tur vetuisse proferunt, quum diceret: & quò plures dederis, eò magis læseris: ac si etiam cæteri qui sorbitionibus egeant copiosioribus non lædantur; aut consequens non sit eum qui dixerit, *Quo plures dederis, magis læseris*, paucioribus etiam putare minorem fore læsionem. Verumtamen interpretationis prauitatem sophistis datur facultas rationibus solutiones suppeditandi, præsertim quum quiddam & addere & adimere, & scribendo transponere licueris; quod in obscuris sermonibus facere consueuerunt. Veluti hoc statim aphorismo nonnulli conjunctione, *&*, addita, quod alij sequentis aphorismi principium statuunt, huius finem faciunt, vt ita se habeat oratio. Si verò non purgata aluo, sorbitionem dederis, magis læseris, & quibus cruda dejiciuntur; quasi hos quoque magis læseris quo plures dederis sorbitiones. Deinde altero facto orationis principio sic scribunt. Vbi atra bilis inest, si plus adsit, maior morbus; si minus, minor morbus. Major tamen enarrantium pars aliter interpretantur, & scribunt, vt subscripta habet dictio.

A διδῷς, μᾶλλον βλάψεις. ὥσπερ, εἰ καὶ τῶν ἄλλων ὅσοι χρήζουσι ῥοφημάτων ὑπὸ πλειόνων βλαπτομένων, ἢ ὡς οὐκ ἀκόλουθον τῷ φαίη, ὁκόσῳ ἂν πλείονα διδῷς, μᾶλλον βλάψεις, καὶ τοῖς ἐλάττοσιν ἐλάττονα τὴν βλάβην ἔσεσθαι νομίζειν. ἀλλ' ὅμως, διὰ τὸ τῆς ἑρμηνείας μοχθηρὸν, ὑπάρχει τοῖς σοφισταῖς πορίζεσθαι τοῖς λόγοις διαλύσεις, καὶ μᾶλλόν γε, ὅταν ἐξῇ καὶ προσθεῖναί τι, καὶ ἀφελεῖν, καὶ μεταγράψαι, ὅπερ ἐν τοῖς ἀσαφέσι λόγοις εἰώθασι πράττειν. αὐτίκα γέ τοι καὶ κατὰ τοῦτον τὸν ἀφορισμὸν ἔνιοι τὸν, καὶ σύνδεσμον προσθέντες, ὃν ἄλλοι, τοῦ μετ' αὐτὸν ἀρχὴν τίθενται, ταύτην ποιοῦσι τούτου τελευτὴν, ἵνα ὁ λόγος οὕτως ἔχῃ, ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς, μᾶλλον βλάψεις, καὶ ὁκόσοις ἂν κάτω ὠμὰ ὑποχωρέῃ, ὡς δηλονότι καὶ τούτοις, ὅσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις. εἶτ' ἀφ' ἑτέρας ἀρχῆς πάλιν γράφουσιν. ὅτι χολῆς μελαίνης ἔνεστιν, ἢν πλείω, πλείων, ἢν ἐλάσσω, ἐλάσσων ἡ νοῦσος. οἵ γε μὴν πολλοὶ τῶν ἐξηγητῶν ἑτέρως ἐξηγοῦνται, καὶ γράφουσιν ὡς ὑπογέγραπται ῥῆσις.

C

Crudas dejectiones atram bilem significare, copiosiores copiosiorem, pauciores pauciorem.

Τὰ ὑποχωρήματα ὠμὰ χολὴν μέλαιναν σημαίνειν· τὰ μὲν πλείω πλείονα, τὰ δὲ ἐλάσσω ἐλάσσονα.

APHORISMVS LXX.

Quæcunque deorsum cruda secedunt, ab atra bile sunt; si plura, maior; si pauciora, minor est morbus.

ΑΦΟΡΙΣΜΟΣ ξη'.

Ὁκόσα ἂν κάτω ὠμὰ ὑποχωρέῃ ἀπὸ χολῆς μελαίνης ἐστὶν, ἢν πλείω, πλείων, ἢν ἐλάσσω, ἐλάσσων ἡ νοῦσος.

GALENI COMMENTARIVS.

D

Atque supra quosdã textus aliter scriptos esse dictum est: Licet enim in obscuris cuique prout voluerit scribere, quum nulla sit lex transcribentibus imposita. Sæpè verò non propter obscuritatem, sed quod falsa sit oratio: propterea quiddam ab initio inuentis addere aut adimere, aut scriptionem mutare coguntur: quemadmodum exempli gratiâ hoc quoque aphorismo cuius dictionem primi aphorismorum interpretes (è quibus numerantur Herophilus Bacchius, Heraclides, & Zeuxis Empirici, in hanc fere sententiam scribunt; Quibuscunque cruda deorsum secedunt, atræ sunt bilis; si plura, copiosiora, si pauciora, paucioris. Verum quia hæc oratio rei cuiusdam particularis interpres est, vt de vniuersali tamen enunciatur, propterea dubitationem attulit. Quia pronunciatum ipsius quoad dictionem, nullam sortitur dubitationem quæstionemve, scriptore eius pronunciante. Quibuscunque cruda secedunt, eorum organis scilicet concoquentibus atram inesse bilem, per quam refrigerata deteriùs concoquunt & apepsiæ speciæ à cruditate ortam efficiunt, flaua bile alteram eamque contrariam faciente, per quam malè coctam nidorulenta euadunt. Quidam denique hunc quoque aphorismum de vrinis dici arbitrantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται δὲ καὶ πρόσθεν ὅτι καὶ ἄλλοι τινές εἰσιν, ἔξεστι γὰρ ἐν τοῖς ἀσαφέσιν ὡς ἂν ἐθέλῃ τις γράφειν, οὐδενὸς ἐπὶ τοῖς μεταγράφουσι νόμου κειμένου, πολλάκις δὲ οὐ διὰ τὴν ἀσάφειαν, ἀλλ' ὅτι ψευδής ἐστιν ὁ λόγος, διὰ τοῦτο ἀναγκάζονται προσγράφειν τοῖς ἐξ ἀρχῆς εὑρεθεῖσιν, ἢ ἀφαιρεῖν, ἢ μεταγράφειν. ὥσπερ ἀμέλει, καὶ κατὰ τόνδε τὸν ἀφορισμὸν, οὗ τὴν λέξιν οἱ πρῶτοι τῶν ἐξηγησαμένων τοὺς ἀφορισμοὺς, ὧν ἐστιν Ἡρόφιλος, ὁ Βακχεῖος, Ἡρακλείδης τε, καὶ Ζεῦξις οἱ Ἐμπειρικοὶ, τοιαύτην τινὰ γράφουσιν. ὁκόσοις ἂν κάτω ὠμὰ ὑποχωρέῃ, χολῆς μελαίνης ἐστὶν, ἢν πλείω, πλείονος· ἢν ἐλάσσω, ἐλάσσονος. ἀλλ' ὅτι τῶν ἐπὶ μέρους τινὸς ὁ λόγος οὗτος ἑρμηνευτής ἐστιν, εἴρηται δὲ ὡς ἐκ καθόλου, διὰ τοῦτο τὴν ἀπορίαν παρέχει. ἐπεί τοι λεγόμενος αὐτὸς κατὰ τὴν λέξιν, οὐδεμίαν ἔχει ζήτησιν, ἀποφαινομένου τοῦ γράψαντος αὐτήν. οἷς ἂν ὠμὰ χωρέῃ, διὰ χολῆς μελαίνης ἐνεῖναι τοῖς πέττουσιν ὀργάνοις δηλονότι, δι' ἣν ψυχόμενα χεῖρον πέττει, καὶ τρόπον ἀπεψίας ἐργάζεται τὸν κατ' ὠμότητα, τῆς ξανθῆς χολῆς τὸ ἐναντίον ἐργαζομένης, οἷον κνισώδη γάρ τινα γίνεται δι' αὐτὴν ἀπεπτούμενα. τινὲς δὲ, καὶ τοῦτον τὸν λόγον, ἔτι περὶ τῶν οὔρων ἡγοῦνται λέγεσθαι.

A

Τὰς ἀποχρέμψιας καὶ πάσας τὰς ἐκκρισίας καλῶς μὲν ἐκκρινομένας, ἀγαθὰς εἶναι. τὰς δὲ μὴ συμφερούσας, κακάς.

Excreationes & omnes excretiones, si commodè prodeant, bonas esse; si non iuuent, malas.

ΑΦΟΡΙΣΜΟΣ ξθ΄.

ΑΙ ἀποχρέμψιες, ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσιν, αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ χολώδεες, καὶ δυσώδεες, πᾶσαι κακαὶ, ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ, καὶ κατὰ κοιλίην, καὶ κύστιν, καὶ ὅκου ἄν τι ἀποχωρέον στῇ κεκαθαρμένον, κακόν.

B

APHORISMVS LXIX.

EXcretiones in febribus non intermittentibus, liuidæ, cruentæ, graueolentes & biliosę, omnes malæ. Quum verò probè secedunt, bonæ. Per aluum etiam & vesicam, & vbi cunque quod secedit, substiterit minimè purgatum, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑΙ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν γέγραπται κατὰ τόνδε τὸν τρόπον. αἱ ἀποχρέμψιες ἐν τοῖσι πυρετοῖσιν ἐν τοῖσι μὴ διαλείπουσιν, αἱ πελιδναὶ, καὶ αἱματώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ, καὶ κατὰ τὴν διαχώρησιν, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν. ἐξηγησάμεθα δ᾽ αὐτὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων.

GALENI COMMENTARIVS.

HIc quoque aphorismus suprà hoc modo scriptus est. *In febribus non intermittentibus excreationes liuidæ, cruentæ, omnes malæ; Bellè tamen si prodeant, bonæ, tum per alui excretiones, tum per vrinas. At si quid eorum quæ non iuuant, per hæc loca excernatur, malum. Atque ipsum quarto horum Commentariorum explicauimus.*

C

Ὅτι πρὸ τῆς καθάρσεως τὸ σῶμα παρασκευάζειν, καὶ εὔροον ποιεῖν χρή.

Ante purgationem corpus præparandum, ac meabile reddendum esse.

D

ΑΦΟΡΙΣΜΟΣ ο΄.

ΤΑ σώματα χρὴ, ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν, καὶ ἢν ἄνω εὔροα ποιέειν στῆσαι τὴν κοιλίην· ἢν δὲ κάτω, ῥυῆσαι τὴν κοιλίην.

APHORISMVS LXX.

QVum quis corpora purgare velit, ea meabilia faciat oportet. Si sursum quidem velit, aluus sistenda; si vero deorsum, laxanda.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

ΚΑΙ τούτου τοῦ λόγου τὸ πρότερον μέρος ἔμπροσθεν γέγραπται, μὴ προσκειμένου, τοῦ καὶ ἄνω, ἢν βούλῃ εὔροα, καὶ τὰ ἐφεξῆς, ἅ τινα προσγράψαι βουλόμενος ἐνταυθοῖ τις ἀνέγραψεν αὖθις τὸν αὐτὸν ἀφορισμὸν μετ᾽ ἐξηγήσεως, ὥστ᾽ ὑπάρχειν ἀληθῆ. ὅτι ἀληθεστέρα ταύτης ἑτέρα τίς ἐστιν ἐξήγησις, ἣν καὶ διὰ μακρᾶς πείρας ἡμεῖς ἐβασανίσαμεν, ἔμπροσθεν δέδεικται κατὰ τὸ τέταρτον ὑπόμνημα.

GALENI COMMENTARIVS.

PRima quoque huius aphorismi pars in præcedentibus scripta est, non additis verbis, si sursum quidem velit meabilia facere, & sequentibus, quæ aliquis hoc in loco adjicere volens, rursus aphorismum scripsit cum interpretatione per quam verus esset. Quod autem altera sit quædam interpretatio hac verior quam nos longa experientia comprobauimus, superiùs secundo Commentariorum proditum est.

F

A

Somnum & vigilias immoderatiores morbum excitare.

Τὸν ὕπνον καὶ ἀγρυπνίην ἀμετριοτέρα ἀμφότερα τὰς νόσους ποιεῖν.

APHORISMVS LXXI.

Somnus vigiliæ modum, vtraque modum excedentia, morbus.

ΑΦΟΡΙΣΜΟΣ οα'.

B Ὕπνος, ἀγρυπνίη, ἀμφότερα γινόμενα μᾶλλον τοῦ δέοντος, νοῦσος.

GALENI COMMENTARIVS.

Atque hic aphorismus in quibusdam exemplaribus interjectus est suprà pronunciato per omnia similis, præterquam in fine. Hîc enim morbus, illic multò rectiùs scribitur malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ οὗτος ὁ ἀφορισμὸς, ἔν τισι τῶν ἀντιγράφων παρέγκειται, πρόσθεν εἰρημένος ὅλος ὡσαύτως, πλὴν τοῦ κατὰ τὸ τέλος, ἐνταυθοῖ μὲν γὰρ νόσος. ἐκεῖ δὲ πολὺ βέλτιον γέγραπται, κακόν.

C

In continuis febribus externa frigere, & interna uri lethale.

Ἐν τοῖς μὴ διαλείπουσι πυρετοῖς τὰ ἔξω ψύχεσθαι, καὶ τὰ ἔσω καίεσθαι θανάσιμον.

APHORISMVS LXXII.

In febribus non intermittentibus si partes internę frigeant, internæ urantur, & febris obsideat, mortiferum.

ΑΦΟΡΙΣΜΟΣ οβ'.

Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔσω καίηται, καὶ πυρετὸς ἔχῃ, θανάσιμον.

D

GALENI COMMENTARIVS.

Hic quoque aphorismus temerè scriptus est, meliùs suprà pronunciatus intra hanc additionem, *& febris obsideat.* Nunc verò ex abundanti additum est, *& febris obsideat.* Quum enim ipse ab initio suprà dixerit. *In febribus non intermittentibus*, irrita rursum in peroratione hæc appendix. *Et febris obsideat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ οὗτος ὁ ἀφορισμὸς εἰκῆ γέγραπται, πρόσθεν ἄμεινον εἰρημένος, χωρὶς τοῦ, καὶ πυρετὸς ἔχῃ. νῦν δὲ ἐκ περιττοῦ πάλιν ἔχει προσκείμενον τὸ, καὶ πυρετὸς ἔχῃ· προειρηκότος γὰρ αὐτοῦ κατὰ τὴν ἀρχὴν, ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖς. ματαία πάλιν ἡ ἐπὶ τῇ τοῦ λόγου τελευτῇ προσθήκη, καὶ πυρετὸς ἔχῃ.

E

De mortis imminentis signis in febre continua.

Περὶ τῶν τοῦ θανάτου ἐνισταμένου ἐν πυρετῷ συνεχεῖ σημείων.

APHORISMVS LXXIII.

In febre non intermittente si labrum, aut nasus, aut oculus, aut supercilium peruertatur, si non videat, si non audiat, imbecillo iam corpore; quicquid horum acciderit, mors proxima.

ΑΦΟΡΙΣΜΟΣ ογ'.

Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἀσθενέος ἐόντος, ὅτι ἂν τούτων γένηται, ἐγγὺς ὁ

F θάνατος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν εἴρηται κατὰ τήνδε τὴν λέξιν. ἐν μὴ διαλείποντι πυρετῷ ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ ἤδη ἀσθενέος ἐόντος, ὅτι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

A

GALENI COMMENTARIVS.

HIc etiam aphorismus in præcedentibus hisce verbis pronunciatus est. In febre non intermittente si labrum, aut nasus, aut oculus, aut supercilium peruertatur, si non videat, si non audiat, imbecillo jam ægroto, quicquid horum acciderit propinqua mors.

B

Τὸ τοῦ ὑδέρου μέλλοντος σημεῖον.

ΑΦΟΡΙΣΜΟΣ οδ'.

Ἐπὶ λευκῷ φλέγματι ὕδρωψ ἐπιγίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ λεγόμενόν ἐστι τοιοῦτον, ὅσοις ἂν πλεῖστον ἐν τοῖς ἀγγείοις, καὶ κατὰ τὴν ἕξιν ὅλην τοῦ σώματος ἀθροισθῇ λευκὸν φλέγμα, τούτοις ὁ λευκοφλεγματίας ὕδερος ἔσται.

Hydropis futuri signum.

APHORISMVS LXXIV.

ALbæ Pituitæ hydrops succedit.

GALENI COMMENTARIVS.

C

QVod pronunciatur est huiusmodi; Quibus plurima in vasis, totóque corporum habitu alba pituita aceruata est, his leucophlegmatias hydrops superuenit.

Τῇ διαρροίᾳ τὴν δυσεντερίαν ἐπιγίνεσθαι.

ΑΦΟΡΙΣΜΟΣ οε'.

Ἐπὶ διαρροίῃ, δυσεντερίη.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀπὸ κοινοῦ δηλονότι προσυπακοῦσαι χρὴ τὸ, ἐπιγίνεται, ξεομένων τῶν ἐντέρων κατὰ βραχὺ, κἄπειτα διὰ βάθους τούτου γινομένου, καὶ οὕτως ἑλκουμένων. ἔμπροσθεν δὲ, βέλτιον ἐν ἀφορισμῷ γνησίῳ γέγραπται κατὰ τόνδε τὸν τρόπον. ἐπὶ ἀκράτῳ ὑποχωρήσει, δυσεντερίη, καὶ ἡμεῖς ἐξηγησάμεθα τὸν ἀφορισμὸν τοῦτον, ἐν ἕκτῳ τῶν ὑπομνημάτων.

Diarrhœæ dysenteriam succedere.

D

APHORISMVS LXXV.

A Diarrhœa, dysenteria.

GALENI COMMENTARIVS.

EX communi videlicet loquendi consuetudine subaudiendum est *superuenit* primùm abrasis paulatim intestinis, deinde malo profundum subeunte ita demum vlceratis. Suprà verò præclariùs in aphorismo hunc in modum scriptum est. *A sincera dejectione dysenteria*; nosque hunc aphorismum horum Commentariorum sexto explicauimus.

E

Τῇ δυσεντερίᾳ λειεντερίαν ἐπιγίνεσθαι.

ΑΦΟΡΙΣΜΟΣ οϛ'.

Ἐπὶ δυσεντερίῃ λειεντερίη ἐπιγίνεται.

Καὶ οὗτος ὁ ἀφορισμὸς, μόριόν ἐστιν ἀφορισμοῦ εἰρημένου ἔμπροσθεν, τόνδε τὸν τρόπον. ὅσοι λειεντε-

Dysenteriæ lienteriam succedere.

F

APHORISMVS LXXVI.

DYsenteriæ lienteria succedit,

GALENI COMMENTARIVS.

HIc etiam aphorismus pars est aphorismi superius hoc modopronunciati. Qui lienosi

mosi dysenteria corripiuntur, his supervenientem longam dysenteriam hydrops excipit, aut lienteria, & intereunt. At nos quoque ipsum sexto Commentariorum explanavimus.

Syderationi ossis abscessum succedere.

APHORISMUS LXXVII.

A *Sideratione ossis abscessus.*

GALENI COMMENTARIUS.

Hic quoque ex communi loqutione subaudiendum est, *superveniet.* Utrum verò ossis sphacelimum ipsius ossis sequatur abscessus, an circunstantis carnis non manifestavit. Utrunque tamen verè enunciari potest.

A sanguinis vomitu mortis per gravia symptomata patet aditus.

APHORISMUS LXXVIII.

A *Sanguinis vomitione tabes, & puris per superiora purgatio.*

GALENI COMMENTARIUS.

A Phthoë fluxio è capite; à fluxu, diarrhæa supernæ purgationis retentio; à retentione mors. In compluribus exemplaribus, & apud plurimos Interpretes scriptum est; à sanguinis vomitu corruptio. In nonnullis tamen codicibus legitur, à sanguinis vomitu Phthoë, hoc est tabes. Quare videntur hæc quoque male collecta esse, atque ex Hippocratis quum multis enunciationibus perperam composita, tum maximè ex illis Aphorismis: A *sanguinis sputo* puris *sputum*, & fluxus. Quum autem sputum retinetur, intereunt.

Excrementa spectanda esse, quæ quò magis aut minus à natura recedunt, eò ipsa morbos majores aut minores, salutares aut lethales portendere.

APHORISMUS LXXIX.

Q*ualia etiam per vesicam, & alvum, & carnes excernuntur, & sicubi aliàs corpus à natura recedat, inspicere oportet; si parum parvus, si multum malignus, si admodum multum, id hujusmodi lethale.*

GALENI COMMENTARIUS.

Hic postremus aphorismus in plurimis exemplaribus scriptus est; in quibusdam tamen alii etiam adduntur iisdem ordinibus distincti, quibus & illi quos ex legitimis Hippocratis Aphorismis ita esse percensuimus, ut nonnulli ipsa dictione, nonnulli præter pauxillum quiddam, & nonnulli cum brevi additione iis sint similes qui ab Hippocrate scripti sunt. Unde

A δεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τούτοισιν ἐπιγινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται. ἐξηγησάμεθα δὲ καὶ ἡμεῖς αὐτὸν, κατὰ τὸ ἕκτον τῶν ὑπομνημάτων.

Τῷ σφακελισμῷ τὴν ἀπόστασιν ὀστέου.

ΑΦΟΡΙΣΜΟΣ οζʹ.

Ἐπὶ σφακελισμῷ, ἀπόστασις ὀστέου.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀπὸ κοινοῦ δηλονότι κἀνταῦθα προσυπακοῦσαι δεῖ τὸ, ἐπιγίνεται. πότερον δὲ τῷ τοῦ ὀστέου σφακελισμῷ τὴν ἀπόστασιν αὐτοῦ ἕπεσθαι, ἢ τῷ τῆς περικειμένης σαρκὸς, οὐκ ἐδήλωσε. δύναται δὲ ἑκάτερον ἀληθῶς λέγεσθαι.

Ἀπὸ τοῦ αἵματος ἐμέτου διὰ τῶν μεγάλων συμπτωμάτων ἡ τοῦ θανάτου ὁδὸς φαίνεται.

C

ΑΦΟΡΙΣΜΟΣ οηʹ.

Ἐπὶ αἵματος ἐμέτῳ, φθόη, καὶ τοῦ πύου κάθαρσις ἄνω.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τῇ φθόῃ ῥεῦμα ἐκ τῆς κεφαλῆς, ἐπὶ τῷ ῥεύματι διάῤῥοια, ἐπὶ τῇ διαῤῥοίᾳ σχέσις τῆς ἄνω καθάρσεως, ἐπὶ τῇ σχέσει, θάνατος. ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων, καὶ παρὰ τοῖς πλείστοις τῶν ἐξηγητῶν γέγραπται. ἐπὶ αἵματος ἐμέτῳ, φθορά. κατά τινα μέντοι τῶν ἀντιγράφων, ἐπὶ αἵματος ἐμέτῳ φθόη, γέγραπται. φαίνεται γοῦν ὅτι καὶ ταῦτα συνηράνισται μοχθηρῶς, ἐκ πολλῶν Ἱπποκρατείων ἀποφάσεων συγκείμενα διεφθαρμένως, μάλιστα δὲ παρ' ἐκείνων τῶν ἀφορισμῶν, ἐπὶ αἵματος πτύσει, πύου πτύσις καὶ ῥύσις· ἐπὴν δὲ τὸ σίαλον ἴσχηται, ἀποθνήσκουσιν.

D

Τὰ ἐκκεκριμένα ἀξιοθέατα εἶναι, ἅτινα ὅσῳ μᾶλλον, ἢ ἧττον τῆς κατὰ φύσιν ἐκβαίνει, τοσούτῳ αὐτὰ τὰς νόσους μείζονας ἢ ἐλάττονας, καὶ σωτηρίας ἢ θανασίμους σημαίνειν.

E

ΑΦΟΡΙΣΜΟΣ οθʹ.

Ὁκοῖα, καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν, καὶ ἐν τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρήμασι, καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας καὶ ἤν πη ἄλλῃ τῆς φύσεως ἐκβαίνῃ τὸ σῶμα, ἢν ὀλίγον, ὀλίγη νοῦσος γίνεται. ἢν πολὺ δὲ, πολλή. ἢν πάνυ πολλὴ, θανάσιμον τὸ τοιοῦτον.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ὕστατος ὁ ἀφορισμὸς ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων γέγραπται, κατά τινα μέντοι καὶ ἄλλοι πρόσκεινται, διεσκευασμένοι καθάπερ καὶ οὓς διεληλύθαμεν ἐκ τῶν γνησίων ὄντας ἔπους, ὥστε τοὺς μὲν αὐτῇ τῇ λέξει, τοὺς δὲ παρὰ βραχὺ, τοὺς δὲ μετὰ βραχείας προσθέσεως, ἐοικέναι τοῖς ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους γεγραμ-

μένοις, ὅθεν αὐτοὺς οὐδ᾽ ἡμεῖς ἔτι προσεθήκαμεν. οὐδὲ γὰρ αὐτὸς οὗτος ὁ νῦν προκείμενος ἔχει τι περιττότερον ὧν πολλάκις ὁ Ἱπποκράτης ἔδειξεν, ἀλλὰ καὶ ὁ τρόπος τῆς ἑρμηνείας εὔδηλος ὁ κατ᾽ ἐκεῖνον. τὸ δὲ, οἷα καὶ ἐν τοῖς κατὰ τὴν κύστιν, καὶ ἐν τοῖς κατὰ τὴν κοιλίαν, ἀποδόσεως χρήζει, τό γε μὴν κεφάλαιον, ὡς ἔφην, ἀληθές. εἰ μὲν γὰρ ὀλίγον ἐκβαίνοι τοῦ κατὰ φύσιν ἐν οἵῳ δή ποτε μορίῳ, μακροτέραν τὴν νόσον· εἰ δ᾽ ἐπὶ πλέον, πολλὴν ὑποληπτέον· εἰ πάνυ πολλὴ τοῦ κατὰ φύσιν ἡ μετάβασις γίνηται, θανάσιμον εἶναι τὸ τοιοῦτον νόσημα.

A neque nos etiamnum ipsos addere necessarium duximus. Nam neque is ipse nunc propositus quicquam habet amplius, quàm quod sæpenumero demonstravit Hippocrates; & alioquin eloquutionis ratio in eo est manifesta. Sed illud; *Qualia etiam quæ per vesicam & alvum excernuntur*, explicationem desiderat. Summa tamen ut dixi, vera est. Si nanque parvus à naturali statu cujuscunque partis fuerit decessus, minorem morbum; si multus, majorem morbum; si denique admodum magnus à natura decessus fiat, lethalem ejusmodi morbum esse augurandum est.





ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΩΝ ΑΦΟΡΙΣΜΩΝ
ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.
ΚΑΙ ΡΗΝΑΤΟΥ ΧΑΡΤΗΡΙΟΥ
ΕΙΣ ΑΥΤΟΝ ΥΠΟΜΝΗΜΑ.
HIPPOCRATIS
APHORISMORVM
LIBER OCTAVVS.
ET RENATI CHARTERII
IN EVM COMMENTARIVS.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ.

Τὸ τοὺς παρεμβεβλημένους ἀφορισμοὺς ὄγδοον περιλαμβάνει, τοὺς ἅπαντας ἐπὶ τὰ προγνωστικὰ καὶ τὰ προρρητικὰ δόγματα σχεδὸν ἀναφερομένους.

ARGUMENTUM LIBRI.

Interjectos Aphorismos Liber octavus complectitur, qui ferè omnes ad prognostica & prorrhetica dogmata referuntur.

Quid tremor, quid lethargus, & lethargo tremorem succedere, malum.

APHORISMUS I.

 *Ethargo tremor succedens, malum.*

COMMENTARIUS.

VEternus est tumor ex humore pituitoso ac flatulento procreatus puppi cerebri insidens, & inexpugnabilem in somnum delationem inducens. Tremor igitur huic superveniens, malum: Materiam enim significat

A

Τί λήθαργος, τί τρόμος, καὶ ὅτι τῷ ληθάργῳ τρόμον ἐπιγίνεσθαι, κακόν.

ΑΦΟΡΙΣΜΟΣ α'.

 πὶ ληθάργῳ τρόμος, κακόν.

ΥΠΟΜΝΗΜΑ.

ΛΗθαργός ἐστιν οἴδημα ἐξ ὑγροῦ φλεγματικοῦ καὶ φυσώδους γεγενημένον τῇ ἐγκεφάλου πρύμνῃ ἐγκαθιζόμενον, καὶ δυσαπόσπαστον καταφορὰν εἰσφέρον. Τρόμος οὖν τούτῳ ἐπιγινόμενος, κακόν ἐστι, σημεῖον γὰρ τὴν ὕλην

διὰ τὸ δυσκάθεκτον ἑαυτῆς πρὸς τὰ νεῦρα κινητικὰ καταβεβηκέναι τὰ μᾶλλον ἀπὸ τοῦ ὄπισθεν ἐγκεφάλου γεγενημένα, ὥσπερ ἄλλοθι λέλεκται. ἐξ ἧς ἐπιχύσεως τὰ νεῦρα οὕτω μαλακίζεται, ὡς τοῦ πνεύματος ψυχικοῦ μὴ μὲν ἁπλῶς, ἀλλ' ἐπὶ μικρὸν ἐλλείποντος, καὶ τῶν νεύρων τῇ ὡς ἐν τῇ παραλύσει μὴ ἁπλῶς ἐκμαλακισθέντων δυνάμει κινητικῇ καὶ οἰκονόμῳ τὰ μέλη ἄνω φέρεσθαι· ὅτι δὲ τὰ μέρη τῶν νεύρων ἐκμαλακισθέντων ἀσθενέστερα, τὰς ἕδρας εὐσταθεῖς τε καὶ βεβαίας μὴ τυγχάνεσθαι, διὰ τοῦτο πάλιν ἐξ ὧν ἐναντίων κινήσεων τρόμος γίνεται. καὶ τῷ ληθάργῳ ὁ τρόμος τῆς φυσώδους ὕλης διαλυθείσης τὰς μήνιγγας καὶ τὰ νεῦρα ἔκγονα τυπτούσης τε καὶ καταρραττούσης, ὅθεν ἡ τοῦ τρόμου γένεσις.

A propter sui incontinentiam ad nervos motorios devenisse, magis à postica cerebri parte productos, ut alibi dictum est. Ex cujus affusione nervi ita mollescunt, ut spiritu animali non omnino, sed aliquantulum deficiente, & nervis, ut in paralysi non omnino remollitis, facultate motrice ac moderatrice partes sursum ferantur. Quia verò partes nervis remollitis imbecilliores factæ firmam ac stabilem sedem non sortiuntur, propterea iterum ipsæ suo pondere gravatæ decidunt, ex quibus contrariis motibus B tremor oboritur. Lethargum quoque comitatur tremor, quum flatulenta materia resoluta meningas & nervos ipsarum propagines ferit & concutit, unde tremoris ortus.

Τὴν ἀγρυπνίαν βορὸν εἶναι, καὶ τὸ ὕδωρ βορὸν τρέφειν διδάσκει τὸ ὑπόμνημα.

Vigilias voraces esse, & aquæ potionem voracem nutrire docet Commentarius.

ΑΦΟΡΙΣΜΟΣ β'.

Ὑδροποσίη καὶ ἀγρυπνίη βορόν.

ΥΠΟΜΝΗΜΑ.

Οὗτος ἁπάντων ὕστατος ἀφορισμὸς γέγραπται. ἀλλὰ κατ' ἄλλας βίβλους ἄλλοι καὶ ἀφορισμοὶ μετὰ τοῦτον γεγραμμένοι εὑρίσκονται, οἵτινες εἰ τοῦ Ἱπποκράτους ἢ Πολύβου, ἢ ἑτέρου τινὸς ἀνδρὸς ἢ οὐκ εὖ οἶδα, γεγραμμένοι δὲ ἀναστρέφονται. τί δὲ φέρει αὐτὸς ἀφορισμὸς ἤδη ἐξηγητέον· τὴν γὰρ ὑδροποσίαν καὶ ἀγρυπνίαν βορόν τε καὶ λαιμαργὸν εἶναι ἀναγορεύει· ἐν ἄλλαις δὲ βίβλοις μὴ τούτῳ μὲν λόγῳ μόνον, ἀλλὰ καὶ ἄλλῳ τῷ τρόπῳ γράφεται· ὕδωρ βορόν, ἀγρυπνίη βορόν. Εἰδέναι χρὴ τὸ μὲν ὕδωρ τροφὴν εἶναι οὐκ ἰδίως λελεγμένην, ἀλλὰ κατὰ συμβεβηκός, βορὸν δὲ ἰδίως λέγεται αὐτὴ τροφή, ὕδατος δὲ ψυχροῦ ὄντος, τοῦτο τὴν θερμὴν δυσκρασίαν τῷ στομάχῳ ἐπικαθημένην, καὶ τὴν ἀνορεξίαν ἀπὸ τῆς αὐτῆς δυσκρασίας γινομένης καταπολεμεῖ· ὕδωρ γὰρ προσφερόμενον τὸν στόμαχον διαψύχει, ἐν ᾧ δὴ αὐτὸς ψύχεται, συστέλλεται καὶ συναθροίζεται, τῆς τροφῆς ἐπιθυμεῖ. καὶ ταχὺ ὅταν ὀρέγεται, τὰ σιτία προσλαμβάνουσιν, ἃ μετέπειτα ἀλλοιωθέντα, καὶ εἰς τὸν χυλὸν ἀνηγμένα διὰ τῶν φλεβῶν μεσαραϊκῶν ἐς τὸ ἧπαρ φέρεται, καὶ αὐτόθι τὴν αἵματος φύσιν κτησάμενα ἐς ὅλον ἐφεξῆς σῶμα ἀναδίδοται, ἀπὸ φλεβὸς τῆς παρὰ τὴν τοῦ στελέχου ὁμοιότητα στελεχιαίας ὀνομασμένης τραφέν. ἡ δὲ τροφή ἐστιν ἡ τῆς οὐσίας ἤδη διασκεδασθείσης τε καὶ ἀποβληθείσης ἀποκατάστασις. ἀλλὰ μὴν ὕδωρ μετὰ τὴν ἀγρυπνίαν ληφθὲν κατὰ πρῶτον τρόπον ἐστὶ τροφή· ἡ γὰρ ἀγρυπνία τὸ σῶμα ξηραίνει τε καὶ θερμαίνει· τὸ δὲ ψυχρὸν καὶ ὑγρὸν τῇ ξηρότητι καὶ θερμότητι ἐναντίον ἐστί. τοιγαροῦν ὕδωρ ἐκπεπωμένον σῶμα τρέφει. ὅταν γὰρ διὰ τῆς ξηρότητος καὶ θερμότητος ῥαδίως ἐφέλκηται καὶ κατακομίζηται, τροφὴ γίνεται.

APHORISMUS II.

Aquæ potio & vigilia vorax.

C

COMMENTARIUS.

Hic ultimus omnium Aphorismus scriptus est. Verùm aliis in codicibus alii quoque Aphorismi post hunc scripti inveniuntur, qui an Hippocratis, an Polybi, aut alterius cujusdam viri haud certò scio; scripti tamen revolvuntur. Cæterum quid hic Aphorismus ferat jam explicandum. Nam aquæ potiones & vigilias voraces & edaces esse pronunciat, aliis autem in codicibus non his verbis tantùm, sed alio etiam D modo scribitur, *aqua vorax, vigilia vorax.* Sciendum autem est aquam alimentum, esse non propriè, sed per accidens, βορὸν siquidem propriè dicitur ipsum alimentum. Quum autem aqua frigida sit, tum calidam intemperiem stomacho insidentem, tum inappetentiam ab illa intemperie provenientem expugnat. Aqua nanque exhibita stomachum refrigerat; dum autem refrigeratur, ipse contrahitur, dumque contrahitur & cogitur, alimentum requirit; moxque dum appetit, cibaria ingerimus, quæ postea alterata, ac in chylum redacta per venas mesaraïcas in jecur feruntur, illicque sanguinis natu- E ram nacta in universum deinceps corpus distribuuntur, à vena quàm à caudicis similitudine stelechiæam nominant, nutritum. Alimentum autem est substantiæ jam dissipatæ ac deperditæ restitutio. At verò aqua post vigilias etiam sumpta primaria ratione alimentum est; nam vigiliæ corpus exsiccant & calefaciunt. Frigidum autem & humidum siccitati & caliditati contrarium est. Epota ergo aqua corpus nutrit; quum enim siccitate & caliditate facile attrahatur ac detrahatur, fit alimentum.

F

Juvenibus magis quàm constantibus phrenitidem succedere, minusque periculosam esse. De triplici phrenitide.

APHORISMUS III.

QUi supra quadraginta annos phrenitici fiunt, non admodum sanescunt. Minus enim periclitantur quorum naturæ & ætati morbus familiaris fuerit.

COMMENTARIUS.

QUum phrenitidem non modo juvenili ætati, verumetiam constanti, ut Aphorismo trigesimo libri tertii, morbum familiarem esse pronunciaverit Hippocrates, cur ætate constantes difficilius quàm juvenes phrenitici convalescunt? Respondeo primo phrenitidem propriè dictam continuam nec paroxismis succedentem juvenibus magis quàm ætate constantibus familiarem esse, proindeque celeriùs percurari, minusque periculosam esse. Deinde quum triplex sit phrenitis; prior biliosa absolute phrenitis dicta; altera melancholica, quæ auctior vehemens ac ferina dicitur; tertia obscura & silens appellata, quâ Hermozygis uxor laborabat. Prior juvenibus, altera ætate provectioribus magis propria dicenda est. Cæterum ex Aphorismo trigesimo quarto Libri secundi postrema pars hujusce Aphorismi decerpta est, cujus explicationem jam suo loco dedit Galenus.

De ægrotantium lachrymis voluntariis ac involuntariis; quarum illæ malæ, hæ bonæ sunt.

APHORISMUS IV.

QVibus in morbis oculi sponte illachrymant, bonum; quibus vero non sponte, malum.

COMMENTARIUS.

IN morbis lachrymæ deprehenduntur duplices; aliæ voluntariæ, aliæ involuntariæ. Illæ salutares quia sponte defluunt, hæ lethales quia non ex arbitrio decidunt. Illachrymant ægri tristi cogitatione moti nullo periculo, quia arbitrio labuntur. Lachrymant oculi è delirio non sponte, ut in uxore Dealcis, cui modò lachrymæ, modò risus apparebat. Itaque criticæ sunt lachrymæ quæ arbitrio fluentes bonum, citra arbitrium malum signum portendere docet hic Aphorismus quinquagesimus secundus Libri quarti. Involuntariæ siquidem lachrymæ, nisi proprio oculorum affectu decidant, retentricis facultatis imbecillitatem significant. Voluntariæ animalis facultatis ac præsertim principis robur produnt, quæ sæpe ex oculis præ copia excretricis rubore exprimuntur, dum animus tristitia concutitur.

A Τὴν τοῖς νεανίσκοις μᾶλλον ἢ τοῖς ἐμμεσωθεῖσι φρενῖτιδα ἐπιγίνεσθαι, καὶ ἧττον ἐπικίνδυνον φρενίτιδος εἶναι. περὶ τῆς τριπλασίας.

ΑΦΟΡΙΣΜΟΣ γ΄.

ΟΚόσοι ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικοὶ γίγνονται, οὐ πάνυ τι ὑγιάζονται, ἧσσον γὰρ κινδυνεύουσιν
B οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος ᾖ.

ΥΠΟΜΝΗΜΑ.

ΟΤαν τὴν φρενῖτιν μὴ μόνον τῇ νεαζούσῃ ἡλικίᾳ, ἀλλὰ καὶ καθεστηκυίᾳ, ὡς ἐν ἀφορισμῷ τριακοστῷ βιβλίου τρίτου τὴν νόσον οἰκείαν εἶναι ἐκφωνήσῃ ὁ Ἱπποκράτης, διὰ τί οἱ τῇ ἡλικίᾳ καθεστηκότες χαλεπώτερον ἢ νεανίσκοι φρενιτικοὶ ὑγιάζονται; ἀποκρίνομαι πρῶτον τὴν φρενῖτιν ἰδίως εἰρημένην ἀδιάλειπτον, καὶ μὴ τοῖς παροξυσμοῖς ἐπιγινομένην
C τοῖς μᾶλλον νεανίσκοις, ἢ τοῖς τῇ ἡλικίᾳ καθεστηκόσι οἰκείαν εἶναι, καὶ ταχύτερον ἐκθεραπεύεσθαι, καὶ ἧττον ἐπικίνδυνον εἶναι. ἔπειτα ὅταν ἡ τριττὴ ἡ φρενῖτις, προτέρα μὲν χολώδης ἁπλῶς εἰρημένη, δευτέρα δὲ μελαγχολική, ἡ μᾶλλον αὐξηθεῖσα σφοδρὰ καὶ θηριώδης λεγομένη. τρίτη δὲ σκοτεινὴ καὶ σιγάουσα εἰρημένη ἣν Ἑρμοζύγου ἡ γυνὴ ἐνόσει. ἡ μὲν προτέρα τοῖς νεανίσκοις, ἑτέρα δὲ τοῖς ἡλικίᾳ καθεστήκωσι μᾶλλον οἰκεία λεγομένη ἐστί. ἀλλὰ ἐξ ἀφορισμοῦ λδ΄. βιβλίου δευτέρου, ἐσχάτη δὲ μοῖρα τούτου ἀφορισμοῦ
D ἀποδρεψαμένη ἐστὶ, ἧς τὴν ἐξήγησιν ἤδη ἐν ἰδίῳ τόπῳ δέδωκεν ὁ Γαληνός.

Περὶ τῶν ἀρρώστων δακρύων τῶν ἑκουσίων, καὶ τῶν ἀκουσίων, τῶν μὲν ἀγαθῶν, τῶν δὲ κακῶν ὑπαρχόντων.

ΑΦΟΡΙΣΜΟΣ δ΄.

ΟΚόσοισιν ἐν τῇσιν ἀρρωστίῃσιν οἱ ὀφθαλμοὶ κατὰ προαίρεσιν δακρύουσιν, ἀγαθόν. ὁκόσοισι δὲ ἄνευ
E προαιρέσιος, κακόν.

ΥΠΟΜΝΗΜΑ.

ΤΑ μὲν ἐν τοῖς νοσήμασι δάκρυα διττὰ καταλαμβάνεται, ἄλλα μὲν ἑκούσια, ἄλλα δὲ μὴ ἀκούσια. τὰ μὲν σωτήρια ὅτι αὐτομάτως καταρρεῖ. τὰ δὲ θανάσιμα, ὅτι μὴ ἐκ προαιρέσεως καταπίπτει. δακρύουσι νόσιμοι ἀπὸ τῆς ἀνιαρᾶς διανοίας κεκινημένοι ἀκινδύνως ὅτι κατὰ προαίρεσιν καταρρεῖ. δακρύουσιν οἱ ὀφθαλμοὶ ἐν τῇ παραφροσύνῃ μὴ αὐτομάτως, ὡς ἐν τῇ Δέαλκος συγγάμῳ, ᾗ ποτὲ μὲν τὰ δάκρυα, ποτὲ δὲ γέλως ἐφαίνετο. ὅθεν κριτικὰ μὲν ἐστὶ δάκρυα τὰ
F ἐκ προαιρέσεως ῥέοντα ἀγαθὸν, ἀπροαιρέτως δὲ κακὸν σημεῖον προσημαίνειν διδάσκει οὗτος ἀφορισμὸς πεντηκοστὸς δεύτερος βιβλίου τετάρτου. ἀπροαίρετα μὲν οὖν τὰ δάκρυα ἢν μὴ διὰ τὸ τῶν ὀφθαλμῶν διαθέσεως καταπίπτῃ, τὴν τῆς καθεκτικῆς δυνάμεως ἀσθένειαν σημαίνει. τὰ δὲ τῆς ἑκουσίου ψυχικῆς δυνάμεως, καὶ μάλιστα ἡγεμονικῆς τὴν ῥώμην δηλοῖ, τὰ πολλάκις ἐκ τῶν ὀφθαλμῶν κατὰ πλῆθος διὰ τῆς ἀποκριτικῆς, ἰσχύος ἐκπιέζεται ὅταν ἡ ψυχὴ τῇ λύπῃ συγκρούεται.

A

Ταὶ αἱμορραγίας τεταρταίας κακὸν εἶναι.

ΑΦΟΡΙΣΜΟΣ ε΄.

ΟΚόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐοῦσιν αἷμα ἀπὸ τῶν ῥινῶν ῥυῇ, πονηρόν.

ΥΠΟΜΝΗΜΑ.

ΠΌτερον οὗτος ἀφορισμὸς ἢ Ἱπποκράτους, ἢ τῆς Ἱπποκρατικῆς διδασκαλίας ὄζει, τοῦτ' ἔστι τῆς ἀληθέος διανοίας ἰατρικῆς ἡ τοῦ ἰατροῦ γεγυμνασμένου τοῦ νοῦ προσεχέτω θεωρία. ὥσπερ ἡ κατὰ φύσιν τῶν ὑγρῶν ῥοπὴ φυλαχθεῖσα ἀγαθοῖς τῶν ἀρρώστων χρήμασι ἐμφαίνεται. οὕτως ἡ ἐναντία ἐπικινδύνοις. ὅτε γὰρ ἐν τοῖς ὀξέσι νοσήμασι καὶ τοῖς καύσοις τὸ χολῶδες ὑγρὸν ἀναφέρεται, καὶ τῇ κριτικῇ ἡμέρᾳ ἐκκρίνεται, κένωσις ἐκείνη ἀξιόλογος καὶ ὑγιεινή, εἴτε καὶ ἔμετον ἐκ τῆς κοιλίας ἐκκλείζηται, εἴτε καθ' αἱμορραγίαν κενῶνται, ἀπὸ πάντων τιμᾶται, ὅτι οὗτος χυμὸς ἦν ἀνάρροπος. ἐὰν δὲ ὁ χυμὸς μελαγχολικός, ἢ μέλαινα χολή, ὃ ἐν τῷ τεταρταίῳ πυρετῷ παρὰ τὴν φυσικὴν ἑαυτοῦ ῥοπὴν μὴ κάτω κατὰ διαχωρήματα, ἢ κατὰ τὰς αἱμορροΐδας, ἀλλά γε ἄνω κατὰ ῥῖνας κενούμενος φέρηται, κακόν, ὅτι φύσει ἦν κατάρροπος. διὸ περ ὅταν ἡ τοῦ τεταρταίου ἡ αἰτία κυρία, ἡ κατάρροπος μέλαινα χολή, ἡ εἰ περ τεταρταίου τοῦ τὸν ἄρρωστον περικαθημένου κατὰ ῥῖνας πολλάκις ῥυῇ πονηρόν, ἀλλὰ δὴ τὸ χεῖρον, εἰ σκιρρὸς ἧπαρ, ἢ σπλῆνα κατέχῃ, τότε γὰρ ὕδρωψ θανάσιμος ἐπιγίνεται. ἐὰν δὲ ἐκεῖθεν μόνον κατὰ συχνὰ διαστήματα σταλάζῃ τὸ αἷμα, τὴν καθεκτικὴν δύναμιν καταστρωθῆναι σημαίνει, ᾧ ἐμπληρωθέντι καὶ ψυχθέντι τῷ ἐγκεφάλῳ σύμπτωμα κωματῶδες ὀλέθριον ἐπιγίνεται. ταύτῃ ἐξηγήσει ἀντιμάχεσθαι δοκεῖ ἡ τοῦ Ἱπποκράτους ῥῆσις ἡ κατὰ τέλος βιβλίου περὶ χυμῶν σχεδὸν ἐσχάτη τε, καὶ ἡ ἐν τῷ τμήματι τετάρτῳ ἕκτου βιβλίου τῶν ἐπιδημιῶν δευτέρα συγγεγραμμένη. » Οὖρον παχύ, λευκόν, οἷον τὸ τοῦ Ἀρχιγένεος ἐπὶ τοῖσι κοπώδεσι τεταρταίοισιν, ἔστιν ὅτε ἔρχεται, καὶ ῥύεται τῆς ἀποστάσιος, ἢν δὲ πρὸς τούτῳ αἱμορραγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς » καὶ πάνυ. Τοιγαροῦν οἷς κατὰ τοὺς τεταρταίους πυρετοὺς αἷμα ἀπὸ ῥινῶν ῥεύσει, ἀγαθὸν καὶ μὴ κακόν ἐστι; ἀποκρίνομαι τὴν Ἱπποκράτους ῥῆσιν ἀληθινὸν ἀπὸ τινων ἑρμηνευτῶν Λατίνων ἀποδεδοκιμασμένην, ἀπὸ τοῦ Ἰουνίου Παύλου ἐκδοθῆναι. οὕτω γὰρ ἰατρικῶς τὴν ῥῆσιν στρέφεσθαι χρή, οὖρον παχύ, » λευκόν, οἷον τὸ τοῦ Ἀρχιγένεος ἐπὶ τοῖσι κοπιώδεσι τεταρταίοισίν ἐστιν, ὅτε ἔρχεται καὶ ῥύεται τῆς ἀποστάσιος, ἢν δὲ πρὸς » τούτῳ αἱμορραγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς. Οὕτω συνετῶς ὁ Φοίσιος καὶ ὁ Κορνάριος ἔστρεψαν. αὕτη μὲν ἡ λέξις τεταρταίοις μὴ πυρετοῖς τεταρταίοις, ἀλλά γε τεταρταίοις ἡμέραις ἀναφέρεται.

Sanguinis fluxum in quartanis malum esse.

APHORISMUS V.

***Q**Vibus per febres quartanas sanguis è naribus fluxerit, malum est.*

COMMENTARIUS.

B **A**N hic Aphorismus sit Hippocratis, aut doctrinam sapiat Hippocraticam, hoc est, veram sententiam medicam, Medici exercitati animadvertat speculatio. Quemadmodum naturalis humorum inclinatio servata bonis ægrotantium rebus proditur, sic contraria periculosis. Quum enim in morbis acutis & causis biliosus humor sursum fertur, dieque critico excernitur, vacuatio illa laudabilis ac salutaris sine vomitu è ventriculo excludatur, sive hæmorrhagia vacuetur, ab omnibus probatur, quod hic humor sit ἀνάῤῥοπος. Si verò humor melancholicus seu atra bilis ut in quartana febre præter naturalem sui propensionem non deorsum C per dejectiones aut per hæmorrhoidas, sed sursum per nares vacuandus feratur, malum quod sua natura sit καταῤῥοπος. Quare quum quartanæ febris causa præcipua sit καταῤῥοπος atra bilis, quæ si ægrum obsidente, quartana per nares frequentius profluxerit, malum; imò deterius, si scirrhus jecur aut lienem occupet; tum enim succedit hydrops lethalis. Si verò illac stillet duntaxat per crebra intervalla sanguis retentricem facultatem prostratam esse denunciat, quo impleto ac refrigerato cerebro, symptoma comatodes supervenit perniciosum. Huic interpre- D tationi reluctari videtur textus Hippocratis tum in fine Libri de humoribus penultimus, tum in sectione quarta Libri sexti Epidemiorum secundus ita conscriptus: *Vrina crassa alba qualis est Archigenis, in laboriosis quartanis interdum prodit & abscessu liberat; si verò præterea sanguis de naribus etiam profluat satis & copiose.* Itaque quibus per febres quartanas sanguis è naribus fluxerit, bonum non malum est? Respondeo textum Hippocratis veram continere sententiam, sed textus versionem à quibusdam inter- E pretibus Latinis improbatam à Junio Paulo editum fuisse. Sic enim medice textus vertendus est: *Vrina crassa alba qualis Archigenis est, interdum in laboriosis febribus quarto die prodit, & abscessu liberat, si præterea quoque sanguis è naribus profluxerit.* Sic doctè Foesius & Cornarius verterunt. Hæc dictio τεταρταίοις non quartanis, sed quarto die referenda est.

Περὶ κακῶν τῶν ἱδρώτων τῇ κριτικῇ ἡμέρᾳ γινομένων.

ΑΦΟΡΙΣΜΟΣ ϛ΄.

ΙΔρῶτες ἐν τῇσι κρισίμοισιν ἡμέρῃσι γιγνόμενοι σφοδροὶ καὶ ταχέες, ἐπικίνδυνοι. οἱ ὠθούμενοι ἐκ τοῦ μετώπου, ὥσπερ σταλαγμοί, καὶ κρουνοί, καὶ ψυχροί, σφόδρα καὶ πολλοί. ἀνάγκη γὰρ τὸν τοιοῦτον ἱδρῶτα πορεύεσθαι μετὰ βίης, καὶ πόνου ὑπερβαλλοῦς καὶ ἐκθλίψιος πολυχρονίου.

F De malis sudoribus die critico oborientibus.

APHORISMUS VI.

***S**Vdores diebus judicatoriis oborti vehementes & veloces periculosi sunt, ex fronte tanquam stillæ & aquæ salientes propulsi, etiam perfrigidi & copiosi. Ejusmodi nanque sudores cum violentia, doloris excessu, & expressione diuturna prodire necesse est.*

A

COMMENTARIUS.

Qui sudores licet diebus criticis oborti periculum ægrotantibus inferunt, eos prodit Aphorismi sententia, cui comprobandæ rationes subnectuntur. Licet autem sudores quarto die oborti optimi censeantur; qui tamen vehementiùs, celeriùs, & copiosiùs effluunt, eos damnat author Aphorismi, quos periculosos esse denunciat; *quòd hi tum violentia, doloris excessu & expressione diuturna prodeant.* Sudores nanque vehementiores subiti ac copiosi symptomaticè vi morbi, & virium penuria oboriuntur propter præcipitem caloris nativi ac spirituum ab exhausto quamprimum humido dissipationem quam natura aversatur. Sudores copiosi, pravi. Pravi sunt ac periculosi qui præ copia semel prodeunte febrem non solvunt, quòd vires celeriter evertant, & propendentem mortem denuncient. Qui sudores multi ob temporis diuturnitatem prodeunt, licet pauci singulis vicibus appareant morbi diuturnitatem portendunt, nisi aliud grave symptoma comitetur. Hinc prædictio quinquagesima septima; *Sudor copiosus cum febribus acutis pravus.* Cæterũ hic Aphorismus ex trecentesima sexagesima coaca prænotione depromptus est ita scripta; *Sudores autem qui paulatim oboriuntur, juvant; qui verò subito & affatim, nocent.* Sudores frigidos periculosos esse declarat Aphorismus trigesimus septimus Libri quarti, hisce verbis, *frigidi sudores cum febre quidem acuta mortem; cum mitiore verò febre morbi longitudinem significant.* Frigidi sudores cum acuta febre, mortẽ denunciant, ob internam inflammationem, vel caloris nativi extinctionem, cum mitiore febre morbi diuturnitatem ob copiam humorum nativum calorem obruentium, quæ nonnisi longo tempore superatur. Quum autem confertim per acutas febres sudores erumpunt, corporis partes alterantur, & corrumpuntur, unde dolores concitantur quos excipit interitus.

ΥΠΟΜΝΗΜΑ.

Οἱ μὲν ἱδρῶτες καίτοι τῇ κρισίμοις ἡμέραις γινόμενοι τὸ τοῖς νοσοῦσι κίνδυνον εἰσφέρουσι δηλοῖ ἡ τοῦ ἀφορισμοῦ γνώμη, ἧς δοκιμασίας ἕνεκα οἱ λόγοι ὑποτάσσονται. κἂν ἱδρῶτες τετάρτῃ ἡμέρᾳ γινόμενοι ἄριστοι νομίζωνται, ἀλλ' ὅμως οἱ σφοδρότεροι καὶ ταχύτεροι, καὶ πλείονες ἐκρέοντες, τούτους καταγινώσκει ὁ ἀφορισμοῦ αὐθυργός, οὓς ἐπικινδύνους εἶναι σημαίνει, ὅτι οὗτοι μετὰ βίας καὶ πόνου ὑπερβολῆς, καὶ ἐκθλίψιος πολυχρονίου προΐονται. οἱ γὰρ ἱδρῶτες σφοδρότεροι καὶ

B ταχύτεροι, καὶ πλείονες συμπτωματικῶς τῇ νοσήματος βίᾳ, καὶ τῇ δυνάμεως ἀπορίᾳ γίνονται, διὰ τὴν ὀξεῖαν θερμοῦ συμφύτου, καὶ τῶν πνευμάτων ἀπὸ τοῦ ἐκκενωθέντος ὤκιστα ὑγροῦ διάλυσιν, ἣν ἡ φύσις ἀποστρέπεται. ἱδρῶτες πολλοὶ πονηροί, πονηροὶ μὲν εἰσὶ καὶ ἐπικίνδυνοι, οἱ διὰ πλῆθος ἅπαξ περιχωρέοντος τὸν πυρετὸν μὴ τελέουσιν, ὅτι τὴν δύναμιν ταχέως ἀναστρέπουσι, καὶ τὸν κατακρεμάμενον θάνατον σημαίνουσιν. οἱ μὲν ἱδρῶτες πολλοὶ διὰ τὸ τοῦ χρόνου μῆκος περιχωρέοντες, καίτοι ὀλίγοι καθ' ἑκάστην ἀμοιβὴν διαφαίνωνται, τὴν νοσήματος χρονιότητα σημαίνουσιν, εἰ μὴ τὸ δεινὸν σύμπτωμα συνέ-

C πηται. ἐνθένδε ἑβδόμη καὶ πεντηκοστὴ πρόῤῥησις. ἱδρὼς πολὺς ἅμα πυρετοῖσι ὀξέσι γιγνόμενος, φλαῦρος, τοῦ λοιποῦ οὗτος ἀφορισμὸς ἐκ τῆς τριακοσιοστῆς καὶ ἑξηκοστῆς Κωακῆς προγνώσεως παρεβλήθη οὕτω γεγραμμένης. ἱδρῶτες δὲ οἱ μὲν κατὰ μικρὸν ὠφελέουσιν, οἱ δὲ ἀθρόοι βλάπτουσιν. ἱδρῶτας ψυχροὺς ἐπικινδύνους εἶναι δηλοῖ ἀφορισμὸς τριακοστὸς ἕβδομος βιβλίου τετάρτου οὕτω λέγων. οἱ ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ γιγνόμενοι, θάνατον, ξὺν πρηϋτέρῳ δὲ, μῆκος νόσου σημαίνουσι. ψυχροὶ ἱδρῶ-

D τες σὺν ὀξεῖ πυρετῷ θάνατον σημαίνει, διὰ τὴν ἔσω φλεγμονὴν, ἢ τὴν θερμοῦ συμφύτου ἀπόσβεσιν. ξὺν δὲ πραοτέρῳ πυρετῷ τὴν νοσήματος πολυχρονιότητα διὰ τὸ πλῆθος ὑγρῶν τὸ θερμὸν σύμφυτον καταχωννύντων, ὃ μὴ πλὴν τῷ χρόνῳ πολλῷ ὑπερβαίνεται. ὅταν δὲ ἀθρόως ἐν τοῖς ὀξέσι πυρετοῖς ἱδρῶτες ἀναῤῥήγνυσι, τὰ σώματος μόρια ἀλλοιοῦταί τε καὶ διαφθείρονται, ὅθεν ὀδύναι προξενοῦνται, αἷς ἐκδέχεται θάνατος.

Diuturno morbo alui subductionem superveniente malum.

Τῷ χρονίῳ νοσήματι τὴν κοιλίας καταφορὰν ἐπιγίνεσθαι πονηρόν.

E

APHORISMUS VII.

Ex diuturno morbo alvi deductio, malum.

ΑΦΟΡΙΣΜΟΣ ζ.

Ἐπὶ χρονίῳ νουσήματι κοιλίης καταφορὴ, κακόν.

COMMENTARIUS.

Internam diuturni morbi causam triplicem agnoscimus, materiam quæ concoqui non potest ob copiam, crassitiem, lentorem, aut frigiditatem; partis alicujus interioris vitium; & errata. Tria quoque præcipua signa; abscessum, ἀκρισίαν, & dolorificæ causæ magnitudi-

F nem. Quandiu perdurat morbus, tandiu vexatur æger. Quia ut doloris vacuitas propria sani est corporis: ita dolor & labor ægri. Quum autem læsas actiones efficiat morbus partes alterando & corrumpendo, tum vires prosterni, & emaciatum imbecillumque corpus reddi necesse est. Quod si huic morbo symptomaticum alvi profluvium superveniat, malum est, tum quòd nihil juvet, tum quòd ægrum sævis au-

ΥΠΟΜΝΗΜΑ.

Τὴν εἴσω πολυχρονίου νοσήματος αἰτίαν τριπλασίαν ἀναγινώσκομεν, τὴν ὕλην ἄπεπτον διὰ πλῆθος, ἢ πάχος, ἢ γλίσχρον, ἢ ψῦχος, καὶ τὸ μέρους τινὸς ἐνδοτέρου κακίαν, καὶ τὰ ἁμαρτημάτα. ἔτι τρία τὰ κύρια σημεῖα, τὴν ἀπόστασιν, τὴν ἀκρισίαν, καὶ τὸ ὀδυνώδεος αἰτίας μέγεθος. ἕως χρόνον διαμένει τὸ νόσημα, τοσοῦτον ἄῤῥωστος ἐνοχλεῖται. διότι ὥσπερ ἡ ἀπονία ὑγιεινοῦ τοῦ σώματος ἰδία ἐστὶν, οὕτως ἡ ὀδύνη καὶ πόνος τοῦ νοσέοντος. ὅταν δὲ βεβλαμμένας τὰς ἐνεργείας ποιῇ ἡ νόσος τὰ μόρια ἑτεροιῶν τε καὶ διαφθείρων, τότε τὴν δυνάμεως ἰσχὺν καταβάλλεσθαι, καὶ ἀπίμελον, καὶ ἀσθενὲς τὸ σῶμα ποιεῖσθαι ἀναγκαῖόν ἐστι. ὅτι εἰ τούτῳ νοσήματι ἡ συμπτωματικὴ διάῤῥοια ἐπιγίνηται κακόν ἐστι, καὶ ὅτι μηδὲν ὠφελῇ, καὶ ὅτι τὸν νοσέοντα τοῖς χαλεποῖς αὐ-

ξαίνῃ συμπτώμασι, καὶ ἀποκτείνῃ, ἐνταῦθα σημειωτέον ἐστὶ τὴν καταφορὰν, τὴν ὑποφορὰν τὴν ὑπέξοδον καὶ διάρροιαν σημαίνειν, οὐδὲ τὴν ἐς ὕπνον ἐπαγωγὴν, ὃ ψυχικῆς ἐνεργείας βλαβείσης, σύμπτωμα νομίζεται.

A geat symptomatibus, ac enecet. Hic notandum est τὴν καταφορὴν & ὑποφορὴν alvi, ventris subductionem & alvi profluvium significare, non autem delationem in somnum, quod animalis actionis læsæ symptoma ducitur.

Τὰ πλεῖστα νόσων βοηθήματα, τὸ φάρμακον, τὸ σίδηρον, καὶ τὸ πῦρ οἷς αἱ νόσοι εἰ μὴ ὑγιάζηται.

Plura esse morborum præsidia, medicamentum, ferrum, ignem; quibus morbi si non sanescunt, insanabiles esse.

ΑΦΟΡΙΣΜΟΣ η′.

Ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται· ὅσα σίδηρος οὐκ ἰῆται, πῦρ ἰῆται. ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

APHORISMUS VIII.

B *Quæ medicamenta non sanant, ea ferrum sanat. Quæ ferrum non sanat, ea ignis sanat. Quæ verò ignis non sanat, ea insanabilia ducenda sunt.*

ΥΠΟΜΝΗΜΑ.

Ἅπαντα τὰ νοσήματα τρισὶν, ἢ ἑνὶ ἐκ τριῶν βοηθημάτων μόνῳ, ἢ τῷ ἑκάστῳ τῶν διαιτητικῶν καὶ φαρμακευτικῶν, καὶ χειρουργικῶν ὑγιάζεται, ἢ ταῦτα ἀνίατα κρίνεται. ἡ γὰρ ὀδονταλγία ἐκ τῆς καταβρώσεως ἢ σηπεδόνος διατετρημένου γίνεται. εἰ μὲν τὸ ὀδόντος τρῆμα τῷ ἐλαίῳ ἢ πνεύματι τινι χυμικῷ τοῦ ἐλελεσφάκου, ἢ θυμοῦ, ἢ τῶν καρυοφύλλων, ἢ τῷ παραπλησίῳ ἐμπλήθηται, καὶ μὴ ὀδονταλγία θεραπεύηται, πρὸς τὸ πυρωτικὸν πεπυρωμένον εὐθὺς συμφεύγομεν καθ᾽ ὃ τοῦ τρήματος σηπεδόνα τε καὶ σαπρότητα ἀπαναλίσκομεν, καὶ οὕτω τὸν ὀδόντα ὑγιεινὸν ποιεῖν συνεθίζομεν. ἀλλ᾽ ὅμως ἐὰν ὀδονταλγία ὁμοίως μαίνηται, καὶ ὁ κάμνων σφοδροτέρᾳ τῇ ὀδύνῃ βασανίζεται ἀνίατον τὴν ὀδονταλγίαν ὅσον χρόνον καταβρωθεὶς, καὶ διατετρημένος ὀδοὺς ἐν τῷ κυττάρῳ ἐγχρονίσῃ, ἀνίατον κρίνομεν. διὸ ὀδόντα τῇ ὀδοντάγρᾳ ἀποσπᾶσθαι χρή. τοιγαροῦν τὸ πάθημα μὴ ἰᾶται τὸ φάρμακον, τοῦτο ἰᾶται ὁ σίδηρος, ἢ τὸ πῦρ, ἢ νόσος ἀνίατος.

COMMENTARIUS.

Morbi omnes tribus præsidiis, aut ex tribus unico, aut, singulis diæteticis, pharmaceuticis, & chirurgicis sanantur, aut insanabiles judicantur. Odontalgia nanque ab erosio-
C ne, aut carie dentis perforati generatur. Si dentis foramen oleo, aut spiritu quodam Chymico, ut salviæ, thymi, charyophilorum, aut consimili impleatur, nec odontalgia sanetur, ad pyroticum ignitum statim confugimus, quò foraminis cariem, ac putredinem absumimus; sicque dentem sanum efficere consuevimus. Si tamen dentis dolor iterum sæviat, ægerque vehementiori dolore crucietur, odontalgiam quandiu erosus ac perforatus dens alveolo suo immorabitur, insanabilem judicabimus. Quare
D dens ferro dentiduco evellendus est. Ergo quem affectum non sanat medicamentum, eum sanat ferrum, aut ignis, aut insanabilis morbus.

Αἱ ἡλικίαι τῇ φθίσει ὑπόδικοι.

Ætates tabi obnoxiæ.

ΑΦΟΡΙΣΜΟΣ θ′.

Φθίσιες μάλιστα γίγνονται ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι τριήκοντα καὶ πέντε.

APHORISMUS IX.

Tabes ab octodecim annis adusque triginta ex quinque potissimum oboritur.

ΥΠΟΜΝΗΜΑ.

Οὗτος ἀφορισμὸς ἔνατος εἶναι φαίνεται βιβλίου πέμπτου ἀνωτέρου οὕτω γεγραμμένος. φθίσιες γὰρ μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριάκοντα. τούτοις ἀφορισμοῖς ἀνάλογος μέν ἐστι Κωακὴ πρόγνωσις τεσσαρακοστὴ τριακοστὴ πέμπτη. ἡ τοιαύτη ἀναγιγνώσκεται. τῶν δὲ ἡλικιῶν ἐπικινδυνώταται πρὸς φθίσιν ιη′ ἐτέων, μέχρι ε′ καὶ λ′. τούτοις καταγεγραμμένοις τῶν ἐτέων τέρμασι δύω ἡλικίαι καταλέονται, ἡ μὲν νεότης, ἡ ἐφηβία, ἡ δὲ τῶν νεανίσκων, ὧν προτέραν ἀπὸ τῶν ὀκτωκαίδεκα μέχρι τῶν πέντε καὶ εἴκοσι τῶν ἐτῶν. δευτέραν δὲ ἀπὸ τῶν πέντε καὶ εἴκοσι μέχρι τῶν πέντε καὶ τριάκοντα ἐκτρέχειν ἀγορεύει Ἱπποκράτης. κατὰ τὰς ἡλικίας τὸ πλῆθος αἵματος μεῖζον ἀθροίζεται, καὶ ἔλασσον ἐς τὴν σώματος ἐπίδοσιν ἐπαναλίσκεται, ὥσπερ ἐδίδαξεν ὁ Φιλόθεος. ἄλλοι δὲ τὴν χυμοῦ δριμύτητα ἐλέγχουσι τὴν αἰτίαν, καὶ τὴν ἐκ θερμοῦ ἔκχυσιν διὰ τὴν καρδίας γειτνίασιν, καὶ διὰ τὸ διαίτημα ἐν τοῖς πόνοις

COMMENTARIUS.

Hic Aphorismus nonus esse videtur Libri quinti superioris ita scriptus; *Tabes iis maximè contingit ætatibus quæ ab anno decimooctavo ad trigesimum quintum excurrunt.* His Aphorismis analoga est Coaca prænotio quadringentesima trigesima quinta, quæ talis legitur. *Ætatum ad tabem prolabentium periculosissi-*
F *mæ quæ à decimooctavo adusque trigesimumquintum percurrunt.* His descriptis annorum terminis ætates duæ includuntur, adolescentia vel pubertas & juventus, quarum primam à decimooctavo ad vigesimumquintum excurrere pronunciat Hippocrates. Hisce ætatibus sanguinis copia major accumulatur, ac minus in corporis incrementum absumitur, quemadmodum docuit Philotheus. Alii arguunt humoris acrimoniam causam & ex calore fusionem propter cordis viciniam, & vitæ institutum in laboribus
&

& exercitiis immoderatioribus, unde vasorum rupriones, hæmorrhagiæ, expuitiones sanguinis, tabes. In otio per menstrui aut hæmorrhoidis, aut hæmorrhagiæ suppressionem adolescentes ac juvenes contabescunt.

A καὶ ἀθλήμασιν ἀσυμμέτροις· ὅθεν αἱ τῶν ἀγγείων ῥήξεις, καὶ αἱμορραγίαι, αἵματος πτύσεις, φθίσεις. ἐν τῇ ἀργίᾳ κατὰ τὴν τῶν καταμηνίων, ἢ τῶν αἱμορροΐδων, ἢ τῆς αἱμορραγίας ἐπίσχεσιν οἱ μειράκιοι, καὶ νεανίσκοι φθίνονται.

Quæ ad tabem propendent, omnia vehementia, quædam lethalia, ac potissimum si cum morbo analoga pugnet anni tempestas.

Τὰ πρὸς τὴν φθίσιν τῇ φύσει καταῤῥέποντα μὲν ἰσχυρὰ, τὰ δὲ θανατώδεα, καὶ μάλιστα εἰ σὺν νόσῳ ἀνάλογος ὥρα συμμαχεῖ.

APHORISMUS X.

Quæ natura ad tabem propendent, omnia quidem vehementia, quædam vero etiam lethalia. Deinde vero si analoga tempestate ægrotet, ipsa tempestas cum morbo pugnat, ut cum febre ardente æstas & cum hydrope hyems Quod naturale est, evincit; sed lieni plus adfert periculi.

B ΑΦΟΡΙΣΜΟΣ ι΄.

ΤΑ δὲ κατὰ φύσιν γινόμενα μετὰ φθίσιν, πάντα μὲν ἰσχυρὰ, τὰ δὲ καὶ θανατώδεα. δεύτερον δὲ, ἢν μὲν ἐν τῇ ὥρῃ νοσέῃ, αὐτὴ ἡ ὥρη ξυμμαχεῖ τῇ νούσῳ, οἷον καύσῳ θέρος, ὑδρωπικῷ χειμών. ὑπερνικᾷ δὲ φυσικὸν, φοβερώτερον δὲ σπληνί.

COMMENTARIUS.

QUo plures causæ ad morbum procreandum ac fovendum concurrunt & conspirant, eo morbus altas radices agit diuturnior, aut in celeriorem ægri perniciem vehementior editur. Quum enim adolescentes, aut juvenes longa cervice, angusto strictoque sint pectore, & scapulis retro prominentibus, alati in autumnum inciderint pluvium, & quibus à pleno capite in pulmones ferinus catarrhus depluerit, sequensque aëris status pluviosus & austrinus successerit, iis ut vehementes capitis dolores & tusses, & gravedines, sic & phthises oboriuntur. Quis enim eos ita descriptos ad tabem esse propensos inficiabitur qui naturam, structuram, qui ætatem & anni tempestatem sibi consortes & analogas sortiuntur? *Quod naturale est evincit*, hoc est morbus à vitiosa structura factus, qualis tabes, concurrentibus ætatibus, & anni tempestatibus analogis in ægri perniciem victoriam reportat: *Sed lien plus adfert periculi.* Splenicis natura, aut quibus abortu lien in magnitudinem aut molem intumuit, aut obduruit crassis humoribus & melancholicis lieni infarctis his hydrops succedens hyeme lethalis. Hic Aphorismus 43. lib. 6. lienosis superveniente magna dysenteria, hydrops, aut lienteria oboritur, ac ipsi intereunt. Ergo ut natura splenicis, sic tabidis autumno ac hyeme plus adfert periculi.

ΥΠΟΜΝΗΜΑ.

ΟΣῳ πλείονες αἰτίαι πρὸς τὴν τῆς νόσου γένεσιν καὶ συναίτιον συνδραμοῦνται, καὶ συμβρέχονται, τοσούτῳ ἡ νόσος C βαθύτερον ἐῤῥιζοβολεῖ χρονιωτέρα, ἢ ἐς ταχυτέραν τοῦ νοσέοντος πανωλεθρίαν σφοδροτέρα προσφέρεται. ὅταν γὰρ οἱ ἔφηβοι ἢ νεανίσκοι μακραύχενες, στενοθώρακες, ἐσφιγμένον τὸ στέρνον καὶ ὠμοπλάτας ὀπίσω ἔχοντες, πτερυγώδεις εἰς φθινόπωρον ὄμβριον προσπέσωσι, καὶ οἷς ἀπὸ τῆς πληρουμένης κεφαλῆς ἐς τοὺς πνεύμονας θηριώδης κατάῤῥους καταμβρεῖσῃ, καὶ ἡ ἑπομένη τοῦ ἀέρος κατάστασις ὀμβρεία, καὶ νότια ἀπογένηται, τούτοις ὥσπερ σφοδραὶ κεφαλαλγίαι, καὶ βῆχες, καὶ κόρυζαι, οὕτω καὶ αἱ φθίσεις ἐπιγίνονται. τίς γὰρ αὐτοὺς οὕτω κατα- D γεγραμμένους εἰς φθίσιν ἐγκλινομένους εἶναι ἀρνήσεται. τοὺς τὴν φύσιν ἢ κατασκευὴν, καὶ ἡλικίαν, καὶ ὥραν σφίσι συγκλήρους καὶ ἀνάλογους λαγχάνοντας; ὑπερνικᾷ δὲ φυσικὸν, φοβερώτερον δὲ σπληνί, τουτέστιν ἡ νόσος ἀπὸ τῆς μοχθηρᾶς κατασκευῆς γενομένη, ὁποία ἡ φθίσις συνδραμουμένων τῶν ἡλικιῶν τε καὶ ὡρῶν ἀναλόγων ἐς τὴν τοῦ κάμνοντος πανωλεθρίαν ὑπερνικᾷ. τοῖς φύσει σπληνώδεσι ἢ οἷς ἀπὸ τῆς γενέσεως ὁ σπλὴν ἐς μέγεθος ἢ ὄγκον ἐξῴδησεν, κατάσκληρον ὀθήσονται παχέων τῶν ὑγρῶν καὶ μελαγχολικῶν τῷ σπληνὶ ἐμπεπλασμένων. τούτοις ὁ ὕδρωψ ἐπιγινόμενος κατὰ χειμῶνα θανατῶδες. ἔνθεν E ὁ ἀφορισμὸς μγ΄ βιβλίου ς΄ τοῖς σπληνώδεσιν ἐπιγινομένης μακρῆς δυσεντερίης ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται. ἄρα ὥσπερ τοῖς σπληνώδεσι φύσει· οὕτω τοῖς σπληνώδεσιν ἐν τῷ φθινοπώρῳ τε καὶ τῷ χειμῶνι φοβερώτερον.

Imbecillioris affectus signa.

Τὰ τοῦ ἀσθενεστέρου παθήματος σημεῖα.

APHORISMUS XI.

Lingua nigra & sanguinolenta si quod horum signorum adest non valde malum: brevem nanque fore morbum significat.

ΑΦΟΡΙΣΜΟΣ ια΄.

F ΓΛῶσσα μέλαινα καὶ αἱματώδης, εἴ τι τῶν τοιούτων σημείων ἄπεστι, μὴ σφόδρα κακόν. δηλοῖ γὰρ νοῦσον σμικροτέρην.

COMMENTARIUS.

MOrbem fortem vocat, qui vehementer ægrum afficit, citoque perimit, & qui nec naturæ imbecilliori, nec idoneis cedit remediis;

ΥΠΟΜΝΗΜΑ.

ΤΟ νόσημα ἰσχυρὸν καλεῖ, ὃ τὸν ἰσχυρῶς κάμνοντα διατίθησι καὶ ταχέως ἀποκτείνει, καὶ ὃ μήτε τῇ φύσει ἀσθενεστέρᾳ, μήτε τοῖς ἐπιτηδείοις βοηθήμασιν ὑποχωρεῖ.

ἀσθενέστερον ἢ νόσημα ὃ τῇ φύσει ἰσχυροτέρα, ἢ τοῖς βοηθήμασιν ἰσχυροτέροις ὑποχωρεῖ ἀσθενέστερον. πρότερον μὲν νόσημα δηλοῖ ἡ Κωακὴ οὕτω γεγραμμένη. σφόδρα δὲ καὶ μελαινομένη ἐν τεσσαρεσκαιδεκάτῃ κρίσιν γίνεσθαι δηλοῖ. χαλεπωτάτη δ᾽ ἐστὶν ἡ μέλαινα καὶ χλωρή. μεταγενέστερον δὲ οὗτος ἀφορισμός. γλῶσσα μελαινομένη καὶ αἱματώδης, ὅταν τι τούτων ἀπῇ τῶν σημείων τὸ πάθος ἀσθενέστερον δηλοῖ. ἡ γλῶσσα μὲν ἀπὸ τῆς μελαίνης χολῆς μελαίνεται ἣ ἐν τοῖς ὀξέσι νοσήμασι τῷ πυρετώδει καύματι περιφλέγεται, καὶ μέλανι χρώματι φυκιοῦται, ὃ μὲν ὅταν τὸ πῦρ ἀποσβέσῃ ἀρχαῖον τοῦ νικηθέντος χρῶμα περιθύει, καὶ τὸ τῆς ἐπιρρώσεως σημεῖόν ἐστι. ἀλλὰ μὴν αὐθουργὸς ἧς τῆς γλώσσης μελανία, μὴ τὸ ἄλλο μοχθηρὸν σημεῖον παρακολουθεῖν βούλεται, ὁποῖον ἡ γλῶσσα αἱματώδης.

A Imbecillum verò morbum, qui aut naturæ potentiori, aut remediis validioribus cedit imbecillior. Priorem morbum significat coaca ita scripta, *Quæ lingua multum nigrescit, intra decimumquartum diem crisin fore ostendit; ac certe periculosissima est nigra ac livida.* Posteriorem verò hic Aphorismus, lingua nigricans & cruenta, quum horum aliquod abfuerit, affectum imbecilliorem significat. Lingua quidem ab atra bile nigrescit quæ in acutis morbis febrili ardore peruritur, atroque fucatur colore, B qui tamen quum deferbuit ignis pristinum colorem victo morbo induit, & convalescentiæ tunc signum est. Sed tamen author, si linguæ sit nigrities, non vult aliud pravum signum concomitari, quale, lingua cruenta.

Ἐν τοῖς πυρετοῖς ὀξέσι τὸ ἐσόμενον προρρητέον εἶναι τοῦ θανάτου καὶ τῆς σωτηρίας.

In febribus acutis eventum prædicendum esse mortis aut salutis.

ΑΦΟΡΙΣΜΟΣ ιβʹ.

Ταῦτα μὲν οὖν ἐν τοῖσι πυρετοῖσι ὀξέσι σημειοῦσθαι χρὴ ὁπότε μέλλει ἀποθνήσκειν, καὶ ὁπότε σωθήσεσθαι.

APHORISMUS XII.

C *HÆc profecto in febribus acutis quum quis interiturus, quumque evasurus sit, denunciandum est.*

ΥΠΟΜΝΗΜΑ.

Οὐ μόνον ἐν τοῖς πυρετοῖς ὀξέσιν, ἀλλὰ καὶ ἐν ἄλλοις νοσήμασιν ἐπιδημίοις τὸ ἀποβησόμενον νοσήματος προρρητέον. ἐν ἀρχῇ γὰρ τοῦ προγνωστικοῦ διδάσκει ὁ Ἱπποκράτης τὴν πρόνοιαν, ἢ τὴν πρόγνωσιν, ἀλλά γε τὴν πρόρρησιν τῷ ἰατρῷ πάγχρηστον ἔσεσθαι. καὶ ὅτι τὸν νοσέοντα τῷ ἰατρῷ εὐπειθέστερον ποιῇ· καὶ ὅτι πρὸς ἄριστα πεῖσαι τὴν θεραπείαν συμφέρῃ, καὶ ὅτι δὴ τὸν ἰατρὸν προλέγοντα ἀξιόσημον καὶ ἀληθινὸν προφήτην, καὶ ἀναίτιον δημοσιεύῃ. ἀναγίγνωσκε τὴν ῥῆσιν α', β', γ', δ', τοῦ προγνωστικοῦ σὺν τοῖς τοῦ Γαληνοῦ ὑπομνήμασιν.

COMMENTARIUS.

NOn modo in acutis febribus, sed etiam in cæteris morbis in vulgus grassantibus eventus morbi prædicendus est. Initio nanq; Prognostici docet Hippocrates providentiā aut prænotionē, imo prædictionē Medico fore perutilē; D tum quòd ęgrū Medico obsequentiorē reddat; tum quod ad curationem optimè instituendam conducat; quod denique Medicum prædicentem insignem prophetam ac veracem & culpa vacantem publicet. Lege sententiam 1. 2. 3. & 4. Pronostic. cum Galeni Commentariis.

Τὸ σημεῖον θανατῶδες.

Lethale signum.

ΑΦΟΡΙΣΜΟΣ ιγʹ.

Ὄρχις δεξιὸς ψυχόμενος καὶ ἀνασπώμενος, θανατῶδες.

APHORISMUS XIII.

E *TEsticulus dexter refrigeratus & convulsus, lethale.*

ΥΠΟΜΝΗΜΑ.

Δευτερωθεῖσα ἡ ῥῆσις δεκάτη τοῦ προγνωστικοῦ ἢ τοῖς αἰδοίοις ἢ ὀρχέσιν ἑκάστοις ὡς ἐνταῦθα τῷ δεξιῷ μόνον οὗτος ἀφορισμὸς ἀποδίδοται. ὄρχεις, καὶ αἰδοῖα ἀνασπώμενα πόνους ἰσχυροὺς σημαίνει, καὶ κίνδυνον θανατώδεα. Φαίνεται φησὶν ὁ Γαληνὸς, ὀδυνωμένοις ἀνασπώμενα ταῦτα τὰ μόρια καθάπερ καὶ τοῖς ἀποθνήσκουσι. νεκρουμένης γὰρ ἤδη τῆς ζωτικῆς δυνάμεως τῶν ὀρχέων ταῦτα μόρια οὐκ ἀποτείνεται ἔξωθεν, ἀλλὰ μὲν ἔσω πρὸς τὴν ἀρχὴν ἀνέλκεται, καὶ ἀνασπᾶται ἀποθνήσκουσιν.

COMMENTARIUS.

HVc spectat sententia decima Prognostici, quæ pudendis aut testibus singulis, ut hîc dextro duntaxat tribuitur Aphorismus; *Testes & pudenda retracta vehementes dolores & mortis periculum significant.* Videntur, inquit Galenus, partes istæ tum dolore cruciatis, tum etiam F morientibus convelli. Pereunte siquidem facultate testium, hæ partes non extrinsecus extenduntur, sed intro ad principium retrahuntur convelluntúrque morientibus,

A

Quæ signa mortem proximam esse portendunt.

APHORISMVS XIV.

Ungues nigricantes, ac manuum pedumque digiti frigidi & nigri apparentes, contracti vel remissi proximam esse mortem significant.

Τὰ σημεῖα ἐγγὺς τὸν θάνατον εἶναι προδηλοῦντα.

ΑΦΟΡΙΣΜΟΣ ιδ'.

Ὄνυχες μελαινόμενοι, καὶ οἱ δάκτυλοι τῶν χειρῶν καὶ ποδῶν ψυχροὶ καὶ μέλανες ἐκκύπτοντες, καὶ συνεσταλμένοι ἢ καθειμένοι, ἐγγὺς τὸν θάνατον δηλοῦσιν.

B

COMMENTARIVS.

NOtanda sunt Galeni verba in septimam Prognostici sententiam ita scriptam, nimirum lethalia esse quæcunque naturalibus adversissima sunt, similia verò salutaria. At hæ partes sibi dissimiles in moribundis conspiciuntur, quæ atrum aut lividum colorem induerunt, qui floridus ac vegetus secundùm naturam esse consuevit. Vngues & manuum & pedum digitos intelligit nigrescere ob partium affectarum negrosin qua ipsa nectar vivificum non amplius excipiunt.

ΥΠΟΜΝΗΜΑ.

Σημειωτέα μέν ἐστι τοῦ Γαληνοῦ ῥήματα πρὸς τὴν ἑβδόμην προγνωστικοῦ ῥῆσιν οὕτω γεγραμμένην, δήπου. τὰ μὲν ἐναντιώτατα τοῖς κατὰ φύσιν, ὀλέθρια, τὰ δὲ ὅμοια σωτήρια. ἀλλὰ ταῦτα τὰ μέρη ἐν τοῖς ἀποθνήσκουσι σφίσιν ἀνόμοια συμβλέπεται τοῖς τὸ μέλαν, ἢ τὸ πελιδνὸν χρῶμα ἐνδύσασιν ὃ ἀνθηρὸν καὶ ζωηρὸν εἶναι κατὰ φύσιν εἴωθε. τοὺς ὄνυχας καὶ τοὺς τῶν χειρῶν καὶ ποδῶν δακτύλους μελανίζεσθαι νοεῖ διὰ τὴν τῶν μορίων πεπονθότων νέκρωσιν τὸ νέκταρ ζωτικὸν μὴ πλέον

C

ἐνδεχόντων.

Signa lethalia ex digitorum extremis & labris deprompta.

APHORISMVS XV.

Significant quoque digitorum extrema; & labra livida, vel etiam resoluta, & inversa & frigida lethalia.

Σημεῖα τὰ θανατώδεα ἐκ τῶν δακτύλων ἄκρων καὶ χειλέων προβληθέντα.

ΑΦΟΡΙΣΜΟΣ ιε'.

Σημαίνουσι καὶ τὰ ἄκρα τῶν δατύλων καὶ τὰ χείλη πελιδνά, ἢ καὶ ἀπολελυμένα, καὶ ἐξεστραμμένα, καὶ ψυχρὰ θανατώδεα.

D

COMMENTARIVS.

HÆc signa ex digitorum extremis, & labris deprompta, si præter naturam in temperamento, colore, & conformatione immutentur, & ita sibi dissimilia conspiciantur mortifera esse docet Hippocrates, & explicat Galenus. Sed notandum hæc signa lethalia intelligi in acutis morbis; Vnde Aphorismus primus Libri septimi; *In acutis morbis extremarum partium frigus, malum.* Galenus hunc in Aphorismum Commentario frigus extremorum non mediocre, malum esse explicat; sed admodum perniciosum symptoma, quod magnis superveniat viscerum inflammationibus, quarum calore vehementi, cucurbitulæ instar, sanguinem ab universo corpore attrahunt, unde ægrotantium viscera exuruntur, & partium extrema propter sanguinis intro ad viscera sese recipientis absentiam perfrigerantur. At in morbis longis præsertim febre vacuis, & per hyemem, & ætatem senilem extrema corporis, nares, auriculæ, pedes & manus frigere absurdum non est. Imò coloris in nigrum mutationem omnium pessimam esse Galenus Commentario in septimam Prognostici sententiam docuit, ut quæ sanguine refrigerato, procedat non aliter quàm qui extra vasa effusus sanguis in grumos concrevit, nigruitque: Ungues enim ac digiti nigrant propter imbecillitatem caloris nativi qui ad extremas corporis partes se proferre & exerere non potest, sed in solis visceribus exilis immoratur: quo fit ut tantum sanguinis spiri-

ΥΠΟΜΝΗΜΑ.

Ταῦτα τὰ σημεῖα ἐκ τῶν δακτύλων ἄκρων, καὶ τῶν χειλῶν προβληθέντα, ἢν παρὰ φύσιν ἐν τῇ κράσει, καὶ χρώματι, καὶ διαπλάσει μεταβάλλωνται, καὶ ταύτῃ, καὶ ταῦτα σφίσιν ἀνόμοια καταβλέπωνται θανατώδεα εἶναι διδάσκει ὁ Ἱπποκράτης, καὶ διασαφηνίζει ὁ Γαληνός· ἀλλὰ σημειωτέον ὅτι ταῦτα σημεῖα θανατώδεα, ἐπινοεῖσθαι ἐν τοῖς νόσοις ὀξέσιν. ὅθεν ἀφορισμὸς πρῶτος βιβλίου ἑβδόμου. ἐν οἷσι ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, κακόν. Γαληνὸς εἰς τοῦτον ἀφορισμὸν τῷ ὑπομνήματι τὴν τῶν ἀκρωτηρίων ψύξιν

E

ἐν τοῖς ὀξέσι μέτριον τὸ κακὸν, ἀλλ᾽ ἱκανῶς ὀλέθριον τὸ σύμπτωμα ταῖς σφοδροτάταις φλεγμοναῖς τῶν σπλάγχνων ἐπιγινόμενον, ὧν τῷ θερμῷ σφοδρῷ δίκην σικύας ἐξ ὅλου τοῦ σώματος τὸ αἷμα ἕλκουσι. ὅθεν τὰ νοσούντων σπλάγχνα διακαίεται. ψύχονται δὲ ἀκρωτήρια διὰ τὴν ἔνδειαν τοῦ αἵματος ἔσω ἐς τὰ σπλάγχνα ἐπιχωροῦντος. ἀλλὰ μὲν ἐν τοῖς χρονίοις νοσήμασι, καὶ μάλιστα χωρὶς πυρετῶν εἰσὶ, καὶ κατὰ τὸν χειμῶνα καὶ καθ᾽ ἡλικίαν γεροντικὴν ψυχρὰ γίνεσθαι τὰ τοῦ σώματος ἔσχατα μόρια, ῥῖνας, καὶ πόδας, καὶ ὦτα, καὶ χεῖρας ἄκρας οὐδὲν

F

ἄτοπον. Μᾶλλον δὲ τὴν τῆς χροιᾶς μεταβολὴν πάντων μοχθηροτάτην εἶναι τὴν ἐπὶ τὸ μέλαν ὁ Γαληνὸς τῷ ἐς τὴν ἑβδόμην τοῦ προγνωστικοῦ ῥῆσιν ὑπομνήματι ἐδίδαξεν. ὡς ἂν ἀποψυχομένου τοῦ αἵματος, ὥσπερ ὅταν ἐκτὸς ἐκχυθὲν θρομβωθῇ καὶ ἐμελάνισε· οἱ γὰρ ὄνυχές τε, καὶ οἱ δάκτυλοι μελαίνονται διὰ ἀῤῥωστίαν τῆς ἐμφύτου θερμασίας μηκέτι ἀποτείνεσθαι δυναμένης ἐπὶ τὰ πέρατα τοῦ σώματος, ἀλλ᾽ ἐν τοῖς σπλάγχνοις μόνοις ὀλίγης διασωζομένης. ἀκολουθεῖ δὲ τούτῳ θηλο-

νόσῳ, καὶ τὸ μήθ' αἵματος ἔτι, μήτε πνεύματος ἐπιῤῥεῖν τοῖς ἄκροις τοῦ σώματος, ὅσον ἔμπροσθεν ἐπέῤῥει κατὰ φύσιν ἐχόντων.

A tusque in extremas corporis partes non amplius influat, quantum antea, quum secundùm naturam se haberent, confluebat.

Τὰ σημεῖα θανατώδεα ἀπὸ τῶν ὤτων προβληθέντα.

Signa lethalia ab auribus deprompta.

ΑΦΟΡΙΣΜΟΣ ιϛ'.

ΤΑ ὦτα ψυχρὰ, διαφανέα, συνεσταλμένα, θανατώδεά εἰσιν.

APHORISMUS XVI.

AVres frigidæ, pellucidę, contractæ, lethales sunt.

ΥΠΟΜΝΗΜΑ.

B

ΤΗν ἑβδόμην τοῦ προγνωστικοῦ ῥῆσιν ἀνάγνωσκε, ἧς τὸ μέσον, τὸν ὅλον τοῦτον ἀφορισμὸν συντέθεικεν. ὦτα ψυχρὰ καὶ συνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι σημεῖα θανατώδεα. καὶ δεῦρο θεωρεῖ ἡ ἐκ τοῦ Δυρέτου ὑπομνήματος Κωακὴ τετάρτη. Ὦτα ψυχρὰ, καὶ διαφανέα, καὶ συνεσταλμένα ὀλέθριον. ἐν ταύτῃ τοιγαροῦν τὰ τῆς ἀπωλείας ἐσομένης σημεῖα διδάσκεται. τὰ μὲν ὦτα διαιρεῖ ὁ Γαληνὸς εἰς τὸ ἐξώτερον παρὰ τοῖς Ῥωμαίοις ἀρχαίοις ὠτίον ὀνομαζόμενον, καὶ εἰς τὸ ἐνδότερον τὸ τὴν σύστασιν ἔχον χονδρότυπον. C ψυχρὰ, συνεσταλμένα. ψυχραίνονται μὲν ὦτα, καὶ συστέλλονται, ὅτι τοῦ ψύχεος δεκτικώτατά ἐστιν ὡς σῶμα χονδρῶδες ὀλίγῳ τῷ αἵματι καταρδόμενον, καὶ τῇ μηδεμιᾷ σαρκὶ ἱματισμένον, καὶ ῥᾷον ἀπὸ τῆς ζωτικῆς ἀρχῆς ἐξηντλημένης κάμνουσιν, ὅθεν ψύχονται, καὶ μὴ ἐκθερμαίνονται κατὰ τὴν τοῦ νέκταρος ζωτικοῦ ἐπιῤῥοήν, τὴν παρακρουομένην. διαφανέα. τὰ ὦτα λευκαίνονται τεθνηκότα, ὡς τοῦ λευκοῦ μαρμάρου ψυχρότερα καὶ γλαφυρώτερα φαίνωνται. οὐ γὰρ οὕτω διαφανέα εἰσὶν ὥστε τὸ φῶς καὶ τὴν αὐγὴν διακομίζωνται, ὥσπερ αἰθὴρ, ἢ ἀὴρ, καὶ ὕαλος. καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι, D κατώτατα τῶν ὤτων μόρια σαρκώδεα ἀπὸ τῶν Ἑλλήνων λοβοὶ καλοῦνται, οὓς οἱ Λατῖνοι τοὺς μυκῶνας ὀνομάζουσι. διὰ τίνα δὲ αἰτίαν ἀποστρέφεσθαι συμβαίνει τοὺς λοβοὺς αὐτῶν; ἢ ὅτι μαλακωτέραν ἔχουσι τὴν οὐσίαν οὐκ ὥσπερ τὸ ἄλλο σύμπαν ὅπερ ἀκριβῶς λεπτὸς χόνδρος ἐστὶ λεπτῷ δέρματι σκεπόμενος; διὰ τὰς ταύτας αἰτίας οἱ λοβοὶ λεπτύνονταί τε καὶ συστρέφονται, καὶ ξηραίνονται, καὶ πύγνονται. ταῦτα δὲ πάσχοντες, ὀπίσω τείνονται μᾶλλον ἐπὶ τὰς ἀρχὰς τῶν τὴν αἴσθησιν αὐτοῖς παρεχόντων νεύρων. E τὸ μὲν γὰρ σπᾶσθαι τοῖς ἱμαντώδεσιν ἅπασι ξηραινομένοις κοινὸν, ἴδιον δὲ ἑκάστῳ τῶν ἐν τῷ σώματι μορίων ἐπ' ἐκεῖνο τὸ μέρος διαστρέφεσθαί τε καὶ περισπᾶσθαι μᾶλλον, ἔνθα τῶν ἐμφυομένων αὐτῷ νεύρων ἐστὶν ἡ ἀρχή.

COMMENTARIUS.

SEptimam Prognostici sententiam lege, cujus meditullium integrum hunc Aphorismum composuit. *Aures frigidæ & contractæ, & imis partibus inversæ signa lethalia sunt.* Huc etiam spectat Coaca ex Dureti Commentario quarta; *Aures frigidæ, pellucidæ, inversæ, contractæ, perniciosæ sunt.* Hîc ergo signa futuri interitus docentur. Aures distinxit Galenus in exteriorem, quam prisci Latini auriculam nominarunt; & interiorem, quæ systasin habet cartilagineam: *Frigidæ, contractæ.* Frigent aures, & contrahuntur, quòd frigoris capacissimæ sint, ut corpus cartilagineum, pauco sanguine irroratum, & nulla carne indutum, facileque ab exhausto laborant vitalis caloris principio, unde frigent, nec incalescunt nectaris vivifici affluxu quo defraudantur. *Pellucidæ.* Albescunt aures emortuæ ut albo marmore frigidiores, & politiores videantur. Non enim sic pellucidæ sunt, ut lumen, & lucem transmittant ut æther, aër, vitrum. Imis partibus inversæ; Imæ aurium partes carnosæ, λοβοὶ à Græcis vocantur, quas Latini pulpas appellant. Cur imæ aurium partes invertuntur? An quod mollior sit illarum substantia, quàm reliquarum partium, quæ tenuissima est cartilago, tenui cute obducta? Has ob causas infimæ aurium partes extenuantur, invertuntur, arescunt, densanturque. His autem affectæ pulpæ postea retrahuntur ac magis ad nervorum ipsis sensum exhibentium principia recurrunt. Convelli nanque loreis omnibus exiccatis commune est; ad partem autem illam inverti ac potius contrahi, ubi nervorum qui in ipsam inseruntur, ortus est, singulis corporis partibus proprium existit.

Τὰ τῆς σωτηρίας ἀνελπίσου, ἢν ὁμοῦ συνδράμωνται ἕκαστα σημεῖα.

Signa desperatæ salutis, si simul concurrant singula.

ΑΦΟΡΙΣΜΟΣ ιζ'.

F

ΚΑὶ σκοτωδινιῶν, καὶ τὴν αὐγὴν ἀποστρεφόμενος, τῇ τε ἠρεμίᾳ ἡδόμενος, καὶ ὕπνῳ, καὶ καύματι πολλῷ κατεχόμενος ἀνέλπιστος.

APHORISMUS XVII.

QVi etiam tenebricosa vertigine laborat, qui lucem aversatur, qui quiete oblectatur, qui somno ac ardore multo detinetur, desperatus est.

ΥΠΟΜΝΗΜΑ.

ΑἽτινα τῆς ἀνελπίσου σωτηρίας σημεῖα ἀνεγόρευσεν ὁ γέρων, ταῦτα ἐξηρίθμησε, τὰ μὲν ὁμόζυγα τὸν δῆλον θάνατον σημαίνουσι, τὰ δὲ κατὰ μέρος ἴδια τεθειμένα τὴν τῆς

COMMENTARIUS.

QUæ desperatæ salutis signa pronunciavit senex, ea sex numeravit, quæ simul conjuncta certam mortem portendunt, singula verò

seorsum posita, salutis spem non adimunt. Primum est tenebricosa vertigo, quam explicat Galenus Commentario in Aphorismum 17. l. 4. his verbis dicitur quum simul res conspectæ videntur circunvolvi, & sensus visus repentè deperditur, quum ægroti sibi tenebras circunfundi existiment. Quod contingit ore ventriculi à pravis humoribus demorso. Ob magnitudinem enim nervorum à cerebro ad ipsum pertingentium, animi functiones læduntur ea parte malè affecta. Hæc unica est scotodunæ species quæ non febricitanti oborta, & vomitorio purgata solvitur. Non febricitanti cibi fastidium, cardialgia, vertigo tenebricosa, & oris amaror purgatione per superiora opus esse significat. Verùm aliæ ac diversę sunt tenebricosæ vertiginis ideæ; alia nanque in sanis, alia in ægris; alia sine febre, alia cum febre; alia in acutis febribus, alia in diuturnis; alia indigena, alia advena, alia critica, alia symptomatica, alia simplex, alia paucis aut multis comitata symptomatibus, alia sanabilis, alia lethalis; quas omnes pro causarum & partium affectarum varietate Medicus dignoscat oportet, ut ex certa diagnosi tutam instituat curationem. Qui lucem aversatur. In decima Prognostici sententia scriptum est, Lumen refugere inter perniciosa signa pronunciavit Hippocrates. Lumen refugere, hoc est, aversari. Aversatur autem æger lumen propter facultatis videndi imbecillitatem per seipsam affectæ, quod tunc exitiale signum est, ut explicat Galenus in hanc sententiam Commentario: Qui & quiete oblectatur. Vt nullum munus à natura jucundius datum est hominibus; nihil, inquam melius, nihil amicius, nihil denique magis consociale quàm illa quies quæ dono divûm serpit gratissima: ita nihil æquè pestiferum quàm molesta. Illa κατὰ φύσιν somno blando comite, ægrotum reficit atque recreat spirituum instauratione, ciborum coctione, & morbificorum humorum pepasmo; unde animi perturbationes phreneticæ ac feroces sedantur. Verùm hîc non de molesta, ac interturbata quiete loquitur præceptor; sed de læta quę ęgrotanti oblectamentum adfert; an ea mortis signum est, an potius paradoxum? Nunquam hercle in acutis assiduis & ardentibus febribus vera quies percipitur, sed fallax duntaxat, quæ sæpius ægros agyrtas perpetuò, peritum Medicum nunquam aut rarò decipit. Quare paucis suam mentem prodit hoc Aphorismo Hippocrates. *Qui aliqua corporis parte dolentes dolorem non sentiunt, iis mens ægrotat.* Hæc itaque præter naturam ac præter rationem quies fallax febrilis caloris victoriam, caloris nativi pereuntis extinctionem, sensitricis facultatis nervosis ac membraneis partibus insitæ jacturam denunciat, & laborantem meliori spe eludit miserrimum. *Qui somno ac ardore multo detinetur.* An hic somnus est qui quietem ac quietis oblectamentum ęgrotanti conciliat? Minimè omnium. *Somnus & vigilia si modum excesserint, malum.* Somnus longus & multus est qui modum excedit tempore, naturæ convenientem. Aphorismus 3. libri 2. somnus commoderatus est, qui naturalis, & cui refrigerandi vis inest. Alius somnus est quem ma-

A σωτηρίας ἐλπίδα μὴ ἀφαιροῦνται. πρῶτόν ἐστι, σκοτοδινίη ἣν διασαφηνίζει ὁ Γαληνὸς κατὰ τοὺς τούτους λόγους ἐν τῷ ὑπομνήματι εἰς τὸν ἀφορισμὸν ιζ΄. βιβλίου δ΄. λέγεται ἐπειδὰν ἅμα περιδινεῖσθαι δοκεῖ τὰ βλεπόμενα, ἥτε διὰ τῆς ὄψεως αἴσθησις ἐξαίφνης ἀπόλλυται, δοκούντων αὐτῶν σκότος περικεχύσθαι. γίνεσθαι δὲ τοῦτο, τοῦ στόματος τῆς κοιλίας ὑπὸ μοχθηρῶν χυμῶν δακνομένου. διὰ γὰρ τὸ μέγεθος τῶν νεύρων τῶν ἐξ ἐγκεφάλου καθηκόντων εἰς αὐτὸ, βλάπτεται τὰ τῆς ψυχῆς ἔργα κακοπραγοῦντος τοῦ μορίου. αὕτη μόνη τῆς σκοτοδινίας ἰδέα ἡ τῷ ἀπυρέτῳ ἐπιγινομένη, καὶ τῷ ἐμετικῷ κεκαθαρμένη λύεται. B ἀπυρέτῳ ἐόντι ἀποσιτίη, καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον ἄνω φαρμακείης δεῖσθαι σημαίνει. ἀλλὰ δὴ ἄλλαι καὶ διάφοροι εἰσὶν αἱ τῆς σκοτοδινίας ἰδέαι. ἄλλη μὲν γὰρ ἐν τοῖς ὑγιάζουσιν ἄλλη δὲ ἐν τοῖς νοσέουσιν. ἄλλη δὲ μετὰ πυρετοῦ, ἄλλη δὲ σὺν πυρετῷ ἄλλη ἐν τοῖς ὀξέσι πυρετοῖς, ἄλλη δὲ ἐν τοῖς πολυχρονίοις· ἡ μὲν αὐτόχθων, ἡ δὲ προσήλυτος, ἡ δὲ κριτικὴ, ἡ δὲ συμπτωματικὴ, ἡ μὲν ἁπλῆ, ἡ δὲ ὀλίγοις, ἡ δὲ πολλοῖς παρηκολουθημένη συμπτώμασιν, ἡ μὲν θεραπευτὸς, ἡ δὲ θανατώδης, ἃς ἁπάσας κατὰ τὰς τῶν αἰτιῶν τε καὶ μορίων πεπονθότων ποικιλίας ὁ ἰατρὸς C διαγινώσκειν χρὴ, ὡς ἐκ τῆς βεβαίας διαγνώσεως τὴν ἀσφαλῆ θεραπείαν ἐφιστᾷ. καὶ τὴν αὐγὴν ἀποστρεφόμενος. ἐν τῇ δεκάτῃ προγνωστικοῦ ῥήσει γέγραπται, τὸ φεύγειν τὴν αὐγὴν, ὅπερ ἐστὶν ἀποστρέφεσθαι. τὴν δὲ ἀποστρέφεται αὐγὴν ὁ κάμνων, ἢ δι' ἀσθένειαν τῆς ὀπτικῆς δυνάμεως καθ' αὑτὴν καμνούσης, ὅπερ ἡνίκα ὀλέθριόν ἐστι σημεῖον, ὥσπερ ἐξηγεῖται ὁ Γαληνὸς εἰς ταύτην ῥῆσιν τῷ ὑπομνήματι. τῇ τε ἠρεμίᾳ ἡδόμενος. ὥσπερ οὐδὲν δῶρον ἀπὸ τῆς φύσεως ἥδιον θεόθεν ἐστὶ τοῖς ἀνθρώποις, οὐδὲν, ἔφην, βέλτιον, οὐδὲν φίλτερον, οὐδὲν ἁπλῶς μᾶλλον συνεταιρότερον ἢ ἐκείνη ἡ ἠρεμία, ἢ τῷ τῶν θεῶν δωρήματι ἕρπει κεχαρισμενωτάτη. D οὕτως οὐδὲν ἐν ἴσῳ λοιμῶδες ἢ βλαβερόν. ἐκείνη μὲν κατὰ φύσιν ἠπίου ὕπνου ξυνεπομένου τὸν ἄρρωστον ἐπισκευάζει καὶ ἀνακτίζει τῇ τῶν πνευμάτων ἀποκαταστάσει, καὶ τῇ τῶν σιτίων πέψει, καὶ τῷ τῶν νοσοποιούντων χυμῶν πεπασμῷ. ὅθεν τὰ τῆς ψυχῆς παθήματα, καὶ τὰ ταραχώδεα καὶ τὰ φρενιτικὰ παύεται. ἀλλὰ γὰρ ἐνθάδε μὴ περὶ τῆς χαλεπῆς καὶ ταραχώδεος ἡσυχίας φράζει ἐπιστάτης, ἀλλὰ περὶ τῆς περιχαρέος τῷ νοσέοντι ψυχαγώγημα ἐπιφερούσης ἢ θάνατον ἐπισημαινούσης, ἢ αὐτὴ παράδοξόν ἐστιν μᾶλλον τὸ οὔποτε νὴ Δία ἐν E τοῖς ὀξέσι, συνεχέσι, καὶ καύσοις πυρετοῖς ἡ ἀληθὴς ἡσυχία καταλαμβάνεται, ἀλλὰ μὲν ἡ σφαλερὰ μόνον ἢ δὴ πολλάκις, τοὺς κάμνοντας, ἀεὶ δὲ τοὺς ἀγύρτας, ἐπιστήμονα δὲ τὸν ἰατρὸν, μηδέποτε ἢ σπανίως παράγει. διὰ τί ἐν ὀλίγοις σφετέραν διάνοιαν δηλοῖ τούτῳ ἀφορισμῷ. ὁκόσοι πονέοντές τι τοῦ σώματος τῶν πόνων οὐδὲ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει. αὕτη ἡ παρὰ φύσιν καὶ παρὰ λόγον ἡσυχία σφαλερὰ τὴν πυρετικοῦ θερμοῦ νίκην, καὶ τὴν τοῦ θερμοῦ συμφύτου ἀπολλυμένου πρόσβεσιν καὶ τῆς αἰσθητικῆς δυνάμεως F τῆς τοῖς νευρώδεσι, καὶ ὑμενείοις μορίοις ἐμφυτευθείσης ζημίαν σημαίνει, καὶ τὸν κάμνοντα ἀπὸ τῆς ἐλπίδος βελτίονος διαπαίζει κακοδαιμονέστατον. καὶ ὕπνῳ, καὶ καύματι πολλῷ. ἆρα δὲ οὗτός ὕπνος ἐστὶν τὴν ἡσυχίαν, καὶ τὸ τῆς ἡσυχίας κήλημα τῷ κάμνοντι συνοικείας, ὕπνος καὶ ἀγρυπνίη τοῦ μετρίου μᾶλλον γινόμενα, κακόν. ὁ μακρὸς καὶ πολύς ἐστιν ὁ τοῦ μετρίου μᾶλλον γινόμενος τῷ χρόνῳ τῇ φύσει συνορμόζοντας. ἀφορισμός ἐστι τρίτος βιβλίου β΄. ὁ ὕπνος σύμμετρός ἐστι καὶ ὁ κατὰ φύσιν, καὶ ᾧ ἔνεστι ψυκτικὴ δύναμις. ἄλλος μὲν ὕπνος ἐστὶν ὃ

πολὺ καῦμα παρακολουθεῖ, ἢ προηγεῖται, ἀφ' οὗ τὸ σῶμα ὅλον ἅπαντι ἐν μορίῳ μελαίνεται. δεῦρο θεωρεῖ ἀφορισμὸς βιβλίου ἑβδόμου. ἐπὶ καυμάσιν ἰσχυροῖσι σπασμός, ἢ τέτανος, κακόν. κακὸν μὲν ἐπιγίνεται καύμασι σύμπτωμα ὁ σπασμὸς ἢ τέτανος, ὃ γένος κάκιστον ὁμοῦ καὶ χαλεπώτατον εἶναι σύμπτωμα Γαληνὸς ἀπέδειξε. μᾶλλον δὲ τὰ ὑγρὰ ἀπὸ τῶν καυμάτων εἰς τὴν κεφαλὴν ἁρπαχθέντα εἰ θερμὰ καὶ λεπτὰ ᾖ, τὰ ληρήματα καὶ τὰς αἱμορραγίας· εἰ δὲ ψυχρὰ καὶ παχέα, τὰ κώματα καὶ τὰς παρωτίδας σημαίνουσι. ταῦτα, ἔφην, τὰ συμπτώματα χαλεπώτατα διὰ τὴν τῶν νεύρων ξηρότητα ἀπὸ τοῦ ὑγροῦ πρωτογόνου ἐξαντλημένου τῆς ζωῆς βάσεως ἐπιγίνονται.

gnus ardor comitatur, aut præcedit à quo corpus universum quacunque in parte nigrescit. Huc spectat Aphorismus decimustertius Libri septimi. *Propter ardores vehementes convulsio, aut tetanus, malum.* Malum succedit ardoribus symptoma, convulsio, aut tetanus, quod tetani & convulsionis genus pessimum simul ac difficillimum esse symptoma Galenus demonstravit. Imo ardoribus humores in caput rapti, si calidi sint ac tenues, deliria & hæmorrhagias; si crassi ac frigidi, comata & parotides denunciant. Hæc, inquam, symptomata periculosissima propter nervorum siccitatem ab exhausto humido primigenio vitæ basi oboriuntur.

Θανατώδεα τῆς ἀπωλείας ἐγγυτάτης σημεῖα.

ΑΦΟΡΙΣΜΟΣ ιη'.

Καὶ λυσσώων ἀτρέμα, καὶ ἀγνοέων, μηδὲ ἀκούων, μηδὲ ξυνιεὶς θανατώδης.

ΥΠΟΜΝΗΜΑ.

Λυσσᾶν, ἀγνοεῖν, μηδὲ ἀκούειν, μηδὲ συνιέναι σημεῖα εἰσὶ τῆς ἀπωλείας ἐγγυτάτης. τὴ γὰρ καταπλήττεσθαι, εἴτε ἡ παραφροσύνη θρασεῖα, εἴτε παραφροσύνη λυσσώδης καθ' αὐτήν, ἢ μετὰ τῶν λοιπῶν τριῶν συμπτωμάτων σύνθετον, τὸν κάμνοντα ταχέως ἀπολυσόμενον σημαίνουσιν. ἀπὸ τούτου παθήματος ἐλευθερωθέντα σώζεσθαι μηδένα τὸν ἄνθρωπον ὁ Διοσκορίδης ἔβλεψεν· ἐνήκουσε δὲ ἐκ τῆς ἱστορίας δύο, ἢ τρεῖς ὑφοβιῶντας σωθῆναι. ἀναγίνωσκε τὸν Διοσκορίδην ἐν τῷ κεφαλαίῳ γ'. βιβλίου ζ'. ἔνθα ἡ λύσση κατ' αἰτίας διαγινώσκεται. κατὰ σημεῖα, ἀπεργάζεται, καὶ κατ' ἐπιτήδεια βοηθήματα εὐκαίρῳ τῷ χρόνῳ προγεγραμμένα ὑγιάζεται. ἀλλὰ μὲν ἡ λύσσα ἐστὶ ἴδιον τῶν κυνῶν πάθημα, ὧν δήγματι βλαφθέντες ἄνθρωποι, ἢ καὶ τὸ πᾶν ἄλογον τὸ ζῶον εἰς μανίαν κυνικήν, τουτέστι, τὴν λύσσαν διάγονται, ὃ ὑπὸ τοῦ Σειρίου προσπίπτει, ὥσπερ γράφει ὁ Γαληνός, ἐν βιβλίῳ ς'. περὶ τόπων πεπονθότων, καὶ μάλιστα καθ' ἡμέραν μετὰ τὸ τοῦ κυνὸς δῆγμα τεσσαρακοστήν. παρατηρεῖν χρὴ τοσαύτην εἶναι τὴν πανωλεθρίαν τοῦ δηλητηρίου τούτου ὡς μὴ μόνον τῷ δήγματι, ἀλλὰ καὶ τῇ μόνῃ λυσσώδεως κυνὸς ἁφῇ κατὰ σιαλισμόν, ἡ λύσσα ἀνεγείρεσθαι δύνηται. οὐκ ἐνταῦθα περὶ τῆς λύσσης κυνικῆς ἄγει ὁ Ἱπποκράτης, ἀλλά γε περὶ τῆς θρασείας παραφροσύνης, τῆς ἐν τοῖς ὀξέσι πυρετοῖς ἐπιγινομένης. αἱ ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες θηριώδεές εἰσιν, οὐ μόνον ἐὰν ἐπ' ὀλίγον γίνωνται, ὑπόμνημα τοῦ Γαληνοῦ εἰς ταύτην ῥῆσιν ἔκλεγε. ὅταν ἴδῃς τινὰ θρασέως παρακρούσαντα, κἂν ὀλίγον ὕστερον παύσηται γίνωσκε τοῦτον οὐ πυρετοῦ λόγῳ βλαβέντα τὴν γνώμην, ἀλλὰ διὰ φρενιτικὴν ὑποτρέφεσθαι διάθεσιν ἥτις ὕστερον αὐξηθεῖσα θηριώδης σοι φαίνεται. θηριώδεις δὲ ὀνομάζει παραφροσύνας ἐν αἷς καὶ πατοῦσι, καὶ λακτίζουσι, καὶ δάκνουσι, καὶ χαλεπαίνουσι, ὡς ἐπιβούλους τοὺς εἰσιόντας νομίζοντες. ὅτι δὲ ἡ θρασύτης ἀπὸ τῆς σφοδρᾶς διαθέσεως τῆς φρενιτικῆς, ἐν τῷ ἐγκεφάλῳ ἤδη ἐκ πολλοῦ συνειλημμένης διδάσκει ὁ Γαληνὸς ὃς καθεστηκότως προσμάχεται μηδεμίαν παραφροσύνην διὰ τῆς θρασύτητος ἐκδεδομένην διὰ τοῦ πυρετοῦ αἰτίας γίνεσθαι, ἀλλ' εἶναι σύμπτωμα τῆς φρενίτιδος ἐν τῷ ἐγκεφάλῳ γενομένης. ἀναγιγνώσκειν, χρὴ τῶν Κωακῶν

Lethalia interitus proximi signa.

APHORISMUS XVIII.

Et qui paulatim rabie agitatur, neque agnoscit, neque audit, neque intelligit, interitui est proximus.

COMMENTARIUS.

Rabie agitari, non agnoscere, non audire, non intelligere, signa sunt interitui proxima. Nam rabie agitari, sive sit delirium ferox, sive delirium rabiosum per se vel cum cæteris tribus symptomatibus conjunctum, ægrum cito aut certo interiturum denunciat. Hoc affectu liberatum servari vidit neminem Dioscorides; audivit tamen ex historia duos, tresve rabie laborantes convaluisse. Lege Dioscoridem c. 3. Libri septimi in quo rabies ex causis dignoscitur, signis detegitur, & idoneis præsidiis opportuno tempore præscriptis sanatur. At rabies proprius est canum affectus, quorum morsu læsi homines, aut etiam quodvis brutum in furorem caninum, hoc est, rabiem aguntur, quod sub canicula accidit, ut scribit Galenus Libro sexto de locis affectis, ac potissimum die post canis morsum quadragesimo. Observandum est tantam esse hujus veneni perniciem, ut non morsu modò, verumetiam solo rabidi canis contactu aut saliva rabies excitari possit. Non hîc de rabie canina agit Hippocrates, sed de feroci delirio quod in acutis febribus oboritur. Sic in prædictione 25. *Quæ pauco tempore feroces fiunt desipientiæ, ferinæ sunt; nec solùm si pauco tempore fiant.* Lege Commentarium Galeni hunc in textum; Quum videris quempiam cum ferocitate desipientem, etiamsi paulò pòst sedetur, cognosces mentem ejus non febris ratione læsam esse; sed quia phrenitica subalitur affectio, quæ post adaucta, ferina tibi videbitur. Ferinas autem vocat desipientias, in quibus ægri calcitrant, *pedibus feriunt, mordicus impetunt, & excandescunt, eos qui ingrediuntur, tanquam hostes existimantes* Quòd autem ferocitas à forti affectione phrenitica in cerebro jam diu concepta fuerit, docet Galenus qui constanter sustinet nullum delirium ferocitate editum fieri causam febris; sed esse symptoma phrenitidis in cerebro procreatæ. Legenda Coaca

prognosis 90. ex Dureto: *Deliria paulisper ferocia mox erunt immanissima atque futuras convulsiones prænunciant.* *Neque agnoscit.* Non agnoscere, ignoratio est, quam ita explicat Galenus, familiares non agnoscere. Cujus rei causa est insignis mentis oblæsio, ac alienatio, quæ quibusdam tanta est, ut hebescens sensuum acies fere obstupescat, adeo ut familiares non agnoscat. Quod multis Thucydidis in pestis Atheniensium historia contigisse prodidit. Duretus definit ignorationem Phantasiæ esse abolitionem, ut ἄνοιαν ipsius judicii. ἀγνοία nihil aliud est quàm agnitionis privatio, quemadmodum & oblivio rerum gestarum abolita recordatio. Utrumque symptoma fit ab intemperie frigida cerebri, quam rigor invexit. Hinc Coaca prognosis 6. *Quæ à rigore incidit ignoratio, mala est; oblivio item mala.* *Neque audit.* Non audit auditus privatione, cessante ab officio facultate, propter virium exolutionem ac jacturam. *Neque intelligit.* Non intelligit, hoc est, non agnoscit, mente non concipit. Intellectus est, quo intelligimus, pars animæ rationalis quæ & mens, & intelligentia dicitur, quâ præditus homo unus cæteris animantibus antecellit, cujusque opera, & res incorporeas, & ab omni materia sejunctas notiones atque formas apprehendit solus. Cur ergo homo non intelligit? Quia mens periculosè laborat; quia cerebrum mentis ac intellectûs sedes ac sensoria singula febre acuta flagrant, phrenitide pereunt; aut intemperiei calidæ frigidæ intemperies succedit malis ægrotantis rebus, sensus communis deperditur caloris nativi extinctione, unde hominem non intelligere, sed interire brevi necesse est.

A προγνώσιν ἐκ τοῦ Δουρέτου ἐνενηκοστήν. αἱ ἐπ' ὀλίγον θρασεῖαι παραφρόσυναι, θηριώδεες, καὶ σπασμοὺς προσημαίνουσι. καὶ ἀγνοέων. ἀγνοεῖν ἐστὶν ἄγνοια ἡ ἀπὸ τοῦ Γαληνοῦ οὕτως ἐξηγηθεῖσα, μὴ γνωρίζειν τοὺς συνήθεις. τοῦ πράγματος αἰτία διάσημός ἐστιν ἡ τοῦ νοῦ βλάβη καὶ ἡ ἔκστασις ἥ τισι τοσαύτη ἐστὶν, ὡς ἀμβλυνομένη ἡ τῶν αἰσθήσεων ἀκὶς ἐκπέπληκται εἰς τοσοῦτον τοὺς συνήθεις μὴ ἐπιγινώσκῃ, ὅτι τοῖς πολλοῖς ὁ Θουκυδίδης ἐν τῇ Ἀθηναίων ἱστορίᾳ συμβεβηκέναι δηλοῖ. ὁ μὲν Δούρετος καθορίζει τὴν ἄγνοιαν τῆς φαντασίας εἶναι
B ἀφαίρεσιν ὥσπερ ἄνοιαν τῆς αὐτῆς κρίσεως. ἡ ἄγνοια μηδὲν ἄλλο ἐστὶν ἢ ἡ τῆς ἐπιγνώσεως στέρησις, ὥσπερ καὶ ἀμνηστία, ἡ τῶν χρημάτων πεπραγμένων αἱ ἀμνηστίας ἀφανισθεῖσα. ἀμφότερον δὲ σύμπτωμα γίνεται ἀπὸ τῆς δυσκρασίας ψυχρᾶς τοῦ ἐγκεφάλου ἣν ὁ ῥῖγος εἰσήγαγεν. ἔνθεν ἡ Κωακὴ πρόγνωσις ϛ. Μετὰ ῥῖγος ἄγνοια κακόν· κακὸν δὲ καὶ λήθη, μηδὲ ἀκούων. οὐκ ἀκούει τῇ τῆς ἀκοῆς στερήσει, τῆς ἐνεργείας τῆς δημιουργίας δυνάμεως διὰ τὴν τῶν ἰσχύων ἀπόλεσιν καὶ βλάβην, μηδὲ ξυνίης, οὐ συνίησι τουτέστιν οὐκ ἀγνοεῖ, κατὰ νοῦν συλλαμβάνει. ἡ ἔννοια μέν ἐστι καθ' ἣν συννοοῦμεν, μοῖρα τῆς ψυχῆς λογικῆς
C καὶ νοῦς, νόησις λέγεται, ἧ τυχὼν εἷς ἄνθρωπος ἄλλοις ἅπασι τοῖς ζώοις τῶν ἄλλων ἀπολύτων ὑπερέχει τοῦ ἑκάστου ἔργου, καὶ τὰ ὄντα ἀσώματα, καὶ τὰ ἀπὸ τῆς πάσης ὕλης διωρισμένα νοήματα, καὶ τὰ εἴδη μόνος ἐπιλαμβάνει. διὰ τί οὖν ὁ ἄνθρωπος μὴ ξυνίησιν ὅτι νοῦ ἐπικινδύνως νοσεῖ, ὅτι ὁ ἐγκέφαλος τοῦ νοῦ, καὶ τῆς ἐννοίας θρόνος, καὶ τὰ ἕκαστα αἰσθητήρια τῷ ὀξεῖ πυρετῷ καίονται, καὶ τῇ φρενίτιδι ἀπολύονται ἢ τῇ δυσκρασίᾳ θερμῇ ἡ ψυχρὰ δυσκρασία κακοῖς τοῦ κάμνοντος πράγμασιν ἐπιγίνεται. ἡ αἴσθησις κοινὴ διὰ τῆς
D τοῦ θερμοῦ ἀποσβέσεως ἀποβάλλεται, ὅθεν τὸν ἄνθρωπον μὴ ἐννοεῖν, ἀλλὰ ἐν βραχεῖ ἀποθνήσκειν δεῖ.

Manifestiora ex ventre mortis signa.

APHORISMUS XIX.

INterituris signa hæc manifestiora fiunt. *Et ventres attolluntur & inflantur.*

COMMENTARIUS.

INterituris ventres attolluntur, inflanturque. Per ventres cava tum alvi, tum thoracis spatia præcipuè intelliguntur, quæ quum flatulenti spiritus, aut serosæ, aut purulentæ materiæ copiæ scateant, ac implentur, ipsi ventres tument, inflantur, attolluntur, premuntur. Hæc inflatio cum febre acuta, lethalis. Gordonem puerum nobilissimum septennem novimus, qui quia rheumate in pulmones defluente premebatur, ipsius raso sincipiti ex bethonica emplastrum admotum est, convaluit. Nihilominus pro Provinciæ consuetudine, per aliquot annos illud emplastrum tulit, tandem matris jussu, verno tempore, inconsulto Medico, omni tutela neglecta emplastrum sublatum est. Triduo pòst puerum sanum quartanæ febris paroxismus corripuit, qui urinas copiosas nivi sedimentum tum albedine, tum consistentia consimile deponentes excrevit. Ter par rediit paroxysmus. Pro

---

Σαφέστερα τοῦ θανάτου ἐκ τῆς κοιλίας σημεῖα.

ΑΦΟΡΙΣΜΟΣ ιθ'.

ΜΕλλουσιν ἀποθνήσκειν ταῦτα σαφέστερα γίνεται, καὶ αἱ κοιλίαι ἐπαίρονται καὶ φυσῶνται.

ΥΠΟΜΝΗΜΑ.

E **Μ**Ελλουσιν ἀποθνήσκειν αἱ κοιλίαι ἐπαίρονται, καὶ φυσῶνται. διὰ τῶν κοιλιῶν τὰς μάλιστα τῆς κοιλίας τε καὶ τοῦ θώρακος χωρήσεις ἐννοοῦμεν, αἳ ὅταν ὑπὸ τοῦ φυσώδους πνεύματος, ἢ ἰχωρώδους, ἢ ἐμπύου τῆς ὕλης πλήθους βρύωνται, καὶ διαπληρῶνται. αἱ κοιλίαι οἰδαίνουσι, φυσῶνται, ἐπαίρονται, πιέζονται. τοῦτο μὲν ἐμφύσημα πυρετοῦ ὀξέως θανάσιμον. τὸν Γορδόνιον παῖδα ἑπταέτη περιφανέστατον ἐγνώκαμεν, ὃς ὅτι τῷ ῥεύματι εἰς πνεύμονα καταρρέοντι ἐθλίβετο. τοῦτο μὲν ἐμφύσημα μετὰ πυρετοῦ ὀξέως θανάσιμον ὑπὸ ἑαυτοῦ ἐξεσμένῳ βρέγ-
F ματι ἐκ Βετονικῆς ἔμπλαστρον προσεπηγάσθη, ἐπερρώσθη. οὐδὲν ἧττον κατὰ τῆς ἐπαρχίας συνήθειαν διὰ τῶν ἐνίων ἐνιαυτῶν τὸ ἐκεῖνο ἔμπλαστρον ἐνώσχε τέως δὲ ὑπὸ τῆς μητέρος προστάγματι κατ' ἐαρινὴν ὥραν, μετὰ τοῦ ἰατροῦ ἀβουλίας πάσης ἀσφαλείας, ἔμπλαστρον ἀφῃρέθη. μετὰ τριημερίαν τὸν παῖδα ὑγιεινὸν ὁ τοῦ τεταρταίου πυρετοῦ παροξυσμὸς συνήρπασεν, ὃς οὖρα δαψιλέα τὴν ὑπόστασιν τῇ χιόνι κατὰ λευκότητά τε καὶ τὴν σύστασιν παραπλήσιον ἀποτιθέντα ἐκκέκρικε. τρεὶς ἐπανέρ-

γίνεται ἴσος ὁ παροξυσμὸς τεταρταῖος ἀντιτεταρτου τεταρταίου πυρετοῦ συνεχὴς καὶ ὀξὺς πυρετὸς γίνεται. φυσᾶται καὶ οἰδαίνει ἡ γαστὴρ κατωτέρα, θώραξ ἐπαίρεται καὶ θλίβεται, ἄπρακτα βοηθήματα. πρὸς τὰ βουλεύματα ἔσχατα προσκληθεὶς σοφώτατος γέρων Βασινὸς τὴν φλεβοτομίαν ἀναλαμβάνεσθαι ἐθέλησε, ἧς τετελεσμένης, ὀλίγον ὕστερον νοσέων ἀπόλλυται. ἀνεῳγμένης τοῦ νεκροῦ λαπάρας τὸ φύσημα εὐμέγεθες τάχιστα ἐκδεδομένου ψόφου, δι' οὗ ἡ γαστὴρ κατωτέρα ἐμπλήθετο. ἔπειτα τοῦ θώρακος τετμημένου ἡ ὅλη ταύτης χώρας εὐρυχωρία μέχρι τῆς σφαγῆς ἰχῶρος ἐμπλέως πεπληροφορημένη ἐστίν. αὕτη ἱστορία τὸ ἐπιγάστριον τύμπανον τὴν ὑδρῶπα, τὸν δὲ θώρακα τοῦ πνεύμονος ὕδερον ταχέως ποιῆσαι, καὶ τὴν ἑκάτερον τοῦ θανάτου αἰτίαν γενέσθαι δηλοῖ. ἔνθεν Κωακὴ τοῦ γέροντος πρόγνωσις, Ἐν πυρετοῖσι κοιλίης ἐμφυσωμένης, πνεῦμα μὴ διεκπίπτον, κακόν. τὸ Δουρέτου ὑπόμνημα εἰς ταύτην ῥῆσιν μὴ ἀναγιγνώσκειν δεῖ.

A quarto quartanæ paroxysmo continua & acuta febris facta est; inflatur ac tumet venter inferior, thorax attollitur & premitur; irrita sunt remedia, ad ultima consilia accersitus sapientissimus Basinus senex phlebotomiam iterari voluit, qua peracta, paulò post interiit. Aperto cadaveris abdomine, flatus quamprimum ingens sono edito erupit quo venter inferior implebatur. Thorace dein secto, universa hujus regionis capacitas adusque jugulum sero plena comperta est. Hæc historia epigastrium tym- B panidem, hydropem, thoracem vero pulmonis hyderum cito procreasse, & utrumque mortis causam fuisse prodit. Hinc Coaca senis prognosis: *In febribus, alvo inflata, si flatus liberum exitum non habeat, malum.* Commentarius Dureti hunc in textum 46. legendus est.

Ὁ τοῦ θανάτου ὅρος καὶ σημεῖα.

ΑΦΟΡΙΣΜΟΣ κ'.

Ὅρος δὲ τοῦ θανάτου ἐπὴν τὸ τῆς ψυχῆς θερμὸν ἐπανέλθῃ ὑπὲρ τοῦ ὀμφαλοῦ, εἰς τὸν ἄνω τῶν φρενῶν τόπον, καὶ συγκαυθῇ τὸ ὑγρὸν ἅπαν. ἐπειδὰν ὁ πνεύμων, καὶ ἡ καρδία τὴν ἰκμάδα ἀποβάλλωσι τοῦ θερμοῦ ἀθροουμένου ἐν τοῖσι θανατώδεσιν τόποις, ἀποπνέει ἀθρόον τὸ πνεῦμα τοῦ θερμοῦ, ὁκόθεν περ συνέστη τὸ ὅλον εἰς τὸ ὅλον. πάλιν τὸ μὲν διὰ τῶν σαρκῶν, τὸ δὲ διὰ τῶν ἐν κεφαλῇ ἀναπνοῶν, ὅθεν τὸ ζῆν καλέομεν, ἀπολείπουσα ἡ ψυχὴ τὸ τοῦ σώματος σκῆνος, καὶ τὸ ψυχρὸν, καὶ τὸ θνητὸν εἴδωλον ἅμα καὶ χολῇ, καὶ αἵματι, καὶ φλέγματι, καὶ σαρκὶ παραδέδωκεν.

Mortis terminus, ac signa ultima.

C APHORISMUS XX.

Terminus vero mortis est quum animæ calor supra umbilicum ad locum septo transverso superiorem ascendit, & universus humor exactus est. Quum autem pulmo & cor calore in mortiferis locis coacervato humorem amiserint, caloris spiritus confertim exhalat, quo universum cum universo compactum erat. Præterea partim per carnes, partim per capitis spiracula unde vivere dicimus, relinquens D *anima corporis domicilium frigidum & mortale simulachrum unà cum bile, sanguine, pituita & carne deditione reddit.*

ΥΠΟΜΝΗΜΑ.

Ζωὴ τῆς ψυχῆς καὶ σώματος ὁ σύνδεσμός ἐστιν, ἢ ὁκόταν πρῶτον ἐν τῇ ὑστέρᾳ ἐνέστη, καὶ ἕως διαμένει μετὰ γένεσιν ζῇ ὁ ἄνθρωπος. οὗτος σύνδεσμος ἐν ἑνὶ θερμῷ συμφύτῳ συνέχεται, οὗ μὲν παρόντος ζῶμεν, οὗ δὲ ἀποσβεσθέντος ἀποθνήσκομεν. ἕως γὰρ τούτου θερμοῦ σπινθηρίδιον ἐν τῷ σώματι χρονίσεται, ἡ ζωὴ ἔσεται, καὶ αἱ τῆς ζωῆς ἐνεργείαι, καί τοι ἐνίοτε διαμενήσονται λίαν ἄδηλοι. ὅτι δ' ἐν τούτῳ ὡς ἐπιδέσμῳ ζωὴ συνίσταται αὐτὸς θάνατος δηλοῖ ὃν πάντες φιλόσοφοι τούτου θερμοῦ ἀπόσβεσιν εἶναι ἐδίδαξαν· ζωὴ μὲν οὖν ἐν ἑνὶ θερμῷ μὴ μὲν στοιχειακῷ συνέσταται, ἀλλὰ τῷ θειοτέρῳ καὶ οὐρανίῳ. ἀλλά γε ὃ θερμὸν καθάπερ ὄργανον τῆς ψυχῆς ἐστι, καὶ τῶν αὐτῆς δυνάμεων, χωρὶς οὗ μηδὲν παντελῶς ἄγειν δύνηται. ἐγκυμαίνει ἐκεῖνο καὶ ἀκμάζει μάλιστα ἐν τῇ καρδίᾳ ἀφ' ἧς καθάπερ ἐκ πηγῆς τινὸς εἰς ὅλον σῶμα διαχέεται. ὅθεν φαίνεται τὴν ζωὴν ἐν τῇ καρδίᾳ καθάπερ ἐν ἑνὶ βιώτῳ ἐναποτεθεῖσαν εἰς ἅπαν σῶμα τῇ ταύτης ἐνεργεσίᾳ ἀναδίδοσθαι, ἣ διὰ ταῦτα πρώτη ζῇ, τελευταῖον ἀποθνήσκει, καὶ θρόνον ἐν μέσῳ ἔχει σώματι, ὡς τὴν ζωὴν τῷ θερμῷ σφετέρῳ κατ' ἀρτηρίας περιχυθέντι ἐν πᾶσι μορίοις διαφυλάττῃ. ὁ τῇ ζωῇ θάνατος ἀντιτίθεται ὡς ἑνὶ ὄντι οὐκ ὂν ὃς θάνατος τοῦ συνδέσμου ψυχῆς τε καὶ σώματός ἐστι διάλυσις.

COMMENTARIUS.

Vita animæ & corporis copula est, quæ quum primum in utero cœpit, & quandiu durat, post ortum homo vivit. Hæc copula uno calore continetur nativo, quo præsente vivimus, extincto morimur. Quandiu E nanque caloris hujus scintillula in corpore morabitur, vita erit, vitæque functiones, licet nonnunquam perobscuræ perseverabunt. Quòd autem eo tanquam vinculo vita constet, mors ipsa prodit, quam omnes Philosophi caloris hujus extinctionem esse docuerunt. Vita igitur in calore, non quidem elementari consistit, sed diviniori ac cœlesti. Qui tamen calor tanquam instrumentum est animæ, ejusque facultatum, sine quo nihil prorsus agere valeant. Abundat ille, vigetque potissi- F mum in corde, à quo tanquam à fonte quodam in omne corpus diffunditur. Ex quo patet vitam in corde tanquam in penu conditam in omne corpus ejus beneficio distribui, quod propterea primum vivit, postremo moritur; sedemque in medio habet corpore, quo vitam calore suo per arterias diffuso in omnibus particulis tueatur. Vitæ mors opponitur, ut enti non ens quæ mors copulæ animi & corporis dissolutio est.

Quum

Quum autem anima functionum omnium corporis opifex ac princeps, quumque sit immortalis, ætherea, cœlestis, divina, ἀναλλοίωτος, ac primaria ejus functio vita sit, qua manente, homo nobilissima Dei imago admirabiles edit actiones, quibus Creatorem suum agnoscit, colit, adorat æternum. Cur igitur Clotho colum gestat, Lachesis net, Atropos occat. Cur anima immutabilis immutabilem hominem à morte liberum non tueatur, immortalemque servet? Theologia omnium tutissima ac sanctissima docet animam hominis in corpore ad tempus tanquam in carcere concludi ac commorari, quæ post mortem è corpore elapsa in cœlum evolat, & inter beatissimos ordines, ubi Beati sempiterno ævo fruuntur, collocatum. Quare Deus summus rerum opifex lineam vitæ duobus punctis terminavit ortu & interitu, quam progredi prohibet fatalis necessitas quam μοῖραν πεπρωμένην. Docti vocitant. In Timæ v Platonis ὅρος terminus summum & extremum significat, ultra quod progressus non est motus. Quod signum istius termini extremi mortis dedit Hippocrates? *Quum animæ*, hoc est, *hominis animati calor supra umbilicum ad locum septo transverso superiorem ascenderit, & universus humor exustus fuerit.* Vitam humanam in calido innato & humido primogenio tanquam fundamentis Medici statuerunt, ac tandiu hominem vivere, quandiu utriusque scintilla moratur. Si ego febrilis calor in medium ac thoracicum ventrem ascenderit; & caloris nativi eucrasiam ac symmetriem everterit, & igneus ac aridus humidum illud exusserit & hauserit, quis vitam cum morte commutari inficiabitur? *Quum autem pulmo & cor calore in mortiferis locis coacervato, humorem amiserint, caloris spiritus confertim exspirat.* Hunc textum sequens explicat historia. Ballius Henrici Magni, & Ludovici Justi insignis Musicus sexagenarius, zelotypia vexatus in febrem continuam incidit multis symptomatibus, & animi perturbationibus cruciatus, Medicis mentem suam aperuit, dixitque cor suum diuturno mœrore confectum esse, seque brevi fatis concessurum & velle suum cadaver post interitum dissectione aperiri, & cor inspiciendum, quod credebat arefactum omnino marcescere. Illusis ac victis Medicorum remediis, morbus superior ægrum enecat. Cadaver arguit Chirurgus, præsente ac præside Medico, pulmonem aridum ac flaccidum comperit. Cordis humor nullus perceptus est; pericordium aquâ prorsus vacuum conspiciebatur. Cordis substantia flaccescebat admodum sic arida, ut solis manuum digitis prehensa in frustula corio putrenti arido consimilia facillimè discerperetur.

A ὅταν δὲ ἡ ψυχὴ ἐνεργειῶν πασῶν τοῦ σώματος δημιουργός τε καὶ ἡγεμονὶς, καὶ ὅταν ἡ ἀθάνατος, καὶ αἰθέρια, καὶ οὐρανία, καὶ θεία, ἀναλλοίωτος, καὶ πρώτη αὐτῆς ἐνέργεια ἡ ζωὴ, ἧς διαμενούσης, ὁ ἄνθρωπος ἐνδοξοτάτη τοῦ Θεοῦ εἰκὼν θαυμαστὰς προφέρει ἐνεργείας, δι' ὧν Δημιουργὸν σφέτερον ἀναγινώσκει, καὶ τιμᾷ, καὶ προσέχεται αἰώνιον. Διά τί οὖν Κλωθὼ ἠλακάτην βαστάζει, Λάχεσις κλώθει, Ἄτροπος βολσκοπεῖ. Διά τί ἡ ψυχὴ ἀναλλοίωτος ἀναλλοίωτον ἄνθρωπον ἀπὸ τοῦ θανάτου ἐλεύθερον διατηρήσει, καὶ ἀθάνατον μὴ διαφυλάξει; ἡ B θεολογία ἁπασῶν ἐπιστημῶν ἀσφαλεστάτη καὶ ἁγιωτάτη διδάσκει τὴν ψυχὴν ἀνθρώπου ἐν τῷ σώματι πρὸς χρόνον καθάπερ ἐν τῇ φυλακῇ συγκλείεσθαι καὶ διατρίβειν ἣ μετὰ θάνατον σώματος ἐξελθοῦσα εἰς οὐρανὸν ἀφίπταται), καὶ μεταξὺ τῶν ταγμάτων μακαριωτάτων (ἔνθαπερ οἱ εὐδαίμονες τελευτήτου αἰῶνος καταπολαύουσι) καθίζονται. τίνος ἕνεκα ὁ Θεὸς ἄκρος τῶν ὄντων δημιουργὸς τὴν γραμμὴν ζωῆς δυσὶ σημείοις ὁρίζεσθαι, τῇ γενέσει τε, καὶ θανάτῳ ἣν ὑπερβάλλεσθαι κωλύει εἱμαρμένη, ἣν μοῖραν πεπρωμένην φιλόσοφοι καλοῦσιν. ἐν Τιμαίῳ Πλάτωνος ὅρος τὸ ἄκρον τε καὶ ἔσχατον σημαίνει ὑπὲρ ὃν προελθοῦσα κίνησις οὐκ ἔστιν. C ὁ σημεῖον τούτου ὅρου ἐσχάτου θανάτου δέδωκεν Ἱπποκράτης; ὅταν τὸ ψυχῆς τοῦτ' ἔστι ἀνθρώπου ἐμψύχου θερμὸν ὑπὲρ ὀμφαλὸν εἰς τὸν τόπον διαφράγματος ἀνώτερον ἀνέλθῃ καὶ συγκαυθῇ τὸ ὑγρὸν ἅπαν. τὴν ζωὴν ἀνθρωπίνην ἐν τῷ θερμῷ ἐμφύτῳ, καὶ ὑγρῷ πρωτογενεῖ καθάπερ τοῖς ὑποβλήμασιν ἰατροὶ συντεθείκασι, καὶ τέως ἄνθρωπον ζᾶν, ἕως ἂν ἀμφοτέρου σπινθὴρ περιμένει. ἣν οὖν πυρετῶδες θερμὸν εἰς μέσην ἢ θωρακικὴν γαστέρα ἀνέλθῃ, καὶ τὴν θερμοῦ συμφύτου D εὐκρασίαν τε καὶ συμμετρίαν καθαιρήσῃ καὶ πύρινον καὶ κατάξηρον τοῦτο ὑγρὸν ἐκκαύσῃ καὶ ἐξαρύσει, τὴν ζωὴν σὺν θανάτῳ συμμεταβάλλεσθαι ἐξαρνεῖται. ὅταν δὲ πνεύμων καὶ καρδία τῆς θέρμης ἐν τοῖς θανατηφόροις τόποις συναθροισθείσης τὸ ὑγρὸν ἀποπέμψωσι τὸ θερμοῦ πνεῦμα ἀθρόως ἐμπνεῖ. ταύτην ῥῆσιν ἑπομένη διασαφηνίζει ἱστορία. Βάλλιος Ἐρρίκου Μεγάλου τε καὶ Λοδοίκου Δικαίου εὔσημος Μουσικὸς ἑξηκονταέτης ζηλοτυπίᾳ ἐνοχληθεὶς εἰς πυρετὸν συνεχέα περιπέπτωκε πλείστοις συμπτώμασι τοῖς τῆς ψυχῆς παθήμασι βασανισθεὶς, τοῖς ἰατροῖς ἀπέ- E φηνε τὴν ἑαυτοῦ γνώμην, τήν τε καρδίαν ἑαυτοῦ τῇ καθ' ἡμέραν λύπῃ ἀποκραίεσθαι διωχυρίσατο, ἑαυτὸν δὲ οὐκ εἰς μακρὰν ἀποτεθνήξεσθαι. βούλεσθαι δὲ τὸ πτῶμα ἑαυτοῦ ἀποθανόντος ἀνατέμνεσθαι, τήν τε καρδίαν ἐνορᾶσθαι, ἣν καταξηρανθεῖσαν ὅλως εὖ πάντως μαραίνεσθαι· ἐπιχλευασθέντων δὲ τῶν τοῖς ἰατροῖς ἀποδεδομένων ἰαμάτων, ἡ νόσος κρείττων γενομένη τὸν κάμνοντα ἀποσκευάσαι. τὸ πτῶμα ἀνέτεμεν ὁ χειρουργὸς παρόντος τε καὶ προεδρεύοντος τοῦ ἰατροῦ, τὸν πνεύμονα κατάξηρον εὑρίσκει τὴν καρδίαν ὑγρότητος ἐστερημένην κατέλαβε τὸ περικάρδιον τοῦ ὕδατος κενὸν F ἑωρᾶτο, ἡ τῆς καρδίας οὐσία οὕτινος ἐχαλᾶτο καὶ κατεξηραίνετο, ὥστε δὴ τοῖς τῶν χειρῶν δακτύλοις καταληφθεῖσαν καὶ ψωμιζομένην τοῖς τῶν σκυτῶν σηπομένοις, καὶ ξηροῖς προσαπονθέναι.

A

Τοὺς πυρετοὺς συνεχέας διὰ τρίτης ἰσχυροτέρους, ἐπικινδυνοτέρους εἶναι. τοὺς διαλείποντας μὴ ἐπικινδύνους εἶναι.

Febres continuas tertio quoque die vehementiores periculosiores esse, intermittentes minimè periculosas.

ΑΦΟΡΙΣΜΟΣ κα΄.

Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες ἢν ἰσχυρότεροι διὰ τρίτης γίνωνται, ἐπικίνδυνον· ὅσῳ δ᾽ ἂν τρόπῳ διαλείποντες, σημαίνει ὅτι ἀκίνδυνος.

APHORISMUS XXI.

Si febres non intermittentes tertio quoque die vehementiores fiant, periculosiores; quoquo vero modo intermiserint, periculum abesse significant.

B

ΥΠΟΜΝΗΜΑ.

Τεσσαρακοστὸς τρίτος ἐστὶ βιβλίου τετάρτου ἀφορισμῶν τοῦ Ἱπποκράτους τούτου παραπλήσιος. ἀλλὰ δὴ οὕτως ἔχει. οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, μᾶλλον ἐπικίνδυνοι. ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει, ἀκίνδυνοι. ἐν ταῖς Κωακαῖς οὕτως ἀφορισμοὶ διασαφηνίζονται· „οἱ συνεχέες διὰ τρίτης ἐπιτείνοντες, ἐπικίνδυνοι, οἷσι δ᾽ ἂν πυρετὸς διαλίπῃ, ἀκίνδυνον, τὸν πυρετὸν μὴ διαλείποντα παντελῶς εἶναι θανατώδεα, τὸν δὲ διαλείψεως μέτοχον, ἐλπιστόν. διὰ ταῦτα κατὰ τὸν παροξυσμὸν, μυθεῖσθαι τοὺς ἰατροὺς καὶ ἀρρώστους τῇ προσδοκίᾳ τοῦ ἀναλαμβάνειν σκεπτόμεθα. ὁ γὰρ τοιοῦτος πυρετὸς συνεχής ἐστι τοιοῦτος, ποῖον καταγέγραφεν Ἱπποκράτης. ἔστι δὲ νόσος, ὀξυτάτη, μεγίστη, χαλεπωτάτη, καὶ ἁπλῶς θανατώδης. ἀναγίγνωσκε ὑπόμνημα Γαληνοῦ πρὸς τὸν ἀφορισμὸν Γαληνοῦ μγ΄. βιβλίου τετάρτου, τούτου ἀφορισμοῦ ἑρμηνέως. παραπλήσιος ἀναγιγνώσκεται ἀφορισμὸς ξβ΄. βιβλίου ἑβδόμου ἄνευ τοῦ Γαληνοῦ ὑπομνήματος.

C

COMMENTARIUS.

Quadragesimus tertius est Libri quarti Aphorismorum Hippporatis huic consimilis, imò idem, sic habet. *Quæ febres non intermittentes tertio die vehementiores fiunt, periculosiores; quocunque vero modo intermiserint, periculum abesse significant.* In Coacis sic explicantur Aphorismi; *Febres continuæ tertio quartoque die ingravescentes, supra modum periculosæ.* Quibus verò febris discesserit, vacat periculo: Febrem intermissionis expertem prorsus mortiferam esse; participem verò spei plenam. Idcirco in paroxismis Medicos consolari & ægros expectatione convalescendi conspicimus. Etenim hæc febris continua est ejusmodi, qualem descripsit Hippocrates. Est autem acutissimus morbus, maximus, difficillimus, ac denique lethalis. Lege Commentarium Galeni in Aphorismum 43. Libri quarti hujus Aphorismi Interpretis. Consimilis legitur Aphorismus sexagesimus secundus Libri septimi sine Commentario Galeni.

D

Ἐν τοῖς μακροῖς πυρετοῖς ἢ τὰ φύματα, ἢ ἐς τὰ ἄρθρα πόνους ἐγγίνεσθαι.

Diuturnis febribus aut tubercula, aut ad articulos labores fieri.

ΑΦΟΡΙΣΜΟΣ κβ΄.

Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται.

APHORISMUS XXII.

Quibus febres longæ, iis aut tubercula; aut in articulis dolores fiunt.

E

ΥΠΟΜΝΗΜΑ.

Οὗτος ἀφορισμὸς βιβλίου τετάρτου ἀνωτέρου, τεσσαρακοστὸς τέταρτός ἐστιν, ᾧ ἀνάλογος γάρ ἡ Κωακὴ πρόγνωσις ἑκατοστὴ δεκάτη καὶ ἐννάτη ἡ οὕτως ἔχουσα. „ἐν μακροῖς πυρετοῖσιν, ἢ φύματα, ἢ ἐς ἄρθρα πόνοι „ἐγγίνονται καὶ ἢν γένονται οὐκ ἄχρηστοι. οἱ πυρετοὶ μακροὶ οἱ „τῇ κάμνοντος εὐχρηστίᾳ παρηγμένους, διὰ τὸν πεπασμοῦ χαλεπότητα διὰ τῆς ὕλης ἀποθέσεως τὴν ἐκ τῆς ὕλης ἀπειθείας καὶ τῶν δυνάμεων ἀρρωστίας συνισταμένην, μὴ κρίσει ὥσπερ ὀξεῖς πυρετοὶ, ἀλλὰ τῇ λύσει καὶ ἀπόστασιν τῇ ὕλης ἀποθέσει εἰς μέρος δεκτικὸν, πόθεν φύματα εἰς ἄρθρα κατάκεινται, ἢ πόνοι εἰς ὕλης κατακειμένης παραφυάδες ἀναφύουσι. Διὰ τί τῇ μὲν Κωακῇ ῥήσει ταῦτα ἐπιδίδοται ῥήματα, οἱ πόνοι μὴ εἰσὶν ἄχρηστοι, τοῖς δὲ ἀφορισμοῖς μή; ὅτι ἐκεῖ ἡ τῆς ὕλης ἀπείθεια τέως τῇ φύσεως ἰσχυροτέρας νίκῃ εἰς χρηστὰ ἀρρώστου πράγματα κατακειμένη ἡ τῶν φυμάτων τε καὶ πόνων αἰτία ἦ. ἐνταῦθα δὲ τῆς τροφῆς εὐπορωτέρας πλῆθος εἰς τοῦ πάσχοντος πημα-

F

COMMENTARIUS.

Hic Aphorismus Libri quarti superioris quadragesimus quartus est. Cui analoga est Coaca prænotio centesima decimanona, quæ sic habet: *In diuturnis febribus aut tubercula, aut ad articulos labores oboriuntur; qui ita coorti non sunt inutiles.* Febres diuturnæ, quæ ægri utilitati productæ sunt, ob pepasmi difficultatem, quæ in materiæ contumacia, & virium infirmitate consistit; non crisi, ut acutæ febres, sed τῇ λύσει per ἀπόστασιν materiæ depositione in partem capacem, unde tubercula in articulos decumbunt, aut labores materiæ decumbentis surculi exurgunt. Cur Coacæ sententiæ hæc adduntur verba: *Qui labores ita non sunt inutiles.* Non autem Aphorismis? Quod illic materiæ contumacia tandem naturæ robustioris victoria bonis ægri rebus decumbens phymatum & laborum causa sit; hîc verò alimenti uberioris copia in ęgri perni-

ciem. Lege Galeni Commentarium in Aphorismum quadragesimum quartum Libri quarti, & Duretum in Coacam 119. cujus Commentarii vera sunt Apollinis oracula.

A λεθρίαι. ἀναγίγνωσκε Γαληνοῦ ὑπόμνημα εἰς ἀφορισμὸν μδ΄. βιβλίου τετάρτου, καὶ Δυρετὸν εἰς κωακὴν ριθ, οὗ τὰ ὑπομνήματα τὰ ἀληθοῦντικὰ εἰσι τοῦ Ἀπόλλωνος λόγια.

Ex diuturnis tuberculis, & laboribus per febres usus plenioris cibi signa.

APHORISMUS XXIII.

QVibus tubercula diuturna, aut in articulos labores ex febre decumbunt, hi pleniore cibo utuntur.

Τὰ ἐκ τῶν μακρῶν φυμάτων καὶ τῶν πόνων ἐκ πυρετοῦ τῆς χρήσεως πλείονος τῶν σιτίων.

ΑΦΟΡΙΣΜΟΣ κγ΄.

B ΟΧόσοισι φύματα μακρὰ, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετοῦ γίνονται, οὗτοι σιτέοισιν πλείοσι χρέονται.

COMMENTARIUS.

MIror eorum qui ausi Librum hunc Aphorismorum octavum composuerunt audaciam, qua tres Aphorismos Libri quarti subsequentes 43. 44. & 45. huc attulerunt, ignari summum Dictatorem aphoristicas sententias rarò repetere. Hi tamen Aphorismi Libri septimi implent numerum 62. 63. & C 64. Aphorismorum. In Libro quarto in eos tres Aphorismos, tres Commentarios scripsit Galenus, qui in septimo comperiuntur. In longis febribus per materiæ in locum capacem depositionem, ac decubitum per apostasin, aut phymata, aut in articulis dolores, ægris fore non inutiles pronunciavit Hippocrates. Scias duplicem esse causam hujusmodi abscessuum, & dolorum. Altera quidem est, quia materia morbi eò secedit, altera verò, quia pleniùs ægri nutriantur quam natura D infirmior, & calor nondum instauratus conficiat. Unde & recidiva, & morbi diuturnitas, & ægrotantis exitium aliquando prodeunt, magno vulgi errore qui copiosis cibis vires confirmari putet, quum nullâ re pariter natura conturbetur, ut ne morbum conficiat magis, quàm pleniore cibo; qui ut sano robur, ita febricitanti accessio morbi est. Tubercula quoque per apostasin orta diuturna vocat, quæ pleniore victu foventur, diuque consistunt, nec sanescunt. Lege Galeni Commentarios superiores Libri quarti 43. 44. & 45.

ΥΠΟΜΝΗΜΑ.

ΘΑυμάζω τὴν τῶν τολμησάντων ἔκδοσιν τοῦτο ἀφορισμῶν βιβλίον συντεθεικότων θρασύτητα, ἧς τρεῖς ἀφορισμοὺς βιβλίου τετάρτου ἑπομένους μγ΄. μδ΄. με΄. δεῦρο προσενήνοχασιν ἀγνοοῦντες Μέγιστον ἐξηγητὴν τὰς ἀφοριστικὰς ἀποφάσεις ὀλιγάκις ἐξετάζειν. ἀλλά γε οὗτοι ἀφορισμοὶ C τὸν τοῦ βιβλίου ἑβδόμου ἀριθμὸν ἐμπληροῦσι ξβ΄. ξγ΄. ξδ΄. τῶν ἀφορισμῶν. ἐν τῷ βιβλίῳ τετάρτῳ τρία εἰς τρεῖς τούτους ἀφορισμοὺς ὑπομνήματα γέγραφεν ὁ Γαληνός· ἐν τοῖς μακροῖς κατὰ τὴν τῆς ὕλης εἰς χωρίον δεκτικὸν ἀπόθεσιν, καὶ ἀπόστασιν, ἢ τὰ φύματα, ἢ τοὺς εἰς ἀρθροπόνους τοῖς ἀρρωστοῦσιν μὴ ἀχρήστους οὐκ ἐσομένους ἔλεξεν Ἱπποκράτης. ἴσθι διττὴν εἶναι τῶν τοιούτων ἀποστάσεών τε καὶ πόνων αἰτίαν. ἑτέρα μέν ἐστιν, ὅτι ἡ νοσήματος ὕλη εἰς τοῦτο μεθίσταται. ἑτέρα δὲ ὅτι πλεῖον οἱ κάμνοντες τρέφονται ἢ φύσις ἀσθενεστέρα, καὶ θέρμη μήπω D ἐπεσκευασμένη διαπεράτη. ὅθεν καὶ ὑποστροφὴ, καὶ ἡ νοσήματος πολυχρονιότης, καὶ ὁ νοσοῦντος ὄλεθρος ἐνίοτε προέρχονται, μεγάλῳ τῷ πολλῶν ἁμαρτήματι τῶν τοῖς σιτίοις δαψιλέσι τὴν δυνάμεων ἰσχὺν ἰσχυρίζεσθαι νομιζόντων, ὁπόταν διὰ μηδενὸς ἄλλου πράγματος ἐξ ἴσου διαταράττηται ἡ φύσις ὡς μὴ τὴν νόσον συμποίῃ μᾶλλον ἢ πλείονι σιτίῳ, ὃ ὥσπερ ὑγιαίνοντι τὴν ἰσχὺν, οὕτω πυρέττοντι παροξυσμός ἐστι νοσήματος. καὶ τὰ φύματα κατ᾽ ἀπόστασιν γενόμενα μακρὰ καλεῖ, καὶ τοῖς σιτίοις πλείοσι θεραπεύονται. ἔκλεγε τὰ Γαληνοῦ E ὑπομνήματα ἀνώτερα βιβλίου τετάρτου εἰς ἀφορισμοὺς μγ΄. μδ΄. με΄.

Cibum dare febricitanti, morbum; valenti, robur est augere.

APHORISMUS XXIV.

SI quis febricitanti cibum dederit, valenti quidem robur, ægrotanti verò fit morbus. F

Τὴν τῷ πυρέττοντι τροφὴν διδόναι, τὸ νόσημα, ὑγιαίνοντι δὲ τὴν ἰσχὺν αὐξάνειν ἐστίν.

ΑΦΟΡΙΣΜΟΣ κδ΄.

ΗΝ τις τῷ πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ δὲ κάμνοντι νοῦσος.

COMMENTARIUS.

INterjectus quoque hic est Aphorismus Libri septimi, quem insigni Commentario Galenus explicat, tibi accuratè legendum.

ΥΠΟΜΝΗΜΑ.

ΠΑρεμβεβλημένος καὶ οὗτος ἀφορισμὸς βιβλίου ἑβδόμου ὃν Γαληνὸς ἐπισήμῳ ὑπομνήματι ἐξηγεῖται ὃ δή σοι ἐπιμελῶς συλλεξομένῳ.

Τὰ διαχωρήματα ὠμὰ ἀπὸ τῆς χολῆς μελαίνης εἶναι, πλείω μὲν πλεῖον, ἐλάσσω ἔλασσον νόσημα ποιεῖν.

Dejectiones crudas ab atra bile, plures majorem, pauciorem minores morbum efficere.

ΑΦΟΡΙΣΜΟΣ κε'.

Ὁκόσα αὖ κάτω ὠμὰ διαχωρέῃ, ὅτι χολῆς μελαίνης ἔνεστιν, ἢν πλείω πλείων ἢν ἐλάσσω ἐλάσσων ἡ νοῦσος.

APHORISMVS XXV.

Quæ deorsum cruda secedunt, ab atra bile sunt; si plura, major; si pauciora, minor morbus.

ΥΠΟΜΝΗΜΑ.

Οὗτος ἀφορισμὸς ἔνεστι ξη'. βιβλίου ἑβδόμου παρεμβεβλημένος τε τῷ φιλιάτρῳ σπουδαίως συλλεξόμενος ὥσπερ καὶ τὸ Γαληνοῦ ὑπόμνημα.

COMMENTARIUS.

Hic Aphorismus est sexagesimus octavus Libri septimi, interjectus quoque Candidato Medicinæ studiosè legendus, ut & Galeni Commentarius.

Ἐν τοῖς συνεχέσι πυρετοῖς τὸ τῶν ἔσω καῦμα μετὰ τοῦ τῶν ἔξω ψύχεος, καὶ τῆς δίψης, σημεῖον θανάσιμον εἶναι.

In continuis febribus interiorum ardorem cum exteriorum frigore ac siti, signum lethale esse.

ΑΦΟΡΙΣΜΟΣ κϛ'.

Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσι, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔσω καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον.

APHORISMUS XXVI.

In febribus non intermittentibus si extrema frigeant, interiora urantur, ac sitiant, lethale.

ΥΠΟΜΝΗΜΑ.

Τὸν πρῶτον ἑβδόμου βιβλίου ἀφορισμὸν οὕτως προσαγορεύει Ἱπποκράτης· ἐν τοῖσιν ὀξέσι νουσήμασι ψύξις ἀκρωτηρίων, κακόν. τὸν δὲ ἑβδομηκοστὸν καὶ δεύτερον οὕτω γράφει· ἐν τοῖς μὴ διαλείπουσι πυρετοῖσιν, καὶ δίψαν ἔχῃ θανάσιμον· ὁ δὲ τεσσαρακοστὸς ὄγδοος βιβλίου τετάρτου ἐνταῦθα παρεμβεβλημένος οὕτως ἔχει. ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται, καὶ πυρετὸν ἔχῃ, θανάσιμον. τοὺς προειρημένους ἀφορισμοὺς ἀναγινώσκῃ ὁ ἀναγνώστης, καὶ τρία εἰς τούτους Γαληνοῦ ὑπομνήματα εἰ τὴν ῥήσεως ἀλήθειαν ζητῇ καὶ φρονῇ. τετριμμένος ὁ λόγος ἐστὶ τὸν Ἱπποκράτην ὀξέα νοσήματα καλεῖν τὰ ταχέως, καὶ συνεχῶς, καὶ σφοδρῶς σφετέρους χρόνους κατατρέχοντα. περὶ τούτων ἄρα ὀξέων καὶ συνεχῶν πυρετῶν ἄγει, ἐν οἷς ἡ τῶν ἀκρωτηρίων ψύξις μετὰ τοῦ ἐνδοτέρων καύματος, ὀλέθρια συμπτώματα τὰ ταῖς σφοδροτάταις τῶν σπλάγχνων φλεγμοναῖς ἐπιγινόμενα, ὧν τὸ θερμόν ἐστιν οὕτω σφοδρὸν ὡς ἕλκειν ἐφ' ἑαυτὸ δίκην σικύας ἐξ ὅλου τοῦ σώματος αἷμα. ὅθεν τότε τὰ σπλάγχνα διακαίονται, τὰ δὲ ἀκωτήρια διὰ τὴν τοῦ αἵματος ἀποχωροῦντος, εἰς τὰ σπλάγχνα εἴσω ἔνδειαν ψύχονται. οὕτως ἐμὲ Γαληνὸς ἐδίδαξεν.

COMMENTARIUS.

Primum septimi Libri Aphorismum ita pronunciat Hippocrates. *In morbis acutis frigus extremarum partium, malum.* Septuagesimum verò secundum ita scribit: *In febribus non intermittentibus si extrema frigeant, interna urantur, & febris adsit, mortiferum.* Quadragesimusoctavus Libri quarti hîc interjectus sic habet. *In febribus non intermittentibus, si partes externæ algeant, internæ urantur, & sitiant, lethale.* Tres prædictos Aphorismos legat Lector, ac tres in eos Galeni Commentarios, si rei veritatem quærat & sitiat. Tritum est Hippocratem morbos acutos vocitare, qui celeriter, continenter ac vehementer sua percurrunt tempora. De his ergo acutis & continuis agit febribus, in quibus extremorum frigus cum interiorum ardore perniciosa sunt symptomata, quæ maximis superveniant viscerum inflammationibus, quarum calor adeo est vehemens, ut ad se cucurbitulæ instar sanguinem ex universo attrahat corpore, unde tum viscera exuruntur; extremæ autem partes propter sanguinis intro ad viscera sese recipientis inopiam perfrigerantur. Sic me docuit Galenus.

A

Signa lethalia ex labris, naso, oculo, supercilio, visu, auditu, ac viribus desumpta.

Τὰ σημεῖα ἐκ τοῦ χείλεος, καὶ ῥινὸς, ἢ ὀφθαλμοῦ, ἢ ὄφρυος, ἢ ὄψεως, ἢ ἀκόης, καὶ τῶν ἰσχύων περιληφθέντα.

APHORISMUS XXVII.

IN febre non intermittente si labrum, aut nasus, aut oculus, aut supercilium, pervertatur; si non videat, si non audiat, quum tam debilis est, quicquid horum acciderit, lethale.

ΑΦΟΡΙΣΜΟΣ κζ'.

ΕΝ μὴ διαλείποντι πυρετῷ ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὄφρυς, διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ ἤδη ἀσθενὴς ἐὼν, ὅ, τι ἂν τουτέων γένηται, θανάσιμον.

COMMENTARIUS.

QUid hic Aphorismus à quadragesimonono Libri quarti discrepet, animadvertat Lector studiosus his verbis transscripto. *In febre non intermittente si labrum aut palpebra, aut supercilium, aut oculus, aut nasus pervertatur, si non videat, si non audiat; imbecillo jam corpore, quicquid horum acciderit, mors proxima.* Idem ferè Aphorismus septuagesimus tertius Libri septimi ita scriptus. *In febre non intermittente si labrum, aut nasus, aut oculus, aut supercilium pervertantur, si non videat, si non audiat. Quicquid horum acciderit ægro debili mortiferum.* Galeni Commentarios in eos Aphorismos perlege.

ΥΠΟΜΝΗΜΑ.

B ΤΙ οὗτος ἀφορισμὸς τοῦ τεσσαρακοστοῦ καὶ ἐννάτου βιβλίου τετάρτου διαφέρῃ προσεχέτω ἀναγνώστης σπουδαῖος κατὰ τούτοις λόγοις. « Ἐν μὴ διαλείποντι πυρετῷ ἢν χεῖλος, ἢ τὸ βλέφαρον, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ ἤδη ἀσθενέος ἐόντος τοῦ σώματος, ὅτι ἂν τουτέων γένηται ἐγγὺς ὁ θάνατος. » Αὖτις σχεδὸν ἀφορισμὸς ἑβδομηκοστὸς καὶ τρίτος βιβλίου ἑβδόμου οὕτω γεγραμμένος. ἐν μὴ διαλείποντι πυρετῷ, ἢ χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢ ἀκούῃ, ἤδη ἀσθενὴς ἐὼν, ὅτι ἂν τουτέων γένηται, θανάσιμον, τὸ Γαληνοῦ εἰς αὐτοὺς ἀφορισμοὺς ὑπόμνημα ἀναγίνωσκε.





ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΛΥΚΟΝ ΒΙΒΛΙΟΝ·

ΟΤΙ ΜΗΔΕΝ ΗΜΑΡΤΗΤΑΙ ΚΑΤΑ ΤΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΝ, ΟΥ Η ΑΡΧΗ,

Τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν.

GALENI ADVERSUS LYCUM LIBELLUS.

QUOD HIPPOCRATES EO IN APHORISMO PRORSUS NON ERRAVIT; CUJUS EST EXORDIUM,

Quæ crescunt, calidum innatum copiosissimum habent.

ΥΠΟΘΕΣΙΣ ΒΙΒΛΙΟΥ.

Περὶ ἐμφύτου θερμοῦ, καὶ ὑγρῶν, καὶ χρωμάτων, καὶ τῆς ἑκάστου διαφορᾶς διαλογίζεται ὁ Γαληνός, καὶ ὑπὲρ τῆς Ἱπποκρατικῆς διδασκαλίας πρὸς Λύκον ἀσυνετωτάτοις λόγοις ἐκφέρει.

ARGUMENTUM LIBRI.

De calore nativo, humidis, coloribus, ac singulorum differentiis agitur &c.

ΚΕΦΑΛΑΙΟΝ α'.

A

Λύκον οὐ καλῶς ἐγκωμιάζειν, ἢ ἐξελέγχειν τὸν Ἱπποκράτην δύνασθαι, ὅτι μὴ στοιχεῖα τῆς αὐτῆς τέχνης ἔσχη.



Νεμεσητέον μὲν δήπου Λύκῳ τε πᾶσι τοῖς βουληθεῖσι πρὸς Ἱπποκράτην γράφειν· ἔτι δὲ νεμεσητότεροι οἶμαι τοῖς δυναμένοις ἀπὸ στάσεως τὰ κακῶς εἰρημένα πρὸς αὐτὸν ἐγκλήματα, καθάπερ ἐν δικα-

CAPUT I.

Lycum non rectè laudare, aut redarguere Hippocratem potuisse, quòd ne elementa quidem artis ipsius tenuerit.



Lyco sanè ac omnibus qui adversus Hippocratem scribere voluerint, vitio dandum non est. Minùs etiamnum censurâ dignos esse auguror, qui quum malè productas in ipsum contro-

versias diluere queant, utrorumque Libros A tanquam in judicio lecturi defensionem suscipiunt; ac maximè quum qui priusquam ab eo pronunciata didicerint, ea arguere ferociunt. Qui verò patrocinatur, in Senis placitis eruditus sit oportet. Itaque Commentarios scripsit Lycus, quibus Hippocratis Aphorismos explicat; sed & utrinque viri decreta depravat, tum quatenus *ea* improbat, tum quatenus quædam eorum quæ ab ipso edicuntur, laudare censet, in quibus etiam contradicere conatur. Etenim quæ ab eo laudantur, Lyci spectra non Hippocratis decreta sunt, & per quæ contra- B dicit se prodit artis Hippocraticæ elementa ignorare. Cui verò non sit elementorum scientia, is multò minùs artis illius, aut eorum quæ ab ipsa prodeunt, syllabas noverit. Itaque si primus ego aut solus dixissem Hippocratem censere animantium corpora ex calido, frigido, humido & sicco constitui, quamprimum fortassis verecundius Lycum accusarem, quòd priusquam artis Hippocratis elementa perdiscat, librorum ipsius conscribere enarrationes aggrederetur. Neque enim eos qui contrariis decretis addicti sunt, neque qui haud prima artis C præcepta utilia cognoscunt, Aphorismos explicare consentaneum est. Verùm quemadmodum à puerili ætate didicimus, ita rursum ipsius decreta laudant aut damnant. Lycus autem artis Hippocraticæ adeo imperitus est, ut ego, deos omnes testor, primis perlectis ejus in Aphorismos Commentariorum explanationibus, nequaquam me reliqui Libri lecturam ferre potuisse, tantùm mihi à Senis sententia aberrare visus est. At verò quum amicorum quidam rogasset me ea percipere quæ hunc in D Aphorismum ab ipso scripta sunt, in quo pronunciat, *Qui crescunt, calidum innatum copiosissimum habent*; Deinde aliis etiam multis, quò illius objectionibus responderem provocantibus, in hanc disputationem coactus me contuli.

κρείω τοῖς ἀναγνωσομένοις ἀμφοτέρων τὰ γράμματα, τὴν ἀπολογίαν ποιήσασθαι, καὶ μάλιστα ὅταν ὁ μὲν ἐγκαλῶν πρὶν μαθεῖν τὰ λεγόμενα θρασύνεται, ὁ δ' ἀπολογούμενος, πεπαιδεύσηται κατὰ τὸ παλαιοῦ δόγματος. Λύκος τοίνυν ἔγραψε μὲν ἐξηγητικὰ τῶν Ἱπποκράτους ἀφορισμῶν ὑπομνήματα. λωβᾶται δὲ τοῖς δόγμασιν τἀνδρὸς ἑκατέρωθεν οἷς τε ψέγειν, καὶ οἷς ἐπαινεῖν τινὰ τῶν ἐπ' αὐτοῦ λεγομένων οἴεται, καὶ δι' ὧν ἀντιλέγειν ἐπιχειρεῖ. τά τε γὰρ ἐπαινούμενα Λύκου φαντάσματά ἐστιν, οὐχ Ἱπποκράτους δόγματα, δι' ὧν τε ἀντιλέγει δῆλός ἐστιν, μηδὲ τὰ στοιχεῖα τῆς Ἱπποκράτους τέχνης ἐπιστάμενος. ὅτῳ δ' οὐκ ἔστι τῶν στοιχείων ἐπιστήμη, σχολῇ γ' ἂν οὗτος οὐ τὰς συλλαβὰς εἰδείη τῆς τέχνης ἐκείνης, ἢ τῶν ἀπ' αὐτῆς. Εἰ μὲν οὖν ἐγὼ πρῶτος, ἢ μόνος ἔλεγον, ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ, καὶ ξηροῦ τὰ τῶν ζώων σώματα συγκεῖσθαι νομίζειν Ἱπποκράτην, τάχα ἂν ἴσως εὐλαβέστερον ἐνεκάλουν Λύκῳ, πρὶν γνῶναι τὰ στοιχεῖα τῆς Ἱπποκράτους τέχνης ἐπιχειροῦντι τῶν συγγραμμάτων αὐτοῦ γράφειν ἐξηγήσεις. οὔτε γὰρ ὅσοι δόγμασιν ἐναντίοις ἐνετράφησαν, οὔθ' ὅσοι μήτε τὰ πρῶτα γινώσκουσι τῆς τέχνης χρήσιμα, εὔλογον ἐξηγεῖσθαι τοὺς ἀφορισμούς, ἀλλ' ὥσπερ μεμαθήκασιν μὲν ἐκ τῆς παιδικῆς ἡλικίας, ἐπαινοῦσι δὲ πάλιν ἢ ψέγουσιν αὐτοῦ τὰ δόγματα. Λύκος δὲ εἰς τοσοῦτον ἄρα τῆς Ἱπποκράτους τέχνης ἀμαθής ἐστιν, ὡς ἐγὼ, θεοὺς ἅπαντας ἐπόμνυμι, τὰς πρώτας τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων αὐτοῦ ἐξηγήσεις ἀναγνοὺς, οὐκέθ' ὑπέμεινα τὸ λοιπὸν τοῦ βιβλίου ἀναγνῶναι, τοσοῦτον ἐφαίνετο τῆς γνώμης ἀμαρτάνειν τοῦ παλαιοῦ. τῶν ἑταίρων δέ τινος ἀξιώσαντος ἐπακοῦσαί με τῶν εἰς τόνδε τὸν ἀφορισμὸν ὑπ' αὐτοῦ γεγραμμένων, ἐν ᾧ φησι, τὰ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, εἶτα πολλῶν καὶ ἄλλων παρακαλεσάντων ἀπολογήσασθαι πρὸς τὰς κατηγορίας, οὕτως ἀναγκασθεὶς, ἐπὶ τόνδε τὸν λόγον ἧκον.

CAPUT II.

Hypotheses pro multiplici corporum calore asseverando.

E Quò verò faciliùs, quæ à Lyco dicuntur, quæ à me adversus ea dicenda sunt percipiant nobis futuri judices pauca præfari nobis necessum erit. Calorem quidem nobis inesse patet omnibus. Utrum autem is ex cordis & arteriarum motu ortum habeat, an quemadmodum ipse motus cordi innatus est, eodem quoque modo calor sit, dissentiunt inter se Medici. Porro quisquis scitè perdiscere desiderat cunctis animalibus ortus esse principia calidum, frigidum, siccum & humidum, is unum à me Librum habet conscriptum, F quo Hippocratis sententiam explicamus ac demonstramus. Hic autem Liber de elementis secundùm Hippocratem inscribitur; alii verò qui ipsum sequuntur, de temperamentis in quibus quænam corpora liberaliorem calidi elementi portionem, & quæ pauciorem sortita sint ostendimus, quodque ob ipsum hæc natura quidem calidiora, illa verò frigidiora facta sint. Nobis siquidem universis calidum inna-

ΚΕΦΑΛΑΙΟΝ β'.

Ὑποθέσεις πρὸς τὸ πολλαπλάσιον τῶν σωμάτων θερμὸν διαβεβαιωσόμενον.

ΙΝα δὲ τοῖς μὲν ὑπ' ἐκείνου λεγομένοις, ὑπ' ἐμοῦ δὲ μέλλουσιν πρὸς αὐτὰ ῥηθῆναι, ῥᾷον ἀκολουθήσωσιν οἱ δικάζοντες ἡμῖν, ἀναγκαῖον ἔσται μοι βραχέα προειπεῖν. ὅτι μὲν ἐστι θερμὸν ἐν ἡμῖν, ἐναργῶς ἅπασι φαίνεται, πότερα δ' ἐκ κινήσεως τοῦτο τῆς κατὰ τὴν καρδίαν, καὶ τὰς ἀρτηρίας ἔχει τὴν γένεσιν, ἢ καθάπερ αὐτὸ τὸ κινεῖσθαι τῇ καρδίᾳ σύμφυτον ὑπάρχει, τὸν αὐτὸν τρόπον καὶ ἡ θερμασία, διαπεφώνηται τοῖς ἰατροῖς. ἀλλ' ὅς τις γε βούλεται μαθεῖν ἐπιστημονικῶς, ἀρχαὶ τοῖς ζώοις ἅπασι γενέσεως εἰσὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν, καὶ τὸ ξηρὸν, καὶ τὸ ὑγρὸν, ἓν ἔχει βιβλίον ὑπ' ἐμοῦ γεγραμμένον, ἐν ᾧ τὴν Ἱπποκράτους γνώμην ἐξηγοῦμαι καὶ ἀποδεικνύω. τοῦτο μὲν δὴ τὸ βιβλίον ἐπιγέγραπται περὶ τῶν καθ' Ἱπποκράτους στοιχείων. ἕτερα δὲ ἐφεξῆς ἐστιν αὐτοῦ τὰ περὶ κράσεων, ἐν οἷς δείκνυμι τίνα μὲν τῶν σωμάτων πλείονα μοῖραν ἐν ἑαυτοῖς ἔχει τοῦ θερμοῦ στοιχείου, τίνα δ' ἐλάττονα. καὶ ὡς διὰ τοῦτ' αὐτὸ, τὰ μὲν θερμότερα φύσει, τὰ δὲ ψυχρότερα γέγονεν. ἅπασι γὰρ ἡμῖν ὑπάρχει τὸ θερμὸν στοιχεῖον ἔμφυ-

τον ἐκ πρώτης ἀρχῆς, ἣν ἐκ σπέρματός τε καὶ καταμηνίου κεκτήμεθα. διαφέρομεν δ' ἀλλήλων ἐν τῷ μᾶλλόν τε καὶ ἧττον εἶναι θερμοί. ἀλλ' εἰσί γέ τινες ὅροι τούτου τοῦ πλάτους, ὧν ἐπέκεινα τῆς κράσεως ἐξικομένης, ἤτοι νοσεῖν ἡμῖν ἀναγκαῖόν ἐστιν, ἢ διαφθείρεσθαι. καὶ γὰρ ἐπὶ πλέον ψυχθέντες, ἐν νοσήματι ψυχρῷ καθιστάμεθα, καὶ θερμανθέντες ἔξω τοῦ κατὰ τὴν ὑγείαν πλάτους, εἰς πυρετὸν ἀγόμεθα. καὶ τοίνυν καὶ τῶν πυρετῶν αὐτῶν ἔνιοι μὲν ἀκριβῶς εἰσι ξηροὶ, καθάπερ οἱ ἀκριβῶς καῦσοι. τινὲς δὲ ἐσχάτως ὑγροὶ, καθάπερ οἱ τυφώδεις ὀνομαζόμενοι. εἰ δ' οὐ χαίρει τις τοῖς οὕτω καλουμένοις, ἢ καὶ ἄλλου πράγματος ἐπιφέρειν εἴθισται τὰς εἰρημένας προσηγορίας, ἐγὼ τούτῳ τῷ λόγῳ διηγήσομαι τοὺς ὑγροὺς πυρετοὺς ὁποίους εἶναί φημι. ἱδροῦσι μὲν οἱ κάμνοντες ἀπὸ πρώτης ἡμέρας, ἐν δ' αὐτοῖς ἱδρῶσιν, ἢ μετρίως, ἢ οὐδὲν ὀνινάμενοι, τούτους ὑγροὺς ἐγὼ τοὺς πυρετοὺς ὀνομάζω. ξηροὺς δὲ ἔμπαλιν ἐκείνους καλῶ τῶν πυρετῶν, οἷς δίψα σφοδρὰ, καὶ γλῶττα ξηρὰ, καὶ δέρμα σκληρὸν οἷόνπερ βύρσα, καὶ πολὺς αὐχμὸς ἐν ἅπαντι τῷ σώματι. καὶ μὴν καὶ ἕτεροί τινες εἰσὶ πυρετοὶ τὴν διαπνοὴν ὅλου τοῦ σώματος ἔχοντες ἀνιαρὰν τοῖς ἁπτομένοις, ὡς νύττεσθαί τε καὶ δάκνεσθαι δοκεῖν, διχῶς καὶ τούτου γινομένου, ποτὲ μὲν ἀερώδους ξηροῦ τοῦ προσπίπτοντος ἡμῖν, ἔστι δ' ὅτε ὑγροῦ πως φαινομένου, καθάπερ ἀτμοῦ τινός. τοιαύταις ἰδέαις ἀλλήλων διαφέρουσιν, καὶ τῶν ὑγιαινόντων αὐτῶν αἱ κράσεις, ἃς δὴ καὶ δυσκράτους εἶναι φαμὲν, ἐπανορθούμεθά τε καθόσον οἷόν τε τὴν φυσικὴν δυσκρασίαν αὐτῶν. ἔστι γὰρ καὶ τοῦτο μόριον οὐ σμικρὸν τῆς ὑγιεινῆς τέχνης. ὅσα δὲ εὔκρατα φύσει τῶν σωμάτων ἐστὶν, οὐδὲν τοιοῦτον ἁπτομένοις ἐμφαίνει. σύμμετρα γὰρ ἀκριβῶς ἐστὶν, ὡς μηδὲν ἐνδεῖν αὐτοῖς τὸ θερμὸν, οἷα γέρουσιν, ἢ τοῖς ἐψυγμένοις, μήθ' ὑπερβάλλειν, ὡς τοῖς ἀμετρότερον πεπονήκασιν, ἢ διατρίψασιν ἐπὶ πλεῖον ἐν ἡλίῳ θερινῷ· πολὺ δὲ δὴ μᾶλλον οὐδὲ τὸ δάκνον, ἢ ἀνιαρὸν, ἡ τούτων ἔχει θερμασία. σαφηνείας δὲ ἕνεκα τῶν λεγομένων, οὐδὲν ἂν εἴη χεῖρον ἀναμνησθῆναί σε βαλανείων, ἐν οἷς ἓν μέν ἐστιν δή που τὸ τῶν εὐκράτων εἶδος, αἱ δυσκρασίαι δὲ πολλαί. μία μὲν γὰρ δυσκρασία βαλανείου, ψυχροτέρου τῆς χρείας ὑπάρχοντος. ἑτέρα δὲ, εἰ μέχρι τοῦ λυπεῖν ἤδη θερμανθείη. τρίτη δ' ἄλλη, καθ' ἣν οὔθ' ὡς ψυχρότερον, οὔθ' ὡς θερμότερον αἰτιώμενοι,

πλῆθος

εἰς ἀτμοῦ φαμὲν ὑπάρχειν, καὶ κατὰ τοῦτο μεμφόμεθα. τίς γὰρ οὐκ οἶδεν, εἴ γε ὅλως ἄνθρωπός ἐστιν, ὡς εὔκρατον ἔστι μὲν ὕδωρ πολλάκις, ἔστι δ' ὁμοίως αὐτῷ ὁ καὶ ἀὴρ, καὶ ἀτμός. οὕτω γοῦν καὶ λίθος εὔκρατος ἐν αὐτοῖς τοῖς βαλανείοις γίνεται, καθ' οὗ κυλινδεῖσθαι δυνατὸν, οὔτε θερμασίαν ὑπερβάλλουσαν, οὔτε ψύξιν αἰτιωμένοις, οὔτ' αὐχμὸν, ἢ πλῆθος ὑγρότητος. ὥσπερ οὖν ἐν ὕδατι καὶ λίθῳ, καὶ ἀέρι σύμμετρος γίνεται θερμότης, οὕτως καὶ κατὰ τὸν ἀτμὸν, ὃς ἐπειδὰν εὔκρατος ὢν ἐμπλήσῃ τὸ βαλανεῖον, οἱ λουόμενοι δυσχεραίνουσι μὲν, καὶ μέμφονται τὸ τοιοῦτον λουτρὸν, ψυχρότερον δὲ ἢ θερμότερον οὐκ ὀνομάζουσιν, ὡς εἴ γε καὶ τοιοῦτόν τι ποιεῖ, διττὴν ποιοῦνται τὴν κατηγορίαν τοῦ βαλανείου, ψυχρὸν εἶναι φάσκοντες αὐτὸ, καὶ μεστὸν ἀτμοῦ, καθάπερ γε καὶ θερμὸν αὖθις ἀμέτρως σὺν ἀτμῷ δαψι-

A tum inest elementum à primo ortu quem tum ex semine, tum ex menstruo sanguine consequuti sumus. Hoc tamen ab invicem dissidemus quod *aliis alii* plus minus simus, calidi. Enimverò hujus latitudinis quidam sunt termini; ultra quos temperamento progrediente aut ægrotare nos, aut interire necesse est. Etenim magis refrigerati morbis frigidis afficimur; at extra sanitatis planum calefacti in febrem ducimur. Quinetiam febrium ipsarum nonnullæ plane siccæ sunt, quemadmodum sincere ardentes; B quædam verò summæ humidæ ut quæ typhodes, vel elodes nominantur. Quòd si quis hisce vocabulis non oblectetur, aut ad rem alteram enunciatas appellationes adferre consueverit, hac ego oratione sum explicaturus quas febres humidas esse dico. Quum à primo quidem die ægri sudant, ipsisque sudoribus, aut aliquantulum, aut nullomodo levantur, has ego febres humidas appello; siscas verò contra illas voco febres, in quibus vehemens urget sitis, & lingua arida, & cutis C tanquam dura, ac ingens in universo corpore squalor est. Sunt & sanè aliæ quædam febres quæ universi corporis transspirationem ita molestam reddunt tangentibus, ut pungi mordérique videantur; hocque duobus fit modis. Interdum siquidem quiddam aëreum nobis siccum occursat, interdum verò humidum, veluti vapor quidam apparet. Hisce ideis inter se etiam differunt sanorum ipsorum temperamenta, quæ profectò intemperata esse dicimus, & naturalem ipsorum intemperiem, quantum fieri possit emendamus. Id enim pars est hygienes D artis non exigua. Quæ verò temperata sunt natura corpora, nihil hujusmodi produnt tangentibus. Nam adeò exquisitè commoderata sunt, ut neque calor ipsis deficiat, qualia sunt senibus ac refrigeratis, neque excedat, ut iis qui immoderatius laborarunt, vel diutius in æstivo sole versati sunt. At multo sanè minus mordacitatis aut molestię horum calor est particeps. Verùm perspicuitatis enunciatorum gratia, nihil quicquam deterius fuerit te balneorum meminisse, in quibus unica quidem est nimirum temperamentorum species, intem- E peries verò multæ. Una nanque est balnei intemperies quum pro usu sit frigidius. Altera si adusque illatam molestiam jam incaluerit. Tertia verò alia quâ neque quod frigidius, neque quod calidius existat id damnantes, vapore repletum esse dicimus, ob idque illud improbamus. Quis enim, modo homo sit, non noverit temperatam esse aquam multoties, ipsi quoque similiter tum aërem, tum vaporem esse? sic verò & in ipsis balneis lapis temperatus redditur, in quibus volutari possumus, neque caloris neque frigoris exuperantia, neque ariditate, ne- F que humoris copia culpata. Quemadmodum igitur in aqua, & lapide, & aëre commoderatus comperitur calor; sic & in vapore qui quum temperatus existens balneum impleverit, qui lavantur, balneum quidem hujusmodi molestè ferunt ac de eo conqueruntur, non tamen id frigidius aut calidius appellant. Quod si quid hujusmodi præterea accesserit, duplici balneum reprehensione notant qui frigidum ipsum, vaporeque plenum esse pronunciant, quemadmodum rursus etiam cum copioso vapore immoderatè calidum.

dum. Horum itaque ne simus immemores, neque ab exuberante quam nonnulli ostentant sapientia, quæ vulgo cunctis hominibus sunt cognita, depravemus; imò quum aliquam de animali proferentem audivimus hujus quidem calorem temperatum esse, illius vero intemperatum, balneorum recordati non ad aliud quicquam cogitationem transferemus, præterquam ad id quod omnes mortales qui communes notiones servant integras quotidie, quum in aliis multis, tum certè in balneis quorum mentionem fecimus. Balneum itaque calidum & frigidum esse, rursusque vapore plenum, aut siccum & aridum singulis his nominibus rem aliquam propriam significantes. Porro ad hæc commemorata alterum quoddam balneum est fumo plenum, eoque næ per Jovem! permultarum specierum: Alter siquidem ex lignis quercinis, alter verò ex ficulneis, aut oleagineis ortum habet, & pro unaquaque arbore alius atque alius. Verum ne hactenus his particulatim differentiis egemus: Mihi nanque sat est hoc universum genus unica tum appellatione, tum intelligentia comprehendere, si balnei aërem fumidum esse dixerimus, nec in eo aut calorem aut frigus damnemus, aut quemadmodum etiamnum, si ita sors tulerit, utrunque accusemus quod & calidum existat, & quod fumidum. Verùm missis jam balneis quæ quotidie nostris in ædibus nobis accidunt, eorum quædam ad memoriam revocanda sunt. Aliàs quidem ædium in quibus degimus, humiditatem accusamus, aliàs verò immoderatum frigus aut calorem. Utrum igitur eodem modo ædium aërem in magnis sub cane ardoribus damnamus atque quum fumo repletæ fuerint? An hîc quoque quemadmodum in balneis nonnunquam calore quidem nihil inter se discrepant? Est autem eorum alter quidem idem sane hocce tantum aër calidus, alter vero, qui adjungitur, fumidus. Sub hæc calidus quidem aër lachrymas nunquam evocat, fumo verò infectus etiamsi modice calidus sit, eas semper excitat. Quamobrem hîc liquido constat calidum mordax, non quòd magis calefaciat, sed re quadam alia differe. Quocirca quum flammæ maximæ fumo vacuæ proximi stamus, sæpenumero ita incalescimus ut prope aduri provehamur. Nullus tamen mordetur nec excitatur ut à fumo lachrymas fundant oculi. Meremur igitur si quis in fumo & flamma differentiam percipiat, in nostris verò corporibus interdum vehementissimum calorem, qualis est flammæ, interdum qualis est fumi, molestum ac mordacem persentiat. Nihil minus etiam miror si hasce caloris animalium intemperaturas iis quæ in balneis aut ædibus reperiuntur, proportione respondere non concedat. Ut ergo in ædibus alius quidem aër domus fumidæ, alius vero simpliciter calidæ: eodem modo arbitror calorem ab his diversum esse, in quo accensarum lucernarum multitudo sit, aut facis cum fuligine. Proindeque ut fumidum alterum aërem vocamus: sic & hunc fuliginosum qui ex materia plene perusta sit. Fuligo nanque ea ratione à fumo differt (etiamsi utrunque flammæ sit excrementum) quod fuligo quidem terreæ sit perustæ materiæ exhala-

A λε. μὴ τοίνυν ἐπιλανθανώμεθα τούτων, μηδὲ τὰ κοινῇ πᾶσιν ἀνθρώποις γιγνωσκόμενα διαφθείρωμεν ὑπὸ περιττῆς σοφίας, ἣν ἐπιδείκνυνταί τινες· ἀλλὰ μεμνημένοι τῶν βαλανείων, ἐπειδὰν ἀκούσωμέν τινος ἐπὶ ζώου λέγοντος, ὡς ἔστι τούτου μὲν εὔκρατον τὸ θερμὸν, τούτου δὲ δύσκρατον, οὐκ εἰς ἄλλο τι μεταφέρωμεν τὴν διάνοιαν, ἀλλ' ἐφ' ὅπερ ἅπαντες, οἱ τὰς κοινὰς ἐννοίας διασώζοντες ἄνθρωποι, καθ' ἑκάστην ἡμέραν ἐν ἄλλοις τε πολλοῖς, καὶ μέν τοί γε, καὶ τοῖς βαλανείοις ὧν ἐμνημονεύ-
B σα. θερμὸν γοῦν εἶναί φασι τὸ βαλανεῖον καὶ ψυχρὸν, εἶτ' αὖθις ἀτμοῦ πλῆρες, ἢ ξηρὸν, καὶ αὐχμῶδες, καὶ ἑκάστῳ τῶν ὀνομάτων ἴδιόν τι δηλοῦντες πρᾶγμα. πρὸς τοίνυν τοῖς εἰρημένοις ἕτερόν τι βαλανεῖόν ἐστι καπνοῦ πλῆρες, καὶ ναὶ μὰ Δία γε τούτου πολυειδεστάτου. ἕτερος μὲν, ὁ ἐκ δρυΐνων ξύλων, ἕτερος δὲ ὁ ἐκ συκίνων, ἢ ἐλαΐνων ἐστὶν, καὶ καθ' ἕκαστόν γε δένδρον, ἄλλος καὶ ἄλλος. ἀλλ' οὐδέπω δέομαι τῆς κατὰ μέρος διαφορᾶς. ἀρκεῖ γάρ μοι τήν γε πρώτην ὅλον γε τὸ γένος τοῦτο μιᾷ κλήσει καὶ νοήσει περιλαμβανόντι, καπνώδη τὸν ἀέρα φά-
C ναι τοῦ βαλανείου, μηδ' ἐνταῦθα μεμφόμενον αὐτοῦ θερμασίαν, ἢ ψύξιν, ἢ ὥσπερ γε μεμφόμενον αὖθις, εἰ οὕτως ἔτυχεν κατ' ἄμφω, καὶ ὡς θερμὸν τὸ βαλανεῖον, καὶ ὡς καπνῶδες. ἐάσας οὖν ἤδη τὰ βαλανεῖα, τῶν καθ' ἑκάστην ἡμέραν ἐν ταῖς οἰκίαις ἡμῖν συμβαινόντων ἀναμνήσθητί μοι, ποτὲ μὲν ὑγρότητα τῶν οἰκιῶν ἐν οἷς ἐσμεν, ἔστι δ' ὅτε ἄμετρον ψύξιν, ἢ θερμότητα μεμφόμεθα. πότερα μὲν οὖν ὁμοίως μεμφόμεθα τὸν κατὰ τὸν οἶκον ἀέρα, τοῖς ὑπὸ κύνα καύμασιν, κἀπειδὰν καπνοῦ πληρωθῇ, ἢ κἀνταῦθα ὥσπερ ἐν τοῖς βαλανείοις, ἔστιν ὅτε κατὰ μὲν
D τὴν θερμασίαν διαλλάττουσιν οὐδὲν, ἔστι δ' αὐτῶν ὁ μὲν αὐτὸ δὴ τοῦτο μόνον, ἀὴρ θερμὸς, ὁ δὲ σὺν τούτῳ καπνώδης, εἶτα ὁ μέν γε θερμὸς ἀὴρ, οὐδέποτε προκαλεῖται δάκρυον, τῷ καπνώδει δ' ἀεὶ ὑπάρχει τοῦτο κἂν μετρίως θερμὸς ᾖ, ὥστε ἐναργῶς ἐνταῦθα κατάδηλόν ἐστι τὸ δακνῶδες θερμὸν, οὐ τῷ μᾶλλον θερμαίνειν, ἀλλ' ἑτέρῳ τινὶ διαλλάττον. ἐγγυτάτω γοῦν φλογὸς μεγίστης ἀκάπνου στάντες, θερμαινόμεθα οὕτω πολλάκις, ὡς ἐγγὺς μὲν ἥκειν τοῦ καίεσθαι, δάκνεται δ' οὐδεὶς, οὐδὲ δακρύει τοὺς ὀφθαλμοὺς
E ὡς ἀπὸ καπνοῦ. θαυμαστὸν οὖν, εἴ τις ἐπὶ καπνοῦ καὶ φλογὸς αἰσθάνεται τῆς διαφορᾶς, ἐπὶ δὲ τῶν ἡμετέρων σωμάτων ἀναίσθητός ἐστιν. ἐνίοτε μὲν ἰσχυροτάτης θερμασίας οἷον φλογὸς, ἐνίοτε δὲ ἀνιαρᾶς καὶ δακνώδους, οἷόν περ καπνοῦ. θαυμάζω δὲ οὐδὲν ἧττον, εἰ μὴ συγχωρεῖ τὰς κατὰ τὸ θερμὸν ἐν τοῖς ζώοις δυσκρασίας, ἀνάλογον ἔχειν ταῖς κατὰ τὰ βαλανεῖα, καὶ τὰς οἰκίας. ὡς οὖν ἐν ταῖς οἰκίαις ἄλλος μὲν ἀήρ ἐστιν οἴκου καπνώδους, ἄλλος δὲ ἁ-
F πλῶς θερμοῦ, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, ἕτερος τούτων ἐναργῶς ἐστὶν, ἐν ᾧ πλῆθός ἐστι καιομένων λύχνων, ἢ δᾳδὸς ἅμα λιγνύσι, καὶ τοίνυν καὶ καλοῦμεν ὥσπερ τὸν ἕτερον ἀέρα καπνώδη, λιγνυώδη τοῦτον. ἐξ ὑπεροπτήσεως ὕλης γιγνόμενον. ἡ γάρ τοι λιγνὺς ταύτῃ τοῦ καπνοῦ διενήνοχεν, καί τοί γε ἀμφοῖν περιττωμάτων ὑπαρχόντων φλογὸς, ὅτι ἡ λιγνὺς ἐστὶ μὲν κατωπτημένης ὕλης, γεώδης ἀναθυμίασις,

A καπνὸς δὲ, οὔθ' ὑπερωπτημένης, οὔτε γεώδης, ἀλλ' ἡμικαύτου τε καὶ συμμιγοῦς ἐξ ὑγρᾶς καὶ γεώδους οὐσίας. ὅστις οὖν ἐπαιδεύθη νομίμως ἐν Ἱπποκρατείοις δόγμασιν, ἔμαθεν οὗτος ὡς τῆς ὀνομαζομένης ἤδη συνήθως ἅπασι τοῖς ἰατροῖς ἀδήλου διαπνοῆς, ἣν διαπνεῖται τὰ σώματα, τὸ μὲν τοιοῦτόν ἐστιν οἷον ἀτμὸς, ἕτερον δὲ, οἷον ἀὴρ ξηρὸς, ἕτερον δὲ, σὺν αἰσθηταῖς ὑγρότησιν ἐκπίπτον. Λείπει τινά.

latio; fumus vero neque planè peruſtæ, neque terreæ, ſed ſemiuſtæ, & ex humida ac terrea ſubſtantia commixtæ ſoboles. Quiſquis igitur in Hippocratis placitis legitimè fuerit eruditus, iis etiam didicit eam jam pro conſuetubine ab omnibus Medicis appellatam inſenſibilem tranſpirationem quâ difflantur corpora, aliam quidem talem eſſe qualis vapor eſt; aliam vero aëri ſicco ſimilem, aliam denique cum ſenſibilibus humiditatibus excidentem. Quædam deſiderantur.

B

ΚΕΦΑΛΑΙΟΝ γ'.

Τὸν Λύκον τὰς χρωμάτων διαφορὰς μὴ γνωρίζοντα τὴν τεχνῶν ἁπασῶν σύστασιν τὴν ἀπὸ τοῦ Πλάτωνος καὶ τῶν ἄλλων φιλοσόφων δεδαγμένην καταβάλλειν.

Αὕτη μὲν ἡ ῥῆσίς ἐστι τῶν ὑπὸ τοῦ Λύκου γεγραμμένων εἰς κατασκευὴν τοῦ μηδὲν διαφέρειν ἕτερον ἑτέρου θερμὸν, οὐκ ἀναμένουσα τὸν ἔξωθεν ἔλεγχον, ἀλλ' ἑαυτὴν καταβάλλουσα. τί γὰρ δὴ C καί φησι; τὸ θερμὸν ᾗ νενόηται θερμὸν, οὐδεμίαν ἔχει παραλλαγὴν πρὸς ἕτερον θερμόν. εἰ μὲν οὖν οὐδὲν ἐν τῷ λόγῳ σημαίνει τὸ, ᾗ νενόηται θερμὸν, ἐξαιρείσθω τελέως αὐτοῦ. σημαίνων δ' ἔτι σαφῶς ἐνδείκνυται, ταύτῃ μὲν μὴ διαφέρειν τὸ θερμὸν τοῦ θερμοῦ, καθ' ἕτερον δέ τι διαφέρειν. εἰ μὲν γὰρ οὐδαμῇ διαφέρει, περιττῶς πρόσκειται τὸ, ᾗ. εἰ δὲ ἄλλῃ μέν πῃ διαφέρει, ταύτῃ δ' οὐ διαφέρει, καθ' ὃ διαφέρει, κατὰ τοῦτο νοείσθωσαν αἱ διαφοραί. ὡς εἴ γε καθ' ὃ λέ- D γεται μόνον ἕκαστον σκοποῖτο, πάντων τῶν πραγμάτων ἀναιρήσεις τὰς διαφοράς. τὸ ζῶον ᾗ νενόηται ζῶον, οὐδὲν ἑτέρου διαφέρει ζώου. τὸ φυτὸν, ᾗ νενόηται φυτὸν, οὐδὲν ἑτέρου διαφέρει φυτοῦ. τὸ δένδρον ᾗ νενόηται δένδρον, οὐδὲν ἑτέρου διαφέρει δένδρου. ἆρ' οὐκ εἰσὶ τοῦ ζώου διαφοραὶ, τὸ πτηνὸν, καὶ πεζὸν, καὶ νηκτὸν, καὶ τὸ ἔνυδρον, καὶ ἔγγειον, καὶ ἀέριον, ἢ τὸ θνητὸν καὶ ἀθάνατον, ἢ τὸ λογικὸν, καὶ ἄλογον, ἢ τὸ ἥμερον καὶ τὸ ἄγριον, ἢ τὸ δειλὸν καὶ ἄλκιμον, ἢ τῶν ἄλλων ὧν ἴσμεν ἕκαστον. τί γὰρ δεῖ μακρολογεῖν; οὕτω τῶν E φυτῶν, τὸ μὲν δένδρον, τὸ δὲ θάμνος, τὸ δὲ ἄκανθα, τὸ δὲ πόα, τὸ δὲ φρύγανον· ἢ καὶ πάντων, καθ' ὃ νενόηται ζῶα, μηδεμίαν ἐχόντων διαφορὰν, ὅμως καὶ ταύτας ἁπάσας ἃς εἴρηκα, καὶ πρὸς ταύταις ἑτέρας οὐκ ὀλίγας, ἀληθῶς ἄν τις εἴποι ζώου διαφοράς. οὕτως δὲ κἀπὶ τῶν φυτῶν. οὐ γὰρ φυτόν γε φυτοῦ διενήνοχεν τῷ, τὸ μὲν εἶναι λογικὸν αὐτῶν, τὸ δὲ ἄλογον, οὔτε τὸ πτηνὸν, ἢ πεζὸν, οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων οὐδεμία διαφορά. καθάπερ οὐδὲ ζῶον ζώου διαφέρει, τῷ, τὸ μὲν F εἶναι θάμνος, τὸ δὲ, ἄκανθα, τὸ δὲ, δένδρον, τὸ δὲ, πόα, τὸ δὲ, φρύγανον, τὸ δὲ, κέδρος, ἀλλ' ἐν τῷ γένει τῶν φυτῶν ἡ τοιαύτη τομή. ἀλλὰ καὶ νοσημάτων διαφορὰς αὖθις ὁ Λύκος γράφει παμπόλλας, καί τοί γε οὐδὲν διαφέρει νόσημα νοσήματος ᾗ νόσημά ἐστιν, ὥσπερ οὐδὲ σύμπτωμα συμπτώματος, ᾗ σύμπτωμά ἐστιν, ἀλλ' ὅμως καὶ τὰς τούτων διαφορὰς ὁ Λύκος ἐπιχειρεῖ γράφειν, ὥσπερ γε καὶ τὰς τῆς πλευρίτιδος, ἑκάστου τε

CAPVT III.

Lycum, dum calorum differentias non agnoſcit, artium omnium conſtitutionem, quam Plato, & reliqui Philoſophi docuerunt evertere.

HÆc oratio quidem eſt ex his quæ à Lyco ſcripta ſunt ad aſtruendum nihil alterum ab ultero calorem differre, quæque externam reprehenſionem non expectant, ſed ſeipſa deſtruunt. Quid enim jam etiam ait? calidum, quâ calidum intelligitur, nullam habet cum altero calido differentiam. Si igitur nihil in oratione ſignificet quâ calidum intelligitur, id prorſus detrahatur; ſi quid præterea ſignificet, hoc apertè demonſtrat hac quidem ratione nihil calidum à calido differre, ac ſecundùm quid aliud differre. Si nanque nulla ratione differat, ſuperfluè *quâ calidum* additur. Quod ſi alia ratione differat, hæc autem non differat, qua in re differt in ea differentiæ percipiendæ ſunt. Quod ſi certe quo modo appellatur, eo unumquodque duntaxat conſideretur, rerum omnium differentias evertes. Animal quatenùs animal intelligitu, nihilo ab altero animali differt. Planta quatenus planta percipitur, ab altera planta nihilo differt. Arbor quatenus arbor mente deprehenditur, nihil ab altera diſſidet arbore. Num ergo minimæ ſunt animalis differentiæ volatile, pedeſtre, natatile, aquatile, terreſtre, & aëreum; aut mortale & immortale; aut rationale & irrationale; aut domeſticum & ſylveſtre; aut timidum & audax; aut aliæ quas ſcimus ſingulæ? Quid longiori oratione opus eſt? Sic plantarum alia quidem arbor eſt, alia frutex, alia ſpina, alia herba, alia ſubfrutex? An potius quum omnia animalia quatenus animalia deprehenduntur, nullam habeant differentiam, attamen has univerſas quas recenſui, ac præter eas non paucas eſſe animalis differentias verè quis affirmaverit? Ita vero & de plantis: Non enim planta à planta differt, quòd hæc quidem inter alias ſit rationalis, illa verò irrationalis; neque quod volatilis ſit, aut pedeſtris, neque ulla demum aliarum pronunciatarum differentia; quemadmodum neque animal ab animali diſſidet, quod hoc quidem frutex ſit, illud verò ſpina; aliud verò arbor, aliud herba; hoc ſuffrutex, illud cedrus. Verùm hoc in plantarum genere hujuſmodi ſectio eſt. Quin etiam Lycus permultas ſcribit morborum differentias, etiamſi morbus quà morbus eſt, à morbo nihilo differat; quemadmodum neque ſymptoma à ſymptomate, quatenus ſymptoma eſt. Horum tamen differentias ſcribere contendit Lycus; ſicuti pleuritidis, ſingulorumque

aliorum morborum. At verò pleuritis à pleuritide, quatenus pleuritis est, nulla re differt: veruntamen quædam adusque claviculam permeantem dolorem habet; quædam verò ad hypochondrium: sic & inter pleuritides cum colorato sputo est altera, altera verò huic contraria quæ à nonnullis sputo vacua vocatur, aliæque multæ sunt differentiæ, quibus etiam curationem immutari contingit. Quinimò & has & febrium ipsarum differentias nos edocere Lycus nititur. Quanquam verò sive illis ob caloris exuperantiam, sive ob qualitatis mordacitatem ortus est, febris tamen cum febre, quâ febris est, nulla constituitur differentia. Quapropter ineruditam adeo rationem perquirit Lycus, ut non sentiat se artes universas evertere. In differentiarum siquidem rei cujuscunque cognitione artes constituuntur; idque Plato in Philebo statim initio Libri copiosè disseruit, ipsiusque sententiam Aristoteles: Theophrastus, Chrysippus, & Mnesitheus servarunt; ac nullus est qui in opere de arte eandem non habuerit orationem. At verba prima Platonis de artium constitutione prodita sunt hujusmodi. *Socrates.* Vox profectò nobis una est quæ ore prodit, ac infinita rursus multitudine tum omnium, tum uniuscujusque. *Protarchus.* Quidni? *Socrates.* Atque horum neutro sapientes sumus, neque quod infinitum illius sciamus: neque quod unum, sed & quot & qualia ea sint noverimus, hoc est, quod nostrum unumquemque Grammaticum efficiat. *Protarchus.* Verissima. *Socrates.* Atque jam etiam quod musicum efficere contingat, hoc ipsum est. *Protarchus.* Quomodo? *Socrates.* Vox quidem & quoad illam artem spectat, in ea una est. *Protarchus.* Quidni? *Socrates.* Ponamus autem duo, grave & acutum, ac tertium æquitonum, aut quomodo? *Protarchus.* Ita. *Socrates.* Nondum tamen musicæ peritus fueris, si hæc sola noveris. Nisi noveris, ut certo verbo dicam, ad hæc nullius pretii futurus es. *Protarchus.* Non sane. *Socrates.* Verùm ô amice quum vocum intervalla perceperis, quot sint numero (quod ad acuti & gravis toni rationes spectat) & qualia, necnon intervallorum terminos, & quæcunque coagmentationes ex his factæ fuerint, quæ qui ante nos fuere quum perspexissent, nobis posteris suis illos sequutis tradiderunt, ipsaque harmonias appellari voluerunt. At rursum in corporis motionibus alias hujusmodi inesse ac fieri affectiones docuerunt quas numeris demensas ipsas rithmos ac metra nominari voluerunt, simulque instituerunt, ut de quocunque uno & multis eandem rationem initemus. Quum enim ita hæc ipsa perceperis tunc sapiens evasisti, quumque aliud quicquam eorum quæ ad res hujusmodi pertinent, hoc modo consideraveris, ita in illis prudens quoque evadis. At sane quidem mentis auditoribus satis hæc fuerat ex Platone audisse pro artium universarum constitutionis indicatione. Non enim datur aliquem rei unius artificem evadere, nisi ipsius differentias callueris. Verùm non abs re fuerit quemadmodum ipse Plato non sola orationis summa contentus, perspicuitatis gratiâ Grammaticæ ac musices exempla addidit: sic nos quoque unum rursus exemplum artis pictoriæ adjicere oportet; sed cui

A τῶν ἄλλων νοσημάτων. καί τοί γε πλευρῖτις πλευρίτιδος, ᾗ πλευρῖτίς ἐστιν οὐδὲν διαφέρει, ἀλλ' ὅμως ἡ μέν τις εἰς τὴν κλεῖν ἔχει περαινουμένην τὴν ὀδύνην, ἡ δὲ, εἰς τὸ ὑποχόνδριον. οὕτω δὲ καὶ μετὰ μὲν τοῦ κεχρῶσθαι τὸ πτύελον, ἡ ἑτέρα τῶν πλευριτίδων, ἑτέρα δὲ ἐναντία τῇδε, καλουμένη πρὸς ἐνίων ἄπτυστος, ἄλλαι τε πολλαὶ διαφοραὶ, καθ' ἃς ὑπαλλάττεσθαι συμβαίνει καὶ τὴν θεραπείαν. ἀλλὰ ἐὰν καὶ ταύτας τῶν πυρετῶν αὐτῶν τὰς διαφορὰς ὁ Λύκος ἐκδιδάσκειν πειρᾶται. καί τοι εἴ τε κατὰ πλεονεξίαν θερμασίας ἡ B γένεσις αὐτοῖς ἐστιν, εἴ τε κατὰ τὸ δακνῶδες τῆς ποιότητος, οὐδεμία γίνεται διαφορὰ πυρετοῦ πρὸς πυρετὸν ᾗ πυρετός ἐστιν. οὕτως οὖν ἀπαίδευτον ἐρωτᾷ λόγον ὁ Λύκος, ὥστε οὐκ αἰσθάνεται τὰς τέχνας ἁπάσας ἀναιρῶν. ἐν γάρ τοι τῇ γνώσει τῶν διαφορῶν ἑκάστου τῶν ὄντων, αἱ τέχναι συνίστανται. καὶ τοῦτο ἐπὶ πλεῖστον μὲν κἀν τῷ Φιλήβῳ διῆλθεν ὁ Πλάτων εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος. ἐφύλαξε δὲ αὐτοῦ τὴν γνώμην Ἀριστοτέλης καὶ Θεόφραστος, Χρύσιππός τε καὶ Μνησίθεος, καὶ οὐ- C δεὶς ὅς τις οὐ διῆλθεν ἐν τῷ περὶ τέχνης γράμματι τὸν αὐτὸν λόγον. ἔστι δὲ ἡ μὲν πρώτη ῥῆσις ὑπὲρ τῆς κατὰ τὰς τέχνας συστάσεως τοῦ Πλάτωνος εἰρημένον τοιάδε. Σωκ.
Φωνὴ μὲν ἡμῖν ἐστί που μία διὰ τοῦ στόματος ἰοῦσα, «
καὶ ἄπειρος αὖ πλήθει, πάντων τε καὶ ἑκάστου. Πρ. Τί «
μήν; Σω. Καὶ οὐδὲν ἑτέρων γε τούτων ἐσμέν πω «
σοφοί, οὔτ' ὅτι τὸ ἄπειρον αὐτῆς ἴσμεν, οὔθ' ὅτι τὸ ἕν, «
ἀλλ' ὅτι πόσα τέ ἐστι καὶ ὁποῖα, τοῦτ' ἐστὶ τὸ γραμματι- «
κὸν ἕκαστον ποιοῦν ἡμῶν; Πρ. Ἀληθέστατα. Σω. Καὶ «
D μὴν, καὶ τὸ μουσικὸν, ὃ τυγχάνει ποιοῦν, τοῦτ' ἐστὶ ταὐ- «
τόν. Πρ. Πῶς; Σω. Φωνὴ μέν που τὸ κατ' ἐκείνην τὴν «
τέχνην ἐστὶ μία ἐν αὐτῇ. Πρ. Πῶς δ' οὔ; Σω. Δύο «
δὲ θῶμεν βαρὺ καὶ ὀξὺ, καὶ τρίτον ὁμότονον, ἢ πῶς; «
Πρ. Οὕτως. Σω. Ἀλλ' οὔπω σοφὸς ἂν εἴης τὴν μουσι- «
κὴν, εἰδὼς ταῦτα μόνα. μὴ εἰδὼς δὲ, ὥς γε ἔπος εἰ- «
πεῖν, εἰς ταῦτα οὐδενὸς ἄξιος ἔσῃ. Πρ. Οὐ γὰρ οὖν. «
Σω. Ἀλλ' ὦ φίλε ἐπειδὰν λάβῃς τά τε διαστήματα «
ὁπόσα ἐστὶ τὸν ἀριθμὸν τῆς φωνῆς, ὀξύτητός τε πέρι καὶ «
βαρύτητος, καὶ ὁποῖα, καὶ τοὺς ὅρους τῶν διαστημάτων, καὶ «
E τὰ ἐκ τούτων ὅσα συστήματα γέγονεν. ἃ κατιδόντες οἱ «
πρόσθεν, παρέδοσαν ἡμῖν τοῖς ἑπομένοις ἐκείνοις, κα- «
λεῖν αὐτὰ ἁρμονίας, ἔν τε ταῖς κινήσεσιν αὖ τοῦ σώματος «
ἕτερα τοιαῦτα ἐνόντα πάθη γιγνόμενα, ἃ δὴ δι' ἀριθμῶν «
μετρηθέντα, δεῖν αὐτά φησι ῥυθμοὺς καὶ μέτρα ἐπονο- «
μάζειν, καὶ ἅμα ἐννοεῖν, ὡς οὕτω δεῖ περὶ παντὸς ἑνὸς «
πολλῶν σκοπεῖν. ὅταν γὰρ αὐτά ταῦτά τε λάβῃς οὕτως, «
τότε ἐγένου σοφός. ὅταν δὲ ἄλλων τῶν ὄντων ὁποιοῦν «
ταύτῃ σκοπούμενος ἕλῃς, οὕτως ἔμφρων περὶ τούτου «
γέγονας. ἤρκει μὲν οὖν καὶ ταῦτα παρὰ Πλάτωνος «
F ἀκοῦσαι τοῖς ἔχουσι νοῦν ἀκροαταῖς, εἰς ἔνδειξιν ἁπασῶν τεχνῶν συστάσεως. οὐ γὰρ οἷόν τε γενέσθαι τεχνικὸν οὐδὲ περὶ ἑνὸς, ἄνευ τοῦ γνῶναι τὰς αὐτῶν διαφορὰς, ἀλλ' οὐδὲν χεῖρον ὥσπερ ὁ Πλάτων αὐτὸς οὐκ ἠρκέσθη τῷ κεφαλαίῳ τῷ λόγῳ μόνῳ, παραδείγματα δὲ σαφηνείας ἕνεκεν προστέθεικεν, τὴν γραμματικήν τε καὶ μουσικὴν, οὕτως καὶ ἡμᾶς ἓν ἔτι προσθεῖναι παράδειγμα, τέχνης μὲν γραφικῆς, ὕλης δὲ

A ὑποκειμένης αὐτῇ χρώματος. ἔξεστι γὰρ δήπου λέγειν κἀνταῦθα, τὸ χρῶμα τοῦ χρώματος, ᾗ χρῶμά ἐστιν, οὐδὲν διαφέρει, καὶ κατὰ τοῦτ' ἀναιρεῖν ἁπάσας τὰς ἐν αὐτοῖς διαφοράς, ὅπερ ἀμέλει καὶ ὁ Πλάτων αὐτὸς ἐν ἀρχῇ τοῦ Φιλήβου δεδήλωκε. διαιρουμένῳ γὰρ τῷ Σωκράτει τὰς ἡδονάς, ὁ διαλεγόμενος οὐ συνεχώρει διαφέρειν ἀλλήλων ἁπάσας αὐτάς, καθόσον εἰσὶν ἡδοναί, φάσκων ὁμοιοτάτας αὐτὰς ὑπάρχειν, ἀλλ' ὅ γε Σωκράτης ἀπαντᾷ τῷ λόγῳ τῷδε. καὶ γὰρ χρῶμα, ὦ δαιμόνιε, χρώματι κατά γε αὐτὸ τοῦτο οὐδὲν διοίσει, τὸ χρῶμα εἶναι B τὸ πᾶν. τό γε μὴν μέλαν, τῷ λευκῷ πάντες γινώσκομεν, ὡς πρὸς τὸ διάφορον εἶναι, καὶ ἐναντιώτατον ὂν τυγχάνει. καὶ δὴ καὶ σχῆμα σχήματι, κατὰ ταυτὸν γένει μέν ἐστι πᾶν ἕν. τὰ δὲ μέρη, τοῖς μέρεσιν αὐτοῦ, τὰ μὲν ἐναντιώτατα ἀλλήλοις, τὰ δὲ διαφορότητα ἔχοντα μυρίαν που τυγχάνει. καὶ πολλὰ ἕτερα οὕτως ἔχοντα εὑρήσομεν, ὥστε τούτῳ γε τῷ λόγῳ μὴ πίστευε, τῷ πάντα τὰ ἐναντιώτατα ἓν ποιοῦντι (αὕτη μὲν ἡ περὶ χρωμάτων τε καὶ σχημάτων ῥῆσις. ἡ δὲ περὶ τῶν ἡδονῶν C ἥδε.) ἥδεσθαι μὲν φαμὲν τὸν ἀκολασταίνοντα, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα, αὐτῷ τῷ σωφρονεῖν. ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοηταίνοντα, καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστόν. ἥδεσθαι δ' αὖ καὶ τὸν φρονοῦντα, αὐτῷ τῷ φρονεῖν, καὶ τούτων τῶν ἡδονῶν ἑκατέρας πως ἄν τις ὁμοίας ἀλλήλαις εἶναι λέγων, οὐκ ἂν ἀνόητος φαίνοιτ' ἂν ἐνδίκως; ὥσπερ δὲ τῶν ἡδονῶν τὰς διαφορὰς ὁ Πλάτων ἐν μὲν τῇδε τῇ ῥήσει διὰ βραχέων ἐνεδείξατο, καθ' ὅλον δὲ τὸ βιβλίον ἐπὶ πλεῖον διῆλθεν, οὕτως τῶν τεχνῶν ἐν δυοῖν βιβλίοιν, τῷ Σοφιστῇ τε καὶ Πολιτικῷ. ἆρ' οὖν D ἐπιστημῶν μὲν, καὶ ἡδονῶν εἰσὶ διαφοραὶ πολλαί, καὶ χρωμάτων, καὶ σχημάτων, καὶ τῶν ἐν ταῖς φωναῖς τόνων, ὡσαύτως δὲ καὶ ἡλικιῶν, καὶ ὡρῶν, καὶ χωρῶν, καὶ νόσων, ἁπάντων τε τῶν ἄλλων, ἐν μόνοις δὲ τοῖς θερμοῖς, ἤτοι γε οὐκ εἰσὶν ὅλως, ἢ ἀδύνατος γιγνώσκεσθαι τοῖς ἀνθρώποις; καὶ μὴν ὅ γε τοῦ Λύκου λόγος ἀναιρεῖ τοῦ θερμοῦ τὰς διαφοράς, ὡς οἴεται μὲν αὐτοῦ μόνου, κατὰ δὲ τὴν ἀλήθειαν, ἅμα τοῖς ἄλλοις ἅπασιν, εἴ γε ἡ τοῦ λόγου δύναμις ὁμοίως ἀντεπεκτείνασθαι δύναται. καὶ γὰρ δὴ κἀπὶ τῶν ὑγρῶν αὐτῶν ἐφεξῆς ἐρῶ τάδε, E μηδὲ ταῦτα διαφέρειν ἀλλήλων λέγων, καθόσον ὑγρά. τὸ δὲ δὴ μέγιστον αὐτοῦ τῶν ἁμαρτημάτων, ὅτι καὶ τὰς τέχνας ἁπάσας ἀναιρεῖ, τὴν σύστασιν ἐχούσας ἐν ταῖς τῶν εἰδῶν διαφοραῖς. ὁ μὲν οὖν Πλάτων ἐν κεφαλαίῳ γε προειπὼν ὑπὲρ τῆς τῶν τεχνῶν συστάσεως, ἐπὶ παραδείγματός τε διῆλθε τὸν λόγον, ἐπιδεικνὺς ὅπως ἡ γραμματικὴ συνέστη τέχνη, γνωσθείσης τῆς ἐν ταῖς φωναῖς διαφορᾶς. ὁ δὲ τοῦ Λύκου λόγος, ἀναιρεῖ δηλονότι καὶ ταύτην τὴν τέχνην, καὶ τὴν μουσικὴν ὁμοίως αὐτῇ, F καὶ τὰς ἄλλας ἁπάσας, ἀξιῶν τὸ, ᾗ νενόηται τόδε τι, μίαν ἔχειν ἐν αὐτῷ διαφοράν. θέασαι γοῦν ὅπως ἀναιρήσει πρώτην μὲν τὴν περὶ τὰ γράμματα τέχνην ὁ λόγος αὐτοῦ, μετὰ δὲ ταύτην καὶ τὰς ἄλλας ἁπάσας. δοκεῖ μοι ἀδύνατον καὶ ἀμήχανον εἶναι, τὴν φωνὴν ταύτην γε σκοποῦντι ᾗ νενόηται, κατ' αὐτὴν λέγω τὴν ἐκφώνησιν, πρὸς ἑτέραν αὖ φωνὴν παραλλαγὴν ἔχειν, κατά τινα ἰδιότητα παραλλάττουσαν κατὰ ποιό-

A subjecta colorum materia sit. Jus enim hîc est dicendi colorem à colore qua color est nihilo differre, proindeque universas eorum differentias tollendas esse : quod sane etiam Plato ipse in Philebo per initia declaravit. Socrati si quidem voluptates distinguenti, qui eum alloquebatur quum ipsas voluptates omnes inter se discrepare non concederet, quatenus voluptetes sunt, illasque simillimas esse diceret : at illi hisce verbis occurrit Socrates. Etenim color, ô divine? à colore nihil hac ipsa ratione B differt, quatenus color omnino est: at nigrum colorem omnes novimus, præterquamquod ab albo differat, esse quoque illi maximè contrarium. Quinetiam figura quidem cum alia figura secundum idem genere plane unum est; ipsius tamen partes cum partibus collatæ, partim aliæ aliis maximis sunt contrariæ, partim infinita quadam differentia inter se diffident, & res plerasque hoc modo comparatas comperiemus. Quare noli fidem adhibere huic rationi, quæ efficit res inter se contrarias unum esse. Ipsa quidem sit de coloribus ac figuris C oratio : quæ vero de voluptatibus hæc est. Voluptate quidem affici dicimus intemperantem, temperantem quoque voluptate affici hoc ipso quod temperanter agat. Et vero etiamnum voluptate oblectari dicimus insanientem, ac insanis opinionibus speque scatentem. Sed & prudenter agentem eo ipso quod prudenter agat voluptatem percipere. Atque si quis has utrasque voluptates inter se esse similes affirmarit, num merito insanus declarabitur? Quemadmodum autem voluptatum differentias hac quidem in oratione paucis Plato demonstravit. D pleniùs verò eas per universum librum exposuit : sic artium duobus in Libris Sophista & Politico differentias explicuît. Num igitur scientiarum & voluptatum differentiæ nullæ sunt, ut & colorum & figurarum, quique vocibus insunt tonorum. Eodem vero modo & ætatum, tempestatum anni, regionum, morborum, cæterorumque omnium. An vero solis calidis nullæ omnino sunt, aut hæc ab hominibus cognosci nequeunt? Attamen hæc Lyci ratio (ut ipse quidem arbitratur) sed revera etiam rerum aliarum omnium differentias tollit, si ipsius rationis vires eodem modo portendi E queant. Etenim eadem sane de humidis ipsis deinceps dicam, hæc nimirum inter se quatenus humida sunt, non differre. At vero errorum ipsius maximus est, quod artes etiam universas in specierum differentiis suam constitutionem consequutas evertat. Ac certe Plato quum summatim priùs de artium constitutione disseruisset, exemplo rationem operum dum demonstravit quomodo cognitis vocum differentiis, ars Grammatia constituta sit. At Lyci ratio, tum hanc nimirum artem, tum peræque F musicam & cæteras omnes tollit, dum vocis hujus quatenus hoc aliquid intelligitur, unicam senset esse differentiam. Intuere igitur quomodo Lyci ratio primum eam quæ in literis versatur, artem, deinde etiam cæteras omnes evertat. Fieri non posse aut perarduum esse mihi videtur, vocem hanc (quatenus intelligitur) consideranti cum altera voce secundùm ipsam, pronunciationem dico, differentiam habere proprietate quâdam immutantem, qua-

litate videlicet, quæ in pronunciatione ponitur. Hæc ratio prorsus ipsa est quæ per initia orationis scripta legitur, iisque ipsis illius verbis omnibus absolvitur, unico solo nomine calidi in vocis vocabulum mutato. Quare si illa ratio valeat, hæc quoque valeat. Sed hæc profecto valida non est, illa proinde invalida. Nisi forte qui Lyci sententiis annuunt, arbitrentur, ε, vocem ab ο, alteram neque esse, neque ο, ab ω, differre. Quod si has quoque inter se diversas esse concesserimus, & præterea tum α, tum ι, tum υ, ac cæteras omnes literas, hæ quidem erunt viginti quatuor. Quæ verò ars ipsarum novit differentias, Grammatica est, quemadmodum & Musica eas novit quæ inter voces acutas & graves sunt differentias, etiamsi has nihilominus Lyci tollat ratio. Vox enim à voce quâ vox est, nihil differt; quum tamen mediæ chordæ sonus Lichani chordæ mediarum tono acutior sit, gravior vero parameses tono. At rursum inter istas Lichani tonus peripatitono mediarum acutior est; parameses vero tonus semitonio tertiæ divisarum gravior. His etiam tum acutiores, tum graviores; atque his alii deinceps, quousque ad acutissimum omnium, gravissimumque sonum perveniamus. Verùm maximè admirabilis Lycus non animadvertit se hæc omnia hisce verbis evertere. *Impossibile ac perarduum esse mihi videtur calidum hac ratione consideranti qua intelligitur ipsa etiam calefactione cum altero etiamnum diversitatem habere.* Præclarum est, si quis colorem à colore, qua color est, non differre dicens, pictoriam artem è medio tollat, quæ rubrum, album, nigrum, flavum, & hujusmodi quoscunque cæteros colores subjicit oculis. Enimvero quæ ipsius est de coloribus ratio quàm quæ de calido enunciatur, longe probabilior est. Calidum siquidem à calido discrepare dicimus, non tamen alterum alteri prorsus contrarium esse. Colorem vero à colore non differre duntaxat, verumetiam natura albo nigrum maximè contrarium esse pronunciamus.

CAPUT IV.

De colorum, humidorum, saporum differentiis adversus Lycum.

QUâ etiam ratione, dicet Lycus fieri potest ut color, quâ color intelligitur, colori sit contrarius. At veritatem quidem per Deos professurus est arbitratus colorem, quantum ad colorem spectat, alterum ab altero nihilo differre. Verùm quemadmodum id verum est, sic & illud, album videlicet à nigro non solùm diversum esse; sed etiam tantopere dissidere ut illi sit contrarium. Quo pacto etiam fieri potest, dicent fortassis qui Lyco primas tribuunt, ut simul res eadem sit, simul quoque maximè contraria. Qua ratione nigro album & contrarium & idem dabitur? Quibus quiddam tanti momenti respondemus, ut si non detur album nigro simul & contrarium & simul idem esse; eorum alterutrum eligant. Nam Plato, quemadmodum sanè & Aristoteles & Theophrastus, fieri posse existimat, quum alterum alteri idem sit genere, tantam tamen in

A τητα ἐν τῇ ἐκφωνήσει κειμένην. οὗτος ὁ λόγος αὐτός ἐστιν πάντη τῷ κατὰ τὴν ἀρχὴν γεγραμμένῳ τῆς ῥήσεως τοῦ Λύκου, καὶ δι' αὐτῶν γε περαίνεται τῶν ἐκείνου ῥημάτων ἁπάντων, ἑνὸς μόνου τοῦ κατὰ τὸ θερμὸν ὀνόματος εἰς τὸ τῆς φωνῆς μεταβεβλημένου, ὥστ' εἴπερ ἐκεῖνος ὑγιής, καὶ οὗτος. ἀλλὰ μὴν οὐχ ὑγιὴς οὗτος, ὥστ' οὐδ' ἐκεῖνος. εἰ μή τι ἄρα νομίζουσιν οἱ τὰ τοῦ Λύκου φρονοῦντες, οὔτε τὴν ε' φωνὴν ἑτέραν εἶναι τῆς ο'. διαφέρειν δὲ τὴν ο'. τῆς ω'. εἰ δὲ καὶ ταύτας ἑτέρας ἀλλήλων ὁμολογήσομεν εἶναι, καὶ πρὸς ταύτας καὶ τὴν α'. καὶ τὴν ι'. καὶ τὴν υ'. καὶ τῶν ἄλλων

B ἁπάντων γραμμάτων, αὗται μὲν ἔσονται τέτταρες ἐπὶ τοῖς εἴκοσιν. ἡ γνοῦσα δ' αὐτῶν τὴν διαφορὰν τέχνη γραμματική, καθάπερ γε καὶ μουσικὴ τέχνη περὶ τὴν ἐν ταῖς φωναῖς ὀξύτητα καὶ βαρύτητα, καίτοι καὶ ταύτας οὐδὲν ἧττον ὁ τοῦ Λύκου λόγος ἀναιρεῖ. φωνὴ γὰρ φωνῆς, ᾗ φωνή, διαφέρειν οὐδέν, ἀλλ' ὅμως ὁ μὲν τῆς μέσης φθόγγος, ὀξύτερος μέν ἐστιν τόνῳ τῆς λιχανοῦ τῶν μέσων, βαρύτερος δὲ τόνῳ τῆς παραμέσης. αὐτῶν δ' ἐκείνων πάλιν, ὁ μὲν τῆς λιχανοῦ, τῆς παρυπάτου τῶν μέσων, ὀξύτερος τόνῳ. ὁ δὲ τῆς παραμέσης,

C βαρυτέρως ἡμιτονίῳ τῆς τρίτης τῶν διεζευγμένων. εἶτ' ἐκείνων αὖθις ὀξύτεροί τε καὶ βαρύτεροι, κἄπειτ' ἐκείνων αὖθις ἕτεροι, μέχρις ἂν ἐπὶ τὸν ὀξύτατόν τε καὶ βαρύτατον ἁπάντων ἀφικώμεθα φθόγγον. ἀλλ' ὁ θαυμασιώτατος Λύκος οὐκ αἰσθάνεται, ταῦτα πάντα ἀναιρῶν ἐν τῷ λέγειν. δοκεῖ μοι ἀδύνατον καὶ ἀμήχανον εἶναι, τὸ θερμόν, « ταῦτά γε σκοποῦντι, ᾗ νενόηται, κατ' αὐτὴν λέγω τὴν « θάλψιν, πρὸς ἕτερον αὖθις θερμὸν παραλλαγὴν ἔχειν. « καλὸν εἰ μηδὲ χρῶμα χρώματος, ᾗ χρῶμά ἐστι διαφέρειν εἰπών, ἀναιρεῖ τὴν γραφικὴν τέχνην, ἐρυθρόν γέ τι

D παρατιθεμένην χρῶμα, καὶ λευκόν, καὶ μέλαν, καὶ ξανθόν, ὅσα τ' ἄλλα τοιαῦτα. πολὺ γὰρ δή που πιθανώτερος ὁ λόγος αὐτοῦ καὶ περὶ χρωμάτων ἐστὶν ὁ λεγόμενος, ἢ νῦν εἴρηται περὶ τοῦ θερμοῦ. θερμὸν μὲν γὰρ θερμοῦ διαλλάττειν φαμέν, οὐ μὴν ἐναντίον γε ὑπάρχειν πάντη. χρῶμα δὲ χρώματος, οὐ διαφέρειν μόνον, ἀλλὰ καὶ τὴν φύσιν ἐναντιώτατόν ἐστιν τοῦ λευκοῦ τὸ μέλαν.

ΚΕΦΑΛΑΙΟΝ δ'.

E Περὶ τῆς τῶν χρωμάτων καὶ ὑγρῶν, καὶ χυλῶν πρὸς τὸν Λύκον διαφορᾶς.

ΚΑὶ πῶς ἐγχωρεῖ, φήσειεν ἂν ὁ Λύκος, ἐναντίον εἶναι τῷ χρώματι καθ' ὃ νενόηται χρῶμα ὄν; τοὶ ἀληθεύσει γε ναὶ μὰ τοὺς θεούς, ὅσον ἐπὶ χρώματος, καὶ τὸ χρῶμα μηδὲν ἡγούμενος ἕτερον ἑτέρου διαφέρειν, ἀλλ' ὥσπερ τοῦτο ἀληθές, οὕτω κἀκεῖνο, τὸ λευκὸν τοῦ μέλανος οὐ μόνον διαφέρειν, ἀλλὰ καὶ τοσοῦτον διαφέρειν,

F ὡς ἐναντιώτατον εἶναι, καὶ πῶς ἐγχωρεῖ τάχα φήσουσιν οἱ τὰ τοῦ Λύκου πρεσβεύοντες, ἅμα μὲν εἶναι ταὐτόν, ἅμα δὲ ἐναντιώτατον εἶναι; καὶ πῶς, τῷ μέλανι λευκόν; οἷς ἡμεῖς ἀποκρινούμεθα τί γε τοσοῦτον, ὡς εἴπερ οὐκ ἐγχωρεῖ τὸ λευκὸν ἐναντίον τ' ἅμα καὶ ταὐτὸν εἶναι τῷ μέλανι, τὸ ἕτερον αὐτοῦ αἱρείσθωσαν. ὁ μὲν γὰρ Πλάτων οἴεται δυνατὸν εἶναι καθάπερ γε καὶ Ἀριστοτέλης, καὶ Θεόφραστος, ἕτερον ἑτέρῳ ταὐτὸν ὂν τῷ γένει, τοσαύτην ὅμως ἔχειν

τὴν ἐν εἴδει διαφορὰν, ὡς ἐναντιώτατον ὑπάρχειν. οὔτοι δ' εἰ μὴ νομίζουσιν ἀληθεύειν ἄμφω, τὸν λόγον τὸν ἐναργέστερον ἑλέσθωσαν. ἐναργέστερον δέ ἐστιν, ὅσῳ καὶ πᾶσιν ἀνθρώποις ὁμολογούμενον, ἐναντίον εἶναι τὸ λευκὸν τῷ μέλανι. καὶ μὴν, εἴπερ ἀληθές ἐστι τοῦτο, νομίζουσι δὲ αὐτοὶ μὴ δύνασθαι τοὺς λόγους ἀμφοτέρους ἀληθεύεσθαι, τόν τε ἐναντίον εἶναι φάσκοντα τὸ λευκὸν τῷ μέλανι, καὶ τὸν αὐτὸν, οὐκ ὀρθῶς ἐροῦσιν μηδὲν διαφέρειν, ᾗ χρῶμά ἐστιν, τὸ λευκὸν τοῦ μέλανος. ὁ μὲν οὖν ἐν τῷ τοῦ Πλάτωνος γράμματι διαλεγόμενος τῷ Σωκράτει, συγγνωστὸς ἦν ἴσως, κωλύων τὸν Σωκράτην διαιρούμενον ἡδονὴν ἡδονῆς διαφορᾷ. οὐ γὰρ ἦν που βιβλίον οὐδὲν τοιοῦτο διδάσκων, ὡς ἐγχωρεῖ πολλὰ πολλοῖς ὄντα τῷ γένει ταὐτὰ διαφέρειν ὅμως εἰς τοσοῦτον, ὡς ἐναντιώτατον ἀλλήλοις ἰδέαν τε καὶ φύσιν ἔχειν. ἐπεὶ δ' ὑπὸ Πλάτωνος ὁ Φίληβος ἐγράφη διδάσκων τ' ἀληθές, εἰ μὲν οὐδ' ὅλως ἀνέγνω τὸ βιβλίον ὁ Λύκος, ἄγαμαι τῆς παιδείας τὸν Λύκον. εἰ δ' ἀναγνοὺς οὐκ ἐνόησεν, θαυμάζω τῆς συνέσεως. εἰ δὲ νοήσας οὐκ ἐπείσθη, μακαρίζω τῆς κρίσεως. ὦ πρὸς τοῦ Διὸς ἐρωτᾷ τις λόγον, οὐδὲ τὰ πρῶτα μαθὼν τῆς διαλεκτικῆς; ἔστι τις ἂν ἄνθρωπος Ἕλλην ἰατρὸς, ἢ γραμματικὸς, ἢ ῥήτωρ, ἢ φιλόσοφος, ἢ ὅλως ὁστισοῦν ἄλλος ἀντιποιούμενος λόγων, ὡς οὐκ ἀνέγνω τὸν Πλάτωνος Φίληβον; καί τί τι λέγω τὸν Φίληβον, οὐ γὰρ ἐν τούτῳ μόνῳ τὸν προκείμενον λόγον Πλάτων ἐδίδαξεν, ἀλλὰ καὶ δι' ἄλλων πολλῶν ἐπεμνήσθη βιβλίων, ὧν ἐχρῆν μόνον, κἂν ἕν γέ τι, τὸν θαυμασιώτατον Λύκον ἀνεγνωκέναι, ἀντιποιούμενον λόγων ἐπιστημονικῶν. αἰσχρὸν γὰρ Ἱπποκράτην διελέγχειν ἐπιχειροῦντα, καὶ λόγους ἐπερωτῶντα συνακτικοὺς, ὡς νομίζει, μηδὲ τὰ πρῶτα φαίνεσθαι μεμαθηκότα τῶν ἐν ταῖς φιλοσόφων διατριβαῖς. ἀλλὰ νὴ Δία θαυμαστὸν αὐτοῦ τὸ περὶ τῶν ὑγρῶν ἐστι παράδειγμα. καὶ γὰρ τοῦτο βούλεται, μηδὲν ἀλλήλων διαφέρειν, εἰ πάντα ἐστὶν ὑγρὰ, καθ' ὃ μέν τοι τὰ μὲν ὀξέα, τὰ δὲ στρυφνὰ, τὰ δ' ἁλμυρὰ, τὰ δὲ γλυκέα, ταύτῃ διαλλάττει, οὐκ ἀκούει δὲ ἐν τούτοις αὐτὸς ἑαυτοῦ. λέγων γὰρ ᾗ διαφέρει τὰ ὑγρὰ, κατασκευάζειν οἴεται μηδεμίαν ἐν αὐτοῖς εἶναι διαφορὰν, ἀλλὰ μάτην μὲν Ἱπποκράτην διαφορὰν εἰρηκέναι, μάτην δὲ Θεόφραστον ὅλην πραγματείαν γεγραφέναι περὶ χυλοῦ. καίτοι καὶ αὐτὸ τοῦτο τοὔνομα ὁ χυλὸς, ὑγροῦ διαφοράν τινα ἐνδείκνυται, ἀλλ' ὅμως καίτοι διαφορά τις οὖσα ὑγροῦ, πάλιν αὐτὴ τέμνεσθαι πέφυκεν εἰς ἑτέρας διαφοράς. οὐ μὴν θαυμαστὸν εἰς τοσοῦτον ἀπαιδευσίας ἥκοντα Λύκον, ὡς νομίζειν ἐν ὄξει σύμφυτον εἶναι ποιότητα, τοιαύτην τολμῆσαι πρὸς Ἱπποκράτην γράφειν ἀντιλογίαν. τὰ γὰρ οὕτως ἐναργῆ καὶ Διοσκορίδης ὁ Ἀναζαρβεὺς ἐγίνωσκεν, οἵ τ' ἄλλοι πάντες οἱ τὰ περὶ ὕλης ὑπομνήματα γράψαντες. ὀνομάζουσι γοῦν ἐν ταύταις τὰ μὲν ἁλυκὰ, τὰ δὲ ἁλμυρὰ, τὰ δὲ πικρὰ, τὰ δὲ γλυκέα, τὰ δὲ αὐστηρὰ, τὰ δὲ στρυφνὰ, τὰ δὲ στύφοντα, τὰ δὲ δριμέα, τὰ δὲ ὀξέα. Λύκος δ' ὁ θαυμασιώτατος, ἤτοι οὐδ' ὅλως γινώσκει διαφέρουσαν ὀξείαν ποιότητα στυφούσης, ἢ πεπήρωται τὴν γεῦσιν, ὡς μηδ' ὅλως αἰσθάνεσθαι τῶν ἐν τοῖς χυμοῖς διαφορῶν. ἔοικεν οὖν ὡς ἀπίου, καὶ μεσπίλου, καὶ μήλου, καὶ κυδωνίου τοῦ

A specie differentiam habere, ut ei maximè contrarium existat. Quod si utranque rationem veram esse non censeant, manifestiorem eligant. At tanto manifestius est album nigro contrarium esse, quanto à cunctis hominibus conceditur. Ac sane si hoc verum sit, illi verò utranque rationem fieri non posse censeant, tum hanc quæ album nigro contrarium, tum illam quæ idem esse profert, nequaquàm rectè sentiunt, quum album, quatenus color est, à nigro nihil differre prædicant. Enimverò qui in Platonis Libro cum Socrate dis- B putat, fortassis erat veniâ dignus, quum Socratem per voluptatis differentias voluptatem dividere prohiberet. Nondum enim Liber talis habebatur qui fieri posse doceret, quum multis multa sint eadem genere, ea tamen eousque differre, quò maximè contrariam inter se & ideam & naturam sortiantur. At quum in Platone Philebus veritatem docens editus fuerit, si Librum hunc non omnino legerit Lycus, Lyci eruditionem admiror; sed si legerit, nec intellexerit, ingenii demiror solertiam; Si C verò intellexerit, nec concesserit, felix prædico judicium. Proh Jupiter! quis primis dialectices rudimentis ineruditus rationem quærit? Quis homo Græcus est Medicus, Grammaticus, Rhetor, Philosophus, aut denique quivis alius rationes scrutaturus Platonis Philebum non legerit? Sed quid Philebum profero? Non enim in hoc solo Libro propositam rationem docuit Plato, verùmetiam aliis in multis meminit, quorum unum saltem oportebat admirabilem Lycum legisse, qui scientificas rationes scrutabatur. Turpe siqui- D dem est eum qui Hippocratem arguere contendit, rationesque concludentes disquirit, prout censet, illa minime videri didicisse quæ prima inter Philosophos tractantur. Verùm per Jovem! admirandum ipsius de humidis exemplum est. Etenim hoc vult ea nihil inter se differre, quâ omnia sunt humida, quâ tamen hæc acida, alia acerba, alia salsa, alia dulcia, hac ratione differre. In his verò ipse seipsum non obaudit. Quum enim quâ humida differunt profert, arbitratur nullam ipsis inesse differentiam comprobasse, imò E frustra Hippocratem differentiam attulisse; frustra quoque Theophrastum integrum de succo opus conscripsisse. Quanquam verò idipsum nomen, *succus*, aliquam humidi differentiam præ se fert, nihilominus etiam quædam est humidi differentia, quæ rursus in alias differentias secari consuevit. Num admirationis est Lycum ad tantam imperitiam appulisse, ut auguretur astringentem aceto inesse qualitatem, talemque adversus Hippocratem ausum esse controversiam scriptis objicere? Hæc F enim ita dilucida tum Dioscorides Anazarbeus novit, tum cæteri omnes qui de materia medica Commentarios scripsere, in quibus alia quidem salsa nominant, alia salsuginosa, alia amara, alia dulcia, alia austera, alia acerba, alia astringentia, alia acria; alia acida. At eminentissimus Lycus, aut acidam qualitatem ab astringente discrepantem plane non agnoscit, aut depravato est gustu, qui nullas prorsus saporum differentias percipit. Videtur enim in pyri, mespili, mali & cydonii; ita &

aceti sapor deprehendi. Quum tamen cuncti homines poma nonnulla acida vocitent, nonnulla styptica, alia dulcia, quemadmodum arbitror, & mala punica, tum acida, tum styptica, tum dulcia. At vinorum quidem quatenus virtus à vitio, & astrictio ab acore secernitur, generosa certe sunt styptica. Acidum secundùm naturam nullum est: Imo si paucum ipsis etiam hujusmodi qualitatis acidæ accesserit, in acetum eorum mutationem fore quamprimum suspicamur. Itaque fortassis Lycus neque oxylapathum, neque oxalidem à lapatho & lactuca novit discernere, quibus astringentis quidem facultatis ne minimum quidem est, acidæ vero ambo plurimum participant. Mirum profecto si hæc ab acida qualitate denominata sint, nec ejus quicquam acetum ipsum participet. Iam vero qui ne communes quidem sensus integros servat Lycus Hippocratem audet accusare. Præterea de saporum numero, quæstionem novit. Ad hoc enim ut videtur, sapor Physicorum à sapore, quatenus sapor est, nihil differt. Quare ex eo libenter audirem, cujusnam rei sint hujusmodi differentiæ, dulcis, acidus, acris, amarus, salsugineus, salsus, acerbus, austerus, astringens, pinguis. Nisi enim hæ saporum sint differentiæ, fortassis erunt aut vocum, aut colorum, aut odorum, aut tactu in cognitionem veniunt. Nam præter eos alium sensum non habemus, sed universi quinque sunt inæquales gustus, auditus, visus, odoratus, & tactus. Quemadmodum autem sensilium alia aliis dignoscimus: sic & gustu sapores. At verò ut in humidis multæ sunt differentiæ; sic & in sensibus etiamsi quatenus sunt sensus, non differont. Verùm in dialecticis maximè versatus Lycus dicere nos non permittit neque prædictas esse in saporibus differentias, neque in sensibus, quas omnes agnoscimus; neque in coloribus, album, nigrum, fuscum, flavum, fulvum, rubrum, puniceum, cæruleum. Neque enim color à colore, quâ color est, differt. Insaniunt ergo Medici omnes & Philosophi, qui prædictas colorum differentias esse arbitrantur; saporum verò acidum, amarum, acrem, & quoscunque alios paulò ante commemoratos, quemadmodum & ipsorum sensuum. Neque enim color à colore quâ color est, discrepat, ut neque à sensu sensus; neque sapor à sapore; quemadmodum neque febris à febre differt, quod à calido calidum non dissideat. Itaque Medici desipiunt qui multas febrium differentias scripserunt, ardentem lipyriam, hepialam, typhodem, pestilentem, hemitritæam, quotidianam, tertianam, quartanam. Imo & ipse Lycus alibi febrium ut & aliarum rerum prope omnium differentias scriptis mandavit.

A ὄξους αἰσθάνεσθαι. καί τοί γε πάντων ἀνθρώπων ἔνια μὲν τῶν μήλων ὀξέα καλούντων, ἔνια δὲ στύφοντα, γλυκέα δὲ ἄλλα, καθάπερ οἶμαι καὶ ῥοιάς, ὀξείας τε καὶ στυφούσας, καὶ γλυκέας. ἐν μέν γε τοῖς οἴνοις, ᾧ ἀρετὴ κακίας ἀφώρισται, στύψις ὀξύτητος, εὐγενεῖς μὲν γὰρ οἱ στύφοντες. ὀξὺς δ' οὐδεὶς κατὰ φύσιν, ἀλλ' εἰ καὶ μικρὸν αὐτοῖς προσέλθῃ τοιαύτης ποιότητος, ὑποπτεύομεν αὐτίκα τὴν εἰς ὄξος αὐτῶν μεταβολήν. ἴσως οὖν ὁ Λύκος, οὐδ' ὀξυλάπαθον, οὐδ' ὀξαλίδα, λαπάθου τε, καὶ θριδακίνης διεγίνωσκεν, οἷς στυφούσης μὲν ποιότητος οὐδὲ τοὐλάχιστον B ὑπάρχει, τῆς δὲ ὀξείας δαψιλῶς μετέσχηκεν ἄμφω. θαυμαστὸν μὲν οὖν, εἰ ταῦτα μὲν ἀπὸ τῆς ὀξείας ποιότητος ὠνόμασται, ὃ δὲ ὄξος αὐτὸ, οὐ μετέσχηκεν αὐτῆς. ἀλλ' ὁ μηδὲ τὰς κοινὰς αἰσθήσεις ἀποσώζων Λύκος, ἐγκαλεῖν Ἱπποκράτει τολμᾷ. πάλιν οὖν ἔγνω τὴν παρὰ τοῖς φυσικοῖς ζήτησιν ὑπὲρ τοῦ τῶν χυμῶν ἀριθμοῦ. κατὰ τοῦτο γὰρ οὐδὲν, ὡς ἔοικε, διαφέρει χυμὸς χυμοῦ, καθόσον χυμός ἐστιν. ἡδέως ἂν οὖν ἤκουσα, τίνος τῶν ὄντων εἰσὶν αἱ τοιαῦται διαφοραὶ, γλυκὺς, ὀξὺς, δριμὺς, πικρὸς, ἁλμυρὸς, ἁλυκὸς, στρυφνὸς, αὐστηρὸς, στύφων, λιπαρός. εἰ μὴ γὰρ C χυμῶν, ἴσως ἤτοι φωνῶν, ἢ χρωμάτων, ἢ ὀσμῶν, ἢ διὰ τῆς ἁφῆς εἰς γνῶσιν ἥκουσι. παρὰ ταύτας γὰρ οὐκ ἔχομεν ἄλλην αἴσθησιν, ἀλλ' εἰσὶν αἱ πᾶσαι πέντε, γεῦσις, καὶ ἀκοὴ, καὶ ὄψις, καὶ ὄσφρησίς τε, καὶ ἁφή. διαγινώσκομεν δὲ ὥσπερ καὶ ταῖς ἄλλαις, ἄλλα τῶν αἰσθητῶν, οὕτως τῇ γεύσει, καὶ τοὺς χυμούς. ὡς δὲ ἐν τοῖς ὑγροῖς αἱ διαφοραὶ πολλαὶ, κατὰ τὸν αὐτὸν τρόπον κἂν ταῖς αἰσθήσεσιν καί τοί γε ᾗ αἰσθήσεις εἰσὶν, οὐ διαφέρουσιν. ἀλλ' ὁ διαλεκτικώτατος Λύκος, οὐκ ἐάσει λέγειν ἡμᾶς, οὔτ' ἐν τοῖς χυμοῖς εἶναι D τὰς εἰρημένας διαφορὰς, οὐδὲ ἐν ταῖς αἰσθήσεσιν, ἃς ἅπαντες γιγνώσκουσιν, οὔτ' ἐν τοῖς χρώμασι, καὶ λευκὸν, καὶ μέλαν, καὶ φαιὸν, καὶ ξανθὸν, καὶ πυῤῥὸν, ἐρυθρόν τε καὶ φοινικοῦν, καὶ κυανοῦν. οὔτε γὰρ χρῶμα χρώματος, ᾗ χρῶμά ἐστιν διαφέρει. μαίνονται τοίνυν ἅπαντες ἰατροὶ, καὶ φιλόσοφοι, χρωμάτων μὲν ἡγούμενοι διαφορὰς εἶναι τὰς εἰρημένας. χυμῶν δὲ τὸν ὀξὺν, καὶ πικρὸν, καὶ δριμὺν, ὅσους τ' ἄλλους ὀλίγον ἔμπροσθεν εἶπον, ὥσπερ καὶ τῶν αἰσθήσεων αὐτῶν. οὔτε γὰρ χρῶμα χρώματος ᾗ χρῶμά ἐστι διαφέρει, ὡς οὔτ' αἴσθησις αἰσθήσεως, οὔτε χυμὸς χυμοῦ, E καθάπερ οὐδὲ πυρετὸς πυρετοῦ, ὅτι μηδὲ θερμὸν θερμοῦ. μαίνονται τοίνυν οἱ γράψαντες ἰατροὶ, πυρετῶν διαφορὰς πολλὰς, καὶ τὸν καῦσον, καὶ τὴν λειπυρίαν, καὶ τὸν ἠπίαλον, καὶ τὸν τυφώδη, καὶ τὸν λοιμώδη, καὶ τὸν ἡμιτριταῖον, ἀμφημερινόν τε, καὶ τριταῖον, καὶ τεταρταῖον. ἀλλὰ καὶ αὐτὸς ὁ Λύκος ἑτέρωθι γράφει πυρετῶν διαφορὰς, ὥσπερ γε καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων πραγμάτων.

F

A

ΚΕΦΑΛΑΙΟΝ ε'.

Περὶ τῆς πυρὸς καὶ φλογῶν, διαφορᾶς ἀπὸ τῆς κειμένης ὕλης ἀνομοιότητος ληφθείσης.

ΤΙ ποτ' οὖν δόξαν αὐτῷ, νῦν ἐπελάθετο τοῦ τέμνειν ἕκαστον τῶν ἄλλων εἰς τὰς οἰκείας διαφορὰς, ὅς γε καὶ περὶ τοῦ τῶν ἀχύρων ἐξαπτομένου πυρὸς, ὡς χρῆσθαι τοῖς τὸν χρυσὸν ἐργαζομένοις ἔθος, οὐδεμίαν εἶναι νομίζει διαφορὰν, ἀλλὰ πρὸς τὸ τὰς ἄλλας ὕλας. οὐδὲ γὰρ τὸ πῦρ τοῦ πυρὸς, ᾗ πῦρ ἐστὶν, ἢ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ἰσχυρὸν γὰρ εἶναί τι, καὶ ἀσθενὲς πῦρ ἐγχωρεῖ, καὶ τό γε τῶν ἀχύρων ἀσθενέστατον εἶναι νομίζων, ἐπιτηδειότατον εἶναί φησιν πρὸς τὴν ἐργασίαν τοῦ χρυσοῦ. διατήκεσθαι γὰρ αὐτὸν, καὶ διαῤῥεῖν, ἰσχυροτέρᾳ πλησιάζοντα φλογί. ἀλλ' ὦ βέλτιστε Λύκε, φαίη τις ἂν οἶμαι πρὸς αὐτὸν, εἰ τῶν φυσικῶν φιλοσόφων ἠκηκόεις ζητούντων ὅπως αἱ φλόγες γίνονται, κατανενοήκεις ἂν οἶμαι τὰς ἐν αὐταῖς διαφοράς. ἐγὼ τοίνυν ὅσον οἷόν τε διὰ βραχυτάτων ἐπιτέμνεσθαι, λόγον οὐ μικρὸν ἐξηγήσομαί σοι περὶ αὐτῶν. ὁρᾷς οἶμαι τῆς καιομένης ὕλης, ἀναθυμίασίν τινα γιγνομένην ἐν διεσπασμένοις ἀπ' ἀλλήλων μορίοις, ὧν μεταξύ τις ἀὴρ ἀπολαμβανόμενος, ἐξ ἀνάγκης μὲν δήπου θερμαίνεται. παμπόλλην δὲ ἴσχει διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. ἀλλὰ καὶ τὰ διαλείμματα τῶν ἀναφερομένων σωμάτων, οὐκ ἴσα πάσαις ταῖς φλοξίν ἐστιν, ὥσπερ οὐδ' αὐτῆς τῆς ἀναθυμιάσεως ἡ φύσις, ἀλλὰ καὶ μεγέθει, καὶ σμικρότητι διενηνόχεν ἀλλήλων τὰ τῆς καιομένης ὕλης ἀναθέοντα μόρια, καὶ πυκνότητι, καὶ μανότητι, καὶ τῷ τὰ μὲν ἡμίκαυτα, τὰ δ' εἶναι ὁλόκαυτα ὑπάρχειν, ἢ ὅλως τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ἐκπυροῦσθαι. ὅταν οὖν ταῦτα φαίνηται τοσαύτην ἔχοντα τὴν διαφορὰν, ὅ, τε ἀὴρ ὁ δεδεγμένος αὐτὰ, ποτὲ μὲν μᾶλλον ὑπ' αὐτῶν ἐκτεθερμασμένος ᾖ, ποτὲ δ' ἧττον, ἀναγκαῖον εἶναι παμπόλλην γε ποικιλίαν γίγνεσθαι καὶ διαφορὰν οὐκ ὀλίγην τῆς φλογός. ἡ γὰρ τῆς μίξεως ἀνομοιότης, τὸ πλῆθος τῶν διαφορῶν ἐργάζεται.

CAPUT V.

De ignis ac flammarum differentiis à diversitate materiæ accensæ petitis.

QVid igitur ipsi mentem obvolvit; qui nunc res alias singulas in proprias secare differentias oblitus est, quique etiam in igne ex paleis succenso, prout iis uti consuetum est
B qui aurum elaborant, nullam esse differentiam existimat ab eo qui ex alia materia accenditur? Neque enim ignis ab igne, quatenus ignis est; sed majoris minorisque ratione differt: Vehementem enim ignem aliquem & imbecillum esse conceditur; igneum vero ex paleis succensum imbecillum esse ratus eum ad aurum elaborandum ait maximè idoneum esse: ipsum nanque liquefieri ac diffluere oportet, si vehementiori flammæ admoveatur. Sed ô præclarissime Lyce! quisquam auguror, ipsum interpellaverit, si Physicos Philosophos quomodo
C flammæ procreentur differentes audivisses, eorum meâ quidem sententiâ differentias intellexisses. Quare ergo verbis quàm potero brevissimis concidere non parvam de iis quæstionem tibi sum explicaturus. Cernis, opinor, dum uritur materia, quandam evaporationem in separatis ab invicem partibus excitatam, inter quas medius quidam aër intercipitur, qui sane necessario calefit, maximam tamen pro majoris & minoris ratione differentiam consequitur. Sed & corporum quæ efferuntur interstitia flammis omnibus æqualia non sunt, quemad-
D modum neque ipsius exhalationis natura; sed tum magnitudine, tum parvitate inter se differunt, quæ ex accensa materia evehuntur particulæ, tum etiam densitate tum raritate; quodque hæ quidem semiustæ sint, illæ vero prorsus adustæ, aut denique quod hæ magis, illæ minus accendantur. Quum igitur hæ tantam differentiam obtinere conspiciantur, tùm vero qui eas excepit aër, interdum magis, interdum etiam minus ab ipsis excalefiat, arbitror quamplurimam diversitatem, neque paucas flammarum necessariò esse differentias:
E Mixtionis enim inæqualitas differentiarum multitudinem efficit.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τριπλασίου θερμοῦ εἰσενήνοχεν ὁ Λύκος πρὸς τὸν Ἱπποκράτην, αὐτὰ διὰ βραχυτάτων ἐλέγχει Γαληνός. Τί θερμὸν τὸ πλεῖον, καὶ τὸ θερμότερον, καὶ ἰσχυρότερον. Τὸ θερμὸν ἔμφυτον τοῖς αὐξανομένοισιν πλεῖστον, τουτέστι ἰσχυρότερον.

ὯΣπερ δὲ τὰ περὶ τοῦ πυρὸς ἀμαθῶς εἴρηται τῷ Λύκῳ, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, κἀπειδὰν φάμενος τριχῶς ἐννοεῖσθαι τὸ πολὺ θερμὸν, ἕκαστον τῶν σημαινομένων ἐπεξέρχεται. τὸ μὲν γάρ τι κατὰ τὴν οὐσίαν, φησὶν ἐννοεῖσθαι τὸ πολὺ θερμόν. τὸ δέ τι, κατὰ τὴν ἐπίτασιν τῆς ποιότητος, τὸ δέ τι, κατὰ τὴν ἰσχὺν τῆς οἰκείας ἐνεργείας. ἀλλ' οὐδὲ κατὰ τὴν οὐσίαν εἶναι τοῖς αὐξανομένοις πολὺ θερμὸν ἐπὶ σμι-

CAPUT VI.

Quæ de triplici calore attulit Lycus adversùs Hippocratem, ea paucis refellit Galenus. Quid calidum copiosius, calidius, & validius? Calidum innatum crescentibus esse plurimum, hoc est, validissimum.

F

QVemadmodum autem quæ de igne imperitè à Lyco pronunciata sunt: ad eundem quoque modum opinor, posteaquam trifariàm protulit *copiosum calidum* accipi, unumquodque significatum enarrat: Aliud enim copiosum calidum secundùm substantiam dicit intelligi; aliud vero secundùm qualitatis intensionem; aliud denique secundùm propriæ actionis robur. Verùm neque secundùm substantiam iis qui crescunt, copiosum calorem esse,

esse, in exigua scilicet corporis mole; neque A secundùm qualitatis incrementum; non enim in vigentibus calidior apparet: calorem tamen in propriarum functionum robore iis qui crescunt, excedere concedit, sed non propriè dici. Porro ipsius oratio qua hæc explicat, amplissima est. Verum ego ut in superioribus scriptis egi: sic & nunc acturus videor: Quum enim longissima esset illius oratio, non universam descripsi, sed eam solùm illius partem elegi quæ esset opportunissima. Sic igitur in hac agatur, & quæ pars ipsius ad propositum maximè conferat, ea scriptis prodatur. Enimvero B altera quidem mihi oratio finem habet, ad reliquam vero accedamus. Meminisse siquidem oportet duas statim ab initio quæstiones à me fuisse propositas; alteram quidem an recte Hippocrates *innatum* apposuerit; alteram an rectè pronunciaverit *plurimum iis qui crescunt, esse calidum*. Iam ergo prima quæstione absolutâ, ad residuam veniamus, atque contemplari aggrediamur, rectène dictum sit, *crescentibus plurimum caloris esse*? Porro ad alterum calidum cum altero explorandum tria C emergunt quæ disquisitionem desiderant, etiam plurimum inter se distantia. Primum est quid sit copiosius aliud alio calidum esse: Alterum, quid sit aliud alio calidius esse: Tertium, quid sit calidum aliud alio validius. Si quid igitur forte nos roget, quale quid sit copiosius aliud alio calidum esse: Simili analogia respondere debemus, ut etiam alteri interroganti qualenam sit quod alterum altero est exuberantius, respondebimus. Quemadmodum enim primum huc interrogatio ad D id quod enunciatum est tendit, nihil quicquam respondendum est aliud, præterquam hoc solum, nimirum ipsâ substantiâ exuberare copiosius, plus siquidem humoris amphoram dimidio continere quisquam dixerit: Sic vero & in calido, si quis hac eadem interrogatione perquirat qualenam sit calidum quod altero amplius est, nihil quicquam aliud rectè respondebimus, quàm quod substantiâ sit amplius; quod nimirum plus in eo sit substantiæ & ampliorem locum occupet. Atque etiam nihil prohibebit in eodem & plus esse calidi, E & minus tamen caloris; quemadmodum etiam humidum, quod plus substantiâ, minus tamen fusum esse potest. Ergo ad hanc interrogationem quivis recte respondebit: Illi rursum ubi quæritur, qualenam sit quod alterum altero est calidius recte responderi potest, quod etiamsi minus habeat substantiæ, intensiori tamen calore constat. Quemadmodum enim interroganti qualenam sit quod alterum altero candidius est, recte respondere licet, quod sit ad albam qualitatem adauctius; proindeque nix etiamsi exigua sit mole, eam tamen ipsam quivis quocunque alio albo F candidiorem esse affirmaverit. Quemadmodum etiam quærenti qualenam quod alterum altero sit humidius, scitè respondebitur quod fusum magis sit, veluti aqua, melle ac pice, quanquam aqua quidem in pauca substantia conspicitur, mel vero, & nix in exuberantia. Sic etiam de calido interroganti quale sit quod alterum altero sit calidius, jure respondebitur quod in calore maxime sit adauctum,

A κρᾷ γε τῷ τοῦ σώματος ὄγκῳ, οὔτε κατὰ τὴν τῆς ποιότητος αὔξησιν, οὐ γὰρ φαίνεται θερμότερον τῶν ἀκμαζόντων. ἐν μὲν δὴ τῇ τῶν οἰκείων ἔργων ἰσχύι συγχωρεῖ μὴ ὑπερέχειν τὸ τῶν αὐξανομένων θερμὸν, ἀλλ' οὐ κυρίως λέγεσθαι. ἔστι μὲν οὖν ἡ ῥῆσις αὐτοῦ, δι' ἧς ταῦτα δηλώσει, μεγίστη. ἀλλ' ἐγώ μοι δοκῶ καθάπερ ἐπὶ τῆς προγεγραμμένης ἔπραξα, καὶ νῦν οὕτω ποιήσειν. οὔτε μὲν γὰρ κἀκείνην μακροτάτην, οὐχ ὅλην ἔγραψα, μόνον δὲ τὸ ἐπικαιρότατον αὐτῆς ἐξέλεξα. γινέσθω τοίνυν κἀπὶ ταύτης οὕτως, καὶ γραφέσθω B τὸ χρησιμώτατον εἰς τὸ προκείμενον μέρος αὐτῆς. Ὁ μὲν ἕτερος οὖν μοι τῶν λόγων, καὶ δὴ πέρας ἔχει, ἐπὶ δὲ τὸν λοιπὸν αὖ ἀφικοίμην. δύο γὰρ δή που μέμνησθαί με προθεμένας εὐθὺς ἐπιζητήσεις ἐν ἀρχῇ, μίαν μὲν τὴν, εἰ ὀρθῶς προστέθεικεν Ἱπποκράτης τὸ ἔμφυτον, ἄλλην δὲ, εἰ ὀρθῶς εἶπε, πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμόν. τῆς δ' ἑτέρας οὖν ζητήσεως ἐκτετελεσμένης, ἐπὶ ταύτην οὖν λοιπὸν τραποίμην, καὶ ἐπιχειρήσαιμι ἀνασκοπεῖσθαι, εἰ ὀρ- C θῶς λέλεκται, πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμόν. κατὰ δὴ τὸ ἐξετάζειν ἕτερον θερμὸν, τρία τυγχάνει ὄντα, τὰ ἐπιζητήσεως δεόμενα, καὶ μάλα πολὺ κεχωρισμένα ἀλλήλων. ἓν μὲν, τί ποτέ ἐστιν τὸ πλεῖον ἄλλο ἄλλου θερμόν· ἕτερον δὲ, τί ποτέ ἐστιν ἄλλο ἄλλου θερμότερον· καὶ τρίτον, τί ποτέ ἐστιν, ἄλλο ἄλλου θερμὸν ἰσχυρότερον. Εἰ μὲν οὖν τύχῃ τις ἐρόμενος ἡμᾶς ποῖόν τι ἐστιν τὸ πλεῖον ἄλλο ἄλλου θερμὸν, τὸ ἀνάλογον ὀφείλομεν ἀποκρίνεσθαι, ὡς καὶ D πρὸς τὸν ἕτερον ἐρόμενον, ποῖον τί ἐστιν ἕτερον ἑτέρου ὑγρὸν πλεῖον, ἀποκρινοίμεθα. ὥσπερ γὰρ ἐνταῦθα πρῶτον τὸ ἐπερώτημα πρὸς τὸ εἰρημένον ἐστὶν, οὐκέτι ἄλλο τι ὀρθῶς ἀποκρίνεσθαι, ἀλλ' ἢ μόνον τοῦτο, τὸ τῇ οὐσίᾳ ὑπερβάλλειν πλέον, ἀμέλει ὑγρὸν ἄν τις εἴποι τὸν ἀμφορέα τοῦ ἡμίσεως. οὕτω δὲ κἀπὶ τοῦ θερμοῦ, εἰ τὴν αὐτήν τις ἐρώτησιν ἐρωτοίη ταύτην, ποῖον ἐστὶ πλέον τοῦ ἑτέρου θερμὸν, οὐκ ἂν ἄλλο τι ὀρθῶς ἀποκρινοίμεθα, ἢ τὸ, τῇ οὐσίᾳ πλέον, διὰ τὸ οὐσίας ὑπάρχειν πλεῖον δηλονότι, καὶ περιέχειν τόπῳ πλείονι. καὶ οὐδὲν ἄν E γε κωλύσει ταὐτὸν καὶ πλέον εἶναι θερμὸν, καὶ ἐπ' ἔλαττον θερμὸν, ὥσπερ γε καὶ τὸ πλέον τῇ οὐσίᾳ ὑγρὸν, δύναιτ' ἂν ἐπ' ἔλαττον εἶναι κεχυμένον. πρὸς μὲν οὖν τό γε ἐπερώτημα, τοῦτο, ὀρθῶς ἄν τις ἀποκρίναιτο. πρὸς δ' αὖ ἐκεῖνο, τὸ ποῖόν ἐστιν ἕτερον ἑτέρου θερμότερον, ἀποκρίνασθαι ὀρθῶς ἐστιν τὸ κατὰ τὴν θάλψιν ἐπιτεταμένον μᾶλλον, κἂν ἐπὶ οὐσίας ἐλάττονος τύχῃ ὄν. ὥσπερ γὰρ πρὸς τὸν ἐρόμενον, ὁποῖον τί ἐστιν ἕτερον ἑτέρου λευκότερον, ἔστιν ἀποκρίνασθαι ὀρθῶς, τὸ ἐπιτεταμένον μᾶλλον κατὰ τὴν ποιότητα τὴν λευκήν. κατὰ γοῦν τοῦτο, κἂν ἐν βραχεῖ ὄγκῳ F τύχῃ οὖσα χιὼν, λευκοτέραν τις φαίη αὐτὴν εἶναι ὁτουσοῦν ἄλλου λευκοῦ, ὥσπερ γε καὶ πρὸς τὸν ἐρόμενον, ποῖον ἐστὶ τὸ ἕτερον ἑτέρου ὑγρότερον, ἀποκρίνασθαί ἐστιν ὀρθῶς, τὸ μᾶλλον κεχυμένον, οἷον τὸ ὕδωρ τοῦ μέλιτος, καὶ τῆς πίττης, κἂν τὸ μὲν ὕδωρ ἐν πάνυ βραχείᾳ οὐσίᾳ θεωρῆται, τὸ δὲ μέλι καὶ ἡ πίττα ἐν ὑπερβολῇ. οὕτω δὲ καὶ τὸν περὶ θερμοῦ ἐρόμενον, ποῖον τί ἐστιν ἕτερον ἑτέρου θερμότερον, ὀρθῶς ἐστιν ἀποκρίνασθαι, τὸ μάλιστα ἐπιτεταμένον

κατὰ τὴν θάλψιν, οἷόν ἐστι τὸ πῦρ οὐκ ἂν ἐπ' ὀλίγης οὐσίας θεωρεῖται. ἕτερον δὲ, τί που θερμὸν καὶ χλιαρὸν ἀντεξεταζόμενον, τούτου τυγχάνον ἐπὶ πλείονος οὐσίας ὑπάρχον. πρὸς μὲν οὖν ταῦτα αἱ δ' ἀποκρίσεις εἰσὶν, πρὸς δὲ τὸν ἀναπυνθανόμενον, ποῖον τί ἐστι τὸ ἕτερον τοῦ ἑτέρου ἰσχυρότερον θερμὸν, οὐκέθ' ὁμοία ταῖς πρόσθεν ἀπόκρισις. οὔτε γὰρ τὸ κατὰ θάλψιν ἐπιτεταμένον μᾶλλον, ἀποκρινούμεθα, οὔτε τὸ ἐπ' οὐσίας θεωρούμενον πλείονος, ἀλλὰ τὸ κατὰ τὴν ἄνυσιν τοῦ ἔργου ὑπερβάλλον. συνίσταται δ' αὖ ὅπερ λέγω οὕτως· ἔργα δή που τὰ τοῦ θερμοῦ πολλά ἐστιν. χεῖται γὰρ ἔνια τούτῳ, καὶ ἄλλα συνίστησι, καὶ μεταβάλλει μάλα πολλά, καὶ ὡς κατὰ μέρος εἰπεῖν, ἐπὶ τῶν ἡμετέρων σωμάτων πέττει τὴν τροφὴν ἐν γαστρὶ, καὶ τοῖς ἐντέροις, καὶ εἰς τὸ σῶμα ἀνάγει τὴν κατεργασίαν, καὶ πρὸς σῶμα ἀλλοιοῖ, καὶ προσφύει τοῖς ἡμετέροις σώμασιν αὐτὴν, κατά γε τὴν θρέψιν καὶ τὴν αὔξησιν. ἔστιν οὖν ἰσχυρότερον ἕτερον ἑτέρου θερμὸν, τὸ μᾶλλον παρέχεσθαι ταῦτα δυνησόμενον. τὸ δὲ τυγχάνον ὂν οὐχὶ πάντως, τὸ ἤτοι κατὰ τὴν ποιότητα ἐπιτεταμένον, ἢ κατὰ τὴν οὐσίαν πλέον. πολλάκις γὰρ τὸ ἔλαττον τῇ οὐσίᾳ, καὶ τὸ ἔλαττον τῇ θάλψει, ἀνυσιμώτατον πρὸς τὸ ἔργον ἐστίν. ὡς γὰρ τὸ πρότερον εἴπομεν ἡμῖν πρὸς τὴν ἀπόδοσιν τῶν οἰκείων ἔργων, οὐ τὸ μάλιστα ἐπιτεταμένον ἐστὶν ἰσχυρότερον, ἀλλὰ τὸ μάλιστα σύμμετρον. ὡς τό γε ἐπιταθὲν καθ' αὐτὴν τὴν θάλψιν, ἐνίοτε καὶ βλάβος τοῖς ἔργοις γίνεται, καί μοι τούτου πιστότατα ἱκανά, ἃ πρόσθεν ἡμῖν ἐγὼ διεξῆλθον περὶ τῆς ἰδιότητος τοῦ θερμοῦ λέγων. τούτων ὧδε ἐχόντων, καὶ τριῶν ὄντων, ὥσπερ προείρηκα, τῶν ἐπιζητουμένων, κατὰ τὸ ἀντεξετάζειν, ἕτερον πρὸς ἕτερον θερμὸν, ἐπειδὴ μὲν Ἱπποκράτης φησὶν ἐνταῦθα ἔχειν τὰ αὐξανόμενα τὸ θερμὸν πλεῖστον τὸ ἔμφυτον, τῶν τριῶν ἓν, ἢ κυρίως χρώμενος ταύτῃ τῇ φωνῇ, ψεῦδός τι εἴρηκεν, ἢ κακῶς κέχρηται τῇ φωνῇ, καὶ ψεῦδός τι εἴρηκεν, ἢ ἵνα ἀληθές τι δόξῃ εἰρηκέναι, χρὴ γὰρ αὐτὸν οὐ καλῶς τῇ φωνῇ κεχρῆσθαι. εἰ μὲν γὰρ λέγει πλεῖστον εἶναι τὸ θερμὸν τοῖς αὐξανομένοις, οἷον κατὰ τὴν οὐσίαν, ὡς ἂν καὶ τὸ ὑγρὸν τις φαίη πλεῖστον εἶναι τοῦ ἀμφορέως, οὐ τὸ διπλάσιον τούτου, τῇ μὲν φωνῇ ὀρθῶς δόξει κεχρῆσθαι, ψεῦδος δέ τι πολὺ ἀνάγκη ἐστὶν αὐτὸν εἰρηκέναι. οὐ γάρ ἐστι τῇ οὐσίᾳ, τὸ ἐπὶ τῶν αὐξανομένων θερμὸν πλεῖστον, ὅτι οὐδὲ ὁ τοῦ σώματος ὄγκος μείζων ἐστὶν ἐπὶ τούτων, ἢ ἐπὶ τῶν ἀκμαζόντων τε καὶ γερόντων. τὸ δ' ἔμφυτον θερμὸν παντὶ παρεκτέταται τῷ σώματι. εἰ δ' αὖ πλείονα λέγει τοῖς αὐξανομένοις, καὶ ταύτην τὴν θάλψιν ἐπιτεταμένην ἴσως τούτου θερμοτέραν, ὡς ἂν καὶ φαίη τις, βουλόμενος εἰπεῖν τὴν χιόνα λευκοτέραν εἶναι ἄλλου οὐ τοῦ λευκοῦ, μὴ λευκοτέραν εἶναι αὐτὴν, μηδὲ μᾶλλον λευκὴν ἀλλὰ πλεῖον εἶναι τὸ λευκὸν τοῦδε λευκοῦ καθ' ἀμφότερα δόξει ἁμαρτάνειν Ἱπποκράτην, κατά τε μὴ καλῶς κεχρῆσθαι τῇ φωνῇ, καὶ κατὰ τὸ ἄλλως ψεῦδός τι λέγειν. κατὰ μὲν τὸ μὴ καλῶς κεχρῆσθαι τῇ φωνῇ, διαμαρτάνειν ἂν δοκοίη, ὅτι τὴν ἐπ' οὐσίας πλείονος τεταγμένην φωνὴν ταύτην ἔταξεν, ἐθέλων σημῆναι ποιότητα ἐπιτεταμένην μᾶλλον ὑπάρχειν τῇ θάλψει. ψεῦδος δέ τι αὖ δοκῇ εἰρηκέναι, ὅτι οὐ μάλιστα ἐπιτεταμένον τὸ θερμὸν τοῖς αὐξανομένοις κατὰ τὴν ποιό-

A qualis ignis non in pauca substantia conspicitur, illique alterum quoddam calidum opponitur quod sit tepidum, sed ampliorem quàm hoc sortitum substantiam: Ergo ad interrogata hæ sunt responsiones. Sciscitanti vero qualenam sit alterum altero validius calidum, non eædem ac superiores sunt responsiones. Neque enim quod in calore intensiore sit respondemus, neque quod in substantia majori conspiciatur, sed quod in operis perfectione excedat: Cæterùm quod dico ita statuitur. B Caloris sane opera multa sunt. Quædam enim eo funduntur, alia coguntur, plurima quoque ille transmutat, atque ut sigillatim dicam in nostris corporibus, in ventriculo & intestinis alimentum concoquit, operamque in corpus deducit, ad corpus immutat, ipsamque nostris partibus magis tum ad nutritionem, tum ad incrementum inserit. Ergo validius est alterum altero calidum quod ista præstare valeat *opera*. Id nequaquam semper consequitur quod aut qualitate intensius est, aut substantiâ copiosius: Nam plerunque quod paucioris est substantiæ, & paucioris caloris ad opus C obeundum est efficacissimum. Vt enim prius loquebamur ad propriorum operum confectionem calidum non quod maxime adauctum, sed quod maxime commoderatum est, validius existit. Quare calidum ipso calore protensius interdum etiam functiones lædit. Quæ vobis superius ego de calidi proprietate disserui, hæc ad fidem faciendam maxime digna sufficiunt. Quum autem hæc ita se habeant, sintque tria, ut prius dixi, quæ in alterius calidi cum altero D comparatione disquiruntur; quumque Hippocrates hîc pronunciaverit, *Quæ crescunt, calidi innati plurimum habere*, ex tribus unum commisisse necesse est. Aut enim proprie hac loquutione usus falsum aliquid protulit; aut plane hac loquutione abutitur, & aliquid falsi enunciavit; aut ut verum aliquid attulisse videatur, ipsum tamen hac sententia belle usum esse oportet. Si nanque calidi plurimum crescentibus esse pronunciet secundùm substantiam videlicet, veluti si quis in amphora humidi plurimum esse protulerit E quod duplo vas humido sit amplius. Hac quidem loquutione rectè usus esse videtur, falsi tamen quiddam ipsum pronunciasse maximè necesse est: Non enim crescentibus secundùm substantiam inest calidi plurimum, quum his non insit major corporis moles, quàm ætate florentibus ac senibus. At calidum innatum universo corpori expanditur. Quod si rursus pronunciet adolescentibus majorem, eumque intensiorem inesse calorem, fortassis altero calidiorem; quemadmodum si quis protulerit quum nivem re alia candidiorem affirmare velit, non illam esse candidiorem, neque magis F candidam, sed in ea plus esse candoris; in utroque aberrare apparuerit Hippocrates, tum quod loquutiòne non probè sit usus, tum quòd aliàs falsum quiddam enunciet. Quod locutione probè usus non fuerit, is aberrare conspicietur, quum in majore substantia explicanda positam hanc loquutionem statuerit, dum intensiorem caloris qualitatem ostendere nititur. Falsum autem quiddam pronunciasse videbitur, quum calidum crescentibus qualitate minime sit in-

tensius, neque hac in ætate jure calidum quam in alia quapiam sit calidius. At ille crescentibus maxime intensum esse pronunciavit. Quod autem falsum sit crescentibus intensius esse calidum omnibus scire facile est. Nullum siquidem compertum est indicium in corpore eorum qui crescunt, præsertim ratione caloris, intensionis calidi: Nam quod ab eo in Libro de natura humana pronunciatum est ad probandum crescentibus plurimum calidum esse plane irritum est, videlicet primo ætatis tempore hominem esse calidiorem affirmare ducta ab incremento quod tunc plurimum peragitur, conjectura. Non enim vi, inquit, & præter naturam ferretur alimentum contra sui ponderis propensionem dum augetur corpus, nisi quid validum sit quod cogeret. Hoc enim hujusmodi non quod ratione caloris magis intendatur, calidum indicium est, sed quod sit validius. At validius, ut paulò antè protuli non id est quod sua ipsius qualitate maxime intensum, sed ad opus conficiendum contemperatissimū est. Quando igitur hunc in modum se habent, si ita loquatur Hippocrates; Quæ crescunt, calidum innatum habent plurimum. In utroque cæspitat, tum quod non probe vocabulis utatur, tum quod aliquid falsum aliàs pronunciaverit. At si, ut in tertio dicebam, crescentibus plurimum esse calidum, peræque ac validissimum sit ad operis perfectionem proponat, quod ex eo potissimum oboritur, quia commoderatum est, non autem quia ex substantia copiosiore constat, aut ex calore protensiore procedit. Hac itaque loquutione non recte usus esse videtur, quia plurimum esse calidum protulit, quod validissimum dixisse debuerat; id tamen ab eo recte pronunciatum esse videtur. Quemadmodum enim ab innato calido incrementa perficiuntur: sic ratio dictat fieri minime posse, quin id adolescentibus validissimum sit. Atque id mihi præclare pronunciatum fuerit quod in Libro de natura humana scribitur. Quod enim crescit, atque vi procedit corpus id calidum ipsius validissimum habere necesse est. Qualiscunque fuerit Lyci oratio in prolixitatem protensa nihil amplius quàm quæ à me priùs commemorata sunt, explicat. Si nanque substantiæ mole metitus Hippocrates, copiosius crescentibus esse calidum pronunciavit, ipsum aberrare censet, quum perspicue puerulis minus corpus existat. Si vero intensioris caloris ratione etiamnum quæ huic apparent id oppugnare denunciat. Si denique quod in opere perficiendo validius sit, veram quidem sententiam dixisse concedit, ipsum tamen loquutione non prope usum fuisse asserit: Non enim copiosius calidum, sed validius ad opus perficiendum in iis qui crescunt, pronunciasse oportuerat.

τινα, οὐ δεόντως, θερμότερον ἐπὶ τῆσδε τῆς ἡλικίας τοῦ θερμοῦ ἢ ἐπ' ἄλλης τινός. ὁ δὲ ἔφη εἶναι μάλιστα ἐπιτεταμένον ἐπὶ τῶν αὐξανομένων· ὅτι δὲ τοῦτο ψεῦδος τυγχάνει ὄν, τὸ μάλιστα ἐπιτετάσθαι τοῖς αὐξανομένοις τὸ θερμὸν, ῥᾴδιόν ἐστι παντὶ ἐπιστῆσαι. Οὐδὲν γὰρ ἂν εὑρεθείη γνώρισμα κατὰ τὸ σῶμα ὑπάρχον ἐπὶ τῶν αὐξανομένων τῆς μάλιστα κατὰ τὴν θάλψιν ἐπιτάσεως τοῦ θερμοῦ. τὸ γὰρ εἰρημένον ὑπὸ τούτου ἐν τῷ περὶ φύσεως ἀνθρώπου συγγράμματι, εἰς τεκμήριον τοῦ πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμὸν, ἠλίθιον παντελῶς. τῷ γὰρ πρώτῳ χρόνῳ θερμότερον ἀποφαίνειν εἶναι τὸν ἄνθρωπον, τεκμηράμενος τῇ αὐξήσει πλείστῃ τηνικαῦτα συντελουμένῃ. οὐ γὰρ ἂν πρὸς βίαν, φησὶν, καὶ παρὰ φύσιν, ἀνεφέρετο ἡ τροφὴ πρὸς ἐναντίον τῷ αὐτῆς τῷ βάρει ἐν τῷ αὔξεσθαι τὸ σῶμα, εἰ μή τι ἰσχυρὸν τὸ ἐπαναγκάζον ἦν. τῷ γὰρ τοιούτῳ, οὐ τὸ μᾶλλον ἐπιτετάσθαι κατὰ τὴν θάλψιν τὸ θερμόν ἐστι γνώρισμα, ἀλλὰ τὸ ἰσχυρότερον εἶναι. τὸ δὲ ἰσχυρότερον, ὡς ὀλίγον ἔμπροσθεν εἶπον, οὐ τοιοῦτον ἦν, οἷον τὸ μάλιστα ἐπιτεταμένον κατὰ αὐτοῦ ποιότητα, ἀλλὰ τὸ μάλιστα σύμμετρον πρὸς τὸ ἔργον. ὅτε δὴ οὖν ταῦτα ταύτῃ ἔχει, εἴπερ οὕτως λέγει Ἱπποκράτης, τὰ αὐξανόμενα, τὸ θερμὸν ἔχει πλεῖστον τὸ ἔμφυτον, καθ' ἀμφότερα διαμαρτάνει, κατά τε τὸ μὴ καλῶς κεχρῆσθαι τῇ φωνῇ, καὶ κατὰ τὸ ψεῦδός τι, ἄλλως εἰρηκέναι. Εἰ δ' ὡς τὸ τρίτον εἶπον λέγει, πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμὸν, ἐν ἴσῳ τοῦ τε ἰσχυροτάτου πρὸς τὴν αἴτησιν τοῦ ἔργου, ὅπερ γὰρ ἐκ τοῦ μάλιστα σύμμετρον εἶναι. οὐχὶ δέ γε ἐκ τοῦ ἤτοι τῇ οὐσίᾳ πλεῖον ὑπάρχειν, ἢ αὐτῇ τῇ θάλψει ἐπιτετάσθαι μάλιστα. τῇ μὲν οὖν φωνῇ δοκοίη ἂν καλῶς κεχρῆσθαι, ὅτι πλεῖστον εἶπεν εἶναι τὸ θερμὸν δέον φάναι ἰσχυρότατον, τὸ μέντοι εἰρημένον, ὀρθῶς λελέχθαι δοκοίη ἄν. ὥσπερ γὰρ αἱ αὐξήσεις ὑπὸ τοῦ ἐμφύτου γίνονται θερμοῦ, ὥσπερ οὖν ἐρεῖ ὁ λόγος, ἀμήχανον καὶ ἀδύνατον μὴ ἰσχυρότατον εἶναι αὐτὸ ἐπὶ τῶν αὐξανομένων. Καί μοι εἰς τοῦτο καλῶς ἂν εἴη λελεγμένον τὸ ἐκ τοῦ περὶ φύσεως ἀνθρώπου συγγράμματος. ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην, ἰσχυρότατον ἔχειν τὸ θερμὸν αὐτῆς. οἵα καὶ ἡ τοῦ Λύκου ῥῆσις, εἰς μῆκος μὲν ἐκτεταμένη, πλέον δὲ οὐδὲν ἑρμηνεύουσα τῶν ὑπ' ἐμοῦ προειρημένων. Εἰ μὲν γὰρ τῷ τῆς οὐσίας ὄγκῳ παραμετρῶν ὁ Ἱπποκράτης, πλέον ἔφησεν εἶναι τοῖς αὐξανομένοις τὸ θερμὸν, ἁμαρτάνειν αὐτὸν οἴεται, μικροτέρου σαφῶς τοῖς παιδίοις ὑπάρχοντος τοῦ σώματος. Εἰ δὲ τὸ κατὰ τὴν θάλψιν ἐπιτεταμένον, πάλιν αὖ καὶ τούτου μάχεσθαί φησι τὸ φαινόμενον. Εἰ δὲ τὸ κατὰ τὴν ἐνέργειαν ἰσχυρότερον, ἀληθὲς μέντοι λέγεσθαι συγχωρεῖ, κεχρῆσθαι δὲ οὐ καλῶς αὐτὸν ἀποφαίνει τῇ λέξει. χρῆναι γὰρ οὐ πλέον, ἀλλ' ἰσχυρότερον ὡς πρὸς τὴν ἐνέργειαν εἰρῆσθαι τὸ τῶν αὐξανομένων θερμόν.

A

ΚΕΦΑΛΑΙΟΝ ζ.

Τὰς Λύκου ἀποφάσεις περὶ τριπλασίου θερμοῦ ἐγκαλεῖ Γαληνός. τίς ἡ ἰδία τοῦ ἐμφύτου θερμοῦ οὐσία. τί τὸ θερμὸν ἔμφυτον, ὅθεν τοῦτο οὕτως ὀνομάζηται· τίσι τούτου πλεῖον ἢ ἔλαττον ᾖ. τί ἐνταῦθα τὸ πλεῖον. τί τὸ ἔλαττον τοῦ θερμοῦ ἐμφύτου. τοῖς μὲν αὐξανομένοις τὸ πλεῖον, τοῖς δὲ γέρουσιν ἔλαττον εἶναι τῆς σαρκὸς, καὶ τοῦ αἵματος, καὶ σπέρματος, καὶ ἐμφύτου τοῦ θερμοῦ.

B

Ἀλλ' ὦ βέλτιστε Λύκε, φαίη τις ἂν οἶμαι πρὸς αὐτὸν ἀπολογούμενος ὑπὲρ ὧν ἐπηρεάζει τὸν Ἱπποκράτην, μὴ ταῦτα εἶναι μοχθηρὰ τὰ λεγόμενα. αὐτίκα οὖν τὸ κατὰ τὴν οὐσίαν πλέον θερμὸν, οὐχ ἁπλῶς κρίνεται τῷ τοῦ παντὸς ὄγκῳ σώματος, ἀλλ' ὡς αὐτὸς ὁ Λύκος ἔλεγεν ἑτέρωθι, μέγιστον ἐγκέφαλον ἔχειν τὸν ἄνθρωπον, οὐχ ἁπλῶς λαμβάνων τὸ μέγεθος, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τοῦ ζώου πρὸς τὸ ζῶον. ὥσπερ οὖν οὕτω, σμικρὸν παιδίον, C ἐλέφαντος τοῦ μεγίστου, μείζονα τὸν ἐγκέφαλον ἔχειν φησὶν, οὐ τῷ τοῦ σώματος ὄγκῳ μόνῳ προσέχων τὸν νοῦν, ἀλλὰ προστιθεὶς αὐτοῦ τὸ κατὰ τὴν ἀναλογίαν, οὕτω κἀπὶ τοῦ θερμοῦ σώματος ἐχρῆν πεποιηκέναι, σκεψάμενον ὁποῖόν τι τῶν ἐν ἡμῖν σωμάτων ἔμφυτον ὑπάρχει, τουτέστιν ἀρχέγονον. αὐτὸς γὰρ ἐπίσταται τοὔνομα, καὶ γεγραμμένον ἐν τοῖς Ἱπποκρατείοις βιβλίοις, καὶ συνημμένον ἐκεῖνο τὸ σῶμα, τὸ ἐξ ἀρχῆς ὑπάρχον τοῖς γεννωμένοις, τουτέστιν ἐξ οὗ τὴν πρώτην ἔσχηκε γένεσιν. ἆρ' οὖν ἄλλο τι τοῦτ' ἐστὶν, πλὴν καταμηνίου, καὶ σπέρματος; D ἐγὼ μὲν οὐδὲν οἶδα τρίτον. ἀλλ' ἐπείπερ ἡ τοῦ σώματος οὐσία τοῖς γεννωμένοις ἐκ τούτων ἐστὶ τῶν ἀρχῶν, ἡ μὲν ἀκριβῶς πρώτη σύστασις, οὐκ ἐκ πλειόνων ἂν εἶναι λέγοιτο, τῶν εἰρημένων σωμάτων, ἀλλ' ἐκ μόνων. καί τοι τί λέγω τὴν πρώτην ἀκριβῶς; εἰ γὰρ ἀναμνησθείημεν ὁποίαν τινὰ διηγήσατο τὴν ἑκταίαν γονὴν Ἱπποκράτης, εἰσόμεθα σαφῶς, ἔτι διαμένον ἐν αὐτῇ τὸ ἔμφυτον σῶμα. πρὶν γὰρ ὀστοῦ τινα φύσιν, ἢ φλεβὸς, ἢ ἀρτηρίας, ἢ νεύρου, ἢ χόνδρου, ἢ συνδέσμου ἐν τῷ κυήματι φαίνεσθαι, μόνον αὐτοῖς ὑπάρχει θερμὸν σῶμα τὸ ἔμφυτον. E ἀδιάπλαστος γάρ τις σὰρξ μαλακὴ παραπλήσιος αἵματος θρόμβῳ, διαδέχεται τὴν πρώτην τοῦ κυήματος ἰδέαν, ἐν αὐτῇ τινὰς ἔχουσα, καθάπερ Ἱπποκράτης ὠνόμασεν, οἷον αἱμάλωπας ἐκ τῆς τοῦ σπέρματος οὐσίας, τῆς ἐν αὐτῇ λευκότητος ὑπαρχούσης, ὕστερον δ' ἐκ πολλῆς τῆς ἀλλοιώσεως συνεχῶς γιγνομένης, ὀστοῦ τις ὑπογραφὴ καὶ χόνδρου, καὶ συνδέσμου, καὶ νεύρου, καὶ ἀρτηρίας καὶ φλεβὸς ἀποτελεῖται, καθ' ὃν ἤδη χρόνον μένον ἔτι τὸ ἔμφυτον θερμὸν σῶμα τοῖς κυουμένοις ἐστὶν, ἀλλὰ πλεῖστον ἀεί τε καὶ μᾶλλόν ἐστιν, ὅσον αὔξεται τὰ κυούμενα. F τὸ μὲν ἔμφυτον αὐτῶν σῶμα θερμὸν, ὅπερ ἦν αἷμα καὶ σπέρμα, μεῖον γίγνεται. ποικιλία δὲ ἐπικτήτων προσγίνεται σωμάτων. οὐδὲν γὰρ τῶν εἰρημένων τοῖς ζώοις ἔμφυτόν ἐστιν, ἀλλ' ἐπίκτητα πάντα, καὶ εἴπερ ὅλον τ' ἦν γενέσθαί ποτε ζῶον ὀστέινον, ἢ νεύρινον, ἐφθείρετ' ἂν οὕτως τὸ ἔμφυτον θερμὸν, ἀλλὰ τοῦτο μὲν ἀδύνατον, ἐπικρατεῖν δὲ τὴν τῶν ὀστῶν, καὶ χόνδρων, καὶ συνδέσμων, καὶ νεύρων, καὶ ἀρτηριῶν οὐσίαν ἐγχωρεῖ. τὰ γοῦν εἰς ἔσχατον γῆρας ἀφι-

CAPUT VII.

Pronunciata Lyci de triplici calore improbat Galenus. Quæ sit propria caloris innati substantia. Quid sit calidum innatum. Vnde ita nominetur. Quibus plus aut minus sit. Quid hic plus, quid minus calidi innati. Crescentibus plus senibus, minus esse carnis, sanguinis, seminis & innati calidi.

VErùm, ô Lyce clarissime! protulerit mea quidem sententia quispiam illis ad hominem responsurus quibus ipse Hippocratem calumniatur, hæc non esse prava quæ ab eo pronunciantur. Iamprimum enim calidum copiosius secundùm substantiam non absolutè universi corporis mole dijudicatur, imò ut ipse Lycus alibi proferebat, maximum homini cerebrum esse non accepta absolutè magnitudine, sed ex animalis tum animali analogia loquutus est. Quemadmodum igitur pusillum adeo puerulum maximo elephante majus habere cerebrum pronunciavit, non soli corporis moli mente adhibita, sed & addita ejusdem rei analogia: Sic etiam illum in calido corpore fecisse oportebat, speculatum quale sit quod nostris corporibus innatum existit, hoc est primigenium. Ipse nanque scit hoc nomen Hippocraticis libris scriptum esse, illudque corpus quod ab exordio procreandis insitum est, coaluisse, hoc est, ex quo illa primum ortum habuere. Utrum igitur quiddam hoc aliud existit præterquam menstruum, & semen? Equidem tertium nullum novi. Verùm quoniam corporis substantia ex his constat principiis, planè prima constitutio non ex pluribus quàm commemoratis, iisque solis corporibus constare prædicabitur. Quid autem plane primum profero? Si nanque qualem exposuerit sextanum genituram Hippocrates in mentem revocaverimus, dilucide percipiemus etiamnum innatum in ipsa corpus permanere. Priusquam enim aliqua ossis, aut venæ, aut arteriæ, aut nervi, aut cartilaginis, aut ligamenti in fœtu natura appareat, solùm ipsis corpus calidum innatum est: Informis enim quædam caro mollis sanguinis grumo similis primam fœtus formam quandam in se suscipit tanquam suggillationes hæmalopas, ut Hippocrates nominavit, ex seminis substantia quæ ipsius candoris est effectrix, deinde verò permultam quæ assidue fit mutationem quædam ossis delineatio, cartilaginis, ligamenti, nervi, arteriæ & venæ absolvitur, quo jam tempore adhuc innatum calidum corpus conceptis permanet, quod tamen dum crescunt fœtus semper copiosius ac majus redditur. Cæterum innatum ipsorum calidum quod sanguis fuerat, & semen imminuitur. Ascitiorum quoque corporum accedit varietas. Commemoratorum enim nullum animalibus innatum est, sed ascititia omnia. Quod si posset universum animal osseum fieri, aut nerveum, sic utique innatum calidum interiret. Verùm id fieri non potest. Possibile tamen est ossium, cartilaginum, ligamentorum, nervorum, & arteriarum substantia exuperare. Unde quæ ad extremam sene-

A ætatem animalia pervenerunt, quum sanguineæ naturæ minimum sortiantur ex solis propemodum ossibus, nervis, membranis, ligamentis, arteriis, venis, & cartilaginibus constant. Ex omnibus siquidem animalis partibus sola caro sanguinea est, quam quæ consenuere corpora minimùm habent quæ & pauci sanguinis ac dura est. Aliarum verò partium commemoratarum sanguinea nulla est. Non ergo absolute innati corporis quantitas substantiæ mole metienda est, quod ab efficacissima quæ in eo est qualitate, calidum innatum nominatum est; sed facta cum iis quæ minime innata sunt, comparatione, analogia perpendenda est. B Quemadmodum enim in balneo vaporem, aut etiam fumum, aut hujusmodi alterum multum esse dicimus, non absolute ad ædium magnitudinem referentes, sed ad peculiarem balnei aërem: sic & in homine aut plurimum, aut paucum innati calidi substantiam esse dicemus, institutâ cum minime innatis corporibus comparatione. Omnia nanque infans habet quammaxime sanguinea, etiam adusque ossa quidpiam hujusmodi conspicitur. Contrà verò senibus adusque carnem exanguia sum omnia Etenim his carnibus C minimum subest sanguinis. At si calidum innatum corpus sanguis est, colligetur sanè ex his plurimum quidem in esse calidi innati corporis crescentibus; senio verò confectis minimum. Sic etiam semen ex seroso humore & qui in eo est spiritu constitutum in senium lapsis quidem paucissimum, crescentibus verò corporibus copiosissimum, & inter hæc potissimum natu minimis, ut commentariis de semine demonstravimus. Num igitur ambiges, an eorum qui crescunt, facile corpus absumatur ac diffluat? Enim- D vero in aliis non ignoras aquam calidam aut oleum, aut si quid aliud ita humidum paucissimo tempore totum in habitus resolvi, non autem terram, neque lapidem, neque aliud naturâ frigidum & siccum. Duæ nanque rebus omnibus insunt qualitates ad resolutionem in halitus maxime idoneæ, calor atque humor. Contrà vero duæ ad mansionem frigus & siccitas. Quare admirandum non est si puerorum corpora ob humorem & calorem facile difflentur, resolvan- E turque, senum vero præ siccitate & frigore induratam substantiam consequuta non facile. Quapropter, Lyce optime! de quibus te arguere oportebat, de his crimen intentas, proindeque unum quoddam, idque primum documentum ignorare videris, quod eorum qui in disciplinas legitime introducti sint neminimem latet. Copiosam siquidem substantiam corporis moles simplicem indicat, compositam vero ex diversis mixtis constantem analogia; quemadmodum cerebrum, aut aliarum partium aliquam; sic sane qui biben- F di gratiâ vinum aquæ miscent, aut plus vini, aut aquæ, aut neutrius esse dicunt quum ad mixtionis commoderationem veniant. At ita stupidus nullus est, ut injecta in vini dolium aquæ hemina, plus aquæ dicat in dolio esse, quàm in exiguo sit poculo; quum, verbi gratiâ, ex tribus qui in eo continentur cyathis, unus aquæ, & duo vini extiterint. At Lycum arbitror medicamentum quoque tetrapharmacum appellatum ex cera, adipe, pice & resina, æquis omnibus compositum non plus continere picis dicturum, si quis picem cæterorum duplam injecerit.

κείμενα τῶν ζώων, ἐλαχίστην ἔχοντα τὴν αἱματώδη φύσιν, ὀλίγου δεῖν, ἐξ ὀστῶν μόνων καὶ νεύρων, ὑμένων τε καὶ συνδέσμων, ἀρτηριῶν τε καὶ φλεβῶν, καὶ χόνδρων σύγκειται. ἐκ γὰρ μὲν ὅλων τῶν τοῦ ζώου μορίων, ἡ μόνη σὰρξ αἱματώδης ἐστὶν, ἣν ἐλαχίστην ἔχει τὰ γεγηρακότα, καὶ ταύτην ὀλίγαιμόν τε καὶ σκληράν. τῶν δ' ἄλλων τῶν εἰρημένων μορίων οὐδὲν αἱματῶδες ὑπάρχει. οὔκουν ἁπλῶς χρὴ τῷ τῆς οὐσίας ὄγκῳ μετρεῖν τὸ ποσὸν τοῦ συμφύτου σώματος, ὅπερ ἐπὶ τῆς δραστικωτάτης τῶν ἐν αὐτῷ ποιοτήτων, ἔμφυτον ὠνόμασται θερμὸν, ἀλλὰ παραβάλλοντα τοῖς οὐκ ἐμφύτοις, σκοπεῖσθαι τὴν ἀναλογίαν. ὡς γὰρ ἐν τῷ βαλανείῳ πολὺν ἀτμὸν, ἢ νὴ Δία καπνὸν, ἤ τι τοιοῦτον ἕτερον εἶναι φαμὲν, οὐ πρὸς τὸ μέγεθος ἀναφέροντες ἁπλῶς τῆς οἰκίας, ἀλλὰ πρὸς τὸν οἰκεῖον ἀέρα τοῦ βαλανείου, οὕτως καὶ κατὰ τὸν ἄνθρωπον ἐροῦμεν, ἤτοι πλείστην εἶναι τὴν οὐσίαν, ἢ ὀλίγην τοῦ ἐμφύτου θερμοῦ, παραβάλλοντες τοῖς οὐκ ἐμφύτοις σώμασιν. αἱματωδέστατα γὰρ ἅπαντα ἔχει τὸ βρέφος, ἄχρι καὶ τοῖς ὀστοῖς ἐμφαίνεσθαί τι τοιοῦτον. ἔμπαλιν δ' οἱ γέροντες ἀναιμότατα πάντ' ἔχουσιν, ἄχρι τῶν σαρκῶν, καὶ γὰρ ταύταις ἐλάχιστον αἵματος ὑπάρχει. ἀλλ' ἢν ἔμφυτον σῶμα θερμὸν τὸ αἷμα, φαίνοιτ' ἂν οὕτως ἐκ τῶνδε, πλεῖστον μὲν εἶναι τὸ ἔμφυτον θερμὸν σῶμα τοῖς αὐξανομένοις, ἐλάχιστον δὲ τοῖς γεγηρακόσιν. οὕτως δὲ καὶ τὸ σπέρμα συγκείμενον ἔκ τε τῆς ὀρρώδους ὑγρότητος καὶ τοῦ πνεύματος τοῦ κατ' αὐτὴν, ἐλάχιστον μὲν ἐν τοῖς γεγηρακόσι, πλεῖστον δ' ἐστὶν ἐν τοῖς τῶν αὐξανομένων σώμασι, καὶ τούτων μάλιστα ἐν τοῖς νεωτάτοις, ὡς ἐν τοῖς περὶ σπέρματος ὑπομνήμασιν ἀπεδείξαμεν. Εἶτ' οὖν ἀπορήσεις, εἰ ῥᾳδίως ἀναλίσκεται καὶ διαρρεῖ τὸ σῶμα τῶν αὐξανομένων; καὶ μὴν ἐπί γε τῶν ἄλλων οὐκ ἀγνοεῖς, ὕδωρ μὲν θερμὸν, ἢ ἔλαιον, ἤ τι τῶν οὕτως ὑγρῶν ἐλαχίστῳ διαφορούμενον ὅλον. οὔτε γὰρ γῆν, οὔτε λίθον, οὔτ' ἄλλο τῶν ψυχρῶν φύσει καὶ ξηρῶν. δύο μὲν γάρ εἰσιν ἐν ἅπασι τοῖς οὖσιν ἐπιτηδειόταται ποιότητες εἰς διαφόρησιν, ὑγρότης καὶ θερμότης, δύο δ' ἔμπαλιν εἰς διαμονὴν, ξηρότης καὶ ψυχρότης, ὥστ' οὐδὲν θαυμαστὸν, εἰ τὰ μὲν τῶν παιδίων σώματα, διά τε τὴν ὑγρότητα καὶ θερμότητα ῥᾳδίως διαπνεῖται, τὰ δὲ τῶν γερόντων οὐ ῥᾳδίως, ὑπὸ ξηρότητος καὶ ψύξεως πεπηγυῖαν ἐχόντων τὴν οὐσίαν. ὥστ' ὦ βέλτιστε Λύκε, περὶ ὧν ἐχρῆν ἐπιτιμηθῆναί σε, περὶ τούτων ἐγκαλεῖς. ἀγνοῶν οὖν ἐφάνης ἕν τι τῶν πρώτων μαθημάτων, ὃ μηδεὶς τῶν εἰσηγμένων νομίμως ἀγνοεῖ. πολλὴν μὲν γὰρ οὐσίαν ἁπλῆν ὁ τοῦ σώματος ὄγκος κρίνει, σύνθετον δ' ἐκ διαφερόντων ὑπαρχουσῶν ἡ τῶν μιχθέντων ἀναλογία, καθάπερ καὶ τὸν ἐγκέφαλον, ἤ τι τῶν ἄλλων μορίων. οὕτω γοῦν καὶ μιγνῦντες οἶνον ὕδατι, τοῦ πιεῖν ἕνεκεν, ἤτοι πλείονα τὸν οἶνον λέγουσιν, ἢ τὸ ὕδωρ, ἢ οὐδ' ἕτερον, ὅταν εἰς συμμετρίαν κράσεως ἥκωσιν. ἔμπληκτος δ' οὐδεὶς οὕτως ἐστὶν, ὡς ἐμβαλὼν εἰς οἴνου πίθον ὕδατος κοτύλην, πλεῖον εἶναι λέγει ἐν τῷ πίθῳ τὸ ὕδωρ τοῦ κατὰ τὸ μικρὸν ποτήριον, ὅταν οὕτως ἔτυχεν, ἐν ἐκείνῳ τριῶν ὄντων κυάθων, ὁ μὲν εἷς ὕδατος, οἱ δὲ δύο ὑπάρχουσιν οἴνου. Λύκος δὲ, ὡς οἶμαι, καὶ τὴν τετραφάρμακον ὀνομαζομένην δύναμιν, ἐκ κηροῦ, καὶ στέατος, καὶ πίττης, καὶ ῥητίνης, ἴσων ἁπάντων συντεθειμένων, οὐ φήσει πλείονα μὲν πίτταν ἔχειν, ἐὰν διπλασίαν τις ἐμβάλῃ τῶν ἄλλων,

ἀλλὰ κἀνταῦθα ἐπισκέψασθε, πότερον πίθος ὅλος ἐστὶ μεστὸς τῆς τετραφαρμάκου δυνάμεως, ἢ μικρόν τι λεκάριον, εἶτα τὸν πίθον ἐρεῖ πολὺ πλείονα τῆς πίττης ἔχειν τοῦ λεκαρίου, κἂν ὁ μὲν ἐξ ἴσων ᾖ τῶν τεττάρων, ἡ πίττα δὲ ὑπάρχῃ διπλασία τῶν ἄλλων ἐν τῷ λεκαρίῳ. εἴπερ οὖν ἅπαντα τὰ τοιαῦτα ἁμαρτήματα τῶν ἄλλων μὴ δυναμένων ἐστὶ διακρῖναι τὸ κατ᾽ ἀναλογίαν, καὶ μίξιν πολὺ τοῦ κατὰ τὸ κοινὸν μέτρον ἁπλῶς οὕτω λεγομένου, οὐ κατὰ τὸν αὐτὸν τρόπον ἐφ᾽ ὃν ὁ Λύκος ἐνεκάλεσεν Ἱπποκράτει, ἥ τε γὰρ οὐσία τοῦ ἐμφύτου θερμοῦ, πλείστη τοῖς αὐξανομένοις ἐστίν, ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν, ἥ τε κατ᾽ αὐτὴν ποιότης ὡσαύτως, ἐπειδήπερ ἀχώριστοι τῶν οὐσιῶν εἰσιν αἱ οἰκεῖαι ποιότητες, ὥσπερ γε τοι καὶ αἱ δυνάμεις. οὕτω γοῦν κἂν εἰς τὴν τετραφάρμακον ἐμβάλῃς πλείονα τῆς τῶν ἄλλων ἀναλογίας τὴν πίτταν, οὐ τὴν οὐσίαν μόνον αὐτῆς, ἀλλὰ καὶ τὴν ποιότητα, καὶ τὴν δύναμιν ἐρεῖς ἐνδεῖξαι πλείονα, καὶ διὰ τοῦτο καὶ τὸ ὑγρὸν ὅπερ ἂν τῆς πίττης ηὐξῆσθαι. δῆλον οὖν ὅτι κατὰ τὰ τρία τοῦ πολλοῦ σημαινόμενα, τὰ πρὸς τοῦ Λύκου γεγραμμένα, πλείων ἥ τε πίττα λεχθήσεται κατὰ τὸ τετραφάρμακον εἶναι, τό, τε, ἔμφυτον θερμὸν τοῖς ζώοις. ἔτι δὲ μᾶλλον ἐφ᾽ ὧν οὐ κέκραται δι᾽ ὅλων ἀλλήλων ὅλα τὰ μιγνύμενα, καταφανές ἐστι κατὰ τοὺς τρεῖς τρόπους οὓς ὁ Λύκος εἶπεν, ἕτερον ἑτέρου λέγεσθαι πλέον, ὥσπερ ἐπὶ τοῦδε τοῦ φαρμάκου τῶν συνηθεστάτων ὄντος, ὃ σύγκειται μὲν ἐξ ἴρεως καὶ ἀριστολοχίας, καὶ τοῦ τῶν ὀρόβων ἀλεύρου καὶ λιβανωτοῦ, πάντων ἀλλήλοις ἴσων τῷ σταθμῷ, δύναιτό τις τὸ ἓν ἐξ αὐτῶν διπλάσιον ἐργασάμενον, ἀναμῖξαι τοῖς ἄλλοις ἴσοις, οἷον εἰ τύχοι, τὴν ἀριστολοχίαν. ἀληθὲς οὖν ἐστι κατὰ τὴν αὐτῶν μίξιν εἰπεῖν, ὅτι καὶ τῇ οὐσίᾳ, καὶ τῇ ποιότητι, καὶ τῇ ἐνεργείᾳ, πλεῖόν ἐστι, καὶ κρατεῖ τῶν ἄλλων ἡ ἀριστολοχία. ταὐτὸν δὴ τοῦτο κἀπὶ τοῦ βαλανείου τις εἴποι, μὴ μόνον ἔχοντος ἐν αὑτῷ τὸν εὔκρατον ἀέρα, προσειληφότα δέ τι καὶ καπνοῦ καὶ ἀτμοῦ. δύναται γὰρ ἐκ τούτων, ποτὲ μὲν ὁ καπνὸς εἶναι πλείων, ποτὲ δὲ ὁ ἀτμός, ὥσπερ γε καὶ ὁ κατὰ φύσιν ἀὴρ τοῦ βαλανείου. τὸ δὴ ἁπλῶς οὐ τῷ πλείονι κατὰ τὴν τῆς οὐσίας ὑπεροχὴν λεγόμενον, ᾧ καὶ τὴν ποιότητα συναύξεσθαι, καὶ τὴν ἀπ᾽ αὐτῆς ἐνέργειαν ἀναγκαῖόν ἐστιν. ὑποκείσθω γοῦν εἶναι τὴν οὐσίαν τοῦ καπνοῦ πλείονα τῆς τῶν ἄλλων δυοῖν, ὀρθῶς ἐρεῖς τηνικαῦτα, καὶ τὴν ποιότητα τοῦ καπνοῦ τῆς τῶν ἄλλων ποιότητος εἶναι πλείονα, καὶ τὴν ἐνέργειαν. ὁμολογούμενον δὲ οὐ πλείονα γίγνεσθαι ποιότητα ποιότητος, ἀλλὰ σφοδροτέραν, ὥσπερ γε καὶ ἀμυδροτέραν, οὐκ ἐλάττω, παμπόλλης οὔσης τῆς τοιαύτης χρήσεως τῶν ὀνομάτων ἐν ὅλῳ τῷ βιβλίῳ, καὶ κατὰ πάσας τὰς τέχνας. καὶ τί δεῖ τῶν ἄλλων μνημονεύειν ἔχοντας ἐναργῶς τοῦ λόγου μαρτύριον ἐπ᾽ αὐτῶν τῶν πυρετῶν, οὓς ὁσημέραι πάντες, ποτὲ μὲν μείζονας, ἢ ἐλάττονας ἀλλήλων γεγονέναι φασί, ποτὲ δὲ ἔλαττον, ἢ πλέον πυρέττειν τόνδε τοῦδε, κατὰ τὸν αὐτὸν χθὲς ἢ σήμερον. οὕτως οὖν ὑποκειμένου λέγεσθαι τὸ κατὰ τὴν ποιότητα πλέονος, οὐδὲν θαυμαστόν, ἐν ᾧ βαλανείῳ πλείων ἐστὶν οὐσία καπνοῦ, καὶ τὴν ποιότητα φάναι γεγονέναι πλείονα, καὶ τὴν ἐνέργειαν, εἰ μὴ κυρίως ὀνομάζοιμεν, ἰσχυρὰν τε καὶ σφοδροτέραν, εἰ δὲ καταχρώμενοι μείζονα, καὶ πλείονα. δήξεται γὰρ δηλονότι τοὺς ὀφθαλμοὺς ὁ καπνὸς εἰς ὅσον

A Verùm hîc animadvertat utrum universum dolium tetrapharmaco medicamento plenum sit, vel parvum aliquod vasculum, mox dolium quàm vasculum plus continere picis dicturus est, & etiamsi *medicamentum in dolio* ex æquis quatuor constet, vix autem in vasculo aliorum dupla sit. Itaque si hujusmodi omnia errata sunt aliorum qui per analogiam ac commixtionem id multum ab eo quod communi mensura absolute ita appellatur discernere nequeant. Num eadem est ratio quâ Lycus Hippocratem reprehendit? Nam & innati calidi B substantia crescentibus plurima est, aliorum videlicet comparatione, & cum ipsa similiter qualitas. Quandoquidem propriæ qualitates à substantiis minimè sunt separabiles, quemadmodum neque facultates. Sic igitur si in tetrapharcum aliorum comparatione plus picis injeceris, non picis modò substantiam, sed & qualitatem, & facultatem ampliorem detulisse dixeris, proindeque etiam quemcumque picis humorem increvisse. Ergo patet tribus *multi* significatis, à Lyco scriptis tam picis in tetrapharmaco, quàm innati cadidi in animantibus C plus esse dictum iri. Quinimò in quibus quæ miscentur, ea tota inter se per tota non contemperantur, alterum altero secundum tres modos à Lyco proditos liberalius dijudicari manifestum est; quemadmodum in hoc medicamento quod maximè usuferitur, quodque ex iride, aristolochio, erui farina, & thure æquali omnium pondere compositum est; poterit quis cæteris paribus, ex his unum duplicatum factum immiscere, ut exempli gratiâ aristolochiam. Itaque verum est in eorum D commixtione affirmare aristolochiam & substantiâ & qualitate & facultate cætera exuperare, quòd copiosior ipsa sit. Hoc idem sanè in balneo quispiam asseruerit, quòd non solùm contemperatum aërem sortiatur, sed & fumi & vaporis aliquid admiserit. Fieri nanque potest ex his interdum fumum, inter dum vaporem ut & naturalem balnei aërem copiosiorem esse. Id autem absolutè non majori secundum substantiæ exuperantiam mole dicimus, quâ & qualitatem & ipsam quæ ex ea prodit, facultatem simul ad augeri necesse est. Supponatur ergo fumi substantiam reliquis duobus copio- E siorem esse, tunc rectè & fumi qualitatem, & facultatem quàm aliarum ampliorem esse pronunciaturus es. Conceditur autem qualitatem qualitate majorem non effici; sed vehementiorem, quemadmodum & imbecilliorem, non minorem. Quum is vocabulorum usus in universa vita & in omnibus artibus sit frequentissimus. Ecquid opus est aliorum mentionem facere, quum manifestum hujusce orationis testimonium in ipsis febribus habeamus, quas quotidie omnes interdum majores vel minores F inter se factas esse, interdum etiam eâdem ratione alium alio fieri quàm hodie plùs aut minùs febricitare proferunt. Sic igitur supponatur, *plus*, secundum qualitatem dici, nihil mirum in quo balneo plus est substantiæ fumi, plus quoque qualitatis esse pronunciari, etiam facultatis quam si propriè loquamur & validam & vehementiorem, si verò ab usu tum majorem tum copiosiorem nominabimus. Fumus enim quò plus augebitur, ipsius substantiæ eò

magis oculos morsu lædit. Quapropter quum semper unà cum substantia propriæ augeantur qualitates ac facultates, verè quivis affirmaverit in hujusmodi balneo fumum esse plurimum, supponamus in balneo, ut dicebamus æquas & vaporis & fumi partes esse, plurimum autem propriæ aëris substantiæ, quæ proportione respondeat ac generetur. Etenim dicetur etiam nunc in balneo proprium calidum esse plurimum. Ut cum igitur ab hoc aliquatenus alienum est, quod in animalis humoribus perpenditur, ex quibus vaporantibus calor exteriùs tangentibus occurrit? Etenim alius quidem à sanguine calor exuscitatur, alius verò ex pituita, alius ex bile, tum flava, tum atra. Ergo pueris substantia sanguinis in est plurima pro mixtionis analogia. (Hoc enim eos meminisse semper oportet qui tanquam lethargo detenti talia nugantur, qualia Lycus scriptis tradidit.) Et quæ simul increscit qualitas optima & amica est, nec tam Gentibus molesta, nec mordax. Facultas quoque quâ coctiones neque nidorulentæ, neque etiam ut ex pituita acidæ efficiuntur. Quamobrem modis universis (Lyce generosissime!) plus est crescentibus calidum innatum; proindéque nequaquàm aberraverit Hippocrates, sed tu potius calumnari deprehenderis: Nam quæ scripsisti, ex his, planum fecimus te à nullis omnino Hippocraticis præceptoribus introductum fuisse, ut aliquod Hippocratis decretum percipere potueris, & quæ prorsus ignoras, ea etiam manifesto arguere; & controversiam moliri imperitiæ plenissimam declaratus es, quâ universæ artis statum evertere sis aggressus, neque noveris quæ de his sæpius Plato literis mandavit, tibique ipsi pugnantia profers in juvenum detrimentum quicunque peræquè ac tu in Logicâ speculatione exercitati non fuerint, veras à falsis rationes distinguere nesciunt. His autem in omnibus tum audacissimus, tum simul nucissimus visus es qui decretorum Hippocratis explanationes scribere aggressus es, priusquam ipse didiceris.

A αὐξάνεται καὶ τῇ οὐσίᾳ, ὥστε ταῖς οὐσίαις συναυξανομένων τῶν οἰκείων αὐταῖς ποιοτήτων, καὶ τῶν ἐνεργειῶν, ἀληθῶς ἂν εἴποι τις, ἐν τῷ τοιούτῳ βαλανείῳ πλεῖστον εἶναι τὸν καπνόν. ὑποκείσθω δὲ πάλιν, ὡς ἐλέγομεν, ἀτμοῦ τε καὶ καπνοῦ κατὰ τὸ βαλανεῖον ὑπάρχειν, ἡ δὴ οἰκεία τοῦ ἀέρος οὐσία, πλείστη κατὰ τὴν ἀναλογίαν οὖσά τε καὶ γιγνομένη τοῦ τοῖς ζώοις ἐμφύτου θερμοῦ, λεχθήσεται γὰρ καὶ νῦν ἐν τῷ βαλανείῳ πλεῖστον εἶναι τὸ οἰκεῖον θερμόν. ἆρ' οὖν ἀπεοικέ τι τούτου, τὸ καὶ τοὺς ἐν τῷ ζώῳ χυμούς, ἐξ ὧν ἀτμιζόντων, ἡ προσπίπτουσα θερμασία τοῖς ἁπτομένοις ἔξωθεν ἐστίν. ἄλλη μὲν γὰρ ἀπὸ τοῦ αἵματος ἀναπλεῖται θερμότης, ἄλλη δὲ ἀπὸ τοῦ φλέγματος, ἄλλη δὲ ἀπὸ τῆς ξανθῆς, ἢ μελαίνης χολῆς. ἐπὶ μὲν οὖν τῶν παιδίων ἡ οὐσία τοῦ αἵματος πλείστη κατὰ τὴν τῆς
B μίξεως ἀναλογίαν. τούτου γὰρ ἀναμιμνήσκειν ἀεὶ δεῖ, καθάπερ ὑπὸ λήθαργου κατεχομένους, τοὺς τὰ τοιαῦτα ληροῦντας ὁποῖα Λύκος ἔγραψεν, ἥ τε συναυξανομένη ποιότης οὖσα χρηστὴ καὶ φίλιος, οὐκ ἀνιαρά, καὶ δακνώδης τοῖς ἁπτομένοις, ἥ τ' ἐνέργεια, καθ' ἣν αἱ πέψεις οὐ κνισώδεις γίνονται, οὐδ' ὀξώδεις ὡς ἐπὶ φλέγματος. κατὰ πάντας οὖν τοὺς τρόπους, ὦ γενναιότατε Λύκε, τοῖς αὐξανομένοις πλέον ἐστὶ τὸ ἔμφυτον θερμόν, ὥστ' οὐδὲν Ἱπποκράτης ἡμάρτεν, ἀλλὰ σὺ μᾶλλον ἐξηλέγχθης ἐπηρεάζων. ἐπιδείξω γὰρ ἐξ ὧν ἔγραψας οὐδ' ὅλως εἰσηγμένος ὑπὸ διδασκάλων τῶν Ἱπποκρατείων ἐπαΐειν τι δογμάτων, ἐλέγχειν τε προφανῶς, οἷς οὐδ' ὅλως οἶσθα, τήν τ' ἀντιλογίαν ἀμαθεστάτην ποιούμενος ἐφωράθης, τὴν δ'
C αὐτῆς ἀνατρέπειν ἐγχειρῶν ἁπάσης τέχνης σύστασιν. ἀγνοῶν δὲ ἃ περὶ τούτων ἔγραψε Πλάτων πολλάκις, ἐναντία λέγεις σαυτῷ, λυμαινόμενος τοῖς νέοις, ὅσοι καθάπερ σύ, λογικῆς θεωρίας ἀγυμνάστως ἔχοντες, ἀγνοοῦσι διακρίνειν ἀληθεῖς λόγους ψευδῶν. ἐφ' ἅπασι δὲ τούτοις τολμηρότατός τε ἅμα καὶ φλύαρος ὤφθης, ἐπιχειρήσας γράφειν ἐξηγήσεις τῶν ὑφ' Ἱπποκράτους εἰρημένων, πρὶν τοῦ μεμαθηκέναι πρότερον αὐτά.





ΓΑΛΗΝΟΥ

ΠΡΟΣ ΤΑ ΑΝΤΕΙΡΗΜΕΝΑ ΤΟΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙΣ ΥΠΟ ΙΟΥΛΙΑΝΟΥ, ΒΙΒΛΙΟΝ.

GALENI

ADVERSUS EA QUÆ IULIANO IN HIPPOCRATIS APHORISMOS ENUNCIATA SUNT, LIBELLUS.

ΚΕΦΑΛΑΙΟΝ α'.

A

Τοὺς ἰατροὺς πολλάκις τὰς αὐτομάτας κενώσεις μιμεῖσθαι. τὴν ἐξουσίαν τοῦ γράφειν ἔργα, καὶ ψευδῶς τε ἀντιλέγειν ἀτιμωρητὶ τοῖς ἅπασι καὶ τοῖς ἀμαθέσι παραχωρεῖσθαι.



Ἄμεινον μὲν ἦν ὥσπερ οἱ νομοθέται τοὺς ψευδῶς ἐγκαλέσαντας, ὁμοίως τιμωροῦνται τοῖς ἐγκληθεῖσιν, εἴπερ ἥλωσαν, οὕτω καὶ τοὺς ἀντιλέγοντας ψευδῶς ὧν οὐκ ἔμαθον, ὑπέχειν ἀξίαν ὧν πλημμελοῦσι τιμωρίαν. ἐπεὶ δ' οὐκ οἶδ' ὅπως ὕβρεως μὲν ἐφεῖται δικάζεσθαι, νόμος δ' οὐδεὶς κεῖται περὶ τῶν ψευδῶς ἐγκαλούντων, εἰκότως οἶμαι κατὰ τῶν ἀρίστων ἀνδρῶν οἱ σκαιότατοι λέγειν τολμῶσι. ἐχρῆν γὰρ ὥσπερ ἐν Αἰγύπτῳ πάλαι τῶν κατὰ τὰς τέχνας εὑρισκομένων ἕκαστον ὑπὸ κοινοῦ συνεδρίου τῶν πεπαιδευμένων κριθὲν, ἐνεγράφετο στήλαις τισὶν ἀποκειμέναις ἐν ἱεροῖς χωρίοις· οὕτω καὶ παρ' ἡμῖν εἶναί τι συνέδριον ἀνδρῶν δικαίων τε ἅμα καὶ πεπαιδευμένων, οἳ δοκιμάζοντες τὰ νέα συγγράμματα, θήσουσι μὲν ἐν δημοσίοις χωρίοις τὰ χρηστὰ, διαφθεροῦσι δ' ὅσα μοχθηρά, βέλτιον δ' ἦν, εἰ μηδὲ τοὔνομα τοῦ γράψαντος ἐφύλαττον, ὥσπερ οὐδ' ἐν Αἰγύπτῳ τὸ ἀρχαῖον. ἐκωλύθη γὰρ ἂν οὕτως ἥκιστα κἀκ τοῦδε, τῶν φιλοτίμων ἡ περὶ δόξαν ἄμετρος σπουδή.

CAPUT I.

Sæpe Medicos spontaneas naturæ vacuationes imitari. Libertatem scribendi opera & falsò contra dicendi impunè omnibus etiam imperitis concedi.



Præstantius quidem foret, quemadmodum Legislatores eos qui falsò reos accusaverint, iisdem pœnis quibus accusatos, si pœnas luerint, afficiunt; sic etiam qui falsò contradicunt quæ nequaquam didicerint eos meritas pro ineptis quos commiserunt erroribus, pœnas subire. Quoniam vero non novi quo pacto liceat de illata quidem injuria in jus vocare, lex autem de

B

falsò contradicentibus minime lata sit: Jure mea quidem sententia imperitissimi quique audent in optimos viros invehi. Oportebat enim, quemadmodum olim in Ægypto singula artium inventa à publico peritorum virorum consessu judicata columnis quibusdam in sacris locis repositis inscribebantur; sic apud nos aliquod constitui Concilium justorum, simulque eruditorum virorum qui nova opera explorarent, in publicis locis utilia ac proba exponerent, & prava quæque perderent; præstaret autem si hi nequidem authoris nomen referrent, quemadmodum & in Ægypto observabat Antiquitas. Hæc

Hac enim lege ambitiosorum immoderatum gloriæ studium non minimè reprimeretur. Nunc autem quum omnibus scribere liceat etiam idiotis judicare, qui apud vulgus audacissimi celebrantur, quemadmodum Thessalus, qui suis scriptis Hippocratem calumniatus est, etiamsi librum unum composuerit, in quo, ut auguratur, Aphorismos redarguit, perspicuè armen nobis seipsum prodit ne minimum quidem artis Hippocraticæ percepisse. Atqui sanè æquum erat priùs ipsam edoctum ita controversias moliri. An id fortassis à me non rectè enunciatum est? Si namque ipsam didicisset, veris adversari nunquam ausus esset, nisi quidam prorsus impudens extitisset, qualis & nunc in Alexandria Julianus repertus est, cujus octo & quadraginta libros adversus Hippocratis Aphorismos extare fama est, ex quibus secundum nuper assumpsi, ubi censet hunc Aphorismum falsum esse. *In alvi perturbationibus, & quæ sponte oboriuntur vomitionibus, si qualia purgari oporteat purgentur, confert, & facile ferunt; sin minùs contrà. Sic & vasorum vacuatio, si qualem fieri oportet fiat, & confert, & facile ferunt; sin minùs contrà.* Profectò fortunæ gratia habenda est quæ nobis hunc librum primò præ manibus obtulit; ne frustra tempus longiùs conteratur in his legendis quæ in primum Aphorismum scripsit qui deinceps cæterorum procemium est. Nam contra illa scribere coactus, nihil inde fortassie magni fecisse viderer, quod nondum Medicam contemplationem attingat oratio. Verùm Aphorismus propositus non de minimis artis præceptis differit qui Medico consulit quum vacuationes spontaneæ tum per superiorem tum inferiorem ventrem fiant, eas quæ juvant imitari, & quæ illæ, & quomodo ipsa, ut & quæ lædunt, propriis indiciis à nobis dignoscenda sint edocet. Quod si Trallianus artem ab Hippocraticis præceptoribus didicisset, veritati reluctari non ausus fuisset. At quum neque ipse neque hujusmodi temeritatis ipsius princeps Thessalus Asclepiadarum artem noverint, mirum non est ipsos ignorare quæ hi non intellexerunt qui citra rationem se mederi profitentur. Licet enim illos audire, quum dicunt artem ex imitatrice experientia maxime incrementum sumpsisse. Nam quæcunque fortuita occasione oborta ægris præfuerint, hæc nos, inquiunt, invitantes sæpenumero artem constituimus, eaque partiti naturalia appellant, quorum ab ipso corpore causa prodit; quorum verò exteriùs, hæc à fortuna manare proferunt; proindeque non solius naturæ, sed & fortunæ imitatorem Medicum esse. Alia sanè multa ab illis viris proferuntur eorum exempla quæ fortunâ profuere; ut illius cui quòd decidisset vena frontis secta est; postea verò similiter eandem laborantis venam, inquiunt, secare ausi sunt, ejusdem auxilii spe ducti. Sed & alvus copiosè fluens inflammatis oculis ut magnopere contulit: sic nos ad istius operationis imitationem impulit. Eodem quoque modo repentinus & copiosus biliosorum excrementorum vomitus ictero laborantibus opem attulisse visus est; sic hydropicis aquosorum: sic elephante mor-

ἐκωλύθη γὰρ ἂν οὐχ ἥκιστα κἀκ τοῦδε, ἡ τῶν φιλοτίμων ἡ περὶ δόξαν ἄμετρος σπουδή. νυνὶ δ' ἐπειδὴ καὶ γράφειν ἔξεστιν ἅπασι, καὶ κρίνειν τοῖς ἐπιτυχοῦσιν, εὐδοκιμοῦσι παρὰ τοῖς πολλοῖς οἱ τολμηρότατοι. καθάπερ ὁ Θεσσαλὸς ὧν ἔγραψε λοιδορηθεὶς Ἱπποκράτει. καίτοι βιβλίον ἓν συνθεὶς, ἐν ᾧ, καθάπερ οἴεται, τοὺς ἀφορισμοὺς ἐξελέγχει, δεικνὺς ἐναργῶς ἡμῖν ἑαυτὸν οὐδὲ τοὐλάχιστον ἐπιστάμενον τῆς Ἱπποκράτους τέχνης. καίτοι δίκαιόν γε ἦν ἐκμαθόντα πρότερον αὐτὴν, οὕτως ἐπιχειρεῖν ἀντιλέγειν, ἢ τοῦτο μὲν ἴσως οὐκ ὀρθῶς εἶπον. οὐ γὰρ ἂν ἐτόλμησε τοῖς ἀληθέσιν ἀντειπεῖν, εἴπερ ἔμαθεν αὐτὴν, πλὴν εἰ παντάπασιν ἀναίσχυντός τις ἦν, οἷος καὶ ὁ νῦν ἐπὶ τῆς Ἀλεξανδρείας γέγονεν Ἰουλιανὸς, οὗ βίβλους εἶναί φασιν ὀκτὼ καὶ τεσσαράκοντα πρὸς τοὺς Ἱπποκράτους ἀφορισμοὺς, ἐξ ὧν ἔναγχος ἔλαβεν τὴν δευτέραν, ἐν ᾗ τὸν ἀφορισμὸν, ὡς οἴεται, ψευδῆ εἶναι τοῦτον. « Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν, ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὴ καὶ κενεαγγείη, ἢν μὲν οἷα δεῖ γίνεσθαι, γίνεται, συμφέρει τε καὶ εὐφόρως φέρουσι, ἢν δὲ μὴ, τοὐναντίον. » χάρις γε τύχῃ τοῦτο ἡμῖν πρῶτον ἐγχειρησαμένῃ τὸ βιβλίον, ὅπως μὴ μάτην ὁ χρόνος τρίβοιτο μακρὸν ἀναγινωσκόντων ὧν ἔγραψε πρὸς τὸν πρῶτον ἀφορισμὸν, ὧν ἑξῆς ἁπάντων ἐστὶ προοίμιον. ἴσως γὰρ ἂν ἠναγκάσθην τι καὶ πρὸς ἐκεῖνα γράψας οὐδὲν μέγα δοκεῖν πεποιηκέναι, διὰ τὸ μηδέπω θεωρίας ἰατρικῆς ἅπτεσθαι τὸν λόγον. ἀλλ' ὅ γε προειρημένος ἀφορισμὸς οὐ περὶ μικρῶν τῆς τέχνης διαλέγεται, συμβουλεύων τὸν ἰατρὸν τῶν αὐτομάτων γινομένων κενώσεων, διά τε τῆς ἄνω καὶ κάτω γαστρὸς μιμεῖσθαι τὰς ὠφελούσας, καὶ διδάσκει γέ τινες εἰσὶν αὗται, καὶ πῶς αὐτὰς γνωριοῦμεν, ὥσπερ γε καί τινες αἱ βλάπτουσαι, σὺν τοῖς οἰκείοις γνωρίσμασιν. εἰ μὲν οὖν ἐμεμαθήκει τὴν τέχνην Ἰουλιανὸς ὑπὸ διδασκάλων Ἱπποκρατείων, οὐκ ἂν ἐτόλμησε τοῖς ἀληθέσιν ἀντιλέγειν. ἐπεὶ δὲ οὔτ' αὐτὸς, οὔθ' ὁ τῆς τοιαύτης ἐμπληξίας ἡγεμὼν αὐτοῦ Θεσσαλὸς ἐγνώκασι τὴν τῶν Ἀσκληπιαδῶν τέχνην, θαυμαστὸν γ' οὐδὲν ἀγνοεῖν αὐτοὺς, ἃ μηδ' οἱ χωρὶς λόγου φάσκοντες ἰατρεύειν ἠγνόησαν. ἀκοῦσαι γοῦν ἐστιν ἐκείνων, λεγόντων αὐξηθῆναι μάλιστα τὴν τέχνην ἐκ τῆς μιμητικῆς πείρας. ὅσα γὰρ ἐκ περιπτώσεως γενόμενα τοὺς κάμνοντας ὠφέλησε, ταῦθ' ἡμεῖς, φασὶν, μιμούμενοι πολλάκις, συνεστησάμεθα, καὶ διαιρούμενοι ταῦτα, φυσικὰ μὲν ὀνομάζουσιν ὧν ἐκ τοῦ σώματος ἡ αἰτία. κατὰ τύχην δὲ γίνεσθαί φασιν, ὧν ἔξωθεν, ὥστε μὴ μόνης φύσεως, ἀλλὰ καὶ τύχης εἶναι μιμητικὸν τὸν ἰατρόν. εἴρηται γοῦν ὑπ' ἐκείνων τῶν ἀνδρῶν ἄλλα τε πολλὰ τῶν κατὰ τύχην ὠφελησάντων παραδείγματα· καὶ ὁ τὴν ἐν μετώπῳ φλέβα διακοπεὶς ἐκ τοῦ καταπεσεῖν. ἐπεὶ γὰρ ὁμοίως διακειμένου τὴν αὐτὴν φλέβα τεμεῖν ἐτόλμησαν, φασιν, ἐλπίδι τῆς αὐτῆς ὠφελείας. ἀλλὰ καὶ γαστὴρ ἀξιολόγως ὑπεξελθοῦσα φλεγμαινόντων ὀφθαλμῶν, εἶτ' ὀνήσασα μεγάλως ἐπὶ τὴν τοῦ γινομένου μίμησιν ἡμᾶς προὐτρέψατο. ὡσαύτως δὲ καὶ τοὺς ἰκτεριῶντας, ἀθρόα χολωδῶν διαχωρημάτων ἔμετος, ὤφθη πολλάκις ὠφελοῦσα καὶ τοὺς ὑδεριῶντας, ὑδατωδῶν, καὶ τοὺς τὸν καλούμενον ἐλέφαντα νο-

σουῦται, ἡ τῶν μοχθηρῶν χυμῶν κένωσις, καὶ ἐκ τούτων πρόδηλόν ἐστιν ὅτι καὶ τοῖς ἰατροῖς προσήκει μιμεῖσθαι. καὶ τί δεῖ λέγειν αὐτομάτοις κενώσεις, ὅπου καὶ τὰ τῶν διδασκάλων ἔργα μιμούμενοι μανθάνομεν τὴν τέχνην, ἢ Θεσσαλὸν μὲν, ἐὰν διὰ κλύσματός τινος ὑπαγαγὼν τὴν γαστέρα θεραπεύσῃ τὸν κάμνοντα, μιμητέον ἐστὶ τοῖς τούτου μαθηταῖς, ἐὰν δὲ αὐτομάτως ὑπελθοῦσα τύχῃ, φυλακτέον, ἢ τῆς ἐμμήνου καθάρσεως ἐχομένης, ἐὰν αἵματος ἔμετος γένηται τῇ γυναικί. κἄπειτα Θεσσαλὸς, ἤτοι κινήσας τὴν κάθαρσιν, ἢ φλέβα τεμὼν ἰάσηται τὸ πάθος, οὐκ ἂν ἁμάρτοιεν οἱ μαθηταὶ μιμούμενοι τὸν διδάσκαλον. ἐὰν δὲ αὐτομάτως ῥαγέντων τῶν καταμηνίων ἡ κάμνουσα ῥαστωνήσῃ, τοῦτο οὐκέτ' αὖθις μιμητέον. καὶ μὴν οὐδὲν διαφέρει πρὸς τὴν ἑκατέραν μίμησιν ἄν θ' ὑπὸ τῆς μαίας, ἄν θ' ὑπὸ τοῦ Θεσσαλοῦ κινηθέντων τῶν καταμηνίων ἄν τε καὶ χωρὶς τούτων αὐτομάτως ἐκκριθέντων, ἡ κάμνουσα ῥαστωνήσῃ. διὰ γάρ τοι τὴν κένωσιν, οὐ διὰ τὸ ποιῆσαν αὐτὴν ἡ ὠφέλεια γίνεται, καὶ τοῦτο διδάσκων ὁ Ἱπποκράτης ἔγραψε τὸν ἀφορισμὸν ἐκεῖνον·
» Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων, λύσις. ὅπως γὰρ ῥαγῇ, φησὶ, τὰ καταμήνια λύσις ἔσται τοῦ παθήματος, εἴτε φυσικῶς, εἴτε καὶ ἡμῶν τοῦτο ἐργασαμένων. οὐ γὰρ τὸ ποιῆσαν αἴτιον, ἀλλὰ τὸ γινόμενον ὠφελεῖ τὴν νοσοῦσαν. ἓν μόνον ὑπαρχέτω τοῖς καταμηνίοις τὸ ἀθρόως ἐκκριθῆναι, ὅπως ὁ Ἱπποκράτης ὠνόμασε, ῥαγέντων, ἔθος ὂν αὐτῷ τὰς ἀθρόας κενώσεις οὕτω προσαγορεύειν, ὡς εἰ καὶ κατὰ τήνδε τὴν λέξιν εἴρηται.
» Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ἀθρόων ἐκ-
» κριθέντων λύσις. ἐπιλείποι δ' ἄν με ἡ ἡμέρα διερχόμενον ὅσα μιμοῦνται τῶν αὐτομάτως γιγνομένων οἱ ἄνθρωποι, οὐ μὴν οὐδ' ἀμφισβητεῖ τις ἕτερος, ἀλλ' ὡς κοινὴν ἔννοιαν δέχονται, πλὴν τῶν μιαρῶν σοφιστῶν, ὅσοι περὶ μὲν τὰ τῆς τέχνης ἔργα, καὶ τῶν ἰδιωτῶν εἰσὶ χείρους, ἱκανοὶ δὲ ἀπαναισχυντῆσαι, καὶ μακρὰς φλυαρίας συνθεῖναι κατὰ τῶν ἀρίστων ἰατρῶν, οἷος καὶ νῦν γέγονεν Ἰουλιανὸς οὗτος, ὃν οἱ πάντες μὲν ἴσασι μηδὲ πώποτε τῶν τῆς τέχνης ἔργων μεταχειρισάμενον, ἀναισχύντως δὲ ὑβρίζοντα τοὺς παλαιοὺς ἰατρούς.

A bo nominato affectis atrorum humorum vacuatio profuit. Atque inde perspicuum est quòd mutari Medicos deceat. At cur spontaneæ vacuationes referendæ sunt, quum & præceptorum effectus imitantes artem addiscimus? An si clystere quovis alvum subducente ægrotum curaverit Thessalus, à propriis discipulis ipse imitandus est, si verò hæc sponte subducta sit, non imitandus? An verò si suppressis mulieri mensibus sanguinis vomitus suboriatur, ac deinde concitata purgatione, aut secta vena morbum sanaverit B Thessalus, non aberrent discipuli præceptorem imitati? Si cutem sponte menstruis erumpentibus ægra levetur, num hoc ipsis imitandum est? Atqui ad utranque imitationem nihil interest sive ab obstetrice, sive à Thessalo menstruis provocatis, etiam sine his sponte excretis ægra liberetur. Nam propter vacuationem præsidium, non hoc ob ipsam efficientem oboritur, atque hoc docens Hippocrates Aphorismum illum scripsit; *Mulieri sanguinem vomenti, menstruis erumpentibus solutio contingit.* Quomodocunque eruperint C menstrua, morbi solutionem fore pronunciat, sive naturâ, sive nobis id efficientibus. Non enim causa efficiens, sed quod efficitur, ægrotanti auxiliatur. Unum duntaxat detur menstruis confertim excerni, quod verbò *erumpentibus* Hippocrates notavit. Ipsi nanque mos est copiosas vacuationes sic appellare, ac si hisce verbis loquutus fuerit, *Mulieri sanguinem vomenti menstruis confertim erumpentibus solutio.* Me dies deficiat, si quæcunque sponte facta imitantur homines recensere velim, nec sanè alius quisquam hac de re dubitat; imò D hoc omnes tanquam communem notionem recipiunt; improbis Sophistis exceptis qui in artis operibus etiam idiotis sunt deteriores. Possunt autem impudenter attentare, & prolixas in optimos Medicos nugas astruere, qualis nunc Julianus iste factus est, quem omnes norunt nunquam in artis operibus versatum esse, pudore tamen vacuum veteres Medicos injuriis oblædere.

E

ΚΕΦΑΛΑΙΟΝ β'.

Η τοῦ Γαληνοῦ παραίτησις, ὅτι πρὸς τὸν Ἰουλιανὸν γέγραφη. Θερσίτῃ ἀμετροεπεῖ Ἰουλιανὸς παραβάλλεται, ᾧ δύο προσγράφεται ἡ ἀμετροεπία τε καὶ ἀπεραντολογία.

ΑΓ' οὖν ἐτόλμησε γράψαι πρὸς τὸν ἀρτίως εἰρημένον ἀφορισμὸν, οὐδ' εἰπεῖν οἷόν τε πηλίκην ἤτοι γε ἀμαθίαν, ἢ ἀναισχυντίαν, ἢ τόλμαν ἐνδείκνυται, μᾶλλον δ' εἰ χρὴ τ' ἀληθὲς εἰπεῖν καὶ ταῦτα πάντα, καὶ τούτων ἔτι πλείω. τάχα μὲν οὖν ἄμεινον ἦν, μηδ' ἀντιλογίας ἀξιοῦν αὐτὰ τῆς διὰ γραμμάτων, μηδ' ἀπολλύναι τινὰ, καὶ πρὸς τοῦτο χρόνον. δεηθέντων δέ μου λιπαρῶς πάνυ πολλῶν φίλων, ὅσα, προσκομισθέντος μοι τοῦ βιβλίου καθ' ὃ τὸν προειρημένον ἀφορισμὸν ἐξελέγχειν Ἰουλιανὸς ἐπεχείρει, διῆλθον ἐν ὑπομνήμασιν, αὐτὰ παρασχεῖν ὑπέμεινα, καὶ τοῦτον οὐ σμικρὸν ἆθλον, ἀλλ' εἰ

CAPUT II.

Galeni excusatio quòd adversus Iulianum scripserit. Thersitæ locutuleio comparatur Iulianus, cui duo ascribuntur garrulitas & loquacitas.

QUæ igitur adversus paulò ante commemoratum Aphorismum ausus est mandare literis ea quam ignorantiam, aut impudentiam, aut audaciam divulgent, imò si veritatem enunciare oporteat, & hæc omnia, & his etiamnum plura verbis aperire non possumus. At F præstitisset fortassis illa neque opposita oratione digna scriptis censere, neque etiam in his tempus conterere. Verùm quum amicorum meorum plerique me assiduo obnixè rogassent ut quæ, oblato mihi libro, quo prædictum Aphorismum arguere Julianus conatur, disseruerim, ea commentariis proderem, atque hoc non exiguum munus pertuli, imò longè

majus (si verum fatendum sit) extemporalibus commentariis, quos per sex aut plures dies composui, quibus nugarum in Juliani sermonibus suo in libro scriptis esse multitudinem demonstravi. Quod enim vulgo dici consuetum est, id sanè quisque ipsi accommodatissimum pronunciaverit, hoc homine loquacius esse nihil. At Thersites quidam solus locutuleius dicebatur, huic tamen magis quàm Thersitæ hoc dicterium congruit; qui quotquot fuerint garruli, omnes garrulitate superat. Quapropter qui his sermonibus aderant quum ipsi legebantur hæc duo homini imposuerunt vocabula tum garrulitatem, tum loquacitatem. Quare non me sapientiam edocente, sed Ulysse quodam sceptro assidente opus habet. Hominem enim ita stupidum sapientem reddere ipse Musarum chorus nequaquam potest. Quum igitur consultus scribere coactus sim, hæc mihi sunt instar præfationis, ne quæ jam à me enarrata sunt, ab ipsa lecturis arguantur. Quum enim hominem stupidum, indoctum, & sui opinione sapientem nugas inter ineruditos adolescentes tota vita blatientem, apud quos ob eas injurias quibus veteres incessit; se aliquem esse credidit, reprehensurus sum; propterea rogo mihi concedi ut ipsius imperitiam asperioribus verbis erudiam quibus uti non consuevi. Iniquum siquidem foret, si huic concederetur veterum præstantissimos conviciis insectari, nobis autem prohiberetur ejus ignorantiam manifestis demonstrationibus convincere. In tantam enim ea venit magnitudinem, ut unde quis exordiatur, haud facile sit invenire.

CAPUT III.

Quæ Iulianus pro Methodicis attulerit.

IN libri quidem exordio pluribus verbis Hippocratem prætervectus in Sabinum invehitur; idque hoc in universo opere agere videtur, etiamsi illud in Hippocratis Aphorismos non in Sabini explanationes inscribat. Deinde quemadmodum ipsi mos est multa nugatur quibusdam obscurorum verborum nugis compositis, quas si quis arguere conetur, maximum priùs librum impleverit, quàm rem attigisse videatur, & omnia exposita fuisse concedat. Unde nec facile sit scribenti hæc tractare, imò summè perarduum. Attamen in extemporalibus sermonibus, quos apud eruditos viros sæpenumero fecimus, quædam facilis facultas à nobis declarata est per explanationem in veteres similitudinem inventa. Nam ut propositos illorum libros in publicis disputationibus explicavimus.

Desunt nonnulla.

Quod si Methodicus naturæ explorator neque jactabundus, neque magniloquus dicat se non superiorem abditi decreti radicem in medium proferre, duos nimirum esse corporis affectus. Nam secundum naturam constituto duæ sibi invicem contrariæ conversiones mutationesque insidiantur, aut quum plenius coactum astrictumve, aut vehementer fusum, fluidumve est, quæ sub intellectum cadunt proferre apparuerit, non sanè Philosophis qui res naturales scrutantur, ac de universorum materia disserunt, sed Physicis Medicis. Hæc quidem tibi una est admirabilium Juliani textuum series, quibus ab iis quæ

A καὶ τἀληθὲς εἰπεῖν, πολὺ μείζω τῶν κατὰ τοὺς αὐτοσχεδίους, οὓς ἡμερῶν ἓξ ἢ πλεόνων ἐποιησάμην, ἐπιδεικνὺς τὸ πλῆθος τῶν λήρων τῶν Ἰουλιανοῦ λόγων, ὧν ἐνέγραψε τῷ βιβλίῳ. κυριώτατον γὰρ ἄν τις εἴποι τοῦτο δὴ τὸ συνήθως λεγόμενον, ὡς οὐδέν ἐστιν ἀπεραντολογώτερον τἀνθρώπου. Θερσίτης δέ τις μοῦνος ἀμετροεπὴς ἐλάλει, τούτῳ μᾶλλον ἂν ἢ Θερσίτῃ πρέπει, πάντας ὑπερβεβληκότα τοὺς πώποτε γεγονότας ἐν ἀμετροεπείαις. καὶ τοίνυν οἱ παραγενόμενοι τοῖς λόγοις, ἀναγινωσκομένοις αὐτοῖς,
B δύο ταύτας ἔθεντο προσηγορίας τἀνθρώπῳ, τὴν ἀμετροεπίαν καὶ τὴν ἀπεραντολογίαν, ὡς οὐκ ἐμοῦ σωφρονίζοντος, ἀλλ' Ὀδυσσέως τινὸς ἐδεῖτο, τοῦ τῷ σκήπτρῳ καθεζομένου. σωφρονίσαι γὰρ τὸν οὕτως ἔμπληκτον, οὐδ' αὐτὸς ὁ τῶν Μουσῶν δύναται χορός· ἐπεὶ τοίνυν ἄκων ἠναγκάσθην γράφειν, ταῦτα δή εἰσί μοι προοιμίου τινὸς, ὅπως μὴ καταγνωσθῇ ὑπὸ τῶν ἀναγνωσομένων αὐτά. μέλλων γὰρ ἐλέγχειν ἄνθρωπον ἔμπληκτον, ἀμαθῆ, δοξόσοφον, ἐν ἀπαιδεύτοις μειρακίοις ἅπαντι τῷ
C βίῳ φλυαρήσαντα, παρ' οἷς, ἐξ ὧν ἐβλασφήμησε τοὺς παλαιούς, ἐπίστευσέ τις εἶναι· δέομαι οὖν συγχωρῆσαί μοι κολάσαι τὴν ἀπαιδευσίαν αὐτοῦ λόγοις τραχυτέροις, ὧν οὐκ εἴθισμαι χρῆσθαι. δεινὸν γὰρ, εἰ τούτῳ ἐξέσται λοιδορεῖσθαι τῶν παλαιῶν τοῖς ἀρίστοις, ἡμῖν δὲ οὐκ ἐξέσται δι' ἀποδείξεων ἐναργῶν ἐξελέγχειν αὐτοῦ τὴν ἀπαιδευσίαν. εἰς τοσοῦτον γὰρ ἥκει μεγέθους, ὡς οὐδ' ὅθεν ἄρξηταί τις εὑρεῖν εὐπετές.

ΚΕΦΑΛΑΙΟΝ γ'.

D

Ὅσα Ἰουλιανὸς ὑπὲρ τῶν Μεθοδικῶν προσηνέγκη.

ΚΑτὰ μὲν τὴν ἀρχὴν τοῦ βιβλίου τὰ πλείω πρὸς Σαβῖνον ἀποτείνεται καταλιπὼν τὸν Ἱπποκράτην, καὶ τοῦτο μὲν, ὡς ἔοικεν, ἐν ἁπάσῃ ποιεῖ τῇ πραγματείᾳ. καίτοι πρὸς τοὺς Ἱπποκράτους ἀφορισμοὺς ἐπιγράφει αὐτὴν, οὐ πρὸς τὰς Σαβίνου ἐξηγήσεις, εἶτα φλυαρεῖ πολλὰ, καθάπερ ἔθος αὐτῷ, λῆρόν τινα ῥημάτων ἀσαφῶν συνθεὶς, ὧν εἰ μὲν ἐλέγχειν τις ἐπιχειροίη, φθάσῃ πληρώσας βιβλίον μέγιστον, πρὶν ἅψασθαι δόξῃ, συγ-
E χωρῶν οὐ λελέχθαι πάντα. γράφοντα μὲν οὖν δυσδιήγητον καὶ τοῦτο, μᾶλλον δ' ἄπορον ἐσχάτως. ἐν μέντοι τοῖς αὐτοσχεδίοις λόγοις, οὓς πολλάκις ἐποιησάμεθα παρόντων ἀνδρῶν πεπαιδευμένων ἐπιδέδεικταί τις ἡμῖν εὐπορία, καθ' ὁμοιότητα τῶν εἰς τοὺς παλαιοὺς ἐξηγήσεων εὑρεθεῖσα. καθάπερ γὰρ ἐκείνων τὸ προβληθὲν βιβλίον ἐν ταῖς δημοσίοις ἐπιδείξεσιν ἐξηγούμεθα.

Ὀλίγα λείπει.

Εἰ δὲ ὁ Μεθοδικὸς φαίη ἀληκύθως φυσικευόμενος, ὅτι μὴ
F ἀλαζὼν, μηδὲ μεγαλήγορος, μηδ' εἰς μέσον φέρω τὴν ἄνωθεν ῥίζαν τοῦ κεκρυμμένου δόγματος, δύο εἶναι τὰ σώματος πάθη. τῷ γὰρ κατὰ φύσιν συνεστῶτι δύο ἂν ἐφεδρεύσειεν τροπαὶ καὶ μεταβολαὶ ἀλλήλαις ἐναντίαι, ἢ συναγομένου πλείω, ἢ χεομένου βίᾳ. διαφανοντὰ ἂν δοκοίη λέγειν. οὐ μὴν διαφυσικευομένοις τοῖς φιλοσόφοις, καὶ περὶ τῆς τῶν ὅλων ὕλης διειλεγμένοις, ἀλλ' ἰατροῖς φυσικοῖς. αὕτη μέν σοι μία ῥῆσίς ἐστι τῶν θαυμαστῶν Ἰουλιανοῦ λόγων, οἷς,

ἀποχωρῶν ὧν ὁ Ἀσκληπιάδης, καὶ Θεμίσων, καὶ Θεσσαλὸς ἔθεντο στοιχεῖα, ἐπὶ τοὺς προειρημένους ἥκει φιλοσόφους ἀναιροῦντας ἐκ τοῦδε τοῦ κόσμου παντάπασι τὸ κενόν. ἑτέρα δ' ἐφεξῆς αὐτῆς ἥδε. ἀλλ' ἐπιχωρήσειν, καὶ μήτ' ἐκείνης κατάσχοιμ' αὐτῷ λοιπὸν τῆς γλώττης, ὡς μὴ εἴποιμι. τί γὰρ ἂν ἐμοὶ τί δε; ἢ ὅτι ταῖς δὲ ταῖς τροπαῖς ὥσπερ ἠκολούθησεν ἡ τῶν στοιχείων γένεσις, οὕτω καὶ θερμοῦ φύσις, καὶ ψυχροῦ, καὶ ὑγροῦ, καὶ ξηροῦ. ἐκείνων γὰρ πρώτων τῶν γόνων ἔκγονα ποιήματα ἂν εἴη. ὅρα πῶς ἐν ὑψηλοτάτοις θρόνοις, καὶ μετεωροτάτοις καθημένη ἡ μέθοδος ἐλάνθανεν, ἣν ὑπὸ ἐπιεικείας καὶ μετριότητος βουλόμενος λανθάνειν ἐν οὐρανῷ ἔδειξα, καὶ ἐξεκάλυψα μόνος καὶ πρῶτος ἐπισκοτοῦν νέφος παραγὼν, καὶ ἠλευθερώσας. ταῦτ' οὖν ὁ Ἰουλιανὸς λέγει, καὶ τούτων ἑξῆς. ἄλλο τι μὴ νῦν ξυμφερομένην Ἐπικούρῳ οὐχ ἑλόμενος αὐτοῦ τὰ στοιχεῖα, οὐχ ἑνώσαντι τὴν οὐσίαν. ἐν μὲν δὴ τῷ περὶ τῆς μεθόδου ταῦτά τε καὶ ἄλλα πολλὰ γέγραπται, τὸ βιβλίον ὅλον, Ἰουλιανοῦ ἐπιγράφοντος Φίλωνα. δι' ἄλλου δ' αὖθις, ἐν ᾧ περὶ τῶν ψυχικῶν καὶ σωματικῶν παθῶν ὁ λόγος ἐστὶ αὐτῷ, γράφει ταυτί. σύμμετρον μὲν δὴ κατάστασιν καὶ μεμετρημένην, συναγωγῆς τε καὶ χύσεως, ὑποστησάμενοι, ἐπὶ τῶν ἀνθρωπείων συγκριμάτων, ὄνομα αὐτῇ ἐθέμεθα, ὑγείαν. ἤδη δὲ ἡ μεσότης ὑπὸ τῶν νόσων ἐπιβουλευθεῖσα, ἐξ ἀνάγκης πάσχει τὰ σώματα συναγόμενα καὶ σκληρυνόμενα, καὶ ξηρότερα γινόμενα, ἢ χεόμενα, καὶ μαλακυνόμενα, καὶ ὑγραινόμενα.

A Asclepiades, & Themison, & Thessalus elementa statuere discedens ad commemoratos se confert Philosophos qui prorsus è mundo vacuum auferunt. Eam verò *seriem* subsequitur hujusmodi altera. *Verùm loqui concedetur, neque enim ab illa lingua residuum continebo quum dicam. Quid enim id mihi? An quòd istiusmodi conversiones quemadmodum elementorum generatio: sic & calidi natura, frigidi, humidi, & sicci sequuta est. Ab his enim primis seminibus hæc opera exoriuntur. Vide quomodo in* B *altissimis thronis ac valde sublimibus sedens latuit methodus, quam ego volens præ modestia & moderatione in cælo delitescere declaravi, solusque ac primus discussâ ac solutâ obtenebrante nebulâ detexi.* Hæc Julianus profert & subsequentia. Aliud nunc cum Epicuro non senserim rejectis illius elementis qui unam non copulet substantiam. Hæc itaque & alia multa in libro de Methodo à Juliano scripta sunt, totum librum Philonem inscribente. Rursus verò in alio in quo illi de animæ & corporis affectibus est oratio hæc scribit. *Iam commoderatum* C *commensuratumque tum concretionis tum fusionis statum in humanis compagibus constituentes nomen ipsi sanitatem imposuimus. At ubi medium illud à morbis obsessum est, necessariò patiuntur corpora, quæ coguntur, indurantur, sicciora redduntur, aut funduntur, molliuntur, aut humectantur.*

ΚΕΦΑΛΑΙΟΝ δʹ. D

Τὸν Πλάτωνα καὶ τοὺς Περιπατητικοὺς, καὶ Στωϊκοὺς περὶ τῶν στοιχείων, καὶ τῶν νοσημάτων αἰτιῶν πρὸς Ἰουλιανὸν διαφέρεσθαι.

Αὗται μὲν οὖν αἱ ῥήσεις τοῦ λαμπροτάτου σοφιστοῦ, Ζήνωνι, καὶ Ἀριστοτέλει, καὶ Πλάτωνι τοὺς μεθοδικοὺς ἰατροὺς ἕπεσθαι φάσκοντος. ἡμεῖς δὴ αὖθις ἀναμνήσομεν αὐτοὺς ὡς ἕκαστος τούτων τῶν φιλοσόφων ἅμα πολλοῖς τοῖς μετ' αὐτὸν, εὐκρασίαν μὲν ἡγεῖται τὴν ὑγείαν εἶναι, θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ, καὶ ξηροῦ. νοσήματα δὲ γίνεσθαι E τὰ γοῦν κατὰ δίαιταν ὑπερβάλλοντος ἑκάστου τῶν εἰρημένων, ἢ ἐλλείποντος, εἶναι δὲ καὶ χυμοὺς ἐν τῷ σώματι, τοὺς μὲν ὑγροὺς καὶ ξηροὺς κατὰ δύναμιν, ἐνίους δὲ θερμοὺς ἢ ψυχροὺς, ἀναλογίζοντας νοσήμασιν. οὕτω Πλάτων ἅμα τοῖς ὑπ' αὐτοῦ πᾶσιν. οὕτως Ἀριστοτέλης ἅμα τοῖς ἐκ τῶν περιπάτου. οὕτω Ζήνων καὶ Χρύσιππος ἅμα τοῖς ἄλλοις Στωϊκοῖς ἐγίνωσκον. Ἰουλιανὸς δ' οὐδ' ἀνέγνω τι βιβλίον ὧν εἶπον ἀνδρῶν, οὐδ' ὅλως ἀκολούθου καὶ μαχομένου σύνεσιν ἔχει, πάντως γὰρ δὴ ᾔδει· τῇ μὲν ἀναιρούσῃ τὸ F κενὸν αἱρέσει ταῦθ' ἑπόμενα, τῇ θ' ὑπάρχειν εἰπούσῃ συμμετρίαν μέν τινα πόρων εἶναι τὴν ὑγείαν. ἐν στεγνώσει δὲ καὶ ῥύσει τῶν δι' αὐτῶν φερομένων, συνίστασθαι τὰ κατὰ δίαιταν νοσήματα. πότερον οὖν Ἀριστοτέλους, καὶ Χρυσίππου, καὶ τῶν ἄλλων ἁπάντων Περιπατητικῶν τε καὶ Στωϊκῶν ἑξῆς παραγράψω τὰς ῥήσεις, ἐν αἷς φλέγμα καὶ χολὴν αἰτιῶνται, καὶ τὰ πρῶτα νοσήματα τέτταρα ὑπο-

CAPUT IV.

Platonem, Peripateticos, & Stoïcos à Iuliano de elementis & morborum causis dissensisse.

HÆ sunt igitur clarissimi Sophistæ, Methodicos Medicos, Zenonem, Aristotelem, & Platonem sequi prædicantis sententiæ. Nos verò contra eos reddemus memores hos singulos Philosophos, hisque multos posteriores sensisse sanitatem esse calidi, frigidi, humidi, E & sicci temperiem; morbos vero quum ex victu unumquodque commemoratorum exuperet aut deficiat ortum habere. Humores autem corporis quorum alii quidem facultate humidi aut sicci, nonnulli vero calidi vel frigidi morbis analogia respondent. Sic Plato cum omnibus suis Sectatoribus censuit; sic Aristoteles cum Peripateticis; sic Zeno & Chrysippus unà cum cæteris Stoïcis. At Julianus neque ullum unquam horum quos recensuit virorum legit, neque rei consequentis & pugnantis habet intelligentiam, F ea nanque omnino novisset quæ sectam vacuum tollentem consequuntur; quæ verò id existere affirmat, sanitatem quandam meatuum symmetriam esse statuit. In astrictione vero & fluxu eorum quæ per id feruntur, morbos ex victu consistere. Utrum igitur tum Aristotelis & Chrysippi, tum cæterorum omnium tam Peripateticorum, quàm Stoïcorum deinceps subscribam sententias, quibus pituitam & bilem causas esse constituunt, & primos morbos quatuor existe-

re pronunciant, quemadmodum & elementa calidum, frigidum, humidum & siccum? An hoc prætermittere satius fuerit, quod non unus aut duo duntaxat, sed & tres & quatuor etiam plures libri compleri possint, hisque solùm esse contentos quæ à Platone referuntur; quibus præstat hoc agere, non autem cum garrulo Sophista usquequaque nugari. Hoc tantummodo de Peripateticis & Stoïcis præfatus ab his discedam. At neque Aristotelis, neque Theophrasti ullum librum inveneris, in quo si de morbis differere coacti sint, calidi, frigidi, humidi & sicci non memores facti orationem absolverint. Imo & horum semper meminerunt, & cum ipsis sæpius utriusque bilis tum atræ, tum flavæ, nec raro pituitæ; cujus differentias explicant, quum hanc acidam, illam salsam vel salsuginosam, aliam denique dulcem appellitant. Neque sane aliter Chrysippus, imo ita semper & de morbis, & de humoribus differit. Si quis velit solummodo trium enuntiatorum virorum sententias seligere, non paucos libros impleturus est, præsertim si ita det operam quemadmodum Alexandriæ Julianus otiabatur. Quod si etiam aliorum tam Stoïcorum quàm Peripateticorum cujusque sententias seligere velit, universam quoque bibliothecam implebit. At his missis, quemadmodum dixi, solius Platonis textibus contentus ero, qui in omnibus Hippocratis decreta sectatur; non tamen ex aliis qui multi sunt libris, sed ex uno solo Timæo satisfacturus hæc collecta describam. *Porro unde morbi consistant patet omnibus. Quum enim quatuor sint genera ex quibus corpus conformatur, terra, ignis, aqua, aër. Horum præter naturam exuperantia & penuria, & ex propria in alienam sedem transmutatio; ac rursus ignis, ac cæterorum (quum in uno plura sint genera) unumquodque ubi quod sibi consentaneum non est suscipit, hujusmodi omnia seditiones morbosque constituunt. Quum enim unumquodque præter naturam redditur ac mutatur, calescunt quæcunque priùs frigebant, quæ sicca sunt in posterum humescunt; levia quoque & gravia omnes omnino mutationes suscipiunt.* Hac itaque in oratione Plato quantum ad prima elementa, eorumque qualitates spectat Hippocratem dilucidè sectatur. At in sequentibus humores etiam morborum causas statuens hoc modo eloquitur. *Alba autem pituita ob bullarum spiritum intus detenta difficilis; extra verò, corporis spiracula coercens mitior quidem est; variè tamen corpus inficit, albas, atrasque vitiligines, atque his congeneres morbos procreat; sed cum atra bile mixta, si in divinissimos qui in capite sunt meatus illabatur ipsos dissolvit perturbatque: quod si per somnum contingat mitior est, si vigilantes invadat solutu difficilis; qui morbus quum sacræ naturæ sit, sacer meritissimò dicitur.* Atque huic sententiæ his verbis alteram adfert. *Acida verò & salsa pituita omnium qui à defluxionibus oriuntur morborum fons est, quæ ob locos in quos fluit valde multiplices diversa nomina sortitur.* Sic igitur Plato de pituita cum atra bile pronunciaverat. Quæ vero de flava deinceps

χὴν φασὶ, ὥσπερ καὶ τὰ στοιχεῖα τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν, καὶ τὸ ξηρόν. ἢ τοῦτο μὲν ὡς ἂν οὐχ ἓν ἢ δύο βιβλία πληρῶσαι δυνάμενον, ἀλλὰ καὶ τρία καὶ τέτταρα, καὶ πλείω, παραλιπεῖν ἄμεινον, ἀρκεσθῆναι δὲ μόνον τοῖς ὑπὸ Πλάτωνος εἰρημένοις. εἰς σὲ ἄμεινον τοῦτο πρᾶξαι, καὶ μὴ συναδολεσχεῖν τὰ πάντα ληρώδει σοφιστῇ. τοσοῦτον μόνον εἰπὼν ὑπὲρ τῶν ἐκ τοῦ περιπάτου τε καὶ τῆς στοᾶς τῶν φιλοσόφων, ἀπαλλάξομαι· οὐδὲν ἂν εὕροις οὔτ᾽ Ἀριστοτέλους, οὔτε Θεοφράστου βιβλίον, ἐν ᾧ περὶ νοσημάτων ἀναγκασθέντες εἰπεῖν τι, θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ καὶ ξηροῦ μνημονεύουσι διῆλθον τὸν λόγον, ἀλλὰ καὶ τούτων ἀεὶ μέμνηνται, καὶ σὺν αὐτοῖς πολλάκις ἑκατέρας τῆς χολῆς, μελαίνης τε καὶ ξανθῆς, οὐκ ὀλιγάκις δὲ, καὶ φλέγματος. εἶτα τὰς διαφορὰς αὐτῶν διέρχονται, τὸ μὲν ὀξὺ, τὸ δὲ ἁλμυρὸν, ἢ ἁλυκὸν, ἄλλο δὲ γλυκὺ προσαγορεύοντες. οὐ μὴν οὐδὲ Χρύσιππος ἑτέρως ἀλλ᾽ οὕτως ἀεὶ, καὶ περὶ νοσημάτων καὶ περὶ τῶν χυμῶν διαλέγεται. εἴ τις ἐθέλοι μόνων τῶν εἰρημένων τριῶν ἀνδρῶν ἐκλέγειν τὰς ῥήσεις, οὐκ ὀλίγα πληρώσει βιβλία. σχολάζων δὲ οὕτως τις ὥσπερ Ἰουλιανὸς ἐπὶ τῆς Ἀλεξανδρείας ἐσχόλαζεν. ἐὰν δὲ καὶ τῶν ἄλλων τῶν Στωϊκῶν ἢ Περιπατητικῶν ἑκάστου ἐκλέγειν τὰς ῥήσεις, ὅλην βιβλιοθήκην πληρώσει. ἀλλ᾽, ὥσπερ ἔφην, ἐάσας τούτους, ἀρκεσθήσομαι μόνον ταῖς Πλάτωνος ῥήσεσιν, ἑπομένου κατὰ πάντα τοῖς τοῦ Ἱπποκράτους δόγμασιν. οὐ μὴν οὐδὲ παρὰ τούτων τῶν ἄλλων ἐκλέξας βιβλίων ὄντων πολλῶν, ἀλλ᾽ ἐξ ἑνὸς ἀρκεσθησόμενος μόνου τοῦ Τιμαίου παραγράψομαι ταῦτα. « Τὸ δὲ τῶν νόσων ὅθεν ξυνίσταται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς καὶ ὕδατός τε καὶ πυρὸς, καὶ ἀέρος, τούτων ἡ παρὰ τὴν φύσιν πλεονεξία, καὶ ἔνδεια, καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ᾽ ἀλλοτρίαν γενομένη. πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ πλέονα γένη ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνειν, καὶ πάνθ᾽ ὅσα τοιαῦτα, εἰ στάσεις καὶ νόσους παρέχει. παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου, καὶ μεθισταμένου, θερμαίνεται μὲν ὅσα ἂν πρότερον ψύχηται. ξηρὰ δὲ ὄντα, εἰς ὕστερον γίνεται νοτερὰ, καὶ κοῦφα δὴ, καὶ βαρέα, καὶ πάσας πάντῃ μεταβολὰς δέχεται. » Ἐν ταύτῃ μὲν οὖν τῇ ῥήσει σαφῶς ὁ Πλάτων ἀκολουθεῖ τῷ Ἱπποκράτει, κατὰ τὰ πρῶτα στοιχεῖα καὶ τὰς ποιότητας αὐτῶν. ἐν δὲ τοῖς μετὰ ταῦτα, καὶ τοὺς χυμούς πως αἰτιώμενος τῶν νοσημάτων, ὧδέ πως φησί. « Τὸ δὲ λευκὸν φλέγμα διὰ τὸ τῶν πομφολύγων πνεῦμα χαλεπὸν, ἀποληφθὲν, ἔξω δὲ τοῦ σώματος ἀναπνοὰς ἴσχον ἠπιώτερον μὲν, καταποικίλλει δὲ τὸ σῶμα, λεύκας, ἀλφούς τε καὶ τὰ τούτων συγγενῆ νοσήματα ἀποτίκτον. μετὰ δὲ χολῆς μελαίνης κερασθὲν, ἐπὶ τὰς περιόδους, τὰς ἐν τῇ κεφαλῇ θειοτάτας οὔσας, ἐπισκεδαννύμενον καὶ ξυνταράττον αὐτάς. καθ᾽ ὕπνου μὲν ἰὸν πρᾳότερον, ἐγρηγορόσι δὲ ἐπιτιθέμενον, δυσαπαλλακτότερον· νόσημα δ᾽ ἱερᾶς ὂν φύσεως, ἐνδικώτατα ἱερὸν λέγεται. » καὶ ταύτῃ γε τῇ ῥήσει πάλιν ἐπιφέρων ἑτέραν φησί. « Φλέγμα δὲ ὀξὺ καὶ ἁλμυρὸν, πηγὴ πάντων νοσημάτων ὅσα γίνεται καταρροϊκὰ, διὰ δὲ τοὺς τόπους εἰς οὓς ῥεῖ παντοδαποὺς ὄντας, παντοῖα ὀνόματα εἴληφεν. » Οὕτω μὲν οὖν ὁ Πλάτων περὶ τοῦ φλέγ-

» ματος ἀπεφήναντο, καὶ σὺν αὐτοῖς μελαίνης χολῆς. ἐφε- A
» ξῆς δ' ἄκουσον ἃ λέγει περὶ τῆς ξανθῆς. Ὅσα δὲ φλεγ-
» μαίνειν λέγεται τοῦ σώματος ἀπὸ τοῦ κάεσθαί τε καὶ
» φλέγεσθαι, διὰ χολὴν γέγονε πάντα. λαμβάνουσα
» μὲν οὖν ἀνάπνοιαν ἔξω, παντοῖα ἀναπέμπει φυσήματα
» ζέουσα. καθειργνυμένη δ' ἐντὸς, πυρίκαυτα νοσήματα
» πολλὰ ἐμποιεῖ. μέγιστον δ' ὅταν αἵματι καθαρῷ συγκε-
» ραθεῖσα, τὸ τῶν ἰνῶν γένος ἐκ τῆς ἑαυτῶν διαφορῇ
» τάξεως, αἳ διεσπάρησαν εἰς αἷμα, ἵνα συμμέτρως λε-
» πτότητος ἴσχοι καὶ πάχους, καὶ μήτε διὰ θερμότητα,
» ὡς ὑγρὸν ἐκ μανοῦ τοῦ σώματος ἐκρέοι, μήτ' αὖ B
» πυκνότερον δυσκίνητον ὂν, μόγις ἀναστρέφοιτο ἐν ταῖς
» φλεψί. καιρὸν δὴ τούτων ἶνες τῇ τῆς φύσεως γενέσει
» φυλάττουσιν, ἃς ὅταν τις, καὶ τεθνεῶτος αἵματος ἐν
» ψύξει τε ὄντος πρὸς ἀλλήλας ξυναγάγοι, διαχεῖται
» πᾶν τὸ λοιπὸν αἷμα· ἐαθεῖσαι δὲ ταχὺ μετὰ τοῦ περιε-
» στῶτος αὐτὸ ψύχους ξυμπηγνύασι. ταύτην δὴ τὴν δύ-
» ναμιν ἐχουσῶν ἰνῶν ἐν αἵματι, χολὴ φύσει παλαιὸν αἷ-
» μα γεγονυῖα, καὶ πάλιν ἐκ τῶν σαρκῶν εἰς τοῦτο τετη-
» κυῖα, θερμὴ καὶ ὑγρὰ, κατ' ὀλίγον, τὸ πρῶτον ἐμπί- C
» πτουσα, πήγνυται διὰ τὴν τῶν ἰνῶν δύναμιν. πη-
» γνυμένη δὲ, καὶ βίᾳ κατασβεννυμένη, χειμῶνα καὶ τρόμον
» ἐντὸς παρέχει. πλείων δ' ἐπιρρέουσα, τῇ παρ' αὐτῆς θερ-
» μότητι κρατήσασα, τὰς ἶνας, εἰς ἀταξίαν ζέσασα
» διέσωσε. καὶ ἐὰν μὲν ἱκανὴ διὰ τέλους κρατῆσαι γένηται,
» πρὸς τὸ τοῦ μυελοῦ διαπεράσασα γένος, καίουσα ἔλυ-
» σε τὰ τῆς ψυχῆς αὐτόθεν οἷον νεὼς πείσματα, μεθῆκε δὲ
» ἐλευθέραν. ὅταν δ' ἐλάττων ᾖ, τό τε σῶμα ἀντίσχῃ τη-
» κόμενον, αὐτὴ κρατηθεῖσα, ἢ κατὰ πᾶν τὸ σῶμα ἐξέ- D
» πεσεν, ἢ διὰ τῶν φλεβῶν εἰς τὴν κάτω ξυνωσθεῖσα,
» ἢ τὴν ἄνω κοιλίαν, οἷον φυγὰς ἐκ πόλεως στασιασάσης
» ἐκ τοῦ σώματος ἐκπίπτουσα, διαῤῥοίας καὶ δυσεντε-
» ρίας, καὶ τὰ τοιαῦτα νοσήματα πάντα παρέχετο. Ταυτὶ
μὲν οὖν ἐν μόνῳ τῷ Τιμαίῳ Πλάτων εἶπεν ἑπόμενος
Ἱπποκράτει· τὰ δὲ τῶν ἄλλων αὐτοῦ βιβλίων εἴ τις ἐκλέ-
γοι, πάντα δόξει μιμεῖσθαι, μακρολογίας ἕνεκα, τὸν
Ἰουλιανόν. ἔτι δὲ δὴ μᾶλλον εἰ τὰ παρὰ Θεοφράστου, καὶ
Ἀριστοτέλους καὶ Χρυσίππου, καὶ πᾶσι τοῖς Περιπατητικοῖς
τε καὶ Στωϊκοῖς εἰρημένα, περὶ θερμοῦ, καὶ ὑγροῦ, καὶ E
ψυχροῦ, καὶ ξηροῦ, καὶ χολῆς, καὶ φλέγματος, ὑγιείας τε
καὶ νόσου παραγράφῃ σύμπαντα. καὶ γὰρ νῦν ἡγοῦμαι
ἤδη τινὰς μέμφεσθαι τοῦ μήκους ἡμῖν τῶν λόγων εἰς ἔλεγ-
χον ἀναισθήτου σοφιστοῦ συγκειμένων. ὃς γὰρ οὐκ ὤκνησεν,
ὦ Ζεῦ, καὶ θεοὶ, Πλάτωνα μὲν καὶ Ἀριστοτέλην, καὶ
Ζήνωνα, καὶ τοὺς ἀπ' αὐτῶν φιλοσόφους ἐπαινῶν, ἐξε-
λέγχειν δὲ τὰ περὶ τῶν τοῦ σώματος στοιχείων ὑφ' Ἱπποκρά-
τους εἰρημένα, τί ἂν ἐπὶ τῶν πάντων ὁ τοιοῦτος εἰπεῖν αἰ- F
δεσθῇ; ἢ ταῦτα μὲν ἀφείσθω.

proferat, ausculta. *Quæcunque partes corporis quòd ardeant uranturque, propterea inflammationibus obsideri dicuntur quæ omnes à bile procreantur. Quare si bilis exteriora subeat spiracula, varia fervens expirat physemata, intus verò occlusa multos urentes morbos gignit, maximum verò quum puro sanguini commixta fibrarum genus è proprio dimovet ordine, quæ in sanguinem dispersæ sunt, ut is tenuitatis & crassitiei commoderationem teneat, nec propter calorem ut qui humidus est ex raro corpore defluat; neque rursum densior redditus motionis sit difficilis, vixque per venas fluat & refluat. Hos igitur tempestivos usus naturæ generationi præstant tutrices fibræ, quas quum quis & mortuo & perfrigerato sanguine invicem collegerit, tum sanguis universus diffluit; missæ verò ambiente ipsum frigore citò concrescunt. Quum ergo fibræ hanc in sanguinem facultatem sortiantur, bilis quæ natura vetus est sanguis, ac rursum ex carnibus in hunc eliquata, calida & humida paulatim primùm incidens fibrarum facultate concrescit, concreta verò ac vi extincta frigus tremoremque concitat. Quod si uberior affluat, suoque calore fibras superet, confusionem fervescens fovet. Si etiam adusque finem victoriæ par sit, in medullæ genus penetrat, ac exurens animæ vincula tanquam navis rudentes solvit, ipsamque liberam promovet. Quum autem inferior est, corpusque liquescens reluctatur, ipsa devicta aut per universum corpus elabitur, aut per venas in inferiorem vel superiorem ventrem compulsa ut exul è seditiosa civitate, sic è corpore ejicitur, ac tum diarrhœas, dysenterias, & hujusmodi morbos excitat.* Hæc sanè Plato in solo Timæo Hippocratem sectatus protulit. At si quis in reliquis ejus libris quæ reperiuntur omnia colligere velit, is videbitur prolixæ orationis gratiâ Julianum imitari. Quin etiamnum magis si quæcunque à Theophrasto, Aristotele, Chrysippo & omnibus Peripateticis, & Stoïcis de calido, frigido, humido, & sicco; etiam de bile & pituita, sanitate & morbo prodita sunt, describeret universa. Etenim jam nunc arbitror quosdam me longitudinis sermonum in stupidi Sophistæ redargutionem compositorum arguere. Quem enim non piguit (ô Jupiter Diique) Platonem, Aristotelem, Zenonem & posteros ipsorum Philosophos laudibus extollere, quæ verò ab Hippocrate de corporis elementis pronunciata sunt, reprehendere? Quid tandem in omnibus verecundè dicturus est? Sed hæc missa sint.

A

CAPUT V.

In Iulianum invehitur Galenus, quod ille naturæ substantiam, proindeque ipsam naturam ignorari dixerit. Qui naturam ignorant, eos tum quid sit secundum & præter naturam, tum naturales vacuationes, tum sanos & ægros ignorare. Naturæ quidem ut & solis, & animæ, & mentis, & memoriæ, & rationis existentiam scire perarduum. Dissensionem idoneam ignorantiæ rerum testem ac signum esse. Communitates Thessali ac Iuliani improbantur.

AT quæ deinceps scribit, ea perpendenda sunt, qui ne hoc naturæ nomen considerandum esse concedit. Hoc autem extat sui contextus initium: Nunquam enim hi nobis, aut etiam sibi ipsis revera persuaserint quod norint. Quid ipsa natura sit, quam & sursum & deorsum jactam ubique tragicè decantantes aut calidum simplex, aut ex mixtione temperammentum, aut frigidi, spiritusque substantiam esse. Deinde his deinceps multa infert, cognosci naturæ substantiam minimè concedens, ac si Hippocrates huic proposito aphorismo naturæ nomen non ascripserit, neque de spontaneis potius vacuationibus verba fecerit. Unde illi nomen naturæ in mentem venit? Nam aliunde quidem ex consuetâ Juliani garrulitate, ut longæ orationis occasionem præstaret? Quam siquis explicaverit, ipsius nugas perspicuè deprehendet. Quum igitur Medici omnes vacuationum alias quidem à naturæ, aliàs verò à casu fieri præferunt, qui demonstrant ipsarum causas nonnunquam ex ipso ægrotantium corpore concitari, nonnunquam verò extrinsecùs, hanc nugandi de naturæ vocabulo occasionem nactus est. Quod vult ipse proferre comprehendenti in summa hujusmodi licet percipere. Quod sit natura qui ignorant, eos naturales vacuationes enunciare non decet. Verùm (ô Sophistarum generosissime!) hæc tua ratio nos nosse si animam habeamus, aut sensum, aut mentem, aut rationem, aut memoriam prohibuerit, quod horum cujusque substantia cognitu sit difficilis. Ecquid mirum, quandoquidem & ipsius solis, quem evidentissimè intuemur, notionem quâ sit substantiâ exploratè nescimus? An de natura, de anima, de memoria, aut quibusdam istiusmodi cæteris facile sententiam statuimus? Verùm quemadmodum de istis hæc rectè diximus: sic etiam quum horum singulorum notionem, & dilucidam eorum existentiæ dignotionem consequimur, hæc orationi addenda sunt. Omnis quidem planta à natura regitur, omne verò animal à natura simul & animâ. Enimvero si tum nutritionis, tum incrementi, ac aliorum operum causam omnes homines naturam appellamus, quemadmodum sensus ejusque habitus, & motus, animam. Quare nemo nostrum de naturæ operibus mentitur; neque etiam quum quis hæc norit, etiam derepentè ejus substantiam nosse facile poterit; ut neque solis

ΚΕΦΑΛΑΙΟΝ ε'.

Γαληνὸς τὸν Ἰουλιανὸν κατηγορεῖ, ὅτι μὲν ἐκεῖνος τὴν φύσεως οὐσίαν, καὶ δὴ αὐτὴν φύσιν ἀγνοεῖσθαι λέξῃ. τοὺς τὴν φύσιν ἀγνοοῦντας, καὶ τὸ ὂν κατὰ καὶ παρὰ φύσιν, καὶ τὰς φυσικὰς κενώσεις, καὶ τοὺς ὑγιαίνοντας καὶ νοσοῦντας μὴ γνῶναι. τὴν τῆς ἡλίου, καὶ ψυχῆς, καὶ νοῦ, καὶ μνήμης, καὶ λόγου ὕπαρξιν γνῶναι ἀμήχανον·
B καὶ τὴν διαφωνίαν ἱκανὸν μάρτυρα τῆς ἀγνοίας τῶν πραγμάτων καὶ σημεῖον εἶναι. τὰς δὲ κοινότητας τοῦ Θεσσάλου τε καὶ Ἰουλιανοῦ ἀδοκιμάζεσθαι.

ΣΚέψαι δὴ ἑξῆς ἃ γράφει, μὴ συγχωρῶν, ὡς ἔοικε, μηδὲ τοὔνομά τινι, σκέψασθαι τῆς φύσεως. ἔστι δὴ ἀρχὴ τῆς ῥήσεως ἥδε. οὐ δή ἂν πείσειαν ἡμᾶς τε, ἢ αὑτοὺς ἐπ' ἀληθείᾳ, ὅτι ἴσασι τί ἡ φύσις ἐστὶν, ἣν ἄνω τε καὶ κάτω θρυλλοῦ-
C σιν τραγῳδοῦντες πανταχοῦ, ἤτοι θερμὸν ἁπλοῦν, ἢ κρᾶμα κατὰ μίξεως, ἢ ψυχροῦ οὐσίαν καὶ πνεύματος. κᾄπειτα ἑξῆς τούτῳ ἐπιφέρει μὴ πολλὰ συγχωρῶν ἐγνῶναι φύσεως οὐσίαν, ὥσπερ Ἱπποκράτους γεγραφότος ὄνομα φύσεως, ἐν τῷ προκειμένῳ νῦν ἡμῖν ἀφορισμῷ, ἀλλ' οὐκ ἐν τοῖς αὐτομάτοις γιγνομένων εἰρηκότος, πόθεν ἐπεισῆλθεν τὸ τῆς φύσεως ὄνομα; πόθεν δ' ἄλλοθεν ἢ ἐκ τῆς συνήθους Ἰουλιανοῦ φλυαρίας ἀφορμὴν παρέξει λόγου μακροῦ, ὃν ἐάν τις ἀναπτύξει, προδήλως φωράσει τὸν λῆρον αὐτοῦ. ἐπεὶ
D τοίνυν ἅπαντες ἰατροὶ τῶν κενώσεων, τὰς μὲν ὑπὸ φύσεως, τὰς δ' ὑπὸ τύχης γίγνεσθαί φασιν, ἐνδεικνύμενοι τὴν αἰτίαν αὐτῶν, ἐνίοτε μὲν ἐξ αὐτοῦ τοῦ τῶν καμνόντων ὁρμᾶσθαι σώματος, ἔστι δ' ὅτ' ἔξωθεν, ἀφορμὴν ταύτην εἶχε περὶ τοῦ ληρῆσαί τι περὶ τοῦ τῆς φύσεως ὀνόματος. ἔστι δ' ὃ βούλεται λέγειν ἐν κεφαλαίῳ περιλαβόντι τοιόνδε. φυσικὰς κενώσεις οὐδὲ φθέγγεσθαι προσήκεν, ἀγνοοῦντας ὅτι ποτ' ἐστὶν ἡ φύσις. ἀλλ' (ὦ γενναιότατε Σοφιστῶν) οὐδ' ὅτι ψυχὴν ἔχομεν,
E ἢ αἴσθησιν, ἢ νοῦν, ἢ λογισμὸν, ἢ μνήμην ὁ τοιοῦτος λόγος ἐπιτρέψει γιγνώσκειν, ὡς ἑκάστου γε καὶ τούτων δύσγνωστος ἡ οὐσία· καὶ τί θαυμαστόν; ὅπου γὰρ καὶ τὸν ἥλιον αὐτὸν, ὃν ἐναργέστατα βλέπομεν, οὐκ ἴσμεν ἀκριβῶς ὁποῖός ἐστι τὴν οὐσίαν· ἢ πού τε περὶ φύσεως, ἢ ψυχῆς, ἢ μνήμης, ἢ τινος ἑτέρου τῶν τοιούτων ἑτοίμως ἀποφαινόμεθα, ἀλλ' ὥσπερ καὶ ταῦτα αὐτῶν ὀρθῶς εἰρήκαμεν, καὶ οὕτω ὅσον τὴν ἔννοιαν αὐτῶν
F ἑκάστου καὶ τὴν τῆς ὑπάρξεως διάγνωσιν ἔχομεν ἐναργῆ, προσθεῖναι χρὴ τῷ λόγῳ. ἅπαν μὲν γὰρ φυτὸν ὑπὸ φύσεως διοικεῖται. πᾶν δὲ ζῷον ὑπὸ φύσεώς τε ἅμα καὶ ψυχῆς. εἴγε δὴ τὴν μὲν τοῦ τρέφεσθαί τε καὶ αὐξάνεσθαι, καὶ τῶν τοιούτων ἔργων αἰτίαν ὀνομάζομεν ἅπαντες ἄνθρωποι φύσιν. τὴν δὲ τῆς αἰσθήσεώς τε καὶ τῆς ἕξεως αὐτῆς κινήσεως, ψυχὴν, ὥς τ' οὐδεὶς ἡμῶν οὔτε καταψεύδεται τῶν ἔργων τῆς φύσεως, οὔτ' ἐπειδὰν ταῦτα γιγνώσκει, καὶ τὴν οὐσίαν αὐτῆς εὐθὺς οἷός τε, καθάπερ οὐδὲ τὴν τοῦ ἡλίου,

ἀλλ' ἀνατέλλοντα μὲν αὐτὸν ὁρῶμεν ἐναργῶς, ὥσπερ γε καὶ δυόμενον ἅπαντά τε τὸν μεταξὺ τόπον ἀμείβοντα τάξει, καὶ χρόνῳ ἀφωρισμένῳ, τὴν δ' οὐσίαν ὁποῖός τίς ἐστιν, ἐπὶ σχολῇ ζητοῦμεν. εἰ μὲν οὖν ἀδύνατον ἦν γνῶναι τὰς φυσικὰς ἐκκρίσεις ὁπότε γίνονται, χωρὶς τοῦ προεγνωκέναι τὴν οὐσίαν αὐτῆς ἐργαζομένης αὐτὰς φύσεως, εἰκότως ἂν δείξας ἐκεῖνος ἄγνωστον, εὐθὺς αὐτῇ συνανῄρηκε τὴν τούτων γνῶσιν. ἐπεὶ δ' ἐγχωρεῖ κἂν ἐκείνην τις ἀγνοῇ, ταύτας γοῦν γιγνώσκειν, ἐκ περιττοῦ φλυαρεῖ ταῦτα πάνθ' ὁ θαυμασιώτατος Ἰουλιανός. ἡμεῖς γὰρ, ὅταν χωρὶς φαρμάκου καθαίροντος, ἔμετος ἢ συχνὴ κάτω γένηται κένωσις, εἴτε δι' ἐντέρων, εἴτε κατὰ τὰς μήτρας, ἅπαντα τὰ τοιαῦτα φύσει τε γεγονέναι φαμὲν, ἢ ὑπὸ φύσεως, ἢ φυσικῶς. οὐδὲν γὰρ διαφέρει, μιμούμεθά τε φανερῶς ὠφελήσαντες τοὺς κάμνοντας. Ἰουλιανὸς δ' ἔοικεν οὐδ' ὃ πάντες ἄνθρωποι λέγουσί τε καθ' ἑκάστην ἡμέραν, καὶ γιγνώσκουσιν, οὐδὲ τοῦτ' ἐπίστασθαι. κατὰ φύσιν μὲν ἔχειν τοὺς ὑγιαίνοντας, παρὰ φύσιν δὲ τοὺς νοσοῦντας. εἰ γὰρ οὐκ ἔξεστιν οὐδὲν τῶν τοιούτων ὀνομάτων χρῆσθαι, μὴ πρότερον ἐπισταμένους τῆς φύσεως τὴν οὐσίαν, οὔτε τοὺς ὑγιαίνοντας, ὅτι κατὰ φύσιν ἔχουσιν, ἐροῦμεν, οὔτε τοὺς νοσοῦντας, ὅτι παρὰ φύσιν. ἀλλὰ γὰρ εἰ βούλει καὶ τοῦτ' αὐτῷ δῶμεν ἐκ περιουσίας, καὶ συγχωρήσωμεν, εἰ μὴ πρότερον εἰδείημεν, ὡς ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ, καὶ ξηροῦ, τὰ σώματ' ἡμῶν συνέστηκεν, ἀμήχανον εἶναι μιμήσασθαι τὰ καλῶς ὑπὸ φύσεως ἢ τύχης γιγνόμενα. τί οὖν κωλύει γιγνώσκειν ἡμᾶς ἀκριβῶς τοῦτο μέχρις ἂν ἡμεῖς τε λέγειν ἔχωμεν ἀπόδειξιν δόγματος, οἵ τ' ἄριστοι τῶν φιλοσόφων, οὓς καὶ σὺ θαυμάζεις αὐτὸς, ὁμολογῶσιν Ἱπποκράτει τε καὶ ἀλλήλοις· εἰ μή τις τὴν διαφωνίαν ἱκανὴν οἴεται μάρτυρα εἶναι τῆς ἀγνοίας τοῦ δόγματος, ἐξαίφνης ἀπορητικός τις ἀντὶ Στωϊκοῦ γεγονώς. εἰ γὰρ δὴ τούτῳ πέπεισαι τῷ λόγῳ, φάσκοντι μηδὲν τῶν διαπεφωνημένων πᾶσι τοῖς φιλοσόφοις, εἰς γνῶσιν ἀνθρωπίνην ἀφικέσθαι δύνασθαι, τί δή ποτε οὐ πολὺ πρῶτον ἁπάντων ἀπιστεῖς ταῖς σου κοινότησιν, ἃς ἡ κατὰ τὸν οὐρανὸν οἰκοῦσα μέθοδος ἐγέννησεν; ἀλλ' οὐδεὶς τῶν ἄλλων ἰατρῶν εἶδεν αὐτὰς ἀμυδρῶς, ἐναργῶς δὲ, ὡς νομίζει ὁ Θεσσαλός, καὶ τό γε μεῖζον τούτου, ὅτι καίτοι θεασαμένου, καὶ δείξαντος αὐτὰς τοῦ Θεσσαλοῦ τῷ λαμπροτάτῳ χορῷ τῶν ἀμφ' αὐτὸν ἰατρῶν, ὅμως οὐδεὶς οὐδενὶ συνεφώνησεν, ἀλλ' ἄχρι δεῦρο πολεμοῦσι μείζονα πόλεμον ὃν Θεσσαλὸς ἐπολέμησε τοῖς συμφοιτηταῖς. εἴπερ οὖν διαφωνία σημεῖόν ἐστι τῆς τῶν πραγμάτων ἀγνοίας, ἁπασῶν ἀπιστητέον ταῖς τοῦ Θεσσαλοῦ κοινότησι, ὅσον καὶ πλείστη γε περὶ αὐτῶν ἐστιν ἡ διαφωνία. ὃ μέντοι γε τὴν τοῦ σώματος ἡμῶν φύσιν, ἤτοι γε ἐξ ἀέρος, καὶ πυρὸς, καὶ ὕδατος, καὶ γῆς, ἢ ἐξ ὑγροῦ, καὶ ξηροῦ, καὶ θερμοῦ, καὶ ψυχροῦ, συμμέτρως ἀλλήλοις κεκραμένων γεγονέναι, διαπεφώνηται μὲν, ἀλλ' οὐκ εἰς τοσοῦτον ὅσον αἱ Θεσσαλοῦ κοινότητες. εἴ γε καὶ Πλάτων, καὶ Ζήνων, Ἀριστοτέλης τε, καὶ Θεόφραστος, Εὔδημός τε, καὶ Κλεάνθης, καὶ Χρύσιππος ἅμα πολλοῖς φιλοσόφοις,

A Sed quemadmodum Orientem quidem ipsum, sic & Occidentem manifestò intuemur, & universum intermedium locum ordine ac tempore præfinito percurrentem; substantiam verò quæ & qualis ipsa sit, majori otio perquirimus. Itaque si naturales excretiones quo tempore fiunt, minimè citrà præviam naturæ ipsas efficientis cognitionem nosse possimus, meritò ille quum demonstravit hanc ignotam esse, quamprimùm istarum etiam notitiam cum ipsa simul abstulit. Quum autem concedat, etiamsi quis illam ignoret, has tamen cognoscere, cumulatissimè hæc omnia præclarissimus Ju- B lianus nugatur. Nos autem quum absque Medicamento purgante vomitus, aut copiosa deorsum oboriatur vacuatio, sive per intestina, sive per uterum, hujusmodi omnia per naturam, vel à natura, vel naturaliter facta esse pronunciamus. Nihil siquidem refert si has imitati *vacuationes*, ægrotantibus opem planè tulerimus. At Julianus neque videtur id scire quod omnes homines quotidie profitentur & agnoscunt eos secundum naturam se habere qui sanitate fruuntur, præter naturam verò eos qui C ægrotant. Si namque minimè liceat quicquam nos talium nominum usurpare, priusquam naturæ substantiam noverimus, neque etiam ex ipsis sanos bene valere, quòd secundùm naturam se habeant, neque ægros morbo laborare, quòd præter naturam sint. Sed enim & hoc ipsi, si velit, cumulatissimè demus & concedamus, nisi priùs noverimus ex calido, frigido, humido & sicco nostra corpora constare, perarduum esse nos quæ bona à naturâ, vel fortunâ procedunt imitari. Quid igitur prohibet nos id accuratè cognoscere, quum & verbis tenùs decreti demonstrationem sortiamur, & D præstantissimi Philosophi, quos tu ipse quoque admiraris, & inter se, & cum Hippocrate consentiant? Nisi quis dissentionem censeat idoneum esse testem ignorationis decreti, statim pro Stoïco quidam Aporeticus dubiusve fuerit. Nam si sanè huic rationi credideris affirmanti nihil eorum de quibus omnes inter se Philosophi digladiantur, in humanam cognitionem venire posse, cur non longè etiam magis primum omnium tuis pulchris communitatibus quas in cælos habitans methodus genuit, E fidem non adhibes? At eas aliorum Medicorum nullus obscurè; sed perspicuè novit, ut arbitratur Thessalus, sed & id majus est quod etiamsi illas Thessalus & viderit, & clarissimo eorum qui illum sectati sunt Medicorum choro ostenderit; nullus tamen eorum alteri congruit; imò vehementiori ad hunc usque diem bello inter se dimicant, quàm eo quo Thessalus cum suis discipulis concertaverat. Si itaque dissentio rerum ignorationis signum F sit, primum omnium nulla Thessali communitatibus fides erit adhibenda quô plus de ipsis in est controversiæ. Enimvero corporis nostri natura an ex aëre, igne, aqua, & terra; aut ex humido, sicco, calido, & frigido inter se commoderatè temperatis constituta sit, illud in controversiam adductum est, sed non in tantam, quantam Thessali communitates subierunt; quando quidem Plato, Zeno, Aristoteles, Theophrastus, Eudemus, Cleantes, & Chrysippus, ac plerique Philosophi, quorum

quorum alii sese quidem Stoïcos, alii verò Peripateticos, alii denique Platonicos nominaverunt, de ipsis simul consentiunt. Quas verò appellavit communitates Thessalus, tantum abest ut hæ à cæteris Medicis probentur, ut nequidem ipsæ ab his revera amethodis concedantur; sed gravi methodi nomine tanquam propugnaculo utuntur. Neque enim Hippocrates, neque Diocles, neque Plisthonicus, neque Praxagoras, neque Mnesitheus, neque Philotimus, neque Erasistratus, neque Herophilus, neque alius quisquam Medicus, neque Rationalis, neque Empiricus Thessali communitatibus annuerunt. Et sanè si controversiæ inter se comparandæ sint, eam quæ de Thessali communitatibus est, inveneris, non re parva alias superare. Quum enim tres genere sint in arte medendi sectæ, ut ipsi loquuntur, quumque tum Empirici, tum Dogmatici has Thessali cōmunitates destruant, existimandum est hanc non exiguam esse hujusmodi controversiam; sed in immensum ejus magnitudinem in crescere, quum neque Themison ipse communitatum parens, neque quisquam è suis sectatoribus, imò neque istorum amethodorum Thessaliorum ullus eas tuetur. Nullus enim est qui non illis quiddam aut addiderit, aut detraxerit, aut aliquo modo immutaverit. Atqui etiamsi omnes ipsi inter se convenirent, neque tamen ea ita parva esset cum reliquis discordia. Quum autem in illis omnibus ipsi non consentiunt; solus relinquitur Thessalus, neminem habens præter hunc verbo tenus Julianum. Re namque demonstratum est eum quoque maximè sibi contraria protulisse. Qui verò de his fidem accipere velit, nostros de Methodica secta Commentarios adeat. Enimverò si solus Thessalus pro rei veritate concertantibus dicat demonstrationem esse judicium, rerumque aliis apparentium consensum, nemo ipsum damnaverit. Deinde vero nonne imprimis quidem Thessalum à cæteris omnibus dissidentem, etiam ab ipso Hippocrate damnabimus? Qui præter optimos Medicos Philosophorum quoque prestantissimi attestantur, fidem dissidii unius gratiâ non adhibebimus? Quisnam hoc ferre possit? Quis hasce nugas toleret? Quis non potius doleat tempus in hominis controversiam deperditum? Qui neque eorum quæ ipse dixerit memor sit, neque ea quæ scripserit, intelligat? Imo, quod est in proverbio, quicquid in buccam venerit, effutiat?

A ὧν οἱ μὲν Στωϊκούς, οἱ δὲ Περιπατητικούς, οἱ δὲ Πλατωνικοὺς ἑαυτοὺς ὠνόμασαν, ὁμολογοῦσιν ἀμφ' αὐτάς. αἱ δὴ ὑπὸ Θεσσαλοῦ κοινότητες εἰρημέναι, τοσούτου δέουσιν ἀρέσκειν τοῖς ἄλλοις ἰατροῖς, ὥστ' οὐδ' αὐταὶ τούτοις ὁμολογοῦνται τοῖς ἀμεθόδοις μὲν ὄντως, ὀνόματι δὲ σεμνῷ τῷ τῆς μεθόδου, καθάπερ τινὶ προβλήματι κεχρημένοις. οὔτε γὰρ Ἱπποκράτης, οὔτε Διοκλῆς, οὔτε Πλειστόνικος, οὔτε Πραξαγόρας, οὔτε Μνησίθεος, οὔτε Φιλότιμος, οὔτε Ἐρασίστρατος, οὔτε Ἡρόφιλος, οὔτε ἄλλος τις ἰατρός, οὔτε λογικός, οὔτ' ἐμ-

B πειρικός, ἠρέσθη ταῖς Θεσσαλοῦ κοινότησι. καὶ μὴν εἰ χρὴ παραβάλλειν ἀλλήλαις τὰς διαφωνίας, οὐ μικρᾷ τινι προὔχουσαν εὑρήσεις τὴν περὶ τοῦ Θεσσαλοῦ κοινότητα. τριῶν γὰρ οὐσῶν ἐν ἰατρικῇ κατὰ γένος αἱρέσεων, ὡς αὐτοὶ λέγουσι, ὅταν οἵ τ' ἀπὸ τῆς ἐμπειρίας ὄντες, οἵ τε δογματίζοντες ἀναιρῶσι τὰς Θεσσαλοῦ κοινότητας, οὐ μικράν τινα χρὴ νομίζειν τὴν τοιαύτην διαφωνίαν, ἀνυπέρβλητον δὲ τὸ μέγεθος αὐτῆς γίνεται; μὴ αὐτοῦ τοῦ γεννήσαντος τὰς κοινότητας Θεμίσωνος, μήτε τῶν ἀπ' αὐτοῦ μηδενός, ἀλλὰ μήτε τῶν ἀμεθόδων Θεσσαλείων μηδενὸς φυλάξαντος αὐτάς. οὐδεὶς γοῦν ἐστὶν

C ὃς οὐχ ἤτοι προσέθηκεν αὐταῖς ἄλλο, ἢ ἀφεῖλε, ἢ μετεκόσμησέ πως. καί τοι γε οὐδ' εἰ πάντες οὗτοι συνεφώνουν ἀλλήλοις, οὐδ' οὕτω σμικρά τις ἦν ἡ διαφωνία πρὸς τοὺς ἄλλους, αὐτοῖς. ὁπότε δ' ἐπ' ἐκείνοις ἅπασιν οὐδ' αὐτοὶ συμφέρονται, μόνος οἶμαι ἀπολείπεται ὁ Θεσσαλὸς ἔχων οὐδένα, πλὴν ἄχρι λόγου τοῦτον τὸν Ἰουλιανόν. ἔργῳ μὲν γὰρ ἐδείχθη καὶ οὗτος ἐναντιώτατα λέγων αὑτῷ, καὶ ὅς τις περὶ τούτου πεισθῆναι βούλεται τοῖς περὶ τῆς μεθοδικῆς αἱρέσεως ὑπομνήμασιν ἡμῶν ἐντυγχανέτω. ἀλλὰ καί τοι μόνος

D ὁ Θεσσαλὸς εἰ φαίη τοῖς ὑπὲρ ἀληθείας ἀγωνιζομένοις ἀπόδειξιν εἶναι τὸ κριτήριον καὶ συμφωνίαν τῶν τοῖς ἄλλοις δοκούντων, οὐδεὶς αὐτοῦ καταγνώσεται, εἶτα Θεσσαλοῦ μὲν οὐ προκαταγνώσκομεν, ἅπασι τοῖς ἄλλοις διαφωνοῦντος Ἱπποκράτους, ᾧ πρὸς τοῖς ἀρίστοις ἰατροῖς, οἱ κράτιστοι τῶν φιλοσόφων μαρτυροῦσιν, ἀπιστήσομεν δ' ἐκ μόνης διαφωνίας; τίς ἂν τοῦτον ἀνασχέσθαι δύναιτο; τίς περιμεῖναι τῷ λέγω τοιούτῳ; τίς οὐκ ἂν ἀλγήσειεν ἀπολλὺς τὸν χρόνον εἰς ἀντιλογίαν ἀνθρώπου, μήθ' ὧν αὐτὸς εἶπεν μεμνημένου, μήθ' ὧν γράφει συνιέντος; ἀλλὰ αὐτὸ δὴ

E τοῦτο τὸ κατὰ τὴν παροιμίαν, ὅπερ ἂν ἐπὶ γλῶτταν ἔλθοι, ἐκφλυαροῦντος;

CAPUT VI.

Adversus Iulianum & Asclepiadem plenitudinem non esse continentem, sed antecedentem morborum causam. Duplicem esse plenitudinem, ad vasa & ad vires; plenitudinem aliam universalem, aliam particularem, in humoribus duplicem esse morborum causam, plenitudinem & corruptionem, illam phlebotomia, hanc catharitico solvi.

SEd enim his jam missis, quæ deinceps ab ipso narrantur, auscultemus, primam nimirum sententiam in qua præsentem aphorismum eam continere morborum tum radicem, tum frontem pronunciat, scilicet humorum pleni-

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Πρὸς Ἰουλιανόν τε καὶ Ἀσκληπιάδην τὸ πλῆθος μὴ αἴτιον συνεκτικὸν εἶναι, ἀλλὰ προηγούμενον τῶν νόσων αἴτιον. τὸ πλῆθος διττὸν εἶναι, καὶ πρὸς ἀγγεῖα, καὶ πρὸς δύναμιν. τὸ πλῆθος, τὸ μὲν καθόλου, τὸ δὲ κατὰ μέρος. ἐν ὑγροῖς
F τὴν τῶν νόσων αἰτίαν, τὸ μὲν πλῆθος, τὸ δὲ διαφθοράν, προτέραν τῇ φλεβοτομίᾳ, δευτέραν δὲ τῷ καθαρτικῷ λύεσθαι.

ΑΛλὰ γὰρ ἐάσαντες ἤδη καὶ ταῦτα, τῶν ἑξῆς εἰρημένων ἀκούσωμεν αὐτοῦ, καὶ πρώτης γε τῆς ῥήσεως, ἐν ᾗ φησι, τὸν προκείμενον ἀφορισμὸν, ῥίζαν τε καὶ πηγὴν ἔχειν τὸ, ὅτι πλῆθος ὑγρῶν τῶν

νοσημάτων ἐστὶ συνεκτικὸν αἴτιον. ἄμεινον ἴσως καὶ ταύτα παραγράψαι τὴν ῥῆσιν ὅλην, αὐταῖς ὀνόμασι. γέγραπται δ' οὕτως ὑπ' αὐτοῦ αὐτίκα ὧδέ πως εἰρη- » μένον. καιρὸς γὰρ ἤδη ἐπὶ τὴν ἐξ εὐθείας παρελθεῖν » ἀντίρρησιν. ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, ὡς τὸ παρα- » λειπόμενον τοῦ ἀφορισμοῦ ἅπαν, ῥίζαν τε καὶ πηγὴν » ἔχειν, τὸ, ὅτι πλῆθος ὑγρῶν νοσοποιεῖ τὰ σώματα, κατ' » ἔννοιαν συνεκτικοῦ αἰτίου, ὅθεν ἀποδεδειγμένου τοῦ, » οὐκ ἐν ὑγροῖς εἶναι αἴτια τῶν παθῶν, ψευδὴς γὰρ ἡ » δόξα, συναποδέδεικται καὶ ἡ τοῦ ἀφορισμοῦ μοχθηρία, ὅτι » ἀδήλῳ σπέρματι ἕπονται ψευδῆ. αὕτη μὲν ἡ ῥῆσις αὐτοῦ. κάλλιστον δ' ἦν εἴπερ ἐνεχώρει γενέσθαι θέατρόν τι πληρώσαντας, μὴ τοιοῦτον οἷον ὁ Θεσσαλὸς ὑποθέμενος, ἐστεφάνωσεν ἑαυτὸν ἐν τοῖς ληρώδεσι βιβλίοις, ἀλλ' ὄντως μεστὸν ἀνδρῶν πεπαιδευμένων, ἔρεσθαι τὸν Ἰουλιανὸν, ὁποίας ὁρμώμενος ἀποδεικτικῆς μεθόδου, τὸν εἰρημένον ὑπ' αὐτοῦ ἀληθῆ λόγον νομίζει; γενήσεται γὰρ, εἴ τις ἑρμηνεύσει αὐτὸν ἐν ᾧ προσήκει τοιόσδε. τοῖς ἡγουμένοις ἐπὶ ταῖς κενώσεσιν ὠφελεῖσθαι τοὺς κάμνοντας, ἀναγκαῖόν ἐστι συνεκτικὸν αἴτιον ὑποθέσθαι τῶν νόσων πλῆθος. εἰ δ' ἀληθής ἐστιν ὁ λόγος οὗτος, ἡδέως ἂν ὡς ἐπαιδευσα θεάτρου πεπαιδευμένων ἀνδρῶν, ἵνα κἂν ἐκ τοῦ πλήθους αὐτῶν, αἴσθηταί ποτε τῆς ἐμπληξίας ὁ ληρώδης Ἰουλιανός. ἐκ μὲν γὰρ αὐτῶν τῶν λεγομένων ἀδύνατον αἰσθέσθαι τοιούτῳ γε ὄντι. τοιοῦτος γάρ ἐστι, οἷον ἑαυτὸν ἐπιδείκνυσι διὰ τῶν γραμμάτων, ἀλλ' ὡς ἐν τῷ θεάτρῳ καλῶς ἐγχειρήσει ταῦτα, καὶ νῦν ἐρῶ. ἡ τῶν Θεσσαλείων ὄνων ἀγέλη, φλεβοτομοῦσι παμπόλλους τῶν πυρεττόντων. εἰ μὲν βλάπτεσθαι νομίζουσιν ἐκ τῆς κενώσεως αὐτοὺς, οὐκ ὀρθῶς φλεβοτομοῦσι. εἰ δ' ὠφελεῖσθαι, συνεκτικὸν αἴτιον ὑποτεθέντες πλῆθος, ὅπερ οὐ βούλονται. τάχ' οὖν ἄν τις ἐξ αὐτῶν εἴποι· καὶ τίς ἀνάγκη συνεκτικὸν αἴτιον εἶναι τὸ πλῆθος ὠφελούσης τῆς κενώσεως; πρὸς ὃν ἀποκρίνεσθαί μοι ῥᾷον, ὡς ἀνάγκη μὲν οὐδεμία. λέγει δ' οὖν ταῦτα τῶν ἐκ τῆς ἀγέλης τῆς ὑμετέρας οὑτοσὶ, καὶ δείξω τὸν Ἰουλιανὸν, ἐκεῖνόν τε φήσω δίκαιον εἶναι λόγον ὑπέχειν ὧν ἐλήρησεν. οὕτω μὲν ἐν τῷ θεάτρῳ προσδιαλεχθείη τις αὐτῷ. νυνὶ δὲ, οὐ γὰρ ἔχομεν θέατρον, εἰς τὰς αὐτὰς λαβὰς ὀλίγοι ἥκουσι, ὁπότε ἂν ἀληθεῖς ὑπάρχωσι, ἄν τε καὶ προφανῶς ψευδεῖς. Ἰουλιανός τε γὰρ ἀεὶ γράφει τὸ ἐπελθὸν αὐτῷ, μηδεπώποτε φροντίσας ἀληθείας. ἐγώ γε παρ' ὅλον ἐμαυτοῦ τὸν βίον οὐδὲν οὕτω σπουδάσας ὡς γνῶναι πρῶτον μὲν ἀποδεικτικὴν ἐπιστήμην, ἀσκηθῆναι δ' αὐτῆς αὐτὴν μετὰ πάσης σπουδῆς, ἔοικα κάμνειν μάτην. ὅσοι μὲν γὰρ ἀποδείξει παρακολουθοῦσι, τάχα μὲν καὶ γινώσκουσιν ὅτι μηδέπω τῶν Ἰουλιανοῦ ἐφιστάμενοι λήρων. ὅσοι δ' ἐκ τῆς ἀγέλης εἰσὶν αὐτοῦ, τὴν ἀρχὴν οὐδὲν μανθάνουσι τῶν λεγομένων. διὰ ταῦτα τοίνυν αὐτὰ καὶ πρόσθεν ἔλεγον, οὐ μικρόν μοι τοῖον ἆθλον οἱ φίλοι προσέταξαν, ὧν ἕνεκεν ἐπιστημονικωτέρων ἅψομαι λόγων. ἐχρῆν μὲν δή που, μὴ φθέγγεσθαι μόνον ὀνόματα τῆς διαφορᾶς τῶν αἰτίων προσήκοντα, τὸν Ἰουλιανὸν, ἀλλὰ καὶ φυλάττειν αὐτῶν τὰ σημαινόμενα. νυνὶ δὲ καὶ γὰρ τοῦτο ἕν ἐστι τῆς ἐμπληξίας ἁπάντων τῶν μεθοδικῶν κοινὸν, ἄχρι μὲν τῆς προσηγορίας ἥκει τῶν συνεκτικῶν

A tudinem continentem esse morborum causam. Præstiterit fortassis hîc quoque textum ipsis vocabulis universum ascribere. Sic autem statim ab eo scriptum est quod hoc modo enunciatur. Jam enim tempus est è directo ad contradi- « ctionem accedere. *In alvi perturbationibus*; « quod ejus aphorismi reliquum deest univer- « sum, eam continet radicem, eumque fontem, « quòd humorum plenitudo continentis causæ « ratione morbis afficiat corpora. Unde id de- « monstratum est humoribus non insidere mor- « borum causas (hæc nanque opinio falsa est) « unà quoque aphorismi pravitas demonstrata « B est, quòd obscuram propositionem falso se- « quantur. Hæc sunt illius verba. Operæ pre- « tium sanè foret, si daretur à quibusdam construi aliquod theatrum (non tale quale Thessalus instituens suis in libris nugatoriis seipsum coronavit) sed eruditis viris plenum, ac in eo Julianum interrogari quâ demonstrativa methodo permotus arbitretur prolatam à se rationem veram esse. Nam si quis eam prout decet, interpretetur, talis futura est. Qui existimant morbis laborantes vacuationibus juvari, eos continentem morborum causam plenitudinem suppone- C re necesse est. At si hæc vera sit oratio, lubenter in medio eruditorum virorum theatro illum interrogarem, ut ex eorum plenitudine suam stupiditatem nugatorius Julianus agnosceret. Ex iis enim quæ dicuntur, quum talis sit, sapere non potest. Talis enim est, qualem se libris propriis prodit. At vero in theatro, prout hæc probe tractaverit etiam nunc explicaturus sum. Per multis febricitantibus Thessaliorum asinorum grex venam secat. Quod si sit ex vacuatione quidem ipsos lædi arbitrentur, non D rectè venam secant; si vero juvari continentem causam plenitudinem esse supponunt, quod tamen nolunt. Fortassis eorum aliquis dixerit, & quæ necessitas cogit, conferente vacuatione, continentem causam esse plenitudinem? Cui respondere mihi est facile, nullam quidem esse necessitatem; de grege tamen vestro is est qui ista proferat; ac demonstramus sum, atque illum affirmaturus æquum esse, ut quæ nugatus est Julianus, eorum quæstionem tuetur. Sic in theatro quisquam cum eo egerit. Nunc vero, non enim theatrum habemus, ad ipsas excusa- E tiones pauci veniunt, omnes sive sint veraces, sive etiam apertè mendaces. Etenim Julianus quod ipsi in mentem venit scriptis mandat, veritatem non meditatus. Ego verò quum per meam totam vitam nulli rei unquam magis studuerim quàm ut demonstrandi scientiam primùm addiscerem, deinde vero ipsam omni studio exercerem, frustra me laborare videor. Nam qui demonstrationes assequuntur, mox etiam agnoscunt se Juliani nugis nequaquam F incumbere. Qui tamen ex illius grege sunt, eorum quæ dicuntur initium minimè percipiunt. Propterea quæ priùs dicebam non leve mihi certamen amici præfinierunt, quorum gratia magis scientificas quæstiones tractaturus sum. Enimverò oportebat Julianum non modò congruentia causarum differentiæ vocabula proferre, sed etiam eorum significata observare. Nunc autem (etenim hoc unum est temeritatis omnium Methodicorum commune) ad continentium causarum appellationem usque

pervenit, non tamen consequitur, quomodo ab antecedentibus causis differant, aut ii omnino agnoscerent morborum incrementum ab antecedentibus causis prodire. Nam quæ omnino morbis ortum dederunt, & quoad simile quiddam egerint easdem adaugere necesse est. Si medicamentum, exempli gratiâ, adeo acre ut exulcerare queat, cuti per horam impositum ipsam solam cuticulam epidermidem vocatam ulcerabit; si verò diutiùs admotum immoretur, opus insigne peraget, cute primum, deinde subjectis ipsi carnibus corruptis, quin & quæ septica nominantur, ad ossa usque subjecta interdum progrediuntur superpositam ipsis carnem universam exurentia. Itaque quum antecedentes causæ hujusmodi naturam sortiantur, fieri omnino non potest, ut his remanentibus, procreatus jam morbus sanetur. Ubi nanque monstratum est morbum majorem effici, nisi priùs causa efficiens sublata sit, nequaquam sanè sanitas integrè revocatur. Sunt igitur causæ antecedentes, cujusmodi quoque plenitudo est. Supponamus enim primùm hac in oratione antecedentem causam, nisi quis priùs exciderit, factum jam morbum sanari non posse. Quamobrem Asclepiades plenitudinem autumat morbos præcedere, & ab illius vacuatione morbo laborantes juvari profitetur; non quòd illa quos jam fecerat morbos solvat, sed quod eos augeri nequaquam sinat; ob idque à Medicis ut curationem absolvant, exigit. Sed enim supponatur plenitudinem interdum esse continentem morborum causam, necessarium est ipsius vacuatione morbum sedari. Atqui profectò nequaquam interdum, ut loquitur Asclepiades, causa est continens. Præstiterit hîc garrulo Juliano dimisso, cum Asclepiade disputationem instituere, qui etiamsi nisi aliud legitimè moliatur, agit tamen Sophistam. Is nanque vir rationes maximè probabiles proponere consuevit, vafrè tamen elaboratas, quod Sophistæ, meâ quidem sententiâ, munus est. Porrò hujuscemodi quædam est ratio, quam deinceps scripsit Julianus, quæ per Jovem! minimè illius voces sapit; cætera nanque in hunc modum scripsisset, verùm eorum meminit quæ ab Asclepiade prodita sunt: quod si ex propriis hæc esset Juliani rationibus, similiter ac in superioribus garrulus videretur. Ait itaque Asclepiades; quòd si plenitudo esset causa morborum continens factis per morborũ initia copiosis vacuationibus, statim ab omnibus molestiis ægrotus solveretur. Nunc autem purgata jam plenitudine, sæpenumero morbos augeri conspicimus. Hæc ratio non est parum probabilis, proindéque propria eget solutione; non ea tamen attingit quæ in Hippocratis aphorismo pronunciata sunt: Non enim illa ex decreto fidem adepta est, sed ex communi omnium hominum ratiocinatione, quâ etiam Empiricos uti diximus. Quare illam Asclepiadis rationem diluimus, non quòd aphorismi pronunciato consentanea sit; sed quoniam satius esse videtur ut nos qui hucusque Juliani nugas pertulimus, exerceamur tandem magis Logicè cum homine congredientes, qui Sophista est. Quum igitur plenitudinem nominat Asclepiades, interrogetur ipse utram intelligat, an eam quæ ad vires, an verò eam quæ ad vasorum capacitatem, quæ adaffusionem quoque vocare consueverunt.

A αἰτιῶν, οὐ παρηκολούθησε δ' ὅπῃ διαφέρει τῶν προηγουμένων, ἢ πάντως ἂν ἐγίνωσκεν ὅτι ἡ τῶν νοσημάτων αὔξησις τῶν προηγουμένων ἔργον ἐστίν. ἃ γὰρ ὅλως ἤρξατο τῆς γενέσεως τοῦ νοσήματος, ἀνάγκη ταῦτα αὐξάνειν αὐτά, μέχριπερ ἐνεργῇ τι παρόμοιον· εἰ οὕτως ἔτυχε δριμὺ φάρμακον, ὡς ἑλκοῦν δύνασθαι, μιᾷ μὲν ὥρᾳ κατὰ τοῦ δέρματος ἐπιτεθέν, αὐτὴν μόνην ἑλκώσει τὴν καλουμένην ἐπιδερμίδα. πλείονι δὲ χρόνῳ πλησιάζον, ἔργον ἀξιόλογον ἐργάσεται, πρῶτον μὲν τοῦ δέρματος, B εἶτα καὶ τῶν ὑποκειμένων σαρκῶν· καὶ τά γε καλούμενα σηπτά, μέχρι μὲν τῶν ὑποκειμένων ὀστῶν ἐνίοτε προέρχεται, διακαίοντα τὴν ἐπικειμένην αὐτοῖς ἅπασαν σάρκα. τοιαύτην οὖν φύσιν ἐχόντων τῶν προηγουμένων αἰτιῶν, οὐχ οἷόν τε τὸ γεγονὸς ἤδη πάθος ἰάσασθαι μενόντων. ὅπου γὰρ ἐδείχθη μεῖζον γινόμενον, οὐκ ἂν δή που τελέως ὑγιασθείη πρὶν τὸ ποιοῦν ἀφαιρεθῆναι. τὰ τοίνυν προηγούμενα τῶν αἰτιῶν οἷόν περ τὸ πλῆθος, ὑποκείσθω γὰρ πρῶτον ἐν τῷδε λόγῳ C προηγούμενον, εἰ μή τις ἐκκόψει πρότερον, ἀδύνατον αὐτοῦ τὸ ἤδη γεγονὸς πάθος ἰάσασθαι, καὶ διὰ τοῦτο Ἀσκληπιάδης, πλῆθος ἡγεῖται προκατάρχειν νόσων, ὑπό τε τῆς κενώσεως αὐτῆς φησὶν ὠφελεῖσθαι τοὺς κάμνοντας, οὐκ εἰς τὸ λύειν ὧν ἐποίει ἤδη παθῶν, ἀλλ' εἰς τὸ μηκέτι αὔξεσθαι αὐτά, ἀπαιτεῖ τοῖς ἰατροῖς ἐπιτελέσθαι τὴν ἴασιν. ἀλλὰ γὰρ ὑποκείσθω τὸ πλῆθος γίγνεσθαί ποτε νόσων αἴτιον συνεκτικόν, ἀναγκαῖον αὐτοῦ τῇ κενώσει παύσασθαι τὸ νόσημα. καὶ μὴν οὐδέ ποτέ ἐστιν, ὥς φησιν Ἀσκλη- D πιάδης, συνεκτικόν. ἀποχωρήσαντας γὰρ ἐνταῦθα, ληρώδους Ἰουλιανοῦ, βέλτιον Ἀσκληπιάδῃ διαλεχθῆναι, κἂν εἰ μηδὲν ἄλλο, νομίμως ὑπάρχοντι σοφιστῇ. λόγους γὰρ εἴωθεν ὁ ἀνὴρ οὗτος πιθανωτάτους ἐρωτᾶν, οὐκ ἀμέμπτως πεπανουργημένους, ὅπερ ἦν ἔργον οἶμαι σοφιστοῦ. τοιοῦτος δὲ δή τίς ἐστι καὶ ὃν ἐφεξῆς ἔγραψεν Ἰουλιανός, οὐ μὰ τὸν Δία, τῆς δυνάμεως αἰσθανόμενος ἑαυτοῦ. πάντα γὰρ ἂν ἐνέγραψε τοὺς τοιούτους, ἀλλ' ἀπομνημονεύσας εἰρημένων ὑπὸ Ἀσκληπιάδου. ὡς E εἴ γε τῶν ἰδίων Ἰουλιανοῦ λόγων ἦν, ὁμοίως ἀνεφαίνετο τοῖς ἔμπροσθεν, ληρώδης. ὁ τοίνυν Ἀσκληπιάδης φησίν, ὡς εἴπερ ἦν συνεκτικὸν αἴτιον τὸ πλῆθος τῶν παθῶν, ἐπὶ δαψιλέσι κενότησιν ἐνίοτε κατὰ τὴν ἀρχὴν τῆς νόσου γενομέναις, εὐθὺς ἁπάντων ὀχληρῶν ὁ κάμνων ἀπαλλάττεται· νυνὶ δὲ φαίνεται πολλάκις αὐξανομένας τὰς νόσους ἤδη τοῦ πλήθους καθῃρημένου. οὗτος ὁ λόγος ἱκανῶς πιθανός ἐστι καὶ διὰ τοῦτο δεῖται λύσεως ἰδίας, οὐ μὴν ἅπτεται τῶν κατὰ τὸν ἀφορισμὸν Ἱπποκράτους εἰρημένων. οὐ γὰρ ἐκ δόγματος ἐκεῖνα τὴν πίστιν ἔσχηκεν, ἀλλ' ἐκ λογισμοῦ κοινοῦ F πάντων ἀνθρώπων, ᾧ καὶ τοὺς ἐμπειρικοὺς ἔφην χρῆσθαι, διὸ καὶ λυόμεν αὐτὸν τὸν Ἀσκληπιάδου λόγον, οὐχ ὡς προσήκοντα τοῖς κατὰ τὸν ἀφορισμὸν εἰρημένοις. ἀλλ' ἐπειδὴ βέλτιον εἶναι δοκεῖ τὴν Ἰουλιανοῦ λήρων ἀνεσχημένον ἄχρι δεῦρο, γυμνάσασθαί ποτε διαλεκτικώτερον ἀνθρώπῳ προσπελάσαντας ὄντι Σοφιστῇ. ὅταν οὖν ὀνομάζῃ πλῆθος ὁ Ἀσκληπιάδης ἐρωτείσθω αὐτόν, ὁπότερόν φησιν. ἆρά γε τὸ πρὸς τὴν δύναμιν, εἴτε τὸ πρὸς τὴν χώραν τῶν ἀγγείων, ὃ δὴ κατὰ τὸ ἔγχυμα καλεῖν εἰσὶν εἰθισμένοι;

καὶ πότερον τὸ καθόλου τὸ σῶμα γινόμενον, ἢ κἂν ἐν μέρει τινὶ συνίσταται). τὸ μὲν οὖν ὡς πρὸς τὴν δύναμιν οὐδ᾽ εἰπεῖν αὐτῷ δυνατὸν ἀνῃρηκότι τὰς δυνάμεις σχεδὸν ἁπάσας αἷς διοικεῖται τὸ ζῶον. τὸ δ᾽ ὡς πρὸς τὴν χώραν τῶν ἀγγείων. ἔστι μὲν δή που καὶ τοῦτο διττόν, ἢ τῷ κατὰ φύσιν μέτρῳ παραβαλλόμενον, ἢ ψιλῷ καὶ μόνῳ τῷ μὴ στέγεσθαι. δύναται δ᾽ ἑκάτερον αὐτῶν, ἤτοι καθ᾽ ὅλον ὑπάρχειν τὸ ζῶον, ἢ καθ᾽ ἕν τι μόριον, ἢ πλείω. καὶ δέδεικται πρὸς ἡμῶν ἔν τε τοῖς ὑπομνήμασιν, ἐν οἷς τὰς αἰτίας τῶν συμπτωμάτων διερχόμεθα, κἂν τῷ τῶν παρὰ φύσιν ὄγκων, ὅτι ὁ σπασμὸς ἐνίοτε, καὶ ὁ τρόμος, ἥ τε φλεγμονὴ διὰ παντός, ἐρυσίπελάς τε, καὶ τὸ καλούμενον ὑπὸ τῶν νεωτέρων ἰατρῶν οἴδημα, καὶ πρὸς τούτοις ἕτερά τε πάθη πληθωρικὴν ὑπόθεσιν ἔχονται, καὶ εἴ τις κενώσει τὸ πλῆθος, αὐτίκα τὸ μόριον εἰς τὸ κατὰ φύσιν ἐπανερχόμενον. εἴρηται δὲ καὶ περὶ τῶν συνεκτικῶν αἰτίων ἑτέρωθι δεικνύντων ἡμῶν ὅτι τε τοὔνομα καὶ τὸ πρᾶγμα αὐτό, καθ᾽ οὗ τοὔνομα τῆς Στωϊκῆς αἱρέσεώς ἐστιν, καὶ ὡς οὐκ ὀρθῶς ὑπειλήφασιν, οὔτ᾽ ὀνομάζουσιν οἱ νεώτεροι τῶν ἰατρῶν ἅπαν τοῦτο τὸ γένος. ὅτι τε καὶ ἡμεῖς ἑπόμενοι πολλάκις αὐτοῖς, ὅπως μὴ δόξωμεν ἐρίζειν ὑπὲρ τοῦ ὀνόματος, ἔνια μὲν τῶν αἰτίων οὕτω καλεῖσθαι συγχωροῦμεν, οὐ μὰ Δί᾽ ὅσα τῶν ἁπλῶν ὄντων ἐστίν, ἀλλὰ τῶν ἐν τῷ γίνεσθαι τὸ εἶναι κεκτημένων. ἐν τούτῳ μὲν ἡ λύσις τοῦ Σοφίσματος. ἅπαντα δὲ μεταφέρειν ἐνταῦθα, τῆς Ἰουλιανοῦ φλυαρίας ἔργον οὐχ ἡμέτερον, ἀλλ᾽ ἐφ᾽ ἕτερόν τι τῶν προβεβλημένων ἴωμεν ὃ κοινὴ πρὸς ἅπαν ἐστί, τῶν ἐν ὑγροῖς αἰτίων τὸ γένος ὑπάρχει διττόν. ἐν πλήθει μὲν τὸ ἕτερον, ἐν διαφθορᾷ δὲ τὸ ἕτερον, ἀλλ᾽ ἀμφοῖν γε ῥᾳδίαν ἔσεσθαί φασι τὴν ἴασιν, ἐν ἀκαρεῖ χρόνῳ δυναμένων ἡμῶν καὶ τοῦ πλεονάζοντος ἀποχέεσθαι τὸ περιττόν, καὶ τὸ διεφθαρμένον ὅλον ἐκκενῶσαι, ὥστ᾽ οὐδέποτε χρονίσειν νόσημα. τοῦτον οὖν τὸν λόγον, οὕτως ὄντα σαφῆ τε ἅμα καὶ σύντομον, ἀσαφῶς καὶ μακρῶς ὁ Ἰουλιανὸς ἔγραψε κατὰ τήνδε τὴν ῥῆσιν. αὐτίκα ἐν τῷ ἀφορισμῷ λῆμμα συνηρπάσθαι οὐκ ἀποδεδειγμένον, τό, ὅτι ὑγροῦ πλῆθος νοσοποιεῖ, ἢ μεταβολὴ πρὸς τὸ οὐκ οἰκεῖον τῆς ἰδίας ποιότητος ὄνομα, ἰατρῶν παῖδες, ἔθεντο κατὰ τοῦ ὅλου εἴδους, διαφθοράν, ὥς τε τοῦ νοσοποιοῦ ἀποκρινομένου, ὠφέλειαν ἔσεσθαι, φαντάζονται σφόδρα. τὰ μὲν πρόσθεν τῆς ἀπὸ τῆς ἀμάχου φαινομένην κρίσιν, ὑγροῦ τινος ἐν τῷ σώματι πλῆθος, τῆς νόσου τὸ αἴτιον εἶναι νομίζειν, ἢ οὐ πλῆθος μέν, τροπὴν δέ. ἀδιανόητον γὰρ καὶ πρὸς τὴν ἀλήθειαν ἀσύμφωνον τόδε τυγχάνει· ᾤμην γὰρ τὰ πάθη εὔλυτα πάντα, καὶ ἂν ἦν τι χρόνιον, ἥ τε θεραπεία πᾶσα μονοειδής, οὐ δή τινα οὖν δυσχέρειαν ἐργώδη ἔχουσα. ἁπλοῦν γὰρ ἦν, ἐκ παρακειμένου κενῶσαι τὸ νοσοποιοῦν, καὶ αὐτίκα ἐν ἀρχῇ, καὶ κατὰ τὴν πρώτην ὑπόστασιν λύειν τὸ πάθος ὥσθ᾽ ἑνὸς δεῖσθαι μόνου κενωτικοῦ βοηθήματος, καὶ τοῦτο παρὰ πάντα καιρὸν ἐνεστῶτα πεσόντα ὁρίζειν, καὶ αἵματος μὲν ὄντος, μόνη ἀρκεῖσθαι φλεβοτομία. φλέγματος δέ, φλεγμαγωγῷ, χολῆς δέ, χολαγωγῷ.

A Atque utrùm universalis quæ in universo corpore, an particularis quæ in parte aut pluribus consistat? Enimvero quæ ad vires spectat, ea ab ipso enunciari non potest qui vires, *seu facultates* ferè omnes quibus animal regitur, sustulerit. Quæ verò ad vasorum capacitatem est, hæc etiam utique duplex extat, tum ea quæ mensurâ secundum naturam æstimatur; tum ea quæ hoc modo soloque quod perferri nequeat. Potest utraque plenitudo aut in universo animalis corpore, aut in aliqua, aut pluribus ejus partibus B consistere. Atque à nobis demonstratum est, & his in Commentariis quibus symptomatum causas explicavimus, & in libro de tumoribus præter naturam, convulsionem interdum & tremorem, inflammationem vero perpetuo, & erysipelas, & quod à recentioribus Medicis œdema vocatur, & alios præterea affectus fundamentum habere plethoricum, & siquis plenitudinem vacuaverit, quamprimum partem in eum qui secundum naturam est statum redire. Verùm de continentibus causis alibi à nobis enunciatum est, ubi ostendimus tum nomen, tum rem ipsam C cui id nomen est inditum, à Stoica secta promanasse, neque recte Juniores Medicos universum hoc genus suscipere, neque nominare, ac nos plerunque eos sequentes, ne de nominibus contendere videamur, nonnullas causas sic vocari concedere. Non mehercule, quæ absolute entia sunt, sed quæ in fieri suam sortiuntur essentiam, in his posita est hujus Sophismatis solutio. Cæterum omnes Juliani nugas huc transferre nostri non est muneris; sed ad alterum quoddam eorum quæ objecta fuere procedamus quod ad omnia commune sit. Quæ causæ in humoribus D consistunt, earum duplex genus existit, alterum quidem in plenitudine, alterum vero in corruptela. Porro facilem aiunt utriusque fore curationem, quum memento tmoporis nos possimus quod redundantis humoris est supervacaneum effundere, & quod corruptum est, ità universum evacuare, ut nequaquam morbus perduraturus sit. Hanc sane rationem dilucidam simulque concisam Julianus obscure prolixque hisce verbis descripsit. In hoc statim « aphorismo lemma extortum esse inde monstra- « tum est, nimirum quod humorum plenitudo « E aut ex propria qualitate in alienam permutatio « morbos efficiat, cui uniuersæ speciei corrupte- « læ nomen Medicorum filii imposuerunt. Qua- « re quin efficiens morbi causa excernitur, ingens « fore præsidium imaginantur, quumque etiam « augurentur ex præcedentibus citra conten- « tionem crisis apparere, & conjiciant humoris « alicujus in corpore plenitudinem morbi cau- « sam esse; aut non plenitudinem quidem, sed « permutationem, vix sane id mente percipi po- « test, neque ad veritatem accedit consonum: « F Putarem enim morbos omnes solutu faciles, « nullumque fore diuturnum, & omnem cura- « tionem uniusmodi, quæ quodcunque opero- « sum negotium nullum sortiatur. Simplex si- « quidem & in promptu esset evacuare quod « morbum creat, ac statim in principio ac primo « morbi statu morbum ita solvere, ut unico solo « evacuante præsidio, & eo quocunque tempore « se occasio obtulerit. Atque si sanguis exube- « rans causa sit, sola phlebotomia, si pituita, « phlegmagogum, si bilis cholagogum sit satis. «

A

CAPUT VII.

Causas morborum in humoribus non esse demonstrat Galenus. De utriusque plenitudinis & corruptionis humorum curatione adversus Iulianum. Humorem citra febrem vacuare utile, cum febre periculosum. Crassos ac lentos humores carnosis partibus infarctos catharsi vacuare perarduum.

IS ipse est Juliani textus, ad quem, ut dixi, hujusmodi spectat ratio. Si in humoribus causæ consisterent, nos quamprimùm eos vacuare possumus, neque permittere morbum ullum fieri diuturniorem. At certè morbi etiamsi in principio corpus abundè vacuaverimus, diuturno nihilominus tempore morantur. Quare non in humoribus causæ sitæ sunt. Verùm si hæc de plenitudine ad vasorum capacitatem ratio sit quæ in universo corpore consistat, vera est; ubi nanque per initia morbi quod supervacaneum est vacuare consuluerimus, plethoricum affectum universum etiam vacuabimus. Si verò de particulari quadam plenitudine in quâ exuberat humor, falsa. A nobis enim ostensum est hanc plenitudinem non semper derepente vacuari posse. Ita sanè de corruptione quæsita ratio expeditam habet solutionem. Non enim ipsa potest etiam ut ex utre quodam aut dolio properè vacuari. Etiamsi ex his omnem pravum humorem eo modo vacuaverimus; non tamen ilico bonum alterum nisi deterso priùs & accuratè eloto vase infundimus. Num igitur in hominis corpore corruptum quidem sanguinem ita vacuare possumus, bonum verò pro eo corporis partibus quamprimùm affundere? Hoc utique expetendum esset. Quomodo igitur proferunt sanguinis corruptionem derepente vacuari posse? Sic ut & alia omnia facile proloquuntur, nulli rei mentem adhibent, neque cum accuratiore circunspecta rem universam colligunt. Enimvero quum copiosa bilis in corpore continetur citra febrem sæpenumero facilis erit ejus vacuatio. Sed si priùs hominem acuta febris invaserit, perardua. Non enim purgante uti medicamento citra periculum conceditur. Eodem modo & de pituita, & de serosis excrementis se res habet. Atque de his omnibus in aliis operibus dictum est; & qui de istis aliquid accuratè nosse velit, eum illinc ediscere oportet. Quòd igitur phlegmone quidam morbus sit plethoricus à plenitudine non in solis ipsis vasis coacta, verumetiam vacua omnia musculorum loca occupante ex illo præsertim libro didiceris in quo de tumoribus præter naturam nobis est oratio. Quod verò omnis phlegmone derepente curari nequeat in libris methodi medendi demonstratum est, in illis potissimum libris quibus curationis tumorum præter naturam methodus explicatur. Interdum enim ita vehementer ac tenaciter infarciuntur carnibus lenti crassique humores, ut periculum sit, nè si diutius ipsi immorentur scirrhus subsequatur. Verùm qui nihil eorum norunt quòd maximè necessarias artis partes ignorent, Hippocratem damnant. Atque his obvertens aliquis sive aliquod solidum corpus refrixerit, sive incaluerit facilem ipsi fore dicat

ΚΕΦΑΛΑΙΟΝ ζʹ.

Τὰς αἰτίας τῶν νόσων οὐκ ἐν τοῖς ὑγροῖς εἶναι ὁ Γαληνὸς ἀποδείκνυσι. περὶ τῆς τοῦ πλήθους ἑκατέρου καὶ τῆς διαφθορᾶς τῶν ὑγρῶν θεραπείας πρὸς τὸν Ἰουλιανόν. τὸ ὑγρὸν ἄνευ πυρετοῦ κενοῦν χρηστὸν, μετὰ πυρετοῦ κινδυνῶδες. τοὺς χυμοὺς γλίσχρους καὶ πάχεας ἐν σαρκώδεσι μορίοις ἐμπεπλασμένους ἐκκενῶσαι χαλεπώτατον εἶναι.

B

ΑΥτη μὲν ἡ τοῦ Ἰουλιανοῦ ῥῆσις, ἐστὶ δὲ, ὡς ἔφην, ὁ κατὰ ταύτην λόγος τοιόσδε. εἴπερ ἐν ὑγροῖς εἴη τὰ τῶν νόσων αἴτια, δυνατόν ἐστιν ἡμῖν ἐν τάχει κενοῦν αὐτὰ, μηδενὶ νοσήματι χρονίζειν ἐπιτρέπειν, ἀλλὰ μὴν χρονίζει γε πολὺ, κἂν κατὰ τὴν ἀρχὴν αὐτῶν ἱκανῶς ἐκκενώσωμεν τὸ σῶμα. οὐκ ἄρα εἰσὶν ἐν ὑγροῖς τὰ αἴτια. ἀλλ' ὅ γε λόγος οὗτος, εἰ μὲν περὶ τοῦ πρὸς τὴν χώραν τῶν ἀγγείων ἐν ὅλῳ τῷ σώματι συνισταμένου πλήθους ἐστὶ, ἀληθὴς ὑπάρχει. C βουληθέντες γὰρ εὐθέως ἐν ἀρχῇ τῆς νόσου κενῶσαι τὸ περιττὸν, ἐκκενοῦμεν ἅπασαν πληθωρικὴν διάθεσιν. εἰ δὲ καὶ περὶ τοῦ κατά τι μόριον, ἐν ᾧ τὸ πλεῖον γιγνόμενον, ψευδές. ἐπιδέδεικται γὰρ ἡμῖν ἐκεῖνο τὸ πλῆθος οὐκ ἀεὶ κενοῦσθαι ταχέως δυνάμενον. οὕτω δὴ καὶ περὶ τῆς διαφθορᾶς ὁ λόγος ἐρωτώμενος, πρόχειρον ἔχει τὴν λύσιν, οὐ γὰρ οἷόν τε ταχέως αὐτὴν ἐκκενῶσαι καθάπερ ἐξ ἀσκοῦ τινὸς, ἢ πίθου. κἂν ἐκ τούτων ὅλων ἐκκενώσωμεν πῇ ποτὲ τὸ μοχθηρὸν ὑγρὸν, οὐκ εὐθέως ἀντεγχέομεν ἕτερον χρηστὸν, ἀλλὰ διανίψαντες καὶ πλύναντες ἀκριβῶς τὸ ἀγγεῖον. ἆρ' D οὖν οὕτω δυνατὸν ἐν ἀνθρώπου σώματι κενῶσαι μὲν τὸ διεφθαρμένον αἷμα, χρηστὸν δὲ ἀντεγχέειν παραχρῆμα τοῖς ἐκείνου μορίοις, ἄξιον τοῦτο. πῶς οὖν ἐν τάχει φασὶ δύνασθαι κενωθῆναι τὴν διαφθοράν; οὕτως ὡς καὶ τἄλλα πάντα λέγουσιν εὐχερῶς, οὐδενὶ προσέχοντες τὸν νοῦν, οὐδὲ μετὰ περισκέψεως ἀκριβεστέρας ὅλον ἀθροῦντες τὸ πρᾶγμα. καὶ μὴν καὶ χολῆς περιεχομένης ἐν τῷ σώματι πολλῆς, ἄνευ μὲν πυρετοῦ ῥᾷστον ἐκκενῶσαι πολλάκις. εἰ δ' ἁλῶναι φθάσειεν ὁ ἄνθρωπος ὀξεῖ πυρετῷ, χαλεπώτατον. οὐ γὰρ ἔτ' ἐγχωρεῖ E χρῆσθαι καθαίροντι φαρμάκῳ ἀκινδύνως. ὁμοίως δὲ καὶ περὶ φλέγματος ἔχει, καὶ τῶν ὀῤῥωδῶν περιττωμάτων. εἴρηται δὲ καὶ περὶ τούτων ἁπάντων ἐν ἄλλαις πραγματείαις, καὶ χρὴ τὸν βουλόμενον ἀκριβῶς τι γνῶναι περὶ αὐτῶν, ἐκεῖθεν ἐκμανθάνειν. ὅτι μὲν οὖν ἡ φλεγμονὴ πληθωρικόν τι νόσημά ἐστιν, οὐκ ἐν αὐτοῖς μόνοις τοῖς ἀγγείοις στεγομένου τοῦ πλήθους, ἀλλὰ καὶ τὰς ἐν τοῖς μυσὶ χώρας κενὰς ἁπάσας καταλαμβάνοντος, ἐξ ἐκείνου μάλιστα μαθήσῃ τοῦ γράμματος ἐν ᾧ περὶ τῶν παρὰ φύσιν ὄγκων ὁ λό- F γος ἐστί μοι. ὅτι δ' οὐχ οἷόν τε φλεγμονὴν ἅπασαν ἰάσασθαι ταχέως, ἐν τοῖς θεραπευτικῆς μεθόδου γράμμασιν εἴρηται, κατ' ἐκεῖνα μάλιστα τὰ βιβλία, δι' ὧν ἡ μέθοδος δείκνυται τῆς περὶ τῶν παρὰ φύσιν ὄγκων ἰάσεως. ἐνίοτε γὰρ οὕτως ἰσχυρῶς καὶ δυσλύτως ἐμπλάττονται ταῖς σαρξὶ γλίσχροι καὶ παχεῖς χυμοὶ, ὥστε κίνδυνον εἶναι, χρονιζόντων αὐτῶν, ἀκολουθήσειν σκίῤῥον· ἀλλ' οἱ μηδὲν τούτων εἰδότες, ἐξ ὧν ἀγνοοῦσι τὰ τῆς τέχνης ἐπίκαιρα, κατηγοροῦσιν Ἱπποκράτους. καίτοι γε ἀντιστρέψας αὖ τις, εἰ μὲν ἤτοι ψυχθείη τῶν στερεῶν σωμάτων, ἢ θερμανθείη, ῥᾳδίαν ἔσεσθαί φησι,

τῆς εἰς τὸ κατὰ φύσιν ἐπανόδου αὐτοῦ, καθάπερ γε καὶ εἰ πυκνωθείη ποτὲ, ἢ μανώτερον γενηθείη. τό τε γὰρ ψυχθὲν θερμῆναι, καὶ τὸ θερμανθὲν ψύξαι, καὶ τό, τε πυκνωθὲν ἀραιῶσαι, καὶ τὸ μανωθὲν πυκνῶσαι χαλεπὸν οὐδέν. ἐμπεπλασμένον δὲ χυμὸν, ἢ γλίσχρον, ἢ παχὺν ἐν σαρκώδεσι μορίοις ἐκκενῶσαι χαλεπώτατον. ὅπου γὰρ δὴ καὶ τὸν ἐκ τούτων τῶν ἀγγείων τῶν ἀραιῶν ἐκκαθῆραι ῥύπον οὐκ εὐπετὲς, ἤ πού γε τῶν σαρκοειδῶν, ἕτοιμον. ὥστε πάνυ μοχθηρὸς ὁ λόγος. αὐτὰς ἐν ὑγροῖς αἰτίοις ἐναντιωτέρας εἶναι φάσκων ἀεὶ, τῶν ἐν τοῖς στερεοῖς. εἰ μὲν γὰρ ἁπλῶς πλῆθος εἴη, καθ' ὅλην τοῦ ζώου τὴν ἕξιν ἐν τοῖς ἀγγείοις περιεχόμενον, ὅπερ ἰδίως ὀνομάζουσι πλῆθος, ἕτοιμόν τε παραχρῆμα κενῶσαι τοῦτο, καὶ τῶν συμπτωμάτων ὁ κάμνων ἀπαλλαγήσεται δι' αὐτοῦ. κακοχυμίας δέ τινος, ἢ διαφθορᾶς ὑπαρχούσης, ἀδύνατόν ἐστι διὰ κενώσεως ἀθρόας ἰάσασθαι τὸν ἄνθρωπον, καὶ μέν τι καὶ φαίνεται ταῦθ' οὕτως γινόμενα. πολλοὶ μὲν γὰρ βαρυνόμενοί τε τὸ σῶμα, καὶ τάσεως αἰσθανόμενοι, παραχρῆμα τῶν συμπτωμάτων ἀπηλλάγησαν ἐπὶ ταῖς φλεβοτομίαις. ἔνιοι δὲ μῆνα ὅλον ὑπὸ διαφθορᾶς ὀχλούμενοι διετέλεσαν, μήτ' ἀθρόως ἐκκενῶσαι τὸ μοχθηρὸν αἷμα δυναμένων ἡμῶν, μήθ' ἕτερον ἀντεγχέαι χρηστόν. ἐκ μὲν γὰρ τῶν σιτίων δή που καλῶς κατεργασθέντων ἐν τῷ τοῦ ζώου σώματι, γεννᾶσθαι τὸ χρηστὸν αἷμα πέφυκεν. ἐν αὐτῷ δὲ τῷ προσφέρειν τροφὰς ἐπιτηδείους, κίνδυνός ἐστι, τῷ προϋπάρχοντι μοχθηρῷ συνδιαφθαρῆναι τὸ χρηστόν, ὅθεν οὐδὲ πᾶσαν οἴονται διαφθορὰν ἰᾶσθαι, ἀλλ' ἐκείνην μόνην, ἐφ' ἧς ἰσχυρὸν μὲν ἔτι τὸ σῶμά ἐστιν, ἡ δύναμις δ' εὔρωστος. οὐ μὴν ἰῶδες ἐγένετο τὸ αἷμα παντάπασιν, οὐδ' ὅσον συνδιαφθεῖραι τὴν ἐπιρρέουσαν τροφήν. ἀλλ' αὐτὸ μᾶλλον ὑπ' ἐκείνης ἐπικραθῆναι. οὐ μὴν οὐδὲ ὅταν τὸ πρὸς τὴν δύναμιν πλῆθος συστῇ, δυνατὸν ἰάσασθαι ταχέως αὐτὸ, συγκαταλυομένης ἐνίοτε τῇ κενώσει τῆς δυνάμεως. εἴρηται δὲ ἡμῖν καὶ περὶ τῆς διαθέσεως τῆς τοιαύτης ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ. ὀλιγάκις οὖν ἐπὶ τῇ κενώσει τὸν ἄνθρωπον δείξεις ὑγιαίνοντα παραχρῆμα. γενήσεται μέν τοί ποτε τοῦτο καθάπερ καὶ φαίνεται, καὶ δείκνυσιν ἐναργῶς καὶ πεῖρα τοῦ λόγου τὴν ἀλήθειαν. ἔνιοι γὰρ ἐπὶ ταῖς κενώσεσιν, αὐτίκα πάντων ἀπαλλάττονται τῶν ὀχληρῶν, ἀλλ' οὐδ' ἴσασιν τὰς διαθέσεις αὐτῶν οἱ ἰατροὶ πάντες, οὔτ' εἰ γινώσκουσιν, εὐθέως διαγινώσκειν δύνανται. οὗτοι τοίνυν οἱ μάλιστα ληροῦντες, ὧν, εἰ χρὴ τ' ἀληθὲς εἰπεῖν, ὁ κορυφαῖός ἐστιν Ἰουλιανὸς, ἀνομίλητος μὲν ἀεὶ διατελέσας τοῖς ἔργοις τῆς τέχνης. ἐξ ὧν δὲ αὐτὸς γινώσκει, θρασυνόμενος, ἀλλ' ἡμεῖς γε δι' αὐτῶν τῶν ἔργων τῆς τέχνης πολλάκις ἐδείξαμεν ἐπὶ τῇ κενώσει τοῦ πλήθους ἑκατέρου παραχρῆμα τοὺς ἀνθρώπους ὑγιασθέντας. ἑκάτερον δὲ λέγω, τό, θ' ὡς πρὸς τὴν χώραν τῶν ἀγγείων, ὃ καὶ πληθώραν ὀνομάζουσι, τό τε πρὸς τὴν δύναμιν, ὅταν μὴ καταλύηται τῇ κενώσει. ταῦτα μὲν οὖν ὅταν ἄρξηται τούτων ἐπισκέπτεσθαι τοὺς ἀρρώστους, ἅμα τοῖς ἐπισταμένοις ἰᾶσθαι, μαθήσεται.

A in naturalem statum reditum, quemadmodum etiam si densius aut rarius evaserit. Etenim refrigeratum calefacere, & calefactum refrigerare; etiam densatum rarefacere, & rarefactum densare non arduum. At humorem lentum crassumque carnosis partibus infarctum vacuare perquam arduum est. Ubi enim ex his vasis etiam patentibus sordes expurgare facile non est, multo minus ex carnosis partibus promptè *expurgabuntur*. Quare admodum prava est ratio quæ ipsas in humoribus existentes causas, quàm quæ solidis insident partibus magis esse contra-
B rias asseverat. Nam si plane per universum animalis habitum in vasis plenitudo contineatur, quam propriè plethos nominant; hanc quoque ex tempore vacuare expedit, & ipsa vacuatio ne qui morbo laborat ab omnibus symptomatis liberabitur. Sed quum pravus adest humor aliquis, aut corruptela, copiosa vacuatione ægrum hominem sanitati restituere fieri non potest. Et hæc sane ita contingere conspiciuntur. Enimvero plerique tum gravi corpore, tum tensionis sensu affecti venarum sectionibus ab iis sympto-
C matis quamprimùm liberati sunt. Nonnulli vero qui corruptela per mensem integrum vexati permanserunt nequeuntibus nobis pravum sanguinem vacuare, neque in illius vicem alterum meliorem refundere. Nam ex cibis nimirum in animalis corpore probe confectis bonus procreari sanguis consuevit: periculum autem est tum idonea offerri alimenta, tum bona cum præcedente pravo simul corrumpi. Unde neque omnem corruptelam curari autumant: sed illam solam in qua validum etiamnum corpus, & vires robustæ sunt: non eam certe in qua sanguis prorsus æruginosus factus est, aut qui quod af-
D fluit alimentum simul corrumpit, aut qui potius ab eo contemperetur. Neque præterea quum ad vires plenitudo consistat, ipsa cito curari potest, quum interdum simul cum vacuatione vires dissolvantur. At de hujusmodi affectu à nobis in opere de Methodo medendi dictum est. Raro itaque vacuatione hominem derepente convalescere ostenderis. Attamen hoc interdum continget quemadmodum & apparet, & rationis veritatem dilucide demonstrat experientia. Nonnulli nanque omnibus molestiis derepente libe-
E rantur, neque tamen omnes Medici hos affectus agnoscunt, neque si agnoscant, eos ilico dignoscere queunt. Hi sunt igitur qui maxime nugantur, quorum si verum dicere oporteat coryphæus est Julianus, qui nunquam in artis operibus versatus, ex his tamen quæ ipse novit audax redditur. Nos vero ipsis artis operibus plerunque ostendimus ab utriusque plenitudinis vacuatione confestim homines sanitati restitutos fuisse. Utranque autem dicimus & eam quæ ad vaso-
F rum capacitatem spectat, quam & plethoricam nominant, & eam quæ ad vires quum vacuatione non dissolvatur. Atque hæc ubi quis incipiat unà cum peritis ipsis in ægrotis animadvertere, mederi perdiscet.

A

CAPUT VIII.

Adversus Thessalum & Iulianum de humoribus qui à purgantibus medicamentis attrahuntur, educunturque.

QUæ sequuntur, perspiciamus, in quibus Asclepiadæ rationem tractandam suscipit Julianus, hanc certe pervulgatam, quod purgantium medicamentorum unumquodque familiarem sibi humorem attrahat, sed ipsum generet. At ea de re pauca quædam à nobis prodita sunt in fine Libri de Elementis secundùm Hippocratem, ut & in primo de naturalibus Facultatibus, posteriùs demum amicis rogantibus, integro uno libro qui de purgantium medicamentorum Facultatibus inscriptus est. Quare qui universam doctrinam desiderat ex illis edíscat. Hîc autem rebus à Thessalo propositis responsurus sum, ipsis ad verbum ascriptis. Nam quem velint Athletam accipiamus bono habitu præditum, qui secundùm naturam se habeat, huic quum bono firmoque in corpore materiam adesse supponimus purgans medicamentum exhibemus & quæ excernuntur, ea admodum esse corrupta ostendimus, mox verò colligimus (quum his nemo repugnare queat adversus id quod contrariè dicitur) quæ nunc & acerrima & corrupta excernuntur, ea ante purgans medicamentum Athletæ minimè talia subjici consuevisse; bono siquidem erat habitu. Relinquitur igitur nihil nos affirmare posse quàm utraque à purgante medicamento gigni; primùm enim materiam in corruptionem permutari, alterum etiam ipsam excerni sive sursum vomitu, sive per alvum dejectionibus. Is quidem Thessali textus est. Verùm à nobis sigillatim audivistis prospere valenti omnes humores purgari id non magis quòd tunc generentur declarare; quàm quòd antea continerentur. Frustra igitur hæc protulit quibus neutram sectam necessariò evertat, aut astruat. Quod si quid alvum subducens dederit, non sanè ipsis est medicamentosum. At non quemadmodum inverecundus Thersites, exhibemus, inquit, ac demonstramus, quum ipse nunquam dederit vel ostenderit, neque exhibentem alium aut ostendentem viderit. Nos autem profectò tales non sumus, qui quæ non facimus ea dicere aut scribere audeamus. Imò ipsis operibus ubi priùs verum ostenderimus, tunc his ipsis artem explicamus, quæ licet ex iis audire qui de Thessali grege sunt. Quot enim hydropicos ostendimus medicamento aquas educente purgatos, quibus ilicò venter detumuit? Quot ictero laborantes, quibus dato cholagogo quamprimum sanitatem restituimus. Verùm neque horum quicquam, neque hujusmodi aliud unquam inspexit Julianus. *Athletis purgans*, inquit, *exhibeo medicamentum & ostendo.* Consequens enim est, videlicet eum tanta temeritate turgere, ut Athletas probis donatos humoribus purget, non autem hydrope laborantes, neque atra bile vexatos, neque elephante morbo vocato ægrotantes, neque cancro laborantes, neque phagedænâ, aut erysipelate, aut alio à pravis humoribus orto affectu conflictatos.

ΚΕΦΑΛΑΙΟΝ η'.

Πρὸς τὸν Θεσσαλόν τε καὶ τὸν Ἰουλιανὸν περὶ ὑγρῶν τῶν ἀπὸ τῶν καθαρτικῶν φαρμάκων ἑλκομένων καὶ ἐξαγομένων.

ΤΑ δ' ἑξῆς ἴδωμεν ἐν οἷς τὸν Ἀσκληπιάδου λόγον ὁ Ἰουλιανὸς μεταχειρίζεται, τοῦτον δὴ τὸν πολυθρύλλητον, B ὡς οὐχ ἕλκει τὸν οἰκεῖον χυμὸν ἕκαστον τῶν καθαιρόντων φαρμάκων, ἀλλ' αὐτὸν ἐργάζεται. λέλεκται δέ μοι περὶ τούτου βραχέα μέν τινα. κἀπὶ τῆς τελευτῆς τοῦ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, ὥσπερ κἀν τῷ πρώτῳ τῶν φυσικῶν δυνάμεων. ὕστερον δὲ, τῶν ἑταίρων ἀξιωσάντων, καὶ δι' ἑνὸς ὅλου γράμματος, ὃ περὶ τῆς τῶν καθαιρόντων φαρμάκων δυνάμεως ἐπιγέγραπται. τὸν μὲν ὅλον λόγον ὁ βουλόμενος ἐξ ἐκείνων μανθανέτω, τοῖς δ' ὑπὸ Θεσσαλοῦ εἰρημένοις, ἐνταῦθα ἀπαντήσω προσγράψας αὐτὰ κατὰ λέξιν. ἀθλητὴν γὰρ λαμβάνοντες εὐεκτικὸν ὃν C βούλονται κατὰ φύσιν ἔχοντα, χρηστῆς τούτῳ τῆς ὕλης ἐν τῷ σώματι ὑποκειμένης καὶ ἀτρέπτου καθαρτικὸν δίδομεν, καὶ δείκνυμεν τὰ ἀποκρινόμενα καὶ σφόδρα διεφθορότα. εἶτ' ἐπιλογιζόμεθα, μηδενὸς ἐνίστασθαι δυναμένου πρὸς τὸ λεγόμενον ἐναντιωτικῶς, ὡς δὴ ἃ νῦν ἐκκρίνεται, δριμύτατά τε καὶ διεφθαρμένα, πρὸ μὲν τοῦ καθαρτικοῦ, οὐχ ὑπέκειτο τοιάδε τῷ ἀθλητῇ, εὐεκτικὸς γὰρ ἐτύγχανεν ὤν. λείπεται οὖν μηδὲν ἄλλο ἡμᾶς δύνασθαι λέγειν, ἢ ὅτι ὑπὸ τοῦ φαρμάκου ἀμφότερα γίνεται. πρῶτον μὲν τὸ τὴν ὕλην μεταβάλλειν D εἰς διαφθορὰν, δεύτερον δὲ, καὶ ἀποκρίνεσθαι, εἴτε δι' ἐμέτου εἴη, εἴτε διὰ γαστρός. αὕτη μὲν ἡ τοῦ Θεσσαλοῦ ῥῆσις. ἀκούσατε δὲ καὶ παρ' ἡμῶν ἐν μέρει, ὡς τὸ καθαίρεσθαι πάντας χυμοὺς τὸν εὐεκτικὸν, οὐ μᾶλλόν τι τοῦ γεννᾶσθαι νῦν ἐστι δηλωτικὸν, ἢ τοῦ περιέχεσθαι πρόσθεν. μάτην οὖν εἴρηκε, μηδ' ἑτέραν γε τῶν αἱρέσεων, μήτ' ἀνατρέπων ἐξ ἀνάγκης, μήτε κατασκευάζων. εἰ δὲ τῶν ὑπαγόντων τι τὴν γαστέρα δίδωσιν, ἀλλ' οὐ φαρμακῶδές γε τοῦτό ἐστιν αὐτοῖς, οὐδ' ὥσπερ ἀναίσχυντος E Θερσίτης, δίδομεν, λέγει, καὶ δείκνυμεν, μήτε δοὺς αὐτὸς, ἢ δείξας πώποτε, μηδ' ἄλλου δόντος ἢ δείξαντος θεασάμενος. οὐ μὴν ἡμεῖς γε τοιοῦτοι τολμῶντες λέγειν ἢ γράφειν ἃ μὴ πράττομεν, ἀλλὰ τοῖς ἔργοις αὐτοῖς πρότερον ἀποδεικνύντες τ' ἀληθὲς, τηνικαῦτα τὴν ἀμφ' αὐτὰ τέχνην ἐξηγούμεθα, ἅπερ ἐστὶν ἀκοῦσαι τῶν ἐκ τῆς ἀγέλης τοῦ Θεσσαλοῦ, πόσους μὲν ὑδερικοὺς ὑδραγωγῷ φαρμάκῳ καθήρας, αὐτίκα τὴν γαστέρα προσεσταλμένην ἀπέφηνα; πόσους ἰκτεριῶντας, F χολαγωγῷ παραχρῆμα τὸν ἴκτερον ἰασάμην. ἀλλ' οὐδὲ τούτων οὐδὲν οὐδ' ἄλλο τοιοῦτον Ἰουλιανὸς ἐθεάσατο. διὰ τῶν ἀθλητῶν φησὶ δίδωμι καθαρτικὸν, καὶ δείκνυμι. ἀκόλουθον μὲν γὰρ δηλαδὴ τῷ τοσαύτης ἐμπληξίας μεστῷ, καθαίρειν μὲν τοὺς εὐχύμους ἀθλητὰς, μὴ καθαίρειν δὲ, μήθ' ὑδεριῶντας, μήτε μελαγχολῶντας, μήτε τὸν καλούμενον ἐλέφαντα νοσοῦντα, μήτε καρκίνῳ κάμνοντα, μήθ' ὑπὸ φαγεδαίνης, ἢ ἐρυσιπέλατος ἐνοχλούμενον, ἢ τινος ἄλλου κακοχύμου νοσήματος.

ἅλις ἤδη μοι καὶ τούτων αὐτοῦ τῶν λήρων. εἰ γὰρ ἅπαντα λέγειν ὧν ἐστὶν ἄξιος ἀκούειν Ἰουλιανὸς ἐπιχειρήσειέ τις, οὐ μιᾶς ἢ δυοῖν, ἀλλὰ παμπόλλων αὐτῷ χρεία βίβλων ἐστίν. ἀλλ' ἀκούσωμεν οὖν αὐτοῦ τι καὶ τῶν ἐφεξῆς ὧδέ πως γράφοντος. « ἄλλο δὴ φημὶ ἰσχυρότατον ὃ, μᾶλλον ὁρῶντας, σωφρονίζεσθαι ἐχρῆν, καὶ μὴ πάντα τῆς μελαίνης χολῆς ἄγειν. ὅτι δὴ χολῆς ὑπεῖναι δοξαζομένης, φλεγμαγωγὸν δίδομεν, καὶ χολὴ μὲν ἀποκρίνεται, φλέγμα δὲ οὐκ, ἢ φλέγματος ὑπονοουμένου, φλεγμαγωγὸν, καὶ φλέγμα μὲν οὐκ ἀποκρίνεται, χολὴ δὲ, ἐστὶν ἀμφοῖν, ὑδραγωγὸν δίδομεν, καὶ ποτὲ, οὔτε ὕδωρ φανήσεται τὸ φερόμενον, πάντων μάλιστα παραδοξότατον, ὑδρωπικῶν σαφῶς ὕδατος παρακειμένου, ἀπόκρισις γένοιτ' ἄν. χολῆ μὲν διὰ χολαγωγοῦ, φλέγμα τι δὲ διὰ φλεγμαγωγοῦ. » αὕτη μὲν ἡ ῥῆσις· ἄξιον δὲ αὐτοῦ ἄγασθαι, πρῶτον μὲν τὸ κατὰ τὴν ἀρχὴν εἰρημένον, ὡς χρῆν μὴ πάντα τῆς μελαίνης χολῆς ἄγειν. μελαγχολῶντας γὰρ ἡμᾶς δηλονότι λέγει τοὺς ἐπαινοῦντας Ἱπποκράτην. ἀλλ' οὗτός γε ὁ χαριεντισμὸς ἑτέροις μᾶλλον ἔπρεπεν, ὅσοι δογματίζουσιν ὑπὸ μελαίνης χολῆς ἐνοχλεῖσθαι τοὺς μελαγχολῶντας. Ἰουλιανὸς δὲ ὁμοιότατός ἐστι τῷ κατὰ τὸν Αἰσώπου λόγον ὄνῳ, ὃς θεασάμενος ἐν τῷ Μελιταίων κυνίδιον Ἀριστοσίτῳ δεσπότῃ συγκατακείμενον, ἀλλόμενόν τε περὶ αὐτὸν καὶ σκιρτῶν, καὶ σεῖον τὴν οὐρὰν, καί τι καὶ φώνημα τερπνὸν ὑποφθεγγόμενον, ἐφ' οἷς ἥδοντό τε καὶ κατεφίλουν αὐτὸ πάντες οἱ σύνδειπνοι, μηδὲν μελλήσας ἀλλ' εὐθὺς ἀναπηδήσας, ἐπὶ τὴν κλίνην ὀγκᾶσθαι, καὶ κατ' αὐτὴν εἵλετο, σείων τὴν οὐράν. ἀλλὰ τούτῳ παραπλησίως ὢν Ἰουλιανὸς, ἐπισκώπτει χαριεντιζόμενος εἰς μελαγχολίαν ἡμᾶς, ἣν αὐτός φησιν ὑπὸ μελαίνης γίγνεσθαι χολῆς. κατηγορεῖτε τοίνυν ἡμᾶς ἐπί σοι λέγειν τὴν μέλαιναν, ὃς οὐδὲ τῶν ἰατρικῶν παιδαρίων ἀμείνων ὑπάρχων, τὴν τέχνην ἐπιτιμᾶς Ἱπποκράτους. τίς ταύτης μείζων μελαγχολία; τίς ἀπαιδευσία φανερωτέρα; τίς τόλμη προπετεστέρα; καθ' ἡμῶν Ἰουλιανὲ χαριεντίζῃ τοιαῦτα, καὶ συνάπτεις αὐτὰ λόγοις ἀμαθέσιν, ὡς ἂν μὴ παῖδα λαθεῖν αὐτῶν τὴν ἀτοπίαν. Ἱπποκράτους γὰρ εἰρηκότος, οὔθ' ἡλικίαν, οὔθ' ὥραν ἔτους, οὔθ' ὅλως οὐδένα καιρὸν εὑρεθῆναι δύνασθαι, καθ' ὃν ἀπόλλυταί τις ἐκ τοῦ σώματος ἡμῶν χυμὸς, ὃν αὐτὸς ἀεί φησιν ὑπάρχειν, αἵματος δηλονότι, καὶ φλέγματος, καὶ χολῶν διττῶν. ἅπαντας μὲν γὰρ εἶναι διὰ παντὸς, αὐξάνεσθαι δ' ἄλλον ἐν ἄλλῃ κράσει, καὶ φύσει σώματος, ἡλικίᾳ τε καὶ ὥρᾳ, καὶ χώρᾳ, καὶ νοσήματι, νομίζεις καταβάλλεσθαι τὸν λόγον, εἰ τῷ χολῶντι φλεγματαγωγὸν δοθείη φάρμακον, τουτὶ μὲν κενούμενον φαίνοιτο, χολὴ δὲ οὐ κενοῦται. φέρε τοίνυν, ἡμῖν τοῦτο φαίνεσθαι γιγνόμενον, μηδ' ἐκκενοῦν τὸ φάρμακον ἀεὶ τὸν οἰκεῖον ἑαυτοῦ χυμόν. ἆρ' οὖν ἐναργῶς ἐδόκει ψευδὲς εἶναι τὸ Ἱπποκράτους δόγμα; εἰ γὰρ ὁμοτίμως μὲν ἅπαντας ἕλκει τοὺς χυμοὺς ἕκαστον τῶν καθαιρόντων, ἀλλοιοῦν δ' εἰς μίαν ἰδέαν αὐτοὺς, ἣν πέφυκεν, οὐδὲν διοίσει τοῦ φλεβοτομεῖν, τὸ καθαίρειν. ἀλλ' εἴπερ τοῦτο οὕτως ἔχει, ῥᾷστον ἤδη τῇ πείρᾳ κρῖναι τὸ δόγμα, καὶ δυοῖν ἀνθρώπων ἀσκίτην ὕδερον ἐχόντων ἴσον τὸ μέγεθος, ἐπὶ τῇ τοῦ σώματος ἕξει τε καὶ ἡλικίᾳ παραπλησίως διακειμένων, τῷ μὲν ἑτέρῳ δοῦναι τῶν ὑδραγωγῶν τι φαρμα-

A Iam mihi de his ipsius nugis satis. Nam si quis omnia quæ audire meretur Iulianus explicare velis, huic non uno, aut altero, sed permultis libris opus est. Veruntamen ipsum audiamus quâ de re deinceps hunc in modum scribat. « Aliud sane validissimum assero, quod qui conspiciunt, eos resipiscere oportebat, neque omnino ab atra bile agi. Quia quum subesse bilis creditur, cholagogum damus, ac tunc bilis non pituita excernitur, aut quum pituita esse conjicitur, phlegmagogum exhibemus, neque pi- B tuita quidem excernitur, sed ex utroque bilis dejicitur. Hydropicis hydragogum damus, neque tamen quod educitur, id esse aquam apparuerit, quod præter omnium opinionem maximè ducitur, quum decumbentis hydropicorum aquæ excretio fieret, sicut bilis cholagogo, & pituitæ phlegmagogo excernitur. » Atque is textus est. Verum admiratione dignum est quod primum per initia ab eo pronunciatum est, non oportere ab atra bile agi. Nos enim ab atra bile percitos videlicet appellant qui Hippocratem laudamus. At sales isti C alios magis decebant qui insanientes ab atra bile vexari statuunt. Porro Iulianus asino ex Æsopi fabulis simillimus est, qui unum catellum intuitus Meltensem cum Aristosito domino accubantem, circumque ipsum saltantem ac lascivientem & caudam commoventem, ac etiam voculam quandam jucundam emittentem, quibus convivæ oblectabantur, qui & ipsum omnes osculabantur, nihil moratus statim ipse in lectum prosiluit, & circa illum rudere, ac motâ caudâ saltare cœpit. Num huic consimilis est Iulianus, qui insaniæ nos jocosè insimulat, quam ipse ait ab atra bile concitari? Si- D ne igitur nos tibi atram bilem exprobrare qui quum neque Medicorum pueris præstes, Hippocratis artem improbas? Quæ hac major melancholia? Quæ manifestior imperitia? Quæ petulantior audacia? His nos jocose incessis, Iuliane, & ea indoctis rationibus concilias, ut eorum absurditas ne puerum quidem lateat. Quum enim Hippocrates pronunciaverit nullam ætatem, nullam anni tempestatem, nullumque omnino tempus inveniri posse, in quo ex nostro corpore humorum aliquis prorsus aboleatur, quos ipse ait semper existere, sanguinem E scilicet, pituitam, & bilem duplicem. Omnes siquidem omnibus inesse censet, sed alium in alio corporis temperamento ac natura, in aliaque ætate, & anni tempestate, & regione, & morbo incrementum suscipere; Ipsius sententiam te demoliri putas, si bilioso medicamentum pituitam ducens dederis, hæcque vacuari videatur, bilis verò non vacuetur. Age verò hoc ita fieri etiam nobis videatur, neque medicamentum familiarem sibi humorem semper vacuare. Num igitur falsum esse videbitur F Hippocratis decretum: Si nanque purgantium medicamentorum unumquodque omnes æqualiter humores attrahat, atque in unam quam habet ideam, ipsos immutet, nihil differt venam potius secare, quàm purgare. At si hoc ita se habeat, jam facile erit experientia id decretum dijudicare duobus hominibus propositis qui ascitem hyderum habeant æqualem magnitudine, sintque corporis habitu & ætate similes, alteri quidem quod aquam educat medicamentum

rûm exhibeatur, alteri verò secetur vena; deinde inspiciatur quis eorum juvetur, & quis lædatur. Æquum sane etiam fuit utrique parem vacuationis copiam effici, tot nimirum effusi sanguinis, quot (ut ipsi existimant) aquæ à purgante medicamento evacuatæ heminas. Hocque etiam ipsis concedimus & in altero per purgationem aquæ heminas verbi gratiâ quindecim, in altero per phlebotomiam duas solas, videamus quis eorum jugulatus sit. Quid enim aliud de hydropico cui vena secta sit, aliquis dixerit? Quis verò maxime auxilium consequutus fuerit? Heus tu quid dicis; Isne tibi est elenchus par, aut huic similis nunc allatus, quem paulo ante tractabas? Eductorium, inquit, bilis medicamentum cuidam hydrope laboranti exhibeatur, hoc quidem, ô bone vir! bilem vacuaverit, verùm modicam, nulloque emolumento. Purgans aquosum serum medicamentum bilioso detur, aquosum humorem vacuabit, sed & paucum & cum læsione. Rursum igitur hydragogum exhibeatur ascite laboranti, cholagogum verò ictero jacenti, ægrotus uterque copiosè vacuabitur magna cum utilitate. Hæc si apud quendam Medicum scripta nondum Iulianus legerit, etiam admiror viri diligentiam; Si vero legerit, & quæ ille mandare literis ausus fuerit, par est ipsius prudentiam admiratione prosequi. Ego enim qui quæ jam prolata sunt, auscultarunt, eorum aures offendi arbitror. Iulianus autem in quibus de ipsis scribit nos insanire putat. Quapropter si eorum quos laudavit, Philosophorum meminerit, respondeat à quonam ipsorum hujusmodi demonstrationis legem didicerit, quâ usus esse proditur. Si nanque naturam purgandi bilem ex animali cholagogum medicamentum haberet, minime verò ipsam procrearet, non sane à pituitosis bilis vacuaretur. Hæc miranda est consequentis cognitio. O præclaram hujus Sophistæ dialecticam! Quid ita circunscriptum Chrysippus, aut Aristoteles, aut Plato protulit? Qui si de his ipsis hæc esset instituta disquisitio, nullam videlicet prorsus bilem in corpore contineri, omnes utique dicerent à cholagogis nihil prorsus evacuari. Si vero pauca bilis contineatur, hanc quoque profiterentur paucam quæ ab his attrahatur, existere, quemadmodum etiam si copiosa contineatur, copiosam quoque esse quæ trahatur. Verùm Iulianus novæ dialecticæ Sophista censet bilem non omnino cholagoga sequi, quum modica in animalis corpore extiterit. Deinde nos quidem qui hydragogum medicamentum hydrope laborantibus exhibemus, insanire prædicat, seipsum verò sapere, cujus placitis in his venæ sectio sequitur. His autem ipsius sermonibus simillimum est, quod sequentibus hoc textu enarratum est. *Quod etiam plerunque vicissim & intensio & remissio fiat; indefinita est sanitas, si quis assimilet illi quod nostrûm comparatione in omni continuitate non sæpe, sed raro apparet.* Per hæc Iulianus eorum opinionem refellit qui corporeas semper esse affectuum constitutiones existimant. Hæc scribentes tanquam intensionibus ac remissionibus morborum attestantia; ipse verò Methodicorum sententiæ consentire, senis verò plane adversari, etiamsi rem maximè contrariam inveneris. Nam qui affectus solidis animantis

A κον, τοῦ δ' ἑτέρου τεμεῖν τὴν φλέβα. κἄπειτα θεάσασθαι, τίς μὲν ἐξ αὐτῶν ὠφελεῖται, τίς δὲ βλάπτεται. δίκαιον μὲν ἦν ἴσον ἑκατέρῳ ποιήσασθαι τὸ πλῆθος τῆς κενώσεως, τοσαύτας κοτύλας ἐκχεονθέντες τοῦ αἵματος, ὅσας τοῦ κενωθέντος, ὡς οὗτοι νομίζουσιν ὕδατος ὑπὸ τοῦ καθαρτικοῦ φαρμάκου· κἂν τοῦτο συγχωρήσωμεν αὖθις, καὶ τοῦ μὲν ἑτέρου διὰ τῆς καθάρσεως κενώσομεν κοτύλας ὕδατος, εἰ τύχοι ιε', τοῦ δ' ἑτέρου διὰ τῆς φλεβοτομίας δύο μόνας, ἐπιδῶμεν ὅστις μὲν αὐτῶν ἐσφά-
B γη. τί γὰρ ἂν ἄλλο τις εἴποι περὶ τοῦ φλεβοτομηθέντος ὑδεριῶντος; ὅστις δ' ὤνηται τὰ μέγιστα. τί λέγομεν, ὦ οὗτος, ἆρα ἴσως, ἢ παραπλησίως, ὁ νῦν εἰρημένος ἔλεγχος ὅσῳ μικρὸν ἔμπροσθεν ἐγχειρήσας, καθαρτικὸν χολῆς φησὶ διδόσθω τινὶ τῶν ὑδεριώντων, κενώσει μὲν ὦ οὗτος, καὶ τουτὶ χολὴν, ἀλλ' ὀλίγην τε καὶ σὺν οὐδενὶ χρηστῷ· καθαρτικὸν ὑδατῶδες ἰχῶρος διδόσθω τῷ χολῶντι, κενώσει μὲν ὑδατῶδες, ἀλλ' ὀλίγον τε, καὶ μετὰ βλάβης. πάλιν οὖν διδόσθω, τὸ μὲν ὑδραγωγὸν, τῷ τὸν ἀσκίτην νοσοῦντι, τὸ δὲ χολαγωγὸν τῷ τὸν ἴκτερον, καὶ πολὺ κενωθήσεται τῶν ἀνθρώπων ἑκάτερος, καὶ σὺν ὠφελείᾳ μεγάλῃ. ταῦτα εἰ μὲν οὐδέπω ἀνέγνω γε-
C γραμμένα παρά τινι τῶν ἰατρῶν ὁ Ἰουλιανὸς, θαυμάζω τὴν φιλοπονίαν τἀνδρός. ἀναγνοὺς δ', εἰ ἐτόλμησε γράφειν ἅπερ ἔγραψεν, ἄξιον ἄγασθαι τὴν σύνεσιν αὐτοῦ. νομίζω γὰρ ἐγὼ νῦν ἀκούσασι τῶν εἰρημένων ἀρτήσειν αὐτῶν τὰ ὦτα. Ἰουλιανὸς δ', ἐν οἷς ἔγραψε περὶ αὐτῶν, ἡγεῖται μελαγχολᾶν ἡμᾶς. ἀποκρινάσθω τοιγαροῦν ἀναμνησθεὶς τῶν φιλοσόφων οὓς ἐπῄνεσε, παρά τινος αὐτῶν
D ἔμαθε νόμον ἀποδείξεως τοιοῦτον, οἵῳ φαίνεται κεχρημένος. εἰ γὰρ ἐπεφύκει, φησὶ, τὸ χολαγωγὸν φάρμακον ἐκκαθαίρειν τοῦ ζώου τὴν χολὴν, οὐκ αὐτὴν γεννᾷν, οὐκ ἂν ἐκενοῦτο χολὴ τοῖς φλεγματώδεσιν. θαυμαστή γε ἡ τοῦ ἀκολούθου γνῶσις· ὦ τῆς μεγάλης διαλεκτικῆς τοῦ σοφιστοῦ. τί συνετὸν οὕτω Χρύσιππος, ἢ Ἀριστοτέλης, ἢ Πλάτων εἶπεν· οἵ γε εἰ περὶ τούτων αὐτῶν ἐπισκέψασθαι προὐτάχθη, τὸ μηδὲ ὅλως περιέχεσθαι κατὰ τὸ σῶμα χολὴν, πάντες ἂν ἔφασαν ἕπεσθαι τὸ μηδ' ὅλως ὑπὸ τῶν χολαγωγῶν ἐκκενοῦσθαι. τὸ δ' ὀλίγον περιέχεσθαι, τὸ τὴν ἑλκομένην ὑπ' αὐτῶν ὀλίγην ὑπάρχειν,
E ὥσπερ γε εἰ πολὺ περιέχοιτο, πολλὴν εἶναι τὴν ἑλκομένην. ἀλλ' Ἰουλιανὸς ὁ τῆς καινῆς διαλεκτικῆς σοφιστὴς, ἀξιοῖ μηδ' ὅλως ἕπεσθαι χολὴν τοῖς χολαγωγοῖς, ὅταν ὀλίγη ποθ' ὑπάρχῃ κατὰ τὸ ζῶον. εἶθ' ἡμᾶς μὲν λέγει μελαγχολᾶν, τοὺς ὑδραγωγὸν διδόντας φάρμακον τοῖς ὑδεριῶσιν. ἑαυτὸν δὲ σωφρονεῖν, οὗ τοῖς δόγμασιν ἕπεται φλεβοτομεῖν αὐτούς. ὁμοιότατον δὲ τούτοις αὐτοῦ τοῖς λόγοις ἐστὶ, καὶ τὸ διὰ τῶν ἐχομένων εἰρημένον ἐν τῇδε τῇ ῥήσει. τό τε γίγνεσθαι ἐπὶ τὸ πλεῖστον ἐναλλὰξ ἐπίτασίς τε καὶ ἄνεσις, «
F ὑγεία ἀδιόριστος. ὁμοιούμενός τις, ὡς πρὸς ἡμᾶς κατὰ πᾶν συνεχείας, ἐν ᾧ σπανίως ὀλιγάκις τε φαινομένῳ. ἐν τούτοις Ἰουλιανὸς καταβάλλει τὴν δόξαν τῶν οἰομένων ἀεὶ σωματικὰς εἶναι τὰς κατασκευὰς τῶν παθῶν, ταύτας ὡς μαρτυροῦντα, γράφοντας ἐπιτάσεις καὶ τὰς ἀνέσεις τῶν νοσημάτων· οἰόμενος συμφωνεῖν μὲν τῇ δόξῃ τῶν μεθοδικῶν, ἐναντιοῦσθαι δὲ τῇ τοῦ παλαιοῦ. καί τοι ταὐτὸ τὸ ἐναντιώτατον εὕροις ἄν. αἱ μὲν γὰρ τοῖς στερεοῖς τοῦ ζώου

μέρεσι διαθέσεις, ἐστηριγμέναι τ' εἰσὶ, καὶ μόνιμοι. τὰ δὲ ὑγρὰ, καὶ μεταῤῥεῖν εἰκὸς εἰς ἄλλο μόριον τοῦ ζώου, καὶ διαφορεῖσθαι λεπτυνόμενα, καὶ κατά τινας αἰσθητοὺς πόρους ἐκκρίνεσθαι, καί ποτε μὲν ὑπὸ τῆς διοικούσης τὰ ζῶα φύσεως πεττόμενα, χρηστότερα γίνεσθαι, ποτὲ δ' ὑπὸ πυρετώδους θερμασίας ἀλλοιούμενα, μοχθηρότερα. καὶ τὰ μὲν διαπνεῖσθαι ὑπὸ τῆς πυρετώδους θερμότητος, καὶ τὰ δὲ αὐτῶν βελτίω γίνεσθαι κεραννύμενα χρησταῖς τροφαῖς. τὰ δὲ συνδιαφθείρεσθαι ταῖς ἐπιῤῥεούσαις, ἤτοι γ' εὐθὺς ἔξωθεν οὔσαις μοχθηραῖς, ἢ μὴ καλῶς ἔτι ἐν τῇ γαστρὶ πεφθείσαις,

τοὺς δ' ἐπὶ σηπεδόνι χυμῶν ἀναπτομένους, οὐδὲν δήπου θαυμαστόν ἐστιν ὡς ἂν ἐκεῖνα τύχῃ, κατά τε χώρας ἀθροιζόμενά τε, καὶ σηπόμενα, καὶ κενούμενα, τάς τε γενέσεις ἔχειν καὶ τὰς παρακμάς. ἀλλ' ἐν μὲν τούτοις ἀνάσχοιτ' ἄν τις ἴσως αὐτῶν. ὃ δ' ἐφεξῆς ἔγραψεν Ἰουλιανὸς, οὐκ ἔτι κοινὸν ἁπάντων ὑπάρχον ἀλλ' ἴδιον ἐξαίρετον ἑαυτοῦ, τοῦτ' ἤδη σοι δίειμι. ὅλην δ' ἄμεινόν μοι δοκεῖ παραγράψαι τὴν ῥῆσιν, εἰ καὶ μακροτέρα πώς ἐστιν, ἔχουσαν ὧδε. ὅτι δ' ἀδιανόητον. ἐπὶ πλῆθος, ἢ διαφθορὰν, ὃ αὐτὸ πρὸς τὴν
» νῦν ὑπόθεσιν, ἀναφέρειν τὸ ποιητικὸν τῆς νόσου. τί δ' ἄν τις
» συμμελέστατα διαγνοίη τοῦ πάθους δι' ὅλου τοῦ σώματος
» ἀπιόντος; ἀναγκαῖον ὁμολογεῖν πάντα πλεονάζειν ἐν
» παντὶ μέρει τε καὶ μορίῳ. τῷ ἀποτελέσματι γὰρ συμπα-
» ρατείνεσθαι χρὴ τὸ συνέχον αἴτιον. χωρεῖ δὲ δι' ὅλου πά-
» θη, ὡς πυρετοὶ, ἄλλα τε μυρία, ἐφ' ὧν ἐν τῷ ὅλῳ,
» καὶ τὸ πλῆθος εἶναι δεῖ. καὶ τὸ τοῖς πλεῖον ὅταν πλεῖον καὶ
» τὸ νόσημα ᾖ, καὶ τὸ τοῖς πλεῖον καὶ συγκεχωρημένον ὧδέ
» πως φαίη. εἰ δέ γε . . παρὰ αὐτὴν τὸ πλῆθος τοῦ
» ὑγροῦ. καὶ μὴν Ἰουλιανὸς οὐ βούλεται τὸ καθόλου τὸ σῶ-
μα νοσημάτων ἐν ἑνὶ τόπῳ τὴν συνεκτικὴν ὑπάρχειν αἰτίαν. ἀλλὰ κἂν τὴν ῥύσιν ὑποθῆταί τις ἐπὶ τῷ βουβῶνι γίνεσθαι συνέχον αἴτιον οὖσαν τοῦ πυρετοῦ, εἰς τοσαύτην ἀπορίαν ὁ λόγος ἀχθήσεται. λυομένου γὰρ τοῦ βουβῶνος, οὔτε διαμένειν αὐτὴν, οὔτε παύεσθαι δυνατόν. ἐπειδὴ μενούσης μὲν, ἀναγκαῖόν ἐστι καὶ τὸν πυρετὸν διαλύεσθαι, λυομένης δὲ, συνεκτικὸν ἑαυτῆς αἴτιον ἔχειν τὸν βουβῶνα. κἂν τούτῳ τὸν λόγον ἀνατρέπεσθαι, τοῦ θαυμαστοῦ προστάτου, φάσκοντος ἀδύνατον εἶναι, τὸ καθ' ὅλον τὸ σῶμα πάθος, αἴτιον ἐν ἑνὶ τόπῳ συνεστάναι. καὶ μὴν οὐδ' ἄλλην τινὰ ἔννοιαν εἰπεῖν ἔχει τοῦ συνέχοντος αἰτίου, παρὰ τὸ γίνεσθαί τι πρὸς αὐτοῦ, καὶ παύεσθαι σὺν αὐτῷ. πλὴν εἰ κἀνταῦθα πάλιν ἐξαίφνης ἑαυτὸν εἶναί φησι Στωϊκὸν ὡς ἐν ἄλλοις ἐποίησεν. ἀλλὰ τοῦτό γε πράξας, οὐ νόσου μόνον, ἀλλὰ καὶ τῆς ὑγιείας αὐτῆς αἴτιον ἀποφανεῖταί τινα, καὶ θερμὸν, καὶ ψυχρὸν ἀναγκασθήσεταί τι λέγειν εἶναι νόσημα, καὶ ξηρὸν, καὶ ὑγρὸν, ἅπερ οὐ βούλεται. μὴ τοίνυν ληρείτω μάταια. μηδ' ἐμπλήκτων τρόπον, ἀλλὰ τἄλλα φανταζέσθω, ποτὲ μὲν ἐπαινῶν Στωϊκοὺς, ποτὲ δ' ἀναιρῶν αὐτῶν τὰ δόγματα.

A partibus insunt, firmi ac stabiles manent. Humores verò præterquam quòd in alias animalis partes fluant, consentaneum etiam est eos attenuatos in halitus discuti, ac per quosdam sensiles meatus excerni. Interdum etiam à gubernatrice animalium natura concoctos meliores reddi, interdum verò à febrili calore alteratos deteriores fieri; & hoc quidem à febrili calore perspirando evanescere, illos vero seipsis probis alimentis temperatos meliores evadere, istos denique à vitiosis secum fluentibus corrumpi, sive B statim cibi exteriùs pravi extiterint, sive non probe etiam à ventriculo concocti fuerint.


Pauca desunt.

Febres autem ex humorum accensas putredine, minime sane mirum est quòd illi per locos acerventur, putrescant, & vacuentur, tum ortus, tum declinationes habere. Verùm quispiam fortassis in istis eos patienter tulerit. Quod vero Iulianus scripsit, non etiamnum omnibus commune, sed sibi proprium ac peculiare existit hoc jam tibi refero. At præstat mea quidem sen- C tentia totum textum etiamsi quoquo modo prolixior sit, describere, qui ita se habet. Quia verò sub mentem non cadit, ad plenitudinem aut corruptionem (quod ad rem propositam spectat) efficientem morbi causam referre; quis accuratissimè id dignoverit, affectu per totum corpus abeunte? Necesse est concedere omnia in omnibus tum partibus tum particulis exuberare. Continentem siquidem causam unà cum affectu protendi oportet. Per totum autem eunt affectus, ut febres, imò & alii innumeri, unde & in toto esse plenitudinem oportet, eamque aliis majorem, quum major morbus fuerit, atque ita D dicere concessum est. Si vero in parte duntaxat esset humorum plenitudo, causam quoque parti inesse continentem oporteret: Reluctatur tamen humorum plenitudo. Atqui minime vult Iulianus morborum universum corpus occupantium causam continentem uno in loco consistere; sed si quis fluxionem supponat in bubone febris continentem esse causam, hæc oratio in tantam difficultatem adducetur. Soluto nanque bubone, neque eam permanere, neque sedari possibile est. Quandoquidem ea manente febrem solvi necesse est; solutâ verò continentem suiipsius E causam bubonem habere oportet. Proindeque præclari hujus defensoris ratio subverti potest, dicentis fieri non posse, ut morbi universum corpus occupantis causa in unico consistat loco; quum tamen nullam aliam certam proferendam habeat continentis causæ notionem, præterquamquod ab ea aliquid oboriatur & cum ipsa cesset; nisi quoque hoc in loco iterum se derepente Stoïcum esse profiteatur, quemadmodum etiam aliàs facere consuevit. Verùm hoc facto, non morbi duntaxat, sed etiam sanitatis ipsius causam aliquam pronunciabit, & (quæ minimè F vult) cogetur aliquem morbum esse calidum & frigidum, & humidum & siccum fateri. Quas ob res ne vana nugetur, neque stupidorum more alia aliàs excogitet dum Stoïcos extollit interdum, & interdum ipsorum decreta evertit.



FRAGMENTA GALENI
EX APHORISMIS RABY MOYSIS
COLLECTA.

1. *Ex particula sexta de Creatoris auxilio.*

Artes quædam corporis creduntur unum esse, quæ revera duo sunt, ut cerebrum, lingua, maxilla, pulmo, pectus, matrix, & aliæ his similes; quandoquidem in latere dextro cujuslibet illarum numerus partium æqualis est numero earum quæ sunt in latere sinistro, quæ partes sunt æquales quantitate, crassitudine, tenuitate, & colore; tota vero earum natura nunquam permutatur, sicut & generis venarum pulsatilium, & non pulsatilium, & nervorum quicquid ex eis conjungitur uni lateri est simile ei, quod conjungitur latere reliquo.

2. *Ex textu secundi Epidemiorum.*

QUæcumque ex animalibus, & plantis citò crescunt, citò quoque vitam suam finiunt.

3. *Ex comm. in secundum Epidemiorum.*

SApor sudorum tum sanis, tum ægris peræque salsus est. In his tamen paululum salsitas immutatur, quæ ad humoris morbifici dominantis saporem propendet.

4. *Ex comm. in secundum Epid.*

SUspensis ac tensis hypocondriis per initia morborum manum tuam admove, quâ si quis tumor illis subjaceat calidus, mollis, durus, inflatio, sanies, & copiosum stercus dignosces, cognito ipso morbo ejus dissolutio curatione suscipienda est.

5. *Ex comm. in secundum Epid.*

TUssis diuturna cessat aliquando per apostema quod generatur in testiculis collectione humoris à thoracicis partibus ad generationis partes defluentis. Inflammatis vero testibus tussis succedens perniciosa est.

6. *Ex expositione in secundum Epid.*

QUi habet hepar debile, color ejus est albus, candidus ex pauco sanguine, quem generat: & qui splenem habet debilem, color ejus est lentiginosus ex humore melancholico, qui sanguini est commixtus.

7. *Ex prima expositione in secundum Epid.*

SPecies lumbricorum ventris sunt tres similes vermibus; acuti qui generantur circa anum; lati similes seminibus cucurbitæ in intestinis crassis; ascarides qui similes serpentibus tenuibus, quum ipsi ad stomachum serpunt, dolorem in eo generant. Generantur autem in ventre vermes ex pravo humore mordaci.

8. *Ex comm. in secundum Epid.*

EX materia humoris ascendentis ad partem superiorem corporis, in capite ulcera generantur, ac tunc oportet te purgare ex loco proximo vomitu, & non phlebotomia.

9. *Ex secunda Epid. expositione.*

IN angina, & omni morbo infantibus oborienti sentit patiens coarctationem quum quid deglutire vult. is affectus perniciosior est, in quo non apparet in fauce tumor, neque rubor, & hoc apostema est in meri gutture, aut ipsorum lacertis tantum, & ex humoribus frigidis, viscosis, & crudis accidit angina.

10. *Ex secunda Epid. expositione.*

CUm anginæ apostema magnum est, non sit æger contentus tantum medicinis, quæ interius fiunt; sed fiant etiam emplastra exterius, effusiones aquæ calidæ, & balnea. Et hæc non efficienda sunt, nisi in declinatione morbi, & cibi dominorum hujus morbi sint farinæ medi-

cinales, ut cum transeunt per loca dolentia, sint eis loco emplastri.

11. *Ex secunda Epid. expositione.*

IN stomachi modis speciatim ciborum usus commoderata quantitate præfinitus sit oportet ne laborantem gravet ac opprimat. In hepatis ut stomachi morbis idem agendum est. Oportet in ægritudinibus stomachi specialiter, quod quantitates ciborum sit temperata quantitate determinata, ut non gravet eum, & oportet in ægritudinibus hepatis fieri, illud idem.

12. *Ex secunda Epid. expositione.*

LEipothymiæ, quæ generantur ex humoribus, minùs pravis, quàm qui generant syncopem, & oscitationi quæ generatur ex lentitudine musculi maxillam moventis ad resolutionem fuliginum, confert vinum cum aqua temperatum, quia emendat malos humores, calefacit stomachum, juvat coctionem, & resolvit frigidas fuligines, & potus vini confert oripilationi provenienti ex humiditatibus punctoriis, & non ei quæ ex febre, vel apostemate calido generatur.

13. *Ex secunda expositione in secundum Epid.*

EX humore acuto & adurenti qui febrem generat, impossibile est apostema in auribus generari, & ex humore ipso valdè frigido, crasso, apostemata in inferioribus corporis generantur, & ex humore ipso inter statum utrumque medio sub auribus apostemata generantur.

14. *Ex secunda expositione in secundum Epid.*

IN hora difficilis partus ex sanguine retento, & ex multo, & forti conamine mulieris parturientis membra partus mulieris ipsius multoties apostemantur.

15. *Ex expositione in secundum Epid.*

COadunatio sanguinis in mammillis significat maniam futuram.

16. *Ex expositione in secundum Epid.*

SAnguis ærugineus est sanguis subtilis aquosus, cujus facultas est venenosa, prava, acuta, & sanguis aqueus est sanguis calidus, stabilis, & quietus.

17. *Ex tertia expositione in secundum Epid.*

URina pinguis cum colore inæquali de genere choleræ significat calorem febrilem liquefacere pinguedinem. Et urina pinguis cum colore, & substantia similis colori olei significat calorem febrilem liquefacere carnem, & hæc significat destructionem, quia caliditas liquefaciens carnem fortior est caliditate, quæ pinguedinem liquefacit.

18. *Ex expositione tertia in secundum Epid.*

QUum æger desiderat attractionem aëris frigidi propter incendium vehemens, quod sentit in interioribus membris, & requirit multa operimenta propter frigus; quod in exterioribus sentit, significat hunc morbum esse lethalem, maximè cum in principio accessionum non accidit illud.

19. *Ex tertia expositione in secundum Epid.*

QUum melancholici in corpore dominatur, ejus purgatio melior est continuis vicibus, & continuis diebus per inferius tempore sanitatis, & tempore infirmitatis.

20. *Ex particula sexta quartæ expositionis in secundum Epidemiorum.*

SAnguis est quædam massa humorum omnium per dispositionem naturalem in hepate generatam, & denominatur à sanguine propter suam abundantiam sanguinis, & ejus dominium super aliquos humores, & est id quod evacuatur per phlebotomiam, & scarificationem. Et quum dicimus quòd in corpore sunt humores quatuor, scilicet sanguis, phlegma, cholera flava, & bilis nigra, non intelligimus tunc per sanguinem ipsum massam humorum quatuor; sed intelligimus illum, qui comprehenditur per imaginationem, & humoribus aliis non est permixtus.

21. *Ex quarta expositione in secundum Epid.*

PHlebotomia etsi non conferat quandoque domino tremoris, domino hydropisis, & his similibus, & conferat eis quandoque, utilis tamen est illi, cui specialiter incipit ægritudo ex conclusione sanguinis menstrui aliqua ratione, ob cujus multitudinem dubitatur ne calor naturalis extinguatur.

22. *Ex sexta expositione in secundum Epid.*

DIes critici per quaternarium numerum computantur usque ad vigesimum, & sunt quartus, septimus, undecimus, decimusquartus, decimusquintus, & vigesimus, & post vigesimum per septenarium usque ad 40. & post 40. computantur per vigenarium usque ad centum viginti, & post centum viginti computantur bis per circuitus mensium, secundum quod computavisti per circuitus dierum, & post menses per circuitus annorum.

23. *Ex sexta expositione in secundum Epid.*

TOtum sanguinem malum, qui coadunatus est in diebus conceptionis in muliere, purgare

partus tempore te oportet, & potior curatio ejus est purgatio sanguinis ejusdem per administrationem cibi lenis, ut sanguis citò provocetur, & illud in quo coadunatur cibatio, & lenitas est far hordei, in quo etiam est incisio, & subtilitas modica, & ista adjuvant ad provocationem sanguinis crassi.

24. *Ex sexta expositione in secundum Epid.*

A Concipiente cum lac exit, fœtus est debilis; & propter sui debilitatem non potest trahere ad se sanguinem, qui ascendens ad mammillas fit ex eo lac, & cum mammillis est superfluitas absconsa, fœtus est fortis.

25. *Ex sexta expositione in sextum Epid.*

LAc cibat defectorum corpora, & sublevat ea etiam, corrigit humores malos, & adaptat ipsos humores, & lenit ventrem, & caseus residet in meatibus hepatis, & oppilat illos, & ob hanc causam domino hydropisis valdè nocet.

26. *Ex expositione in sextum Epid.*

NOn oportet citò perforari ventrem hydropicum, sed hoc debet fieri quum est augmentata humiditas in tantum, quòd virtutem aggravat, & defectat: & oportet citò cauterizari pectus patiens ulcus pulmonis, antequàm ulcus putrefiat.

27. *Ex sexto Epid. in octava expositione.*

CAusæ ægræ primitivæ cum reperiunt corpora à superfluitatibus munda, quod corporibus accidit ex ipsarum malitia est modicum, & ejus discessus à corpore est velox, & cum reperiunt corpus habere multos, vel malos humores, earum actio est in eos sicut actio flammæ ignis in ligna pinorum pinguium, vel sicut actio licinii accensi in sulphur.

28. *Ex primo expositionis libri ciborum.*

IN stomacho fortassis colligitur chymus plegmaticus, vel cholericus, & phlegma est modis pluribus: est enim aliud acidum, aliud salsum, aliud dulce, & aliud insipidum; & est etiam aliud molle subtile, & aliud crassum viscosum, & aliud aptum ad dissolutionem, & divisionem. Et eodem modo est de cholera rubea, & citrina, quæ crescit & decrescit in rubedine, & citrinitate, & similiter est de speciebus choleræ, quæ in corporibus ægrotantium generantur.

29. *Ex primo expositionis ciborum.*

CHymus humor crassus quemadmodum est ille, qui apparet in urina febricitantis ex multa indigestione, & qui descendit in urina alicujus sani nimis laborantis, & comedentis cibaria dura difficilis digestionis, assimilatur saniei, & inter eos differentia, quia ille humor crassus non fœtet, nec est viscosus; sed ei est in substantia, & colore similis.

30. *Ex prima ciborum expositione.*

CUjuslibet fortis membri virtus transmittitur ad membrum sibi proximum de membris debilibus, & sic fit in membro debili virtus quædam composita ex propria sua virtute, & virtute transmissa.

31. *Ex expositione in cibis.*

LAc matricis convenit filio, quia substantia ejus est substantia sanguinis, ex quo creatus est, quum corruptum est lac matricis, eligatur lac aliud quod conveniat sibi.

32. *Ex expositione in secundo ciborum.*

CUratio cum cibis, quibus insunt virtutes medicinales, est melior curatione cum medicinis quibus insunt virtutes cibales, & evita medicinas facere puras. Si verò aliqua ex causis te contingat facere illam, noli commiscere sibi ad ejus adaptationem, nisi quod ei conveniat, in quo sit virtus cibalis.

33. *Ex tertia expositione ciborum.*

ÆGritudines accidentes ex melancholia, sunt cancer, elephantia, scabies, excoriatio cutis, febris quartana, melancholia, & grossities splenis.

34. *Ex expositione tertia ciborum.*

COrpora rara sunt debiliora, & magis durantia sana, & cum ægrotantur, facilè convalescunt; corpora verò densa contrarium.

35. *Ex tertia expositione ciborum.*

SAltus accidit ex humoribus acutis mordicantibus membra, & est motus similis motui qui accidit ex motu digitorum in subasellis, & similibus sibi.

36. *Ex quarta expositione in cibis.*

SEparatio ossis nasi sanatur, & consolidatur diebus decem, maxillæ, furcolæ pectoris, & ossis frontis diebus viginti, & humeri diebus triginta, pedis vero, & brachii diebus quadraginta, coxæ vero diebus quinquaginta.

37. *Ex quarto ciborum.*

TEmpus formationis fœtus est dierum 35. 40. vel 45. & motionis ejus tempus est duplum

tempore formationis, & tempus exitus ejus est triplum temporis motionis.

38. *Ex quarta expositione ciborum.*

ASsum corroborat corpora magis illo, quod est coquinatum, & post illum elixatum, & elixatum corroborat magis, quàm aliæ species omnes coquinationis.

39. *Ex expositione prima ventorum.*

SUperfluitates corporis in hyeme sunt paucæ, quia frigus congelat eas, & in æstate multæ, quia calor liquefacit eas, & pauci inveniuntur comedentes, non plurimu, & plurimum non bibentes.

40. *Ex primo ventorum.*

SIgnum geminorum quum ascendit, inchoat æstas; & quum descendit, inchoat hyems, signum verò piscis quum ascendit inchoatur, & cum descendit, inchoat autumnus.

41. *Ex expositione in primo ventorum, & aquarum.*

ÆGritudines dictæ civiles sunt, quæ habitatoribus alicujus terræ multotiens accidunt aliquo tempore, vel instanti ex terra, aëre, aqua, vel cibi, quibus habitatores ipsi utuntur.

42. *Ex eadem particula.*

ÆGritudines pestilentiales sunt, quæ generaliter accidunt annorum aliquo hominibus alicujus terræ ex mutatione aëris ipsius, aquarum, vel ciborum, aut ex mutatione omnium horum trium.

43. *Ex expositione ejus in secundo ventorum.*

EX solo phlegmate inter alios humores non generatur cholera nigra, etiamsi sibi caloris fortis, & adurentis dominium misceatur.

44. *Ex secundo de ventis.*

EVacuationis corporis cum crassitie splenis causæ sunt duæ, prima est hepar quod non complet digestionem cibi necessarii ad cibandum membra, in quo est cum membris simul modicum, & secunda, splen, quæ majorem partem turbulenti sanguinis ad cibandum membra necessarii ad se trahit, & corpus attenuatur necessariò, quum membra ipsius prohibita sunt à cibo.

45. *Ex expositione secunda aquarum.*

OMnibus aquis pejor est, quæ est ex nive, vel glacie resoluta, quia subtile in aqua pluviæ est resolutum, & coagulatum est crassum malum ejus, & ad bonitatem aquæ pluuiæ nunquam redit.

46. *Ex expositione in secunda ventorum.*

OMnis aqua spissa, & crassa est valdè frigida, & ipsius digestio, & descensus rari sunt, & tardi, & omnis aqua turbida fortificat appetitum cibi, & est causa corruptionis humorum, & puncturæ stomachi, in æstate, & in hyeme est nociva humoribus sui frigiditate, & os stomachi pungit.

47. *Ex secunda ventorum.*

TErræ Orientales sunt, quæ sunt petitæ in summitatibus montium, supra quos sol lucet die, item civitates Orientes sunt quas perflat ventus Orientalis, & ipsarum pars Occidentalis est cooperta, & Orientalis discooperta, & terræ Occidentales sunt contrariæ istis.

48. *Ex expositione secunda ventorum, & aquarum.*

NOn oportet te apponere ignem alicui membrorum corporis nisi manibus, pedibus, & lumbis.

49. *Ex tertia expositione.*

SPermatis, & sanguinis complexio quia in æstate, & hyeme non est una, sed diversa, fœtus in his temporibus diversantur, caliditas enim æstatis sperma calefacit, & desiccat, & frigiditas hyemis ipsum infrigidat, & humectat.

50. *Ex expositione de doloribus mulierum.*

PHlegmatis generatio ex calore corporis, quia quum stomachus propter fortitudinem caloris non potest digerere cibos quos continet, phlegma in stomacho augmentatur.

51. *Ex expositione in doloribus mulierum.*

QUi est ex vomentibus, facilè ad mundificationem corporis sui, à superfluitatibus cibi exerceat vomitum ante cibum, & qui est ex vomentibus difficulter ad mundificationem corporis sui à phlegmate post cibum, debet vomitum exercere.

52. *Ex expositione in doloribus mulierum.*

MAlitia quæ est à constrictione sanguinis non manifestatur in primo mense, sed in secundo manifestatur manifestatione absconsa, & in tertio mense postea crescit pestis, quia sanguinem qui primo mense descendit, capit matrix, & cum illo repletur, quod descendit, nec est sibi locus ubi possit morari, ascendit sursum, & illud causa est pestis magnæ.

53. Ex expositione in doloribus mulierum.

SAnguis retinetur debilitate virtutis trahentis venarum matricis oppilatione, vel constrictione sui.

54. Ex expositione in doloribus mulierum.

SUperfluitates coadunatas in corporibus mulierum ex otio, & vacatione exercitii, quibus sunt, natura expellit, ac venas cum matrice coniunctas, ibique aggregantur, & matrix virtute sua etiam attrahit eas.

55. Ex doloribus mulierum.

QUæcunque mulier habet menstrua, sed rara, & debile exercitium operatur, non appetit coitum, quia mundificatur à superfluitatibus corpus ejus, & superfluitates sunt, quæ matricem movent, & eam flectunt ad coitum appetendum.

56. Ex doloribus mulierum.

LAcerto & ossibus spinę dolores accendunt, cum ex fluxu sanguinis multo desiccantur, & tenduntur, & matrici spasmus accidit cum ex multo exitu sanguinis desiccatur, & suffocatio matricis accidit, cum sursum ascendit, & tenditur, & ad tensionem ipsius tenduntur diaphragma & venter.

57. Ex doloribus mulierum.

SUffocatio matricis accidit cum matrix, & venæ quæ sunt erga ipsam ex sanguine retento replentur & ligamina matricis tenduntur ex illo, & matrix salit sursum, & impellit diaphragma adeò quòd constringitur spiritus, & impellit tiam stomachum, & fortiter lædit ipsum, causa hujus ægritudinis est retentio spermatis fœminini, & corruptio ejus ibi, & in demonstratione ipsius se multum dilatavit.

58. Ex doloribus mulierum.

PEr incrementum velocem corporum mulierum significatur, qui in eorum corporibus est calor dominans cun humiditate iunctus, & istud cognoscitur per exeuntia à corporibus earum mense quolibet ex sanguine, quoniam sanguinis multitudinem sequitur calor multus.

59. Ex doloribus mulierum.

NUtricis lac quum retinetur, vel est modicum, significat ægritudinem, & quum lac est multum, significat quòd mammillarum natura est temperata, & fortis in operationibus suis.

60. Ex prima expositione humorum.

INclinatur aliquis medicorum, & putat sanguinem superabundare in corpore, & non superabundat, & hoc accidit ex caliditate aeris, aut ira aut febre quemadmodum accidit in mari dilatato, & ipsum putat esse diminutum, & non diminutus est, & hoc accidit ex frigiditate ipsum ad interiora corporis impellente, sicut mari accidit fluctuanti.

61. Ex expositione humorum.

COlor albus, viridis, significat hepar aposthematum esse, & color viridis niger significat splenem aposthematum esse, & color albus phisticus significat aposthematum pulmonem, & colores hi sunt quum ipsa aposthemata minimè sunt accensa.

62. Ex primo humorum.

HUmorum crudorum modi duo sunt, vnus subtilis, & aquosus, & alius crassus, & viscosus in membris collocatus: subtilem autem & aquosum oportet te evacuare citò antequàm calefiat à calore febris, & pungens reddatur, & rosiuum, & crassum, & viscosum antequàm fluat, digerere te oportet.

64. Ex primo humorum.

HUmores ad interius quum declinant oportet te attrahere exterius, & è converso cum declinant ad posterius, oportet te attrahere interius, & è converso quum declinant ad vnum laterum, ad aliud attrahere te oportet.

65. Ex primo humorum.

QUum ægritudo declinat ad pectus, & stomachum, constrictio manuum, & pedum humorem nocuum attrahit ad diversum. Et similiter superfluitas quum declinat ad caput, vel ventrem, ad diversum attrahunt medicinæ mordentis manibus & pedibus applicatæ.

66. Ex primo humorum.

SOmnus est res nociva ei, qui habet humores frigidos multos, & ideò nocet in principio accessionis febris & ventri aposthemato, quia calor interiora corporis subintrat, & subintrat, cum eo sanguis, & ei cujus humores sint crudi paulum cum virtute debili, somnus confert.

67. Ex prima humorum.

IRa & tristitia sunt ægritudines animi, sed in ira calor naturalis intenditur & dilatatur, & cho-

lera generatur, & in tristitia constringitur calor naturalis, & humores frigidi, & phlegmatici generantur, quare indigeo ad humores frigidos, & phlegmaticos calorem naturalem pusillum non solum motibus corporis, sed motu animæ excitare, adijciendo motibus corporis, iram, vt calor naturalis dilatetur, & humores ad exterius excurrant.

68. *Ex prima humorum.*

MAteriam fluentem ad oris summitatem, ad palatum, vel ad vtramque vulvam, ad nares attrahere procura per medicinas morditivas appositas naribus, & similiter procura attrahere ad os materiam fluentem ad oculos per gargarismum cum medicinis morditivis.

69. *Ex prima humorum.*

MUcillaginem narium aquosam, & indigêtam prohibemus cum rebus quæ odoratu trahuntur, & cum rebus quæ distillantur in aures.

70. *Ex primo humorum.*

COrizæ dominis omnibus in sui principio sternutatio nocet, quia tunc humores sunt crudi, & indigesti, & similiter coitus, ex forti nanque motu augmentatur repletio capitis, & tunc membra capitis, & pectoris indigent quiete & ocio, & caliditate temperata, ad digestivi motum augmentatur repletio capitis, & tunc membra capitis, & pectoris indigent arte & ocio, & caliditate temperata ad digestionem humorum crudorum, & cum sistit fluxus, resoluuntur per sternutationem ipsi humores iam digesti, & evacuantur.

71. *Ex primo humorum.*

COruscationes, quas vidit aliquis oculis, sunt ex humoribus quorum substantia, & color sunt contraria humiditati albugineæ intra chrystallinum, & corneam collectis.

72. *Ex primo humorum.*

DOlores capitis allevantur per constrictionem capitis, quum humores qui faciunt dolores, indigent caliditate temperata.

73. *Ex primo humorum.*

STernutationes sunt utiles humoribus aquosis, & inutiles humoribus cholericis, moventes, & augentes eos.

74. *Ex prima humorum.*

VErbum est specialis motus instrumentorum spiritus & ideò non oportet illum à cujus meri sanguinis exitu fit, vel pulmone, vel pectore, vil canna pulmonis clamare inspirare, vel expirare fortiter: motus verò manuum non est inutilis, utilior est tamen ei motus pedum motu temperato, ut per motum ipsum spiritus constrictio nullatenus adducatur.

75. *Ex prima humorum expositione.*

HYdropisis carnosa quum adhæret, oportet te primo adhibere quæ expellunt phlegma per secessum, & postea quæ expellunt illiud per vomitum, deinde per gargarismum, quia gargarismus purgat caput à phlegmate, & cum phlegma est diffusum per totum corpus, purgamus ipsum vniversali purgatione, & dantur in hujusmodi ægritudine medicinæ incisiuæ, & calefactivæ ad purgationem corporis per resolutiones cum vrinæ emissione.

76. *Ex prima humorum expositione.*

OPortet nos purgare corpora patientium icteritiam omni modo, quo possumus, adeoque purgamus ea per superius & inferius, & per palatum, vrinam & nares.

77. *Ex primo humorum.*

APponatur sicya in occipitio, vt attrahatur materia existens ad partem posteriorem, que ad oculos descendit, & phlebotometur vena frontis, vt attrahatur materia existens in posteriore parte cerebri ad partem anteriorem.

78. *Ex prima humorum.*

FAcimus clysterem cum aqua salis ei in cujus intestinis sunt vulnera putrefocta, vt abluat quicquid est putrefactum, & extrahit cortices non paucos, & cum mundificatus est locus, clysterizamus cum medicinis adaptantibus purgationem.

79. *Ex prima humorum.*

CHymus est humiditas, quæ reperitur in corpore animalis, & chylus est humiditas quæ reperitur in fructibus, cum comeduntur, vel constringuntur.

80. *Ex expositione humorum.*

DIfferentia inter sudorem, & odorem est hæc, quia sudor est humiditas subtilis ex humoribus generata, & odor est fumositas ab humoris substantia resoluta.

81. *Ex prima humorum.*

PRuritus tussis, singultus, sternutatio, & similia cessant cum homo ea tolerat, & abstinet se ab his, & maximè si parva, & debilia sunt illa.

Ex

82. *Ex prima humorum.*

NOn oportet illum à cujus meri sanguis, exit, vel pulmone, vel pectore, vel canna pulmonis clamare, vel inspirare, & expirat fortiter.

83. *Ex secunda expositione humorum.*

CHolera nigra est valdè mortifera cum apparet, aut in sputo, vomitu, egestione, aut vrina, & post eam cholera citrina cum apparet pura, & cæteri humores sunt minoris nocumenti cum apparent in aliquo istorum.

84. *Ex secunda humorum.*

OPortet te evacuare humores temporibus accessionum per superius fluxu sanguinis narium, sed vomitu, vel similibus: temporibus verò quietis per inferius vrinam, vel assellationem, vel similibus illis.

85. *Ex secunda humorum.*

COgitare alacria, & ea inspicere dilatat animam, & iucundat, & dilatat naturalem calorem. Et similiter cogitare tristia & ea inspicere, animam & calorem naturalem coarctat.

86. *Ex secunda humorum.*

PRima pars diei similis est veri, proxima æstati, tempus vespertinum autumno, & vltima hyemi, & ideò ægritudines autumnales acutæ & mortales, & horâ vespertinâ fortificantur magis, & exacuuntur accessionibus suis.

87. *Ex secunda expositione humorum.*

ADjuvatur ictericus coloribus citrinis, quia citrinitatem dissolvunt, & is qui sanguinis sputum screat, non adiuvatur demonstratione colorum rubeorum, quia sanguinem mittunt, & omnis humor purgatur demonstratione colorum similium colori ipsius, & ad interiora corporis impellitur demonstratione contrariorum colori ejus.

88. *Ex secundo humorum.*

PRohibe minutionem cum apostema est ex humore cholerico, melancolico, vel phlegmatico, etiam aliter prohibe illam, cum apostema lateris est ex sanguine, & est tempus nimis calidum, & humor in corpore dominans est cholera, quia humor sanguineus, in choleram mutatur, quod comprehenditur quando patiens post sputum sanguinis, cholericum sputum spuit.

89. *Ex secundo humorum.*

OPortet te timere cum proposueris dare medicinam solubilem, fortitudinem temporum accessus, aut dierum crisium, quia virtus medicinæ corrumpitur, cum humores tendunt ad superiora corporis, & ad contrariam partem ejus, per quam debet evacuare.

90. *Ex tertia particula libri de humoribus.*

GEneratur in corpore paulatim humor malus similis veneno morsus, vel mortis, cujus modica est actio in corporis membra, & cum pervenit ad perfectionem malitiæ apparet subita actio ejus, & citò interficit, & quia actio in causis mortiferis est, earum qualitas non quantitas, comprehendimus fore simile in ægritudinibus furentibus citò interficientibus petere interiora, si suppressisset lethale paulum, vel à vipera morsus esset.

91. *Ex tertia expositione humorum.*

HUmores generant qualitates, & qualitates generant humores: nam in quocunque dominatur colera, iracundia generatur, & in quocunque iracundia dominans est, humores colerici generantur.

92. *Ex tertia humorum.*

MElior ventus est, qui defertur ex mari magno, & huic in bonitate proximus est qui ex montibus defertur, & pejor qui ex latrinis, paludibus, vel locis madidis, est delatus, & medius inter hos est qui ab alijs locis defertur.

93. *Ex tertia humorum.*

IN cura vigiliarum stringe manus, & pedes ægri tempore quo dormire convenit, & eum stimula, & fatiga, vt non dormiat, nec oculos claudat, sed eos semper apertos teneat, & demum ligatura strictionis soluta lucerna ablata, omni motu, loquutione, & strepitu prohibitis dimitte ægrum dormiturum somno profundo.

94. *Ex secunda ventorum.*

TErræ orientales sunt quæ sunt positæ in summitatibus montium, supra quos sol lucet die, item ciuitates orientales sunt, quas perflat ventus orientalis, & ipsarum pars occidentalis est cooperta, & orientalis discooperta, & terræ occidentales sunt contrariæ istis.

95. *Ex expositione in tertio de humoribus.*

COrrodens dicitur vlcus, quod corrodit interius, & mesera dicitur vlcus, quod corrodit exterius, & mesera dicitur etiam lana humida, & non lana lutosa.

96. *Ex expositione supra Timæum.*

DIxit Galenus, quòd membrorum nostri corporis quodlibet cibatur sanguine, quem cibum convertit in similitudinem corporis sui, etiamsi nullo tempore inveniatur in eo sanguis, vt est os, cartilago, nervus, ligamentum, chorda, & pellicula, & membra ipsa convertant sanguinem in sui naturam qualiter potest esse, vt corpus, nervi, quod est album, & ex speciebus pelliculæ generet sanguinem, & non cibetur, donec cibum in naturam suam mutat.

97. Ex expositione secunda in Timæum.

HUmiditatis arborum duæ sunt species, vna quæ est per constrictionem, & alia est per fluxum fluentem. Prima est duobus modis, aut sicut accidit de vuis, granatis, citroniis, & his similibus cum causa stringuntur, aut sicut accidit ex frondibus cum feruntur, & comprimuntur, & has humiditatis species antiqui nominant chylos. Et secunda est tribus modis, aut est subtilis sicut substantia aquæ, & dicitur lacryma, aut substantia lacrymæ, sicut illa quæ fluit à ramis ficus, cum funduntur, & nominatur lac, aut est grossior lacte, & nominatur gummi.

98. Ex secundo supra Timæum.

ANtiqui nominant mutationem substantiæ materiam, speciem non sibi similem corruptionem, sicut est mutatio vini, quod mutatur, & redit acetum, & sicut est corruptio, quæ accidit pluribus trabibus, cum corrumpuntur, & redeunt sicut pulvis, & cinis, & medici, & major pars vulgi dicunt corruptionem rem permutatam, & corruptam in sui substantia cum fœtore, & non accidit nisi substantijs, quæ inclinanæ sunt potius ad irrorandum, & humectandum.

99. Ex quarta expositione in librum Timæi.

ALiqui Antiquorum inspicientes apoplexiam esse ægritudinem deliram dæmonum nominaverunt, & aliqui eam lunam; lunam autem dixerunt, quia in circulatione lunæ accidere consuevit, & Plato imposuit sibi morbo nomen dæmonis, quia capiti accidit, & manifestè vocet loco Dei, sed cerebro.

100. Ex quarta supra Timæum.

VIdi plures homines, corpus quorum fortè erat naturaliter, & anima, debilis modici motus, & perditi, quibus ægritudines de genere stuporis accidere, Apoplexia paralysis, & epilepsia. Et mulieribus illis similibus accidit matricis suffocatio, & postmodum accidit eis paralysis citò. Et habentium animam fortem, & corpus debile naturaliter paucos vidi, è quibus Aristones fuit de genere musiæ in eloquentia bonus, corpus cujus eliquatum est totum pro eloquentiis, in quibus sæpe fuit.

101. Ex septima expositione in Timæum.

INvenio in arte medicinæ quædam accidentia, quæ cum apparent in sanis, significant ægritudines, & cum aparent in ægrotantibus, significant sanitatem, & sunt somnus nimius, & profundus plus solito, qui cum accidit in sanis, significat ægritudinem, & cum accidit in ægrotantibus, sanitatem, & nimius appetitus cibi cum accidit sanis, est locus dubitationis, quia significat ægritudinem, ægrotis verò est signum laudabile, & similiter sternutatio multa cum accidit ei de cujus sanitate non dubitatur, significat quòd capiti pestis aliqua est futura, & cum accidit ei, qui est in malo statu ægritudinis, significat quòd status ejus immutatus in melius. invenio etiam in arte medicinæ multa habentia hujusmodi naturam.

102. Ex particula sexta de somno, & vigilia.

FOrtassis corporis existenti in quiete, & ocio accidit febris ex hoc, & fortè ipsi corpori accidit similiter desiccatio ex debilitate membrorum non nutrientium se bono nutrimento, & cum membra non nutriuntur, desiccatur corpus.

103. Ex sexta particula de somno, & vigilia.

IN exaltatione vocis necesse est aperiri os nimis, vt ingrediatur multus aer, & aperiri guttur, vt exeat vox sonora, & ideò hi qui habent parva guttura, habent parvas voces, & debiles, quæ cum non habeant protensionem, citò deficiunt. qui vero habent guttura longa, habent voces magna, & fortes, sed pueri, molieres, & eunuchi habent voces debiles, & subtiles propter sui gutturis strictionem.

104. Ex particula sexta de somno, & vigilia.

SOmnus quia semper humectat, vtilis est ægritudini, inclinationibus suis manifestè, & vtilis siccitati ventris: receptus enim aer per attractionem sui caliditate ventrem siccat, & somnus humectat eum.

105. Ex particula sexta de somno, & vigilia.

VOx fortis facit dolorem meatus, & consumit humiditatem generatam in stomacho, & in ore incitat rascationem, & extrahit phlegma malum, & viscosum, & calefacit corpus. Qui vero indigent calefactione corporis, nullam aliam habent medicinam, neque cibum meliorem, quàm exercitationem vocis, quare calefacit eorum corpora, incitat calorem naturalem, & calefacit corpora frigida, & desiccat eorum membra humida, sed habentia corpora sicca, & gracilia, non oportet exercitare vocem, & similiter illos, qui habent in stomacho humiditatem malam, vel fastidium, oportet cavere à forti voce, quare facit decurrere malum humorem existentem in stomache in totum corpus.

106. Ex particula sexta de somno, & vigilia.

NOn oportet te abstinere à motu corporis sicut abstinent aliqui sapientum, qui sunt semper inclinati supra lectiones die noctuque, sed oportet te movere corpus, & membra omnia motu æquali, vt actionem suam membrum quodlibet operetur, quia membris omnibus intrinsecis, & extrinsecis istud confert.

187. Ex particula de somno, & vigilia.

EXercitia fortia desiccant, & indurant corpora, & retardant illa ad sensum, & ad intellectum, & ideo Athletæ, & onera portantes, & lapides elevantes sunt aliquantulum mente capti.

108. *Ex particula sexta de signis mortis.*

VEtustarum infirmitatum quemadmodum sunt asma, calculus, hæmorrhoides, narium mala vlcera, & similia accidentium pueris, & infantibus multotiens aliquæ sanantur in quadraginta diebus, vel in septem mensibus, vel in septem annis, & aliquæ sanantur pueris in productione pilorum in genitalibus, & puellis in tempore eruptionis menstruorum.

109. *Ex particula sexta de signis mortis.*

PUstulæ cum apparent in lingua similes granis pentadactyli nigri, significant ægrum non vivere die secundo, & cum apparet in digitis manuum in quacunque febre apostema nigrum simile grano orobi cum nimio dolore, significat ægrum mori in quarto die.

110. *Ex sexta particula de signis mortis.*

SIngulis significat malum in eo, qui habet hepatis apostemata, & spasmus in patiente vigilias similiter, & tussis in hydropico superveniens significat mortem, & sternutatio fortè superveniens sponte ei, qui singultum patitur, significat dissolutionem singultus.

111. *Ex particula sexta de signis mortis.*

SPasmus accidens ex percussione, vel ex medicinæ solubilis potione significat malum, & risus accidens tetanum patienti mortem significat ipsa hora.

112. *Ex eodem loco.*

SI quis patitur vlcus intestinorum, & accidit ei sitis fortis, & apparent post aures ejus pustulæ nigræ similes granis orobi moritur, & crura ad quæ chimus defluit, difficile curantur.

113. *Ex particula sexta de clysteribus.*

CUm repletur intestinum, quod dicitur colon, accidunt inde accidentia mala stomacho, scilicet dolor, & punctio, quare hoc intestinum cum repletur, extenditur, & accidit tunc dolor siphac, quod circundat stomachum, & intestinum, & stomachus infrigidatur, & similiter extenditur lacertus, qui extensus est supra stomachum, & intestinum, & stomachus infirmatur, & similiter extenditur lacertus, qui extensus est supra stomachum, & intestinum ad extensionem intestini, & patitur stomachus ex hoc.

114. *Ex particula sexta de clysteribus.*

COnstrictio egestionis egestionem adiuvat, quia auget & fortificat ipsam contra naturam, & forte hujusmodi est causa destructionis: generant enim febrem secundum speciem sui diversas, & apostemata manifesta, & non manifesta secundum sui diversas species, & facit furere dolorem quemlibet ex grossis humoribus ortum, & debilitat virtutes naturales, & corrumpit operationes animales inducendo gravem somnum, & mentis permixtionem.

115 *Ex particula sexta de clysteribus.*

GRæci cum in cura ægritudinis sunt stupefacti, permittunt naturam cum ægritudine præliare, dicentes quòd natura docta à se novit complexiones membrorum, & vnicuique membro ministrat quod sibi simile est ex cibo, & cibus est cura, quæ sufficit tempore sanitatis, & ægritudinis.

116. *Ex particula sexta de clysteribus.*

EMplastra, & cataplasmata, quæ antiqui invenerunt ad curationem colicæ factæ ex phlegmate vitreo ab intestino colon contento, oportet te in patiente frequentare, quia cum frequenter, operaris, ipsam curas ægritudinem, & à malis accidentibus liberas patientem, & cum ea semel, vel bis tantummodo operaris, noces patienti nocumento magno, quia per illud sui tensio augmentatur.

117. *Ex particula sexta de clysteribus.*

NOs clysterizamus cum oleo, & aqua tantum in febribus adurentibus accensis, vt disrumpamus sui calorem adurentem, & accensum.

118. *Ex particula de clysteribus.*

CIbi mali sunt sicut caules, & similes eis ex frigidis herbis, & siccis.

119. *Ex particula quinta de motibus inevitabilibus.*

FOrtasse alicui, qui jacet more supino, tota nocte accidit ex superfluitatibus apoplexia.

120. *Ex particula sexta de motibus inevitabilibus.*

RIsus fit ad tactum partium, quæ sunt in subassellis, & quæ sunt in volis manuum, & pedum, & similiter fit ad visus rerum derisoriarum, & earum auditum, & ei non est aliquacunque causa nota.

121. *Ex particula sexta de motibus inevitabilibus.*

IN stupore accipio instrumentum oris stomachi, quod nominatur buchale, & pono in eo aliquos cibos molles, & liquidos, & positos ore ipsius summitati linguæ patientis ad inferiora de-

pressæ effundo in meri cibos, quos dictum continet instrumentum.

122. *Ex particula sexta de motibus inevitabilibus.*

OCuli ejus qui nullo tempore vidit ophtalmiam; cum primo inspicit eam, humiditate replentur, & cum prolongatur in spectione ipsius accidit eis ophtalmia, & similiter qui vidit aliquem mingere, egerere, os aperire, vel alas elevate, & hujusmodi res, provocat ipsum simile operari.

123. *Ex particula sexta de examinatione medici.*

MUltos ægrotantium virtutis, & corporum fortium notorum modorum curavi longa prohibitione ciborum, & exhibitione medicinæ simul ab hujusmodi accidente, & aliquos modorum notorum virtutis debilis quibus syncopis accidit, curavi prohibitione ciborum, & fricatione multa manuum, & pedum, & fricatione etiam juncturarum omnium spinæ, restituta est virtus ægrotantium, & perfectè sunt liberati, & aliquibus ipsorum feci contrarium vetans eis ciborum abstinentiam, & porrigens eis cibos.

124. *Ex particula sexta de examinatione medici.*

NOn te faciat timere operationem chirurgi ægritudo magna, quia non debes putare magnam ægritudinem fortem, neque parvam debilem; sed debes attendere, & videre dubitationem ipsius, fortitudinem, sed & debilitatem suam, quia scissura, in quam descendit siphac, quæ est juxta stomachum, est ægritudo fortis, & non manifestatur sensui magna, & scissura ad quam descendunt intestina, ægritudo est debilis, & sensui manifestatur magna, & de alijs ægritudinibus intelliges idem.

125. *Ex particula sexta examinationis medici.*

QUidam medici famosi, quos novi, cum dederunt medicinas solubiles, & medicinæ ipsæ earum virtute non solvebant, stupefacti sunt, & nesciebant quid facere deberent, & cum vocatus fui, aliquem illorum, qui medicinas sumpserant, mandavi balneare se intrà balneum, aliquem phlebotomavi, alicui vomitum provocavi, & alicubi medicinas stypticas dedi, & cum hoc feci quòd ventres ipsorum statim soluti sunt.

126. *Ex particula sexta de examinatione medici boni.*

NOn possum numerare quot ictericos liberavi per fluxum ventris tantum, & similiter quot leprosos, & patientes longas, & antiquas ægritudines liberavi tantummodo fluxu ipso.

127. *Ex particula sexta de examinatione medici.*

GAlenus inquisivit ægrum, cui crisis non accidit, quam ei promit, & inveniens domum ægroti frigidam, & calefaciens ipsius aërem igne, crisis patienti accidit per sudorem.

128. *Ex particula sexta de examinatione medici.*

A Muliere quodam habente in vtero aliquam quantitatem menstrui primò exiit sanguis; deinde sanies subtilis, & putrida; & cùm processit in tempore conceptus, passa est aborsum; & postea die quolibet exibat ab ea aliquid secundinæ, quæ erat intus putrefacta, & in fine cum exijt, quod remanserat ex secundina, crediderunt obstetrices, & omnes qui aderant ibi ex medicis præter me, quòd mulier mundificata esset mundificatione completa, cujus exquisivi pulsum, & inspexi per pulsum ipsum in matrice aliquid remansisse, cujus exitus necessarius erat ad mundificationem corporis mulieris, quod manifestavi mulieri prædictæ, & marito suo, & cum ipsa ad diem decimumsextum à die aborsus pervenit passa est aborsum fœtus alterius putrefacti.

129. *Ex particula sexta de attenuatione corporum pinguium.*

MUltitudo carnis, & pinguedinis est valdè nociva, facit corpus turpe, impedit operationes & retardat motus, & ideo oportet multitudinem carnis, & pinguedinis habentes ire frequenter per mare, & ambulare sub sole, & specialiter esse sub sole in mari, quia aër marinus dissoluit humiditates, & oportet ipsos cibari cibis modici nutrimenti, sicut herbis habentibus excedentem caliditatem ut sunt cæpæ, allia, pisces saliti, & cibari cibis confortantibus, & non humectantibus, quemadmodum sunt carnes macilentæ, ac oportet ipsos à balneatione aquæ calidæ, excepta balneotiane aquæ in balneo, præcaveri, & oportet ipsos sitim sufferre aliquantulum, & omni modo quo possint, debent sua corpora indurare.

130. *Ex particula sexta de colica.*

QUidam antiquorum præceperunt, ut si quis pateretur colicam, acciperet lapillum salis, & eum supponeret sibi, quia sal citò extrahit egestionem, illud idem nitrum, cum supponitur, operatur.

131. *Ex particula sexta de colica.*

CLystere factum ex duabus partibus picis liquidæ, & ex tribus partibus olei confert mirabiliter colicæ passioni, stomacho existente forti, cavendum est tamen ab hujusmodi clysteri, & ab omni clysteri, in quo medicamina fortia ponuntur, stomacho debili existente: habentem verò

ſtomachum debilem clyſteriza cum medicinis lenitivis: ipſæ enim cùm non adunent ſtomacho debilitatem aliquam, nec mutant de ægritudine in ægritudinem patientem, & cum ſit clyſtere ex fortibus medicinis magnitudine ſui fortè pervenit ad ſtomachum, & aſcendit in linguam.

132. *Ex particula ſexta odoratu.*

QUibuſdam ſternuitatio ſic indicatur, impera ut æger os ſuum aqua impleat, & caput ad poſterius, quantum poteſt, inclinet, & de medicina cujus eſt deſcriptio talis, ſuſcipiat: ſume nigellum, & ſere ipſum ad modicum farinæ, & cum oleo veteri miſce, & ea ſimul percute, & in naſum inſtilla modicum ipſius, & ut aliquid medicinæ ipſius ad interiora attrahatur, præcipe ut aërem attrahat quantum poteſt.

133. *Ex primo antidotarii.*

AQua poſtquàm deſcendit in pupillam oculi, oportet ipſam retineri tempore longo, cum inſtrumento ferreo actui ſimili in loco, in quo morari debet, ut collocetur cum ipſo.

134. *Ex tertio antidotarii.*

QUum placet tibi incidere, & æger eſt timidus, fingas te velle tangere, aut fricare loca vicina ægritudinis, & tunc incide locum, ægroto exiſtente inſcio hujus rei.

135. *Ex tertio antidotarii.*

CUm vis ſolidare manum, aut pedem, fac inſtrumentum ſimile illi membro, intra quod membrum ipſum permaneat, & ſit inſtrumentum prædictum, prout ſanitatis tempore perſona incedere conſuevit, qui ex hominibus aliqui forma lata ſe quotidie calciant, & aliqui forma ſtricta.

136. *Ex tertio antidotarii.*

IN ruptura, & plaga oportet ægrum ligaturam ſentire in loco ægritudinis magis, & in extremitatibus ſuis minus, ſed ligatura per quam volumus membrum tenue impinguari, debet eſſe ſuprà membrum tenue molle, & ſuprà membra ſana dura, ut ſanguis poſſit ad membrum tenue penetrare.

137. *Ex tertio antidotarii.*

FRactura pedis indiget forma tali, ut ex motu ipſius membrum non allidatur, & oportet te attendere, quæ ex forma accidunt, & ſi nocumenta plurima ſunt juvamentis, non operari eam.

138. *Ex tertio antidotarii.*

OPortet nos in principio infaſciare ſub forma, & incipere à loco ægritudinis inferius, & tendere ſuperius, quia per hæc retinemus curſum humorum in membrum præparatum ad apoſtema, & poſtea facimus formam, & ligamus ſuprà eam ad hoc, ut non moveatur, incipientes à ſuperiori loco ægritudinis, & protendentes inferius, ut ſanguis putridus à membro exeat ægroto, & perueniat ad extremitatem ſui, & poſt iſtam ligaturam ſecundam apponimus medicinas ſtringentes, ad ſuſtinendum, quæ ſunt retrò poſt eas, & regendum, & regentia, & retinentia membrum, ſunt quatuor faſcia ligans membrum, forma, ligamina, & medicamina ſtringentia.

139. *Ex tertio antidotarii.*

FAc formam in loco membri ſubtilis, adeò ut adæquetur membro groſſo, & liga ipſam formam ligaminibus retinentibus ipſam æqualem, & erectam, ut non permutetur, nec redeat ipſa ligato mollis & faſcia, quâ membrum inuoluis, ſit lata trium vel quatuor digitorum.





FRAGMENTA GALENI EX RASIS LIB. CONTIN. COLLECTA.

1. *Ex capite Commentarii secundæ particulæ sectionis Epidemiorum.*

MUlta vini potio nocet nervis, & cerebro; & coitus similiter nocet vtrisque forti nocumento.

2. *Ex primo capite libri secundi Epidem.*

HYdropicis requirendus est color, vt significationem habeas super radicem passionis, an de hepate fuerit, an de splene: sed si fuerit de hepare, color erit citrinus, & albus, si de splene; color erit citrinus, & niger.

3. *Ex commentario secundi Epidem.*

QUando convalescenti accidit subitò levitas corporis, & febris cessatio sine evacuatione tempore morbi, absque aliqua corporis dissolutione, scias quòd morbus redibit. Vidi quosdam homines, qui credebant esse liberati à morbis vsi balneis, & alijs eorum exercitijs, quos cognovi per mala alia signa, quæ patiebantur ex hac ægritudine morituros, & parum steterunt, quod reciderunt, & mortui sunt. & illi, in quibus morbi eorum non apparent signa mortalia, recident solum, & non morientur.

4. *Ex secundo cap. secundi libri Epid.*

COnvenerunt Medici quasi faciendo constitutionem indissolubilem, quod non nominatur febricitans post diem quartum, tu fac minutionem, licet dies sit decimus imminente virtute patientibus robusta, ac opportunitate ejus vrgente, tamen si sit ante quartum diem, erit vtilior.

5. *Ex primo secundi Epid.*

RIgor fortis vehementer accidit à phlegmate vehementer forti in frigiditate, quod vocatur vitreum, & ab humore melancholico, in rigore accidens à phlegmate vitreum, est difficilis calefactio corporis. Interpellatio febris, accidens à phlegmate erit quolibet die.

6. *Ex tractatu quarto secundi libri Epid.*

PLures conquesti sunt pati defectum appetitus: quibus præcepi, vt spatio longo se abstinerent à cibarijs, qui per ipsam abstinentiam ciborum reversi sunt ad appetitum.

7. *Ex sexto cap. libri secundi Epid.*

CEpæ & allia sumpta incibo tempore congruo, aliquando multum conferunt hydropicis, sed caseus magnum cocumentum infert eis, cum magis perfectè inferat opilationes, quàm aliud, sed opilationes hepatis curantur per res aperientes eas, quando mors sequitur hydropicum venter ejus magnificatur ac cutis mirach ejus valdè extenditur, & non minus os desiccatur, & in superficie cutis egrediuntur vlcera ex malitia humiditatum, quæ fiunt in ventre ejus. Evitandum est balneum in hydropisi propriè in carnosa cum aqua dulci factum, sed stude ad fricandum ipsum cum rebus siccis, valet cum totalibus, & similibus, faciendo ipsum ambulare in terra mobili.

8. *Ex expositione libri quarti Epid. in primo cap.*

COitus dissoluit phlegmaticam materiam, & repletionem, & deponit eam, tamen lædit virtutem stomachi, & abstinentia coitus est melior res in conservatione virtutis stomachi. Manifestum est ex Hippocrate similiter quod ipse videbat, quod augmentum medullæ in corpore, auget in spermate.

9. *Ex primo cap. libri septimi Epid.*

IN febre quotidiana de conditione rigoris, id quod diximus in capitulo suo, juxta quod debuit: rigor frigidus, & vehementis frigoris fit in quartana, & quotidiana: tamen rigor tertianæ mordens est absque frigore, & non strident dentes, ut in quartana: sed in phlegmatica quotiens videris rigorem esse vehementem, & laboriosum, & inflammatur post eum febris vehementis caliditatis, & rigor fuerit prolixioris spatii, & tardæ ascensionis, febris erit quartana: & si rigor fuerit in ipsa dispositione: tamen ascensione valdè remota,

& quando ascendit non valdè calefiet corpus: non excitabitur sitis, neque interiectio lamentabilis, neque caliditas vehemens febris erit quotidiana: quædam etiam febre mordent semper corpus: quædam non mordent: in primo, deinde mordent, deinde deficit morsus: in quibusdam etiam febribus est bonus tactus semper: in quibusdam est caliditas sicca: in quibusdam est caliditas bona, & vaporosa: in quibusdam sentientur res similes ampullis ventosis & cessabunt quandoque, & quandoque non: febres in quibus condominabitur corpori viriditas, significant super diminutionem sanguinis, & caliditatis innatæ, ideo sunt mortales.

10. *De libro nutrimenti.*

VIdi quandam mulierem paralyticam cujus venter constipatus erat per mensem vnum, & paralysis erat in parte media, cum venter sanorum non constipatur vltra quinque dies, sed emittitur de eis substantia sicca, & impossibile est, quòd venter constipetur per spatium longum, quòd non infletur, & magnificetur.

11. *Ex libro de aere, & regionibus*

QUartana quando prolongatur, ducit ad hydropisim, erit autem hoc cum quartana accidit propter magnitudinem splenis, aut ipsa magnificabit splenem, & cum hoc prolongata est, verum febris quartana secundum se est salubrior ex salubribus, & levior corpori: dat enim quietem majorem, & aliquando quidem per eam accidit liberatio ab epilepsia, mala cogitatione, & similibus.

12. *Ex secundo Timæi.*

VIrtus furfuris est similis modificationi farinæ fabarum, & farinæ oroborum, tamen farina oroborum est fortior farina fabarum, & farina hordei.

13. *Ex libro de venenis.*

QUi biberit de sanguine tauri, accidit strictura anhelitus, & squinantia, & tumor linguæ, cura comedere ficus madefactas in aceto, aqua & nitro, aut comedat radices assæ madefactas in aceto, aut de semine canapis, & pipere ana, & informentur cum melle, aut de succo frondium rubi cum aceto: quia hoc laxat ventrem, & ponatur emplastrum supra pectus, stomachum & gulam, & emplastrum ex farina hordei similiter.

14. *Ex libro de venenis.*

SI quis comedat ranas, & bufos, sive boletos, corpus ejus tumescit, & accidit ei color terreus, & involuntaria emissio spermatis, & fœtoris. Cura ejus est provocare vomitum frequenter cum aqua calida, & oleo, & multiplica in ipso ambulationem, sudorem, & balneum.

15. *Ex aliquibus librorum suorum.*

DEbet semper medicus inquirere de mutatione aeris, & motu ventorum.

16. *Ex medicamentis laxativis.*

DIxit Galenus quòd sanaverat canerum, & vlcera mala per laxationem solam.

17. *De clysteribus.*

PAris avium clysterizant se cum aqua maris, vnde laxatur ejus venter: quòd si volueris educere superfluitatem grossam de corpore, noli facere clysteria lenia simplicia facta de aqua, & oleo, melle, & nitro, cum non condensentur eis, & dant nocumentum cum quantitate ipsorum.

18. *De passione prægnantis.*

AEstimaverunt quidam quòd obstetrices inspiciunt mulierem. Quia si viderint caput mammillæ ejus esse extensum, & mutatum, ex eo, quo fuerat, prægnans erit: & si venter mulieris fuerit rotundus, grossus, repletus, & durus & mulier fuerit sinceri coloris, erit masculus. etiam si mulier erecta, & defessa elevaverit pedem suum dextrum ad procedendum cum eo in eundo, prægnatio erit cum masculo: & è converso. Expertus sum pluries hoc, & firmum inveni experimentum, & non credo quòd fuerit accidentaliter.

19. *Ex tractatu primo libri de cathatireon.*

MEdicus pluries cogitur ad incidendum aliquem testiculum, quando putrefit, ad ejiciendum eum.

20. *De curandis morbis attributus Galeno.*

DAndum est laboranti yleos de decoctione anethi facta cum oleo, & aqua donec liquefiat anethum bene colata, etiam ponendum est de pane in aqua calida ebullita, & dandum est de eo in cibo cum valdè conferat, & sumendus est ipse panis dum fuerit calidus.

21. *De constitutione physicæ per experimentum.*

FEbris acuta cum malo anhelitu, tussi & sputo colorato communis est peripneumoniæ, & pleurisi; sed si fuerit cum ea dolor pungens in latere, & pulsus spissus, & durus, pleuresis erit, sed si dolor erit cum ponderositate solummodo, & pulsus non fuerit durus, sed sensus fuerit quasi strangulatus, erit peripneumonia solummodo.

22. *De expositione Aristotelis.*

PAtiens sputum sanguinis, si purgetur purgatione vehementi, morietur.

23. *Ex libro de probatione medicorum.*

NEminem inveni magistrorum meorum curantem dolorem oculorum cum vino puro multum potato.

24. *Ex libro ultimo oculorum, & in majori Antidotario.*

QUando accidit oculis mollis inflatio, facies calefieri eos sæpius cum spongia madefacta in aceto & aquâ calida; deinde cum aquâ calida sola si dolet, & liga desuper pannum subtile.

25. *Ex decimo Aphorismorum.*

EXtensio est, cum membrum stat erectum & non declinat ad aliquam partem.

26. *Ex libro de opinionibus.*

QUum membrum corporis est aliis calidius, illud faciliùs recipit sensum, & motum & illud quod frigidius est, tardiùs recipit.

27. *Ex libro decimo Consiliorum.*

OMnes Medici quum curant, spasmum amborum laterum, vel tremorem totius corporis, aut jactationem, aut laxitatem totius corporis à facie infra, & ponunt eorum intensionem & curam circa posteriorem partem capitis.

Finis Fragmentorum Galeni.

